ΒΑΣΙΛΕΙΩΝ Α' (Σαμουήλ Α')

Α ΒΑΣΙΛΕΙΩΝ 1

Α Βασ. 1,1 - Ἄνθρωπος ἦν ἐξ Ἀρμαθαὶμ Σιφά, ἐξ ὄρους Ἐφραίμ, καὶ ὄνομα αὐτῷ Ἑλκανὰ υἱὸς Ἱερεμεὴλ υἱοῦ Ἠλιοὺ υἱοῦ Θοκὲ ἐν Νασὶβ Ἐφραίμ.

Α Βασ. 1,1 - Κατά την εποχήν εκείνην των Κριτών εζούσε ένας άνθρωπος, ο οποίος κατήγετο από την πόλιν Αρμαθαίμ, την περιοχήν Σιφά, η οποία ευρίσκετο εις την ορεινήν χώραν, όπου κατοικούσεν η φυλή του Εφραίμ. Ο άνθρωπος αυτός ωνομάζετο Ελκανά και ήτο υιός του Ιερεμεήλ, υιού του Ηλιού, ο οποίος Ηλιού ήτο υιός του Θοκέ από την Νασίβ, της φυλής Εφραίμ.

Α Βασ. 1,2 - καὶ τούτῳ δύο γυναῖκες· ὄνομα τῇ μιᾷ Ἄννα, καὶ ὄνομα τῇ δευτέρᾳ Φεννάνα· καὶ ἦν τῇ Φεννάνᾳ παιδία, καὶ τῇ Ἄννᾳ οὐκ ἦν παιδίον.

Α Βασ. 1,2 - Ο Ελκανά είχε δυο συζύγους, η μία ωνομάζετο Αννα, η δε άλλη ωνομάζετο Φεννάνα. Η Φεννάνα είχε παιδιά, η Αννα όμως δεν είχε παιδί.

Α Βασ. 1,3 - καὶ ἀνέβαινεν ὁ ἄνθρωπος ἐξ ἡμερῶν εἰς ἡμέρας ἐκ πόλεως αὐτοῦ ἐξ Ἀρμαθαὶμ προσκυνεῖν καὶ θύειν Κυρίῳ τῷ Θεῷ Σαβαὼθ εἰς Σηλώ· καὶ ἐκεῖ Ἡλὶ καὶ οἱ δύο υἱοὶ αὐτοῦ Ὀφνὶ καὶ Φινεὲς ἱερεῖς τοῦ Κυρίου.

Α Βασ. 1,3 - Ο άνθρωπος αυτός, ευσεβής καθώς ήτο, ανέβαινε κάθε χρόνον από την πατρίδα του την Αρμαθαίμ εις Σηλώ, τον ιερόν τόπον, δια να προσκυνή και να προσφέρη θυσίας στον Κυριον τον Θεόν τον παντοκράτορα. Εις Σηλώ αρχιερεύς ήτο τότε ο Ηλί, ιερείς δε οι δύο υιοί του, ο Οφνί και ο Φινεές.

Α Βασ. 1,4 - καὶ ἐγενήθη ἡμέρα καὶ ἔθυσεν Ἑλκανὰ καὶ ἔδωκε τῇ Φεννάνᾳ, γυναικὶ αὐτοῦ, καὶ τοῖς υἱοῖς αὐτῆς μερίδας·

Α Βασ. 1,4 - Καποιαν ημέραν, κατά την οποίαν ο Ελκανά προσέφερε την καθιερωμένην ειρηνικήν θυσίαν, έδωσεν εις την Φεννάναν και τους υιούς της πολλάς μερίδας, αναλόγους προς τον αριθμόν αυτών, από τα υπόλοιπα των θυσιών.

Α Βασ. 1,5 - καὶ τῇ Ἄννᾳ ἔδωκε μερίδα μίαν, ὅτι οὐκ ἦν αὐτῇ παιδίον, πλὴν ὅτι τὴν Ἄνναν ἠγάπα Ἑλκανὰ ὑπὲρ ταύτην. καὶ Κύριος ἀπέκλεισε τὰ περὶ τὴν μήτραν αὐτῆς,

Α Βασ. 1,5 - Εις την Ανναν όμως, επειδή δεν είχε παιδιά, έδωκε μίαν μόνον μερίδα δι' αυτήν την ιδίαν. Αλλ' ο Ελκανά ηγάπα την Ανναν περισσότερον από την Φεννάναν. Ο Κυριος όμως είχε δώσει εις αυτήν στειρότητα και δεν αποκτούσε παιδιά.

Α Βασ. 1,6 - ὅτι οὐκ ἔδωκεν αὐτῇ Κύριος παιδίον κατὰ τὴν θλῖψιν αὐτῆς καὶ κατὰ τὴν ἀθυμίαν τῆς θλίψεως αὐτῆς, καὶ ἠθύμει διὰ τοῦτο, ὅτι συνέκλεισε Κύριος τὰ περὶ τὴν μήτραν αὐτῆς τοῦ μὴ δοῦναι αὐτῇ παιδίον.

Α Βασ. 1,6 - Δεν έδωκεν εις αυτήν ο Κυριος παιδίον, πράγμα το οποίον προεκάλει θλίψιν εις αυτήν, και υπό το βάρος της θλίψεως ήτο διαρκώς μελαγχολική και άθυμος, διότι ο Κυριος είχε καταστήσει αυτήν στείραν και δεν της έδιδε παιδί.

Α Βασ. 1,7 - οὕτως ἐποίει ἐνιαυτὸν κατ᾿ ἐνιαυτόν, ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς οἶκον Κυρίου· καὶ ἠθύμει καὶ ἔκλαιε καὶ οὐκ ἤσθιε.

Α Βασ. 1,7 - Ετσι έκανε κάθε έτος ο Ελκανά, όταν ανέβαινεν εις την Σκηνήν του Μαρτυρίου, δια να προσφέρη τας καθιερωμένας θυσίας, η δε σύζυγός του η Αννα κατελαμβάνετο από αθυμίαν, έκλαιε και δεν έτρωγε.

Α Βασ. 1,8 - καὶ εἶπεν αὐτῇ Ἑλκανὰ ὁ ἀνὴρ αὐτῆς· Ἄννα. καὶ εἶπεν αὐτῷ· ἰδοὺ ἐγώ, κύριε. καί εἶπεν αὐτῇ· τί ἔστι σοι, ὅτι κλαίεις; καὶ ἱνατί οὐκ ἐσθίεις; καὶ ἱνατί τύπτει σε ἡ καρδία σου; οὐκ ἀγαθὸς ἐγώ σοι ὑπὲρ δέκα τέκνα;

Α Βασ. 1,8 - Ο Ελκανά, ο σύζυγός της, είπεν εις αυτήν· “Αννα” ! Εκείνη του απήντησεν· “Ιδού εγώ, κύριε”. Εκείνος πάλιν της λέγει· “τι συμβαίνει και διατί κλαίεις, και διατί δεν τρώγεις, και διατί σε πληγώνει η καρδία σου και είσαι περίλυπος; Εγώ δεν είμαι δια σε καλύτερος και από δέκα ακόμη παιδιά;”

Α Βασ. 1,9 - καὶ ἀνέστη Ἄννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλὼ καὶ κατέστη ἐνώπιον Κυρίου, καὶ Ἡλὶ ὁ ἱερεὺς ἐκάθητο ἐπὶ τοῦ δίφρου ἐπὶ τῶν φλιῶν ναοῦ Κυρίου.

Α Βασ. 1,9 - Επειτα από αυτό το οικογενειακόν, μετά την θυσίαν, φαγητόν εις Σηλώ, η Αννα εσηκώθη, μετέβη και εστάθη ενώπιον της Σκηνής του Μαρτυρίου. Ο αρχιερεύς ο Ηλί εκάθητο επάνω εις ένα ανάκλιντρον εις την είσοδον της Σκηνής του Μαρτυρίου.

Α Βασ. 1,10 - καὶ αὐτὴ κατώδυνος ψυχῇ καὶ προσηύξατο πρὸς Κύριον καὶ κλαίουσα ἔκλαυσε

Α Βασ. 1,10 - Η Αννα ήτο βαθύτατα λυπημένη και προσηυχήθη προς τον Κυριον. Καθ' ον δε χρόνον προσηύχετο, έκλαιε και έχυνεν άφθονα δάκρυα.

Α Βασ. 1,11 - καὶ ηὔξατο εὐχὴν Κυρίῳ λέγουσα· Ἀδωναΐ Κύριε Ἐλωὲ Σαβαώθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου καὶ μνησθῇς μου καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρῶν, καὶ δώσω αὐτὸν ἐνώπιόν σου δοτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, καὶ οἶνον καὶ μέθυσμα οὐ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Α Βασ. 1,11 - Κατά την ώραν εκείνην της προσευχής έκαμε ένα τάμα προς τον Θεόν λέγουσα· “Αδωναΐ, Κυριε, Ελωέ Σαβαώθ, εάν ρίψης βλέμμα ευσπλαγχνίας και ίδης την θλίψιν και την εντροπήν της δούλης σου εκ του

γεγονότος ότι είμαι στείρα, με ενθυμηθής στο έλεός σου και μου δώσης τέκνον, εγώ σου υπόσχομαι να αφιερώσω αυτό ενώπιόν σου, δια να σε υπηρετή διαρκώς μέχρι της ημέρας του θανάτου του. Υπόσχομαι επί πλέον ότι οίνον και οινοπνευματώδη γενικώς ποτά δεν θα πίη το παιδί αυτό εις όλην του την ζωήν· ψαλλίδι δεν θα ανέβη επί της κεφαλής του, δια να του κόψη την κόμην".

Α Βασ. 1,12 - καὶ ἐγενήθη ὅτε ἐπλήθυνε προσευχομένη ἐνώπιον Κυρίου, καὶ Ἡλὶ ὁ ἱερεὺς ἐφύλαξε τὸ στόμα αὐτῆς·

Α Βασ. 1,12 - Επειδή δε αυτή επί πολλήν ώραν παρέτεινε την προσευχήν της ενώπιον της Σκηνής του Μαρτυρίου, ο αρχιερεύς Ηλί παρετήρει το στόμα αυτής·

Α Βασ. 1,13 - καὶ αὕτη ἐλάλει ἐν τῇ καρδίᾳ αὐτῆς καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο, καὶ φωνὴ αὐτῆς οὐκ ἠκούετο· καὶ ἐλογίσατο αὐτὴ Ἡλὶ εἰς μεθύουσαν.

Α Βασ. 1,13 - παρετήρει δηλαδή ότι αυτή ωμιλούσε από την καρδίαν της, τα δε χείλη της μόλις εκινούντο και η φωνή της δεν ηκούετο καθόλου. Ο Ηλί την ενόμισε μεθυσμένην.

Α Βασ. 1,14 - καὶ εἶπεν αὐτῇ τὸ παιδάριον Ἡλί· ἕως πότε μεθυσθήσῃ; περιελοῦ τὸν οἶνόν σου καὶ πορεύου ἐκ προσώπου Κυρίου.

Α Βασ. 1,14 - Είπε δε ο υπηρέτης του Ηλί, κατ' εντολήν του Ηλί· "έως πότε θα είσαι μεθυσμένη; Σταμάτησε την επήρειαν του κρασιού σου και απομακρύνσου από την Σκηνήν του Μαρτυρίου".

Α Βασ. 1,15 - καὶ ἀπεκρίθη Ἄννα καὶ εἶπεν· οὐχί, κύριε· γυνή, ᾗ σκληρὰ ἡμέρα, ἐγώ εἰμι καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα καὶ ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυρίου·

Α Βασ. 1,15 - Απεκρίθη δε η Αννα και του είπε· "οχι, κύριε, δεν είμαι μεθυσμένη. Είμαι μία σύζυγος, η οποία διέρχεται πολύ πικράς ημέρας. Οίνον και αλλά οινοπνευματώδη ποτά δεν έχω πίει, αλλά ξεχύνω τον πόνον της ψυχής μου ενώπιον του Κυρίου.

Α Βασ. 1,16 - μὴ δῷς τὴν δούλην σου εἰς θυγατέρα λοιμήν, ὅτι ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα ἕως νῦν.

Α Βασ. 1,16 - Μη θεωρήσης εμέ την δούλην σου ως αμαρτωλήν και ασεβή γυναίκα. Δεν είμαι εγώ τέτοια, αλλά ο υπερβολικός πόνος έχει λυώσει την ψυχήν μου και δι'αυτό απευθύνω την μακράν αυτήν προσευχήν προς τον Κυριον".

Α Βασ. 1,17 - καὶ ἀπεκρίθη Ἡλὶ καὶ εἶπεν αὐτῇ· πορεύου εἰς εἰρήνην· ὁ Θεὸς Ἰσραὴλ δώῃ σοι πᾶν αἴτημά σου, ὃ ᾐτήσω παρ᾿ αὐτοῦ.

Α Βασ. 1,17 - Ο Ηλί απεκρίθη προς αυτήν και της είπε· "πήγαινε στο καλό· εύχομαι να εκπληρώση ο Θεός του Ισραήλ ολόκληρον το αίτημά σου και σου δώση αυτό το οποίον εζήτησες".

Α Βασ. 1,18 - καὶ εἶπεν· εὗρεν ἡ δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου. καὶ ἐπορεύθη ἡ γυνὴ εἰς τὴν ὁδὸν αὐτῆς καὶ εἰσῆλθεν εἰς τὸ κατάλυμα αὐτῆς καὶ ἔφαγε μετὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ ἔπιε, καὶ τὸ πρόσωπον αὐτῆς οὐ συνέπεσεν ἔτι.

Α Βασ. 1,18 - Είπε τότε η Αννα· "είθε εγώ, η δούλη σου, να εύρω χάριν ενώπιόν σου και ο Κυριος να εισακούση την ευχήν σου". Ανεχώρησεν έπειτα η Αννα από την Σκηνήν του Μαρτυρίου και μετέβη στο προσωρινόν κατάλυμα του συζύγου της, εις Σηλώ. Εκεί έφαγε και έπιε και το πρόσωπόν της δεν εφαίνετο πλέον θλιμμένον.

Α Βασ. 1,19 - καὶ ὀρθρίζουσι τὸ πρωΐ καὶ προσκυνοῦσι τῷ Κυρίῳ καὶ πορεύονται τὴν ὁδὸν αὐτῶν. καὶ εἰσῆλθεν Ἑλκανὰ εἰς τὸν οἶκον αὐτοῦ Ἀρμαθαὶμ καὶ ἔγνω τὴν Ἄνναν γυναῖκα αὐτοῦ, καὶ ἐμνήσθη αὐτῆς Κύριος, καὶ συνέλαβε.

Α Βασ. 1,19 - Την επομένην πολύ πρωϊ εσηκώθησαν, προσεκύνησαν ενώπιον της Σκηνής του Μαρτυρίου και επορεύθησαν προς την ιδιαιτέραν των πόλιν, την Αρμαθαίμ. Ο Ελκανά εισήλθεν στον οίκον του εις Αρμαθαίμ, ήλθεν εις συνάφειαν με την σύζυγόν του την Ανναν, ο δε Κυριος την επεσκέφθη και έμεινεν αυτή έγκυος.

Α Βασ. 1,20 - καὶ ἐγενήθη τῷ καιρῷ τῶν ἡμερῶν καὶ ἔτεκεν υἱόν· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σαμουὴλ καὶ εἶπεν· ὅτι παρὰ Κυρίου Θεοῦ Σαβαὼθ ᾐτησάμην αὐτόν.

Α Βασ. 1,20 - Κατά τον κανονικόν χρόνον, τον ένατον δηλαδή μήνα, εγέννησεν υιόν και ωνόμασεν αυτόν Σαμουήλ λέγουσα· "ονομάζω αυτόν Σαμουήλ, διότι από τον Κυριον τον Θεόν τον παντοκράτορα εζήτησα και τον έλαβα".

Α Βασ. 1,21 - Καὶ ἀνέβη ὁ ἄνθρωπος Ἑλκανὰ καὶ πᾶς ὁ οἶκος αὐτοῦ θῦσαι ἐν Σηλὼμ τὴν θυσίαν τῶν ἡμερῶν καὶ τὰς εὐχὰς αὐτοῦ καὶ πάσας τὰς δεκάτας τῆς γῆς αὐτοῦ·

Α Βασ. 1,21 - Μετά ένα έτος ο άνθρωπος αυτός, ο Ελκανά και όλη η οικογένειά του, ανέβησαν κατά την συνήθειάν των εις Σηλώμ, δια να προσφέρη ο Ελκανά την ετησίαν θυσίαν, το τάξιμόν του, και το υπό του Μωσαϊκού Νομου οριζόμενον δέκατον από τα γεωργικά του προϊόντα.

Α Βασ. 1,22 - καὶ Ἄννα οὐκ ἀνέβη μετ᾽ αὐτοῦ, ὅτι εἶπε τῷ ἀνδρὶ αὐτῆς· ἕως τοῦ ἀναβῆναι τὸ παιδάριον, ἐὰν ἀπογαλακτίσω αὐτό, καὶ ὀφθήσεται τῷ προσώπῳ Κυρίου καὶ καθήσεται ἕως αἰῶνος ἐκεῖ.

Α Βασ. 1,22 - Η Αννα όμως δεν ανέβη μαζή του και είπεν στον άνδρα της· "εγώ θα παραμείνω και δεν θα αναβώ στον ναόν του Κυρίου, μέχρις ότου έλθη εποχή και είναι εις θέσιν να αναβή και το τέκνον μας αυτό μετά τον απογαλακτισμόν του. Τοτε θα το παρουσιάσωμεν ενώπιον του Κυρίου, δια να παραμένη εκεί ισοβίως".

Α Βασ. 1,23 - καὶ εἶπεν αὐτῇ Ἑλκανὰ ὁ ἀνὴρ αὐτῆς· ποίει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου, κάθου ἕως ἂν ἀπογαλακτίσῃς αὐτό· ἀλλὰ στήσαι Κύριος τὸ ἐξελθὸν ἐκ τοῦ στόματός σου. καὶ ἐκάθισεν ἡ γυνὴ καὶ ἐθήλασε τὸν υἱὸν αὐτῆς, ἕως ἂν ἀπογαλακτίσῃ αὐτόν.

Α Βασ. 1,23 - Ο Ελκανά, ο σύζυγός της, της είπε· "κάμε αυτό που νομίζεις ότι είναι καλόν. Καθησε, δηλαδή, εδώ μέχρις ότου απογαλακτίσης το παιδίον. Εύχομαι δέ, να εκπληρώση ο Κυριος το τάμα σου, όπως το είπες". Η Αννα παρέμεινεν στον οίκον της, μέχρις ότου απογαλακτίση τον υιόν της.

Α Βασ. 1,24 - καὶ ἀνέβη μετ᾿ αὐτοῦ εἰς Σηλὼμ ἐν μόσχῳ τριετίζοντι καὶ ἄρτοις καὶ οἰφὶ σεμιδάλεως καὶ νέβελ οἴνου καὶ εἰσῆλθεν εἰς οἶκον Κυρίου ἐν Σηλώμ, καὶ τὸ παιδάριον μετ᾿ αὐτῶν.

Α Βασ. 1,24 - Κατόπιν ανέβη και αυτή με τον σύζυγόν της εις Σηλώμ φέρουσα μαζή της ως θυσίαν αιματηράν ένα μόσχον τριών ετών και την ανάλογον αναίμακτον θυσίαν από άρτους, είκοσι περίπου χιλιόγραμμα σημιγδάλι και ένα ασκί κρασί. Εισήλθον εις την αυλήν της Σκηνής του Μαρτυρίου, που ευρίσκετο εις την Σηλώμ. Το δε παιδίον ήτο μαζή τους.

Α Βασ. 1,25 - καὶ προσήγαγον ἐνώπιον Κυρίου, καὶ ἔσφαξεν ὁ πατὴρ αὐτοῦ τὴν θυσίαν, ἣν ἐποίει ἐξ ἡμερῶν εἰς ἡμέρας τῷ Κυρίῳ, καὶ προσήγαγε τὸ παιδάριον καὶ ἔσφαξε τὸν μόσχον. καὶ προσήγαγεν Ἄννα ἡ μήτηρ τοῦ παιδίου πρὸς Ἡλὶ

Α Βασ. 1,25 - Προσέφεραν τα προς θυσίαν στον οίκον του Κυρίου. Ο πατήρ έσφαξε το ζώον, το οποίον κάθε έτος προσέφεραν εις την Σκηνήν του Μαρτυρίου ως θυσίαν. Επειτα δε ωδήγησε και παρέδωσε το παιδί στον Κυριον, έσφαξε και εθυσίασε τον τριετή μόσχον και η Αννα η μητέρα του παιδίου επλησίασε προς τον Ηλί

Α Βασ. 1 ,26 - καὶ εἶπεν· ἐν ἐμοί, κύριε· ζῇ ἡ ψυχή σου, ἐγὼ ἡ γυνὴ ἡ καταστᾶσα ἐνώπιόν σου μετὰ σοῦ ἐν τῷ προσεύξασθαι πρὸς Κύριον·

Α Βασ. 1,26 - και του είπε· "παρατηρήσατέ με, κύριε όσον είναι αληθινόν ότι σεις είσθε ο Ηλί, άλλο τόσον είναι αληθινόν ότι εγώ είμαι η γυναίκα εκείνη, η οποία ευρέθη κάποτε ενώπιόν σου προσευχομένη προς τον Θεόν.

Α Βασ. 1,27 - ὑπὲρ τοῦ παιδαρίου τούτου προσηυξάμην, καὶ ἔδωκέ μοι Κύριος τὸ αἴτημά μου, ὃ ᾐτησάμην παρ᾿ αὐτοῦ·

Α Βασ. 1,27 - Δια το παιδίον τούτο εγώ τότε πρρσηυχήθην. Ο δε Κυριος εδέχθη το αίτημά μου και επραγματοποίησεν αυτό το οποίον του εζητούσα.

Α Βασ. 1,28 - κἀγὼ κιχρῶ αὐτὸν τῷ Κυρίῳ πάσας τὰς ἡμέρας, ἃς ζῇ αὐτός, χρῆσιν τῷ Κυρίῳ. Καὶ εἶπεν.

Α Βασ. 1,28 - Και εγώ σήμερον αφιερώνω αυτό το παιδί μου στον Κυριον, δια να υπηρετή τον Κυριον ισοβίως". Η Αννα είπε κατόπιν την κατωτέρω ωδήν.

Α ΒΑΣΙΛΕΙΩΝ 2

Α Βασ. 2,1 - Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου· ἐπλατύνθη ἐπ᾿ ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίᾳ σου.

Α Βασ. 2,1 - Η λυπημένη και κλονισμένη καρδία μου εστερεώθη με την δύναμιν και την χάριν του Κυρίου. Εξυψώθη η δύναμίς μου δια του Θεού μου, το στόμα μου διάπλατα ήνοιξεν εναντίον των εχθρών μου. Είμαι γεμάτη χαράν από την σωτηριώδη δύναμιν του Κυρίου.

Α Βασ. 2,2 - ὅτι οὐκ ἔστιν ἅγιος ὡς Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν· οὐκ ἔστιν ἅγιος πλήν σου.

Α Βασ. 2,2 - Διότι δεν υπάρχει απολύτως κανένας άλλος άγιος, όπως είναι ο Κυριος, ούτε κανένας άλλος δίκαιος όπως είναι ο δίκαιος Θεός μας. Δεν υπάρχει κανένας άλλος άγιος, πλην από σε Κυριε.

Α Βασ. 2,3 - μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλά, μὴ ἐξελθέτω μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν, ὅτι Θεὸς γνώσεων Κύριος καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

Α Βασ. 2,3 - Ανθρωποι, μη καυχάσθε και μη λαλήτε υπερήφανα λόγια. Ας μη εξέλθουν από το στόμα σας αλαζονικά λόγια, διότι ο Θεός είναι ο μόνος παντογνώστης Κυριος. Αυτός είναι, που φέρει εις άριστον πέρας τα τέλεια αυτού έργα.

Α Βασ. 2,4 - τόξον δυνατῶν ἠσθένησε, καὶ ἀσθενοῦντες περιεζώσαντο δύναμιν·

Α Βασ. 2,4 - Δυνατών πολεμιστών τα τόξα απεδείχθησαν ανίσχυρα, ενώ εξ αντιθέτου άνθρωποι ασθενείς και αδύνατοι περιεζώσθησαν και απέκτησαν δύναμιν.

Α Βασ. 2,5 - πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν· ὅτι στεῖρα ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.

Α Βασ. 2,5 - Ανθρωποι πλούσιοι εις υλικά αγαθά επτώχυναν και επείνασαν, ενώ άνθρωποι πτωχοί, οι οποίοι επεινούσαν, έγιναν πλούσιοι τόσον πολύ, ώστε εγκατεστάθησαν εις εύφορον χώραν. Υπήρξε στείρα, η οποία εγέννησε πολλά παιδιά και εξ αντιθέτου υπήρξε πολύτεκνος με πολλά παιδιά, η οποία εν τέλει έμεινε μόνη της και απωρφανισμένη,

Α Βασ. 2,6 - Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει·

Α Βασ. 2,6 - Ο Θεός είναι ο κύριος του θανάτου και της ζωής. Αυτός θανατώνει και αυτός ζωογονεί, αυτός κατεβάζει τους ανθρώπους στον τάφον και αυτός τους επαναφέρει πάλιν εις την ζωήν.

Α Βασ. 2,7 - Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ.

Α Βασ. 2,7 - Ο Κυριος είναι εκείνος ο οποίος καθιστά πτωχούς τους πλουσίους και κάμνει πλουσίους τους πτωχούς. Ταπεινώνει και ανυψώνει.

Α Βασ. 2,8 - ἀνιστᾷ ἀπὸ γῆς πένητα καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχὸν καθίσαι μετὰ δυναστῶν λαοῦ καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς.

Α Βασ. 2,8 - Αυτός ανεγείρει από την γην τον κατάκοιτον πτωχόν· πεινώντα και στερούμενον, που κοιμάται εις την κοπριάν, τον ανυψώνει και τον ενθρονίζει ως ισχυράν μεταξύ των ισχυρών της γης. Αυτός αναδεικνύει τους πτωχούς και αποκλήρους κληρονόμους θρόνων ενδόξων.

Α Βασ. 2,9 - διδοὺς εὐχὴν τῷ εὐχομένῳ καὶ εὐλόγησεν ἔτη δικαίου· ὅτι οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνήρ,

Α Βασ. 2,9 - Αυτός είναι εκείνος, ο οποίος εκπληρώνει το αίτημα του ευσεβούς. Αυτός επλήθυνε τα έτη της ζωής του δικαίου δυνατός εις την πραγματικότητα δεν είναι εκείνος, ο οποίος έχει σωματικήν δύναμιν.

Α Βασ. 2,10 - Κύριος ἀσθενῆ ποιήσει ἀντίδικον αὐτοῦ, Κύριος ἅγιος. μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, ἀλλ᾽ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν τὸν Κύριον καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν, αὐτὸς κρινεῖ ἄκρα γῆς, καὶ δίδωσιν ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ.

Α Βασ. 2,10 - Ο Κυριος καθιστά ανίσχυρον τον οιονδήποτε εχθρόν του. Ο Κυριος είναι ο μόνος άγιος. Λοιπόν, ας μη καυχάται ο σοφός με την σοφίαν αυτού ούτε ο δυνατός με την δύναμίν του, ούτε ο πλούσιος δια τον πλούτον του. Αλλά στούτο πρέπει να καυχάται ο συνετός άνθρωπος, στο γεγονός ότι γνωρίζει και σκέπτεται τον Κυριον και προ παντός στο ότι εφαρμόζει δικαιοσύνην εν μέσω των άλλων ανθρώπων. Ο Κυριος ανέβη στους ουρανούς και από εκεί εξαπέλυσε βροντάς και κεραυνούς. Αυτός κρίνει και δικάζει την οικουμένην μέχρι των περάτων της γης. Διδει δύναμιν στους βασιλείς μας, αυτός μεγαλώνει την δύναμιν του βασιλέως, τον οποίον αυτός θα έχη χρίσει”.

Α Βασ. 2,11 - Καὶ κατέλιπεν αὐτὸν ἐκεῖ ἐνώπιον Κυρίου καὶ ἀπῆλθεν εἰς Ἀρμαθαίμ, καὶ τὸ παιδάριον ἦν λειτουργῶν τῷ προσώπῳ Κυρίου ἐνώπιον Ἠλὶ τοῦ ἱερέως.

Α Βασ. 2,11 - Η Αννα αφήκε το παιδίον της, τον Σαμουήλ, εκεί ενώπιον της Σκηνής του Μαρτυρίου και επανήλθεν εις την Αρμαθαίμ. Το παιδίον της ανέλαβε να υπηρετή τον Θεόν κοντά στον Ηλί τον αρχιερέα.

Α Βασ. 2,12 - Καὶ οἱ υἱοὶ Ἡλὶ τοῦ ἱερέως υἱοὶ λοιμοὶ οὐκ εἰδότες τὸν Κύριον. καὶ τὸ δικαίωμα τοῦ ἱερέως παρὰ τοῦ λαοῦ, παντὸς τοῦ θύοντος·

Α Βασ. 2,12 - Οι υιοί όμως του αρχιερέως Ηλί ήσαν ελεεινοί και κακοήθεις, εστία μολύνσεως. Δεν εσέβοντο τον Κυριον και δεν εζούσαν σύμφωνα με τον θείον νόμον. Εκανον κατάχρησιν των δικαιωμάτων του ιερέως ενώπιον του λαού, ενώπιον παντός Ισραηλίτου, ο οποίος προσήρχετο να προσφέρη την θυσίαν.

Α Βασ. 2,13 - καὶ ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως, ὡς ἂν ἡψήθη τὸ κρέας, καὶ κρεάγρα τριόδους ἐν τῇ χειρὶ αὐτοῦ,

Α Βασ. 2,13 - Ο δούλος του αρχιερέως Ηλί, κατόπιν εντολής του Οφνί και Φινεές, προσήρχετο, πριν βράση το κρέας της θυσίας, κρατών εις τα χέρια του ένα μεγάλο πηρούνι με τρία δοντια.

Α Βασ. 2,14 - καὶ ἐπάταξεν αὐτὴν εἰς τὸν λέβητα τὸν μέγαν ἢ εἰς τὸ χαλκεῖον ἢ εἰς τὴν χύτραν· καὶ πᾶν, ὃ ἐὰν ἀνέβη ἐν τῇ κρεάγρᾳ, ἐλάμβανεν ἑαυτῷ ὁ ἱερεύς· κατὰ τάδε ἐποίουν παντὶ Ἰσραὴλ τοῖς ἐρχομένοις θῦσαι Κυρίῳ ἐν Σηλὼμ.

Α Βασ. 2,14 - Εβύθιζε το πηρούνι στον μεγάλον λέβητα η εις την χαλκίνην χύτραν η εις την μικροτέραν χύτραν, και κάθε τι το οποίον ήρπαζε το πηρούνι, ο δούλος το έπαιρνε δια τον ιερέα τον κύριόν του. Κατά πορόμοιον τρόπον οι υιοί του Ηλί εφέροντο προς κάθε Ισραηλίτην, ο οποίος προσήρχετο να θυσιάση εις Σηλώμ.

Α Βασ. 2,15 - καὶ πρὶν θυμιαθῆναι τὸ στέαρ, ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως καὶ ἔλεγε τῷ ἀνδρὶ τῷ θύοντι· δὸς κρέας ὀπτῆσαι τῷ ἱερεῖ, καὶ οὐ μὴ λάβω παρὰ σοῦ κρέας ἑφθὸν ἐκ τοῦ λέβητος.

Α Βασ. 2,15 - Πριν δε τεθή το λίπος των θυσιαζομένων ζώων στο θυσιαστήριον, δια να ανέλθη ως θυμίαμα ο καπνός από αυτό, ήρχετο ο δούλος του ιερέως και έλεγεν στον άνδρα, ο οποίος προσέφερε την θυσίαν· “δος μου κρέας να ψήσωμε δια τον ιερέα και δεν θα πάρω από σένα κρέας, το οποίον βράζει στον λέβητα”.

Α Βασ. 2,16 - καὶ ἔλεγεν ὁ ἀνὴρ ὁ θύων· θυμιαθήτω πρῶτον, ὡς καθήκει, τὸ στέαρ, καὶ λάβε σεαυτῷ ἐκ πάντων, ὧν ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ εἶπεν· οὐχί, ὅτι νῦν δώσεις, καὶ ἐὰν μή, λήψομαι κραταιῶς.

Α Βασ. 2,16 - Ο δε Ισραηλίτης ο οποίος προσέφερε την θυσίαν έλεγεν· “ας καή πρώτα το λίπος επάνω στο θυσιαστήριον, όπως ο Θεός διατάσσει, και έπειτα πάρε από όλα όσα επιθυμεί η ψυχή σου”. “Οχι, απαντούσε ο δούλος. Τωρα θα μου δώσης. Και αν υποτεθή ότι δεν μου δώσης, εγώ θα το πάρω δια της βίας”.

Α Βασ. 2,17 - καὶ ἦν ἡ ἁμαρτία ἐνώπιον Κυρίου τῶν παιδαρίων μεγάλη σφόδρα, ὅτι ἠθέτουν τὴν θυσίαν Κυρίου.

Α Βασ. 2,17 - Αυτό ήτο ενώπιον του Κυρίου αμαρτία των υπηρετών των ιερέων, πάρα πολύ μεγάλη, διότι καταφρονούσαν την θυσίαν του Κυρίου και ασεβούσαν προς αυτόν τον Κυριον.

Α Βασ. 2,18 - καὶ Σαμουὴλ ἦν λειτουργῶν ἐνώπιον Κυρίου παιδάριον περιεζωσμένον ἐφοὺδ βάρ,

Α Βασ. 2,18 - Το παιδίον Σαμουήλ προσέφερε τας υπηρεσίας του προς τον Κυριον· ήτο δε εζωσμένον με ένα λινόν εφούδ.

Α Βασ. 2,19 - καὶ διπλοΐδα μικρὰν ἐποίησεν αὐτῷ ἡ μήτηρ αὐτοῦ καὶ ἀνέφερεν αὐτῷ ἐξ ἡμερῶν εἰς ἡμέρας ἐν τῷ ἀναβαίνειν αὐτὴν μετὰ τοῦ ἀνδρὸς αὐτῆς θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν.

Α Βασ. 2,19 - Εκτός τούτου, η μητέρα του είχε κατασκευάσει δι' αυτόν ένα μικρόν επενδυτήν, τον οποίον ανανέωνε κάθε έτος φέρουσα καινούργιον, όταν ήρχετο μαζή με τον σύζυγόν της, δια να προσφέρη την θυσίαν.

Α Βασ. 2,20 - καὶ εὐλόγησεν Ἡλὶ τὸν Ἑλκανὰ καὶ τὴν γυναῖκα αὐτοῦ λέγων· ἀποτίσαι σοι Κύριος σπέρμα ἐκ τῆς γυναικὸς ταύτης ἀντὶ τοῦ χρέους, οὗ ἔχρησας τῷ Κυρίῳ. καὶ ἀπῆλθεν ὁ ἄνθρωπος εἰς τὸν τόπον αὐτοῦ,

Α Βασ. 2,20 - Ο Ηλί, ο αρχιερεύς, ηυλόγησε τον Ελκανά και την γυναίκα του λέγων· "είθε ο Κυριος να σου δώση πολλά παιδιά από την γυναίκα αυτήν αντί του τάματος, το οποίον έδωκες εις αυτόν, αντί του παιδιού σας τούτου". Ο Ελκανά επέστρεψεν εις την πατρίδα του την Αρμαθαίμ.

Α Βασ. 2,21 - καὶ ἐπεσκέψατο Κύριος τὴν Ἄνναν, καὶ ἔτεκεν ἔτι τρεῖς υἱοὺς καὶ δύο θυγατέρας. καὶ ἐμεγαλύνθη τὸ παιδάριον Σαμουὴλ ἐνώπιον Κυρίου.

Α Βασ. 2,21 - Ο Κυριος επεσκέφθη και πάλιν την ευσεβή Ανναν. Ετσι δε αυτή απέκτησε τρεις ακόμη υιούς και δύο θυγατέρας. Το παιδίον Σαμουήλ εμεγάλωνεν ενώπιον της Σκηνής του Μαρτυρίου.

Α Βασ. 2,22 - Καὶ Ἡλὶ πρεσβύτης σφόδρα· καὶ ἤκουσεν ἃ ἐποίουν οἱ υἱοὶ αὐτοῦ τοῖς υἱοῖς Ἰσραήλ,

Α Βασ. 2,22 - Ο Ηλί, ο αρχιερεύς, εγήρασε πλέον πολύ, επληροφορείτο δε εκείνα, τα οποία έκανον οι υιοί του μεταξύ των Ισραηλιτών.

Α Βασ. 2,23 - καὶ εἶπεν αὐτοῖς· ἱνατί ποιεῖτε κατὰ τὸ ῥῆμα τοῦτο, ὃ ἐγὼ ἀκούω ἐκ στόματος παντὸς τοῦ λαοῦ Κυρίου;

Α Βασ. 2,23 - Ελεγε δε προς τα παιδιά του· "διατί πράττετε αυτό το κακόν, το οποίον πληροφορούμαι από το στόμα όλου του λαού του Κυρίου;

Α Βασ. 2,24 - μή, τέκνα, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω· μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθαὶ αἱ ἀκοαί, ἃς ἐγὼ ἀκούω, τοῦ μὴ δουλεύειν λαὸν Θεῷ.

Α Βασ. 2,24 - Μη, παιδιά μου, μη πράττετε αυτά, διότι όσα ακούω δια σας δεν είναι καθόλου καλά και τιμητικά. Μη φέρεσθε έτσι, διότι δεν είναι καθόλου καλαί αι πληροφορίαι, τας οποίας εγώ ακούω δια την κακήν συμπεριφοράν σας και επί πλέον γίνονται σκάνδαλον στον λαόν, ώστε να μη σέβωνται και να μη υπηρετούν τον Θεόν.

Α Βασ. 2,25 - ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται ὑπὲρ αὐτοῦ πρὸς Κύριον· καὶ ἐὰν τῷ Κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται ὑπὲρ αὐτοῦ; καὶ οὐκ ἤκουον τῆς φωνῆς τοῦ πατρὸς αὐτῶν, ὅτι βουλόμενος ἐβούλετο Κύριος διαφθεῖραι αὐτούς.

Α Βασ. 2,25 - Εάν ένας άνθρωπος πταίση απέναντι ενός άλλου, είναι δυνατόν να προσευχηθούν άλλοι δια τον πταίστην και να ζητήσουν συγχώρησιν από τον Κυριον δι' αυτόν. Εάν όμως κανείς αμαρτήση απέναντι του Κυρίου, ποιός είναι εκείνος ο οποίος θα προσευχηθή δι' αυτόν;” Αλλά τα παιδιά του Ηλί δεν ήκουον τας συμβουλάς του πατρός των. Εσκληρύνοντο εις την ασέβειάν των. Ο δε Κυριος είχε λάβει οριστικήν απόφασιν να καταστρέψη αυτούς.

Α Βασ. 2,26 - καὶ τὸ παιδάριον Σαμουὴλ ἐπορεύετο καὶ ἐμεγαλύνετο καὶ ἦν ἀγαθὸν μετά Κυρίου καὶ μετὰ ἀνθρώπων.

Α Βασ. 2,26 - Ο νεαρός Σαμουήλ, όσον παρήρχετο ο χρόνος, τόσον και εμεγάλωνε· και ήτο ενάρετος ενώπιον Θεού και ανθρώπων.

Α Βασ. 2,27 - καὶ ἦλθεν ὁ ἄνθρωπος Θεοῦ πρὸς Ἠλὶ καὶ εἶπε· τάδε λέγει Κύριος· ἀποκαλυφθεὶς ἀπεκαλύφθην πρὸς οἶκον τοῦ πατρός σου ὄντων αὐτῶν ἐν γῇ Αἰγύπτῳ δούλων τῷ οἴκῳ Φαραὼ

Α Βασ. 2,27 - Κατά τον καιρόν εκείνον ενας προφήτης του Θεού ήλθε προς τον Ηλί και του είπε· “αυτά λέγει ο Κυριος. Εγώ απεκαλύφθην βεβαίως στους προγόνους σου, οι οποίοι ανήκουν εις την πατρικήν σου οικογένειαν, στον Ααρών και τον Μωϋσήν, όταν ο ισραηλιτικός λαός ευρίσκετο ακόμη εις την Αίγυπτον, δούλος του Φαραώ και στον οίκον του Φαραώ.

Α Βασ. 2,28 - καὶ ἐξελεξάμην τὸν οἶκον τοῦ πατρός σου ἐκ πάντων τῶν σκήπτρων Ἰσραὴλ ἐμοὶ ἱερατεύειν καὶ ἀναβαίνειν ἐπὶ θυσιαστήριόν μου καὶ θυμιᾶν θυμίαμα καὶ αἴρειν ἐφοὺδ καὶ ἔδωκα τῷ οἴκῳ τοῦ πατρός σου τὰ πάντα τοῦ πυρὸς υἱῶν Ἰσραὴλ εἰς βρῶσιν·

Α Βασ. 2,28 - Μεταξύ δε όλου του Ισραηλιτικού λαού εξέλεξα από την ιδικήν σου φυλήν τους ιερείς οι οποίοι θα έπρεπε να με υπηρετούν και έτσι να έχουν το δικαίωμα να ανέρχωνται τας βαθμίδας του θυσιαστηρίου των ολοκαυτωμάτων, να θυμιούν στο θυσιαστήριον των θυμιαμάτων και να φέρουν το ιερατικόν ένδυμα εφούδ. Επίσης εις την πατρικήν σου φυλήν έδωσα εντολήν να περιέρχονται προς διατροφήν των τα υπόλοιπα από ωρισμένας θυσίας των Ισραηλιτών, αι οποίαι θυσίαι περνούν από το πυρ του θυσιαστηρίου των ολοκαυτωμάτων.

Α Βασ. 2,29 - ἱνατί ἐπέβλεψας ἐπὶ τὸ θυμίαμά μου καὶ εἰς τὴν θυσίαν μου ἀναιδεῖ ὀφθαλμῷ καὶ ἐδόξασας τοὺς υἱούς σου ὑπὲρ ἐμὲ ἐνευλογεῖσθαι ἀπαρχῆς πάσης θυσίας τοῦ Ἰσραὴλ ἔμπροσθέν μου;

Α Βασ. 2,29 - Συ όμως διατί εκύτταξες όχι με ευλάβειαν αλλά με αναιδές βλέμμα εις τα προσφερόμενα ολοκαυτώματα και εις τα θυμιάματα επάνω στο θυσιαστήριον; Διατί επροτίμησες και ετίμησες περισσότερον τους υιούς σου από εμέ και διατί ανέχεσαι να γεύωνται από τας προσφερομένας θυσίας των Ισραηλιτών, ευθύς αμέσως μόλις αυταί παρουσιάζονται, πριν ακόμη προσφερθούν στο θυσιαστήριον των ολοκαυτωμάτων;

Α Βασ. 2,30 - διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· εἶπα· ὁ οἶκός σου καὶ ὁ οἶκος τοῦ πατρός σου διελεύσεται ἐνώπιόν μου ἕως αἰῶνος· καὶ νῦν φησὶ Κύριος· μηδαμῶς ἐμοί, ὅτι ἀλλ᾿ ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται.

Α Βασ. 2,30 - Δια την χλιαράν και ασεβή συμπεριφοράν σου αυτά λέγει Κυριος, ο Θεός του Ισραήλ· Σου είπα άλλοτε και υπεσχέθην ότι οι πατρικοί σου πρόγονοι, επομένως και ο ιδικός σου οίκος, θα είναι πάντοτε μαζή μου δια να με υπηρετούν. Αλλά τώρα ο Κυριος λέγει· Κατ' ουδένα λόγον και τρόπον δεν ανέχομαι πλέον αυτό. Αλλά εγώ θα δοξάζω εκείνους, που με με δοξάζουν και με σέβωνται, και θα καταφρονήσω και θα εξουθενώσω εκείνους, οι οποίοι με καταφρονούν.

Α Βασ. 2,31 - ἰδοὺ ἔρχονται ἡμέραι καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου καὶ τὸ σπέρμα οἴκου πατρός σου,

Α Βασ. 2,31 - Θα έλθη καιρός, κατά τον οποίον θα εξολοθρεύσω τους απογόνους σου και τους απογόνους της οικογενείας σου,

Α Βασ. 2,32 - καὶ οὐκ ἔσται σοι πρεσβύτης ἐν οἴκῳ μου πάσας τὰς ἡμέρας·

Α Βασ. 2,32 - και κανένας στο μέλλον από τους απογόνους σου δεν θα φθάνη εις γεροντικήν ηλικίαν, άλλα θα αποθνήσκη πολύ ενωρίς.

Α Βασ. 2,33 - καὶ ἄνδρα οὐκ ἐξολοθρεύσω σοι ἀπὸ τοῦ θυσιαστηρίου μου ἐκλείπειν τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ καταῤῥεῖν τὴν ψυχὴν αὐτοῦ, καὶ πᾶς περισσεύων οἴκου σου πεσοῦνται ἐν ῥομφαίᾳ ἀνδρῶν.

Α Βασ. 2,33 - Εάν δε και δεν εξολοθρεύσω κάποιον άνδρα από εκείνους, που υπηρετούν στο θυσιαστήριόν μου, τούτο θα οφείλεται στο ότι αυτού θα έχουν σβήσει οι οφθαλμοί και θα έχη καταρρεύσει η ζωη του. Κατά κανόνα όμως όλοι οι απόγονοι του οίκου σου θα πέσουν από κτυπήματα ρομφαίας.

Α Βασ. 2,34 - καὶ τοῦτό σοι τὸ σημεῖον, ὃ ἥξει ἐπὶ τοὺς δύο υἱούς σου, Ὀφνὶ καὶ Φινεές· ἐν μιᾷ ἡμέρᾳ ἀποθανοῦνται ἀμφότεροι.

Α Βασ. 2,34 - Απόδειξις και επικύρωσις αυτών, τα οποία σου λέγω, θα είναι αυτό που θα επέλθη εναντίον των δύο παιδιών σου, του Οφνί και του Φινεές. Εις μίαν και την αυτήν ημέραν θα αποθάνουν και οι δύο.

Α Βασ. 2,35 - καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστόν, ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ μου καὶ τὰ ἐν τῇ ψυχῇ μου ποιήσει· καὶ οἰκοδομήσω αὐτῷ οἶκον πιστόν, καὶ διελεύσεται ἐνώπιον χριστοῦ μου πάσας τὰς ἡμέρας.

Α Βασ. 2,35 - Εγώ δε θα αναδείξω δια τον εαυτόν μου αρχιερέα πιστόν εις εμέ ο οποίος θα εφαρμόση όλα όσα έχω εις την καρδίαν μου. Θα αναδείξω τον οίκον του πιστόν και αφωσιωμένον εις εμέ. Και αυτός θα διέρχεται όλας τας ημέρας της ζωής του πλησίον του χρισμένου βασιλέως.

Α Βασ. 2,36 - καὶ ἔσται ὁ περισσεύων ἐν οἴκῳ σου ἥξει προσκυνεῖν αὐτῷ ὀβολοῦ ἀργυρίου λέγων· παράῤῥιψόν με ἐπὶ μίαν τῶν ἱερατειῶν σου

φαγεῖν ἄρτον.

Α Βασ. 2,36 - Εκείνος δε ο οποίος θα απολειφθή από τους απογόνους σου, θα έλθη στοιαύτην αξιοδάκρυτον κατάστασιν, ώστε θα μεταβή και θα προσκυνήση αυτόν τον αρχιερέα ζητών υπηρεσίαν αντί ελαχίστης αμοιβής, αντί ενός αργυρού οβολού λέγων· Πέταξέ με εις κάποιαν ιερατικήν υπηρεσίαν, δια να τρώγω και εγώ έστω και άρτον μόνον".

Α ΒΑΣΙΛΕΙΩΝ 3

Α Βασ. 3,1 - Καὶ τὸ παιδάριον Σαμουὴλ ἦν λειτουργῶν τῷ Κυρίῳ ἐνώπιον Ἡλὶ τοῦ ἱερέως· καὶ ῥῆμα Κυρίου ἦν τίμιον ἐν ταῖς ἡμέραις ἐκείναις, οὐκ ἦν ὅρασις διαστέλλουσα.

Α Βασ. 3,1 - Ο δε νεαρός Σαμουήλ εξηκολούθει να υπηρετή στον ναόν του Κυρίου με ευλάβειαν και σεμνότητα, καθοδηγούμενος και παρακολουθούμενος από τον αρχιερέα Ηλί. Ο προφητικός λόγος κατά την εποχήν εκείνην ήτο σπάνιος, δεν υπήρχε δε και προφητεία δι' οραμάτων, η οποία να διατάσση τα δέοντα και να ζεχωρίζη ρητώς το ορθόν από του ψεύδους.

Α Βασ. 3,2 - καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ Ἡλὶ ἐκάθευδεν ἐν τῷ τόπῳ αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἤρξαντο βαρύνεσθαι, καὶ οὐκ ἠδύναντο βλέπειν.

Α Βασ. 3,2 - Ο Ηλί κατά την ιστορικήν δι' αυτόν εκείνην ημέραν εκοιμάτο στον τόπον, όπου συνήθως έμενε. Οι Οφθαλμοί του, λόγω της γεροντικής ηλικίας, ήρχισαν να χάνουν το φως των, ώστε να μη δύναται πλέον να βλέπη καθαρά.

Α Βασ. 3,3 - καὶ ὁ λύχνος τοῦ Θεοῦ πρὶν ἐπισκευασθῆναι, καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ, οὗ ἡ κιβωτὸς τοῦ Θεοῦ.

Α Βασ. 3,3 - Ητο η ώρα, κατά την οποίαν η επτάφωτος λυχνία έκαιεν ακόμη, ο δε Σαμουήλ εκοιμάτο εις κάποιο άκρον του ναού, εντός του οποίου υπήρχεν η Κιβωτός του Θεού.

Α Βασ. 3,4 - καὶ ἐκάλεσε Κύριος· Σαμουὴλ Σαμουήλ· καὶ εἶπεν· ἰδοὺ ἐγώ.

Α Βασ. 3,4 - Ο Κυριος εκάλεσε τον Σαμουήλ και είπε· "Σαμουήλ, Σαμουήλ". Ο δε Σαμουήλ απήντησεν· "ιδού εγώ, κύριε".

Α Βασ. 3,5 - καὶ ἔδραμε πρὸς Ἡλὶ καὶ εἶπεν· ἰδοὺ ἐγώ, ὅτι κέκληκάς με· καὶ εἶπεν· οὐ κέκληκά σε, ἀνάστρεφε, κάθευδε· καὶ ἀνέστρεψε καὶ ἐκάθευδε.

Α Βασ. 3,5 - Ετρεξε προς τον Ηλί και του είπεν· "ιδού εγώ είμαι παρώώ· ήλθα, διότι με εκάλεσες". Ο Ηλί απήντησε· "δεν σε εκάλεσα· γύρισε πίσω και κοιμήσου". Επέστρεψε και εκοιμήθη.

Α Βασ. 3,6 - καὶ προσέθετο Κύριος καὶ ἐκάλεσε· Σαμουὴλ Σαμουήλ· καὶ ἐπορεύθη πρὸς Ἠλὶ τὸ δεύτερον καὶ εἶπεν· ἰδοὺ ἐγώ, ὅτι κέκληκάς με· καὶ εἶπεν· οὐ κέκληκά σε, ἀνάστρεφε, κάθευδε·

Α Βασ. 3,6 - Ο Κυριος και πάλιν εκάλεσε τον Σαμουήλ λέγων· "Σαμουήλ, Σαμουήλ". Ο Σαμουήλ νομίσας ότι ο Ηλί τον εκάλεσε, παρουσιάσθη δευτέραν φοράν προς αυτόν και είπε· "ιδού εγώ, ήλθον διότι με εκάλεσες". Είπεν όμως εις αυτόν ο Ηλί· "όχι, δεν σε εκάλεσα, γύρισε και κοιμήσου πάλιν".

Α Βασ. 3,7 - καὶ Σαμουὴλ πρὶν ἢ γνῶναι Θεὸν καὶ ἀποκαλυφθῆναι αὐτῷ ῥῆμα Κυρίου.

Α Βασ. 3,7 - Αυτά έγιναν πριν η ο Σαμουήλ γνωρίση σαφώς τον καλούντα Θεόν, και πριν λάβη καμμίαν αποκάλυψιν εκ μέρους του Κυρίου.

Α Βασ. 3,8 - καὶ προσέθετο Κύριος καλέσαι Σαμουὴλ ἐν τρίτῳ· καὶ ἀνέστη καὶ ἐπορεύθη πρὸς Ἠλὶ καὶ εἶπεν· ἰδοὺ ἐγώ, ὅτι κέκληκάς με. καὶ ἐσοφίσατο Ἠλὶ ὅτι Κύριος κέκληκε τὸ παιδάριον,

Α Βασ. 3,8 - Δια τρίτην πάλιν φοράν ο Κυριος προσεκάλεσε τον Σαμουήλ. Ο Σαμουήλ εσηκώθη, μετέβη προς τον Ηλί και είπεν· "ιδού εγώ, είμαι παρών, ήλθα διότι με προσεκάλεσες". Ο Ηλί ενόησε τότε, ότι ο Κυριος είχε καλέσει τον νεαρόν Σαμουήλ,

Α Βασ. 3,9 - καὶ εἶπεν· ἀνάστρεφε, κάθευδε, τέκνον, καὶ ἔσται ἐὰν καλέσῃ σε καὶ ἐρεῖς· λάλει, Κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου. καὶ ἐπορεύθη Σαμουὴλ καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ αὐτοῦ.

Α Βασ. 3,9 - και είπε προς αυτόν· "πήγαινε πίσω, παιδί μου, και κοιμήσου· και αν σε καλέση πάλιν η φωνή αυτή που ήκουσες, θα είπης· Λαλει, Κυριε, διότι ο δούλος σου ακούει". Ο Σαμουήλ επήγε πράγματι και εκοιμήθη πάλιν στον τόπον του.

Α Βασ. 3,10 - καὶ ἦλθε Κύριος καὶ κατέστη καὶ ἐκάλεσεν αὐτὸν ὡς ἅπαξ καὶ ἅπαξ, καὶ εἶπε Σαμουήλ· λάλει, ὅτι ἀκούει ὁ δοῦλός σου.

Α Βασ. 3,10 - Ο δε Κυριος ήλθε, εστάθη κάπου εκεί και εκάλεσεν αυτόν, όπως και προηγουμένως, και είπεν ο Σαμουήλ· "λαλεί, διότι ο δούλος σου ακούει".

Α Βασ. 3,11 - καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· ἰδοὺ ἐγὼ ποιῶ τὰ ῥήματά μου ἐν Ἰσραήλ, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ.

Α Βασ. 3,11 - Ο Κυριος είπε προς τον Σαμουήλ· "ιδού, εγώ θα πραγματοποιήσω τα λόγιά μου ενώπιον του Ισραηλιτικού λαού κατά τέτοιον θαυμαστόν τρόπον, ώστε θα αντηχήσουν και τα δύο αυτιά παντός, ο οποίος ήθελε ακούσει αυτά.

Α Βασ. 3,12 - ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπεγερῶ ἐπὶ Ἠλὶ πάντα, ὅσα ἐλάλησα εἰς τὸν οἶκον αὐτοῦ, ἄρξομαι καὶ ἐπιτελέσω.

Α Βασ. 3,12 - Κατά την ημέραν εκείνην θα επιφέρω κατά του Ηλί όλα όσα είπα εναντίον του οίκου του. Θα αρχίσω, αλλά και θα φέρω εις πέρας, τας εναντίον αυτού τιμωρίας μου.

Α Βασ. 3,13 - καὶ ἀνήγγελκα αὐτῷ ὅτι ἐκδικῶ ἐγὼ τὸν οἶκον αὐτοῦ ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ, ὅτι κακολογοῦντες Θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτοὺς

Α Βασ. 3,13 - Εχω προαναγγείλει εις αυτόν, ότι θα τιμωρήσω την οικργένειάν του εις αιώνα τον άπαντα εξ αιτίας των αμαρτιών, που διαπράττουν οι υιοί του, διότι οι υιοί του βλασφημούν τον Θεόν, ο δε Ηλί δεν επέπληττε και δεν ενουθετούσε αυτούς, όπως έπρεπε.

Α Βασ. 3,14 - καὶ οὐδ᾿ οὕτως. ὤμοσα τῷ οἴκῳ Ἡλί· εἰ ἐξιλασθήσεται ἀδικία οἴκου Ἡλὶ ἐν θυμιάματι καὶ ἐν θυσίαις ἕως αἰῶνος.

Α Βασ. 3,14 - Δεν θα συνεχισθή όμως αυτή η κατάστασις. Ωρκίσθηκα εναντίον της οικογενείας του Ηλί και είπα· Η αμαρτία των παιδιών του Ηλί ουδέποτε θα εξιλεωθή ούτε με θυμιάματα ούτε με αναιμάκτους και αιματηράς θυσίας".

Α Βασ. 3,15 - καὶ κοιμᾶται Σαμουὴλ ἕως πρωΐ καὶ ὤρθρισε τὸ πρωΐ καὶ ἤνοιξε τὰς θύρας οἴκου Κυρίου· καὶ Σαμουὴλ ἐφοβήθη ἀπαγγεῖλαι τὴν ὅρασιν τῷ Ἡλί.

Α Βασ. 3,15 - Ο Σαμουήλ εκοιμήθη μέχρι της πρωΐας, οπότε λίαν πρωϊ εξύπνησε και ανοιξε τας θύρας του οίκου του Κυρίου. Ο Σαμουήλ εφοβήθη να ανακοινώση στον Ηλί την όρασιν και προφητείαν την οποίαν ήκουσε.

Α Βασ. 3,16 - καὶ εἶπεν Ἡλὶ πρὸς Σαμουήλ· Σαμουὴλ τέκνον· καὶ εἶπεν· ἰδοὺ ἐγώ.

Α Βασ. 3,16 - Ο Ηλί είπεν όμως προς τον Σαμουήλ· "Σαμουήλ, τέκνον μου". Και Σαμουήλ είπεν· "ιδού εγώ, κύριε, είμε παρών".

Α Βασ. 3,17 - καὶ εἶπε· τί τὸ ῥῆμα τὸ λαληθὲν πρός σε; μὴ δὴ κρύψῃς ἀπ᾿ ἐμοῦ· τάδε ποιήσαι σοι ὁ Θεὸς καὶ τάδε προσθείη, ἐὰν κρύψῃς ἀπ᾿ ἐμοῦ ῥῆμα ἐκ πάντων τῶν λόγων τῶν λαληθέντων σοι ἐν τοῖς ὠσί σου.

Α Βασ. 3,17 - Είπεν ο Ηλί· "ποίος είναι ο λόγος, τον οποίον ελάλησε προς σε ο Κυριος; Μη μου αποκρύψης τίποτε απολύτως. Θα σε τιμωρήση ο Θεός, εάν μου αποκρύψης, έστω και ένα λόγον από όλα τα λόγια, τα οποία ελαλήθησαν εις τα αυτιά σου".

Α Βασ. 3,18 - καὶ ἀπήγγειλε Σαμουὴλ πάντας τοὺς λόγους καὶ οὐκ ἔκρυψεν ἀπ᾿ αὐτοῦ. καὶ εἶπεν Ἡλί· Κύριος αὐτός, τὸ ἀγαθὸν ἐνώπιον αὐτοῦ ποιήσει.

Α Βασ. 3,18 - Ο Σαμουήλ εφανέρωσε τότε στον Ηλί όλα τα λόγια και δεν έκρυψε τίποτε από αυτόν. Είπε δε ο Ηλί· "ο Κυριος είναι αυτός και ας κάμη το καλόν και το πρέπον ενώπιόν του".

Α Βασ. 3,19 - καὶ ἐμεγαλύνθη Σαμουήλ, καὶ ἦν Κύριος μετ᾿ αὐτοῦ, καὶ οὐκ ἔπεσεν ἀπὸ πάντων τῶν λόγων αὐτοῦ ἐπὶ τὴν γῆν.

Α Βασ. 3,19 - Ο Σαμουήλ δια την αρετήν του και την σύνεσίν του έγινε μέγας και πολύς. Ο Κυριος ήτο μαζή του και τίποτε από όλα τα λόγια, τα οποία ο Σαμουήλ είπε, δεν έπεσεν εις την γην, δεν ελέχθη επί ματαίω.

Α Βασ. 3,20 - καὶ ἔγνωσαν πᾶς Ἰσραὴλ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ ὅτι πιστὸς Σαμουὴλ εἰς προφήτην τῷ Κυρίῳ.

Α Βασ. 3,20 - Ολοι δε οι Ισραηλίται, οι οποίοι κατοικούσαν από την περιοχήν Δαν και έως την περιοχήν Βηρσαβεέ, επείσθησαν ότι ο Σαμουήλ ήτο πιστός και αληθινός προφήτης του Κυρίου.

Α Βασ. 3,21 - καὶ προσέθετο Κύριος δηλωθῆναι ἐν Σηλώμ, ὅτι ἀπεκαλύφθη Κύριος πρὸς Σαμουήλ· καὶ ἐπιστεύθη Σαμουὴλ τοῦ προφήτης γενέσθαι τῷ Κυρίῳ εἰς πάντα Ἰσραὴλ ἀπ᾿ ἄκρων τῆς γῆς καὶ ἕως ἄκρων. καὶ Ἡλὶ πρεσβύτης σφόδρα, καὶ οἱ υἱοὶ αὐτοῦ πορευόμενοι ἐπορεύοντο καὶ πονηρὰ ἡ ὁδὸς αὐτῶν ἐνώπιον Κυρίου.

Α Βασ. 3,21 - Ο Κυριος επανειλημμένως εξεδήλωσε το θέλημά του εν Σηλώμ δια του Σαμουήλ, διότι απεκαλύφθη ο Κυριος προς τον Σαμουήλ. Από όλους δε τους Ισραηλίτας από το ένα άκρον της γης Παλαιστίνης έως το άλλο άκρουν έγινε πιστευτόν και αποδεκτόν ότι ο Σαμουήλ είναι προφήτης του Κυρίου. Ο Ηλί εγήρασε πλέον πολύ, οι δε υιοί του εξηκολούθουν να φέρωνται κατά τον ίδιον τρόπον και ο τρόπος της ζωής των ήτο πονηρός ενώπιον του Κυρίου.

Α ΒΑΣΙΛΕΙΩΝ 4

Α Βασ. 4,1 - Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συναθροίζονται ἀλλόφυλοι ἐπὶ Ἰσραὴλ εἰς πόλεμον· καὶ ἐξῆλθεν Ἰσραὴλ εἰς ἀπάντησιν αὐτοῖς εἰς πόλεμον καὶ παρεμβάλλουσιν ἐπὶ Ἀβενέζερ, καὶ οἱ ἀλλόφυλοι παρεμβάλλουσιν ἐν Ἀφέκ.

Α Βασ. 4,1 - Κατά τας ημέρας εκείνας οι Φιλισταίοι συνεκεντρώθησαν, δια να πολεμήσουν εναντίον των Ισραηλιτών. Οι Ισραηλίται εξήλθον από τας πόλεις των, δια να αντιπαραταχθούν και πολεμήσουν τους Φιλισταίους. Ηλθον και εστρατοπέδευσαν εις Αβενέζερ, ενώ οι Φιλισταίοι είχον στρατοπεδεύσει εις Αφέκ.

Α Βασ. 4,2 - καὶ παρατάσσονται ἀλλόφυλοι εἰς πόλεμον ἐπὶ Ἰσραήλ· καὶ ἔκλινεν ὁ πόλεμος, καὶ ἔπταισεν ἀνὴρ Ἰσραὴλ ἐνώπιον ἀλλοφύλων, καὶ ἐπλήγησαν ἐν τῇ παρατάξει ἐν ἀγρῷ τέσσαρες χιλιάδες ἀνδρῶν.

Α Βασ. 4,2 - Παρετάχθησαν οι αλλόφυλοι, οι Φιλισταίοι, εις μάχην εναντίον των Ισραηλιτών. Κατά την μάχην οι Ισραηλίται ενικήθησαν από τους

αλλοφύλους και κατά την σύγκρουσιν, η οποία έγινεν εις την πεδιάδα, εφονεύθησαν τέσσαρες χιλιάδες άνδρες από αυτούς.

Α Βασ. 4,3 - καὶ ἦλθεν ὁ λαὸς εἰς τὴν παρεμβολήν, καὶ εἶπαν οἱ πρεσβύτεροι Ἰσραήλ· κατὰ τί ἔπταισεν ἡμᾶς Κύριος σήμερον ἐνώπιον ἀλλοφύλων; λάβωμεν τὴν κιβωτὸν τοῦ Θεοῦ ἡμῶν ἐκ Σηλώμ, καὶ ἐξελθέτω ἐκ μέσου ἡμῶν, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν.

Α Βασ. 4,3 - Ο υπόλοιπος στρατός των Ισραηλιτών επανήλθεν στο στρατόπεδόν του. Οι γεροντότεροι Ισραηλίται διηρωτήθησαν αναμεταξύ των και είπαν· “διατί παρεχώρησεν ο Κυριος σήμερον να νικηθώμεν από τους Φιλισταίους; Ας παρώμεν από την Σηλώμ την ιεράν Κιβωτόν του Θεού μας και μαζή με ημάς και εν μέσω ημών ας εξέλθη και αυτή εις την μάχην κατά των Φιλισταίων. Αυτή θα μας σώση από τα χέρια των εχθρών μας”.

Α Βασ. 4,4 - καὶ ἀπέστειλεν ὁ λαὸς εἰς Σηλώμ, καὶ αἴρουσιν ἐκεῖθεν τὴν κιβωτὸν Κυρίου καθημένου Χερουβίμ· καὶ ἀμφότεροι οἱ υἱοὶ Ἡλὶ μετὰ τῆς κιβωτοῦ, Ὀφνὶ καὶ Φινεές.

Α Βασ. 4,4 - Απέστειλαν λοιπόν οι Ισροηλίται ανθρώπους εις Σηλώμ και μετέφεραν από εκεί την κιβωτόν του Κυρίου, ο οποίος εκάθητο επάνω εις τα Χερουβίμ τα ευρισκόμενα επί της Κιβωτού. Μαζή με την Κιβωτόν ηκολούθησαν και οι δύο υιοί του Ηλί, ο Οφνί και ο Φινεές.

Α Βασ. 4,5 - καὶ ἐγενήθη ὡς ἦλθεν ἡ κιβωτὸς Κυρίου εἰς τὴν παρεμβολήν, καὶ ἀνέκραξε πᾶς Ἰσραὴλ φωνῇ μεγάλῃ, καὶ ἤχησεν ἡ γῆ.

Α Βασ. 4,5 - Συνέβη δε τούτο το γεγονός. Οταν έφθασεν η Κιβωτός του Κυρίου στο στρατόπεδον των Ισραηλιτών, όλοι οι Ισραηλίται εκραύγασαν με φωνήν μεγάλην, από την οποίαν αντήχησεν όλη η γύρω περιοχή.

Α Βασ. 4,6 - καὶ ἤκουσαν οἱ ἀλλόφυλοι τῆς κραυγῆς, καὶ εἶπον οἱ ἀλλόφυλοι· τίς ἡ κραυγὴ ἡ μεγάλη αὕτη ἐν τῇ παρεμβολῇ τῶν Ἑβραίων; καὶ ἔγνωσαν ὅτι κιβωτὸς Κυρίου ἥκει εἰς τὴν παρεμβολήν.

Α Βασ. 4,6 - Οι αλλόφυλοι, οι Φιλισταίοι, όταν ήκουσαν τους αλαλαγμούς εκείνους διηρωτήθησαν μεταξύ των λέγοντες· “που οφείλεται αυτή η μεγάλη κραυγή στο στρατόπεδον των Εβραίων; Εμαθον δε ότι η Κιβωτός του Κυρίου είχεν έλθει στο στρατόπεδον εκείνων.

Α Βασ. 4,7 - καὶ ἐφοβήθησαν οἱ ἀλλόφυλοι καὶ εἶπον· οὗτοι οἱ θεοὶ ἥκασι πρὸς αὐτοὺς εἰς τὴν παρεμβολήν· οὐαὶ ἡμῖν· ἐξελοῦ ἡμᾶς, κύριε, σήμερον, ὅτι οὐ γέγονε τοιαύτη ἐχθὲς καὶ τρίτην.

Α Βασ. 4,7 - Εφοβήθησαν οι αλλόφυλοι και είπον αναμεταξύ των· “αυτοί είναι οι θεοί, οι οποίοι ήλθον προς αυτούς στο στρατόπεδόν των. Αλλοίμονον εις ημάς. Γλύτωσέ μας, Κυριε, από την σημερινήν συμφοράν, όμοια της οποίας δεν έχει γίνει εις ημάς κατά τον προηγούμενον καιρόν !

Α Βασ. 4,8 - οὐαὶ ἡμῖν· τίς ἐξελεῖται ἡμᾶς ἐκ χειρὸς τῶν θεῶν τῶν στερεῶν τούτων; οὗτοι οἱ θεοί, οἱ πατάξαντες τὴν Αἴγυπτον ἐν πάσῃ πληγῇ

καὶ ἐν τῇ ἐρήμῳ.

Α Βασ. 4,8 - Αλλοίμονον εις ημάς· ποιός θα μας απαλλάξη από τα παντοδύναμα χέρια των ισχυρών αυτών θεών; Αυτοί οι θεοί είναι εκείνοι, οι οποίοι εκτύπησαν με κάθε ειδός πληγής την Αίγυπτον και εβοήθησαν τους Ισραηλίτας εις την έρημον.

Α Βασ. 4,9 - κραταιοῦσθε καὶ γίνεσθε εἰς ἄνδρας ἀλλόφυλοι, ὅπως μὴ δουλεύσητε τοῖς Ἑβραίοις, καθὼς ἐδούλευσαν ἡμῖν, καὶ ἔσεσθε εἰς ἄνδρας καὶ πολεμήσατε αὐτούς.

Α Βασ. 4,9 - Αλλά πάρετε θάρρος, ω Φιλισταίοι. Φανήτε πραγματικοί άνδρες, δια να μη νικηθήτε και υποδουλωθήτε στους Εβραίους, όπως εκείνοι είχον υποδουλωθή εις ημάς. Φανήτε άνδρες και πολεμήσατε γενναίως εναντίον αυτών” !

Α Βασ. 4,10 - καὶ ἐπολέμησαν αὐτούς· καὶ πταίει ἀνὴρ Ἰσραὴλ, καὶ ἔφυγεν ἕκαστος εἰς σκήνωμα αὐτοῦ· καὶ ἐγένετο πληγή μεγάλη σφόδρα, καὶ ἔπεσον ἐξ Ἰσραὴλ τριάκοντα χιλιάδες ταγμάτων.

Α Βασ. 4,10 - Οι Φιλισταίοι επολέμησαν πράγματι με ανδρείαν εναντίον των Ισραηλιτών. Οι Ισραηλίται ενικήθησαν και ο καθένας από αυτούς ετράπη εις πανικόβλητον φυγήν δια το σπίτι του. Οι Ισραηλίται υπέστησαν πολύ μεγάλην συμφοράν, διότι στο πεδίον της μάχης έπεσαν τριάκοντα χιλιάδες πεζοί.

Α Βασ. 4,11 - καὶ κιβωτὸς τοῦ Θεοῦ ἐλήφθη, καὶ ἀμφότεροι οἱ υἱοὶ Ἡλὶ ἀπέθανον, Ὀφνὶ καὶ Φινεές.

Α Βασ. 4,11 - Η δε Κιβωτός του Θεού έπεσεν εις τα χέρια των Φιλισταίων. Και οι δύο δε υιοί του Ηλί, ο Οφνί και ο Φινεές, εφονεύθησαν.

Α Βασ. 4,12 - Καὶ ἔδραμεν ἀνὴρ Ἰεμιναῖος ἐκ τῆς παρατάξεως καὶ ἦλθεν εἰς Σηλὼμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τὰ ἱμάτια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

Α Βασ. 4,12 - Ενας δε ανήρ Ισραηλίτης, ανήκων εις την φυλήν του Βενιαμίν, έτρεξεν από το πεδίον της μάχης και ήλθεν εις Σηλώμ κατά την ιδίαν εκείνην ημέραν. Τα ενδύματά του ήσαν σχισμένα και χώμα ήτο επάνω εις την κεφαλήν αυτού.

Α Βασ. 4,13 - καὶ ἦλθε, καὶ ἰδοὺ Ἡλὶ ἐπὶ τοῦ δίφρου παρὰ τὴν πύλη σκοπεύων τὴν ὁδόν, ὅτι ἦν καρδία αὐτοῦ ἐξεστηκυῖα περὶ τῆς κιβωτοῦ τοῦ Θεοῦ· καὶ ὁ ἄνθρωπος εἰσῆλθεν εἰς τὴν πόλιν ἀπαγγεῖλαι, καὶ ἀνεβόησεν ἡ πόλις.

Α Βασ. 4,13 - Οταν ο άνθρωπος αυτός έφθασε, την ώραν εκείνην ο Ηλί εκάθητο επάνω εις ένα κάθισμα πλησίον της πύλης της Σκηνής, παρατηρών την οδόν, από όπου επερίμενεν αγγελίαν δια την έκβασιν της μάχης. Τον κατείχεν αγωνία, διότι η καρδία του εφοβείτο δια την Κιβωτόν του Κυρίου. Ο άνθρωπος εκείνος εισήλθεν εις την πάλιν, δια να αναγγείλη τα γεγονότα· και ανήγγειλε την συμφοράν. Ολοι οι κάτοικοι εξέβαλον γοεράς κραυγάς.

Α Βασ. 4,14 - καὶ ἤκουσεν Ἡλὶ τὴν φωνὴν τῆς βοῆς καὶ εἶπε· τίς ἡ φωνὴ τῆς βοῆς ταύτης; καὶ ὁ ἄνθρωπος σπεύσας εἰσῆλθε καὶ ἀπήγγειλε τῷ Ἡλί.

Α Βασ. 4,14 - Ο Ηλί ήκουσε την βοήν των κραυγών και ηρώτησεν· εις ποίαν αιτίαν οφείλεται ο θόρυβος αυτός των κραυγών"; Αμέσως ο άνθρωπος εκείνος έσπευσεν, ήλθε και ανεκοίνωσεν στον Ηλί τα συμβάντα.

Α Βασ. 4,15 - καὶ Ἡλὶ υἱὸς ἐνενήκοντα ἐτῶν, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπανέστησαν καὶ οὐκ ἐπέβλεπε·

Α Βασ. 4,15 - Ητο τότε ο Ηλί ενενήκοντα ετών. Οι οφθαλμοί του ήσαν απλανείς· είχεν άκαμπτον το βλέμμα και δεν έβλεπε.

Α Βασ. 4,16 - καὶ εἶπεν Ἡλὶ τοῖς ἀνδράσι τοῖς περιεστηκόσιν αὐτῷ· τίς ἡ φωνὴ τοῦ ἤχου τούτου; καὶ ὁ ἀνὴρ σπεύσας προσῆλθε πρὸς Ἡλὶ καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ ἥκων ἐκ τῆς παρεμβολῆς, κἀγὼ πέφευγα ἐκ τῆς παρατάξεως σήμερον. καὶ εἶπεν Ἡλί· τί τὸ γεγονὸς ῥῆμα, τέκνον;

Α Βασ. 4,16 - Ηρώτησε λοιπόν ο Ηλί πάλιν τους άνδρας, οι οποίοι ήσαν γύρω του· "που οφείλεται ο θόρυβος αυτών των κραυγών;" Ο αγγελιαφόρος εκείνος έσπευσεν, επλησίασε τον Ηλί και του είπε· "εγώ είμαι εκείνος, ο οποίος έχω έλθει από το στρατόπεδον, και εγώ κατώρθωσα να φύγω σήμερον από την μάχην". Τον ηρώτησεν ο Ηλί· "τι λοιπόν συνέβη, παιδί μου;"

Α Βασ. 4,17 - καὶ ἀπεκρίθη τὸ παιδάριον καὶ εἶπε· πέφευγεν ἀνὴρ Ἰσραὴλ ἐκ προσώπου ἀλλοφύλων, καὶ ἐγένετο πληγὴ μεγάλη ἐν τῷ λαῷ, καὶ ἀμφότεροι οἱ υἱοὶ σου τεθνήκασι, καὶ ἡ κιβωτὸς τοῦ Θεοῦ ἐλήφθη.

Α Βασ. 4,17 - Ο νεαρός εκείνος Ισραηλίτης απήντησεν· "οι Ισραηλίται ενικήθησαν, κατελήφθησαν από πανικόν και ετράπησαν εις φυγήν ενώπιον των αλλοφύλων. Εγινε μεγάλη συμφορά στον στρατόν, οι δύο υιοί σου απέθανον, η δε Κιβωτός περιήλθεν εις χείρας των εχθρών".

Α Βασ. 4,18 - καὶ ἐγένετο ὡς ἐμνήσθη τῆς κιβωτοῦ τοῦ Θεοῦ, καὶ ἔπεσεν ἀπὸ τοῦ δίφρου ὀπισθίως ἐχόμενος τῆς πύλης, καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ καὶ ἀπέθανεν, ὅτι πρεσβύτης ὁ ἄνθρωπος καὶ βαρύς· καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσιν ἔτη.

Α Βασ. 4,18 - Αμέσως μόλις ο άνθρωπος εκείνος ανέφερε την απώλειαν της Κιβωτού του Θεού, ο Ηλί κατελήφθη από τοιαύτην οδύνην, ώστε έπεσεν από το κάθισμά του προς τα οπίσω πλησίον της πύλης και συνετρίβη ο νώτος του και απέθανε, διότι ο Ηλί ήτο γέρων πλέον και βαρύς. Αυτός υπήρξε Κριτής του Ισραηλιτικού λαού επί είκοσιν έτη.

Α Βασ. 4,19 - Καὶ νύμφη αὐτοῦ γυνὴ Φινεὲς συνειληφυῖα τοῦ τεκεῖν· καὶ ἤκουσε τὴν ἀγγελίαν ὅτι ἐλήφθη ἡ κιβωτὸς τοῦ Θεοῦ καὶ ὅτι τέθνηκεν ὁ πενθερὸς αὐτῆς καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ ἔκλαυσε καὶ ἔτεκεν, ὅτι ἐπεστράφησαν ἐπ᾽ αὐτὴν ὠδῖνες αὐτῆς.

Α Βασ. 4,19 - Η νύμφη του Ηλί, η σύζυγος του Φινεές, ήτο έγκυος, έτοιμη να γεννήση. Οταν ήκουσε την αγγελίαν, ότι η Κιβωτός είχε κυριευθή από τους εχθρούς και ότι ο πενθερός της απέθανεν, ο δε σύζυγός της εφονεύθη, έκλαυσε και εγέννησε, διότι τότε της ήλθαν απότομα αι ωδίνες του τοκετού.

Α Βασ. 4,20 - καὶ ἐν τῷ καιρῷ αὐτῆς ἀποθνήσκει, καὶ εἶπον αὐτῇ αἱ γυναῖκες αἱ παρεστηκυῖαι αὐτῇ· μὴ φοβοῦ, ὅτι υἱὸν τέτοκας· καὶ οὐκ ἀπεκρίθη, καὶ οὐκ ἐνόησεν ἡ καρδία αὐτῆς.

Α Βασ. 4,20 - Οταν δε εγέννησε περιήλθεν εις κατάστασιν θανάτου. Αι παρευρισκόμενοι εκεί γυναίκες είπαν εις αυτήν· "μη φοβήσαι διότι εγέννησες υιόν". Εκείνη δεν απήντησε, διότι ευρίσκετο εις την επιθανάτιον αγωνίαν. Δεν εκατάλαβε τίποτε.

Α Βασ. 4,21 - καὶ ἐκάλεσε τὸ παιδάριον Οὐαὶ Βαρχαβὼθ ὑπὲρ τῆς κιβωτοῦ τοῦ Θεοῦ καὶ ὑπὲρ τοῦ πενθεροῦ αὐτῆς καὶ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς.

Α Βασ. 4,21 - Επρόλαβεν όμως και ωνόμασε το νεογέννητον παιδί "Ουαί Βαρχαβώθ", δηλαδή "έχάθη η δόξα" ! Του έδωσε δε αυτό το όνομα δια την αιχμαλωσίαν της Κιβωτού, δια τον θάνατον του πενθερού της και δια τον φόνον του συζύγου της.

Α Βασ. 4,22 - καὶ εἶπαν· ἀπῴκισται δόξα Ἰσραὴλ ἐν τῷ ληφθῆναι τὴν κιβωτὸν Κυρίου.

Α Βασ. 4,22 - Οι Ισραηλίται κατόπιν αυτών των συμφορών είπαν· "η δόξα του Ισραηλιτικού λαού έφυγε πλέον λόγω της αιχμαλωσίας της Κιβωτού του Κυρίου !"

Α ΒΑΣΙΛΕΙΩΝ 5

Α Βασ. 5,1 - Καὶ ἀλλόφυλοι ἔλαβον τὴν κιβωτὸν τοῦ Θεοῦ καὶ εἰσήνεγκαν αὐτὴν ἐξ Ἀβενεζέρ εἰς Ἄζωτον.

Α Βασ. 5,1 - Οι αλλόφυλοι, οι Φιλισταίοι, επήραν την Κιβωτόν του Κυρίου και την μετέφεραν από τον τόπον της μάχης, από την Αβενεζέρ, εις την Αζωτον, την πόλιν των.

Α Βασ. 5,2 - καί ἔλαβον ἀλλόφυλοι τὴν κιβωτὸν Κυρίου καὶ εἰσήνεγκαν αὐτὴν εἰς οἶκον Δαγὼν καὶ παρέστησαν αὐτὴν παρὰ Δαγών.

Α Βασ. 5,2 - Επήραν, λοιπόν, οι Φιλισταίοι την Κιβωτόν αυτήν του Κυρίου και την έφεραν στον ναόν του θεού των Δαγών. Την ετοποθέτησαν δε πλησίον του αγάλματος του θεού Δαγών.

Α Βασ. 5,3 - καὶ ὤρθρισαν οἱ Ἀζώτιοι καὶ εἰσῆλθον εἰς οἶκον Δαγὼν καὶ εἶδον καὶ ἰδοὺ Δαγὼν πεπτωκὼς ἐπὶ πρόσωπον αὐτοῦ ἐνώπιον κιβωτοῦ τοῦ Θεοῦ· καὶ ἤγειραν τὸν Δαγὼν καὶ κατέστησαν εἰς τὸν τόπον αὐτοῦ. καὶ

ἐβαρύνθη χεὶρ Κυρίου ἐπὶ τοὺς Ἀζωτίους καὶ ἐβασάνισεν αὐτοὺς καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας αὐτῶν, τὴν Ἄζωτον καὶ τὰ ὅρια αὐτῆς.

Α Βασ. 5,3 - Οι κάτοικοι της Αζώτου εσηκώθηκαν πολύ πρωϊ και εισήλθον στον ναόν του θεού Δαγών, προφανώς δια να προσκυνήσουν. Αίφνης είδον ότι το άγαλμα του θεού των Δαγών είχε πέσει κατά γης με το πρόσωπον στο έδαφος ενώπιον της Κιβωτού του Θεού. Εσήκωσαν το άγαλμα του θεού των και το ετοποθέτησαν πάλιν εις την προτέραν του θέσιν. Αλλά η τιμωρός χειρ του Κυρίου έπεσε βαρεία και εβασάνισεν αυτούς. Επέφερε δε νόσον στους αφεδρώνας όλων των κατοίκων της Αζώτου και των περιχώρων της.

Α Βασ. 5,4 - καὶ ἐγένετο ὅτε ὤρθρισαν τὸ πρωΐ, καὶ ἰδοὺ Δαγὼν πεπτωκὼς ἐπὶ πρόσωπον αὐτοῦ ἐνώπιον κιβωτοῦ διαθήκης Κυρίου, καὶ ἡ κεφαλὴ Δαγὼν καὶ ἀμφότερα τὰ ἴχνη χειρῶν αὐτοῦ ἀφῃρημένα ἐπὶ τά ἐμπρόσθια ἀμαφὲθ ἕκαστον, καὶ ἀμφότεροι οἱ καρποὶ τῶν χειρῶν αὐτοῦ πεπτωκότες ἐπὶ τὸ πρόθυρον, πλὴν ἡ ῥάχις Δαγὼν ὑπελείφθη.

Α Βασ. 5,4 - Οταν την πρωΐαν οι κάτοικοι της Αζώτου ηγέρθησαν και εισήλθον πάλιν στον ναόν, είδόν με έκπληξίν, των, ότι το άγαλμα του θεού των Δαγών είχε και πάλιν πέσει κατά γης ενώπιον της Κιβωτού του Θεού με το πρόσωπον στο έδαφος. Η κεφαλή δε του Δαγών και αι δύο παλάμαι των χειρών του αγάλματός του είχον αφαιρεθή και είχον αποχωρισθή από το άλλο σώμα προς τα εμπρός. Οι καρποί και αι παλάμαι των χειρών του είχον πέσει στο κατώφλι του ναού. Μονον ο κορμός του αγάλματος είχε μείνει (εις την θέσιν, όπου είχε τοποθετηθή προηγουμένως).

Α Βασ. 5,5 - διὰ τοῦτο οὐκ ἐπιβαίνουσιν οἱ ἱερεῖς Δαγὼν καὶ πᾶς ὁ εἰσπορευόμενος εἰς οἶκον Δαγὼν ἐπὶ βαθμὸν οἴκου Δαγὼν ἐν Ἀζώτῳ ἕως τῆς ἡμέρας ταύτης, ὅτι ὑπερβαίνοντες ὑπερβαίνουσι.

Α Βασ. 5,5 - Δια τούτο οι ιερείς του ναού του Δαγών και όλοι εκείνοι οι οποίοι εισέρχονται στον ναόν τούτον του θεού Δαγών, δεν πατούν στο κατώφλι του ναού τούτου, που ευρίσκεται εις την Αζωτον, μέχρι της ημέρας που γράφονται αυτά, αλλά διασκελίζουν με πολλήν προσοχήν το κατώφλι της εισόδου του ναού.

Α Βασ. 5,6 - καὶ ἐβαρύνθη ἡ χεὶρ Κυρίου ἐπὶ Ἄζωτον, καὶ ἐπήγαγεν αὐτοῖς καὶ ἐξέζεσεν αὐτοῖς εἰς τὰς ναῦς, καὶ μέσον τῆς χώρας αὐτῆς ἀνεφύησαν μύες, καὶ ἐγένετο σύγχυσις θανάτου μεγάλη ἐν τῇ πόλει.

Α Βασ. 5,6 - Εν τω μεταξύ η τιμωρός χειρ του Κυρίου έπεσε βαρύτατη στους κατοίκους της Αζώτου, τους ετιμώρησε και επέφερεν εις αυτούς εκζέματα στους αφεδρώνας, ενώ εις όλην την χώραν των ενεφανίσθησαν σμήνη ποντικών. Εξ αιτίας όλων αυτών των πληγών εις τας πόλεις των κατέλαβε την χώραν πανικός και εξηπλώθη ο θάνατος.

Α Βασ. 5,7 - καὶ εἶδον οἱ ἄνδρες Ἀζώτου ὅτι οὕτως, καὶ λέγουσιν· ὅτι οὐ καθήσεται κιβωτὸς τοῦ Θεοῦ Ἰσραὴλ μεθ᾿ ἡμῶν, ὅτι σκληρὰ χεὶρ αὐτοῦ ἐφ᾿ ἡμᾶς καὶ ἐπὶ Δαγὼν θεὸν ἡμῶν.

Α Βασ. 5,7 - Οι κάτοικοι της Αζώτου, όταν είδον ότι προσεβλήθησαν από τοιαύτην συμφοράν, συνεκεντρώθησαν και είπαν· “δεν πρέπει να παραμείνη η Κιβωτός του Θεού του Ισραήλ μαζή μας, διότι έπεσεν εναντίον μας βαρεία η τιμωρός χειρ του Θεού και εναντίον και αυτού ακόμη του θεού μας Δαγών”.

Α Βασ. 5,8 - καὶ ἀποστέλλουσι καὶ συνάγουσι τοὺς σατράπας τῶν ἀλλοφύλων πρὸς αὐτοὺς καὶ λέγουσι· τί ποιήσωμεν τῇ κιβωτῷ Θεοῦ Ἰσραήλ; καὶ λέγουσιν οἱ Γεθαῖοι· μετελθέτω κιβωτὸς τοῦ Θεοῦ πρὸς ἡμᾶς· καὶ μετῆλθε κιβωτὸς τοῦ Θεοῦ Ἰσραὴλ εἰς Γέθ.

Α Βασ. 5,8 - Απέστειλαν λοιπόν ανθρώπους και προσεκάλεσαν εις σύσκεψιν τους άρχοντας των Φιλισταίων και τους ηρώτησαν· “τι θα κάνωμεν σχετικώς με την Κιβωτόν του Θεού του Ισραηλιτικού λαού”; Οι κάτοικοι της Γεθ απήντησαν· “ας μεταφερθή η Κιβωτός του Θεού εις την πόλιν μας”. Πράγματι η Κιβωτός του Θεού μετεφέρθη εις την πόλιν Γέθ.

Α Βασ. 5,9 - καὶ ἐγενήθη μετὰ τὸ μετελθεῖν αὐτὴν καὶ γίνεται χεὶρ Κυρίου τῇ πόλει, τάραχος μέγας σφόδρα, καὶ ἐπάταξε τοὺς ἄνδρας τῆς πόλεως ἀπὸ μικροῦ ἕως μεγάλου καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας αὐτῶν, καὶ ἐποίησαν οἱ Γεθαῖοι ἑαυτοῖς ἕδρας.

Α Βασ. 5,9 - Αλλά συνέβη τότε τούτο το γεγονός· όταν αυτή μετεφέρθη εκεί, έπεσε βαρεία η τιμωρός χειρ του Κυρίου εναντίον των κατοίκων της πόλεως και μεγάλη αναταραχή συνέβη μεταξύ των, διότι προσέβαλε δια νόσου ο Κυριος τους αφεδρώνας των. Δια τούτο οι κάτοικοι της Γεθ κατεσκεύασαν ειδικά καθίσματα, δια να κάθωνται.

Α Βασ. 5,10 - καὶ ἐξαποστέλλουσι τὴν κιβωτὸν τοῦ Θεοῦ εἰς Ἀσκάλωνα. καὶ ἐγενήθη ὡς εἰσῆλθε κιβωτὸς Θεοῦ εἰς Ἀσκάλωνα, καὶ ἐβόησαν οἱ Ἀσκαλωνῖται λέγοντες· τί ἀπεστρέψατε τὴν κιβωτὸν τοῦ Θεοῦ Ἰσραὴλ πρὸς ἡμᾶς θανατῶσαι ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν;

Α Βασ. 5,10 - Εστειλαν τότε την Κιβωτόν του Θεού εις την πόλιν Ασκάλωνα. Οταν όμως η Κιβωτός του Θεού εισήλθεν εις την Ασκάλωνα, εφώναξαν οι κάτοικοι της Ασκάλωνος λέγοντες· “διατί εστείλατε την Κιβωτόν του Θεού του Ισραήλ εις ημάς; Δια να θανατώσετε ημάς και όλον τον λαόν μας;”

Α Βασ. 5,11 - καὶ ἐξαποστέλλουσι καὶ συνάγουσι τοὺς σατράπας τῶν ἀλλοφύλων καὶ εἶπον· ἐξαποστείλατε τὴν κιβωτὸν τοῦ Θεοῦ Ἰσραήλ, καὶ καθισάτω εἰς τὸν τόπον αὐτῆς καὶ οὐ μὴ θανατώσῃ ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν·

Α Βασ. 5,11 - Απέστειλαν λοιπόν αγγελιαφόρους και προσεκάλεσαν τους σατράπας των Φιλισταίων και είπαν· “πάρετε και απομακρύνατε την Κιβωτόν του Θεού του Ισραήλ και ας σταλή αυτή να τοποθετηθή στον τόπον της, δια να διαφύγωμεν έτσι τον θάνατον ημείς και ο λαός μας.

Α Βασ. 5,12 - ὅτι ἐγενήθη σύγχυσις ἐν ὅλῃ τῇ πόλει βαρεῖα σφόδρα, ὡς εἰσῆλθε κιβωτὸς Θεοῦ Ἰσραὴλ ἐκεῖ, καὶ οἱ ζῶντες καὶ οὐκ ἀποθανόντες ἐπλήγησαν εἰς τὰς ἕδρας, καὶ ἀνέβη ἡ κραυγὴ τῆς πόλεως εἰς τὸν οὐρανόν.

Α Βασ. 5,12 - Πρέπει δε να φύγη το συντομώτερον, διότι από την στιγμήν, κατά την οποίαν η Κιβωτός του Θεού των Ισραηλιτών εισήλθεν εις την πόλιν μας, εξηπλώθη και επεκράτησε μία βαρεία και πρωτοφανής σύγχυσις και πανικός εξ αιτίας των θανάτων. Οσοι έζησαν και δεν απέθαναν, προσεβλήθησαν από νόσον στους αφεδρώνας των". Τοσον δε μεγάλη ήτο η κραυγή της πόλεως, ώστε έφθασεν έως στον ουρανόν.

Α ΒΑΣΙΛΕΙΩΝ 6

Α Βασ. 6,1 - Καὶ ἦν κιβωτὸς ἐν ἀγρῷ τῶν ἀλλοφύλων ἑπτὰ μῆνας, καὶ ἐξέζεσεν ἡ γῆ αὐτῶν μύας.

Α Βασ. 6,1 - Η Κιβωτός της Διαθήκης είχεν αφεθή στους αγρούς των Φιλισταίων επί επτά μήνας. Η χώρα των εξέβρασε ποντικούς.

Α Βασ. 6,2 - καὶ καλοῦσιν ἀλλόφυλοι τοὺς ἱερεῖς καὶ τοὺς μάντεις καὶ τοὺς ἐπαοιδοὺς αὐτῶν λέγοντες· τί ποιήσωμεν τῇ κιβωτῷ Κυρίου; γνωρίσατε ἡμῖν ἐν τίνι ἀποστελοῦμεν αὐτὴν εἰς τὸν τόπον αὐτῆς.

Α Βασ. 6,2 - Οι Φιλισταίοι τότε προσεκάλεσαν τους ιερείς, τους μάντεις και τους μάγους, οι οποίοι ψάλλουν μαγικάς ωδάς, και τους ηρώτησαν· "τι πρέπει να κάμωμεν με την Κιβωτόν του Κυρίου; Πληροφορήσατέ μας, πως πρέπει να αποστείλωμεν αυτήν στον τόπον της".

Α Βασ. 6,3 - καὶ εἶπαν· εἰ ἐξαποστέλλετε ὑμεῖς τὴν κιβωτὸν διαθήκης Κυρίου Θεοῦ Ἰσραήλ, μὴ δὴ ἐξαποστείλητε αὐτὴν κενήν, ἀλλ᾿ ἀποδιδόντες ἀπόδοτε αὐτῇ τῆς βασάνου, καὶ τότε ἰαθήσεσθε, καὶ ἐξιλασθήσεται ὑμῖν, μὴ οὐκ ἀποστῇ ἡ χεὶρ αὐτοῦ ἀφ᾿ ὑμῶν.

Α Βασ. 6,3 - Οι ιερείς, οι μάντεις και οι μάγοι απήντησαν· "εάν θα επιστρέψετε την Κιβωτόν του Κυρίου του Θεού του Ισραήλ, να μη την στείλετε κενήν, χωρίς δώρα, αλλά δια την επανόρθωσιν της ασεβούς και αναξιοπρεπούς συμπεριφοράς σας προς την Κιβωτόν, προσφέρετε προθύμως δώρα και τότε θα θεραπευθήτε και θα εξιλεωθήτε. Εάν όμως δεν ενεργήσετε έτσι, υπάρχει φόβος να μην απομακρυνθή από σας η τιμωρός χειρ του Κυρίου".

Α Βασ. 6,4 - καὶ λέγουσι· τί τὸ τῆς βασάνου ἀποδώσομεν αὐτῇ; καὶ εἶπαν· κατ᾿ ἀριθμὸν τῶν σατραπῶν τῶν ἀλλοφύλων πέντε ἕδρας χρυσᾶς, ὅτι πταῖσμα ἐν ὑμῖν καὶ τοῖς ἄρχουσιν ὑμῶν καὶ τῷ λαῷ,

Α Βασ. 6,4 - Οι Φιλισταίοι ηρώτησαν· "τι πρέπει να της προσφέρωμεν εις επανόρθωσιν της ασεβείας μας και της αναξιοπρεπούς συμπεριφοράς μας

προς την Κιβωτόν;” Εκείνοι τους είπαν· “αναλόγως με τον αριθμόν των σατραπειών θα προσφέρετε ομοιώματα εδρών χρυσών ως αφιερώματα, διότι αυτή η ενοχή βαρύνει κυρίως σας, τους άρχοντας και τον λαόν.

Α Βασ. 6,5 - καὶ μῦς χρυσοῦς ὁμοίωμα τῶν μυῶν ὑμῶν τῶν διαφθειρόντων τὴν γῆν· καὶ δώσετε τῷ Κυρίῳ δόξαν, ὅπως κουφίσῃ τὴν χεῖρα αὐτοῦ ἀφ᾿ ὑμῶν καὶ ἀπὸ τῶν θεῶν ὑμῶν καὶ ἀπὸ τῆς γῆς ὑμῶν.

Α Βασ. 6,5 - Επίσης θα προσφέρετε ως αφιερώματα χρυσά ομοιώματα ποντικών, οι οποίοι κατέστρεψαν την χώραν σας, και έτσι θα αποδώσετε την πρέπουσαν τιμήν και δόξαν στον Θεόν. Αυτός δε θα απαλύνη και θα αποσύρη την τιμωρόν χείρα του από σας, από τους θεούς σας, από την χώραν σας.

Α Βασ. 6,6 - καὶ ἵνα τί βαρύνετε τὰς καρδίας ὑμῶν, ὡς ἐβάρυνεν Αἴγυπτος καὶ Φαραὼ τὴν καρδίαν αὐτῶν; οὐχὶ ὅτε ἐνέπαιξεν αὐτοῖς, ἐξαπέστειλαν αὐτούς, καὶ ἀπῆλθον;

Α Βασ. 6,6 - Διατί σκληρύνετε τας καρδίας σας και δεν θέλετε να αποστείλετε την Κιβωτόν; Σκληρύνετε, λοιπόν, τας καρδίας σας, όπως άλλοτε οι Αιγύπτιοι και ο Φαραώ και δεν αφήκαν ελευθέρους τους Ισραηλίτας; Διατί δεν ενθυμείσθε, ότι οι Αιγύπτιοι και ο Φαραώ, αφού ο Θεός τους ετιμώρησέ με σκληράς πληγάς, ηναγκάσθησαν να αφήσουν τους Ισραηλίτας να απέλθουν ελεύθεροι;

Α Βασ. 6,7 - καὶ νῦν λάβετε καὶ ποιήσατε ἅμαξαν καινὴν καὶ δύο βόας πρωτοτοκούσας ἄνευ τῶν τέκνων καὶ ζεύξατε τὰς βόας ἐν τῇ ἁμάξῃ καὶ ἀπαγάγετε τὰ τέκνα ἀπὸ ὄπισθεν αὐτῶν εἰς οἶκον·

Α Βασ. 6,7 - Τωρα λοιπόν σεις κατασκευάσατε μίαν καινουργή άμαξαν, πάρετε δύο αγελάδες, αι οποίαι μόλις το πρώτον εγέννησαν, αλλά χωρίς τα τέκνα των. Αυτάς τας αγελάδας ζεύξατέ τας εις την άμαξαν, τα δε τέκνα των απομακρύνατε τα από αυτάς και κλείσατέ τα στον σταύλον.

Α Βασ. 6,8 - καὶ λήψεσθε τὴν κιβωτὸν καὶ θήσετε αὐτὴν ἐπὶ τὴν ἅμαξαν καὶ τὰ σκεύη τὰ χρυσᾶ ἀποδώσετε αὐτῇ τῆς βασάνου καὶ θήσετε ἐν θέματι βερσεχθὰν ἐκ μέρους αὐτῆς καὶ ἐξαποστελεῖτε αὐτὴν καὶ ἀπελάσατε αὐτήν, καὶ ἀπελεύσεται·

Α Βασ. 6,8 - Θα παρέτε την Κιβωτόν και θα την θέσετε εις την άμαξαν. Ως προς δε τα χρυσά σκεύη, τα οποία θα προσφέρετε ως αφιερώματα εις επανόρθωσιν της ασεβείας σας προς αυτήν, θα τα θέσετε εις δοχείον παραπλεύρως. Τας αγελάδας με την άμαξαν και με τα αντικείμενα τα επάνω αυτής, θα αφήσετε να φύγουν από κοντά σας θα τα αφήσετε ελεύθερα να απέλθουν.

Α Βασ. 6,9 - καὶ ὄψεσθε, εἰ εἰς ὁδὸν ὁρίων αὐτῆς πορεύσεται κατὰ Βαιθσαμύς, αὐτὸς πεποίηκεν ἡμῖν τὴν κακίαν τὴν μεγάλην ταύτην, καὶ ἐὰν

μή, καὶ γνωσόμεθα ὅτι οὐ χεὶρ αὐτοῦ ἧπται ἡμῶν, ἀλλὰ σύμπτωμα τοῦτο γέγονεν ἡμῖν.

Α Βασ. 6,9 - Θα προσέξετε δέ, εάν αι αγελάδες θα κατευθυνθούν προς την Βαιθσαμύς, προς το μέρος των Ισραηλιτών, αυτό θα σημαίνη, ότι πράγματι ο Θεός επέφερεν εναντίον σας τας καταστροφάς εκείνας τας μεγάλας. Εάν όμως δεν κατευθυνθούν πρας την περιοχήν του Ισραήλ, είναι σημείον ότι αι συμφοραί δεν προήλθον από την τιμωρόν χείρα του Θεού, αλλά συνέβησαν τυχαίως”.

Α Βασ. 6,10 - καὶ ἐποίησαν οἱ ἀλλόφυλοι οὕτω. καὶ ἔλαβον δύο βόας πρωτοτοκούσας καὶ ἔζευξαν αὐτὰς ἐν τῇ ἁμάξῃ καὶ τὰ τέκνα αὐτῶν ἀπεκώλυσαν εἰς οἶκον

Α Βασ. 6,10 - Οι Φιλισταίοι έπραξαν, όπως τους είπαν οι μάντεις και οι μάγοι. Επήραν δηλαδή δύο αγελάδας, αι οποίαι το πρώτον προ ολίγου είχον γεννήσει, έζευξαν αυτάς εις την άμαξαν, τα δε τέκνα των τα έκλεισαν εις σταύλον.

Α Βασ. 6,11 - καὶ ἔθεντο τὴν κιβωτὸν Κυρίου ἐπὶ τὴν ἅμαξαν καὶ τὸ θέμα ἐργὰβ καὶ τοὺς μῦς τοὺς χρυσοῦς.

Α Βασ. 6,11 - Εθεσαν την Κιβωτόν του Κυρίου επάνω εις την άμαξαν, όπως επίσης και το δοχείον το εργάβ, εντός του οποίου ήσαν τα χρυσά ομοιώματα των ποντικών.

Α Βασ. 6,12 - καὶ κατεύθυναν αἱ βόες ἐν τῇ ὁδῷ εἰς ὁδὸν Βαιθσαμύς, ἐν τρίβῳ ἑνὶ ἐπορεύοντο καὶ ἐκοπίων καὶ οὐ μεθίσταντο δεξιὰ οὐδὲ ἀριστερά· καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων ἐπορεύοντο ὀπίσω αὐτῆς ἕως ὁρίων Βαιθσαμύς.

Α Βασ. 6,12 - Αι αγελάδες επήραν την κατεύθυνσιν της οδού, η οποία ωδηγούσε εις την πάλιν Βαιθσαμύς. Ηκολούθουν δε πάντοτε τον ίδιον δρόμον, χωρίς να παρεκκλίνουν ούτε δεξιά ούτε αριστερά. Οι σατράπαι των Φιλισταίων ακολουθούσαν όπισθεν από την άμαξαν έως τα σύνορα της Βαιθσαμύς.

Α Βασ. 6,13 - καὶ οἱ ἐν Βαιθσαμὺς ἐθέριζον θερισμὸν πυρῶν ἐν κοιλάδι· καὶ ᾖραν ὀφθαλμοὺς αὐτῶν καὶ εἶδον κιβωτὸν Κυρίου καὶ ηὐφράνθησαν εἰς ἀπάντησιν αὐτῆς.

Α Βασ. 6,13 - Κατά την εποχήν εκείνην οι κάτοικοι της Βαιθσαμύς εθέριζον τα σιτηρά των εις την πεδιάδα. Εσήκωσαν τους οφθαλμούς των, είδον αίφνης την Κιβωτόν του Κυρίου και ευχαριστήθησαν πάρα πολύ, μόλις την αντίκρυσαν.

Α Βασ. 6,14 - καὶ ἡ ἅμαξα εἰσῆλθεν εἰς ἀγρὸν Ὡσηὲ τὸν ἐν Βαιθσαμύς, καὶ ἔστησαν ἐκεῖ παρ᾽ αὐτῇ λίθον μέγαν καὶ σχίζουσι τὰ ξύλα τῆς ἁμάξης καὶ τὰς βόας ἀνήνεγκαν εἰς ὁλοκαύτωσιν τῷ Κυρίῳ.

Α Βασ. 6,14 - Η άμαξα, συνεχίζουσα την πορείαν της, εισήλθεν στον αγρόν του Ωσηέ, που ευρίσκετο εις την περιοχήν της Βαιθσαμύς,

εσταμάτησαν δε αι αγελάδες εκεί πλησίον ενός μεγάλου λίθου. Οι κάτοικοι της Βαιθσαμύς έσχισαν τα ξύλα της αμάξης και προσέφεραν ως θυσίαν ολοκαυτώματος προς τον Κυριον τας αγελάδας αυτάς.

Α Βασ. 6,15 - καὶ οἱ Λευῖται ἀνήνεγκαν τὴν κιβωτὸν τοῦ Κυρίου καὶ τὸ θέμα ἐργὰβ μετ᾿ αὐτῆς καὶ τὰ ἐπ᾿ αὐτῆς σκεύη τὰ χρυσᾶ καὶ ἔθεντο ἐπὶ τοῦ λίθου τοῦ μεγάλου, καὶ οἱ ἄνδρες Βαιθσαμὺς ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ θυσίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῷ Κυρίῳ.

Α Βασ. 6,15 - Οι ιερείς Λευίται επήραν και έφεραν την Κιβωτόν του Κυρίου και το δοχείον, το αργάβ, με τα χρυσά αντικείμενα, που περιείχε, και έθεσαν αυτά επάνω στον μεγάλον εκείνον λίθον. Οι κάτοικοι της Βαιθσαμύς προσέφεραν κατά την ημέραν εκείνην ολοκαυτώματα και άλλας θυσίας προς τον Κυριον.

Α Βασ. 6,16 - καὶ οἱ πέντε σατράπαι τῶν ἀλλοφύλων ἑώρων καὶ ἀνέστρεψαν εἰς Ἀσκάλωνα τῇ ἡμέρᾳ ἐκείνῃ.

Α Βασ. 6,16 - Οι δε πέντε σατράπαι των Φιλισταίων, όταν είδαν αυτά, επέστρεψαν την ιδίαν ημέραν εις την πόλιν Ασκάλωνα.

Α Βασ. 6,17 - καὶ αὗται αἱ ἕδραι αἱ χρυσαῖ, ἃς ἀπέδωκαν οἱ ἀλλόφυλοι τῆς βασάνου τῷ Κυρίῳ· τῆς Ἀζώτου μίαν, τῆς Γάζης μίαν, τῆς Ἀσκάλωνος μίαν, τῆς Γὲθ μίαν, τῆς Ἀκκαρὼν μίαν.

Α Βασ. 6,17 - Τα πέντε χρυσά ομοιώματα των εδρών, το οποία οι Φιλισταίοι προσέφεραν στον Κυριον δια να απαλλαγούν από την τιμωρίαν των εξ αιτίας της ασεβείας των που έδειξαν απέναντι της Κιβωτού του Κυρίου, προήρχοντο από τας εξής πόλεις· Μια έδρα από την πόλιν Αζωτον, μια έδρα από την πόλιν Γαζαν, μία έδρα από την Ασκάλωνα, μία από την Γεθ και μία από την Ακκαρών,

Α Βασ. 6,18 - καὶ μῦς οἱ χρυσοῖ κατ᾿ ἀριθμὸν πασῶν πόλεων τῶν ἀλλοφύλων τῶν πέντε σατραπῶν ἐκ πόλεως ἐστερεωμένης καὶ ἕως κώμης τοῦ Φερεζαίου καὶ ἕως λίθου τοῦ μεγάλου, οὗ ἐπέθηκαν ἐπ᾿ αὐτοῦ τὴν κιβωτὸν διαθήκης Κυρίου, τοῦ ἐν ἀγρῷ Ὡσηὲ τοῦ Βαιθσαμυσίτου.

Α Βασ. 6,18 - Τα δε χρυσά ομοιώματα των ποντικών ήσαν εις αριθμόν ανάλογα με όλας τας πόλεις και των πέντε σατραπειών των Φιλισταίων από της πλέον ωχυρωμένης πόλεως μέχρι του ανοχυρώτου χωρίου του Φερεζαίου. Εκεί ακόμη ευρίσκεται ο μέγας λίθος, επάνω στον οποίον έθεσαν την Κιβωτόν της Διαθήκης του Κυρίου, στον αγρόν του Ωσηέ του κατοίκου της Βαιθσαμύς.

Α Βασ. 6,19 - Καὶ οὐκ ἠσμένισαν οἱ υἱοὶ Ἰεχονίου ἐν τοῖς ἀνδράσι Βαιθσαμύς, ὅτι εἶδον κιβωτὸν Κυρίου· καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑβδομήκοντα ἄνδρας, καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν, καὶ ἐπένθησεν ὁ λαός, ὅτι ἐπάταξε Κύριος ἐν τῷ λαῷ πληγὴν μεγάλην σφόδρα.

Α Βασ. 6,19 - Τα παιδιά του Ιεχονίου δεν έμειναν ικανοποιημένα με τους κατοίκους της Βαιθσαμύς διότι εκείνοι είδον την Κιβωτόν με κάποιαν περιέργειαν μάλλον και οχι με την πρέπουσαν ευσέβειαν. Δια τούτο ο Κυριος εφόνευσεν εβδομήκοντα άνδρας και πενήντα άλλας χιλιάδας ανδρών. Ο λαός κατελήφθη από μεγάλο πένθος, διότι ο Κυριος εκτύπησε τον λαόν με την μεγάλην αυτήν τιμωρίαν.

Α Βασ. 6,20 - καὶ εἶπαν οἱ ἄνδρες οἱ ἐκ Βαιθσαμύς· τίς δυνήσεται διελθεῖν ἐνώπιον Κυρίου τοῦ Θεοῦ τοῦ ἁγίου τούτου; καὶ πρὸς τίνα ἀναβήσεται κιβωτὸς Κυρίου ἐφ᾿ ἡμῶν;

Α Βασ. 6,20 - Είπαν δε οι κάτοικοι της πόλεως Βαιθσαμύς· “ποιός ημπορεί να παρουσιασθή ενώπιον του Αγίου Θεού, του Κυρίου ημών; Προς ποίον μέρος θα μεταφερθή η Κιβωτός του Κυρίου, δια να απομακρυνθή από ημάς;”

Α Βασ. 6,21 - καὶ ἀποστέλλουσιν ἀγγέλους πρὸς τοὺς κατοικοῦντας Καριαθιαρὶμ λέγοντες· ἀπεστρόφασιν ἀλλόφυλοι τὴν κιβωτὸν Κυρίου· κατάβητε καὶ ἀναγάγετε αὐτὴν πρὸς ἑαυτούς.

Α Βασ. 6,21 - Απέστειλαν, λοιπόν, αγγελιαφόρους προς τους κατοίκους της Καριαθιαρίμ, δια να είπουν εις αυτούς· “οι Φιλισταίοι επέστρεψαν εις ημάς την Κιβωτόν του Κυρίου. Ελάτε να την πάρετε και να την μεταφέρετε στον τόπον σας”.

Α ΒΑΣΙΛΕΙΩΝ 7

Α Βασ. 7,1 - Καὶ ἔρχονται οἱ ἄνδρες Καριαθιαρὶμ καὶ ἀνάγουσι τὴν κιβωτὸν διαθήκης Κυρίου καὶ εἰσάγουσιν αὐτὴν εἰς οἶκον Ἀμιναδὰβ τὸν ἐν τῷ βουνῷ· καὶ τὸν Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ ἡγίασαν φυλάσσειν τὴν κιβωτὸν διαθήκης Κυρίου.

Α Βασ. 7,1 - Ερχονται οι κάτοικοι της Καριαθιαρίμ και μεταφέρουν την Κιβωτόν της Διαθήκης του Κυρίου και εισήγαγαν αυτήν στον οίκον του Αμιναδάβ, ο οποίος οίκος ευρίσκετο εις κάποιο υψωμα. Καθιέρωσαν δε και ώρισαν τον υιόν αυτού τον Ελεάζαρ, να φυλάττη την Κιβωτόν της Διαθήκης.

Α Βασ. 7,2 - Καὶ ἐγενήθη ἀφ᾿ ἧς ἡμέρας ἦν ἡ κιβωτὸς ἐν Καριαθιαρίμ, ἐπλήθυναν αἱ ἡμέραι καὶ ἐγένετο εἴκοσι ἔτη, καὶ ἐπέβλεψε πᾶς οἶκος Ἰσραὴλ ὀπίσω Κυρίου.

Α Βασ. 7,2 - Από την ημέραν όμως, κατά την οποίαν η Κιβωτός του Κυρίου ευρίσκετο εις την Καριαθιαρίμ, επέρασε πολύ χρονικόν διάστημα, εικόσιν ολόκληρα έτη. Αλλ Α κατόπιν όλοι οι Ισραηλται έστρεψαν τα βλέμματά των εν μετανοία, προς τον Θεόν.

Α Βασ. 7,3 - καὶ εἶπε Σαμουὴλ πρὸς πάντα οἶκον Ἰσραὴλ λέγων· εἰ ἐν ὅλῃ καρδίᾳ ὑμῶν ὑμεῖς ἐπιστρέφετε πρὸς Κύριον, περιέλετε θεοὺς

ἀλλοτρίους ἐκ μέσου ὑμῶν καὶ τὰ ἄλση καὶ ἑτοιμάσατε τὰς καρδίας ὑμῶν πρὸς Κύριον καὶ δουλεύσατε αὐτῷ μόνῳ, καὶ ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἀλλοφύλων.

Α Βασ. 7,3 - Τοτε τους είπεν ο Σαμουήλ τα εξής· "εάν με όλην σας την καρδίαν μετανοήτε και επιστρέφετε προς τον Κυριον, αφαιρέσατε τα αγάλματα των ξένων θεών τα οποία ευρίσκονται μεταξύ σας. Καταστρέψατε τα δάση και τα αγάλματα της Αστάρτης, ετοιμάσατε τας καρδίας σας δια τον Κυριον και εις αυτόν μόνον να υπακούσετε και να δουλεύσετε· και τότε ο Κυριος θα σας απαλλάξη από την κυριαρχίαν των αλλοφύλων".

Α Βασ. 7,4 - καὶ περιεῖλον οἱ υἱοὶ Ἰσραὴλ τὰς Βααλὶμ καὶ τὰ ἄλση Ἀσταρὼθ καὶ ἐδούλευσαν Κυρίῳ μόνῳ.

Α Βασ. 7,4 - Οι Ισραηλίται πράγματι αφήρεσαν τα διάφορα αγάλματα του θεού Βααλ, τα διάφορα αγάλματα της θεάς Αστάρτης και ελάτρευσαν έκτοτε μόνον τον Κυριον.

Α Βασ. 7,5 - καὶ εἶπε Σαμουήλ· ἀθροίσατε πάντα Ἰσραὴλ εἰς Μασσηφάθ, καὶ προσεύξομαι περὶ ὑμῶν πρὸς Κύριον.

Α Βασ. 7,5 - Ο Σαμουήλ δε είπε· "συγκεντρωθήτε όλοι οι Ισραηλίται εις την πόλιν Μασσηφάθ, εγώ δε θα προσευχηθώ δια σας προς τον Κυριον".

Α Βασ. 7,6 - καὶ συνήχθησαν εἰς Μασσηφὰθ καὶ ὑδρεύονται ὕδωρ καὶ ἐξέχεαν ἐνώπιον Κυρίου ἐπὶ τὴν γῆν. καὶ ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶπαν· ἡμαρτήκαμεν ἐνώπιον Κυρίου· καὶ ἐδίκαζε Σαμουὴλ τοὺς υἱοὺς Ἰσραὴλ εἰς Μασσηφάθ.

Α Βασ. 7,6 - Οι Ισραηλίται συνεκεντρώθησαν πράγματι εις Μασσηφάθ. Εκεί, εις εκδήλωσιν της μετανοίας των και της αποκηρύξεως των αμαρτιών των, αντλούσαν ύδωρ και έχυναν αυτό εις την γην. Επίσης ενήστευσαν κατά την ημέραν εκείνην και διεκήρυξαν εν μετανοία· "ημαρτήσαμεν ενώπιον του Κυρίου". Ο δε Σαμουήλ ήτο Κριτής του Ισραηλιτικού λαού και έμενεν εις Μασσηφάθ.

Α Βασ. 7,7 - καὶ ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι συνηθροίσθησαν πάντες οἱ υἱοὶ Ἰσραὴλ εἰς Μασσηφάθ, καὶ ἀνέβησαν σατράπαι ἀλλοφύλων ἐπὶ Ἰσραήλ· καὶ ἀκούουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐφοβήθησαν ἀπὸ προσώπου ἀλλοφύλων.

Α Βασ. 7,7 - ΟΙ Φιλισταίοι επληροφορήθησαν ότι όλοι οι Ισραηλίται είχαν συγκεντρωθή εις Μασσηφάθ. Ενόμισαν, ότι πρόκειται περί πολεμικής παρατάξεως, δια τούτο όλοι οι σατράπαι των Φιλισταίων με τον στρατόν των ανέβησαν εκεί, δια να πολεμήσουν εναντίον των Ισραηλιτών. Οι Ισραηλίται, όταν επληροφορήθησαν την παράταξιν αυτήν των Φιλισταίων, κατελήφθησαν από φόβον και δεν ετόλμησαν να αντιπαραταχθούν εναντίον αυτών.

Α Βασ. 7,8 - καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Σαμουήλ· μὴ παρασιωπήσῃς ἀφ᾿ ἡμῶν τοῦ μὴ βοᾶν πρὸς Κύριον Θεόν σου, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων.

Α Βασ. 7,8 - Είπαν δε προς τον Σαμουήλ· “μη παύσης με φωνήν μεγάλην να προσεύχεσαι υπέρ ημών προς τον Κυριον τον Θεόν σου, διότι έτσι θα μας σώση ο Θεός από τα χέρια των Φιλισταίων”.

Α Βασ. 7,9 - καὶ ἔλαβε Σαμουὴλ ἄρνα γαλαθηνὸν ἕνα, καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτωσιν σὺν παντὶ τῷ λαῷ τῷ Κυρίῳ. καὶ ἐβόησε Σαμουὴλ πρὸς Κύριον περὶ Ἰσραήλ, καὶ ἐπήκουσεν αὐτοῦ Κύριος.

Α Βασ. 7,9 - Ο Σαμουήλ επήρεν ένα αρνί που εθήλαζεν ακόμη, και μαζή με όλον τον λαόν το προσέφερεν ως ολοκαύτωμα προς τον Κυριον. Ο Σαμουήλ εκραύγασεν εις την προσευχήν του προς τον Κυριον υπέρ του Ισραηλιτικού λαού. Ο Κυριος ήκουσε την προσευχήν του Σαμουήλ.

Α Βασ. 7,10 - καὶ ἦν Σαμουὴλ ἀναφέρων τὴν ὁλοκαύτωσιν, καὶ ἀλλόφυλοι προσῆγον εἰς πόλεμον ἐπὶ Ἰσραήλ. καὶ ἐβρόντησε Κύριος ἐν φωνῇ μεγάλῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τοὺς ἀλλοφύλους, καὶ συνεχύθησαν καὶ ἔπταισαν ἐνώπιον Ἰσραήλ.

Α Βασ. 7,10 - Κατά την ώραν λοιπόν που ο Σαμουήλ προσέφερε το ολοκαύτωμα ως θυσίαν στον Κυριον, οι Φιλισταίοι επλησίαζα δια να επιτεθούν εναντίον των Ισραηλιτών. Τοτε ο Κυριος, κατά την ιστορικήν εκείνην ημέραν, απέστειλε βροντάς εκκωφαντικάς κατά των Φιλισταίων. Οι Φιλισταίοι κατελήφθησαν από πανικόν και έτσι ενικήθησαν από τους Ισραηλίτας.

Α Βασ. 7,11 - καὶ ἐξῆλθαν ἄνδρες Ἰσραὴλ ἐκ Μασσηφὰθ καὶ κατεδίωξαν τοὺς ἀλλοφύλους καὶ ἐπάταξαν αὐτοὺς ἕως ὑποκάτω τοῦ Βαιθχόρ.

Α Βασ. 7,11 - Εξώρμησαν οι Ισραηλίται από την Μασσηφάθ, κατεδίωξαν τους Φιλισταίους και εφόνευσαν αυτούς μέχρι του κάτω τμήματος της Βαιθχόρ.

Α Βασ. 7,12 - καὶ ἔλαβε Σαμουὴλ λίθον ἕνα καὶ ἔστησεν αὐτὸν ἀνὰ μέσον Μασσηφὰθ καὶ ἀνὰ μέσον τῆς παλαιᾶς καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀβενέζερ, Λίθος τοῦ βοηθοῦ, καὶ εἶπεν· ἕως ἐνταῦθα ἐβοήθησεν ἡμῖν Κύριος.

Α Βασ. 7,12 - Ο δε Σαμουήλ, εις ανάμνησιν της θαυμαστής αυτής θείας επεμβάσεως, επήρεν έναν λίθον και τον έστησε μεταξύ Μασσηφάθ και Παλαιάς. Ωνόμασε δε αυτόν τον λίθον “Αβενέζερ” όνομα το οποίον σημαίνει “Λιθος του βοηθούντος Θεού”. Και προσέθεσε· “μέχρις εδώ μας εβοήθησεν ο Κυριος”.

Α Βασ. 7,13 - καὶ ἐταπείνωσε Κύριος τοὺς ἀλλοφύλους, καὶ οὐ προσέθεντο ἔτι προσελθεῖν εἰς ὅριον Ἰσραήλ· καὶ ἐγενήθη χεὶρ Κυρίου ἐπὶ τοὺς ἀλλοφύλους πάσας τὰς ἡμέρας τοῦ Σαμουήλ.

Α Βασ. 7,13 - Ετσι δε ο Κυριος εξηυτέλισε τους Φιλισταίους οι οποίοι δεν ετόλμησαν άλλην φοράν εισβάλουν εις την χώραν του ισραηλιτικού λαού, διότι τους εβάρυνεν η τιμωρός χειρ του Κυρίου όλας τας ημέρας της ζωής του Σαμουήλ.

Α Βασ. 7,14 - καὶ ἀπεδόθησαν αἱ πόλεις, ἃς ἔλαβον οἱ ἀλλόφυλοι παρὰ τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέδωκαν αὐτὰς τῷ Ἰσραὴλ ἀπὸ Ἀσκάλωνος ἕως Ἀζόβ, καὶ τὸ ὅριον Ἰσραὴλ ἀφείλοντο ἐκ χειρὸς ἀλλοφύλων. καὶ ἦν εἰρήνη ἀνὰ μέσον Ἰσραὴλ καὶ ἀνὰ μέσον τοῦ Ἀμοῤῥαίου.

Α Βασ. 7,14 - Αι πόλεις, τας οποίας οι Φιλισταίοι είχαν αφαιρέσει από τους Ισραηλίτας, ανακατελήφθησαν από του Ισραηλίτας, οι δε Φιλισταίοι επέστρεψαν αυτάς τας πόλεις από την Ασκάλωνα μέχρι της Αβόζ. Ετσι οι Ισραηλίται αφήρεσαν την χώραν των από τους Φιλισταίους και την ανέκτησαν. Συνήφθη δέ μεταξύ Ισραηλιτών και Αμορραίων ειρήνη.

Α Βασ. 7,15 - καὶ ἐδίκαζε Σαμουὴλ τὸν Ἰσραὴλ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Α Βασ. 7,15 - Ο Σαμουήλ έμεινε Κριτής του Ισραηλιτικού λαού όλας τας ημέρας της ζωής του.

Α Βασ. 7,16 - καὶ ἐπορεύετο κατ᾿ ἐνιαυτὸν ἐνιαυτὸν καὶ ἐκύκλου Βαιθὴλ καὶ τὴν Γαλγαλὰ καὶ τὴν Μασσηφὰθ καὶ ἐδίκαζε τὸν Ἰσραὴλ ἐν πᾶσι τοῖς ἡγιασμένοις τούτοις·

Α Βασ. 7,16 - Καθε δε έτος περιώδευε και έκαμνε τον κύκλον των πόλεων Βαιθήλ Γαλγαλά, Μασσηφάθ, και εδίκαζε τας διαφοράς των Ισραηλιτών, οι οποίοι κατοικούσαν τους ιερούς αυτούς τόπους της γης της επαγγελίας.

Α Βασ. 7,17 - ἡ δὲ ἀποστροφὴ αὐτοῦ εἰς Ἀρμαθαὶμ ὅτι ἐκεῖ ἦν ὁ οἶκος αὐτοῦ, καὶ ἐδίκαζεν ἐκεῖ τὸν Ἰσραὴλ καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ.

Α Βασ. 7,17 - Η μόνιμος όμως κατοικία του ήτο εις Αρμαθαίμ, διότι εκεί ήτο το σπίτι του, η πατρίδα του και εκεί κυρίως έλυε τας διαφοράς των Ισραηλιτών. Εκεί δε και έκτισε θυσιαστήριον εις τιμήν του Κυρίου.

Α ΒΑΣΙΛΕΙΩΝ 8

Α Βασ. 8,1 - Καὶ ἐγένετο ὡς ἐγήρασε Σαμουήλ, καὶ κατέστησε τοὺς υἱοὺς αὐτοῦ δικαστὰς τῷ Ἰσραήλ.

Α Βασ. 8,1 - Ο Σαμουήλ, επειδή πλέον είχε γηράσει, κατέστησεν ως δικαστάς του Ισραηλιτικού λαού τα παιδιά του.

Α Βασ. 8,2 - καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν αὐτοῦ· πρωτότοκος Ἰωήλ, καὶ ὄνομα τοῦ δευτέρου Ἀβιά, δικασταὶ ἐν Βηρσαβεέ.

Α Βασ. 8,2 - Τα δε ονόματα των υιών του είναι τα εξής· Ο πρωτότοκος ωνομάζετο Ιωήλ, ο δε δευτερότοκος ωνομάζετο Αβιά. Και οι δύο αυτοί ήσαν

δικασταί των Ισραηλιτών και εδίκαζαν εις την πόλιν Βηρσαβεέ.

Α Βασ. 8,3 - καὶ οὐκ ἐπορεύθησαν οἱ υἱοὶ αὐτοῦ ἐν ὁδῷ αὐτοῦ καὶ ἐξέκλιναν ὀπίσω τῆς συντελείας καὶ ἐλάμβανον δῶρα καὶ ἐξέκλινον δικαιώματα.

Α Βασ. 8,3 - Τα παιδιά όμως του Σαμουήλ δεν ηκολούθησαν το ευσεβές παράδειγμα του πατρός των, αλλά κυριευθέντες από φιλαργυρίαν παρεξέκλιναν από τον νόμον του Θεού, εδωροδοκούντο κατά την απονομήν της δικαιοσύνης και καταπατούσαν τοιουτοτρόπως την δικαιοσύνην του Θεού.

Α Βασ. 8,4 - καὶ συναθροίζονται ἄνδρες Ἰσραὴλ καὶ παραγίνονται εἰς Ἀρμαθαὶμ πρὸς Σαμουὴλ

Α Βασ. 8,4 - Τοτε αντιπρόσωποι του Ισραηλιτικού λαού συνεκεντρώθησαν, ήλθον εις την πόλιν Αρμαθαίμ προς τον Σαμουήλ

Α Βασ. 8,5 - καὶ εἶπαν αὐτῷ· ἰδοὺ σὺ γεγήρακας, καὶ οἱ υἱοί σου οὐ πορεύονται ἐν τῇ ὁδῷ σου· καὶ νῦν κατάστησον ἐφ᾿ ἡμᾶς βασιλέα δικάζειν ἡμᾶς, καθὰ καὶ τὰ λοιπὰ ἔθνη.

Α Βασ. 8,5 - και του είπαν· “ιδού, συ πλέον έχεις γηράσει, τα δε παιδιά σου δεν ακολουθούν το ιδικόν σου ευσεβές παράδειγμα. Δια τούτο ζητούμεν να εγκαταστήσης εις ημάς βασιλέα, δια να λύη αυτός τας διαφοράς μας, όπως ακριβώς βασιλέα έχουν και τα αλλά έθνη”.

Α Βασ. 8,6 - καὶ πονηρὸν τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαμουήλ, ὡς εἶπαν, δὸς ἡμῖν βασιλέα δικάζειν ἡμᾶς· καὶ προσηύξατο Σαμουὴλ πρὸς Κύριον.

Α Βασ. 8,6 - Ο λόγος αυτός, τον οποίον είπαν οι Ισραηλίται “δος μας βασιλέα δια να μας διοική”, δεν εφάνη καλός στον Σαμουήλ. Δια τούτο ο Σαμουήλ προσηυχήθη προς τον Θεόν και εζήτησε να του φανερώση τι πρέπει να κάμη.

Α Βασ. 8,7 - καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· ἄκουε τῆς φωνῆς τοῦ λαοῦ, καθὰ ἂν λαλῶσί σοι· ὅτι οὐ σὲ ἐξουθενήκασιν, ἀλλ᾿ ἢ ἐμὲ ἐξουθενήκασι τοῦ μὴ βασιλεύειν ἐπ᾿ αὐτῶν.

Α Βασ. 8,7 - Ο Κυριος απήντησε προς τον Σαμουήλ και του είπεν· “άκουσε το αίτημα του λαού, κάμε ο,τι αυτοί σου εζήτησαν, διότι με το αίτημά των αυτό δεν περιφρονούν σέ, αλλά εμέ περιφρονούν, επειδή δεν θέλουν να βασιλεύω εγώ εις αυτούς.

Α Βασ. 8,8 - κατὰ πάντα τὰ ποιήματα, ἃ ἐποίησάν μοι ἀφ᾿ ἧς ἡμέρας ἀνήγαγον αὐτοὺς ἐξ Αἰγύπτου ἕως τῆς ἡμέρας ταύτης καὶ ἐγκατέλιπόν με καὶ ἐδούλευον θεοῖς ἑτέροις, οὕτως αὐτοὶ ποιοῦσι καὶ σοί.

Α Βασ. 8,8 - Οπως στο παρελθόν εφέρθησαν προς εμέ από την ημέραν κατά την οποίαν τους έβγαλα από την Αίγυπτον, όπως δηλαδή εγκατέλιπον εμέ και ελάτρευσαν άλλους θεούς, έτσι συμπεριφέρονται και αυτοί τώρα προς σέ.

Α Βασ. 8,9 - καὶ νῦν ἄκουε τῆς φωνῆς αὐτῶν· πλὴν ὅτι διαμαρτυρόμενος διαμαρτύρῃ αὐτοῖς καὶ ἀπαγγελεῖς αὐτοῖς τὸ δικαίωμα τοῦ βασιλέως, ὃς βασιλεύσει ἐπ᾿ αὐτούς.

Α Βασ. 8,9 - Και τώρα άκουσε το αίτημά των. Μονον θα διαμαρτυρηθής εντόνως προς αυτούς και θα προβάλης τα δικαιώματα, τα οποία θα έχη επάνω των ο βασιλεύς".

Α Βασ. 8,10 - καὶ εἶπε Σαμουὴλ πᾶν τὸ ῥῆμα τοῦ Κυρίου πρὸς τὸν λαὸν τοὺς αἰτοῦντας παρ᾿ αὐτοῦ βασιλέα

Α Βασ. 8,10 - Ο Σαμουήλ ανεκοίνωσε τον λόγον αυτόν του Κυρίου στον λαόν, εις αυτούς που εζητούσαν βασιλέα

Α Βασ. 8,11 - καὶ εἶπε· τοῦτο ἔσται τὸ δικαίωμα τοῦ βασιλέως, ὃς βασιλεύσει ἐφ᾿ ὑμᾶς· τοὺς υἱοὺς ὑμῶν λήψεται, καὶ θήσεται αὐτοὺς ἐν ἅρμασιν αὐτοῦ καὶ ἐν ἱππεῦσιν αὐτοῦ καὶ προτρέχοντας τῶν ἁρμάτων αὐτοῦ

Α Βασ. 8,11 - και τους είπεν· "αυτά θα είναι τα δικαιώματα του βασιλέως, ο οποίος θα βασιλεύση εις σας· Θα πάρη τους υιούς σας και θα βάλη αυτούς οδηγούς εις τα άρματά του, ιππείς στο ιππικόν του, προπορευόμενους εμπρός από τα άρματά του.

Α Βασ. 8,12 - καὶ θέσθαι αὐτοὺς ἑαυτῷ ἑκατοντάρχους καὶ χιλιάρχους καὶ θερίζειν θερισμὸν αὐτοῦ καὶ τρυγᾶν τρυγητὸν αὐτοῦ καὶ ποιεῖν σκεύη πολεμικὰ αὐτοῦ καὶ σκεύη ἁρμάτων αὐτοῦ·

Α Βασ. 8,12 - Θα πάρη από αυτούς και θα τοποθετήση προς εξυπηρέτησίν του άλλους μεν εκατοντάρχους και χιλιάρχους, άλλους δε εργάτας δια να θερίζουν τα σπαρτά του, να τρυγούν τα αμπέλια του, να κατασκευάζουν τα πολεμικά του όπλα και τα εξαρτήματα δια τα άρματά του.

Α Βασ. 8,13 - καὶ τὰς θυγατέρας ὑμῶν λήψεται εἰς μυρεψοὺς καὶ εἰς μαγειρίσσας καὶ εἰς πεσσούσας·

Α Βασ. 8,13 - Θα πάρη τας θυγατέρας σας, τας οποίας θα κάμη μυροποιούς, μαγείρισσας και αρτοποιούς.

Α Βασ. 8,14 - καὶ τοὺς ἀγροὺς ὑμῶν καὶ τοὺς ἀμπελῶνας ὑμῶν καὶ τοὺς ἐλαιῶνας ὑμῶν τοὺς ἀγαθοὺς λήψεται καὶ δώσει τοῖς δούλοις ἑαυτοῦ.

Α Βασ. 8,14 - Θα πάρη τους αγρούς σας και τα αμπέλια σας και τους καρποφόρους ελαιώνας σας, και θα τα δώση στους δούλους του.

Α Βασ. 8,15 - καὶ τὰ σπέρματα ὑμῶν καὶ τοὺς ἀμπελῶνας ὑμῶν ἀποδεκατώσει καὶ δώσει τοῖς εὐνούχοις αὐτοῦ καὶ τοῖς δούλοις αὐτοῦ·

Α Βασ. 8,15 - Θα πάρη το δέκατον από την εσοδείαν των σπαρτών σας και των αμπελιών σας, και θα τα δώση στους ευνούχους και τους δούλους του.

Α Βασ. 8,16 - καὶ τοὺς δούλους ὑμῶν καὶ τὰς δούλας ὑμῶν καὶ τὰ βουκόλια ὑμῶν τὰ ἀγαθὰ καὶ τοὺς ὄνους ὑμῶν λήψεται, καὶ ἀποδεκατώσει

εἰς τὰ ἔργα αὐτοῦ

Α Βασ. 8,16 - Ακόμη δε θα πάρη τους δούλους σας και τας δούλας σας, τα παχειά βόδια σας και τους όνους σας και το δέκατον από τα εισοδήματά σας δια τα έργα του.

Α Βασ. 8,17 - καὶ τὰ ποίμνια ὑμῶν ἀποδεκατώσει· καὶ ὑμεῖς ἔσεσθε αὐτῷ δοῦλοι.

Α Βασ. 8,17 - Και από τα ποίμνιά σας θα πάρη το δέκατον. Και επί πλέον σεις θα είσθε δούλοι του.

Α Βασ. 8,18 - καὶ βοήσεσθε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ προσώπου βασιλέως ὑμῶν, οὗ ἐξελέξασθε ἑαυτοῖς, καὶ οὐκ ἐπακούσεται Κύριος ὑμῶν ἐν ταῖς ἡμέραις ἐκείναις, ὅτι ὑμεῖς ἐξελέξασθε ἑαυτοῖς βασιλέα.

Α Βασ. 8,18 - Κατά την εποχήν δε εκείνην καταπικραμμένοι σεις από την καταθλιπτικήν αυτήν μεταχείρισιν εκ μέρους του βασιλέως, τον οποίον οι ιδιοι δια τον εαυτόν σας έχετε εκλέξει, θα φωνάξετε προς τον Κυριον. Αλλά ο Κυριος δεν θα σας ακούση τότε, επειδή σεις αυτοβούλως εξελέξατε δια τον εαυτόν σας βασιλέα”.

Α Βασ. 8,19 - καὶ οὐκ ἐβούλετο ὁ λαὸς ἀκοῦσαι τοῦ Σαμουὴλ καὶ εἶπαν αὐτῷ· οὐχί, ἀλλ᾿ ἢ βασιλεὺς ἔσται ἐφ᾿ ἡμᾶς,

Α Βασ. 8,19 - Ο λαός όμως δεν ήθελε να υπακούση στον Σαμουήλ και απήντησαν εις αυτόν· “οχι ! Ημείς θέλομεν οπωσδήποτε να έχωμεν βασιλέα.

Α Βασ. 8,20 - καὶ ἐσόμεθα καὶ ἡμεῖς καθὰ πάντα τὰ ἔθνη, καὶ δικάσει ἡμᾶς βασιλεὺς ἡμῶν καὶ ἐξελεύσεται ἔμπροσθεν ἡμῶν καὶ πολεμήσει τὸν πόλεμον ἡμῶν.

Α Βασ. 8,20 - Θέλομεν και ημείς να είμεθα και να διοικούμεθα, όπως και τα άλλα έθνη. Ο βασιλεύς θα μας κυβερνά και θα δικάζη τας διαφοράς μας. Εις περίπτωσιν δε πολέμου αυτός θα εξέρχεται και θα προπορεύεται εμπρός από ημάς και θα διεξάγη τον πόλεμόν μας”.

Α Βασ. 8,21 - καὶ ἤκουσε Σαμουὴλ πάντας τοὺς λόγους τοῦ λαοῦ καὶ ἐλάλησεν αὐτοὺς εἰς τὰ ὦτα Κυρίου.

Α Βασ. 8,21 - Ο Σαμουήλ ήκουσε τα λόγια αυτά του Ισραηλιτικού λαού και τα ανέφερεν ενώπιον του Κυρίου.

Α Βασ. 8,22 - καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· ἄκουε τῆς φωνῆς αὐτῶν καὶ βασίλευσον αὐτοῖς βασιλέα. καὶ εἶπε Σαμουὴλ πρὸς ἄνδρας Ἰσραήλ· ἀποτρεχέτω ἕκαστος εἰς τὴν πόλιν αὐτοῦ.

Α Βασ. 8,22 - Ο Κυριος απήντησεν στον Σαμουήλ· “να υπακούσης εις την απαίτησιν αυτών και να αναδείξης εις αυτούς βασιλέα”. Ο Σαμουήλ είπε τότε προς τους αντιπροσώπους του λαού· “πηγαίνετε ο καθένας σας εις την πόλιν του και το αίτημά σας θα πραγματοποιηθή.

Α ΒΑΣΙΛΕΙΩΝ 9

Α Βασ. 9,1 - Καὶ ἀνὴρ ἐξ υἱῶν Βενιαμίν, καὶ ὄνομα αὐτῷ Κίς, υἱὸς Ἀβιήλ, υἱοῦ Ἰαρέδ, υἱοῦ Βαχίρ, υἱοῦ Ἀφέκ, υἱοῦ ἀνδρὸς Ἰεμιναίου, ἀνὴρ δυνατός.

Α Βασ. 9,1 - Εζούσε τότε ένας ανήρ από την φυλήν Βενιαμίν, ο οποίος ωνομάζετο Κις. Αυτός ήτο υιός του Αβιήλ, υιού του Ιαρέδ, ο οποίος Ιαρέδ ήτο υιός του Βαχίρ, ο δε Βαχίρ ήτο υιός του Αφέκ και ο Αφέκ ήτο υιός ανδρός Βενιαμίτου. Αυτός ο Κις ήτο πλούσιος και ισχυρός.

Α Βασ. 9,2 - καὶ τούτῳ υἱός, καὶ ὄνομα αὐτῷ Σαούλ, εὐμεγέθης, ἀνὴρ ἀγαθός, καὶ οὐκ ἦν ἐν υἱοῖς Ἰσραὴλ ἀγαθὸς ὑπὲρ αὐτόν, ὑπερωμίαν καὶ ἐπάνω ὑψηλὸς ὑπὲρ πᾶσαν τὴν γῆν.

Α Βασ. 9,2 - Είχε δε υιόν ο οποίος ωνομάζετο Σαούλ. Αυτός ο Σαούλ ήτο άνδρας υψηλόσωμος και ωραίος. Κανείς άλλος μεταξύ των Ισραηλιτών δεν ήτο ωραιότερος από αυτόν. Ητο υψηλός, υψηλότερος από τους ανθρώπους όλης της χώρας του.

Α Βασ. 9,3 - καὶ ἀπώλοντο αἱ ὄνοι Κὶς πατρὸς Σαούλ, καὶ εἶπε Κὶς πρὸς Σαοὺλ τὸν υἱὸν αὐτοῦ· λαβὲ μετὰ σεαυτοῦ ἓν τῶν παιδαρίων καὶ ἀνάστητε καὶ πορεύθητε καὶ ζητήσατε τὰς ὄνους.

Α Βασ. 9,3 - Μιαν ημέραν αι όνοι του πατρός του Κις εχάθησαν. Είπε δε ο Κις προς τον υιόν του, τον Σαούλ· “πάρε μαζή σου ένα από τους νεαρούς υπηρέτας και σηκωθήτε και πηγαίνετε εις αναζήτησιν των όνων”. Αυτό και εγινε.

Α Βασ. 9,4 - καὶ διῆλθον δι᾿ ὄρους Ἐφραὶμ καὶ διῆλθον διὰ τῆς γῆς Σελχὰ καὶ οὐχ εὗρον· καὶ διῆλθον διὰ τῆς γῆς Σεγαλείμ, καὶ οὐκ ἦν· καὶ διῆλθον διὰ τῆς γῆς Ἰαμὶν καὶ οὐχ εὗρον.

Α Βασ. 9,4 - Ο Σαούλ με τον υπηρέτην επέρασαν την ορεινήν περιοχήν της φυλής Εφραίμ, έφθασαν εις την χώραν Σελχά, αλλά δεν εύρον τας όνους. Ηλθον επίσης εις την χώραν Σεγαλείμ και ούτε εκεί τας εύρον. Ηλθον εις την χώραν της φυλής Βενιαμίν και δεν τας ευρήκαν.

Α Βασ. 9,5 - αὐτῶν δὲ ἐλθόντων εἰς τὴν Σίφ, καὶ Σαοὺλ εἶπε τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ᾿ αὐτοῦ· δεῦρο καὶ ἀποστρέψωμεν, μὴ ἀνεὶς ὁ πατήρ μου τὰς ὄνους φροντίζῃ τὰ περὶ ἡμῶν·

Α Βασ. 9,5 - Οταν έφθασαν εις την χώραν Σιφ, είπεν ο Σαούλ στον δούλον του, τον οποίον είχε μαζή του· “έλα να επανέλθωμεν, μήπως ο πατήρ μου αφήση πλέον την φροντίδα δια τας όνους του και φροντίζη να εύρη ημάς”.

Α Βασ. 9,6 - καὶ εἶπεν αὐτῷ τὸ παιδάριον· ἰδοὺ δὴ ἄνθρωπος τοῦ Θεοῦ ἐν τῇ πόλει ταύτῃ, καὶ ὁ ἄνθρωπος ἔνδοξος, πᾶν, ὃ ἐὰν λαλήσῃ, παραγινόμενον παρέσται· καὶ νῦν πορευθῶμεν, ὅπως ἀπαγγείλῃ ἡμῖν τὴν ὁδὸν ἡμῶν, ἐφ᾿ ἣν ἐπορεύθημεν ἐπ᾿ αὐτήν.

Α Βασ. 9,6 - Ο δούλος εκείνος είπεν στον Σαούλ· “ιδού, εις την πόλιν αυτήν υπάρχει ενας άνθρωπος του Θεού. Ο άνθρωπος αυτός είναι ονομαστός. Καθε τι το οποίον θα προείπη, ασφαλώς θα γίνη. Ας πάμε λοιπόν προς αυτόν να μας πληροφορήση, ποίαν οδόν πρέπει να πάρωμεν, δια να εύρωμεν τας όνους μας”.

Α Βασ. 9,7 - καὶ εἶπε Σαοὺλ τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ᾿ αὐτοῦ· καὶ ἰδοὺ πορευσόμεθα, καὶ τὶ οἴσομεν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ; ὅτι οἱ ἄρτοι ἐκλελοίπασιν ἐκ τῶν ἀγγείων ἡμῶν, καὶ πλεῖον οὐκ ἔστι μεθ᾿ ἡμῶν εἰσενεγκεῖν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ τὸ ὑπάρχον ἡμῖν.

Α Βασ. 9,7 - Ο Σαούλ απήντησεν στον δούλον του· “ναι, να πάμε. Τι θα δώσωμεν όμως στον άνθρωπον αυτόν του Θεού; Οι άρτοι εις τα σακκίδιά μας έχουν εξαντληθή, ούτε και κανένα άλλο δώρον έχομεν μαζή μας, δια να προσφέρωμεν στον άνθρωπον αυτόν του Θεού”.

Α Βασ. 9,8 - καὶ προσέθετο τὸ παιδάριον ἀποκριθῆναι τῷ Σαοὺλ καὶ εἶπεν· ἰδοὺ εὕρηται ἐν τῇ χειρί μου τέταρτον σίκλου ἀργυρίου, καὶ δώσεις τῷ ἀνθρώπῳ τοῦ Θεοῦ, καὶ ἀπαγγελεῖ ἡμῖν τὴν ὁδὸν ἡμῶν.

Α Βασ. 9,8 - Ο νεαρός δούλος εκινήθη να απαντήση πάλιν και είπε· “ιδού, εις τα χέρια μου υπάρχει ένα τέταρτον αργυρού σίκλου. Αυτό θα δώσης στον άνθρωπον του Θεού, τον προφήτην τούτον, και θα μας είπη, ποίον δρόμον πρέπει να οκολουθήσωμεν δια να εύρωμεν τας όνους μας;

Α Βασ. 9,9 - καὶ ἔμπροσθεν ἐν Ἰσραὴλ τάδε ἔλεγεν ἕκαστος ἐν τῷ πορεύεσθαι ἐπερωτᾶν τὸν Θεόν· δεῦρο καὶ πορευθῶμεν πρὸς τὸν βλέποντα· ὅτι τὸν προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν Ὁ βλέπων.

Α Βασ. 9,9 - Αλλοτε οι Ισραηλίται, όταν επήγαιναν να ερωτήσουν τον Θεόν, έλεγαν μεταξύ των· “Ελα να πάμε προς τον βλέποντα. Ετσι ο λαός ωνόμαζε τον προφήτην του Θεού· “ο Βλέπων”.

Α Βασ. 9,10 - καὶ εἶπε Σαοὺλ πρὸς τὸ παιδάριον αὐτοῦ· ἀγαθόν τὸ ῥῆμα, δεῦρο καὶ πορευθῶμεν. καὶ ἐπορεύθησαν εἰς τὴν πόλιν, οὗ ἦν ἐκεῖ ὁ ἄνθρωπος ὁ τοῦ Θεοῦ.

Α Βασ. 9,10 - Ο Σαούλ είπε προς τον νεαρόν υπηρέτην του· “καλά είπες, έλα να πάμε”. Επήγαν εις την πόλιν, όπου ευρίσκετο ο άνθρωπος αυτός του Θεού, ο προφήτης.

Α Βασ. 9,11 - αὐτῶν ἀναβαινόντων τὴν ἀνάβασιν τῆς πόλεως καὶ αὐτοὶ εὑρίσκουσι τὰ κοράσια ἐξεληλυθότα ὑδρεύεσθαι ὕδωρ καὶ λέγουσιν αὐταῖς· εἰ ἔστιν ἐνταῦθα Ὁ βλέπων;

Α Βασ. 9,11 - Ενώ αυτοί ανέβαιναν τον ανωφερή δρόμον προς την πόλιν, συνήντησαν τας νεάνιδας της πόλεως, αι οποίαι είχαν εξέλθει, δια να πάρουν νερό από κάποιαν εκεί πηγήν έξω από την πόλιν. Ο Σαούλ και ο υπηρέτης ηρώτησαν τας νεάνιδας αυτάς· “μήπως ευρίσκεται εδώ ο “βλέπων”, ο προφήτης;”

Α Βασ. 9,12 - καὶ ἀπεκρίθη τὰ κοράσια αὐτοῖς καὶ λέγουσιν αὐτοῖς· ἔστιν, ἰδοὺ κατὰ πρόσωπον ὑμῶν· νῦν διὰ τὴν ἡμέραν ἥκει εἰς τὴν πόλιν, ὅτι θυσία σήμερον τῷ λαῷ ἐν Βαμᾷ·

Α Βασ. 9,12 - Αι νεάνιδες απήντησαν εις αυτούς· "ναι, εδώ είναι, ιδού ευρίσκεται έμπροσθέν σας. Σημερα ακριβώς έχει έλθει εις την πόλιν λόγω της ημέρας, διότι πρόκειται κατά την ημέραν αυτήν να μεταβή και να προσφέρη θυσίαν υπέρ του λαού εις κάποιο υψωμα, στον λόφον.

Α Βασ. 9,13 - ὡς ἂν εἰσέλθητε εἰς τὴν πόλιν, οὕτως εὑρήσετε αὐτὸν ἐν τῇ πόλει πρὶν ἀναβῆναι αὐτὸν εἰς Βαμᾶ τοῦ φαγεῖν· ὅτι οὐ μὴ φάγῃ ὁ λαὸς ἕως τοῦ εἰσελθεῖν αὐτόν, ὅτι οὗτος εὐλογεῖ τὴν θυσίαν, καὶ μετὰ ταῦτα ἐσθίουσιν οἱ ξένοι· καὶ νῦν ἀνάβητε, ὅτι διὰ τὴν ἡμέραν εὑρήσετε αὐτόν.

Α Βασ. 9,13 - Αμέσως μόλις εισέλθετε εις την πόλιν θα τον συναντήσετε, πριν αυτός ανέβη στον λόφον, όπου θα παρακαθήση στο μετά την θυσίαν γεύμα. Ο λαός, άλλωστε, δεν πρόκειται να φάγη εκεί, αν αυτός προηγουμένως δεν μεταβή δια να ευλογήση την θυσίαν και κατόπιν θα φάγουν οι ξένοι, οι προσκυνηταί. Πηγαίνετε λοιπόν τώρα και θα τον ευρήτε εκεί λόγω ακριβώς της ημέρας αυτής".

Α Βασ. 9,14 - καὶ ἀναβαίνουσι τὴν πόλιν. αὐτῶν εἰσπορευομένων εἰς μέσον τῆς πόλεως καὶ ἰδοὺ Σαμουὴλ ἐξῆλθεν εἰς τὴν ἀπάντησιν αὐτῶν τοῦ ἀναβῆναι εἰς Βαμᾶ.

Α Βασ. 9,14 - Πράγματι μετέβησαν ο Σαούλ και ο υπηρέτης εις την πόλιν. Καθώς δε αυτοί εισήρχοντο εντός της πόλεως, ιδού ο Σαμουήλ εξήλθεν εις συνάντησίν των, δια να αναβή κατόπιν στον λόφον δια την θυσίαν.

Α Βασ. 9,15 - καὶ Κύριος ἀπεκάλυψε τὸ ὠτίον Σαμουὴλ ἡμέρᾳ μιᾷ ἔμπροσθεν τοῦ ἐλθεῖν πρὸς αὐτὸν Σαοὺλ λέγων·

Α Βασ. 9,15 - Ο Κυριος είχεν ομιλήσει προς τον Σαμουήλ και μίαν ημέραν πριν έλθη ο Σαούλ προς αυτόν είχεν αποκαλύψει τα εξής·

Α Βασ. 9,16 - ὡς ὁ καιρός, αὔριον ἀποστελῶ πρός σε ἄνδρα ἐκ γῆς Βενιαμίν, καὶ χρίσεις αὐτὸν εἰς ἄρχοντα ἐπὶ τὸν λαόν μου Ἰσραήλ, καὶ σώσει τὸν λαόν μου ἐκ χειρὸς ἀλλοφύλων· ὅτι ἐπέβλεψα ἐπὶ τὴν ταπείνωσιν τοῦ λαοῦ μου, ὅτι ἦλθε βοὴ αὐτῶν πρός με.

Α Βασ. 9,16 - "Αύριον, κατά την ώραν αυτήν, θα στείλω προς σε ένα άνδρα από την φυλήν Βενιαμίν, τον οποίον θα χρίσης βασιλέα δια τον λαόν μου τον ισραηλιτικόν. Αυτός θα απαλλάξη τον λαόν μου από τα χέρια των Φιλισταίων. Θα τους σώσω τους Ισραηλίτας, διότι είδα με ευσπλαγχνικόν βλέμμα την δυστυχίαν του λαού μου και διότι η βοή του στεναγμού των έφθασεν έως εις εμέ".

Α Βασ. 9,17 - καὶ Σαμουὴλ εἶδε τὸν Σαούλ· καὶ Κύριος ἀπεκρίθη αὐτῷ· ἰδοὺ ὁ ἄνθρωπος, ὃν εἶπά σοι, οὗτος ἄρξει ἐν τῷ λαῷ μου.

Α Βασ. 9,17 - Ο Σαμουήλ είδε τον Σαούλ και ο Κυριος είπε προς τον Σαμουήλ· “ιδού, αυτός είναι ο άνθρωπος, δια τον οποίον σου ωμίλησα. Αυτός θα γίνη βασιλεύς του λαού μου”.

Α Βασ. 9,18 - καὶ προσήγαγε Σαοὺλ πρὸς Σαμουὴλ εἰς μέσον τῆς πόλεως καὶ εἶπεν· ἀπάγγειλον δὴ ποῖος ὁ οἶκος τοῦ βλέποντος.

Α Βασ. 9,18 - Ο Σαούλ επλησίασε τον Σαμουήλ εντός της πόλεως και τον ηρώτησε· “ειπέ μου, σε παρακαλώ, ποιό είναι το σπίτι του βλέποντος, του προφήτου;”

Α Βασ. 9,19 - καὶ ἀπεκρίθη Σαμουὴλ τῷ Σαοὺλ καὶ εἶπεν· ἐγώ εἰμι αὐτός· ἀνάβηθι ἔμπροσθέν μου εἰς Βαμᾶ καὶ φάγε μετ᾿ ἐμοῦ σήμερον, καὶ ἐξαποστελῶ σε πρωΐ καὶ πάντα τὰ ἐν τῇ καρδίᾳ σου ἀπαγγελῶ σοι·

Α Βασ. 9,19 - Ο Σαμουήλ απήντησε προς τον Σαούλ· “είμαι εγώ ο ίδιος. Ανέβα μαζή μου στον λόφον και φάγε εκεί μαζή με εμέ σήμερον. Αύριον θα σε αφήσω ελεύθερον να αναχωρήσης, αφού προηγουμένως σου αποκαλύψω όλα όσα απασχολούν τον νουν σου.

Α Βασ. 9,20 - καὶ περὶ τῶν ὄνων σου τῶν ἀπολωλυιῶν σήμερον τριταίων μὴ θῇς τὴν καρδίαν σου αὐταῖς, ὅτι εὕρηνται· καὶ τίνι τὰ ὡραῖα τοῦ Ἰσραήλ; οὐ σοὶ καὶ τῷ οἴκῳ τοῦ πατρός σου;

Α Βασ. 9,20 - Δια δε τας όνους τας οποίας εχάσατε προ τριών ημερών, μην ανησυχής, διότι ευρέθησαν. Εις ποίον, άλλωστε, άλλον ειμή στον οίκον του πατρός σου θα αποδοθούν όλα τα αγαθά του Ισραηλιτικού λαού;”

Α Βασ. 9,21 - καὶ ἀπεκρίθη Σαοὺλ καὶ εἶπεν· οὐχὶ ἀνδρὸς υἱὸς Ἰεμιναίου ἐγώ εἰμι τοῦ μικροῦ σκήπτρου φυλῆς Ἰσραὴλ καὶ τῆς φυλῆς τῆς ἐλαχίστης ἐξ ὅλους σκήπτρου Βενιαμίν; καὶ ἱνατί ἐλάλησας πρὸς ἐμὲ κατὰ τὸ ῥῆμα τοῦτο;

Α Βασ. 9,21 - Ο Σαούλ απήντησεν· “αυτό δεν είναι δυνατόν, διότι εγώ είμαι υιός ανδρός, ο οποίος ανήκει εις την φυλήν Βενιαμίν, της μικροτέρας από όλας τας άλλας φυλάς του Ισραηλιτικού λαού. Η δε οικογένειά μου είναι μικροτέρα από όλας τας οικογενείας της φυλής του Βενιαμίν. Διατί λοιπόν ωμίλησες προς εμέ και είπες αυτά τα λόγια;”

Α Βασ. 9,22 - καὶ ἔλαβε Σαμουὴλ τὸν Σαοὺλ καὶ τὸ παιδάριον αὐτοῦ καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὸ κατάλυμα καὶ ἔθετο αὐτοῖς ἐκεῖ τόπον ἐν πρώτοις τῶν κεκλημένων ὡσεὶ ἑβδομήκοντα ἀνδρῶν.

Α Βασ. 9,22 - Ο Σαμουήλ επήρε τον Σαούλ και τον νεαρόν υπηρέτην του, τους ωδήγησε στον οίκον του και τους έβαλε να καθίσουν εις τιμητικήν θέσιν μεταξύ των άλλων εβδομήκοντα περίπου προσκεκλημένων επισήμων ανδρών.

Α Βασ. 9,23 - καὶ εἶπε Σαμουὴλ τῷ μαγείρῳ· δός μοι τὴν μερίδα, ἣν ἔδωκά σοι, ἣν εἶπά σοι θεῖναι αὐτὴν παρά σοι.

Α Βασ. 9,23 - Είπε δε ο Σαμουήλ στον μάγειρον· “δος μου την μερίδα του κρέατος, την οποίαν σου έδωκα και δια την οποίαν σου είπα να την θέσης κατά μέρος”.

Α Βασ. 9,24 - καὶ ἥψησεν ὁ μάγειρος τὴν κωλέαν, καὶ παρέθηκεν αὐτὴν ἐνώπιον Σαούλ· καὶ εἶπε Σαμουὴλ τῷ Σαούλ· ἰδοὺ ὑπόλειμμα, παράθες αὐτὸ ἐνώπιόν σου καὶ φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι παρὰ τοὺς ἄλλους· ἀπόκνιζε. καὶ ἔφαγε Σαοὺλ μετὰ Σαμουὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Α Βασ. 9,24 - Ο μάγειρος είχε ψήσει την μερίδα αυτήν, η οποία ήτο το παχύ σαρκώδες μέρος του μηρού, και την παρέθεσε πλησίον του Σαμουήλ. Ο Σαμουήλ είπεν στον Σαούλ· “ιδού, αυτή η μερίς έχει φυλαχθή δια σέ. Παρε την εμπρός σου και φάγε, διότι αυτή είναι δείγμα, που μαρτυρεί την ιδιαιτέραν μου προτίμησιν προς σέ, και τίθεται εμπρός σου επί παρουσία όλων των άλλων. Φαγε λοιπόν”. Και έφαγε πράγματι ο Σαούλ κατά την ημέραν εκείνην μαζή με τον Σαμουήλ.

Α Βασ. 9,25 - καὶ κατέβη ἐκ τῆς Βαμᾶ εἰς τὴν πόλιν· καὶ διέστρωσαν τῷ Σαοὺλ ἐπὶ τῷ δώματι, καὶ ἐκοιμήθη.

Α Βασ. 9,25 - Ο Σαμουήλ κατέβη από το ύψωμα του λόφου μαζή με τον Σαούλ και τον δούλον του εις την πόλιν. Διέταξε δε να στρώσουν δια τον Σαούλ στο επάνω διαμέρισμα του σπιτιού. Του έστρωσαν και εκεί εκοιμήθη.

Α Βασ. 9,26 - καὶ ἐγένετο ὡς ἀνέβαινεν ὁ ὄρθρος, καὶ ἐκάλεσε Σαμουὴλ τὸν Σαοὺλ ἐπὶ τῷ δώματι λέγων· ἀνάστα, καὶ ἐξαποστελῶ σε· καὶ ἀνέστη Σαούλ, καὶ ἐξῆλθεν αὐτὸς καὶ Σαμουὴλ ἕως ἔξω.

Α Βασ. 9,26 - Οταν εξημέρωσεν, ο Σαμουήλ εκάλεσε τον Σαούλ από το δώμα, στο οποίον εκοιμάτο, και του είπε· “σήκω, θα σε αφήσω τώρα ελεύθερον να φύγης”. Ο Σαούλ εσηκώθη και εξήλθον μαζή με τον Σαμουήλ έξω από την πόλιν.

Α Βασ. 9,27 - αὐτῶν καταβαινόντων εἰς μέρος τῆς πόλεως καὶ Σαμουὴλ εἶπε τῷ Σαούλ· εἰπὸν τῷ νεανίσκῳ καὶ διελθέτω ἔμπροσθεν ἡμῶν, καὶ σὺ στῆθι ὡς σήμερον καὶ ἄκουσον ῥῆμα Θεοῦ.

Α Βασ. 9,27 - Οταν κατέβαιναν στο άκρον της πόλεως, ο Σαμουήλ είπεν στον Σαούλ· “πες στον νεαρόν δούλον σου να προχωρήση εμπρός από ημάς, συ δε στάσου τώρα εδώ, και πρόσεξε να ακούσης τον λόγον του Κυρίου”.

Α ΒΑΣΙΛΕΙΩΝ 10

Α Βασ. 10,1 - Καὶ ἔλαβε Σαμουὴλ τὸν φακὸν τοῦ ἐλαίου καὶ ἐπέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἐφίλησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· οὐχὶ κέκχρικέ σε Κύριος εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ, ἐπὶ Ἰσραήλ; καὶ σὺ ἄρξεις ἐν λαῷ Κυρίου, καὶ σὺ σώσεις αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ κυκλόθεν.

Α Βασ. 10,1 - Ο Σαμουήλ επήρε τότε το δοχείον του ελαίου και έχυσε επάνω εις την κεφαλήν του Σαούλ, τον εφίλησε και του είπεν· “ο Κυριος σε δεν έχει χρίσει άρχοντα και βασιλέα στον ισραηλιτικόν λαόν του; Ναι, συ θα είσαι αρχηγός του λαού του Κυρίου· συ θα σώσης αυτόν από τα χέρια των γύρω εχθρών του.

Α Βασ. 10,2 - καὶ τοῦτό σοι τὸ σημεῖον ὅτι ἔχρισέ σε Κύριος ἐπὶ κληρονομίαν αὐτοῦ εἰς ἄρχοντα· ὡς ἂν ἀπέλθῃς σήμερον ἀπ᾿ ἐμοῦ, καὶ εὑρήσεις δύο ἄνδρας πρὸς τοῖς τάφοις Ῥαχὴλ ἐν τῷ ὄρει Βενιαμὶν ἁλλομένους μεγάλα, καὶ ἐροῦσί σοι· εὕρηνται αἱ ὄνοι, ἃς ἐπορεύθητε ζητεῖν, καὶ ἰδοὺ ὁ πατήρ σου ἀποτετίνακται τὸ ῥῆμα τῶν ὄνων καὶ ἐδαψιλεύσατο δι᾿ ὑμᾶς λέγων· τί ποιήσω ὑπὲρ τοῦ υἱοῦ μου;

Α Βασ. 10,2 - Αυτά δε είναι δια σε τα σημεία, από τα οποία θα πεισθής, ότι πράγματι ο Κυριος σε έχρισεν ως άρχοντα του εκλεκτού λαού του. Πρώτον· αμέσως μόλις σήμερον αναχωρήσης από εμέ, θα εύρης πλησίον στον τάφον της Ραχήλ, εις τα νοτία όρια της φυλής Βενιαμίν, δύο άνδρας που θα πηδούν από την χαράν των και οι οποίοι θα σου είπουν· Ευρέθησαν αι όνοι, τας οποίας επήγατε να αναζητήσετε, και ο πατήρ σου έπαυσε πλέον να ασχολήται με το ζήτημα των όνων. Εχει όμως κυριευθή από ανησυχίαν να εύρη σας και λέγει· Τι πρέπει να κάμω δια να εύρω τον υιόν μου;

Α Βασ. 10,3 - καὶ ἀπελεύσῃ ἐκεῖθεν καὶ ἐπέκεινα ἥξεις ἕως τῆς δρυὸς Θαβὼρ καὶ εὑρήσεις ἐκεῖ τρεῖς ἄνδρας ἀναβαίνοντας πρὸς τὸν Θεὸν εἰς Βαιθήλ, ἕνα αἴροντα τρία αἰγίδια καὶ ἕνα αἴροντα τρία ἀγγεῖα ἄρτων καὶ ἕνα αἴροντα ἀσκὸν οἴνου.

Α Βασ. 10,3 - Δεύτερον σημείον· θα φύγης από εκεί, θα προχωρήσης και θα φθάσης μέχρι της τοποθεσίας, η οποία λέγεται “Δρυς Θαβώρ”. Εκεί θα συναντήσης τρεις άνδρας, οι οποίοι θα ανέρχονται προς την Σκηνήν του Μαρτυρίου, εις την Βαιθήλ. Ο ένας από αυτούς θα οδηγή τρία ερίφια, ο δεύτερος θα φέρη τρία αγγεία, μέσα εις τα οποία θα υπάρχουν άρτοι, και ο τρίτος θα φέρη ένα ασκί με κρασί.

Α Βασ. 10,4 - καὶ ἐρωτήσουσί σε τὰ εἰς εἰρήνην καὶ δώσουσί σοι δύο ἀπαρχὰς ἄρτων, καὶ λήψῃ ἐκ τῆς χειρὸς αὐτῶν.

Α Βασ. 10,4 - Αυτοί θα σε χαιρετήσουν ειρηνικώς και θα σου δώσουν δύο άρτους, τους οποίους συ θα λάβης από τα χέρια των.

Α Βασ. 10,5 - καὶ μετὰ ταῦτα εἰσελεύσῃ εἰς τὸν βουνὸν τοῦ Θεοῦ, οὗ ἐστιν ἐκεῖ τὸ ἀνάστημα τῶν ἀλλοφύλων, ἐκεῖ Νασὶβ ὁ ἀλλόφυλος. καὶ ἔσται ὡς ἂν εἰσέλθητε ἐκεῖ εἰς τὴν πόλιν, καὶ ἀπαντήσεις χορῷ προφητῶν καταβαινόντων ἐκ τῆς Βαμᾶ, καὶ ἔμπροσθεν αὐτῶν νάβλα καὶ τύμπανον καὶ αὐλὸς καὶ κινύρα, καὶ αὐτοὶ προφητεύοντες·

Α Βασ. 10,5 - Τρίτον σημείον· έπειτα από αυτά θα ανεβής εις ένα ύψωμα αφιερωμένον στον Θεόν, όπου υπάρχει κάποιο φυλάκιον των Φιλισταίων.

Εκεί είναι ο Φιλισταίος Νασίβ. Θα συμβή δε τούτο· Οταν εισέλθετε εις την πόλιν, επάνω στο ύψωμα, θα συναντήσης μία ομάδα προφητών, οι οποίοι θα κατεβαίνουν από αυτό το ύψωμα. Εμπρός από αυτούς θα προηγούνται μουσικά όργανα, λύρα, τύμπανον, αυλός και κιθάρα. Η ομάς αυτή των προφητών θα προφέρη λόγια ιερά και ιερά άσματα, από την έμπνευσιν του Πνεύματος του Κυρίου.

Α Βασ. 10,6 - καὶ ἐφαλεῖται ἐπὶ σὲ πνεῦμα Κυρίου, καὶ προφητεύσεις μετ᾿ αὐτῶν καὶ στραφήσῃ εἰς ἄνδρα ἄλλον.

Α Βασ. 10,6 - Τοτε θα έλθη έξαφνα και εις σε και θα σε καταλάβη Πνεύμα Κυρίου και μαζή με αυτούς θα λέγης και συ ιερά λόγια και ιερά άσματα. Θα γίνης άλλος άνθρωπος.

Α Βασ. 10,7 - καὶ ἔσται ὅταν ἥξει τὰ σημεῖα ταῦτα ἐπὶ σέ, ποίει πάντα, ὅσα ἐὰν εὕρῃ ἡ χείρ σου, ὅτι Θεὸς μετὰ σοῦ.

Α Βασ. 10,7 - Οταν δε πραγματοποιηθούν εις σε αυτά τα τρία σημεία, κάμε όλα όσα αι περιστάσεις σου επιβάλλουν, διότι ο Κυριος είναι πλέον μαζή σου.

Α Βασ. 10,8 - καὶ καταβήσῃ ἔμπροσθεν τῆς Γαλγάλ, καὶ ἰδοὺ καταβαίνω πρός σε ἀνενεγκεῖν ὁλοκαύτωσιν καὶ θυσίας εἰρηνικάς· ἑπτὰ ἡμέρας διαλείψεις ἕως τοῦ ἐλθεῖν με πρός σε, καὶ γνωρίσω σοι ἃ ποιήσεις.

Α Βασ. 10,8 - Κατόπιν θα προχωρήσης εμπρός και θα έλθης εις Γαλγαλα. Σου δηλώνω δε ότι θα έλθω και εγώ εκεί προς σέ, δια να προσφέρω ολοκαυτώματα και γενικάς θυσίας προς τον Θεόν. Θα περιμένης επτά ημέρας μέχρις ότου έλθω και εγώ εκεί, όπου και θα σου είπω, τι πρέπει να κάμης".

Α Βασ. 10,9 - καὶ ἐγενήθη ὥστε ἐπιστραφῆναι τῷ ὤμῳ αὐτοῦ ἀπελθεῖν ἀπὸ Σαμουήλ, μετέστρεψεν αὐτῷ ὁ Θεὸς καρδίαν ἄλλην· καὶ ἦλθε πάντα τὰ σημεῖα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Α Βασ. 10,9 - Αμέσως μόλις ο Σαούλ, έκπληκτος δι' όσα ήκουσε, έστρεψε τα νώτα του δια να αναχωρήση από τον Σαμουήλ, ο Θεός μετέβαλε αυτού την καρδίαν, ώστε να γίνη ο Σαούλ άλλος άνθρωπος. Επραγματοποιήθησαν δε κατά την ημέραν εκείνην όλα εκείνα τα σημεία, που του είχε προείπει ο Σαμουήλ.

Α Βασ. 10,10 - καὶ ἔρχεται ἐκεῖθεν εἰς τὸν βουνόν, καὶ ἰδοὺ χορὸς προφητῶν ἐξεναντίας αὐτοῦ· καὶ ἥλατο ἐπ᾿ αὐτὸν πνεῦμα Θεοῦ, καὶ προεφήτευσεν ἐν μέσῳ αὐτῶν.

Α Βασ. 10,10 - Ηλθεν από εκεί ο Σαούλ στο υψωμα και ιδού μία ομάς προφητών απέναντί του. Επεσεν εις αυτόν Πνεύμα Θεού και εδίδασκε και αυτός εν μέσω αυτών λόγια Θεού.

Α Βασ. 10,11 - καὶ ἐγενήθησαν πάντες οἱ εἰδότες αὐτὸν ἐχθὲς καὶ τρίτης καὶ εἶδον καὶ ἰδοὺ αὐτὸς ἐν μέσῳ τῶν προφητῶν. καὶ εἶπεν ὁ λαὸς

ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· τί τοῦτο τὸ γεγονὸς τῷ υἱῷ Κίς; ἦ καὶ Σαοὺλ ἐν προφήταις;

Α Βασ. 10,11 - Ολοι δε εκείνοι, οι οποίοι εγνώριζον αυτόν προηγουμένως και είδον και ιδού ότι αυτός ευρίσκετο εν μέσω των προφητών προφητεύων, διηρωτήθησαν και έλεγεν ο ένας προς τον άλλον· “τι είναι αυτό το οποίον συνέβη στο παιδί του Κις; Πράγματι και ο Σαούλ ανήκει εις την τάξιν των προφητών;”

Α Βασ. 10,12 - καὶ ἀπεκρίθη τις αὐτῶν καὶ εἶπε· καὶ τίς πατὴρ αὐτοῦ; καὶ διὰ τοῦτο ἐγενήθη εἰς παραβολήν, ἦ καὶ Σαοὺλ ἐν προφήταις;

Α Βασ. 10,12 - Καποιος δε από τον λαόν απεκρίθη περιφρονητικώς και είπε· “ποιός είναι ο πατέρας του;” Δια τούτο η φράσις αυτή “πράγματι και ο Σαούλ είναι μεταξύ των προφητών;” Εγινε πλέον παροιμιώδης μεταξύ των Ισραηλιτών.

Α Βασ. 10,13 - καὶ συνετέλεσε προφητεύων καὶ ἔρχεται εἰς τὸν βουνόν.

Α Βασ. 10,13 - Οταν ο Σαούλ ετελείωσε τους ιερούς λόγους, μετέβη στο ύψωμα του Θεού.

Α Βασ. 10,14 - καὶ εἶπεν ὁ οἰκεῖος αὐτοῦ πρὸς αὐτὸν καὶ πρὸς τὸ παιδάριον αὐτοῦ· ποῦ ἐπορεύθητε; καὶ εἶπαν· ζητεῖν τὰς ὄνους· καὶ εἴδαμεν ὅτι οὐκ εἰσί, καὶ εἰσήλθομεν πρὸς Σαμουήλ.

Α Βασ. 10,14 - Ενας συγγενής του είπεν εις αυτόν και στον νεαρόν δούλον του· “που επήγατε;” Εκείνοι απάντησαν· “επήγαμεν εις αναζήτησιν των όνων. Επειδή όμως δεν τους ευρήκαμε πουθενά, επανήλθομεν εις την πόλιν όπου ήτο ο Σαμουήλ”.

Α Βασ. 10,15 - καὶ εἶπεν ὁ οἰκεῖος πρὸς Σαούλ· ἀπάγγειλον δή μοι, τί εἶπέ σοι Σαμουήλ;

Α Βασ. 10,15 - Ο συγγενής αυτός του Σαούλ είπεν στον Σαούλ· “πές μου λοιπόν, τι είπεν εις σε ο Σαμουήλ;”

Α Βασ. 10,16 - καὶ εἶπε Σαοὺλ πρὸς τὸν οἰκεῖον αὐτοῦ· ἀπήγγειλεν ἀπαγγέλλων μοι ὅτι εὕρηνται αἱ ὄνοι. τὸ δὲ ῥῆμα τῆς βασιλείας οὐκ ἀπήγγειλεν αὐτῷ.

Α Βασ. 10,16 - Ο Σαούλ απήντησε προς τον συγγενή του· “μας επληροφόρησεν ότι ευρέθησαν αι όνοι”. Το ζήτημα της βασιλείας δεν το ανέφερεν στον συγγενή του.

Α Βασ. 10,17 - Καὶ παρήγγειλε Σαμουὴλ παντὶ τῷ λαῷ πρὸς Κύριον εἰς Μασσηφὰθ

Α Βασ. 10,17 - Ο Σαμουήλ παρήγγειλλε και ήλθεν όλος ο λαός ο ισραηλιτικός εις Μασσηφάθ ενώπιον του Κυρίου.

Α Βασ. 10,18 - καὶ εἶπε πρὸς υἱοὺς Ἰσραήλ· τάδε εἶπε Κύριος ὁ Θεὸς Ἰσραὴλ λέγων· ἐγὼ ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου καὶ

ἐξειλάμην ὑμᾶς ἐκ χειρὸς Φαραὼ βασιλέως Αἰγύπτου καὶ ἐκ πασῶν τῶν βασιλειῶν τῶν θλιβουσῶν ὑμᾶς·

Α Βασ. 10,18 - Είπε δε προς τους συγκεντρωθέντος Ισραηλίτας· “αυτά λέγει ο Κυριος ο Θεός του Ισραηλιτικού λαού· Εγώ έβγαλα ελευθέρους τους Ισραηλίτας από την Αίγυπτον· σας έβγαλα από τα χέρια του Φαραώ του βασιλέως της Αιγύπτου και κατόπιν σας έσωσα από όλα τα έθνη, τα οποία σας κατέθλιβον.

Α Βασ. 10,19 - καὶ ὑμεῖς σήμερον ἐξουδενήκατε τὸν Θεόν, ὃς αὐτός ἐστιν ὑμῶν σωτὴρ ἐκ πάντων τῶν κακῶν ὑμῶν καὶ θλίψεων ὑμῶν, καὶ εἴπατε· οὐχί, ἀλλ᾽ ἢ ὅτι βασιλέα καταστήσεις ἐφ᾽ ἡμῶν· καὶ νῦν κατάστητε ἐνώπιον Κυρίου κατὰ τὰ σκῆπτρα ὑμῶν καὶ κατὰ τὰς φυλὰς ὑμῶν.

Α Βασ. 10,19 - Σεις όμως σήμερα περιεφρονήσατε εμέ τον Θεόν σας, ο οποίος υπήρξα ο σωτήρ σας από όλας τας περιπετείας και τας συμφοράς σας, και είπατε· Τιποτε άλλο δεν θέλομεν πλην του να εγκαταστήσης βασιλέα εις ημάς. Παρουσιασθήτε λοιπόν ενώπιον του Κυρίου κατά φυλάς και κατά δήμους”.

Α Βασ. 10,20 - καὶ προσήγαγε Σαμουὴλ πάντα τὰ σκῆπτρα Ἰσραήλ, καὶ κατακληροῦται σκῆπτρον Βενιαμίν·

Α Βασ. 10,20 - Ο Σαμουηλ, προκειμένου να κάμη την εκλογήν του βασιλέως, διέταξε να προσέλθουν όλαι αι φυλαί των Ισραηλιτών. Εβαλε δε κλήρους και ο κλήρος έπεσεν εις την φυλήν του Βενιαμίν, εκ της οποίας θα έπρεπε να εκλεγή ο βασιλεύς.

Α Βασ. 10,21 - καὶ προσάγει σκῆπτρον Βενιαμὶν εἰς φυλάς, καὶ κατακληροῦται φυλὴ Ματταρί· καὶ προσάγουσι τὴν φυλὴν Ματταρὶ εἰς ἄνδρας, καὶ κατακληροῦται Σαοὺλ υἱὸς Κίς. καὶ ἐζήτει αὐτόν, καὶ οὐχ εὑρίσκετο.

Α Βασ. 10,21 - Προσήλθεν η φυλή Βενιαμίν κατά δήμους, έγινε πάλιν κλήρωσις και δια κλήρου ωρίσθη ο δήμος Ματταρί, από όπου έπρεπε να εκλεγή ο βασιλεύς. Ενεφανίσθη ο δήμος Ματταρί κατ' άνδρας και ερρίφθη κλήρος και ο κλήρος έπεσεν στον Σαούλ, τον υιόν του Κις. Ο Σαμουήλ εζήτει αυτόν αλλά δεν τον εύρικεν.

Α Βασ. 10,22 - καὶ ἐπηρώτησε Σαμουὴλ ἔτι ἐν Κυρίῳ· εἰ ἔρχεται ὁ ἀνὴρ ἐνταῦθα; καὶ εἶπε Κύριος· ἰδοὺ αὐτὸς κέκρυπται ἐν τοῖς σκεύεσι.

Α Βασ. 10,22 - Ο Σαμουήλ ηρώτησε και πάλιν τότε τον Κυριον· “θα έλθη αυτός ο άνθρωπος εδώ;” Ο Κυριος απήντησεν· “ιδού, αυτός είναι κρυμμένος εις τας αποσκευάς”.

Α Βασ. 10,23 - καὶ ἔδραμε καὶ λαμβάνει αὐτὸν ἐκεῖθεν καὶ κατέστησεν ἐν μέσῳ τοῦ λαοῦ, καὶ ὑψώθη ὑπὲρ πάντα τὸν λαὸν ὑπερωμίαν καὶ ἐπάνω.

Α Βασ. 10,23 - Ο Σαμουήλ έτρεξε, επήρεν αυτόν από εκεί και τον ετοποθέτησεν εν μέσω του Ισραηλιτικού λαού. Ο Σαούλ, χάρις στο μεγάλο

ανάστημά του, ήτο υψηλότερος ανάμεσα εις όλους τους άλλους, από τους ώμους και επάνω, και διεκρίνετο μεταξύ των Ισραηλιτών.

Α Βασ. 10,24 - καὶ εἶπε Σαμουὴλ πρὸς πάντα τὸν λαόν· εἰ ἑωράκατε ὃν ἐκλέλεκται ἑαυτῷ Κύριος, ὅτι οὐκ ἔστιν ὅμοιος αὐτῷ ἐν πᾶσιν ὑμῖν; καὶ ἔγνωσαν πᾶς ὁ λαὸς καὶ εἶπαν· ζήτω ὁ βασιλεύς.

Α Βασ. 10,24 - Ο Σαμουήλ είπε προς όλον τον λαόν· “δεν είδατε αυτόν, τον οποίον ο Κυριος εξέλεξεν ως βασιλέα σας; Δεν υπάρχει άλλος όμοιος με αυτόν μεταξύ όλων των Ισραηλιτών”. Ολος ο λαός ανεγνώρισε και παρεδέχθη την εκλογήν αυτήν του βασιλέως και εφώναξαν· “ζήτω ο βασιλεύς”.

Α Βασ. 10,25 - καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν τὸ δικαίωμα τοῦ βασιλέως καὶ ἔγραψεν ἐν βιβλίῳ καὶ ἔθηκεν ἐνώπιον Κυρίου. καὶ ἐξαπέστειλε Σαμουὴλ πάντα τὸν λαόν, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.

Α Βασ. 10,25 - Ανεκοίνωσε τότε ο Σαμουήλ στον λαόν τα δικαιώματα του βασιλέως και έγραψεν αυτά εις βιβλίον, το οποίον και ετοποθέτησε πλησίον εις την Ιεράν Κιβωτόν. Μετά ταύτα ο Σαμουήλ διέλυσεν όλον τον λαόν και ο κάθε Ισραηλίτης μετέβη εις την πόλιν του.

Α Βασ. 10,26 - καὶ Σαοὺλ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ εἰς Γαβαά· καὶ ἐπορεύθησαν υἱοὶ δυνάμεων, ὧν ἥψατο Κύριος καρδίας αὐτῶν μετὰ Σαούλ.

Α Βασ. 10,26 - Και ο Σαούλ μετέβη στον οίκον του εις Γαβαά. Μερικοί δε γενναίοι άνδρες, των οποίων τας καρδίας ο Κυριος είχε παρακινήσει, επορεύθησαν μαζή με τον Σαούλ.

Α Βασ. 10,27 - καὶ υἱοὶ λοιμοὶ εἶπαν· τίς σώσει ὑμᾶς οὗτος; καὶ ἠτίμασαν αὐτὸν καὶ οὐκ ἤνεγκαν αὐτῷ δῶρα.

Α Βασ. 10,27 - Παρ όλα όμως αυτά τα σημεία ευρέθησαν και μερικοί ασεβείς άνθρωποι, οι οποίοι είπαν περιφρονητικώς· “ποίος είναι αυτός ο Σαούλ, ο οποίος θα μας σώση;” Ετσι δε περιεφρόνησαν τον Σαούλ και δεν προσέφεραν κανένα δώρον προς αυτόν ως προς βασιλέα.

Α ΒΑΣΙΛΕΙΩΝ 11

Α Βασ. 11,1 - Καὶ ἐγενήθη ὡς μετὰ μῆνα καὶ ἀνέβη Νάας ὁ Ἀμμανίτης καὶ παρεμβάλλει ἐπὶ Ἰαβὶς Γαλαάδ. καὶ εἶπαν πάντες οἱ ἄνδρες Ἰαβὶς πρὸς Νάας τὸν Ἀμμανίτην· διάθου ἡμῖν διαθήκην, καὶ δουλεύσομέν σοι.

Α Βασ. 11,1 - Ενα μήνα έπειτα από τα γεγονότα αυτά ο Ναας ο βασιλεύς των Αμμωνιτών επροχώρησε με στρατόν προς βορράν και εστρατοπέδευσε πλησίον της Ιαβίς της πρωτευούσης της χώρας Γαλαάδ. Οι Ισραηλίται, οι κάτοικοι της Ιαβίς, είπαν προς τον Ναας τον Αμμωνίτην· “κάμε συμφωνίαν φιλίας με ημάς και ημείς θα γίνωμεν δούλοι σου.

Α Βασ. 11,2 - καὶ εἶπε πρὸς αὐτοὺς Νάας ὁ Ἀμμανίτης· ἐν ταύτῃ διαθήσομαι διαθήκην ὑμῖν, ἐν τῷ ἐξορύξαι ὑμῶν πάντα ὀφθαλμὸν δεξιόν, καὶ θήσομαι ὄνειδος ἐπὶ Ἰσραήλ.

Α Βασ. 11,2 - Ο Νααս με αγερωχίαν πολλήν απήντησε προς αυτούς· “ιδού υπό ποίον όρον θα κλείσω συμφωνίαν φιλίας μαζή σας· αν θα βγάλω το δέξι μάτι από όλους τους Ισραηλίτας και έτσι θα προσάψω εντροπήν εις όλον τον λαόν του Ισραήλ”.

Α Βασ. 11,3 - καὶ λέγουσιν αὐτῷ οἱ ἄνδρες Ἰαβίς· ἄνες ἡμῖν ἑπτὰ ἡμέρας, καὶ ἀποστελοῦμεν ἀγγέλους εἰς πᾶν ὅριον Ἰσραήλ· ἐὰν μὴ ᾖ ὁ σώζων ἡμᾶς, ἐξελευσόμεθα πρὸς ὑμᾶς.

Α Βασ. 11,3 - Οι κάτοικοι της Ιαβίς απήντησαν εις αυτόν· “δώσε μας προθεσμίαν επτά ημερών, δια να στείλωμεν αγγελιοφόρους εις όλην την χώραν των Ισραηλιτών. Εάν δε δεν παρουσιασθή κανείς να μας σώση, θα εξέλθωμεν και θα παραδοθώμεν χωρίς όρους εις τα χέρια σας”.

Α Βασ. 11,4 - καὶ ἔρχονται οἱ ἄγγελοι εἰς Γαβαὰ πρὸς Σαοὺλ καὶ λαλοῦσι τοὺς λόγους εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ ἦραν πᾶς ὁ λαὸς τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν.

Α Βασ. 11,4 - Αγγελιαφόροι της Ιαβίς μετέβησαν εις Γαβαά, πλησίον του Σαούλ, και ανέφεραν την δεινήν θέσιν των ενώπιον όλου του εκεί λαού. Ολος ο λαός, μόλις ήκουσαν την φοβεράν θέσιν των, εφώναξαν δυνατά και έκλαυσαν.

Α Βασ. 11,5 - καὶ ἰδοὺ Σαοὺλ ἤρχετο μετὰ τὸ πρωῒ ἐξ ἀγροῦ, καὶ εἶπε Σαούλ· τί ὅτι κλαίει ὁ λαός; καὶ διηγοῦνται αὐτῷ τὰ ῥήματα τῶν ἀνδρῶν Ἰαβίς.

Α Βασ. 11,5 - Και ιδού, ο Σαούλ επέστρεφεν από τους αγρούς του, όταν η ημέρα είχε πλέον προχωρήσει. Ηρώτησε τότε· “διατί κλαίει αυτός ο λαός;” Ανέφεραν εις αυτόν τα λόγια των κατοίκων της Ιαβίς.

Α Βασ. 11,6 - καὶ ἐφήλατο πνεῦμα Κυρίου ἐπὶ Σαοὺλ ὡς ἤκουσε τὰ ῥήματα ταῦτα, καὶ ἐθυμώθη ἐπ᾿ αὐτοὺς ὀργῇ αὐτοῦ σφόδρα.

Α Βασ. 11,6 - Ο Σαούλ, αμέσως μόλις ήκουσε τα λόγια αυτά, συνηρπάσθη από πνεύμα Θεού, ωργίσθη με πάρα πολύ μεγάλον θυμόν εναντίον των Αμμωνιτών και του Νααս.

Α Βασ. 11,7 - καὶ ἔλαβε δύο βόας καὶ ἐμέλισεν αὐτὰς καὶ ἀπέστειλεν εἰς πᾶν ὅριον Ἰσραὴλ ἐν χειρὶ ἀγγέλων λέγων· ὃς οὐκ ἔστιν ἐκπορευόμενος ὀπίσω Σαοὺλ καὶ ὀπίσω Σαμουήλ, κατὰ τάδε ποιήσουσι τοῖς βουσὶν αὐτοῦ. καὶ ἐπῆλθεν ἔκστασις Κυρίου ἐπὶ τὸν λαὸν Ἰσραήλ, καὶ ἐβόησαν ὡς ἀνὴρ εἷς.

Α Βασ. 11,7 - Επήρε δύο αγελάδας τας διεμέλισε και τα κομμάτια των απέστειλε με αγγελιαφόρους εις όλην την περιοχήν του Ισραηλιτικού λαού λέγων· “εκείνος, που δεν θα ακολουθήση τον Σαούλ και τον Σαμουήλ στον

πόλεμον εναντίον των Αμμωνιτών, αυτός θα τιμωρηθή· αυτήν την τύχην θα έχουν τα βόδια του”. Τρόμος δε από Θεού έπεσεν εις όλον τον ισραηλιτικόν λαόν και όλοι εφώναζαν, ως εάν ήσαν ενας άνθρωπος, και εδέχθησαν την πρόσκλησιν του Σαούλ.

Α Βασ. 11,8 - καὶ ἐπισκέπτεται αὐτοὺς Ἀβιεζὲκ ἐν Βαμᾷ, πάντα ἄνδρα Ἰσραὴλ ἑξακοσίας χιλιάδας καὶ ἄνδρας Ἰούδα ἑβδομήκοντα χιλιάδας.

Α Βασ. 11,8 - Συνεκέντρωσεν ο Σαούλ εις Αβιεζέκ, η οποία ευρίσκετο εις υψηλόν τόπον, όλους τους Ισραηλίτας, οι οποίοι ανήλθον εις εξακοσίας χιλιάδας ανδρών. Μονη η φυλή του Ιούδα έδωσε στρατιώτας, οι οποίοι ανήλθον εις εβδομήκοντα χιλιάδας άνδρας.

Α Βασ. 11,9 - καὶ εἶπε τοῖς ἀγγέλοις τοῖς ἐρχομένοις· τάδε ἐρεῖτε τοῖς ἀνδράσιν Ἰαβίς· αὔριον ὑμῖν ἡ σωτηρία διαθερμάναντος τοῦ ἡλίου. καὶ ἦλθον οἱ ἄγγελοι εἰς τὴν πόλιν καὶ ἀπαγγέλλουσι τοῖς ἀνδράσιν Ἰαβίς, καὶ εὐφράνθησαν.

Α Βασ. 11,9 - Ο Σαούλ είπε τότε στους αγγελιαφόρους της Ιαβίς· “αυτά θα πήτε στους κατοίκους της Ιαβίς· Αύριον το πρωϊ, μόλις ο ήλιος αρχίση να θερμαίνη, η σωτηρία σας θα γίνη πραγματικότης”. Οι αγγελιαφόροι ήλθον εις την πόλιν των την Ιαβίς και ανήγγειλαν στους κατοίκους αυτά, και όλοι εχάρησαν.

Α Βασ. 11,10 - καὶ εἶπον οἱ ἄνδρες Ἰαβὶς πρὸς Νάας τὸν Ἀμμανίτην· αὔριον ἐξελευσόμεθα πρὸς ὑμᾶς, καὶ ποιήσετε ἡμῖν τὸ ἀγαθὸν ἐνώπιον ὑμῶν.

Α Βασ. 11,10 - Οι κάτοικοι της Ιαβίς είπαν στον Νаας τον Αμμωνίτην· “αύριον θα εξέλθωμεν από την πόλιν μας και κάμετέ μας, όπως σας αρέσει”.

Α Βασ. 11,11 - καὶ ἐγενήθη μετὰ τὴν αὔριον καὶ ἔθετο Σαοὺλ τὸν λαὸν εἰς τρεῖς ἀρχάς, καὶ εἰσπορεύονται μέσον τῆς παρεμβολῆς ἐν φυλακῇ τῇ ἑωθινῇ καὶ ἔτυπτον τοὺς υἱοὺς Ἀμμὼν ἕως διεθερμάνθη ἡ ἡμέρα, καὶ ἐγενήθη καὶ ὑπολελειμμένοι διεσπάρησαν, καὶ οὐχ ὑπελείφθησαν ἐν αὐτοῖς δύο κατὰ τὸ αὐτό.

Α Βασ. 11,11 - Κατά την επομένην ημέραν ο Σαούλ διήρεσε τον στρατόν του εις τρία τμήματα και επετέθη με δύναμιν στο κέντρον της παρατάξεως των Αμμωνιτών κατά τας πρωϊνάς ώρας. Οι Ισραηλίται θαρραλέοι εκτυπούσαν και εφόνευαν τους εχθρούς των, μέχρις ότου εζέστανεν η ημέρα. Οι απομείναντες από τους Αμμωνίτας διεσκορπίσθησαν και εκυριεύθησαν από τόσον μεγάλον φόβον, ώστε δεν υπήρχον ούτε δύο μαζή.

Α Βασ. 11,12 - καὶ εἶπεν ὁ λαὸς πρὸς Σαμουήλ· τίς ὁ εἴπας ὅτι Σαοὺλ οὐ βασιλεύσει ἡμῶν; παράδος τοὺς ἄνδρας, καὶ θανατώσομεν αὐτούς.

Α Βασ. 11,12 - Ο λαός είπε τότε προς τον Σαμουήλ· “ποίοι είναι αυτοί, οι οποίοι είπαν ότι ο Σαούλ δεν θα είναι βασιλεύς μας; Φέρετε αυτούς τους άνδρας εδώ, δια να τους φονεύσωμεν”.

Α Βασ. 11,13 - καὶ εἶπε Σαούλ· οὐκ ἀποθανεῖται οὐδεὶς ἐν τῇ ἡμέρᾳ ταύτῃ, ὅτι σήμερον ἐποίησε Κύριος σωτηρίαν ἐν Ἰσραήλ.

Α Βασ. 11,13 - Ο Σαούλ όμως είπε· “κανείς δεν θα φονευθή κατά την ημέραν αυτήν, διότι σήμερον ο Κυριος έστειλε την σωτηρίαν στον ισραηλιτικόν λαόν”.

Α Βασ. 11,14 - καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν λέγων· πορευθῶμεν εἰς Γάλγαλα, καὶ ἐγκαινίσωμεν ἐκεῖ τὴν βασιλείαν.

Α Βασ. 11,14 - Ο Σαμουήλ είπε προς τον λαόν· “ας πάμε εις τα Γαλγαλα, δια να εγκαινιάσωμεν επισήμως την εκλογήν του Σαούλ ως βασιλέως”.

Α Βασ. 11,15 - καὶ ἐπορεύθη πᾶς ὁ λαὸς εἰς Γάλγαλα, καὶ ἔχρισε Σαμουὴλ ἐκεῖ τὸν Σαοὺλ εἰς βασιλέα ἐνώπιον Κυρίου ἐν Γαλγάλοις καὶ ἔθυσεν ἐκεῖ θυσίας καὶ εἰρηνικὰς ἐνώπιον Κυρίου· καὶ εὐφράνθη Σαμουὴλ καὶ πᾶς Ἰσραὴλ ὥστε λίαν.

Α Βασ. 11,15 - Πράγματι μετέβησαν εις τα Γαλγαλα, όπου ο Σαμουήλ έχρισε δι' ελαίου τον Σαούλ βασιλέα εις τα Γαλγαλα ενώπιον του Θεού. Εκεί ο Σαμουήλ προσέφερε διαφόρους θυσίας και θυσίας ειρηνικάς προς τον Κυριον. Ηυφράνθησαν δε πάρα πολύ ο Σαμουήλ και όλος ο ισραηλιτικός λαός.

Α ΒΑΣΙΛΕΙΩΝ 12

Α Βασ. 12,1 - Καὶ εἶπε Σαμουὴλ πρὸς πάντα Ἰσραήλ· ἰδοὺ ἤκουσα φωνῆς ὑμῶν εἰς πάντα, ὅσα εἴπατέ μοι, καὶ ἐβασίλευσα ἐφ᾿ ὑμᾶς βασιλέα.

Α Βασ. 12,1 - Είπε τότε ο Σαμουήλ προς όλους τους Ισραηλίτας· “ιδού, εγώ ήκουσα το αίτημά σας, όλα όσα μου είπατε, και εγκατέστησα ως κυβερνήτην σας βασιλέα.

Α Βασ. 12,2 - καὶ νῦν ἰδοὺ ὁ βασιλεὺς διαπορεύεται ἐνώπιον ὑμῶν, κἀγὼ γεγήρακα καὶ καθήσομαι, καὶ οἱ υἱοί μου ἰδοὺ ἐν ὑμῖν· κἀγὼ ἰδοὺ διελήλυθα ἐνώπιον ὑμῶν ἐκ νεότητος καὶ ἕως τῆς ἡμέρας ταύτης.

Α Βασ. 12,2 - Και τώρα ιδού, ο βασιλεύς σας πηγαινοέρχεται αναμεταξύ σας. Εγώ όμως έχω γηράσει πλέον και πρέπει να αναπαυθώ. Τα παιδιά μου ευρίσκονται μεταξύ σας, χωρίς να έχουν καμμίαν αξίωσιν δια να με διαδεχθούν εις την εξουσίαν. Εγώ επέρασα την ζωήν μου ενώπιόν σας από της νεότητός έως την ημέραν αυτήν.

Α Βασ. 12,3 - ἰδοὺ ἐγώ, ἀποκρίθητε κατ᾿ ἐμοῦ ἐνώπιον Κυρίου καὶ ἐνώπιον χριστοῦ αὐτοῦ· μόσχον τίνος εἴληφα ἢ ὄνον τίνος εἴληφα ἢ τίνα κατεδυνάστευσα ὑμῶν ἢ τίνα ἐξεπίεσα ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα καὶ ὑπόδημα; ἀποκρίθητε κατ᾿ ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν.

Α Βασ. 12,3 - Ιδού εγώ θέτω τώρα τον εαυτόν μου και την συμπεριφοράν μου ως Κριτού υπό την κρίσιν σας. Ενώπιον του Θεού και του βασιλέως είπατε ελεύθερα, εάν έχετε κανένα παράπονον εναντίον μου. Μηπως τυχόν και αφήρεσα τον μόσχον από κανένα σας, η τον όνον του; Μηπως ετυράννησα η απλώς επίεσα κανένα από σας; Μηπως επήρα δώρον από κάποιον, δια να εξιλεωθή αυτός απέναντί μου η επήρα έστω και υποδήματα; Εάν σας έχω αδικήσει είπέτε το, δια να επιστρέψω εις σας ο,τι αδίκως έλαβα".

Α Βασ. 12,4 - καὶ εἶπαν πρὸς Σαμουήλ· οὐκ ἠδίκησας ἡμᾶς καὶ οὐ κατεδυνάστευσας ἡμᾶς καὶ οὐκ ἔθλασας ἡμᾶς καὶ οὐκ εἴληφας ἐκ χειρὸς οὐδενὸς οὐδέν.

Α Βασ. 12,4 - Ο ισραηλιτικός λαός απήντησε προς τον Σαμουήλ· "ούτε μας ηδίκησες, ούτε μας ετυράννησες, ούτε μας συνέτριψες και τίποτε δεν επήρες από τα χέρια κανενός".

Α Βασ. 12,5 - καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαόν· μάρτυς Κύριος ἐν ὑμῖν καὶ μάρτυς χριστὸς αὐτοῦ σήμερον ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὅτι οὐχ εὑρήκατε ἐν χειρί μου οὐδέν. καὶ εἶπαν· μάρτυς.

Α Βασ. 12,5 - Ο Σαμουήλ είπε τότε προς τον λαόν· "επομένως είναι μάρτυς ενώπιόν σας ο Κυριος και ο χρισθείς βασιλεύς Σαούλ κατά την ημέραν αυτήν, ότι τίποτε το άδικον δεν ευρήκατε εις την ζωήν μου και τας χείράς μου". Ο λαός απήντησε· "ναι, μάρτυρες των όσων είπομεν είναι ο Θεός και ο βασιλεύς μας".

Α Βασ. 12,6 - καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν λέγων· μάρτυς Κύριος ὁ ποιήσας τὸν Μωυσῆν καὶ τὸν Ἀαρών, ὁ ἀναγαγὼν τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου.

Α Βασ. 12,6 - Ο Σαμουήλ ωμίλησε τότε προς τον λαόν και είπε· "μάρτυς είναι πράγματι ο Κυριος, ο οποίος έφερεν εις την ζωήν τον Μωϋσήν και τον Ααρών και ο οποίος έβγαλε τους προγόνους μας από την Αίγυπτον.

Α Βασ. 12,7 - καὶ νῦν κατάστητε, καὶ δικάσω ὑμᾶς ἐνώπιον Κυρίου καὶ ἀπαγγελῶ ὑμῖν τὴν πᾶσαν δικαιοσύνην Κυρίου, ἃ ἐποίησεν ἐν ὑμῖν καὶ ἐν τοῖς πατράσιν ὑμῶν·

Α Βασ. 12,7 - Και τώρα ελάτε και σταθήτε να σας δικάσω ενώπιον του Κυρίου και να διακηρύξω την αχαριστίαν σας απέναντι της καλωσύνης του Κυρίου και της δικαιοσύνης την οποίαν ο Κυριος έδειξεν εις σας και στους προγόνους σας.

Α Βασ. 12,8 - ὡς εἰσῆλθεν Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ εἰς Αἴγυπτον, καὶ ἐταπείνωσεν αὐτοὺς Αἴγυπτος, καὶ ἐβόησαν οἱ πατέρες ἡμῶν πρὸς Κύριον, καὶ ἀπέστειλε Κύριος τὸν Μωυσῆν καὶ τὸν Ἀαρὼν καὶ ἐξήγαγον τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου καὶ κατῴκισεν αὐτοὺς ἐν τῷ τόπῳ τούτῳ.

Α Βασ. 12,8 - Οταν ο Ιακώβ μαζή με τα παιδιά του εισήλθον εις την Αίγυπτον, οι Αιγύπτιοι τους επίεσαν και τους εξουθένωσαν. Τοτε οι πρόγονοί

μας εβόησαν δια της προσευχής των προς τον Κυριον ζητούντες απελευθέρωσιν. Ο Κυριος έστειλε τον Μωϋσήν και τον Ααρών, οι οποίοι έβγαλαν πράγματι τους προπάτορας μας από την Αίγυπτον και τους έφερεν ο Θεός και τους εγκατέστησεν στον τόπον αυτόν, εις την γην της επαγγελίας.

Α Βασ. 12,9 - καὶ ἐπελάθοντο Κυρίου τοῦ Θεοῦ αὐτῶν, καὶ ἀπέδοτο αὐτοὺς εἰς χεῖρας Σισάρᾳ ἀρχιστρατήγῳ Ἰαβὶν βασιλέως Ἀσὼρ καὶ εἰς χεῖρας ἀλλοφύλων καὶ εἰς χεῖρας βασιλέως Μωάβ, καὶ ἐπολέμησαν ἐν αὐτοῖς.

Α Βασ. 12,9 - Εκείνοι όμως ελησμόνησαν τον Θεόν και δια τούτο ο Θεός τους παρέδωσεν ως δούλους εις τα χέρια του Σισάρα, του αρχιστρατήγου του βασιλέως Ιαβίν, ο οποίος είχε την έδραν του εις την πόλιν Ασώρ. Τους παρέδωσεν επίσης ως δούλους εις την εξουσίαν των Φιλισταίων και εις την εξουσίαν του βασιλέως των Μωαβιτών, εναντίον των οποίων και επολέμησαν, αλλά ματαίως.

Α Βασ. 12,10 - καὶ ἐβόησαν πρὸς Κύριον καὶ ἔλεγον· ἡμάρτομεν, ὅτι ἐγκατελίπομεν τὸν Κύριον καὶ ἐδουλεύσαμεν τοῖς Βααλὶμ καὶ τοῖς ἄλσεσι· καὶ νῦν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν, καὶ δουλεύσομέν σοι.

Α Βασ. 12,10 - Παρεκάλεσαν τότε τον Κυριον και εβόησαν προς αυτόν· Ημαρτήσαμεν, διότι εγκατελείψαμεν τον Κυριον και ελατρεύσαμεν τα αγάλματα του Βααλ, τα ιερά άλση και τα αγάλματα της Αστάρτης, και τώρα γλύτωσέ μας από τα χέρια των εχθρών μας και υποσχόμεθα να λατρεύσωμεν σέ.

Α Βασ. 12,11 - καὶ ἀπέστειλε Κύριος τὸν Ἱεροβάαλ καὶ τὸν Βαρὰκ καὶ τὸν Ἰεφθάε καὶ τὸν Σαμουὴλ καὶ ἐξείλατο ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν τῶν κυκλόθεν, καὶ κατῳκεῖτε πεποιθότες.

Α Βασ. 12,11 - Ο Κυριος έστειλε τότε ελευθερωτάς τους Κριτάς Γεδεών, Βαράκ, Ιεφθάε και εμέ τον Σαμουήλ και σας έβγαλεν από τα χέρια των γύρω εχθρών μας και έτσι τώρα σεις κατοικείτε εδώ ασφαλείς και ήσυχοι.

Α Βασ. 12,12 - καὶ ἴδετε ὅτι Νάας βασιλεὺς υἱῶν Ἀμμὼν ἦλθεν ἐφ᾿ ὑμᾶς, καὶ εἴπατε· οὐχί, ἀλλ᾿ ἢ ὅτι βασιλεὺς βασιλεύσει ἐφ᾿ ἡμῶν· καὶ Κύριος ὁ Θεὸς ἡμῶν βασιλεὺς ἡμῶν.

Α Βασ. 12,12 - Και όταν είδατε ότι ο βασιλεύς των Αμμωνιτών επήλθεν εναντίον σας, είπατε· Δεν θέλομεν παρά ο βασιλεύς να μας κυβερνά, αν και υπήρχε βασιλεύς ιδικός σας, ο Κυριος μας.

Α Βασ. 12,13 - καὶ νῦν ἰδοὺ ὁ βασιλεύς, ὃν ἐξελέξασθε, καὶ ἰδοὺ δέδωκε Κύριος ἐφ᾿ ὑμᾶς βασιλέα.

Α Βασ. 12,13 - Και τώρα ιδού ο βασιλεύς, τον οποίον εξελέξατε να σας κυβερνά. Ιδού σας έδωκεν ο Κυριος βασιλέα.

Α Βασ. 12,14 - ἐὰν φοβηθῆτε τὸν Κύριον καὶ δουλεύσητε αὐτῷ καὶ ἀκούσητε τῆς φωνῆς αὐτοῦ καὶ μὴ ἐρίσητε τῷ στόματι Κυρίου καὶ ἦτε καὶ

ὑμεῖς καὶ ὁ βασιλεὺς ὁ βασιλεύων ἐφ᾿ ὑμῶν ὀπίσω Κυρίου πορευόμενοι·

Α Βασ. 12,14 - Εάν λοιπόν τώρα φοβήσθε τον Κυριον και λατρεύετε αυτόν και υπακούετε εις τας εντολάς του και δεν γογγύζετε δια τας εντολάς τας οποίας αυτός έχει ορίσει, τουναντίον δε σεις και ο βασιλεύς σας συνεχίζετε να υπακούετε εις τας εντολάς του Κυρίου και να πορεύεσθε σύμφωνα με αυτάς, τότε ο Θεός θα σας ευλογήση.

Α Βασ. 12,15 - ἐὰν δὲ μὴ ἀκούσητε τῆς φωνῆς Κυρίου καὶ ἐρίσητε τῷ στόματι Κυρίου, καὶ ἔσται χεὶρ Κυρίου ἐφ᾿ ὑμᾶς καὶ ἐπὶ τὸν βασιλέα ὑμῶν.

Α Βασ. 12,15 - Εάν όμως δεν υπακούσετε εις την φωνήν του Κυρίου, γογγύζετε δε και ανθίστασθε εις την εκπλήρωσιν των εντολών του, η τιμωρός χειρ του Κυρίου βαρειά θα πέση επάνω σας και επάνω στον βασιλέα σας.

Α Βασ. 12,16 - καὶ νῦν κατάστητε καὶ ἴδετε τὸ ῥῆμα τό μέγα τοῦτο, ὃ ὁ Κύριος ποιήσει ἐν ὀφθαλμοῖς ὑμῶν.

Α Βασ. 12,16 - Και τώρα σταθήτε, να ιδήτε το μέγα και θαυμαστόν γεγονός, το οποίον ο Κυριος θα πραγματοποιήση εμπρός εις τα μάτια σας.

Α Βασ. 12,17 - οὐχὶ θερισμὸς πυρῶν σήμερον; ἐπικαλέσομαι Κύριον, καὶ δώσει φωνὰς καὶ ὑετόν, καὶ γνῶτε καὶ ἴδετε ὅτι ἡ κακία ὑμῶν μεγάλη, ἣν ἐποιήσατε ἐνώπιον Κυρίου, αἰτήσαντες ἑαυτοῖς βασιλέα.

Α Βασ. 12,17 - Εποχή θερισμού είναι τώρα και επομένως είναι εποχή ξηρασίας. Εγώ όμως θα παρακαλέσω τον Κυριον και θα δώση αστραπάς και βροντάς και βροχήν. Από το θαύμα δε αυτό θα πεισθήτε, ότι η αμαρτία, την οποίαν διεπράξατε ενώπιον του Κυρίου, ήτο μεγάλη, με το να ζητήσετε δηλαδή δια τον εαυτόν σας και να έχετε βασιλέα, όπως τα γύρω σας ειδωλολατρικά έθνη”.

Α Βασ. 12,18 - καὶ ἐπεκαλέσατο Σαμουὴλ τὸν Κύριον, καὶ ἔδωκε Κύριος φωνὰς καὶ ὑετὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἐφοβήθησαν πᾶς ὁ λαὸς τὸν Κύριον σφόδρα καὶ τὸν Σαμουήλ.

Α Βασ. 12,18 - Πράγματι ο Σαμουήλ παρεκάλεσε τον Κυριον και ο Κυριος έδωσε κατά την ημέραν εκείνην αστραπάς και βροντάς και βροχήν. Από το γεγονός αυτό όλος ο ισραηλιτικός λαός εφοβήθη πολύ τον Θεόν και τον Σαμουήλ.

Α Βασ. 12,19 - καὶ εἶπαν πᾶς ὁ λαὸς πρὸς Σαμουήλ· πρόσευξαι ὑπὲρ τῶν δούλων σου πρὸς Κύριον Θεόν σου, καὶ οὐ μὴ ἀποθάνωμεν, ὅτι προστεθείκαμεν πρὸς πάσας τὰς ἁμαρτίας ἡμῶν κακίαν αἰτήσαντες ἑαυτοῖς βασιλέα.

Α Βασ. 12,19 - Ολος τότε ο Ισραηλιτικός λαός είπε προς τον Σαμουήλ· “να προσεύχεσαι προς τον Θεόν δι' ημάς τους δούλους σου, δια να μη θανατωθώμεν. Διότι μέσα εις όλας τας άλλας αμαρτίας μας προσεθέσαμεν και αυτήν, με το να ζητήσωμεν δια τον εαυτόν μας βασιλέα”.

Α Βασ. 12,20 - καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαόν· μὴ φοβεῖσθε· ὑμεῖς πεποιήκατε τὴν πᾶσαν κακίαν ταύτην, πλὴν μὴ ἐκκλίνητε ἀπό ὄπισθεν

Κυρίου καὶ δουλεύσατε τῷ Κυρίῳ ἐν ὅλῃ καρδίᾳ ὑμῶν

Α Βασ. 12,20 - Ο Σαμουήλ είπε προς τον λαόν· “μη φοβείσθε τώρα. Είναι αλήθεια ότι σεις διεπράξατε όλην αυτήν την κακίαν ζητήσαντες βασιλέα, πλην όμως μη απομακρύνεσθε από τον Κυριον, αλλά να λατρεύετε τον Κυριον με όλην σας την καρδίαν.

Α Βασ. 12,21 - καὶ μὴ παραβῆτε ὀπίσω τῶν μηθὲν ὄντων, οἳ οὐ περανοῦσιν οὐθὲν καὶ οἳ οὐκ ἐξελοῦνται, ὅτι οὐθέν εἰσιν.

Α Βασ. 12,21 - Μη ακολουθήσετε και μη πορευθήτε οπίσω από τα είδωλα, τα οποία εις την πραγματικότητα είναι ανύπαρκτοι θεοί και οι οποίοι δεν κατορθώνουν ποτέ να φέρουν τίποτε εις πέρας και δεν έχουν την δύναμιν να σας απαλλάξουν από τας συμφοράς σας, διότι δεν είναι τίποτε είναι ανύπαρκτοι.

Α Βασ. 12,22 - ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ διὰ τὸ ὄνομα αὐτοῦ τὸ μέγα, ὅτι ἐπιεικῶς Κύριος προσελάβετο ὑμᾶς εἰς λαόν.

Α Βασ. 12,22 - Μη αποκαρδιώνεσθε όμως, διότι ο Κυριος χάριν του ονόματός του δεν θα απορρίψη τον λαόν του. Θα δείξη επιείκειαν και ευσπλαγχνίαν προς σας, διότι σας έχει προσλάβει ως ιδιαίτερόν του λαόν.

Α Βασ. 12,23 - καὶ ἐμοὶ μηδαμῶς τοῦ ἁμαρτεῖν τῷ Κυρίῳ ἀνιέναι τοῦ προσεύχεσθαι περὶ ὑμῶν, καὶ δουλεύσω τῷ Κυρίῳ καὶ δείξω ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθὴν καὶ τὴν εὐθεῖαν·

Α Βασ. 12,23 - Εγώ δέ ποτέ δεν θα διαπράξω την αμαρτίαν να σταματήσω προσευχόμενος δια σας. Εξ αντιθέτου, θα εξακολουθώ να υπηρετώ τον Κυριον, να διδάσκω εις σας την καλήν και την ευθείαν οδόν του Κυρίου.

Α Βασ. 12,24 - πλὴν φοβεῖσθε τὸν Κύριον καὶ δουλεύσατε αὐτῷ ἐν ἀληθείᾳ καὶ ἐν ὅλῃ καρδίᾳ ὑμῶν, ὅτι ἴδετε ἃ ἐμεγάλυνε μεθ᾿ ὑμῶν,

Α Βασ. 12,24 - Σεις όμως να φοβήσθε τον Κυριον, να λατρεύετε αυτόν εν αλήθεία και με όλην σας την καρδίαν, διότι είδατε ποίας και πόσας θαυμαστάς ευεργεσίας έκαμε προς σας ο Θεός.

Α Βασ. 12,25 - καὶ ἐὰν κακίᾳ κακοποιήσητε, καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς ὑμῶν προστεθήσεσθε.

Α Βασ. 12,25 - Εάν όμως τυχόν και εκτραπήτε και επιμείνετε εις την κακίαν σας, τότε και σεις και ο βασιλεύς σας μαζή θα καταστραφήτε”.

Α ΒΑΣΙΛΕΙΩΝ 13

Α Βασ. 13,1 - Καὶ ἐκλέγεται ἑαυτῷ Σαοὺλ τρεῖς χιλιάδας ἀνδρῶν ἐκ τῶν ἀνδρῶν Ἰσραήλ, καὶ ἦσαν μετὰ Σαοὺλ δισχίλιοι οἱ ἐν Μαχμάς, καὶ ἐν τῷ ὄρει Βαιθήλ, καὶ χίλιοι ἦσαν μετὰ Ἰωνάθαν ἐν Γαβαὰ τοῦ Βενιαμίν, καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἐξαπέστειλεν ἕκαστον εἰς τὸ σκήνωμα αὐτοῦ.

Α Βασ. 13,1 - Ο Σαούλ εξέλεξε από όλον τον ισραηλιτικόν λαόν ως σωματοφύλακάς του τρεις χιλιάδας άνδρας. Από αυτούς αι μεν δύο χιλιάδες ήσαν μαζή με τον Σαούλ εις Μαχμάς, εις την ορεινήν περιοχήν της Βαιθήλ. Οι άλλοι χίλιοι ήσαν μαζή με τον Ιωνάθαν εις Γαβαά της φυλής Βενιαμίν. Τους υπολοίπους Ισροηλίτας ο Σαούλ έστειλε τον καθένα εις την κατοικίαν του.

Α Βασ. 13,3 - καὶ ἐπάταξεν Ἰωνάθαν τὸν Νασὶβ τὸν ἀλλόφυλον τὸν ἐν τῷ βουνῷ· καὶ ἀκούουσιν οἱ ἀλλόφυλοι. καὶ Σαοὺλ σάλπιγγι σαλπίζει εἰς πᾶσαν τὴν γῆν λέγων· ἠθετήκασιν οἱ δοῦλοι.

Α Βασ. 13,3 - Ο Ιωνάθαν εκτύπησε τον Νασίβ τον Φιλισταίον, ο οποίος ευρίσκετο με φρουράν εις ένα ύψωμα. Οι Φιλισταίοι επληροφορήθησαν την επιχείρησιν του Ιωνάθαν εναντίον της φρουράς των. Ο Σαούλ επήρε θάρρος από την νίκην αυτήν του Ιωνάθαν και διέταξε να σαλπίσουν εις όλην την χώραν της Παλαιστίνης, ότι οι έως τώρα σκλαβωμένοι Ισραηλίται επανεστάτησαν εναντίον των Φιλισταίων.

Α Βασ. 13,4 - καὶ πᾶς Ἰσραὴλ ἤκουσε λεγόντων· πέπαικε Σαοὺλ τὸν Νασὶβ τὸν ἀλλόφυλον, καὶ ᾐσχύνθησαν Ἰσραὴλ ἐν τοῖς ἀλλοφύλοις. καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ὀπίσω Σαοὺλ ἐν Γαλγάλοις.

Α Βασ. 13,4 - Ολοι οι Ισραηλίται επληροφορήθησαν την είδησιν, ότι ο Σαούλ προσέβαλε τον αλλόφυλον Νασίβ και εκυρίευσε το φυλάκιον εκείνο των Φιλισταίων, δια τούτο ο Ισραηλτικός λαός κατεφρονήθη περισσότερον από τους Φιλισταίους. Ο ισραηλιτικός λαός ηκολούθησε τον Σαούλ και συνεκεντρώθη εις τα Γαλγαλα.

Α Βασ. 13,5 - καὶ οἱ ἀλλόφυλοι συνάγονται εἰς πόλεμον ἐπὶ Ἰσραήλ, καὶ ἀναβαίνουσιν ἐπὶ Ἰσραὴλ τριάκοντα χιλιάδες ἁρμάτων καὶ ἓξ χιλιάδες ἱππέων καὶ λαὸς ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν τῷ πλήθει· καὶ ἀναβαίνουσι καὶ παρεμβάλλουσιν ἐν Μαχμὰς ἐξ ἐναντίας Βαιθωρὼν κατὰ νότου.

Α Βασ. 13,5 - Οι Φιλισταίοι συνηθροίσθησαν, δια να πολεμήσουν τους Ισραηλίτας. Ανέβησαν εναντίον των Ισραηλιτών με τριάκοντα χιλιάδας πολεμικά άρματα και εξ χιλιάδας ιππείς και με στρατόν τόσον κατά το πλήθος, όση είναι η άμμος η πλησίον της θαλάσσης. Οι Φιλισταίοι συνεκεντρώθησαν και εστρατοπέδευσαν εις Μαχμάς, απέναντι και προς νότον της Βαιθωρών.

Α Βασ. 13,6 - καὶ ἀνὴρ Ἰσραὴλ εἶδεν ὅτι στενῶς αὐτῷ μὴ προσάγειν αὐτόν, καὶ ἐκρύβη ὁ λαὸς ἐν τοῖς σπηλαίοις καὶ ἐν ταῖς μάνδραις καὶ ἐν ταῖς πέτραις καὶ ἐν τοῖς βόθροις καὶ ἐν τοῖς λάκκοις,

Α Βασ. 13,6 - Οι Ισραηλίται, ολιγάριθμοι καθώς ήσαν, όταν είδαν ότι ευρίσκοντο εις αδυναμίαν να πολεμήσουν εναντίον τόσον πολλών εχθρών, εκρύβησαν άλλοι εις τα σπήλαια, άλλοι εις τας μάνδρας, άλλοι στους βράχους, άλλοι στους βόθρους και άλλοι στους λάκκους.

Α Βασ. 13,7 - καὶ οἱ διαβαίνοντες διέβησαν τὸν Ἰορδάνην εἰς γῆν Γὰδ καὶ Γαλαάδ. καὶ Σαοὺλ ἔτι ἦν ἐν Γαλγάλοις, καὶ πᾶς ὁ λαὸς ἐξέστη ὀπίσω αὐτοῦ.

Α Βασ. 13,7 - Μερικοί δε διέβησαν τον Ιορδάνην ποταμόν και ήλθαν εις την χώραν Γαδ και την χώραν Γαλαάδ. Ο Σαούλ όμως ευρίσκετο ακόμη εις τα Γαλγαλα και ο άλλος Ισραηλιτικός λαός, ο οποίος τον ακολουθούσε, ήτο καταπτοημένος.

Α Βασ. 13,8 - καὶ διέλιπεν ἑπτὰ ἡμέρας τῷ μαρτυρίῳ, ὡς εἶπε Σαμουὴλ, καὶ οὐ παρεγένετο Σαμουὴλ εἰς Γάλγαλα, καὶ διεσπάρη ὁ λαὸς αὐτοῦ ἀπ᾿ αὐτοῦ.

Α Βασ. 13,8 - Ο Σαούλ επερίμενε τον Σαμουήλ επί επτά ημέρας σύμφωνα με την εντολήν του Σαμουήλ, αλλά ακόμη δεν είχεν έλθει ο Σαμουήλ εις τα Γαλγαλα. Ο ισραηλιτικός λαός διεσπάρη και έφυγε μακράν από τον Σαούλ.

Α Βασ. 13,9 - καὶ εἶπε Σαούλ· προσαγάγετε, ὅπως ποιήσω ὁλοκαύτωσιν καὶ εἰρηνικάς· καὶ ἀνήνεγκε τὴν ὁλοκαύτωσιν.

Α Βασ. 13,9 - Είπε τότε ο Σαούλ· “φέρετέ μου να προσφέρω εγώ θυσίαν ολοκαυτώματος και θυσίαν ειρηνικήν”. Ο Σαούλ προσέφερε πράγματι την θυσίαν του ολοκαυτώματος.

Α Βασ. 13,10 - καὶ ἐγένετο ὡς συνετέλεσεν ἀναφέρων τὴν ὁλοκαύτωσιν, καὶ Σαμουὴλ παραγίνεται· καὶ ἐξῆλθε Σαοὺλ εἰς ἀπάντησιν αὐτοῦ εὐλογῆσαι αὐτόν.

Α Βασ. 13,10 - Οταν ετελείωσε την προσφοράν της θυσίας, ήλθεν ο Σαμουήλ. Ο Σαούλ εβγήκεν εις προϋπάντησίν του, δια να τον χαιρετήση ειρηνικώς.

Α Βασ. 13,11 - καὶ εἶπε Σαμουήλ· τί πεποίηκας; καὶ εἶπε Σαούλ· ὅτι εἶδον ὡς διεσπάρη ὁ λαὸς ἀπ᾿ ἐμοῦ καὶ σὺ οὐ παρεγένου ὡς διετάξω ἐν τῷ μαρτυρίῳ τῶν ἡμερῶν, καὶ οἱ ἀλλόφυλοι συνήχθησαν εἰς Μαχμάς,

Α Βασ. 13,11 - Ο Σαμουήλ ηρώτησε τότε τον Σαούλ· “τι έκαμες; Διατί εθυσίασες;” Ο Σαούλ απήντησεν· “εθυσίασα διότι είδον ότι ο λαός διεσκορπίσθη μακράν από εμέ και διότι ακόμη συ δεν είχες έλθει, όπως μου είχες υποσχεθή, κατά την ωρισμένην ημέραν. Και επί πλέον, διότι οι Φιλισταίοι ευρίσκονται εις Μαχμάς.

Α Βασ. 13,12 - καὶ εἶπα· νῦν καταβήσονται οἱ ἀλλόφυλοι πρός με εἰς Γάλγαλα καὶ τοῦ προσώπου τοῦ Κυρίου οὐκ ἐδεήθην· καὶ ἐνεκρατευσάμην καὶ ἀνήνεγκα τὴν ὁλοκαύτωσιν.

Α Βασ. 13,12 - Ενώπιον αυτής της καταστάσεως εσκέφθην και είπα· Τωρα θα επέλθουν οι Φιλισταίοι εναντίον μου εις Γαλγαλα και ακόμη δεν έχω παρακαλέσει τον Κυριον. Τοτε επίεσα τον εαυτόν μου και απεφάσισα και εθυσίασα το ολοκαύτωμα”.

Α Βασ. 13,13 - καὶ εἶπε Σαμουὴλ πρὸς Σαούλ· μεματαίωταί σοι, ὅτι οὐκ ἐφύλαξας τὴν ἐντολήν μου, ἣν ἐνετείλατό σοι Κύριος, ὡς νῦν ἡτοίμασε Κύριος τὴν βασιλείαν σου ἐπὶ Ἰσραὴλ ἕως αἰῶνος·

Α Βασ. 13,13 - Ο Σαμουήλ είπεν στον Σαούλ· “ενήργησες κατά τρόπον ανόητον και αμαρτωλόν, διότι δεν εσεβάσθης την εντολήν μου, την οποίαν εντολήν ο Κυριος σε διέταξε. Εάν δεν εφέρεσο με αυτόν τον τρόπον, ο Κυριος είχεν ετοιμάσει, ώστε να είναι παντοτεινή η βασιλεία σου.

Α Βασ. 13,14 - καὶ νῦν ἡ βασιλεία σου οὐ στήσεταί σοι, καὶ ζητήσει Κύριος ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ ἐντελεῖται Κύριος αὐτῷ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ, ὅτι οὐκ ἐφύλαξας ὅσα ἐνετείλατό σοι Κύριος.

Α Βασ. 13,14 - Αλλά τώρα η βασιλεία σου δεν θα παραμείνη πλέον εις σέ. Ο Κυριος θα ζητήση και θα εύρη άνδρα, όπως τον ποθεί ο ίδιος. Ο Κυριος θα δώση εις αυτόν την εντολήν να βασιλεύση, επειδή συ δεν ετήρησες όσα σε διέταζεν ο Κυριος”.

Α Βασ. 13,15 - καὶ ἀνέστη Σαμουὴλ καὶ ἀπῆλθεν ἐκ Γαλγάλων εἰς ὁδὸν αὐτοῦ, καὶ τὸ κατάλειμμα τοῦ λαοῦ ἀνέβη ὀπίσω Σαοὺλ εἰς ἀπάντησιν ὀπίσω τοῦ λαοῦ τοῦ πολεμιστοῦ. αὐτῶν παραγενομένων ἐκ Γαλγάλων εἰς Γαβαὰ Βενιαμὶν καὶ ἐπεσκέψατο Σαοὺλ τὸν λαὸν τὸν εὑρεθέντα μετ᾿ αὐτοῦ ὡς ἑξακοσίους ἄνδρας.

Α Βασ. 13,15 - Ο Σαμουήλ ηγέρθη και έφυγεν από τα Γαλγαλα ακολουθών τον δρόμον του. Οι υπόλοιποι άνδρες του Ισραηλιτικού λαού ηκολούθησαν τον Σαούλ, δια να συναντήσουν τον στρατόν και ασφαλισθούν εις τα μετόπισθεν. Οταν αυτοί ήλθον από τα Γαλγαλα εις την Γαβαά, της φυλής Βενιαμίν, ο Σαούλ επιθεώρησε τον στρατόν του, ο οποίος ευρέθη μαζή του, και είδε ότι ήσαν εξακόσιοι μόνον άνδρες.

Α Βασ. 13,16 - καὶ Σαοὺλ καὶ Ἰωνάθαν υἱὸς αὐτοῦ καὶ ὁ λαὸς οἱ εὑρεθέντες μετ᾿ αὐτῶν ἐκάθισαν ἐν Γαβαὰ Βενιαμὶν καὶ ἔκλαιον, καὶ οἱ ἀλλόφυλοι παρεμβεβλήκεισαν ἐν Μαχμάς.

Α Βασ. 13,16 - Ο Σαούλ και ο υιός του Ιωνάθαν και ο λαός, ο οποίος ευρίσκετο μαζή του, εκάθισαν εις την Γαβαά της φυλής Βενιαμίν και έκλαιον, επειδή οι Φιλισταίοι είχον πλέον στρατοπεδεύσει πλησίον των εις την Μαχμάς.

Α Βασ. 13,17 - καὶ ἐξῆλθε διαφθείρων ἐξ ἀγροῦ ἀλλοφύλων τρισὶν ἀρχαῖς· ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν Γοφερὰ ἐπὶ γῆν Σωγάλ,

Α Βασ. 13,17 - Από κάποιον δε αγρόν των Φιλισταίων εβγήκαν τρία τμήματα στρατού των αλλοφύλων, δια να λεηλατήσουν την χώραν των Ισραηλιτών. Το πρώτον τμήμα του εχθρικού στρατού εστράφη προς την οδόν, η οποία ωδηγούσε εις Γοφεράν, εις την χώραν Σωγάλ.

Α Βασ. 13,18 - καὶ ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν Βαιθωρών, καὶ ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν Γαβαὲ τὴν εἰσκύπτουσαν ἐπὶ Γαὶ τὴν Σαβίμ.

Α Βασ. 13,18 - Το δεύτερον τμήμα του στρατού εστράφη προς την πόλιν Βαιθωρών και το τρίτον τμήμα του στρατού έλαβε την οδόν, η οποία κατευθύνεται προς την Γαβαά την πόλιν Γαι της Σαβίμ.

Α Βασ. 13,19 - καὶ τέκτων σιδήρου οὐχ εὑρίσκετο ἐν πάσῃ γῇ Ἰσραήλ, ὅτι εἶπον οἱ ἀλλόφυλοι· μὴ ποιήσωσιν οἱ Ἑβραῖοι ῥομφαίαν καὶ δόρυ.

Α Βασ. 13,19 - Σιδηρουργός δεν υπήρχεν εις όλην την ώραν των Ισραηλιτών, διότι οι αλλόφυλοι είχον διατάξει να μη κατασκευάσουν οι Εβραίοι ρομφαίας και δόρατα.

Α Βασ. 13,20 - καὶ κατέβαινον πᾶς Ἰσραὴλ εἰς γῆν ἀλλοφύλων χαλκεύειν ἕκαστος τὸ θέριστρον αὐτοῦ καὶ τὸ σκεῦος αὐτοῦ καὶ ἕκαστος τὴν ἀξίνην αὐτοῦ καὶ τὸ δρέπανον αὐτοῦ.

Α Βασ. 13,20 - Δια τούτο όλοι οι Ισραηλίται κατέβαιναν εις την χώραν των Φιλισταίων, δια να σφυρηλατήση ο καθένας το θεριστήριόν του και κάθε άλλο οικιακόν εργαλείον, δηλαδή την αξίνην του, το δρέπανόν του.

Α Βασ. 13,21 - καὶ ἦν ὁ τρυγητὸς ἕτοιμος τοῦ θερίζειν· τὰ δὲ σκεύη ἦν τρεῖς σίκλοι εἰς τὸν ὀδόντα, καὶ τῇ ἀξίνῃ καὶ τῷ δρεπάνῳ ὑπόστασις ἦν ἡ αὐτή.

Α Βασ. 13,21 - Ο θερισμός επλησίαζεν, τα δε γεωργικά εργαλεία ήσαν πανάκριβα. Τρεις σίκλους εστοίχιζε το υνί και η αυτή τιμή ήτο δια την αξίναν και δια το δρέπανον.

Α Βασ. 13,22 - καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις τοῦ πολέμου Μαχμὰς καὶ οὐχ εὑρέθη ῥομφαία καὶ δόρυ ἐν χειρὶ παντὸς τοῦ λαοῦ τοῦ μετὰ Σαοὺλ καὶ μετὰ Ἰωνάθαν, καὶ εὑρέθη τῷ Σαοὺλ καὶ τῷ Ἰωνάθαν υἱῷ αὐτοῦ.

Α Βασ. 13,22 - Συνέβη όμως κατά τας ημέρας του πολέμου εις την Μαχμάς μεταξύ Φιλισταίων και Ισραηλιτών να μη ευρίσκεται ούτε δόρυ, ούτε ρομφαία εις τα χέρια του λαού, ο οποίος ήτο μαζή με τον Σαούλ και με τον Ιωνάθαν. Μονον ο Σαούλ και ο υιός του ο Ιωνάθαν είχον όπλον.

Α Βασ. 13,23 - καὶ ἐξῆλθεν ἐξ ὑποστάσεως τῶν ἀλλοφύλων τὴν ἐν τῷ πέραν Μαχμάς.

Α Βασ. 13,23 - Και ιδού ότι ένα τμήμα του στρατού των Φιλισταίων ήλθε και επροχώρησεν σε τοποθεσίαν, η οποία ευρίσκετο πέραν από την περιοχήν Μαχμάς.

Α ΒΑΣΙΛΕΙΩΝ 14

Α Βασ. 14,1 - Καὶ γίνεται ἡ ἡμέρα καὶ εἶπεν Ἰωνάθαν υἱὸς Σαοὺλ τῷ παιδαρίῳ τῷ αἴροντι τὰ σκεύη αὐτοῦ· δεῦρο, καὶ διαβῶμεν εἰς Μεσσὰβ τῶν

ἀλλοφύλων τὴν ἐν τῷ πέραν ἐκείνῳ· καὶ τῷ πατρὶ αὐτοῦ οὐκ ἀπήγγειλε.

Α Βασ. 14,1 - Οταν εξημέρωσεν, ο Ιωνάθαν ο υιός του Σαούλ είπεν εις ένα νεαρόν δούλον του, ο οποίος έφερε τον οπλισμόν του· "έλα, ας περάσωμεν στο φυλάκιον των Φιλισταίων, που ευρίσκεται εκεί εις την άλλην πλευράν". Δεν ανέφερε δε τίποτε στον πατέρα του δια το διάβημα αυτό.

Α Βασ. 14,2 - καὶ Σαοὺλ ἐκάθητο ἐπ᾿ ἄκρου τοῦ βουνοῦ ὑπὸ τὴν ῥοὰν τὴν ἐν Μαγδών, καὶ ἦσαν μετ᾿ αὐτοῦ ὡς ἑξακόσιοι ἄνδρες·

Α Βασ. 14,2 - Ο Σαούλ ευρίσκετο στο άκρον του υψώματος και εκάθητο κάτω από μίαν ροδιάν εις Μαγδών. Μαζή του ήσαν εξακόσιοι περίπου άνδρες.

Α Βασ. 14,3 - καὶ Ἀχιὰ υἱὸς Ἀχιτὼβ ἀδελφοῦ Ἰωχαβὴδ υἱοῦ Φινεὲς υἱοῦ Ἡλὶ ἱερεὺς τοῦ Θεοῦ ἐν Σηλὼμ αἴρων ἐφούδ. καὶ ὁ λαὸς οὐκ ᾔδει ὅτι πεπόρευται Ἰωνάθαν.

Α Βασ. 14,3 - Επίσης μαζή του ήτο και ο αρχιερεύς Αχιά, υιός του Αχιτώβ του αδελφού του Ιωχαβήδ, ο οποίος ήτο υιός του Φινεές υιού του Ηλί. Ο Αχιά ήτο αρχιερεύς εις Σηλώμ φορών το αρχιερατικόν εφούδ. Ούτε δε ο λαός εγνώριζε τίποτε δια το διάβημα αυτό του Ιωνάθαν.

Α Βασ. 14,4 - καὶ ἀνὰ μέσον τῆς διαβάσεως, οὗ ἐζήτει Ἰωνάθαν διαβῆναι εἰς τὴν ὑπόστασιν τῶν ἀλλοφύλων, καὶ ὁδοὺς πέτρας ἐκ τούτου καὶ ὁδοὺς πέτρας ἐκ τούτου, ὄνομα τῷ ἑνὶ Βασὲς καὶ ὄνομα τῷ ἄλλῳ Σεννά·

Α Βασ. 14,4 - Από το ένα μέρος και το άλλο της στενωπού, που ήθελε να διαβή ο Ιωνάθαν δια να φθάση εκεί όπου υπήρχον οι Φιλισταίοι, ήσαν δύο απότομοι βράχοι, ο ένας εις την μίαν πλευράν και ο άλλος εις την άλλην. Το όνομα του ενός βράχου ήτο Βασές, το δε όνομα του δευτέρου Σεννά.

Α Βασ. 14,5 - ἡ ὁδὸς ἡ μία ἀπὸ βοῤῥᾶ ἐρχομένῳ Μαχμὰς καὶ ἡ ὁδὸς ἡ ἄλλη ἀπὸ νότου ἐρχομένῳ Γαβαέ.

Α Βασ. 14,5 - Δυο δε δρόμοι ωδηγούσαν προς τους Φιλισταίους, ο ένας προς βορράν απέναντι της Μαχμάς, ο δε άλλος δρόμος ήτο προς νότον απέναντι της Γαβαά.

Α Βασ. 14,6 - καὶ εἶπεν Ἰωνάθαν πρὸς τὸ παιδάριον τὸ αἶρον τὰ σκεύη αὐτοῦ· δεῦρο διαβῶμεν εἰς Μεσσὰβ τῶν ἀπεριτμήτων τούτων, εἴτι ποιήσαι Κύριος ἡμῖν· ὅτι οὐκ ἔστι τῷ Κυρίῳ συνεχόμενον σῴζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις.

Α Βασ. 14,6 - Ο Ιωνάθαν είπεν στον νεαρόν δούλον του, ο οποίος εκρατούσε τον οπλισμόν του· "έλα, ας περάσωμεν το φυλάκιον των απεριτμήτων αυτών. Πιθανόν ο Κυριος να μας βοηθήση, διότι τίποτε δεν ημπορεί να εμποδίση τον Κυριον στο να σώση, δια πολλών η δι' ολίγων, κάποιον, που ευρίσκεται εις στενόχωρον θέσιν".

Α Βασ. 14,7 - καὶ εἶπεν αὐτῷ ὁ αἴρων τὰ σκεύη αὐτοῦ· ποίει πᾶν, ὃ ἐὰν ἡ καρδία σου ἐκλίνῃ, ἰδοὺ ἐγὼ μετὰ σοῦ, ὡς ἡ καρδία σου καρδία μου.

Α Βασ. 14,7 - Ο νεαρός δούλος, ο φέρων το οπλισμόν του Ιωνάθαν, είπεν εις αυτόν· “κάμε ο,τι ποθεί η καρδιά σου. Εγώ ιδού, θα είμαι μαζή σου. Η καρδιά σου είναι καρδιά μου, το θέλημά σου θέλημά μου”.

Α Βασ. 14,8 - καὶ εἶπεν Ἰωνάθαν· ἰδοὺ ἡμεῖς διαβαίνομεν πρὸς τοὺς ἄνδρας καὶ κατακυλισθησόμεθα πρὸς αὐτούς·

Α Βασ. 14,8 - Ο Ιωνάθαν είπεν· “ιδού, ημείς μεταβαίνομεν προς τους Φιλισταίους, του άνδρας της προφυλακής. Θα παρουσιασθώμεν έξαφνα ενώπιόν των.

Α Βασ. 14,9 - ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς· ἀπόστητε ἐκεῖ ἕως ἂν ἀπαγγείλωμεν ὑμῖν, καὶ στησόμεθα ἐφ᾿ ἑαυτοῖς καὶ οὐ μὴ ἀναβῶμεν ἐπ᾿ αὐτούς·

Α Βασ. 14,9 - Εάν λοιπόν εκείνοι οι άνδρες μας είπουν· Σταθήτε αυτού και θα σας δώσωμεν απάντησιν δεν θα προχωρήσωμεν εναντίον των.

Α Βασ. 14,10 - ἐὰν τάδε εἴπωσι πρὸς ἡμᾶς· ἀνάβητε πρὸς ἡμᾶς, καὶ ἀναβησόμεθα, ὅτι παραδέδωκεν αὐτοὺς Κύριος εἰς χεῖρας ἡμῶν· τοῦτο ἡμῖν τὸ σημεῖον.

Α Βασ. 14,10 - Εάν όμως μας είπουν· Ελάτε κοντά μου θα μεταβώμεν τότε προς αυτούς, διότι αυτό σημαίνει ότι ο Κυριος τους παρέδωκεν εις τα χέρια μας. Αυτό θα είναι το σημείον της νίκης μας”.

Α Βασ. 14,11 - καὶ εἰσῆλθον ἀμφότεροι εἰς Μεσσὰβ τῶν ἀλλοφύλων· καὶ λέγουσιν οἱ ἀλλόφυλοι· ἰδοὺ Ἑβραῖοι ἐκπορεύονται ἐκ τῶν τρωγλῶν αὐτῶν, οὗ ἐκρύβησαν ἐκεῖ.

Α Βασ. 14,11 - Και οι δύο, ο Ιανάθαν και ο δούλος του, ενεφανίσθησα στο φυλάκιον των Φιλισταίων. Οι άνδρε του φυλακίου εκείνου είπαν μεταξύ των· “ιδού, οι Εβραίοι βγαίνουν από τας τρώγλας όπου είχαν κρυφθή”.

Α Βασ. 14,12 - καὶ ἀπεκρίθησαν οἱ ἄνδρες Μεσσὰβ πρὸς Ἰωνάθαν καὶ πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ καὶ λέγουσιν· ἀνάβητε πρὸς ἡμᾶς, καὶ γνωριοῦμεν ὑμῖν ῥῆμα. καὶ εἶπεν Ἰωνάθαν πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ· ἀνάβηθι ὀπίσω μου, ὅτι παρέδωκεν αὐτοὺς Κύριος εἰς χεῖρας Ἰσραήλ.

Α Βασ. 14,12 - Ωμίλησαν δε οι άνδρες του φυλακίου προς τον Ιωνάθαν και προς τον υπηρέτην, που είχεν τον πολεμικόν οπλισμόν του Ιωνάθαν, και τους είπαν· “ανεβήτε προς ημάς και έχομεν να σας ανακοινώσωμεν κάτι”. Είπε τότε ο Ιωνάθαν προς αυτόν, που έφερε τον οπλισμόν του· “ανέβα υστέρα από εμέ, διότι ο Κυριος έχει παραδώσει αυτούς εις τα χέρια ημών των Ισραηλιτών”.

Α Βασ. 14,13 - καὶ ἀνέβη Ἰωνάθαν ἐπὶ τὰς χεῖρας αὐτοῦ καὶ ἐπὶ τοὺς πόδας αὐτοῦ καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ μετ᾿ αὐτοῦ· καὶ ἐπέβλεψαν κατὰ πρόσωπον Ἰωνάθαν, καὶ ἐπάταξεν αὐτούς, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ἐπεδίδου ὀπίσω αὐτοῦ.

Α Βασ. 14,13 - Ο Ιωνάθαν ανερριχήθη με τα χέρια και με τα πόδια και μαζή του, έπειτα από αυτόν, ακολουθούσε και ο νεαρός δούλος του, που έφερε τον οπλισμόν του. Ο Φιλισταίοι είδον ενώπιόν των τον Ιωνάθαν. Ο Ιωνάθαν ώρμησε τότε και εφόνευσεν αυτούς. Πισω από αυτόν ο δούλος που έφερε τον οπλισμόν του, έδιδεν ει τον Ιωνάθαν ακόντια και λίθους, δια να κτυπά τους Φιλισταίους.

Α Βασ. 14,14 - καὶ ἐγενήθη ἡ πληγὴ ἡ πρώτη, ἣν ἐπάταξεν Ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὡς εἴκοσιν ἄνδρες ἐν βολίσι καὶ ἐν πετροβόλοις καὶ ἐν κόχλαξι τοῦ πεδίου.

Α Βασ. 14,14 - Η αιφνιδιαστική αυτή και ορμητική επίθεσις του Ιωνάθαν και του δούλου, που έφερε τον ο πλισμόν του, εναντίον των Φιλισταίων τούτων, είχεν ως αποτέλεσμα τον θάνατον είκοσι ανδρών, οι οποίοι εφονεύθησαν με ακόντιον, με πετροβολισμούς και με χαλίκια ακόμα της υπαίθρου.

Α Βασ. 14,15 - καὶ ἐγενήθη ἔκστασις ἐν τῇ παρεμβολῇ καὶ ἐν ἀγρῷ, καὶ πᾶς ὁ λαὸς ὁ ἐν Μεσσὰβ καὶ οἱ διαφθείροντες ἐξέστησαν, καὶ αὐτοὶ οὐκ ἤθελον ποιεῖν· καὶ ἐθάμβησεν ἡ γῆ, καὶ ἐγενήθη ἔκστασις παρὰ Κυρίου.

Α Βασ. 14,15 - Συγχυσις και πανικός επεκράτησεν στο στρατόπεδον των Φιλισταίων εις την ύπαιθρον και εις όλον τον λαόν του φυλακίου. Και αυτό το κύριον σώμα του στρατού των Φιλισταίων κατελήφθη από τρόμον και δεν ήθελαν να κάμουν τίποτε εις απόκρουσιν της επιθέσεως. Εσείσθη η γη και τρόμος παρά Κυρίου κατέλαβεν όλους

Α Βασ. 14,16 - καὶ εἶδον οἱ σκοποὶ τοῦ Σαοὺλ ἐν Γαβαὰ Βενιαμὶν καὶ ἰδοὺ ἡ παρεμβολὴ τεταραγμένη ἔνθεν καὶ ἔνθεν.

Α Βασ. 14,16 - Οι σκοποί του Σαούλ, που ήσαν εκ Γαβαά της φυλής Βενιαμίν, παρετήρησαν με έκπληξιν ότι το στρατόπεδον των Φιλισταίων είχε περιέλθει εις μεγάλην ταραχήν και σύγχυσιν, οι δε στρατιώται επγαινοήρχοντο από εδώ και από εκεί.

Α Βασ. 14,17 - καὶ εἶπε Σαοὺλ τῷ λαῷ τῷ μετ᾿ αὐτοῦ· ἐπισκέψασθε δὴ καὶ ἴδετε τίς πεπόρευται ἐξ ὑμῶν· καὶ ἐπεσκέψαντο, καὶ ἰδοὺ οὐχ εὑρίσκετο Ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ.

Α Βασ. 14,17 - Είπε τότε ο Σαούλ στους ανθρώπους, τους στρατιώτας που τον περιέβαλλαν· “εξετάσατε, λοιπόν, και εξακριβώσατε ποιός έχει φύγει από ημάς”. Εξήτασαν, και αίφνης είδον ότι δεν ευρίσκετο ο Ιωνάθαν μαζή των και ο φέρων τον οπλισμόν νεαρός δούλος του.

Α Βασ. 14,18 - καὶ εἶπε Σαοὺλ τῷ Ἀχιᾷ· προσάγαγε τὸ ἐφούδ· ὅτι αὐτὸς ᾖρε τὸ ἐφοὺδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐνώπιον Ἰσραήλ.

Α Βασ. 14,18 - Ο Σαούλ είπεν στον Αχιά· “φέρε εδώ το εφούδ και ρώτησε τον Θεόν, τι πρέπει να κάμωμεν”. Αυτός, ο Αχιά, ως αρχιερεύς που ήτο, εφορούσε κατά την εποχήν εκείνην ενώπιον των Ισραηλιτών το ιερατικόν άμφιον, το εφούδ.

Α Βασ. 14,19 - καὶ ἐγενήθη ὡς ἐλάλει Σαοὺλ πρὸς τὸν ἱερέα, καὶ ὁ ἦχος ἐν τῇ παρεμβολῇ τῶν ἀλλοφύλων ἐπορεύετο πορευόμενος καὶ ἐπλήθυνε· καὶ εἶπε Σαοὺλ πρὸς τὸν ἱερέα· συνάγαγε τὰς χεῖράς σου.

Α Βασ. 14,19 - Καθ' ον χρόνον ωμιλούσεν ο Σαούλ προς τον αρχιερέα τον Αχιά, ο θόρυβος και η οχλοβοή, που προήρχετο από το πανικοβληθέν στρατόπεδον των Φιλισταίων, ολοένα και εμεγάλωνεν. Ο Σαούλ είπε τότε προς τον αρχιερέα Αχιά· “απόσυρε τα χέρια σου και παύσε να ερωτάς τον Θεόν”.

Α Βασ. 14,20 - καὶ ἀνέβη Σαοὺλ καὶ πᾶς ὁ λαὸς ὁ μετ᾿ αὐτοῦ καὶ ἔρχονται ἕως τοῦ πολέμου, καὶ ἰδοὺ ἐγένετο ῥομφαία ἀνδρὸς ἐπὶ τὸν πλησίον αὐτοῦ, σύγχυσις μεγάλη σφόδρα.

Α Βασ. 14,20 - Επειτα ο ίδιος ο Σαούλ και όλος ο στρατός, που ήτο μαζή του, επροχώρησαν και έφθασαν στο στρατόπεδον των Φιλισταίων εις την πεδιάδα της μάχης. Και ιδού, είδον ότι η ρομφαία του ενός Φιλισταίου εστρέφετο φονική κατά του άλλου και έτσι επικρατούσε μεταξύ των πολύ μεγάλη σύγχυσις.

Α Βασ. 14,21 - καὶ οἱ δοῦλοι οἱ ὄντες ἐχθὲς καὶ τρίτην ἡμέραν μετὰ τῶν ἀλλοφύλων οἱ ἀναβάντες εἰς τὴν παρεμβολὴν ἐπεστράφησαν καὶ αὐτοὶ εἶναι μετὰ Ἰσραὴλ τῶν μετὰ Σαοὺλ καὶ Ἰωνάθαν.

Α Βασ. 14,21 - Οι δε δούλοι των Φιλισταίων, οι Εβραίοι, οι οποίοι είχον λιποτακτήσει προηγουμένως στο στρατόπεδον των Φιλισταίων, επέστρεψαν προς τους ομοεθνείς των τους Ισραηλίτας, οι οποίοι ήσαν μαζή με τον Σαούλ και με τον Ιωνάθαν.

Α Βασ. 14,22 - καὶ πᾶς Ἰσραὴλ οἱ κρυπτόμενοι ἐν τῷ ὄρει Ἐφραὶμ καὶ ἤκουσαν ὅτι πεφεύγασιν οἱ ἀλλόφυλοι, καὶ συνάπτουσι καὶ αὐτοὶ ὀπίσω αὐτῶν εἰς πόλεμον.

Α Βασ. 14,22 - Ολοι δε οι Ισραηλίται, οι οποίοι εκρύπτοντο εις την ορεινήν περιοχήν της φυλής Εφραίμ, όταν επληφορήθησαν ότι οι Φιλισταίοι ετράπησαν εις φυγήν, έσπευσαν και ηνώθησαν με τους άλλους Ισραηλίτας και έλαβον μέρος εις την καταδίωξιν των Φιλισταίων.

Α Βασ. 14,23 - καὶ ἔσωσε Κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸν Ἰσραήλ. Καὶ ὁ πόλεμος διῆλθε τὴν Βαμώθ, καὶ πᾶς ὁ λαὸς ἦν μετὰ Σαοὺλ ὡς δέκα χιλιάδες ἀνδρῶν· καὶ ἦν ὁ πόλεμος διεσπαρμένος εἰς ὅλην τὴν πόλιν ἐν τῷ ὄρει Ἐφραίμ.

Α Βασ. 14,23 - Ετσι ο Κυριος έσωσε κατά την ημέραν εκείνην τον ισραηλιτικόν λαόν από τους Φιλισταίους. Η μάχη όμως εσυνεχίζετο και έφθασε μέχρι της Βαμώθ. Ολος ο ισραηλιτικος λαός, ο οποίος ήτο μαζή με τον Σαούλ, ανήρχετο τώρα εις δέκα χιλιάδες άνδρας. Ο δε πόλεμος είχεν επεκταθή εις όλας τας πόλεις της ορεινής περιοχής της φυλής Εφραίμ.

Α Βασ. 14,24 - καὶ Σαοὺλ ἠγνόησεν ἄγνοιαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἀρᾶται τῷ λαῷ λέγων· ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς φάγεται ἄρτον ἕως ἑσπέρας, καὶ ἐκδικήσω τὸν ἐχθρόν μου· καὶ οὐκ ἐγεύσατο πᾶς ὁ λαὸς ἄρτου. καὶ πᾶσα ἡ γῆ ἠρίστα.

Α Βασ. 14,24 - Κατά την ημέραν εκείνην της καταδιώξεως των Φιλισταίων ο Σαούλ διέπραξε μίαν μεγάλην απερισκεψίαν, διότι ώρκισε τον λαόν του ειπών· “κατηραμένος θα είναι ο άνθρωπος εκείνος, που θα φάγη κάτι κατά την ημέραν αυτήν έως την εσπέραν. Διότι θέλω να εξοντώσω τους εχθρούς μου τους Φιλισταίους”. Κανείς πράγματι από τον λαόν δεν έφαγε τίποτε. Ολοι ενήστευσαν.

Α Βασ. 14,25 - καὶ Ἰάαλ δρυμὸς ἦν μελισσῶνος κατὰ πρόσωπον τοῦ ἀγροῦ,

Α Βασ. 14,25 - Εις το δάσος της Ιάαλ υπήρχε μελισσών εις μίαν ανοικτήν περιοχήν.

Α Βασ. 14,26 - καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ ἰδοὺ ἐπορεύετο λαλῶν, καὶ ἰδοὺ οὐκ ἦν ἐπιστρέφων τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, ὅτι ἐφοβήθη ὁ λαὸς τὸν ὅρκον Κυρίου.

Α Βασ. 14,26 - Ο ισραηλιτικός λαός διήλθε δια του μελισσώνος αυτού και επροχωρούσε συζητών. Κανείς όμως δεν ετόλμησε να φέρη με το χέρι του στο στόμα του τροφήν και να φάγη κάτι, διότι όλοι εφοβήθησαν το τάξιμον που είχε κάμει ο Σαουλ στον Κυριον.

Α Βασ. 14,27 - καὶ Ἰωνάθαν οὐκ ἀκηκόει ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ τὸν λαόν· καὶ ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου αὐτοῦ τοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἔβαψεν αὐτὸ εἰς τὸ κηρίον τοῦ μέλιτος καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ.

Α Βασ. 14,27 - Ο Ιωνάθαν όμως δεν είχεν ακούσει τον πατέρα του, όταν ενόρκως εδέσμευε τον λαόν να μη φάγη τίποτε έως την εσπέραν. Δι' αυτό άπλωσε την ράβοον, που εκρατούσε εις το χέρι του, και εβύθισε το άκρον αυτής εις κηρήθραν. Εστρεψε κατόπιν το άκρον της ράβδου του, που κρατούσε στο χέρι του, το έφερε στο στόμα του και έφαγε το μέλι που είχε κολλήσει εις αυτήν. Ετσι οι οφθαλμοί του με την ελαχίστην αυτήν τροφήν εζωήρευσαν.

Α Βασ. 14,28 - καὶ ἀπεκρίθη εἷς ἐκ τοῦ λαοῦ καὶ εἶπεν· ὁρκίσας ὥρκισε τὸν λαὸν ὁ πατήρ σου λέγων· ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς φάγεται ἄρτον σήμερον, καὶ ἐξελύθη ὁ λαός.

Α Βασ. 14,28 - Ενας δε εκ του λαού απεκρίθη και είπεν στον Ιωνάθαν· “ο πατήρ σου εδέσμευσε με όρκον τον λαόν και είπε· Καταράμενος ο άνθρωπος, που θα φάγη σήμερον οποιαδήποτε τροφήν”. Ετσι δε ο λαός είχεν εξαντληθή από την πείναν.

Α Βασ. 14,29 - καὶ ἔγνω Ἰωνάθαν καὶ εἶπεν· ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν· ἰδὲ δὴ ὅτι εἶδον οἱ ὀφθαλμοί μου ὅτι ἐγευσάμην βραχύ τι τοῦ μέλιτος τούτου·

Α Βασ. 14,29 - Οταν ο Ιωνάθαν έμαθε τον όρκον του πατρός του, είπεν· “ο πατέρας μου έβλαψε τον λαόν. Κυττάξτε ότι το φως των οφθαλμών μου εζωήρευσε με το ολίγον μέλι το οποίον εγεύθην.

Α Βασ. 14,30 - ἀλλ᾿ ὅτι εἰ ἔφαγεν ἔσθων σήμερον ὁ λαὸς τῶν σκύλων τῶν ἐχθρῶν αὐτῶν, ὧν εὗρεν, ὅτι νῦν ἂν μείζων ἦν ἡ πληγὴ ἡ ἐν τοῖς ἀλλοφύλοις.

Α Βασ. 14,30 - Εάν ο λαός έτρωγε σήμερον από την πολεμικήν λείαν, από τα λάφυρα που περιήλθον εις τα χέρια του, θα ενισχύετο και η θραύσις κατά των Φιλισταίων θα ήτο πολύ μεγαλύτερα”.

Α Βασ. 14,31 - καὶ ἐπάταξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τῶν ἀλλοφύλων ἐν Μαχμάς, καὶ ἐκοπίασεν ὁ λαὸς σφόδρα.

Α Βασ. 14,31 - Ο Ισραηλιτικός λαός εν τούτοις κατά την ημέραν αυτήν εκτύπησε το τμήμα των Φιλισταίων, που ευρίσκετο εις Μαχμάς, αλλά εκοπίασε πολύ και περιέπεσεν εις μεγάλην εξάντλησιν λόγω της πείνης.

Α Βασ. 14,32 - καὶ ἐκλήθη ὁ λαὸς εἰς τὰ σκῦλα, καὶ ἔλαβεν ὁ λαὸς ποίμνια καὶ βουκόλια καὶ τέκνα βοῶν καὶ ἔσφαξεν ἐπὶ τὴν γῆν, καὶ ἤσθιεν ὁ λαὸς σὺν τῷ αἵματι.

Α Βασ. 14,32 - Μετά το πέρας της νηστείας, ο λαός προσεκλήθη εις τα λάφυρα των Φιλισταίων να λάβη και να φάγη. Ελαβαν λοιπόν πρόβατα, βόδια, μοσχάρια, τα οποία έσφαζαν κάτω στο χώμα και έφαγαν το κρέας πριν ακόμη στραγγίση το αίμα.

Α Βασ. 14,33 - καὶ ἀπηγγέλη Σαοὺλ λέγοντες· ἡμάρτηκεν ὁ λαὸς τῷ Κυρίῳ φαγὼν σὺν τῷ αἵματι. καὶ εἶπε Σαοὺλ ἐκ Γεθθαίμ· κυλίσατέ μοι λίθον ἐνταῦθα μέγαν.

Α Βασ. 14,33 - Εγνωστοποιήθη στον Σαούλ τούτο, ότι δηλαδή ο λαός ημάρτησεν απέναντι του Κυρίου, διότι έφαγε κρέας μαζή με το αίμα, πράγμα το οποίον απηγόρευεν ο Θεός. Ο Σαούλ ο οποίος ευρίσκετο εις Γεθθαίμ, είπε· “κυλίσατέ μου και φέρετε εδώ ένα μεγάλον λίθον.

Α Βασ. 14,34 - καὶ εἶπε Σαούλ· διασπάρητε ἐν τῷ λαῷ καὶ εἴπατε αὐτοῖς προσαγαγεῖν ἐνταῦθα ἕκαστος τὸν μόσχον αὐτοῦ καὶ ἕκαστος τὸ πρόβατον αὐτοῦ, καὶ σφαζέτω ἐπὶ τούτου, καὶ οὐ μὴ ἁμάρτητε τῷ Κυρίῳ τοῦ ἐσθίειν σὺν τῷ αἵματι· καὶ προσῆγεν ὁ λαὸς ἕκαστος τὸ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἔσφαζον ἐκεῖ.

Α Βασ. 14,34 - Είπεν ακόμη Σαούλ· “διασκορπισθήτε ανάμεσα εις όλον τον λαόν και είπατε στους ανθρώπους να φέρη ο καθένας από αυτούς εδώ το μοσχάρι του, το πρόβατόν του και ας σφάξουν αυτά εις το μέρος τούτο. Ετσι, δεν θα αμαρτήσετε τρώγοντες τας σάρκας μαζή με το αίμα”. Πράγματι

ο καθένας εκ του λαού έφερε το ζώον, που ήτο εις την κατοχήν του, το έσφαζεν εκεί και το αίμα εχύνετο κοντά στον λίθον, που επείχε θέσιν θυσιαστηρίου.

Α Βασ. 14,35 - καὶ ᾠκοδόμησεν ἐκεῖ Σαοὺλ θυσιαστήριον τῷ Κυρίῳ· τοῦτο ἤρξατο Σαοὺλ οἰκοδομῆσαι θυσιαστήριον τῷ Κυρίῳ.

Α Βασ. 14,35 - Ετσι ο Σαούλ οικοδόμησεν εκεί θυσιαστήριον προς τιμήν του Κυρίου. Αυτό δε ήτο το πρώτον θυσιαστήριον, το οποίον οικοδόμησεν ο Σαούλ προς τιμήν του Κυρίου.

Α Βασ. 14,36 - Καὶ εἶπε Σαούλ· καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων τὴν νύκτα καὶ διαρπάσωμεν ἐν αὐτοῖς ἕως διαφαύσῃ ἡμέρα, καὶ μὴ ὑπολείπωμεν ἐν αὐτοῖς ἄνδρα. καὶ εἶπαν· πᾶν τὸ ἀγαθὸν ἐνώπιόν σου ποίει. καὶ εἶπεν ὁ ἱερεύς· προσέλθωμεν ἐνταῦθα πρὸς τὸν Θεόν.

Α Βασ. 14,36 - Είπε τότε ο Σαούλ στον λαόν του· “ας καταβώμεν και να συνεχίσωμεν την καταδίωξιν των Φιλισταίων κατά την νύκτα. Ας λεηλατήσωμεν αυτούς, έως ότου εξημερώση, και ας μη αφήσωμεν κανένα από αυτούς να ζήση”. Οι Ισραηλίται απήντησαν· “ο,τι σου φαίνεται καλόν, αυτό και κάμε”. Ο δε αρχιερεύς Αχιά επρότεινεν· “ας πλησιάσωμεν και ας ερωτήσωμεν δια τούτο τον Θεόν”.

Α Βασ. 14,37 - καὶ ἐπηρώτησε Σαοὺλ τὸν Θεόν· εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, εἰ παραδώσεις αὐτοὺς εἰς χεῖρας Ἰσραήλ; καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Α Βασ. 14,37 - Ο Σαούλ ηρώτησε τον Θεόν· “να καταβώ και να συνεχίσω την καταδίωξιν των Φιλισταίων; Θα παραδώσής αυτούς εις τα χέρια ημών των Ισραηλιτών;» Ο Θεός δεν του απήντησε κατά την ημέραν εκείνην.

Α Βασ. 14,38 - καὶ εἶπε Σαούλ· προσαγάγετε ἐνταῦθα πάσας τὰς γωνίας τοῦ Ἰσραὴλ καὶ γνῶτε καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον·

Α Βασ. 14,38 - Ο Σαούλ έδωσεν εντολήν και είπε· “φέρετε εδώ όλους τους αρχηγούς του λαού. Εξετάσατε και μάθετε, ποίος διέπραξε την αμαρτίαν αυτήν σήμερον.

Α Βασ. 14,39 - ὅτι ζῇ Κύριος ὁ σώσας τὸν Ἰσραήλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. καὶ οὐκ ἦν ὁ ἀποκρινόμενος ἐκ παντὸς τοῦ λαοῦ.

Α Βασ. 14,39 - Διότι, ορκίζομαι στον ζώντα Κυριον, ο οποίος έσωσε τον ισραηλιτικόν λαόν, ότι και αν ακόμη η απάντησις είναι εναντίον του υιού μου του Ιωνάθαν, θα καταδικασθή και αυτός εις θάνατον”. Κανείς όμως από τον λαόν δεν απήντησεν εις την ένορκον αυτήν έκκλησιν του Σαούλ.

Α Βασ. 14,40 - καὶ εἶπε παντὶ ἀνδρὶ Ἰσραήλ· ὑμεῖς ἔσεσθε εἰς δουλείαν, καὶ ἐγὼ καὶ Ἰωνάθαν ὁ υἱός μου ἐσόμεθα εἰς δουλείαν. καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· τὸ ἀγαθὸν ἐνώπιόν σου ποίει.

Α Βασ. 14,40 - Ο Σαούλ είπε τότε στους σιωπώντας Ισραηλίτας· “σεις με την σιωπήν σας, που δεν αποκαλύπτετε τον ένοχον, οδηγείτε τον εαυτόν σας εις υποδούλωσιν. Μαζή δέ με σας θα γίνωμεν δούλοι των Φιλισταίων και εγώ και ο Ιωνάθαν”. Ο λαός τότε απήντησε· “κάμε ο,τι θέλεις”.

Α Βασ. 14,41 - καὶ εἶπε Σαούλ· Κύριε ὁ Θεὸς Ἰσραήλ, τί ὅτι οὐκ ἀπεκρίθης τῷ δούλῳ σου σήμερον; εἰ ἐν ἐμοὶ ἢ ἐν Ἰωνάθαν τῷ υἱῷ μου ἡ ἀδικία; Κύριε ὁ Θεὸς Ἰσραὴλ δὸς δήλους· καὶ ἐὰν τάδε εἴπῃς, ἐν τῷ λαῷ σου Ἰσραήλ, δὸς δὴ ὁσιότητα. καὶ κληροῦται Ἰωνάθαν καὶ Σαούλ, καὶ ὁ λαὸς ἐξῆλθε.

Α Βασ. 14,41 - Είπε τότε ο Σαούλ προς τον Θεόν· “Κυριε, Θεέ του Ισραηλιτικού λαού, διατί δεν απήντησες εις εμέ τον δούλον σου σήμερον, που σε ηρώτησα; Εάν η παράβασις έγινεν από εμέ η από τον Ιωνάθαν, ω Κυριε, Θεέ του Ισραηλιτικού λαού, φανέρωσε τούτο με την δήλωσίν που υπάρχει στο αρχιερατικόν εφούδ. Εάν όμως η ενοχή βαρύνη τον λαόν, φανέρωσον τούτο με την αλήθειαν που υπάρχει στο εφούδ”. Εγινε κλήρος και ο κλήρος έπεσε και ώρισεν ως ενόχους τον Ιωνάθαν και τον Σαούλ. Ο λαός απηλλάγη από κάθε ευθύνην.

Α Βασ. 14,42 - καὶ εἶπε Σαούλ· βάλετε ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον Ἰωνάθαν τοῦ υἱοῦ μου· ὃν ἂν κατακληρώσηται Κύριος, ἀποθανέτω. καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· οὐκ ἔστι τὸ ῥῆμα τοῦτο. καὶ κατεκράτησε Σαοὺλ τοῦ λαοῦ, καὶ βάλλουσιν ἀνὰ μέσον αὐτοῦ καὶ ἀνὰ μέσον Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ κατακληροῦται Ἰωνάθαν.

Α Βασ. 14,42 - Είπε τότε ο Σαούλ· “βάλτε κλήρους δι' εμέ και δια τον υιόν μου τον Ιωνάθαν. Εκείνος δέ, τον οποίον δια του κλήρου θα δείξη ο Κυριος, θα καταδικασθή εις θάνατον”. Ο λαός απήντησε· “δεν ημπορεί να γίνη κάτι τέτοιο”. Αλλά, η γνώμη του Σαούλ επεκράτησεν. Εγινε κλήρωσις μεταξύ αυτού και του υιού του του Ιωνάθαν, ο δε κλήρος έδειξεν ως ένοχον τον Ιωνάθαν.

Α Βασ. 14,43 - καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν· ἀπάγγειλόν μοι τί πεποίηκας. καὶ ἀπήγγειλεν αὐτῷ Ἰωνάθαν καὶ εἶπε· γευόμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ τῷ ἐν τῇ χειρί μου βραχὺ μέλι, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω.

Α Βασ. 14,43 - Ο Σαούλ ηρώτησε τον Ιωνάθαν· “πές μου, τι έκαμες;” Ο Ιωνάθαν ανέφερεν εις αυτόν και είπεν· “με το άκρον της ράβδου μου, που ευρίσκετο εις τα χέρια μου, επήρα και εγεύθην ολίγον μέλι. Και να, τώρα εγώ δια τούτο καταδικάζομαι εις θάνατον”.

Α Βασ. 14,44 - καὶ εἶπεν αὐτῷ Σαούλ· τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον.

Α Βασ. 14,44 - Ο Σαούλ είπεν εις αυτόν· “οιανδήποτε τιμωρίαν και αν θέλη ας μου επιβάλη ο Κυριος, και την ακόμη βαρυτέραν ας προσθέση, εάν δεν καταδικασθής σήμερον εις θάνατον”.

Α Βασ. 14,45 - καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· εἰ σήμερον θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην ταύτην ἐν Ἰσραήλ; ζῇ Κύριος, εἰ πεσεῖται τριχὸς τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὴν γῆν· ὅτι ὁ λαὸς τοῦ Θεοῦ ἐποίησε τὴν ἡμέραν ταύτην. καὶ προσηύξατο ὁ λαὸς περὶ Ἰωνάθαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἀπέθανε.

Α Βασ. 14,45 - Ο ισραηλιτικός όμως λαός είπεν στον Σαούλ· “θα θανατωθή λοιπόν ο Ιωνάθαν σήμερον, αυτός ο οποίος υπήρξεν ο αίτιος της μεγάλης νίκης των Ισραηλιτών; Ο Κυριος ζη και δεν θα πέση ούτε τρίχα από την κεφαλήν του Ιωνάθαν”. Ο λαός του Θεού, ο οποίος επέτυχε την νίκην εκείνην, αυτός προσηυχήθη υπέρ του Ιωνάθαν κατά την ημέραν εκείνην και έτσι δεν κατεδικάσθη αυτός εις θάνατον.

Α Βασ. 14,46 - καὶ ἀνέβη Σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, καὶ οἱ ἀλλόφυλοι ἀπῆλθον εἰς τὸν τόπον αὐτῶν.

Α Βασ. 14,46 - Ο Σαούλ συνέχισε την καταδίωξιν των Φιλισταίων εις Γαβαά, οι δε Φιλισταίοι πανικόβλητοι επανήλθον εις την χώραν των.

Α Βασ. 14,47 - Καὶ Σαοὺλ κατακληροῦται ἔργον ἐπὶ Ἰσραήλ. καὶ ἐπολέμει κύκλῳ πάντας τούς ἐχθροὺς αὐτοῦ, εἰς τὸν Μωὰβ καὶ εἰς τοὺς υἱοὺς Ἀμμὼν καὶ εἰς τοὺς υἱοὺς Ἐδὼμ καὶ εἰς τὸν Βαιθεὼρ καὶ εἰς βασιλέα Σουβὰ καὶ εἰς τοὺς ἀλλοφύλους· οὗ ἂν ἐστράφη, ἐσώζετο.

Α Βασ. 14,47 - Ο Σαούλ είχε λάβει με θείον κλήρον την βασιλικήν εξουσίαν επί του Ισραηλιτικού λαού και επολέμησε τους γύρω εχθρούς του, δηλαδή τους Μωαβίτας, τους Αμμωνίτας, τους Ιδουμαίους, τους κατοικούντας Βαιθεώρ, τον βασιλέα Σουβά και τους Φιλισταίους. Οπουδήποτε δε και αν έστρεφε τας πολεμικάς του επιχειρήσεις, ενικούσε.

Α Βασ. 14,48 - καὶ ἐποίησε δύναμιν καὶ ἐπάταξε τὸν Ἀμαλὴκ καὶ ἐξείλατο τὸν Ἰσραὴλ ἐκ χειρὸς τῶν καταπατούντων αὐτόν.

Α Βασ. 14,48 - Συνεκέντρωσε δε πολύν στρατόν και επολέμησε τους Αμαληκίτας, τους ενίκησε και έτσι απήλλαξε τον ισραηλιτικόν λαόν από τα χέρια των εχθρών των, κάτω από την εξουσίαν των οποίων ευρίσκοντο και συνεχώς ελεηλατούντο.

Α Βασ. 14,49 - καὶ ἦσαν οἱ υἱοὶ Σαοὺλ Ἰωνάθαν καὶ Ἰεσσιοὺ καὶ Μελχισά· καὶ ὀνόματα τῶν δύο θυγατέρων αὐτοῦ, ὄνομα τῇ πρωτοτόκῳ Μερόβ, καὶ ὄνομα τῇ δευτέρᾳ Μελχόλ·

Α Βασ. 14,49 - Οι υιοί του Σαούλ ήσαν· Ο Ιωνάθαν, ο Ιεσσιού και ο Μελχισά. Αι δε δύο θυγατέρες του ωνομάζοντο, η μεν πρωτοτόκος ωνομάζετο Μερόβ, η δε δευτερότοκος ωνομάζετο Μελχόλ.

Α Βασ. 14,50 - καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Ἀχινοὸμ θυγάτηρ Ἀχιμάας. καὶ ὄνομα τῷ ἀρχιστρατήγῳ αὐτοῦ Ἀβεννήρ, υἱὸς Νήρ, υἱοῦ οἰκείου Σαούλ·

Α Βασ. 14,50 - Η σύζυγος του Σαούλ ωνομάζετο Αχινοόμ, ήτο δε θυγάτηρ του Αχιμάας. Ο αρχιστράτηγός του ωνομάζετο Αβεννήρ και ήτο υιός

του Νηρ, υιού του θείου του Σαούλ.

Α Βασ. 14,51 - καὶ Κὶς πατὴρ Σαοὺλ καὶ Νὴρ πατὴρ Ἀβεννὴρ υἱὸς Ἰαμὶν υἱοῦ Ἀβιήλ.

Α Βασ. 14,51 - Ο πατήρ του Σαούλ ωνομάζετο Κις. Ο δε πατήρ του Αβεννήρ ωνομάζετο Νηρ, ήτο δε υιός του Ιαμίν, ο οποίος πάλιν ήτο υιός του Αβιήλ.

Α Βασ. 14,52 - καὶ ἦν ὁ πόλεμος κραταιὸς ἐπὶ τοὺς ἀλλοφύλους πάσας τὰς ἡμέρας Σαούλ. καὶ ἰδὼν Σαοὺλ πάντα ἄνδρα δυνατὸν καὶ πάντα ἄνδρα υἱὸν δυνάμεως καὶ συνήγαγεν αὐτοὺς πρὸς αὐτόν.

Α Βασ. 14,52 - Καθ' όλον το διάστημα της ζωής του Σαούλ ο πόλεμος των Ισραηλιτών εναντίον των Φιλισταίων υπήρξεν έντονος. Ο Σαούλ, όταν έβλεπε άνδρα δυνατόν και ικανόν, τον προσελάμβανεν εις την υπηρεσίαν του.

Α ΒΑΣΙΛΕΙΩΝ 15

Α Βασ. 15,1 - Καὶ εἶπε Σαμουὴλ πρὸς Σαούλ· ἐμὲ ἀπέστειλε Κύριος χρῖσαί σε εἱς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ νῦν ἄκουε τῆς φωνῆς Κυρίου·

Α Βασ. 15,1 - Ο Σαμουήλ είπεν στον Σαούλ· “εμέ έστειλεν ο Θεός να σε χρίσω βασιλέα του Ισραηλιτικού λαού. Ακουσε λοιπόν τώρα την εντολήν του Κυρίου.

Α Βασ. 15,2 - τάδε εἶπε Κύριος Σαβαώθ· νῦν ἐκδικήσω ἃ ἐποίησεν Ἀμαλὴκ τῷ Ἰσραήλ, ὡς ἀπήντησεν αὐτῷ ἐν τῇ ὁδῷ ἀναβαίνοντος αὐτοῦ ἐξ Αἰγύπτου·

Α Βασ. 15,2 - Αυτά διατάσσει Κυριος ο παντοκράτωρ· Τωρα εγώ θα τιμωρήσω τους Αμαλικίτας δι' όσα εκείνοι έπραξαν εναντίον των Ισραηλιτών, όταν τους συνήντησαν καθ' οδόν, καθώς ανέβαιναν από την Αίγυπτον.

Α Βασ. 15,3 - καὶ νῦν πορεύου καὶ πατάξεις τὸν Ἀμαλὴκ καὶ Ἱερὶμ καὶ πάντα τὰ αὐτοῦ καὶ οὐ περιποιήσῃ ἐξ αὐτοῦ καὶ ἐξολοθρεύσεις αὐτὸν καὶ ἀναθεματιεῖς αὐτὸν καὶ πάντα τὰ αὐτοῦ καὶ οὐ φείσῃ ἀπ᾿ αὐτοῦ καὶ ἀποκτενεῖς ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς καὶ ἀπὸ νηπίου ἕως θηλάζοντος καὶ ἀπὸ μόσχου ἕως προβάτου καὶ ἀπὸ καμήλου ἕως ὄνου.

Α Βασ. 15,3 - Πηγαινε λοιπόν τώρα να κτυπήσης τους Αμαληκίτας και αναθεμάτισε αυτούς και όλα τα υπάρχοντά των. Δεν θα λυπηθής κανένα, αλλά θα εξολθρεύσης αυτούς, θα αναθεματίσης αυτούς και τα υπάρχοντά των. Κανένα από αυτούς δεν θα λυπηθής αλλά θα φονεύσης όλους, από άνδρα έως γυναίκα, από νήπιον μέχρι και θηλάζον, από μοσχάρι μέχρι προβάτον, από καμήλαν μέχρι όνον”.

Α Βασ. 15,4 - καὶ παρήγγειλε Σαοὺλ τῷ λαῷ καὶ ἐπισκέπτεται αὐτοὺς ἐν Γαλγάλοις τετρακοσίας χιλιάδας ταγμάτων καὶ τὸν Ἰούδαν τριάκοντα χιλιάδας ταγμάτων.

Α Βασ. 15,4 - Ο Σαούλ έκαμε αυτά γνωστά εις όλον τον λαόν και ώρισεν ως συγκέντρωσιν του στρατού τα Γαλγαλα. Εκεί επεθεώρησε και ηρίθμησεν ο Σαούλ τον στρατόν του, ο οποίος ευρέθη από μεν τας άλλας φυλάς ότι ανήρχετο εις τετρακοσίας χιλιάδας πεζών, από δε την φυλήν του Ιούδα εις τριάκοντα χιλιάδας πεζούς.

Α Βασ. 15,5 - καὶ ἦλθε Σαοὺλ ἕως τῶν πόλεων Ἀμαλὴκ καὶ ἐνήδρευσεν ἐν τῷ χειμάῤῥῳ.

Α Βασ. 15,5 - Ο Σαούλ με τον στρατόν αυτόν επροχώρησεν έως εις τας πόλεις των Αμαληκιτών και έστησεν ενέδρας εις κάποιον ξηροπόταμον.

Α Βασ. 15,6 - καὶ εἶπε Σαοὺλ πρὸς τὸν Κιναῖον· ἄπελθε καὶ ἔκκλινον ἐκ μέσου τοῦ Ἀμαληκίτου, μὴ προσθῶ σε μετ᾽ αὐτοῦ, καὶ σὺ ἐποίησας ἔλεος μετὰ τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ ἀναβαίνειν αὐτοὺς ἐξ Αἰγύπτου· καὶ ἐξέκλινεν ὁ Κιναῖος ἐκ μέσου Ἀμαλήκ.

Α Βασ. 15,6 - Ο Σαούλ, πριν επιχειρήση τι κατά των Αμαληκιτών, είπεν στους Κιναίους απογόνους του πενθερού του Μωϋσέως· "φύγετε, εξέλθετε εκ μέσου των Αμαληκιτών, δια να μη συμπεριλάβη και σας η τιμωρία, που θα επιπέση εναντίον εκείνων, πράγμα που δεν επιθυμώ, διότι οι πρόγονοί σας εβοήθησαν τους Ισραηλίτας, όταν ανέβαιναν από την Αίγυπτον". Οι Κιναίοι πράγματι απεμακρύνθησαν εκ μέσου των Αμαληκιτών.

Α Βασ. 15,7 - καὶ ἐπάταξε Σαοὺλ τὸν Ἀμαλὴκ ἀπὸ Εὐιλὰτ ἕως Σοὺρ ἐπὶ προσώπου Αἰγύπτου.

Α Βασ. 15,7 - Κατόπιν ο Σαούλ επετέθη και κατενίκησε τους Αμαληκίτας από την Ευϊλάτ έως την Σουρ ανατολικά από την Αίγυπτον.

Α Βασ. 15,8 - καὶ συνέλαβε τὸν Ἀγὰγ βασιλέα Ἀμαλὴκ ζῶντα καὶ πάντα τὸν λαὸν καὶ Ἱερὶμ ἀπέκτεινεν ἐν στόματι ῥομφαίας.

Α Βασ. 15,8 - Συνέλαβε δε αιχμάλωτον τον Αγάγ τον βασιλέα των Αμαληκιτών, τον οποίον και εκράτησεν εις την ζωήν, ενώ όλον τον άλλον λαόν των Αμαληκιτών κατά τον αναθεματισμόν τον επέρασεν εν στόματι μαχαίρας.

Α Βασ. 15,9 - καὶ περιεποιήσατο Σαοὺλ καὶ πᾶς ὁ λαὸς τὸν Ἀγὰγ ζῶντα καὶ τὰ ἀγαθὰ τῶν ποιμνίων καὶ τῶν βουκολίων καὶ τῶν ἐδεσμάτων καὶ τῶν ἀμπελώνων καὶ πάντων τῶν ἀγαθῶν καὶ οὐκ ἐβούλοντο ἐξολοθρεῦσαι αὐτά· καὶ πᾶν ἔργον ἠτιμωμένον καὶ ἐξουδενωμένον ἐξωλόθρευσαν.

Α Βασ. 15,9 - Ο Σαούλ και ο ισραηλιτικός λαός ελυπήθησαν και δεν εφόνευσαν τον Αγάγ, τον εκράτησαν ζώντα. Και δεν κατέστρεψαν τα εκλεκτά από τα πρόβατά του, από τα βόδια του, από τα φαγητά του, τους αμπελώνας του και γενικώς όλα εκείνα τα εκλεκτά αγαθά που είχε. Δεν ηθέλησαν να τα

καταστρέψουν, όπως ο Θεός τους είχε διατάξει, αλλά κατέστρεψαν κάθε τι μηδαμινόν και ευτελές.

Α Βασ. 15,10 - Καὶ ἐγενήθη ῥῆμα Κυρίου πρὸς Σαμουὴλ λέγων·

Α Βασ. 15,10 - Ο Κυριος είπε τότε προς τον Σαμουήλ τα εξής·

Α Βασ. 15,11 - παρακέκλημαι ὅτι ἐβασίλευσα τὸν Σαοὺλ εἰς βασιλέα, ὅτι ἀπέστρεψεν ἀπὸ ὄπισθέν μου καὶ τοὺς λόγους μου οὐκ ἐτήρησε. καὶ ἠθύμησε Σαμουὴλ καὶ ἐβόησε πρὸς Κύριον ὅλην τὴν νύκτα.

Α Βασ. 15,11 - "μετεμελήθην διότι κατέστησα τον Σαούλ βασιλέα, επειδή αυτός απεμακρύνθη από τον δρόμον μου και δεν ετήρησε τας εντολάς μου". Ο Σαμουήλ όταν ήκουσεν αυτά, περιέπεσεν εις μεγάλην λύπην και με θερμήν προσευχήν όλην την νύκτα εβόησε προς τον Κυριον.

Α Βασ. 15,12 - καὶ ὤρθρισε Σαμουὴλ καὶ ἐπορεύθη εἰς ἀπάντησιν Ἰσραὴλ τὸ πρωΐ. καὶ ἀπηγγέλη τῷ Σαοὺλ λέγοντες· ἥκει Σαμουὴλ εἰς Κάρμηλον καὶ ἀνέστακεν αὐτῷ χεῖρα καὶ ἐπέστρεψε τὸ ἅρμα. καὶ κατέβη εἰς Γάλγαλα πρὸς Σαούλ, καὶ ἰδοὺ αὐτὸς ἀνέφερεν ὁλοκαύτωσιν τῷ Κυρίῳ τὰ πρῶτα τῶν σκύλων, ὧν ἤνεγκεν ἐξ Ἀμαλήκ.

Α Βασ. 15,12 - Εσηκώθη δε λίαν πρωϊ και επορεύθη, δια να συναντήση τους Ισραηλίτας. Εγνωστοποιήθη στον Σαούλ το γεγονός και του είπαν· "έχει έλθει ο Σαμουήλ στο Καρμηλον όρος". Εκεί ο Σαούλ είχεν ανεγείρει τρόπαιον. Ο Σαμουήλ ιδών το τρόπαιον αυτού ήλλαξε κατεύθυνσιν του άρματός του. Κατέβη εις τα Γαλγαλα προς τον Σαούλ. Και ιδού είδεν αυτόν να προσφέρη θυσίαν ολοκαυτώματος προς τον Κυριον τα εκλεκτότερα από τα λάφυρα, που είχε πάρει κατά τον πόλεμον εναντίον των Αμαληκιτών.

Α Βασ. 15,13 - καὶ παρεγένετο Σαμουὴλ πρὸς Σαούλ, καὶ εἶπεν αὐτῷ Σαούλ· εὐλογητὸς σὺ τῷ Κυρίῳ· ἔστησα πάντα, ὅσα ἐλάλησε Κύριος.

Α Βασ. 15,13 - Ο Σαμουήλ ήλθε προς τον Σαούλ, ο δε Σαούλ τον εχαιρέτησεν ειρηνικώς και είπε προς αυτόν· "ευλογημένος ας είσαι από τον Κυριον. Εγώ ετήρησα όλα όσα ο Κυριος είχε διατάξει".

Α Βασ. 15,14 - καὶ εἶπε Σαμουήλ· καὶ τίς ἡ φωνὴ τοῦ ποιμνίου τούτου ἐν τοῖς ὠσί μου καὶ φωνὴ τῶν βοῶν, ὧν ἐγὼ ἀκούω;

Α Βασ. 15,14 - Ο Σαμουήλ τον ηρώτησε· "τι είναι αυτά τα βελάσματα προβάτων, που φθάνουν εις τα αυτιά μου και τι σημαίνουν οι μυκηθμοί αυτοί των βοών, που ακούω;"

Α Βασ. 15,15 - καὶ εἶπε Σαούλ· ἐξ Ἀμαλὴκ ἤνεγκα αὐτά, ἃ περιεποιήσατο ὁ λαὸς τὰ κράτιστα τοῦ ποιμνίου καὶ τῶν βοῶν, ὅπως τυθῇ Κυρίῳ τῷ Θεῷ σου, καὶ τὰ λοιπὰ ἐξωλόθρευσα.

Α Βασ. 15,15 - Ο Σαούλ απήντησεν· "αυτά προέρχονται από τους Αμαληκίτας. Είναι δε τα καλύτερα από τα πρόβατά τους και από τα βόδια τους, τα οποία ο λαός δεν εξωλόθρευσε, δια να τα προσφέρη θυσίαν εις Κυριον τον Θεόν· όλα δε τα αλλά τα κατέστρεψα".

Α Βασ. 15,16 - καὶ εἶπε Σαμουὴλ πρὸς Σαούλ· ἄνες καὶ ἀπαγγελῶ σοι ἃ ἐλάλησε Κύριος πρός με τὴν νύκτα· καὶ εἶπεν αὐτῷ· λάλησον.

Α Βασ. 15,16 - Είπε τότε ο Σαμουήλ προς τον Σαούλ· "άφησε αυτάς τας δικαιολογίας. Θα σου αναγγείλω όσα μου είπεν ο Θεός κατά την νύκτα αυτήν". Ο Σαούλ απήντησεν· "ειπέ τα".

Α Βασ. 15,17 - καὶ εἶπε Σαμουὴλ πρὸς Σαούλ· οὐχὶ μικρὸς εἶ σὺ ἐνώπιον αὐτοῦ ἡγούμενος σκήπτρου φυλῆς Ἰσραήλ; καὶ ἔχρισέ σε Κύριος εἰς βασιλέα ἐπὶ Ἰσραήλ.

Α Βασ. 15,17 - Ο Σαμουήλ είπε τότε προς αυτόν· "συ δεν ήσουνα πολύ μικρός ενώπιον του Θεού, όταν έγινες βασιλεύς και έλαβες εις τα χέρια σου το σκήπτρον των φύλων του Ισραηλιτικού λαού, τότε που ο Θεός σε εχρισε βασιλέα του λαού αυτού;

Α Βασ. 15,18 - καὶ ἀπέστειλέ σε Κύριος ἐν ὁδῷ καὶ εἶπέ σοι· πορεύθητι καὶ ἐξολόθρευσον τοὺς ἁμαρτάνοντας εἰς ἐμέ, τὸν Ἀμαλήκ, καὶ πολεμήσεις αὐτοὺς ἕως συντελέσῃς αὐτούς.

Α Βασ. 15,18 - Ο Θεός σε ωδήγησεν στον δρόμον εκείνον της καταστροφής των Αμαληκιτών και είπε προς σέ· Πηγαινε, εξολόθρευσε αυτούς, οι οποίοι ημάρτησαν απέναντί μου, τους Αμαληκίτας. Θα πολεμήσης, μέχρις ότου ότι ολοκληρώσης τον όλεθρόν των.

Α Βασ. 15,19 - καὶ ἱνατί οὐκ ἤκουσας φωνῆς Κυρίου, ἀλλ᾿ ὥρμησας τοῦ θέσθαι ἐπὶ τὰ σκῦλα καὶ ἐποίησας τὸ πονηρὸν ἐνώπιον Κυρίου;

Α Βασ. 15,19 - Διατί δεν ήκουσες την εντολήν του Κυρίου, αλλά ερρίφθης και άπλωσες τα χέρια σου εις τα λάφυρα και έτσι διέπραξες την μεγάλην αυτήν παράβασιν ενώπιον του Κυρίου;"

Α Βασ. 15,20 - καὶ εἶπε Σαοὺλ πρὸς Σαμουήλ· διὰ τὸ ἀκοῦσαί με τῆς φωνῆς τοῦ λαοῦ· καὶ ἐπορεύθην τῇ ὁδῷ, ᾗ ἀπέστειλέ με Κύριος, καὶ ἤγαγον τὸν Ἀγὰγ βασιλέα Ἀμαλὴκ καὶ τὸν Ἀμαλὴκ ἐξωλόθρευσα·

Α Βασ. 15,20 - Ο Σαούλ απήντησε προς τον Σαμουήλ· "υπήκουσα εις την φωνήν του λαού. Επορεύθην στον δρόμον, στον οποίον με είχε στείλει ο Κυριος και έφερα ζωντανόν τον βασιλέα των Αμαληκιτών τον Αγάγ, αλλά τους Αμαληκίτας τους εξωλόθρευσα.

Α Βασ. 15,21 - καὶ ἔλαβεν ὁ λαὸς τῶν σκύλων ποίμνια καὶ βουκόλια, τὰ πρῶτα τοῦ ἐξολοθρεύματος, θῦσαι ἐνώπιον Κυρίου Θεοῦ ἡμῶν ἐν Γαλγάλοις.

Α Βασ. 15,21 - Ο λαός επήρεν από τα καλύτερα εκ των αναθεματισμένων λαφύρων, πρόβατα και βόδια, δια να θυσιάση αυτά προς τον Κυριον εις τα Γαλγαλα".

Α Βασ. 15,22 - καὶ εἶπε Σαμουήλ· εἰ θελητὸν τῷ Κυρίῳ ὁλοκαυτώματα καὶ θυσίας ὡς τὸ ἀκοῦσαι φωνῆς Κυρίου; ἰδοὺ ἀκοὴ ὑπὲρ θυσίαν ἀγαθὴν καὶ ἡ ἐπακρόασις ὑπὲρ στέαρ κριῶν·

Α Βασ. 15,22 - Ο Σαμουήλ είπε· “νομίζεις ότι είναι προτιμότερα δια τον Κυριον τα ολοκαυτώματα και αι άλλαι θυσίαι, από το να υπακούη κανείς εις την εντολήν του; Η υπακοή εις την εντολήν του είναι ανωτέρα από κάθε θυσίαν και η προσεκτική ακρόασις του θελήματός του είναι προτιμοτέρα και από το λίπος των κριών.

Α Βασ. 15,23 - ὅτι ἁμαρτία οἰώνισμά ἐστιν, ὀδύνην καὶ πόνους θεραφὶν ἐπάγουσιν· ὅτι ἐξουδένωσας τὸ ῥῆμα Κυρίου, καὶ ἐξουδενώσει σε Κύριος μὴ εἶναι βασιλέα ἐπὶ Ἰσραήλ.

Α Βασ. 15,23 - Είναι δε αμαρτία, ομοιάζει με ειδωλολατρικήν θυσίαν και φέρει οδύνην και πόνον η προσφορά θυσιών χωρίς υπακοήν στο θείον θέλημα. Επειδή δε κατεφρόνησες την εντολήν του Κυρίου, δια τούτο θα σε αποδοκιμάση ο Κυριος, ώστε να μη είσαι πλέον βασιλεύς στους Ισραηλίτας”.

Α Βασ. 15,24 - καὶ εἶπε Σαοὺλ πρὸς Σαμουήλ· ἡμάρτηκα ὅτι παρέβην τὸν λόγον Κυρίου καὶ τὸ ῥῆμά σου, ὅτι ἐφοβήθην τὸν λαὸν καὶ ἤκουσα τῆς φωνῆς αὐτῶν·

Α Βασ. 15,24 - Είπε τότε συγκινημένος ο Σαουλ προς τον Σαμουήλ· “ημάρτηκα, διότι παρέβην την εντολήν του Κυρίου και τον ιδικόν σου λόγον. Εκαμα όμως αυτό, διότι εφοβήθην τον λαόν και την φωνήν του λαού ήκουσα.

Α Βασ. 15,25 - καὶ νῦν ἆρον δὴ τὸ ἁμάρτημά μου καὶ ἀνάστρεψον μετ᾿ ἐμοῦ, καὶ προσκυνήσω Κυρίῳ τῷ Θεῷ σου.

Α Βασ. 15,25 - Τωρα συγχώρησέ με και εξάλειψε το αμάρτημά μου και έλα πάλιν μαζή μου και θα λατρεύσω τον Κυριον τον Θεόν σου”.

Α Βασ. 15,26 - καὶ εἶπε Σαμουὴλ πρὸς Σαούλ· οὐκ ἀναστρέφω μετὰ σοῦ, ὅτι ἐξουδένωσας τὸ ῥῆμα Κυρίου, καί ἐξουδενώσει σε Κύριος τοῦ μὴ εἶναι βασιλέα ἐπὶ τὸν Ἰσραήλ.

Α Βασ. 15,26 - Ο Σαμουήλ είπε προς τον Σαούλ· “δεν θα είμαι πλέον μαζή σου, διότι κατεφρόνησες την εντολήν του Κυρίου. Δια τούτο θα σε εξουθενώση ο Κυριος, ώστε να μη είσαι πλέον βασιλεύς του Ισραηλιτικού λαού”.

Α Βασ. 15,27 - καὶ ἐπέστρεψε Σαμουὴλ τὸ πρόσωπον αὐτοῦ τοῦ ἀπελθεῖν. καὶ ἐκράτησε Σαοὺλ τοῦ πτερυγίου τῆς διπλοΐδος αὐτοῦ καὶ διέῤῥηξεν αὐτό·

Α Βασ. 15,27 - Και ο Σαμουήλ εγύρισε το πρόσωπόν του, δια να απομακρυνθή από τον Σαούλ. Εκείνος εκράτησε το άκρον από το επανωφόριον του Σαμουήλ και το έσχισεν.

Α Βασ. 15,28 - καὶ εἶπε πρὸς αὐτὸν Σαμουήλ· διέῤῥηξε Κύριος τὴν βασιλείαν σου ἀπὸ Ἰσραὴλ ἐκ χειρός σου σήμερον καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ ἀγαθῷ ὑπὲρ σέ·

Α Βασ. 15,28 - Ο Σαμουήλ του είπε τότε· “έσχισεν ο Κυριος την βασιλείαν σου επί του Ισραηλιτικού λαού σήμερον. Την επήρε από τα χέρια σου και θα

την δώση στον πλησίον σου, ο οποίος θα είναι πολύ καλύτερος από σέ.

Α Βασ. 15,29 - καὶ διαιρεθήσεται Ἰσραὴλ εἰς δύο, καὶ οὐκ ἀποστρέψει οὐδὲ μετανοήσει, ὅτι οὐχ ὡς ἄνθρωπός ἐστι τοῦ μετανοῆσαι αὐτός.

Α Βασ. 15,29 - Ο δε Ισραηλιτικός λαός θα διαιρεθή εις δύο βασίλεια. Ο Θεός θα πραγματοποιήση τούτο και δεν θα αλλάξη γνώμην, ούτε θα μετανοήση, διότι δεν είναι άνθρωπος ώστε να μετανοή".

Α Βασ. 15,30 - καὶ εἶπε Σαούλ· ἡμάρτηκα, ἀλλὰ δόξασόν με δὴ ἐνώπιον πρεσβυτέρων Ἰσραὴλ καὶ ἐνώπιον λαοῦ μου καὶ ἀνάστρεψον μετ᾿ ἐμοῦ, καὶ προσκυνήσω Κυρίῳ τῷ Θεῷ σου.

Α Βασ. 15,30 - Ο Σαούλ είπε πάλιν· "ομολογώ ότι ημάρτησα. Σε παρακαλώ όμως αποκατάστησέ με, όπως ήμουνα πριν ενώπιον των πρεσβυτέρων και του Ισραηλιτικού λαού. Ελα και συ μαζή μου και σου υπόσχομαι ότι θα λατρεύσω Κυριον τον Θεόν σου".

Α Βασ. 15,31 - καὶ ἀνέστρεψε Σαμουὴλ ὀπίσω Σαοὺλ καὶ προσεκύνησε τῷ Κυρίῳ.

Α Βασ. 15,31 - Ο Σαμουήλ επέστρεψε πράγματι και ηκολούθησε τον Σαούλ, ο οποίος και ελάτρευσε τον Κυριον.

Α Βασ. 15,32 - καὶ εἶπε Σαμουήλ· προσαγάγετέ μοι τὸν Ἀγὰγ βασιλέα Ἀμαλήκ. καὶ προσῆλθε πρὸς αὐτὸν Ἀγὰγ τρέμων, καὶ εἶπεν Ἀγάγ· εἰ οὕτω πικρὸς ὁ θάνατος;

Α Βασ. 15,32 - Ο Σαμουήλ έδωσεν εντολήν και είπε· "φέρετε εδώ τον Αγάγ τον βασιλέα των Αμαληκιτών". Και τον έφεραν. Προσήλθεν ο Αγάγ πλησίον στον Σαμουήλ τρέμων. Βλέπων δε τον θάνατον που επήρχετο, είπε· "τόσον λοιπόν πικρός είναι ο θάνατος !"

Α Βασ. 15,33 - καὶ εἶπε Σαμουὴλ πρὸς Ἀγάγ· καθότι ἠτέκνωσε γυναῖκας ἡ ῥομφαία σου, οὕτως ἀτεκνωθήσεται ἐκ γυναικῶν ἡ μήτηρ σου, καὶ ἔσφαξε Σαμουὴλ τὸν Ἀγὰγ ἐνώπιον Κυρίου ἐν Γαλγάλ.

Α Βασ. 15,33 - Ο Σαμουήλ είπε προς τον Αγάγ· "όπως η ρομφαία σου αφήκε μητέρας χωρίς παιδιά, έτσι και εν μέσω των άλλων μητέρων η δική σου μητέρα θα μείνη χωρίς σέ, το τέκνον της". Ο Σαμουήλ έσφαξε τον Αγάγ εις Γαλγαλα ενώπιον του Κυρίου.

Α Βασ. 15,34 - καὶ ἀπῆλθε Σαμουὴλ εἰς Ἀρμαθαίμ, καὶ Σαοὺλ ἀνέβη εἰς τὸν οἶκον αὐτοῦ εἰς Γαβαά.

Α Βασ. 15,34 - Ανεχώρησεν ο Σαμουήλ δια την ιδιαιτέραν του πατρίδα, την Αρμαθαίμ, ο δε Σαούλ ανέβη στον οίκον του εις Γαβαά.

Α Βασ. 15,35 - καὶ οὐ προσέθετο ἔτι Σαμουὴλ ἰδεῖν τὸν Σαοὺλ ἕως ἡμέρας θανάτου αὐτοῦ, ὅτι ἐπένθει Σαμουὴλ ἐπὶ Σαούλ· καὶ Κύριος μετεμελήθη ὅτι ἐβασίλευσε τὸν Σαοὺλ ἐπὶ Ἰσραήλ.

Α Βασ. 15,35 - Ο Σαμουήλ δεν επεδίωξε να επανίδη πλέον τον Σαούλ μέχρι του θανάτου του και εθρήνει δια το κατάντημα του Σαούλ. Ο δε Κυριος

μετεμελήθη, διότι κατέστησε βασιλέα του Ισραηλιτικού λαού τον Σαούλ.

Α ΒΑΣΙΛΕΙΩΝ 16

Α Βασ. 16,1 - Καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαούλ, κἀγὼ ἐξουδένωκα αὐτὸν μὴ βασιλεύειν ἐπὶ Ἰσραήλ; πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ δεῦρο ἀποστείλω σε πρὸς Ἰεσσαὶ ἕως Βηθλεέμ, ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς αὐτοῦ ἐμοὶ βασιλέα.

Α Βασ. 16,1 - Είπε δε ο Κυριος προς τον Σαμουήλ· “έως πότε συ θα πένθής δια τον Σαούλ; Εγώ εξουθένωσα και απέρριψα αυτόν, ώστε να μη είναι πλέον βασιλεύς στον ισραηλιτικόν λαόν. Γέμισε το δοχείον σου με έλαιον και έλα, διότι θα σε στείλω προς τον Ιεσσαί έως την Βηθλεέμ, επειδή είδα μεταξύ των υιών του εκείνον, ο οποίος θα είναι βασιλεύς όπως εγώ τον θέλω”.

Α Βασ. 16,2 - καὶ εἶπε Σαμουήλ· πῶς πορευθῶ; καὶ ἀκούσεται Σαοὺλ καὶ ἀποκτενεῖ με. καὶ εἶπε Κύριος· δάμαλιν βοῶν λαβὲ ἐν τῇ χειρί σου καὶ ἐρεῖς· θῦσαι τῷ Κυρίῳ ἥκω·

Α Βασ. 16,2 - Ο Σαμουήλ απήντησε· “πως να πορευθώ; Ο Σαούλ θα πληροφορηθή το γεγονός αυτό και θα με φονεύση”. Ο Κυριος απήντησε· “πάρε μίαν δάμαλιν από τα βόδια, την οποίαν θα οδηγήσης μέχρι της Βηθλεέμ, και εκεί θα πης· Ηλθα να θυσιάσω αυτήν στον Κυριον.

Α Βασ. 16,3 - καὶ καλέσεις τὸν Ἰεσσαὶ εἰς τὴν θυσίαν, καὶ γνωριῶ σοι ἃ ποιήσεις, καὶ χρίσεις ὃν ἂν εἴπω πρός σε.

Α Βασ. 16,3 - Κατά δε την θυσίαν θα προσκαλέσης τον Ιεσσαί και εκεί εγώ θα σου αποκαλύψω, τι πρέπει να κάμης. Θα χρίσης δηλαδή βασιλέα εκείνον, τον οποίον εγώ θα σου υποδείξω”.

Α Βασ. 16,4 - καὶ ἐποίησε Σαμουὴλ πάντα, ἃ ἐλάλησεν αὐτῷ Κύριος, καὶ ἦλθεν εἰς Βηθλεέμ. καὶ ἐξέστησαν οἱ πρεσβύτεροι τῆς πόλεως τῇ ἀπαντήσει αὐτοῦ καὶ εἶπαν· εἰρήνη ἡ εἴσοδός σου, ὁ βλέπων;

Α Βασ. 16,4 - Ο Σαμουήλ έκαμεν όλα όσα διέταξεν αυτόν ο Κυριος. Και ήλθεν εις την Βηθλεέμ. Οι πρεσβύτεροι της Βηθλεέμ, όταν τον είδαν εκεί, εξεπλάγησαν και είπαν· “ο ερχομός σου είναι ειρηνικός και ευχάριστος δι' ημάς, ω προφήτα;”

Α Βασ. 16,5 - καὶ εἶπεν· εἰρήνη· θῦσαι τῷ Κυρίῳ ἥκω, ἁγιάσθητε καὶ εὐφράνθητε μετ᾿ ἐμοῦ σήμερον, καὶ ἡγίασε τὸν Ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐκάλεσεν αὐτοὺς εἰς τὴν θυσίαν.

Α Βασ. 16,5 - Ο Σαμουήλ απήντησε “ναι, ειρηνικός και ευχάριστος είναι. Ηλθα να θυσιάσω προς τον Κυριον. Ετοιμασθήτε να λάβετε μέρος και σεις μαζή μου εις την θυσίαν σήμερον”. Ο Σαμουήλ εξήγνισε, σύμφωνα με τον

Νομον, τον Ιεσσαί και τα παιδιά του και έπειτα προσεκάλεσε και αυτούς εις την θυσίαν.

Α Βασ. 16,6 - καὶ ἐγενήθη ἐν τῷ εἰσιέναι αὐτοὺς καὶ εἶδε τὸν Ἐλιὰβ καὶ εἶπεν· ἀλλὰ καὶ ἐνώπιον Κυρίου χριστὸς αὐτοῦ.

Α Βασ. 16,6 - Μετά την θυσίαν, όταν ο Σαμουήλ μαζή με τον Ιεσσαί και τα παιδιά του εισήλθαν εις την οικίαν του Ιεσσαί, είδε τον μεγαλύτερον υιόν του Ιεσσαί τον Ελιάβ, και εσκέφθη από μέσα του και είπε· “αυτός είναι εκείνος ο οποίος ενώπιον του Κυρίου θα είναι άξιος να χρισθή βασιλεύς”.

Α Βασ. 16,7 - καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· μὴ ἐπιβλέψῃς ἐπὶ τὴν ὄψιν αὐτοῦ μηδὲ εἰς τὴν ἕξιν μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν· ὅτι οὐχ ὡς ἐμβλέψεται ἄνθρωπος, ὄψεται ὁ Θεός, ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς ὄψεται εἰς καρδίαν.

Α Βασ. 16,7 - Ο Κυριος όμως είπεν στον Σαμουήλ· “μη προσέχης και μη παρασύρεσαι από την εξωτερικήν του όψιν, από την ωραιότητά του, ούτε από το ανάστημά του, διότι εγώ απέρριψα αυτόν. Ο Θεός δεν βλέπει, όπως βλέπουν οι άνθρωποι. Ο άνθρωπος βλέπει το πρόσωπον. Ο Θεός βλέπει την καρδίαν”.

Α Βασ. 16,8 - καὶ ἐκάλεσεν Ἰεσσαὶ τὸν Ἀμιναδάβ, καὶ παρῆλθε κατὰ πρόσωπον Σαμουήλ, καὶ εἶπεν· οὐδὲ τοῦτον ἐξελέξατο ὁ Θεός.

Α Βασ. 16,8 - Ο Ιεσσαί εκάλεσε κατόπιν τον άλλον υιόν του τον Αμιναδάβ, ο οποίος προσήλθεν ενώπιον του Σαμουήλ. Ο Σαμουήλ είπεν· “ούτε αυτόν εξέλεξεν ο Θεός ως βασιλέα”.

Α Βασ. 16,9 - καὶ παρήγαγεν Ἰεσσαὶ τὸν Σαμά· καὶ εἶπε· καὶ ἐν τούτῳ οὐκ ἐξελέξατο Κύριος.

Α Βασ. 16,9 - Κατόπιν ο Ιεσσαί ωδήγησεν ενώπιον του Σαμουήλ τον τρίτον υιόν του, τον Σαμά. Ο Σαμουήλ είπεν από μέσα του· “ούτε αυτόν εξέλεξεν ο Κυριος ως βασιλέα”.

Α Βασ. 16,10 - καὶ παρήγαγεν Ἰεσσαὶ τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ ἐνώπιον Σαμουήλ· καὶ εἶπε Σαμουήλ· οὐκ ἐξελέξατο Κύριος ἐν τούτοις.

Α Βασ. 16,10 - Ο Ιεσσαί ωδήγησεν ενώπιον του Σαμουήλ και τους άλλους τέσσαρας υιούς του, εν όλω επτά. Ο Σαμουήλ είπε· “κανένα από αυτούς δεν εξέλεξεν ο Κυριος ως βασιλέα”.

Α Βασ. 16,11 - καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαί· ἐκλελοίπασι τὰ παιδάρια; καὶ εἶπεν· ἔτι ὁ μικρὸς ἰδοὺ ποιμαίνει ἐν τῷ ποιμνίῳ. καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαί· ἀπόστειλον καὶ λαβὲ αὐτόν, ὅτι οὐ μὴ κατακλιθῶμεν ἕως τοῦ ἐλθεῖν αὐτόν.

Α Βασ. 16,11 - Η ρώτησε τότε ο Σαμουήλ τον Ιεσσαί· “δεν έχεις άλλα παιδιά;” Ο Ιεσαί απήντησεν· “έχω και κάποιον νεαρόν, ο οποίος βόσκει τα πρόβατα”. Του είπεν ο Σαμουήλ· “στείλε άνθρωπον και φέρε τον εδώ, διότι δεν θα καθήσωμεν εις την τράπεζαν του φαγητού, πριν έλθη και αυτός”.

Α Βασ. 16,12 - καὶ ἀπέστειλε καὶ εἰσήγαγεν αὐτόν· καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν καὶ ἀγαθὸς ὁράσει Κυρίῳ. καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· ἀνάστα καὶ χρῖσον τὸν Δαυίδ, ὅτι οὗτός ἐστιν ἀγαθός.

Α Βασ. 16,12 - Ο Ιεσσαί έστειλε και έφερεν αυτόν και τον παρουσίασεν στον Σαμουήλ. Ο νεαρός αυτός υιός του Ιεσσαί ήτο ξανθός, είχεν ωραία μάτια και ήτα αγαθός ενώπιον του Κυρίου. Είπε τότε ο Κυριος προς τον Σαμουήλ· “σήκω και χρίσε ως βασιλέα τον Δαυίδ, διότι αυτός είναι αγαθός και άξιος ενώπιόν μου”.

Α Βασ. 16,13 - καὶ ἔλαβε Σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου καὶ ἔχρισεν αὐτὸ ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἐφήλατο πνεῦμα Κυρίου ἐπὶ Δαυὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπάνω. καὶ ἀνέστη Σαμουὴλ καὶ ἀπῆλθεν εἰς Ἀρμαθαίμ.

Α Βασ. 16,13 - Ο Σαμουήλ επήρε το δοχείον με το έλαιον και από όλους τους άλλους αδελφούς αυτόν έχρισεν ως βασιλέα. Από δε την ημέραν εκείνην και έπειτα Πνεύμα Κυρίου επλημμύρισε τον Δαυίδ και τον καθωδηγούσε. Κατόπιν αυτών ο Σαμουήλ εσηκώθη και ανεχώρησε δια την πατρίδα του την Αρμαθαίμ.

Α Βασ. 16,14 - Καὶ πνεῦμα Κυρίου ἀπέστη ἀπὸ Σαούλ, καὶ ἔπνιγεν αὐτὸν πνεῦμα πονηρὸν παρὰ Κυρίου.

Α Βασ. 16,14 - Κατά τον καιρόν εκείνον το Πνεύμα του Κυρίου είχεν απομακρυνθή από τον Σαούλ. Ενα δε άλλο πνεύμα, κατά παραχώρησιν Θεού, πνεύμα πονηρόν ετάρασσεν αυτόν.

Α Βασ. 16,15 - καὶ εἶπαν οἱ παῖδες Σαοὺλ πρὸς αὐτόν· ἰδοὺ δὴ πνεῦμα Κυρίου πονηρὸν πνίγει σε·

Α Βασ. 16,15 - Οι δούλοι του Σαούλ του είπαν· “ιδού, λοιπόν, ότι ένα πνεύμα πονηρόν κατά παραχώρησιν του Κυρίου σε πνίγει.

Α Βασ. 16,16 - εἰπάτωσαν δὴ οἱ δοῦλοί σου ἐνώπιόν σου, καὶ ζητησάτωσαν τῷ Κυρίῳ ἡμῶν ἄνδρα εἰδότα ψάλλειν ἐν κινύρᾳ, καὶ ἔσται ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπί σοι καὶ ψαλῇ ἐν τῇ κινύρᾳ αὐτοῦ καὶ ἀγαθόν σοι ἔσται καὶ ἀναπαύσει σε.

Α Βασ. 16,16 - Και τώρα άκουσε και την γνώμην ημών των δούλων σου. Επίτρεψόν μας να ζητήσωμεν δια σε τον κύριόν μας ένα άνδρα, που να γνωρίζη να παίζη κιθάραν, ώστε, όταν το πονηρόν πνεύμα σε καταλαμβάνη, να παίζη αυτός την κιθάραν του και το παίξιμόν του θα σου κάμνη καλόν, διότι θα σου φέρη ανάπαυσιν και ηρεμίαν”.

Α Βασ. 16,17 - καὶ εἶπε Σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ· ἴδετε δή μοι ἄνδρα ὀρθῶς ψάλλοντα καὶ εἰσαγάγετε αὐτὸν πρός με.

Α Βασ. 16,17 - Είπε τότε ο Σαουλ προς τους δούλους του· “ερευνήσατε, λοιπόν, και εύρετε ένα τέτοιον άνδρα, ο οποίος να παίζη καλά την κιθάραν και φέρετέ τον πρς εμέ”.

Α Βασ. 16,18 - καὶ ἀπεκρίθη εἷς τῶν παιδαρίων αὐτοῦ καὶ εἶπεν· ἰδοὺ ἑώρακα υἱὸν τῷ Ἰεσσαὶ Βηθλεεμίτην καὶ αὐτὸν εἰδότα ψαλμόν, καὶ ὁ ἀνὴρ συνετὸς καὶ πολεμιστὴς καὶ σοφὸς λόγῳ, καὶ ὁ ἀνὴρ ἀγαθὸς τῷ εἴδει, καὶ Κύριος μετ᾿ αὐτοῦ.

Α Βασ. 16,18 - Ενας από τους νεαρούς δούλους του είπε προς τον Σαούλ· “ιδού, εγώ γνωρίζω τον υιόν του Ιεσσαί του Βηθλεεμίτου, ο οποίος γνωρίζει να παίζη κιθάραν. Επί πλέον ο ανήρ αυτός είναι συνετός, πολεμιστής, σοφός εις τα λόγια του, ανήρ ωραίος κατά την όψιν ο δε Κυριος είναι μαζή του”.

Α Βασ. 16,19 - καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους πρὸς Ἰεσσαὶ λέγων· ἀπόστειλον πρός με τὸν υἱόν σου Δαυὶδ τὸν ἐν τῷ ποιμνίῳ σου.

Α Βασ. 16,19 - Ο Σαούλ έστειλεν αγγελιαφόρους προς τον Ιεσσαί και του είπαν· “στείλε μου το παιδί σου, τον Δαυίδ, ο οποίος τώρα φυλάσσει τα πρόβατά σου”.

Α Βασ. 16,20 - καὶ ἔλαβεν Ἰεσσαὶ γομὸρ ἄρτων καὶ ἀσκὸν οἶνου καὶ ἔριφον αἰγῶν ἕνα καὶ ἐξαπέστειλεν ἐν χειρὶ Δαυὶδ τοῦ υἱοῦ αὐτοῦ πρὸς Σαούλ.

Α Βασ. 16,20 - Ο Ιεσσαί επήρε δύο περίπου κιλά άρτους, ένα ασκί κρασί ένα ερίφιον από τα γίδια του και έστειλεν αυτά δια του Δαυίδ ως δώρα προς τον Σαούλ.

Α Βασ. 16,21 - καὶ εἰσῆλθε Δαυὶδ πρὸς Σαοὺλ καὶ παρειστήκει ἐνώπιον αὐτοῦ· καὶ ἠγάπησεν αὐτὸν σφόδρα, καὶ ἐγενήθη αὐτῷ αἴρων τὰ σκεύη αὐτοῦ.

Α Βασ. 16,21 - Ο Δαυίδ εισήλθεν εις τα ανάκτορα του Σαούλ και παρουσιάσθη ενώπιόν του. Ο Σαούλ τον ηγάπησε πάρα πολύ και τον έκαμε οπλοφόρον του.

Α Βασ. 16,22 - καὶ ἀπέστειλε Σαοὺλ πρὸς Ἰεσσαὶ λέγων· παριστάσθω δὴ Δαυὶδ ἐνώπιον ἐμοῦ, ὅτι εὗρε χάριν ἐν ὀφθαλμοῖς μου.

Α Βασ. 16,22 - Εστειλε δε ο Σαούλ προς τον Ιεσσαί ανθρώπους, δια να του είπουν· “ας παραμένη κοντά μου ο Δαυίδ, διότι τον έχω εκτιμήσει και αγαπήσει πολύ”.

Α Βασ. 16,23 - καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαοὺλ καὶ ἐλάμβανε Δαυὶδ τὴν κινύραν καὶ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ. καὶ ἀνέψυχε Σαούλ, καὶ ἀγαθὸν αὐτῷ. καὶ ἀφίστατο ἀπ᾿ αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν.

Α Βασ. 16,23 - Οταν λοιπόν το πονηρόν πνεύμα κατελάμβανε και συνετάρασσε τον Σαούλ, ο Δαυίδ έπαιρνε την κιθάραν, έπαιζεν αυτήν με τα δάκτυλά του και έφερεν αναψυχήν και ανακούφισιν στον Σαούλ, ο οποίος και εγαλήνευσε, διότι το πονηρόν πνεύμα απεμακρύνετο από αυτόν.

Α ΒΑΣΙΛΕΙΩΝ 17

Α Βασ. 17,1 - Καὶ συνάγουσιν ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν εἰς πόλεμον καὶ συνάγονται εἰς Σοκχὼθ τῆς Ἰουδαίας καὶ παρεμβάλλουσιν ἀνὰ μέσον Σοκχὼθ καὶ ἀνὰ μέσον Ἀζηκὰ Ἐφερμέμ.

Α Βασ. 17,1 - Οι Φιλισταίοι συνήθροισαν τα στρατεύματα των προς πόλεμον κατά των Ισραηλιτών, συνεκεντρώθησαν εις Σοκχώθ της Ιουδαίας και εκεί εστρατοπέδευσαν εις Εφερμέμ μεταξύ της Σοκχώθ και της Αζηκά.

Α Βασ. 17,2 - καὶ Σαοὺλ καὶ οἱ ἄνδρες Ἰσραὴλ συνάγονται καὶ παρεμβάλλουσιν ἐν τῇ κοιλάδι αὐτοὶ καὶ παρατάσσονται εἰς πόλεμον ἐξεναντίας τῶν ἀλλοφύλων.

Α Βασ. 17,2 - Ο δε Σαούλ και οι στρατιώται του Ισραήλ συνεκεντρώθησαν και εστρατοπέδευσαν εις την κοιλάδα. Παρετάχθησαν δε απέναντι από τους Φιλισταίους, έτοιμοι δια την μάχην.

Α Βασ. 17,3 - καὶ ἀλλόφυλοι ἵστανται ἐπὶ τοῦ ὄρους ἐνταῦθα, καὶ Ἰσραὴλ ἵσταται ἐπὶ τοῦ ὄρους ἐνταῦθα, καὶ ὁ αὐλὼν ἀνὰ μέσον αὐτῶν.

Α Βασ. 17,3 - Ετσι οι Φιλισταίοι ευρίσκοντο εις την πλαγιάν του ενός βουνού, οι δε Ισραηλίται εις την πλαγιάν του άλλου, μεταξύ δε αυτών υπήρχεν η κοιλάς.

Α Βασ. 17,4 - καὶ ἐξῆλθεν ἀνὴρ δυνατὸς ἐκ τῆς παρατάξεως τῶν ἀλλοφύλων Γολιὰθ ὄνομα αὐτῶν ἐκ Γέθ, ὕψος αὐτοῦ τεσσάρων πήχεων καὶ σπιθαμῆς·

Α Βασ. 17,4 - Από την παράταξιν των Φιλισταίων εξήλθεν ενας ανήρ ισχυρός ονομαζόμενος Γολιάθ, καταγόμενος από την πόλιν Γέθ, του οποίου το ύψος του σώματος ήτο δυόμισυ περίπου μέτρα.

Α Βασ. 17,5 - καὶ περικεφαλαία ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ θώρακα ἁλυσιδωτὸν αὐτὸς ἐνδεδυκώς, καὶ ὁ σταθμὸς τοῦ θώρακος αὐτοῦ πέντε χιλιάδες σίκλων χαλκοῦ καὶ σιδήρου·

Α Βασ. 17,5 - Εις την κεφαλήν του έφερε περικεψαλαίαν, εις δε το στήθος του είχε φορέσει αλυσιδωτόν θώρακα. Αυτός ο θώραξ ήτο κατασκευασμένος από σίδηρον και χαλκόν, το δε βάρος του ήτο πενήντα περίπου χιλιόγραμμα.

Α Βασ. 17,6 - καὶ κνημῖδες χαλκαῖ ἐπὶ τῶν σκελῶν αὐτοῦ, καὶ ἀσπὶς χαλκῆ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ·

Α Βασ. 17,6 - Εις τα πόδια του εφορούσε χάλκινες περικνημίδες και στον ώμον του έφερεν ασπίδα χαλκίνην.

Α Βασ. 17,7 - καὶ ὁ κοντὸς τοῦ δόρατος αὐτοῦ ὡσεὶ μέσακλον ὑφαινόντων, καὶ ἡ λόγχη αὐτοῦ ἑξακοσίων σίκλων σιδήρου· καὶ ὁ αἴρων τὰ ὅπλα αὐτοῦ προεπορεύετο αὐτοῦ.

Α Βασ. 17,7 - Ο κοντός του δόρατός του ήτο χονδρός και μεγάλος ωσάν το αντί του υφαντού. Η σιδερένια λόγχη του εζύγιζεν εξ και πλέον κιλά. Ο οπλοφόρος του επροπορεύετο από αυτόν.

Α Βασ. 17,8 - καὶ ἔστη καὶ ἀνεβόησεν εἰς τὴν παράταξιν Ἰσραὴλ καὶ εἶπεν αὐτοῖς· τί ἐκπορεύεσθε παρατάξασθαι πολέμῳ ἐξεναντίας ἡμῶν; οὐκ ἐγώ εἰμι ἀλλόφυλος καὶ ὑμεῖς Ἑβραῖοι τοῦ Σαούλ; ἐκλέξασθε ἑαυτοῖς ἄνδρα καὶ καταβήτω πρός με,

Α Βασ. 17,8 - Εσταμάτησε λοιπόν αλαζονικός ο Γολιάθ και εκραύγασε με φωνήν μεγάλην στο στρατόπεδον των Ισραηλιτών και είπε προς αυτούς· “διατί εξήλθετε να παραταχθήτε εναντίον μας; Εγώ δεν είμαι Φιλισταίος και σεις δεν είστε Εβραίοι με τον βασιλέα Σαούλ; Εκλέξατε ένα άνδρα, δια να αντιπαραταχθή αυτός εναντίον μου.

Α Βασ. 17,9 - καὶ ἐὰν δυνηθῇ πολεμῆσαι πρός με καὶ ἐὰν πατάξῃ με, καὶ ἐσόμεθα ὑμῖν εἰς δούλους· ἐὰν δὲ ἐγὼ δυνηθῶ καὶ πατάξω αὐτόν, ἔσεσθε ἡμῖν εἰς δούλους καὶ δουλεύσετε ἡμῖν.

Α Βασ. 17,9 - Εάν αυτός τολμήση και ημπορέση να μονομαχήση μαζή μου και με καταβάλη, ημείς οι Φιλισταίοι θα είμεθα δούλοι δικοί σας. Εάν όμως εγώ φανώ ισχυρότερος από αυτόν και τον καταβάλω, σεις θα είσθε δούλοι εις ημάς και θα μας υπηρετήτε πάντοτε”.

Α Βασ. 17,10 - καὶ εἶπεν ὁ ἀλλόφυλος· ἰδοὺ ἐγὼ ὠνείδισα τὴν παράταξιν Ἰσραὴλ σήμερον ἐν τῇ ἡμέρᾳ ταύτῃ· δότε μοι ἄνδρα, καὶ μονομαχήσομεν ἀμφότεροι.

Α Βασ. 17,10 - Ο Φιλισταίος αυτός προσέθεσεν ακόμη· “ιδού, εγώ σήμερον υβρίζω και προκαλώ την παράταξιν του Ισραήλ κατά την ημέραν αυτήν. Δώστε ένα άνδρα και να μονομαχήσωμεν οι δύο μας”.

Α Βασ. 17,11 - καὶ ἤκουσε Σαοὺλ καὶ πᾶς Ἰσραὴλ τὰ ῥήματα τοῦ ἀλλοφύλου ταῦτα καὶ ἐξέστησαν καὶ ἐφοβήθησαν σφόδρα.

Α Βασ. 17,11 - Ο Σαούλ και όλοι οι Ισραηλίται ήκουσαν τα αλαζονικά αυτά λόγια του αλλοφύλλου, κατεπλάγησαν και ετρόμαξαν πάρα πολύ.

Α Βασ. 17,12 - [Καὶ εἶπε Δαυὶδ υἱὸς ἀνθρώπου Ἐφραθαίου· οὗτος ἐκ Βηθλεὲμ Ἰούδα, καὶ ὄνομα αὐτῷ Ἰεσσαί, καὶ αὐτῷ ὀκτώ υἱοί· καὶ ὁ ἀνὴρ ἐν ταῖς ἡμέραις Σαοὺλ πρεσβύτερος ἐληλυθὼς ἐν ἀνδράσι.

Α Βασ. 17,12 - Είπε τότε ο Δαυίδ, υιός ανθρώπου Εφραθαίου· αυτός κατήγετο από την Βηθλεέμ της Ιουδαίας και ωνομάζετο Ιεσσαί. Είχε δε οκτώ υιούς. Ο άνθρωπος αυτός ο Ιεσσαί κατά τας ημέρας του Σαούλ ήτο ο γεροντότερος μεταξύ των Ισραηλιτών.

Α Βασ. 17,13 - καὶ ἐπορεύθησαν οἱ τρεῖς υἱοὶ Ἰεσσαὶ οἱ μείζονες ὀπίσω Σαοὺλ εἰς πόλεμον, καὶ ὄνομα τῶν υἱῶν αὐτοῦ τῶν πορευθέντων εἰς τὸν πόλεμον, Ἐλιὰβ ὁ πρωτότοκος αὐτοῦ καὶ ὁ δεύτερος αὐτοῦ Ἀμιναδὰβ καὶ ὁ τρίτος αὐτοῦ Σαμμά.

Α Βασ. 17,13 - Οι τρεις μεγαλύτεροι υιοί του Ιεσσαί είχον μεταβή στον πόλεμον, τον οποίον διεξήγεν ο Σαούλ εναντίον των Φιλισταίων. Τα ονόματα

των τριών αυτών παιδιών, οι οποίοι είχον πορευθή στον πόλεμον ήσαν· Ο πρωτοτόκος Ελιάβ, ο δευτερότοκος Αμιναδάβ και ο τρίτος Σαμμά.

Α Βασ. 17,14 - καὶ Δαυὶδ αὐτός ἐστιν ὁ νεώτερος καὶ οἱ τρεῖς οἱ μείζονες ἐπορεύθησαν ὀπίσω Σαούλ.

Α Βασ. 17,14 - Ο δε Δαυίδ ήτο ο νεώτερος από όλους. Οι τρεις μεγαλύτεροι ηκολούθησαν τον Σαούλ δια τον πόλεμον.

Α Βασ. 17,15 - Καὶ Δαυὶδ ἀπῆλθε καὶ ἀνέστρεψεν ἀπὸ τοῦ Σαούλ, ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ.

Α Βασ. 17,15 - Ο Δαυίδ είχεν αναχωρήσει από την βασιλικήν αυλήν του Σαουλ, επέστρεψεν εις την πατρίδα του την Βηθλεέμ, όπου έβοσκε τα πρόβατα του πατρός του.

Α Βασ. 17,16 - καὶ προῆγεν ὁ ἀλλόφυλος ὀρθρίζων καὶ ὀψίζων καὶ ἐστηλώθη τεσσαράκοντα ἡμέρας.

Α Βασ. 17,16 - Ο αλλόφυλος, αυτός ο Φιλισταίος, προχωρούσε εμπρός από το στράτευμα των Φιλισταίων με στάσιν προκλητικήν κάθε πρωί και κάθε βράδυ. Τούτο διήρκει επί τεσσαράκοντα ημέρας.

Α Βασ. 17,17 - καὶ εἶπεν Ἰεσσαὶ πρὸς Δαυίδ· λαβὲ δὴ τοῖς ἀδελφοῖς σου οἰφὶ τοῦ ἀλφίτου καὶ δέκα ἄρτους τούτους καὶ διάδραμε εἰς τὴν παρεμβολὴν καὶ δὸς τοῖς ἀδελφοῖς σου,

Α Βασ. 17,17 - Είπε δε ο Ιεσσαί στον Δαυίδ τον υιόν του· “πάρε ένα οιφί (είκοσι περίπου κιλά) χονδραλεσμένο σιτάρι η κριθάρι και τους δέκα αυτούς άρτους και πήγαινέ τα προς τους αδελφούς σου, οι οποίοι ευρίσκονται στον πόλεμον.

Α Βασ. 17,18 - καὶ τὰς δέκα τρυφαλίδας τοῦ γάλακτος τούτου εἰσοίσεις τῷ χιλιάρχῳ, καὶ τοὺς ἀδελφούς σου ἐπισκέψῃ εἰς εἰρήνην, καὶ ὅσα ἂν χρῄζωσι γνώσῃ.

Α Βασ. 17,18 - Επίσης πάρε και δέκα κομμάτια τυρί, τα οποία θα προσφέρης ως δώρον στον χιλίαρχον. Να ιδής πως έχουν οι αδελφοί σου και θα μάθης αν χρειάζωνται τίποτε”.

Α Βασ. 17,19 - καὶ Σαοὺλ αὐτὸς καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν τῇ κοιλάδι τῆς δρυὸς πολεμοῦντες μετὰ τῶν ἀλλοφύλων.

Α Βασ. 17,19 - Ο ίδιος ο Σαούλ και όλος ο ισραηλιτικός στρατός ευρίσκοντο εις την κοιλάδα της δρυός, εις πόλεμον εναντίον των Φιλισταίων.

Α Βασ. 17,20 - καὶ ὤρθρισε Δαυὶδ τὸ πρωΐ, καὶ ἀφῆκε τὰ πρόβατα φύλακι, καὶ ἔλαβε καὶ ἀπῆλθε, καθὰ ἐνετείλατο αὐτῷ Ἰεσσαί· καὶ ἦλθεν εἰς τὴν στρογγύλωσιν καὶ δύναμιν τὴν ἐκπορευομένην εἰς τὴν παράταξιν· καὶ ἠλάλαξαν ἐν τῷ πολέμῳ.

Α Βασ. 17,20 - Ο Δαυίδ εσηκώθη πολύ πρωϊ, παρέδωκε προσωρινώς τα πρόβατά του εις κάποιον φύλακα, επήρε τα τρόφιμα και ανεχώρησεν εις συνάντησιν των αδελφών του, όπως τον είχε διατάξει ο πατήρ του ο Ιεσσαί.

Ηλθεν στο οχύρωμα την στιγμήν, κατά την οποίαν μία στρατιωτική δύναμις έβγαινε από το στρατόπεδον, δια να παραταχθή εις μάχην και εκραύγαζαν τας πολεμικάς των ιαχάς.

Α Βασ. 17,21 - καὶ παρετάξαντο Ἰσραὴλ καὶ οἱ ἀλλόφυλοι παράταξιν ἐξεναντίας παρατάξεως.

Α Βασ. 17,21 - Οι Ισραηλίται από το ένα μέρος και οι Φιλισταίοι από το άλλο παρετάχθησαν κατά τμήματα δια τον πόλεμον.

Α Βασ. 17,22 - καὶ ἀφῆκε Δαυὶδ τὰ σκεύη αὐτοῦ ἀφ᾿ ἑαυτοῦ ἐπὶ χεῖρα φύλακος καὶ ἔδραμεν εἰς τὴν παράταξιν καὶ ἦλθε καὶ ἠρώτησε τοὺς ἀδελφοὺς αὐτοῦ εἰς εἰρήνην.

Α Βασ. 17,22 - Ο Δαυίδ αφήκε τας αποσκευάς του εις ένα φύλακα, δια να τας φυλάττη, έτρεξεν εμπρός εις την πρώτην γραμμήν. Και όταν ήλθεν εκεί ηρώτησε τους αδελφούς του τι κανούν, πως έχουν.

Α Βασ. 17,23 - καὶ αὐτοῦ λαλοῦντος μετ᾿ αὐτῶν, ἰδοὺ ἀνὴρ ὁ μεσαῖος ἀνέβαινε, Γολιὰθ ὁ Φιλισταῖος ὄνομα αὐτῷ ἐκ Γέθ, ἐκ τῶν παρατάξεων τῶν ἀλλοφύλων, καὶ ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα καὶ ἤκουσε Δαυίδ.

Α Βασ. 17,23 - Ενώ αυτός συνωμιλούσε με τους αδελφούς του, ιδού ο γίγας εκείνος εν τω μέσω των στρατευμάτων Ισραηλιτών και Φιλισταίων ενεφανίσθη και ανέβαινε προκλητικώς. Ο Φιλισταίος αυτός ωνομάζετο Γολιάθ και κατήγετο από την Γέθ, από το στρατόπεδον των Φιλισταίων. Αυτός λοιπόν ωμίλησεν υβριστικώς και εμπαικτικώς, όπως συνήθως, εναντίον των Ισραηλιτών. Ο Δαυίδ ήκουσε τα αλαζονικά εκείνα λόγια.

Α Βασ. 17,24 - Καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν τῷ ἰδεῖν αὐτοὺς τὸν ἄνδρα, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ καὶ ἐφοβήθησαν σφόδρα.

Α Βασ. 17,24 - Ολοι οι Ισραηλίται όταν είδαν τον Φιλισταίον αυτόν, ετράπησαν εις φυγήν, διότι εφοβήθησαν πάρα πολύ.

Α Βασ. 17,25 - καὶ εἶπεν ἀνὴρ Ἰσραήλ· εἰ ἑωράκατε τὸν ἄνδρα τὸν ἀναβαίνοντα τοῦτον, ὅτι ὀνειδῖσαι τὸν Ἰσραὴλ ἀνέβη; καὶ ἔσται ἀνήρ, ὃς ἂν πατάξῃ αὐτόν, πλουτίσει αὐτὸν ὁ βασιλεὺς πλοῦτον μέγαν καὶ τὴν θυγατέρα αὐτοῦ δώσει αὐτῷ καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ποιήσει ἐλεύθερον ἐν τῷ Ἰσραήλ.

Α Βασ. 17,25 - Καποιος Ισραηλίτης, (κήρυξ ίσως του βασιλέως), είπε· "είδατε αυτόν τον άνδρα τον Φιλισταίον, ο οποίος προχωρεί; Ερχεται δια να προκαλέση τους Ισραηλίτας. Εκείνος ο Ισραηλίτης ο οποίος θα τον φονεύση, θα πάρη από τον βασιλέα πολύν πλούτον και την θυγατέρα του βασιλέως θα την λάβη ως σύζυγόν του. Ο δε βασιλεύς θα απαλλάξη και την οικογένειαν αυτού από κάθε φορολογίαν".

Α Βασ. 17,26 - καὶ εἶπε Δαυὶδ πρὸς τοὺς ἄνδρας τοὺς συνεστηκότας μετ᾿ αὐτοῦ λέγων· ἦ ποιηθήσεται τῷ ἀνδρί, ὃς ἂν πατάξει τὸν ἀλλόφυλον

ἐκεῖνον, καὶ ἀφελεῖ ὀνειδισμὸν ἀπὸ Ἰσραήλ; ὅτι τίς ἀλλόφυλος ὁ ἀπερίτμητος αὐτός, ὅτι ὠνείδισε παράταξιν Θεοῦ ζῶντος;

Α Βασ. 17,26 - Ο Δαυίδ ηρώτησε τους άνδρας, οι οποίοι ευρίσκοντο εκεί κοντά του· “θα αμειφθή λοιπόν ο άνδρας εκείνος, ο οποίος θα καταβάλη τον Φιλισταίον τούτον και θα εξαλείψη έτσι την προσβολήν του κατά του Ισραηλιτικού λαου; Ποίος είναι αυτός ο απερίτμητος Φιλισταίος, ο οποίος υβρίζει τον στρατόν του αληθινού και αιωνίου Θεού;”

Α Βασ. 17,27 - καὶ εἶπεν αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦτο λέγων· οὕτως ποιηθήσεται τῷ ἀνδρί, ὃς ἂν πατάξει αὐτόν.

Α Βασ. 17,27 - Οι εκεί γύρω άνθρωποι απήντησαν στον Δαυίδ και του είπον· “ναι, έτσι θα αμειφθή ο άνδρας εκείνος, ο οποίος θα νικήση και θα φονεύση τον Γολιάθ”.

Α Βασ. 17,28 - καὶ ἤκουσεν Ἐλιὰβ ὁ ἀδελφὸς αὐτοῦ ὁ μείζων ἐν τῷ λαλεῖν αὐτὸν πρὸς τοὺς ἄνδρας καὶ ὠργίσθη θυμῷ Ἐλιὰβ ἐν τῷ Δαυὶδ καὶ εἶπεν· ἱνατί τοῦτο κατέβης καὶ ἐπὶ τίνα ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα ἐν τῇ ἐρήμῳ; ἐγὼ οἶδα τὴν ὑπερηφανίαν σου καὶ τὴν κακίαν τῆς καρδίας σου, ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης.

Α Βασ. 17,28 - Ο Ελιάβ, ο μεγαλύτερος αδελφός του Δαυίδ, ωργίσθη εναντίον του Δαυίδ, όταν τον είδε να συνομιλή με τους ανθρώπους του στρατού και είπεν εις αυτόν· “διατί ήλθες εδώ, εις ποιόν αφήκες τα λίγα πρόβατά μας εις την έρημον; Εγώ ξέρω την υπερηφάνειάν σου και την κακήν σου καρδίαν. Εγκατέλειψες τα πρόβατα και ήλθες εδώ, δια να ιδής τον πόλεμον”.

Α Βασ. 17,29 - καὶ εἶπε Δαυίδ· τί ἐποίησα νῦν; οὐχὶ ῥῆμά ἐστι;

Α Βασ. 17,29 - Ο Δαυίδ απήντησε· “τι έκαμα λοιπόν τώρα. Ενα απλούν λόγον δεν είπα;”

Α Βασ. 17,30 - καὶ ἐπέστρεψε παρ᾿ αὐτοῦ εἰς ἐναντίον ἑτέρου καὶ εἶπε κατὰ τὸ ῥῆμα τοῦτο, καὶ ἀπεκρίθη αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦ πρώτου.

Α Βασ. 17,30 - Ο Δαυίδ απεμακρύνθη από τον αδελφόν του δια να ερωτήση άλλον, στον οποίον και απηύθυνε τα ίδια λόγια. Ολοι του απήντησαν, όπως του είχαν απαντήσει και οι πρώτοι.

Α Βασ. 17,31 - καὶ ἠκούσθησαν οἱ λόγοι, οὓς ἐλάλησε Δαυίδ, καὶ ἀνηγγέλησαν ὀπίσω Σαοὺλ καὶ παρέλαβεν αὐτόν.]

Α Βασ. 17,31 - Οι λόγοι, τους οποίους αντήλλαξεν ο Δαυίδ με τους ανθρώπους του λαού, έφθασαν εις τα αυτιά του βασιλέως. Ο βασιλεύς έστειλεν ενά άνθρωπον και παρέλαβεν αυτόν και τον ωδήγησε προς τον Σαούλ.

Α Βασ. 17,32 - Καὶ εἶπε Δαυὶδ πρὸς Σαούλ· μὴ δὴ συμπεσέτω καρδία τοῦ Κυρίου μου ἐπ᾿ αὐτόν· ὁ δοῦλός σου πορεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου.

Α Βασ. 17,32 - Ο Δαυίδ είπε τότε προς τον Σαούλ· “ας μη ταραχθή. Και ας μη πτοηθή καθόλου η καρδία του κυρίου μου, του βασιλέως· εγώ ο δούλος σου θα μεταβώ και θα πολεμήσω εναντίον αυτού του Φιλισταίου”.

Α Βασ. 17,33 - καὶ εἶπε Σαοὺλ πρὸς τὸν Δαυὶδ· οὐ μὴ δυνήσῃ πορευθῆναι πρὸς τὸν ἀλλόφυλον τοῦ πολεμεῖν μετ᾿ αὐτοῦ, ὅτι παιδάριον εἶ σύ, καὶ αὐτὸς ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ.

Α Βασ. 17,33 - Απήντησεν ο Σαουλ προς τον Δαυίδ· “δεν είναι δυνατόν να βαδίσης εναντίον του Φιλισταίου αυτού και να πολεμήσης αυτόν, διότι είσαι μικρός κατά την ηλικίαν και το σώμα, ενώ εκείνος είναι πολεμιστής αξιόλογος από την νεαράν του ηλικίαν”.

Α Βασ. 17,34 - καὶ εἶπε Δαυὶδ πρὸς Σαούλ· ποιμαίνων ἦν ὁ δοῦλός σου τῷ πατρὶ αὐτοῦ ἐν τῷ ποιμνίῳ, καὶ ὅταν ἤρχετο ὁ λέων καὶ ἡ ἄρκος καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ἀγέλης,

Α Βασ. 17,34 - Ο Δαυίδ του απήντησε και είπεν· “εγώ ο δούλος σου ήμουνα βοσκός, που έβοσκα τα πρόβατα του πατρός μου. Οταν συνέβαινε να έλθη λιοντάρι η αρκούδα, και ήρπαζε πρόβατον από την αγέλην των προβάτων μου,

Α Βασ. 17,35 - καὶ ἐξεπορευόμην ὀπίσω αὐτοῦ καὶ ἐπάταξα αὐτὸν καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτοῦ, καὶ εἰ ἐπανίστατο ἐπ᾿ ἐμέ, καὶ ἐκράτησα τοῦ φάρυγγος αὐτοῦ καὶ ἐπάταξα καὶ ἐθανάτωσα αὐτόν.

Α Βασ. 17,35 - έτρεχα προς καταδίωξιν αυτών, εφόνευα το θηρίον τούτο και αποσπούσα το πρόβατον από το στόμα του. Αν δε το θηρίον επετίθετο εναντίον μου, το έπιανα από τον λαιμόν, το εκτυπούσα και το εφόνευα.

Α Βασ. 17,36 - καὶ τὸν λέοντα καὶ τὴν ἄρκον ἔτυπτεν ὁ δοῦλός σου, καὶ ἔσται ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος ὡς ἓν τούτων· οὐχὶ πορεύσομαι καὶ πατάξω αὐτόν, καὶ ἀφελῶ σήμερον ὄνειδος ἐξ Ἰσραήλ; διότι τίς ὁ ἀπερίτμητος οὗτος, ὃς ὠνείδισε παράταξιν Θεοῦ ζῶντος;

Α Βασ. 17,36 - Λέοντο και άρκτον εγώ ο δούλος σου εκτύπησα και εφόνευσα. Ο απερίτμητος, λοιπόν, αυτός Φιλισταίος, θα γίνη εις τα χέρια μου σαν ένα από τα θηρία αυτά. Αφού τέτοια έχω κατορθώσει, δεν πρέπει λοιπόν τώρα να μεταβώ και να φονεύσω τον Φιλισταίον και να εξαλείψω την προσβολήν την οποίαν κάνει κατά του ισραηλιτικού λαού; Ποιός είναι αυτός ο απερίτμητος ο οποίος ετόλμησε να ομιλήση περιφρονητικώς δια τον στρατόν του αληθινού Θεού;

Α Βασ. 17,37 - Κύριος, ὃς ἐξείλατό με ἐκ χειρὸς τοῦ λέοντος καὶ ἐκ χειρὸς τῆς ἄρκου, αὐτὸς ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τοῦ ἀπεριτμήτου τούτου. καὶ εἶπε Σαοὺλ πρὸς Δαυίδ· πορεύου, καὶ ἔσται Κύριος μετὰ σοῦ.

Α Βασ. 17,37 - Ο Κυριος ο οποίος με εγλύτωσε από το στόμα του λέοντος και από τα χέρια της αρκούδας, αυτός θα με γλυτώση και από τα

χέρια του απερίτμητου αυτού Φιλισταίου”. Ο Σαούλ είπε τότε προς τον Δαυίδ· “πήγαινε και ο Κυριος είθε να είναι μαζή σου”.

Α Βασ. 17,38 - καὶ ἐνέδυσε Σαοὺλ τὸν Δαυὶδ μανδύαν καὶ περικεφαλαίαν χαλκῆν περὶ τὴν κεφαλήν αὐτοῦ

Α Βασ. 17,38 - Ο Σαούλ εφόρεσεν στον Δαυίδ στρατιωτικόν μανδύαν και έθεσεν εις την κεφαλήν του χαλκίνην περικεφαλαίαν.

Α Βασ. 17,39 - καὶ ἔζωσε τὸν Δαυὶδ τὴν ῥομφαίαν αὐτοῦ ἐπάνω τοῦ μανδύου αὐτοῦ. καὶ ἐκοπίασε περιπατήσας ἅπαξ καὶ δίς· καὶ εἶπε Δαυὶδ πρὸς Σαούλ· οὐ μὴ δύνωμαι πορευθῆναι ἐν τούτοις, ὅτι οὐ πεπείραμαι. καὶ ἀφαιροῦσιν αὐτὰ ἀπ᾿ αὐτοῦ.

Α Βασ. 17,39 - Ακόμη δε έζωσε τον Δαυίδ με την ρομφαίαν του επάνω από τον μανδύαν. Ο Δαυίδ έτσι εξωπλισμένος προσεπάθησε να βαδίση μίαν και δύο φορές, αλλά μόλις και μετά κόπου το κατώρθωσεν. Ο Δαυίδ είπε προς τον βασιλέα· “δεν ημπορώ να βαδίσω με αυτά, διότι δεν έχω συνηθίσει”. Κατ' εντολήν του βασιλέως αφηήρεσαν την πανοπλίαν αυτήν από τον Δαυίδ.

Α Βασ. 17,40 - καὶ ἔλαβε τὴν βακτηρίαν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐξελέξατο ἑαυτῷ πέντε λίθους λείους ἐκ τοῦ χειμάῤῥου καὶ ἔθετο αὐτοὺς ἐν τῷ καδίῳ τῷ ποιμαινικῷ τῷ ὄντι αὐτῷ εἰς συλλογὴν καὶ σφενδόνην αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ προσῆλθε πρὸς τὸν ἄνδρα τὸν ἀλλόφυλον.

Α Βασ. 17,40 - Ο Δαυίδ επήρε την ράβδον του στο χέρι του, εδιάλεξε πέντε λείους λίθους από τον χείμαρρον και έθεσεν αυτούς στο ποιμενικόν του σακκίδιον, το οποίον είχε πάντοτε μαζή του, δια να θέτη μέσα εις αυτό τα διάφορα πράγματα. Επίσης επήρε και την σφενδόνην του στο χέρι και εβάδισεν εναντίον του ανδρός αυτού, του Φιλισταίου.

Α Βασ. 17,41 - [Καὶ ἐπορεύθη ὁ ἀλλόφυλος πορευόμενος καὶ ἐγγίζων πρὸς Δαυίδ, καὶ ἀνὴρ ὁ αἴρων τὸν θυρεὸν ἔμπροσθεν αὐτοῦ, καὶ ἐπέβλεψεν ὁ ἀλλόφυλος.]

Α Βασ. 17,41 - Ο Φιλισταίος επροχώρησε προς τον Δαυίδ και επλησίασε προς αυτόν, ο δε οπλοφόρος του Φιλισταίου, ο οποίος έφερε την ασπίδα εκείνου, εβάδιζεν έμπρος από τον Γολιάθ. Ο Γολιάθ παρετήρησε προσεκτικά,

Α Βασ. 17,42 - καὶ εἶδε Γολιὰθ τὸν Δαυὶδ καὶ ἐξητίμασεν αὐτόν, ὅτι αὐτὸς ἦν παιδάριον καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν.

Α Βασ. 17,42 - είδε τον Δαυίδ και τον κατεφρόνησε, διότι τον είδε μικρόν παιδίον ξανθόν με ωραία μάτια.

Α Βασ. 17,43 - καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς Δαυίδ· ὡσεὶ κύων ἐγώ εἰμι, ὅτι σὺ ἔρχῃ ἐπ᾿ ἐμὲ ἐν ῥάβδῳ καὶ λίθοις; καὶ εἶπε Δαυίδ· οὐχί, ἀλλ᾿ ἢ χείρων κυνός. καὶ κατηράσατο ὁ ἀλλόφυλος τὸν Δαυὶδ ἐν τοῖς θεοῖς αὐτοῦ.

Α Βασ. 17,43 - Ο αλλόφυλος λοιπόν αυτός είπε προς τον Δαυίδ· “ως εάν είμαι σκυλί έρχεσαι εναντίον μου με ράβδον και με πέτρες;” Ο Δαυίδ απήντησεν· “όχι, αλλά είσαι χειρότερος από το σκυλί”. Ο Φιλιοταίος κατηράσθη τον Δαυίδ εν ονόματι των θεών του.

Α Βασ. 17,44 - καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς Δαυίδ· δεῦρο πρός με, καὶ δώσω τὰς σάρκας σου τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς κτήνεσι τῆς γῆς.

Α Βασ. 17,44 - Είπε δε τότε ο αλλόφυλος προς τον Δαυίδ· “έλα εδώ και θα δώσω τας σάρκας σου εις τα πτηνά του ουρανού και εις τα θηρία της γης”.

Α Βασ. 17,45 - καὶ εἶπε Δαυὶδ πρὸς τὸν ἀλλόφυλον· σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι, κἀγὼ πορεύομαι πρός σε ἐν ὀνόματι Κυρίου Θεοῦ Σαβαὼθ παρατάξεως Ἰσραήλ, ἣν ὠνείδισας σήμερον·

Α Βασ. 17,45 - Είπε δε ο Δαυίδ προς τον αλλόφυλον· “συ έρχεσαι εναντίον μου με ρομφαίαν και με δόρυ και με ασπίδα. Εγώ δε προχωρώ εναντίον σου εν ονόματι Κυρίου του Θεού του Παντοκράτορος, του Θεού του Ισραηλιτικού λαού, τον οποίον συ σήμερον ενέπαιξες και ύβρισες.

Α Βασ. 17,46 - καὶ ἀποκλείσει σε Κύριος σήμερον εἰς τὴν χεῖρά μου, καὶ ἀποκτενῶ σε καὶ ἀφελῶ τὴν κεφαλήν σου ἀπὸ σοῦ καὶ δώσω τὰ κῶλά σου καὶ τὰ κῶλα παρεμβολῆς ἀλλοφύλων ἐν ταύτῃ τῇ ἡμέρᾳ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ γνώσεται πᾶσα ἡ γῆ, ὅτι ἔστι Θεὸς ἐν Ἰσραήλ·

Α Βασ. 17,46 - Σημερον θα σε παραδώση ο Κυριος εις τα χέρια μου, θα σε φονεύσω, θα αποκόψω την κεφαλήν σου και θα δώσω τα μέλη σου και τα μέλη του στρατού των Φιλισταίων κατά την ημέραν αυτήν εις τα πτηνά του ουρανού και εις τα θηρία της γης και θα μάθουν όλοι οι άνθρωποι ότι ο αληθινός Θεός ευρίσκεται στον ισραηλιτικόν λαόν.

Α Βασ. 17,47 - καὶ γνώσεται πᾶσα ἡ ἐκκλησία αὕτη ὅτι οὐκ ἐν ῥομφαίᾳ καὶ δόρατι σῴζει Κύριος, ὅτι τοῦ Κυρίου ὁ πόλεμος, καὶ παραδώσει Κύριος ὑμᾶς εἰς χεῖρας ἡμῶν.

Α Βασ. 17,47 - Ολον δε αυτό το πλήθος του λαού θα μάθη ότι ο Κυριος δεν σώζει μόνον με το δόρυ και με την ρομφαίαν, ότι ο Θεός είναι ο κυρίαρχος και του πολέμου και ότι ο Κυριος θα σας παραδώση εις τα χέρια μας”.

Α Βασ. 17,48 - καὶ ἀνέστη ὁ ἀλλόφυλος καὶ ἐπορεύθη εἰς συνάντησιν Δαυίδ.

Α Βασ. 17,48 - Εσηκώθη ο αλλόφυλος και επορεύθη εις συνάντησιν του Δαυίδ.

Α Βασ. 17,49 - καὶ ἐξέτεινε Δαυὶδ τὴν χεῖρα αὐτοῦ εἰς τὸ κάδιον καὶ ἔλαβεν ἐκεῖθεν λίθον ἕνα καὶ ἐσφενδόνισε καὶ ἐπάταξε τὸν ἀλλόφυλον ἐπὶ

τὸ μέτωπον αὐτοῦ, καὶ διέδυ ὁ λίθος διά τῆς περικεφαλαίας εἰς τὸ μέτωπον αὐτοῦ, καὶ ἔπεσεν ἐπί πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν.

Α Βασ. 17,49 - Ο Δαυίδ άπλωσε το χέρι του στο σακκίδιόν του, επήρεν από εκεί ένα λίθον τον οποίον και εξεσφενδόνισεν εναντίον του Φιλισταίου και τον εκτύπησεν στο μέτωπον. Ο λίθος αυτός διετρύπησε την περικεφαλαίαν, εισήλθεν στο μέτωπον του Φιλισταίου και τον επλήγωσε θανασίμως. Ο Γολιάθ έπεσε πρηνής κάτω στο χώμα.

Α Βασ. 17,50 - [Καὶ ἐκραταίωσε Δαυὶδ ὑπὲρ τὸν ἀλλόφυλον ἐν τῇ σφενδόνῃ καὶ ἐν τῷ λίθῳ, καὶ ἐπάταξε τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν αὐτόν· καὶ ῥομφαία οὐκ ἦν ἐν χειρὶ Δαυίδ.]

Α Βασ. 17,50 - Ετσι ο Δαυίδ ανεδείχθη ισχυρότερος από τον αλλόφυλον και νικητής εναντίον του με μίαν σφενδόνην και ένα λίθον. Εκτύπησε τον Φιλισταίον και τον εφόνευσε. Ο Δαυίδ δεν είχε ρομφαίαν εις τα χέρια του.

Α Βασ. 17,51 - καὶ ἔδραμε Δαυὶδ καὶ ἐπέστη ἐπ᾿ αὐτὸν καὶ ἔλαβε τὴν ῥομφαίαν αὐτοῦ καὶ ἐθανάτωσεν αὐτὸν καὶ ἀφεῖλε τὴν κεφαλήν αὐτοῦ. καὶ εἶδον οἱ ἀλλόφυλοι ὅτι τέθνηκεν ὁ δυνατὸς αὐτῶν, καὶ ἔφυγον.

Α Βασ. 17,51 - Δια τούτο έτρεξε και εστάθη επάνω από τον βαρέως τραυματισμένον Φιλισταίον, επήρε την ρομφαίαν εκείνου, τον εθανάτωσε και του απέκοψε την κεφαλήν. Οι Φιλισταίοι είδαν ότι ο ακατανίκητος, όπως επίστευαν, πρόμαχός των εφονεύθη, κατελήφθησαν από πανικόν και ετράπησαν εις φυγήν.

Α Βασ. 17,52 - καὶ ἀνίστανται ἄνδρες Ἰσραὴλ καὶ Ἰούδα καὶ ἠλάλαξαν καὶ κατεδίωξαν ὀπίσω αὐτῶν ἕως εἰσόδου Γὲθ καὶ ἕως τῆς πύλης Ἀσκάλωνος, καὶ ἔπεσον τραυματίαι τῶν ἀλλοφύλων ἐν τῇ ὁδῷ τῶν πυλῶν καὶ ἕως Γὲθ καὶ ἕως Ἀκκαρών.

Α Βασ. 17,52 - Οι Ισραηλίται ηγέρθησαν τότε με αλαλαγμόν, κατεδίωξαν τους Φιλισταίους έως την εισοδον της Γεθ και έως την πύλην της Ασκάλωνος. Από τους Φιλισταίους εφονεύθησαν πολλοί και οι νεκροί κατέκειντο εις την οδόν των πυλών μέχρι της Γεθ και μέχρι της Ακκαρών.

Α Βασ. 17,53 - καὶ ἀνέστρεψαν ἄνδρες Ἰσραὴλ ἐκκλίνοντες ὀπίσω τῶν ἀλλοφύλων καὶ κατεπάτουν τὰς παρεμβολὰς αὐτῶν.

Α Βασ. 17,53 - Οι Ισραηλίται επιστρέφοντες από την καταδίωξιν των Φιλισταίων καταπατούσαν και ελεηλατούσαν τα στρατόπεδά των.

Α Βασ. 17,54 - καὶ ἔλαβε Δαυὶδ τὴν κεφαλὴν τοῦ ἀλλοφύλου, καὶ ἤνεγκεν αὐτὴν εἰς Ἱερουσαλὴμ καὶ τὰ σκεύη αὐτοῦ ἔθηκεν ἐν τῷ σκηνώματι αὐτοῦ.

Α Βασ. 17,54 - Ο Δαυίδ επήρε την κεφαλήν του Γολιάθ, έφερεν αυτήν εις την Ιερουσαλήμ, τα δε όπλα του εχθρού τα απέθεσεν ο Δαυίδ εις την σκηνήν του.

Α Βασ. 17,55 - [Καὶ ὡς εἶδε Σαοὺλ τὸν Δαυὶδ ἐκπορευόμενον εἰς ἀπάντησιν τοῦ ἀλλοφύλου, εἶπε πρὸς Ἀβεννὴρ τὸν ἄρχοντα τῆς δυνάμεως· Υἱὸς τίνος ὁ νεανίσκος οὗτος; καὶ εἶπεν Ἀβεννήρ· ζῇ ἡ ψυχή σου, βασιλεῦ, εἰ οἶδα.

Α Βασ. 17,55 - Οταν ο Σαούλ είδε τον Δαυίδ να προχωρή εις μονομαχίαν κατά του Γολιάθ είπε προς τον Αβεννήρ τον αρχηγόν του στρατού του· "τίνος είναι υιός αυτός ο νεαρός;" Ο Αβεννήρ απήντησεν· "ορκίζομαι εις την ζωήν μου, βασιλεύ, ότι δεν τον γνωρίζω".

Α Βασ. 17,56 - καὶ εἶπεν ὁ βασιλεύς· ἐπερώτησον σύ, υἱὸς τίνος ὁ νεανίσκος οὗτος.

Α Βασ. 17,56 - Ο βασιλεύς ειπ· "ρώτησε συ, τίνος είναι υιός ο νεαρός αυτός".

Α Βασ. 17,57 - καὶ ὡς ἐπέστρεψε Δαυὶδ τοῦ πατάξαι τὸν ἀλλόφυλον, καὶ παρέλαβεν αὐτὸν Ἀβεννὴρ καὶ εἰσήγαγεν αὐτὸν ἐνώπιον Σαούλ, καὶ ἡ κεφαλὴ τοῦ ἀλλοφύλου ἐν τῇ χειρὶ αὐτοῦ.

Α Βασ. 17,57 - Οταν ο Δαυίδ επέστρεψεν από την νίκην του εναντίον του Φιλισταίου Γολιάθ τον παρέλαβεν ο Αβεννήρ και τον παρουσίασεν ενώπιον του Σαούλ. Η δε κεφαλή του Γολιάθ ήτο εις τα χέρια του.

Α Βασ. 17,58 - καὶ εἶπε πρὸς αὐτὸν Σαούλ· υἱὸς τίνος εἶ, παιδάριον, καὶ εἶπε Δαυίδ· υἱὸς δούλου σου Ἰεσσαὶ τοῦ Βηθλεεμείτου.]

Α Βασ. 17,58 - Ο Σαούλ ηρώτησεν αυτόν· "νεαρέ, τίνος είσαι υιός;" Ο Δαυίδ απήντησεν· "είμαι υιός του δούλου σου του Ιεσσαί, ο οποίος κατάγεται από την Βηθλεέμ.

Α ΒΑΣΙΛΕΙΩΝ 18

Α Βασ. 18,1 - [Καὶ ἐγένετο ὡς συνετέλεσε λαλῶν πρὸς Σαούλ, καὶ ἡ ψυχὴ Ἰωνάθαν συνεδέθη τῇ ψυχῇ Δαυὶδ καὶ ἠγάπησεν αὐτὸν Ἰωνάθαν κατὰ τὴν ψυχὴν αὐτοῦ.

Α Βασ. 18,1 - Οταν ο Δαυίδ ετελείωσε την συνομιλίαν του με τον Σαούλ, η ψυχή του Ιωνάθαν συνεδέθη με στενήν φιλίαν με την ψυχήν του Δαυίδ. Ο Ιωνάθαν τον ηγάπησεν, όπως και τον εαυτόν του.

Α Βασ. 18,2 - καὶ ἔλαβεν αὐτὸν Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ οὐκ ἔδωκεν αὐτὸν ἐπιστρέψαι ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ.

Α Βασ. 18,2 - Επήρεν ο Σαούλ τον Δαυίδ κατά την ημέραν εκείνην μαζή του και δεν τον αφήκε να επιστρέψη εις την οικογένειαν του πατρός του.

Α Βασ. 18,3 - καὶ διέθετο Ἰωνάθαν καὶ Δαυὶδ ἐν τῷ ἀγαπᾶν αὐτὸν κατὰ τὴν ψυχὴν αὐτοῦ.

Α Βασ. 18,3 - Ο Ιωνάθαν συνεδέθη δια στενής φιλίας με τον Δαυίδ, διότι τον ηγάπα όπως και τον εαυτόν του.

Α Βασ. 18,4 - καὶ ἐξεδύσατο Ἰωνάθαν τὸν ἐπενδύτην τὸν ἐπάνω καὶ ἔδωκεν αὐτὸν τῷ Δαυὶδ καὶ τὸν μανδύαν αὐτοῦ καὶ ἕως τῆς ῥομφαίας αὐτοῦ καὶ ἕως τοῦ τόξου αὐτοῦ καὶ ἕως τῆς ζώνης αὐτοῦ.

Α Βασ. 18,4 - Και, επάνω εις την μεγάλην του αυτήν προς αυτόν αγάπην, έβγαλεν ο Ιωνάθαν το επανωφόρι του και το έδωκεν στον Δαυίδ, όπως επίσης τον στρατιωτικόν μανδύαν του, την ρομφαίαν, το τόξον του και την ζώνην του.

Α Βασ. 18,5 - καὶ ἐξεπορεύετο Δαυίδ, ἐν πᾶσιν, οἷς ἀπέστειλεν αὐτὸν Σαούλ, συνῆκε· καὶ κατέστησεν αὐτὸν Σαοὺλ ἐπὶ τοὺς ἄνδρας τοῦ πολέμου, καὶ ἤρεσεν ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ καί γε ἐν ὀφθαλμοῖς δούλων Σαούλ.]

Α Βασ. 18,5 - Ο Δαυίδ ανελάμβανε προθύμως κάθε επιχείρησιν, προς την οποίαν τον έστελλεν ο Σαούλ, και την έφερε πάντοτε εις πέρας. Δια τούτο ο Σαούλ διώρισεν αυτόν αρχηγόν του στρατού του. Η πράξις αυτή ήρεσεν εις όλον τον ισραηλιτικόν λαόν και εις αυτούς ακόμη τους αυλικούς του Σαούλ.

Α Βασ. 18,6 - Καὶ ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν Δαυὶδ ἐκ πασῶν πόλεων Ἰσραὴλ ἐν τυμπάνοις καὶ ἐν χαρμοσύνῃ καὶ ἐν κυμβάλοις.

Α Βασ. 18,6 - Οταν ο Δαυίδ επέστρεψε μετά τον φόνον του Φιλισταίου, αι γυναίκες εβγήκαν από όλας τας πόλεις των Ισραηλιτών, χορεύουσαι και τραγουδούσαι, εις συνάντησιν του Δαυίδ με τύμπανα και κύμβαλα και με χαράν μεγάλην.

Α Βασ. 18,7 - καὶ ἐξῆρχον αἱ γυναῖκες καὶ ἔλεγον· ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυὶδ ἐν μυριάσιν αὐτοῦ.

Α Βασ. 18,7 - Αι δε γυναίκες, που διηύθυναν τον χορόν των γυναικών, έλεγαν· “ο Σαούλ εφόνευσε χιλιάδες εχθρών, ο δε Δαυίδ εφόνευσε μυριάδες εχθρών”.

Α Βασ. 18,8 - καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαοὺλ περὶ τοῦ λόγου τούτου, καὶ εἶπε· τῷ Δαυὶδ ἔδωκαν τὰς μυριάδας καὶ ἐμοὶ ἔδωκαν τὰς χιλιάδας.

Α Βασ. 18,8 - Το εγκώμιον αυτό των γυναικών προς τον Δαυίδ δεν ήρεσεν στον Σαούλ. Αυτός δε παραπονούμένος έλεγεν· “στον Δαυίδ απέδωκαν τας μυριάδας, εις εμέ δε τας χιλιάδας”.

Α Βασ. 18,9 - [Καὶ ἦν Σαοὺλ ὑποβλεπόμενος τὸν Δαυὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα.

Α Βασ. 18,9 - Από την ημέραν εκείνην και εντεύθεν ο Σαούλ υπέβλεπε τον Δαυίδ.

Α Βασ. 18,10 - καὶ ἐγενήθη ἀπὸ τῆς ἐπαύριον καὶ ἔπεσε πνεῦμα Θεοῦ πονηρὸν ἐπὶ Σαοὺλ καὶ προεφήτευσεν ἐν μέσῳ οἴκου αὐτοῦ. Καὶ Δαυὶδ

ἔψαλλεν ἐν χειρὶ αὐτοῦ ὡς καθ᾿ ἑκάστην ἡμέραν, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ Σαούλ.

Α Βασ. 18,10 - Δια τούτο την επομένην ημέραν κατέλαβε τον Σαούλ, κατά παραχώρησιν Θεού, ένα πονηρόν πνεύμα και τον περιέφερεν εις έκστασιν μέσα στον οίκον του. Ο Δαυίδ έπαιζε με τα χέρια του κιθάραν, όπως συνήθως, το δε δόρυ ευρίσκετο στο χέρι του Σαούλ.

Α Βασ. 18,11 - καὶ ἦρε Σαοὺλ τὸ δόρυ καὶ εἶπε· πατάξω ἐν Δαυὶδ καὶ ἐν τῷ τοίχῳ· καὶ ἐξέκλινε Δαυὶδ ἀπὸ προσώπου αὐτοῦ δίς.]

Α Βασ. 18,11 - Εσήκωσε ο Σαούλ το δόρυ του και είπε από μέσα του· “θα καρφώσω τον Δαυίδ στον τοίχον”. Ο Δαυίδ όμως δύο φοράς εφυλάχθη και εσώθη.

Α Βασ. 18,12 - καὶ ἐφοβήθη Σαοὺλ ἀπὸ προσώπου Δαυίδ,

Α Βασ. 18,12 - Ο Σαούλ εφοβήθη και δεν ήθελε πλέον να βλέπη τον Δαυίδ.

Α Βασ. 18,13 - καὶ ἀπέστησεν αὐτὸν ἀπ᾿ αὐτοῦ καὶ κατέστησεν αὐτὸν ἑαυτῷ χιλίαρχον, καὶ ἐξεπορεύετο καὶ εἰσεπορεύετο ἔμπροσθεν τοῦ λαοῦ.

Α Βασ. 18,13 - Τον απεμάκρυνεν από εμπρός του και τον διώρισεν αρχηγόν χιλίων μόνον ανδρών. Ο Δαυίδ πηγαινοήρχετο ανάμεσα στον λαόν.

Α Βασ. 18,14 - καὶ ἦν Δαυὶδ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ συνιῶν, καὶ Κύριος ἦν μετ᾿ αὐτοῦ.

Α Βασ. 18,14 - Ο Δαυίδ υπήρξε συνετός εις όλας τας ενεργείας του, διότι ο Κυριος ήτο μαζή του.

Α Βασ. 18,15 - καὶ εἶδε Σαοὺλ ὡς αὐτὸς συνιεῖ σφόδρα, καὶ εὐλαβεῖτο ἀπὸ προσώπου αὐτοῦ.

Α Βασ. 18,15 - Είδεν ο Σαούλ, ότι ο Δαυίδ ενεργεί με πολλήν σύνεσιν και κατελήφθη από ένα δέος προς αυτόν.

Α Βασ. 18,16 - καὶ πᾶς Ἰσραὴλ καὶ Ἰούδας ἠγάπα τὸν Δαυίδ, ὅτι αὐτὸς εἰσεπορεύετο καὶ ἐξεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ.

Α Βασ. 18,16 - Ολοι όμως οι Ισραηλίται και μάλιστα οι Ιουδαίοι αγαπούσαν τον Δαυίδ, ο οποίος επικοινωνούσε με τον λαόν και πηγαινοήρχετο ανάμεσα από τους ανθρώπους.

Α Βασ. 18,17 - [Καὶ εἶπε Σαοὺλ πρὸς Δαυίδ· ἰδοὺ ἡ θυγάτηρ μου ἡ μείζων Μερόβ, αὐτὴν δώσω σοι εἰς γυναῖκα, καὶ πλὴν γίνου μοι εἰς υἱὸν δυνάμεως καὶ πολέμει τοὺς πολέμους Κυρίου. καὶ Σαοὺλ εἶπε· μὴ ἔστω χείρ μου ἐπ᾿ αὐτῷ, καὶ ἔσται ἐπ᾿ αὐτὸν χεὶρ ἀλλοφύλων.

Α Βασ. 18,17 - Ο Σαούλ είπε κάποιαν ημέραν προς τον Δαυίδ· “η μεγαλυτέρα μου κόρη είναι η Μερόβ. Αυτήν θα σου δώσω ως σύζυγον υπό τον όρον ότι συ θα αναδειχθής γενναίος πολεμιστής και θα λαμβάνης μέρος στους πολέμους, τους οποίους ορίζει ο Κυριος”. Επρότεινε δε αυτό ο Σαούλ συλλογιζόμενος καθ' εαυτόν και λέγων· “ας μην απλώσω εγώ φονικόν το χέρι μου εναντίον του. Ας αφήσω να φονευθή από τα χέρια των αλλοφύλων”.

Α Βασ. 18,18 - καὶ εἶπε Δαυὶδ πρὸς Σαούλ· τίς ἐγώ εἰμι καὶ τίς ἡ ζωὴ τῆς συγγενείας τοῦ πατρός μου ἐν Ἰσραήλ, ὅτι ἔσομαι γαμβρὸς τοῦ βασιλέως;

Α Βασ. 18,18 - Ο Δαυίδ όμως είπε προς τον Σαούλ· "ποιός είμαι εγώ και ποιά είναι η ζωή και η αξία της συγγενείας του πατρός μου μεταξύ των Ισραηλιτών, ώστε εγώ να γίνω γαμβρός του βασιλέως; Είναι δι' εμέ αυτό πάρα πολύ".

Α Βασ. 18,19 - καὶ ἐγενήθη ἐν τῷ καιρῷ τοῦ δοθῆναι τὴν Μερὸβ θυγατέρα Σαοὺλ τῷ Δαυίδ, καὶ αὕτη ἐδόθη τῷ Ἰσραὴλ τῷ Μοθυλαθείτῃ εἰς γυναῖκα. ἐν σοὶ ὁ βασιλεύς, καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀγαπῶσί σε, καὶ σὺ ἐπιγάμβρευσον τῷ βασιλεῖ.]

Α Βασ. 18,19 - Οταν όμως ήλθεν ο καιρός να δοθή η κόρη του Σαούλ η Μερόβ ως σύζυγος εις τον Δαυίδ εδόθη αυτή εις ένα Ισραηλίτην Μοθυλαθείτην.

Α Βασ. 18,20 - Καὶ ἠγάπησε Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ τὸν Δαυίδ, καὶ ἀπηγγέλη τῷ Σαούλ, καὶ ηὐθύνθη ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Α Βασ. 18,20 - Η Μελχόλ όμως, η άλλη κόρη του Σαούλ, ηγάπησε τον Δαυίδ και έγινεν αυτό γνωστόν στον Σαούλ, πράγμα το οποίον ιδιαιτέρως τον ηυχαρίστησε.

Α Βασ. 18,21 - καὶ εἶπε Σαούλ· δώσω αὐτὴν αὐτῷ, καὶ ἔσται αὐτῷ εἰς σκάνδαλον. καὶ ἦν ἐπὶ Σαοὺλ χεὶρ ἀλλοφύλων.

Α Βασ. 18,21 - Ο Σαούλ είπεν από μέσα του· "θα δώσω την Μελχόλ ως σύζυγον στον Δαυίδ και αυτή θα γίνη δι' αυτόν πρόσκομμα και πειρασμός". Κατά την εποχήν εκείνην οι Φιλισταίοι επίεζαν πάλιν τους Ισραηλίτας.

Α Βασ. 18,22 - καὶ ἐνετείλατο Σαοὺλ τοῖς παισὶν αὐτοῦ λέγων· λαλήσετε ὑμεῖς λάθρᾳ τῷ Δαυὶδ λέγοντες· ἰδοὺ θέλει ἐν σοὶ ὁ βασιλεύς, καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀγαπῶσί σε, καὶ σὺ ἐπιγάμβρευσον τῷ βασιλεῖ.

Α Βασ. 18,22 - Ο Σαούλ διέταξε τους δούλους του και είπε προς αυτούς· "είπατε εις τον Δαυίδ εμπιστευτικώς ότι να, ο βασιλεύς θέλει να σου δώση την κόρην του ως σύζυγον. Ολοι δε οι αυλικοί σε αγαπούν. Γινε λοιπόν γαμβρός του βασιλέως".

Α Βασ. 18,23 - καὶ ἐλάλησαν οἱ παῖδες Σαοὺλ εἰς τὰ ὦτα Δαυὶδ τὰ ῥήματα ταῦτα, καὶ εἶπε Δαυίδ· εἰ κοῦφον ἐν ὀφθαλμοῖς ὑμῶν ἐπιγαμβρεῦσαι βασιλεῖ; κἀγὼ ἀνὴρ ταπεινὸς καὶ οὐχὶ ἔνδοξος.

Α Βασ. 18,23 - Οι αυλικοί του Σαούλ είπαν αυτά εμπιστευτικώς στον Δαυίδ. Ο Δαυίδ απήντησε· "και εις σας τους ιδίους δεν φαίνεται ανόητον να θελήσω εγώ να γίνω γαμβρός του βασιλέως; Εγώ είμαι άσημος και πτωχός άνθρωπος. Επομένως δεν έχω να προσφέρω στον βασιλέα ως δώρον κάτι, που να αξίζη".

Α Βασ. 18,24 - καὶ ἀπήγγειλαν οἱ παῖδες Σαοὺλ αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα, ἃ ἐλάλησε Δαυίδ.

Α Βασ. 18,24 - Οι δούλοι του Σαούλ ανήγγειλαν εις αυτόν την απάντησιν, την οποίαν τους είχε δώσει ο Δαυίδ.

Α Βασ. 18,25 - καὶ εἶπε Σαούλ· τάδε ἐρεῖτε τῷ Δαυίδ· οὐ βούλεται ὁ βασιλεὺς ἐν δόματι, ἀλλ᾿ ἢ ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλοφύλων ἐκδικῆσαι ἐχθροὺς τοῦ βασιλέως· καὶ Σαοὺλ ἐλογίσατο ἐμβαλεῖν αὐτὸν εἰς χεῖρας τῶν ἀλλοφύλων.

Α Βασ. 18,25 - Ο Σαούλ είπε τότε· “αυτά θα πήτε στον Δαυίδ· Ο βασιλεύς δεν θέλει κανένα γαμήλιον δώρον. Ενα μόνον θέλει. Εκατόν ακροβυστίας αλλοφύλων, δια να εκδικηθής έτσι τους εχθρούς του βασιλέως”. Ο Σαούλ είπεν αυτά σκεπτόμενος να ρίψη τον Δαυίδ εις τα χέρια των Φιλισταίων.

Α Βασ. 18 ,26 - καὶ ἀπαγγέλλουσιν οἱ παῖδες Σαοὺλ τῷ Δαυὶδ τὰ ῥήματα ταῦτα, καὶ ηὐθύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς Δαυὶδ ἐπιγαμβρεῦσαι τῷ βασιλεῖ.

Α Βασ. 18,26 - Οι δούλοι του Σαούλ εγνωστοποίησαν στον Δαυίδ αυτά τα λόγια του βασιλέως και ήρεσεν στον Δαυίδ να γίνη κατ' αυτόν τον τρόπον γαμβρός του βασιλέως.

Α Βασ. 18,27 - καὶ ἀνέστη Δαυὶδ καὶ ἐπορεύθη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις ἑκατὸν ἄνδρας καὶ ἀνήνεγκε τὰς ἀκροβυστίας αὐτῶν. καὶ ἐπιγαμβρεύεται τῷ βασιλεῖ καὶ δίδωσιν αὐτῷ τὴν Μελχὸλ θυγατέρα αὐτοῦ αὐτῷ εἰς γυναῖκα.

Α Βασ. 18,27 - Ο Δαυίδ ητοιμάσθη, μετέβη αυτός και οι άνδρες του εναντίον των Φιλισταίων. Εφόνευσαν πράγματι εκατόν Φιλισταίους και έφερε τας ακροβιστίας των στον Σαούλ. Εγινε τότε γαμβρός του βασιλέως, διότι ο βασιλεύς του έδωσε την θυγατέρα του Μελχόλ ως σύζυγον.

Α Βασ. 18,28 - καὶ εἶδε Σαοὺλ ὅτι Κύριος μετὰ Δαυὶδ καὶ πᾶς Ἰσραήλ ἠγάπα αὐτόν,

Α Βασ. 18,28 - Ο Σαούλ είδεν ότι ο Κυριος ήτο μαζή με τον Δαυίδ και ότι όλος ο Ισραηλιτικός λαός τον αγαπούσε.

Α Βασ. 18,29 - καὶ προσέθετο εὐλαβεῖσθαι ἀπὸ Δαυὶδ ἔτι.

Α Βασ. 18,29 - Αυτό δε το γεγονός του ενέβαλε ακόμη μεγαλύτερον δέος απέναντι του Δαυίδ.

Α ΒΑΣΙΛΕΙΩΝ 19

Α Βασ. 19,1 - Καὶ ἐλάλησε Σαοὺλ πρὸς Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ καὶ πρὸς πάντας τοὺς παῖδας αὐτοῦ θανατῶσαι τὸν Δαυίδ.

Α Βασ. 19,1 - Ο Σαούλ, εις στιγμήν παροξυσμού του φθονού του, ωμίλησε προς τον Ιωνάθαν, τον υιόν του, και προς όλους τους δούλους του και συνέστησεν εις αυτούς να θανατώσουν τον Δαυίδ.

Α Βασ. 19,2 - καὶ Ἰωνάθαν ὁ υἱὸς Σαοὺλ ᾑρεῖτο τὸν Δαυὶδ σφόδρα, καὶ ἀπήγγειλεν Ἰωνάθαν τῷ Δαυὶδ λέγων· Σαοὺλ ζητεῖ θανατῶσαί σε· φύλαξαι οὖν αὔριον πρωΐ καὶ κρύβηθι καὶ κάθισον κρυφῇ,

Α Βασ. 19,2 - Ο Ιωνάθαν όμως, ο υιός του Σαούλ, είχε πολύ μεγάλην φιλίαν προς τον Δαυίδ. Δια τούτο και επληροφόρησεν αυτόν λέγων "ο Σαούλ ζητεί να σε φονεύση. Φυλάξου αύριον το πρωϊ. Κρύψου, μείνε εις άγνωστον μέρος, εις κάποιαν κρύπτην.

Α Βασ. 19,3 - καὶ ἐγὼ ἐξελεύσομαι καὶ στήσομαι ἐχόμενος τοῦ πατρός μου ἐν ἀγρῷ, οὗ ἐὰν ᾖς ἐκεῖ, καὶ ἐγὼ λαλήσω περὶ σοῦ πρὸς τὸν πατέρα μου καὶ ὄψομαι ὅ,τι ἐὰν ᾖ, καὶ ἀπαγγελῶ σοι.

Α Βασ. 19,3 - Εγώ δε θα εξέλθω στον αγρόν, όπου θα έχης κρυβή, θα σταθώ όρθιος πλησίον του πατρός μου. Εκεί θα του ομιλήσω δια σε και θα ίδω, τι θα μου είπη. Αυτό δε θα σου το καταστήσω γνωστόν".

Α Βασ. 19,4 - καὶ ἐλάλησεν Ἰωνάθαν περὶ Δαυὶδ ἀγαθὰ πρὸς Σαοὺλ τὸν πατέρα αὐτοῦ καὶ εἶπε πρὸς αὐτόν· μὴ ἁμαρτησάτω ὁ βασιλεὺς εἰς τὸν δοῦλόν σου Δαυίδ, ὅτι οὐχ ἡμάρτηκεν εἰς σέ, καὶ τὰ ποιήματα αὐτοῦ ἀγαθὰ σφόδρα,

Α Βασ. 19,4 - Πράγματι ο Ιωνάθαν, στον τόπον εκείνον, ωμίλησεν ευνοϊκά υπέρ του Δαυίδ προς τον πατέρα του τον Σαούλ και είπε μεταξύ των άλλων εις αυτόν· "ο βασιλεύς ας μη αμαρτήση φονεύων τον δούλον του Δαυίδ, διότι ποτέ αυτός δεν έπταισεν απέναντι του βασιλέως, άλλα και τα κατορθώματά του είναι πάρα πολύ ωφέλιμα.

Α Βασ. 19,5 - καὶ ἔθετο τὴν ψυχὴν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐπάταξε τὸν ἀλλόφυλον, καὶ ἐποίησε Κύριος σωτηρίαν μεγάλην, καὶ πᾶς Ἰσραὴλ εἶδον καὶ ἐχάρησαν· καὶ ἱνατί ἁμαρτάνεις εἰς αἷμα ἀθῷον θανατῶσαι τὸν Δαυὶδ δωρεάν;

Α Βασ. 19,5 - Ο Δαυίδ αυτός εξέθεσε την ζωήν του εις κίνδυνον και εφόνευσε τον αλλόφυλον Γολιάθ. Ετσι δε ο Κυριος δια του Δαυίδ έσωσε τον ισραηλιτικόν λαόν από μεγάλον όλεθρον. Ολοι δε οι Ισραηλίται είδον την νίκην αυτήν και εχάρησαν. Διατί λοιπόν αμαρτάνεις ενώπιον του Θεού και επιθυμείς να χύσης αίμα αθώον χωρίς λόγον;"

Α Βασ. 19,6 - καὶ ἤκουσε Σαοὺλ τῆς φωνῆς Ἰωνάθαν, καὶ ὤμοσε Σαοὺλ λέγων· ζῇ Κύριος, εἰ ἀποθανεῖται.

Α Βασ. 19,6 - Ο Σαούλ ήκουσε και παρεδέχθη τα ορθά λόγια του Ιωνάθαν και ωρκίσθη λέγων· "ορκίζομαι ενώπιον του ζώντος Κυρίου ότι ο Δαυίδ δεν θα φονευθή".

Α Βασ. 19,7 - καὶ ἐκάλεσεν Ἰωνάθαν τὸν Δαυίδ, καὶ ἀπήγγειλεν αὐτῷ πάντα τὰ ῥήματα ταῦτα, καὶ εἰσήγαγεν Ἰωνάθαν τὸν Δαυὶδ πρὸς Σαούλ, καὶ ἦν ἐνώπιον αὐτοῦ ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν.

Α Βασ. 19,7 - Ο Ιωνάθαν εκάλεσε τότε τον Δαυίδ, κατέστησεν εις αυτόν γνωστά τα λόγια, τα οποία αντήλλαξε και τον παρουσίασεν στον Σαούλ. Ο δε Δαυίδ υπηρετούσε πιστώς τον Σαούλ όπως και κατά το παρελθόν.

Α Βασ. 19,8 - καὶ προσέθετο ὁ πόλεμος γενέσθαι πρὸς Σαούλ, καὶ κατίσχυσε Δαυὶδ καὶ ἐπολέμησε τοὺς ἀλλοφύλους καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην σφόδρα, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ.

Α Βασ. 19,8 - Νέος πόλεμος έγινε τότε εκ μέρους των Φιλισταίων κατά του Σαούλ. Ο Δαυίδ και πάλιν κατά τας μάχας αυτάς ανεδείχθη νικητής. Επολέμησε και επέφερε πολύ μεγάλην καταστροφήν στους Φιλισταίους. Οι δε Φιλισταίοι πανικόβλητοι ετράπησαν εις φυγήν έμπροσθέν του

Α Βασ. 19,9 - Καὶ ἐγένετο πνεῦμα Θεοῦ πονηρὸν ἐπὶ Σαούλ, καὶ αὐτὸς ἐν οἴκῳ καθεύδων, καὶ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ Δαυὶδ ἔψαλλε ταῖς χερσὶν αὐτοῦ·

Α Βασ. 19,9 - Αλλα ένα πνεύμα πονηρόν, κατά παραχώρησιν Θεού, κατέλαβε πάλιν τον Σαούλ. Και όταν αυτός έπεφτε να κοιμηθή το δόρυ του ευρίσκετο πάντοτε στο χέρι του. Τοτε ο Δαυίδ έπαιζε την κιθάραν με τα δάκτυλά του, δια να κατευνάζη την μελαγχολίαν του Σαούλ.

Α Βασ. 19,10 - καὶ ἐζήτει Σαοὺλ πατάξαι τὸ δόρυ εἰς Δαυίδ, καὶ ἀπέστη Δαυὶδ ἐκ προσώπου Σαοὺλ καὶ ἐπάταξε τὸ δόρυ εἰς τόν τοῖχον, καὶ Δαυὶδ ἀνεχώρησε καὶ διεσώθη.

Α Βασ. 19,10 - Εν τούτοις ο Σαούλ επεζήτησε να φονεύση τον Δαυίδ με το δόρυ του. Ο Δαυίδ όμως απεμακρύνθη από τον Σαούλ και έτσι το δόρυ εκτύπησε τον τοίχον. Ο Δαυίδ προ του φανερού πλέον αυτού κινδύνου έφυγε και εσώθη.

Α Βασ. 19,11 - καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους εἰς οἶκον Δαυὶδ φυλάξαι αὐτὸν τοῦ θανατῶσαι αὐτὸν πρωΐ· καὶ ἀπήγγειλε τῷ Δαυὶδ Μελχὸλ ἡ γυνὴ αὐτοῦ λέγουσα· ἐὰν μὴ σὺ σώσῃς τὴν ψυχὴν σαυτοῦ τὴν νύκτα ταύτην, αὔριον θανατωθήσῃ.

Α Βασ. 19,11 - Κατά την ιδίαν εκείνην νύκτα ο Σαούλ έστειλεν ανθρώπους του στον οίκον του Δαυίδ να παραφυλάξουν, δια να φονεύσουν αυτόν την πρωΐαν, όταν θα έβγαινε από τον οίκον του. Η Μελχολ όμως, η σύζυγος του Δαυίδ, κατέστησε εις αυτόν γνωστόν το γεγονός τούτο και του υπέδειξεν ότι, αν δεν διαφύγη εκείνην την νύκτα, το πρωϊ θα φονευθή.

Α Βασ. 19,12 - καὶ κατάγει ἡ Μελχὸλ τὸν Δαυὶδ διὰ τῆς θυρίδος, καὶ ἀπῆλθε καὶ ἔφυγε καὶ σώζεται.

Α Βασ. 19,12 - Ο Δαυίδ εδέχθη την υπόδειξιν της Μελχόλ. Επειδή όμως αι θύραι εφρουρούντο από τους ανθρώπους του Σαούλ, η Μελχόλ κατεβίβασε τον Δαυίδ από κάποιο παράθυρον της οικίας. Ο Δαυίδ τοιουτοτρόπως έφυγεν από την οικίαν και εσώθη.

Α Βασ. 19,13 - καὶ ἔλαβεν ἡ Μελχὸλ τὰ κενοτάφια καὶ ἔθετο ἐπὶ τὴν κλίνην καὶ ἧπαρ τῶν αἰγῶν ἔθετο πρὸς κεφαλῆς αὐτοῦ καὶ ἐκάλυψεν αὐτὰ ἱματίῳ.

Α Βασ. 19,13 - Η Μελχόλ επήρε κάτι σαν ομοίωμα ανθρώπου και έθεσεν αυτό εις την κλίνην του. Εις την θέσιν δε της κεφαλής έβαλε ένα συκότι αιγών. Εσκέπασε και τα δύο με το επανωφόρι του Δαυίδ, ώστε να φαίνεται ότι ο Δαυίδ κοιμάται.

Α Βασ. 19,14 - καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους λαβεῖν τὸν Δαυίδ, καὶ λέγουσιν ἐνοχλεῖσθαι αὐτόν·

Α Βασ. 19,14 - Ο Σαούλ είχεν αποστείλει ανθρώπους να συλλάβουν τον Δαυίδ. Ούτοι επανήλθον και είπον στον Σαούλ, ότι ο Δαυίδ είναι αδιάθετος εις την κλίνην.

Α Βασ. 19,15 - καὶ ἀποστέλλει ἐπὶ τὸν Δαυὶδ λέγων· ἀγάγετε αὐτὸν ἐπὶ τῆς κλίνης πρός με τοῦ θανατῶσαι αὐτόν.

Α Βασ. 19,15 - Ο Σαούλ απέστειλε και πάλιν τους ανθρώπους του και τους είπε· “φέρετε τον Δαυίδ προς εμέ επάνω εις την κλίνην του δια να τον φονεύσω”.

Α Βασ. 19,16 - καὶ ἔρχονται οἱ ἄγγελοι, καὶ ἰδοὺ τὰ κενοτάφια ἐπὶ τῆς κλίνης, καὶ ἧπαρ τῶν αἰγῶν πρὸς κεφαλῆς αὐτοῦ.

Α Βασ. 19,16 - Οι άνθρωποι αυτοί εισήλθον αιφνιδίως εις την οικίαν και στο δωμάτιον του Δαυίδ και αίφνης βλέπουν επάνω εις την κλίνην σαν ομοίωμα ανθρώπου και συκότι αιγών στο μέρος της κεφαλής.

Α Βασ. 19,17 - καὶ εἶπε Σαοὺλ τῇ Μελχόλ· ἱνατί οὕτως παρελογίσω με καὶ ἐξαπέστειλας τὸν ἐχθρόν μου καὶ διεσώθη; καὶ εἶπε Μελχὸλ τῷ Σαούλ· αὐτὸς εἶπεν· ἐξαπόστειλόν με, εἰ δὲ μή, θανατώσω σε.

Α Βασ. 19,17 - Ανεκοίνωσαν αυτά στον Σαούλ ο δε Σαουλ είπεν εις την Μελχόλ· “διατί με ενέπαιξες έτσι και έδωσες καιρόν στον εχθρόν μου να φύγη και να σωθή;” Η Μελχόλ απήντησεν· “αυτός μου είπε· Βοήθησέ με να φύγω, ειδ' άλλως θα σε θανατώσω”.

Α Βασ. 19,18 - Καὶ Δαυὶδ ἔφυγε καὶ διεσώθη καὶ παραγίνεται πρὸς Σαμουὴλ εἰς Ἀρμαθαὶμ καὶ ἀπαγγέλλει αὐτῷ πάντα, ὅσα ἐποίησεν αὐτῷ Σαούλ, καὶ ἐπορεύθη Σαμουὴλ καὶ Δαυὶδ καὶ ἐκάθισαν ἐν Ναυὰθ ἐν Ῥαμά.

Α Βασ. 19,18 - Ο Δαυίδ έφυγε και έτσι διεσώθη. Ηλθε προς τον Σαμουήλ, που ευρίσκετο εις την Αρμαθαίμ, και του ανήγγειλεν όλα όσα έκαμε εναντίον του ο Σαούλ. Ο Σαμουήλ και ο Δαυίδ επορεύθησαν και εκάθισαν εις Ναυάθ Ραμά.

Α Βασ. 19,19 - καὶ ἀπηγγέλη τῷ Σαοὺλ λέγοντες· ἰδοὺ Δαυὶδ ἐν Ναυὰθ ἐν Ῥαμά.

Α Βασ. 19,19 - Μερικοί όμως καταδόται ανέφεραν στον Σαούλ και είπαν· “ιδού, ο Δαυίδ ευρίσκεται εις Ναυάθ εν Ραμά”.

Α Βασ. 19,20 - καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους λαβεῖν τὸν Δαυίδ, καὶ εἶδαν τὴν ἐκκλησίαν τῶν προφητῶν, καὶ Σαμουὴλ εἱστήκει καθεστηκὼς ἐπ᾿ αὐτῶν, καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους τοῦ Σαοὺλ πνεῦμα Θεοῦ, καὶ προφητεύουσι.

Α Βασ. 19,20 - Ο Σαούλ αμέσως απέστειλεν εκεί άνδρας, δια να συλλάβουν τον Δαυίδ. Εκείνοι όταν ήλθαν, είδαν μίαν συγκέντρωσιν προφητών και τον Σαμουήλ να ίσταται εν μέσω αυτών, δια να τους καθοδηγή. Ηλθεν όμως και στους ανθρώπους του Σαούλ πνεύμα Θεού και ήρχισαν να ψάλλουν ιερά άσματα.

Α Βασ. 19,21 - καὶ ἀπηγγέλη τῷ Σαούλ, καὶ ἀπέστειλεν ἀγγέλους ἑτέρους, καὶ ἐπροφήτευσαν καὶ αὐτοί. καὶ προσέθετο Σαοὺλ ἀποστεῖλαι ἀγγέλους τρίτους, καί ἐπροφήτευσαν καὶ αὐτοί.

Α Βασ. 19,21 - Αυτό έγινε γνωστόν στον Σαούλ, ο οποίος έστειλεν άλλους ανθρώπους, αλλά και εκείνοι δια πνεύματος Θεού ήρχισαν να ψάλλουν ιερά άσματα. Ο Σαούλ απέστειλε και τρίτην ομάδα ανθρώπων, στους οποίους συνέβησαν τα ίδια, διότι και αυτοί ήρχισαν να ψάλλουν ιερά άσματα.

Α Βασ. 19,22 - καὶ ἐθυμώθη ὀργῇ Σαοὺλ καὶ ἐπορεύθη καὶ αὐτὸς εἰς Ἀρμαθαὶμ καὶ ἔρχεται ἕως τοῦ φρέατος τοῦ ἅλω τοῦ ἐν τῷ Σεφὶ καὶ ἠρώτησε καὶ εἶπε· ποῦ Σαμουὴλ καὶ Δαυίδ; καὶ εἶπαν· ἰδοὺ ἐν Ναυὰθ ἐν Ῥαμά.

Α Βασ. 19,22 - Ο Σαούλ κατελήφθη από μεγάλην οργήν και επορεύθη αυτοπροσώπως εις Αρμαθαίμ. Οταν έφθασε έως το φρέαρ του αλωνίου, που ευρίσκεται εις Σεφί, ηρώτησε και είπε· “που είναι ο Σαμουήλ και ο Δαυίδ;” Εκείνοι δε του είπαν· “ιδού, ευρίσκεται εις Ναυάθ Ραμά”.

Α Βασ. 19,23 - καὶ ἐπορεύθη ἐκεῖθεν εἰς Ναυὰθ ἐν Ῥαμά, καὶ ἐγενήθη καὶ ἐπ᾿ αὐτῷ πνεῦμα Θεοῦ, καὶ ἐπορεύετο προφητεύων ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Ναυὰθ ἐν Ῥαμά.

Α Βασ. 19,23 - Μετέβη από εκεί εις Ναυάθ Ραμά. Ηλθεν όμως και εις αυτόν καθ' οδόν πνεύμα Θεού και εβάδιζεν απαγγέλλων ιερά άσματα, μέχρις ότου έφθασεν εις Ναυάθ Ραμά.

Α Βασ. 19,24 - καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ ἐπροφήτευσεν ἐνώπιον αὐτῶν καὶ ἔπεσε γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα· διὰ τοῦτο ἔλεγον· εἰ καὶ Σαοὺλ ἐν προφήταις;

Α Βασ. 19,24 - Εκεί αφήρεσε τα ενδύματά του και απήγγειλεν ιερά άσματα ενώπιον του Σαμουήλ και του Δαυίδ. Επεσε γυμνός όλην εκείνην την ημέραν και όλην την νύκτα. Οι άνθρωποι έκπληκτοι δι'αυτό, έλεγαν· “αλήθεια ο Σαούλ είναι μεταξύ των προφητών;”

Α ΒΑΣΙΛΕΙΩΝ 20

Α Βασ. 20,1 - Καὶ ἀπέδρα Δαυὶδ ἐκ Ναυὰθ ἐν Ῥαμὰ καὶ ἔρχεται ἐνώπιον Ἰωνάθαν καὶ εἶπε· τί πεποίηκα καὶ τί τὸ ἀδίκημά μου καὶ τί ἡμάρτηκα ἐνώπιον τοῦ πατρός σου, ὅτι ἐπιζητεῖ τὴν ψυχήν μου;

Α Βασ. 20,1 - Ο Δαυίδ έφυγεν από την Ραμά Ναυάθ, ήλθε και συνήντησε τον Ιωνάθαν, στον οποίον και είπε· “τι κακόν έχω πράξει; Ποίον είναι το αδίκημά μου; Εις τι εγώ έχω πταίσει απέναντι του πατρός σου, ο οποίος ζητεί να με θανατώση;”

Α Βασ. 20,2 - καὶ εἶπεν αὐτῷ Ἰωνάθαν· μηδαμῶς σοι, οὐ μὴ ἀποθάνῃς· ἰδοὺ οὐ μὴ ποιήσει ὁ πατήρ μου ῥῆμα μέγα ἢ μικρὸν καὶ οὐκ ἀποκαλύψει τὸ ὠτίον μου· καὶ τί ὅτι κρύψει ὁ πατήρ μου ἀπ᾿ ἐμοῦ τὸ ῥῆμα τοῦτο; οὐκ ἔστι τοῦτο.

Α Βασ. 20,2 - Ο Ιωνάθαν είπεν στον Δαυίδ· “καθόλου· δεν πρόκειται, να φονευθής. Οχι. Ιδού, ο πατήρ μου δεν κάμνει καμμίαν μεγάλην η μικράν πράξιν, αν προηγουμένως δεν μου την εκμυστηρευθή. Πως λοιπόν θα κρύψη ο πατέρας μου ένα τέτοιο πράγμα από εμέ; Αυτό δεν πρόκειται να γίνη”.

Α Βασ. 20,3 - καὶ ἀπεκρίθη Δαυὶδ τῷ Ἰωνάθαν καὶ εἶπε· γινώσκων οἶδεν ὁ πατήρ σου ὅτι εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, καὶ εἶπε· μὴ γνώτω τοῦτο Ἰωνάθαν, μὴ οὐ βούληται· ἀλλὰ ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, ὅτι, καθὼς εἶπον, ἐμπέπλησται ἀνὰ μέσον ἐμοῦ καὶ τοῦ θανάτου.

Α Βασ. 20,3 - Ο Δαυίδ απήντησεν στον Ιωνάθαν και είπε· “γνωρίζει πολύ καλά ο πατήρ σου ότι έχω την συμπάθειάν σου. Δεν αποκλείεται να πη· Ας μη μάθη αυτό ο Ιωνάθαν, διότι δεν θα εγκρίνή την πράξιν μου. Σου ορκίζομαι λοιπόν στον Κυριον και εις την ζωήν σου, ότι όπως σου είπα πιστεύω ότι έφθασε πλέον ο καιρός του θανάτου μου”.

Α Βασ. 20,4 - καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαυίδ· τὶ ἐπιθυμεῖ ἡ ψυχή σου καὶ τί ποιήσω σοι;

Α Βασ. 20,4 - Ο Ιωνάθαν ηρώτησε τον Δαυίδ· “τι λοιπόν επιθυμεί η ψυχή σου; Τι θέλεις να κάμω εγώ δια σέ;”

Α Βασ. 20,5 - καὶ εἶπε Δαυὶδ πρὸς Ἰωνάθαν· ἰδοὺ δὴ νεομηνία αὔριον, καὶ ἐγὼ καθίσας οὐ καθήσομαι φαγεῖν, καὶ ἐξαποστελεῖς με, καὶ κρυβήσομαι ἐν τῷ πεδίῳ ἕως δείλης.

Α Βασ. 20,5 - Ο Δαυίδ απήντησε προς τον Ιωνάθαν· “ιδού, αύριον είναι η εορτή της πρώτης του νέου μηνός. Εγώ δεν πρόκειται να παρακαθήσω όπως συνήθως εις την τράπεζαν και να συμφάγω με τον πατέρα σου. Αφησέ με να φύγω και να κρυφθώ εις την πεδιάδα έως το απόγευμα.

Α Βασ. 20,6 - καὶ ἐὰν ἐπισκεπτόμενος ἐπισκέψηταί με ὁ πατὴρ σου, καὶ ἐρεῖς· παραιτούμενος παρῃτήσατο ἀπ᾿ ἐμοῦ Δαυὶδ δραμεῖν ἕως εἰς Βηθλεὲμ τὴν πόλιν αὐτοῦ, ὅτι θυσία τῶν ἡμερῶν ἐκεῖ ὅλῃ τῇ φυλῇ.

Α Βασ. 20,6 - Εάν δε ο πατήρ σου παρατηρήση την απουσίαν μου και σε ερωτήση δι' εμέ, να του απαντήσης· Ο Δαυίδ μου εζήτησεν άδειαν να μεταβή έως την πατρίδα του την Βηθλεέμ, διότι εκεί πρόκειται να ποοσφερθή η ετησία θυσία δι' όλην την οικογενειάν του.

Α Βασ. 20,7 - ἐὰν τάδε εἴπῃ· ἀγαθῶς, εἰρήνη τῷ δούλῳ σου· καὶ ἐὰν σκληρῶς ἀποκριθῇ σοι, γνῶθι ὅτι συντετέλεσται ἡ κακία παρ᾽ αὐτοῦ.

Α Βασ. 20,7 - Εάν σου απαντήση· Πολύ καλά η ειρήνη ας είναι με τον δούλον σου, τότε καλά θα είναι δι' εμέ τα πράγματα. Εάν όμως σου απαντήση με θυμόν και σκληρότητα, γνώριζε ότι η κακία του έχει φθάσει πλέον στο αποκορύφωμά της.

Α Βασ. 20,8 - καὶ ποιήσεις ἔλεος μετὰ τοῦ δούλου σου, ὅτι εἰσήγαγες εἰς διαθήκην Κυρίου τὸν δοῦλόν σου μετὰ σεαυτοῦ· καὶ εἰ ἔστιν ἀδικία ἐν τῷ δούλῳ σου, θανάτωσόν με σύ, καὶ ἕως τοῦ πατρός σου ἱνατί οὕτως εἰσάγεις με;

Α Βασ. 20,8 - Δείξε τότε συ καλωσύνην προς εμέ, τον δούλον σου. Αλλωστε συ είχες την πρωτοβουλίαν να συνάψης ένορκον δεσμόν φιλίας με εμέ ενώπιον του Θεού. Εάν βλέπης ότι εγώ ο δούλος σου διέπραξα μίαν αδικίαν, θανάτωσέ με συ. Διατί να με οδηγήσης προς τον πατέρα σου, ώστε να με φονεύση εκείνος;”

Α Βασ. 20,9 - καὶ εἶπεν Ἰωνάθαν· μηδαμῶς σοι, ὅτι ἐὰν γινώσκων γνῶ ὅτι συντετέλεσται ἡ κακία παρὰ τοῦ πατρός μου τοῦ ἐλθεῖν ἐπὶ σέ, καὶ ἐὰν μὴ ᾖ εἰς τὰς πόλεις σου, ἐγὼ ἀπαγγελῶ σοι.

Α Βασ. 20,9 - Ο Ιωνάθαν είπε· “κατ' ουδένα λόγον και τρόπον δεν θα γίνη αυτό. Διότι εγώ εάν αντιληφθώ, ότι η κακία του πατρός μου έχει φθάσει στο απροχώρητον εναντίον σου και έχει την απόφασιν να σε φονεύση, και αν ακόμη δεν έχη φθάσει η πληροφορία αυτή εις οιανδήποτε πόλιν, εις την οποίαν συ θα είσαι, εγώ ο ίδιος θα σου αναγγείλω αυτό”.

Α Βασ. 20,10 - καὶ εἶπε Δαυὶδ πρὸς Ἰωνάθαν· τίς ἀπαγγείλῃ μοι, ἐὰν ἀποκριθῇ ὁ πατήρ σου σκληρῶς;

Α Βασ. 20,10 - Ο Δαυίδ ηρώτησε τότε τον Ιωνάθαν· “ποιός θα με ειδοποιήση, εάν ο πατέρας σου αποκριθή κατά ένα σκληρόν τροπον προς σέ;”

Α Βασ. 20,11 - καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαυίδ· πορεύου καὶ μένε εἰς ἀγρόν. καὶ ἐκπορεύονται ἀμφότεροι εἰς ἀγρόν.

Α Βασ. 20,11 - Ο Ιωνάθαν είπεν στον Δαυίδ· “πήγαινε και μείνε στον αγρόν”. Ανεχώρησαν δε και οι δύο δια τον αγρόν εκείνον.

Α Βασ. 20,12 - καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαυίδ· Κύριος ὁ Θεὸς Ἰσραὴλ εἶδεν, ὅτι ἀνακρινῶ τὸν πατέρα μου ὡς ἂν ὁ καιρὸς τρισσῶς, καὶ ἰδοὺ ἀγαθὸν ᾖ περὶ Δαυίδ, καὶ οὐ μὴ ἀποστείλω πρός σε εἰς ἀγρόν·

Α Βασ. 20,12 - Είπε δε ο Ιωνάθαν στον Δαυίδ· “Κυριος ο Θεός του Ισραήλ γνωρίζει, ότι εγώ θα ξεψαχνίσω τον πατέρα μου στον κατάλληλον

καιρόν μεθαύριον. Εάν έχη αγαθάς διαθέσεις δια σε τον Δαυίδ, δεν θα αποστείλω άνθρωπον προς σε να σε ειδοποιήση στον αγρόν.

Α Βασ. 20,13 - τάδε ποιήσαι ὁ Θεὸς τῷ Ἰωνάθαν καὶ τάδε προσθείη, ὅτι ἀνοίσω τὰ κακὰ ἐπὶ σὲ καὶ ἀποκαλύψω τὸ ὠτίον σου καὶ ἐξαποστελῶ σε καὶ ἀπελεύσῃ εἰς εἰρήνην· καὶ ἔσται Κύριος μετὰ σοῦ, καθὼς ἦν μετὰ τοῦ πατρός μου.

Α Βασ. 20,13 - Αλλως, εγώ θα σου αποκαλύψω όσα κακά απειλεί εναντίον σου ο πατήρ μου, και θα προσπαθήσω να σε φυγαδεύσω, και συ θα απέλθης εν ειρήνη. Ο Θεός να με τιμωρήση με κάθε τιμωρίαν, αν δεν ενεργήσω έτσι. Ο Κυριος θα είναι μαζή σου, όπως ήτο και με τον πατέρα μου προηγουμένως.

Α Βασ. 20,14 - καὶ ἐὰν μὲν ἔτι μου ζῶντος καὶ ποιήσεις ἔλεος μετ᾿ ἐμοῦ, καὶ ἐὰν θανάτῳ ἀποθάνω,

Α Βασ. 20,14 - Οταν όμως συ γίνης βασιλεύς και ζω ακόμη εγώ, θα δείξης καλωσύνην προς εμέ. Εάν όμως έχω αποθάνει,

Α Βασ. 20,15 - οὐκ ἐξαρεῖς ἔλεός σου ἀπὸ τοῦ οἴκου μου ἕως τοῦ αἰῶνος· καὶ εἰ μή, ἐν τῷ ἐξαίρειν Κύριον τοὺς ἐχθροὺς Δαυὶδ ἕκαστον ἀπὸ τοῦ προσώπου τῆς γῆς εὑρεθῆναι τὸ ὄνομα τοῦ Ἰωνάθαν ἀπὸ τοῦ οἴκου Δαυίδ, καὶ ἐκζητῆσαι Κύριος ἐχθροὺς τοῦ Δαυίδ.

Α Βασ. 20,15 - σου ζητώ να μη στερήσης ποτέ τους απογόνους μου από την καλωσύνην σου, ακόμη και όταν ο Κυριος απομακρύνη τον ένα κατόπιν του άλλου όλους τους εχθρούς από σένα τον Δαυίδ και τους εξαλείψη από το πρόσωπον της γης. Το όνομα του Ιωνάθαν πρέπει δια των απογόνων του να επιζήση χάρις εις την προστασίαν του οίκου Δαυίδ. Είθε ο Κυριος να αναζητήση και να τιμωρήση τους εχθρούς του Δαυίδ”.

Α Βασ. 20,17 - καὶ προσέθετο ἔτι Ἰωνάθαν ὀμόσαι τῷ Δαυίδ, ὅτι ἠγάπησε ψυχὴν ἀγαπῶντος αὐτόν.

Α Βασ. 20,17 - Ο Ιωνάθαν ωρκίσθη προς τον Δαυίδ και πάλιν ότι τον αγαπά, όπως αγαπά τον εαυτόν του.

Α Βασ. 20,18 - καὶ εἶπεν Ἰωνάθαν· αὔριον νεομηνία, καὶ ἐπισκεπήσῃ, ὅτι ἐπισκεπήσεται καθέδρα σου.

Α Βασ. 20,18 - Προσέθεσε δε ακόμη ο Ιωνάθαν· “αύριον είναι εορτή επί τη πρώτη του νέου μηνός. Ο πατήρ μου θα προσέξη την κενήν ιδικήν σου θέσιν.

Α Βασ. 20,19 - καὶ τρισσεύσεις καὶ ἐπισκέψῃ καὶ ἥξεις εἰς τὸν τόπον σου, οὗ κρυβῇς ἐν τῇ ἡμέρᾳ τῇ ἐργασίμῃ, καὶ καθήσῃ παρὰ τὸ ἐργὰβ ἐκεῖνο.

Α Βασ. 20,19 - Συ επί τρεις ημέρας θα απουσιάσης. Θα επανέλθης στον τόπον σου, όπου θα κρυφθής κατά την ημέραν την εργάσιμον. Θα καθίσης πλησίον στο γνωστόν μας εκείνο κοίλωμα.

Α Βασ. 20,20 - καὶ ἐγὼ τρισσεύσω ταῖς σχίζαις ἀκοντίζων, ἐκπέμπων εἰς τὴν ἀματταρί.

Α Βασ. 20,20 - Εγώ δε την τρίτην ημέραν θα κάμω σκοποβολήν και θα ρίψω βέλη εις ένα στόχον.

Α Βασ. 20,21 - καὶ ἰδοὺ ἀποστέλλω τὸ παιδάριον λέγων· δεῦρο εὑρέ μοι τὴν σχίζαν·

Α Βασ. 20,21 - Κατόπιν θα στείλω τον νεαρόν δούλον μου λέγων προς αυτόν· Ελα, πήγαινε να βρης το βέλος μου.

Α Βασ. 20,22 - ἐὰν εἴπω λέγων τῷ παιδαρίῳ· ὧδε ἡ σχίζα ἀπὸ σοῦ καὶ ὧδε, λάβε αὐτήν, παραγίνου, ὅτι εἰρήνη σοι, καὶ οὐκ ἔστι λόγος, ζῇ Κύριος· ἐὰν τάδε εἴπω τῷ νεανίσκῳ· ὧδε ἡ σχίζα ἀπὸ σοῦ καὶ ἐπέκεινα, πορεύου ὅτι ἐξαπέσταλκέ σε Κύριος.

Α Βασ. 20,22 - Εάν είπω στον νεαρόν δούλον, το βέλος είναι εδώ, δηλαδή ανάμεσα από εμέ και από σέ, πάρε συ ο ίδιος το βέλος και έλα, διότι τα πράγματα είναι ειρηνικά, και δεν υπάρχει κανένας κίνδυνος δια σέ. Ορκίζομαι ότι έτσι θα ενεργήσω. Εάν όμως είπω στον νεαρόν δούλον μου· Το βέλος είναι εκεί, πέραν από την θέσιν, που συ ευρίσκεσαι, φύγε διότι ο Θεός σε διατάσσει να αναχωρήσης.

Α Βασ. 20,23 - καὶ τὸ ῥῆμα ὃ ἐλαλήσαμεν ἐγὼ καὶ σύ, ἰδοὺ Κύριος μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ ἕως αἰῶνος.

Α Βασ. 20,23 - Δια τα λόγια αυτά, τα οποία αντηλλάξαμεν συ και εγώ, ιδού, θα είναι μάρτυς παντοτεινός μεταξύ μας ο Κυριος και Θεός μας”.

Α Βασ. 20,24 - Καὶ κρύπτεται Δαυὶδ ἐν ἀγρῷ, καὶ παραγίνεται ὁ μήν, καὶ ἔρχεται ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν τοῦ φαγεῖν.

Α Βασ. 20,24 - Ο Δαυίδ εκρύφθη πράγματι στον αγρόν. Εφθασεν η πρώτη του μηνός. Ο βασιλεύς Σαούλ ήλθεν εις την τράπεζαν, δια να φάγη.

Α Βασ. 20,25 - καὶ ἐκάθισεν ἐπὶ τὴν καθέδραν αὐτοῦ ὡς ἅπαξ καὶ ἅπαξ, ἐπὶ τῆς καθέδρας παρὰ τοῖχον, καὶ προέφθασε τὸν Ἰωνάθαν, καὶ ἐκάθισεν Ἀβεννὴρ ἐκ πλαγίων Σαούλ, καὶ ἐπεσκέπη ὁ τόπος Δαυίδ.

Α Βασ. 20,25 - Εκάθισεν εις την ωρισμένην καθέδραν του, όπως και προηγουμένως, εις την καθέδραν πλησίον του τοίχου. Ο Ιωνάθαν εκάθισεν απέναντί του. Παραπλεύρως και εκ πλαγίων του Σαούλ εκάθισεν ο Αβεννήρ, ο στρατηγός. Εγινε δε αισθητόν το γεγονός ότι ήτο κενή η θέσις του Δαυίδ.

Α Βασ. 20,26 - καὶ οὐκ ἐλάλησε Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι εἴρηκε· σύμπτωμα φαίνεται μὴ καθαρὸς εἶναι, ὅτι οὐ κεκαθάρισται.

Α Βασ. 20,26 - Ο Σαούλ δεν είπε τίποτε κατά την ημέραν εκείνην, διότι εσκέφθη καθ' εαυτόν, ότι ίσως ο Δαυίδ να μη ήτό νομικώς καθαρός και δεν του είχε δοθή η ευκαιρία να κάμη τον νομικόν καθαρισμόν.

Α Βασ. 20,27 - καὶ ἐγενήθη τῇ ἐπαύριον τοῦ μηνὸς τῇ ἡμέρᾳ τῇ δευτέρᾳ καὶ ἐπεσκέπη ὁ τόπος τοῦ Δαυίδ, καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν τὸν υἱὸν

αὐτοῦ· τί ὅτι οὐ παραγέγονεν ὁ υἱὸς Ἰεσσαὶ καὶ ἐχθὲς καὶ σήμερον ἐπὶ τὴν τράπεζαν;

Α Βασ. 20,27 - Την επομένην ημέραν, δευτέραν του μηνός, έκαμεν εντύπωσιν πάλιν ότι η θέσις του Δαυίδ ήτο κενή. Ο Σαουλ ηρώτησε τον Ιωνάθαν, τον υιόν του· “διατί το παιδί του Ιεσσαί δεν ήλθε χθες και σήμερον εις την τράπεζάν μας;”

Α Βασ. 20,28 - καὶ ἀπεκρίθη Ἰωνάθαν τῷ Σαοὺλ καὶ εἶπεν αὐτῷ· παρῄτηται παρ᾽ ἐμοῦ Δαυὶδ ἕως εἰς Βηθλεὲμ τὴν πόλιν αὐτοῦ πορευθῆναι.

Α Βασ. 20,28 - Ο Ιωνάθαν απεκρίθη και είπεν στον Σαούλ· “ο Δαυίδ εζήτησεν από εμέ άδειαν να μεταβή έως εις την Βηθλεέμ, την πατρίδα του.

Α Βασ. 20,29 - καὶ εἶπεν· ἐξαπόστειλον δή με, ὅτι θυσία τῆς φυλῆς ἡμῖν ἐν τῇ πόλει, καὶ ἐνετείλαντο πρός με οἱ ἀδελφοί μου, καὶ νῦν εἰ εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, διαβήσομαι δὴ καὶ ὄψομαι τοὺς ἀδελφούς μου· διὰ τοῦτο οὐ παραγέγονεν ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως.

Α Βασ. 20,29 - Μου είπε δηλαδή· Αφησέ με, σε παρακαλώ, διότι η οικογένειά μου θα τελέση θυσίαν εις την πόλιν Βηθλεέμ και οι αδελφοί μου μου παρήγγειλαν να μεταβώ και εγώ εκεί. Εάν λοιπόν έχω κάποιαν χάριν ενώπιόν σου, δος μου την άδειαν να μεταβώ και να ιδώ τους αδελφούς μου. Δι' αυτό δεν ήλθεν εις την τράπεζαν του βασιλέως ο Δαυίδ”.

Α Βασ. 20,30 - καὶ ἐθυμώθη ὀργῇ Σαοὺλ ἐπὶ Ἰωνάθαν σφόδρα καὶ εἶπεν αὐτῷ· υἱὲ κορασίων αὐτομολούντων, οὐ γὰρ οἶδα ὅτι μέτοχος εἶ σὺ τῷ υἱῷ Ἰεσσαὶ εἰς αἰσχύνην σου καὶ εἰς αἰσχύνην ἀποκαλύψεως μητρός σου;

Α Βασ. 20,30 - Ο Σαούλ κατελήφθη από ισχυρόν θυμόν εναντίον του Ιωνάθαν και είπεν εις αυτόν· “νόθε υιέ, τέκνον διεφθαρμένων γυναικών, νομίζεις ότι εγώ δεν γνωρίζω, πως είσαι φίλος και συνένοχος του υιού του Ιεσσαί προς εντροπήν σου και προς εντροπήν της μητρός, η οποία σε εγέννησε;

Α Βασ. 20,31 - ὅτι πάσας τὰς ἡμέρας, ἃς ὁ υἱὸς Ἰεσσαὶ ζῇ ἐπὶ τῆς γῆς, οὐχ ἑτοιμασθήσεται ἡ βασιλεία σου· νῦν οὖν ἀποστείλας λάβε τὸν νεανίαν, ὅτι υἱὸς θανάτου οὗτος.

Α Βασ. 20,31 - Διότι, εφ' όσον ο υιός του Ιεσσαί ζη επί της γης, δεν πρόκειται συ να γίνης βασιλεύς. Λοιπόν στείλε αμέσως και φέρε εδώ τον νεαρόν, διότι είναι άξιος θανάτου και πρέπει να θανατωθή”.

Α Βασ. 20,32 - καὶ ἀπεκρίθη Ἰωνάθαν τῷ Σαούλ· ἱνατί ἀποθνήσκει; τί πεποίηκε;

Α Βασ. 20,32 - Ο Ιωνάθαν απήντησε προς τον Σαούλ· “διατί να θανατωθή; Τι κακόν έχει κάμει;”

Α Βασ. 20,33 - καὶ ἐπῆρε Σαοὺλ τὸ δόρυ ἐπὶ Ἰωνάθαν τοῦ θανατῶσαι αὐτόν. καὶ ἔγνω Ἰωνάθαν ὅτι συντετέλεσται ἡ κακία αὕτη παρὰ τοῦ πατρὸς αὐτοῦ θανατῶσαι τὸν Δαυίδ,

Α Βασ. 20,33 - Ο Σαούλ τυφλωμένος από τον θυμόν εσήκωσε το δόρυ εναντίον του Ιωνάθαν, δια να τον θανατώση. Ο Ιωνάθαν επείσθη ότι η κακία αυτή του πατρός του έφθασεν στο αποκορύφωμά της και τυν οδηγεί πλέον, ώστε να θανατώση τον Δαυίδ.

Α Βασ. 20,34 - καὶ ἀνεπήδησεν Ἰωνάθαν ἀπὸ τῆς τραπέζης ἐν ὀργῇ θυμοῦ καὶ οὐκ ἔφαγεν ἐν τῇ δευτέρᾳ τοῦ μηνὸς ἄρτον, ὅτι ἐθραύσθη ἐπὶ τὸν Δαυίδ, ὅτι συνετέλεσεν ἐπ᾽ αὐτὸν ὁ πατὴρ αὐτοῦ.

Α Βασ. 20,34 - Ο Ιωνάθαν γεμάτος και εκείνος θυμόν ανεπήδησεν από την τράπεζαν, δεν έφαγε κατά την δευτέραν ημέραν του μηνός εκ του φαγητού, διότι συνετρίβη η καρδία του από τον πόνον δια τον Δαυίδ, όταν είχε πλέον πεισθή, ότι ο πατέρας του επήρεν οριστικήν και αμετάκλητον απόφασιν εναντίον του Δαυίδ.

Α Βασ. 20,35 - Καὶ ἐγενήθη πρωΐ καὶ ἐξῆλθεν Ἰωνάθαν εἰς ἀγρόν, καθὼς ἐτάξατο εἰς τὸ μαρτύριον Δαυίδ, καὶ παιδάριον μικρὸν μετ᾽ αὐτοῦ.

Α Βασ. 20,35 - Την πρωΐαν της επομένης ημέρας, εξήλθεν ο Ιωνάθαν στον αγρόν, όπως είχε συμφωνήσει προηγουμένως με τον Δαυίδ. Μαζή του δε ήτο και ένας νεαρός δούλος.

Α Βασ. 20,36 - καὶ εἶπε τῷ παιδαρίῳ· δράμε, εὑρέ μοι τὰς σχίζας, ἐν αἷς ἐγὼ ἀκοντίζω. καὶ τὸ παιδάριον ἔδραμε, καὶ αὐτὸς ἠκόντιζε τῇ σχίζῃ καὶ παρήγαγεν αὐτήν.

Α Βασ. 20,36 - Είπε δε ο Ιωνάθαν στον νεαρόν δούλον· “τρέξε δια να βρης και να μου φέρης πάλιν τα βέλη, τα οποία εγώ ρίχνω δια του τόξου”. Πράγματι ο Ιωνάθαν έκαμε σκοποβολήν και έρριψε τα βέλη του. Ο νεαρός δούλος του έτρεξε να τα φέρη.

Α Βασ. 20,37 - καὶ ἦλθε τὸ παιδάριον ἕως τοῦ τόπου τῆς σχίζης, οὗ ἠκόντιζεν Ἰωνάθαν, καὶ ἀνεβόησεν Ἰωνάθαν ὀπίσω τοῦ νεανίου καὶ εἶπεν· ἐκεῖ ἡ σχίζα ἀπὸ σοῦ καὶ ἐπέκεινα·

Α Βασ. 20,37 - Ο νεαρός δούλος του Ιωνάθαν έφθασεν στον τόπον, όπου είχεν εξακοντίσει το βέλος ο Ιωνάθαν. Εφώναξε τότε ο Ιωνάθαν και είπε· “το βέλος είναι εκεί πέρα, πίσω από σένα. Εκεί είναι το βέλος”.

Α Βασ. 20,38 - καὶ ἀνεβόησεν Ἰωνάθαν ὀπίσω τοῦ παιδαρίου αὐτοῦ λέγων· ταχύνας σπεῦσον καὶ μὴ στῇς. καὶ ἀνέλεξε τὸ παιδάριον Ἰωνάθαν τὰς σχίζας καὶ ἤνεγκε τὰς σχίζας πρὸς τὸν κύριον αὐτοῦ.

Α Βασ. 20,38 - Ο Ιωνάθαν εφώναξε τον υπηρέτην καθώς εκείνος επήγαινε· “φύγε γρήγορα, μη σταματάς”. Ο νεαράς δούλος εμάζεψε τα βέλη και έφερεν αυτά προς τον κύριόν του.

Α Βασ. 20,39 - καὶ τὸ παιδάριον οὐκ ἔγνω οὐθέν, πάρεξ Ἰωνάθαν καὶ Δαυὶδ ἔγνωσαν τὸ ῥῆμα.

Α Βασ. 20,39 - Αυτός ο δούλος δεν εκατάλαβε τίποτε από όσα ελέχθησαν, ειμή μόνον ο Ιωνάθαν και ο Δαυίδ κατενόησαν την σημασίαν των λεχθέντων.

Α Βασ. 20,40 - καὶ Ἰωνάθαν ἔδωκε τὰ σκεύη αὐτοῦ ἐπὶ τὸ παιδάριον αὐτοῦ καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ· πορεύου, εἴσελθε εἰς τὴν πόλιν.

Α Βασ. 20,40 - Ο Ιωνάθαν έδωκε τον οπλισμόν του στο παιδάριον και του είπε· "πήγαινε, γύρισε εις την πόλιν".

Α Βασ. 20,41 - καὶ ὡς εἰσῆλθε τὸ παιδάριον, καὶ Δαυὶδ ἀνέστη ἀπὸ τοῦ ἐργὰβ καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ προσεκύνησεν αὐτῷ τρίς, καὶ κατεφίλησεν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἔκλαυσεν ἕκαστος τῷ πλησίον αὐτοῦ ἕως συντελείας μεγάλης.

Α Βασ. 20,41 - Οταν ο νεαρός δούλος έφυγε δια την πόλιν, ο Δαυίδ εσηκώθη από το κοίλωμα, όπου ήτο κρυμμένος, έπεσέ με το πρόσωπον αυτού προς την γην και προσεκύνησε τρεις φορές τον Ιωνάθαν. Και οι δύο ησπάσθησαν ο ένας τον άλλον, έκλαυσαν επί πολύ και με πολλά δάκρυα.

Α Βασ. 20,42 - καὶ εἶπεν Ἰωνάθαν τῷ Δαυίδ· πορεύου εἰς εἰρήνην, καὶ ὡς ὀμωμόκαμεν ἡμεῖς ἀμφότεροι ἐν ὀνόματι Κυρίου λέγοντες· Κύριος ἔσται μάρτυς ἀνὰ μέσον ἐμοῦ καί σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματός μου καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου ἕως αἰῶνος.

Α Βασ. 20,42 - Ο Ιωνάθαν είπεν στον Δαυίδ· "πήγαινε στο καλό. Θα γίνη, όπως οι δύο μας ωρκίσθημεν ενώπιον του Κυρίου λέγοντες ότι ο Κυριος θα είναι παντοτεινός μάρτυς της φιλίας μας η οποία θα επικρατή μεταξύ ημών των δύο και μεταξύ των απογόνων μας.

Α ΒΑΣΙΛΕΙΩΝ 21

Α Βασ. 21,1 - Καὶ ἀνέστη Δαυὶδ καὶ ἀπῆλθε, καὶ Ἰωνάθαν εἰσῆλθεν εἰς τὴν πόλιν.

Α Βασ. 21,1 - Επειτα από αυτά, ο Δαυίδ εσηκώθη και ανεχώρησεν, ο δε Ιωνάθαν επανήλθεν εις την πόλιν.

Α Βασ. 21,2 - καὶ ἔρχεται Δαυὶδ εἰς Νομβὰ πρὸς Ἀβιμέλεχ τὸν ἱερέα. καὶ ἐξέστη Ἀβιμέλεχ τῇ ἀπαντήσει αὐτοῦ καὶ εἶπεν αὐτῷ· τί ὅτι σὺ μόνος καὶ οὐθεὶς μετὰ σοῦ;

Α Βασ. 21,2 - Ο Δαυίδ ήλθεν εις πόλιν Νομβά προς τον αρχιερέα τον Αβιμέλεχ. Ο Αβιμέλεχ εξεπλάγη πολύ, όταν είδε τον Δαυίδ και του είπε· "διατί είσαι μόνος σου και διατί κανείς άλλος δεν υπάρχει μαζή σου;"

Α Βασ. 21,3 - καὶ εἶπε Δαυὶδ τῷ ἱερεῖ· ὁ βασιλεὺς ἐντέταλταί μοι ῥῆμα σήμερον καὶ εἶπέ μοι· μηδεὶς γνώτω τὸ ῥῆμα, περὶ οὗ ἐγὼ ἀποστέλλω σε καὶ ὑπὲρ οὗ ἐγὼ ἐντέταλμαί σοι· καὶ τοῖς παιδαρίοις διαμεμαρτύρημαι ἐν τῷ τόπῳ τῷ λεγομένῳ Θεοῦ πίστις, Φελλανὶ Ἀλεμωνί· καὶ νῦν εἰ εἰσὶν ὑπὸ τὴν χεῖρά σου πέντε ἄρτοι, δὸς εἰς χεῖρά μου τὸ εὑρεθέν.

Α Βασ. 21,3 - Απήντησεν ο Δαυίδ στον Αρχιερέα· “ο βασιλεύς μου ανέθεσε σήμερον κάποιον έργον και μου είπε· Πρόσεξε, κανείς να μη μάθη την αποστολήν, δια την οποίαν εγώ σε στέλνω και δια την οποίαν σου έχω δώσει εντολάς. Δια τούτο εγώ εντόνως συνέστησα στους νεαρούς που με ακολουθούν να με περιμείνουν στον τόπον που λέγεται “Θεού πίστις”, Φελλανί Αλεμωνί. Και τώρα σε παρακαλώ, εάν σου ευρίσκωνται πέντε άρτοι να μου τους δώσης, η όσοι σου ευρίσκονται”.

Α Βασ. 21,4 - καὶ ἀπεκρίθη ὁ ἱερεὺς τῷ Δαυίδ, καὶ εἶπεν· οὐκ εἰσὶν ἄρτοι βέβηλοι ὑπὸ τὴν χεῖρά μου, ὅτι ἀλλ᾽ ἢ ἄρτοι ἅγιοί εἰσιν· εἰ πεφυλαγμένα τὰ παιδάριά ἐστιν ἀπὸ γυναικός, καὶ φάγεται.

Α Βασ. 21,4 - Ο αρχιερεύς απήντησεν στον Δαυίδ και του είπε· “δεν έχω εις την διάθεσίν μου άρτους κοινούς και συνήθεις, αλλά μόνον υπάρχουν οι άγιοι άρτοι της προθέσεως, οι προωρισμένοι δια τους ιερείς. Εάν οι νεαροί ακόλουθοί σου έχουν φυλαχθή από γυναίκα, ημπορούν να τους φάγουν”.

Α Βασ. 21,5 - καὶ ἀπεκρίθη Δαυὶδ τῷ ἱερεῖ καὶ εἶπεν αὐτῷ· ἀλλὰ ἀπὸ γυναικὸς ἀπεσχήμεθα ἐχθὲς καὶ τρίτην ἡμέραν· ἐν τῷ ἐξελθεῖν με εἰς ὁδὸν γέγονε πάντα τὰ παιδία ἡγνισμένα, καὶ αὐτὴ ἡ ὁδὸς βέβηλος, διότι ἁγιασθήσεται σήμερον διὰ τὰ σκεύη μου.

Α Βασ. 21,5 - Ο Δαυίδ απήντησεν στον αρχιερέα και του είπεν· “από γυναίκα έχομεν φυλαχθή εδώ και τρεις ημέρες. Οταν δε ανεχωρήσαμεν από την πόλιν, οι μεν νεαροί ακόλουθοί μου εκαθαρίσθησαν από κάθε νομικήν ακαθαρσίαν. Ο δρόμος όμως και ο σκοπός, δια τον οποίον πορευόμεθα δεν είναι άγιος, αλλά κοσμικός. Τα σακκίδιά μας όμως θα είναι καθαρά, ώστε να δεχθούν τους καθιερωμένους άρτους, τους οποίους σήμερον θα πάρωμεν”.

Α Βασ. 21,6 - καὶ ἔδωκεν αὐτῷ Ἀβιμέλεχ ὁ ἱερεὺς τοὺς ἄρτους τῆς προθέσεως, ὅτι οὐκ ἦν ἐκεῖ ἄρτος, ἀλλ᾽ ἢ ἄρτοι τοῦ προσώπου οἱ ἀφῃρημένοι ἐκ προσώπου Κυρίου τοῦ παρατεθῆναι ἄρτον θερμὸν ᾗ ἡμέρᾳ ἔλαβεν αὐτούς.

Α Βασ. 21,6 - Ο αρχιερεύς, ο Αβιμέλεχ, έπειτα από την διαβεβαίωσιν αυτήν του Δαυίδ, έδωκεν εις αυτόν τους άρτους της προθέσεως, διότι δεν υπήρχον εκεί άλλοι άρτοι, ειμή μόνον οι άρτοι οι οποίοι είχον τεθή προ του Κυρίου· οι άρτοι, οι οποίοι θα αφηρούντο από έμπροσθεν του Κυρίου, δια να αντικατασταθούν από άλλους θερμούς και προσφάτους άρτους, όπως γίνεται κάθε εβδομάδα.

Α Βασ. 21,7 - καὶ ἐκεῖ ἦν ἓν τῶν παιδαρίων τοῦ Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συνεχόμενος νεεσσαρὰν ἐνώπιον Κυρίου, καὶ ὄνομα αὐτῷ Δωὴκ ὁ Σύρος νέμων τὰς ἡμιόνους Σαούλ.

Α Βασ. 21,7 - Εκεί, ενώπιον του Κυρίου, ευρίσκετο και ένας δούλος του Σαούλ κατά την ημέραν εκείνην έγκλειστος στον ναόν του Κυρίου. Ο δούλος αυτός ωνομάζετο Δωήκ ο Συρος. Εβοσκε δε τας ημιόνους του Σαούλ.

Α Βασ. 21,8 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀβιμέλεχ· ἰδὲ εἰ ἔστιν ἐνταῦθα ὑπὸ τὴν χεῖρά σου δόρυ ἢ ῥομφαία, ὅτι τὴν ῥομφαίαν μου καὶ τὰ σκεύη οὐκ εἴληφα ἐν τῇ χειρί μου, ὅτι ἦν τὸ ῥῆμα τοῦ βασιλέως κατὰ σπουδήν.

Α Βασ. 21,8 - Ο Δαυίδ ηρώτησε τον Αβιμέλεχ, μήπως είναι εδώ μαζή σου κανένα δόρυ η καμμία ρομφαία, διότι την ιδικήν μου ρομφαίαν και τα άλλα όπλα μου δεν τα επήρα μαζή μου, επειδή ήτο βιαστική και δεν επεδέχετο αναβολήν η εντολή του βασιλέως".

Α Βασ. 21,9 - καὶ εἶπεν ὁ ἱερεύς· ἰδοὺ ἡ ῥομφαία Γολιὰθ τοῦ ἀλλοφύλου, ὃν ἐπάταξας ἐν τῇ κοιλάδι Ἠλά, καὶ αὐτὴν ἐνειλημμένη ἦν ἐν ἱματίῳ· εἰ ταύτην λήψῃ, σεαυτῷ λαβέ, ὅτι οὐκ ἔστιν ἑτέρα πάρεξ ταύτης ἐνταῦθα. καὶ εἶπε Δαυίδ· ἰδοὺ οὐκ ἔστιν ὥσπερ αὐτή, δός μοι αὐτήν.

Α Βασ. 21,9 - Ο αρχιερεύς είπεν στον Δαυίδ· "ιδού, η ρομφαία του Γολιάθ του αλλοφύλου, τον οποίον συ εκτύπησες εις την κοιλάδα Ηλά, υπάρχει εδώ και είναι τυλιγμένη στο ιμάτιον. Εάν θέλης να πάρης αυτήν, πάρε την δια τον εαυτόν σου. Αλλη εκτός αυτής δεν υπάρχει". Και είπεν ο Δαυίδ· "και αν υπήρχε καμμία άλλη, δεν θα ήτο περισσότερον κατάλληλος από αυτήν δι' εμέ. Δος μου την.

Α Βασ. 21,10 - καὶ ἔδωκεν αὐτὴν αὐτῷ· καὶ ἀνέστη Δαυὶδ καὶ ἔφυγεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ προσώπου Σαούλ. Καὶ ἦλθε Δαυὶδ πρὸς Ἀγχοῦς βασιλέα Γέθ.

Α Βασ. 21,10 - Ο αρχιερεύς του την έδωκεν. Ο Δαυίδ εσηκώθη και έφυγε κατά την ημέραν εκείνην μακράν από τον Σαούλ. Ηλθε δε προς τον Αγχούς βασιλέα της Γέθ.

Α Βασ. 21,11 - καὶ εἶπον οἱ παῖδες Ἀγχοῦς πρὸς αὐτόν· οὐχὶ οὗτος Δαυὶδ ὁ βασιλεὺς τῆς γῆς; οὐχὶ τούτῳ ἐξῆρχον αἱ χορεύουσαι λέγουσαι· ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυὶδ ἐν μυριάσιν αὐτοῦ;

Α Βασ. 21,11 - Οι δούλοι του Αγχούς είπαν προς αυτόν· "αυτός δεν είναι ο Δαυίδ ο βασιλεύς της χώρας των Ισραηλιτών; Προς χάριν αυτού και δια την δόξαν αυτού αι προεξάρχουσαι του χορού δεν έψαλλαν και δεν έλεγαν· Ο Σαούλ εφόνευσε χιλιάδας εχθρών ο Δαυίδ όμως εφόνευσε μυριάδας;"

Α Βασ. 21,12 - καὶ ἔθετο Δαυὶδ τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ ἐφοβήθη σφόδρα ἀπὸ προσώπου Ἀγχοῦς βασιλέως Γέθ.

Α Βασ. 21,12 - Ο Δαυίδ ήκουσε και επρόσεξε τα λόγια αυτά και εφοβήθη πολύ τον Αγχούς τον βασιλέα, μήπως τυχόν και τον εκδικηθή.

Α Βασ. 21,13 - καὶ ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐνώπιον αὐτοῦ καὶ προσεποιήσατο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς πόλεως καὶ παρεφέρετο ἐν ταῖς χερσὶν αὐτοῦ καὶ ἔπιπτεν ἐπὶ τὰς θύρας τῆς πύλης, καὶ τὰ σίελα αὐτοῦ κατέῤῥει ἐπὶ τὸν πώγωνα αὐτοῦ.

Α Βασ. 21,13 - Δι' αυτό άλλαξε το πρόσωπόν του ενώπιον του βασιλέως και προσεποιήθη κατά την ημέραν εκείνην τον παράφρονα. Εκτυπούσε τας

θύρας των οικιών της πόλεως, εκινούσε κατά έξαλλον τρόπον τα χέρια του, έπεφτε εμπρός εις τας θύρας των πυλώνων της πόλεως, καθ' ον χρόνον ο σίελός του έτρεχεν στο γένειόν του, όπως ακριβώς συμβαίνει με τους τρελλούς.

Α Βασ. 21,14 - καὶ εἶπεν Ἀγχοῦς πρὸς τοὺς παῖδας αὐτοῦ· ἰδοὺ ἴδετε ἄνδρα ἐπίληπτον, ἱνατί εἰσηγάγετε αὐτὸν πρός με;

Α Βασ. 21,14 - Ο Αγχούς είπε προς τους δούλους του· “ιδού, για κυττάξετε, ο άνθρωπος αυτός είναι τρελλός. Διατί τον εφέρατε προς εμέ;

Α Βασ. 21,15 - μὴ ἐλαττοῦμαι ἐπιλήπτων ἐγώ, ὅτι εἰσαγηόχατε αὐτὸν ἐπιληπτεύεσθαι πρός με; οὗτος οὐκ εἰσελεύσεται εἰς οἰκίαν.

Α Βασ. 21,15 - Μηπως εγώ έχω έλλειψιν από επιληπτικούς ανθρώπους και εφέρατε αυτόν να κάμνη εξάλλους πράξεις, όπως οι επιληπτικοί; Μη τον αφήσετε να εισέλθη εις καμμίαν οικίαν”.

Α ΒΑΣΙΛΕΙΩΝ 22

Α Βασ. 22,1 - Καὶ ἀπῆλθεν ἐκεῖθεν Δαυὶδ καὶ διεσώθη καὶ ἔρχεται εἰς τὸ σπήλαιον τὸ Ὀδολλάμ. καὶ ἀκούουσιν οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ καὶ καταβαίνουσι πρὸς αὐτὸν ἐκεῖ.

Α Βασ. 22,1 - Ο Δαυίδ έφυγεν από την Γεθ και ήλθε σώος και αβλαβής στο σπήλαιον της Οδολλάμ. Οι αδελφοί του και όλοι οι άλλοι άνθρωποι του σπιτιού του, όταν επληροφορήθησαν αυτό, κατήλθον από την Βηθλεέμ στο σπήλαιον, πλησίον της πόλεως, προς αυτόν.

Α Βασ. 22,2 - καὶ συνήγοντο πρὸς αὐτὸν πᾶς ἐν ἀνάγκῃ καὶ πᾶς ὑπόχρεως καὶ πᾶς κατώδυνος ψυχῇ, καὶ ἦν ἐπ᾿ αὐτῶν ἡγούμενος· καὶ ἦσαν μετ᾿ αὐτοῦ ὡς τετρακόσιοι ἄνδρες.

Α Βασ. 22,2 - Συνεκεντρώθησαν γύρω από τον Δαυίδ και πολλοί ενδεείς χρεωφειλέται και καθένας, ο οποίος ήτο λυπημένος κατά την καρδίαν. Εις όλους αυτούς αρχηγός ήτο ο Δαυίδ. Ολοι αυτοί, οι οποίοι ήσαν μαζή του, ανήρχοντο εις τετρακοσίους περίπου άνδρας.

Α Βασ. 22,3 - καὶ ἀπῆλθε Δαυὶδ ἐκεῖθεν εἰς Μασσηφὰθ τῆς Μωὰβ καὶ εἶπε πρὸς βασιλέα Μωάβ· γινέσθωσαν δὴ ὁ πατὴρ μου καὶ ἡ μήτηρ μου παρὰ σοί, ἕως ὅτου γνῶ τί ποιήσει μοι ὁ Θεός.

Α Βασ. 22,3 - Ο Δαυίδ έφυγεν από το σπήλαιον της Οδολλάμ και ήλθεν εις την πάλιν Μασσηφάθ της χώρας Μωάβ. Είπε δε προς τον βασιλέα των Μωαβιτών· “ας παραμείνουν, σε παρακαλώ, κοντά σου ο πατέρας μου και η μητέρα μου, μέχρις ότου ιδώ τι θα κάμη δι' εμέ ο Θεός”.

Α Βασ. 22,4 - καὶ παρεκάλεσε τὸ πρόσωπον τοῦ βασιλέως Μωάβ, καὶ κατῴκουν μετ᾿ αὐτοῦ πάσας τὰς ἡμέρας ὄντος τοῦ Δαυὶδ ἐν τῇ περιοχῇ.

Α Βασ. 22,4 - Αυτά παρεκάλεσεν ο Δαυίδ τον βασιλέα των Μωαβιτών. Εκείνος εδέχθη την παράκλησιν του Δαυίδ και έτσι οι γονείς αυτού έμειναν εις την χώραν Μωάβ καθ' όλον το διάστημα, κατά το οποίον ο Δαυίδ ευρίσκετο εις την περιοχήν εκείνην.

Α Βασ. 22,5 - καὶ εἶπε Γὰδ ὁ προφήτης πρὸς Δαυίδ· μὴ κάθου ἐν τῇ περιοχῇ, πορεύου καὶ ἥξεις εἰς γῆν Ἰούδα. καὶ ἐπορεύθη Δαυὶδ καὶ ἦλθε καὶ ἐκάθισεν ἐν πόλει Σαρίχ.

Α Βασ. 22,5 - Ο προφήτης Γαδ είπε προς τον Δαυίδ· “μη κάθεσαι εις την περιοχήν αυτήν, αλλά φύγε και πήγαινε εις την χώραν της Ιουδαίας”. Ο Δαυίδ πράγματι μετέβη και ήλθεν εις την χώραν της Ιουδαίας και εκάθισεν εις την πόλιν Σαρίχ.

Α Βασ. 22,6 - Καὶ ἤκουσε Σαούλ, ὅτι ἔγνωσται Δαυὶδ καὶ οἱ ἄνδρες οἱ μετ᾿ αὐτοῦ· καὶ Σαοὺλ ἐκάθητο ἐν τῷ βουνῷ ὑπὸ τὴν ἄρουραν τὴν ἐν Ῥαμά, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ πάντες οἱ παῖδες αὐτοῦ παρειστήκεισαν αὐτῷ.

Α Βασ. 22,6 - Ο Σαούλ επληροφορήθη το γεγονός, διότι είχε γίνει πλέον γνωστός ο τόπος, όπου ευρίσκετο ο Δαυίδ και οι άνδρες, οι οποίοι ήσαν μαζή του. Ο Σαούλ εκάθισεν εις κάποιον ύψωμα επάνω από ένα χωράφι εις την Ραμά. Εις τα χέρια του δε εκρατούσε το δόρυ και όλοι οι δούλοι του ίσταντο όρθιοι πλησίον του.

Α Βασ. 22,7 - καὶ εἶπε Σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ τοὺς παρεστηκότας αὐτῷ· ἀκούσατε δὴ υἱοὶ Βενιαμίν· εἰ ἀληθῶς πᾶσιν ὑμῖν δώσει ὁ υἱὸς Ἰεσσαὶ ἀγροὺς καὶ ἀμπελῶνας καὶ πάντας ὑμᾶς τάξει ἑκατοντάρχους καὶ χιλιάρχους;

Α Βασ. 22,7 - Είπε ο Σαούλ προς τους δούλους του, οι οποίοι τον περιεστοίχιζαν· “ακούσατε, λοιπόν, σεις που ανήκετε εις την φυλήν Βενιαμίν. Ο υιός του Ιεσσαί θα σας δώση πράγματι αγρούς και αμπελώνας και θα διορίση όλους σας εκατοντάρχους και χιλιάρχους; Πιστεύετε εις τέτοιες υποσχέσεις;

Α Βασ. 22,8 - ὅτι σύγκεισθε πάντες ὑμεῖς ἐπ᾿ ἐμέ, καὶ οὐκ ἔστιν ὁ ἀποκαλύπτων τὸ ὠτίον μου ἐν τῷ διαθέσθαι τὸν υἱόν μου διαθήκην μετὰ τοῦ υἱοῦ Ἰεσσαί, καὶ οὐκ ἔστι πονῶν περὶ ἐμοῦ ἐξ ὑμῶν καὶ ἀποκαλύπτων τὸ ὠτίον μου, ὅτι ἐπήγειρεν ὁ υἱός μου τὸν δοῦλόν μου ἐπ᾿ ἐμὲ εἰς ἐχθρόν, ὡς ἡ ἡμέρα αὕτη.

Α Βασ. 22,8 - Και όμως όλοι σεις, σαν να έχετε συνωμοτήσει εναντίον μου, διότι κανείς από σας δεν μου ανέφερεν ότι ο υιός μου έκαμε ένορκον συμφωνίαν φιλίας με τον υιόν του Ιεσσαί. Κανείς από σας δεν ενδιαφέρεται και δεν πονεί για μένα, διότι άλλως θα μου είχεν αναφέρει ότι το παιδί μου εξήγειρεν αυτόν τον δούλον μου και τον έκαμε εχθρόν εναντίον μου μέχρι της σημερινής ημέρας”.

Α Βασ. 22,9 - καὶ ἀποκρίνεται Δωὴκ ὁ Σύρος ὁ καθεστηκὼς ἐπὶ τὰς ἡμιόνους Σαοὺλ καὶ εἶπεν· ἑώρακα τὸν υἱὸν Ἰεσσαὶ παραγινόμενον εἰς Νομβὰ πρὸς Ἀβιμέλεχ υἱὸν Ἀχιτὼβ τὸν ἱερέα,

Α Βασ. 22,9 - Ο Δωήκ, ο Συρος, ο οποίος ήτο αρχηγός επί των ανθρώπων που εφύλασσαν τας ημιόνους του Σαουλ, εσηκώθη και είπεν· "εγώ είδα τον υιόν του Ιεσσαί, ότι ήλθεν εις Νομβά προς τον αρχιερέα Αβιμέλεχ, τον υιούν του Αχιτώβ.

Α Βασ. 22,10 - καὶ ἠρώτα αὐτῷ διά τοῦ Θεοῦ καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ καὶ τὴν ῥομφαίαν Γολιὰθ τοῦ ἀλλοφύλου ἔδωκεν αὐτῷ.

Α Βασ. 22,10 - Ο αρχιερεύς δε ηρώτησε χάριν αυτού τον Θεόν και έδωκεν εις αυτόν τροφάς. Και την ρομφαίαν του Γολιάθ του αλλοφύλου του έδωκεν".

Α Βασ. 22,11 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν Ἀβιμέλεχ υἱὸν Ἀχιτὼβ καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ τοὺς ἱερεῖς τοὺς ἐν Νομβά, καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα.

Α Βασ. 22,11 - Ο βασιλεύς έστειλε τότε ανθρώπους του και εκάλεσαν τον Αβιμέλεχ, τον υιόν του Αχιτώβ, και όλους τους υιούς του πατρός του, τους ιερείς που ευρίσκοντο εις Νομβά. Ολοι δε αυτοί ήλθον και παρουσιάσθησαν στον βασιλέα.

Α Βασ. 22,12 - καὶ εἶπε Σαούλ· ἄκουε δή, υἱὲ Ἀχιτώβ· καὶ εἶπεν· ἰδοὺ ἐγώ, λάλει κύριε.

Α Βασ. 22,12 - Είπεν ο Σαούλ· "άκουσε, λοιπόν, παιδί του Αχιτώβ". Εκείνος απήντησεν· "ιδού εγώ, λαλεί, Κυριε".

Α Βασ. 22,13 - καὶ εἶπεν αὐτῷ Σαούλ· ἱνατί συνέθου κατ᾿ ἐμοῦ σὺ καὶ ὁ υἱὸς Ἰεσσαὶ δοῦναί σε αὐτῷ ἄρτον καὶ ῥομφαίαν καὶ ἐρωτᾶν αὐτῷ διὰ τοῦ Θεοῦ θέσθαι αὐτὸν ἐπ᾿ ἐμὲ εἰς ἐχθρόν, ὡς ἡ ἡμέρα αὕτη;

Α Βασ. 22,13 - Ο Σαούλ είπε· "διατί έχετε συνωμοτήσει εναντίον μου συ και ο υιός του Ιεσσαί, ώστε να δώσης εις αυτόν άρτον και να δώσης την ρομφαίαν του Γολιάθ και να συμβουλευθής δι' αυτόν τον Θεόν και έτσι να γίνη αυτός εχθρός μου μέχρι της ημέρας αυτής;"

Α Βασ. 22,14 - καὶ ἀπεκρίθη τῷ βασιλεῖ καὶ εἶπε· καὶ τίς ἐν πᾶσι τοῖς δούλοις σου ὡς Δαυὶδ πιστὸς καὶ γαμβρὸς τοῦ βασιλέως καὶ ἄρχων παντὸς παραγγέλματός σου καὶ ἔνδοξος ἐν τῷ οἴκῳ σου;

Α Βασ. 22,14 - Ο αρχιερεύς απήντησεν στον βασιλέα και είπε· "ποιός άλλος από όλους τους δούλους σου είναι τόσον πιστός εις σέ, όσον ο Δαυίδ, ο γαμβρός του βασιλέως ο προεξάρχων πάντοτε εις την εκτέλεσιν κάθε εντολής σου, ένδοξος μεταξύ όλων των αυλικών σου;

Α Βασ. 22,15 - ἢ σήμερον ἦργμαι ἐρωτᾶν αὐτῷ διὰ τοῦ Θεοῦ; μηδαμῶς. μὴ δότω ὁ βασιλεὺς κατὰ τοῦ δούλου αὐτοῦ λόγον καὶ ἐφ᾿ ὅλον τὸν οἶκον

τοῦ πατρός μου, ὅτι οὐκ ᾔδει ὁ δοῦλός σου ἐν πᾶσι τούτοις ῥῆμα μικρὸν ἢ μέγα.

Α Βασ. 22,15 - Μηπως, τάχα, σήμερον εκαμα αρχήν να ερωτώ δι' αυτόν τον Θεόν; Καθόλου. Μη θελήση ο βασιλεύς να καταλογίση ευθύνην εις εμέ και εις όλους τους ανθρώπους του σπιτιού μου δια την διαγωγήν μου προς τον Δαυίδ, διότι εγώ ο δούλος σου ούτε όλην την υπόθεσιν γνωρίζω ούτε καν μικράν γνώσιν αυτής έχω”.

Α Βασ. 22,16 - καὶ εἶπεν ὁ βασιλεὺς Σαούλ· θανάτῳ ἀποθανῇ, Ἀβιμέλεχ, σὺ καὶ πᾶς ὁ οἶκος τοῦ πατρός σου.

Α Βασ. 22,16 - Είπεν ο βασιλεύς Σαούλ· “θα εκτελεσθής συ, Αβιμέλεχ, και όλη η οικογένεια του πατρός σου”.

Α Βασ. 22,17 - καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παρατρέχουσι τοῖς ἐφεστηκόσι πρὸς αὐτόν· προσαγάγετε καὶ θανατοῦτε τοὺς ἱερεῖς τοῦ Κυρίου, ὅτι ἡ χεὶρ αὐτῶν μετὰ Δαυίδ, καὶ ὅτι ἔγνωσαν ὅτι φεύγει αὐτός, καὶ οὐκ ἀπεκάλυψαν τὸ ὠτίον μου. καὶ οὐκ ἐβουλήθησαν οἱ παῖδες τοῦ βασιλέως ἐπενεγκεῖν τὰς χεῖρας αὐτῶν ἀπαντῆσαι εἰς τοὺς ἱερεῖς Κυρίου.

Α Βασ. 22,17 - Διέταξεν ο βασιλεύς αμέσως τους άνδρας της σωματοφυλακής του, που ίσταντο πλησίον του, και είπε· “φέρετε εδώ και εκτελέσατε τους ιερείς του Κυρίου, διότι αυτοί έχουν συμμαχήσει με τον Δαυίδ. Ενώ δε εγνώριζαν ότι ο Δαυίδ είχε δραπετεύσει από εμέ δια να μη τιμωρηθή, δεν μου απεκάλυψαν το γεγονός”. Οι άνδρες της σωματοφυλακής του βασιλέως, δεν ετόλμησαν να σηκώσουν τα χέρια των και να φονεύσουν τους ιερείς του Κυρίου.

Α Βασ. 22,18 - καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δωήκ· ἐπιστρέφου σὺ καὶ ἀπάντα εἰς τοὺς ἱερεῖς. καὶ ἐπεστράφη Δωὴκ ὁ Σύρος καὶ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ Κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τριακοσίους καὶ πέντε ἄνδρας, πάντας αἴροντας ἐφούδ.

Α Βασ. 22,18 - Είπε τότε ο βασιλεύς προς τον Δωήκ· “γύρισε συ και κτύπα τους ιερείς”. Ο Δωήκ ο Συρος εγύρισε πράγματι και εθανάτωσε τους ιερείς του Κυρίου κατά την ημέραν εκείνην. Τριακοσίους και πέντε άνδρας εφόνευσε, όλους έχοντας το ιερατικόν ένδυμα εφούδ.

Α Βασ. 22,19 - καὶ τὴν Νομβὰ τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι ῥομφαίας ἀπ᾿ ἀνδρὸς ἕως γυναικός, ἀπὸ νηπίου ἕως θηλάζοντος καὶ μόσχου καὶ ὄνου καὶ προβάτου.

Α Βασ. 22,19 - Ο δε Σαούλ εν στόματι μαχαίρας επέρασε την πόλιν Νομβά, όλους τους κατοίκους της πόλεως αυτής των ιερέων από ανδρός έως γυναικός, από νηπίου μέχρι θηλάζοντος, από μόσχου μέχρι όνου και προβάτου.

Α Βασ. 22,20 - καὶ διασώζεται υἱὸς εἷς τῷ Ἀβιμέλεχ υἱῷ Ἀχιτώβ, καὶ ὄνομα αὐτῷ Ἀβιάθαρ, καὶ ἔφυγεν ὀπίσω Δαυίδ.

Α Βασ. 22,20 - Από δε την σφαγήν αυτήν διεσώθη ένας μόνον υιός του Αβιμέλεχ, υιού του Αχιτώβ. Το όνομα του διασωθέντος ήτο Αβιάθαρ. Αυτός έσπευσε και κατέφυγε πλησίον του Δαυίδ.

Α Βασ. 22,21 - καὶ ἀπήγγειλεν Ἀβιάθαρ τῷ Δαυίδ, ὅτι ἐθανάτωσε Σαοὺλ πάντας τοὺς ἱερεῖς τοῦ Κυρίου.

Α Βασ. 22,21 - Ο Αβιάθαρ ανήγγειλεν στον Δαυίδ ότι ο Σαούλ εθανάτωσεν όλους τους ιερείς του Κυρίου.

Α Βασ. 22,22 - καὶ εἶπε Δαυὶδ τῷ Ἀβιάθαρ· ᾔδειν ὅτι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτι Δωὴκ ὁ Σύρος ὅτι ἀπαγγέλλων ἀπαγγελεῖ τῷ Σαούλ· ἐγώ εἰμι αἴτιος τῶν ψυχῶν οἴκου τοῦ πατρός σου·

Α Βασ. 22,22 - Ο δε Δαυίδ απήντησεν στον Αβιάθαρ· “καλά το είχα αντιληφθή κατά την ημέραν εκείνην ότι ο Δωήκ ο Συρος θα έσπευδε να αναγγείλη όλα στον Σαούλ. Εγώ είμαι η αιτία του φόνου των ανθρώπων της πατρικής σου οικογενείας.

Α Βασ. 22,23 - κάθου μετ᾿ ἐμοῦ, μὴ φοβοῦ, ὅτι οὗ ἐὰν ζητῶ τῇ ψυχῇ μου τόπον, ζητήσω καὶ τῇ ψυχῇ σου, ὅτι πεφύλαξαι σὺ παρ᾿ ἐμοί.

Α Βασ. 22,23 - Καθισε μαζή μου και μη φοβήσαι. Διότι εγώ, όπως φροντίζω δια τον εαυτόν μου, θα φροντίσω και δια την ιδικήν σου ζωήν. Μεινε πλησίον μου και θα ευρίσκεσαι εν ασφαλεία”.

Α ΒΑΣΙΛΕΙΩΝ 23

Α Βασ. 23,1 - Καὶ ἀπηγγέλη τῷ Δαυὶδ λέγοντες· ἰδοὺ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν τῇ Κεϊλά, καὶ αὐτοὶ διαρπάζουσι, καταπατοῦσι τοὺς ἅλω.

Α Βασ. 23,1 - Ηλθον μερικοί και ανήγγειλαν στον Δαυίδ· “ιδού, οι Φιλισταίοι κάνουν πολεμικάς επιχειρήσεις εναντίον της πόλεως Κεϊλά, καταπατούν τα αλώνια των και λεηλατούν τα σιτηρά των κατοίκων της πόλεως”.

Α Βασ. 23,2 - καὶ ἐπηρώτησε Δαυὶδ διὰ τοῦ Κυρίου λέγων· εἰ πορευθῶ καὶ πατάξω τοὺς ἀλλοφύλους τούτους; καὶ εἶπε Κύριος· πορεύου καὶ πατάξεις ἐν τοῖς ἀλλοφύλοις τούτοις καὶ σώσεις τὴν Κεϊλά.

Α Βασ. 23,2 - Ο Δαυίδ συνεβουλεύθη τον Κυριον και ηρώτησε· “να μεταβώ και να κτυπήσω τους Φιλισταίους;” Ο Κυριος του απήντησε· “πήγαινε, και θα κτυπήσης τους αλλοφύλους τούτους και θα σώσης την πόλιν Κεϊλά”. Ο Δαυίδ ανεκοίνωσε την απάντησιν αυτήν του Κυρίου στους άνδρας του.

Α Βασ. 23,3 - καὶ εἶπαν οἱ ἄνδρες τοῦ Δαυὶδ πρὸς αὐτόν· ἰδοὺ ἡμεῖς ἐνταῦθα ἐν τῇ Ἰουδαίᾳ φοβούμεθα, καὶ πῶς ἔσται ἐὰν πορευθῶμεν εἰς Κεϊλά; εἰς τὰ σκῦλα τῶν ἀλλοφύλων εἰσπορευσόμεθα;

Α Βασ. 23,3 - Και εκείνοι είπαν προς αυτόν· “ιδού, ημείς φοβούμεθα, μολονότι ευρισκόμεθα στο κέντρον της Ιουδαίας. Και πως θα τολμήσωμεν να πορευθώμεν εις την Κεϊλά; Θα ρίψωμεν τον εαυτόν μας ανάμεσα εις τα λάφυρα των αλλοφύλων;”

Α Βασ. 23,4 - καὶ προσέθετο Δαυὶδ ἔτι ἐπερωτῆσαι διὰ τοῦ Κυρίου, καὶ ἀπεκρίθη αὐτῷ Κύριος καὶ εἶπεν αὐτῷ· ἀνάστηθι καὶ κατάβηθι εἰς Κεϊλά, ὅτι ἐγὼ παραδίδωμι τοὺς ἀλλοφύλους εἰς χεῖράς σου.

Α Βασ. 23,4 - Συνεβουλεύθη και πάλιν ο Δαυίδ τον Κυριον και ο Κυριος είπε προς αυτόν· “σήκω, και κατέβα εις την πόλιν Κεϊλά, διότι εγώ παραδίδω τους αλλοφύλους εις τα χέρια σου”.

Α Βασ. 23,5 - καὶ ἐπορεύθη Δαυὶδ καὶ οἱ ἄνδρες οἱ μετ᾿ αὐτοῦ εἰς Κεϊλὰ καὶ ἐπολέμησε τοῖς ἀλλοφύλοις, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ, καὶ ἀπήγαγε τὰ κτήνη αὐτῶν καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ ἔσωσε Δαυὶδ τούς κατοικοῦντας Κεϊλά.

Α Βασ. 23,5 - Πλήρης πίστεως στους λόγους του Κυρίου εβάδισεν ο Δαυίδ και οι άνδρες, που ήσαν μαζή του, εις την Κεϊλά και επολέμησαν τους Φιλισταίους. Εκείνοι δε νικημένοι ετράπησαν εις φυγήν. Ο Δαυίδ τότε επήρε τα κτήνη αυτών και επέφερε τρομεράν καταστροφήν εις αυτούς. Ετσι δε έσωσε τους κατοίκους της Κεϊλά.

Α Βασ. 23,6 - Καὶ ἐγένετο ἐν τῷ φεύγειν Ἀβιάθαρ υἱὸν Ἀβιμέλεχ πρὸς Δαυὶδ καὶ αὐτὸς μετὰ Δαυὶδ εἰς Κεϊλὰ κατέβη ἔχων ἐφοὺδ ἐν τῇ χειρὶ αὐτοῦ.

Α Βασ. 23,6 - Ο Αβιάθαρ, ο υιός του Αδιμέλεχ, ο οποίος είχε καταφύγει κοντά στον Δαυίδ, κατέβηκε μαζή με αυτόν εις την πόλιν Κεϊλά, έχων το αρχιερατικόν άμφιον του εφούδ.

Α Βασ. 23,7 - καὶ ἀπηγγέλη τῷ Σαοὺλ ὅτι ἥκει ὁ Δαυὶδ εἰς Κεϊλά, καὶ εἶπε Σαούλ· πέπρακεν αὐτὸν ὁ Θεὸς εἰς τὰς χεῖράς μου, ὅτι ἀποκέκλεισται εἰσελθὼν εἰς πόλιν θυρῶν καὶ μοχλῶν.

Α Βασ. 23,7 - Αυτό το ανήγγειλαν στον Σαούλ, ότι δηλαδή ο Δαυίδ έχει έλθει εις την Κεϊλά. Ο Σαούλ είπε τότε· “ο Θεός τον έχει πλέον οριστικώς παραδώσει εις τα χέρια μου, διότι είναι αποκλεισμένος εις την πόλιν αυτήν. Τα τείχη της έχουν θύρας και μοχλούς, ώστε να, μη ημπορή να διαφύγη”.

Α Βασ. 23,8 - καὶ παρήγγειλε Σαοὺλ παντὶ τῷ λαῷ καταβαίνειν εἰς πόλεμον εἰς Κεϊλὰ συνέχειν τὸν Δαυὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ.

Α Βασ. 23,8 - Ο Σαούλ έδωσεν εντολήν εις όλους τους Ισραηλίτας, που ημπορούσαν να φέρουν όπλα, να κατεβούν εις Κεϊλά και να αποκλείσουν εκεί τον Δαυίδ και τους άνδρας του.

Α Βασ. 23,9 - καὶ ἔγνω Δαυὶδ ὅτι οὐ παρασιωπᾷ Σαοὺλ περὶ αὐτοῦ τὴν κακίαν, καὶ εἶπε Δαυὶδ πρὸς Ἀβιάθαρ τὸν ἱερέα· προσάγαγε τὸ ἐφοὺδ Κυρίου.

Α Βασ. 23,9 - Ο Δαυίδ αντελήφθη ότι η μοχθηρία του Σαούλ εναντίον του δεν είχε καθόλου κατευνασθή. Και είπε προς τον Αβιάθαρ τον αρχιερέα· “φέρε το εφούδ και ερώτησε δια μέσου αυτού τον Κυριον”.

Α Βασ. 23,10 - καὶ εἶπε Δαυίδ· Κύριε ὁ Θεὸς Ἰσραήλ, ἀκούων ἀκήκοεν ὁ δοῦλός σου ὅτι ζητεῖ Σαοὺλ ἐλθεῖν ἐπὶ Κεϊλὰ διαφθεῖραι τὴν πόλιν δι᾿ ἐμέ.

Α Βασ. 23,10 - Και ο ίδιος προσηυχήθη και είπε· “Κυριε, Θεέ του Ισραηλιτικού λαού, εγώ ο δούλος σου έχω πληροφορηθή ότι ο Σαούλ έχει απόφασιν να έλθη εις Κεϊλά, να καταστρέψη την πόλιν εξ αιτίας μου.

Α Βασ. 23,11 - εἰ ἀποκλεισθήσεται; καὶ νῦν εἰ καταβήσεται Σαούλ, καθὼς ἤκουσεν ὁ δοῦλός σου; Κύριε ὁ Θεὸς Ἰσραήλ, ἀπάγγειλον τῷ δούλῳ σου. καὶ εἶπε Κύριος· ἀποκλεισθήσεται.

Α Βασ. 23,11 - Σε παρακαλώ, λοιπόν, φανέρωσέ μου αν θα κατεβή πράγματι ο Σαούλ δια να κάμη αποκλεισμόν εις την πόλιν αυτήν, όπως ο δούλος σου, εγώ, έχω πληροφορηθή; Κυριε, Θεέ του Ισραήλ, απάντησε εις την ερώτησίν μου αυτήν”. Ο Κυριος απήντησε· “ναι. Θα αποκλεισθή η πόλις αυτή από τον Σαούλ”.

Α Βασ. 23,12 - [Καὶ εἶπε Δαυίδ· εἰ παραδώσουσι παρὰ τῆς Κεϊλὰ ἐμὲ καὶ τοὺς ἄνδρας μου εἰς χεῖρας Σαούλ; καὶ εἶπε Κύριος· παραδώσουσι.]

Α Βασ. 23,12 - Παλιν ο Δαυίδ ηρώτησε τον Κυριον· “οι κάτοικοι της Κειλά θα παραδώσουν εμέ και τους άνδρας μου εις τα χέρια του Σαούλ;” Και ο Κυριος απήντησε· “ναι, θα σας παραδώσουν”.

Α Βασ. 23,13 - καὶ ἀνέστη Δαυὶδ καὶ οἱ ἄνδρες οἱ μετ᾿ αὐτοῦ ὡς τετρακόσιοι καὶ ἐξῆλθον ἐκ Κεϊλὰ καὶ ἐπορεύοντο οὗ ἐὰν ἐπορεύοντο· καὶ τῷ Σαοὺλ ἀπηγγέλη ὅτι, διασέσωσται Δαυὶδ ἐκ Κεϊλά, καὶ ἀνῆκε τοῦ ἐλθεῖν.

Α Βασ. 23,13 - Ο Δαυίδ και οι τετρακόσιοι περίπου άνδρες του, εσηκώθηκαν, έφυγαν από την Κειλά και επορεύοντο ασκόπως ανά τα διάφορα μέρη. Ανηγγέλθη δε στον Σαούλ ότι έφυγεν ο Δαυίδ από την Κείλα. Ο Σαούλ έτσι εματαίωσε την μετάβασίν του εις την πόλιν αυτήν.

Α Βασ. 23,14 - Καὶ ἐκάθισε Δαυὶδ ἐν τῇ ἐρήμῳ, ἐν Μασερὲμ ἐν τοῖς στενοῖς, καὶ ἐκάθητο ἐν τῇ ἐρήμῳ ἐν τῷ ὄρει Ζίφ, ἐν τῇ γῇ τῇ αὐχμώδει· καὶ ἐζήτει αὐτὸν Σαοὺλ πάσας τὰς ἡμέρας, καὶ οὐ παρέδωκεν αὐτὸν Κύριος εἰς τὰς χεῖρας αὐτοῦ.

Α Βασ. 23,14 - Ο Δαυίδ εκάθησεν εις την έρημον, εις Μασερέμ, εις στενούς τόπους. Εκάθητο εις την έρημον στο όρος Ζιφ, εις γην δηλαδή ξηράν και άνυδρον. Ο Σαούλ αναζητούσε να εύρη αυτόν, όπως και όλας τας προηγουμένας ημέρας. Ο Κυριος όμως δεν επέτρεψε να πέση ο Δαυίδ εις τα χέρια του Σαούλ.

Α Βασ. 23,15 - καὶ εἶδε Δαυὶδ ὅτι ἐξέρχεται Σαοὺλ τοῦ ζητεῖν τὸν Δαυίδ· καὶ Δαυὶδ ἦν ἐν τῷ ὄρει τῷ αὐχμώδει ἐν τῇ Καινῇ Ζίφ.

Α Βασ. 23,15 - Επληροφορήθη όμως ο Δαυίδ ότι ο Σαούλ εξήλθεν εις αναζήτησίν του. Ο Δαυίδ ευρίσκετο στο γυμνόν και τραχύ όρος, εις την

Καινήν Ζιφ.

Α Βασ. 23,16 - καὶ ἀνέστη Ἰωνάθαν υἱὸς Σαοὺλ καὶ ἐπορεύθη πρὸς Δαυὶδ εἰς Καινὴν καὶ ἐκραταίωσε τὰς χεῖρας αὐτοῦ ἐν Κυρίῳ.

Α Βασ. 23,16 - Ο Ιωνάθαν, ο υιός του Σαούλ, εσηκώθη και μετέβη προς τον Δαυίδ, εις Καινήν και με την δύναμιν του Κυρίου ενίσχυσε τον Δαυίδ.

Α Βασ. 23,17 - καὶ εἶπε πρὸς αὐτόν· μὴ φοβοῦ, ὅτι οὐ μὴ εὕρῃ σε ἡ χεὶρ Σαοὺλ τοῦ πατρός μου, καὶ σὺ βασιλεύσεις ἐπὶ Ἰσραήλ, καὶ ἐγὼ ἔσομαί σοι εἰς δεύτερον· καὶ Σαοὺλ ὁ πατήρ μου οἶδεν οὕτως.

Α Βασ. 23,17 - Είπε λοιπόν ο Ιωνάθαν προς αυτόν· “μη φοβήσαι, δεν θα πέσης εις τα χέρια του πατρός μου. Συ θα γίνης βασιλεύς στον ισραηλιτικόν λαόν. Εγώ δε θα είμαι δια σε δεύτερος κατά την αξίαν. Ο πατήρ μου ο Σαούλ το γνωρίζει αυτό, ότι έτσι θα εξελιχθούν τα πράγματα”.

Α Βασ. 23,18 - καὶ διέθεντο ἀμφότεροι διαθήκην ἐνώπιον Κυρίου. καὶ ἀκάθητο Δαυὶδ ἐν Καινῇ, καὶ Ἰωνάθαν ἀπῆλθεν εἰς οἶκον αὐτοῦ.

Α Βασ. 23,18 - Ο Ιωνάθαν και ο Δαυίδ ανενέωσαν ενώπιον του Κυρίου την συμφωνίαν της φιλίας των. Κατόπιν εχωρίσθησαν. Ο Δαυίδ εκάθησεν εις την Καινήν, Ο δε Ιωνάθαν επέστρεψεν στον οίκον του.

Α Βασ. 23,19 - Καὶ ἀνέβησαν οἱ Ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς Σαοὺλ ἐπὶ τὸν βουνὸν λέγοντες· οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ᾿ ἡμῖν ἐν Μεσσαρά, ἐν τοῖς στενοῖς, ἐν τῇ Καινῇ ἐν τῷ βουνῷ τοῦ Ἐχελὰ τοῦ ἐκ δεξιῶν τοῦ Ἰεσσαιμοῦν;

Α Βασ. 23,19 - Οι Ζιφαίοι ανέβησαν από την ξηράν και τραχείαν χώραν των στο βουνόν, όπου ευρίσκετο ο Σαούλ, και του είπαν· “ο Δαυίδ είναι κρυμμένος πλησίον μας εις Μεσσαρά, εις στενάς και δυσβάτους περιοχάς, εις την τοποθεσίαν Καινήν, στον λόφον Εχελά δεξιά του Ιεσσαιμούν.

Α Βασ. 23,20 - καὶ νῦν πᾶν τὸ πρὸς ψυχὴν τοῦ βασιλέως εἰς κατάβασιν καταβαινέτω πρὸς ἡμᾶς· κεκλείκασιν αὐτὸν εἰς χεῖρας τοῦ βασιλέως.

Α Βασ. 23,20 - Και τώρα ο βασιλεύς, κατά την επιθυμίαν της καρδίας του, ας κατεβή προς ημάς. Οι Ζιφαίοι έχουν αποκλείσει τον Δαυίδ, δια να τον παραδώσουν εις τα χέρια του βασιλέως”.

Α Βασ. 23,21 - καὶ εἶπεν αὐτοῖς Σαούλ· εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, ὅτι ἐπονέσατε περὶ ἐμοῦ·

Α Βασ. 23,21 - Είπε προς αυτούς ο Σαούλ· “σεις είσθε ευλογημένοι παρά του Θεού, διότι επονέσατε δι' εμέ.

Α Βασ. 23,22 - πορεύθητε δὴ καὶ ἑτοιμάσατε ἔτι καὶ γνῶτε τὸν τόπον αὐτοῦ, οὗ ἔσται ὁ ποὺς αὐτοῦ ἐν τάχει ἐκεῖ, οὗ εἴπατε, μή ποτε πανουργεύσηται·

Α Βασ. 23,22 - Πηγαίνετε λοιπόν εκεί και ετοιμάσατε τα της συλλήψεώς του. Πληροφορηθήτε ακριβώς και ταχέως τον τόπον, όπου αυτός ευρίσκεται

και προσέξατε να μην είπητε τίποτε, μήπως τυχόν ο Δαυίδ, πανούργος καθώς είναι, διαφύγη από τα χέρια σας.

Α Βασ. 23,23 - καὶ ἴδετε καὶ γνῶτε, καὶ πορεύσομαι μεθ᾿ ὑμῶν, καὶ ἔσται εἰ ἔστιν ἐπὶ τῆς γῆς, καὶ ἐξερευνήσω αὐτὸν ἐν πάσαις χιλιάσιν Ἰούδα.

Α Βασ. 23,23 - Εξακριβώσατε και μάθετε καλώς, που είναι· και εγώ θα έλθω μαζή σας. Σας λέγω δε ότι και αν ακόμη έχη χωθή μέσα εις την γην, εγώ θα ερευνήσω και θα τον εύρω μεταξύ των χιλιάδων των οικογενειών της φυλής του Ιούδα”.

Α Βασ. 23,24 - καὶ ἀνέστησαν οἱ Ζιφαῖοι καὶ ἐπορεύθησαν ἔμπροσθεν Σαούλ· καὶ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ἐρήμῳ τῇ Μαὰν καθ᾿ ἑσπέραν ἐκ δεξιῶν τοῦ Ἰεσσαιμοῦν.

Α Βασ. 23,24 - Οι Ζιφαίοι εξεκίνησαν και επροχώρησαν έμπρος από τον Σαούλ. Ο Δαυίδ και οι άνδρες του ευρίσκοντο κατά την εσπέραν εκείνην εις την έρημον Μαάν, εκ δεξιών του Ιεσσαιμούν.

Α Βασ. 23,25 - καὶ ἐπορεύθη Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ζητεῖν αὐτόν· καὶ ἀπήγγειλαν τῷ Δαυίδ, καὶ κατέβη εἰς τὴν πέτραν τὴν ἐν τῇ ἐρήμῳ Μαάν. καὶ ἤκουσε Σαοὺλ καὶ κατεδίωξεν ὀπίσω Δαυὶδ εἰς τὴν ἔρημον Μαάν.

Α Βασ. 23,25 - Ο Σαούλ και οι άνδρες του επροχώρησαν εις αναζήτησιν του Δαυίδ. Μερικοί όμως άνθρωποι ανήγγειλαν στον Δαυίδ το γεγονός. Δια τούτο ο Δαυίδ κατέβηκε από τον βράχον, που ευρίσκετο, εις την έρημον Μαάν. Ο Σαούλ πάλιν επληροφορήθη αυτό και κατεδίωξε τον Δαυίδ εις την έρημον Μαάν.

Α Βασ. 23,26 - καὶ πορεύονται Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους τούτου, καὶ ἦν Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους τούτου· καὶ ἦν Δαυὶδ σκεπαζόμενος πορεύεσθαι ἀπὸ προσώπου Σαούλ, καὶ Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ παρενέβαλον ἐπὶ Δαυὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ συλλαβεῖν αὐτούς.

Α Βασ. 23,26 - Ο Σαούλ και οι άνδρες του εβάδιζαν από την μίαν πλευράν του όρους, ο δε Δαυίδ και οι άνδρες του από την άλλην πλευράν του όρους. Ησαν δε πολύ πλησίον, ώστε ο Δαυίδ επροχωρούσε προφυλακτικά από τον Σαούλ. Ο Σαούλ και οι άνδρες του εστρατοπέδευσαν σε κάποιαν τοποθεσίαν εναντίον του Δαυίδ και των ανδρών του δια να τους συλλάβουν.

Α Βασ. 23,27 - καὶ πρὸς Σαοὺλ ἦλθεν ἄγγελος λέγων· σπεῦδε καὶ δεῦρο, ὅτι ἀλλόφυλοι ἐπέθεντο ἐπὶ τὴν γῆν.

Α Βασ. 23,27 - Την ώραν εκείνην ήλθε προς τον Σαούλ ένας αγγελιαφόρος και του είπε· “σπεύσε εδώ, διότι οι αλλόφυλοι επιτίθενται εναντίον της χώρας μας”.

Α Βασ. 23,28 - καὶ ἀνέστρεψε Σαοὺλ μὴ καταδιώκειν ὀπίσω Δαυὶδ καὶ ἐπορεύθη εἰς συνάντησιν τῶν ἀλλοφύλων· διὰ τοῦτο ἐπεκλήθη ὁ τόπος ἐκεῖνος Πέτρα ἡ μερισθεῖσα.

Α Βασ. 23,28 - Ο Σαούλ εσταμάτησε πλέον να καταδιώκη τον Δαυίδ και επροχώρησε να συναντήση τους αλλοφύλους. Δια τούτο ο τόπος εκείνος ωνομάσθη "Βράχος διαχωρισμού", διότι εχωρίσθη ο Σαούλ από τον Δαυίδ.

Α ΒΑΣΙΛΕΙΩΝ 24

Α Βασ. 24,1 - Καὶ ἀνέστη Δαυὶδ ἐκεῖθεν καὶ ἐκάθισεν ἐν τοῖς στενοῖς Ἐγγαδδί.

Α Βασ. 24,1 - Ο Δαυίδ εσηκώθη, ανεχώρησεν από εκεί και εστρατοπέδευσεν εις τας στενωπούς και τα καταφύγια της περιοχής Εγγαδδί.

Α Βασ. 24,2 - καὶ ἐγενήθη ὡς ἐνέστρεψε Σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, καὶ ἀπηγγέλη αὐτῷ λεγόντων, ὅτι Δαυὶδ ἐν τῇ ἐρήμῳ Ἐγγαδδί.

Α Βασ. 24,2 - Οταν ο Σαούλ επέστρεψεν από την καταδίωξιν των αλλοφύλων, του ανήγγειλαν ότι ο Δαυίδ ευρίσκεται εις την έρημον Εγγαδδί.

Α Βασ. 24,3 - καὶ ἔλαβε μεθ᾿ ἑαυτοῦ τρεῖς χιλιάδας ἀνδρῶν ἐκλεκτοὺς ἐκ παντὸς Ἰσραὴλ καὶ ἐπορεύθη ζητεῖν τὸν Δαυὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ ἐπὶ πρόσωπον Σαδαιέμ.

Α Βασ. 24,3 - Ο Σαουλ επήρε μαζή του τρεις χιλιάδας άνδρας εκλεκτούς από όλους τους Ισραηλίτας και επορεύθη, δια να αναζητήση και εύρη τον Δαυίδ και τους άνδρας του εις την περιοχήν Σαδαιέμ.

Α Βασ. 24,4 - καὶ ἦλθεν εἰς τὰς ἀγέλας τῶν ποιμνίων τὰς ἐπὶ τῆς ὁδοῦ, καὶ ἦν ἐκεῖ σπήλαιον, καὶ Σαοὺλ εἰσῆλθε παρασκευάσασθαι· καὶ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐσώτερον τοῦ σπηλαίου ἐκάθηντο.

Α Βασ. 24,4 - Εφθασε εις τα ποιμνιοστάσια, που ευρίσκοντο παραπλεύρως από κάποιον δρόμον. Εκεί υπήρχεν ένα σπήλαιον. Εις αυτό εισήλθεν ο Σαούλ, δια να ανακουφισθή και ξεκουρασθή. Εις το εσωτερικόν όμως του σπηλαίου εκάθηντο ο Δαυίδ και οι άνδρες του.

Α Βασ. 24,5 - καὶ εἶπον οἱ ἄνδρες Δαυὶδ πρὸς αὐτόν· ἰδοὺ ἡ ἡμέρα αὕτη, ἣν εἶπε Κύριος πρός σε παραδοῦναι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ ὡς ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. καὶ ἀνέστη Δαυὶδ καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος τοῦ Σαοὺλ λαθραίως.

Α Βασ. 24,5 - Οι άνδρες του Δαυίδ είπαν προς αυτόν· "ιδού, έφθασεν η ημέρα, κατά την οποίαν ο Κυριος απεφάσισε και σου παρέδωσεν εις τα χέρια τον εχθρόν σου. Καμε λοιπόν εις αυτόν ο,τι σου φαίνεται καλόν". Ο Δαυίδ εσηκώθηκε, επλησίασε τον κοιμώμενον Σαούλ και αφήρεσε ένα άκρον από το επανωφόρι του Σαούλ κρυφίως.

Α Βασ. 24,6 - καὶ ἐγενήθη μετὰ ταῦτα καὶ ἐπάταξε καρδία Δαυὶδ αὐτόν, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ,

Α Βασ. 24,6 - Κατόπιν όμως ο Δαυίδ ησθάνθη μεγάλην στενοχωρίαν εις την καρδίαν του, διότι αφήρεσε το άκρον από το επανωφόρι του Σαούλ.

Α Βασ. 24,7 - καὶ εἶπε Δαυὶδ πρὸς τοὺς ἄνδρας αὐτοῦ· μηδαμῶς μοι παρὰ Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ Κυρίου ἐπενέγκαι χεῖρά μου ἐπ᾿ αὐτόν, ὅτι χριστὸς Κυρίου ἐστὶν οὗτος·

Α Βασ. 24,7 - Είπε δε προς τους άνδρας του· “ποτέ να μη επιτρέψη ο Κυριος και κάμω το πράγμα αυτό, το κακόν που υπονοείτε, στον κύριόν μου τον Σαούλ, ο οποίος έχει χρισθή βασιλεύς από τον Θεόν. Ποτέ εγώ δεν θα βάλω το χέρι μου εις αυτόν, δια να τον φονεύσω, διότι αυτός έχει χρισθή από τον Κυριον ως βασιλεύς και είναι βασιλεύς”.

Α Βασ. 24,8 - καὶ ἔπεισε Δαυὶδ τοὺς ἄνδρας αὐτοῦ ἐν λόγοις καὶ οὐκ ἔδωκεν αὐτοῖς ἀναστάντας θανατῶσαι τὸν Σαούλ. καὶ ἀνέστη Σαοὺλ καὶ κατέβη τὴν ὁδόν.

Α Βασ. 24,8 - Με τα λόγια αυτά έπεισεν ο Δαυίδ τους άνδρας του και δεν τους αφήκε να ξεσηκωθούν και να φονεύσουν τον Σαούλ. Ο Σαούλ έπειτα εσηκώθηκε και κατέβαινε την οδόν αυτού.

Α Βασ. 24,9 - καὶ ἀνέστη Δαυὶδ ὀπίσω αὐτοῦ ἐκ τοῦ σπηλαίου, καὶ ἐβόησε Δαυὶδ ὀπίσω Σαοὺλ λέγων· κύριε βασιλεῦ· καὶ ἐπέβλεψε Σαοὺλ εἰς τὰ ὀπίσω αὐτοῦ, καὶ ἔκυψε Δαυὶδ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προσεκύνησεν αὐτῷ.

Α Βασ. 24,9 - Ο Δαυίδ εσηκώθη από το σπήλαιον έπειτα από την αναχώρησιν του Σαούλ και εφώναξε πίσω από αυτόν λέγων· “κύριε, βασιλεύ !” Ο Σαούλ εγύρισε την κεφαλήν προς τα οπίσω και τότε ο Δαυίδ έσκυψε το πρόσωπον αυτού εις την γην και προσεκύνησε τον Σαούλ.

Α Βασ. 24,10 - καὶ εἶπε Δαυὶδ πρὸς Σαούλ· ἱνατί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λεγόντων· ἰδοὺ Δαυὶδ ζητεῖ τὴν ψυχήν σου;

Α Βασ. 24,10 - Είπε δε ο Δαυίδ προς τον Σαούλ· “διατί πείθεσαι εις τας συκοφαντίας ανθρώπων αναξιοπίστων, οι οποίοι σου λέγουν· Ιδού, ο Δαυίδ ζητεί την ζωήν σου.

Α Βασ. 24,11 - ἰδοὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἑωράκασιν οἱ ὀφθαλμοί σου ὡς παρέδωκέ σε Κύριος σήμερον εἰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί σε καὶ ἐφεισάμην σου καὶ εἶπα· οὐκ ἐποίσω χεῖρά μου ἐπὶ κύριόν μου, ὅτι χριστὸς Κυρίου οὗτός ἐστι.

Α Βασ. 24,11 - Ιδού, κατά την ημέραν αυτήν είδες με τα μάτια σου, ότι ο Κυριος σήμερον σε είχε παραδώσει εις τα χέρια μου μέσα στο σπήλαιον. Δεν ηθέλησα όμως να σε φονεύσω. Σε ελυπήθην. Εσκέφθην και είπα· Δεν θα απλώσω εγώ το χέρι μου εναντίον του κυρίου και βασιλέως μου, δια να τον φονεύσω. Διότι αυτός έχει χρισθή βασιλεύς από τον Κυριον και Θεόν.

Α Βασ. 24,12 - καὶ ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ χειρί μου· ἐγὼ ἀφῄρηκα τὸ πτερύγιον καὶ οὐκ ἀπέκταγκά σε. καὶ γνῶθι καὶ ἰδὲ σήμερον ὅτι οὐκ ἔστι κακία ἐν τῇ χειρί μου οὐδὲ ἀσέβεια καὶ ἀθέτησις, καὶ οὐχ ἡμάρτηκα εἰς σέ· καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου λαβεῖν αὐτήν.

Α Βασ. 24,12 - Ιδού δε το άκρον από το επανωφόρι σου ευρίσκεται εις τα χέρια μου. Εγώ σου αφήρεσα την άκραν αυτήν του ενδύματός σου και δεν σε εφόνευσα. Ιδέ λοιπόν σήμερον και μάθε ότι δεν υπάρχει εις την καρδίαν μου καμμία κακή διάθεσις εναντίον σου, ούτε ασέβεια, ούτε επανάστασις. Μαθε ότι δεν σου έχω πταίσει εις τίποτε. Εσύ όμως με κατατρέχεις και μου στήνεις παγίδας, δια να μου αφαιρέσης την ζωήν.

Α Βασ. 24,13 - δικάσαι Κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἐκδικήσαι με Κύριος ἐκ σοῦ· καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σοί,

Α Βασ. 24,13 - Ας κρίνη και ας δικάση ο Κυριος μεταξύ σου και εμού. Ας μου αποδώση ο Κυριος το δίκαιον απέναντί σου. Το ιδικόν μου όμως χέρι ποτέ δεν θα πέση φονικόν εναντίον σου.

Α Βασ. 24,14 - καθὼς λέγεται ἡ παραβολὴ ἡ ἀρχαία· ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια· καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σέ.

Α Βασ. 24,14 - Οπως λέγει και κάποια αρχαία παροιμία· Από τους κακούς προέρχεται η κακία. Εγώ όμως δεν θα απλώσω το χέρι μου επάνω σου.

Α Βασ. 24,15 - καὶ νῦν ὀπίσω τίνος σὺ ἐκπορεύῃ, βασιλεῦ Ἰσραήλ; ὀπίσω τίνος καταδιώκεις σύ; ὀπίσω κυνὸς τεθνηκότος καὶ ὀπίσω ψύλλου ἑνός;

Α Βασ. 24,15 - Τωρα δέ σε ερωτώ, βασιλεύ του Ισραηλιτικού λαού, εναντίον τίνος επιτίθεσαι; Ποιόν συ ο βασιλεύς καταδιώκεις; Καταδιώκεις εμέ, ο οποίος είμαι ένα ψόφιο σκυλί, ένας ψύλλος;

Α Βασ. 24,16 - γένοιτο Κύριος εἰς κριτὴν καὶ δικαστὴν ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ· ἴδοι Κύριος καὶ κρίναι τὴν κρίσιν μου καὶ δικάσαι μοι ἐκ χειρός σου.

Α Βασ. 24,16 - Είθε ο Κυριος να γίνη κριτής και δικαστής μεταξύ εμού και σου. Ο Κυριος ας ίδη, ας κρίνη και ας με υπερασπισθή και ας με γλυτώση από τα δικά σου τα χέρια”.

Α Βασ. 24,17 - καὶ ἐγένετο ὡς συνετέλεσε Δαυὶδ τὰ ῥήματα ταῦτα λαλῶν πρὸς Σαούλ, καὶ εἶπε Σαούλ· ἡ φωνή σου αὕτη τέκνον Δαυίδ; καὶ ἦρε Σαοὺλ τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσε.

Α Βασ. 24,17 - Οταν ετελείωσεν ο Δαυίδ τα λόγια αυτά προς τον Σαούλ, είπεν ο Σαούλ· “παιδί μου Δαυίδ, αυτή είναι η φωνή σου;” Και έβγαλε μεγάλην φωνήν ο Σαούλ και έκλαυσε.

Α Βασ. 24,18 - καὶ εἶπε Σαοὺλ πρὸς Δαυίδ· δίκαιος σὺ ὑπὲρ ἐμέ, ὅτι σὺ ἀνταπέδωκάς μοι ἀγαθά, ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά.

Α Βασ. 24,18 - Είπε δε προς τον Δαυίδ· “συ Δαυίδ είσαι πολύ καλύτερος από εμέ, διότι με ευεργετείς με πολλά αγαθά, εγώ δε αντί των ευεργεσιών σου σου ανταπέδωκα κακά.

Α Βασ. 24,19 - καὶ σὺ ἀπήγγειλάς μοι σήμερον ἃ ἐποίησάς μοι ἀγαθά, ὡς ἀπέκλεισέ με Κύριος εἰς χεῖράς σου σήμερον καὶ οὐκ ἀπέκτεινάς με·

Α Βασ. 24,19 - Συ μου είπες σήμερον το καλόν, το οποίον μου έκαμες, όταν ο Θεός με παρέδωσεν εις τα χέριά σου και δεν με εφόνευσες.

Α Βασ. 24,20 - καὶ ὅτι εἰ εὕροι τις τὸν ἐχθρὸν αὐτοῦ ἐν θλίψει καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ Κύριος ἀποτίσει αὐτῷ ἀγαθά, καθὼς πεποίηκας σήμερον.

Α Βασ. 24,20 - Εκείνος δε ο οποίος θα εύρη τον εχθρόν του εις δύσκολον θέσιν, από την οποίαν δεν θα ημπορή να του ξεφύγη και τον αφήση να φύγη ελεύθερος στον δρόμον του, όπως έκαμες συ σήμερον, θα αμειφθή με πολλά αγαθά από τον Κυριον.

Α Βασ. 24,21 - καὶ νῦν ἰδοὺ ἐγὼ γινώσκω ὅτι βασιλεύων βασιλεύσεις καὶ στήσεται ἐν χειρί σου ἡ βασιλεία Ἰσραήλ.

Α Βασ. 24,21 - Και τώρα ιδού, εγώ γνωρίζω ότι συ οπωσδήποτε θα γίνης βασιλεύς και με το δικό σου χέρι θα στερεωθή η βασιλεία των Ισραηλιτών.

Α Βασ. 24,22 - καὶ νῦν ὅμοσόν μοι ἐν Κυρίῳ ὅτι οὐκ ἐξολοθρεύσεις τὸ σπέρμα μου ὀπίσω μου, οὐκ ἀφανιεῖς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου.

Α Βασ. 24,22 - Ορκίσου μου λοιπόν σήμερον ενώπιον του Κυρίου, ότι δεν θα εξολοθρεύσης τους απογόνους μου και δεν θα εξαφανίσης το όνομά μου από τον πατρικόν μου οίκον”.

Α Βασ. 24,23 - καὶ ὤμοσε Δαυὶδ τῷ Σαούλ. καὶ ἀπῆλθε Σαοὺλ εἰς τὸν τόπον αὐτοῦ, καὶ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἀνέβησαν εἰς τὴν Μεσσαρὰ στενήν.

Α Βασ. 24,23 - Ο Δαυίδ ωρκίσθη στον Σαούλ ότι έτσι θα πράξη. Ο Σαούλ επανήλθεν εις την πόλιν του ο δε Δαυίδ και οι άνδρες του ανεχώρησαν εις τας στενωπούς της Μεσσαράς.

Α ΒΑΣΙΛΕΙΩΝ 25

Α Βασ. 25,1 - Καὶ ἀπέθανε Σαμουήλ, καὶ συναθροίζονται πᾶς Ἰσραὴλ καὶ κόπτονται αὐτὸν καὶ θάπτουσιν αὐτὸν ἐν οἴκῳ αὐτοῦ ἐν Ἀρμαθαίμ. καὶ ἀνέστη Δαυὶδ καὶ κατέβη εἰς τὴν ἔρημον Μαάν.

Α Βασ. 25,1 - Ο Σαμουήλ απέθανε, και συνεκεντρώθησαν όλοι οι Ισραηλίται, οι οποίοι και τον επένθησαν μετά θρήνων και τον έθαψαν εις την αυλήν αυτού εις Αρμαθαίμ. Τοτε ο Δαυίδ ητοιμάσθη και κατέβηκε από την έρημον Μαάν.

Α Βασ. 25,2 - καὶ ἦν ἄνθρωπος ἐν τῇ Μαάν, καὶ τὰ ποίμνια αὐτοῦ ἐν τῷ Καρμήλῳ· καὶ ὁ ἄνθρωπος μέγας σφόδρα, καὶ τούτῳ ποίμνια τρισχίλια καὶ αἶγες χίλιαι· καὶ ἐγενήθη ἐν τῷ κείρειν τὸ ποίμνιον αὐτοῦ ἐν τῷ Καρμήλῳ.

Α Βασ. 25,2 - Εκεί εις την Μαάν υπήρχεν ένας άνθρωπος, του οποίου τα ποίμνια ευρίσκοντο στο Καρμηλον. Ο άνθρωπος αυτός ήτο πολύ πλούσιος. Είχε τρεις χιλιάδες πρόβατα και χιλίας αίγας. Ηλθεν η εποχή, που θα εκούρευε τα ποίμνιά του στο Καρμηλον.

Α Βασ. 25,3 - καὶ ὄνομα τῷ ἀνθρώπῳ Νάβαλ, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Ἀβιγαία· καὶ ἡ γυνὴ αὐτοῦ ἀγαθὴ συνέσει καὶ καλὴ τῷ εἴδει σφόδρα, καὶ ὁ ἄνθρωπος σκληρὸς καὶ πονηρὸς ἐν ἐπιτηδεύμασι, καὶ ὁ ἄνθρωπος κυνικός.

Α Βασ. 25,3 - Ο άνθρωπος αυτός ωνομάζετο Ναβαλ, η δε γυναίκα του ωνομάζετο Αβιγαία. Η γυναίκα του ήτο πολύ συνετή και ωραιότατη εις την όψιν. Εξ αντιθέτου ο σύζυγός της ήτο σκληρός, άνθρωπος των κακών έργων, αναιδής και κτηνώδης.

Α Βασ. 25,4 - καὶ ἤκουσε Δαυὶδ ἐν τῇ ἐρήμῳ ὅτι κείρει Νάβαλ ὁ Καρμήλιος τὸ ποίμνιον αὐτοῦ,

Α Βασ. 25,4 - Ο Δαυίδ, εκεί εις την έρημον, που ευρίσκετο, επληροφορήθη ότι ο Ναβαλ κουρεύει τα γιδοπρόβατά του εις Καρμηλον.

Α Βασ. 25,5 - καὶ ἀπέστειλε Δαυὶδ δέκα παιδάρια καὶ εἶπε τοῖς παιδαρίοις· ἀνάβητε εἰς Κάρμηλον καὶ ἀπέλθατε πρὸς Νάβαλ καὶ ἐρωτήσατε αὐτὸν ἐπὶ τῷ ὀνόματί μου εἰς εἰρήνην

Α Βασ. 25,5 - Εστειλε προς αυτόν δέκα νεαρούς και είπεν εις αυτούς· “ανεβήτε στο Καρμηλον, πηγαίνετε προς τον Ναβαλ και χαιρετήσατό τον ειρηνικώς εκ μέρους μου.

Α Βασ. 25,6 - καὶ ἐρεῖτε τάδε· εἰς ὥρας· καὶ σὺ ὑγιαίνων, καὶ ὁ οἶκός σου, καὶ πάντα τὰ σὰ ὑγιαίνοντα.

Α Βασ. 25,6 - Να του πήτε τα εξής· Καλή σου ώρα· ευχόμεθα υγείαν εις σε και στους ανθρώπους του σπιτιού σου και εις όλα όσα σου ανήκουν.

Α Βασ. 25,7 - καὶ νῦν ἰδοὺ ἀκήκοα ὅτι κείρουσί σοι νῦν οἱ ποιμένες σου, οἳ ἦσαν μεθ᾿ ἡμῶν ἐν τῇ ἐρήμῳ, καὶ οὐκ ἀπεκωλύσαμεν αὐτοὺς καὶ οὐκ ἐνετειλάμεθα αὐτοῖς οὐθὲν πάσας τὰς ἡμέρας ὄντων αὐτῶν ἐν Καρμήλῳ·

Α Βασ. 25,7 - Τωρα δε εγώ έμαθα, ότι οι ποιμένες σου, οι οποίοι ευρίσκοντο μαζή μου εις την έρημον, κουρεύουν τα αιγοπρόβατά σου. Αυτούς τους ποιμένας σου ουδέποτε ημείς τους ενοχλήσαμεν και ούτε τους εμποδίσαμεν να βόσκουν τα ποίμνιά σου, ούτε τους διετάξαμεν να μας κάμουν κάτι, να μας εξυπηρετήσουν εις κάτι καθ' όλον το χρονικόν διάστημα, που ευρίσκοντο στο Καρμηλον.

Α Βασ. 25,8 - ἐρώτησον τὰ παιδάριά σου καὶ ἀπαγγελοῦσί σοι. καὶ εὑρέτωσαν τὰ παιδάρια χάριν ἐν ὀφθαλμοῖς σου, ὅτι ἐφ᾿ ἡμέραν ἀγαθὴν

ἥκομεν· δὸς δὴ ὃ ἐὰν εὕρῃ ἡ χείρ σου τῷ υἱῷ σου τῷ Δαυίδ.

Α Βασ. 25,8 - Ερώτησε τους υπηρέτας σου δι' αυτά, που σου λέγω, και θα τα πληροφορηθής από αυτούς. Ας βρουν λοιπόν χάριν και ας γίνουν ευμενώς δεκτοί από σε οι νεαροί αυτοί, τους οποίους αποστέλλω. Εχομεν έλθει εις καλήν ημέραν, την εόρτιον ημέραν της κουράς. Δοσε σε παρακαλώ εις αυτούς ο,τι σου ευρεθή πρόχειρον δι' εμέ, το παιδί σου, τον Δαυίδ”.

Α Βασ. 25,9 - καὶ ἔρχονται τὰ παιδάρια καὶ λαλοῦσι τοὺς λόγους τούτους πρὸς Νάβαλ κατὰ πάντα τὰ ῥήματα ταῦτα ἐν τῷ ὀνόματι Δαυίδ. καὶ ἀνεπήδησε

Α Βασ. 25,9 - Οι νεαροί αυτοί του Δαυίδ ήλθαν και είπαν τους λόγους αυτούς προς τον Ναβαλ εκ μέρους του Δαυίδ, όπως τους είχε διατάξει ο Δαυίδ.

Α Βασ. 25,10 - καὶ ἀπεκρίθη Νάβαλ τοῖς παισὶ Δαυὶδ καὶ εἶπε· τίς ὁ Δαυὶδ καὶ τίς ὁ υἱὸς Ἰεσσαί; σήμερον πεπληθυμμένοι εἰσὶν οἱ δοῦλοι ἀναχωροῦντες ἕκαστος ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ.

Α Βασ. 25,10 - Εκείνος όμως κατελήφθη από θυμόν, ανεπήδησε και απεκρίθη εις τα παιδιά του Δαυίδ και είπε· “Και ποιός είναι αυτός ο Δαυίδ, ποιός είναι αυτός ο υιός του Ιεσσαί; Σημερον έχουν πληθυνθή οι δούλοι, που εδραπέτευσαν κρυφίως από τους κυρίους αυτών. Δεν αποκλείεται ενας από αυτούς να είναι και ο Δαυίδ.

Α Βασ. 25,11 - καὶ λήψομαι τοὺς ἄρτους μου καὶ τὸν οἶνόν μου καὶ τὰ θύματά μου, ἃ τέθυκα τοῖς κείρουσί μου τὰ πρόβατα, καὶ δώσω αὐτὰ ἀνδράσιν, οἷς οὐκ οἶδα πόθεν εἰσί;

Α Βασ. 25,11 - Θα πάρω λοιπόν εγώ τα ψωμιά μου και το κρασί μου και τα σφαχτά μου, τα οποία έσφαξα δι' εκείνους που κουρεύουν τα πρόβατά μου, και θα δώσω αυτά προς ανθρώπους, τους οποίους δεν γνωρίζω από που είναι και από που κατάγονται;”

Α Βασ. 25,12 - καὶ ἀπεστράφησαν τὰ παιδάρια Δαυὶδ εἰς ὁδὸν αὐτῶν καὶ ἀνέστρεψαν καὶ ἦλθον καὶ ἀνήγγειλαν τῷ Δαυὶδ κατὰ τὰ ῥήματα ταῦτα.

Α Βασ. 25,12 - Οι νεαροί απεσταλμένοι του Δαυίδ ανεχώρησαν οπίσω στον δρόμον των, επέστρεψαν, ήλθαν και ανήγγειλαν στον Δαυίδ όλα αυτά τα λόγια του Ναβαλ.

Α Βασ. 25,13 - καὶ εἶπε Δαυὶδ τοῖς ἀνδράσιν αὐτοῦ· ζώσασθε ἕκαστος τὴν ῥομφαίαν αὐτοῦ· καὶ ἀνέβησαν ὀπίσω Δαυὶδ ὡς τετρακόσιοι ἄνδρες, καὶ οἱ διακόσιοι ἐκάθισαν μετὰ τῶν σκευῶν.

Α Βασ. 25,13 - Είπε τότε ο Δαυίδ στους άνδρας του· “ας ζωσθή ο καθένας την ρομφαίαν του”. Και τετρακόσιοι άνδρες από αυτούς ανέβησαν μαζή με τον Δαυίδ, ενώ διακύσιοι άλλοι εκάθησαν με τας αποσκευάς.

Α Βασ. 25,14 - καὶ τῇ Ἀβιγαίᾳ γυναικὶ Νάβαλ ἀπήγγειλεν ἓν τῶν παιδαρίων λέγων· ἰδοὺ Δαυὶδ ἀπέστειλεν ἀγγέλους ἐκ τῆς ἐρήμου

εὐλογῆσαι τὸν κύριον ἡμῶν, καὶ ἐξέκλινεν ἀπ᾿ αὐτῶν.

Α Βασ. 25,14 - Ενας από τους νεαρούς δούλους του Ναβαλ ανήγγειλεν εις την Αβιγαίαν, την γυναίκα του Ναβαλ. Και της είπεν· “ιδού, ο Δαυίδ έστειλεν από την έρημον, που ευρίσκεται, αγγελιαφόρους να χαιρετήση τον κύριον μας και εκείνος τους απέπεμψε με τραχύτητα.

Α Βασ. 25,15 - καὶ οἱ ἄνδρες ἀγαθοὶ ἡμῖν σφόδρα· οὐκ ἀπεκώλυσαν ἡμᾶς οὐδὲ ἐνετείλαντο ἡμῖν οὐδὲν πάσας τὰς ἡμέρας, ἃς ἦμεν παρ᾿ αὐτοῖς·

Α Βασ. 25,15 - Οι άνδρες αυτοί εφέρθησαν πολύ καλά απέναντί μας. Δεν μας ημπόδισαν εις τίποτε, ούτε μας διέταξαν να τους δώσωμεν κάτι όλας αυτάς τας ημέρας, κατά τας οποίας ευρισκόμεθα κοντά των.

Α Βασ. 25,16 - καὶ ἐν τῷ εἶναι ἡμᾶς ἐν ἀγρῷ ὡς τεῖχος ἦσαν περὶ ἡμᾶς καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν πάσας τὰς ἡμέρας, ἃς ἤμεθα παρ᾿ αὐτοῖς ποιμαίνοντες τὸ ποίμνιον.

Α Βασ. 25,16 - Επί πλέον, όταν είμεθα εις την εξοχήν, αυτοί μας εφύλατταν ολόγυρά μας σαν τείχος νύκτα και ημέραν, καθ' όλον το διάστημα, κατά το οποίον ημείς εβόσκαμεν τα ποίμνιά μας.

Α Βασ. 25,17 - καὶ νῦν γνῶθι καὶ ἰδὲ σὺ τί ποιήσεις, ὅτι συντετέλεσται ἡ κακία εἰς τὸν κύριον ἡμῶν καὶ εἰς τὸν οἶκον αὐτοῦ· καὶ οὗτος υἱὸς λοιμός, καὶ οὐκ ἔστι λαλῆσαι πρὸς αὐτόν.

Α Βασ. 25,17 - Και τώρα σκέψου και ιδέ συ, τι θα κάμης. Διότι η κακία του κυρίου μας έχει αποκορυφωθή και θα ξεσπάση εναντίον όλου του οίκου του. Διότι αυτός είναι τραχύς και χυδαίος και κανείς δεν ημπορεί να του ομιλήση”.

Α Βασ. 25,18 - καὶ ἔσπευσεν Ἀβιγαία καὶ ἔλαβε διακοσίους ἄρτους καὶ δύο ἀγγεῖα οἴνου καὶ πέντε πρόβατα πεποιημένα καὶ πέντε οἰφὶ ἀλφίτου καὶ γόμορ ἓν σταφίδος καὶ διακοσίας παλάθας καὶ ἔθετο ἐπὶ τοὺς ὄνους

Α Βασ. 25,18 - Η Αβιγαία έσπευσεν αμέσως, επήρε διακοσίους άρτους, δύο ασκούς κρασί, πέντε πρόβατα ητοιμασμένα δια το φαγητόν, εκατό και πλέον κιλά κοπανισμένην κριθήν, πέντε περίπου κιλά ξηράν σταφίδα, διακόσιες τσαπέλες σύκα, και όλα αυτά τα εφόρτωσεν στους όνους.

Α Βασ. 25,19 - καὶ εἶπε τοῖς παιδαρίοις αὐτῆς· προπορεύεσθε ἔμπροσθέν μου, καὶ ἰδοὺ ἐγὼ ὀπίσω ὑμῶν παραγίνομαι. καὶ τῷ ἀνδρὶ αὐτῆς οὐκ ἀπήγγειλε.

Α Βασ. 25,19 - Είπε δε στους νεαρούς δούλους της· “πηγαίνετε σεις εμπρός και εγώ θα σας ακολουθήσω”. Εις τον συζυγόν της δεν είπε τίποτε.

Α Βασ. 25,20 - καὶ ἐγενήθη αὐτῆς ἐπιβεβηκυίης ἐπὶ τὴν ὄνον καὶ καταβαινούσης ἐν σκέπῃ τοῦ ὄρους καὶ ἰδοὺ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ κατέβαινον εἰς συνάντησιν αὐτῆς, καὶ ἀπήντησεν αὐτοῖς·

Α Βασ. 25,20 - Οταν αυτή καβάλα εις την όνον της, κατέβαινε μίαν αναδίπλωσιν του όρους, ιδού ο Δαυίδ και οι άνδρες αυτού κατέβαιναν προς

συνάντησίν της. Και συνηντήθησαν.

Α Βασ. 25,21 - καὶ Δαυὶδ εἶπεν· ἴσως εἰς ἄδικον πεφύλακα πάντα τὰ αὐτοῦ ἐν τῇ ἐρήμῳ καὶ οὐκ ἐνετειλάμεθα λαβεῖν ἐκ πάντων τῶν αὐτοῦ οὐθέν, καὶ ἀνταπέδωκέ μοι πονηρὰ ἀντὶ ἀγαθῶν·

Α Βασ. 25,21 - Ελεγε δε ο Δαυίδ προς τους άνδρας του· "ματαίως εγώ εφύλαξα όλα όσα ανήκουν εις αυτόν τον άνθρωπον εις την έρημον και εδωσα εντολήν στους ανθρώπους μου να μη πάρουν απολύτως τίποτε, από όσα του ανήκουν. Αυτός μου ανταπέδωσε κακά αντί των αγαθών που του εκαμα.

Α Βασ. 25,22 - τάδε ποιήσαι ὁ Θεὸς τῷ Δαυὶδ καὶ τάδε προσθείη, εἰ ὑπολείψομαι ἐκ πάντων τῶν τοῦ Νάβαλ ἕως πρωΐ οὐροῦντα πρὸς τοῖχον.

Α Βασ. 25,22 - Ας με τιμωρήση ο Θεός με πολλάς τιμωρίας, εάν έως αύριον το πρωϊ αφήσω έστω και ένα άνδρα ζωντανόν από όσους ανήκουν στον Ναβαλ".

Α Βασ. 25,23 - καὶ εἶδεν Ἀβιγαία τὸν Δαυὶδ καὶ ἔσπευσε καὶ κατεπήδησεν ἀπὸ τῆς ὄνου καὶ ἔπεσεν ἐνώπιον Δαυὶδ ἐπὶ πρόσωπον αὐτῆς καὶ προσεκύνησεν αὐτῷ ἐπὶ τὴν γῆν

Α Βασ. 25,23 - Η Αβιγαία είδε τον Δαυίδ, έσπευσε και κατεπήδησεν από την όνον της, έπεσε με το πρόσωπον κατά γης ενώπιον του Δαυίδ και προσεκύνησεν αυτόν βαθύτατα έως το έδαφος

Α Βασ. 25,24 - ἐπὶ τοὺς πόδας αὐτοῦ καὶ εἶπεν· ἐν ἐμοὶ κύριέ μου ἡ ἀδικία· λαλησάτω δὴ ἡ δούλη σου εἰς τὰ ὦτά σου, καὶ ἄκουσον λόγων τῆς δούλης σου.

Α Βασ. 25,24 - έμπρος εις τα πόδια του και του είπε· "κύριέ μου, εις εμέ ας καταλογισθή η αδικία, την οποίαν ο σύζυγός μου έκαμε εναντίον σου. Επίτρεψέ μου, σε παρακαλώ, να ομιλήσω εγώ η δούλη σου ενώπιόν σου. Ακουσε τα λόγια της δούλης σου.

Α Βασ. 25,25 - μὴ δὴ θέσθω ὁ κύριός μου καρδίαν αὐτοῦ ἐπὶ τὸν ἄνθρωπον τὸν λοιμὸν τοῦτον, ὅτι κατὰ τὸ ὄνομα αὐτοῦ οὗτός ἐστι· Νάβαλ ὄνομα αὐτῷ, καὶ ἀφροσύνη μετ᾿ αὐτοῦ· καὶ ἐγὼ ἡ δούλη σου οὐκ εἶδον τὰ παιδάρια τοῦ κυρίου μου, ἃ ἀπέστειλας.

Α Βασ. 25,25 - Σε παρακαλώ να μη δώσης καμμίαν σημασίαν στον τρόπον του ανθρώπου αυτού, διότι είναι άνθρωπος βάρβαρος και αγροίκος, άξιος του ονόματος το οποίον έχει. Ναβαλ είναι το όνομά του (=ανόητος) και η αφροσύνη και απερισκεψία τον χαρακτηρίζουν. Εγώ, η δούλη σου, δεν είδα τους δούλους του κυρίου μου, τους οποίους συ έστειλες προς τον σύζυγόν μου.

Α Βασ. 25,26 - καὶ νῦν, κύριέ μου, ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, καθὼς ἐκώλυσέ σε Κύριος τοῦ μὴ ἐλθεῖν εἰς αἷμα ἀθῷον καὶ σώζειν τὴν χεῖρά σού

σοι, καὶ νῦν γένοιντο ὡς Νάβαλ οἱ ἐχθροί σου καὶ οἱ ζητοῦντες τῷ κυρίῳ μου κακά.

Α Βασ. 25,26 - Και τώρα, κύριέ μου, ορκίζομαι στον ζώντα Θεόν και Κυριον και εις την ιδικήν σου ζωήν και σε διαβεβαιώ, ότι με το να έλθω εγώ εις σέ, σε ημπόδισεν ο Κυριος να μη ευρεθής εις θέσιν, ώστε να χύσης αίμα αθώον και προεφύλαξε το χέρι σου από αυτό το αμάρτημα. Εύχομαι δε όπως όλοι οι εχθροί σου, εκείνοι που ζητούν το κακό σου, να έχουν την τύχην του Ναβαλ.

Α Βασ. 25,27 - καὶ νῦν λαβὲ τὴν εὐλογίαν ταύτην, ἣν ἐνήνοχεν ἡ δούλη σου τῷ κυρίῳ μου, καὶ δώσεις τοῖς παιδαρίοις τοῖς παρεστηκόσι τῷ κυρίῳ μου.

Α Βασ. 25,27 - Και τώρα πάρε τα δώρα αυτά, τα οποία εγώ η δούλη σου έχω προσφέρει εις σε τον κύριόν μου. Δος τα στους δούλους σου, στους στρατιώτας σου οι οποίοι σε περιστοιχίζουν.

Α Βασ. 25,28 - ἆρον δὴ τὸ ἀνόμημα τῆς δούλης σου, ὅτι ποιῶν ποιήσει Κύριος τῷ κυρίῳ μου οἶκον πιστόν, ὅτι πόλεμον κυρίου μου ὁ Κύριος πολεμεῖ, καὶ κακία οὐχ εὑρεθήσεται ἐν σοὶ πώποτε.

Α Βασ. 25,28 - Συγχώρησε, λοιπόν, την παρανομίαν της δούλης σου, την απρεπή δηλαδή συμπεριφοράν του συζύγου μου. Εάν δε ούτω πράξης, ο Κυριος ετοιμάζει δια σε ευσεβείς απογόνους, οι οποίοι δεν θα λείψουν ποτέ. Ο πόλεμος δέ, τον οποίον συ διεξάγεις, είναι πόλεμος εν ονόματι του Κυρίου και ουδέποτε πρέπει να διαπραχθή από σε ούτε η παραμικροτέρα αδικία.

Α Βασ. 25,29 - καὶ ἀναστήσεται ἄνθρωπος καταδιώκων σε καὶ ζητῶν τὴν ψυχήν σου, καὶ ἔσται ψυχὴ κυρίου μου ἐνδεδεμένη ἐν δεσμῷ τῆς ζωῆς παρὰ Κυρίῳ τῷ Θεῷ, καὶ ψυχὴν ἐχθρῶν σου σφενδονήσεις ἐν μέσῳ τῆς σφενδόνης.

Α Βασ. 25,29 - Οποιοσδήποτε δε άνθρωπος και αν εξεγερθή εναντίον σου, δια να σε καταδιώξη και να ζητήση την ζωήν σου, μη φοβηθής, διότι η ζωή του κυρίου μου θα είναι ασφαλισμένη μέσα εις ασύντριπτον δεσμόν ζωής, τον οποίον Κυριος ο Θεός χορηγεί, ενώ η ζωή των εχθρών σου θα είναι σαν μέσα εις σφενδόνην, τους οποίους συ θα εκσφενδονίσης μακράν.

Α Βασ. 25,30 - καὶ ἔσται ὅτι ποιήσῃ Κύριος τῷ κυρίῳ μου πάντα, ὅσα ἐλάλησεν ἀγαθὰ ἐπὶ σέ, καὶ ἐντελεῖταί σοι εἰς ἡγούμενον ἐπὶ Ἰσραήλ,

Α Βασ. 25,30 - Οταν δε Κυριος ο Θεός πραγματοποίηση εις σε τον κύριόν μου όλα τα αγαθά, τα οποία σου έχει υποσχεθή, όταν σου δώση την εντολήν να γίνης βασιλεύς του Ισραηλιτικού λαού,

Α Βασ. 25,31 - καὶ οὐκ ἔσται σοι τοῦτο βδελυγμὸς καὶ σκάνδαλον τῷ κυρίῳ μου, ἐκχέαι αἷμα ἀθῷον δωρεὰν καὶ σῶσαι χεῖρα κυρίῳ μου αὐτῷ, καὶ ἀγαθώσει Κύριος τῷ κυρίῳ μου, καὶ μνησθήσῃ τῆς δούλης σου ἀγαθῶσαι αὐτῇ.

Α Βασ. 25,31 - δεν θα έχης βάρος εις την καρδίαν σου και τύψεις της συνειδήσεως, ότι έχυσες αίμα αθώων ανθρώπων και έτσι το χέρι του κυρίου μου θα διατηρηθή καθαρόν. Οταν δε ο Κυριος θα αποστείλη τα αγαθά εις σε τον κύριόν μου, ας ενθυμηθής και εμέ την δούλην σου με καλωσύνην".

Α Βασ. 25,32 - καὶ εἶπε Δαυὶδ τῇ Ἀβιγαίᾳ· εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὃς ἀπέστειλέ σε σήμερον ἐν ταύτῃ εἰς ἀπάντησίν μοι.

Α Βασ. 25,32 - Είπεν ο Δαυίδ εις την Αβιγαίαν· "ας είναι ευλογημένος Κυριος ο Θεός του Ισραηλιτικού λαού, ο οποίος έστειλε σήμερον σε εις συνάντησίν μου.

Α Βασ. 25,33 - καὶ εὐλογητὸς ὁ τρόπος σου, καὶ εὐλογημένη σὺ ἡ ἀποκωλύσασά με σήμερον ἐν ταύτῃ μὴ ἐλθεῖν εἰς αἵματα καὶ σῶσαι χεῖρά μου ἐμοί.

Α Βασ. 25,33 - Ευλογημένος και ο τρόπος αυτός, που εφέρθης απέναντί μου, και αξιέπαινη είσαι συ, η οποία σήμερον εις τον τόπον αυτόν με ημπόδισες να χύσω αθώα αίματα και να διατηρήσω το χέρι μου καθαρόν και ανένοχον.

Α Βασ. 25,34 - πλὴν ὅτι ζῇ Κύριος ὁ Θεὸς Ἰσραήλ, ὃς ἀπεκώλυσέ με σήμερον τοῦ κακοποιῆσαί σε, ὅτι εἰ μὴ ἔσπευσας καὶ παρεγένου εἰς ἀπάντησίν μοι, τότε εἶπα· εἰ ὑπολειφθήσεται τῷ Νάβαλ ἕως φωτὸς τοῦ πρωΐ οὐρῶν πρὸς τοῖχον.

Α Βασ. 25,34 - Σε πληροφορώ έως ότι είχα ορκισθή εις Κυριον τον Θεόν του Ισραηλιτικού λαού, ο οποίος με ημπόδισε σήμερον να σε κακοποιήσω, ότι, αν δεν έσπευδες να έλθης εις συνάντησίν μου, είχα πει· Κανείς από τους άνδρας ου Ναβαλ δεν θα ζη έως αύριον το πρωϊ".

Α Βασ. 25,35 - καὶ ἔλαβε Δαυὶδ ἐκ χειρὸς αὐτῆς πάντα, ἃ ἔφερεν αὐτῷ, καὶ εἶπεν αὐτῇ· ἀνάβηθι εἰς εἰρήνην εἰς οἶκόν σου· βλέπε, ἤκουσα τῆς φωνῆς σου καὶ ᾑρέτισα τὸ πρόσωπόν σου.

Α Βασ. 25,35 - Επήρεν ο Δαυίδ από τα χέρια της Αβιγαίας όλα τα δώρα, τα οποία αυτή έφερε προς αυτόν, και της είπεν· "πήγαινε πάλιν ειρηνική και ήσυχος στον οίκον σου και μη λησμονής ότι ήκουσα την παράκλησίν σου και εξετίμησα το πρόσωπόν σου"

Α Βασ. 25,36 - καὶ παρεγενήθη Ἀβιγαία πρὸς Νάβαλ, καὶ ἰδοὺ αὐτῷ πότος ἐν οἴκῳ αὐτοῦ ὡς πότος βασιλέως, καὶ ἡ καρδία Νάβαλ ἀγαθὴ ἐπ᾿ αὐτόν, καὶ αὐτὸς μεθύων ἕως σφόδρα· καὶ οὐκ ἀπήγγειλεν αὐτῷ ῥῆμα μικρὸν ἢ μέγα ἕως φωτὸς τοῦ πρωΐ.

Α Βασ. 25,36 - Η Αφιγαία επέστρεψε προς τον Ναβαλ και ιδού, βλέπει ότι είχε παρατεθή στον οίκον της συμπόσιον πλούσιον, βασιλικόν. Ο Ναβαλ είχε περιέλθει εις ευθυμίαν και σιγά σιγά περιέπιπτεν εις μεγάλην μέθην. Η Αβιγαία δεν είπε τίποτε, ούτε το παραμικρότερον από όλα εκείνα, τα οποία έλαβον χώραν μεταξύ αυτής και του Δαυίδ, έως ότου ανέτειλεν η επομένη ημέρα.

Α Βασ. 25,37 - καὶ ἐγένετο πρωΐ, ὡς ἐξένηψεν ἀπὸ τοῦ οἴνου Νάβαλ, ἀπήγγειλεν ἡ γυνὴ αὐτοῦ τὰ ῥήματα ταῦτα, καὶ ἐναπέθανεν ἡ καρδία αὐτοῦ ἐν αὐτῷ, καὶ αὐτὸς γίνεται ὡς λίθος.

Α Βασ. 25,37 - Οταν ανέτειλεν η πρωΐα της επομένης και ο Ναβαλ ανένηψεν από την μέθην του, εγνωστοποίησεν εις αυτόν η γυναίκα του όλα εκείνα τα γεγονότα. Αμέσως δε η καρδία του Ναβαλ έπαθε προσβολήν και αυτός έμεινεν αναίσθητος ωσάν άψυχος λίθος.

Α Βασ. 25,38 - καὶ ἐγένετο ὡσεὶ δέκα ἡμέραι καὶ ἐπάταξε Κύριος τὸν Νάβαλ, καὶ ἀπέθανε.

Α Βασ. 25,38 - Επειτα από δέκα περίπου ημέρας ο Κυριος εκτύπησε τον Ναβαλ και αυτός απέθανε.

Α Βασ. 25,39 - καὶ ἤκουσε Δαυὶδ καὶ εἶπεν· εὐλογητὸς Κύριος, ὃς ἔκρινε τὴν κρίσιν τοῦ ὀνειδισμοῦ μου ἐκ χειρὸς Νάβαλ, καὶ τὸν δοῦλον αὐτοῦ περιεποιήσατο ἐκ χειρὸς κακῶν, καὶ τὴν κακίαν Νάβαλ ἀπέστρεψε Κύριος εἰς κεφαλὴν αὐτοῦ. καὶ ἀπέστειλε Δαυὶδ καὶ ἐλάλησε περὶ Ἀβιγαίας, λαβεῖν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα.

Α Βασ. 25,39 - Ο Δαυίδ ο οποίος επληροφορήθη τον θάνατον του Ναβαλ, είπεν “ευλογημένος ας είναι ο Κυριος, ο οποίος έκαμε δικαίαν κρίσιν δια τον ονειδισμόν, τον οποίον υπέστην εκ μέρους του Ναβαλ, ετιμώρησεν αυτόν δια τούτο, εμέ δε τον δούλον του με επροφύλαξε, ώστε να μη μολύνω τα χέρι μου με αδικίας. Επέρριψε δε την κακίαν Ναβαλ εις την κεφαλήν του”. Ο Δαυίδ έστειλε τότε αγγελιαφόρους να είπουν εις την Αβιγαίαν, εάν θέλη, να λάβη αυτήν ως σύζυγόν του.

Α Βασ. 25,40 - καὶ ἦλθον οἱ παῖδες Δαυὶδ πρὸς Ἀβιγαίαν εἰς Κάρμηλον καὶ ἐλάλησαν αὐτῇ λέγοντες· Δαυὶδ ἀπέστειλεν ἡμᾶς πρός σε λαβεῖν σε αὐτῷ εἰς γυναῖκα.

Α Βασ. 25,40 - Οι δούλοι του Δαυίδ ήλθαν προς την Αβιγαίαν στο Καρμηλον και είπαν εις αυτήν τα εξής· “ο Δαυίδ μας έστειλε προς σέ, δια να σου αναγγείλωμεν ότι επιθυμεί να σε λάβη ως σύζυγόν του”.

Α Βασ. 25,41 - καὶ ἀνέστη καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἐπὶ πρόσωπον καὶ εἶπεν· ἰδοὺ ἡ δούλη σου εἰς παιδίσκην νίψαι πόδας τῶν παίδων σου.

Α Βασ. 25,41 - Εκείνη αμέσως ηγέρθη, μετέβη προς τον Δαυίδ, έπεσε με το πρόσωπον επί του εδάφους και προσεκύνησεν αυτόν και του είπεν· “ιδού, η δούλη σου, γίνομαι δούλη σου, δια να νίπτω τα πόδια των δούλων σου”.

Α Βασ. 25,42 - καὶ ἀνέστη Ἀβιγαία καὶ ἐπέβη ἐπί τὴν ὄνον καὶ πέντε κοράσια ἠκολούθουν αὐτῇ, καὶ ἐπορεύθη ὀπίσω τῶν παίδων Δαυίδ, καὶ γίνεται αὐτῷ εἰς γυναῖκα.

Α Βασ. 25,42 - Η Αβιγαία ητοιμάσθη, ανέβηκε εις την όνον της και πέντε κοράσια την ηκολούθησαν. Ηκολούθησεν αυτή τους δούλους του Δαυίδ,

ήλθε προς αυτόν και έγινε σύζυγος του.

Α Βασ. 25,43 - καὶ τὴν Ἀχινόομ ἔλαβε Δαυὶδ ἐξ Ἰεζραέλ, καὶ ἀμφότεραι ἦσαν αὐτῷ γυναῖκες.

Α Βασ. 25,43 - Ο Δαυίδ έλαβε και δευτέραν ακόμη γυναίκα την Αχινόομ, η οποία κατήγετο από την πόλιν Ιεζραέλ, και αι δύο αυταί ήσαν σύζυγοι του Δαυίδ.

Α Βασ. 25,44 - καὶ Σαοὺλ ἔδωκε Μελχὸλ τὴν θυγατέρα αὐτοῦ τὴν γυναῖκα Δαυὶδ τῷ Φαλτὶ υἱῷ Ἀμὶς τῷ ἐκ Ῥομμά.

Α Βασ. 25,44 - Ο Σαούλ, προφανώς δια να εκδικηθή τον Δαυίδ, έδωσε την Μελχόλ, την θυγατέρα του, την γυναίκα του Δαυίδ, ως σύζυγον στον Φαλτί υιόν του Αμίς, ο οποίος κατήγετο από την Ρομμά.

Α ΒΑΣΙΛΕΙΩΝ 26

Α Βασ. 26,1 - Καὶ ἔρχονται οἱ Ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς τὸν Σαοὺλ εἰς τὸν βουνὸν λέγοντες· ἰδοὺ Δαυὶδ σκεπάζεται μεθ᾿ ἡμῶν ἐν τῷ βουνῷ τοῦ Ἐχελὰ τοῦ κατὰ πρόσωπον τοῦ Ἰεσσαιμοῦν.

Α Βασ. 26,1 - Οι Ζιφαίοι ήλθον από την ξηράν και τραχείαν χώραν των εις Γαβαά, όπου ήτο ο Σαούλ, και του είπαν· “ιδού, ο Δαυίδ κρύπτεται εις την χώραν μας, στον λόφον Εχελά, ο οποίος ευρίσκεται απέναντι του Ιεσσαιμούν”.

Α Βασ. 26,2 - καὶ ἀνέστη Σαοὺλ καὶ κατέβη εἰς τὴν ἔρημον Ζίφ καὶ μετ᾿ αὐτοῦ τρεῖς χιλιάδες ἀνδρῶν ἐκλεκτοὶ ἐξ Ἰσραὴλ ζητεῖν τὸν Δαυὶδ ἐν τῇ ἐρήμῳ Ζίφ.

Α Βασ. 26,2 - Ηγέρθη ο Σαούλ και κατέβη εις την έρημον Ζιφ έχων μαζή του τρεις χιλιάδας άνδρας εκλεκτούς από όλους τους Ισραηλίτας, δια να αναζητήση τον Δαυίδ εις την έρημον Ζιφ.

Α Βασ. 26,3 - καὶ παρενέβαλε Σαοὺλ ἐν τῷ βουνῷ τοῦ Ἐχελὰ τῷ ἐπὶ προσώπου τοῦ Ἰεσσαιμοῦν ἐπὶ τῆς ὁδοῦ, καὶ Δαυὶδ ἐκάθισεν ἐν τῇ ἐρήμῳ. καὶ εἶδε Δαυὶδ ὅτι ἥκει Σαοὺλ ὀπίσω αὐτοῦ εἰς τήν ἔρημον,

Α Βασ. 26,3 - Ο Σαούλ ήλθε και εστρατοπέδευσεν στον λόφον Εχελά, ο οποίος ευρίσκετο απέναντι του Ιεσσαμούν· εστρατοπέδευσεν εις την οδόν. Ο Δαυίδ ευρίσκετο εις την έρημον. Εμαθε δε ότι ο Σαούλ ήλθε πίσω από αυτόν εις την έρημον.

Α Βασ. 26,4 - καὶ ἀπέστειλε Δαυὶδ κατασκόπους καὶ ἔγνω ὅτι ἥκει Σαοὺλ ἕτοιμος ἐκ Κεϊλά.

Α Βασ. 26,4 - Απέστειλε κατασκόπους και εβεβαιώθη ότι πράγματι ο Σαούλ είχεν ελθει από την Κεϊλά έτοιμος με στρατόν, δια να τον συλλάβη.

Α Βασ. 26,5 - καὶ ἀνέστη Δαυὶδ λάθρᾳ καὶ εἰσπορεύεται εἰς τὸν τόπον, οὗ ἐκάθευδεν ἐκεῖ Σαούλ, καὶ ἐκεῖ Ἀβεννὴρ υἱὸς Νὴρ ἀρχιστράτηγος αὐτοῦ, καὶ Σαοὺλ ἐκάθευδεν ἐν λαμπήνῃ, καὶ ὁ λαὸς παρεμβεβληκὼς κύκλῳ αὐτοῦ.

Α Βασ. 26,5 - Ο Δαυίδ ηγέρθη και απεφάσισε να εισδύση κρυφίως στον τόπον, όπου εκοιμάτο ο Σαούλ. Εκεί δε εκοιμάτο και ο αρχιστράτηγος του Σαούλ, ο Αβεννήρ, ο υιός του Νηρ. Ο Σαούλ εκοιμάτο εις την σκηνήν του, οι δε στρατιώται εκοιμώντο κύκλω από την σκηνήν του.

Α Βασ. 26,6 - καὶ ἀπεκρίθη Δαυὶδ και εἶπε πρὸς Ἀβιμέλεχ τὸν Χετταῖον καὶ πρὸς Ἀβεσσὰ υἱὸν Σαρουΐας ἀδελφὸν Ἰωὰβ λέγων· τίς εἰσελεύσεται μετ᾽ ἐμοῦ πρὸς Σαοὺλ εἰς τὴν παρεμβολήν; καὶ εἶπεν Ἀβεσσά· ἐγὼ εἰσελεύσομαι μετὰ σοῦ.

Α Βασ. 26,6 - Ο Δαυίδ είπε προς τον Αβιμέλεχ, ο οποίος κατήγετο από την φυλήν των Χετταίων, και προς τον ανεψιόν του τον Αβεσσά, υιόν της αδελφής του της Σαρουΐας και αδελφόν του Ιωάβ, και είπε· “ποιός θάρθη μαζή μου, δια να εισχωρήσωμεν κρυφίως στο στρατόπεδον του Σαούλ;” Ο Αβεσσά απήντησεν· “εγώ θα έλθω μαζή σου”.

Α Βασ. 26,7 - καὶ εἰσπορεύεται Δαυὶδ καὶ Ἀβεσσὰ εἰς τὸν λαὸν τὴν νύκτα, καὶ ἰδοὺ Σαοὺλ καθεύδων ὕπνῳ ἐν λαμπήνῃ, καὶ τὸ δόρυ αὐτοῦ ἐμπεπηγὸς εἰς τὴν γῆν πρὸς κεφαλῆς αὐτοῦ, καί Ἀβεννὴρ καὶ ὁ λαὸς αὐτοῦ ἐκάθευδε κύκλῳ αὐτοῦ.

Α Βασ. 26,7 - Ο Δαυίδ πράγματι εισεχώρησε μαζή με τον Αβεσσά ανάμεσα από τους στρατιώτας του Σαούλ κατά την νύκτα. Και ιδού ο Σαούλ εκοιμάτο βαθέως εις την σκηνήν του, το δε βασιλικόν δόρυ του ήτο μπηγμένον στο χώμα, κοντά στο κεφάλι του. Ο Αβεννήρ και ο στρατός του εκοιμώντο γύρω από αυτόν.

Α Βασ. 26,8 - καὶ εἶπεν Ἀβεσσὰ πρὸς Δαυίδ· ἀπέκλεισε Κύριος σήμερον τὸν ἐχθρόν σου εἰς χεῖράς σου, καὶ νῦν πατάξω αὐτὸν τῷ δόρατι εἰς τὴν γῆν ἅπαξ καὶ οὐ δευτερώσω αὐτῷ.

Α Βασ. 26,8 - Ο Αβεσσά είπε τότε προς τον Δαυίδ· “ο Θεός σήμερον σου έχει παραδώσει εις τα χέρια σου τον εχθρόν σου. Και τώρα άφησέ με να κτυπήσω αυτόν με το δόρυ μου μίαν μόνην φοράν και το δόρυ μου θα φθάση εις την γην, χωρίς να παραστή ανάγκη να κτυπήσω δεύτερη φορά”.

Α Βασ. 26,9 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀβεσσά· μὴ ταπεινώσῃς αὐτόν, ὅτι τίς ἐποίσει χεῖρα αὐτοῦ ἐπὶ χριστὸν Κυρίου καὶ ἀθωωθήσεται;

Α Βασ. 26,9 - Ο Δαυίδ απήντησε προς τον Αβεσσά· “μη φονεύσης και μη εξευτελίσης αυτόν, διότι ποιός θα τολμήση να απλώση το χέρι του εναντίον βασιλέως, τον οποίον έχρισεν ο Θεός και θα θεωρηθή αθώος και ανένοχος;”

Α Βασ. 26,10 - καὶ εἶπε Δαυίδ· ζῇ Κύριος, ἐὰν μὴ Κύριος παίσῃ αὐτόν, ἢ ἡ ἡμέρα αὐτοῦ ἔλθῃ καὶ ἀποθάνῃ, ἢ εἰς πόλεμον καταβῇ καὶ προστεθῇ·

Α Βασ. 26,10 - Ο Δαυίδ προσέθεσεν· "ορκίζομαι στον Κυριον ότι δεν πρέπει να γίνη κάτι τέτοιο. Ο Κυριος μόνον δύναται να κτυπήση τον Σαούλ η να τον αφήση εν τη ζωή έως την ημέραν κατά την οποίαν θα έλθη η ώρα να αποθάνή ειρηνικώς η όταν μεταβή εις πόλεμον και φονευθή από τους εχθρούς του.

Α Βασ. 26,11 - μηδαμῶς μοι παρὰ Κυρίου ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν Κυρίου· καὶ νῦν λαβὲ δὴ τὸ δόρυ ἀπὸ προσκεφαλῆς αὐτοῦ καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ ἀπέλθωμεν ἡμεῖς καθ᾿ ἑαυτούς.

Α Βασ. 26,11 - Ο Κυριος να μη δώση ποτέ και απλώσω το χέρι μου εναντίον βασιλέως, τον οποίον Αυτός έχρισε. Και τώρα πάρε το δόρυ, που ευρίσκεται κοντά εις την κεφαλήν του, και το δοχείον του ύδατος και ας φύγωμεν απ' εδώ, δια να επανέλθωμεν στο στρατόπεδον μας".

Α Βασ. 26,12 - καὶ ἔλαβε Δαυὶδ τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος ἀπὸ προσκεφαλῆς αὐτοῦ, καὶ ἀπῆλθον καθ᾿ ἑαυτούς· καὶ οὐκ ἦν ὁ βλέπων καὶ οὐκ ἦν ὁ γινώσκων καὶ οὐκ ἦν ὁ ἐξεγειρόμενος, πάντες ὑπνοῦντες, ὅτι θάμβος Κυρίου ἐπέπεσεν ἐπ᾿ αὐτούς.

Α Βασ. 26,12 - Ο Δαυίδ επήρε το δόρυ και το φακοειδές δοχείον του ύδατος που ευρίσκοντο κοντά εις την κεφαλήν του Σαούλ, και έφυγαν δια το στρατόπεδόν των. Κανείς δεν τους είδε, κανείς δεν τους αντελήφθη, κανείς δεν εσηκώθη, όλοι εκοιμώντο βαθειά, διότι ο Κυριος τους εθάμπωσε.

Α Βασ. 26,13 - καὶ διέβη Δαυὶδ εἰς τὸ πέραν καὶ ἔστη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους μακρόθεν, καὶ πολλὴ ἡ ὁδὸς ἀνὰ μέσον αὐτῶν.

Α Βασ. 26,13 - Κατόπιν ο Δαυίδ επέρασε εις την απέναντι πλευράν του όρους, ανέβη και εστάθη όρθιος από μακρυά εις την κορυφήν. Η δε απόστασις μεταξύ του στρατοπέδου του Σαούλ και αυτού ήτο μεγάλη.

Α Βασ. 26,14 - καὶ προσεκαλέσατο Δαυὶδ τὸν λαὸν καὶ τῷ Ἀβεννὴρ ἐλάλησε λέγων· οὐκ ἀποκριθήσῃ Ἀβεννήρ; καὶ ἀπεκρίθη Ἀβεννὴρ καὶ εἶπε· τίς εἶ σὺ ὁ καλῶν με;

Α Βασ. 26,14 - Ο Δαυίδ εφώναξε τον λαόν και ωμίλησε προς τον Αβεννήρ λέγων· "Αβεννήρ, δεν θα μου απαντήσης;" Ο Αβεννήρ απήντησε και είπε· "ποιός είσαι συ,ο οποίος με φωνάζεις;"

Α Βασ. 26,15 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀβεννήρ· οὐκ ἀνὴρ σύ; καὶ τίς ὡς σὺ ἐν Ἰσραήλ; καὶ διατί οὐ φυλάσσεις τὸν κύριόν σου τὸν βασιλέα; ὅτι εἰσῆλθεν εἷς ἐκ τοῦ λαοῦ διαφθεῖραι τὸν κύριόν σου τὸν βασιλέα.

Α Βασ. 26,15 - Ο Δαυίδ ειπέ προς τον Αβεννήρ· "δεν είσαι συ πράγματι γενναίος ανήρ; Ποιός άλλος είναι τόσον ανδρείος μεταξύ των Ισραηλιτών, όσον συ; Διατί λοιπόν δεν φρουρείς και δεν προφυλάσσστον κύριόν σου και βασιλέα; Αυτό σου το λέγω, διότι κάποιος Ισραηλίτης εισήλθεν στο στρατόπεδόν σου, δια να φονεύση τον βασιλέα.

Α Βασ. 26,16 - καὶ οὐκ ἀγαθὸν τὸ ῥῆμα τοῦτο, ὃ πεποίηκας· ζῇ Κύριος, ὅτι υἱοὶ θανατώσεως ὑμεῖς οἱ φυλάσσοντες τὸν βασιλέα τὸν κύριον ὑμῶν τὸν χριστὸν Κυρίου. καὶ νῦν ἰδὲ δή· τὸ δόρυ τοῦ βασιλέως καὶ ὁ φακὸς τοῦ ὕδατος ποῦ ἐστι τὰ πρὸς κεφαλῆς αὐτοῦ;

Α Βασ. 26,16 - Η αμέλεια, την οποίαν έδειξες, δεν είναι καθόλου καλή. Ορκίζομαι στον Θεόν ότι συ και όσοι άλλοι φυλάσσουν τον βασιλέα και κύριόν σου τον χριστόν Κυρίου είσθε άξιοι θανάτου. Και τώρα ιδού η απόδειξις ότι δεν φρουρείτε τον βασιλέα σας. Το βασιλικόν δόρυ και το δοχείον του ύδατος, τα οποία ήσαν κοντά εις την κεφαλήν του βασιλέως, που ευρίσκονται τώρα;”

Α Βασ. 26,17 - καὶ ἐπέγνω Σαοὺλ τὴν φωνὴν Δαυὶδ καὶ εἶπεν· ἡ φωνή σου αὕτη, τέκνον Δαυίδ; καὶ εἶπε Δαυίδ· δοῦλός σου, κύριε βασιλεῦ.

Α Βασ. 26,17 - Ο Σαούλ ανεγνώρισε την φωνήν του Δαυίδ και είπε· “παιδί μου Δαυίδ, η φωνή σου είναι αυτή;” Ο Δαυίδ απήντησεν· “ναι, εγώ είμαι, ο δούλος σου, κύριε βασιλεύ”.

Α Βασ. 26,18 - καὶ εἶπεν· ἱνατί τοῦτο καταδιώκει ὁ κύριος ὀπίσω τοῦ δούλου αὐτοῦ; ὅτι τί ἡμάρτηκα καὶ τί εὑρέθη ἐν ἐμοὶ ἀδίκημα;

Α Βασ. 26,18 - Και προσέθεσε· “διατί εμέ τον δούλον σου καταδιώκεις πάντοτε; Εις τι έχω πταίσει απέναντί σου και ποίον είναι το αδίκημά μου;

Α Βασ. 26,19 - καὶ νῦν ἀκουσάτω ὁ κύριός μου ὁ βασιλεὺς τὸ ῥῆμα τοῦ δούλου αὐτοῦ· εἰ ὁ Θεὸς ἐπισείει σε ἐπ᾿ ἐμέ, ὀσφανθείη θυσίας σου· καὶ εἰ υἱοὶ ἀνθρώπων, ἐπικατάρατοι οὗτοι ἐνώπιον Κυρίου, ὅτι ἐξέβαλόν με σήμερον μὴ ἐστηρίχθαι ἐν κληρονομίᾳ Κυρίου λέγοντες· πορεύου, δούλευε θεοῖς ἑτέροις.

Α Βασ. 26,19 - Και τώρα ο κύριός μου και ο βασιλεύς μου ας καταδεχθή να ακούση τα λόγια εμού του δούλου του· Εάν μεν ο Θεός σε αποστέλλη εναντίον μου, δια να με φονεύσης, ας προσφερθή η ζωη μου ως ευάρεστος θυσία στον Θεόν. Εάν όμως πονηροί άνθρωποι σε εξερεθίζουν εναντίον μου, ας είναι κατηραμένοι ενώπιον του Κυρίου, διότι σήμερον με έχουν εκδιώξει και δεν με αφήνουν να ζήσω εις την κληρονομίαν του Θεού, την γην της επαγγελίας, και μου λέγουν· Φυγε, πήγαινε να λατρεύσης άλλους θεούς.

Α Βασ. 26,20 - καὶ νῦν μὴ πέσοι τὸ αἷμά μου ἐπὶ τὴν γῆν ἐξεναντίας προσώπου Κυρίου, ὅτι ἐξελήλυθεν ὁ βασιλεὺς Ἰσραὴλ ζητεῖν ψυχήν μου, καθὼς καταδιώκει ὁ νυκτικόραξ ἐν τοῖς ὄρεσι.

Α Βασ. 26,20 - Και τώρα είθε να μη χυθή το αίμά μου εις ξένην γην, μακράν από το πρόσωπον του Κυρίου μου, διότι ο βασιλεύς των Ισραηλιτών έχει εξέλθει και με αναζητεί, δια να με θανατώση. Με καταδιώκει όπως καταδιώκουν τον νυκτοκόρακα εις τα βουνά”.

Α Βασ. 26,21 - καὶ εἶπε Σαούλ· ἡμάρτηκα· ἐπίστρεφε τέκνον Δαυίδ, ὅτι οὐ κακοποιήσω σε ἀνθ᾿ ὧν ἔντιμος ψυχή μου ἐν ὀφθαλμοῖς σου καὶ ἐν τῇ

σήμερον· μεματαίωμαι καὶ ἠγνόηκα πολλὰ σφόδρα.

Α Βασ. 26,21 - Απήντησεν ο Σαούλ και είπεν· “έσφαλα απέναντί σου. Γυρισε πίσω, παιδί μου Δαυίδ και δεν θα σε κακοποιήσω, διότι εσεβάσθης σήμερον την ζωήν μου. Εγώ εφέρθην κατά τρόπον ανόητον απέναντί σου και έχω παραπλανηθή και εξαπατηθή πάρα πολύ”.

Α Βασ. 26,22 - καὶ ἀπεκρίθη Δαυὶδ καὶ εἶπεν· ἰδοὺ τὸ δόρυ τοῦ βασιλέως· διελθέτω εἷς τῶν παιδαρίων καὶ λαβέτω αὐτό.

Α Βασ. 26,22 - Απήντησεν ο Δαυίδ και είπεν· “ιδού, το δόρυ του βασιλέως ευρίσκεται εδώ. Ας έλθη ένας από τους νεαρούς δούλους και ας το πάρη.

Α Βασ. 26,23 - καὶ Κύριος ἐπιστρέψει ἑκάστῳ κατὰ τὰς δικαιοσύνας αὐτοῦ καὶ τὴν πίστιν αὐτοῦ, ὡς παρέδωκέ σε Κύριος σήμερον εἰς χεῖράς μου καὶ οὐκ ἠθέλησα ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν Κυρίου·

Α Βασ. 26,23 - Ο δε Θεός θα ανταποδώση στον καθένα αναλόγως των έργων του και της πίστεως που έδειξεν απέναντι του Θεού. Διότι ο Κυριος σε παρέδωκε σήμερα εις τα χέρια μου και δεν ηθέλησα να απλώσω το χέρι μου εναντίον του βασιλέως, τον οποίον ο Θεός έχρισε.

Α Βασ. 26,24 - καὶ ἰδοὺ καθὼς ἐμεγαλύνθη ἡ ψυχή σου σήμερον ἐν ταύτῃ ἐν ὀφθαλμοῖς μου, οὕτως μεγαλυνθείη ἡ ψυχή μου ἐνώπιον Κυρίου καὶ σκεπάσαι με καὶ ἐξελεῖταί με ἐκ πάσης θλίψεως.

Α Βασ. 26,24 - Ιδού, όπως εγώ σήμερον στον τόπον τούτον, εθεώρησα αξίαν πολλού σεβασμού την ζωήν σου, είθε και ο Κυριος κατά παρόμοιον τρόπον να θεωρήση αξίαν την ζωήν μου και να με σκεπάση, να με προφυλάξη και να με απαλλάξξ από κάθε κίνδυνον και περιπέτειαν”.

Α Βασ. 26,25 - καὶ εἶπε Σαοὺλ πρὸς Δαυίδ· εὐλογημένος σύ, τέκνον, καὶ ποιῶν ποιήσεις καὶ δυνάμενος δυνήσῃ. καὶ ἀπῆλθε Δαυὶδ εἰς τὴν ὁδὸν αὐτοῦ, καὶ Σαοὺλ ἀνέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

Α Βασ. 26,25 - Ο Σαούλ είπεν στον Δαυίδ· “τέκνον μου, συ είσαι ευλογημένος. Θα πραγματοποιήσης μεγάλα έργα και με δύναμιν πολλήν θα επικρατήσης”. Ο Δαυίδ συνέχισε τον δρόμον του και ο Σαούλ επέστρεψεν στον τόπον του.

Α ΒΑΣΙΛΕΙΩΝ 27

Α Βασ. 27,1 - Καὶ εἶπε Δαυὶδ ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων· νῦν προστεθήσομαι ἐν ἡμέρᾳ μιᾷ εἰς χεῖρας Σαούλ, καὶ οὐκ ἔστι μοι ἀγαθόν, ἐὰν μὴ σωθῶ εἰς γῆν ἀλλοφύλων καὶ ἀνῇ Σαοὺλ τοῦ ζητεῖν με εἰς πᾶν ὅριον Ἰσραήλ, καὶ σωθήσομαι ἐκ χειρὸς αὐτοῦ.

Α Βασ. 27,1 - Ο Δαυίδ εσκέφθη και είπε καθ' εαυτόν· “θα έλθη, φαίνεται, κάποια ημέρα, κατά την οποίαν θα πέσω εις τα χέρια του Σαούλ, πράγμα το

οποίον δεν είναι καθόλου καλόν οι εμέ. Καλύτερα να φύγω και να σωθώ εις την γην των αλλοφύλων και έτσι ο Σαούλ θα σταματήση να με αναζητή μέσα εις τα όρια της χώρας των Ισραηλιτών και θα γλυτώσω από τα χέρια του”.

Α Βασ. 27,2 - καὶ ἀνέστη Δαυὶδ καὶ οἱ ἑξακόσιοι ἄνδρες οἱ μετ᾿ αὐτοῦ καὶ ἐπορεύθη πρὸς Ἀγχοῦς υἱὸν Ἀμμὰχ βασιλέα Γέθ.

Α Βασ. 27,2 - Εξεκίνησεν ο Δαβίδ και οι εξακόσιοι άνδρες μαζή του και επορεύθησαν προς τον Αγχούς, τον υιόν του Αμμάχ, βασιλέα της Γέθ.

Α Βασ. 27,3 - καὶ ἐκάθισε Δαυὶδ μετὰ Ἀγχοῦς, αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ, ἕκαστος καὶ ὁ οἶκος αὐτοῦ, καὶ Δαυὶδ καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ, Ἀχινὰαχ Ἰεζραηλῖτις καὶ Ἀβιγαία ἡ γυνὴ Νάβαλ τοῦ Καρμηλίου.

Α Βασ. 27,3 - Ο Δαυίδ μαζή με τους εξακοσίους άνδρας του εγκατεστάθη εκεί, εις την περιοχήν του Αγχούς, ο καθένας με την οικογένειάν του. Και ο Δαυίδ είχε μαζή του και τας δύο συζύγους του, την Αχινάαμ την Ιεσραηλίτιδα, και την Αβιγαίαν την σύζυγον του Ναβαλ του Καρμηλίου.

Α Βασ. 27,4 - καὶ ἀνηγγέλη τῷ Σαοὺλ ὅτι πέφευγε Δαυὶδ εἰς Γέθ, καὶ οὐ προσέθετο ἔτι ζητεῖν αὐτόν.

Α Βασ. 27,4 - Ανηγγέλθη δε στον Σαούλ ότι έχει φύγει πλέον ο Δαυίδ από την χώραν του Ισραήλ εις την χώραν της Γεθ και έτσι ο Σαούλ έπαυσε πλέον να τον αναζητή και να τον καταδιώκη.

Α Βασ. 27,5 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀγχοῦς· εἰ δή εὕρηκεν ὁ δοῦλός σου χάριν ἐν ὀφθαλμοῖς σου, δότωσαν δή μοι τόπον ἐν μιᾷ τῶν πόλεων τῶν κατ᾿ ἀγρὸν καὶ καθήσομαι ἐκεῖ· καὶ ἱνατί κάθηται ὁ δοῦλός σου ἐν πόλει βασιλευομένη μετὰ σοῦ;

Α Βασ. 27,5 - Είπε δε ο Δαυίδ προς τον Αγχούς· “εάν εγώ ο δούλος σου ευρήκα χάριν ενώπιόν σου, ας μου δώσης ως τοπον εγκαταστάσεώς μου μίαν από τας αγροτικάς πόλεις, δια να καθήσω εκεί. Διατί να κάθημαι εγώ ο δούλός σου εις την πόλιν αυτήν, όπου συ ως βασιλεύς έχεις την έδραν σου;”

Α Βασ. 27,6 - καὶ ἔδωκεν αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν Σεκελάκ· διὰ τοῦτο ἐγενήθη Σεκελὰκ τῷ βασιλεῖ τῆς Ἰουδαίας ἕως τῆς ἡμέρας ταύτης.

Α Βασ. 27,6 - Πράγματι ο Αγχούς παρεχώρησεν εις αυτόν κατά την ημέραν εκείνην την πόλιν Σεκελάκ. Δια τούτο δε η πόλις Σεκελάκ ανήκει μέχρι της ημέρας που γράφονται αυτά, στον βασιλέα της Ιουδαίας.

Α Βασ. 27,7 - καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἡμερῶν, ὧν ἐκάθισε Δαυὶδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων τέσσαρας μῆνας.

Α Βασ. 27,7 - Εμεινεν ο Δαυίδ εις την αγροτικήν εκείνην περιοχήν των Φιλισταίων επί τέσσαρες μήνας.

Α Βασ. 27,8 - καὶ ἀνέβαινε Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ καὶ ἐπετίθεντο ἐπὶ πάντα τὸν Γεσιρὶ καὶ ἐπὶ τὸν Ἀμαληκίτην· καὶ ἰδοὺ ἡ γῆ κατῳκεῖτο ἀπὸ ἀνηκόντων ἡ ἀπὸ Γελαμψοὺρ τετειχισμένων καὶ ἕως γῆς Αἰγύπτου.

Α Βασ. 27,8 - Από εκεί εξήρχετο ο Δαυίδ και οι άνδρες του και έκαναν επιδρομάς εναντίον της φυλής Γεσιρί και των Αμαληκιτών. Η δε περιοχή, την οποίαν κατοικούσαν οι ανήκοντες εις τας φυλάς αυτάς, εξετείνετο από τα οχυρά της Γελαμψούρ μέχρι της χώρας Αιγύπτου.

Α Βασ. 27,9 - καὶ ἔτυπτε τὴν γῆν καὶ οὐκ ἐζωογόνει ἄνδρα ἢ γυναῖκα καὶ ἐλάμβανον ποίμνια καὶ βουκόλια καὶ ὄνους καὶ καμήλους καὶ ἱματισμόν, καὶ ἀνέστρεψαν καὶ ἤρχοντο πρὸς Ἀγχοῦς.

Α Βασ. 27,9 - Ο Δαυίδ έκανεν επιδρομάς εις την χώραν αυτήν, εκτυπούσε τους κατοίκους, εθανάτωνεν άνδρας και γυναίκας και έπαιρνε τα πρόβατα, τα βόδια, τους όνους, τας καμήλους, τα ενδύματα και επέστρεφαν πάλιν προς τον Αγχούς.

Α Βασ. 27,10 - καὶ εἶπεν Ἀγχοῦς πρὸς Δαυίδ· ἐπὶ τίνα ἐπέθεσθε σήμερον; καὶ εἶπε Δαυὶδ πρὸς Ἀγχοῦς· κατὰ νότον τῆς Ἰουδαίας καὶ κατὰ νότον Ἰεσμεγὰ καὶ κατὰ νότον τοῦ Κενεζί.

Α Βασ. 27,10 - Ο Αγχούς ηρώτα τον Δαυίδ· “εναντίον τίνος σήμερον έχεις επιτεθή;” Και ο Δαυίδ έλεγε προς τον Αγχούς· “στο νότια μέρη της Ιουδαίας, προς νότον Ιεσμεγά και προς νότον των Κενεζαίων”.

Α Βασ. 27,11 - καὶ ἄνδρα καὶ γυναῖκα οὐκ ἐζωογόνησα τοῦ εἰσαγαγεῖν εἰς Γὲθ λέγων· μὴ ἀναγγείλωσιν εἰς Γὲθ καθ᾿ ἡμῶν λέγοντες· τάδε Δαυὶδ ποιεῖ, καὶ τόδε τὸ δικαίωμα αὐτοῦ πάσας τὰς ἡμέρας, ἃς ἐκάθητο Δαυὶδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων.

Α Βασ. 27,11 - Δεν άφηνεν εν τη ζωή ούτε άνδρα ούτε γυναίκα, δια να μη έλθουν ζώντες εις Γέθ, μήπως τυχόν, όπως έλεγε· “και καταθέσουν καταμαρτυρίαν εναντίον ημών λέγοντες· Ιδού, αυτά και αυτά πράττει ο Δαυίδ. Ιδού ο τρόπος της ενεργείας του Δαυίδ καθ' όλον το διάστημα, που παρέμενεν εις την περιοχήν των Φιλισταίων”.

Α Βασ. 27,12 - καὶ ἐπιστεύθη Δαυὶδ ἐν τῷ Ἀγχοῦς σφόδρα λέγων· ᾔσχυνται αἰσχυνόμενος ἐν τῷ λαῷ αὐτοῦ ἐν Ἰσραὴλ καὶ ἔσται μοι δοῦλος εἰς τὸν αἰῶνα.

Α Βασ. 27,12 - Ετσι δε ο Δαυίδ απέκτησε πολύ μεγάλην εμπιστοσύνην εκ μέρους του Αγχούς, διότι αυτός εσκέπτετο και έλεγε· “ο Δαυίδ πολεμών εναντίον των Ισραηλιτών έχει μισηθή από τους Ισραηλίτας. Δια τούτο δε και θα είναι εις εμέ παντοτεινός υπηρέτης και δούλος”.

Α ΒΑΣΙΛΕΙΩΝ 28

Α Βασ. 28,1 - Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συναθροίζονται ἀλλόφυλοι ἐν ταῖς παρεμβολαῖς αὐτῶν ἐξελθεῖν πολεμεῖν μετὰ Ἰσραήλ, καὶ

εἶπεν Ἀγχοῦς πρὸς Δαυίδ· γινώσκων γνώσῃ ὅτι μετ᾿ ἐμοῦ ἐξελεύσῃ εἰς πόλεμον σὺ καὶ οἱ ἄνδρες σου.

Α Βασ. 28,1 - Κατά τας ημέρας εκείνας συνηθροίσθησαν τα επί μέρους στρατεύματα των Φιλισταίων εις μίαν στρατιάν, δια να πολεμήσουν εναντίον των Ισραηλιτών. Ο Αγχούς είπε τότε προς τον Δαυίδ· “γνωρίζεις βέβαια καλά, ότι θα εξέλθης εις πόλεμον συ και οι άνδρες σου μαζή με εμέ”.

Α Βασ. 28,2 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀγχοῦς· οὕτω νῦν γνώσῃ ἃ ποιήσει ὁ δοῦλός σου· καὶ εἶπεν Ἀγχοῦς πρὸς Δαυίδ· οὕτως ἀρχισωματοφύλακα θήσομαί σε πάσας τὰς ἡμέρας.

Α Βασ. 28,2 - Ο Δαυίδ απήντησε προς τον Αγχούς· “έτσι τώρα θα μάθης καλύτερα εκείνα τα κατορθώματα, τα οποία θα πραγματοποιήση ο δούλος σου”. Ο Αγχούς απήντησε προς τον Δαυίδ· “και εγώ σε εγκαθιστώ αρχηγόν της προσωπικής μου σωματοφυλακής”.

Α Βασ. 28,3 - Καὶ Σαμουὴλ ἀπέθανε, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ καὶ θάπτουσιν αὐτὸν ἐν Ἀρμαθαὶμ ἐν πόλει αὐτοῦ. καὶ Σαοὺλ περιεῖλε τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς.

Α Βασ. 28,3 - Ο Σαμουήλ απέθανεν, όπως προηγουμένως ελέχθη, όλοι δε οι Ισραηλίται εθρήνησαν αυτόν μετά κοπετών και δακρύων και τον έθαψαν εις την πόλιν Αρμαθαίμ. Πριν η αποθάνη ο Σαμουήλ, ο Σαούλ είχε καταδιώξει τους εγγαστριμύθους και εκείνους, οι οποίοι εκαλούσαν, δήθεν, νεκρούς από τον άδην.

Α Βασ. 28,4 - καὶ συναθροίζονται οἱ ἀλλόφυλοι καὶ ἔρχονται καὶ παρεμβάλλουσιν εἰς Σωμάν, καὶ συναθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραήλ, καὶ παρεμβάλλουσιν εἰς Γελβουέ.

Α Βασ. 28,4 - ΟΙ Φιλισταίοι λοιπόν συνηθροίσθησαν, ήλθον και εστρατοπέδευσαν εις την πόλιν Σωμάν. Ο δε Σαούλ συνεκέντρωσεν όλους τους Ισραηλίτας πολεμιστάς, οι οποίοι και εστρατοπέδευσαν απέναντι στο όρος Γελβουέ.

Α Βασ. 28,5 - καὶ εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων καὶ ἐφοβήθη, καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα.

Α Βασ. 28,5 - Ο Σαούλ είδε το στρατόπεδον των Φιλισταίων και κατελήφθη από φόβον. Εδειλίασεν η καρδία του πάρα πολύ.

Α Βασ. 28,6 - καὶ ἐπηρώτησε Σαοὺλ διὰ Κυρίου, καὶ οὐκ ἀπεκρίθη αὐτῷ Κύριος ἐν τοῖς ἐνυπνίοις καὶ ἐν τοῖς δήλοις καὶ ἐν τοῖς προφήταις.

Α Βασ. 28,6 - Ηθέλησε να μάθη δια την έκβασιν του πολέμου και ηρώτησε τον Κυριον. Ο Κυριος όμως δεν απήντησεν εις αυτόν, ούτε με τα ενύπνια, ούτε με την “δήλωσιν” και την “αλήθειαν”, ούτε με κανέναν από τους προφήτας.

Α Βασ. 28,7 - καὶ εἶπε Σαοὺλ τοῖς παισὶν αὐτοῦ· ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον, καὶ πορεύσομαι πρὸς αὐτὴν καὶ ζητήσω ἐν αὐτῇ· καὶ εἶπαν

οἱ παῖδες αὐτοῦ πρὸς αὐτόν· ἰδοὺ γυνὴ ἐγγαστρίμυθος ἐν Ἀενδώρ.

Α Βασ. 28,7 - Είπε τότε ο Σαούλ στους δούλους του· “αναζητήσατε και φροντίσατε να μου βρήτε γυναίκα μάντισσαν, δια να μεταβώ προς αυτήν και να την συμβουλευθώ”. Είπαν οι δούλοι του προς αυτόν· “ιδού, υπάρχει μία μάντισσα εις Αενδώρ”.

Α Βασ. 28,8 - καὶ συνεκαλύψατο Σαοὺλ καὶ περιεβάλετο ἱμάτια ἕτερα καὶ πορεύεται αὐτὸς καὶ δύο ἄνδρες μετ᾽ αὐτοῦ καὶ ἔρχονται πρὸς τὴν γυναῖκα νυκτὸς καὶ εἶπεν αὐτῇ· μάντευσαι δή μοι ἐν τῷ ἐγγαστριμύθῳ καὶ ἀνάγαγέ μοι ὃν ἐὰν εἴπω σοι.

Α Βασ. 28,8 - Μετημφιέσθη ο Σαούλ, έβγαλε τα βασιλικά ενδύματα και εφόρεσεν άλλα και με δύο άνδρας μαζή του ήλθον προς την γυναίκα την μάντισσαν κατά το διάστημα της νυκτός και ο Σαουλ της είπε· “φανέρωσε σε παρακαλώ, εις ημάς το μέλλον φέρουσα από τον άδην πνεύμα, το οποίον εγώ θα σου είπω και το οποίον θα ομιλήση δια της κοιλίας σου”.

Α Βασ. 28,9 - καὶ εἶπεν αὐτῷ ἡ γυνή· ἰδοὺ δὴ σὺ οἶδας ὅσα ἐποίησε Σαούλ, ὡς ἐξωλόθρευσε τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς· καὶ ἱνατί σὺ παγιδεύεις τὴν ψυχήν μου θανατῶσαι αὐτήν;

Α Βασ. 28,9 - Απήντησε προς αυτόν η μάντισσα· “συ γνωρίζεις πολύ καλά όσα έκαμε εναντίον των μάντεων ο Σαούλ, πως δηλαδή εξωλόθρευσε τους μάντεις και εκείνους οι οποίοι γνωρίζουν να καλούν πνεύματα από την γην. Διατί λοιπόν συ εκθέτεις εις παγίδα κινδύνου την ζωήν μου, ώστε να με θανατώση ο Σαούλ;”

Α Βασ. 28,10 - καὶ ὤμοσεν αὐτῇ Σαοὺλ λέγων· ζῇ Κύριος, εἰ ἀπαντήσεταί σοι ἀδικία ἐν τῷ λόγῳ τούτῳ.

Α Βασ. 28,10 - Ο Σαουλ ωρκίσθη εις την γυναίκα και είπε· “ορκίζομαι στον ζώντα Κυριον ότι κανένα απολύτως κακόν δεν θα επέλθη εις σε από αυτήν την πράξιν σου.

Α Βασ. 28,11 - καὶ εἶπεν ἡ γυνή· τίνα ἀναγάγω σοι; καὶ εἶπε· τὸν Σαμουὴλ ἀνάγαγέ μοι.

Α Βασ. 28,11 - Η γυνή ηρώτησε· “ποιόν θέλεις από τους νεκρούς να καλέσω;” Και ο Σαουλ είπε· “κάλεσέ μου τον Σαμουήλ”.

Α Βασ. 28,12 - καὶ εἶδεν ἡ γυνὴ τὸν Σαμουὴλ καὶ ἀνεβόησε φωνῇ μεγάλῃ· καὶ εἶπεν ἡ γυνὴ πρὸς Σαούλ· ἱνατί παρελογίσω με; καὶ σὺ εἶ Σαούλ.

Α Βασ. 28,12 - Η γυνή είδε τον Σαμουήλ να ανεβαίνη και έκραξε με φωνήν μεγάλην και είπεν η γυναίκα προς τον Σαούλ· “διατί με εξηπάτησες; Συ είσαι ο Σαούλ” !

Α Βασ. 28,13 - καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς· μὴ φοβοῦ, εἰπὸν τίνα ἑώρακας. καὶ εἶπεν αὐτῷ ἡ γυνή· θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς.

Α Βασ. 28,13 - Ο βασιλεύς της απήντησε· “μη φοβήσαι. Πές μου ποιόν είδες”. Είπεν εις αυτόν η γυναίκα· “εγώ είδα θεούς να αναβαίνουν από την

γην”.
Α Βασ. 28,14 - καὶ εἶπεν αὐτῇ· τί ἔγνως; καὶ εἶπεν αὐτῷ· ἄνδρα ὄρθιον ἀναβαίνοντα ἐκ τῆς γῆς, καὶ οὗτος διπλοΐδα ἀναβεβλημένος. καὶ ἔγνω Σαούλ, ὅτι οὗτος Σαμουήλ, καὶ ἔκυψεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προσεκύνησεν αὐτῷ.
Α Βασ. 28,14 - Ο βασιλεύς την ηρώτησε· “τι ακριβώς είδες;” Εκείνη απήντησεν· “είδα ένα όρθιον άνδρα να ανεβαίνη από τον άδην και αυτός ήτο ενδεδυμένος διπλοΐδα”. Αμέσως ο Σαουλ αντελήφθη ότι αυτός ήτο ο Σαμουήλ. Εσκυψε μέχρις εδάφους το πρόσωπόν του και επροσκύνησε τον Σαμουήλ.
Α Βασ. 28,15 - καὶ εἶπε Σαμουήλ· ἱνατί παρηνώχλησάς μοι ἀναβῆναί με; καὶ εἶπε Σαούλ· θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί, καὶ ὁ Θεὸς ἀφέστηκεν ἀπ᾿ ἐμοῦ καὶ οὐκ ἐπακήκοέ μοι ἔτι καὶ ἐν χειρὶ τῶν προφητῶν καὶ ἐν τοῖς ἐνυπνίοις· καὶ νῦν κέκληκά σε γνωρίσαι μοι τί ποιήσω.
Α Βασ. 28,15 - Ο Σαμουήλ είπε προς τον Σαούλ· “διατί με ηνώχλησες και με εκάλεσες να αναβώ εδώ;” Απήντησεν ο Σαούλ· “ευρίσκομαι υπό το κράτος μεγάλης θλίψεως. Οι αλλόφυλοι πολεμούν εναντίον μου, ο Θεός έχει απομακρυνθή από εμέ, δεν με ακούει πλέον, αν και τον παρακαλώ προς τούτο. Δεν μου απαντά ούτε δια των προφητών ούτε με τα ενύπνια. Και τώρα σε έχω καλέσει, δια να μου καταστήσης γνωστόν και να με συμβουλεύσης τι πρέπει να κάμω”.
Α Βασ. 28,16 - καὶ εἶπε Σαμουήλ· ἱνατί ἐπερωτᾷς με; καὶ Κύριος ἀφέστηκεν ἀπὸ σοῦ καὶ γέγονε μετὰ τοῦ πλησίον σου·
Α Βασ. 28,16 - Ο Σαμουήλ του απήντησε· “διατί με ερωτάς; Εγώ δεν ημπορώ πλέον εις τίποτε να σε βοηθήσω, διότι ο Κυριος έχει απομακρυνθή από σε και συμπαρίσταται προστάτης και βοηθός του πλησίον σου, δηλαδή του Δαυίδ.
Α Βασ. 28,17 - καὶ πεποίηκε Κύριός σοι καθὼς ἐλάλησε Κύριος ἐν χειρί μου, καὶ διαῤῥήξει Κύριος τὴν βασιλείαν σου ἐκ χειρός σου καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ Δαυίδ.
Α Βασ. 28,17 - Ο Κυριος έκαμεν εναντίον σου ο,τι είχε προφητεύσει δι' εμού. Θα διαρρήξη ο Κυριος και θα αφαιρέση από σε την βασιλείαν σου και θα την δώση στον πλησίον σου, στον Δαυίδ.
Α Βασ. 28,18 - διότι οὐκ ἤκουσας φωνῆς Κυρίου καὶ οὐκ ἐποίησας θυμὸν ὀργῆς αὐτοῦ ἐν Ἀμαλήκ, διὰ τοῦτο τὸ ῥῆμα ἐποίησε Κύριός σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ.
Α Βασ. 28,18 - Τούτο δέ, διότι δεν υπήκουσες εις την φωνήν του Κυρίου, ώστε να πολεμήσης τους Αμαληκίτας και να εκτελέσης εναντίον αυτών όσα η δικαία οργή του επέβαλλε. Δι' αυτόν τον λόγον θα επιφέρη ο Κυριος κατά την ημέραν αυτήν τιμωρίαν εναντίον σου.

Α Βασ. 28,19 - καὶ παραδώσει Κύριος τὸν Ἰσραὴλ μετὰ σοῦ εἰς χεῖρας ἀλλοφύλων, καὶ αὔριον σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ πεσοῦνται, καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων.

Α Βασ. 28,19 - Ο Κυριος θα παραδώση μαζή με σε και όλους τους Ισραηλίτας εις τα χέρια των αλλοφύλων. Αύριον συ και τα παιδιά σου θα φονευθούν από τους Φιλισταίους και ολόκληρος η παρεμβολή των Ισραηλιτών θα δοθή από τον Κυριον εις τα χέρια των Φιλισταίων”.

Α Βασ. 28,20 - καὶ ἔσπευσε Σαοὺλ καὶ ἔπεσεν ἑστηκὼς ἐπὶ τὴν γῆν καὶ ἐφοβήθη σφόδρα ἀπὸ τῶν λόγων Σαμουήλ· καὶ ἐν αὐτῷ οὐκ ἦν ἰσχὺς ἔτι, οὐ γὰρ ἔφαγεν ἄρτον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα ἐκείνην.

Α Βασ. 28,20 - Ανεστατώθη πολύ ο Σαούλ από τον λόγον εκείνον, έπεσε καθ' όλον το μήκος του σώματός του εις την γην και κατέκειτο εις αυτήν, διότι εφοβήθη πάρα πολύ από τα λόγια του Σαμουήλ. Δεν έμεινε πλέον καμμία δύναμις μέσα του. Δεν έφαγε τίποτε όλην εκείνην την ημέραν και όλην την νύκτα”.

Α Βασ. 28,21 - καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς Σαοὺλ καὶ εἶδεν ὅτι ἔσπευσε σφόδρα, καὶ εἶπε πρὸς αὐτόν· ἰδοὺ δὴ ἤκουσεν ἡ δούλη σου τῆς φωνῆς σου καὶ ἐθέμην τὴν ψυχήν μου ἐν τῇ χειρί μου καὶ ἤκουσα τοὺς λόγους, οὓς ἐλάλησάς μοι·

Α Βασ. 28,21 - Η μάντισσα γυνή επλησίασε προς τον Σαούλ, τον είδε τόσον πολύ θλιμμένον και είπε προς αυτόν· “ιδού λοιπόν ήκουσεν η δούλη σου την παράκλησίν σου και εξέθεσα την ζωήν μου εις κίνδυνον, διότι υπήκουσα εις τα λόγια, τα οποία μου είπες.

Α Βασ. 28,22 - καὶ νῦν ἄκουσον δὴ φωνῆς τῆς δούλης σου, καὶ παραθήσω ἐνώπιόν σου ψωμὸν ἄρτου, καὶ φάγε, καὶ ἔσται σοι ἰσχύς, ὅτι πορεύῃ ἐν ὁδῷ.

Α Βασ. 28,22 - Ακουσε λοιπόν τώρα και την παράκλησιν της δούλης σου· Θα παραθέσω ενώπιόν σου ένα κομμάτι ψωμί να φάγης και έτσι θα επανέλθη εις σε η δύναμις, διότι θα βαδίσης δρόμον πολύν”.

Α Βασ. 28,23 - καὶ οὐκ ἐβουλήθη φαγεῖν· καὶ παρεβιάζοντο αὐτὸν οἱ παῖδες αὐτοῦ καὶ ἡ γυνή, καὶ ἤκουσε τῆς φωνῆς αὐτῶν καὶ ἀνέστη ἀπὸ τῆς γῆς καί ἐκάθισεν ἐπὶ τὸν δίφρον.

Α Βασ. 28,23 - Ο Σαούλ δεν ηθέλησε να φάγη. Επέμεναν όμως στούτο οι συνοδοί του δούλοι και η γυνή η μάντισσα. Ηκουσεν επί τέλους την παράκλησίν των, εσηκώθη από το έδαφος και εκάθησεν εις ένα δίφρον.

Α Βασ. 28,24 - καὶ τῇ γυναικὶ ἦν δάμαλις νομὰς ἐν τῇ οἰκίᾳ, καὶ ἔσπευσε καὶ ἔθυσεν αὐτὴν καὶ ἔλαβεν ἄλευρα καὶ ἐφύρασε καὶ ἔπεψεν ἄζυμα

Α Βασ. 28,24 - Η γυναίκα αυτή είχε μίαν καλοθρεμμένην δάμαλιν στο σπίτι της, έσπευσε και την έσφαξεν επήρεν αλεύρι, το εζύμωσε και έψησε λαγάνες.

Α Βασ. 28,25 - καὶ προσήγαγεν ἐνώπιον Σαοὺλ καὶ ἐνώπιον τῶν παιδῶν αὐτοῦ, καὶ ἔφαγον. καὶ ἀνέστησαν καὶ ἀπῆλθον τὴν νύκτα ἐκείνην.

Α Βασ. 28,25 - Προσέφερεν αυτά στον Σαούλ και στους συνοδεύοντας αυτόν νεαρούς υπηρέτας του, οι οποίοι και έφαγον. Επειτα δε εσηκώθησαν και ανεχώρησαν την ιδίαν εκείνην νύκτα δια το στρατόπεδόν των.

Α ΒΑΣΙΛΕΙΩΝ 29

Α Βασ. 29,1 - Καὶ συναθροίζουσιν ἀλλόφυλοι πάσας τὰς παρεμβολὰς αὐτῶν εἰς Ἀφέκ, καὶ Ἰσραὴλ παρενέβαλεν ἐν Ἀενδὼρ τὴν ἐν Ἰεζραέλ.

Α Βασ. 29,1 - Οι Φιλισταίοι συνεκέντρωσαν όλα τα στρατεύματά των εις Αφέκ, οι δε Ισραηλίται εστρατοπέδευσαν εις Αενδώρ, εις την κοιλάδα της Ιεζραέλ.

Α Βασ. 29,2 - καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων παρεπορεύοντο εἰς ἑκατοντάδας καὶ χιλιάδας, καὶ Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ παρεπορεύοντο ἐπ᾿ ἐσχάτων μετὰ Ἀγχοῦς.

Α Βασ. 29,2 - Οι σατράπαι των Φιλισταίων επροπορεύοντο επί κεφαλής στρατιωτικών τμημάτων εκατόν και χιλίων ανδρών, ο δε Δαυίδ και οι άνδρες του ακολουθούσαν τελευταίοι μαζή με τον Αγχούς.

Α Βασ. 29,3 - καὶ εἶπον οἱ σατράπαι τῶν ἀλλοφύλων· τίνες οἱ διαπορευόμενοι οὗτοι; καὶ εἶπεν Ἀγχοῦς πρὸς τοὺς στρατηγοὺς τῶν ἀλλοφύλων· οὐχ οὗτος Δαυὶδ ὁ δοῦλος Σαοὺλ βασιλέως Ἰσραήλ; γέγονε μεθ᾿ ἡμῶν ἡμέρας τοῦτο δεύτερον ἔτος, καὶ οὐχ εὕρηκα ἐν αὐτῷ οὐθὲν ἀφ᾿ ἧς ἡμέρας ἐνέπεσε πρός με καὶ ἕως τῆς ἡμέρας ταύτης.

Α Βασ. 29,3 - Οι σατράπαι των Φιλισταίων, όταν είδαν τον Δαυίδ, είπαν προς τον Αγχούς· “ποίοι είναι αυτοί, οι οποίοι προχωρούν μαζή μας;” Ο Αγχούς απήντησεν στους στρατηγούς τούτους των Φιλισταίων· “δεν τον γνωρίζετε; Αυτός είναι ο Δαυίδ, ο δούλος του βασιλέως των Ισραηλιτύν, του Σαούλ. Ευρίσκεται μαζή μας δεύτερον τούτο έτος. Τιποτε κατά το διάστημα αυτό άξιον μομφής δεν ευρήκα εις αυτόν από την ημέραν, που έπεσεν εις τα χέρια μου μέχρι της σημερινής ημέρας”.

Α Βασ. 29,4 - καὶ ἐλυπήθησαν ἐπ᾿ αὐτῷ οἱ στρατηγοὶ τῶν ἀλλοφύλων καὶ λέγουσιν αὐτῷ· ἀπόστρεψον τὸν ἄνδρα καὶ ἀποστραφήτω εἰς τὸν τόπον αὐτοῦ, οὗ κατέστησας αὐτὸν ἐκεῖ, καὶ μὴ ἐρχέσθω μεθ᾿ ἡμῶν εἰς τὸν πόλεμον καὶ μὴ γινέσθω ἐπίβουλος τῆς παρεμβολῆς· καὶ ἐν τίνι διαλλαγήσεται οὗτος τῷ κυρίῳ αὐτοῦ; οὐχὶ ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων;

Α Βασ. 29,4 - Οι στρατηγοί των αλλοφύλων επικράνθησαν εναντίον του Αγχούς και του είπαν· “πες στον άνδρα αυτόν να επιστρέψη στον τόπον του,

εκεί όπου συ τον έχεις εγκαταστήσει και να μη έλθη μαζή μας στον πόλεμον, διότι υπάρχει φόβος να γίνη προδότης των στρατευμάτων μας. Και ποιός ημπορεί να γνωρίζη τον τρόπον, με τον οποίον ο Δαυίδ θα ήθελε να συνδιαλλαγή με τον κύριόν του; Πιθανόν να προτείνη εις αυτόν τας κεφαλάς των ανδρών του στρατεύματός μας.

Α Βασ. 29,5 - οὐχ οὗτος Δαυίδ, ᾧ ἐξῆρχον ἐν χοροῖς λέγοντες· ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυὶδ ἐν μυριάσιν αὐτοῦ;

Α Βασ. 29,5 - Αυτός δεν είναι ο Δαυίδ, προς χάριν του οποίου έσυραν τον χορόν αι γυναίκες και έψαλλαν· Εφόνευσεν ο Σαούλ χιλιάδας και ο Δαυίδ εφόνευσε μυριάδας;

Α Βασ. 29,6 - καὶ ἐκάλεσεν Ἀγχοῦς τὸν Δαυὶδ καὶ εἶπεν αὐτῷ· ζῇ Κύριος, ὅτι εὐθὴς σὺ καὶ ἀγαθὸς ἐν ὀφθαλμοῖς μου, καὶ ἡ ἔξοδός σου και ἡ εἴσοδός σου μετ᾿ ἐμοῦ ἐν τῇ παρεμβολῇ, καὶ ὅτι οὐχ εὕρηκα κατὰ σοῦ κακίαν ἀφ᾿ ἧς ἡμέρας ἥκεις πρός με ἕως τῆς σήμερον ἡμέρας· καὶ ἐν ὀφθαλμοῖς τῶν σατραπῶν οὐκ ἀγαθὸς σύ·

Α Βασ. 29,6 - Ο Αγχούς εκάλεσε τον Δαυίδ και του είπεν· “ορκίζομαι στον ζώντα Θεόν, ότι συ υπήρξες έντιμος και ειλικρινής ενώπιόν μου και γενικώς η συμπεριφορά σου στο στράτευμα ήτο τέτοια, ώστε τίποτε το αξιοκατάκριτον δεν έχω να σου κατηγορήσω από την ημέραν, που έχεις έλθει μαζή μου μέχρι σήμερα. Εις τα μάτια όμως των σατραπών δεν είσαι ευάρεστος.

Α Βασ. 29,7 - καὶ νῦν ἀνάστρεφε καὶ πορεύου εἰς εἰρήνην, καὶ οὐ μὴ ποιήσῃς κακίαν ἐν ὀφθαλμοῖς τῶν σατραπῶν τῶν ἀλλοφύλων.

Α Βασ. 29,7 - Τωρα λοιπόν γύρισε πίσω, πήγαινε εις οδόν ειρήνης, δια να μη τυχόν και ιδής την κακίαν των σατραπών να εκσπά εναντίον σου”.

Α Βασ. 29,8 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀγχοῦς· τί πεποίηκά σοι καὶ τί εὗρες ἐν τῷ δούλῳ σου ἀφ᾿ ἧς ἡμέρας ἤμην ἐνώπιόν σου καὶ ἕως τῆς ἡμέρας ταύτης, ὅτι οὐ μὴ ἔλθω πολεμήσας τοὺς ἐχθροὺς τοῦ κυρίου μου τοῦ βασιλέως;

Α Βασ. 29,8 - Είπεν ο Δαυίδ προς τον Αγχούς· “τι κακόν έκαμα εις σε και τι αδίκημα ευρήκες εις εμέ τον δούλον σου, από την ημέραν κατά την οποίαν παρουσιάσθην ενώπιόν σου μέχρι της ημέρας αυτής, ώστε να μη λάβω μέρος στον πόλεμον του κυρίου μου, του βασιλέως, εναντίον των εχθρών του;”

Α Βασ. 29,9 - καὶ ἀπεκρίθη Ἀγχοῦς πρὸς Δαυίδ· οἶδα ὅτι ἀγαθὸς σὺ ἐν ὀφθαλμοῖς μου, ἀλλ᾿ οἱ σατράπαι τῶν ἀλλοφύλων λέγουσιν· οὐχ ἥξει μεθ᾿ ἡμῶν εἰς πόλεμον.

Α Βασ. 29,9 - Ο Αγχούς απήντησε προς τον Δαυίδ· “γνωρίζω πολύ καλά ότι συ εφάνης έντιμος και καλός ενώπιόν μου, αλλά οι σατράπαι των αλλοφύλων λέγουν και επιμένουν· Αυτός δεν θα έλθη μαζή μας στον πόλεμον.

Α Βασ. 29,10 - καὶ νῦν ὄρθρισον τὸ πρωΐ σὺ καὶ οἱ παῖδες τοῦ κυρίου σου οἱ ἥκοντες μετὰ σοῦ, καὶ πορεύεσθε εἰς τὸν τόπον, οὗ κατέστησα ὑμᾶς ἐκεῖ, καὶ λόγον λοιμὸν μὴ θῇς ἐν καρδίᾳ σου, ὅτι ἀγαθὸς σὺ ἐνώπιόν μου· καὶ ὀρθρίσατε ἐν τῇ ὁδῷ, καὶ φωτισάτω ὑμῖν, καὶ πορεύθητε.

Α Βασ. 29,10 - Και τώρα, λοιπόν, σηκωθήτε λίαν πρωι, συ και οι άνδρες που σε ακολουθούν, οι δούλοι αυτοί του πρώην κυρίου σου του Σαούλ, και επανέλθετε στον τόπον, όπου εγώ σας έχω εγκαταστήσει. Καμμίαν δε κακήν σκεψιν μη βάλης στο μυαλό σου, ότι τάχα, εγώ έχω κάτι εναντίον σου, διότι συ απεδείχθης αγαθός και καλός ενώπιόν μου. Σηκωθήτε, λοιπόν, συ και οι άνδρες σου πρωϊ και μόλις φωτίση αναχωρήσατε”.

Α Βασ. 29,11 - καὶ ὤρθρισε Δαυὶδ αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ ἀπελθεῖν καὶ φυλάσσειν τὴν γῆν τῶν ἀλλοφύλων, καὶ οἱ ἀλλόφυλοι ἀνέβησαν πολεμεῖν ἐπὶ Ἰσραήλ.

Α Βασ. 29,11 - Ο Δαυίδ και οι μετ' αυτού άνδρες ηγέρθησαν λίαν πρωϊ, δια να αναχωρήσουν και να επιστρέψουν και φυλάξουν την χώραν των αλλοφύλων. Οι αλλόφυλοι ανέβησαν και ήρχισαν τον πόλεμόν των εναντίον των Ισραηλιτών.

Α ΒΑΣΙΛΕΙΩΝ 30

Α Βασ. 30,1 - Καὶ ἐγενήθη εἰσελθόντος Δαυὶδ καὶ τῶν ἄνδρῶν αὐτοῦ τὴν Σεκελὰκ τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ Ἀμαλὴκ ἐπέθετο ἐπὶ τὸν νότον καὶ ἐπὶ τὴν Σεκελὰκ καὶ ἐπάταξε τὴν Σεκελὰκ καὶ ἐνεπύρισαν αὐτὴν ἐν πυρί·

Α Βασ. 30,1 - Ο Δαυίδ κατά την τρίτην ημέραν από της αναχωρήσεώς του επέστρεψε μαζή με τους άνδρας του εις την Σεκελάκ. Οι Αμαληκίται εν τω μεταξύ είχαν επιτεθή νοτίως της Παλαιστίνης εναντίον της Σεκελάκ, την κατέλαβαν και την παρέδωσαν στο πυρ.

Α Βασ. 30,2 - καὶ τὰς γυναῖκας καὶ πάντα τὰ ἐν αὐτῇ ἀπὸ μικροῦ ἕως μεγάλου οὐκ ἐθανάτωσαν ἄνδρα καὶ γυναῖκα, ἀλλ᾿ ᾐχμαλώτευσαν καὶ ἀπῆλθον εἰς τὴν ὁδὸν αὐτῶν.

Α Βασ. 30,2 - Κανένα όμως από τους κατοίκους δεν εφόνευσαν, αλλά όλους όσοι ευρίσκοντο εις αυτήν, από μικρού έως μεγάλου, άνδρας και γυναίκας, τους επήραν αιχμαλώτους και επανήλθον εις την πατρίδα των.

Α Βασ. 30,3 - καὶ ἦλθε Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ εἰς τὴν πόλιν, καὶ ἰδοὺ ἐμπεπύρισται ἐν πυρί, αἱ δὲ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν ᾐχμαλωτευμένοι.

Α Βασ. 30,3 - Εφθασεν ο Δαυίδ με τους άνδρας του εις την πόλιν Σεκελάκ και ιδού, ήτο ολόκληρος παραδεδομένη εις τας φλόγας, αι δε γυναίκες αυτών και τα παιδιά των και αι θυγατέρες των είχαν αιχμαλωτισθή.

Α Βασ. 30,4 - καὶ ᾖρε Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ τὴν φωνὴν αὐτῶν καί ἔκλαυσαν, ἕως ὅτου οὐκ ἦν ἐν αὐτοῖς ἰσχὺς ἔτι τοῦ κλαίειν.

Α Βασ. 30,4 - Ο Δαυίδ και όλοι οι άνδρες, που ήσαν μαζή του, έβγαλαν μεγάλην κραυγήν και έκλαυσαν τόσον πολύ, ώστε δεν τους είχεν απομείνει πλέον ισχύς να κλαύσουν περισσότερον.

Α Βασ. 30,5 - καὶ ἀμφότεραι αἱ γυναῖκες Δαυὶδ ᾐχμαλωτεύθησαν, Ἀχινόομ ἡ Ἰεζραηλῖτις καὶ Ἀβιγαία ἡ γυνὴ Νάβαλ τοῦ Καρμηλίου.

Α Βασ. 30,5 - Και αι δύο γυναίκες του Δαυίδ είχον επίσης αιχμαλωτισθή, η Αχινόομ η Ισραηλίτις και η Αβιγαία η σύζυγος του Ναβαλ του Καρμηλίου.

Α Βασ. 30,6 - καὶ ἐθλίβη Δαυὶδ σφόδρα, ὅτι εἶπεν ὁ λαὸς λιθοβολῆσαι αὐτόν, ὅτι κατώδυνος ψυχὴ παντὸς τοῦ λαοῦ, ἑκάστου ἐπὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐπὶ τὰς θυγατέρας αὐτοῦ· καὶ ἐκραταιώθη Δαυὶδ ἐν Κυρίῳ Θεῷ αὐτοῦ.

Α Βασ. 30,6 - Ο Δαυίδ ελυπήθη πάρα πολύ δι' αυτά και διότι ο λαός του είχεν αποφασίσει να τον λιθοβολήση. Η ψυχή όλων επονούσε βαθύτατα, διότι τα παιδιά και αι θυγατέρες ενός εκάστου από αυτούς, είχαν αιχμαλωτισθή. Ο Δαυίδ μέσα εις την μεγάλην του αυτήν οδύνην ενισχύθη από τον Κυριον και Θεόν του.

Α Βασ. 30,7 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀβιάθαρ τὸν ἱερέα υἱὸν Ἀχιμέλεχ· προσάγαγε τὸ ἐφούδ.

Α Βασ. 30,7 - Είπε τότε ο Δαυίδ προς τον αρχιερέα Αβιάθαρ, τον υιόν του Αχιμέλεχ· “φέρε εδώ και φόρεσε το εφούδ”.

Α Βασ. 30,8 - καὶ ἐπηρώτησε Δαυὶδ διά τοῦ Κυρίου λέγων· εἰ καταδιώξω ὀπίσω τοῦ γεδδοὺρ τούτου, εἰ καταλήψομαι αὐτούς; καὶ εἶπεν αὐτῷ· καταδίωκε, ὅτι καταλαμβάνων καταλήψῃ αὐτοὺς καὶ ἐξαιρούμενος ἐξελῇ.

Α Βασ. 30,8 - Αφού ο αρχιερεύς εφόρεσε το εφούδ, ο Δαυίδ ηρώτησε τον Κυριον μέσω του εφούδ και είπε· “να επιτεθώ εναντίον αυτών των ληστών; Θα τους καταβάλω;” Ο Κυριος απήντησε προς αυτόν· “καταδίωξέ τους διότι ασφαλώς θα τους καταβάλης και θα απελευθερώσης τους αιχμαλώτους”.

Α Βασ. 30,9 - καὶ ἐπορεύθη Δαυίδ, αὐτὸς καὶ οἱ ἑξακόσιοι ἄνδρες μετ᾿ αὐτοῦ, καὶ ἔρχονται ἕως τοῦ χειμάῤῥου Βοσόρ, καὶ οἱ περισσοὶ ἔστησαν.

Α Βασ. 30,9 - Ο Δαυίδ εβάδισεν αυτός και οι εξακόσιοι άνδρες του και έφθασαν μέχρι του χειμάρρου Βοσόρ. Εκεί οι βραδυπορήσαντες έμειναν πίσω.

Α Βασ. 30,10 - καὶ κατεδίωξεν ἐν τετρακοσίοις ἀνδράσιν, ὑπέστησαν δὲ διακόσιοι ἄνδρες, οἵτινες ἐκάθισαν πέραν τοῦ χειμάῤῥου τοῦ Βοσόρ.

Α Βασ. 30,10 - Ο Δαυίδ με τους υπολοίπους τετρακοσίους άνδρας συνέχισε την πορείαν εις καταδίωξιν των Αμαληκιτών, ενώ οι άλλοι διακόσιοι άνδρες εκάθισαν πέραν από τον χείμαρρον Βοσόρ.

Α Βασ. 30,11 - καὶ εὑρίσκουσιν ἄνδρα Αἰγύπτιον ἐν ἀγρῷ καὶ λαμβάνουσιν αὐτὸν καὶ ἄγουσιν αὐτὸν πρὸς Δαυίδ·

Α Βασ. 30,11 - Καθώς προχωρούσαν οι τετρακόσιοι με τον Δαυίδ, ευρήκαν εις κάποιον αγρόν ένα άνδρα Αιγύπτιον, τον συνέλαβαν και τον ωδήγησαν ενώπιον του Δαυίδ.

Α Βασ. 30,12 - καὶ διδόασιν αὐτῷ ἄρτον, καὶ ἔφαγε, καὶ ἐπότισαν αὐτὸν ὕδωρ· καὶ διδόασιν αὐτῷ κλάσμα παλάθης, καὶ ἔφαγε, καὶ κατέστη τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, ὅτι οὐ βεβρώκει ἄρτον καὶ οὐ πεπώκει ὕδωρ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

Α Βασ. 30,12 - Εδωσαν εις αυτόν τροφήν και έφαγε, έδωσαν νερό και έπιε. Του έδωσαν επίσης μερικά σύκα, τα οποία έφαγε, και τοιουτοτρόπως αυτός συνήλθεν από την λιποθυμίαν του, διότι είχε τρεις ημέρας και τρεις νύκτας να φάγη άρτον και να πίη νερό.

Α Βασ. 30,13 - καὶ εἶπεν αὐτῷ Δαυίδ· τίνος σὺ εἶ καὶ πόθεν εἶ; καὶ εἶπε τὸ παιδάριον τὸ Αἰγύπτιον· ἐγώ εἰμι δοῦλος ἀνδρὸς Ἀμαληκίτου, καὶ κατέλιπέ με ὁ Κύριός μου, ὅτι ἠνωχλήθην ἐγὼ σήμερον τριταῖος.

Α Βασ. 30,13 - Τον ηρώτησεν ο Δαυίδ· "τίνος είσαι συ; Από που κατάγεσαι;" Και ο νεαρός εκείνος Αιγύπτιος είπεν· "εγώ είμαι δούλος ενός Αμαληκίτου και ο κύριός μου με εγκατέλιπε, διότι τρίτην αυτήν ημέραν εγώ ήμην ασθενής.

Α Βασ. 30,14 - καὶ ἡμεῖς ἐπεθέμεθα ἐπὶ τὸν νότον τοῦ Χολθὶ καὶ ἐπὶ τὰ τῆς Ἰουδαίας μέρη καὶ ἐπὶ νότον Χελοὺβ καὶ τὴν Σεκελὰκ ἐνεπυρίσαμεν ἐν πυρί.

Α Βασ. 30,14 - Ημείς είμεθα εκείνοι, οι οποίοι είχομεν επιτεθή προς τας νοτίας περιοχάς της Παλαιστίνης, εναντίον των φυλών Χολθί, εις τα μέρη της Ιουδαίας προς νότον, εις την περιοχήν εκείνην, η οποία ανήκει στον Χαλεβ και ημείς επίσης παρεδώσαμεν στο πυρ την Σεκελάκ".

Α Βασ. 30,15 - καὶ εἶπεν αὐτῷ Δαυίδ· εἰ κατάξεις με ἐπὶ τὸ γεδδοὺρ τοῦτο; καὶ εἶπεν· ὅμοσον δή μοι κατὰ τοῦ Θεοῦ μὴ θανατώσειν με καὶ μὴ παραδοῦναί με εἰς χεῖρας τοῦ κυρίου μου, καὶ κατάξω σε ἐπὶ τὸ γεδδοὺρ τοῦτο.

Α Βασ. 30,15 - Του είπεν ο Δαυίδ· "ημπορείς να με οδηγήσης εις αυτήν την συμμορίαν;" Ο δε Αιγύπτιος απήντησεν· "ορκίσου μου ενώπιον του Θεού ότι δεν θα με φονεύσης η δεν θα με παραδώσης εις τα χέρια του κυρίου μου, και εγώ αναλαμβάνω να σε οδηγήσω εναντίον αυτής της συμμορίας".

Α Βασ. 30,16 - καὶ κατήγαγεν αὐτὸν ἐκεῖ, καὶ ἰδοὺ οὗτοι διακεχυμένοι ἐπὶ πρόσωπον πάσης τῆς γῆς ἐσθίοντες καὶ πίνοντες καὶ ἑορτάζοντες ἐν πᾶσι τοῖς σκύλοις τοῖς μεγάλοις, οἷς ἔλαβον ἐκ γῆς ἀλλοφύλων καὶ ἐκ γῆς Ἰούδα.

Α Βασ. 30,16 - Πράγματι ο νεαρός εκείνος Αιγύπτιος δούλος, ωδήγησε τον Δαυίδ στο μέρος, όπου ευρίσκετο η συμμορία των Αμαληκιτών. Και ιδού, οι Αμαληκίται είχαν διασκορπισθή εις την περιοχήν εκείνην τρώγοντες και πίνοντες και πανηγυρίζοντες δια τα πολλά και μεγάλα λάφυρα, τα οποία είχαν πάρει από την γην των αλλοφύλων και από την γην του Ιούδα.

Α Βασ. 30,17 - καὶ ἦλθεν ἐπ᾽ αὐτοὺς Δαυὶδ καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ ἑωσφόρου ἕως δείλης καὶ τῇ ἐπαύριον, καὶ οὐκ ἐσώθη ἐξ αὐτῶν ἀνὴρ ὅτι ἀλλ᾽ ἢ τετρακόσια παιδάρια, ἃ ἦν ἐπιβεβηκότα ἐπὶ τὰς καμήλους καὶ ἔφυγον.

Α Βασ. 30,17 - Ο Δαυίδ επετέθη αιφνιδίως εναντίον των και τους εκτύπα από το πρωϊ έως το βράδυ και έως την άλλην ημέραν. Κανείς από αυτούς δεν εσώθη ει μη μόνον τετρακόσιοι νέοι, οι οποίοι είχον καβαλικεύσει καμήλας και έφυγαν ολοταχώς.

Α Βασ. 30,18 - καὶ ἀφείλατο Δαυὶδ πάντα, ἃ ἔλαβον οἱ Ἀμαληκῖται, καὶ ἀμφοτέρας τὰς γυναῖκας αὐτοῦ ἐξείλατο.

Α Βασ. 30,18 - Ο Δαυίδ ξαναπήρε πάλιν και διέσωσεν όλα όσα είχαν λαφυραγωγήσει οι Αμαληκίται, διέσωσε δε και τας δύο γυναίκας του.

Α Βασ. 30,19 - καὶ οὐ διεφώνησεν αὐτοῖς ἀπὸ μικροῦ ἕως μεγάλου καὶ ἀπὸ τῶν σκύλων καὶ ἕως υἱῶν καὶ θυγατέρων καὶ ἕως πάντων, ὧν ἔλαβον αὐτῶν· τὰ πάντα ἐπέστρεψε Δαυίδ.

Α Βασ. 30,19 - Τιποτε από όσα είχαν οι Ισραηλίται δεν εχάθηκε ούτε μικρόν ούτε μεγάλον από τα λάφυρα ούτε φυσικά οι αιχμαλωτισθέντες υιοί και αι θυγατέρες των. Γενικώς όλα όσα είχαν λαφυραγωγήσει οι Αμαληκίται, ο Δαυίδ τα επήρε πίσω και επέστρεφεν εις την Σεκελάκ.

Α Βασ. 30,20 - καὶ ἔλαβε πάντα τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ ἀπήγαγεν ἔμπροσθεν τῶν σκύλων, καὶ τοῖς σκύλοις ἐκείνοις ἐλέγετο· ταῦτα τὰ σκῦλα Δαυίδ.

Α Βασ. 30,20 - Επήρεν ο Δαυίδ τα πρόβατα και τα βόδια· ωδηγούσαν δε αυτά εμπρός από τα άλλα λάφυρα και διαλαλούσαν· "αυτά είναι τα λάφυρα του Δαυίδ".

Α Βασ. 30,21 - καὶ παραγίνεται Δαυὶδ πρὸς τοὺς διακοσίους ἄνδρας τοὺς ὑπολειφθέντας τοῦ πορεύεσθαι ὀπίσω Δαυὶδ καί ἐκάθισεν αὐτοὺς ἐν τῷ χειμάῤῥῳ τοῦ Βοσόρ, καὶ ἐξῆλθον εἰς ἀπάντησιν Δαυὶδ καὶ εἰς ἀπάντησιν τοῦ λαοῦ τοῦ μετ᾽ αὐτοῦ, καὶ προσήγαγε Δαυὶδ ἕως τοῦ λαοῦ, καὶ ἠρώτησαν αὐτὸν τὰ εἰς εἰρήνην.

Α Βασ. 30,21 - Ο Δαυίδ μαζή με τους τετρακοσίους άνδρας του, ήλθεν στους διακοσίους άλλους άνδρας, οι οποίοι βραδυπορούντες είχον υπολειφθή πίσω από τον Δαυίδ και είχαν παραμείνει στον χείμαρρον Βοσόρ. Αυτοί εξήλθον εις προυπάντησιν του Δαυίδ και εις προυπάντησιν των άλλων

στρατιωτών που ήσαν μαζή με αυτόν. Οταν επλησίασεν ο Δαυίδ έως αυτούς, εκείνοι τον εχαιρέτησαν ειρηνικώς και τον ηρώτησαν δια τα συμβάντα.

Α Βασ. 30,22 - καὶ ἀπεκρίθη πᾶς ἀνὴρ λοιμὸς καὶ πονηρὸς τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν πορευθέντων μετὰ Δαυὶδ καὶ εἶπον, ὅτι οὐ κατεδίωξαν μεθ᾿ ἡμῶν, οὐ δώσομεν αὐτοῖς ἐκ τῶν σκύλων, ὧν ἐξειλόμεθα, ὅτι ἀλλ᾿ ἢ ἕκαστος τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ ἀπαγέσθωσαν καὶ ἀποστρεφέτωσαν.

Α Βασ. 30,22 - Από τον στρατόν του Δαυίδ μερικοί φαύλοι και πονηροί άνδρες, από εκείνους τους πολεμιστάς που είχαν πορευθή μαζή με τον Δαυίδ, είπαν· "αυτοί οι βραδυπορήσαντες δεν μας ηκολούθησαν εις την εκστρατείαν· λοιπόν δεν θα δώσωμεν εις αυτούς τίποτε από τα λάφυρα, τα οποία επήραμεν. Ειμή μόνον ο καθένας των θα πάρη την γυναίκα του και τα παιδιά του και ας γυρίσουν πίσω".

Α Βασ. 30,23 - καὶ εἶπε Δαυίδ· οὐ ποιήσετε οὕτως μετὰ τὸ παραδοῦναι τὸν Κύριον ἡμῖν καὶ φυλάξαι ἡμᾶς καὶ παρέδωκε Κύριος τὸν γεδδοὺρ τὸν ἐπερχόμενον ἐφ᾿ ἡμᾶς εἰς χεῖρας ἡμῶν.

Α Βασ. 30,23 - Ο Δαυίδ απήντησε· "δεν θα κάμετε έτσι, διότι ο Κυριος παρέδωσε τους εχθρούς μας εις τα χέρια μας. Ο Κυριος μας διεφύλαξεν από την επιδρομήν των ληστών τους οποίους και παρέδωκεν εις τα χέρια μας.

Α Βασ. 30,24 - καὶ τίς ἐπακούσεται ὑμῶν τῶν λόγων τούτων; ὅτι οὐχ ἧττον ἡμῶν εἰσι· διότι κατὰ τὴν μερίδα τοῦ καταβαίνοντος εἰς τὸν πόλεμον, οὕτως ἔσται ἡ μερὶς τοῦ καθημένου ἐπὶ τὰ σκεύη· κατὰ τὸ αὐτὸ μεριοῦνται.

Α Βασ. 30,24 - Ποιός δέ ποτέ θα ακούση αυτά τα λόγια σας και θα τα εγκρίνη; Αυτοί που, βραδυπορούντες έμειναν πίσω, δεν είναι καθόλου κατώτεροι από ημάς. Δι' αυτό όποια μερίδα θα πάρη εκείνος, που έλαβε μέρος στον πόλεμον, την ίδια μερίδα από τα λάφυρα θα πάρη και εκείνος ο οποίος εκάθισε και εφύλασσε τας αποσκευάς των πολεμούντων. Η αυτή μερίς θα δοθή εις όλους".

Α Βασ. 30,25 - καὶ ἐγενήθη ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπάνω, καὶ ἐγένετο εἰς πρόσταγμα καὶ εἰς δικαίωμα τῷ Ἰσραὴλ ἕως τῆς σήμερον.

Α Βασ. 30,25 - Από την ημέραν εκείνην και έπειτα έγινε αυτό εντολή και νόμος στον ισραηλιτικόν λαόν μέχρι της ημέρας αυτής.

Α Βασ. 30,26 - Καὶ ἦλθε Δαυὶδ εἰς Σεκελὰκ καὶ ἀπέστειλε τοῖς πρεσβυτέροις τῶν σκύλων Ἰούδα καὶ τοῖς πλησίον αὐτοῦ λέγων· ἰδοὺ ἀπὸ τῶν σκύλων τῶν ἐχθρῶν Κυρίου·

Α Βασ. 30,26 - Ο Δαυίδ ήλθεν εις την Σεκελάκ και έστειλεν από τα λάφυρα στους πρεσβυτέρους της φυλής Ιούδα και στους συνδεομένους με αυτόν δια φιλίας λέγων· "ιδού, ένα δώρον από τα λάφυρα των εχθρών του Θεού".

Α Βασ. 30,27 - τοῖς ἐν Βαιθσοὺρ καὶ τοῖς ἐν Ῥαμὰ νότου καὶ τοῖς ἐν Ἰεθθὸρ

Α Βασ. 30,27 - Τα δώρα αυτά εδόθησαν εις αυτούς, που κατοικούσαν την Βαιθσούρ, εις αυτούς που κατοικούσαν την Ραμά, προς νότον της Παλαιστίνης, και εις εκείνους που κατοικούσαν εις την Ιεθθόρ.

Α Βασ. 30,28 - καὶ τοῖς ἐν Ἀροὴρ καὶ τοῖς ἐν Ἀμμαδὶ καὶ τοῖς ἐν Σαφὶ καὶ τοῖς ἐν Ἐσθιὲ

Α Βασ. 30,28 - Ακόμη δε και εις εκείνους οι οποίοι ήσαν εις την Αροήρ, εις την Αμμαδί, εις την Σαφί και εις την Εσθιέ.

Α Βασ. 30,29 - καὶ τοῖς ἐν Γὲθ καὶ τοῖς ἐν Κινὰν καὶ τοῖς ἐν Σαφὲκ καὶ τοῖς ἐν Θιμὰθ καὶ τοῖς ἐν Καρμήλῳ καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ Ἱεραμηλὶ καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ Κενεζὶ

Α Βασ. 30,29 - Και εις εκείνους οι οποίοι κατοικούσαν την Γέθ, την Κινάν, την Σαφέκ, εις αυτούς που κατοικούσαν εις Θιμάθ, στο Καρμηλον, εις την πόλιν Ιεραμηλί και στους κατοίκους των πόλεων Κενεζί.

Α Βασ. 30,30 - καὶ τοῖς ἐν Ἱεριμοὺθ καὶ τοῖς ἐν Βηρσαβεὲ καὶ τοῖς ἐν Νομβὲ

Α Βασ. 30,30 - Επίσης έδωκεν εις όσους κατοικούσαν εις Ιεριμούθ, εις Βηρσαβεέ και εις Νομβέ.

Α Βασ. 30,31 - καὶ τοῖς ἐν Χεβρὼν καὶ εἰς πάντας τοὺς τόπους, οὓς διῆλθε Δαυὶδ ἐκεῖ, αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ.

Α Βασ. 30,31 - Εδωσεν στους κατοίκους της Χεβρών και γενικώς έστειλε δώρα εις όλους τους τόπους από τους οποίους επέρασαν αυτός και οι άνδρες του.

Α ΒΑΣΙΛΕΙΩΝ 31

Α Βασ. 31,1 - Καὶ οἱ ἀλλόφυλοι ἐπολέμουν ἐπὶ Ἰσραήλ, καὶ ἔφυγον οἱ ἄνδρες Ἰσραὴλ ἐκ προσώπου τῶν ἀλλοφύλων, καὶ πίπτουσι τραυματίαι ἐν τῷ ὄρει τῷ Γελβουέ.

Α Βασ. 31,1 - Οι αλλόφυλοι επολέμησαν εναντίον των Ισραηλιτών, οι Ισραηλίται ενικήθησαν και ετράπησαν εις φυγήν. Επεσαν δε πολλοί Ισραηλίται νεκροί, στο όρος Γελβουέ.

Α Βασ. 31,2 - καὶ συνάπτουσιν οἱ ἀλλόφυλοι τῷ Σαοὺλ καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ τύπτουσιν ἀλλόφυλοι τὸν Ἰωνάθαν καὶ τὸν Ἀμιναδὰβ καὶ τὸν Μελχισᾶ υἱοὺς Σαούλ.

Α Βασ. 31,2 - Οι Φιλισταίοι κατεδίωξαν τον Σαούλ και τους υιούς του και εφόνευσαν οι αλλόψυλοι τον Ιωνάθαν, τον Αμιναδάβ και τον Μελχισά, υιούς του Σαούλ.

Α Βασ. 31,3 - καὶ βαρύνεται ὁ πόλεμος ἐπὶ Σαούλ, καὶ εὑρίσκουσιν αὐτὸν οἱ ἀκοντισταί, ἄνδρες τοξόται, καὶ ἐτραυματίσθη εἰς τά ὑποχόνδρια.

Α Βασ. 31,3 - Ο πόλεμος διεξήγετο με ιδιαιτέραν σκληρότητα εις την περιοχήν, όπου ευρίσκετο ο Σαούλ. Ευρήκαν αυτόν οι Φιλισταίοι ακοντισταί, οι οποίοι και τον ετραυμάτισαν επάνω από τον ομφαλόν.

Α Βασ. 31,4 - καὶ εἶπε Σαοὺλ πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ· σπάσαι τὴν ῥομφαίαν σου καὶ ἀποκέντησόν με ἐν αὐτῇ, μὴ ἔλθωσιν οἱ ἀπερίτμητοι οὗτοι καὶ ἀποκεντήσωσί με καὶ ἐμπαίξωσί μοι. καὶ οὐκ ἐβούλετο ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι ἐφοβήθη σφόδρα· καὶ ἔλαβε Σαοὺλ τὴν ῥομφαίαν καὶ ἐπέπεσεν ἐπ᾿ αὐτήν.

Α Βασ. 31,4 - Ο Σαούλ είπε προς τον υπηρέτην, που εβάσταζε τα όπλα· “βγάλε την ρομφαίαν σου και φόνευσέ με με αυτήν, δια να μη έλθουν οι απερίτμητοι Φιλισταίοι και με διατρυπήσουν με τας λόγχας των και με εξευτελίσουν. Αλλά ο υπηρέτης, που εβάσταζε τα όπλα του Σαούλ, δεν ηθέλησε να τον φονεύση, διότι εφοβήθη πάρα πολύ. Επήρεν ο Σαούλ την ρομφαίαν του και έπεσεν επάνω εις αυτήν.

Α Βασ. 31,5 - καὶ εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὅτι τέθνηκε Σαούλ, καὶ ἐπέπεσε καὶ αὐτὸς ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ καὶ ἀπέθανε μετ᾿ αὐτοῦ.

Α Βασ. 31,5 - Ο υπηρέτης που εβάσταζε τα όπλα του Σαούλ, όταν είδεν ότι εκείνος απέθανεν, έπεσε και αυτός επάνω εις την ρομφαίαν του και απέθανε μαζή με τον Σαούλ.

Α Βασ. 31,6 - καὶ ἀπέθανε Σαοὺλ καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κατὰ τὸ αὐτό.

Α Βασ. 31,6 - Ετσι, κατά την ημέραν εκείνην, απέθανον μαζή ο Σαουλ, τα τρία του παιδιά και αυτός που εβάσταζε τα όπλα του.

Α Βασ. 31,7 - καὶ εἶδον οἱ ἄνδρες Ἰσραὴλ οἱ ἐν τῷ πέραν τῆς κοιλάδος καὶ οἱ ἐν τῷ πέραν τοῦ Ἰορδάνου ὅτι ἔφυγον οἱ ἄνδρες Ἰσραὴλ καὶ ὅτι τέθνηκε Σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ καταλείπουσι τὰς πόλεις αὐτῶν καὶ φεύγουσι· καὶ ἔρχονται οἱ ἀλλόφυλοι καὶ κατοικοῦσιν ἐν αὐταῖς.

Α Βασ. 31,7 - Οι Ισραηλίται, οι οποίοι ευρίσκοντο πέραν από την κοιλάδα και όσοι ήσαν πέραν από τον Ιορδάνην, όταν είδαν ότι οι άλλοι Ισραηλίται ετράπησαν εις φυγήν, ότι ο Σαούλ και οι υιοί του εφονεύθησαν, αφήκαν και αυτοί τας πόλεις των και έφυγαν. Ηλθον οι Φιλισταίοι και εγκατεστάθησαν εις τας πόλεις αυτάς.

Α Βασ. 31,8 - καὶ ἐγενήθη τῇ ἐπαύριον ἔρχονται οἱ ἀλλόφυλοι ἐκδιδύσκειν τοὺς νεκροὺς καὶ εὑρίσκουσι τὸν Σαοὺλ καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ πεπτωκότας ἐπὶ τὰ ὄρη Γελβουέ.

Α Βασ. 31,8 - Την επομένην ημέραν οι αλλόφυλοι ήλθαν να λεηλατήσουν τους νεκρούς. Ευρήκαν τον Σαούλ και τα τρία του παιδιά να κατάκεινται νεκροί στο όρος Γελδουέ.

Α Βασ. 31,9 - καί ἀποστρέφουσιν αὐτὸν καὶ ἐξέδυσαν τὰ σκεύη αὐτοῦ καὶ ἀποστέλλουσιν αὐτὰ εἰς γῆν ἀλλοφύλων κύκλῳ εὐαγγελίζοντες τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ.

Α Βασ. 31,9 - Αναποδογύρισαν τον Σαούλ, τον εξέδυσαν, επήραν τα όπλα του ως τρόπαια της νίκης των και τα περιέφεραν εις τας χώρας των Φιλισταίων, εντός των ναών όπου υπήρχον τα είδωλα, εις όλον τον λαόν, διαλαλούντες την νίκην των.

Α Βασ. 31,10 - καὶ ἀνέθηκαν τὰ σκεύη αὐτοῦ εἰς τὸ Ἀσταρτεῖον καὶ τὸ σῶμα αὐτοῦ κατέπηξαν ἐν τῷ τείχει Βαιθσάν.

Α Βασ. 31,10 - Τα όπλα του Σαουλ τα αφιέρωσαν στον ναόν της Αστάρτης, το δε σώμα του το εκάρφωσαν στο τείχος της Βαιθσάν.

Α Βασ. 31,11 - καὶ ἀκούουσιν οἱ κατοικοῦντες Ἰαβὶς τῆς Γαλααδίτιδος ἃ ἐποίησαν οἱ ἀλλόφυλοι τῷ Σαούλ·

Α Βασ. 31,11 - Οι κάτοικοι της Ιαβίς η οποία ανήκει εις την περιοχήν Γαλαάδ, επληροφορήθησαν τι εκαμαν οι Φιλισταίοι στον Σαούλ.

Α Βασ. 31,12 - καὶ ἀνέστησαν πᾶς ἀνὴρ δυνάμεως καὶ ἐπορεύθησαν ὅλην τὴν νύκτα καὶ ἔλαβον τὸ σῶμα Σαοὺλ καὶ τὸ σῶμα Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἀπὸ τοῦ τείχους Βαιθσὰν καὶ φέρουσιν αὐτοὺς εἰς Ἰαβὶς καὶ κατακαίουσιν αὐτοὺς ἐκεῖ.

Α Βασ. 31,12 - Μερικοί δε γενναίοι άνδρες ηγέρθησαν, εβάδισαν όλην την νύκτα και επήραν το σώμα του Σαούλ και το σώμα του παιδιού του, του Ιωνάθαν, από το τείχος Βαιθσάν, τα έφεραν εις την Ιαβίς και τα έκαυσαν εκεί.

Α Βασ. 31,13 - καὶ λαμβάνουσι τὰ ὀστᾶ αὐτῶν καὶ θάπτουσιν ὑπὸ τὴν ἄρουραν τὴν ἐν Ἰαβὶς καὶ νηστεύουσιν ἑπτὰ ἡμέρας.

Α Βασ. 31,13 - Επήραν τα απολειφθέντα από το πυρ οστά και τα έθαψαν κάτω από καλλιεργημένην γην εις την Ιαβίς. Εις ένδειξιν δε πένθους ενήστευσαν επί επτά ημέρας.

ΒΑΣΙΛΕΙΩΝ Β' (Σαμουήλ Β')

Β ΒΑΣΙΛΕΙΩΝ 1

Β Βασ. 1,1 - Καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν Σαοὺλ καὶ Δαυὶδ ἀνέστρεψε τύπτων τὸν Ἀμαλήκ, καὶ ἐκάθισε Δαυὶδ ἐν Σεκελὰκ ἡμέρας δύο.

Β Βασ. 1,1 - Μετά τον θάνατον του Σαούλ ο Δαυίδ επέστρεψεν από την επιτυχή εκστρατείαν κατά των Αμαληκιτών και εκάθισεν επί δύο ημέρας εις την πόλιν Σεκελάκ.

Β Βασ. 1,2 - καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἰδοὺ ἀνὴρ ἦλθεν ἐκ τῆς παρεμβολῆς ἐκ τοῦ λαοῦ Σαούλ, καὶ τὰ ἱμάτια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν αὐτὸν πρὸς Δαυὶδ καὶ ἔπεσεν ἐπὶ τὴν γῆν καὶ προσεκύνησεν αὐτῷ.

Β Βασ. 1,2 - Κατά την τριτην ημέραν κατέφθασεν αίφνης από το στρατόπεδον του Σαούλ ενας άνθρωπος με εσχισμένα τα ενδύματά του και με χώμα επάνω στο κεφάλι του. Οταν αυτός ήλθε προς τον Δαυίδ, έπεσε πρηνής και τον προσεκύνησε.

Β Βασ. 1,3 - καὶ εἶπεν αὐτῷ Δαυίδ· πόθεν σὺ παραγίνῃ; καὶ εἶπε πρὸς αὐτόν· ἐκ τῆς παρεμβολῆς Ἰσραὴλ ἐγὼ διασέσωσμαι.

Β Βασ. 1,3 - Τον ηρώτησε τότε ο Δαυίδ· “από που συ έρχεσαι;” Και εκείνος είπεν· “από το στρατόπεδον των Ισραηλιτών εγώ έχω διασωθή”.

Β Βασ. 1,4 - καὶ εἶπεν αὐτῷ Δαυίδ· τίς ὁ λόγος οὗτος; ἀπάγγειλόν μοι. καὶ εἶπεν ὅτι ἔφυγεν ὁ λαὸς ἐκ τοῦ πολέμου καὶ πεπτώκασι πολλοὶ ἐκ τοῦ λαοῦ καὶ ἀπέθανον· καὶ Σαοὺλ καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ ἀπέθανε.

Β Βασ. 1,4 - Του είπεν ο Δαυίδ· “πως έχουν τα πράγματα εκεί; Πληροφόρησέ με”. Εκείνος απήντησεν, ότι ο στρατός ηττήθη κατά τον πόλεμον και ετράπη εις φυγήν, ότι έχουν φονευθή πολλοί από τον λαόν και απέθανον. Ο δε Σαούλ και ο Ιωνάθαν, ο υιός του, επίσης εφονεύθησαν.

Β Βασ. 1,5 - καὶ εἶπε Δαυὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ· πῶς οἶδας ὅτι τέθνηκε Σαοὺλ καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ;

Β Βασ. 1,5 - Ο Δαυίδ ηρώτησε τον νεαρόν αυτόν αγγελιαφόρον· “πως συ γνωρίζεις ότι εφονεύθη ο Σαουλ και ο υιός του ο Ιωνάθαν;”

Β Βασ. 1,6 - καὶ εἶπε τὸ παιδάριον τὸ ἀπαγγέλλον αὐτῷ· περιπτώματι περιέπεσον ἐν τῷ ὄρει τῷ Γελβουέ, καὶ ἰδοὺ Σαοὺλ ἐπεστήρικτο ἐπὶ τὸ δόρυ αὐτοῦ, καὶ ἰδοὺ τὰ ἅρματα καὶ οἱ ἱππάρχαι συνῆψαν αὐτῷ.

Β Βασ. 1,6 - Ο αγγελιαφόρος του είπε· “συνέβη να περιπλανώμαι στο όρος Γελδουέ και ιδού, ότι ο Σαούλ είχε πέσει πληγωμένος επάνω στο δόρυ του. Τα δε άρματα και το ιππικόν των Φιλισταίων είχον πλησιάσει προς αυτόν.

Β Βασ. 1,7 - καὶ ἐπέβλεψεν ἐπὶ τὰ ὀπίσω αὐτοῦ καὶ εἶδέ με καὶ ἐκάλεσέ με, καὶ εἶπα· ἰδοὺ ἐγώ.

Β Βασ. 1,7 - Εγύρισεν ο Σαουλ την κεφαλήν του προς τα οπίσω, με είδε, με εκάλεσε και εγώ είπα· Ιδού εγώ· είμαι εις τας διαταγάς σου.

Β Βασ. 1,8 - καὶ εἶπέ μοι· τίς εἶ σύ; καὶ εἶπα· Ἀμαληκίτης ἐγώ εἰμι.

Β Βασ. 1,8 - Εκείνος μου είπε· Ποιός είσαι συ; Του είπα ότι εγώ είμαι Αμαληκίτης.

Β Βασ. 1,9 - καὶ εἶπε πρός με· στῆθι δὴ ἐπάνω μου καὶ θανάτωσόν με, ὅτι κατέσχε με σκότος δεινόν, ὅτι πᾶσα ἡ ψυχή μου ἐν ἐμοί.

Β Βασ. 1,9 - Εκείνος τότε μου είπε· Ελα, σε παρακαλώ εδώ κοντά μου και θανάτωσέ με, διότι με κατέλαβε μεγάλη σκοτοδίνη θανάτου. Εν τούτοις η ζωη μου υπάρχει άκομη εντός μου.

Β Βασ. 1,10 - καὶ ἐπέστην ἐπ᾿ αὐτὸν καὶ ἐθανάτωσα αὐτόν, ὅτι ᾔδειν ὅτι οὐ ζήσεται μετὰ τὸ πεσεῖν αὐτόν· καὶ ἔλαβον τὸ βασίλειον τὸ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ τὸν χλιδῶνα τὸν ἐπὶ τοῦ βραχίονος αὐτοῦ καὶ ἐνήνοχα αὐτὰ τῷ κυρίῳ μου ὧδε.

Β Βασ. 1,10 - Τον επλησίασα και τον εθανάτωσα, διότι εγνώριζα ότι δεν επρόκειτο πλέον να ζήση ύστερα από την πληγήν, που είχε λάβει. Επήρα κατόπιν το βασιλικόν διάδημα, που είχε εις την κεφαλήν του, και το βραχιόλι αυτό το οποίον έφερεν εις τον βραχίονά του, και αυτά τα έχω φέρει εδώ εις σε τον κύριόν μου”.

Β Βασ. 1,11 - καὶ ἐκράτησε Δαυὶδ τῶν ἱματίων αὐτοῦ καὶ διέῤῥηξεν αὐτά, καὶ πάντες οἱ ἄνδρες οἱ μετ᾿ αὐτοῦ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν.

Β Βασ. 1,11 - Ο Δαυίδ επόνεσεν από την αγγελίαν αυτήν, έπιασε τα ενδύματά του και τα διέρρηξε και όλοι οι άλλοι άνδρες, όσοι ήσαν μαζή με αυτόν, έσχισαν τα ενδύματά των.

Β Βασ. 1,12 - καὶ ἐκόψαντο καὶ ἔκλαυσαν καὶ ἐνήστευσαν ἕως δείλης ἐπὶ Σαοὺλ καὶ ἐπὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ καὶ ἐπὶ τὸν λαὸν Ἰούδα καὶ ἐπὶ τὸν οἶκον Ἰσραήλ, ὅτι ἐπλήγησαν ἐν ῥομφαίᾳ.

Β Βασ. 1,12 - Εκτυπούσαν τα στήθη των, έκλαυσαν και ενήστευσαν έως το απόγευμα δια τον θάνατον του Σαούλ, δια τον θάνατον του υιού του Ιωνάθαν, δια τον ισραηλιτικόν στρατόν, δι' όλον τον λαόν του Ισραήλ, δι' όλους εκείνους οι οποίοι έπεσαν εν στόματι ρομφαίας.

Β Βασ. 1,13 - καὶ εἶπε Δαυὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ· πόθεν εἶ σύ; καὶ εἶπεν· υἱὸς ἀνδρὸς παροίκου Ἀμαληκίτου ἐγώ εἰμι.

Β Βασ. 1,13 - Ο Δαυίδ ηρώτησε τον νεαρόν αυτόν αγγελιαφόρον· “από που είσαι συ;” Εκείνος είπεν· “εγώ είμαι υιός ενός Αμαληκίτου, ο οποίος παροικεί εις την γην των Ιουδαίων”.

Β Βασ. 1,14 - καὶ εἶπεν αὐτῷ Δαυίδ· πῶς οὐκ ἐφοβήθης ἐπενεγκεῖν χεῖρά σου διαφθεῖραι τὸν χριστὸν Κυρίου;

Β Βασ. 1,14 - Ο Δαυίδ είπε προς αυτόν· “πως, λοιπόν, δεν εφοβήθης να καταφέρης φονικήν την χείρά σου εναντίον του Σαούλ και να φονεύσης τον βασιλέα, τον οποίον ο Κυριος είχε χρίσει;”

Β Βασ. 1,15 - καὶ ἐκάλεσε Δαυὶδ ἓν τῶν παιδαρίων αὐτοῦ καὶ εἶπε· προσελθὼν ἀπάντησον αὐτῷ· καὶ ἐπάταξεν αὐτόν, καὶ ἀπέθανε.

Β Βασ. 1,15 - Προσεκάλεσε τότε ο Δαυίδ ένα από τους νεαρούς άνδρας του και είπε προς αυτόν· “πάρε τον και θανάτωσέ τον”. Εκείνος τον εκτύπησε και τον εφόνευσεν.

Β Βασ. 1,16 - καὶ εἶπε πρὸς αὐτὸν Δαυίδ· τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου, ὅτι τὸ στόμα σου ἀπεκρίθη κατὰ σοῦ λέγων ὅτι, ἐγὼ ἐθανάτωσα τὸν χριστὸν Κυρίου.

Β Βασ. 1,16 - Είπε δε ο Δαυίδ προς τον εκτελεσθέντα εκείνον Αμαληκίτην· “το αίμα σου, που εχύθη, θα πέση στο κεφάλι σου, διότι συ είσαι ένοχος. Με το ίδιο σου το στόμα κατέθεσες εναντίον σου, ότι συ εθανάτωσες τον βασιλέα τον χριστόν του Κυρίου”.

Β Βασ. 1,17 - Καὶ ἐθρήνησε Δαυὶδ τὸν θρῆνον τοῦτον ἐπὶ Σαοὺλ καὶ ἐπὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ.

Β Βασ. 1,17 - Συνέθεσε ο Δαυίδ θλιβερό μοιρολόγι, θρήνον, δια τον Σαούλ και τον υιόν αυτού Ιωνάθαν.

Β Βασ. 1,18 - καὶ εἶπε τοῦ διδάξαι τοὺς υἱοὺς Ἰούδα· ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τοῦ εὐθοῦς.

Β Βασ. 1,18 - Διέταξε δε να διδαχθούν αυτό το θρηνώδες άσμα και να το μάθουν οι της φυλής Ιούδα. Αυτό δε έχει καταγραφή στο ποιητικόν βιβλίον, το ονομαζόμενον “Βιβλίον του Δικαίου”.

Β Βασ. 1,19 - Στήλωσον, Ἰσραήλ, ὑπὲρ τῶν τεθνηκότων ἐπὶ τὰ ὕψη σου τραυματιῶν· πῶς ἔπεσαν δυνατοί;

Β Βασ. 1,19 - “Ανεγείρατε στήλας, Ισραηλίται, δι' αυτούς, οι οποίοι απέθαναν επάνω στο υψηλόν όρος Γελβουέ. Πως έπεσαν οι δυνατοί αυτοί ήρωες, ο Σαούλ και ο Ιωνάθαν;

Β Βασ. 1,20 - μὴ ἀναγγείλητε ἐν Γὲθ καὶ μὴ εὐαγγελίσησθε ἐν ταῖς ἐξόδοις Ἀσκάλωνος, μή ποτε εὐφρανθῶσι θυγατέρες ἀλλοφύλων, μή ποτε ἀγαλλιάσωνται θυγατέρες τῶν ἀπεριτμήτων.

Β Βασ. 1,20 - Φροντίσατε, να μη γίνη αυτό γνωστόν εις την πόλιν Γέθ. Να μη το μάθουν οι δρόμοι της Ασκάλωνος ως ευαγγέλιον χαράς, δια να μη ευφρανθούν αι θυγατέρες των αλλοφύλων και να μη χαρούν οι κόρες των απεριτμήτων.

Β Βασ. 1,21 - ὄρη τὰ ἐν Γελβουὲ μὴ καταβάτω δρόσος καὶ μὴ ὑετὸς ἐφ᾿ ὑμᾶς καὶ ἀγροὶ ἀπαρχῶν, ὅτι ἐκεῖ προσωχθίσθη θυρεὸς δυνατῶν, θυρεὸς Σαοὺλ οὐκ ἐχρίσθη ἐν ἐλαίῳ.

Β Βασ. 1,21 - Ορος Γελβουέ, να μη πέση ποτέ επάνω σου δροσιά· και βροχή να μη σε ποτίση να μη καρποφορήσουν οι αγροί σου, διότι εκεί κατέπεσε καταφρονημένη η ασπίς των δυνατών. Η ασπίδα του Σαούλ δεν ηλείφθη με έλαιον και εσκούριασε.

Β Βασ. 1,22 - ἀφ᾿ αἵματος τραυματιῶν καὶ ἀπὸ στέατος δυνατῶν τόξον Ἰωνάθαν οὐκ ἀπεστράφη κενὸν εἰς τὰ ὀπίσω, καὶ ῥομφαία Σαοὺλ οὐκ ἀνέκαμψε κενή.

Β Βασ. 1,22 - Από το αίμα και το λίπος των φονευομένων εχθρών ποτέ δεν εγύριζε χωρίς επιτυχίας το ένδοξον τόξον του Ιωνάθαν ! Το ίδιο και η ρομφαία του Σαούλ· ποτέ δεν επέστρεψεν αδειανή από ηρωϊκά κατορθώματα.

Β Βασ. 1,23 - Σαοὺλ καὶ Ἰωνάθαν, οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ διακεχωρισμένοι, εὐπρεπεῖς ἐν τῇ ζωῇ αὐτῶν καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν· ὑπὲρ ἀετοὺς κοῦφοι καὶ ὑπὲρ λέοντας ἐκραταιώθησαν.

Β Βασ. 1,23 - Σαούλ και Ιωνάθαν, σεις οι τόσον αγαπημένοι και ωραίοι, δεν εχωρισθήκατε κατά το διάστημα της ζωής σας. Ευπρεπείς και ωραίοι υπήρξατε εις την ζωήν σας· και εις αυτόν ακόμη τον θάνατόν των δεν εχωρίσθησαν αναμεταξύ των. Ελαφρότεροι από τους αετούς και περισσότερον ισχυροί από τους λέοντας !

Β Βασ. 1,24 - θυγατέρες Ἰσραήλ, ἐπὶ Σαοὺλ κλαύσατε, τὸν ἐνδιδύσκοντα ὑμᾶς κόκκινα μετὰ κόσμου ὑμῶν, τὸν ἀναφέροντα κόσμον χρυσοῦν ἐπὶ τὰ ἐνδύματα ὑμῶν.

Β Βασ. 1,24 - Θυγατέρες Ιερουσαλήμ, θρηνήσατε δια τον Σαούλ, ο οποίος σας ενέδυε με εορταστικά κόκκινα ενδύματα και με κοσμήματα, λάφυρα των εχθρών, ο οποίος σας προσέφερε χρυσά κοσμήματα επάνω εις τα ενδύματά σας.

Β Βασ. 1,25 - πῶς ἔπεσαν δυνατοὶ ἐν μέσῳ τοῦ πολέμου· Ἰωνάθαν ἐπὶ τὰ ὕψη σου τραυματίας.

Β Βασ. 1,25 - Πως έπεσαν οι δυνατοί αυτοί ήρωες κατά τον πόλεμον ! Ο Ιωνάθαν εις τα υψηλά μέρη του όρους Γελβουέ εφονεύθη.

Β Βασ. 1,26 - ἀλγῶ ἐπὶ σοί, ἀδελφέ μου Ἰωνάθαν· ὡραιώθης μοι σφόδρα, ἐθαυμαστώθη ἡ ἀγάπησίς σου ἐμοὶ ὑπὲρ ἀγάπησιν γυναικῶν.

Β Βασ. 1,26 - Αδελφέ μου Ιωνάθαν, πονώ δια τον θάνατόν σου ! Υπήρξες δι' εμέ το ωραιότερον πρόσωπον. Σε ηγάπησα περισσότερον, από όσον είναι δυνατόν να αγαπηθή μία γυναίκα. Πως έπεσαν οι δυνατοί !

Β Βασ. 1,27 - πῶς ἔπεσαν δυνατοὶ καὶ ἀπώλοντο σκεύη πολεμικά;

Β Βασ. 1,27 - Πως εχάθησαν τα ένδοξα πολεμικά των όπλα” !

Β ΒΑΣΙΛΕΙΩΝ 2

Β Βασ. 2,1 - Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπηρώτησε Δαυὶδ ἐν Κυρίῳ λέγων· εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων Ἰούδα; καὶ εἶπε Κύριος πρὸς αὐτόν· ἀνάβηθι. καὶ εἶπε Δαυίδ· ποῦ ἀναβῶ; καὶ εἶπεν· εἰς Χεβρών.

Β Βασ. 2,1 - Επειτα από τα γεγονότα αυτά ο Δαυίδ ηρώτησε τον Κυριον λέγων· “να μεταβώ, δια να εγκατασταθώ εις μίαν από τας πόλεις της φυλής του Ιούδα;” Ο Κυριος του απήντησε· “πήγαινε”. Ο Δαυίδ ηρώτησε και πάλιν· “που να μεταβώ;” Ο δε Κυριος του είπεν· “εις την Χεβρών”.

Β Βασ. 2,2 - καὶ ἀνέβη ἐκεῖ Δαυὶδ εἰς Χεβρὼν καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ, Ἀχινόομ ἡ Ἰεζραηλῖτις καὶ Ἀβιγαία ἡ γυνὴ Νάβαλ τοῦ Καρμηλίου,

Β Βασ. 2,2 - Ο Δαυίδ μετέβη πράγματι εις την Χεβρών, μαζή δέ με αυτόν και αι δύο σύζυγοί του, η Αχινόομ η Ιεζραηλίτις, και η Αβιγαία η γυνή Ναβαλ του Καρμηλίου.

Β Βασ. 2,3 - καὶ οἱ ἄνδρες οἱ μετ᾿ αὐτοῦ, ἕκαστος καὶ ὁ οἶκος αὐτοῦ, καὶ κατῴκουν ἐν ταῖς πόλεσι Χεβρών.

Β Βασ. 2,3 - Μαζή του επίσης ανέβησαν και οι άνδρες του, ο καθένας με την οικογενειάν του, και κατοικούσαν εις τας πόλεις της Χεβρών.

Β Βασ. 2,4 - καὶ ἔρχονται ἄνδρες τῆς Ἰουδαίας καὶ χρίουσι τὸν Δαυὶδ ἐκεῖ τοῦ βασιλεύειν ἐπὶ τὸν οἶκον Ἰούδα. Καὶ ἀπήγγειλαν τῷ Δαυὶδ λέγοντες· ὅτι οἱ ἄνδρες Ἰαβὶς τῆς Γαλααδίτιδος ἔθαψαν τὸν Σαούλ.

Β Βασ. 2,4 - Ηλθον τότε εκεί άνδρες εκ της φυλής του Ιούδα και έχρισαν τον Δαυίδ βασιλέα, δια να βασιλεύση εις την φυλήν του Ιούδα. Ανήγγειλαν δε στον Δαυίδ και είπαν, ότι οι άνδρες της Ιαβίς, η οποία ευρίσκεται εις χώραν Γαλαάδ, επήραν και έθαψαν το σώμα του Σαούλ.

Β Βασ. 2,5 - καὶ ἀπέστειλε Δαυὶδ ἀγγέλους πρὸς τοὺς ἡγουμένους Ἰαβὶς τῆς Γαλααδίτιδος καὶ εἶπε πρὸς αὐτοὺς Δαυίδ· εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, ὅτι ἐποιήσατε τὸ ἔλεος τοῦτο ἐπὶ τὸν κύριον ὑμῶν, ἐπὶ Σαοὺλ τὸν χριστὸν Κυρίου καὶ ἐθάψατε αὐτὸν καὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ.

Β Βασ. 2,5 - Ο Δαυίδ έστειλε προς τους άρχοντας της Ιαβίς αγγελιαφόρους και τους είπεν· “ευλογημένοι ας είσθε σεις από τον Θεόν, διότι εδείξατε αυτήν την μεγάλην καλωσύνην προς τον κύριόν σας, προς τον Σαούλ, τον υπό του Θεού χρισθέντα βασιλέα, και εθάψατε αυτόν και τον οίον του τον Ιωνάθαν.

Β Βασ. 2,6 - καὶ νῦν ποιήσαι Κύριος μεθ᾿ ὑμῶν ἔλεος καὶ ἀλήθειαν, καί γε ἐγὼ ποιήσω μεθ᾿ ὑμῶν τὰ ἀγαθὰ ταῦτα, ὅτι ἐποιήσατε τὸ ῥῆμα τοῦτο·

Β Βασ. 2,6 - Και τώρα εύχομαι και παρακαλώ τον Θεόν, να δείξη προς σας το έλεός του και την προστασίαν του. Αλλά και εγώ ο ίδιος θα σας προσφέρω προς αμοιβήν σας αγαθά, διότι εδείξατε τέτοιαν καλήν διαγωγήν απέναντι του Σαούλ.

Β Βασ. 2,7 - καὶ νῦν κραταιούσθωσαν αἱ χεῖρες ὑμῶν καὶ γίνεσθε εἰς υἱοὺς δυνατούς, ὅτι τέθνηκεν ὁ κύριος ὑμῶν Σαούλ, καί γε ἐμὲ κέχρικεν ὁ οἶκος Ἰούδα ἐφ᾿ ἑαυτὸν εἰς βασιλέα.

Β Βασ. 2,7 - Και τώρα λάβετε θάρρος, αναδειχθήτε γενναίοι, διότι αν ο κύριός σας ο Σαούλ απέθανεν, η φυλή όμως του Ιούδα έχει χρίσει εμέ βασιλέα της. Εγώ θα σας έχω υπό την προστασίαν μου".

Β Βασ. 2,8 - Καὶ Ἀβεννὴρ υἱὸς Νὴρ ἀρχιστράτηγος τοῦ Σαοὺλ ἔλαβε τὸν Ἰεβοσθὲ υἱὸν Σαοὺλ καὶ ἀνεβίβασεν αὐτὸν ἐκ τῆς παρεμβολῆς εἰς Μαναὲμ

Β Βασ. 2,8 - Ο Αβεννήρ όμως, ο υιός του Νηρ, ο αρχιστράτηγος του Σαούλ, παρέλαβε τον Ιεβοσθέέ τον υιόν του Σαούλ, και τον μετέφερε από το στρατόπεδον, όπου είχε γίνει η μάχη Μαναέμ,

Β Βασ. 2,9 - καὶ ἐβασίλευσεν αὐτὸν ἐπὶ τὴν Γαλααδῖτιν καὶ ἐπὶ τὸν Θασιρὶ καὶ ἐπὶ τὴν Ἰεζράελ καὶ ἐπὶ τὸν Ἐφραὶμ καὶ ἐπὶ τὸν Βενιαμὶν καὶ ἐπὶ πάντα Ἰσραήλ.

Β Βασ. 2,9 - και τον ανεκήρυξε βασιλέα στους Ισραηλίτας της χώρας Γαλαάδ, Θασιρί, Ιεζράελ, Εφραίμ, Βενιαμίν και εις όλους τους άλλους Ισραηλίτας.

Β Βασ. 2,10 - τεσσαράκοντα ἐτῶν Ἰεβοσθὲ υἱὸς Σαούλ, ὅτε ἐβασίλευσεν ἐπὶ Ἰσραήλ, καὶ δύο ἔτη ἐβασίλευσε, πλὴν τοῦ οἴκου Ἰούδα, οἳ ἦσαν ὀπίσω Δαυίδ·

Β Βασ. 2,10 - Ο Ιεβοσθέ, ο υιός αυτός του Σαούλ, ήτο τεσσαράκοντα ετών, όταν ανεκηρύχθη βασιλεύς επί του Ισραηλιτικού λαού. Δυο μόνον έτη εβασίλευσεν εις τας άλλας περιοχάς, πλην της φυλής του Ιούδα, η οποία είχεν ως βασιλέα της τον Δαυίδ.

Β Βασ. 2,11 - καὶ ἐγένοντο αἱ ἡμέραι, ἃς Δαυὶδ ἐβασίλευσεν ἐν Χεβρὼν ἐπὶ τὸν οἶκον Ἰούδα, ἑπτὰ ἔτη καὶ μῆνας ἕξ.

Β Βασ. 2,11 - Το χρονικόν διάστημα, κατά το οποίον ο Δαυίδ είχεν εγκατασταθή ως βασιλεύς εις Χεβρών επί της φυλής του Ιούδα, ήτο επτά έτη και εξ μήνες.

Β Βασ. 2,12 - Καὶ ἐξῆλθεν Ἀβεννὴρ υἱὸς Νὴρ καὶ οἱ παῖδες Ἰεβοσθὲ υἱοῦ Σαοὺλ ἐκ Μαναὲμ εἰς Γαβαών·

Β Βασ. 2,12 - Τοτε ο Αβεννήρ, ο υιός του Νηρ, και οι άνδρες του Ιεβοσθέ, του υιού του Σαούλ, εξεστράτευσαν κατά του Δαυίδ από την Μαναέμ και ήρχοντο προς την Γαβαών.

Β Βασ. 2,13 - καὶ Ἰωὰβ υἱὸς Σαρουΐας καὶ οἱ παῖδες Δαυὶδ ἐξήλθοσαν ἐκ Χεβρὼν καὶ συναντῶσιν αὐτοῖς ἐπὶ τὴν κρήνην τὴν Γαβαὼν ἐπὶ τὸ αὐτό, καὶ ἐκάθισαν οὗτοι ἐπὶ τὴ κρήνην ἐντεῦθεν, καὶ οὗτοι ἐπὶ τὴν κρήνην ἐντεῦθεν.

Β Βασ. 2,13 - Εκ μέρους δε του Δαυίδ εξεστράτευσαν εναντίον αυτών ο Ιωάβ, ο υιός της Σαρουΐας, και οι άνδρες του Δαυίδ από την Χεβρών.

Συνηντήθησάν με τους στρατιώτας του Αβεννήρ εις την κρήνην, πλησίον της Γαβαών, και εστρατοπέδευσαν οι μεν από την μίαν πλευράν της πηγής, οι δε από την άλλην.

Β Βασ. 2,14 - καὶ εἶπεν Ἀβεννὴρ πρὸς Ἰωάβ· ἀναστήτωσαν δὴ τὰ παιδάρια καὶ παιξάτωσαν ἐνώπιον ἡμῶν· καὶ εἶπεν Ἰωάβ· ἀναστήτωσαν.

Β Βασ. 2,14 - Ο Αβεννήρ είπε προς τον Ιωάβ· “ας σηκωθούν μερικοί νέοι και ας μονομαχήσουν ενώπιον ημών”. Ο Ιωάβ είπεν· “ας ετοιμασθούν, δια να αγωνισθούν”.

Β Βασ. 2,15 - καὶ ἀνέστησαν καὶ παρῆλθον ἐν ἀριθμῷ τῶν παίδων Βενιαμὶν δώδεκα τῶν Ἰεβοσθὲ υἱοῦ Σαοὺλ καὶ δώδεκα ἐκ τῶν παίδων Δαυίδ.

Β Βασ. 2,15 - Εσηκώθησαν και προσήλθον δια τον αγώνα δώδεκα Βενιαμίται από τους άνδρας του Ιεβοσθέ και δώδεκα από τους άνδρας του Δαυίδ.

Β Βασ. 2,16 - καὶ ἐκράτησαν ἕκαστος τῇ χειρὶ τὴν κεφαλὴν τοῦ πλησίον αὐτοῦ, καὶ μάχαιρα αὐτοῦ εἰς πλευρὰν τοῦ πλησίον αὐτοῦ, καὶ πίπτουσι κατὰ τὸ αὐτό· καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Μερὶς τῶν ἐπιβούλων, ἥ ἐστιν ἐν Γαβαών.

Β Βασ. 2,16 - Ο καθένας από αυτούς ήρπασε με το ένα χέρι του τον εχθρόν από την κεφαλήν, και με το άλλο χέρι εβύθισε την μάχαιραν εις την πλευράν αυτού, τον οποίον εκρατούσε. Επεσαν δε όλοι επί το αυτό. Ωνομάσθη δε το όνομα του τόπου εκείνου “Μέρος των επιβούλων”. Η τοποθεσία κείται πλησίον της Γαβαών.

Β Βασ. 2,17 - καὶ ἐγένετο ὁ πόλεμος σκληρὸς ὥστε λίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔπταισεν Ἀβεννὴρ καὶ ἄνδρες Ἰσραὴλ ἐνώπιον παίδων Δαυίδ.

Β Βασ. 2,17 - Συνήφθη κατόπιν, κατά την ιδίαν εκείνην ημέραν, σκληρός πόλεμος. Κατά την μάχην αυτήν ενικήθησαν από τους άνδρας του Δαυίδ ο Αβεννήρ και οι άνδρες οι Ισραηλίται.

Β Βασ. 2,18 - καὶ ἐγένοντο ἐκεῖ τρεῖς υἱοὶ Σαρουΐας, Ἰωὰβ καὶ Ἀβεσσὰ καὶ Ἀσαήλ, καὶ Ἀσαὴλ κοῦφος τοῖς ποσὶν αὐτοῦ ὡσεὶ μία δορκὰς ἐν ἀγρῷ.

Β Βασ. 2,18 - Εις την μάχην αυτήν έλαβον μέρος και οι τρεις υιοί της Σαρουΐας, ο Ιωάβ, ο Αβεσά και ο Ασαήλ. Ο Ασαήλ ήτο ελαφρός και ταχύς στους πόδας, ωσάν ένα ζαρκάδι στους αγρούς.

Β Βασ. 2,19 - καὶ κατεδίωξεν Ἀσαὴλ ὀπίσω Ἀβεννὴρ καὶ οὐκ ἐξέκλινε τοῦ πορεύεσθαι εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερὰ κατόπισθεν Ἀβεννήρ.

Β Βασ. 2,19 - Ο Ασαήλ εκυνήγησε τον φεύγοντα Αβεννήρ και δεν εξέκλινεν ούτε εις τα δεξιά ούτε εις τα αριστερά, αλλά είχε τεθή εις καταδίωξιν του Αβεννήρ.

Β Βασ. 2,20 - καὶ ἐπέβλεψεν Ἀβεννὴρ εἰς τὰ ὀπίσω αὐτοῦ καὶ εἶπεν· εἰ σὺ εἶ αὐτὸς Ἀσαήλ; καὶ εἶπεν· ἐγώ εἰμι.

Β Βασ. 2,20 - Οταν ο Ασαήλ επλησίασε τον Αβεννήρ, αυτός εγύρισε πίσω και του είπε· “συ είσαι ο Ασαήλ ο ίδιος;” Εκείνος απήντησε· “ναι, εγώ είμαι”.

Β Βασ. 2,21 - καὶ εἶπεν αὐτῷ Ἀβεννήρ· ἔκλινον σὺ εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερὰ καὶ κάτασχε σεαυτῷ ἓν τῶν παιδαρίων καὶ λαβὲ σεαυτῷ τὴν πανοπλίαν αὐτοῦ· καὶ οὐκ ἠθέλησεν Ἀσαὴλ ἐκκλῖναι ἐκ τῶν ὄπισθεν αὐτοῦ.

Β Βασ. 2,21 - Του είπεν ο Αβεννήρ· “στρέψε δεξιά η αριστερά, διάλεξε ένα όποιον θέλεις από τους στρατιώτας, πάρε του την πανοπλίαν ως δείγμα της νίκης σου και γύρισε πίσω”. Αλλά ο Ασαήλ δεν ηθέλησε να εγκαταλείψη την καταδίωξιν του Αβεννήρ.

Β Βασ. 2,22 - καὶ προσέθετο ἔτι Ἀβεννὴρ λέγων τῷ Ἀσαήλ· ἀπόστηθι ἀπ᾽ ἐμοῦ, ἵνα μὴ πατάξω σε εἰς τὴν γῆν· καὶ πῶς ἀρῶ τὸ πρόσωπόν μου πρὸς Ἰωάβ;

Β Βασ. 2,22 - Ο Αβεννήρ και πάλιν επανέλαβε τα ίδια και είπεν στον Ασαήλ· “φύγε από κοντά μου, δια να μη σε ρίψω νεκρόν κάτω εις την γην. Και πως τότε θα σηκώσω το πρόσωπόν μου να αντικρύσω τον Ιωάβ;

Β Βασ. 2,23 - καὶ ποῦ ἐστι ταῦτα; ἐπίστρεφε πρὸς Ἰωὰβ τὸν ἀδελφόν σου. καὶ οὐκ ἐβούλετο τοῦ ἀποστῆναι. καὶ τύπτει αὐτὸν Ἀβεννὴρ ἐν τῷ ὀπίσω τοῦ δόρατος ἐπὶ τὴν ψόαν, καὶ διεξῆλθε τὸ δόρυ ἐκ τῶν ὀπίσω αὐτοῦ, καὶ πίπτει ἐκεῖ καὶ ἀποθνήσκει ὑποκάτω αὐτοῦ. καὶ ἐγένετο πᾶς ὁ ἐρχόμενος ἕως τοῦ τόπου, οὗ ἔπεσεν ἐκεῖ Ἀσαὴλ καὶ ἀπέθανε, καὶ ὑφίστατο.

Β Βασ. 2,23 - Που και πως θα εύρω δικαιολογίας; Γυρισε λοιπόν προς τον Ιωάβ τον αδελφόν σου”. Εκείνος δεν ήθελε να απομακρυνθή. Ο Αβεννήρ επετέθη και εκτύπησε τον Ασαήλ εις τα νεφρά με το πίσω μέρος του δόρατός του, ώστε το δόρυ διεπέρασε αυτόν και εξήλθεν από το πίσω μέρος του σώματός του. Ο Ασαήλ, κτυπηθείς, έπέσε κατά γης και απέθανεν εις την θέσιν εκείνην. Οι άλλοι άνδρες του Ιούδα υπό την αρχηγίαν του Ιωάβ, που ήρχοντο κατόπιν, έφθασαν στο μέρος εκείνο, όπου έπεσε και απέθανεν Ο Ασαήλ, και εσταμάτησαν.

Β Βασ. 2,24 - καὶ κατεδίωξεν Ἰωὰβ καὶ Ἀβεσσὰ ὀπίσω Ἀβεννήρ· καὶ ὁ ἥλιος ἔδυνε. καὶ αὐτοὶ εἰσῆλθον ἕως τοῦ βουνοῦ Ἀμμάν, ὅ ἐστιν ἐπὶ προσώπου Γαί, ὁδὸν ἔρημον Γαβαών.

Β Βασ. 2,24 - Ο Ιωάβ όμως και ο Αβεσά κατεδίωξαν τον Αβεννήρ. Ο ήλιος επλησίαζε να δύση και αυτοί έφθασαν έως στον λύφον Αμμάν, ο οποίος ευρίσκεται απέναντι της Γαι, εις την έρημον της Γαβαών.

Β Βασ. 2,25 - καὶ συναθροίζονται οἱ υἱοὶ Βενιαμὶν οἱ ὀπίσω Ἀβεννὴρ καὶ ἐγενήθησαν εἰς συνάντησιν μίαν καὶ ἔστησαν ἐπὶ κεφαλὴν βουνοῦ ἑνός.

Β Βασ. 2,25 - Εκεί συνηθροίσθησαν οι της φυλής Βενιαμίν, οι ακολουθούντες τυν Αβεννήρ, και απήρτισαν ένα σώμα, το οποίον και

εστρατοπέδευσεν εις την κορυφήν του βουνού.
Β Βασ. 2,26 - καὶ ἐκάλεσεν Ἀβεννὴρ Ἰωὰβ καὶ εἶπε· μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία; ἢ οὐκ οἶδας ὅτι πικρὰ ἔσται εἰς τὰ ἔσχατα; καὶ ἕως πότε οὐ μὴ εἴπῃς τῷ λαῷ ἀποστρέφειν ἀπὸ ὄπισθεν τῶν ἀδελφῶν ἡμῶν;
Β Βασ. 2,26 - Από εκεί εφώναξεν ο Αβεννήρ στον Ιωάβ και είπε· “θα αλληλοφαγωθώμεν, λοιπόν, και θα πέσωμεν από τας αδελφικάς ρομφαίας; Δεν γνωρίζεις, πόσον πικρά είναι τα αποτελέσματα του αλληλοφαγώματος; Εως πότε δεν θα είπης στον λαόν σου, να επιστρέψη εις τα οπίσω και να απομακρυνθή από τους αδελφούς μας;”
Β Βασ. 2,27 - καὶ εἶπεν Ἰωάβ· ζῇ Κύριος, ὅτι εἰ μὴ ἐλάλησας, διότι τότε ἐκ πρωϊόθεν ἀνέβη ἂν ὁ λαὸς ἕκαστος κατόπισθεν τοῦ ἀδελφοῦ αὐτοῦ.
Β Βασ. 2,27 - Είπε τότε ο Ιωάβ· “ζη Κυριος. Εάν δεν είχες ομιλήσει έτσι, μέχρι της πρωΐας ο στρατός μου θα κυνηγούσε ο καθένας τον αδελφόν του”.
Β Βασ. 2,28 - καὶ ἐσάλπισεν Ἰωὰβ τῇ σάλπιγγι, καὶ ἀπέστησαν πᾶς ὁ λαὸς καὶ οὐ κατεδίωξαν ὀπίσω τοῦ Ἰσραὴλ καὶ οὐ προσέθεντο ἔτι τοῦ πολεμεῖν.
Β Βασ. 2,28 - Ο Ιωάβ εσάλπισε με την σάλπιγγα και ανήγγειλε την παύσιν του πολέμου. Ετσι όλος ο στρατός του Ιωάβ έπαυσε να καταδιώκη τους Ισραηλίτας και εσταμάτησεν ο πόλεμος.
Β Βασ. 2,29 - καὶ Ἀβεννὴρ καὶ οἱ ἄνδρες αὐτοῦ ἀπῆλθον εἰς δυσμὰς ὅλην τὴν νύκτα ἐκείνην καὶ διέβαιναν τὸν Ἰορδάνην καὶ ἐπορεύθησαν ὅλην τὴν παρατείνουσαν καὶ ἔρχονται εἰς τὴν παρεμβολήν.
Β Βασ. 2,29 - Ο Αβεννήρ και οι άνδρες του έφυγαν προς δυσμάς καθ' όλην την νύκτα εκείνην, διέβησαν τον 'Ιορδανην και επροχώρησαν και ήλθαν στοποθεσίαν πέραν του Ιορδάνου ονομαζομένην “Παρεμβολαί”·
Β Βασ. 2,30 - καὶ Ἰωὰβ ἀνέστρεψεν ὄπισθεν ἀπὸ τοῦ Ἀβεννὴρ καὶ συνήθροισε πάντα τὸν λαόν, καὶ ἐπεσκέπησαν τῶν παίδων Δαυίδ ἐννεακαίδεκα ἄνδρες καὶ Ἀσαήλ.
Β Βασ. 2,30 - Και ο Ιωάβ επέστρεψεν από την καταδίωξιν του Αβεννήρ, συνήθροισεν όλον τον στρατόν του, έκαμεν αρίθμησιν και ευρέθη ότι λείπουν από τους στρατιώτας του Δαυίδ δέκα εννέα άνδρες και ο Ασαήλ.
Β Βασ. 2,31 - καὶ οἱ παῖδες Δαυὶδ ἐπάταξαν τῶν υἱῶν Βενιαμὶν τῶν ἀνδρῶν Ἀβεννὴρ τριακοσίους ἑξήκοντα ἄνδρας παρ᾿ αὐτοῦ.
Β Βασ. 2,31 - Οι στρατιώται όμως του Δαυίδ εκτύπησαν και εφόνευσαν από τους της φυλής Βενιαμίν, από τους άνδρας αυτούς οι οποίοι ήσαν υπό τας διαταγάς του Αβεννήρ, τριακοσίους εξήντα.
Β Βασ. 2,32 - καὶ αἴρουσι τὸν Ἀσαὴλ καὶ θάπτουσιν αὐτὸν ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ. καὶ ἐπορεύθη Ἰωὰβ καὶ οἱ ἄνδρες οἱ μετ᾿ αὐτοῦ ὅλην τὴν νύκτα, καὶ διέφαυσεν αὐτοῖς ἐν Χεβρών.

Β Βασ. 2,32 - Εσήκωσαν τον νεκρόν του Ασαήλ και έθαψαν αυτόν στον τάφον του πατρός του, εις την Βηθλεέμ. Ο Ιωάβ και οι άνδρες αυτού εβάδισαν όλην την νύκτα και κατά τα εξημερώματα έφθασαν εις την Χεβρών.

Β ΒΑΣΙΛΕΙΩΝ 3

Β Βασ. 3,1 - Καὶ ἐγένετο ὁ πόλεμος ἐπὶ πολὺ ἀνὰ μέσον τοῦ οἴκου Σαοὺλ καὶ ἀνὰ μέσον τοῦ οἴκου Δαυίδ· καὶ ὁ οἶκος Δαυὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο, καὶ ὁ οἶκος Σαοὺλ ἐπορεύετο καὶ ἠσθένει.

Β Βασ. 3,1 - Επί πολύν χρόνον εγινετο πόλεμος μεταξύ των της οικογενείας του Σαούλ και των ανθρώπων του Δαυίδ. Κατά τον πόλεμον αυτόν οι άνθρωποι του Δαυίδ προώδευαν συνεχώς και ενισχύοντο, ενώ αντιθέτως οι απόγονοι του Σαούλ εξασθενούσαν ολίγον κατ' ολίγον.

Β Βασ. 3,2 - Καὶ ἐτέχθησαν τῷ Δαυὶδ υἱοὶ ἐν Χεβρών, καὶ ἦν ὁ πρωτότοκος αὐτοῦ Ἀμνὼν τῆς Ἀχινόομ τῆς Ἰεζραηλίτιδος,

Β Βασ. 3,2 - Ο Δαυίδ απέκτησεν εις την Χεβρών τους εξής υιούς· Πρωτότοκος αυτού ήτο ο Αμνών, ο οποίος εγεννήθη από την Αχινόομ, την Ιεζραηλίτιδα.

Β Βασ. 3,3 - καὶ ὁ δεύτερος αὐτοῦ Δαλουΐα τῆς Ἀβιγαίας τῆς Καρμηλίας, καὶ ὁ τρίτος Ἀβεσσαλὼμ υἱὸς Μααχὰ θυγατρὸς Θολμὶ βασιλέως Γεσίρ,

Β Βασ. 3,3 - Δεύτερος αυτού υιός ήτο ο Δαλουΐα, ο γεννηθείς από την Αβιγαίαν την καταγομένην από την πόλιν Καρμηλον. Τρίτος ήτο ο Αβεσσαλώμ, ο υιός της συζύγου του Μααχά, η οποία ήτο θυγάτηρ του Θολμί του Βασιλέως Γεσίρ.

Β Βασ. 3,4 - καὶ ὁ τέταρτος Ὀρνία υἱὸς Φεγγίθ, καὶ ὁ πέμπτος Σαβατία τῆς Ἀβιτάλ,

Β Βασ. 3,4 - Τέταρτος υιός του ήτο ο Ορνία, ο οποίος εγεννήθη από την Φεγγίθ. Πέμπτος υιός του ήτο ο Σαβατία εκ της Αβιτάλ.

Β Βασ. 3,5 - καὶ ὁ ἕκτος Ἰεθεραὰμ τῆς Αἰγλὰ γυναικὸς Δαυίδ· οὗτοι ἐτέχθησαν τῷ Δαυὶδ ἐν Χεβρών.

Β Βασ. 3,5 - Εκτος υιός του ήτο ο Ιεθεραάμ εκ της Αιγλά συζύγου του Δαυίδ. Αυτοί εγεννήθησαν, όταν ο Δαυίδ ευρίσκετο εις την Χεβρών.

Β Βασ. 3,6 - Καὶ ἐγένετο ἐν τῷ εἶναι τὸν πόλεμον ἀνὰ μέσον τοῦ οἴκου Σαοὺλ καὶ ἀνὰ μέσον τοῦ οἴκου Δαυίδ, καὶ Ἀβεννὴρ ἦν κρατῶν τοῦ οἴκου Σαούλ.

Β Βασ. 3,6 - Κατά τον χρόνον κατά τον οποίον επικρατούσε ο πόλεμος μεταξύ των ανθρώπων του Σαούλ και των ανθρώπων του Δαυίδ, ο Αβεννήρ ήτο κυρίαρχος στον οίκον του Σαούλ.

Β Βασ. 3,7 - καὶ τῷ Σαοὺλ παλλακὴ Ῥεσφὰ θυγάτηρ Ἰάλ· καὶ εἶπεν Ἰεβοσθὲ υἱὸς Σαοὺλ πρὸς Ἀβεννήρ· τί ὅτι εἰσῆλθες πρὸς τὴν παλλακὴν τοῦ

πατρός μου;

Β Βασ. 3,7 - Εις τον Σαούλ ανήκεν άλλοτε μία παλλακή σύζυγος δευτέρας σειράς, ονόματι Ρεσφά θυγάτηρ του Ιάλ. Ο Ιεβοσθέ, ο υιός του Σαούλ, είπε προς τον Αβεννήρ· “διατί ήλθες εις συνάφειαν με την παλλακήν του πατρός μου;”

Β Βασ. 3,8 - καὶ ἐθυμώθη σφόδρα Ἀβεννὴρ περὶ τοῦ λόγου τούτου τῷ Ἰεβοσθέ, καὶ εἶπεν Ἀβεννὴρ πρὸς αὐτόν· μὴ κεφαλὴ κυνὸς ἐγώ εἰμι; ἐποίησα σήμερον ἔλεος μετὰ τοῦ οἴκου Σαοὺλ τοῦ πατρός σου καὶ περὶ ἀδελφῶν καὶ περὶ γνωρίμων καὶ οὐκ ηὐτομόλησα εἰς τὸν οἶκον Δαυίδ· καὶ ἐπιζητεῖς ἐπ᾿ ἐμὲ σὺ ὑπὲρ ἀδικίας γυναικὸς σήμερον;

Β Βασ. 3,8 - Ο Αβεννήρ εθύμωσε πάρα πολύ δια τον έλεγχον αυτόν του Ιεβοσθέ και είπε προς αυτόν· “μήπως ενόμισες, ότι εγώ είμαι κεφάλι σκυλιού και μου ομιλείς κατ' αυτόν τον τρόπον; Γνωρίζεις ότι εγώ εφάνηκα συγκαταβατικός και καλός στον οίκον του Σαούλ, του πατρός σου, στους συγγενείς σου και στους γνωρίμους σου, και δεν ηυτομόλησα προς τον οίκον του Δαυίδ. Και συ τολμάς σήμερον να με κατηγορής δια παρανομίαν εις βάρος κάποιας γυναικός;

Β Βασ. 3,9 - τάδε ποιήσαι ὁ Θεὸς τῷ Ἀβεννὴρ καὶ τάδε προσθείη αὐτῷ, ὅτι καθὼς ὤμοσε Κύριος τῷ Δαυίδ, ὅτι οὕτως ποιήσω αὐτῷ ἐν τῇ ἡμέρᾳ ταύτῃ

Β Βασ. 3,9 - Ας με τιμωρήση ο Θεός με πολλάς τιμωρίας, αν δεν πράξω δια τον Δαυίδ κατά την σημερινήν ημέραν ο,τι ενόρκως υπεσχέθη προς αυτόν ο Θεός.

Β Βασ. 3,10 - περιελεῖν τὴν βασιλείαν ἀπὸ τοῦ οἴκου Σαούλ, καὶ τοῦ ἀναστῆσαι τὸν θρόνον Δαυὶδ ἐπὶ Ἰσραὴλ καὶ ἐπὶ τὸν Ἰούδαν ἀπὸ Δὰν ἕως Βηρσαβεέ.

Β Βασ. 3,10 - Ο Θεός υπεσχέθη, ότι θα αφαιρεθή η βασιλεία από τον οίκον του Σαούλ και θα στερεωθή ο βασιλικός θρόνος δια τον Δαυίδ εις όλον τον ισραηλιτικόν λαόν και επί της φυλής Ιούδα, από την βορειοτέραν πόλιν την Δαν και μέχρι της νοτιωτέρας πόλεως, της Βηρσαβεέ”.

Β Βασ. 3,11 - καὶ οὐκ ἠδυνάσθη ἔτι Ἰεβοσθὲ ἀποκριθῆναι τῷ Ἀβεννὴρ ῥῆμα ἀπὸ τοῦ φοβεῖσθαι αὐτόν.

Β Βασ. 3,11 - Ο Ιεβοσθέ δεν ημπόρεσε καθόλου να απαντήση στον Αβεννήρ, διότι τον εφοβείτο.

Β Βασ. 3,12 - Καὶ ἀπέστειλεν Ἀβεννὴρ ἀγγέλους πρὸς Δαυὶδ εἰς Θαιλὰμ οὗ ἦν, παραχρῆμα λέγων· διάθου διαθήκην σου μετ᾿ ἐμοῦ, καὶ ἰδοὺ ἡ χεὶρ μου μετὰ σοῦ ἐπιστρέψαι πρὸς σὲ πάντα τὸν οἶκον Ἰσραήλ.

Β Βασ. 3,12 - Ο Αβεννήρ έστειλεν αμέσως αγγελιοφόρους προς τον Δαυίδ, ο οποίος ευρίσκετο τότε εις Θαιλάμ, και του είπε· “κάμε συμφωνίαν μαζή μου και ιδού, θα ενεργήσω εγώ έτσι, ώστε να στρέψω όλον τον ισρσηλιτικόν λαόν με το μέρος σου”.

Β Βασ. 3,13 - καὶ εἶπε Δαυίδ· καλῶς ἐγὼ διαθήσομαι πρὸς σὲ διαθήκην, πλὴν λόγον ἕνα ἐγὼ αἰτοῦμαι παρὰ σοῦ λέγων· οὐκ ὄψει τὸ πρόσωπόν μου, ἐὰν μὴ ἀγάγῃς τὴν Μελχὸλ θυγατέρα Σαοὺλ παραγινομένου σου ἰδεῖν τὸ πρόσωπόν μου.

Β Βασ. 3,13 - Ο Δαυίδ απήντησεν· “έχει καλώς. Εγώ κλείω με σε συμφωνίαν, αλλά υπό ένα όρον. Ιδού τι ζητώ από σένα· Δεν θα παρουσιασθής ενώπιόν μου, εάν δεν μου φέρης την Μελχόλ, την θυγατέρα του Σαούλ, την σύζυγόν μου, όταν θα έλθης να με συναντήσης”.

Β Βασ. 3,14 - καὶ ἐξαπέστειλε Δαυὶδ πρὸς Ἰεβοσθὲ υἱὸν Σαοὺλ ἀγγέλους λέγων· ἀπόδος μοι τὴν γυναῖκά μου τὴν Μελχόλ, ἣν ἔλαβον ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλοφύλων.

Β Βασ. 3,14 - Ο Δαυίδ έστειλεν αγγελιοφόρους και προς τον Ιεβοσθέ, τον υιόν του Σαούλ, και του είπε· “δος μου πίσω την γυναίκα μου την Μελχόλ, την οποίαν εγώ επήρα ως σύζυγόν μου, αφού έφερα στον πατέρα σου τον Σαούλ τας ακροβυστίας εκατόν αλλοφύλων”.

Β Βασ. 3,15 - καὶ ἀπέστειλεν Ἰεβοσθὲ καὶ ἔλαβεν αὐτὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς, παρὰ Φαλτιὴλ υἱοῦ Σελλῆς.

Β Βασ. 3,15 - Ο Ιεβοσθέ έστειλεν άνθρωπον και επήρε την Μελχόλ από τον άνδρα αυτής, τον Φαλτιήλ υιόν του Σελλής.

Β Βασ. 3,16 - καὶ ἐπορεύετο ὁ ἀνὴρ αὐτῆς μετ᾿ αὐτῆς κλαίων ὀπίσω αὐτῆς ἕως Βαρακίμ· καὶ εἶπε πρὸς αὐτὸν Ἀβεννήρ· πορεύου, ἀνάστρεφε· καὶ ἀνέστρεψε.

Β Βασ. 3,16 - Ο σύζυγός της αυτός την ακολουθούσε κλαίων έως την Βαρακίμ. Είπεν όμως προς αυτόν ο Αβεννήρ· “γύρισε πίσω, επίστρεψε στον τόπον σου”. Και εκείνος επέστρεψεν.

Β Βασ. 3,17 - καὶ εἶπεν Ἀβεννὴρ πρὸς τοὺς πρεσβυτέρους Ἰσραὴλ λέγων· χθὲς καὶ τρίτην ἐζητεῖτε τὸν Δαυὶδ βασιλεύειν ἐφ᾿ ὑμῶν·

Β Βασ. 3,17 - Ο Αβεννήρ ειπέ προς τους άρχοντας του Ισραήλ τα εξής· “προ καιρού, σεις οι ίδιοι εζητούσατε τον Δαυίδ ως βασιλέα σας.

Β Βασ. 3,18 - καὶ νῦν ποιήσατε, ὅτι Κύριος ἐλάλησε περὶ Δαυὶδ λέγων· ἐν χειρὶ τοῦ δούλου μου Δαυὶδ σώσω τὸν Ἰσραὴλ ἐκ χειρὸς ἀλλοφύλων καὶ ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτῶν.

Β Βασ. 3,18 - Τωρα, λοιπόν, πράξατε τούτο, διότι ο Κυριος ωμίλησε περί του Δαυίδ λέγων· Δια του Δαυίδ εγώ θα σώσω τους Ισραηλίτας από τας χείρας των αλλοφύλων και από τα χέρια όλων των εχθρών των”.

Β Βασ. 3,19 - καὶ ἐλάλησεν Ἀβεννὴρ ἐν τοῖς ὠσὶ Βενιαμίν. καὶ ἐπορεύθη Ἀβεννὴρ τοῦ λαλῆσαι εἰς τὰ ὦτα τοῦ Δαυὶδ εἰς Χεβρὼν πάντα, ὅσα ἤρεσεν ἐν ὀφθαλμοῖς Ἰσραὴλ καὶ ἐν ὀφθαλμοῖς οἴκου Βενιαμίν.

Β Βασ. 3,19 - Ο Αβεννήρ ωμίλησεν επίσης καλά υπέρ του Δαυίδ και στους Βενιαμίτας. Κατόπιν δε μετέβη εις Χεβρών, δια να συνομιλήση με τον

ίδιον τον Δαυίδ περί όλων αυτών, όσα εφάνησαν αρεστά, στον ισραηλιτικόν λαόν και εις αυτούς ειδικώς τους άνδρας της φυλής του Βενιαμίν.

Β Βασ. 3,20 - Καὶ ἦλθεν Ἀβεννὴρ πρὸς Δαυὶδ εἰς Χεβρὼν καὶ μετ᾿ αὐτοῦ εἴκοσιν ἄνδρες. καὶ ἐποίησε Δαυὶδ τῷ Ἀβεννὴρ καὶ τοῖς ἀνδράσι τοῖς μετ᾿ αὐτοῦ πότον.

Β Βασ. 3,20 - Ο Αβεννήρ και άλλοι είκοσι άνδρες μαζή του, ήλθον προς τον Δαυίδ εις την Χεβρών. Ο Δαυίδ παρέθεσεν στον Αβεννήρ και στους άνδρας του συμπόσιον.

Β Βασ. 3,21 - καὶ εἶπεν Ἀβεννὴρ πρὸς Δαυίδ· ἀναστήσομαι δὴ καὶ πορεύσομαι καὶ συναθροίσω πρὸς κύριόν μου τὸν βασιλέα πάντα Ἰσραὴλ καὶ διαθήσομαι μετ᾿ αὐτοῦ διαθήκην, καὶ βασιλεύσεις ἐπὶ πᾶσιν, οἷς ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ ἀπέστειλε Δαυὶδ τὸν Ἀβεννήρ, καὶ ἐπορεύθη ἐν εἰρήνῃ.

Β Βασ. 3,21 - Είπε τότε ο Αβεννήρ προς τον Δαυίδ· “θα σηκωθώ λοιπόν και θα μεταβώ να συναθροίσω όλον τον ισραηλιτικόν λαόν δια σέ, τον κύριόν μου και βασιλέα. Θα κάμω με αυτούς συμφωνίαν και συ θα γίνης βασιλεύς επί όλων, όπως ακριβώς επιθυμεί η καρδία σου”. Ο Δαυίδ έστειλε τον Αβεννήρ, ο οποίος και επορεύθη ειρηνικώς δια την αποστολήν του.

Β Βασ. 3,22 - καὶ ἰδοὺ οἱ παῖδες Δαυὶδ καὶ Ἰωὰβ παρεγένοντο ἐκ τῆς ἐξοδίας, καὶ σκῦλα πολλὰ ἔφερον μεθ᾿ ἑαυτῶν· καὶ Ἀβεννὴρ οὐκ ἦν μετὰ Δαυὶδ εἰς Χεβρών, ὅτι ἀπεστάλκει αὐτὸν καὶ ἀπεληλύθει ἐν εἰρήνῃ.

Β Βασ. 3,22 - Και ιδού, αμέσως μετά την αναχώρησιν του Αβεννήρ, έφθασαν εις Χεβρών οι άνδρες του Δαυίδ και ο αρχιστράτηγος Ιωάβ, επιστρέφοντες από κάποιαν εκστρατείαν και φέροντες μαζή των πολλά λάφυρα. Ο δε Αβεννήρ δεν ευρίσκετο πλέον μαζή με τον Δαυίδ εις την Χεβρών, διότι είχεν αποσταλή από τον Δαυίδ και είχεν απέλθει ειρηνικώς, δια να εκτελέση την ανατεθείσαν εις αυτόν αποστολήν.

Β Βασ. 3,23 - καὶ Ἰωὰβ καὶ πᾶσα ἡ στρατιὰ αὐτοῦ ἤλθοσαν, καὶ ἀπηγγέλη τῷ Ἰωὰβ λέγοντες· ἥκει Ἀβεννὴρ υἱὸς Νὴρ πρὸς Δαυίδ, καὶ ἀπέσταλκεν αὐτὸν καὶ ἀπῆλθεν ἐν εἰρήνῃ.

Β Βασ. 3,23 - Ο δε Ιωάβ και όλος ο στρατός του ήλθον εις την Χεβρών. Εγνωστοποιήθη τότε εκεί προς τον Ιωάβ το γεγονός από ανθρώπους, οι οποίοι του είπαν· “ήλθεν ο υιός του Νηρ, ο Αβεννήρ, προς τον Δαυίδ. Ο Δαυίδ τον απέστειλε προς κάποιαν αποστολήν και εκείνος έφυγεν ειρηνικώς”.

Β Βασ. 3,24 - καὶ εἰσῆλθεν Ἰωὰβ πρὸς τὸν βασιλέα καὶ εἶπε· τί τοῦτο ἐποίησας; ἰδοὺ ἦλθεν Ἀβεννὴρ πρὸς σέ, καὶ ἱνατί ἐξαπέσταλκας αὐτὸν καὶ ἀπελήλυθεν ἐν εἰρήνῃ;

Β Βασ. 3,24 - Ο Ιωάβ εισήλθε προς τον βασιλέα και είπε· “τι είναι αυτό, το οποίον έκαμες; Ηλθεν ο Αβεννήρ εις σέ, και διατί τον αφήκες να αναχωρήση

και απήλθεν εν ειρήνη;

Β Βασ. 3,25 - ἢ οὐκ οἶδας τὴν κακίαν Ἀβεννὴρ υἱοῦ Νήρ, ὅτι ἀπατῆσαί σε παρεγένετο καὶ γνῶναι τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου καὶ γνῶναι ἅπαντα, ὅσα σὺ ποιεῖς;

Β Βασ. 3,25 - Η δεν γνωρίζεις την κακίαν του Αβεννήρ, του υιού του Νηρ, ότι ήλθε με τον σκοπόν να σε εξαπατήση, να γνωρίση τα κατατόπια σου και γενικώς να μάθη όλα, όσα συ κάμνεις;”

Β Βασ. 3,26 - καὶ ἀνέστρεψεν Ἰωὰβ ἀπὸ τοῦ Δαυὶδ καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἀβεννὴρ ὀπίσω, καὶ ἐπιστρέφουσιν αὐτὸν ἀπὸ τοῦ φρέατος τοῦ Σεειράμ· καὶ Δαυὶδ οὐκ ᾔδει.

Β Βασ. 3,26 - Ο Ιωάβ ανεχώρησεν από τον Δαυίδ και έστειλεν αγγελιαφόρους προς τον Αβεννήρ, οι οποίοι και τον επέστρεψαν από το φρέαρ Σεειράμ, όπου αυτός είχε φθάσει. Ο Δαυίδ δεν είχεν ιδέαν περί αυτών.

Β Βασ. 3,27 - καὶ ἐπέστρεψε τὸν Ἀβεννὴρ εἰς Χεβρών, καὶ ἐξέκλινεν αὐτὸν Ἰωὰβ ἐκ πλαγίων τῆς πύλης λαλῆσαι πρὸς αὐτὸν ἐνεδρεύων καὶ ἐπάταξεν αὐτὸν ἐκεῖ εἰς τὴν ψόαν, καὶ ἀπέθανεν ἐν τῷ αἵματι Ἀσαὴλ τοῦ ἀδελφοῦ Ἰωάβ.

Β Βασ. 3,27 - Ο Αβεννήρ επέστρεψεν εις την Χεβρών και ο Ιωάβ τον επήρε κατά μέρος στο εσωτερικόν της πύλης της πόλεως, διότι δήθεν ήθελε να συνομιλήση με αυτόν. Εκεί τον εκτύπησε δολίως εις τα νεφρά, εις την κοιλίαν. Ο Αβεννήρ εφονεύθη και έτσι εχύθη το αίμα του αντί του φονευθέντος Ασαήλ, αδελφού του Ιωάβ.

Β Βασ. 3,28 - Καὶ ἤκουσε Δαυὶδ μετὰ ταῦτα καὶ εἶπεν· ἀθῶός εἰμι ἐγὼ καὶ ἡ βασιλεία μου ἀπὸ Κυρίου καὶ ἕως αἰῶνος ἀπὸ τῶν αἱμάτων Ἀβεννὴρ υἱοῦ Νήρ·

Β Βασ. 3,28 - Επληροφορήθη κατόπιν ο Δαυίδ τα φοβερά αυτά γεγονότα και είπεν· “είμαι δια παντός αθώος ενώπιον του Κυρίου εγώ και η βασιλεία μου δια το αδικοχυμένον αίμα του Αβεννήρ, του υιού του Νηρ.

Β Βασ. 3,29 - καταντησάτωσαν ἐπὶ κεφαλὴν Ἰωὰβ καὶ ἐπὶ πάντα τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ, καὶ μὴ ἐκλείποι ἐκ τοῦ οἴκου Ἰωὰβ γονοῤῥυὴς καὶ λεπρὸς καὶ κρατῶν σκυτάλης καὶ πίπτων ἐν ῥομφαίᾳ καὶ ἐλασσούμενος ἄρτοις.

Β Βασ. 3,29 - Το αίμα του Αβεννήρ ας πέση εις την κεφαλήν του Ιωάβ και εις όλην την πατρικήν του οικογένειαν. Είθε να μη εκλείψη από την οικογένειαν του Ιωάβ γονορρυής και λεπρός και άνθρωπος χωλός και τυφλός κρατών ράβδον εις τα χέρια, δια να στηρίζεται, θανατούμενος από την ρομφαίαν των εχθρών και στερούμενος και από αυτό ακόμη το ψωμί του” !

Β Βασ. 3,30 - Ἰωὰβ δὲ καὶ Ἀβεσσὰ ὁ ἀδελφὸς αὐτοῦ διαπαρετηροῦντο τὸν Ἀβεννὴρ ἀνθ᾿ ὧν ἐθανάτωσε τὸν Ἀσαὴλ τὸν ἀδελφὸν αὐτῶν ἐν Γαβαών, ἐν τῷ πολέμῳ.

Β Βασ. 3,30 - Ο Ιωάβ και ο Αβεσσά, ο αδελφός αυτού, εκαιροφυλακτούσαν από καιρόν να θανατώσουν τον Αβεννήρ, διότι αυτός είχε φονεύσει τον Ασαήλ, τον αδελφόν των, εις την Γαβαών κατά την περίοδον του πολέμου.

Β Βασ. 3,31 - καὶ εἶπε Δαυὶδ πρὸς Ἰωὰβ καὶ πρὸς πάντα τὸν λαὸν τὸν μετ᾿ αὐτοῦ· διαῤῥήξατε τὰ ἱμάτια ὑμῶν καὶ περιζώσασθε σάκκους καὶ κόπτεσθε ἔμπροσθεν Ἀβεννήρ· καὶ ὁ βασιλεὺς Δαυὶδ ἐπορεύετο ὀπίσω τῆς κλίνης.

Β Βασ. 3,31 - Είπε δε ο Δαυίδ προς τον Ιωάβ και προς όλους εκείνους, που ήσαν μαζή του· “σχίσατε τα ενδύματά σας, φορέσατε σάκκους, κλαύσατε με κοπετούς και θρήνους δια τον θάνατον του Αβεννήρ”. Ο ίδιος δε ο βασιλεύς Δαυίδ ακολουθούσε πενθών το νεκρικόν φέρετρον.

Β Βασ. 3,32 - καὶ θάπτουσι τὸν Ἀβεννὴρ ἐν Χεβρών· καὶ ᾖρεν ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσεν ἐπὶ τοῦ τάφου αὐτοῦ, καὶ ἔκλαυσε πᾶς ὁ λαὸς ἐπὶ Ἀβεννήρ.

Β Βασ. 3,32 - Εθαψαν τον Αβεννήρ εις την Χεβρών. Ο δε βασιλεύς Δαυίδ κατά τον ενταφιασμόν του Αβεννήρ ύψωσε φωνήν μεγάλην και έκλαυσε. Μαζή δέ με τον Δαυίδ έκλαυσε και όλος ο στρατός δια τον θάνατον του Αβεννήρ.

Β Βασ. 3,33 - καὶ ἐθρήνησεν ὁ βασιλεὺς ἐπὶ Ἀβεννὴρ καὶ εἶπεν· εἰ κατὰ τὸν θάνατον Νάβαλ ἀποθανεῖται Ἀβεννήρ;

Β Βασ. 3,33 - Ο βασιλεύς Δαυίδ έψαλε τότε και ένα θρηνώδες άσμα δια τον Αβεννήρ και είπεν· “έπρεπε λοιπόν, να αποθάνη ο Αβεννήρ, όπως απέθανεν ο χυδαίος και κακός Ναβαλ;

Β Βασ. 3,34 - αἱ χεῖρές σου οὐκ ἐδέθησαν, οἱ πόδες σου οὐκ ἐν πέδαις· οὐ προσήγαγεν ὡς Νάβαλ, ἐνώπιον υἱῶν ἀδικίας ἔπεσας. καὶ συνήχθη πᾶς ὁ λαὸς τοῦ κλαῦσαι αὐτόν.

Β Βασ. 3,34 - Δεν εδέθησαν τα χέρια σου, και δεν επεράσθησαν τα πόδια σου εις σιδερένια δεσμά ως εις ηττημένον κατά τον πόλεμον. Δεν απέθανες κεραυνόπληκτος, όπως ο Ναβαλ. Επεσες δολοφονηθείς από υιούς της παρανομίας”. Συνήχθη όλος ο λαός δια να κλαύση αυτόν.

Β Βασ. 3,35 - καὶ ἦλθε πᾶς ὁ λαὸς περιδειπνῆσαι τὸν Δαυὶδ ἄρτοις ἔτι οὔσης ἡμέρας, καὶ ὤμοσε Δαυὶδ λέγων· τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη, ὅτι ἐὰν μὴ δύῃ ὁ ἥλιος, οὐ μὴ γεύσωμαι ἄρτου ἢ ἀπὸ παντός τινος.

Β Βασ. 3,35 - Ολος σχεδόν ο στρατός του Δαυίδ ήλθε προς αυτόν και τον παρακαλούσε να φάγη άρτον, καθ' ον χρόνον διαρκούσεν η ημέρα, διότι ο

Δαυίδ δια την δολοφονίαν του Αβεννήρ ωρκίσθη και είπεν· “ας με τιμωρήση ο Θεός, εάν φάγω άρτον η κάτι άλλο, πριν δύση ο ήλιος”.

Β Βασ. 3,36 - καὶ ἔγνω πᾶς ὁ λαός, καὶ ἤρεσεν ἐνώπιον αὐτῶν πάντα, ὅσα ἐποίησεν ὁ βασιλεὺς ἐνώπιον τοῦ λαοῦ.

Β Βασ. 3,36 - Εμαθεν αυτό όλος ο λαός· ήρεσαν δε στον λαόν όλα, όσα έκαμεν ο βασιλεύς ενώπιον του λαού.

Β Βασ. 3,37 - καὶ ἔγνω πᾶς ὁ λαὸς καὶ πᾶς Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι οὐκ ἐγένετο παρὰ τοῦ βασιλέως θανατῶσαι τὸν Ἀβεννὴρ υἱὸν Νήρ.

Β Βασ. 3,37 - Από όλα αυτά αντελήφθη όλος ο λαός και επείσθη κατά την ημέραν εκείνην, ότι όσα έγιναν δια τον θάνατον του Αβεννήρ, του υιού του Νηρ, δεν ήτο καθόλου υπεύθυνος ο βασιλεύς Δαυίδ.

Β Βασ. 3,38 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τοὺς παῖδας αὐτοῦ· οὐκ οἴδατε ὅτι ἡγούμενος μέγας πέπτωκεν ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐν τῷ Ἰσραήλ;

Β Βασ. 3,38 - Είπε δε ο βασιλεύς προς τους άνδρας του δια την απώλειαν του Αβεννήρ· “δεν γνωρίζετε ότι κατά την ημέραν αυτήν ένας μεγάλος άρχων του Ισραηλιτικού λαού εφονεύθη;”

Β Βασ. 3,39 - καὶ ὅτι ἐγώ εἰμι συγγενὴς σήμερον καὶ καθεσταμένος ὑπὸ βασιλέως; οἱ δὲ ἄνδρες οὗτοι υἱοὶ Σαρουΐας σκληρότεροί μού εἰσιν· ἀποδῷ Κύριος τῷ ποιοῦντι τὰ πονηρὰ κατὰ τὴν κακίαν αὐτοῦ.

Β Βασ. 3,39 - Θέλων δε να προλάβη κάθε κατηγορίαν, επειδή δεν ετιμώρησε τον Ιωάβ, είπε· “πως να φονεύσω αυτόν, αφού είναι, συγγενής μου, ο δε θρόνος μου προ ολίγου μόλις έχει αποκατασταθή; Εκτός δε τούτου οι αδελφοί αυτοί, Ιωάβ και Ιεσσά, οι υιοί της αδελφής μου της Σαρουΐας, είναι ισχυρότεροί μου σήμερα. Είθε εις καθένα, ο οποίος διαπράττει εγκλήματα, να αποδώση ο Κυριος την πρέπουσαν τιμωρίαν, ανάλογον προς την διαπραττομένην κακήν πράξιν”.

Β ΒΑΣΙΛΕΙΩΝ 4

Β Βασ. 4,1 - Καὶ ἤκουσεν Ἰεβοσθὲ υἱὸς Σαοὺλ ὅτι τέθνηκεν Ἀβεννὴρ υἱὸς Νὴρ ἐν Χεβρών, καὶ ἐξελύθησαν αἱ χεῖρες αὐτοῦ, καὶ πάντες οἱ ἄνδρες Ἰσραὴλ παρείθησαν.

Β Βασ. 4,1 - Ο Ιεβοσθέ, ο υιός του Σαούλ, επληροφορήθη, ότι εφονεύθη ο Αβεννήρ, ο υιός του Νηρ, εις την Χεβρών και παρέλυσαν τα χέρια του από τον φόβον. Ολοι δε οι Ισροηλίται κατελήφθησαν από φόβον μεγάλον.

Β Βασ. 4,2 - καὶ δύο ἄνδρες ἡγούμενοι συστρεμμάτων τῷ Ἰεβοσθὲ υἱῷ Σαούλ, ὄνομα τῷ ἑνὶ Βαανὰ καὶ ὄνομα τῷ δευτέρῳ Ῥηχάβ, υἱοὶ Ῥεμμὼν τοῦ Βηρωθαίου ἐκ τῶν υἱῶν Βενιαμίν· ὅτι Βηρὼθ ἐλογίζετο τοῖς υἱοῖς Βενιαμίν,

Β Βασ. 4,2 - Υπήρχον δύο άνδρες, αρχηγοί στρατιωτικών τμημάτων, που ανήκαν στον Ιεβοσθέ, τον υιόν του Σαούλ, εκ των οποίων ο ένας ωνομάζετο Βαανά και ο δεύτερος ωνομάζετο Ρηχάβ. Ησαν δε παιδιά του Ρεμμών του Βηρωθαίου, ο οποίος ανήκεν εις την φυλήν του Βενιαμίν. Διότι η Βηρώθ περιελαμβάνετο εις την φυλήν του Βενιαμίν.

Β Βασ. 4,3 - καὶ ἀπέδρασαν οἱ Βηθωραῖοι εἰς Γεθθαὶμ καὶ ἦσαν ἐκεῖ παροικοῦντες ἕως τῆς ἡμέρας ταύτης.

Β Βασ. 4,3 - Οι δύο αυτοί Βηρωθαίοι απέδρασαν και κατέφυγαν εις Γεθθαίμ, όπου και έμειναν ως παρεπιδημούντες μέχρι της ημέρας εκείνης, κατά την οποίαν είχε διαπραχθή η δολοφονία του Αβεννήρ.

Β Βασ. 4,4 - καὶ τῷ Ἰωνάθαν υἱῷ Σαοὺλ υἱὸς πεπληγὼς τοὺς πόδας· υἱὸς ἐτῶν πέντε οὗτος ἐν τῷ ἐλθεῖν τὴν ἀγγελίαν Σαοὺλ καὶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἐξ Ἰεζραήλ, καὶ ᾖρεν αὐτὸν ἡ τιθηνὸς αὐτοῦ καὶ ἔφυγε, καὶ ἐγένετο ἐν τῷ σπεύδειν αὐτὸν καὶ ἀναχωρεῖν, καὶ ἔπεσε καὶ ἐχωλάνθη, καὶ ὄνομα αὐτῷ Μεμφιβοσθέ.

Β Βασ. 4,4 - Ο Ιωνάθαν, ο υιός του Σαούλ, είχε υιόν χωλόν, ανάπηρον εις τα πόδια. Εγινε δε χωλός εις ηλικίαν πέντε ετών, τότε που ήλθεν η πληροφορία από την κοιλάδα του Ιεζραήλ δια την ήτταν και τον θάνατον του Σαούλ και του υιού του Σαούλ, του Ιωνάθαν. Η τροφός του τον επήρε και έφυγε. Καθώς δε αυτός κατά την αναχώρησιν έτρεχεν, έπεσεν, εκτύπησε και έγινε χωλός. Αυτός ωνομάζετο Μεμφιβοσθέ.

Β Βασ. 4,5 - καὶ ἐπορεύθησαν υἱοὶ Ῥεμμὼν τοῦ Βηρωθαίου Ῥεκχὰ καὶ Βαανὰ καὶ εἰσῆλθον ἐν τῷ καύματι τῆς ἡμέρας εἰς οἶκον Ἰεβοσθέ. καὶ αὐτὸς ἐκάθευδεν ἐν τῇ κοίτῃ τῆς μεσημβρίας,

Β Βασ. 4,5 - Οι υιοί του Ρεμμών, ο οποίος κατήγετο από την Βηρώθ, ο Ρεκχά και ο Βαανά, κατά την μεσημβρίαν, εις ώραν καύσωνος, εισήλθον στον οίκον του Ιεβοσθέ. Αυτός εκοιμάτο εις την κλίνην του κατά την μεσημβρίαν εκείνην.

Β Βασ. 4,6 - καὶ ἰδοὺ ἡ θυρωρὸς τοῦ οἴκου ἐκάθαιρε πυροὺς καὶ ἐνύσταξε καὶ ἐκάθευδε, καὶ Ῥεκχὰ καὶ Βαανὰ οἱ ἀδελφοὶ διέλαθον

Β Βασ. 4,6 - Η δε θυρωρός του σπιτιού εκαθάριζε σιτάρι, ενύσταξε και απεκοιμήθη. Ο Ρεκχά και ο Βαανά οι αδελφοί εισήλθον απαροτήρητοι στον οίκον.

Β Βασ. 4,7 - καὶ εἰσῆλθον εἰς τὸν οἶκον, καὶ Ἰεβοσθὲ ἐκάθευδεν ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κοιτῶνι αὐτοῦ, καὶ τύπτουσιν αὐτὸν καὶ θανατοῦσι καὶ ἀφαιροῦσι τὴν κεφαλὴν αὐτοῦ καὶ ἔλαβον τὴν κεφαλὴν αὐτοῦ καὶ ἀπῆλθον ὁδὸν τὴν κατὰ δυσμὰς ὅλην τὴν νύκτα.

Β Βασ. 4,7 - Ο Ιεβοσθέ εκοιμάτο επάνω εις την κλίνην του, στο ιδαίτερον δωμάτιόν του. Αυτοί τον εκτύπησαν, τον εφόνευσαν, απέκοψαν την κεφαλήν του, την οποίαν επήραν μαζή των και έφυγαν προς δυσμάς καθ' όλην την νύκτα.

Β Βασ. 4,8 - καὶ ἤνεγκαν τὴν κεφαλὴν Ἰεβοσθὲ τῷ Δαυὶδ εἰς Χεβρὼν καὶ εἶπαν πρὸς τὸν βασιλέα· ἰδοὺ ἡ κεφαλὴ Ἰεβοσθὲ υἱοῦ Σαοὺλ τοῦ ἐχθροῦ σου, ὃς ἐζήτει τὴν ψυχήν σου, καὶ ἔδωκε Κύριος τῷ κυρίῳ βασιλεῖ ἐκδίκησιν τῶν ἐχθρῶν αὐτοῦ, ὡς ἡ ἡμέρα αὕτη, ἐκ Σαοὺλ τοῦ ἐχθροῦ σου καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ.

Β Βασ. 4,8 - Ηλθον εις την Χεβρών και έφεραν την κεφαλήν του Ιεβοσθέ στον Δαυίδ και είπαν προς τον βασιλέα· “ιδού, αυτή είναι η κεφαλή του Ιεβοσθέ, υιού του Σαούλ του εχθρού σου, ο οποίος εζήτει να σε θανατώση. Ο Κυριος όμως ετιμώρησε τους εχθρούς σου, του κυρίου και βασιλέως μας, κατά την ημέραν αυτήν, διότι ετιμώρησε τον εχθρόν σου, τον Σαούλ, και τους απογόνους του”.

Β Βασ. 4,9 - καὶ ἀπεκρίθη Δαυὶδ τῷ Ῥεκχὰ καὶ τῷ Βαανὰ ἀδελφῷ αὐτοῦ υἱοῖς Ῥεμμὼν τοῦ Βηρωθαίου καὶ εἶπεν αὐτοῖς· ζῇ Κύριος, ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ πάσης θλίψεως,

Β Βασ. 4,9 - Ο Δαυίδ απήντησεν στον Ρεκχά και τον αδελφόν του Βαανά, οι οποίοι ήσαν παιδιά του Ρεμμών του Βηρωθαίου, και τους είπεν· “επικαλούμαι μάρτυρα τον Κυριον, ο οποίος έσωσε την ζωήν μου από πολλούς θανασίμους κινδύνους,

Β Βασ. 4,10 - ὅτι ὁ ἀπαγγείλας μοι ὅτι τέθνηκε Σαούλ, καὶ αὐτὸς ἦν ὡς εὐαγγελιζόμενος ἐνώπιόν μου, καὶ κατέσχον αὐτὸν καὶ ἀπέκτεινα αὐτὸν ἐν Σεκελάκ, ᾧ ἔδει με δοῦναι εὐαγγέλια.

Β Βασ. 4,10 - και σας καθιστώ γνωστόν ότι αυτός, που ανήγγειλεν εις εμέ πως εφονεύθη ο Σαούλ, μου ανέφερε την είδησιν, νομίζων ότι αυτή θα μου ήτο ευχάριστος. Εγώ όμως τον συνέλαβα και τον εφόνευσα εις την πόλιν Σεκελάκ, ενώ ο οιοσδήποτε θα ενόμιζεν ότι έπρεπε να του δώσω δώρα δι' ευχάριστον είδησιν.

Β Βασ. 4,11 - καὶ νῦν ἄνδρες πονηροὶ ἀπεκτάγκασιν ἄνδρα δίκαιον ἐν τῷ οἴκῳ αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ· καὶ νῦν ἐκζητήσω τὸ αἷμα αὐτοῦ ἐκ χειρὸς ὑμῶν καὶ ἐξολοθρεύσω ὑμᾶς ἐκ τῆς γῆς.

Β Βασ. 4,11 - Και ιδού σήμερα άνδρες πονηροί εφόνευσαν αθώον άνδρα εις την κλίνην του εντός του δωματίου του. Εγώ τώρα θα σας τιμωρήσω δια το αθώον αυτό αίμα, που εχύσατε και θα σας εξολοθρεύσω από την γην”.

Β Βασ. 4,12 - καὶ ἐνετείλατο Δαυὶδ τοῖς παιδαρίοις αὐτοῦ καὶ ἀποκτείνουσιν αὐτοὺς καὶ κολοβοῦσι τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας αὐτῶν καὶ ἐκρέμασαν αὐτοὺς ἐπὶ τῆς κρήνης ἐν Χεβρών· καὶ τὴν κεφαλὴν Ἰεβοσθὲ ἔθαψαν ἐν τῷ τάφῳ Ἀβεννὴρ υἱοῦ Νήρ.

Β Βασ. 4,12 - Ο Δαυίδ διέταξε τους άνδρας του να θανατώσουν αυτούς τους δύο δολοφόνους αδελφούς. Εκείνοι τους εξετέλεσαν αμέσως, έκοψαν τα χέρια και τα πόδια των και εκρέμασαν αυτούς εις την πηγήν Χεβρών. Την

δε κεφαλήν του Ιεβοσθέ την έθαψαν εις Χεβρών στον τάφον, όπου προηγουμένως είχαν θάψει και τον Αβεννήρ, τον υιόν του Νηρ.

Β ΒΑΣΙΛΕΙΩΝ 5

Β Βασ. 5,1 - Καὶ παραγίνονται πᾶσαι αἱ φυλαὶ Ἰσραὴλ πρὸς Δαυὶδ εἰς Χεβρὼν καὶ εἶπαν αὐτῷ· ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς·

Β Βασ. 5,1 - Ολαι αι ισραηλιτικαί φυλαί ήλθον κατόπιν προς τον Δαυίδ, ο οποίος ευρίσκετο εις την Χεβρών, τον ανεγνώρισαν ως βασιλέα των και είπαν προς αυτόν· “ιδού, ημείς είμεθα οστά σου και σάρκες σου.

Β Βασ. 5,2 - καὶ ἐχθὲς καὶ τρίτην ὄντος Σαοὺλ βασιλέως ἐφ᾿ ἡμῖν, σὺ ἦσθα ὁ ἐξάγων καὶ εἰσάγων τὸν Ἰσραήλ, καὶ εἶπε Κύριος πρὸς σέ· σὺ ποιμανεῖς τὸν λαόν μου τὸν Ἰσραήλ, καὶ σὺ ἔσῃ εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ.

Β Βασ. 5,2 - Κατά τα παρελθόντα έτη, όταν ο Σαούλ ήτο βασιλεύς μας, συ εις την πραγματικότητα ήσο ο πραγματικός άρχων, που ωδηγούσες εις όλα τον λαόν του Ισραήλ, και προς σε είπεν ο Κυριος· Συ θα κυβερνάς τον λαόν μου τον ισραηλιτικόν, συ θα είσαι ο βασιλεύς στον λαόν μου τον Ισραήλ. Σε αναγνωρίζομεν, λοιπόν, ως βασιλέα”.

Β Βασ. 5,3 - καὶ ἔρχονται πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς Χεβρών, καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς Δαυὶδ διαθήκην ἐν Χεβρὼν ἐνώπιον Κυρίου, καὶ χρίουσι τὸν Δαυὶδ εἰς βασιλέα ἐπὶ πάντα Ἰσραήλ.

Β Βασ. 5,3 - Ηλθαν όλοι οι άρχοντες του Ισραηλιτικού λαού προς τον βασιλέα Δαυίδ εις Χεβρών και ο Δαυίδ έκλεισε με αυτούς συμφωνίαν ενώπιον του Κυρίου εις την Χεβρών, να είναι βασιλεύς των. Εκείνοι δε έχρισαν και ανεγνώρισαν αυτόν ως βασιλέα επί όλου του ισραηλιτικού λαού.

Β Βασ. 5,4 - υἱὸς τριάκοντα ἐτῶν Δαυὶδ ἐν τῷ βασιλεῦσαι αὐτὸν καὶ τεσσαράκοντα ἔτη ἐβασίλευσεν,

Β Βασ. 5,4 - Τριάκοντα ετών ήτα ο Δαυίδ, όταν έγινε βασιλεύς όλου του ισραηλιτικού λαού. Εβασίλευσε δε εν συνόλω τεσσαράκοντα έτη.

Β Βασ. 5,5 - ἑπτὰ ἔτη καὶ μῆνας ἓξ ἐβασίλευσεν ἐν Χεβρὼν ἐπὶ τὸν Ἰούδαν καὶ τριάκοντα τρία ἔτη ἐβασίλευσεν ἐπὶ πάντα Ἰσραὴλ καὶ Ἰούδαν ἐν Ἱερουσαλήμ.

Β Βασ. 5,5 - Επτά έτη και ες μήνας ήτο βασιλεύς εις την φυλήν Ιούδα έχων την έδραν του εις Χεβρών. Τριάκοντα τρία δε έτη έχων την έδραν του εις την Ιερουσαλήμ εβασίλευσεν επί όλου του Ισραηλιτικού λαού, συμπεριλαμβανομένης βέβαια και της φυλής του Ιούδα.

Β Βασ. 5,6 - Καὶ ἀπῆλθε Δαυὶδ καὶ οἱ ἄνδρες αὐτοῦ εἰς Ἱερουσαλὴμ πρὸς τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα τὴν γῆν. καὶ ἐῤῥέθη τῷ Δαυίδ· οὐκ εἰσελεύσῃ ὧδε, ὅτι ἀντέστησαν οἱ τυφλοὶ καὶ οἱ χωλοὶ λέγοντες ὅτι οὐκ εἰσελεύσεται Δαυὶδ ὧδε.

Β Βασ. 5,6 - Ο Δαυίδ και άνδρες του ήλθον εις την Ιερουσαλήμ, δια να πολεμήσουν εναντίον των Ιεβουσαίων, οι οποίοι κατείχον την χώραν εκείνην. Οι Ιεβουσαίοι παρήγγειλαν στον Δαυίδ· “δεν πρόκειται να εισέλθης και να καταλάβης την πόλιν, διότι είναι πολύ οχυρά και διότι όλοι θα αντισταθώμεν και αυτοί ακόμα οι τυφλοί και οι χωλοί, οι οποίοι και λέγουν, ότι δεν θα εισέλθη εδώ ο Δαυίδ”.

Β Βασ. 5,7 - καὶ κατελάβετο Δαυὶδ τὴν περιοχὴν Σιὼν (αὕτη ἡ πόλις τοῦ Δαυίδ).

Β Βασ. 5,7 - Εν τούτοις ο Δαυίδ κατέλαβε την Σιών, την ακρόπολιν της Ιερουσαλήμ αυτή ωνομάσθη βραδύτερον “πόλις Δαυίδ”.

Β Βασ. 5,8 - καὶ εἶπε Δαυὶδ τῇ ἡμέρᾳ ἐκείνῃ· πᾶς τύπτων Ἰεβουσαῖον ἁπτέσθω ἐν παραξιφίδι καὶ τοὺς χωλοὺς καὶ τοὺς τυφλοὺς καὶ τοὺς μισοῦντας τὴν ψυχὴν Δαυίδ· διὰ τοῦτο ἐροῦσι· τυφλοὶ καὶ χωλοὶ οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου.

Β Βασ. 5,8 - Κατά την ημέραν εκείνην ο Δαυίδ είπε· “καθένας, που συναντά Ιεβουσαίον, ας τον κτυπά με το εγχειρίδιον. Το ιδιο θα γίνεται και με τους χωλούς και τους τυφλούς Ιεβουσαίους, οι οποίοι κατεφρόνησαν τον Δαυίδ. Από αυτό δε το γεγονός και επεκράτησεν η παροιμία· Τυφλοί και χωλοί δεν θα εισέλθουν στον οίκον του Κυρίου”.

Β Βασ. 5,9 - καὶ ἐκάθισε Δαυὶδ ἐν τῇ περιοχῇ, καὶ ἐκλήθη αὕτη ἡ πόλις Δαυίδ· καὶ ᾠκοδόμησεν αὐτὴν πόλιν κύκλῳ ἀπὸ τῆς ἄκρας καὶ τὸν οἶκον αὐτοῦ.

Β Βασ. 5,9 - Ο Δαυίδ εγκατεστάθη στο φρούριον της Σιών και αυτή η περιοχή ωνομάσθη “πόλις Δαυίδ”. Ωκοδόμησεν ο Δαυίδ και ωχύρωσε την πόλιν αυτήν από του φρουρίου και γύρω, μέσα στο οποίον περιεκλείετο και ο ιδικός του οίκος.

Β Βασ. 5,10 - καὶ διεπορεύετο Δαυὶδ πορευόμενος καὶ μεγαλυνόμενος, καὶ Κύριος παντοκράτωρ μετ᾽ αὐτοῦ.

Β Βασ. 5,10 - Ο Δαυίδ ολονέν και περισσότερον εμεγαλύνετο και ανεδεικνύετο, διότι Κυριος ο παντοκράτωρ ήτο μαζή του.

Β Βασ. 5,11 - καὶ ἀπέστειλε Χειρὰμ βασιλεὺς Τύρου ἀγγέλους πρὸς Δαυὶδ καὶ ξύλα κέδρινα καὶ τέκτονας ξύλων καί τέκτονας λίθων καὶ ᾠκοδόμησαν οἶκον τῷ Δαυίδ.

Β Βασ. 5,11 - Ο Χειράμ, ο βασιλεύς της Τυρου, απέστειλεν ανθρώπους του προς τον Δαυίδ, όπως επίσης ξύλα κέδρινα, ξυλουργούς, κτίστας, και εκείνοι έκτισαν ανάκτορον δια τον Δαυίδ.

Β Βασ. 5,12 - καὶ ἔγνω Δαυὶδ ὅτι ἡτοίμασεν αὐτὸν Κύριος εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ ὅτι ἐπῄρθη ἡ βασιλεία αὐτοῦ διὰ τὸν λαὸν αὐτοῦ Ἰσραήλ.

Β Βασ. 5,12 - Ο Δαυίδ κατενόησε τότε ότι ο Κυριος εγκατέστησε πράγματι αυτόν βασιλέα στον ισραηλιτικόν λαόν και ότι η βασιλεία του ανήλθεν εις μεγάλην ακμήν δια τον λαόν αυτού τον ισραηλιτικόν.

Β Βασ. 5,13 - καὶ ἔλαβε Δαυὶδ ἔτι γυναῖκας καὶ παλλακὰς ἐξ Ἱερουσαλὴμ μετὰ τὸ ἐλθεῖν αὐτὸν ἐκ Χεβρών, καὶ ἐγένοντο τῷ Δαυὶδ ἔτι υἱοὶ καὶ θυγατέρες.

Β Βασ. 5,13 - Ο Δαυίδ έλαβε και άλλας γυναίκας πρώτης και δευτέρας σειράς, από την Ιερουσαλήμ, όταν ήλθεν εκεί από την Χεβρών. Απέκτησε δε από αυτάς υιούς και θυγατέρας.

Β Βασ. 5,14 - καὶ ταῦτα τὰ ὀνόματα τῶν γεννηθέντων αὐτῷ ἐν Ἱερουσαλήμ· Σαμμοὺς καὶ Σωβὰβ καὶ Νάθαν καὶ Σαλωμὼν

Β Βασ. 5,14 - Αυτά δε είναι τα ονόματα των υιών του, οι οποίοι εγεννήθησαν εις την Ιερουσαλήμ· Σαμμούς, Σωβάβ, Ναθαν, Σαλωμών.

Β Βασ. 5,15 - καὶ Ἐβεὰρ καὶ Ἐλισοὺς καὶ Ναφὲκ καὶ Ἰεφιὲς

Β Βασ. 5,15 - Εβεάρ, Ελισούς, Ναφέκ, Ιεφιές.

Β Βασ. 5,16 - καὶ Ἐλισαμὰ καὶ Ἐλιδαὲ καὶ Ἐλιφαλάθ, Σαμαέ, Ἰεσσιβάθ, Νάθαν, Γαλαμαάν, Ἰεβαάρ, Θεησοῦς, Ἐλιφαλάτ, Ναγέδ, Ναφέκ, Ἰανάθαν, Λεασαμύς, Βααλιμάθ, Ἐλιφαάθ.

Β Βασ. 5,16 - Ελισαμά, Ελιδαέ, Ελιφαλάθ, Σαμαέ, Ιεσσιβάθ, Ναθαν, Γαλαμαάν, Ιεβαάρ, Θεησούς, Ελιφαλάτ, Ναγέδ, Ναφέκ, Ιανάθαν, Λεασαμύς, Βααλιμάθ και Ελιφαάθ.

Β Βασ. 5,17 - Καὶ ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι κέχρισται Δαυὶδ βασιλεὺς ἐπὶ Ἰσραήλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητεῖν τὸν Δαυίδ· καὶ ἤκουσε Δαυὶδ καὶ κατέβη εἰς τὴν περιοχήν.

Β Βασ. 5,17 - Οι Φιλισταίοι, οι αλλόφυλοι, ήκουσαν ότι ο Δαυίδ εχρίσθη βασιλεύς του Ισραηλιτικού λαού και εξεστράτευσαν όλοι, δια να αναζητήσουν και πολεμήσουν τον Δαυίδ. Ο Δαυίδ έμαθε τούτο και κατέβη στο φρούριον.

Β Βασ. 5,18 - καὶ οἱ ἀλλόφυλοι παραγίνονται καὶ συνέπεσαν εἰς τὴν κοιλάδα τῶν Τιτάνων

Β Βασ. 5,18 - Φιλισταίοι ήλθον και διεχύθησαν εις την "κοιλάδα των Τιτάνων".

Β Βασ. 5,19 - καὶ ἠρώτησε Δαυὶδ διὰ Κυρίου λέγων· εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους καὶ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπε Κύριος πρὸς Δαυίδ· ἀνάβαινε, ὅτι παραδιδοὺς παραδώσω τοὺς ἀλλοφύλους εἰς τὰς χεῖράς σου.

Β Βασ. 5,19 - Ο Δαυίδ ηρώτησε τον Κυριον λέγων· "εάν βαδίσω εναντίον των Φιλισταίων, θα παραδώσης αυτούς εις τα χέρια μου;" Και ο Κυριος του

απήντησε· “πήγαινε, διότι ασφαλώς και βεβαίως θα παραδώσω εγώ αυτούς εις τα χέρια σου”.

Β Βασ. 5,20 - καὶ ἦλθε Δαυὶδ ἐκ τῶν ἐπάνω διακοπῶν καὶ ἔκοψε τοὺς ἀλλοφύλους ἐκεῖ, καὶ εἶπε Δαυίδ· διέκοψε Κύριος τοὺς ἐχθροὺς ἀλλοφύλους ἐνώπιον ἐμοῦ, ὡς διακόπτεται ὕδατα· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Ἐπάνω διακοπῶν.

Β Βασ. 5,20 - Ο Δαυίδ από την τοποθεσίαν, η οποία ωνομάζετο “Επάνω Διακοπαί”, ήλθον εκεί, όπου ήσαν οι Φιλισταίοι, επετέθη εναντίον των και τους εξωλόθρευσε. Ο Δαυίδ είπε τότε· “Ο Κυριος διεσκόρπισε τους εχθρούς αυτού, τούτους τους Φιλισταίους, ενώπιόν μου, όπως διακόπτεται η ροή και διασκορπίζονται τα ορμητικά ύδατα”. Δια τούτο ωνομάσθη το όνομα της περιοχής εκείνης “Επάνω Διακοπαί”.

Β Βασ. 5,21 - καὶ καταλιμπάνουσιν ἐκεῖ τοὺς θεοὺς αὐτῶν, καὶ ἐλάβοσαν αὐτοὺς Δαυὶδ καὶ οἱ ἄνδρες οἱ μετ᾿ αὐτοῦ.

Β Βασ. 5,21 - Οι Φιλισταίοι, κατά την πανικόβλητον φυγήν των, εγκατέλειψαν και τα αγάλματα των θεών των, τα οποία επήραν οι άνδρες του Δαυίδ ως λάφυρα μαζή των.

Β Βασ. 5,22 - καὶ προσέθεντο ἔτι ἀλλόφυλοι τοῦ ἀναβῆναι καὶ συνέπεσαν ἐν τῇ κοιλάδι τῶν Τιτάνων.

Β Βασ. 5,22 - Οι Φιλισταίοι απεφάσισαν και εξεστράτευσαν πάλιν κατά του Δαυίδ και ήσαν τόσοι, ώστε διεχύθησαν και εγέμισαν πάλιν την κοιλάδα των Τιτάνων.

Β Βασ. 5,23 - καὶ ἐπηρώτησε Δαυὶδ διὰ Κυρίου καὶ εἶπε Κύριος· οὐκ ἀναβήσῃ εἰς συνάντησιν αὐτῶν, ἀποστρέφου ἀπ᾿ αὐτῶν καὶ παρέσῃ αὐτοῖς πλησίον τοῦ Κλαυθμῶνος·

Β Βασ. 5,23 - Ο Δαυίδ ηρώτησε και πάλιν, κατά τον καθιερωμένον τροπον, τον Κυριον, αν πρέπει να επιτεθή εναντίον των Φιλισταίων. Ο Κυριος του απήντησε· “δεν θα επιτεθής εναντίον των κατά μέτωπον, αλλά θα βαδίσης όπισθέν των. Κατόπιν πλησίασε προς αυτούς εις την τοποθεσίαν του Κλαυθμώνος.

Β Βασ. 5,24 - καὶ ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν φωνὴν τοῦ συγκλεισμοῦ ἀπὸ τοῦ ἄλσους τοῦ Κλαυθμῶνος, τότε καταβήσῃ πρὸς αὐτούς, ὅτι τότε ἐξελεύσεται Κύριος ἔμπροσθέν σου κόπτειν ἐν τῷ πολέμῳ τῶν ἀλλοφύλων.

Β Βασ. 5,24 - Οταν ακούσης ισχυράν βοήν του ανέμου εις τα δένδρα του δάσους του Κλαυθμώνος, τότε ο Κυριος θα προηγήται από σε σκορπίζων και εξολοθρεύων κατά τον πόλεμον αυτόν τους Φιλισταίους”.

Β Βασ. 5,25 - καὶ ἐποίησε Δαυὶδ καθὼς ἐνετείλατο αὐτῷ Κύριος, καὶ ἐπάταξε τοὺς ἀλλοφύλους ἀπό Γαβαὼν ἕως τῆς γῆς Γαζηρά.

Β Βασ. 5,25 - Ο Δαυίδ έκαμεν, όπως τον διέταξεν ο Κυριος. Εκτύπησε και κατετρόπωσε τους Φιλισταίους από την Γαβαών ως εις την χώραν της Γαζηρά.

B ΒΑΣΙΛΕΙΩΝ 6

B Βασ. 6,1 - Καὶ συνήγαγεν ἔτι Δαυὶδ πάντα νεανίαν ἐξ Ἰσραήλ, ὡς ἑβδομήκοντα χιλιάδας.

B Βασ. 6,1 - Ο Δαυίδ προσεκάλεσε και πάλιν όλους τους νεαρούς άνδρας του Ισραηλιτικού λαού, εβδομήκοντα περίπου χιλιάδες άνδρας.

B Βασ. 6,2 - καὶ ἀνέστη καὶ ἐπορεύθη Δαυὶδ καὶ πᾶς ὁ λαὸς ὁ μετ᾿ αὐτοῦ καὶ ἀπὸ τῶν ἀρχόντων Ἰούδα ἐν ἀναβάσει τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ Θεοῦ, ἐφ᾿ ἣν ἐπεκλήθη τὸ ὄνομα τοῦ Κυρίου τῶν δυνάμεων καθημένου ἐπὶ τῶν Χερουβὶν ἐπ᾿ αὐτῆς.

B Βασ. 6,2 - Ητοιμάσθη ο Δαυίδ και όλος ο λαός, που ήτο μαζή του, μαζή με τους αρχηγούς της φυλής Ιούδα και από την Ιερουσαλήμ επορεύθησαν, δια να μεταφέρουν την Κιβωτόν της Διαθήκης του Θεού από τον τόπον, στον οποίον αυτή ευρίσκετο. Επάνω δε εις την Κιβωτόν αυτήν είχε γραφή το όνομα του Θεού, του Κυρίου των αγγελικών δυνάμεων, ο οποίος αναπαύεται επί των Χερουβίμ.

B Βασ. 6,3 - καὶ ἐπεβίβασαν τὴν κιβωτὸν Κυρίου ἐφ᾿ ἅμαξαν καινὴν καὶ ἦραν αὐτὴν ἐξ οἴκου Ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ· καὶ Ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ Ἀμιναδὰβ ἦγον τὴν ἅμαξαν σὺν τῇ κιβωτῷ,

B Βασ. 6,3 - Ετοποθέτησαν την Κιβωτόν επάνω εις μίαν καινουργή άμαξαν. Επήραν δε την Κιβωτόν από την οικίαν του Αμιναδάβ, ο οποίος κατοικούσεν εις κάποιον εκεί λόφον. Μεταξύ δε εκείνων, που ακολουθούσαν, ήσαν ο Οζά και οι αδελφοί του, παιδιά του Αμιναδάβ. Ο Οζά ωδηγούσε την άμαξαν, επί της οποίας ήτο η Κιβωτός.

B Βασ. 6,4 - καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ.

B Βασ. 6,4 - Οι αδελφοί αυτού εβάδιζαν με σεβασμόν εμπρός από την Κιβωτόν.

B Βασ. 6,5 - καὶ Δαυὶδ καὶ υἱοὶ Ἰσραὴλ παίζοντες ἐνώπιον Κυρίου ἐν ὀργάνοις ἡρμοσμένοις ἐν ἰσχύϊ, καὶ ἐν ᾠδαῖς καὶ ἐν κινύραις καὶ ἐν νάβλαις καὶ ἐν τυμπάνοις καὶ ἐν κυμβάλοις καὶ ἐν αὐλοῖς.

B Βασ. 6,5 - Ο Δαυίδ και οι άλλοι Ισραιλίται επανηγύριζαν, παίζοντες ενώπιον της Κιβωτού όργανα μουσικά, κατάλληλα δια ισχυρούς τόνους, και άδοντες ωδάς. Τα δε μουσικά όργανα ήσαν κινύραι, νάβλαι, τύμπανα, κύμβαλα και αυλοί.

B Βασ. 6,6 - καὶ παραγίνονται ἕως ἅλω Ναχών, καὶ ἐξέτεινεν Ὀζὰ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ Θεοῦ κατασχεῖν αὐτὴν καὶ ἐκράτησεν αὐτήν, ὅτι περιέσπασεν αὐτὴν ὁ μόσχος.

B Βασ. 6,6 - Η ιερά αυτή πομπή έφθασεν στο αλώνι του Ναχών. Εκεί ο Οζάς άπλωσε το χέρι του επάνω εις την Κιβωτόν του Θεού, να την κρατήση·

και την, εκράτησε, διότι τα βόϊδια, που έσυραν την Κιβωτόν, την εταλάντευσαν και υπήρχε φόβος να πέση.

Β Βασ. 6,7 - καὶ ἐθυμώθη ὀργῇ Κύριος τῷ Ὀζά, καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ Θεός, καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν κιβωτὸν τοῦ Κυρίου ἐνώπιον τοῦ Θεοῦ.

Β Βασ. 6,7 - Ο Θεός ωργίσθη πολύ εναντίον του Οζά, εκτύπησεν αυτόν και τον εθανάτωσεν στον τόπον εκείνον πλησίον της Κιβωτού, ενώπιον αυτού τούτου του Κυρίου.

Β Βασ. 6,8 - καὶ ἠθύμησε Δαυὶδ ὑπὲρ οὗ διέκοψε Κύριος διακοπὴν ἐν τῷ Ὀζά· καὶ ἐκλήθη ὁ τόπος ἐκεῖνος Διακοπὴ Ὀζὰ ἕως τῆς ἡμέρας ταύτης.

Β Βασ. 6,8 - Ο Δαυίδ ελυπήθη πολύ, διότι δια του θανάτου διέκοψεν ο Κυριος την ζωήν του Οζά. Δια τούτο ο τόπος εκείνος ωνομάσθη “Διακοπή Οζά” μέχρι της ημέρας αυτής.

Β Βασ. 6,9 - καὶ ἐφοβήθη Δαυὶδ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· πῶς εἰσελεύσεται πρός με ἡ κιβωτὸς Κυρίου;

Β Βασ. 6,9 - Ο Δαυίδ εφοβήθη τον Κυριον κατά την ημέραν εκείνην και είπε· “πως θα εισέλθη η Κιβωτός εις την πόλιν μου, πλησίον μου;”

Β Βασ. 6,10 - καὶ οὐκ ἐβούλετο Δαυὶδ τοῦ ἐκκλῖναι πρὸς αὐτὸν τὴν κιβωτὸν διαθήκης Κυρίου εἰς τὴν πόλιν Δαυίδ, καὶ ἀπέκλινεν αὐτὴν Δαυὶδ εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθθαίου.

Β Βασ. 6,10 - Δια τούτο δεν ήθελεν ο Δαυίδ να φέρη την Κιβωτόν του Κυρίου εις την πόλιν Δαυίδ, αλλά την ωδήγησεν στον οίκον του Αβεδδαρά, ο οποίος κατήγετο από την Γέθ.

Β Βασ. 6,11 - καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ Κυρίου εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθθαίου μῆνας τρεῖς· καὶ εὐλόγησε Κύριος ὅλον τὸν οἶκον Ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ.

Β Βασ. 6,11 - Η Κιβωτός του Κυρίου παρέμεινεν στον οίκον Αβεδδαρά του Γεθθαίου επί τρεις μήνας. Ο δε Κυριος ηυλόγησε τον οίκον του Αδεδδαρά και όλα όσα ανήκον εις αυτόν.

Β Βασ. 6,12 - καὶ ἀπηγγέλη τῷ βασιλεῖ Δαυὶδ λέγοντες· εὐλόγησε Κύριος τὸν οἶκον Ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ ἕνεκα τῆς κιβωτοῦ τοῦ Θεοῦ, καὶ ἐπορεύθη Δαυὶδ καὶ ἀνήγαγε τὴν κιβωτὸν τοῦ Κυρίου ἐκ τοῦ οἴκου Ἀβεδδαρὰ εἰς τὴν πόλιν Δαυὶδ ἐν εὐφροσύνῃ.

Β Βασ. 6,12 - Εγνωστοποίησαν στον βασιλέα Δαυίδ το γεγονός και του είπαν· “ο Κυριος ηυλόγησε την οικογένειαν του Αβεδδαρά και όλα όσα ανήκουν εις αυτόν λόγω της Κιβωτού, που μένει εις την οικίαν του”. Ο Δαυίδ γεμάτος θάρρος και σεβασμόν προς τον Θεόν μετέβη και μετέφερε την Κιβωτόν του Κυρίου από τον οίκον του Αβεδδαρά εις την πόλιν Δαυίδ, με χαρμόσυνον πομπήν.

Β Βασ. 6,13 - καὶ ἦσαν μετ᾽ αὐτοῦ αἴροντες τὴν κιβωτὸν ἑπτὰ χοροὶ καὶ θῦμα μόσχος καὶ ἄρνες.

Β Βασ. 6,13 - Επτά χοροί ήσαν μαζή του, οι οποίοι μετέφεραν την Κιβωτόν, αφού προηγουμένως προσέφεραν θυσίαν ένα μόσχον και αμνούς.

Β Βασ. 6,14 - καὶ Δαυὶδ ἀνεκρούετο ἐν ὀργάνοις ἡρμοσμένοις ἐνώπιον Κυρίου, καὶ ὁ Δαυὶδ ἐνδεδυκὼς στολὴν ἔξαλλον.

Β Βασ. 6,14 - Ο ίδιος ο Δαυίδ έπαιζεν εκλεκτά μουσικά όργανα ενώπιον του Κυρίου, έφερε δε ενδυμασίαν όχι την βασιλικήν, αλλά άλλην απλήν και ταπεινήν.

Β Βασ. 6,15 - καὶ Δαυὶδ καὶ πᾶς ὁ οἶκος Ἰσραὴλ ἀνήγαγον τὴν κιβωτὸν Κυρίου μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος.

Β Βασ. 6,15 - Ο Δαυίδ και όλος ο ισραηλιτικός λαός μετέφεραν την Κιβωτόν με κραυγάς αγαλλιάσεως και με ήχους σαλπίγγων.

Β Βασ. 6,16 - καὶ ἐγένετο τῆς κιβωτοῦ παραγινομένης ἕως πόλεως Δαυὶδ καὶ Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ διέκυπτε διὰ τῆς θυρίδος καὶ εἶδε τὸν βασιλέα Δαυὶδ ὀρχούμενον καὶ ἀνακρουόμενον ἐνώπιον Κυρίου καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῆς.

Β Βασ. 6,16 - Οταν η Κιβωτός έφθασεν εις την “πόλιν Δαυίδ”, η σύζυγος του Δαυίδ, η Μελχόλ, θυγάτηρ του Σαούλ, έκυψεν από το παράθυρόν της και είδε τον σύζυγόν της, τον βασιλέα, να χορεύη και να παίζη μουσικά όργανα ενώπιον της Κιβωτού του Κυρίου. Εσωτερικώς τον επέκρινε και τον εξουδένωσε.

Β Βασ. 6,17 - καὶ φέρουσι τὴν κιβωτὸν τοῦ Κυρίου καὶ ἀνέθηκαν αὐτὴν εἰς τὸν τόπον αὐτῆς εἰς μέσον τῆς σκηνῆς, ἧς ἔπηξεν αὐτῇ Δαυίδ· καὶ ἀνήνεγκε Δαυὶδ ὁλοκαυτώματα ἐνώπιον Κυρίου καὶ εἰρηνικάς.

Β Βασ. 6,17 - Μετέφεραν εν τέλει την Κιβωτόν της Διαθήκης του Κυρίου και την ετοποθέτησαν στον τόπον της, στο μέσον της σκηνής, την οποίαν είχε στήσει ο Δαυίδ. Ο Δαυίδ κατά την ώραν εκείνην προσέφερεν ολοκαυτώματα και άλλας ειρηνικάς θυσίας.

Β Βασ. 6,18 - καὶ συνετέλεσε Δαυὶδ συναναφέρων τὰς ὁλοκαυτώσεις καὶ τὰς εἰρηνικὰς καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόματι Κυρίου τῶν δυνάμεων.

Β Βασ. 6,18 - Οταν ο Δαυίδ επεράτωσε την προσφοράν των ολοκαυτωμάτων και των ειρηνικών θυσιών, ευλόγησε τον λαόν εν ονόματι του Κυρίου των δυνάμεων.

Β Βασ. 6,19 - καὶ διεμέρισε παντὶ τῷ λαῷ εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ ἀπὸ Δὰν ἕως Βηρσαβεὲ καὶ ἀπό ἀνδρὸς ἕως γυναικός, ἑκάστῳ κολλυρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λάγανον ἀπὸ τηγάνου· καὶ ἀπῆλθε πᾶς ὁ λαὸς ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

Β Βασ. 6,19 - Εμοίρασε δε εις όλον τον ισραηλιτικόν λαόν και εις όλον τον στρατόν, από την πόλιν Δαν μέχρι και της Βηρσαβεέ, εις άνδρας και εις

γυναίκας, από ένα περιποιημένον άρτον, ένα κομμάτι κρέας ψητό και ένα σταφιδόψωμο. Κατόπιν όλοι επέστρεψαν εις τα σπίτια των.

Β Βασ. 6,20 - καὶ ἐπέστρεψε Δαυὶδ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ, καὶ ἐξῆλθε Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ εἰς ἀπάντησιν Δαυὶδ καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπε· τί δεδόξασται σήμερον ὁ βασιλεὺς Ἰσραήλ, ὃς ἀπεκαλύφθη σήμερον ἐν ὀφθαλμοῖς παιδισκῶν τῶν δούλων ἑαυτοῦ, καθὼς ἀποκαλύπτεται ἀποκαλυφθεὶς εἷς τῶν ὀρχουμένων;

Β Βασ. 6,20 - Επέστρεψε και ο Δαυίδ στο σπίτι του και ηυλόγησεν αυτό. Η Μελχόλ, η σύζυγός του, η θυγάτηρ του Σαούλ, εβγήκε να τον προϋπαντήση και να του ευχηθή το “καλώς ώρισε”. Κατόπιν δε του είπεν ειρωνικώς· “πόσον πολύ εδοξάσθη σήμερον ο βασιλεύς του Ισραήλ, ο οποίος δια να χορεύση έβγαλε τα ενδύματα αυτού εμπρός εις τας δούλας και στους δούλους του και εγυμνώθη, όπως γυμνώνεται ο οιοσδήποτε κοινός χορευτής !”

Β Βασ. 6,21 - καὶ εἶπε Δαυὶδ πρὸς Μελχόλ· ἐνώπιον Κυρίου ὀρχήσομαι· εὐλογητὸς Κύριος, ὃς ἐξελέξατό με ὑπὲρ τὸν πατέρα σου καὶ ὑπὲρ πάντα τὸν οἶκον αὐτοῦ τοῦ καταστῆσαί με εἰς ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ τὸν Ἰσραήλ· καὶ παίξομαι καὶ ὀρχήσομαι ἐνώπιον Κυρίου

Β Βασ. 6,21 - Ο Δαυίδ απήντησε προς αυτήν “εγώ θα χορεύσω, χωρίς να εντρέπωμαι, ενώπιον του Κυρίου μου, ο οποίος με εξέλεξε βασιλέα αντί του πατρός σου και αντί της οικογενείας σου, δια να γίνω αρχηγός του λαού του, του ισραηλιτικού. Θα παίξω, λοιπόν, μουσικά όργανα και θα χορεύσω ενώπιον του Κυρίου, δια να δοξάσω τον Κυριον.

Β Βασ. 6,22 - καὶ ἀποκαλυφθήσομαι ἔτι οὕτως καὶ ἔσομαι ἀχρεῖος ἐν ὀφθαλμοῖς σου καὶ μετὰ τῶν παιδισκῶν, ὧν εἶπάς με μὴ δοξασθῆναι.

Β Βασ. 6,22 - Θα βγάλω τα βασιλικά μου ενδύματα, έστω και αν πρόκειται να φανώ τιποτένιος εις τα μάτια σου, και θα χορεύσω μαζή με τας δούλας, ενώπιον των οποίων μου είπες να μη ταπεινώνομαι έτσι”.

Β Βασ. 6,23 - καὶ τῇ Μελχὸλ θυγατρὶ Σαοὺλ οὐκ ἐγένετο παιδίον ἕως τῆς ἡμέρας τοῦ ἀποθανεῖν αὐτήν.

Β Βασ. 6,23 - Επειδή έτσι ωμίλησεν η Μελχόλ, η θυγάτηρ του Σαούλ προς τον Δαυίδ, δεν απέκτησε παιδί μέχρι του θανάτου της.

Β ΒΑΣΙΛΕΙΩΝ 7

Β Βασ. 7,1 - Καὶ ἐγένετο ὅτε ἐκάθισεν ὁ βασιλεὺς ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ Κύριος κατεκληρονόμησεν αὐτὸν κύκλῳ ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ τῶν κύκλῳ,

Β Βασ. 7,1 - Οταν ο βασιλεύς Δαυίδ εγκατεστάθη στο ανάκτορόν του, ο Κυριος τον απήλλαξε από τους πολέμους και του έδωσε κληρονομίαν από

τας χώρας όλων των γύρω εχθρικών του λαών.

Β Βασ. 7,2 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Νάθαν τὸν προφήτην· ἰδοὺ δὴ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ ἡ κιβωτὸς τοῦ Θεοῦ κάθηται ἐν μέσῳ τῆς σκηνῆς.

Β Βασ. 7,2 - Και είπεν ο βασιλεύς Δαυίδ προς τον Ναθαν, τον προφήτην· “ιδού, λοιπόν, εγώ κατοικώ τώρα εις τον βασιλικόν οίκον κατεσκευασμένον από πολύτιμα ξύλα κέδρου, η δε Κιβωτός του Θεού ευρίσκεται μέσα εις μίαν απλήν σκηνήν”.

Β Βασ. 7,3 - καὶ εἶπε Νάθαν πρὸς τὸν βασιλέα· πάντα, ὅσα ἂν ἐν τῇ καρδίᾳ σου, βάδιζε καὶ ποίει, ὅτι Κύριος μετὰ σοῦ.

Β Βασ. 7,3 - Ο Ναθαν είπε προς τον βασιλέα· “όλα όσα έχεις εις την καρδίαν σου να κάμης σχετικώς με τον ναόν του Κυρίου, πήγαινε και εκτέλεσέ τα. Διότι ο Κυριος είναι μαζή σου”.

Β Βασ. 7,4 - καὶ ἐγένετο τῇ νυκτὶ ἐκείνῃ καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Νάθαν λέγων·

Β Βασ. 7,4 - Αλλά κατά την νύκτα εκείνην ωμίλησεν ο Κυριος προς τον προφήτην Ναθαν και του είπε·

Β Βασ. 7,5 - πορεύου, καὶ εἰπὸν πρὸς τὸν δοῦλόν μου Δαυίδ· τάδε λέγει Κύριος· οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με·

Β Βασ. 7,5 - “πήγαινε και ειπέ στον δούλον μου τον Δαυίδ, ότι αυτά λέγει ο Κυριος· Δεν θα ανοικοδομήσης συ τον ναόν μου, δια να κατοικήσω εις αυτόν,

Β Βασ. 7,6 - ὅτι οὐ κατῴκηκα ἐν οἴκῳ ἀφ᾿ ἧς ἡμέρας ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου ἕως τῆς ἡμέρας ταύτης καὶ ἤμην ἐμπεριπατῶν ἐν καταλύματι καὶ ἐν σκηνῇ,

Β Βασ. 7,6 - διότι έως τώρα ποτέ δεν έχω κατοικήσει εις μόνιμον ναόν, από τότε που έβγαλα τους Ισραηλίτας ελευθέρους από την Αίγυπτον, μέχρι της σημερινής ημέρας. Παντοτε επορευόμην, ευρισκόμενος, εις πτωχικόν ξύλινον παράπηγμα, σκεπασμένον με σκεπάσματα.

Β Βασ. 7,7 - ἐν πᾶσιν, οἷς διῆλθον ἐν παντὶ Ἰσραήλ, εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν τοῦ Ἰσραήλ, ᾧ ἐνετειλάμην ποιμαίνειν τὸν λαόν μου Ἰσραὴλ λέγων· ἱνατί οὐκ ᾠκοδομήκατέ μοι οἶκον κέδρινον;

Β Βασ. 7,7 - Εις όλην την διαδρομήν, που είχα με τους Ισραηλίτας έως εδώ, μήπως διετύπωσα παράπονον, έστω και προς μίαν φυλήν του Ισραηλιτικού λαού, εις την οποίαν εγώ παρεχώρησα την ηγεμονίαν επί των άλλων φυλών, δια το γεγονός ότι δεν μου είχατε κτίσει ναόν από πολύτιμα κέδρα; Ποτέ.

Β Βασ. 7,8 - καὶ νῦν τάδε ἐρεῖς τῷ δούλῳ μου Δαυίδ· τάδε λέγει Κύριος παντοκράτωρ· ἔλαβόν σε ἐκ τῆς μάνδρας τῶν προβάτων τοῦ εἶναί σε εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου ἐπὶ τὸν Ἰσραὴλ

Β Βασ. 7,8 - Τωρα, λοιπόν, αυτά θα πης στον δούλον μου τον Δαυίδ· Αυτά λέγει Κυριος ο παντοκράτωρ· Σε επήρα από βοσκόν, που εφύλαττες τα πρόβατα, και σε ανέδειξα βασιλέα, αρχηγόν του λαού μου του Ισραηλιτικού.

Β Βασ. 7,9 - καὶ ἤμην μετὰ σοῦ ἐν πᾶσιν, οἷς ἐπορεύου, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου καὶ ἐποίησά σε ὀνομαστὸν κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς γῆς.

Β Βασ. 7,9 - Ημουνα μαζή σου συμπαραστάτης και βοηθός εις όλας τας ενεργείας σου. Εξωλόθρευσα από εμπρός σου όλους τους εχθρούς σου, σε κατέστησα περιώνυμον, σου έδωσα όνομα, όπως τα ονόματα των μεγάλων ανδρών της οικουμένης.

Β Βασ. 7,10 - καὶ θήσομαι τόπον τῷ λαῷ μου τῷ Ἰσραὴλ καὶ καταφυτεύσω αὐτόν, καὶ κατασκηνώσει καθ᾿ ἑαυτὸν καὶ οὐ μεριμνήσει οὐκέτι, καὶ οὐ προσθήσει υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀπ᾿ ἀρχῆς,

Β Βασ. 7,10 - Και επί πλέον, εγώ τώρα θα ετοιμάσω τόπον δια τον λαόν μου, τον ισραηλιτικόν. Θα τον φυτεύσω εκεί, και εκείνος θα εγκατασταθή εις ιδικόν του τόπον, ειρηνικός και αμέριμνος. Αδικοι και εχθρικοί λαοί δεν θα τον υποτάξουν, όπως έγινε στους αρχαιοτέρους χρόνους,

Β Βασ. 7,11 - ἀπὸ τῶν ἡμερῶν, ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ, καὶ ἀναπαύσω σε ἀπὸ πάντων τῶν ἐχθρῶν σου, καὶ ἀπαγγελεῖ σοι Κύριος ὅτι οἶκον οἰκοδομήσεις αὐτῷ.

Β Βασ. 7,11 - εις τας ημέρας δηλαδή εκείνας, κατά τας οποίας εγώ είχα αναδείξει Κριτάς δια τον λαόν μου τον ισραηλιτικόν. Θα σε απαλλάξω από όλους τους εχθρούς σου. Ο Κυριος θα σου είπη πότε να οικοδομήσης εις αυτόν οίκον.

Β Βασ. 7,12 - καὶ ἔσται ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ·

Β Βασ. 7,12 - Οταν δε συμπληρωθούν αι ημέραι της ζωής σου και κοιμηθής μαζή με τους προγόνους σου, θα αναδείξω εγώ έπειτα από σε τον υιόν σου, ο οποίος θα κατάγεται από σένα, και θα στερεώσω την βασιλείαν του.

Β Βασ. 7,13 - αὐτὸς οἰκοδομήσει μοι οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα.

Β Βασ. 7,13 - Αυτός θα ανοικοδομήση επί τω ονόματί μου ναόν, εγώ δε θα ανορθώσω και θα στερεώσω τον θρόνον του ακατάλυτον.

Β Βασ. 7,14 - ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν· καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτοῦ, καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν καὶ ἐν ἁφαῖς υἱῶν ἀνθρώπων·

Β Βασ. 7,14 - Εγώ θα είμαι δι' αυτόν πατήρ και αυτός θα είναι δι' εμέ υιός. Εάν δε αυτός αμαρτήση, θα τον τιμωρήσω με ραβδισμούς και με κτυπήματα προερχόμενα από άλλους ανθρώπους.

Β Βασ. 7,15 - τὸ δὲ ἔλεός μου οὐκ ἀποστήσω ἀπ᾿ αὐτοῦ, καθὼς ἀπέστησα ἀφ᾿ ὧν ἀπέστησα ἐκ προσώπου μου.

Β Βασ. 7,15 - Δεν θα απομακρύνω όμως το έλεός μου από αυτόν, όπως είχα απομακρύνει τα μάτια μου από άλλους, που είχαν προηγουμένως αμαρτήσει.

Β Βασ. 7,16 - καὶ πιστωθήσεται ὁ οἶκος αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ ἕως αἰῶνος ἐνώπιόν μου. καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα.

Β Βασ. 7,16 - Ετσι οι απόγονοί του και η βασιλεία του θα στερεωθούν ενώπιόν μου δια παντός. Και θα είναι αιωνία η βασιλεία του, στερεά και ακατάλυτος στον αιώνα”.

Β Βασ. 7,17 - κατὰ πάντας τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύτην, οὕτως ἐλάλησε Νάθαν πρὸς Δαυίδ.

Β Βασ. 7,17 - Αυτά είπεν ο Θεός προς τον Ναθαν και σύμφωνα με την όρασιν και τα λόγια αυτά του Θεού ωμίλησεν ο Ναθαν προς τον Δαυίδ.

Β Βασ. 7,18 - καὶ εἰσῆλθεν ὁ βασιλεὺς Δαυὶδ καὶ ἐκάθισεν ἐνώπιον Κυρίου καὶ εἶπε· τίς εἰμι ἐγώ, Κύριέ μου Κύριε, καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με ἕως τούτων;

Β Βασ. 7,18 - Ο βασιλεύς Δαυίδ εισήλθεν εις την Σκηνήν του Μαρτυρίου, έμεινεν ενώπιον του Κυρίου και προσευχηθείς είπε· “ποιός είμαι εγώ, Κυριέ μου Κυριε, και ποιά είναι η οικονένειά μου, ώστε να με έχης αγαπήσει μέχρι τοιούτου σημείου;

Β Βασ. 7,19 - καὶ κατεσμικρύνθην μικρὸν ἐνώπιόν σου, Κύριέ μου Κύριε. καὶ ἐλάλησας ὑπὲρ τοῦ οἴκου τοῦ δούλου σου εἰς μακράν· οὗτος δὲ ὁ νόμος τοῦ ἀνθρώπου, Κύριέ μου Κύριε.

Β Βασ. 7,19 - Είδα, Κυριέ μου Κυριε, περισσότερον τώρα την μικρότητά μου ενώπιόν σου, με όσα θαυμαστά υπεσχέθης δια την οικογένειάν μου και δι' εμέ τον δούλον σου και δια το μακρυνόν μέλλον. Εφέρθης απέναντί μου, Κυριέ μου Κυριε, ωσάν φίλος προς φίλον.

Β Βασ. 7,20 - καὶ τί προσθήσει Δαυὶδ ἔτι τοῦ λαλῆσαι πρός σε; καὶ νῦν σὺ οἶδας τὸν δοῦλόν σου, Κύριέ μου Κύριε.

Β Βασ. 7,20 - Τι επί πλέον έχω τώρα να ζητήσω από σε εγώ ο Δαυίδ; Συ γνωρίζεις εμέ τον δούλον σου, Κυριέ μου Κυριε.

Β Βασ. 7,21 - διὰ τὸν λόγον σου πεποίηκας, καὶ κατὰ τὴν καρδίαν σου ἐποίησας πᾶσαν τὴν μεγαλωσύνην ταύτην γνωρίσαι τῷ δούλῳ σου

Β Βασ. 7,21 - Συμφωνα με την υπόσχεσίν σου και με την αγίαν θέλησίν σου έκαμες όλα αυτά τα θαυμάσια, τα οποία απεκάλυψες εις εμέ τον δούλον

σου.
Β Βασ. 7,22 - ἕνεκεν τοῦ μεγαλῦναί σε, Κύριέ μου Κύριε, ὅτι οὐκ ἔστιν ὡς σὺ καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ ἐν πᾶσιν, οἷς ἠκούσαμεν ἐν τοῖς ὠσὶν ἡμῶν.
Β Βασ. 7,22 - Εγιναν αυτά, δια να σε δοξάζω, Κυριέ μου Κυριε, διότι δεν υπάρχει άλλος, όπως είσαι συ, ούτε υπάρχει άλλος Θεός όπως συ, ο μόνος ικανός και δυνατός δια τα θαυμάσια, τα οποία έκαμες και ήκουσαν τα αυτιά μας.
Β Βασ. 7,23 - καὶ τίς ὡς ὁ λαός σου Ἰσραὴλ ἔθνος ἄλλο ἐν τῇ γῇ; ὡς ὡδήγησεν αὐτὸν ὁ Θεὸς τοῦ λυτρώσασθαι αὐτῷ λαόν, τοῦ θέσθαι σε ὄνομα, τοῦ ποιῆσαι μεγαλωσύνην καὶ ἐπιφάνειαν, τοῦ ἐκβαλεῖν σε ἐκ προσώπου τοῦ λαοῦ σου, οὓς ἐλυτρώσω σεαυτῷ ἐξ Αἰγύπτου, ἔθνη καὶ σκηνώματα;
Β Βασ. 7,23 - Ποιός άλλος λαός εις την οικουμένην είναι τόσον ευλογημένος από σέ, όπως ο Ισραηλιτικός λαός σου; Γνωρίζομεν, πως συ ο Θεός ηλευθέρωσας αυτόν από τους Αιγυπτίους και τον καθωδήγησες και του έδωσες δοξασμένον όνομα και προς χάριν του επραγματοποίησες εξαίρετα και μεγάλα θαύματα, ώστε χάριν αυτού του λαού, τον οποίον απηλευθέρωσας από την δουλείαν της Αιγύπτου, να απομακρύνης άλλα έθνη από τας κατοικίας των.
Β Βασ. 7,24 - καὶ ἡτοίμασας σεαυτῷ τὸν λαόν σου Ἰσραὴλ εἰς λαὸν ἕως αἰῶνος, καὶ σύ, Κύριε, ἐγένου αὐτοῖς εἰς Θεόν.
Β Βασ. 7,24 - Επαιδαγώγησες και εστερέωσες τον λαόν σου αυτόν τον Ισραηλιτικόν μέχρι πέρατος των αιώνων. Συ, Κυριε, έγινες αυτού Θεός.
Β Βασ. 7,25 - καὶ νῦν, Κύριέ μου Κύριε, τὸ ῥῆμα, ὃ ἐλάλησας περὶ τοῦ δούλου σου καὶ τοῦ οἴκου αὐτοῦ, πίστωσον ἕως τοῦ αἰῶνος, Κύριε παντοκράτωρ Θεὲ τοῦ Ἰσραήλ· καὶ νῦν καθὼς ἐλάλησας,
Β Βασ. 7,25 - Και τώρα, Κυριέ μου Κυριε, τον λόγον, τον οποίον είπες δι' εμέ τον δούλον σου και δια τον οίκον μου, πραγματοποίησέ τον εις αιώνας αιώνων.
Β Βασ. 7,26 - μεγαλυνθείη τὸ ὄνομά σου ἕως αἰῶνος.
Β Βασ. 7,26 - Κυριε παντοκράτωρ, Θεέ του Ισραήλ, όπως είπες, ας γίνη, δια να δοξασθή αιωνίως το όνομά σου.
Β Βασ. 7,27 - Κύριε παντοκράτωρ Θεὸς Ἰσραήλ, ἀπεκάλυψας τὸ ὠτίον τοῦ δούλου σου, λέγων· οἶκον οἰκοδομήσω σοι· διὰ τοῦτο εὗρεν ὁ δοῦλός σου τὴν καρδίαν ἑαυτοῦ τοῦ προσεύξασθαι πρός σε τὴν προσευχὴν ταύτην.
Β Βασ. 7,27 - Κυριε παντοκράτωρ, Θεέ του Ισραήλ, συ εφανέρωσας εις εμέ τον δούλον σου τα μέλλοντα λέγων· Θα οικοδομήσω δια σε οίκον. Δια τούτο εγώ ο δούλός σου έσπευσα να ανοίξω την καρδίαν μου και να κάμω προς σε αυτήν την προσευχήν.

Β Βασ. 7,28 - καὶ νῦν, Κύριέ μου Κύριε, σὺ εἶ ὁ Θεός, καὶ οἱ λόγοι σου ἔσονται ἀληθινοί, καὶ ἐλάλησας ὑπὲρ τοῦ δούλου σου τὰ ἀγαθὰ ταῦτα·

Β Βασ. 7,28 - Και τώρα, Κυριέ μου Κυριε, ομολογώ και διακηρύσσω, ότι συ είσαι ο αληθινός Θεός και οι λόγοι σου αληθινοί και θα εκπληρωθούν οι λόγοι, τους οποίους ελάλησες προς εμέ τον δούλον σου δια τα αγαθά αυτά.

Β Βασ. 7,29 - καὶ νῦν ἄρξαι καὶ εὐλόγησον τὸν οἶκον τοῦ δούλου σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου, ὅτι σύ, Κύριέ μου Κύριε, ἐλάλησας, καὶ ἀπὸ τῆς εὐλογίας σου εὐλογηθήσεται ὁ οἶκος τοῦ δούλου σου τοῦ εἶναι εἰς τὸν αἰῶνα.

Β Βασ. 7,29 - Καμε τώρα αρχήν, Κυριε, και ευλόγησε τον οίκον εμού, του δούλου σου, δια να μένη πάντοτε αιώνιος ενώπιόν σου. Διότι συ, Κυριέ μου Κυριε, έδωσες την υπόσχεσιν και με την ιδικήν σου ευλογίαν θα ευλογηθή ο οίκος εμού ου δούλου σου, ώστε να μένη στον αιώνα”.

Β ΒΑΣΙΛΕΙΩΝ 8

Β Βασ. 8,1 - Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπάταξε Δαυὶδ τοὺς ἀλλοφύλους καὶ ἐτροπώσατο αὐτούς· καὶ ἔλαβε Δαυὶδ τὴν ἀφωρισμένην ἐκ χειρὸς τῶν ἀλλοφύλων.

Β Βασ. 8,1 - Επειτα από τα ανωτέρω γεγονότα ο Δαυίδ εκτύπησε τους Φιλισταίους και τους κατετρόπωσε. Κατέλαβε δε και αφήρεσε από την εξουσίαν των την χώραν, την οποίαν εκείνοι κατείχον.

Β Βασ. 8,2 - καὶ ἐπάταξε Δαυὶδ τὴν Μωὰβ καὶ διεμέτρησεν αὐτοὺς ἐν σχοινίοις κοιμίσας αὐτοὺς ἐπὶ τὴν γῆν, καὶ ἐγένετο τὰ δύο σχοινίσματα τοῦ θανατῶσαι, καὶ τὰ δύο σχοινίσματα ἐζώγρησε, καὶ ἐγένετο Μωὰβ τῷ Δαυὶδ εἰς δούλους φέροντας ξένια.

Β Βασ. 8,2 - Κατόπιν ο Δαυίδ εκτύπησε την χώραν των Μωαβιτών και την κατέλαβε. Διέταξε τους αιχμαλώτους να πέσουν πρηνείς στο έδαφος και τους εμέτρησε χρησιμοποιήσας ως μέτρον μήκους σχοινία. Τους διήρεσεν εις δύο ομάδας και διέταξεν οι μεν ημίσεις να θανατωθούν οι δε άλλοι να αφεθούν εις την ζωήν. Οι επιζήσαντες Μωαβίται έγιναν φόρου υποτελείς στον Δαυίδ.

Β Βασ. 8,3 - καὶ ἐπάταξε Δαυὶδ τὸν Ἀδρααζὰρ υἱὸν Ῥαάβ, βασιλέα Σουβά, πορευομένου αὐτοῦ ἐπιστῆσαι τὴν χεῖρα αὐτοῦ ἐπί τὸν ποταμὸν Εὐφράτην.

Β Βασ. 8,3 - Κατόπιν ο Δαυίδ εκτύπησε τον Αδρααζάρ, τον υιόν του Ραάβ, βασιλέα της Σουβά, όταν αυτός εβάδιζε δια να θέση υπό την κυριαρχίαν του τους λαούς, που ευρίσκοντο πλησίον στον ποταμόν Ευφράτην.

Β Βασ. 8,4 - καὶ προκατελάβετο Δαυὶδ τῶν αὐτοῦ χίλια ἅρματα καὶ ἑπτά χιλιάδας ἱππέων καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν, καὶ παρέλυσε Δαυὶδ πάντα τὰ ἅρματα καὶ ὑπελίπετο ἑαυτῷ ἑκατὸν ἅρματα.

Β Βασ. 8,4 - Ο Δαυίδ τον ενίκησεν, εκυρίευσε χίλια άρματα του, επτά χιλιάδας ιππέων και είκοσι χιλιάδας άνδρας πεζούς. Διέλυσε δε και ηχρήστευσε όλα τα άρματα πλην εκατόν, τα οποία εκράτησε δια τον εαυτόν του.

Β Βασ. 8,5 - καὶ παραγίνεται Συρία Δαμασκοῦ βοηθῆσαι τῷ Ἀδρααζὰρ βασιλεῖ Σουβά, καὶ ἐπάταξε Δαυὶδ ἐν τῷ Σύρῳ εἴκοσι δύο χιλιάδας ἀνδρῶν.

Β Βασ. 8,5 - Ηλθον οι Συροι, που είχαν ως πρωτεύουσάν των την Δαμασκόν, να βοηθήσουν τον Αδρααζάρ, βασιλέα Σουβά. Ο δε Δαυίδ εκτύπησε και ενίκησεν είκοσι δύο χιλιάδας Συρων.

Β Βασ. 8,6 - καὶ ἔθετο Δαυὶδ φρουρὰν ἐν Συρίᾳ τῇ κατὰ Δαμασκόν, καὶ ἐγένετο ὁ Σύρος τῷ Δαυὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἔσωσε Κύριος τὸν Δαυὶδ ἐν πᾶσιν, οἷς ἐπορεύετο.

Β Βασ. 8,6 - Εγκατέστησε δε εις την Δαμασκόν της Συρίας στρατιωτικήν φρουράν και οι Συροι έγιναν φόρου υποτελείς στον Δαυίδ. Ετσι δε ο Κυριος έσωσε τον Δαυίδ και τον εβοήθησεν, ώστε να φέρη εις πέρας όλας τας πολεμικάς του ενεργείας.

Β Βασ. 8,7 - καὶ ἔλαβε Δαυὶδ τοὺς χλιδῶνας τοὺς χρυσοῦς, οἳ ἦσαν ἐπὶ τῶν παίδων τῶν Ἀδρααζὰρ βασιλέως Σουβά, καὶ ἤνεγκεν αὐτὰ εἰς Ἱερουσαλήμ· καὶ ἔλαβεν αὐτὰ Σουσακὶμ βασιλεὺς Αἰγύπτου ἐν τῷ ἀναβῆναι αὐτὸν εἰς Ἱερουσαλὴμ ἐν ἡμέραις Ῥοβοὰμ υἱοῦ Σολομῶντος.

Β Βασ. 8,7 - Ο Δαυίδ επήρε τα χρυσά βραχιόλια, τα οποία εφορούσαν οι σωματοφύλακες του Αδρααζάρ, του βασιλέως της Σουβά, και τα έφερεν εις την Ιερουσαλήμ. Αυτά τα ελαφυραγώγησεν αργότερα ο Σουσακίμ ο βασιλεύς της Αιγύπτου, όταν ανέβη εις τα Ιεροσόλυμα κατά τας ημέρας, που βασιλεύς της Ιερουσαλήμ ήτο ο Ροβοάμ, ο υιός του Σολομώντος.

Β Βασ. 8,8 - καὶ ἐκ τῆς Μασβὰκ καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τοῦ Ἀδρααζὰρ ἔλαβεν ὁ βασιλεὺς Δαυὶδ χαλκὸν πολὺν σφόδρα· ἐν αὐτῷ ἐποίησε Σολομῶν τὴν θάλασσαν τὴν χαλκῆν καὶ τοὺς στύλους καὶ τοὺς λουτῆρας καὶ πάντα τὰ σκεύη.

Β Βασ. 8,8 - Ο βασιλεύς Δαυίδ συνεκέντρωσε πάρα πολύν χαλκόν από την πόλιν Μασβάκ και από άλλας πόλστου Αδρααζάρ. Με τον χαλκόν δε αυτόν κατεσκεύασεν αργότερα ο Σολομών την λεγομένην χαλκήν θάλασσαν, τους στύλους και τους λουτήρας και όλα τα ιερά χάλκινα σκεύη του ναού.

Β Βασ. 8,9 - καὶ ἤκουσε Θοοὺ ὁ βασιλεὺς Ἡμὰθ ὅτι ἐπάταξε Δαυὶδ πᾶσαν τὴν δύναμιν Ἀδρααζάρ,

Β Βασ. 8,9 - Ο Θοού, ο βασιλεύς της Ημάθ, επληροφορήθη, ότι ο Δαυίδ κατενίκησεν όλον τον στρατόν του Αδρααζάρ και εχάρη.

Β Βασ. 8,10 - καὶ ἀπέστειλε Θοοὺ Ἰεδδουρὰν τὸν υἱὸν αὐτοῦ πρὸς βασιλέα Δαυὶδ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην καὶ εὐλογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησε τὸν Ἀδρααζὰρ καὶ ἐπάταξεν αὐτόν, ὅτι ἀντικείμενος ἦν τῷ Ἀδρααζάρ, καὶ ἐν ταῖς χερσὶν αὐτοῦ ἦσαν σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ καὶ σκεύη χαλκᾶ.

Β Βασ. 8,10 - Ο Θοού απέστειλε τον υιόν του Ιεδδουράν, προς τον Δαυίδ τον βασιλέα, να τον χαιρετήση και να τον συγχαρή δια τας νίκας του εναντίον του Αδρααζάρ. Διότι ο Αδρααζάρ ήτο εχθρός του Θοού. Ο υιός του Θοού προσέφερεν ως δώρα στον Δαυίδ δοχεία αργυρά, χρυσά και χάλκινα.

Β Βασ. 8,11 - καὶ ταῦτα ἡγίασεν ὁ βασιλεὺς Δαυὶδ τῷ Κυρίῳ μετὰ τοῦ ἀργυρίου καὶ μετὰ τοῦ χρυσίου, οὗ ἡγίασεν ἐκ πασῶν τῶν πόλεων, ὧν κατεδυνάστευσεν,

Β Βασ. 8,11 - Ο Δαυίδ αφιέρωσε και αυτά στον Θεόν μαζή με τον άργυρον και τον χρυσόν, που είχε πάρει ως λάφυρα από όλας τας άλλας πόλεις τας οποίας είχε κυριεύσει·

Β Βασ. 8,12 - ἐκ τῆς Ἰδουμαίας καὶ ἐκ τῆς Μωὰβ καὶ ἐκ τῶν υἱῶν Ἀμμὼν καὶ ἐκ τῶν ἀλλοφύλων καὶ ἐξ Ἀμαλὴκ καὶ ἐκ τῶν σκύλων Ἀδρααζὰρ υἱοῦ Ῥαὰβ βασιλέως Σουβά.

Β Βασ. 8,12 - δηλαδή από τας πόλεις της Ιδουμαίας, από τας πόλεις των Μωαβιτών, των Αμμωνιτών, των Φιλισταίων, των Αμαληκιτών και από τα λάφυρα του Αδρααζάρ, του υιού του Ραάβ, βασιλέως της Σουβά.

Β Βασ. 8,13 - καὶ ἐποίησε Δαυὶδ ὄνομα· καὶ ἐν τῷ ἀνακάμπτειν αὐτὸν ἐπάταξε τὴν Ἰδουμαίαν ἐν Γεβελὲμ εἰς ὀκτωκαίδεκα χιλιάδας.

Β Βασ. 8,13 - Ετσι δε ο Δαυίδ κατέστη περιώνυμος. Οταν δε επέστρεψεν από τας ανωτέρω πολεμικάς επιχειρήσεις, εκτύπησε την Ιδουμαίαν εις την Γεβελέμ με δέκα οκτώ χιλιάδας άνδρας.

Β Βασ. 8,14 - καὶ ἔθετο ἐν τῇ Ἰδουμαίᾳ φρουράν, ἐν πάσῃ τῇ Ἰδουμαίᾳ, καὶ ἐγένοντο πάντες οἱ Ἰδουμαῖοι δοῦλοι τῷ βασιλεῖ. καὶ ἔσωσε Κύριος τὸν Δαυὶδ ἐν πᾶσιν, οἷς ἐπορεύετο.

Β Βασ. 8,14 - Την κατέλαβε και εγκατέστησεν εις όλην την Ιδουμαίαν φρουράν ιδικών του στρατιωτών. Ολοι δε οι Ιδουμαίοι έγιναν όλοι στον βασιλέα Δαυίδ. Ετσι δε ο Κυριος έσωσε τον Δαυίδ και τον εβοήθησεν εις όλας αυτού τας πολεμικάς ενεργείας.

Β Βασ. 8,15 - καὶ ἐβασίλευσε Δαυὶδ ἐπὶ πάντα Ἰσραήλ. καὶ ἦν Δαυὶδ ποιῶν κρίμα καὶ δικαιοσύνην ἐπὶ πάντα τὸν λαὸν αὐτοῦ.

Β Βασ. 8,15 - Ο Δαυίδ έγινε βασιλεύς πλέον εις όλον τον ισραηλιτικόν λαόν. Ως βασιλεύς δε έκρινε και εδίκαζε δικαίως τας διαφοράς, αι οποίαι παρουσιάζοντα μεταξύ των Ισραηλιτών.

Β Βασ. 8,16 - καὶ Ἰωὰβ υἱὸς Σαρουΐας ἐπὶ τῆς στρατιᾶς καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιὰδ ἐπὶ τῶν ὑπομνημάτων,

Β Βασ. 8,16 - Ο Ιωάβ, ο υιός της Σαρουΐας, αδελφής του Δαυίδ, ήτο αρχηγός όλης της στρατιάς του Δαυίδ. Ο δε Ιωσαφάτ, υιός του Αχιάδ, είχε την φροντίδα των υπομνημάτων.

Β Βασ. 8,17 - καὶ Σαδοὺκ υἱὸς Ἀχιτὼβ καὶ Ἀχιμέλεχ υἱὸς Ἀβιάθαρ ἱερεῖς, καὶ Ἀσὰ ὁ γραμματεύς,

Β Βασ. 8,17 - Ο Σαδούκ υιός του Αχιτώβ, και ο Αχιμέλεχ υιός του Αβιάθαρ, ήσαν ιερείς. Ο δε Ασά ήτο ο γραμματεύς.

Β Βασ. 8,18 - καὶ Βαναίας υἱὸς Ἰωδαὲ σύμβουλος, καὶ ὁ Χελεθθὶ καὶ ὁ Φελεττί· καὶ οἱ υἱοὶ Δαυὶδ αὐλάρχαι ἦσαν.

Β Βασ. 8,18 - Ο Βαναίας, υιός του Ιωδαέ, ήτο ο σύμβουλος του Δαυίδ. Σωματοφύλακες δε του βασιλέως ήσαν ξένοι, Χελεθθί και Φελεττί. Οι δε υιοί του Δαυίδ ήσαν οι αυλάρχαι του.

Β ΒΑΣΙΛΕΙΩΝ 9

Β Βασ. 9,1 - Καὶ εἶπε Δαυίδ· εἰ ἔστιν ἔτι ὑπολελειμμένος ἐν τῷ οἴκῳ Σαοὺλ καὶ ποιήσω μετ᾽ αὐτοῦ ἔλεος ἕνεκεν Ἰωνάθαν;

Β Βασ. 9,1 - Ο Δαυίδ ηρώτησε· "μήπως, τάχα, και ζη κανείς από την οικογένειαν του Σαούλ, δια να ανταποδώσω προς αυτόν ευεργεσίας από ευγνωμοσύνην προς τον Ιωνάθαν;"

Β Βασ. 9,2 - καὶ ἐκ τοῦ οἴκου Σαοὺλ ἦν παῖς, καὶ ὄνομα αὐτῷ Σιβά, καὶ καλοῦσιν αὐτὸν πρὸς Δαυίδ· καὶ εἶπε πρὸς αὐτὸν ὁ βασιλεὺς· σὺ εἶ Σιβά; καὶ εἶπεν· ἐγὼ δοῦλος σός.

Β Βασ. 9,2 - Εζούσε τότε από τον οίκον του Σαούλ ενας δούλος, ο οποίος ωνομάζετο Σιβά. Τον εκάλεσαν και τον οδήγησαν προς τον Δαυίδ. Ο Δαυίδ είπε προς αυτόν· "συ είσαι ο Σιβά;" Και εκείνος απήντησεν· "εγώ, ο δούλός σου".

Β Βασ. 9,3 - καὶ εἶπεν ὁ βασιλεύς· εἰ ὑπολέλειπται ἐκ τοῦ οἴκου Σαοὺλ ἔτι ἀνὴρ καὶ ποιήσω μετ᾽ αὐτοῦ ἔλεος Θεοῦ; καὶ εἶπε Σιβὰ πρὸς τὸν βασιλέα· ἔτι ἐστίν υἱὸς τῷ Ἰωνάθαν πεπληγὼς τοὺς πόδας.

Β Βασ. 9,3 - Ο βασιλεύς τον ηρώτησε· "μήπως έχει επιζήσει κανείς από την οικογένειαν του Σαούλ, δια να του προσφέρω ευεργεσίαν, παρά του Θεού ευλογημένην;" Είπε δε ο Σιβά προς τον βασιλέα· "υπάρχει ακόμη ενας υιός του Ιωνάθαν, ο οποίος όμως είναι χωλός και από τα δύο πόδια".

Β Βασ. 9,4 - καὶ εἶπεν ὁ βασιλεύς· ποῦ οὗτος; καὶ εἶπε Σιβὰ πρὸς τὸν βασιλέα· ἰδοὺ ἐν οἴκῳ Μαχὶρ υἱοῦ Ἀμιὴλ ἐκ τῆς Λαδάβαρ.

Β Βασ. 9,4 - Είπεν ο βασιλεύς· "που είναι αυτός;" Ο Σιβά απήντησε προς τον βασιλέα· "ιδού, αυτός ευρίσκεται στον οίκον του Μαχίρ, υιού του Αμιήλ, του καταγομένου από την πόλιν Λαδάβαρ".

Β Βασ. 9,5 - καὶ ἀπέστειλεν ὁ βασιλεύς Δαυὶδ καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ οἴκου Μαχὶρ υἱοῦ Ἀμιὴλ ἐκ τῆς Λαδάβαρ.

Β Βασ. 9,5 - Ο Δαυίδ έστειλεν άνθρωπον και έφερεν αυτόν από τον οίκον του Μαχίρ, του υιού του Αμιήλ, του καταγομένου από την Λαδάβαρ.

Β Βασ. 9,6 - καὶ παραγίνεται Μεμφιβοσθὲ υἱὸς Ἰωνάθαν υἱοῦ Σαοὺλ πρὸς τὸν βασιλέα Δαυὶδ καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ Δαυίδ· Μεμφιβοσθέ· καὶ εἶπεν· ἰδοὺ ὁ δοῦλός σου.

Β Βασ. 9,6 - Ο Μεμφιβοσθέ, υιός αυτός του Ιωνάθαν, υιού του Σαούλ, παρουσιάσθη στον βασιλέα Δαυίδ. Επεσε με το πρόσωπον αυτού στο έδαφος, και τον προσεκύνησεν. Ο Δαυίδ του είπε· Μεμφιβοσθέ ! Εκείνος απήντησεν· Ιδού ο δούλος σου!

Β Βασ. 9,7 - καὶ εἶπεν αὐτῷ Δαυίδ· μὴ φοβοῦ, ὅτι ποιῶν ποιήσω μετὰ σοῦ ἔλεος διὰ Ἰωνάθαν τὸν πατέρα σου καὶ ἀποκαταστήσω σοι πάντα ἀγρὸν Σαοὺλ πατρὸς τοῦ πατρός σου, καὶ σὺ φαγῇ ἄρτον ἐπὶ τῆς τραπέζης μου διαπαντός.

Β Βασ. 9,7 - Ο Δαυίδ είπε προς αυτόν· “μη φοβήσαι. Προς χάριν του πατρός σου, του Ιωνάθαν, θα δείξω καλωσύνην προς σέ. Θα σου αποδώσω όλην την κτηματικήν περιουσίαν του πάππου σου Σαούλ, και συ θα τρώγης άρτον εις το ίδιο τραπέζι με εμέ δια παντός”.

Β Βασ. 9,8 - καὶ προσεκύνησε Μεμφιβοσθέ καὶ εἶπε· τίς εἰμι ὁ δοῦλός σου, ὅτι ἐπέβλεψας ἐπὶ τὸν κύνα τὸν τεθνηκότα τὸν ὅμοιον ἐμοί;

Β Βασ. 9,8 - Ο Μεμφιβοσθέ προσεκύνησε πάλιν τον Δαυίδ και είπε· “ποιός είμαι εγώ ο δούλος σου, στον οποίον έρριψες να τόσον σπλαγχνικόν βλέμμα; Εγώ είμαι όμοις με ένα ψόφιο σκυλί”.

Β Βασ. 9,9 - καὶ ἐκάλεσεν ὁ βασιλεὺς Σιβὰ τὸ παιδάριον Σαοὺλ καὶ εἶπε πρὸς αὐτόν· πάντα ὅσα ἐστὶ τῷ Σαοὺλ καὶ ὅλῳ τῷ οἴκῳ αὐτοῦ δέδωκα τῷ υἱῷ τοῦ κυρίου σου·

Β Βασ. 9,9 - Ο βασιλεύς Δαυίδ εκάλεσε τον δούλον του Σαούλ, τον Σιβά, και του είπεν· “όλα όσα άλλοτε ανήκον εις τον Σαούλ και εις όλην την οικογένειαν του τα έχω δώσει στον υιόν του κυρίου σου, στον Μεμφιβοσθέ.

Β Βασ. 9,10 - καὶ ἐργᾷ αὐτῷ τὴν γῆν, σὺ καὶ οἱ υἱοί σου καὶ οἱ δοῦλοί σου, καὶ εἰσοίσεις τῷ υἱῷ τοῦ κυρίου σου ἄρτους, καὶ ἔδεται αὐτούς· καὶ Μεμφιβοσθὲ υἱὸς τοῦ κυρίου σου φάγεται διαπαντὸς ἄρτον ἐπὶ τῆς τραπέζης μου. (καὶ τῷ Σιβὰ ἦσαν πεντεκαίδεκα υἱοὶ καὶ εἴκοσι δοῦλοι).

Β Βασ. 9,10 - Συ δε και τα παιδιά σου και οι δούλοι σου θα εργάζεσθε τους αγρούς του προς χάριν αυτού. Και προς τον υιόν του κυρίου σου θα προσφέρης τα εισοδήματα, τα οποία αυτός θα τα απολαμβάνη. Ο Μεμφιβοσθέ, ο υιός του κυρίου σου, θα τρώγη πάντοτε στο ίδιο τραπέζι με εμέ”. (Ο Σιβά είχε δέκα πέντε υιούς και είκοσι δούλους).

Β Βασ. 9,11 - καὶ εἶπε Σιβὰ πρὸς τὸν βασιλέα· κατὰ πάντα, ὅσα ἐντέταλται ὁ κύριός μου ὁ βασιλεὺς τῷ δούλῳ αὐτοῦ, οὕτω ποιήσει ὁ δοῦλός σου· καὶ Μεμφιβοσθὲ ἤσθιεν ἐπὶ τῆς τραπέζης Δαυὶδ καθὼς εἷς τῶν υἱῶν αὐτοῦ τοῦ βασιλέως.

Β Βασ. 9,11 - Ο Σιβά απήντησε προς τον βασιλέα· "σύμφωνα με όλα όσα συ, ο κύριός μου και ο βασιλεύς, διέταξες εμέ τον δούλον σου, εγώ θα ενεργήσω". Ο Μεμφιβοσθέ συνέτρωγε έκτοτε μαζή με τον Δαυίδ εις την βασιλικήν τράπεζαν, σαν ένα από τα παιδιά του βασιλέως.

Β Βασ. 9,12 - καὶ τῷ Μεμφιβοσθὲ υἱὸς μικρὸς ἦν, καὶ ὄνομα αὐτῷ Μιχά. καὶ πᾶσα ἡ κατοίκησις τοῦ οἴκου Σιβὰ δοῦλοι τοῦ Μεμφιβοσθέ.

Β Βασ. 9,12 - Ο Μεμφιβοσθέ είχεν ένα μικρόν υιόν, ο οποίος ωνομάζετο Μιχά. Ολοι δε εκείνοι, οι οποίοι κατοικούσαν στον οίκον του Σιβά, ήσαν δούλοι του Μεμφιβοσθέ.

Β Βασ. 9,13 - καὶ Μεμφιβοσθὲ κατῴκει ἐν Ἱερουσαλήμ, ὅτι ἐπὶ τῆς τραπέζης τοῦ βασιλέως αὐτὸς διαπαντὸς ἤσθιε· καὶ αὐτὸς ἦν χωλὸς ἀμφοτέροις τοῖς ποσὶν αὐτοῦ.

Β Βασ. 9,13 - Ο Μεμφιβοσθέ κατοικούσε πλέον εις την Ιερουσαλήμ, διότι συνέτρωγε πάντοτε εις την ιδίαν τράπεζάν με τον βασιλέα. Ητο δε χωλός και εις τα δύο του πόδια.

Β ΒΑΣΙΛΕΙΩΝ 10

Β Βασ. 10,1 - Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἀπέθανε βασιλεὺς υἱῶν Ἀμμών, καὶ ἐβασίλευσεν Ἀννὼν υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Βασ. 10,1 - Επειτα από τα γεγονότα αυτά απέθανεν ο βασιλεύς των Αμμωνιτών και εβασίλευσε αντ' αυτού ο υιός του ο Αννών.

Β Βασ. 10,2 - καὶ εἶπε Δαυίδ· ποιήσω ἔλεος μετὰ Ἀννὼν υἱοῦ Ναάς, ὃν τρόπον ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ᾿ αὐτοῦ ἔλεος· καὶ ἀπέστειλε Δαυὶδ παρακαλέσαι αὐτὸν ἐν χειρὶ τῶν δούλων αὐτοῦ περὶ τοῦ πατρὸς αὐτοῦ. καὶ παρεγένοντο οἱ παῖδες Δαυὶδ εἰς τὴν γῆν υἱῶν Ἀμμών.

Β Βασ. 10,2 - Ο Δαυίδ εσκέφθη και είπε· "πρέπει προς τον Αννών, τον υιόν του Ναάς, να δείξω την ιδίαν καλωσύνην, την οποίαν ο πατέρας του έδειξε προς εμέ". Εστειλε λοιπόν δούλους του, δια να συλλυπηθή τον Αννών επί τω θανάτω του πατρός του. Οι απεσταλμένοι του Δαυίδ ήλθον εις την χώραν των Αμμωνιτών.

Β Βασ. 10,3 - καὶ εἶπον οἱ ἄρχοντες υἱῶν Ἀμμὼν πρὸς Ἀννὼν τὸν κύριον αὐτῶν· μὴ παρὰ τὸ δοξάζειν Δαυὶδ τὸν πατέρα σου ἐνώπιόν σου, ὅτι ἀπέστειλέ σοι παρακαλοῦντας; ἀλλ᾿ οὐχὶ ὅπως ἐρευνήσωσι τὴν πόλιν καὶ

κατασκοπήσωσιν αὐτὴν καὶ τοῦ κατασκέψασθαι αὐτὴν ἀπέστειλε Δαυὶδ τοὺς παῖδας αὐτοῦ πρός σε;

Β Βασ. 10,3 - Οι άρχοντες όμως των Αμμωνιτών είπαν προς τον βασιλέα τους, τον Αννών· "μήπως φαντάζεσαι, ότι δια να τιμήση πράγματι ενώπιόν σου τον πατέρα σου, απέστειλεν εις σε τους ανθρώπους του να σε συλλυπηθούν; Οχι· τους έστειλε, δια να εξερευνήσουν την πόλιν και την κατασκοπεύσουν και έπειτα να την καταστρέψουν".

Β Βασ. 10,4 - καὶ ἔλαβεν Ἀννὼν τοὺς παῖδας Δαυὶδ καὶ ἐξύρησε τοὺς πώγωνας αὐτῶν καὶ ἀπέκοψε τοὺς μανδύας αὐτῶν ἐν τῷ ἡμίσει ἕως τῶν ἰσχίων αὐτῶν καὶ ἐξαπέστειλεν αὐτούς.

Β Βασ. 10,4 - Ο Αννών επείσθη εις τας εισηγήσεις εκείνων, συνέλαβε τους απεσταλμένους του Δαυίδ, εξύρισε τον πώγωνα αυτών, έκοψε κατά το ήμισυ τα ενδύματά των έως εις την μέσην. Επειτα δε τους αφήκεν ελευθέρους να φύγουν.

Β Βασ. 10,5 - καὶ ἀπήγγειλαν τῷ Δαυὶδ ὑπὲρ τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν εἰς ἀπαντὴν αὐτῶν, ὅτι ἦσαν οἱ ἄνδρες ἠτιμασμένοι σφόδρα· καὶ εἶπεν ὁ βασιλεύς· καθίσατε ἐν Ἱεριχὼ ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν, καὶ ἐπιστραφήσεσθε.

Β Βασ. 10,5 - Εγνωστοποίησαν στον Δαυίδ όσα έγιναν εις βάρος των απεσταλμένων του. Ο Δαυίδ έστειλεν ανθρώπους, δια να τους προαπαντήσουν, επειδή ήσαν πάρα πολύ ντροπιασμένοι από το πάθημά των. Τους είπε δε ο βασιλεύς· "μείνατε εις την Ιεριχώ, μέχρις ότου αυξηθούν τα γένεια σας και κατόπιν επανέρχεσθε εις την Ιερουσαλήμ".

Β Βασ. 10,6 - καὶ εἶδον οἱ υἱοὶ Ἀμμών, ὅτι κατῃσχύνθησαν ὁ λαὸς Δαυίδ, καὶ ἀπέστειλαν οἱ υἱοὶ Ἀμμὼν καὶ ἐμισθώσαντο τὴν Συρίαν Βαιθραὰμ καὶ τὴν Συρίαν Σουβά, εἴκοσι χιλιάδας πεζῶν, καὶ τὸν βασιλέα Μααχά, χιλίους ἄνδρας, καὶ Ἰστώβ, δώδεκα χιλιάδας ἀνδρῶν.

Β Βασ. 10,6 - Οι Αμμωνίται συνησθάνθησαν έπειτα, ότι με την πράξιν των αυτήν προσέβαλαν τον λαόν του Δαυίδ και εφοβήθησαν εκδίκησιν. Δια τούτο οι Αμμωνίται έστειλαν ανθρώπους των και επήραν μισθοφόρους στρατιώτας από την Βαιθραάμ της Συρίας, από την Σουβά της Συρίας, είκοσι χιλιάδας πεζούς· επήραν τον βασιλέα της Μααχά με χιλίους άνδρας και δώδεκα χιλιάδας πολεμιστάς της πόλεως Ιστώβ.

Β Βασ. 10,7 - καὶ ἤκουσε Δαυίδ, καὶ ἀπέστειλε τὸν Ἰωὰβ καὶ πᾶσαν τὴν δύναμιν, τοὺς δυνατούς.

Β Βασ. 10,7 - Επληροφορήθη ο Δαυίδ το γεγονός και έστειλεν εναντίον των Αμμωνιτών τον αρχιστράτηγόν του τον Ιωάβ με όλον τον στρατόν του και με τους ανδρείους πολεμιστάς του.

Β Βασ. 10,8 - καὶ ἐξῆλθον οἱ υἱοὶ Ἀμμὼν καὶ παρετάξαντο πόλεμον παρὰ τῇ θύρᾳ τῆς πύλης Συρίας Σουβὰ καὶ Ῥοὼβ καὶ Ἰστὼβ καὶ Μααχὰ

μόνοι ἐν ἀγρῷ.

Β Βασ. 10,8 - Οι Αμμωνίται εξήλθον να πολεμήσουν εναντίον των Ισραηλιτών και εστρατοπέδευσαν πλησίον εις την πύλην της πόλεως. Οι δε μισθοφόροι της Συρίας, των πόλεων Σουβά, Ροώβ, Ιστώβ και ο Μααχά, είχον στρατοπεδεύσει ξεχωριστά εις την πεδιάδα.

Β Βασ. 10,9 - καὶ εἶδεν Ἰωὰβ ὅτι ἐγενήθη πρὸς αὐτὸν ἀντιπρόσωπον τοῦ πολέμου, ἐκ τοῦ κατὰ πρόσωπον ἐξεναντίας καὶ ἐκ τοῦ ὄπισθεν, καὶ ἐπελέξατο ἐκ πάντων τῶν νεανιῶν Ἰσραήλ, καὶ παρετάξαντο ἐξεναντίας Συρίας.

Β Βασ. 10,9 - Ο Ιωάβ, όταν ήλθεν στο πεδίον της μάχης, είδεν ότι είχε δύο παρατάξεις απέναντί του. Ενα μέτωπον εχθρικόν εκ των έμπροσθεν και άλλο εκ των όπισθεν. Από όλους τους νεαρούς Ισραηλίτας εδιαλεξε τους καλυτέρους και παρετάχθη απέναντι του στρατεύματος των Συρων.

Β Βασ. 10,10 - καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ Ἀβεσσὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξεναντίας υἱῶν Ἀμμών.

Β Βασ. 10,10 - Τους υπολοίπους από τον ισραηλιτικόν στρατόν έθεσεν υπό την διοίκησιν του αδελφού του Αβεσσά, ο οποίος και παρετάχθη απέναντι των Αμμωνιτών.

Β Βασ. 10,11 - καὶ εἶπεν· ἐὰν κραταιωθῇ Συρία ὑπὲρ ἐμέ, καὶ ἔσεσθέ μοι εἰς σωτηρίαν, καὶ ἐὰν κραταιωθῶσιν υἱοὶ Ἀμμὼν ὑπὲρ σέ, καὶ ἐσόμεθα τοῦ σῶσαί σε·

Β Βασ. 10,11 - Ο Ιωάβ είπεν στον Αβεσσά· “εάν οι Συροι υπερισχύσουν εναντίον μου, σεις θα είσθε η σωτηρία μου· θα έλθετε να με βοηθήσετε. Εάν δε οι Αμμωνίται υπερισχύσουν εναντίον σου, ημείς θα έλθωμεν να σας σώσωμεν.

Β Βασ. 10,12 - ἀνδρίζου καὶ κραταιωθῶμεν ὑπὲρ τοῦ λαοῦ ἡμῶν καὶ περὶ τῶν πόλεων τοῦ Θεοῦ ἡμῶν, καὶ Κύριος ποιήσει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ.

Β Βασ. 10,12 - Εχε θάρρος, πολέμα με γενναιότητα και ας δειχθώμεν ισχυροί υπέρ του ισραηλιτικού λαού και υπέρ των πόλεων της χώρας μας, η οποία ανήκει στον Θεόν. Ο δε Κυριος ας κάμη ο,τι φαίνεται ενώπιόν του καλόν”.

Β Βασ. 10,13 - καὶ προσῆλθεν Ἰωὰβ καὶ ὁ λαὸς αὐτοῦ μετ᾿ αὐτοῦ εἰς πόλεμον πρὸς Συρίαν, καὶ ἔφυγαν ἀπὸ προσώπου αὐτοῦ.

Β Βασ. 10,13 - Ο Ιωάβ και ο στρατός του εξήλθον εις πόλεμον εναντίον των Συρων, τους οποίους ενίκησαν και έτρεψαν εις φυγήν.

Β Βασ. 10,14 - καὶ οἱ υἱοὶ Ἀμμὼν εἶδαν ὅτι ἔφυγε Συρία, καὶ ἔφυγαν ἀπὸ προσώπου Ἀβεσσὰ καὶ εἰσῆλθον εἰς τὴν πόλιν. καὶ ἀνέστρεψεν Ἰωὰβ ἀπὸ τῶν υἱῶν Ἀμμὼν καὶ παρεγένετο εἰς Ἱερουσαλήμ.

Β Βασ. 10,14 - Οι Αμμωνίται, όταν είδαν ότι οι Συροι ετράπησαν εις φυγήν, έφυγαν και αυτοί πανικόβλητοι εμπρός από τον Αβεσσά και εισήλθον εις την πόλιν των. Ο Ιωάβ, έπειτα από αυτήν την νίκην κατά των Αμμωνιτών, επέστρεψεν εις την Ιερουσαλήμ.

Β Βασ. 10,15 - καὶ εἶδε Συρία ὅτι ἔπταισεν ἔμπροσθεν Ἰσραήλ, καὶ συνήχθησαν ἐπὶ τὸ αὐτό.

Β Βασ. 10,15 - Οι Συροι, όταν είδαν το μέγεθος της συμφοράς των, κατεπικράνθησαν, διότι ενικήθησαν από τους Ισραηλίτας, και συνεκεντρώθησαν, δια να πολεμήσουν και ανακτήσουν την τιμήν των.

Β Βασ. 10,16 - καὶ ἀπέστειλεν Ἀδρααζὰρ καὶ συνήγαγε τὴν Συρίαν τὴν ἐκ τοῦ πέραν τοῦ ποταμοῦ Χαλαμάκ, καὶ παρεγένοντο εἰς Αἰλάμ, καὶ Σωβὰκ ἄρχων τῆς δυνάμεως Ἀδρααζὰρ ἔμπροσθεν αὐτῶν.

Β Βασ. 10,16 - Ο Αδρααζάρ έστειλεν ανθρώπους του και συνεκέντρωσε Συρους στρατιώτας από την πέραν του Ιορδάνου περιοχήν, της οποίας βασιλεύς ήτο ο Χαλαμάκ. Αυτοί δε ήλθον εις την περιοχήν Αιλαμ. Ολων των στρατευμάτων του Αδρααζάρ αρχηγός ήτο ο Σωβάκ.

Β Βασ. 10,17 - καὶ ἀπηγγέλη τῷ Δαυίδ, καὶ συνήγαγε τὸν πάντα Ἰσραὴλ καὶ διέβη τὸν Ἰορδάνην καὶ παρεγένετο εἰς Αἰλάμ· καὶ παρετάξατο Συρία ἀπέναντι Δαυίδ, καὶ ἐπολέμησαν μετ᾿ αὐτοῦ.

Β Βασ. 10,17 - Αυτό ανηγγέλθη στον Δαυίδ, ο οποίος συνεκέντρωσεν όλον τον ισραηλιτικόν στρατόν, διέβη δε τον ποταμόν Ιορδάνην και έφθασεν εις Αιλάμ. Ο στρατός των Συρων παρετάχθη απέναντι του Δαυίδ και επολέμησεν εναντίον αυτού.

Β Βασ. 10,18 - καὶ ἔφυγε Συρία ἀπὸ προσώπου Ἰσραήλ, καὶ ἀνεῖλε Δαυὶδ ἐκ τῆς Συρίας ἑπτακόσια ἅρματα καὶ τεσσαράκοντα χιλιάδας ἱππέων· καὶ τὸν Σωβὰκ τὸν ἄρχοντα τῆς δυνάμεως αὐτοῦ ἐπάταξε, καὶ ἀπέθανεν ἐκεῖ.

Β Βασ. 10,18 - Κατά τον συμπλοκήν οι Συροι ενικήθησαν και ετράπησαν εις φυγήν ενώπιον των Ισραηλιτών. Ο Δαυίδ κατέστρεψε επτακόσια άρματα και εφόνευσε σαράντα χιλιάδας ιππείς. Εκτύπησε δε και επλήγωσε τον αρχιστράτηγον του στρατού των Συρων, τον Σωβάκ, ο οποίος και απέθανεν εκεί στο πεδίον της μάχης.

Β Βασ. 10,19 - καὶ εἶδαν πάντες οἱ βασιλεῖς οἱ δοῦλοι Ἀδρααζὰρ ὅτι ἔπταισαν ἔμπροσθεν Ἰσραήλ, καὶ ηὐτομόλησαν μετὰ Ἰσραὴλ καὶ ἐδούλευσαν αὐτοῖς. καὶ ἐφοβήθη Συρία τοῦ σῶσαι ἔτι τοὺς υἱοὺς Ἀμμών.

Β Βασ. 10,19 - Οι βασιλείς, οι οποίοι ήσαν υπόδουλοι στον Αδρααζάρ, όταν είδαν ότι ενικήθησαν από τους Ισραηλίτας, προσεχώρησαν προς αυτούς και έγιναν φόρου υποτελείς στους Ισραηλίτας. Ετσι δε οι Συροι εφοβήθησαν και δεν ετόλμησαν να βοηθήσουν πλέον τους Αμμωνίτας.

Β ΒΑΣΙΛΕΙΩΝ 11

Β Βασ. 11,1 - Καὶ ἐγένετο ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ εἰς τὸν καιρὸν τῆς ἐξοδίας τῶν βασιλέων, καὶ ἀπέστειλε Δαυὶδ τὸν Ἰωὰβ καὶ τοὺς παῖδας αὐτοῦ μετ᾿ αὐτοῦ καὶ τὸν πάντα Ἰσραήλ, καὶ διέφθειραν τοὺς υἱοὺς Ἀμμὼν καὶ διεκάθισαν ἐπὶ Ῥαββάθ· καὶ Δαυὶδ ἐκάθισεν ἐν Ἱερουσαλήμ.

Β Βασ. 11,1 - Κοιτά το επόμενον έτος, εις εποχήν δηλαδή κατά την οποίαν οι βασιλείς εξέρχονται συνήθως εις εκστρατείας, ο Δαυίδ έστειλε τον Ιωάβ, μαζή δέ με αυτόν τους σωματοφύλακάς του και όλον τον ισραηλιτικόν στρατόν και κατέστρεψαν την χώραν των Αμμωνιτών. Επολιόρκησαν δε την πρωτεύουσαν την Ραββάθ. Ο Δαυίδ έμενεν εις την Ιερουσαλήμ.

Β Βασ. 11,2 - καὶ ἐγένετο πρὸς ἑσπέραν καὶ ἀνέστη Δαυὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ οἴκου τοῦ βασιλέως καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τοῦ δώματος, καὶ ἡ γυνὴ καλὴ τῷ εἴδει σφόδρα.

Β Βασ. 11,2 - Κατά τας απογευματινάς ώρας ο Δαυίδ εξύπνησεν από τον μεσημβρινόν του ύπνον και περιπατούσε στο βασιλικόν δώμα. Από εκεί είδε κάποιαν γυναίκα να λούεται, η οποία ήτο πάρα πολύ ωραία κατά την εμφάνισιν.

Β Βασ. 11,3 - καὶ ἀπέστειλε Δαυὶδ καὶ ἐζήτησε τὴν γυναῖκα καὶ εἶπεν· οὐχὶ αὕτη Βηρσαβεὲ θυγάτηρ Ἐλιὰβ γυνὴ Οὐρίου τοῦ Χετταίου;

Β Βασ. 11,3 - Εζήτησε πληροφορίας δια την γυναίκα αυτήν και είπε· “αυτή δεν είναι η Βηρσαβεέ, η θυγάτηρ του Ελιάβ, η σύζυγος του Ουρίου του Χετταίου;”

Β Βασ. 11,4 - καὶ ἀπέστειλε Δαυὶδ ἀγγέλους καὶ ἔλαβεν αὐτήν, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἐκοιμήθη μετ᾿ αὐτῆς, καὶ αὐτὴ ἁγιαζομένη ἀπὸ ἀκαθαρσίας αὐτῆς, καὶ ἀπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Β Βασ. 11,4 - Εστειλεν ανθρώπους του, την επήρε, εκοιμήθη μαζή της και ήλθεν εις συνάφειαν με αυτήν. Η γυναίκα κατόπιν με λουτρόν εκαθαρίσθη από την νομικήν ακαθαρσίαν της συναφείας της με τον Δαυίδ και επανήλθεν στον οίκον της.

Β Βασ. 11,5 - καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνή· καὶ ἀποστείλασα ἀπήγγειλε τῷ Δαυὶδ καὶ εἶπεν· ἐγώ εἰμι ἐν γαστρὶ ἔχω.

Β Βασ. 11,5 - Η γυναίκα αυτή έμεινεν έγκυος. Απέστειλε δε άνθρωπον και εγνωστοποίησεν στον Δαυίδ το γεγονός και του είπεν· “εγώ είμαι έγκυος”.

Β Βασ. 11,6 - καὶ ἀπέστειλε Δαυὶδ πρὸς Ἰωὰβ λέγων· ἀπόστειλον πρός με τὸν Οὐρίαν τὸν Χετταῖον· καὶ ἀπέστειλεν Ἰωὰβ τὸν Οὐρίαν πρὸς Δαυίδ.

Β Βασ. 11,6 - Εστειλε τότε ο Δαυίδ αγγελιαφόρον προς τον Ιωάβ και του είπε· “στείλε μου τον Ουρίαν τον Χετταίον”. Ο Ιωάβ απέστειλε πράγματι τον Ουρίαν προς τον Δαυίδ.

Β Βασ. 11,7 - καὶ παραγίνεται Οὐρίας καὶ εἰσῆλθε πρὸς αὐτόν, καὶ ἐπηρώτησε Δαυὶδ εἰς εἰρήνην Ἰωὰβ καὶ εἰς εἰρήνην τοῦ λαοῦ καὶ εἰς εἰρήνην τοῦ πολέμου.

Β Βασ. 11,7 - Ηλθεν ο Ουρίας και εισήλθεν στον οίκον του βασιλέως Δαυίδ. Ο Δαυίδ τον ηρώτησε κατ' αρχάς δια τον Ιωάβ, δια τον στρατόν, δια την πολεμικήν εν γένει κατάστασιν.

Β Βασ. 11,8 - καὶ εἶπε Δαυὶδ τῷ Οὐρίᾳ· κατάβηθι εἰς τὸν οἶκόν σου καὶ νίψαι τοὺς πόδας σου· καὶ ἐξῆλθεν Οὐρίας ἐξ οἴκου τοῦ βασιλέως, καὶ ἐξῆλθεν ὀπίσω αὐτοῦ ἄρσις τοῦ βασιλέως.

Β Βασ. 11,8 - Είπε δε κατόπιν στον Ουρίαν· “πήγαινε στον οίκον σου και νίψε τους πόδας σου και αναπαύσου”. Εβγήκεν ο Ουρίας από τον βασιλικόν οίκον και οπίσω από αυτόν ηκολούθησαν δώρα από την βασιλικήν τράπεζαν.

Β Βασ. 11,9 - καὶ ἐκοιμήθη Οὐρίας παρὰ τῇ θύρᾳ τοῦ βασιλέως μετὰ τῶν δούλων τοῦ κυρίου αὐτοῦ καὶ οὐ κατέβη εἰς τὸν οἶκον αὐτοῦ.

Β Βασ. 11,9 - Ο Ουρίας όμως εκοιμήθη εις την θύραν του βασιλικού ανακτόρου, μαζή με τους δούλους του βασιλέως και δεν μετέβη εις την οικίαν του.

Β Βασ. 11,10 - καὶ ἀνήγγειλαν τῷ Δαυὶδ λέγοντες, ὅτι οὐ κατέβη Οὐρίας εἰς τὸν οἶκον αὐτοῦ. καὶ εἶπε Δαυὶδ πρὸς Οὐρίαν· οὐχὶ ἐξ ὁδοῦ σὺ ἔρχῃ; τί ὅτι οὐ κατέβης εἰς τὸν οἶκόν σου;

Β Βασ. 11,10 - Εγνωστοποίησαν το πράγμα στον βασιλέα Δαυίδ, ότι δηλαδή ο Ουρίας δεν είχε μεταβή στον οίκον του. Ο Δαυίδ ηρώτησε τον Ουρίαν· “από δρόμον δεν έρχεσαι; Διατί δεν επήγες στον οίκον σου να αναπαυθής, εφ' όσον έχεις άλλωστε ανάγκην αναπαύσεως;”

Β Βασ. 11,11 - καὶ εἶπεν Οὐρίας πρὸς Δαυίδ· ἡ κιβωτὸς καὶ Ἰσραὴλ καὶ Ἰούδας κατοικοῦσιν ἐν σκηναῖς, καὶ ὁ κύριός μου Ἰωὰβ καὶ οἱ δοῦλοι τοῦ κυρίου μου ἐπὶ πρόσωπον τοῦ ἀγροῦ παρεμβάλλουσι· καὶ ἐγὼ εἰσελεύσομαι εἰς τὸν οἶκόν μου τοῦ φαγεῖν καὶ πιεῖν καὶ κοιμηθῆναι μετὰ τῆς γυναικός μου; πῶς; ζῇ ἡ ψυχή σου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο.

Β Βασ. 11,11 - Ο Ουρίας απήντησε προς τον Δαυίδ· “η ιερά Κιβωτός του Μαρτυρίου, όλος ο ισραηλιτικός και ιουδαϊκός λαός κατοικούν εις τας σκηνάς. Ο κύριός μου, ο Ιωάβ και οι δούλοι του, έχουν στρατοπεδεύσει εις την πεδιάδα. Εγώ, λοιπόν, θα εισέλθω εις την οικίαν μου, δια να φάγω, να πίω και να κοιμηθώ με την γυναίκα μου; Πως είναι δυνατόν να γίνη τούτο; Ορκίζομαι εις την ζωήν σου, ότι αυτό δεν θα γίνη”.

Β Βασ. 11,12 - καὶ εἶπε Δαυὶδ πρὸς Οὐρίαν· κάθισον ἐνταῦθα καί γε σήμερον, καὶ αὔριον ἐξαποστελῶ σε. καὶ ἐκάθισεν Οὐρίας ἐν Ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τῇ ἐπαύριον.

Β Βασ. 11,12 - Ο Δαυίδ είπε τότε προς τον Ουρίαν· “κάθισε εδώ σήμερον και αύριον θα σε στείλω πάλιν προς τον Ιωάβ”. Ο Ουρίας έμεινεν εις την Ιερουσαλήμ κατά την ημέραν εκείνην και την επομένην.

Β Βασ. 11,13 - καὶ ἐκάλεσεν αὐτὸν Δαυίδ, καὶ ἔφαγεν ἐνώπιον αὐτοῦ καὶ ἔπιε καὶ ἐμέθυσεν αὐτόν· καὶ ἐξῆλθεν ἑσπέρας τοῦ κοιμηθῆναι ἐπὶ τῆς κοίτης αὐτοῦ μετὰ τῶν δούλων τοῦ κυρίου αὐτοῦ, καὶ εἰς τὸν οἶκον αὐτοῦ οὐ κατέβη.

Β Βασ. 11,13 - Ο Δαυίδ τον προσεκάλεσεν στο φαγητόν. Ο Ουρίας έφαγε και έπιεν ενώπιον του βασιλέως, ο οποίος και τον εμέθυσε. Κατά το βράδυ εβγήκεν από το βασιλικόν ανάκτορον, δια να κοιμηθή. Εκοιμήθη εις την κλίνην του, μαζή με τους άλλους δούλους του βασιλέως. Εις το σπίτι του δεν επήγε.

Β Βασ. 11,14 - καὶ ἐγένετο πρωΐ καὶ ἔγραψε Δαυὶδ βιβλίον πρὸς Ἰωὰβ καὶ ἀπέστειλεν ἐν χειρὶ Οὐρίου.

Β Βασ. 11,14 - Οταν εξημέρωσεν, ο Δαυίδ έγραψε μίαν επιστολήν προς τον Ιωάβ, την οποίαν έστειλε με τον ίδιον τον Ουρίαν.

Β Βασ. 11,15 - καὶ ἔγραψεν ἐν βιβλίῳ λέγων· εἰσάγαγε τὸν Οὐρίαν ἐξ ἐναντίας τοῦ πολέμου τοῦ κραταιοῦ, καὶ ἀποστραφήσεσθε ἀπὸ ὄπισθεν αὐτοῦ, καὶ πληγήσεται καὶ ἀποθανεῖται.

Β Βασ. 11,15 - Εις την επιστολήν αυτήν έγραφε τα εξής· “Βαλε τον Ουρίαν εις επικίνδυνον θέσιν των πολεμικών επιχειρήσεων. Κατόπιν σεις θα αποσυρθήτε μακράν από αυτόν, δια να μείνη έτσι αυτός αβοήθητος ενώπιον των εχθρών, να κτυπηθή και να φονευθή”.

Β Βασ. 11,16 - καὶ ἐγενήθη ἐν τῷ φυλάσσειν Ἰωὰβ ἐπὶ τὴν πόλιν καὶ ἔθηκε τὸν Οὐρίαν εἰς τὸν τόπον, οὗ ᾔδει ὅτι ἄνδρες δυνάμεως ἐκεῖ.

Β Βασ. 11,16 - Ο Ιωάβ, ο οποίος συνέχιζε την πολιορκίαν της πόλεως, ετοποθέτησε πράγματι τον Ουρίαν εις επικίνδυνον μέρος, όπου εγνώριζεν ότι υπήρχον άνδρες γενναίοι και ισχυροί.

Β Βασ. 11,17 - καὶ ἐξῆλθον οἱ ἄνδρες τῆς πόλεως καὶ ἐπολέμουν μετὰ Ἰωάβ, καὶ ἔπεσαν ἐκ τοῦ λαοῦ ἐκ τῶν δούλων Δαυίδ, καὶ ἀπέθανε καί γε Οὐρίας ὁ Χετταῖος.

Β Βασ. 11,17 - Οι άνδρες της πολιορκουμένης πόλεως εξώρμησαν και συνήψαν μάχην εναντίον του Ιωάβ. Κατά την μάχην εκείνην εφονεύθησαν από τους στρατιώτας τους Ισραηλίτας και από τους δούλους του Δαυίδ πολλοί. Μεταξύ δε αυτών εφονεύθη και ο Ουρίας ο Χετταίος.

Β Βασ. 11,18 - καὶ ἀπέστειλεν Ἰωὰβ καὶ ἀπήγγειλε τῷ Δαυὶδ πάντας τοὺς λόγους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν βασιλέα

Β Βασ. 11,18 - Ο Ιωάβ, έπειτα από τα γεγονότα αυτά, έστειλεν αγγελιαφόρον στον Δαυίδ και έδωκεν εις αυτόν την εντολήν να αναφέρη στον βασιλέα τα συμβάντα του πολέμου.

Β Βασ. 11,19 - καὶ ἐνετείλατο τῷ ἀγγέλῳ λέγων· ἐν τῷ συντελέσαι πάντας τοὺς λόγους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν βασιλέα

Β Βασ. 11,19 - Εις τον αγγελιαφόρον δε προσέθεσεν ο Ιωάβ επί πλέον και τούτο· “όταν τελειώσης την αναφοράν σου προς τον βασιλέα δι' όλα τα συμβάντα του πολέμου

Β Βασ. 11,20 - καὶ ἔσται ἐὰν ἀναβῇ ὁ θυμὸς τοῦ βασιλέως, καὶ εἴπῃ σοι· τί ὅτι ἠγγίσατε πρὸς τὴν πόλιν πολεμῆσαι; οὐκ ᾔδειτε ὅτι τοξεύσουσιν ἀπάνωθεν τοῦ τείχους;

Β Βασ. 11,20 - και ίδης ότι κατέλαβε θυμός τον βασιλέα και σου είπη· Διατί επλησιάσατε και επολεμήσατε τόσον κοντά εις την πόλιν; Δεν εγνωρίζατε ότι θα σας τοξεύσουν από τα τείχη της πόλεως;

Β Βασ. 11,21 - τίς ἐπάταξε τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβάαλ υἱοῦ Νήρ; οὐχὶ γυνὴ ἔῤῥιψε κλάσμα μύλου ἐπ᾿ αὐτὸν ἀπὸ ἄνωθεν τοῦ τείχους καὶ ἀπέθανεν ἐν Θαμασί; ἱνατί προσηγάγετε πρὸς τὸ τεῖχος; καὶ ἐρεῖς· καί γε ὁ δοῦλός σου Οὐρίας ὁ Χετταῖος ἀπέθανε.

Β Βασ. 11,21 - Ποιός εφόνευσε τον Αβιμέλεχ, τον υιόν του Ιεροβάαλ, υιού του Νηρ; Δεν έρριψε εναντίον του θραύσμα μυλόπετρας επάνω από τον τοίχον μία γυναίκα και τον εφόνευσεν εις την Θαμασί; Διατί, λοιπόν, επλησιάσατε προς το τείχος; Συ θα του απαντήσης· Ο δούλός σου, ο Ουρίας ο Χετταίος, εφονεύθη εκεί”.

Β Βασ. 11,22 - καὶ ἐπορεύθη ὁ ἄγγελος Ἰωὰβ πρὸς τὸν βασιλέα εἰς Ἱερουσαλήμ, καὶ παρεγένετο καὶ ἀπήγγειλε τῷ Δαυὶδ πάντα, ὅσα ἀπήγγειλεν αὐτῷ Ἰωὰβ πάντα τὰ ῥήματα τοῦ πολέμου. καὶ ἐθυμώθη Δαυὶδ πρὸς Ἰωὰβ καὶ εἶπε πρὸς τὸν ἄγγελον· ἱνατί προσηγάγετε πρὸς τὴν πόλιν τοῦ πολεμῆσαι; οὐκ ᾔδειτε ὅτι πληγήσεσθε ἀπὸ τοῦ τείχους; τίς ἐπάταξε τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβάαλ; οὐχὶ γυνὴ ἔῤῥιψεν ἐπ᾿ αὐτὸν κλάσμα μύλου ἀπὸ τοῦ τείχους καὶ ἀπέθανεν ἐν Θαμασί; ἱνατί προσηγάγετε πρὸς τὸ τεῖχος;

Β Βασ. 11,22 - Ο αγγελιαφόρος του Ιωάβ επήγε προς τον βασιλέα Δαυίδ εις την Ιερουσαλήμ, έφθασεν εκεί και ανήγγειλεν στον Δαυίδ όλα όσα είχε διατάξει αυτόν ο Ιωάβ να του είπη σχετικώς με τα γεγονότα του πολέμου. Ο Δαυίδ κατελήφθη από θυμόν εναντίον του Ιωάβ και είπε προς τον αγγελιαφόρον· “διατί επλησιάσατε τόσον πολύ εις την πόλιν και συνήψατε εκεί μάχην; Δεν εγνωρίζατε ότι θα κτυπηθήτε από τους στρατιώτας, που εφύλατταν το τείχος; Ποίος εφόνευσε τον ' Αβιμέλεχ, τον υιόν του Ιεροβάαλ; Δεν τον εφόνευσε κάποια γυναίκα, η οποία έρριψεν εναντίον του από τα τείχος ένα θραύσμα από μυλόπετραν και απέθανεν εκείνος εις Θαμασί; Διατί επλησιάσατε προς το τείχος;”

Β Βασ. 11,23 - καὶ εἶπεν ὁ ἄγγελος πρὸς Δαυὶδ ὅτι ἐκραταίωσαν ἐφ᾿ ἡμᾶς οἱ ἄνδρες καὶ ἐξῆλθαν ἐφ᾿ ἡμᾶς εἰς τὸν ἀγρόν, καὶ ἐγενήθημεν ἐπ᾿ αὐτοὺς ἕως τῆς θύρας τῆς πύλης,

Β Βασ. 11,23 - Ο αγγελιαφόρος είπε τότε προς τον Δαυίδ· “ότι οι εχθροί εφάνησαν ισχυρότεροι από ημάς, εξήλθον εναντίον μας στον αγρόν και μας επετέθησαν έξω από την πόλιν εις την πεδιάδα. Ημείς όμως τους απεκρούσαμεν έως εις την πύλην της πόλεως.

Β Βασ. 11,24 - καὶ ἐτόξευσαν οἱ τοξεύοντες πρὸς τοὺς παῖδάς σου ἀπάνωθεν τοῦ τείχους, καὶ ἀπέθανον τῶν παίδων τοῦ βασιλέως, καί γε ὁ δοῦλος σου Οὐρίας ὁ Χετταῖος ἀπέθανε.

Β Βασ. 11,24 - Τοτε από το ύψος του τείχους οι εχθροί έρριψαν με τα τόξα τους βέλη εναντίον μας. Εκεί εφονεύθησαν πολλοί δούλοι του βασιλέως, μεταξύ δε αυτών εφονεύθη και αυτός ακόμη ο δούλος σου ο Ουρίας”.

Β Βασ. 11,25 - καὶ εἶπε Δαυὶδ πρὸς τὸν ἄγγελον· τάδε ἐρεῖς πρὸς Ἰωάβ· μὴ πονηρὸν ἔστω ἐν ὀφθαλμοῖς σου τὸ ῥῆμα τοῦτο, ὅτι ποτὲ μὲν οὕτως καὶ ποτὲ οὕτως φάγεται ἡ μάχαιρα· κραταίωσον τὸν πόλεμόν σου εἰς τὴν πόλιν καὶ κατάσπασον αὐτὴν καὶ κραταίωσον αὐτήν.

Β Βασ. 11,25 - Ο Δαυίδ είπε τότε προς τον αγγελιαφόρον· “αυτά θα πεή εκ μέρους μου στον Ιωάβ· Μη θεωρήσης και πολύ μεγάλο κακό αυτό το γεγονός, διότι η μάχαιρα του πολέμου άλλοτε κατατρώγει τον ένα και άλλοτε τον άλλον. Συ δε να εντείνης τας πολεμικάς σου επιχειρήσεις εναντίον της πόλεως αυτής, να την καταλάβης και να την καταστρέψης”.

Β Βασ. 11,26 - καὶ ἤκουσεν ἡ γυνὴ Οὐρίου ὅτι ἀπέθανεν Οὐρίας ὁ ἀνὴρ αὐτῆς, καὶ ἐκόψατο τὸν ἄνδρα αὐτῆς.

Β Βασ. 11,26 - Οταν η σύζυγος του Ουρίου έμαθεν ότι εφονεύθη ο σύζυγός της, τον επένθησε με κοπετούς και θρήνους.

Β Βασ. 11,27 - καὶ διῆλθε τὸ πένθος καὶ ἀπέστειλε Δαυίδ, καὶ συνήγαγεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐγενήθη αὐτῷ εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ υἱόν. καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα, ὃ ἐποίησε Δαυίδ, ἐν ὀφθαλμοῖς Κυρίου.

Β Βασ. 11,27 - Οταν δε επέρασαν αι ημέραι του πένθους της, έστειλεν ο Δαυίδ άνθρωπον και την έφερεν στο ανάκτορόν του. Εκεί δε αυτή έγινε πλέον νόμιμος σύζυγος του Δαυίδ και εγέννησεν εις αυτόν υιόν. Εις τα μάτια όμως του Θεού εφάνη πολύ κακή η πράξις αυτή, την οποίαν έκαμεν ο Δαυίδ.

Β ΒΑΣΙΛΕΙΩΝ 12

Β Βασ. 12,1 - Καὶ ἀπέστειλε Κύριος τὸν Νάθαν τὸν προφήτην πρὸς Δαυίδ, καὶ εἰσῆλθε πρὸς αὐτὸν καὶ εἶπεν αὐτῷ· δύο ἦσαν ἄνδρες ἐν πόλει μιᾷ, εἷς πλούσιος, καὶ εἷς πένης·

Β Βασ. 12,1 - Ο Κυριος έστειλε προς τον Δαυίδ τον προφήτην Ναθαν, ο οποίος εισήλθεν στο ανάκτορον εκείνου και είπε προς αυτόν· “εις μίαν πόλιν εζούσαν δύο άνδρες, ο ενας πλούσιος και ο άλλος πτωχός.

Β Βασ. 12,2 - καὶ τῷ πλουσίῳ ἦν ποίμνια καὶ βουκόλια πολλὰ σφόδρα,

Β Βασ. 12,2 - Ο πλούσιος είχε πάρα πολλά πρόβατα και βόδια.

Β Βασ. 12,3 - καὶ τῷ πένητι οὐδὲν ἀλλ᾿ ἢ ἀμνὰς μία μικρά, ἣν ἐκτήσατο καὶ περιεποίησατο καὶ ἐξέθρεψεν αὐτὴν καὶ ἡδρύνθη μετ᾿ αὐτοῦ καὶ μετὰ τῶν υἱῶν αὐτοῦ ἐπὶ τὸ αὐτό, ἐκ τοῦ ἄρτου αὐτοῦ ἤσθιε καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε καὶ ἦν αὐτῷ ὡς θυγάτηρ·

Β Βασ. 12,3 - Ο πτωχός δεν είχε τίποτε άλλο, παρά μίαν μόνον αμνάδα μικράν, την οποίαν είχεν αγοράσει. Αυτός προσωπικώς την περιποιήθη, την ανέθρεψε, την εμεγάλωσε μαζή με τα παιδιά του. Αυτή έτρωγε από το ψωμί του και έπινε νερό από το ποτήρι του. Εις την αγκάλην του εκοιμάτο και την είχεν ωσάν θυγατέρα του.

Β Βασ. 12,4 - καὶ ἦλθε πάροδος τῷ ἀνδρὶ τῷ πλουσίῳ, καὶ ἐφείσατο λαβεῖν ἐκ τῶν ποιμνίων αὐτοῦ καὶ ἐκ τῶν βουκολίων αὐτοῦ τοῦ ποιῆσαι τῷ ξένῳ ὁδοιπόρῳ τῷ ἐλθόντι πρὸς αὐτὸν καὶ ἔλαβε τὴν ἀμνάδα τοῦ πένητος καὶ ἐποίησεν αὐτὴν τῷ ἀνδρὶ τῷ ἐλθόντι πρὸς αὐτόν.

Β Βασ. 12,4 - Καποιος οδοιπόρος επισκέπτης ήλθεν στον άλλον, τον πλούσιον άνθρωπον. Αυτός, προκειμένου να φιλοξενήση τον ξένον του, ελυπήθη να σφάξη από τα πρόβατά του και από τα βόδια του, δια να παραθέση τράπεζαν φιλοξενίας στον οδοιπόρον, που τον είχεν επισκεφθή. Και επήρε την αμνάδα του πτωχού, την οποίαν έσφαξε και ητοίμασε δια τον ξένον υδοιπόρον, που είχεν ελθει προς αυτόν”.

Β Βασ. 12,5 - καὶ ἐθυμώθη ὀργῇ Δαυὶδ σφόδρα τῷ ἀνδρί, καὶ εἶπε Δαυὶδ πρὸς Νάθαν· ζῇ Κύριος, ὅτι υἱὸς θανάτου ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο

Β Βασ. 12,5 - Ο Δαυίδ εκυριεύθη από μεγάλην οργήν εναντίον του ανθρώπου εκείνου και είπε προς τον Ναθαν· “ορκίζομαι ενώπιον του ζώντος Κυρίου, ότι αυτός ο άνθρωπος, που έκαμε τούτο, είναι οπωσδήποτε άξιος θανάτου και θα θανατωθή.

Β Βασ. 12,6 - καὶ τὴν ἀμνάδα ἀποτίσει ἑπταπλασίονα, ἀνθ᾿ ὧν ὅτι ἐποίησε τὸ ῥῆμα τοῦτο καὶ περὶ οὗ οὐκ ἐφείσατο.

Β Βασ. 12,6 - Θα επιστρέψη δε στον αδικηθέντα επτά αμνάδας, διότι έκαμε την κακήν αυτήν πράξιν, δεν ελυπήθη δηλαδή τον πτωχόν κύριον της μιας αμνάδος”.

Β Βασ. 12,7 - καὶ εἶπε Νάθαν πρὸς Δαυίδ· σὺ εἶ ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἐγώ εἰμι ὁ χρίσας σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ ἐγώ εἰμι ἐῤῥυσάμην σε ἐκ χειρὸς Σαοὺλ

Β Βασ. 12,7 - Ο Ναθαν είπε τότε προς τον Δαυίδ· “συ είσαι ο άνθρωπος εκείνος, που έπραξε τούτο. Δι' αυτό τα εξής λέγει Κυριος ο Θεός του Ισραήλ· Εγώ είμαι εκείνος, ο οποίος σε έχρισα βασιλέα του ισραηλιτικού λαού, και εγώ είμαι εκείνος ο οποίος σε εγλύτωσα από τα χέρια του Σαούλ.

Β Βασ. 12,8 - καὶ ἔδωκά σοι τὸν οἶκον τοῦ κυρίου σου καὶ τὰς γυναῖκας τοῦ κυρίου σου ἐν τῷ κόλπῳ σου καὶ ἔδωκά σοι τὸν οἶκον Ἰσραὴλ καὶ Ἰούδα· καὶ εἰ μικρόν ἐστι, προσθήσω σοι κατὰ ταῦτα.

Β Βασ. 12,8 - Σου έδωκα δε όλην την περιουσίαν του Σαούλ. Και τας γυναίκας του σου έφερα εις την αγκάλην σου και όλους τους Ισραηλίτας τους έθεσα υπό την εξουσίαν σου. Εάν όλαι αυταί αι ευεργεσίαι ήσαν ολίγαι, εγώ ηδυνάμην και είχα την πρόθεσιν να προσθέσω και άλλας περισσοτέρας.

Β Βασ. 12,9 - τί ὅτι ἐφαύλισας τὸν λόγον Κυρίου τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς αὐτοῦ; τὸν Οὐρίαν τὸν Χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες σεαυτῷ εἰς γυναῖκα καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομφαίᾳ υἱῶν Ἀμμών.

Β Βασ. 12,9 - Διατί όμως συ κατεφρόνησες και κατεξηυτέλισες τον νόμον του Κυρίου, ώστε να διαπράξης αυτό το κακόν ενώπιον των οφθαλμών του; Συ εφόνευσες τυν Ουρίαν τον Χετταίον με μάχαιραν και επήρες την γυναίκα του ως ιδικήν σου γυναίκα. Διότι συ έδωσες διαταγήν και ενήργησες εσκεμμένως να φονευθή από την ρομφαίαν των Αμμωνιτών.

Β Βασ. 12,10 - καὶ νῦν οὐκ ἀποστήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου ἕως αἰῶνος ἀνθ᾽ ὧν ὅτι ἐξουδένωσάς με καὶ ἔλαβες τὴν γυναῖκα τοῦ Οὐρίου τοῦ Χετταίου τοῦ εἶναί σοι εἰς γυναῖκα.

Β Βασ. 12,10 - Από τώρα και πέρα δεν θα σταματήσουν πλέον οι φόνοι εις την οικογένειάν σου, διότι με περιεφρόνησες και με κατεξηυτέλισες και επήρες την γυναίκα του Ουρίου του Χετταίου, δια να είναι ως σύζυγός σου.

Β Βασ. 12,11 - τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴκου σου καὶ λήψομαι τὰς γυναῖκάς σου κατ᾽ ὀφθαλμούς σου καὶ δώσω τῷ πλησίον σου, καὶ κοιμηθήσεται μετὰ τῶν γυναικῶν σου ἐναντίον τοῦ ἡλίου τούτου·

Β Βασ. 12,11 - Αυτά λέγει ο Κυριος· Ιδού εγώ θα παραχωρήσω να παρουσιασθούν παρόμοιαι συμφοραί εναντίον του οίκου σου, και θα αφήσω ενώπιον των οφθαλμών σου τας γυναίκας σου να παραδοθούν εις άνθρωπον ιδικόν σου, ο οποίος αναισχύντως και από το φως του ηλίου θα κοιμηθή με τας γυναίκας σου.

Β Βασ. 12,12 - ὅτι σὺ ἐποίησας κρυβῇ, κἀγὼ ποιήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παντὸς Ἰσραὴλ καὶ ἀπέναντι τοῦ ἡλίου τούτου.

Β Βασ. 12,12 - Δια το κακόν, το οποίον συ διέπραξες κρυφίως, εγώ θα σε τιμωρήσω ενώπιον όλου του ισραηλιτικού λαού υπό το φως του ηλίου".

Β Βασ. 12,13 - καὶ εἶπε Δαυὶδ τῷ Νάθαν· ἡμάρτηκα τῷ Κυρίῳ. καὶ εἶπε Νάθαν πρὸς Δαυίδ· καὶ Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς·

Β Βασ. 12,13 - Είπε τότε, βαθύτατα μετανοήσας, ο Δαυίδ προς τον Ναθαν· "ημάρτησα ενώπιον του Κυρίου". Απήντησε δε ο Ναθαν προς τον

Δαυίδ· “ο Κυριος παρέβλεψε και συνεχώρησε το αμάρτημά σου και δεν θα τιμωρηθής δια θανάτου.

Β Βασ. 12,14 - πλὴν ὅτι παροργίζων παρώργισας τοὺς ἐχθροὺς Κυρίου ἐν τῷ ῥήματι τούτῳ, καί γε ὁ υἱός σου ὁ τεχθείς σοι θανάτῳ ἀποθανεῖται.

Β Βασ. 12,14 - Επειδή όμως με την αμαρτίαν σου αυτήν με έκαμες να οργισθώ πολύ και να αφήσω εγώ ο Θεός τους εχθρούς σου να σας νικήσουν, δια τούτο θα αποθάνη αμέσως το παιδί, που εγεννήθη από την γυναίκα τον Ουρίου”.

Β Βασ. 12,15 - καὶ ἀπῆλθε Νάθαν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἔθραυσε Κύριος τὸ παιδίον, ὃ ἔτεκεν ἡ γυνὴ Οὐρίου τοῦ Χετταίου τῷ Δαυίδ, καὶ ἠῤῥώστησε.

Β Βασ. 12,15 - Αυτά είπεν ο Ναθαν και επανήλθεν στον οίκον του. Ο δε Κυριος εκτύπησε το παιδί, το οποίον εγέννησεν η γυναίκα του Ουρίου του Χετταίου στον Δαυίδ, και αυτό αρρώστησε.

Β Βασ. 12,16 - καὶ ἐζήτησε Δαυὶδ τὸν Θεὸν περὶ τοῦ παιδαρίου, καὶ ἐνήστευσε Δαυὶδ νηστείαν καὶ εἰσῆλθε καὶ ηὐλίσθη ἐν σάκκῳ ἐπὶ τῆς γῆς.

Β Βασ. 12,16 - Ο Δαυίδ προσηυχήθη προς τον Θεόν δια την υγείαν του παιδίου και ενήστευσεν αυστηράν νηστείαν, διήλθε δε την νύκτα κοιμηθείς στο δάπεδον, ενδεδυμενός με σάκκον.

Β Βασ. 12,17 - καὶ ἀνέστησαν ἐπ᾿ αὐτὸν οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς, καὶ οὐκ ἠθέλησε καὶ οὐ συνέφαγεν αὐτοῖς ἄρτον.

Β Βασ. 12,17 - Κοντά του έμειναν οι γεροντότεροι του οίκου του και προσεπάθουν να τον σηκώσουν από το πάτωμα. Εκείνος όμως δεν ήθελε. Και δεν έφαγε μαζή των τίποτε.

Β Βασ. 12,18 - καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ ἀπέθανε τὸ παιδάριον· καὶ ἐφοβήθησαν οἱ δοῦλοι Δαυὶδ ἀναγγεῖλαι αὐτῷ ὅτι τέθνηκε τὸ παιδάριον, ὅτι εἶπαν· ἰδοὺ ἐν τῷ τὸ παιδάριον ἔτι ζῆν ἐλαλήσαμεν πρὸς αὐτόν, καὶ οὐκ εἰσήκουσε τῆς φωνῆς ἡμῶν· καὶ πῶς εἴπωμεν πρὸς αὐτὸν ὅτι τέθνηκε τὸ παιδάριον; καὶ ποιήσει κακά.

Β Βασ. 12,18 - Κατά την εβδόμην ημέραν από της ασθενείας απέθανε το παιδί. Οι δε δούλοι εφοβήθησαν να αναγγείλουν στον Δαυίδ, ότι απέθανε το παιδί, διότι είπαν· “να, όταν ακόμη εζούσε το παιδί ωμιλήσαμεν προς αυτόν και δεν ήθελε να ακούση τίποτε. Πως λοιπόν θα είπωμεν εις αυτόν τώρα, ότι το παιδί απέθανε; Η ενέργειά μας αυτή πιθανόν να γίνη αιτία κακών δι' αυτόν και δι' ημάς”.

Β Βασ. 12,19 - καὶ συνῆκε Δαυὶδ ὅτι οἱ παῖδες αὐτοῦ ψιθυρίζουσι, καὶ ἐνόησε Δαυὶδ ὅτι τέθνηκε τὸ παιδάριον· καὶ εἶπε Δαυὶδ πρὸς τοὺς παῖδας αὐτοῦ· εἰ τέθνηκε τὸ παιδάριον; καὶ εἶπαν· τέθνηκε.

Β Βασ. 12,19 - Ο Δαυίδ αντελήφθη ότι οι δούλοι αυτού κάτι εψυθίριζον και εκατάλαβε, ότι το παιδί είχε πλέον αποθάνει. Είπε τότε ο Δαυίδ προς τους δούλους του· "λοιπόν αλήθεια, απέθανε το παιδί;" Και εκείνοι του είπον· "απέθανε".

Β Βασ. 12,20 - καὶ ἀνέστη Δαυὶδ ἐκ τῆς γῆς καὶ ἐλούσατο καὶ ἠλείψατο καὶ ἤλλαξε τὰ ἱμάτια αὐτοῦ καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ προσεκύνησεν αὐτῷ· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ᾔτησεν ἄρτον φαγεῖν καὶ παρέθηκαν αὐτῷ ἄρτον, καὶ ἔφαγε.

Β Βασ. 12,20 - Τοτε ο Δαυίδ εσηκώθη από το έδαφος, ελούσθη, ηλείφθη με μύρα, άλλαξε τα ενδύματά του και εισήλθεν στον οίκον του Θεού και προσεκύνησεν αυτόν. Κατόπιν δε επανήλθεν στον οίκον του, εζήτησε φαγητόν να φάγη και παρέθεσαν εις αυτόν άρτον και φαγητόν και έφαγε.

Β Βασ. 12,21 - καὶ εἶπαν οἱ παῖδες αὐτοῦ πρὸς αὐτόν· τί τὸ ῥῆμα τοῦτο, ὃ ἐποίησας ἕνεκα τοῦ παιδαρίου; ἔτι ζῶντος ἐνήστευες καὶ ἔκλαιες καὶ ἠγρύπνεις, καὶ ἡνίκα ἀπέθανε τὸ παιδάριον, ἀνέστης καὶ ἔφαγες ἄρτον καὶ πέπωκας;

Β Βασ. 12,21 - Είπαν τότε οι δούλοι του προς αυτόν· "τι είναι αυτό, το οποίον έκαμες σχετικώς με το θλιβερόν γεγονός του παιδίου σου; Ενώ εκείνο ακόμη εζούσε, συ ενήστευες και έκλαιες και αγρυπνούσες. Οταν δε απέθανε το παιδί, ηγέρθης, έφαγες και έπιες;"

Β Βασ. 12,22 - καὶ εἶπε Δαυίδ· ἐν τῷ τὸ παιδάριον ἔτι ζῆν ἐνήστευσα καὶ ἔκλαυσα, ὅτι εἶπα· τίς οἶδεν εἰ ἐλεήσει με Κύριος καὶ ζήσεται τὸ παιδάριον;

Β Βασ. 12,22 - Απήντησεν ο Δαυίδ εις αυτούς· "εφ' όσον εζούσε το παιδί, ενήστευσα και έκλαυσα, διότι εσκέφθην, τις οίδε, μήπως ο Κυριος με ελεήση και ζήση το παιδί;

Β Βασ. 12,23 - καὶ νῦν τέθνηκεν· ἱνατί τοῦτο ἐγὼ νηστεύω; μὴ δυνήσομαι ἐπιστρέψαι αὐτὸν ἔτι; ἐγὼ πορεύσομαι πρὸς αὐτόν, καὶ αὐτὸς οὐκ ἀναστρέψει πρός με.

Β Βασ. 12,23 - Τωρα όμως απέθανε. Διατί πλέον εγώ να νηστεύω; Μηπως θα ημπορέσω να το επαναφέρω εις την ζώην; Εγώ θα πορευθώ προς αυτό. Αυτό δέ ποτέ δεν θα επιστρέψη προς εμέ".

Β Βασ. 12,24 - καὶ παρεκάλεσε Δαυὶδ Βηρσαβεὲ τὴν γυναῖκα αὐτοῦ καὶ εἰσῆλθε πρὸς αὐτὴν καὶ ἐκοιμήθη μετ᾿ αὐτῆς καὶ συνέλαβε καὶ ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σαλωμών, καὶ Κύριος ἠγάπησεν αὐτόν.

Β Βασ. 12,24 - Παρηγόρησεν ο Δαυίδ και την Βηρσαβεέ την γυναίκα του δια τον θάνατον του παιδιού. Εισήλθε προς αυτήν, εκοιμήθη μαζή της, εκείνη δε συνέλαβε και εγέννησεν άλλον υιόν, στον οποίον έδωσε το όνομα Σαλωμών. Ο δε Κυριος ηγάπησεν αυτόν.

Β Βασ. 12,25 - καὶ ἀπέστειλεν ἐν χειρὶ Νάθαν τοῦ προφήτου, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰεδεδί, ἕνεκεν Κυρίου.

Β Βασ. 12,25 - Εδωσε δε εντολήν ο Θεός δια μέσου του προφήτου Ναθαν, σύμφωνα προς την οποίαν ο Δαυίδ εκάλεσε το όνομα του παιδίου Ιεδεδί, το οποίον σημαίνει “ηγαπημένος παρά Κυρίου”.

Β Βασ. 12,26 - Καὶ ἐπολέμησεν Ἰωὰβ ἐν Ῥαββὰθ υἱῶν Ἀμμὼν καὶ κατέλαβε τὴν πόλιν τῆς βασιλείας.

Β Βασ. 12,26 - Εν τω μεταξύ ο Ιωάβ επολεμούσε και πολιορκούσε την Ραββάθ, πόλιν των Αμμωνιτών, την οποίαν και κατέλαβε, αυτήν την βασιλικήν πόλιν και πρωτεύουσαν των Αμμωνιτών.

Β Βασ. 12,27 - καὶ ἀπέστειλεν Ἰωὰβ ἀγγέλους πρὸς Δαυὶδ καὶ εἶπεν· ἐπολέμησα ἐν Ῥαββὰθ καὶ κατελαβόμην τὴν πόλιν τῶν ὑδάτων·

Β Βασ. 12,27 - Εστειλε δε αγγελιαφόρον προς τον Δαυίδ και εγνωστοποίησεν εις αυτόν· “επολέμησα την Ραββάθ και κατέλαβαν την πόλιν, την κτισμένην πλησίον των υδάτων του ποταμού Ιαβώκ.

Β Βασ. 12,28 - καὶ νῦν συνάγαγε τὸ κατάλοιπον τοῦ λαοῦ καὶ παρέμβαλε ἐπὶ τὴν πόλιν καὶ προκαταλαβοῦ αὐτήν, ἵνα μὴ προκαταλάβωμαι ἐγὼ τὴν πόλιν καὶ κληθῇ τὸ ὄνομά μου ἐπ᾿ αὐτήν.

Β Βασ. 12,28 - Και τώρα συγκέντρωσε συ τον υπόλοιπον λαόν, στρατοπέδευσε κοντά εις την πόλιν και κάμε επίθεσιν, δια να καταλάβης το υπόλοιπον μέρος αυτής, δια να μη κυριεύσω εγώ και το μέρος τούτο της πόλεως και αποδοθή στο όνομά μου η κατάληψίς της”.

Β Βασ. 12,29 - καὶ συνήγαγε Δαυὶδ πάντα τὸν λαὸν καὶ ἐπορεύθη εἰς Ῥαββὰθ καὶ ἐπολέμησεν ἐν αὐτῇ καὶ κατελάβετο αὐτήν.

Β Βασ. 12,29 - Ο Δαυίδ συνεκέντρωσε πράγματι όλον τον υπόλοιπον λαόν και εβάδισεν εναντίον της Ραββάθ, επολέμησε κατ' αυτής και την εκυρίευσε.

Β Βασ. 12,30 - καὶ ἔλαβε τὸν στέφανον Μολχὸμ τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ ὁ σταθμὸς αὐτοῦ τάλαντον χρυσίου καὶ λίθου τιμίου, καὶ ἦν ἐπὶ τῆς κεφαλῆς Δαυίδ· καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκε πολλὰ σφόδρα.

Β Βασ. 12,30 - Αφήρεσε δε τον χρυσούν στέφανον, το διάδημα, από την κεφαλήν του βασιλέως των του Μολχόμ. Το βάρος του στεφάνου ήτο ένα τάλαντον χρυσού, είχε δε κατασκευασθή από χρυσόν και πολυτίμους λίθους. Τον βασιλικόν αυτόν στέφανον εφόρεσεν ο Δαυίδ εις την κεφαλήν του. Επήρε και πάρα πολλά άλλα λάφυρα από την πόλιν αυτήν.

Β Βασ. 12,31 - καὶ τὸν λαὸν τὸν ὄντα ἐν αὐτῇ ἐξήγαγε καὶ ἔθηκεν ἐν τῷ πρίονι καὶ ἐν τοῖς τριβόλοις τοῖς σιδηροῖς καὶ ὑποτομεῦσι σιδηροῖς καὶ διήγαγεν αὐτοὺς διὰ τοῦ πλινθείου· καὶ οὕτως ἐποίησε πάσαις ταῖς πόλεσιν υἱῶν Ἀμμών. καὶ ἐπέστρεψε Δαυὶδ καὶ πᾶς ὁ λαὸς εἰς Ἱερουσαλήμ.

Β Βασ. 12,31 - Τον δε λαόν, ο οποίος ευρίσκετο μέσα εις την πόλιν, τον έβγαλεν έξω από αυτήν και εφόνευσεν άλλους με πριόνια και άλλους με

σιδηρούς κοπτήρας και άλλους ηνάγκασε να περάσουν από καλούπια πλίνθων. Το ίδιο έκαμε και στους κατοίκους όλων των άλλων πόλεων των Αμμωνιτών. Κατόπιν ο Δαυίδ επέστρεψέ με όλον τον στρατόν του εις την Ιερουσαλήμ.

Β ΒΑΣΙΛΕΙΩΝ 13

Β Βασ. 13,1 - Καὶ ἐγενήθη μετὰ ταῦτα καὶ τῷ Ἀβεσσαλὼμ υἱῷ Δαυὶδ ἀδελφὴ καλὴ τῷ εἴδει σφόδρα, καὶ ὄνομα αὐτῇ Θημάρ, καὶ ἠγάπησεν αὐτὴν Ἀμνὼν υἱὸς Δαυίδ.
Β Βασ. 13,1 - Επειτα από αυτά συνέβησαν τα εξής θλιβερά γεγονότα· Αδελφή του Αβεσσαλώμ, υιού του Δαυίδ, ήτο η ωραιοτάτη κατά την μορφήν Θημάρ. Αυτήν την ερωτεύθηκε σφοδρώς ο Αμνών, ο υιός του Δαυίδ.
Β Βασ. 13,2 - καὶ ἐθλίβετο Ἀμνὼν ὥστε ἀῤῥωστεῖν διὰ Θημὰρ τὴν ἀδελφὴν αὐτοῦ, ὅτι παρθένος ἦν αὕτη, καὶ ὑπέρογκον ἐν ὀφθαλμοῖς Ἀμνὼν τοῦ ποιῆσαί τι αὐτῇ.
Β Βασ. 13,2 - Ο Αμνών υπέφερε πολύ από την αγάπην του αυτήν, ώστε ησθένησεν εξ αιτίας του έρωτος του προς την Θημάρ, την αδελφήν του. Υπέφερε δέ, διότι αυτή ήτο παρθένος και ήτο τρομερόν δι' αυτόν, να κάμη κάτι κακόν εις εκείνην.
Β Βασ. 13,3 - καὶ ἦν τῷ Ἀμνὼν ἑταῖρος, καὶ ὄνομα αὐτῷ Ἰωναδάβ, υἱὸς Σαμαὰ τοῦ ἀδελφοῦ Δαυίδ· καὶ Ἰωναδὰβ ἀνὴρ σοφὸς σφόδρα.
Β Βασ. 13,3 - Ο Αμνών είχε ένα φίλον ονομαζόμενον Ιωναδάβ, ο οποίος ήτο υιός του Σαμαά, αδελφού του Δαυίδ. Αυτός ο Ιωναδάβ ήτο ευφυέστατος άνθρωπος.
Β Βασ. 13,4 - καὶ εἶπεν αὐτῷ· τί σοι ὅτι σὺ οὕτως ἀσθενής, υἱὲ τοῦ βασιλέως, τὸ πρωΐ πρωΐ; οὐκ ἀπαγγέλλεις μοι; καὶ εἶπεν αὐτῷ Ἀμνών· Θημὰρ τὴν ἀδελφὴν Ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ μου ἐγὼ ἀγαπῶ.
Β Βασ. 13,4 - Ηρώτησε τον Αμνών· “τι σου συμβαίνει, υιέ του βασιλέως, ώστε κάθε πρωί να φαίνεσαι τόσον μελαγχολικός και καταβεβλημένος; Δεν θα μου είπης την αιτίαν;” Ο Αμνών είπε προς αυτόν· “εγώ αγαπώ την Θημάρ, την ομομήτριον αδελφήν του Αβεσσαλώμ, του ετεροθαλούς τούτου αδελφού μου”.
Β Βασ. 13,5 - καὶ εἶπεν αὐτῷ Ἰωναδάβ· κοιμήθητι ἐπὶ τῆς κοίτης σου καὶ μαλακίσθητι, καὶ εἰσελεύσεται ὁ πατήρ σου τοῦ ἰδεῖν σε, καὶ ἐρεῖς πρὸς αὐτόν· ἐλθέτω δὴ Θημὰρ ἡ ἀδελφή μου καὶ ψωμισάτω με καὶ ποιησάτω κατ᾿ ὀφθαλμούς μου βρῶμα, ὅπως ἴδω καὶ φάγω ἐκ τῶν χειρῶν αὐτῆς.
Β Βασ. 13,5 - Συνεβούλευσεν αυτόν ο Ιωναδάβ και του είπε· “πέσε στο κρεββάτι σου και προσποιήσου τον ασθενή. Ο πατήρ σου θα έλθη να σε ιδή και συ θα πης προς αυτόν· Ας έλθη, παρακαλώ, εδώ η Θημάρ, η αδελφή

μου, να μου δώση να φάγω φάγητον, το οποίον θα παρασκευάση ενώπιόν μου. Θέλω να ίδω αυτήν και φάγω από τα χέρια της το φάγητον”.

Β Βασ. 13,6 - καὶ ἐκοιμήθη Ἀμνὼν καὶ ἠῤῥώστησε, καὶ εἰσῆλθεν ὁ βασιλεὺς ἰδεῖν αὐτόν, καὶ εἶπεν Ἀμνὼν πρὸς τὸν βασιλέα· ἐλθέτω δὴ Θημὰρ ἡ ἀδελφή μου πρός με καὶ κολλυρισάτω ἐν ὀφθαλμοῖς μου δύο κολλυρίδας, καὶ φάγομαι ἐκ τῆς χειρὸς αὐτῆς.

Β Βασ. 13,6 - Ο Αμνών έπεσεν στο κρεββάτι και προσεποιήθη τον άρρωστον. Ο βασιλεύς Δαυίδ εισήλθεν στο δωμάτιόν του, να τον επισκεφθή, Ο δε Αμνών είπε προς τον βασιλέα· “ας έλθη εδώ πλησίον μου η αδελφή μου, η Θημάρ, και ας ψήση εδώ μπροστά μου δύο κουλούρες και θα φάγω από τον άρτον, που θα μου δώση με τα χέρια της”.

Β Βασ. 13,7 - καὶ ἀπέστειλε Δαυὶδ πρὸς Θημὰρ εἰς τὸν οἶκον λέγων· πορεύθητι δὴ εἰς τὸν οἶκον τοῦ ἀδελφοῦ σου καὶ ποίησον αὐτῷ βρῶμα.

Β Βασ. 13,7 - Ο Δαυίδ έστειλεν στον οίκον της Θημάρ άνθρωπον και παρήγγειλε προς αυτήν· “πήγαινε, σε παρακαλώ, στο σπίτι του αδελφού σου Αμνών και παρασκεύασε δι' αυτόν φαγητόν”.

Β Βασ. 13,8 - καὶ ἐπορεύθη Θημὰρ εἰς τὸν οἶκον Ἀμνὼν ἀδελφοῦ αὐτῆς, καὶ αὐτὸς κοιμώμενος. καὶ ἔλαβε τὸ σταῖς καὶ ἐφύρασε καὶ ἐκολλύρισε κατ᾽ ὀφθαλμοὺς αὐτοῦ καὶ ἥψησε τὰς κολλυρίδας·

Β Βασ. 13,8 - Η Θημάρ επήγεν στο σπίτι του αδελφού της Αμνών. Εκείνος δε ήτο εξηπλωμένος στο κρεββάτι του. Επήρε αυτή το ζυμάρι, το εζύμωσε, κατεσκεύασε ενώπιον των οφθαλμών του κουλούρες, τις οποίες και έψησε.

Β Βασ. 13,9 - καὶ ἔλαβε τὸ τήγανον καὶ κατεκένωσεν ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἠθέλησε φαγεῖν. καὶ εἶπεν Ἀμνών· ἐξαγάγετε πάντα ἄνδρα ἀπὸ ἐπάνωθέν μου· καὶ ἐξήγαγον πάντα ἄνδρα ἐπάνωθεν αὐτοῦ.

Β Βασ. 13,9 - Επήρεν έπειτα το τηγάνι και άδειασεν ενώπιόν του το φαγητόν αυτό. Ο Αμνών όμως δεν ηθέλησε να φάγη. Αλλά είπεν στους παρισταμένους εκεί· “να φύγουν έξω όλοι οι άνδρες από εμπρός μου”. Πράγματι εβγήκαν όλοι οι άνδρες από εκεί.

Β Βασ. 13,10 - καὶ εἶπεν Ἀμνὼν πρὸς Θημάρ· εἰσένεγκε τὸ βρῶμα εἰς τὸ ταμιεῖον, καὶ φάγομαι ἐκ τῆς χειρός σου. καὶ ἔλαβε Θημὰρ τὰς κολλυρίδας, ἃς ἐποίησε, καὶ εἰσήνεγκε τῷ Ἀμνὼν ἀδελφῷ αὐτῆς εἰς τὸν κοιτῶνα

Β Βασ. 13,10 - Ο Αμνών είπε τότε προς την Θημάρ· “πήγαινε τ φάγητόν μου στο εσωτερικόν του κοιτώνος μου και εκεί θα φάγω το φαγητόν από τα χέρια σου”. Η Θημάρ ανύποπτος επήρε τις κουλούρες, που είχε κατασκευάσει, τας έφερεν στον κοιτώνα του Αμνών και τας έδωσεν εις αυτόν.

Β Βασ. 13,11 - καὶ προσήγαγεν αὐτῷ τοῦ φαγεῖν, καὶ ἐπελάβετο αὐτῆς καὶ εἶπεν αὐτῇ· δεῦρο κοιμήθητι μετ᾽ ἐμοῦ, ἀδελφή μου.

Β Βασ. 13,11 - Εκεί αυτή έφερε προς αυτόν να φάγη. Εκείνος τότε την συνέλαβε και είπε προς αυτήν· “έλα και κοιμήσου μαζή μου, αδελφή μου”.

Β Βασ. 13,12 - καὶ εἶπεν αὐτῷ· μή, ἀδελφέ μου· μὴ ταπεινώσῃς με, διότι οὐ ποιηθήσεται οὕτως ἐν Ἰσραήλ, μὴ ποιήσῃς τὴν ἀφροσύνην ταύτην·

Β Βασ. 13,12 - Εκείνη απήντησε προς αυτόν· “μη, αδελφέ μου, μη με εξευτελίσης, διότι δεν πρέπει να γίνη μία τέτοια παρανομία μεταξύ των Ισραηλιτών. Μη διαπράξης ποτέ μια τέτοιαν αφροσύνην.

Β Βασ. 13,13 - καὶ ἐγὼ ποῦ ἀποίσω τὸ ὄνειδός μου; καὶ σὺ ἔσῃ ὡς εἷς τῶν ἀφρόνων ἐν Ἰσραήλ· καὶ νῦν λάλησον δὴ πρὸς τὸν βασιλέα, ὅτι οὐ μὴ κωλύσῃ με ἀπὸ σοῦ.

Β Βασ. 13,13 - Εγώ εις ποίον θα εκμυστηρευθώ τον εξευτελισμόν μου αυτόν; Συ δε θα είσαι σαν ενας από τους άφρονας μεταξύ των Ισραηλιτών. Αλλά ειπέ στον βασιλέα την επιθυμίαν σου αυτήν και εκείνος δεν θα σε εμποδίση να με νυμφευθής”.

Β Βασ. 13,14 - καὶ οὐκ ἠθέλησεν Ἀμνὼν τοῦ ἀκοῦσαι τῆς φωνῆς αὐτῆς καὶ ἐκραταίωσεν ὑπὲρ αὐτὴν καὶ ἐταπείνωσεν αὐτὴν καὶ ἐκοιμήθη μετ᾿ αὐτῆς.

Β Βασ. 13,14 - Ο Αμνών δεν ηθέλησε να συμμορφωθή προς την υπόδειξίν της αυτήν, αλλά, ισχυρότερός της καθώς ήτο, την έρριψεν εις την κλίνην, εκοιμήθη μαζή της και την διέφθειρε.

Β Βασ. 13,15 - καὶ ἐμίσησεν αὐτὴν Ἀμνὼν μῖσος μέγα σφόδρα, ὅτι μέγα τὸ μῖσος, ὃ ἐμίσησεν αὐτὴν ὑπὲρ τὴν ἀγάπην, ἣν ἠγάπησεν αὐτήν. καὶ εἶπεν αὐτῇ Ἀμνών· ἀνάστηθι καὶ πορεύου.

Β Βασ. 13,15 - Ο Αμνών έπειτα από την βδελυράν αυτήν πράξιν εμίσησεν αυτήν πάρα πολύ. Αυτό δε το μίσος του ήτο πολύ μεγαλύτερον από την αγάπην, την οποίαν είχεν προς αυτήν προ της αμαρτίας. Είπε δε τότε προς αυτήν· “σήκω και φύγε”.

Β Βασ. 13,16 - καὶ εἶπεν αὐτῷ Θημάρ· μή, ἀδελφέ, ὅτι μεγάλη ἡ κακία ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, ἣν ἐποίησας μετ᾿ ἐμοῦ τοῦ ἐξαποστεῖλαί με. καὶ οὐκ ἠθέλησεν Ἀμνὼν ἀκοῦσαι τῆς φωνῆς αὐτῆς.

Β Βασ. 13,16 - Είπε δε προς αυτόν η Θημάρ· “μη αδελφέ μου, μη με αποπέμψης έτσι, διότι αυτή η αποπομπή μου θα είναι μεγαλυτέρα εντροπή και δυστυχία δι' εμέ από την πρώτην μου”. Αλλά ο Αμνών δεν ηθέλησε να ακούση την παράκλησίν της.

Β Βασ. 13,17 - καὶ ἐκάλεσε τὸ παιδάριον αὐτοῦ τὸν προεστηκότα τοῦ οἴκου καὶ εἶπεν αὐτῷ· ἐξαποστείλατε δὴ ταύτην ἀπ᾿ ἐμοῦ ἔξω καὶ ἀπόκλεισον τὴν θύραν ὀπίσω αὐτῆς.

Β Βασ. 13,17 - Εκάλεσε δε ένα νεαρόν δούλον, ο οποίος υπηρετούσεν στον οίκον του, και του είπε· “διώξε αυτήν έξω από εμέ και κλείσε την θύραν όπισθέν της”.

Β Βασ. 13,18 - καὶ ἐπ᾿ αὐτῆς ἦν χιτὼν καρπωτός, ὅτι οὕτως ἐνεδιδύσκοντο αἱ θυγατέρες τοῦ βασιλέως αἱ παρθένοι τοὺς ἐπενδύτας αὐτῶν· καὶ ἐξήγαγεν αὐτὴν ὁ λειτουργὸς αὐτοῦ ἔξω καὶ ἀπέκλεισε τὴν θύραν ὀπίσω αὐτῆς.

Β Βασ. 13,18 - Η Θημάρ εφορούσε ένα χιτώνα μακρόν με μακρά μανίκια, διότι ένα τέτοιο ένδυμα εφορούσαν αι παρθένοι, θυγατέρες του βασιλέως. Ο νεαρός δούλος έβγαλε πράγματι αυτήν έξω από το σπίτι του κυρίου του και κατόπιν έκλεισε πίσω από αυτήν την θύραν.

Β Βασ. 13,19 - καὶ ἔλαβε Θημὰρ σποδὸν καὶ ἐπέθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτῆς καὶ τὸν χιτῶνα τὸν καρπωτὸν τὸν ἐπ᾿ αὐτῆς διέῤῥηξε καὶ ἐπέθηκε τὰς χεῖρας αὐτῆς ἐπὶ τὴν κεφαλὴν αὐτῆς καὶ ἐπορεύθη πορευομένη καὶ κράζουσα.

Β Βασ. 13,19 - Η Θημάρ, αφού εβγήκεν, επήρε χώμα, το έβαλεν εις την κεφαλήν της, έσχισε τον μακρόν χιτώνα της, έβαλε τα χέρια της επάνω εις την κεφαλήν της και καθώς επορεύετο έκραζε και ωλοφύρετο δια την δυστυχίαν της.

Β Βασ. 13,20 - καὶ εἶπε πρὸς αὐτὴν Ἀβεσσαλὼμ ὁ ἀδελφὸς αὐτῆς· μὴ Ἀμνὼν ὁ ἀδελφός σου ἐγένετο μετὰ σοῦ; καὶ νῦν, ἀδελφή μου, κώφευσον, ὅτι ἀδελφός σού ἐστι· μὴ θῇς τὴν καρδίαν σου τοῦ λαλῆσαι τὸ ῥῆμα τοῦτο. καὶ ἐκάθισε Θημὰρ χηρεύουσα ἐν τῷ οἴκῳ Ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ αὐτῆς.

Β Βασ. 13,20 - Ο αδελφός της ο Αβεσσαλώμ είπε προς αυτήν· “μήπως ο αδελφός σου ο Αμνών σε διέφθειρε;” Εκείνη του απήντησε· “ναι”. Ο δε Αβεσσαλώμ της είπε· “τώρα, αδελφή μου, πάψε· μη φωνάζης, διότι είναι αδελφός σου. Μη βάλης στον νουν και την καρδία σου και μη πάρης απόφασιν να ανακοινώσης την πράξιν αυτήν”. Η Θημάρ ήτο περίλυπος, ως εάν ήτο χήρα, και έμενεν στον οίκον του αδελφού της Αβεσσαλώμ.

Β Βασ. 13,21 - καὶ ἤκουσεν ὁ βασιλεὺς Δαυὶδ πάντας τοὺς λόγους τούτους καὶ ἐθυμώθη σφόδρα· καὶ οὐκ ἐλύπησε τὸ πνεῦμα Ἀμνὼν τοῦ υἱοῦ αὐτοῦ, ὅτι ἠγάπα αὐτόν, ὅτι πρωτότοκος αὐτοῦ ἦν.

Β Βασ. 13,21 - Ο βασιλεύς Δαυίδ επληροφορήθη το γεγονός αυτό και ωργίσθη πάρα πολύ. Αλλά δεν ετιμώρησε τον Αμνών, διότι δεν ήθελε να τον λυπήση, επειδή ήτο πρωτοτόκος υιός του και τον αγαπούσεν ιδιαιτέρως.

Β Βασ. 13,22 - καὶ οὐκ ἐλάλησεν Ἀβεσσαλὼμ μετὰ Ἀμνὼν ἀπὸ πονηροῦ ἕως ἀγαθοῦ, ὅτι ἐμίσει Ἀβεσσαλὼμ τὸν Ἀμνὼν ἐπὶ λόγου, οὗ ἐταπείνωσε Θημὰρ τὴν ἀδελφὴν αὐτοῦ.

Β Βασ. 13,22 - Αλλά και ο Αβεσσαλώμ δεν είπε κανένα λόγον, καλόν η κακόν, εναντίον του Αμνών δια την κακήν του πράξιν. Οχι διότι τον ηγάπα, αλλά διότι τον εμισούσε θανασίμως δια τον εξευτελισμόν, τον οποίον έκαμεν εις την αδελφήν του την Θημάρ.

Β Βασ. 13,23 - Καὶ ἐγένετο εἰς διετηρίδα ἡμερῶν καὶ ἦσαν κείροντες τῷ Ἀβεσσαλὼμ ἐν Βελασὼρ τῇ ἐχόμενα Ἐφραίμ, καὶ ἐκάλεσεν Ἀβεσσαλὼμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως.

Β Βασ. 13,23 - Επέρασαν δύο έτη από την ημέραν εκείνην. Ο Αβεσσαλώμ επρόκειτο να κουρεύση τα πρόβατά του εις Βελασώρ στοποθεσίαν, η οποία συνώρευε με την περιοχήν της φυλής Εφραίμ. Εις αυτήν απεφάσισε να προσκαλέση όλα τα παιδιά του βσιλέως, δια να φάγουν μαζή.

Β Βασ. 13,24 - καὶ ἦλθεν Ἀβεσσαλὼμ πρὸς τὸν βασιλέα καὶ εἶπεν· ἰδοὺ δὴ κείρουσι τῷ δούλῳ σου, πορευθήτω δὴ ὁ βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ μετὰ τοῦ δούλου σου.

Β Βασ. 13,24 - Μετέβη, λοιπόν, ο Αβεσσαλώμ προς τον βασιλέα Δαυίδ και είπε προς αυτόν· “ιδού, οι δούλοί μου θα κουρεύσουν τα πρόβατά μου, εμού του δούλου σου. Παρακαλώ, όπως θελήσης συ ο βασιλεύς και το περιβάλλον του σπιτιού σου, να έλθετε στον δούλον σου κατά την ευχάριστον αυτήν ημέραν”.

Β Βασ. 13,25 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀβεσσαλώμ· μὴ δή, υἱέ μου, μὴ πορευθῶμεν πάντες ἡμεῖς, καὶ οὐ μὴ καταβαρυνθῶμεν ἐπὶ σέ. καὶ ἐβιάσατο αὐτόν, καὶ οὐκ ἠθέλησε τοῦ πορευθῆναι καὶ εὐλόγησεν αὐτόν.

Β Βασ. 13,25 - Είπεν ο βασιλεύς προς τον Αβεσσαλώμ· “όχι σε παρακαλώ, παιδί μου, όχι. Δεν είναι ανάγκη να έλθωμεν όλοι ημείς, δια να μη σε επιβαρύνωμεν”. Ο Αβεσσαλώμ επέμενεν επί του σημείου αυτού στον βασιλέα. Ο βασιλεύς όμως Δαυίδ δεν συγκατετέθη να μεταβή, αλλά μόνον τον ηυλόγησε και τον ηυχήθη.

Β Βασ. 13 ,26 - καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς αὐτόν· καὶ εἰ μή, πορευθήτω δὴ μεθ᾽ ἡμῶν Ἀμνὼν ὁ ἀδελφός μου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ἱνατί πορευθῇ μετὰ σοῦ;

Β Βασ. 13,26 - Είπε τότε ο Αβεσσαλώμ προς τον Δαυίδ· “αφού δεν έρχεσαι συ, ας έλθη παρακαλώ ο Αμνών ο αδελφός μου”. Και είπε προς αυτόν ο βασιλεύς· “γιατί να έλθη μαζή σου; Τι να κάμη;”

Β Βασ. 13,27 - καὶ ἐβιάσατο αὐτὸν Ἀβεσσαλώμ, καὶ ἀπέστειλε μετ᾽ αὐτοῦ τὸν Ἀμνὼν καὶ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως. καὶ ἐποίησεν Ἀβεσσαλὼμ πότον κατὰ τὸν πότον τοῦ βασιλέως.

Β Βασ. 13,27 - Ο Αβεσσαλώμ επέμενε πολύ και ο Δαυίδ έδωσε την άδειαν να μεταβή προς αυτόν ο Αμνών και όλα τα άλλα παιδιά του βασιλέως. Ο Αβεσσαλώμ παρέθεσε πλούσιον συμπόσιον, όπως συνήθως γίνεται εις τα βασιλικά τραπέζια.

Β Βασ. 13,28 - καὶ ἐνετείλατο Ἀβεσσαλὼμ τοῖς παιδαρίοις αὐτοῦ λέγων· ἴδετε ὡς ἂν ἀγαθυνθῇ ἡ καρδία Ἀμνὼν ἐν τῷ οἴνῳ καὶ εἴπω πρὸς ὑμᾶς·

πατάξατε τὸν Ἀμνών, καὶ θανατώσατε αὐτόν· μὴ φοβηθῆτε, ὅτι οὐχὶ ἐγώ εἰμι ὁ ἐντελλόμενος ὑμῖν; ἀνδρίζεσθε καὶ γίνεσθε εἰς υἱοὺς δυνάμεως.

Β Βασ. 13,28 - Ο Αβεσσαλώμ διέταξε τους δούλους του και είπε· “προσέξατε, όταν ο Αμνών έλθη εις κατάστασιν ευθυμίας από τον οίνον, εις κατάστασιν μέθης, και σας διατάξω να τον κτυπήσετε, κτυπήσατέ τον και μη φοβηθήτε τίποτε, διότι εγώ διατάσσω, εγώ και είμαι ο υπεύθυνος. Παρετε θάρρος και αναδειχθήτε δυνατοί και γενναίοι”.

Β Βασ. 13,29 - καί ἐποίησαν τὰ παιδάρια Ἀβεσσαλὼμ τῷ Ἀμνὼν καθὰ ἐνετείλατο αὐτοῖς Ἀβεσσαλώμ. καὶ ἀνέστησαν πάντες οἱ υἱοὶ τοῦ βασιλέως καὶ ἐπεκάθισαν ἀνὴρ ἐπὶ τὴν ἡμίονον αὐτοῦ καὶ ἔφυγαν.

Β Βασ. 13,29 - Οι νεαροί δούλοι του Αβεσσαλώμ έπραξαν εναντίον του Αμνών, όπως τους είχε διατάξει ο Αβεσσαλώμ, δηλαδή τον εφόνευσαν. Επειτα από το τραγικόν αυτό γεγονός όλα τα παιδιά του βασιλέως ανέβηκαν, ο καθένας εις την ημίονόν του, και έφυγαν.

Β Βασ. 13,30 - καὶ ἐγένετο αὐτῶν ὄντων ἐν τῷ ὁδῷ καὶ ἡ ἀκοὴ ἦλθε πρὸς Δαυὶδ λέγων· ἐπάταξεν Ἀβεσσαλὼμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς.

Β Βασ. 13,30 - Ενώ τα παιδιά του βασιλέως ευρίσκοντο ακόμη στον δρόμον, διεδόθη η φήμη, η οποία έφθασε μέχρι του βασιλέως Δαυίδ, ότι δηλαδή ο Αβεσσαλώμ εφόνευσεν όλα τα παιδιά του βασιλέως και δεν διεσώθη κανένα από αυτά.

Β Βασ. 13,31 - καὶ ἀνέστη ὁ βασιλεὺς καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ ἐκοιμήθη ἐπὶ τὴν γῆν, καὶ πάντες οἱ παῖδες αὐτοῦ οἱ περιεστῶτες αὐτῷ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν.

Β Βασ. 13,31 - Ο βασιλεύς εσηκώθηκεν, έσχισε τα ενδύματά του από την λύπην του και εξηπλώθη πρηνής στο έδαφος. Ολοι δε οι δούλοι, οι οποίοι ευρίσκοντο πλησίον του, έσχισαν και αυτοί τα ενδύματά των.

Β Βασ. 13,32 - καὶ ἀπεκρίθη Ἰωναδὰβ υἱὸς Σαμαὰ ἀδελφοῦ Δαυὶδ καὶ εἶπε· μὴ εἰπάτω ὁ κύριός μου ὁ βασιλεύς, ὅτι πάντα τὰ παιδάρια τοὺς υἱοὺς τοῦ βασιλέως ἐθανάτωσεν, ὅτι Ἀμνὼν μονώτατος ἀπέθανεν· ὅτι ἐπὶ στόματος Ἀβεσσαλὼμ ἦν κείμενος ἀπὸ τῆς ἡμέρας, ἧς ἐταπείνωσε Θημὰρ τὴν ἀδελφὴν αὐτοῦ·

Β Βασ. 13,32 - Ο Ιωναδάβ, ο υιός του Σαμαά, του αδελφού του Δαυίδ, είπε προς τον Δαυίδ· “δεν είναι αληθές αυτό και ας μη πιστεύση ο κύριός μου, ο βασιλεύς, ότι εφονεύθησαν όλοι οι υιοί, οι δούλοι του βασιλέως μου, διότι μόνον ο Αμνών εφονεύθη. Αυτό δε έγινε, διότι ο Αβεσσαλώμ τον εμίσει θανασίμως από την ημέραν, κατά την οποίαν ο Αμνών διέφθειρε την αδελφήν του την Θημάρ.

Β Βασ. 13,33 - καὶ νῦν μὴ θέσθω ὁ κύριός μου ὁ βασιλεὺς ἐπὶ τὴν καρδίαν αὐτοῦ ῥῆμα λέγων· πάντες οἱ υἱοὶ τοῦ βασιλέως ἀπέθανον, ὅτι

ἀλλ᾽ ἢ Ἀμνὼν μονώτατος ἀπέθανε.

Β Βασ. 13,33 - Και τώρα ας μη πιστεύση ο βασιλεύς μου Δαυίδ, ότι όλα τα παιδιά του εφονεύθησαν, αλλά μόνον ο Αμνών εφονεύθη και κανένας άλλος".

Β Βασ. 13,34 - καὶ ἀπέδρα Ἀβεσσαλώμ. καὶ ᾖρε τὸ παιδάριον ὁ σκοπὸς τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε καὶ ἰδοὺ λαὸς πολὺς πορευόμενος ἐν τῇ ὁδῷ ὄπισθεν αὐτοῦ ἐκ πλευρᾶς τοῦ ὄρους ἐν τῇ καταβάσει· καὶ παρεγένετο ὁ σκοπὸς καὶ ἀπήγγειλε τῷ βασιλεῖ καὶ εἶπεν· ἄνδρας ἑώρακα ἐκ τῆς ὁδοῦ τῆς Ὡρωνῆν ἐκ μέρους τοῦ ὄρους.

Β Βασ. 13,34 - Ο Αβεσσαλώμ, έπειτα από την αδελφοκτονίαν αυτήν, εδραπέτευσεν. Ενας νεαρός δούλος, ο οποίος είχε τοποθετηθή ως σκοπός, ύψωσε τα μάτια του και είδεν αίφνης σαν στρατόν πολύν να βαδίζη στον ορόμον, που ευρίσκετο όπισθέν του, εις κάποιαν κατωφέρειαν του βουνού. Τοτε ο νεαρός αυτός σκοπός έτρεξε προς τον βασιλέα Δαυίδ και του είπε· "είδον άνδρας εις την οδόν της Ωρωνήν, που ευρίσκεται από τας πλευράς του όρους".

Β Βασ. 13,35 - καὶ εἶπεν Ἰωναδὰβ πρὸς τὸν βασιλέα· ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως πάρεισι· κατὰ τὸν λόγον τοῦ δούλου σου, οὕτως ἐγένετο.

Β Βασ. 13,35 - Ο Ιωναδάβ είπε τότε προς τον βασιλέα· "ιδού, αυτοί είναι τα παιδιά του βασιλέως, που έφθασαν. Οπως εγώ ο δούλος σου είπα, έτσι και έγινε".

Β Βασ. 13,36 - καὶ ἐγένετο ἡνίκα συνετέλεσε λαλῶν, καὶ ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως ἦλθαν καὶ ἐπῇραν τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν, καί γε ὁ βασιλεὺς καὶ πάντες οἱ παῖδες αὐτοῦ ἔκλαυσαν κλαυθμὸν μέγαν σφόδρα.

Β Βασ. 13,36 - Οταν δε ετελείωσε τα λόγια του αυτά ο Ιωναδάβ, αίφνης έφθασαν τα παιδιά του βασιλέως, ύψωσαν φωνήν και έκλαυσαν. Μαζή με αυτούς έκλαυσεν ο βασιλεύς και οι δούλοι του. Ο θρήνος των ήτο πολύ μεγάλος.

Β Βασ. 13,37 - καὶ Ἀβεσσαλὼμ ἔφυγε καὶ ἐπορεύθη πρὸς Θολμὶ υἱὸν Ἐμιοὺδ βασιλέα Γεδσοὺρ εἰς γῆν Μαχάδ. καὶ ἐπένθησεν ὁ βασιλεὺς Δαυὶδ ἐπὶ τὸν υἱὸν αὐτοῦ πάσας τὰς ἡμέρας.

Β Βασ. 13,37 - Ο Αβεσσαλώμ δια να σωθή κατέφυγεν στον Θολμί, υιόν του Εμιούδ, τον βασιλέα Γεδσούρ, στον χώραν Μαχάδ. Ο βασιλεύς Δαυίδ επένθησε τον θάνατον του υιού του Αμνών καθ' όλον το διάστημα της ζωής του.

Β Βασ. 13,38 - καὶ Ἀβεσσαλὼμ ἀπέδρα καὶ ἐπορεύθη εἰς Γεδσοὺρ καὶ ἦν ἐκεῖ ἔτη τρία.

Β Βασ. 13,38 - Ο Αβεσσαλώμ, ο οποίος εδραπέτευσε και κατέφυγεν εις Γεδσούρ, παρέμεινεν εκεί επί τρία έτη.

Β Βασ. 13,39 - καὶ ἐκόπασε τὸ πνεῦμα τοῦ βασιλέως τοῦ ἐξελθεῖν ὀπίσω Ἀβεσσαλώμ, ὅτι παρεκλήθη ἐπὶ Ἀμνὼν ὅτι ἀπέθανε.

Β Βασ. 13,39 - Εν τω μεταξύ επραΰνθη ο θυμός του βασιλέως Δαυίδ και δεν εξήλθε να καταδιώξη τον Αβεσσαλώμ, διότι είχε παρηγορηθή δια τον θάνατον του Αμνών.

Β ΒΑΣΙΛΕΙΩΝ 14

Β Βασ. 14,1 - Καὶ ἔγνω Ἰωὰβ υἱὸς Σαρουΐας ὅτι ἡ καρδία τοῦ βασιλέως ἐπὶ Ἀβεσσαλώμ.

Β Βασ. 14,1 - Ο Ιωάβ, ο υιός της Σαρουΐας, αδελφός του Δαυίδ, αντελήφθη ότι η καρδία του βασιλέως είχε πραϋνθή και διέκειτο συμπαθώς προς τον Αβεσσαλώμ.

Β Βασ. 14,2 - καὶ ἀπέστειλεν Ἰωὰβ εἰς Θεκωέ, καὶ ἔλαβεν ἐκεῖθεν γυναῖκα σοφὴν καὶ εἶπε πρὸς αὐτήν· πένθησον δὴ καὶ ἔνδυσαι ἱμάτια πενθικὰ καὶ μὴ ἀλείψῃ ἔλαιον καὶ ἔσῃ ὡς γυνὴ πενθοῦσα ἐπὶ τεθνηκότι τοῦτο ἡμέρας πολλὰς

Β Βασ. 14,2 - Εστειλε λοιπόν εις την πόλιν Θεκωέ ένα άνθρωπον, ο οποίος επήρεν από εκεί μίαν σοφήν γυναίκα και την οδήγησε προς τον Ιωάβ. Ο Ιωάβ είπε προς αυτήν· “προσποιήσου, ότι πενθείς. Φορεσε πένθιμα ενδύματα, μη αλειφθής με αρωματώδες έλαιον και γενικώς θα φαίνεσαι σαν γυναίκα, η οποία πενθεί δια κάποιον νεκρόν και ότι το πένθος αυτό χρονολογείται από πολύν χρόνον.

Β Βασ. 14,3 - καὶ ἐλεύσῃ πρὸς τὸν βασιλέα καὶ λαλήσεις πρὸς αὐτὸν κατὰ τὸ ῥῆμα τοῦτο· καὶ ἔθηκεν Ἰωὰβ τοὺς λόγους ἐν τῷ στόματι αὐτῆς.

Β Βασ. 14,3 - Ετσι, θα παρουσιασθής προς τον βασιλέα και θα πης προς αυτόν, όπως εγώ θα σε συμβουλεύσω”. Ο Ιωάβ την συνεβούλευσε, τι συγκεκριμένως να πη.

Β Βασ. 14,4 - καὶ εἰσῆλθεν ἡ γυνὴ ἡ Θεκωῖτις πρὸς τὸν βασιλέα καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῆς εἰς τὴν γῆν καὶ προσεκύνησεν αὐτῷ καὶ εἶπε· σῶσον, βασιλεῦ, σῶσον.

Β Βασ. 14,4 - Η γυναίκα αυτή από την πόλιν Θεκωέ παρουσιάσθη στον βασιλέα Δαυίδ, έπεσε με το πρόσωπον κατά γης, προσεκύνησεν αυτόν και του είπε· “σώσε με, βασιλεύ, σώσε με”

Β Βασ. 14,5 - καὶ εἶπε πρὸς αὐτὴν ὁ βασιλεύς· τί ἐστί σοι; ἡ δὲ εἶπε· καὶ μάλα γυνὴ χήρα ἐγώ εἰμι, καὶ ἀπέθανεν ὁ ἀνήρ μου.

Β Βασ. 14,5 - Ο βασιλεύς την ηρώτησε “τι σου συμβαίνει;” Εκείνη απήντησεν· “είμαι εγώ μια δυστυχισμένη χήρα. Ο σύζυγός μου έχει αποθάνει.

Β Βασ. 14,6 - καί γε τῇ δούλῃ σου δύο υἱοί, καὶ ἐμαχέσαντο ἀμφότεροι ἐν τῷ ἀγρῷ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἀνὰ μέσον αὐτῶν, καὶ ἔπαισεν ὁ εἷς τὸν ἕνα ἀδελφὸν αὐτοῦ καὶ ἐθανάτωσεν αὐτόν.

Β Βασ. 14,6 - Είχα δε εγώ η δούλη σου δύο παιδιά, τα οποία κάποιαν ημέραν εφιλονείκησαν μεταξύ των στους αγρούς εις έρημον τόπον. Κανείς δεν ήτο να τους χωρίση. Ο ενας εκτύπησε τον αδελφόν του και τον εφόνευσε.

Β Βασ. 14,7 - καὶ ἰδοὺ ἐπανέστη ὅλη ἡ πατριὰ πρὸς τὴν δούλην σου καὶ εἶπαν· δὸς τὸν παίσαντα τὸν ἀδελφὸν αὐτοῦ καὶ θανατώσομεν αὐτὸν ἀντὶ τῆς ψυχῆς τοῦ ἀδελφοῦ αὐτοῦ, οὗ ἀπέκτεινε, καὶ ἐξαροῦμεν καί γε τὸν κληρονόμον ὑμῶν· καὶ σβέσουσι τὸν ἄνθρακά μου τὸν καταλειφθέντα, ὥστε μὴ θέσθαι τῷ ἀνδρί μου κατάλειμμα καὶ ὄνομα ἐπὶ προσώπου τῆς γῆς.

Β Βασ. 14,7 - Και να, ολο το συγγενολόγι μου ηγέρθη και ήλθε προς εμέ, την δούλην σου, και μου είπαν· Παράδωσε εις ημάς τον φονέα του αδελφού του, τον υιόν σου, δια να τον θανατώσωμεν και έτσι να πληρώση αυτός με την ζωήν του την ζωήν του αδελφού του, τον οποίον εφόνευσε και θα εξοντώσωμεν αυτόν, τον κληρονόμον της περιουσίας σας. Ετσι δε αυτοί θέλουν να σβήσουν τον τελευταίον και μοναδικόν σπινθήρα, τον κληρονόμον, ώστε να μη ευρεθή κανείς διάδοχος και κληρονόμος του ανδρός μου και χαθή τοιουτοτρόπως το όνομά του από το πρόσωπον της γης".

Β Βασ. 14,8 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὴν γυναῖκα· ὑγιαίνουσα βάδιζε εἰς τὸν οἶκόν σου, κἀγὼ ἐντελοῦμαι περὶ σοῦ.

Β Βασ. 14,8 - Είπεν ο βασιλεύς προς την γυναίκα· "πήγαινε στο σπίτι σου και εγώ θα δώσω την σχετικήν εντολήν δια σέ".

Β Βασ. 14,9 - καὶ εἶπεν ἡ γυνὴ ἡ Θεκωῖτις πρὸς τὸν βασιλέα· ἐπ᾿ ἐμέ, κύριέ μου βασιλεῦ, ἡ ἀνομία καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου, καὶ ὁ βασιλεὺς καὶ ὁ θρόνος αὐτοῦ ἀθῷος.

Β Βασ. 14,9 - Η γυναίκα, η οποία κατήγετο από την πόλιν Θεκωέ, είπε με κάποιον ανησυχίαν προς τον βασιλέα· "ας τιμωρηθώ εγώ και η πατρική μου οικογένεια, διότι δεν εφήρμοσα τον νόμον της ανταποδόσεως εναντίον του υιού μου. Εύχομαι δε ο βασιλεύς μου και ο θρόνος του να μείνουν αθώοι από την υπόθεσιν αυτήν".

Β Βασ. 14,10 - καὶ εἶπεν ὁ βασιλεύς· τίς ὁ λαλῶν πρός σε; καί ἄξεις αὐτὸν πρὸς ἐμέ, καὶ οὐ προσθήσει ἔτι ἅψασθαι αὐτοῦ.

Β Βασ. 14,10 - Ο βασιλεύς είπε τότε προς αυτήν. "Ποιός είναι εκείνος, που θα σου αντιμιλήση; Θα τον οδηγήσης αμέσως προς εμέ και δεν θα τολμήση ούτε να εγγίση απλώς τον υιόν σου".

Β Βασ. 14,11 - καὶ εἶπε· μνημονευσάτω δὴ ὁ βασιλεὺς τὸν Κύριον Θεὸν αὐτοῦ πληθυνθῆναι ἀγχιστέα τοῦ αἵματος τοῦ διαφθεῖραι καὶ οὐ μὴ ἐξάρωσι

τὸν υἱόν μου· καὶ εἶπε· ζῇ Κύριος, εἰ πεσεῖται ἀπὸ τῆς τριχὸς τοῦ υἱοῦ σου ἐπὶ τὴν γῆν.

Β Βασ. 14,11 - Είπε τότε εκείνη προς τον Δαυίδ· “ας ευαρεστηθή ο βασιλεύς μου να προφέρη το όνομα Κυρίου του Θεού του, ορκιζόμενος εις αυτό, ότι δεν θα επιτρέψη να παρουσιασθή εκδικητής, συγγενής του φονευθέντος υιού μου, και ότι δεν θα εξοντώσουν τον ζώντα υιόν μου”. Είπεν ο Δαυίδ· “ορκίζομαι στον ζώντα Κυριον, ότι ούτε μια τρίχα δεν θα πέση από την κεφαλήν του παιδιού σου εις την γην”.

Β Βασ. 14,12 - καὶ εἶπεν ἡ γυνή· λαλησάτω δὴ ἡ δούλη σου πρὸς τὸν κύριόν μου βασιλέα ῥῆμα. καὶ εἶπε· λάλησον.

Β Βασ. 14,12 - Η γυνή είπε τότε προς τον βασιλέα· “θα μου επιτρέψης, σε παρακαλώ, να ομιλήσω και πάλιν εγώ η δούλη σου προς τον κύριόν μου τον βασιλέα ένα ακόμη λόγον”. Ο βασιλεύς απήντησεν· “ομίλησον”.

Β Βασ. 14,13 - καὶ εἶπεν ἡ γυνή· ἱνατί ἐλογίσω τοιοῦτο ἐπὶ λαὸν Θεοῦ; ἦ ἐκ στόματος τοῦ βασιλέως ὁ λόγος οὗτος ὡς πλημμέλεια τοῦ μὴ ἐπιστρέψαι τὸν βασιλέα τὸν ἐξωσμένον αὐτοῦ;

Β Βασ. 14,13 - Προσέθεσε τότε η γυνή· “διατί συ εσκέφθης ένα τέτοιο παρόμοιον κακόν εναντίον του Ισραηλιτικού λαού, του λαού του Θεού; Η διαταγή, η οποία εβγήκεν από το στόμα του βασιλέως, να μη επιστρέψη ο Αβεσσαλώμ, ο διωγμένος μακράν την Ιερουσαλήμ, δεν αποτελεί αδικίαν;

Β Βασ. 14,14 - ὅτι θανάτῳ ἀποθανούμεθα, καὶ ὥσπερ τὸ ὕδωρ τὸ καταφερόμενον ἐπὶ τῆς γῆς, ὃ οὐ συναχθήσεται· καὶ λήψεται ὁ Θεὸς ψυχήν, καὶ λογιζόμενος τοῦ ἐξῶσαι ἀπ᾿ αὐτοῦ ἐξεωσμένον.

Β Βασ. 14,14 - Ας μη λησμονούμεν δε ότι όλοι θα αποθάνωμεν. Και όπως το νερό, το οποίον χύνεται και ρέει εις την γην, δεν είναι δυνατόν να μαζευθή, έτσι είμεθα και όλοι ημείς. Εκείνος ο οποίος απέθανε, δεν ημπορεί να επανέλθη εις την ζωήν. (Ο Αμνών έφυγε από τον κόσμον αυτόν. Δεν επανέρχεται). Ο δε Θεός θα θέση υπό την προστασίαν του εκείνον, ο οποίος σκέπτεται να επαναφέρη τον εξωρισμένον Αβεσσαλώμ.

Β Βασ. 14,15 - καὶ νῦν ὃ ἦλθον λαλῆσαι πρὸς τὸν βασιλέα τὸν κύριόν μου τὸ ῥῆμα τοῦτο, ὅτι ὄψεταί με ὁ λαός, καὶ ἐρεῖ ἡ δούλη σου· λαλησάτω δὴ πρὸς τὸν κύριόν μου τὸν βασιλέα, εἴπως ποιήσει ὁ βασιλεὺς τὸ ῥῆμα τῆς δούλης αὐτοῦ·

Β Βασ. 14,15 - Και τώρα ήλθα να θέσω υπ' όψιν του βασιλέως μου και κυρίου μου αυτά τα πράγματα, ότι με έχει τρομάξει το συγγενολόγι μου (μήπως και ζητήση να εφαρμόσω τον νόμον της αντιδικίας). Απεφάσισα λοιπόν, να αναφερθώ εις σέ, μήπως συ ο βασιλεύς μου, ημπορέσης να εκπληρώσης το αίτημα της χάριτος εμού της δούλης σου.

Β Βασ. 14,16 - ὅτι ἀκούσει ὁ βασιλεύς· ῥυσάσθω τὴν δούλην αὐτοῦ ἐκ χειρὸς τοῦ ἀνδρὸς τοῦ ζητοῦντος ἐξᾶραί με καὶ τὸν υἱόν μου ἀπὸ

κληρονομίας Θεοῦ.

Β Βασ. 14,16 - Εσκέφθην και επίστευσα ότι ο βασιλεύς θα ακούση αυτήν την αίτησίν μου. Ας απαλλάξη εμέ την δούλην του από τα χέρια του ανδρός, ο οποίος ζητεί να βγάλη εμέ και τον υιόν μου από την κληρονομίαν, που μας έχει δώσει ο Θεός".

Β Βασ. 14,17 - καὶ εἶπεν ἡ γυνή· εἴη δὴ ὁ λόγος τοῦ κυρίου μου τοῦ βασιλέως εἰς θυσίαν, ὅτι καθὼς ἄγγελος Θεοῦ, οὕτως ὁ κύριός μου ὁ βασιλεὺς τοῦ ἀκούειν τὸ ἀγαθὸν καὶ τὸ πονηρόν, καὶ Κύριος ὁ Θεός σου ἔσται μετὰ σοῦ.

Β Βασ. 14,17 - Η γυναίκα συνεχίζουσα είπε· "ας είναι λοιπόν ο ευμενής αυτός λόγος του κυρίου μου και βασιλέως μου ως θυσία ενώπιον του Θεού. Διότι ο κύριός μου και βασιλεύς μου είναι σαν άγγελος Θεού, που ακούει το αγαθόν και το κακόν. Και ο Κυριος ο Θεός θα είναι πάντοτε μαζή σου".

Β Βασ. 14,18 - καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε πρὸς τὴν γυναῖκα· μὴ δὴ κρύψῃς ἀπ᾿ ἐμοῦ ῥῆμα, ὃ ἐγὼ ἐπερωτῶ σε. καὶ εἶπεν ἡ γυνή· λαλησάτω δὴ ὁ κύριός μου ὁ βασιλεύς.

Β Βασ. 14,18 - Ο βασιλεύς, κάτι υποπτευθείς, απήντησε προς αυτήν την γυναίκα· "μη αρνηθής, σε παρακαλώ, να μου πης καθαράν την αλήθειαν εις ο,τι θα σε ερωτήσω". Η γυναίκα απήντησεν· "ας ομιλήση, λοιπόν, ο βασιλεύς και κύριός μου και εγώ θα απαντήσω".

Β Βασ. 14,19 - καὶ εἶπεν ὁ βασιλεύς· μὴ ἡ χεὶρ Ἰωὰβ ἐν παντὶ τούτῳ μετὰ σοῦ; καὶ εἶπεν ἡ γυνὴ τῷ βασιλεῖ· ζῇ ἡ ψυχή σου, κύριέ μου βασιλεῦ, εἰ ἔστιν εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερὰ ἐκ πάντων, ὧν ἐλάλησεν ὁ κύριός μου ὁ βασιλεύς, ὅτι ὁ δοῦλός σου Ἰωὰβ αὐτὸς ἐνετείλατό μοι, καὶ αὐτὸς ἔθετο ἐν τῷ στόματι τῆς δούλης σου πάντας τοὺς λόγους τούτους·

Β Βασ. 14,19 - Ο βασιλεύς Δαυίδ την ηρώτησε· "μήπως ο Ιωάβ σε συνεβούλευσε να μου πης όλα αυτά;" Απήντησεν η γυναίκα προς τον βασιλέα· "ορκίζομαι εις την ζωήν σου, κύριέ μου βασιλεύ, ότι δεν ημπορεί ενώπιόν σου να διαφύγη κανείς ούτε προς τα δεξιά ούτε προς τα αριστερά· και εγώ δεν ημπορώ να αποκρύψω η να αρνηθώ τίποτε από όσα είπες συ, ο κύριός μου και βασιλεύς μου. Οτι δηλαδή πράγματι ο δούλός σου ο Ιωάβ, αυτός μου έδωσε την εντολήν και αυτός έβαλεν στο στόμα της δούλης σου όλα τα λόγια αυτά.

Β Βασ. 14,20 - ἕνεκεν τοῦ περιελθεῖν τὸ πρόσωπον τοῦ ῥήματος τούτου ἐποίησεν ὁ δοῦλός σου Ἰωὰβ τὸν λόγον τοῦτον, καὶ ὁ κύριός μου σοφὸς καθὼς σοφία ἀγγέλου τοῦ Θεοῦ τοῦ γνῶναι πάντα τὰ ἐν τῇ γῇ.

Β Βασ. 14,20 - Δια να δώση άλλην τροπήν στο θλιβερόν τούτο ζήτημα, εχρησιμοποίησεν ο δούλος σου ο Ιωάβ τον τρόπον αυτόν. Συ όμως, ο κύριός μου, είσαι σοφός. Η σοφία σου είναι σαν του αγγέλου του Θεού, ώστε να γνωρίζης όλα όσα συμβαίνουν εις την γην".

Β Βασ. 14,21 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἰωάβ· ἰδοὺ δὴ ἐποίησά σοι κατὰ τὸν λόγον σου τοῦτον· πορεύου, ἐπίστρεψον τὸ παιδάριον τὸν Ἀβεσσαλώμ.

Β Βασ. 14,21 - Εκάλεσεν ο βασιλεύς τον Ιωάβ και του είπεν· “ιδού, λοιπόν, θα σου κάμω την χάριν, την οποίαν μου εζήτησες. Πηγαινε να επαναφέρης το παιδί μου, τον Αβεσσαλώμ”.

Β Βασ. 14,22 - καὶ ἔπεσεν Ἰωὰβ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προσεκύνησε καὶ εὐλόγησε τὸν βασιλέα, καὶ εἶπεν Ἰωάβ· σήμερον ἔγνω ὁ δοῦλός σου ὅτι εὗρον χάριν ἐν ὀφθαλμοῖς σου, κύριέ μου βασιλεῦ, ὅτι ἐποίησεν ὁ κύριός μου ὁ βασιλεὺς τὸν λόγον τοῦ δούλου αὐτοῦ.

Β Βασ. 14,22 - Ο Ιωάβ έπεσε κατά γης με το πρόσωπον στο έδαφος, προσεκύνησε και ηυχαρίστησε τον βασιλέα. Είπε δε στον Δαυίδ· “σήμερα εγώ ο δούλος σου επείσθην, ότι απολαμβάνω εκτιμήσεως πλησίον σου, κύριέ μου βασιλεύ, διότι εξεπλήρωσες αυτό το αίτημα του δούλου σου”.

Β Βασ. 14,23 - καὶ ἀνέστη Ἰωὰβ καὶ ἐπορεύθη εἰς Γεδσοὺρ καὶ ἤγαγε τὸν Ἀβεσσαλὼμ εἰς Ἱερουσαλήμ.

Β Βασ. 14,23 - Αμέσως ο Ιωάβ εσηκώθη, μετέβη εις την Γεδσούρ, επήρεν από εκεί και επανέφερε τον Αβεσσαλώμ εις την Ιερουσαλήμ.

Β Βασ. 14,24 - καὶ εἶπεν ὁ βασιλεύς· ἀποστραφήτω εἰς τὸν οἶκον αὐτοῦ καὶ τὸ πρόσωπόν μου μὴ βλεπέτω καὶ ἀπέστρεψεν Ἀβεσσαλὼμ εἰς τὸν οἶκον αὐτοῦ καὶ τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδε.

Β Βασ. 14,24 - Ο βασιλεύς είπεν· “ο Αβεσσαλώμ ας επιστρέψη και ας μείνη στον οίκον του. Αλλά ας μη ιδή ποτέ το πρόσωπόν μου”. Ο Αβεσσαλώμ επέστρεψε πράγματι στον οίκον του και δεν έβλεπε πλέον το πρόσωπον του βασιλέως· δεν παρουσιάσθη ποτέ εις αυτόν.

Β Βασ. 14,25 - καὶ ὡς Ἀβεσσαλὼμ οὐκ ἦν ἀνὴρ ἐν παντὶ Ἰσραὴλ αἰνετὸς σφόδρα, ἀπὸ ἴχνους ποδὸς αὐτοῦ καὶ ἕως κορυφῆς αὐτοῦ οὐκ ἦν ἐν αὐτῷ μῶμος.

Β Βασ. 14,25 - Μεταξύ των Ισραηλιτών δεν υπήρχεν άλλος τόσον θαυμαστός, όσον ήτο ο Αβεσσαλώμ, κατά την ωραιότητα. Ούτος από του άκρου των ποδών του μέχρι και της κεφαλής του δεν είχε κανένα ψεγάδι.

Β Βασ. 14,26 - καὶ ἐν τῷ κείρεσθαι αὐτὸν τὴν κεφαλὴν αὐτοῦ -καὶ ἐγένετο ἀπ᾿ ἀρχῆς ἡμερῶν εἰς ἡμέρας, ὡς ἂν ἐκείρετο, ὅτι κατεβαρύνετο ἐπ᾿ αὐτὸν- καὶ κειρόμενος αὐτὴν ἔστησε τὴν τρίχα τῆς κεφαλῆς αὐτοῦ διακοσίους σίκλους ἐν τῷ σίκλῳ τῷ βασιλικῷ.

Β Βασ. 14,26 - Αυτός εκουρεύετο μια φορά το έτος, διότι ηύξανεν υπερβολικά και τον εβάρυνεν η κόμη του. Οταν δε εκούρευε την κεφαλήν του, το βάρος της κουρεμένης κόμης του εζύγιζεν· διακοσίους βασιλικούς σίκλους, δύο και πλέον χιλιόγραμμα.

Β Βασ. 14,27 - καὶ ἐτέχθησαν τῷ Ἀβεσσαλὼμ τρεῖς υἱοὶ καὶ θυγάτηρ μία, καὶ ὄνομα αὐτῇ Θημάρ· αὕτη ἦν γυνὴ καλὴ σφόδρα καὶ γίνεται γυνὴ τῷ Ῥοβοὰμ υἱῷ Σαλωμὼν καὶ τίκτει αὐτῷ τὸν Ἀβιά.

Β Βασ. 14,27 - Απέκτησε δε ο Αβεσσαλώμ τρεις υιούς και μίαν θυγατέρα. Η θυγάτηρ του ωνομάζετο Θημάρ. Αυτή ήτο ωραιοτάτη γυναίκα και έγινε σύζυγος του Ροβοάμ, του υιού του Σολομώντος. Αυτή εγέννησεν στον Ροβοάμ παιδί, τον Αβιά.

Β Βασ. 14,28 - καὶ ἐκάθισεν Ἀβεσσαλὼμ ἐν Ἱερουσαλὴμ δύο ἔτη ἡμερῶν, καὶ τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδε.

Β Βασ. 14,28 - Ο Αβεσσαλώμ παρέμεινεν εις την Ιερουσαλήμ επί δύο έτη, κατά το διάστημα των οποίον δεν είδε το πρόσωπον του βασιλέως Δαυίδ.

Β Βασ. 14,29 - καὶ ἀπέστειλεν Ἀβεσσαλὼμ πρὸς Ἰωὰβ ἀποστεῖλαι αὐτὸν πρὸς τὸν βασιλέα, καὶ οὐκ ἠθέλησεν ἐλθεῖν πρὸς αὐτόν· καὶ ἀπέστειλεν ἐκ δευτέρου πρὸς αὐτόν, καὶ οὐκ ἠθέλησε παραγενέσθαι.

Β Βασ. 14,29 - Εστειλε δε άνθρωπόν του στον Ιωάβ και εζήτησεν από αυτόν να μεσιτεύση, δια να παρουσιασθή προς τον βασιλέα. Ο Ιωάβ όμως δεν ενέκρινε και δεν ηθέλησε να έλθη αυτός προς τον βασιλέα. Ο Αβεσσαλώμ απέστειλε δεύτερον φοράν άνθρωπον προς τον Ιωάβ καλών αυτόν, αλλά εκείνος δεν ηθέλησε να προσέλθη.

Β Βασ. 14,30 - καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς τοὺς παῖδας αὐτοῦ· ἴδετε, ἡ μερὶς ἐν ἀγρῷ τοῦ Ἰωὰβ ἐχόμενά μου, καὶ αὐτῷ ἐκεῖ κριθαί, πορεύεσθε καὶ ἐμπρήσατε αὐτὴν ἐν πυρί· καὶ ἐνέπρησαν οἱ παῖδες Ἀβεσσαλὼμ τὴν μερίδα. καὶ παραγίνονται οἱ δοῦλοι Ἰωὰβ πρὸς αὐτὸν διεῤῥηχότες τὰ ἱμάτια αὐτῶν καὶ εἶπον· ἐνεπύρισαν οἱ δοῦλοι Ἀβεσσαλὼμ τὴν μερίδα ἐν πυρί.

Β Βασ. 14,30 - Είπε τότε ο Αβεσσαλώμ στους δούλους του· “προσέξατε, ένας αγρός του Ιωάβ ευρίσκεται κοντά στον ιδικόν μου. Εις αυτόν έχει καλλιεργηθή δι' αυτόν κριθάρι, που είναι ώριμον προς θερισμόν. Πηγαίνετε και βάλετε φωτιά και καύσατέ το”. Οι δούλοι του Αβεσσαλώμ ήλθον, έβαλαν φωτιά και έκαυσαν το κριθάρι του αγρού του Ιωάβ. Οι δε δούλοι του Ιωάβ ήλθον προς τον κύριόν των με σχισμένα τα ιμάτιά των και είπαν· “οι δούλοι του Αβεσσαλώμ έκαυσαν το σπαρμένον χωράφι σου”.

Β Βασ. 14,31 - καὶ ἀνέστη Ἰωὰβ καὶ ἦλθε πρὸς Ἀβεσσαλὼμ εἰς τὸν οἶκον καὶ εἶπε πρὸς αὐτόν· ἱνατί ἐνεπύρισαν οἱ παῖδές σου τὴν μερίδα τὴν ἐμὴν ἐν πυρί;

Β Βασ. 14,31 - Ο Ιωάβ αγανακτών ηγέρθη και μετέβη στον οίκον του Αβεσσαλώμ και του είπε· “διατί οι δούλοι σου έκαυσαν το σπαρμένον χωράφι μου;”

Β Βασ. 14,32 - καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς Ἰωάβ· ἰδοὺ ἀπέστειλα πρός σε λέγων· ἧκε ὧδε, καὶ ἀποστελῶ σε πρὸς τὸν βασιλέα λέγων· ἱνατί ἦλθον

ἐκ Γεδσούρ; ἀγαθόν μοι ἦν εἶναι ἐκεῖ· καὶ νῦν ἰδοὺ τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδον· εἰ δέ ἐστιν ἐν ἐμοὶ ἀδικία, καὶ θανάτωσόν με.

Β Βασ. 14,32 - Ο Αβεσσαλώμ του απήντησεν· "ιδού, εγώ έστειλα άνθρωπον εις σε και σου είπα· Ελα εδώ, διότι θέλω να σε στείλω σαν πρεσβευτήν προς τον βασιλέα και να του πης· Διατί επέστρεψα από την Γεδσούρ; Προτιμότερον ήτο να έμενα εκεί, διότι μέχρι τώρα δεν είδα καθόλου το πρόσωπον του βασιλέως μου. Εάν έχω διαπράξει θανάσιμον έγκλημα, ας με θανατώση".

Β Βασ. 14,33 - καὶ εἰσῆλθεν Ἰωὰβ πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλεν αὐτῷ, καὶ ἐκάλεσε τὸν Ἀβεσσαλώμ. καὶ εἰσῆλθε πρὸς τὸν βασιλέα καὶ προσεκύνησεν αὐτῷ καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν κατὰ πρόσωπον τοῦ βασιλέως, καὶ κατεφίλησεν ὁ βασιλεὺς τὸν Ἀβεσσαλώμ.

Β Βασ. 14,33 - Ο Ιωάβ παρουσιάσθη τότε ενώπιον του βασιλέως και ανέφερεν εις αυτόν ο,τι του είχεν είπει ο Αβεσσαλώμ. Ο δε βασιλεύς εκάλεσε τον Αβεσσαλώμ. Ο Αβεσσαλώμ παρουσιάσθη στον βασιλέα, έπεσε με το πρόσωπον αυτού κάτω εις την γην ενώπιον του βασιλέως. Ο δε βασιλεύς κατεφίλησε τον Αβεσσαλώμ.

Β ΒΑΣΙΛΕΙΩΝ 15

Β Βασ. 15,1 - Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐποίησεν ἑαυτῷ Ἀβεσσαλὼμ ἅρματα καὶ ἵππους καὶ πεντήκοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ.

Β Βασ. 15,1 - Επειτα από τα γεγονότα αυτά, την συμφιλίωσιν δηλαδή του Αβεσσαλώμ προς τον πατέρα του, ο Αβεσσαλώμ κατεσκεύασε δια τον εαυτόν του άρματα, ηγόρασε δε και ίππους. Πενήντα άνδρες ωσάν σωματοφύλακες και τιμητική συνοδεία έτρεχαν έπροοθέν του.

Β Βασ. 15,2 - καὶ ὤρθρισεν Ἀβεσσαλὼμ καὶ ἔστη ἀνὰ χεῖρας τῆς ὁδοῦ τῆς πύλης καὶ ἐγένετο πᾶς ἀνήρ, ᾧ ἐγένετο κρίσις, ἦλθε πρὸς τὸν βασιλέα εἰς κρίσιν, καὶ ἐβόησε πρὸς αὐτὸν Ἀβεσσαλὼμ καὶ ἔλεγεν αὐτῷ· ἐκ ποίας πόλεως σὺ εἶ; καὶ εἶπεν· ἐκ μιᾶς φυλῶν Ἰσραὴλ ὁ δοῦλός σου.

Β Βασ. 15,2 - Ο Αβεσσαλώμ εξυπνούσε πολύ πρωϊ, έβγαινε από την πόλιν και ίστατο πλησίον εις την οδόν, που ωδηγούσε εις την πύλην της πόλεως Ιερουσαλήμ. Εφώναζε δε κάθε άνθρωπον, ο οποίος είχε διαφοράς προς άλλον και ήρχετο να δικασθή ενώπιον του βασιλέως και του έλεγε με πολλήν φιλοφροσύνην· "από ποίαν πόλιν κατάγεσαι;" Εκείνος ευχαριστημένος απαντούσε· "εγώ, ο δούλος σου, κατάγομαι από μίαν πόλιν του Ισραηλιτικού λαού".

Β Βασ. 15,3 - καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἀβεσσαλώμ· ἰδοὺ οἱ λόγοι σου ἀγαθοὶ καὶ εὔκολοι, καὶ ὁ ἀκούων οὐκ ἔστι σοι παρὰ τοῦ βασιλέως.

Β Βασ. 15,3 - Ο Αβεσσαλώμ έλεγε και διεβεβαίωνεν αυτόν· “η υπόθεσίς σου είναι ολοφάνερα δικαία και εύκολα ημπορεί να τακτοποιηθή. Δεν υπάρχει όμως κανένας διωρισμένος από τον βασιλέα δικαστής, δια να δικάση την υπόθεσίν σου”.

Β Βασ. 15,4 - καὶ εἶπεν Ἀβεσσαλώμ· τίς με καταστήσει κριτὴν ἐν τῇ γῇ, καὶ ἐπ᾿ ἐμὲ ἐλεύσεται πᾶς ἀνήρ, ᾧ ἐὰν ᾖ ἀντιλογία καὶ κρίσις, καὶ δικαιώσω αὐτόν;

Β Βασ. 15,4 - Και ο Αβεσσαλώμ προσέθετε· “ποιός τάχα θα με εγκαταστήση δικαστήν εις την χώραν αυτήν; Αν γίνω, εις εμέ θα έρχωνται τότε όλοι οι Ισραηλίται, που έχουν διαφοράς προς άλλους, και εγώ θα δικάζω δικαίως”.

Β Βασ. 15,5 - καὶ ἐγένετο ἐν τῷ ἐγγίζειν ἄνδρα τοῦ προσκυνῆσαι αὐτῷ καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ καὶ ἐπελαμβάνετο αὐτοῦ καὶ κατεφίλησεν αὐτόν.

Β Βασ. 15,5 - Οταν δε κανείς Ισραηλίτης τον επλησίαζε να τον προσκυνήση, ο Αβεσσαλώμ άπλωνε το χέρι του, την έπιανε φιλικώς και τον καταφιλούσε.

Β Βασ. 15,6 - καὶ ἐποίησεν Ἀβεσσαλὼμ κατὰ τὸ ῥῆμα τοῦτο παντὶ Ἰσραὴλ τοῖς παραγινομένοις εἰς κρίσιν πρὸς τὸν βασιλέα, καὶ ἰδιοποιεῖτο Ἀβεσσαλὼμ τὴν καρδίαν ἀνδρῶν Ἰσραήλ.

Β Βασ. 15,6 - Ετσι δε συμπεριφερόμενος ο Αβεσσαλώμ προς κάθε Ισραηλίτην, που ήρχετο να δικασθή ενώπιον του βασιλέως, κατακτούσε τας καρδίας των Ισραηλιτών.

Β Βασ. 15,7 - καὶ ἐγένετο ἀπὸ τέλους τεσσαράκοντα ἐτῶν καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς τὸν πατέρα αὐτοῦ· πορεύσομαι δὴ καὶ ἀποτίσω τὰς εὐχάς μου, ἃς ηὐξάμην τῷ Κυρίῳ ἐν Χεβρών·

Β Βασ. 15,7 - Οταν ο Αβεσσαλώμ συνεπλήρωνε το τεσσαρακοστόν έτος της ηλικίας του, είπε προς τον πατέρα του· “δος μου την άδειαν να μεταβώ εις την Χεβρών, δια να εκτελέσω ένα τάξιμο, το οποίον έχω κάμει προς τον Κυριον.

Β Βασ. 15,8 - ὅτι εὐχὴν ηὔξατο ὁ δοῦλός σου ἐν τῷ οἰκεῖν με ἐν Γεδσοὺρ ἐν Συρίᾳ λέγων· ἐὰν ἐπιστρέφων ἐπιστρέψῃ με Κύριος εἰς Ἱερουσαλήμ, καὶ λατρεύσω τῷ Κυρίῳ.

Β Βασ. 15,8 - Διότι εγώ, ο δούλος σου, όταν έμενα εξόριστος εις την Γεδσούρ της Συρίας, έκαμα μίαν ευχήν στον Κυριον και είπα· Εάν ευδοκήση ο Κυριος και επιστρέψω εις την Ιερουσαλήμ, θα του προσφέρω δώρον της λατρείας μου προς αυτόν”.

Β Βασ. 15,9 - καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· βάδιζε εἰς εἰρήνην· καὶ ἀναστὰς ἐπορεύθη εἰς Χεβρών.

Β Βασ. 15,9 - Ο βασιλεύς Δαυίδ ανύποπτος απήντησε προς τον Αβεσσαλώμ· “πήγαινε εις οδόν ειρήνης”. Εκείνος δε εξεκίνησε και μετέβη εις την Χεβρών.

Β Βασ. 15,10 - καὶ ἀπέστειλεν Ἀβεσσαλὼμ κατασκόπους ἐν πάσαις φυλαῖς Ἰσραὴλ λέγων· ἐν τῷ ἀκοῦσαι ὑμᾶς τὴν φωνὴν τῆς κερατίνης καὶ ἐρεῖτε· βεβασίλευκε βασιλεὺς Ἀβεσσαλὼμ ἐν Χεβρών.

Β Βασ. 15,10 - Εστειλε δε κατασκόπους ο Αβεσσαλώμ εις όλας τας φυλάς του Ισραήλ, δια να αναγγείλουν τα εξής· Αμέσως μόλις ακούσετε τον ήχον κερατίνης σάλπιγγας θα πήτε· «ανεκηρύχθη βασιλεύς εις την Χεβρών ο Αβεσσαλώμ”.

Β Βασ. 15,11 - καὶ μετὰ Ἀβεσσαλὼμ ἐπορεύθησαν διακόσιοι ἄνδρες ἐξ Ἱερουσαλὴμ κλητοὶ καὶ πορευόμενοι τῇ ἁπλότητι αὐτῶν καὶ οὐκ ἔγνωσαν πᾶν ῥῆμα.

Β Βασ. 15,11 - Μαζή δε με τον Αβεσσαλώμ επορεύθησαν προς την Χεβρών από την Ιερουσαλήμ διακόσιοι άλλοι επίσημοι άνδρες. Αυτοί επήγαν μαζή του με όλην των την απλότητα, χωρίς να γνωρίζουν τίποτε από όσα πονηρά είχε κατά νουν ο Αβεσσαλώμ.

Β Βασ. 15,12 - καὶ ἀπέστειλεν Ἀβεσσαλὼμ καὶ ἐκάλεσε τὸν Ἀχιτόφελ τὸν Γελμωναῖον τὸν σύμβουλον Δαυὶδ ἐκ τῆς πόλεως αὐτοῦ ἐκ Γωλὰ ἐν τῷ θυσιάζειν αὐτόν. καὶ ἐγένετο σύστρεμμα ἰσχυρόν, καὶ ὁ λαὸς ὁ πορευόμενος καὶ πολὺς μετὰ Ἀβεσσαλώμ.

Β Βασ. 15,12 - Ο Αβεσσαλώμ, όταν είχε κατεβή εις την Χεβρών, δια να προσφέρη την θυσίαν του τάματός του, έστειλεν άνθρωπον και προσεκάλεσε τον Αχιτόφελ τον Γελμωναίον, ο οποίος ήτο σύμβουλος του Δαυίδ και κατήγετο από την πόλιν Γωλά. Ετσι δε το συνωμοτικόν στράτευμα του Αβεσσαλώμ εγίνετο ολονέν και ισχυρότερον, διότι πολύς λαός συνεχώς επορεύετο και ακολουθούσε τον Αβεσσαλώμ.

Β Βασ. 15,13 - καὶ παρεγένετο ὁ ἀπαγγέλλων πρὸς Δαυὶδ λέγων· ἐγενήθη ἡ καρδία ἀνδρῶν Ἰσραὴλ ὀπίσω Ἀβεσσαλώμ.

Β Βασ. 15,13 - Ηλθεν όμως ενας αγγελιαφόρος προς τον Δαυίδ και του είπεν· “όλοι οι Ισραηλίται έχουν ακολουθήσει τον Αβεσσαλώμ”.

Β Βασ. 15,14 - καὶ εἶπε Δαυὶδ πᾶσι τοῖς παισὶν αὐτοῦ τοῖς μετ᾿ αὐτοῦ τοῖς ἐν Ἱερουσαλήμ· ἀνάστητε καὶ φύγωμεν, ὅτι οὐκ ἔστιν ἡμῖν σωτηρία ἀπὸ προσώπου Ἀβεσσαλώμ· ταχύνατε τοῦ πορευθῆναι, ἵνα μὴ ταχύνῃ καὶ καταλάβῃ ἡμᾶς καὶ ἐξώσῃ ἐφ᾿ ἡμᾶς τὴν κακίαν καὶ πατάξῃ τὴν πόλιν ἐν στόματι μαχαίρας.

Β Βασ. 15,14 - Ο Δαυίδ, ο οποίος αντελήφθη πλέον τους πονηρούς σκοπούς του Αβεσσαλώμ, είπε προς τους δούλους του, που ευρίσκοντο μαζή του εις την Ιερουσαλήμ· “σηκωθήτε και ας φύγωμεν. Διότι εάν συναντηθώμεν με τον Αβεσσαλώμ, δεν θα υπάρξη καμμία σωτηρία δι' ημάς. Σπεύσατε να φύγωμεν, μήπως τυχόν εκείνος τρέξη και μας καταλάβη και

αφήση να πέση επάνω μας όλη η κακία του και περάση τους κατοίκους της Ιερουσαλήμ εν στόματι μαχαίρας”.

Β Βασ. 15,15 - καὶ εἶπον οἱ παῖδες τοῦ βασιλέως πρὸς τὸν βασιλέα· κατὰ πάντα, ὅσα αἱρεῖται ὁ κύριος ἡμῶν ὁ βασιλεύς, ἰδοὺ οἱ παῖδές σου.

Β Βασ. 15,15 - Οι δούλοι του βασιλέως είπαν προς αυτόν· “όλα όσα αποφασίση να πράξη ο κύριός μας και βασιλεύς μας, ημείς είμεθα πρόθυμοι να υπακούσωμεν και να πράξωμεν”.

Β Βασ. 15,16 - καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πᾶς ὁ οἶκος αὐτοῦ τοῖς ποσὶν αὐτῶν· καὶ ἀφῆκεν ὁ βασιλεὺς δέκα γυναῖκας τῶν παλλακῶν αὐτοῦ φυλάσσειν τὸν οἶκον.

Β Βασ. 15,16 - Ο βασιλεύς πεζοπορών, μαζή δε με αυτόν και όλος ο βασιλικός του οίκος, έφυγαν από την Ιερουσαλήμ. Αφήκε δε μόνον δέκα από τας γυναίκας του της δευτέρας σειράς, να φυλάττουν τον βασιλικόν του οίκον.

Β Βασ. 15,17 - καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πάντες οἱ παῖδες αὐτοῦ πεζῇ καὶ ἔστησαν ἐν οἴκῳ τῷ μακράν.

Β Βασ. 15,17 - Εβγήκεν ο βασιλεύς και όλη η αυλή του πεζοπορούντες και εσταμάτησαν εις ένα μακρυνόν οίκον.

Β Βασ. 15,18 - καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀνὰ χεῖρα αὐτοῦ παρῆγον καὶ πᾶς Χελεθὶ καὶ πᾶς ὁ Φελεθὶ καὶ ἔστησαν ἐπὶ τῆς ἐλαίας ἐν τῇ ἐρήμῳ· καὶ πᾶς ὁ λαὸς παρεπορεύετο ἐχόμενος αὐτοῦ καὶ πάντες οἱ περὶ αὐτὸν καὶ πάντες οἱ ἁδροὶ καὶ πάντες οἱ μαχηταὶ ἑξακόσιοι ἄνδρες, καὶ παρῆσαν ἐπὶ χεῖρα αὐτοῦ· καὶ πᾶς ὁ Χελεθὶ καὶ πᾶς ὁ Φελεθὶ καὶ πάντες οἱ Γεθθαῖοι, οἱ ἑξακόσιοι ἄνδρες οἱ ἐλθόντες τοῖς ποσὶν αὐτῶν ἐκ Γέθ, πορευόμενοι ἐπὶ πρόσωπον τοῦ βασιλέως.

Β Βασ. 15,18 - Ολοι οι αυλικοί του και οι δούλοι του τον περιεστοίχιζαν και εβάδιζαν μαζή του. Επίσης μαζή του επορεύοντο όλοι οι της προσωπικής του φρουράς, οι Χελεθί και Φελεθί, και εσταμάτησαν εις κάποιαν εληάν, η οποία ευρίσκετο εις έρημον περιοχήν. Ολος ο λαός εβάδιζε πλησίον του, όπως επίσης και οι επίσημοι και όλοι οι μαχηταί, εν όλω εξακόσιοι άνδρες υπό την εξουσίαν του. Πλησίον του ήσαν η σωμαμαφυλακή του από τους Χελεθί και Φελεθί, όλοι οι Γεθθαίοι, οι εξακόσιοι άνδρες, οι οποίοι είχον έλθει πεζοπορούντες από την Γέθ, και εβάδιζαν μαζή με τον βασιλέα.

Β Βασ. 15,19 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐθθὶ τὸν Γεθθαῖον· ἱνατί πορεύῃ καὶ σὺ μεθ᾿ ἡμῶν; ἐπίστρεφε καὶ οἴκει μετὰ τοῦ βασιλέως, ὅτι ξένος εἶ σὺ καὶ ὅτι μετῴκησας σὺ ἐκ τοῦ τόπου σου.

Β Βασ. 15,19 - Ο βασιλεύς Δαυίδ είπε προς τον Εθθί, τον Γεθθαίον· “διατί και συ ερχεσαι μαζή μας; Γυρισε πίσω και μένε μαζή με τον βασιλέα Αβεσσαλώμ, διότι συ είσαι απλώς ένας φιλοξενούμενός μας και δεν έχεις μετοικήσει από τον τόπον σου, δια να εγκατασταθής οριστικώς πλησίον μας.

Β Βασ. 15,20 - εἰ ἐχθὲς παραγέγονας, καὶ σήμερον κινήσω σε μεθ᾿ ἡμῶν; καί γε μεταναστήσεις τὸν τόπον σου; ἐχθὲς ἡ ἐξέλευσίς σου, καὶ σήμερον μετακινήσω σε μεθ᾿ ἡμῶν τοῦ πορευθῆναι; καὶ ἐγὼ πορεύσομαι οὗ ἐὰν ἐγὼ πορευθῶ. ἐπιστρέφου καὶ ἐπίστρεψον τοὺς ἀδελφούς σου μετὰ σοῦ, καὶ Κύριος ποιήσει μετὰ σοῦ ἔλεος καὶ ἀλήθειαν.

Β Βασ. 15,20 - Εφόσον χθες ήλθες, πως είναι δυνατόν να σε μετακινήσω μαζή μας σήμερον; Λοιπόν, θα μεταναστεύσης από τον τόπον σου; Επαναλαμβάνω, χθες εβγήκες από την πατρίδα σου και πως θα σε υποχρεώσω εγώ σήμερον, να με ακολουθήσης εις την πορείαν μας; Αλλωστε εγώ θα πορευθώ, όπου ημπορέσω να πορευθώ. Γυρισε λοιπόν πίσω, επίστρεψε στους αδελφούς σου, στους ιδικούς σου. Ο δε Θεός θα δείξη το έλεός του και την αλήθειάν του προς σέ".

Β Βασ. 15,21 - καὶ ἀπεκρίθη Ἐθθὶ τῷ βασιλεῖ καὶ εἶπε· ζῇ Κύριος καὶ ζῇ ὁ κύριός μου ὁ βασιλεύς, ὅτι εἰς τὸν τόπον, οὗ ἐὰν ᾖ ὁ κύριός μου, καὶ ἐὰν εἰς θάνατον καὶ ἐὰν εἰς ζωήν, ὅτι ἐκεῖ ἔσται ὁ δοῦλός σου.

Β Βασ. 15,21 - Απεκρίθη ο Εθθί προς τον βασιλέα Δαυίδ και είπεν· "ορκίζομαι στον ζώντα Κυριον τον Θεόν μου και στον κύριόν μου τον βασιλέα ότι, όπου ο κύριός μου θα μεταβή στον θάνατον η εις την ζωήν, εκεί και εγώ ο δούλος σου θα είμαι μαζή σου".

Β Βασ. 15,22 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐθθί· δεῦρο καὶ διάβαινε μετ᾿ ἐμοῦ· καὶ παρῆλθεν Ἐθθὶ ὁ Γεθθαῖος καὶ ὁ βασιλεὺς καὶ πάντες οἱ παῖδες αὐτοῦ καὶ πᾶς ὁ ὄχλος ὁ μετ᾿ αὐτοῦ.

Β Βασ. 15,22 - Ο βασιλεύς Δαυίδ συγκινημένος είπε προς τον Εθθί· "έλα, βάδιζε μαζή μας". Ο Εθθί ο Γεθθαίος, συνεπορεύετο μαζή με τον βασιλέα και με όλους τους δούλους και με όλον τον στρατόν αυτού.

Β Βασ. 15,23 - καὶ πᾶσα ἡ γῆ ἔκλαιε φωνῇ μεγάλῃ. καὶ πᾶς ὁ λαὸς παρεπορεύοντο ἐν τῷ χειμάῤῥῳ τῶν Κέδρων, καὶ ὁ βασιλεὺς διέβη τὸν χειμάῤῥουν Κέδρων καὶ πᾶς ὁ λαὸς καὶ ὁ βασιλεὺς παρεπορεύοντο ἐπὶ πρόσωπον ὁδοῦ τὴν ἔρημον.

Β Βασ. 15,23 - Ολοι δε όσοι ήσαν μαζή με τον φεύγοντα Δαυίδ έκλαιαν με φωνήν μεγάλην. Ολος ο λαός διεπέρασε τον χείμαρρον των Κέδρων. Επίσης ο βασιλεύς Δαυίδ και όλος ο λαός, αφού διέβησαν τον χείμαρρον των Κέδρων, εσκόπευαν να πορευθούν δια της οδού, η οποία ωδηγούσε εις την έρημον του Ιορδάνου.

Β Βασ. 15,24 - καὶ ἰδοὺ καί γε Σαδὼκ καὶ πάντες οἱ Λευῖται μετ᾿ αὐτοῦ αἴροντες τὴν κιβωτὸν διαθήκης Κυρίου ἀπὸ Βαιθὰρ καὶ ἔστησαν τὴν κιβωτὸν τοῦ Θεοῦ. καὶ ἀνέβη Ἀβιάθαρ, ἕως ἐπαύσατο πᾶς ὁ λαὸς παρελθεῖν ἐκ τῆς πόλεως.

Β Βασ. 15,24 - Και ιδού, κατά την διάβασιν του χειμάρρου, παρουσιάσθη και ο Σαδώκ, ο αρχιερεύς, και μαζή με αυτόν όλοι οι Λευίται, οι οποίοι

μετέφεραν την Κιβωτόν της Διαθήκης του Κυρίου από την Βαιθάρ. Αυτοί ετοποθέτησαν εκεί την ιεράν Κιβωτόν. Ανέβη δε και ο αρχιερεύς Αβιάθαρ, ο οποίος παρέμενεν εκεί, έως ότου έπαυσε πλέον να εξέρχεται από την Ιερουσαλήμ ο λαός, που ακολουθούσε τον Δαυίδ.

Β Βασ. 15,25 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὸν Σαδώκ· ἀπόστρεψον τὴν κιβωτὸν τοῦ Θεοῦ εἰς τὴν πόλιν· ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς Κυρίου, καὶ ἐπιστρέψει με καὶ δείξει μοι αὐτήν καὶ τὴν εὐπρέπειαν αὐτῆς.

Β Βασ. 15,25 - Ο βασιλεύς Δαυίδ είπε τότε προς τον Σαδώκ· “επανάφερε την Κιβωτόν εις την πόλιν. Εάν δε εύρω χάριν ενώπιον του Κυρίου και ευδοκήση να με επαναφέρη εις την πόλιν, θα μου δείξη πάλιν την Κιβωτόν και την ωραιότητά της.

Β Βασ. 15,26 - καὶ ἐὰν εἴπῃ οὕτως· οὐκ ἠθέληκα ἐν σοί, ἰδοὺ ἐγώ εἰμι, ποιείτω μοι κατὰ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ.

Β Βασ. 15,26 - Εάν όμως μου ομιλήση κατ' αυτόν τον τρόπον “δεν ευαρεστούμαι εις σέ” θα είπω· Ιδού εγώ είμαι έτοιμος. Ας κάμη ο Θεός δι' εμέ ο,τι είναι καλόν ενώπιόν του”.

Β Βασ. 15,27 - καὶ εἶπεν ὁ βασιλεὺς τῷ Σαδὼκ τῷ ἱερεῖ· ἴδετε, σὺ ἐπιστρέφεις εἰς τὴν πόλιν ἐν εἰρήνῃ, καὶ Ἀχιμάας ὁ υἱός σου καὶ Ἰωνάθαν ὁ υἱὸς Ἀβιάθαρ οἱ δύο υἱοὶ ὑμῶν μεθ᾽ ὑμῶν·

Β Βασ. 15,27 - Είπε δε ο βασιλεύς στον Σαδώκ, τον αρχιερέα· “κυττάξτε, συ επιστρέφεις ειρηνικώς εις την πόλιν. Μαζή δέ με σας επιστρέφουν και τα παιδιά σας, ο Αχιμάας ο ιδικός σου υιός, και Ιωνάθαν ο υιός του Αβιάθαρ.

Β Βασ. 15,28 - ἴδετε, ἐγώ εἰμι στρατεύομαι ἐν Ἀραβὼθ τῆς ἐρήμου ἕως τοῦ ἐλθεῖν ῥῆμα παρ᾽ ὑμῶν τοῦ ἀπαγγεῖλαί μοι.

Β Βασ. 15,28 - Ιδέτε, εγώ θα ευρίσκομαι εις κατάστασιν εκστρατείας εις την έρημον Αραβώθ, μέχρις ότου λάβω κάποιαν καλήν πληροφορίαν από σας”.

Β Βασ. 15,29 - καὶ ἀπέστρεψε Σαδὼκ καὶ Ἀβιάθαρ τὴν κιβωτὸν τοῦ Θεοῦ εἰς Ἱερουσαλὴμ καὶ ἐκάθισεν ἐκεῖ.

Β Βασ. 15,29 - Ο Σαδώκ και ο Αβιάθαρ επέστρεψαν φέροντες την Κιβωτόν του Θεού εις την Ιερουσαλήμ και εγκατεστάθησαν εκεί.

Β Βασ. 15,30 - καὶ Δαυὶδ ἀνέβαινεν ἐν τῇ ἀναβάσει τῶν ἐλαιῶν ἀναβαίνων καὶ κλαίων καὶ τὴν κεφαλὴν ἐπικεκαλυμμένος, καὶ αὐτὸς ἐπορεύετο ἀνυπόδετος, καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ ἐπεκάλυψεν ἀνὴρ τὴν κεφαλὴν αὐτοῦ καὶ ἀνέβαινον ἀναβαίνοντες καὶ κλαίοντες.

Β Βασ. 15,30 - Ο δε Δαυίδ ανήρχετο τον λόφον των Ελαιών κλαίων και έχων σκεπασμένην την κεφαλήν του εις ένδειξιν πένθους. Επορεύετο δε ανυπόδητος. Ολοι οι άνδρες, οι οποίοι ήσαν μαζή του, εσκέπασαν την κεφαλήν των και ανέβαιναν τον ανήφορον του Ορους Ελαιών κλαίοντες και εκείνοι.

Β Βασ. 15,31 - καὶ ἀνηγγέλη Δαυὶδ λέγοντες· καὶ Ἀχιτόφελ ἐν τοῖς συστρεφομένοις μετὰ Ἀβεσσαλώμ· καὶ εἶπε Δαυίδ· διασκέδασον δὴ τὴν βουλὴν Ἀχιτόφελ, Κύριε ὁ Θεός μου.

Β Βασ. 15,31 - Τοτε εγνωστοποιήθη στον Δαυίδ ότι και αυτός ο Αχιτόφελ ευρίσκετο μαζή με τους στασιαστάς, με το μέρος του Αβεσσαλώμ. Προσηυχήθη δε ο Δαυίδ προς τον Κυριον και είπε· “Κυριε και Θεέ μου, σε παρακαλώ, ματαίωσε τα εναντίον εμού πονηρά σχέδια του Αχιτόφελ”.

Β Βασ. 15,32 - καὶ ἦν Δαυὶδ ἐρχόμενος ἕως τοῦ Ῥοώς, οὗ προσεκύνησεν ἐκεῖ τῷ Θεῷ, καὶ ἰδοὺ εἰς ἀπαντὴν αὐτῷ Χουσὶ ὁ ἀρχιεταῖρος Δαυὶδ διεῤῥηχὼς τὸν χιτῶνα αὐτοῦ καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

Β Βασ. 15,32 - Κατόπιν ο Δαυίδ έφθασε μέχρι της θέσεως Ροώς, όπου και προσεκύνησεν εκεί τον Θεόν. Και ιδού, εις απάντησιν του Δαυίδ παρουσιάσθη ο Χουσί, ο στενός αυτού φίλος, με σχισμένον τον χιτώνα του και με χώμα επάνω εις την κεφαλήν του.

Β Βασ. 15,33 - καὶ εἶπεν αὐτῷ Δαυίδ· ἐὰν μὲν διαβῇς μετ᾿ ἐμοῦ, καὶ ἔσῃ ἐπ᾿ ἐμὲ εἰς βάσταγμα·

Β Βασ. 15,33 - Είπε δε ο Δαυίδ προς αυτόν· “εάν διαβής και έλθης μαζή μου, θα είσαι εις εμέ βάρος.

Β Βασ. 15,34 - καὶ ἐὰν ἐπιστρέψῃς ἐπὶ τὴν πόλιν, καὶ ἐρεῖς τῷ Ἀβεσσαλώμ· διεληλύθασιν οἱ ἀδελφοί σου, καὶ ὁ βασιλεὺς κατόπισθέν μου διελήλυθεν ὁ πατήρ σου, καὶ νῦν παῖς σού εἰμι, βασιλεῦ, ἔασόν με ζῆσαι, παῖς τοῦ πατρός σου ἤμην τότε καὶ ἀρτίως, καὶ νῦν ἐγὼ δοῦλος σός· καὶ διασκεδάσεις μοι τὴν βουλὴν Ἀχιτόφελ.

Β Βασ. 15,34 - Εάν όμως επιστρέψης εις την πόλιν, εκεί θα είπης στον Αβεσσαλώμ· Οι αδελφοί σου ανεχώρησαν. Εφυγεν επίσης από εμέ ο βασιλεύς, ο πατήρ σου. Εγώ είμαι τώρα δούλος ιδικός σου, βασιλεύ. Αφησέ με να ζήσω. Δούλος του πατρός σου ήμουν προηγουμένως, μέχρι προ ολίγου. Τωρα εγώ θα γίνω δούλος ιδικός σου. Μένων δε συ πλησίον του Αβεσσαλώμ, θα κατορθώσης να διαλύσης τα εναντίον εμού πονηρά σχέδια του Αχιτόφελ.

Β Βασ. 15,35 - καὶ ἰδοὺ ἐκεῖ μετὰ σοῦ Σαδὼκ καὶ Ἀβιάθαρ οἱ ἱερεῖς, καὶ ἔσται πᾶν ῥῆμα, ὃ ἐὰν ἀκούσῃς ἐξ οἴκου τοῦ βασιλέως, καὶ ἀπαγγελεῖς τῷ Σαδὼκ καὶ τῷ Ἀβιάθαρ τοῖς ἱερεῦσιν.

Β Βασ. 15,35 - Μαζή σου δε εις την Ιερουσαλήμ θα είναι και οι αρχιερείς Σαδώκ και Αβιάθαρ. Ο,τι ακούεις από τον βασιλικόν οίκον του Αβεσσαλώμ, θα το γνωστοποιής στους αρχιερείς Σαδώκ και Αβιάθαρ.

Β Βασ. 15,36 - ἰδοὺ ἐκεῖ μετ᾿ αὐτῶν δύο υἱοὶ αὐτῶν, Ἀχιμάας υἱὸς τῷ Σαδὼκ καὶ Ἰωνάθαν υἱὸς τῷ Ἀβιάθαρ, καὶ ἀποστελεῖτε ἐν χειρὶ αὐτῶν πρός με πᾶν ῥῆμα, ὃ ἐὰν ἀκούσητε.

Β Βασ. 15,36 - Επίσης μαζή με αυτούς είναι τα δυό παιδιά των. Ο Αχιμάας υιός του Σαδώκ, και ο Ιωνάθαν υιός του Αβιάθαρ. Δια μέσου αυτών θα μου γνωστοποιήτε κάθε τι, το οποίον θα ακούσετε".

Β Βασ. 15,37 - καὶ εἰσῆλθε Χουσὶ ὁ ἑταῖρος Δαυὶδ εἰς τὴν πόλιν, καὶ Ἀβεσσαλὼμ ἄρτι εἰσεπορεύετο εἰς Ἱερουσαλήμ.

Β Βασ. 15,37 - Ο Χουσί, ο στενός φίλος του Δαυίδ, επείσθη, επανήλθεν εις την πόλιν, όταν ο Αβεσσαλώμ εισήρχετο εις την Ιερουσαλήμ.

Β ΒΑΣΙΛΕΙΩΝ 16

Β Βασ. 16,1 - Καὶ Δαυὶδ παρῆλθε βραχύ τι ἀπὸ τῆς Ῥοὼς καὶ ἰδοὺ Σιβὰ τὸ παιδάριον Μεμφιβοσθὲ εἰς ἀπαντὴν αὐτοῦ καὶ ζεῦγος ὄνων ἐπισεσαγμένων, καὶ ἐπ᾽ αὐτοῖς διακόσιοι ἄρτοι καὶ ἑκατὸν σταφίδες καὶ ἑκατὸν φοίνικες καὶ νέβελ οἴνου.

Β Βασ. 16,1 - Οταν ο Δαυίδ επροχώρησε εις μικρόν τι διάστημα από την Ροώς, ιδού ήλθεν εις προϋπάντησίν του ο Σιβά, ο δούλος του Μεμφιβοσθέ, με δύο σαμαρωμένους όνους. Επάνω στους όνους αυτούς ήσαν φορτωμένοι διακόσιοι άρτοι, εκατό μεγάλα τσαμπιά σταφίδες, εκατό φοίνικες και ένας ασκός με οίνον.

Β Βασ. 16,2 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Σιβά· τί ταῦτά σοι; καὶ εἶπε Σιβά· τὰ ὑποζύγια τῇ οἰκίᾳ τοῦ βασιλέως τοῦ ἐπικαθῆσθαι, καὶ οἱ ἄρτοι καὶ οἱ φοίνικες εἰς βρῶσιν τοῖς παιδαρίοις, καὶ ὁ οἶνος πιεῖν τοῖς ἐκλελυμένοις ἐν τῇ ἐρήμῳ.

Β Βασ. 16,2 - Ο βασιλεύς είπε προς τον Σιβά· "προς ποίον σκοπόν τα έχεις αυτά;" Ο Σιβά απήντησε· "τα ζώα είναι, δια να καθήσουν τα μέλη της βασιλικής οικογενείας, οι δε άρτοι και οι φοίνικες είναι φαγητόν των ανδρών σου. Ο οίνος είναι, δια να τον πιουν εκείνοι, που είναι εξηντλημένοι από την πορείαν εις την έρημον".

Β Βασ. 16,3 - καὶ εἶπεν ὁ βασιλεύς· καὶ ποῦ ὁ υἱὸς τοῦ κυρίου σου; καὶ εἶπε Σιβὰ πρὸς τὸν βασιλέα· ἰδοὺ κάθηται ἐν Ἱερουσαλήμ, ὅτι εἶπε· σήμερον ἐπιστρέψουσί μοι οἶκος Ἰσραὴλ τὴν βασιλείαν τοῦ πατρός μου.

Β Βασ. 16,3 - Ο βασιλεύς τον ηρώτησε πάλιν· "που είναι το παιδί του κυρίου σου;" Ο Σιβά απήντησε προς τον βασιλέα· "ιδού, κάθεται εις την Ιερουσαλήμ, διότι είπε· Σημερον οι Ισραηλίται θα με αποκαταστήσουν εις την βασιλείαν του πατρός μου".

Β Βασ. 16,4 - καὶ εἶπεν ὁ βασιλεὺς τῷ Σιβά· ἰδού σοι πάντα, ὅσα ἐστὶ Μεμφιβοσθέ. καὶ εἶπε Σιβὰ προσκυνήσας· εὕροιμι χάριν ἐν ὀφθαλμοῖς σου, κύριέ μου βασιλεῦ.

Β Βασ. 16,4 - Ο βασιλεύς είπεν στον Σιβά· "ιδού, εγώ σου δίδω όλα όσα ανήκουν στον Μεμφιβοσθέ". Ο Σιβά προσεκύνησε τον Δαυίδ και είπεν· "είθε

να εύρω την χάριν αυτήν ενώπιόν σου, κύριέ μου και βασιλεύ”.

Β Βασ. 16,5 - καὶ ἦλθεν ὁ βασιλεὺς Δαυὶδ ἕως Βαουρίμ· καὶ ἰδοὺ ἐκεῖθεν ἀνὴρ ἐξεπορεύετο ἐκ συγγενείας οἴκου Σαούλ, καὶ ὄνομα αὐτῷ Σεμεΐ υἱὸς Γηρά· ἐξῆλθεν ἐκπορευόμενος καὶ καταρώμενος

Β Βασ. 16,5 - Ο βασιλεύς Δαυίδ ήλθεν από εκεί εις Βαουρίμ. Και ιδού προσήλθεν εκεί ένας ανήρ, συγγενής της οικογενείας του Σαούλ. Ωνομάζετο Σεμεΐ και ήτο υιός του Γηρά. Αυτός επροχωρούσε καταρώμενος

Β Βασ. 16,6 - καὶ λιθάζων ἐν λίθοις τὸν Δαυὶδ καὶ πάντας τοὺς παῖδας τοῦ βασιλέως Δαυίδ. καὶ πᾶς ὁ λαὸς ἦν καὶ πάντες οἱ δυνατοὶ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ βασιλέως.

Β Βασ. 16,6 - και ρίπτων λίθους εναντίον του Δαυίδ και εναντίον όλων των δούλων του βασιλέως. Ολος ο λαός και όλοι οι ισχυροί πολεμισταί ήσαν εκ δεξιών και εξ αριστερών του βασιλέως.

Β Βασ. 16,7 - καὶ οὕτως ἔλεγε Σεμεΐ ἐν τῷ καταρᾶσθαι αὐτόν· ἔξελθε, ἔξελθε ἀνὴρ αἱμάτων καὶ ἀνὴρ ὁ παράνομος·

Β Βασ. 16,7 - Αυτά δε έλεγεν ο Σεμεΐ καταρώμενος τον Δαυίδ· “φύγε, φύγε, άνθρωπε πνιγμένε εις τα αίματα, άνθρωπε της παρανομίας.

Β Βασ. 16,8 - ἐπέστρεψεν ἐπὶ σὲ Κύριος πάντα τὰ αἵματα τοῦ οἴκου Σαούλ, ὅτι ἐβασίλευσας ἀντ᾿ αὐτοῦ, καὶ ἔδωκε Κύριος τὴν βασιλείαν ἐν χειρὶ Ἀβεσσαλὼμ τοῦ υἱοῦ σου· καὶ ἰδοὺ σὺ ἐν τῇ κακίᾳ σου, ὅτι ἀνὴρ αἱμάτων σύ.

Β Βασ. 16,8 - Ο Κυριος έρριψε τώρα επάνω σου όλους τους αδίκους φόνους, τους οποίους διέπραξες εναντίον της βασιλικής οικογενειας του Σαούλ, ώστε να γίνης συ αντί εκείνου βασιλεύς. Παρέδωκε τώρα την βασιλείαν σου εις τα χέρια του παιδιού σου, του Αβεσσαλώμ. Και να, τώρα συ υφίστασαι τας τιμωρίας των κακών σου πράξεων, διότι είσαι ανήρ πνιγμένος εις αθώα αίματα”.

Β Βασ. 16,9 - καὶ εἶπεν Ἀβεσσὰ υἱὸς Σαρουΐας πρὸς τὸν βασιλέα· ἱνατί καταρᾶται ὁ κύων ὁ τεθνηκὼς οὗτος τὸν κύριόν μου τὸν βασιλέα; διαβήσομαι δὴ καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ.

Β Βασ. 16,9 - Ο Αβεσσά, ο υιός της Σαρουΐας, ειπέ προς τον βασιλέα· “πως τολμά αυτό το ψόφιο σκυλί και καταράται τον κύριόν μου και βασιλέα μου; Θα περάσω προς τα εκεί και θα του αποκόψω την κεφαλήν”.

Β Βασ. 16,10 - καὶ εἶπεν ὁ βασιλεύς· τί ἐμοὶ καὶ ὑμῖν, υἱοὶ Σαρουΐας; ἄφετε αὐτὸν καὶ οὕτως καταράσθω, ὅτι Κύριος εἶπεν αὐτῷ καταρᾶσθαι τὸν Δαυίδ, καὶ τίς ἐρεῖ, ὡς τί ἐποίησας οὕτως;

Β Βασ. 16,10 - Είπεν ο βασιλεύς· “διατί αναμιγνύεσθε σεις, οι υιοί της Σαρουΐας, εις τας ιδικάς μου υποθέσεις; Αφήστε τον αυτόν να με καταράται έτσι, διότι ο Κυριος του είπε να καταράται εμέ τον Δαυίδ. Ποιός, λοιπόν, ημπορεί να είπη εις αυτόν διατί έπραξες και εφέρθης τοιουτοτρόπως;”

Β Βασ. 16,11 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀβεσσὰ καὶ πρὸς πάντας τοὺς παῖδας αὐτοῦ· ἰδοὺ ὁ υἱός μου ὁ ἐξελθὼν ἐκ τῆς κοιλίας μου ζητεῖ τὴν ψυχήν μου, καὶ προσέτι νῦν ὁ υἱὸς τοῦ Ἰεμινί· ἄφετε αὐτὸν καταρᾶσθαι, ὅτι εἶπεν αὐτῷ Κύριος·

Β Βασ. 16,11 - Ο Δαυίδ είπε προς τον Αβεσσά και προς όλους τους γύρω αυλικούς του και στρατιώτας του· “Αφού ο υιός μου, ο οποίος είναι ιδικός μου γόνος, ζητεί την ζωήν μου, πόσον μάλλον ο Σεμεΐ, αυτός ο Βενιαμίτης; Αφήστε τον να με καταράται, διότι είπε τούτο εις αυτόν ο Κυριος.

Β Βασ. 16,12 - εἴπως ἴδοι Κύριος ἐν τῇ ταπεινώσει μου καὶ ἐπιστρέψει μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῇ ἡμέρᾳ ταύτῃ.

Β Βασ. 16,12 - Υπομένω τας κατάρας του, μήπως ο Θεός ίδη αυτόν τον εξευτελισμόν μου και με ανταμείψη με αγαθά, αντί της κατάρας η οποία κατά την ημέραν αυτήν εξεσφενδονίσθη εναντίον μου”.

Β Βασ. 16,13 - καὶ ἐπορεύθη Δαυὶδ καὶ πάντες οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ὁδῷ, καὶ Σεμεῒ ἐπορεύετο ἐκ πλευρᾶς τοῦ ὄρους ἐχόμενα αὐτοῦ πορευόμενος καὶ καταρώμενος καὶ λιθάζων ἐν λίθοις ἐκ πλαγίων αὐτοῦ καὶ τῷ χοΐ πάσσων.

Β Βασ. 16,13 - Ο Δαυίδ συνέχισε τον δρόμον του και μαζή του συνεπορεύοντο όλοι όσοι τον ακολουθούσαν. Εβάδιζε δε και ο Σεμεΐ εις κάποιον πλευράν του όρους πλησίον του Δαυίδ. Ενώ δε επροχωρούσε, κατηράτο συνεχώς τον Δαυίδ και έρριπτε λίθους εναντίον του και εσκόρπιζε χώμα κατά του Δαυίδ.

Β Βασ. 16,14 - καὶ ἦλθεν ὁ βασιλεὺς καὶ πᾶς ὁ λαὸς μετ᾿ αὐτοῦ ἐκλελυμένοι καὶ ἀνέψυξαν ἐκεῖ.

Β Βασ. 16,14 - Ο βασιλεύς και όλος ο λαός, που ήσαν μαζή του κατάκοποι από την μεγάλην πορείαν ήλθαν εις κάποιο εκεί μέρος και ανεπαύθησαν.

Β Βασ. 16,15 - Καὶ Ἀβεσσαλὼμ καὶ πᾶς ἀνὴρ Ἰσραὴλ εἰσῆλθον εἰς Ἱερουσαλὴμ καὶ Ἀχιτόφελ μετ᾿ αὐτοῦ.

Β Βασ. 16,15 - Εν τω μεταξύ ο Αβεσσαλώμ και όλος ο ισραηλιτικός στρατός, που ήτο μαζή του, εισήλθον εις την Ιερουσαλήμ. Μαζή του δε ήτο και ο Αχιτόφελ.

Β Βασ. 16,16 - καὶ ἐγενήθη ἡνίκα ἦλθε Χουσὶ ὁ ἀρχιεταῖρος Δαυὶδ πρὸς Ἀβεσσαλώμ, καὶ εἶπε Χουσὶ πρὸς Ἀβεσσαλώμ· ζήτω ὁ βασιλεύς.

Β Βασ. 16,16 - Οταν ο φίλος του Δαυίδ, ο Χουσί, ήλθε προς τον Αβεσσαλώμ, είπε προς αυτόν· “ζήτω ο βασιλεύς”.

Β Βασ. 16,17 - καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς Χουσί· τοῦτο τὸ ἔλεός σου μετὰ τοῦ ἑταίρου σου; ἱνατί οὐκ ἀπῆλθες μετὰ τοῦ ἑταίρου σου;

Β Βασ. 16,17 - Ο Αβεσσαλώμ ηρώτησε τον Χουσί· “αυτή είναι η ευγνωμοσύνη και η καλωσύνη σου απέναντι του φίλου σου, του Δαυίδ; Διατί

δεν επήγες και συ μαζή με τον φίλον σου;”

Β Βασ. 16,18 - καὶ εἶπε Χουσὶ πρὸς Ἀβεσσαλώμ· οὐχί, ἀλλὰ κατόπισθεν οὗ ἐξελέξατο Κύριος καὶ ὁ λαὸς οὗτος καὶ πᾶς ἀνὴρ Ἰσραήλ, αὐτῷ ἔσομαι καὶ μετὰ αὐτοῦ καθήσομαι·

Β Βασ. 16,18 - Απήντησεν ο Χουσί προς τον Αβεσσαλώμ και είπε· “όχι δεν επήγα με εκείνον, διότι θα ακολουθήσω αυτόν, τον οποίον ο Κυριος και όλος ο λαός του Ισραήλ εξέλεξεν ως βασιλέα. Εις αυτόν θα ανήκω και μαζή του θα μένω.

Β Βασ. 16,19 - καὶ τὸ δεύτερον, τίνι ἐγὼ δουλεύσω; οὐχὶ ἐνώπιον τοῦ υἱοῦ αὐτοῦ; καθάπερ ἐδούλευσα ἐνώπιον τοῦ πατρός σου, οὕτως ἔσομαι ἐνώπιόν σου.

Β Βασ. 16,19 - Εξ άλλου, ποίον εγώ θα υπηρετήσω; Τον υιόν του δεν θα υπηρετήσω; Οπως εδούλευσα τον πατέρα σου, έτσι πιστώς θα δουλεύσω και σέ”.

Β Βασ. 16,20 - καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς Ἀχιτόφελ· φέρετε ἑαυτοῖς βουλὴν τί ποιήσωμεν;

Β Βασ. 16,20 - Ο Αβεσσαλώμ είπε προς τον Αχιτόφελ· “σκεφθήτε μεταξύ σας και αποφασίσατε, τι θα κάμωμεν”.

Β Βασ. 16,21 - καὶ εἶπεν Ἀχιτόφελ πρὸς Ἀβεσσαλώμ· εἴσελθε πρὸς τὰς παλλακὰς τοῦ πατρός σου, ἃς κατέλιπε φυλάσσειν τὸν οἶκον αὐτοῦ, καὶ ἀκούσεται πᾶς Ἰσραὴλ ὅτι κατῄσχυνας τὸν πατέρα σου, καὶ ἐνισχύσουσιν αἱ χεῖρες πάντων τῶν μετὰ σοῦ.

Β Βασ. 16,21 - Ο Αχιτόφελ είπε προς τον Αβεσσαλώμ· “είσελθε προς τας συζύγους της δευτέρας σειράς του πατρός σου, τας οποίας αυτός αφήκε να φυλάττουν τον οίκον του. Ολοι οι Ισραηλίται θα μάθουν ότι με τον τρόπον αυτόν εξηυτέλισες και έδειξες το μίσος σου εναντίον του πατρός σου και θα ενισχυθούν οι άνδρες, που είναι μαζή σου, ώστε να σου είναι πλέον αφοσιωμένοι”.

Β Βασ. 16,22 - καὶ ἔπηξαν τὴν σκηνὴν τῷ Ἀβεσσαλὼμ ἐπὶ τὸ δῶμα, καὶ εἰσῆλθεν Ἀβεσσαλὼμ πρὸς τὰς παλλακὰς τοῦ πατρὸς αὐτοῦ κατ᾿ ὀφθαλμοὺς παντὸς Ἰσραήλ.

Β Βασ. 16,22 - Οι άνδρες του Αβεσσαλώμ έστησαν την σκηνήν του επάνω στο ηλιακωτόν του οίκου του Δαυίδ, ο δε Αβεσσαλώμ ενώπιον όλων των Ισραηλιτών ήλθεν εις ένωσιν με τας συζύγους του πατρός του.

Β Βασ. 16,23 - καὶ ἡ βουλὴ Ἀχιτόφελ, ἣν ἐβουλεύσατο ἐν ταῖς ἡμέραις ταῖς πρώταις, ὃν τρόπον ἐπερωτήσῃ τις ἐν λόγῳ τοῦ Θεοῦ, οὕτως πᾶσα ἡ βουλὴ τοῦ Ἀχιτόφελ καί γε τῷ Δαυὶδ καί γε τῷ Ἀβεσσαλώμ.

Β Βασ. 16,23 - Αι γνώμαι δέ, τας οποίας ο Αχιτόφελ εσκέπτετο και έδιδε κατά τας πρώτας αυτάς ημέρας στον Αβεσσαλώμ, ήσαν ως εάν κανείς ερωτούσε τον Θεόν. Τέτοιες ήσαν αι γνώμαι και αι συμβουλαί, τας οποίας ο

Αχιτόφελ προηγουμένως μεν έδιδε προς τον Δαυίδ, τώρα δε έδιδε προς τον Αβεσσαλώμ.

Β ΒΑΣΙΛΕΙΩΝ 17

Β Βασ. 17,1 - Καὶ εἶπεν Ἀχιτόφελ πρὸς Ἀβεσσαλώμ· ἐπιλέξω δὴ ἐμαυτῷ δώδεκα χιλιάδας ἀνδρῶν καὶ ἀναστήσομαι καὶ καταδιώξω ὀπίσω Δαυὶδ τὴν νύκτα·

Β Βασ. 17,1 - Ο Αχιτόφελ είπε κατόπιν προς τον Ανβεσσαλώμ· “δος μου, σε παρακαλώ, την άδειαν να διαλέξω δώδεκα χιλιάδας άνδρας και με αυτούς να σηκωθώ και να καταδιώξω τον Δαυίδ, αυτήν την νύκτα.

Β Βασ. 17,2 - καὶ ἐπελεύσομαι ἐπ᾿ αὐτόν, καὶ αὐτὸς κοπιῶν καὶ ἐκλελυμένος χερσί, καὶ ἐκστήσω αὐτόν, καὶ φεύξεται πᾶς ὁ λαὸς ὁ μετ᾿ αὐτοῦ, καὶ πατάξω τὸν βασιλέα μονώτατον·

Β Βασ. 17,2 - Θα επέλθω αιφνιδίως εναντίον του. Αυτός θα είναι κουρασμένος από την πορείαν και επομένως ανίκανος εις αντίστασιν. Θα τον αιφνιδιάσω και όλος ο στρατός, ο οποίος είναι μαζή του, θα τραπή εις φυγήν. Και θα μείνη αυτός τελείως μόνος· έτσι δε εγώ θα φονεύσω τον βασιλέα.

Β Βασ. 17,3 - καὶ ἐπιστρέψω πάντα τὸν λαὸν πρός σε, ὃν τρόπον ἐπιστρέφει ἡ νύμφη πρὸς τὸν ἄνδρα αὐτῆς· πλὴν ψυχὴν ἀνδρὸς ἑνὸς σὺ ζητεῖς καὶ παντὶ τῷ λαῷ ἔσται εἰρήνη.

Β Βασ. 17,3 - Θα επαναφέρω δε κατόπιν όλον τον λαόν υποτεταγμένον προς σέ, όπως η νύμφη επιστρέφει υποτεταγμένη στον άνδρα της. Ενός ανθρώπου την ζωήν συ θα αφαιρέσης και εις όλον τον λαόν έπειτα θα επικρατήση ειρήνη”.

Β Βασ. 17,4 - καὶ εὐθὴς ὁ λόγος ἐν ὀφθαλμοῖς Ἀβεσσαλὼμ καὶ ἐν ὀφθαλμοῖς πάντων τῶν πρεσβυτέρων Ἰσραήλ·

Β Βασ. 17,4 - Η συμβουλή αυτή εφάνη λογική και ωφέλιμος ενώπιον του Αβεσσαλώμ και ενώπιον όλων των πρεσβυτέρων του Ισραήλ.

Β Βασ. 17,5 - καὶ εἶπεν Ἀβεσσαλώμ· καλέσατε δὴ καί γε τὸν Χουσὶ τὸν Ἀραχί, καὶ ἀκούσωμεν τί ἐν τῷ στόματι αὐτοῦ καί γε αὐτοῦ.

Β Βασ. 17,5 - Διέταξε δε ο Αβεσσαλώμ· “προσκαλέσατε εδώ και τον Χουσί, τον υιόν του Αραχί, δια να ακούσωμεν, τι θα μας είπη και αυτός”.

Β Βασ. 17,6 - καὶ εἰσῆλθε Χουσὶ πρὸς Ἀβεσσαλώμ· καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς αὐτὸν λέγων· κατὰ τὸ ῥῆμα τοῦτο ἐλάλησεν Ἀχιτόφελ· εἰ ποιήσομεν κατὰ τὸν λόγον αὐτοῦ; εἰ δὲ μή, σὺ λάλησον·

Β Βασ. 17,6 - Παρουσιάσθη ο Χουσί στον Αβεσσαλώμ και ο Αβεσσαλώμ τον ηρώτησεν· “αυτά μας είπεν ο Αχιτόφελ. Να εφαρμόσωμεν την συμβουλήν αυτού; Εάν έχης διάφορον γνώμην, ομίλησε”.

Β Βασ. 17,7 - καὶ εἶπε Χουσὶ πρὸς Ἀβεσσαλώμ· οὐκ ἀγαθὴ αὕτη ἡ βουλή, ἣν ἐβουλεύσατο Ἀχιτόφελ τὸ ἅπαξ τοῦτο.

Β Βασ. 17,7 - Είπε δε ο Χουσί προς τον Αβεσσαλώμ· "είναι η μοναδική φορά, κατά την οποίαν δεν είναι ορθή και ωφέλιμος αυτή η συμβουλή, την οποίαν εσκέφθη και έδωσεν ο Αχιτόφελ".

Β Βασ. 17,8 - καὶ εἶπε Χουσί· σὺ οἶδας τὸν πατέρα σου καὶ τοὺς ἄνδρας αὐτοῦ, ὅτι δυνατοί εἰσι σφόδρα καὶ κατάπικροι τῇ ψυχῇ αὐτῶν, ὡς ἄρκος ἠτεκνωμένη ἐν ἀγρῷ καὶ ὡς ὗς τραχεῖα ἐν τῷ πεδίῳ, καὶ ὁ πατήρ σου ἀνὴρ πολεμιστὴς καὶ οὐ μὴ καταλύσῃ τὸν λαόν·

Β Βασ. 17,8 - Και εν συνεχεία προσέθεσε· "συ γνωρίζστον πατέρα σου και τους άνδρας του, ότι είναι πολύ ισχυροί και γεμάτοι πικρίαν εις την ψυχήν των. Ομοιάζουν με άρκτον εις την ύπαιθρον, η οποία έχασε τα παιδιά της. Ομοιάζουν με αγριόχοιρον εις τα χωράφια. Ο πατέρας σου είναι έμπειρος εις πολέμους και δεν θα διαλύση τον στρατόν του. Θα τον έχη μαζή του, δια να πολεμήση.

Β Βασ. 17,9 - ἰδοὺ γὰρ αὐτὸς νῦν κέκρυπται ἐν ἑνὶ τῶν βουνῶν ἢ ἐν ἑνὶ τῶν τόπων, καὶ ἔσται ἐν τῷ ἐπιπεσεῖν αὐτοῖς ἐν ἀρχῇ καὶ ἀκούσῃ ὁ ἀκούων καὶ εἴπῃ· ἐγενήθη θραῦσις ἐν τῷ λαῷ τῷ ὀπίσω Ἀβεσσαλώμ,

Β Βασ. 17,9 - Και να, κάπου αυτός τώρα κρύβεται εις κάποιο ύψωμα η εις κάποιον άλλον τόπον. Εάν λοιπόν επιτεθώμεν τώρα εναντίον του και κατά την αρχήν αυτήν του πολέμου ηττηθώμεν, θα γίνη τούτο γνωστόν και θα διαδοθή, ότι έγινε μεγάλη θραύσις στον στρατόν, που ακολουθεί τον Αβεσσαλώμ.

Β Βασ. 17,10 - καί γε αὐτὸς υἱὸς δυνάμεως, οὗ ἡ καρδία καθὼς ἡ καρδία τοῦ λέοντος, τηκομένη τακήσεται, ὅτι οἶδε πᾶς Ἰσραὴλ ὅτι δυνατὸς ὁ πατήρ σου καὶ υἱοὶ δυνάμεως οἱ μετ᾿ αὐτοῦ.

Β Βασ. 17,10 - Θα επιπέσήή δε τόσος πανικός εις όλους μας, ώστε και ο πλέον ψύχραιμος και δυνατός από ημάς, του οποίου η καρδία είναι σαν την καρδία του λιονταριού, θα λυώση από τον φόβον, διότι όλος ο ισραηλιτικός λαός γνωρίζει καλά, ότι ο πατέρας σου είναι δυνατός και όλοι όσοι τον ακολουθούν είναι επίσης δυνατοί.

Β Βασ. 17,11 - ὅτι οὕτως συμβουλεύων ἐγὼ συνεβούλευσα, καὶ συναγόμενος συναχθήσεται ἐπὶ σὲ πᾶς Ἰσραὴλ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος, καὶ τὸ πρόσωπόν σου πορευόμενον ἐν μέσῳ αὐτῶν,

Β Βασ. 17,11 - Δια τούτο εγώ, σου δίδω την εξής συμβουλήν και επιμένω εις αυτήν· Να συγκεντρωθή ολόγυρά σου όλος ο ισραηλιτικός λαός, όλοι όσοι κατοικούν από την βορειοτέραν πόλιν την Δαν, μέχρι και την νοτιωτέραν πόλιν την Βηρσαβεέ. Ο στρατός αυτός θα είναι τόσον πολυάριθμος, όση είναι η άμμος της θαλάσσης· αρχηγός δε του πολυαρίθμου αυτού στρατού θα είσαι συ προσωπικώς.

Β Βασ. 17,12 - καὶ ἥξομεν πρὸς αὐτὸν εἰς ἕνα τῶν τόπων, οὗ ἐὰν εὕρωμεν αὐτὸν ἐκεῖ, καὶ παρεμβαλοῦμεν ἐπ᾿ αὐτόν, ὡς πίπτει δρόσος ἐπὶ τὴν γῆν, καὶ οὐχ ὑπολειψόμεθα ἐν αὐτῷ καὶ τοῖς ἀνδράσι τοῖς μετ᾿ αὐτοῦ καί γε ἕνα·

Β Βασ. 17,12 - Ετσι θα εξορμήσωμεν εναντίον του πατρός σου στο μέρος, όπου τυχόν θα κρύπτεται, θα στρατοπεδεύσωμεν γύρω του και θα επιπέσωμεν από όλα τα σημεία εναντίον του, όπως πέφτει η δροσιά επάνω εις την γην. Δεν θα αφήσωμεν να διαφύγη ούτε αυτός ούτε κανείς από τους άνδρας, οι οποίοι είναι μαζή του.

Β Βασ. 17,13 - καὶ ἐὰν εἰς τὴν πόλιν συναχθῇ, καὶ λήψεται πᾶς Ἰσραὴλ πρὸς τὴν πόλιν ἐκείνην σχοινία καὶ συροῦμεν αὐτὴν ἕως εἰς τὸν χειμάῤῥουν, ὅπως μὴ καταλειφθῇ ἐκεῖ μηδὲ λίθος.

Β Βασ. 17,13 - Και εάν ακόμη ο Δαυίδ, μαζή με τον λαόν που τον ακολουθεί, αποσυρθή και αναβή εις πόλιν τινά επάνω εις ύψωμα, όλοι οι Ισραηλίται, που ακολουθούν ημάς, θα φέρουν σχοινία προς την πόλιν εκείνην, θα την δέσωμεν και θα την σύρωμεν εις την χαράδραν, ώστε να μη μείνη ούτε ενας λίθος εις την πόλιν εκείνην".

Β Βασ. 17,14 - καὶ εἶπεν Ἀβεσσαλὼμ καὶ πᾶς ἀνὴρ Ἰσραήλ· ἀγαθὴ ἡ βουλὴ Χουσὶ τοῦ Ἀραχὶ ὑπὲρ τὴν βουλὴν Ἀχιτόφελ· καὶ Κύριος ἐνετείλατο διασκεδάσαι τὴν βουλὴν τοῦ Ἀχιτόφελ τὴν ἀγαθήν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβεσσαλὼμ τὰ κακὰ πάντα.

Β Βασ. 17,14 - Ο Αβεσσαλώμ και οι Ισραηλίται, που παρευρίσκοντο εις την συνομιλίαν αυτήν, απήντησαν· "η γνώμη του Χουσί είναι καλυτέρα και προτιμοτέρα από την γνώμην του Αχιτόφελ". Ετσι δε ο ίδιος ο Κυριος ηθέλησε και εξουδετέρωσε την γνώμην του Αχιτόφελ, την τόσον συμφέρουσαν δια τον Αβεσσαλώμ, δια να τιμωρήση αυτόν δια τας κακάς του πράξεις.

Β Βασ. 17,15 - καὶ εἶπε Χουσὶ ὁ τοῦ Ἀραχὶ πρὸς Σαδὼκ καὶ Ἀβιάθαρ τοὺς ἱερεῖς· οὕτως καὶ οὕτως συνεβούλευσεν Ἀχιτόφελ τῷ Ἀβεσσαλὼμ καὶ τοῖς πρεσβυτέροις Ἰσραήλ, καὶ οὕτως καὶ οὕτως συνεβούλευσα ἐγώ.

Β Βασ. 17,15 - Ο Χουσί, ο υιός του Αραχί, εγνωστοποίησε προς τον Σαδώκ και τον Αβιάθαρ, τους αρχιερείς, αυτά. "Αυτά και αυτά συνεβούλευσεν ο Αχιτόφελ τον Αβεσσαλώμ και τους γεροντοτέρους εκ των Ισραηλιτών. Αυτό και αυτό συνεβούλευσα εγώ αυτόν.

Β Βασ. 17,16 - καὶ νῦν ἀποστείλατε ταχὺ καὶ ἀναγγείλατε τῷ Δαυὶδ λέγοντες· μὴ αὐλισθῇς τὴν νύκτα ἐν Ἀραβὼθ τῆς ἐρήμου καί γε διαβαίνων σπεῦσον, μή ποτε καταπείσῃ τὸν βασιλέα καὶ πάντα τὸν λαὸν τὸν μετ᾿ αὐτοῦ.

Β Βασ. 17,16 - Και λοιπόν, τώρα στείλτε αμέσως και ειδοποιήστε τον Δαυίδ λέγοντες· Να μη παραμείνης κατά την νύκτα αυτήν εις την πεδιάδα της

ερήμου της Αραβώθ. Αλλά σπεύσε να περάσης τον Ιορδάνην, μήπως τυχόν ο Αχιτόφελ αλλάξη την γνώμην του βασιλέως και οδηγήση αυτόν και όλον τον στρατόν του εναντίον σου”.

Β Βασ. 17,17 - καὶ Ἰωνάθαν καὶ Ἀχιμάας εἱστήκεισαν ἐν τῇ πηγῇ Ῥωγήλ, καὶ ἐπορεύθη ἡ παιδίσκη καὶ ἀνήγγειλεν αὐτοῖς, καὶ αὐτοὶ πορεύονται καὶ ἀναγγέλλουσι τῷ βασιλεῖ Δαυίδ, ὅτι οὐκ ἠδύναντο ὀφθῆναι τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν.

Β Βασ. 17,17 - Ο Ιωνάθαν και ο Αχιμάας ίσταντο πλησίον εις την πηγήν Ρωήλ. Προς αυτούς μετέβη κάποια υπηρέτρια και τους ανήγγειλε τα γεγονότα αυτά. Αυτοί δε έρχονται και τα αναγγέλλουν στον βασιλέα Δαυίδ. Ο Ιωνάθαν και ο Αχιμάας έμεναν εις την πηγήν Ρωγήλ, (δια να λαμβάνουν εκεί τας πληροφορίας), επειδή δεν ημπορούσαν να φαίνωνται ότι εισέρχονται εις την πόλιν Ιερουσαλήμ.

Β Βασ. 17,18 - καὶ εἶδεν αὐτοὺς παιδάριον καὶ ἀνήγγειλε τῷ Ἀβεσσαλώμ, καὶ ἐπορεύθησαν οἱ δύο ταχέως καὶ εἰσῆλθαν εἰς οἰκίαν ἀνδρὸς ἐν Βαουρίμ, καὶ αὐτῷ λάκκος ἐν τῇ αὐλῇ, καὶ κατέβησαν ἐκεῖ.

Β Βασ. 17,18 - Καποιος όμως νεαρός τους αντελήφθη και κατέστησε γνωστόν τούτο στον Αβεσσαλώμ, ο οποίος και απέστειλεν ανθρώπους, δια να τους συλλάβουν. Ο Ιωνάθαν όμως και ο Αχιμάας επέσπευσαν το βήμα των και εισήλθαν εις την οικίαν ενός ανδρός εις την πόλιν Βαουρίμ. Εις την αυλήν της οικίας του ανθρώπου αυτού υπήρχε κάποιος λάκκος. Κατέβηκαν και εκρύφθησαν εκεί.

Β Βασ. 17,19 - καὶ ἔλαβεν ἡ γυνὴ καὶ διεπέτασε τὸ ἐπικάλυμμα ἐπὶ πρόσωπον τοῦ λάκκου καὶ ἔψυξεν ἐπ᾿ αὐτῷ ἀραφώθ, καὶ οὐκ ἐγνώσθη ῥῆμα.

Β Βασ. 17,19 - Η σύζυγος του ανθρώπου εκείνου, επήρε και έβαλε το σκέπασμα στο στόμιον αυτού του λάκκου και εσκόρπισεν επάνω εις αυτό το σκέπασμα, δήθεν δια να ξηρανθή, σίτον κοπανισμένον και έτσι δεν εφαίνετο, τι ήτο κάτω από αυτόν.

Β Βασ. 17,20 - καὶ ἦλθαν οἱ παῖδες Ἀβεσσαλὼμ πρὸς τὴν γυναῖκα εἰς τὴν οἰκίαν καὶ εἶπαν· ποῦ Ἀχιμάας καὶ Ἰωνάθαν; καὶ εἶπεν αὐτοῖς ἡ γυνή· παρῆλθαν μικρὸν τοῦ ὕδατος, καὶ ἐζήτησαν καὶ οὐχ εὗραν καὶ ἀνέστρεψαν εἰς Ἱερουσαλήμ.

Β Βασ. 17,20 - Οι δούλοι του Αβεσσαλώμ έφθασαν εις την οικίαν προς την γυναίκα και την ηρώτησαν· “που είναι ο Αχιμάας και ο Ιωνάθαν;” Εκείνη όμως τους απήντησεν· “επερασαν προ ολίγου αυτό το ρυάκιον”. Οι απεσταλμένοι ηρεύνησαν προς όλας τας κατευθύνσεις, δεν τους εύρον και επέστρεψαν εις την Ιερουσαλήμ.

Β Βασ. 17,21 - ἐγένετο δὲ μετὰ τὸ ἀπελθεῖν αὐτοὺς καὶ ἀνέβησαν ἐκ τοῦ λάκκου καὶ ἐπορεύθησαν καὶ ἀπήγγειλαν τῷ βασιλεῖ Δαυὶδ καὶ εἶπαν πρὸς

Δαυίδ· ἀνάστητε καὶ διάβητε ταχέως τὸ ὕδωρ, ὅτι οὕτως ἐβουλεύσατο περὶ ὑμῶν Ἀχιτόφελ.

Β Βασ. 17,21 - Μετά την αναχώρησιν των δούλων του Αβεσσαλώμ, ο Ιωνάθαν και ο Αχιμάας εβγήκαν από τον λάκκον, επορεύθησαν και έφθασαν στον βασιλέα Δαυίδ, στον οποίον και ανήγγειλαν τα εξής· “ετοιμασθήτε και διαβήτε γρήγορα τον Ιορδάνην, διότι αυτό και αυτό συνεβούλευσεν ο Αχιτόφελ τον Αβεσσαλώμ εναντίον σας”.

Β Βασ. 17,22 - καὶ ἀνέστη Δαυὶδ καὶ πᾶς ὁ λαὸς ὁ μετ᾿ αὐτοῦ καὶ διέβησαν τὸν Ἰορδάνην ἕως τοῦ φωτὸς τοῦ πρωΐ, ἕως ἑνὸς οὐκ ἔλαθεν ὃς οὐ διῆλθε τὸν Ἰορδάνην.

Β Βασ. 17,22 - Πράγματι ο Δαυίδ ηγέρθη αμέσως, μαζή του δε και όλος ο λαός, και διέβησαν τον Ιορδάνην ποταμόν μέχρι της επομένης ημέρας. Κανείς δεν έμεινε, που να μη διήλθε κρυφίως τον Ιορδάνην ποταμόν.

Β Βασ. 17,23 - καὶ Ἀχιτόφελ εἶδεν ὅτι οὐκ ἐγενήθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐπέσαξε τὴν ὄνον αὐτοῦ, καὶ ἀνέστη καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ εἰς τὴν πόλιν αὐτοῦ· καὶ ἐνετείλατο τῷ οἴκῳ αὐτοῦ καὶ ἀπήγξατο καὶ ἀπέθανε καὶ ἐτάφη ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ.

Β Βασ. 17,23 - Ο Αχιτόφελ είδεν, ότι δεν έγινε δεκτή η συμβουλή του, εσαμάρωσε την όνον του, εσηκώθη, επήγεν εις την πόλιν του και εισήλθεν εις την οικίαν του. Αφού ετακτοποίησε τας υποθέσεις της οικογενείας του, εκρεμάσθη και απέθανε. Ετάφη δε στον τάφον του πατρός του.

Β Βασ. 17,24 - καὶ Δαυὶδ διῆλθεν εἰς Μαναΐμ, καὶ Ἀβεσσαλὼμ διέβη τὸν Ἰορδάνην αὐτὸς καὶ πᾶς ἀνὴρ Ἰσραὴλ μετ᾿ αὐτοῦ.

Β Βασ. 17,24 - Ο Δαυίδ εν τω μεταξύ διέβη τον Ιορδάνην ποταμόν και έφθασεν εις την Μαναΐμ. Διέβη δε τον ποταμόν και ο Αβεσσαλώμ, μαζή δέ με αυτόν και όλος ο Ισραηλιτικός στρατός του.

Β Βασ. 17,25 - καὶ τὸν Ἀμεσσαΐ κατέστησεν Ἀβεσσαλὼμ ἀντὶ Ἰωὰβ ἐπὶ τῆς δυνάμεως· καὶ Ἀμεσσαΐ υἱὸς ἀνδρὸς καὶ ὄνομα αὐτῷ Ἰοθὸρ ὁ Ἰσραηλίτης, οὗτος εἰσῆλθε πρὸς Ἀβιγαίαν θυγατέρα Νάας ἀδελφὴν Σαρουΐας μητρὸς Ἰωάβ.

Β Βασ. 17,25 - Ο Αβεσσαλώμ διώρισε αντί του Ιωάβ αρχιστράτηγον του Ισραηλιτικού στρατού τον Αμεσσαΐ. Αυτός δε ο Αμεσσαΐ ήτο υιός του Ισραηλίτου Ιοθόρ, ο οποίος ήλθεν εις ένωσιν με την Αβιγαίαν, την θυγατέρα Ναας, αδελφήν δε Σαρουΐας της μητρός του Ιωάβ.

Β Βασ. 17,26 - καὶ παρενέβαλε πᾶς Ἰσραὴλ καὶ Ἀβεσσαλὼμ εἰς τὴν γῆν Γαλαάδ.

Β Βασ. 17,26 - Ετσι όλοι οι Ισραηλίται και ο Αβεσσαλώμ εστρατοπέδευσαν εις την χώραν Γαλαάδ.

Β Βασ. 17,27 - καὶ ἐγένετο ἡνίκα ἦλθε Δαυὶδ εἰς Μαναΐμ, καὶ Οὐεσβὶ υἱὸς Νάας ἐκ Ῥαββὰθ υἱῶν Ἀμμὼν καὶ Μαχὶρ υἱὸς Ἀμιὴλ ἐκ Λωδαβὰρ καὶ

Βερζελλὶ ὁ Γαλααδίτης ἐκ Ῥωγελλὶμ
Β Βασ. 17,27 - Οταν δε ο Δαυίδ ήλθεν εις Μαναΐμ, ο Ουεσβί, υιός του Νaας, από την πρωτεύουσαν των Αμμωνιτών την Ραββάθ, ήλθε προς τον Δαυίδ. Επίσης και ο Μαχίρ, ο υιός του Αμιήλ από την Λωδαβάρ, και ο Βερζελλί ο Γαλααδίτης, ο οποίος κατήγετο από την Ρωνελλίμ.
Β Βασ. 17,28 - ἤνεγκαν δέκα κοίτας καὶ ἀμφιτάπους καὶ λέβητας δέκα καὶ σκεύη κεράμου καὶ πυροὺς καὶ κριθὰς καὶ ἄλευρον καὶ ἄλφιτον καὶ κύαμον καὶ φακὸν
Β Βασ. 17,28 - Αυτοί έφεραν και έδωκαν στον Δαυίδ δέκα κρεββάτια, πολυτελείς τάπητας, δέκα λέβητας, οικιακά πήλινα σκεύη, σιτάρι, κριθάρι, αλεύρι, χονδροαλεσμένην κριθήν, κουκιά, φακές,
Β Βασ. 17,29 - καὶ μέλι καὶ βούτυρον καὶ πρόβατα καὶ σαφφὼθ βοῶν καὶ προσήνεγκαν τῷ Δαυὶδ καὶ τῷ λαῷ τῷ μετ᾿ αὐτοῦ φαγεῖν, ὅτι εἶπαν· ὁ λαὸς πεινῶν καὶ ἐκλελυμένος καὶ διψῶν ἐν τῇ ἐρήμῳ.
Β Βασ. 17,29 - μέλι, βούτυρον, πρόβατα και τυρί από αγελάδες. Αυτά προσέφεραν στον Δαυίδ και στον στρατόν, που τον ακολουθούσε, δια να φάγουν, επειδή εσκέφθησαν και είπαν, ότι ο λαός αυτός είναι πεινασμένος και ταλαιπωρημένος και διψασμένος εις αυτήν την έρημον.

Β ΒΑΣΙΛΕΙΩΝ 18

Β Βασ. 18,1 - Καὶ ἐπεσκέψατο Δαυὶδ τὸν λαὸν τὸν μετ᾿ αὐτοῦ καὶ κατέστησεν ἐπ᾿ αὐτῶν χιλιάρχους καὶ ἑκατοντάρχους.
Β Βασ. 18,1 - Ο Δαυίδ επεθεώρησε τον στρατόν, που ήτο μαζή του, και διώρισεν εις αυτούς χιλιάρχους και εκατοντάρχους.
Β Βασ. 18,2 - καὶ ἀπέστειλε Δαυὶδ τὸν λαόν, τὸ τρίτον ἐν χειρὶ Ἰωὰβ καὶ τὸ τρίτον ἐν χειρὶ Ἀβεσσὰ υἱοῦ Σαρουΐας ἀδελφοῦ Ἰωὰβ καὶ τὸ τρίτον ἐν χειρὶ Ἐθθὶ τοῦ Γεθθαίου. καὶ εἶπε Δαυὶδ πρὸς τὸν λαόν· ἐξελθὼν ἐξελεύσομαι καί γε ἐγὼ μεθ᾿ ὑμῶν.
Β Βασ. 18,2 - Διήρεσε δε τον στρατόν του εις τρία τμήματα. Το ένα τρίτον το έθεσεν υπό την αρχηγίαν του Ιωάβ. Το δεύτερον τμήμα το έθεσεν υπό την αρχηγίαν του Αβεσσά, του υιού της Σαρουΐας, αδελφού του Ιωάβ. Και το τρίτον τμήμα υπό την αρχηγίν του Εθθί του Γεθθαίου. Είπε δε προς τον στρατόν του· “θα έλθω και εγώ μαζή σας, δια να λάβω μέρος στον πόλεμον”.
Β Βασ. 18,3 - καὶ εἶπαν· οὐκ ἐξελεύσῃ, ὅτι ἐὰν φυγῇ φύγωμεν, οὐ θήσουσιν ἐφ᾿ ἡμᾶς καρδίαν, καὶ ἐὰν ἀποθάνωμεν τὸ ἥμισυ ἡμῶν, οὐ θήσουσιν ἐφ᾿ ἡμᾶς καρδίαν, ὅτι σὺ ὡς ἡμεῖς δέκα χιλιάδες· καὶ νῦν ἀγαθὸν ὅτι ἔσῃ ἡμῖν ἐν τῇ πόλει βοήθεια τοῦ βοηθεῖν.

Β Βασ. 18,3 - Οι στρατιώται του απήντησαν· “όχι, δεν πρέπει να εκστρατεύσης μαζή μας. Διότι εάν ημείς νικηθώμεν και τραπώμεν εις φυγήν, το πράγμα δεν θα έχη και μεγάλην σημασίαν. Ούτε εάν οι μισοί από ημάς φονευθούν, θα μας υπολογίσουν και πολύ. Συ όμως, αξίζεις όσον δέκα χιλιάδες από ημάς. Δι' ημάς είναι καλύτερον και ωφελιμώτερον να μείνης εις την πόλιν και να μας βοηθήσης, εάν παραστή ανάγκη”.

Β Βασ. 18,4 - καὶ εἶπε πρὸς αὐτοὺς ὁ βασιλεύς· ὃ ἐὰν ἀρέσῃ ἐν ὀφθαλμοῖς ὑμῶν, ποιήσω. καὶ ἔστη ὁ βασιλεὺς ἀνὰ χεῖρα τῆς πύλης, καὶ πᾶς ὁ λαὸς ἐξεπορεύετο εἰς ἑκατοντάδας καὶ εἰς χιλιάδας.

Β Βασ. 18,4 - Ο βασιλεύς Δαυίδ είπε προς αυτούς· “εγώ θα πράξω αυτό, το οποίον σεις νομίζετε καλόν”. Εμεινεν ο βασιλεύς πλησίον εις την πύλην της πόλεως. Ο δε στρατός εξήρχετο από την πόλιν συντεταγμένος κατά εκατόν και κατά χιλίους άνδρας.

Β Βασ. 18,5 - καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Ἰωὰβ καὶ τῷ Ἀβεσσὰ καὶ τῷ Ἐθθὶ λέγων· φείσασθέ μοι τοῦ παιδαρίου τοῦ Ἀβεσσαλώμ· καὶ πᾶς ὁ λαὸς ἤκουσεν ἐντελλομένου τοῦ βασιλέως πᾶσι τοῖς ἄρχουσιν ὑπὲρ Ἀβεσσαλώμ,

Β Βασ. 18,5 - Ο βασιλεύς διέταξε τους στρατηγούς του, τον Ιωάβ, τον Αβεσσά και τον Εθθί λέγων· “λυπηθήτε μου το παιδί μου, τον Αβεσσαλώμ” ! Ολος δε ο στρατός επληροφορήθη την εντολήν αυτήν του βασιλέως προς τους στρατηγούς υπέρ του Αβεσσαλώμ.

Β Βασ. 18,6 - καὶ ἐξῆλθε πᾶς ὁ λαὸς εἰς τὸν δρυμὸν ἐξεναντίας Ἰσραήλ, καὶ ἐγένετο ὁ πόλεμος ἐν τῷ δρυμῷ Ἐφραίμ.

Β Βασ. 18,6 - Εξήλθεν όλος ο στρατός του Δαυίδ από την πόλιν στο δάσος, δια να αντιμετωπίση τον ισραηλιτικόν στρατόν. Και έγινε πόλεμος στο δάσος Εφραίμ.

Β Βασ. 18,7 - καὶ ἔπταισεν ἐκεῖ ὁ λαὸς Ἰσραὴλ ἐνώπιον τῶν παίδων Δαυίδ, καὶ ἐγένετο ἡ θραῦσις μεγάλη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἴκοσι χιλιάδες ἀνδρῶν.

Β Βασ. 18,7 - Εκεί ο ισραηλιτικός στρατός του Αβεσσαλώμ ενικήθη από τον στρατόν του Δαυίδ. Αι απώλειαι του στρατού του Αβεσσαλώμ, κατά την ημέραν εκείνην, ήσαν είκοσι χιλιάδες άνδρες.

Β Βασ. 18,8 - καὶ ἐγένετο ἐκεῖ ὁ πόλεμος διεσπαρμένος ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ ἐπλεόνασεν ὁ δρυμὸς τοῦ καταφαγεῖν ἐκ τοῦ λαοῦ ὑπὲρ οὓς κατέφαγεν ἐν τῷ λαῷ ἡ μάχαιρα τῇ ἡμέρᾳ ἐκείνῃ.

Β Βασ. 18,8 - Η μάχη εξηπλώθη εις όλην την περιοχήν εκείνην. Κατά δε την φυγήν στο δάσος εφονεύθησαν εκ των στρατιωτών του Αβεσσαλώμ πολύ περισσότεροι, παρά στο πεδίον της μάχης κατά την ημέραν εκείνην.

Β Βασ. 18,9 - καὶ συνήντησεν Ἀβεσσαλὼμ ἐνώπιον τῶν παίδων Δαυίδ, καὶ Ἀβεσσαλὼμ ἦν ἐπιβεβηκὼς ἐπὶ τοῦ ἡμιόνου αὐτοῦ, καὶ εἰσῆλθεν ὁ ἡμίονος ὑπὸ τὸ δάσος τῆς δρυὸς τῆς μεγάλης, καὶ περιεπλάκη ἡ κεφαλὴ

αὐτοῦ ἐν τῇ δρυΐ, καὶ ἐκρεμάσθη ἀνὰ μέσον τοῦ οὐρανοῦ καὶ ἀνὰ μέσον τῆς γῆς, καὶ ὁ ἡμίονος ὑποκάτω αὐτοῦ παρῆλθε.

Β Βασ. 18,9 - Ο Αβεσσαλώμ ευρέθη αίφνης ενώπιον των στρατιωτών του Δαυίδ. Εκάθητο δε στον ημιόνόν του, ο υποίος εισήλθε τρέχων στο δάσος της μεγάλης δρυός. Η κόμη του Αβεσσολώμ περιεπλάκη στους κλάδους της δρυός. Εκρεμάσθη από την κόμην του και αιωρείτο μεταξύ ουρανού και γης, διότι η ημίονος, εις την οποίαν αυτός εκάθητο, επροσπέρασε και έφυγε τρέχουσα.

Β Βασ. 18,10 - καὶ εἶδεν ἀνὴρ εἷς καὶ ἀνήγγειλε τῷ Ἰωὰβ καὶ εἶπεν· ἰδοὺ ἑώρακα τὸν Ἀβεσσαλὼμ κρεμάμενον ἐν τῇ δρυΐ.

Β Βασ. 18,10 - Ενας στρατιώτης του Δαυίδ τον είδε και εγνωστοποίησεν αυτά στον Ιωάβ ειπών· “είδα τον Αβεσσαλώμ κρεμασμένον κάτω από την δρυν”.

Β Βασ. 18,11 - καὶ εἶπεν Ἰωὰβ τῷ ἀνδρὶ τῷ ἀναγγέλλοντι αὐτῷ· καὶ ἰδοὺ ἑώρακας· τί ὅτι οὐκ ἐπάταξας αὐτὸν ἐκεῖ εἰς τὴν γῆν; καὶ ἐγὼ ἂν ἐδεδώκειν σοι δέκα ἀργυρίου καὶ παραζώνην μίαν.

Β Βασ. 18,11 - Ο Ιωάβ απήντησεν στον αγγελιοφόρον· “τον είδες λοιπόν; Διατί δεν τον εκτυπούσες και να τον εξαπλώσης νεκρόν εις την γην; Αν το έκανες αυτό, εγώ θα σου έδιδα ως αμοιβήν δέκα σίκλους αργυρούς και μίαν ζώνην”.

Β Βασ. 18,12 - εἶπε δὲ ὁ ἀνὴρ πρὸς Ἰωάβ· καὶ ἐγώ εἰμι ἵστημι ἐπὶ τὰς χεῖράς μου χιλίους σίκλους ἀργυρίου, οὐ μὴ ἐπιβάλω τὴν χεῖρά μου ἐπὶ τὸν υἱὸν τοῦ βασιλέως, ὅτι ἐν τοῖς ὠσὶν ἡμῶν ἐνετείλατο ὁ βασιλεύς σοι καὶ τῷ Ἀβεσσὰ καὶ τῷ Ἐθθὶ λέγων· φυλάξατέ μοι τὸ παιδάριον τὸν Ἀβεσσαλὼμ

Β Βασ. 18,12 - Ο στρατιώτης εκείνος απήντησε προς τον Ιωάβ· “εγώ είμαι τέτοιος, ώστε και χιλίους αργύρους σίκλους εάν έβαζες να βαρύνουν το χέρι μου, δεν θα άπλωνα φονικόν το χέρι μου εναντίον του υιού του βασιλέως, διότι ηκούσαμεν με τα ίδια μας τα αυτιά, αυτά τα οποία διέτασσε σε και τον Αβεσσά και τον Εθθί ο Δαυίδ λέγων· Φυλάξατέ μου το παιδί μου, τον Αβεσσαλώμ.

Β Βασ. 18,13 - μὴ ποιῆσαι ἐν τῇ ψυχῇ αὐτοῦ ἄδικον· καὶ πᾶς ὁ λόγος οὐ λήσεται ἀπὸ τοῦ βασιλέως, καὶ σὺ στήσῃ ἐξεναντίας.

Β Βασ. 18,13 - Μη κάμετε τίποτε κακόν εναντίον της ζωής του. Ο βασιλεύς δεν λησμονεί τίποτε, από όσα διατάσσει. Και αν εγώ διέπραττον κάτι εναντίον του παιδιού του, θα ετιμωρούμην από αυτόν. Τοτε και συ ο ίδιος θα ήσουν εναντίον μου”.

Β Βασ. 18,14 - καὶ εἶπεν ὁ Ἰωάβ· τοῦτο ἐγὼ ἄρξομαι· οὐχ οὕτως μενῶ ἐνώπιόν σου. καὶ ἔλαβεν Ἰωὰβ τρία βέλη ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐνέπηξεν αὐτὰ ἐν τῇ καρδίᾳ Ἀβεσσαλὼμ ἔτι αὐτοῦ ζῶντος ἐν τῇ καρδίᾳ τῆς δρυός.

Β Βασ. 18,14 - Ο Ιωάβ απήντησε· “αυτό το οποίον συ δεν έκαμες, θα το κάμω εγώ. Δεν θα μείνω άπρακτος, όπως συ”. Επήρε ο Ιωάβ στο χέρι του

τρία βέλη και εκάρφωσεν αυτά εις την καρδίαν του Αβεσσαλώμ, καθ' ον χρόνον εκείνος ακόμη εζούσε κρεμασμένος στο μέσον της δρυός.

Β Βασ. 18,15 - καὶ ἐκύκλωσαν δέκα παιδάρια αἴροντα τὰ σκεύη Ἰωὰβ καὶ ἐπάταξαν τὸν Ἀβεσσαλὼμ καὶ ἐθανάτωσαν αὐτόν.

Β Βασ. 18,15 - Κατόπιν περιεκύκλωσαν αυτόν δέκα στρατιώται του Ιωάβ, οι οποίοι εκρατούσαν τα όπλα του, εκτύπησαν και εκείνοι τον Αβεσσαλώμ με τελειωτικάς βολάς και τον εθανάτωσαν.

Β Βασ. 18,16 - καὶ ἐσάλπισεν Ἰωὰβ ἐν κερατίνῃ, καὶ ἀπέστρεψεν ὁ λαὸς τοῦ μὴ διώκειν ὀπίσω Ἰσραήλ, ὅτι ἐφείδετο Ἰωὰβ τοῦ λαοῦ.

Β Βασ. 18,16 - Ο Ιωάβ εσάλπισε με την κερατίνην σάλπιγγα να καταπαύση ο πόλεμος. Ολος δε ο στρατός του Δαυίδ έπαυσε να καταδιώκη τους στρατιώτας του Αβεσσαλώμ, διότι ο Ιωάβ ελυπήθη δι' αυτήν την καταστροφήν του Ισραηλιτικού στρατού του Αβεσσαλώμ.

Β Βασ. 18,17 - καὶ ἔλαβε τὸν Ἀβεσσαλὼμ καὶ ἔῤῥιψεν αὐτὸν εἰς χάσμα μέγα ἐν τῷ δρυμῷ εἰς τὸν βόθυνον τὸν μέγαν καὶ ἐστήλωσεν ἐπ᾿ αὐτὸν σωρὸν λίθων μέγαν σφόδρα. καὶ πᾶς Ἰσραὴλ ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτοῦ.

Β Βασ. 18,17 - Επήρε, το πτώμα του Αβεσσαλώμ, το έρριψεν εις ένα μεγάλον εκεί λάκκον, μέσα εις βαθύ χάσμα στο δάσος, εσώρευσεν επάνω εις αυτό λίθους πολλούς και ανήγειρε μεγάλην στήλην από αυτούς τους λίθους. Οι άλλοι Ισραηλίται έφυγαν και επέστρεψαν εις τας οικίας των.

Β Βασ. 18,18 - καὶ Ἀβεσσαλὼμ ἔτι ζῶν ἔλαβε καὶ ἔστησεν ἑαυτῷ τὴν στήλην, ἐν ᾗ ἐλήφθη, καὶ ἐστήλωσεν αὐτὴν λαβεῖν τὴν στήλην τὴν ἐν τῇ κοιλάδι τοῦ βασιλέως, ὅτι εἶπεν· οὐκ ἔστιν αὐτῷ υἱὸς ἕνεκα τοῦ ἀναμνῆσαι τὸ ὄνομα αὐτοῦ· καὶ ἐκάλεσε τὴν στήλην Χεὶρ Ἀβεσσαλὼμ ἕως τῆς ἡμέρας ταύτης.

Β Βασ. 18,18 - Κατά σύμπτωσιν δε ο Αβεσσαλώμ, όταν ακόμη έζη, είχεν εγείρει εκεί δια τον εαυτόν του αναμνηστικήν στήλην, εκεί όπου τώρα αυτός είχε συλληφθή και ταφή. Ανήγειρε δε αυτήν την στήλην εις την κοιλάδα του βασιλέως, διότι είπεν· "επειδή δεν έχω υιόν, δια να διαιωνίση το όνομά μου, ανεγείρω αυτήν την στήλην". Η στήλη ωνομάσθη μέχρι της ημέρας αυτής "Χειρ Αβεσσαλώμ".

Β Βασ. 18,19 - καὶ Ἀχιμάας υἱὸς Σαδὼκ εἶπε· δράμω δὴ καὶ εὐαγγελιῶ τῷ βασιλεῖ, ὅτι ἔκρινε Κύριος ἐκ χειρὸς τῶν ἐχθρῶν αὐτοῦ.

Β Βασ. 18,19 - Ο Αχιμάας, ο υιός του Σαδώκ, είπε· "θα τρέξω λοιπόν και θα αναγγείλω τα ευχάριστα γεγονότα στον βασιλέα, ότι δηλαδή ο Κυριος εφάνη δίκαιος και απήλλαξεν αυτόν από τους εχθρούς του".

Β Βασ. 18,20 - καὶ εἶπεν αὐτῷ Ἰωάβ· οὐκ ἀνὴρ εὐαγγελίας σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ εὐαγγελιῇ ἐν ἡμέρᾳ ἄλλῃ, ἐν δὲ τῇ ἡμέρᾳ ταύτῃ οὐκ εὐαγγελιῇ, οὗ εἵνεκεν ὁ υἱὸς τοῦ βασιλέως ἀπέθανε.

Β Βασ. 18,20 - Ο Ιωάβ είπεν εις αυτόν· “δεν θα είσαι δια τον βασιλέα αγγελιαφόρος καλών ειδήσεων κατά την ημέραν αυτήν. Αφησε, λοιπόν, να το αναγγείλης κάποιαν άλλην ημέραν. Δεν πρέπει σήμερον να του καταστήσης γνωστόν, διότι και πως εφονεύθη ο υιός του βασιλέως”.

Β Βασ. 18,21 - καὶ εἶπεν Ἰωὰβ τῷ Χουσί· βαδίσας ἀνάγγειλον τῷ βασιλεῖ ὅσα εἶδες· καὶ προσεκύνησε Χουσὶ τῷ Ἰωὰβ καὶ ἐξῆλθε.

Β Βασ. 18,21 - Ο Ιωάβ στον Χουσί είπε· “πήγαινε και κατάστησε γνωστά στον βασιλέα, όσα είδες”. Ο Χουσί προσεκύνησεν τον Ιωάβ και έφυγε.

Β Βασ. 18,22 - καὶ προσέθετο ἔτι Ἀχιμάας υἱὸς Σαδὼκ καὶ εἶπε πρὸς Ἰωάβ· καὶ ἔστω ὅτι δράμω καί γε ἐγὼ ὀπίσω τοῦ Χουσί. καὶ εἶπεν Ἰωάβ· ἱνατί σὺ τοῦτο τρέχεις, υἱέ μου; δεῦρο, οὐκ ἔστι σοι εὐαγγέλια εἰς ὠφέλειαν πορευομένῳ.

Β Βασ. 18,22 - Ο Αχιμάας, ο υιός του Σαδώκ, παρεκάλεσε και πάλιν τον Ιωάβ λέγων· “δος μου την άδειαν να τρέξω και εγώ πίσω από τον Χουσί”. Ο Ιωάβ του είπε· “διατί θέλεις να τρέξης συ, παιδί μου; Ελα εδώ. Δεν πρόκειται να φέρης στον βασιλέα ευχαρίστους αγγελίας”.

Β Βασ. 18,23 - καὶ εἶπε· τί γὰρ ἐὰν δράμω; καὶ εἶπεν αὐτῷ Ἰωάβ· δράμε. καὶ ἔδραμεν Ἀχιμάας τὴν ὁδὸν τὴν τοῦ Κεχὰρ καὶ ὑπερέβη τὸν Χουσί.

Β Βασ. 18,23 - Εκείνος είπε· “τι πειράζει, εάν τρέξω και εγώ;” Ο Ιωάβ του είπε· “λοιπόν τρέξε”. Ετρεξε πράγματι ο Αχιμάας εις την οδόν του Κεχάρ και επροσπέρασε τον Χουσί.

Β Βασ. 18,24 - καὶ Δαυὶδ ἐκάθητο ἀνὰ μέσον τῶν δύο πυλῶν. καὶ ἐπορεύθη ὁ σκοπὸς εἰς τὸ δῶμα τῆς πύλης πρὸς τὸ τεῖχος καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε καὶ ἰδοὺ ἀνὴρ τρέχων μόνος ἐνώπιον αὐτοῦ

Β Βασ. 18,24 - Ο Δαυίδ εκάθητο ανάμεσα εις τας δύο θύρας της πύλης της πόλεως. Ο σκοπός ανέβη στο ηλιακωτόν της πύλης επάνω εις το τείχος, εσήκωσε τα μάτια του και παρετήρησε. Αίφνης είδε να τρέχη προς την κατεύθυνσίν του ενας άνδρας μόνος του.

Β Βασ. 18,25 - καὶ ἀνεβόησεν ὁ σκοπὸς καὶ ἀπήγγειλε τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεύς· εἰ μόνος ἐστίν, εὐαγγελία ἐν τῷ στόματι αὐτοῦ. καὶ ἐπορεύετο πορευόμενος καὶ ἐγγίζων.

Β Βασ. 18,25 - Εφώναξεν ο σκοπός και ανήγγειλε τούτο στον βασιλέα. Ο βασιλεύς είπεν· “εάν είναι μόνος του, έχει ασφαλώς κάποιον ευχάριστον πληροφορίαν να μας αναγγείλη”. Ο άνθρωπος αυτός έτρεχε και επλησίαζε.

Β Βασ. 18,26 - καὶ εἶδεν ὁ σκοπὸς ἄνδρα ἕτερον τρέχοντα, καὶ ἐβόησεν ὁ σκοπὸς πρὸς τῇ πύλῃ καὶ εἶπε· καὶ ἰδοὺ ἀνὴρ ἕτερος τρέχων μόνος. καὶ εἶπεν ὁ βασιλεύς· καί γε οὗτος εὐαγγελιζόμενος.

Β Βασ. 18,26 - Ο σκοπός είδε και άλλον κατόπιν άνθρωπον να τρέχη και εφώναξε προς τον βασιλέα, που ευρίσκετο εις την πύλην, και του είπε· “ιδού,

και άλλος άνθρωπος μόνος του τρέχει”. Ο βασιλεύς απήντησε· “και αυτός, βεβαίως, καλάς αγγελίας έχει να μας φέρη”.

Β Βασ. 18,27 - καὶ εἶπεν ὁ σκοπός· ἐγὼ ὁρῶ τὸν δρόμον τοῦ πρώτου ὡς δρόμον Ἀχιμάας υἱοῦ Σαδώκ. καὶ εἶπεν ὁ βασιλεύς· ἀνὴρ ἀγαθὸς οὗτος καί γε εἰς εὐαγγελίαν ἀγαθὴν ἐλεύσεται.

Β Βασ. 18,27 - Ο σκοπός προσέθεσε· “εγώ βλέπω τον πρώτον να τρέχη, όπως τρέχει ο Αχιμάας, ο υιός του Σαδώκ”. Είπε δε προς αυτόν ο βασιλεύς· “καλός άνθρωπος είναι αυτός και έρχεται, δια να μας φέρη ασφαλώς κάποιον καλήν είδησιν”.

Β Βασ. 18,28 - καὶ ἐβόησεν Ἀχιμάας καὶ εἶπε πρὸς τὸν βασιλέα· εἰρήνη· καὶ προσεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ Θεός σου, ὃς ἀπέκλεισε τοὺς ἄνδρας τοὺς ἐπαραμένους τὴν χεῖρα αὐτῶν ἐν τῷ κυρίῳ μου τῷ βασιλεῖ.

Β Βασ. 18,28 - Ο Αχιμάας έφθασε και εφώναξε και είπε στον βασιλέα· “ειρήνη”. Προσεκύνησε τον βασιλέα μέχρις εδάφους και είπεν· “ας έχη δόξαν Κυριος ο Θεός σου, ο οποίος εξεδίωζε τους ανθρώπους, που είχαν σηκώσει το χέρι των εναντίον σου του κυρίου μου και βασιλέως”.

Β Βασ. 18,29 - καὶ εἶπεν ὁ βασιλεύς· εἰρήνη τῷ παιδαρίῳ τῷ Ἀβεσσαλώμ; καὶ εἶπεν Ἀχιμάας· εἶδον τὸ πλῆθος τὸ μέγα τοῦ ἀποστεῖλαι τὸν δοῦλον τοῦ βασιλέως Ἰωὰβ καὶ τὸν δοῦλόν σου, καὶ οὐκ ἔγνων τί ἐκεῖ.

Β Βασ. 18,29 - Ο βασιλεύς αμέσως τον ηρώτησε· “το παιδί μου, ο Αβεσσαλώμ, είναι καλά;” Ο Αχιμάας απήντησε· “είδα πολύ πλήθος ανθρώπων, όταν ο Ιωάβ, ο δούλος του βασιλέως έστειλεν εμέ τον δούλον σου, να έλθω προς σέ. Δεν γνωρίζω, τι ακριβώς έγινεν εκεί”.

Β Βασ. 18,30 - καὶ εἶπεν ὁ βασιλεύς· ἐπίστρεψον, στηλώθητι ὧδε· καὶ ἐπεστράφη καὶ ἔστη.

Β Βασ. 18,30 - Είπεν ο βασιλεύς· “παραμέρισε και στάσου εκεί όρθιος”. Ο Αχιμάας εστράφη προς τα εκεί και εστάθη όρθιος.

Β Βασ. 18,31 - καὶ ἰδοὺ ὁ Χουσὶ παρεγένετο καὶ εἶπε τῷ βασιλεῖ· εὐαγγελισθήτω ὁ κύριός μου ὁ βασιλεύς, ὅτι ἔκρινέ σοι Κύριος σήμερον ἐκ χειρὸς πάντων τῶν ἐπεγειρομένων ἐπὶ σέ.

Β Βασ. 18,31 - Ιδού, ότι έφθασε και ο Χουσί, ο οποίος είπεν στον βασιλέα· “ας μάθη ο κύριός μου, ο βασιλεύς, την καλήν και ευχάριστον αγγελίαν. Οτι ο Κυριος έβγαλε σήμερον δικαίαν απόφασιν και σε απήλλαξεν από τας χείρας όλων εκείνων, οι οποίοι είχαν εξεγερθή εναντίον σου”.

Β Βασ. 18,32 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὸν Χουσί· εἰ εἰρήνη τῷ παιδαρίῳ τῷ Ἀβεσσαλώμ; καὶ εἶπεν ὁ Χουσί· γένοιντο ὡς τὸ παιδάριον οἱ ἐχθροὶ τοῦ κυρίου μου τοῦ βασιλέως καὶ πάντες, ὅσοι ἐπανέστησαν ἐπ᾿ αὐτὸν εἰς κακά.

Β Βασ. 18,32 - Ο βασιλεύς ηρώτησε τον Χουσί· “τι κάνει το παιδί μου, ο Αβεσσαλώμ;” Ο Χουσί απήντησεν· “οι εχθροί, οι ιδικοί σου, του κυρίου μου και βασιλέως μου, και γενικώς όλοι όσοι εστασίασαν εναντίον σου, δια να σου κάμουν κακόν, ας έχουν την τύχην του παιδιού σου του Αβεσσαλώμ”.

Β Βασ. 18,33 - καὶ ἐταράχθη ὁ βασιλεὺς καὶ ἀνέβη εἰς τὸ ὑπερῷον τῆς πύλης καὶ ἔκλαυσε· καὶ οὕτως εἶπεν ἐν τῷ πορεύεσθαι αὐτόν· υἱέ μου Ἀβεσσαλώμ, υἱέ μου, υἱέ μου Ἀβεσσαλώμ, τίς δῴη τὸν θάνατόν μου ἀντὶ σοῦ; ἐγὼ ἀντὶ σοῦ, Ἀβεσσαλώμ, υἱέ μου υἱέ μου.

Β Βασ. 18,33 - Εταράχθη ο βασιλεύς, ανέβηκεν στο δωμάτιον, το οποίον ευρίσκετο επάνω από την πύλην, και έκλαυσε. Και καθώς ανέβαινε προς το δωμάτιον αυτό έλεγε· “παιδί μου Αβεσσαλώμ, παιδί μου, Αβεσσαλώμ παιδί μου, διατί να μη αποθάνω εγώ αντί για σένα; Εγώ έπρεπε να αποθάνω Αβεσσαλώμ, υιέ μου, υιέ μου” !

Β ΒΑΣΙΛΕΙΩΝ 19

Β Βασ. 19,1 - Καὶ ἀνηγγέλη τῷ Ἰωὰβ λέγοντες· ἰδοὺ ὁ βασιλεὺς κλαίει καὶ πενθεῖ ἐπὶ Ἀβεσσαλώμ.

Β Βασ. 19,1 - Ηλθον προς τον Ιωάβ μερικοί και του ανήγγειλαν· “ιδού, ο βασιλεύς μας πενθεί και κλαίει δια τον θάνατον του Αβεσσαλώμ”.

Β Βασ. 19,2 - καὶ ἐγένετο ἡ σωτηρία ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς πένθος παντὶ τῷ λαῷ, ὅτι ἤκουσεν ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων, ὅτι λυπεῖται ὁ βασιλεὺς ἐπὶ τῷ υἱῷ αὐτοῦ.

Β Βασ. 19,2 - Ετσι δε η ημέρα εκείνη της νίκης και της σωτηρίας μετεβλήθη δι' όλον τον λαόν εις πένθος, διότι ήκουσεν ότι ο βασιλεύς λυπείται δια τον φονευθέντα υιόν του.

Β Βασ. 19,3 - καὶ διεκλέπτετο ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν, καθὼς διακλέπτεται ὁ λαὸς οἱ αἰσχυνόμενοι ἐν τῷ αὐτοὺς φεύγειν ἐν τῷ πολέμῳ.

Β Βασ. 19,3 - Ο στρατός, αντί να εισέλθη θριαμβευτικώς κατά την ημέραν εκείνην εις την πόλιν, εισήρχετο ωσάν κλέπτης κρυφά κρυφά, σαν στρατός, ο οποίος ήτο εντροπιασμένος, διότι είχεν ηττηθή και φύγει ενώπιον του εχθρού κατά τον πόλεμον.

Β Βασ. 19,4 - καὶ ὁ βασιλεὺς ἔκρυψε τὸ πρόσωπον αὐτοῦ. καὶ ἔκραξεν ὁ βασιλεὺς φωνῇ μεγάλῃ λέγων· υἱέ μου Ἀβεσσαλώμ, Ἀβεσσαλὼμ υἱέ μου.

Β Βασ. 19,4 - Ο βασιλεύς Δαυίδ εσκέπασε το πρόσωπον αυτού και έκραξε με φωνήν μεγάλην λέγων· “παιδί μου Αβεσσαλώμ, Αβεσσαλώμ παιδί μου” !

Β Βασ. 19,5 - καὶ εἰσῆλθεν Ἰωὰβ πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον καὶ εἶπε· κατῄσχυνας σήμερον τὰ πρόσωπα πάντων τῶν δούλων σου τῶν

ἐξαιρουμένων σε σήμερον καὶ τὴν ψυχὴν τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου καὶ τὴν ψυχὴν τῶν γυναικῶν σου καὶ τῶν παλλακῶν σου,

Β Βασ. 19,5 - Ο Ιωάβ εισήλθεν στον οίκον, όπου ευρίσκετο ο βασιλεύς, και είπε προς αυτόν· “κατεντρόπιασες σήμερον όλους ημάς τους ανθρώπους σου, οι οποίοι έσωσαν σήμερα την ζωήν σου, την ζωήν των παιδιών και θυγατέρων σου, την ζωήν των γυναικών σου και των γυναικών της δευτέρας σειράς.

Β Βασ. 19,6 - τοῦ ἀγαπᾶν τοὺς μισοῦντάς σε καὶ μισεῖν τοὺς ἀγαπῶντάς σε καὶ ἀνήγγειλας σήμερον ὅτι οὐκ εἰσὶν οἱ ἄρχοντές σου, οὐδὲ παῖδες· ὅτι ἔγνωκα σήμερον ὅτι εἰ Ἀβεσσαλὼμ ἔζη, πάντες ἡμεῖς σήμερον νεκροί, ὅτι τότε τὸ εὐθὲς ἦν ἐν ὀφθαλμοῖς σου.

Β Βασ. 19,6 - Και τούτο, διότι φαίνεται ότι αγαπάς εκείνους, οι οποίοι σε μισούν, και μισείς εκείνους, οι οποίοι σε αγαπούν. Διότι έδειξες σήμερον, ότι καμμίαν αξίαν δεν έχουν δια σε οι άρχοντες και οι δούλοι σου ενώπιον του στασιαστού παιδιού σου. Εγώ όμως ξεύρω, ότι αν εζούσε ο Αβεσσαλώμ σήμερον, όλοι ημείς θα είμεθα νεκροί. Το γεγονός δε αυτό θα ήτο ευχάριστον ενώπιόν σου !

Β Βασ. 19,7 - καὶ νῦν ἀναστὰς ἔξελθε καὶ λάλησον εἰς τὴν καρδίαν τῶν δούλων σου, ὅτι ἐν Κυρίῳ ὤμοσα ὅτι εἰ μὴ ἐκπορεύσῃ σήμερον, εἰ αὐλισθήσεται ἀνὴρ μετὰ σοῦ τὴν νύκτα ταύτην· καὶ ἐπίγνωθι σεαυτῷ καὶ κακόν σοι τοῦτο ὑπὲρ πᾶν τὸ κακὸν τὸ ἐπελθόν σοι ἐκ νεότητός σου ἕως τοῦ νῦν.

Β Βασ. 19,7 - Λοιπόν, σήκω τώρα, έβγα από την οικίαν και μίλησε λόγια ευχάριστα εις τις καρδιές των δούλων σου, διότι έκαμα όρκον στον Κυριον ότι, εάν δεν βγης σήμερον από την οικίαν σου, δεν θα μείνη μαζή σου ούτε ενας άνθρωπός σου κατά την νύκτα αυτήν. Σκέψου τον εαυτόν σου και εννόησε καλά ότι το κακόν, το οποίον θα κάμης εις σε τον ίδιον με την στάσιν σου αυτήν, θα είναι χειρότερον από όσα κακά συνήντησες από τα νειάτα σου μέχρι σήμερα”.

Β Βασ. 19,8 - καὶ ἀνέστη ὁ βασιλεὺς καὶ ἐκάθισεν ἐν τῇ πύλῃ, καὶ πᾶς ὁ λαὸς ἀνήγγειλαν λέγοντες· ἰδοὺ ὁ βασιλεὺς κάθηται ἐν τῇ πύλῃ· καὶ εἰσῆλθε πᾶς ὁ λαὸς κατὰ πρόσωπον τοῦ βασιλέως ἐπὶ τὴν πύλην. καὶ Ἰσραὴλ ἔφυγεν ἀνὴρ εἰς τὰ σκηνώματα αὐτοῦ.

Β Βασ. 19,8 - Ο βασιλεύς εσηκώθη και εκάθισεν εις την πύλην της πόλεως. Εγινε δε γνωστόν αυτό εις όλον τον λαόν, διότι ανήγγειλαν προς αυτόν· “ιδού, ο βασιλεύς κάθεται εις την πύλην της πόλεως”. Ολος ο στρατός παρήλασεν ενώπιον του βασιλέως και εισήλθεν εις την πόλιν. Οι δε εναπομείναντες στρατιώται του Αβεσσαλώμ επέστρεψαν ο καθένας εις την πόλιν του.

Β Βασ. 19,9 - Καὶ ἦν πᾶς ὁ λαὸς κρινόμενος ἐν πάσαις φυλαῖς Ἰσραὴλ λέγοντες· ὁ βασιλεὺς Δαυὶδ ἐῤῥύσατο ἡμᾶς ἀπὸ πάντων τῶν ἐχθρῶν ἡμῶν, καὶ αὐτὸς ἐξείλετο ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων, καὶ νῦν πέφευγεν ἀπὸ τῆς γῆς καὶ ἀπὸ τῆς βασιλείας αὐτοῦ, καὶ ἀπὸ Ἀβεσσαλώμ·

Β Βασ. 19,9 - Ολοι οι Ισραηλίται των βορείων φυλών του Ισραήλ συνεζήτουν ζωηρά μεταξύ των τα γεγονότα του πολέμου και έλεγαν· “ο βασιλεύς Δαυίδ μας εγλύτωσεν από όλους τους εχθρούς μας. Μας έβγαλεν από τα χέρια και την δουλείαν των αλλοφύλων και τώρα έχει εγκαταλείψει την χώραν και το βασίλειόν του εξ αιτίας του πολέμου του Αβεσσαλώμ.

Β Βασ. 19,10 - καὶ Ἀβεσσαλώμ, ὃν ἐχρίσαμεν ἐφ᾿ ἡμῶν, ἀπέθανεν ἐν τῷ πολέμῳ, καὶ νῦν ἱνατί ὑμεῖς κωφεύετε τοῦ ἐπιστρέψαι τὸν βασιλέα; καὶ τὸ ῥῆμα παντὸς Ἰσραὴλ ἦλθε πρὸς τὸν βασιλέα.

Β Βασ. 19,10 - Ο δε Αβεσσαλώμ, τον οποίον ημείς ανεκηρύξαμεν βασιλέα, εφονεύθη κατά τον πόλεμον και δεν υπάρχει πλέον. Διατί κλείετε τα αυτιά σας και δεν ομιλείτε να επανέλθη βασιλεύς μας ο Δαυίδ;” Αι σκέψεις, τα λόγια και αι αποφάσεις αυταί των Ισραηλιτών έφθασαν εις τα αυτιά του βασιλέως.

Β Βασ. 19,11 - καὶ ὁ βασιλεὺς Δαυὶδ ἀπέστειλε πρὸς Σαδὼκ καὶ πρὸς Ἀβιάθαρ τοὺς ἱερεῖς λέγων· λαλήσατε πρὸς τοὺς πρεσβυτέρους Ἰούδα λέγοντες· ἱνατί γίνεσθε ἔσχατοι τοῦ ἐπιστρέψαι τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ; καὶ λόγος παντὸς Ἰσραὴλ ἦλθε πρὸς τὸν βασιλέα.

Β Βασ. 19,11 - Ο βασιλεύς Δαυίδ έστειλε τότε και εκάλεσε τους αρχιερείς, τον Σαδώκ και τον Αβιάθαρ, και τους είπε να ομιλήσουν εκ μέρους του προς τους πρεσβυτέρους του Ιούδα και να τους είπουν· “διατί σεις μένετε τελευταίοι στο να προσκαλέσετε τον βασιλέα Δαυίδ, να επανέλθη στον οίκον του; Η πρόσκλησις όλων των άλλων Ισραηλιτών, που κατοικούν εις τα βόρεια μέρη της Παλαιστίνης, έχει φθάσει πλέον εις τα αυτιά του βασιλέως. Προς αυτήν την φυλήν του Ιούδα θα είπετε ακόμη.

Β Βασ. 19,12 - ἀδελφοί μου ὑμεῖς, ὀστᾶ μου καὶ σάρκες μου ὑμεῖς, ἱνατί γίνεσθε ἔσχατοι τοῦ ἐπιστρέψαι τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ;

Β Βασ. 19,12 - Σεις είσθε αδελφοί μου, οστούν εκ των οστέων μου και σαρξ εκ της σαρκός μου. Διατί τώρα μένετε τελευταίοι στο να προσκαλέσετε τον βασιλέα σας, τον Δαυίδ, να επιστρέψη στον οίκον του;

Β Βασ. 19,13 - καὶ τῷ Ἀμεσσαΐ ἐρεῖτε· οὐχὶ ὀστοῦν μου καὶ σάρξ μου σύ; καὶ νῦν τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη, εἰ μὴ ἄρχων δυνάμεως ἔσῃ ἐνώπιον ἐμοῦ πάσας τὰς ἡμέρας ἀντὶ Ἰωάβ.

Β Βασ. 19,13 - Εις δε τον Αμεσσαΐ θα πήτε εκ μέρους μου· Και συ δεν είσαι σαρξ εκ της σαρκός μου και οστούν εκ των οστέων μου; Σου ορκίζομαι ότι είθε να με τιμωρήση ο Θεός με οιανδήποτε τιμωρίαν θέλει, αν εγώ δεν σε

καταστήσω αντί του Ιωάβ αρχιστράτηγον όλης της δυνάμεώς μου καθ' όλον το διάστημα, κατά το οποίον εγώ ζω”.

Β Βασ. 19,14 - καὶ ἔκλινε τὴν καρδίαν παντὸς ἀνδρὸς Ἰούδα ὡς ἀνδρὸς ἑνός, καὶ ἀπέστειλαν πρὸς τὸν βασιλέα λέγοντες· ἐπιστράφηθι σὺ καὶ πάντες οἱ δοῦλοί σου.

Β Βασ. 19,14 - Ο Δαυίδ είλκυσε με τον τρόπον αυτόν τας καρδίας όλων των ανδρών της φυλής Ιούδα, ως εάν ήσαν ένας μόνον άνθρωπος. Αυτοί, λοιπόν, έστειλαν ανθρώπους προς τον βασιλέα Δαυίδ και του είπαν· “σε παρακαλούμεν να επανέλθης εις την Ιερουσαλήμ και όλοι ημείς θα είμεθα δούλοι σου”.

Β Βασ. 19,15 - καὶ ἐπέστρεψεν ὁ βασιλεὺς καὶ ἦλθεν ἕως τοῦ Ἰορδάνου, καὶ ἄνδρες Ἰούδα ἦλθαν εἰς Γάλγαλα τοῦ πορεύεσθαι εἰς ἀπαντὴν τοῦ βασιλέως διαβιβάσαι τὸν βασιλέα τὸν Ἰορδάνην.

Β Βασ. 19,15 - Ο βασιλεύς επέστρεψεν από την Μαναΐμ, όπου ευρίσκετο, και έφθασε μέχρι του Ιορδάνου. Οι άνδρες της φυλής του Ιούδα ήλθαν εις Γαλγαλα, δια να μεταβούν από εκεί εις προϋπάντησιν του βασιλέως και να τον βοηθήσουν να διαβή τον Ιορδάνην.

Β Βασ. 19,16 - καὶ ἐτάχυνε Σεμεΐ υἱὸς Γηρὰ υἱοῦ τοῦ Ἰεμινὶ ἐκ Βαουρὶμ καὶ κατέβη μετὰ ἀνδρὸς Ἰούδα εἰς ἀπαντὴν τοῦ βασιλέως Δαυὶδ

Β Βασ. 19,16 - Ο Σεμεΐ, υιός του Γηρά, ο Βενιαμίτης, έσπευσε και κατέβη από την περιοχήν Βαουρίμ, μαζή με ένα άνδρα της φυλής Ιούδα, δια να προαπαντήση τον βασιλέα.

Β Βασ. 19,17 - καὶ χίλιοι ἄνδρες μετ᾿ αὐτοῦ ἐκ τοῦ Βενιαμὶν καὶ Σιβὰ τὸ παιδάριον τοῦ οἴκου Σαοὺλ καὶ πεντεκαίδεκα υἱοὶ αὐτοῦ μετ᾿ αὐτοῦ καὶ εἴκοσι δοῦλοι αὐτοῦ μετ᾿ αὐτοῦ καὶ κατεύθυναν τὸν Ἰορδάνην ἔμπροσθεν τοῦ βασιλέως

Β Βασ. 19,17 - Μαζή του δε ήσαν και χίλιοι άνδρες από την φυλήν Βενιαμίν. Εκεί επίσης ήλθεν και ο νεαρός δούλος της οικογενείας του Σαούλ, ο Σιβά, και μαζή με αυτόν οι δέκα πέντε υιοί του και οι είκοσι δούλοι του. Αυτοί κατηυθύνθησαν στον Ιορδάνην ποταμόν εμπρός από τον βασιλέα Δαυίδ.

Β Βασ. 19,18 - καὶ ἐλειτούργησαν τὴν λειτουργίαν τοῦ διαβιβάσαι τὸν βασιλέα, καὶ διέβη ἡ διάβασις τοῦ ἐξεγεῖραι τὸν οἶκον τοῦ βασιλέως καὶ τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ Σεμεΐ υἱὸς Γηρὰ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐνώπιον τοῦ βασιλέως διαβαίνοντος αὐτοῦ τὸν Ἰορδάνην

Β Βασ. 19,18 - Ειργάσθησαν δε προθύμως και ευσυνειδήτως, δια να διαβιβάσουν τον βασιλέα εις την απέναντι όχθην. Και χάρις εις αυτούς διέβη ολόκληρος ο οίκος του βασιλέως, διότι αυτοί ευσυνειδήτως ειργάσθησαν ενώπιον του βασιλέως Δαυίδ. Οταν δε ο Δαυίδ και η οικογένειά του απεβιβάσθησαν εις την απέναντι όχθην, ο Σεμεΐ, ο υιός του Γηρά, προσέπεσεν ενώπιον του βασιλέως Δαυίδ,

Β Βασ. 19,19 - καὶ εἶπε πρὸς τὸν βασιλέα· μὴ δὴ λογισάσθω ὁ κύριός μου ἀνομίαν καὶ μὴ μνησθῇς ὅσα ἠδίκησεν ὁ παῖς σου ἐν τῇ ἡμέρᾳ, ᾗ ὁ κύριός μου ἐξεπορεύετο ἐξ Ἱερουσαλήμ, τοῦ θέσθαι τὸν βασιλέα εἰς τὴν καρδίαν αὐτοῦ,

Β Βασ. 19,19 - και είπε προς αυτόν· "ο κύριός μου και ο βασιλεύς μου ας μη μου καταλογίση το σφάλμα, το οποίον έκαμα. Ας λησμονήση την αδικίαν, την οποίαν διέπραξα εγώ ο δούλος σου προς σε κατά την ημέραν εκείνην, κατά την οποίαν συ ο κύριός μου έφευγες από την Ιερουσαλήμ. Μη κρατήσης κακίαν εις την καρδίαν σου δια το σφάλμα μου.

Β Βασ. 19,20 - ὅτι ἔγνω ὁ δοῦλός σου ὅτι ἐγὼ ἥμαρτον, καὶ ἰδοὺ ἐγὼ ἦλθον σήμερον πρότερος παντὸς Ἰσραὴλ καὶ οἴκου Ἰωσὴφ τοῦ καταβῆναί με εἰς ἀπαντὴν τοῦ κυρίου μου τοῦ βασιλέως.

Β Βασ. 19,20 - Διότι εγώ ο δούλος σου ανεγνώρισα ότι ημάρτησα τότε απέναντί σου. Και ιδού, ήλθα σήμερον εγώ, πρώτος από όλους τους άνδρας των Ισραηλιτών της φυλής του Ιωσήφ, δια να προαπαντήσω σέ, τον κύριόν μου και βασιλέα μου".

Β Βασ. 19,21 - καὶ ἀπεκρίθη Ἀβεσσὰ υἱὸς Σαρουΐας καὶ εἶπε· μὴ ἀντὶ τούτου οὐ θανατωθήσεται Σεμεΐ, ὅτι κατηράσατο τὸν χριστὸν Κυρίου;

Β Βασ. 19,21 - Ο Αβεσσά, ο υιός της Σαρουΐας, αγανακτημένος είπε τότε· "μήπως εξ αιτίας της μεταμελείας του αυτής δεν θα θανατωθή ο Σεμεΐ, αυτός ο οποίος κατηράσθη τον βασιλέα, που ο Κυριος τον είχε χρίσει;"

Β Βασ. 19,22 - καὶ εἶπε Δαυίδ· τί ἐμοὶ καὶ ὑμῖν, υἱοὶ Σαρουΐας, ὅτι γίνεσθέ μοι σήμερον εἰς ἐπίβουλον; σήμερον οὐ θανατωθήσεταί τις ἀνὴρ ἐξ Ἰσραήλ, ὅτι οὐκ οἶδα εἰ σήμερον βασιλεύω ἐγὼ ἐπὶ τὸν Ἰσραήλ.

Β Βασ. 19,22 - Ο Δαυίδ είπε προς αυτόν· "διατί επεμβαίνετε εις τα ιδικά μου ζητήματα, παιδιά της Σαρουΐας; Διότι με το διάβημά σας αυτό γίνεσθε σήμερον ολέθριοι και κακοί σύμβουλοι και αιτία σκανδάλου. Σημερον κανένας ανήρ από τους Ισραηλίτας δεν θα θανατωθή, διότι δεν διαφεύγει την αντίληψίν μου, ότι σήμερον εγώ ξαναγίνομαι βασιλεύς του Ισραηλιτικού λαού".

Β Βασ. 19,23 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Σεμεΐ· οὐ μὴ ἀποθάνῃς· καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεύς.

Β Βασ. 19,23 - Ο βασιλεύς είπε προς τον Σεμεΐ "Δεν θα φονευθής". Και έδωσεν εις αυτόν επί τούτω όρκον.

Β Βασ. 19,24 - καὶ Μεμφιβοσθὲ υἱὸς υἱοῦ Σαοὺλ κατέβη εἰς ἀπαντὴν τοῦ βασιλέως· καὶ οὐκ ἐθεράπευσε τοὺς πόδας αὐτοῦ, οὐδὲ ὠνυχίσατο, οὐδὲ ἐποίησε τὸν μύστακα αὐτοῦ, καὶ τὰ ἱμάτια αὐτοῦ οὐκ ἀπέπλυνεν ἀπὸ τῆς ἡμέρας, ἧς ἀπῆλθεν ὁ βασιλεύς, ἕως τῆς ἡμέρας ἧς αὐτὸς παρεγένετο ἐν εἰρήνῃ.

Β Βασ. 19,24 - Εις προαπάντησιν του βασιλέως Δαυίδ κατέβη και ο Μεμφιβοσθέ, ο έγγονος του Σαούλ. Αυτός δια να δείξη το πένθος του, από την ημέραν, κατά την οποίαν ο βασιλεύς Δαυίδ έφυγεν από την Ιερουσαλήμ διωκόμενος από τον Αβεσσαλώμ, μέχρι σήμερον που νικητής και ειρηνικός επέστρεψε, δεν περιποιήθηκε τα πόδια του, δεν έκοψε τα νύχια του, δεν έφτιασε τον μύστακά του, ούτε και έπλυνε τα ενδύματά του.

Β Βασ. 19,25 - καὶ ἐγένετο ὅτε εἰσῆλθεν εἰς Ἱερουσαλὴμ εἰς ἀπάντησιν τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· τί ὅτι οὐκ ἐπορεύθης μετ᾿ ἐμοῦ, Μεμφιβοσθέ;

Β Βασ. 19,25 - Οταν, λοιπόν, αυτός εισήλθεν εις την Ιερουσαλήμ εις προαπάντησιν του βασιλέως, τον ηρώτησεν ο Δαυίδ· "Μεμφιβοσθέ, γιατί δεν ήλθες μαζή μου;"

Β Βασ. 19,26 - καὶ εἶπε πρὸς αὐτὸν Μεμφιβοσθέ· κύριέ μου βασιλεῦ, ὁ δοῦλός μου παρελογίσατό με, ὅτι εἶπεν ὁ παῖς σου αὐτῷ· ἐπίσαξόν μοι τὴν ὄνον καὶ ἐπιβῶ ἐπ᾿ αὐτὴν καὶ πορεύσομαι μετὰ τοῦ βασιλέως, ὅτι χωλὸς ὁ δοῦλός σου·

Β Βασ. 19,26 - Ο Μεμφιβοσθέ απήντησε· "κύριέ μου και βασιληά μου, με εξηπάτησεν ο δούλος μου. Διότι εγώ, ο δούλος σου, είπα προς αυτόν· Ετοίμασέ μου την όνον, δια να αναβώ εις αυτήν και να ακολουθήσω τον βασιλέα. Οπως γνωρίζεις εγώ ο δούλος σου είμαι χωλός.

Β Βασ. 19,27 - καὶ μεθώδευσεν ἐν τῷ δούλῳ σου πρὸς τὸν κύριόν μου τὸν βασιλέα, καὶ ὁ κύριός μου ὁ βασιλεὺς ὡς ἄγγελος τοῦ Θεοῦ, καὶ ποίησον τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου·

Β Βασ. 19,27 - Ο δούλος μου όμως εκείνος με διέβαλεν εις σε τον κύριόν μου, τον βασιλέα μου. Συ όμως ο κύριός μου και βασιλεύς μου έχεις φωτεινήν κρίσιν σαν άγγελος Θεού. Θα διακρίνης τα πράγματα. Καμε λοιπόν ο,τι φαίνεται καλόν ενώπιόν σου.

Β Βασ. 19,28 - ὅτι οὐκ ἦν πᾶς ὁ οἶκος τοῦ πατρός μου, ἀλλ᾿ ἢ ὅτι ἄνδρες θανάτου τῷ κυρίῳ μου τῷ βασιλεῖ, καὶ ἔθηκας τὸν δοῦλόν σου ἐν τοῖς ἐσθίουσι τὴν τράπεζάν σου· καὶ τί ἔστι μοι ἔτι δικαίωμα καὶ τοῦ κεκραγέναι με ἔτι πρὸς τὸν βασιλέα;

Β Βασ. 19,28 - Αλλωστε όλη η οικογένεια του πατρός μου, επομένως και εγώ, είμεθα άξιοι θανάτου ενώπιόν σου, του κυρίου μου και βασιλέως μου. Συ όμως έκαμες εμέ τον δούλον σου ομοτράπεζόν σου. Ποίον, λοιπόν, δικαίωμα έχω να ομιλώ και να κράζω ακόμη προς σε τον βασιλέα;"

Β Βασ. 19,29 - καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ἱνατί λαλεῖς ἔτι τοὺς λόγους σου; εἶπον· σὺ καὶ Σιβὰ διελεῖσθε τὸν ἀγρόν.

Β Βασ. 19,29 - Ο βασιλεύς του απήντησε· "διατί κατατρίβεσαι εις τόσους πολλούς λόγους; Συ και ο Σιβά θα μοιρασθήτε τους αγρούς του βασιλικού οίκου του Σαούλ".

Β Βασ. 19,30 - καὶ εἶπε Μεμφιβοσθὲ πρὸς τὸν βασιλέα· καί γε τὰ πάντα λαβέτω μετὰ τὸ παραγενέσθαι τὸν κύριόν μου τὸν βασιλέα ἐν εἰρήνῃ εἰς τὸν οἶκον αὐτοῦ.

Β Βασ. 19,30 - Ο Μεμφιβοσθέ είπε προς τον βασιλέα· “ας τα λάβη όλα ο Σιβά. Δι' εμέ είναι αρκετόν το γεγονός ότι ο βασιλεύς μου επέστρεψεν υγιής και νικητής στον οίκον αυτού, εις την Ιερουσαλήμ”.

Β Βασ. 19,31 - καὶ Βερζελλὶ ὁ Γαλααδίτης κατέβη ἐκ Ῥωγελλὶμ καὶ διέβη μετὰ τοῦ βασιλέως τὸν Ἰορδάνην ἐκπέμψαι αὐτὸν τὸν Ἰορδάνην·

Β Βασ. 19,31 - Ο Βερζελλί ο Γαλααδίτης κατέβη και αυτός από την Ρωγελλίμ, επέρασε μαζή με τον βασιλέα τον Ιορδάνην, δια να προπέμψη και κατευοδώση αυτόν πέραν από τον Ιορδάνην.

Β Βασ. 19,32 - καὶ Βερζελλὶ ἀνὴρ πρεσβύτερος σφόδρα, υἱὸς ὀγδοήκοντα ἐτῶν, καὶ αὐτὸς διέθρεψε τὸν βασιλέα ἐν τῷ οἰκεῖν αὐτὸν ἐν Μαναΐμ, ὅτι ἀνὴρ μέγας ἦν σφόδρα.

Β Βασ. 19,32 - Ο Βερζελλί αυτός ήτο γέρων, προχωρημένος πολύ εις την ηλικίαν, ογδοήκοντα ετών. Αυτός είχε διαθρέψει τον βασιλέα Δαυίδ καθ' όλον το διάστημα, που ο Δαυίδ κατοικούσε εις την Μαναΐμ, διότι ήτο άνθρωπος πολύ πλούσιος.

Β Βασ. 19,33 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Βερζελλί· σὺ διαβήσῃ μετ᾿ ἐμοῦ, καὶ διαθρέψω τὸ γῆράς σου μετ᾿ ἐμοῦ ἐν Ἱερουσαλήμ.

Β Βασ. 19,33 - Ο βασιλεύς είπε προς τον Βερζελλί· “έλα κοντά μου, δια να ζήσης μαζή μου. Εγώ θα σε διαθρέψω εις τα γηρατεία σου εις την Ιερουσαλήμ”.

Β Βασ. 19,34 - καὶ εἶπε Βερζελλὶ πρὸς τὸν βασιλέα· πόσαι ἡμέραι ἐτῶν ζωῆς μου, ὅτι ἀναβήσομαι μετὰ τοῦ βασιλέως εἰς Ἱερουσαλήμ;

Β Βασ. 19,34 - Ο Βερζελλί είπε προς τον βασιλέα· “πόσαι ημέραι ακόμη ζωής μου υπολείπονται, ώστε να σκεφθώ και να αποφασίσω να ανεβώ μαζή με τον βασιλέα μου εις την Ιερουσαλήμ;

Β Βασ. 19,35 - υἱὸς ὀγδοήκοντα ἐτῶν ἐγώ εἰμι σήμερον· μὴ γνώσομαι ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ; εἰ γεύσεται ὁ δοῦλός σου ἔτι ὃ φάγομαι ἢ πίομαι; ἢ ἀκούσομαι ἔτι φωνὴν ᾀδόντων καὶ ᾀδουσῶν; καὶ ἱνατί ἔσται ἔτι ὁ δοῦλός σου εἰς φορτίον ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα;

Β Βασ. 19,35 - Είμαι τώρα άνθρωπος ογδοήκοντα ετών. Μηπως, τάχα, μπορώ εις αυτήν την ηλικίαν να αισθανθώ και να απολαύσω τα ευχάριστα και τα δυσάρεστα της ζωής; Μηπως δηλαδή εγώ ο δούλος σου ημπορώ να χαρώ εκείνο, που θα φάγω η θα πιώ; Η ημπορώ να ακούσω πλέον άσματα από τραγουδιστάς και τραγουδιστρίας εις την βασιλικήν σου πόλιν; Επειτα διατί να γίνω εγώ, ο δούλος σου, βάρος εις σε τον κύριόν μου, τον βασιλέα μου;

Β Βασ. 19,36 - ὡς βραχὺ διαβήσεται ὁ δοῦλός σου τὸν Ἰορδάνην μετὰ τοῦ βασιλέως· καὶ ἱνατί ἀνταποδίδωσί μοι ὁ βασιλεὺς τὴν ἀνταπόδοσιν ταύτην;

Β Βασ. 19,36 - Επί ολίγον διάστημα πέραν του Ιορδάνου εγώ ο δούλος σου θα συνοδεύσω σε, τον βασιλέα μου. Διατί ο βασιλεύς μου θέλει να με αμείψη με τέτοιον τρόπον, ώστε να με απομακρύνη από την πατρίδα μου;

Β Βασ. 19,37 - καθισάτω δὴ ὁ δοῦλός σου καὶ ἀποθανοῦμαι ἐν τῇ πόλει μου παρὰ τῷ τάφῳ τοῦ πατρὸς μου καὶ τῆς μητρός μου· καὶ ἰδοὺ ὁ δοῦλός σου Χαμαὰμ διαβήσεται μετὰ τοῦ κυρίου μου τοῦ βασιλέως, καὶ ποίησον αὐτῷ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου.

Β Βασ. 19,37 - Δος μου, σε παρακαλώ, την άδειαν να μείνω εγώ, ο δούλος σου, και να αποθάνω εις την πόλιν μου και να ταφώ στον τάφον του πατρός μου και της μητρός μου. Και ιδού, ο δούλος σου ο Χαμαάμ, το παιδί μου, θα έλθη αντί εμού μαζή με σέ, τον κύριόν μου και βασιλέα μου. Καμε εις αυτόν ο,τι σου φαίνεται καλόν”.

Β Βασ. 19,38 - καὶ εἶπεν ὁ βασιλεύς· μετ᾿ ἐμοῦ διαβήτω Χαμαάμ, κἀγὼ ποιήσω αὐτῷ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου καὶ πάντα, ὅσα ἂν ἐκλέξῃ ἐπ᾿ ἐμοί, ποιήσω σοι.

Β Βασ. 19,38 - Ο βασιλεύς είπε· “μάλιστα· ας έλθη μαζή μου ο Χαμαάμ και εγώ θα πράξω δι' αυτόν ο,τι συ νομίσης και εκλέξης καλόν. Και όλα, όσα μου ζητήσης δι' αυτόν θα τα κάμω, προς χάριν ιδικήν σου”.

Β Βασ. 19,39 - καὶ διέβη πᾶς ὁ λαὸς τὸν Ἰορδάνην, καὶ ὁ βασιλεὺς διέβη· καὶ κατεφίλησεν ὁ βασιλεὺς τὸν Βερζελλὶ καὶ εὐλόγησεν αὐτόν, καὶ ἐπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

Β Βασ. 19,39 - Ολος ο στρατός και ο λαός διέβησαν τον Ιορδάνην. Κατόπιν δε διέβη αυτόν και ο βασιλεύς. Ο βασιλεύς κατεφίλησε τον Βερζελλί και τον ηυλόγησεν. Ο Βερζελλί επέστρεψεν εις τον τόπον του.

Β Βασ. 19,40 - καὶ διέβη ὁ βασιλεὺς εἰς Γάλγαλα, καὶ Χαμαὰμ διέβη μετ᾿ αὐτοῦ, καὶ πᾶς ὁ λαὸς Ἰούδα διαβαίνοντες μετὰ τοῦ βασιλέως καί γε τὸ ἥμισυ τοῦ λαοῦ Ἰσραήλ.

Β Βασ. 19,40 - Επέρασεν ο βασιλεύς από τον Ιορδάνην ποταμόν εις Γαλγαλα. Ο Χαμαάμ επέρασε μαζή με αυτόν. Μαζή με τον βασιλέα ήσαν και όλοι οι άνδρες της φυλής του Ιούδα και το ήμισυ από τους άνδρας του Ιραηλιτικού λαού.

Β Βασ. 19,41 - καὶ ἰδοὺ πᾶς ἀνὴρ Ἰσραὴλ παρεγένοντο πρὸς τὸν βασιλέα καὶ εἶπε πρὸς τὸν βασιλέα· τί ὅτι ἔκλεψάν σε οἱ ἀδελφοὶ ἡμῶν ἀνὴρ Ἰούδα καὶ διεβίβασαν τὸν βασιλέα καὶ τὸν οἶκον αὐτοῦ τὸν Ἰορδάνην καὶ πάντες ἄνδρες Δαυὶδ μετ᾿ αὐτοῦ;

Β Βασ. 19,41 - Απροσδοκήτως όλοι οι άνδρες των δέκα φυλών του Ισραήλ παρουσιάσθησαν ενώπιον του βασιλέως και του είπαν· “διατί οι

αδελφοί μας, οι άνδρες της φυλής του Ιούδα, σαν να σε ήρπασαν κρυφίως και διεπέρασαν σε και ολόκληρον την οικογένειάν σου και την συνοδείαν σου δια του Ιορδάνου ποταμού;”

Β Βασ. 19,42 - καὶ ἀπεκρίθη πᾶς ἀνὴρ Ἰούδα πρὸς ἄνδρα Ἰσραὴλ καὶ εἶπαν· διότι ἐγγίζει πρός με ὁ βασιλεύς· καὶ ἱνατί οὕτως ἐθυμώθης περὶ τοῦ λόγου τούτου; μὴ βρώσει ἐφάγαμεν ἐκ τοῦ βασιλέως, ἢ δόμα ἔδωκεν ἢ ἄρσιν ᾖρεν ἡμῖν;

Β Βασ. 19,42 - Ολοι τότε οι άνδρες της φυλής του Ιούδα απήντησαν προς τους άνδρας των άλλων Ισραηλιτικών φυλών· “αυτό έγινε, διότι ο βασιλεύς από απόψεως συγγενείας και καταγωγής ευρίσκεται πλησιέστερον προς ημάς. Διατί λοιπόν σεις επικραθήκατε και εθυμώσατε; Μηπως, τάχα, ημείς εζήσαμεν μέχρι σήμερον με έξοδα του βασιλέως; Η μας απήλλαξεν από κανένα φόρον;”

Β Βασ. 19,43 - καὶ ἀπεκρίθη ἀνὴρ Ἰσραὴλ τῷ ἀνδρὶ Ἰούδα καὶ εἶπε· δέκα χεῖρές μοι ἐν τῷ βασιλεῖ, καὶ πρωτότοκος ἐγὼ ἢ σύ, καί γε ἐν τῷ Δαυίδ εἰμι ὑπὲρ σέ· καὶ ἱνατί τοῦτο ὕβρισάς με καὶ οὐκ ἐλογίσθη ὁ λόγος μου πρῶτός μοι τοῦ ἐπιστρέψαι τὸν βασιλέα ἐμοί; καὶ ἐσκληρύνθη ὁ λόγος ἀνδρὸς Ἰούδα ὑπὲρ τὸν λόγον ἀνδρὸς Ἰσραήλ.

Β Βασ. 19,43 - Οι άνδρες των άλλων φυλών είπαν τότε προς τους άνδρας της φυλής Ιούδα· “ημείς είμεθα δέκα φυλαι ενώπιον του βασιλέως. Μεταξύ ημών υπάρχουν και αι δέκα φυλαί των μεγαλυτέρων υιών του Ιακώβ. Από απόψεως δε αριθμού και δικαιωμάτων είμεθα ενώπιον του Δαυίδ ανώτεροι από σας, της φυλής του Ιούδα. Διατί, λοιπόν, μας κατεφρονήσατε και δεν εσκεφθήκατε να καλέσετε και ημάς, οι οποίοι πρώτοι είχομεν κάνει λόγον δια την επιστροφήν του βασιλέως;” Εκ μέρους των ανδρών της φυλής Ιούδα εδόθη απάντησις σκληροτέρα από τα λόγια, που είπαν οι άνδρες των άλλων ισραηλιτικών φυλών.

Β ΒΑΣΙΛΕΙΩΝ 20

Β Βασ. 20,1 - Καὶ ἐκεῖ ἐπικαλούμενος υἱὸς παράνομος, καὶ ὄνομα αὐτῷ Σαβεέ, υἱὸς Βοχορὶ ἀνὴρ ὁ Ἰεμινί, καὶ ἐσάλπισε τῇ κερατίνῃ καὶ εἶπεν· οὐκ ἔστιν ἡμῖν μερὶς ἐν Δαυὶδ οὐδὲ κληρονομία ἡμῖν ἐν τῷ υἱῷ Ἰεσσαί· ἀνὴρ εἰς τὰ σκηνώματά σου, Ἰσραήλ.

Β Βασ. 20,1 - Εζούσε εις τα Γαλγαλα, γνωστός από όλους ως κακός άνθρωπος, κάποιος ονομαζόμενος Σαβεέ, υιός του Βοχόρ, που ανήκεν εις την φυλήν του Βενιαμίν. Αυτός με την κερατίνην σάλπιγγα εσάλπισε και είπε προς τους Ισραηλίτας· “ημείς δεν έχομεν καμμίαν σχέσιν με τον Δαυίδ, ούτε και υπάρχει καμμιά κληρονομία μεταξύ ημών και του παιδιού αυτού του Ιεσσαί. Δια τούτο κάθε Ισραηλίτης ας επανέλθη στο σπίτι του”.

Β Βασ. 20,2 - καὶ ἀνέβη πᾶς ἀνὴρ Ἰσραὴλ ἀπὸ ὄπισθεν Δαυὶδ ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί. καὶ ἀνὴρ Ἰούδα ἐκολλήθη τῷ βασιλεῖ αὐτῶν ἀπὸ τοῦ Ἰορδάνου καὶ ἕως Ἱερουσαλήμ.

Β Βασ. 20,2 - Ολοι οι άλλοι Ισραηλίται απεμακρύνθησαν και απεστάτησαν από τον Δαυίδ και ηκολούθησαν τον Σαβεέ, τον υιόν αυτόν του Βοχόρ. Η φυλή όμως του Ιούδα, η οποία εξετείνετο από τον Ιορδάνην ποταμόν μέχρι και της Ιερουσαλήμ, προσεκολλήθη στενώτερον στον βασιλέα Δαυίδ.

Β Βασ. 20,3 - καὶ εἰσῆλθε Δαυὶδ εἰς οἶκον αὐτοῦ εἰς Ἱερουσαλήμ, καὶ ἔλαβεν ὁ βασιλεὺς τὰς δέκα γυναῖκας τὰς παλλακὰς αὐτοῦ, ἃς ἀφῆκε φυλάσσειν τὸν οἶκον, καὶ ἔδωκεν αὐτὰς ἐν οἴκῳ φυλακῆς καὶ διέθρεψεν αὐτὰς καὶ πρὸς αὐτὰς οὐκ εἰσῆλθε, καὶ ἦσαν συνεχόμεναι ἕως θανάτου αὐτῶν, χῆραι ζῶσαι.

Β Βασ. 20,3 - Ο Δαυίδ επέστρεψεν εις την Ιερουσαλήμ και εισήλθεν στον οίκον του. Ελαβε τας δέκα συζύγους του της δευτέρας σειράς, τας οποίας, όταν έφευγεν, είχεν αφήσει να φυλάσσουν τον οίκον του. Εκλεισεν αυτάς εις κάποιον άλλον οίκον. Εδιδεν όλα όσα τους εχρειάζοντο εις διατροφήν των, αλλά αυτός ποτέ δεν ήλθεν πλέον εις συνάφειαν με αυτάς. Εμειναν έτσι αυταί κλεισμέναι μέχρι θανάτου των, ως εάν ήσαν ζωντοχήραι.

Β Βασ. 20,4 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀμεσσαΐ· βόησόν μοι τὸν ἄνδρα Ἰούδα τρεῖς ἡμέρας, σὺ δὲ αὐτοῦ στῆθι.

Β Βασ. 20,4 - Ο βασιλεύς Δαυίδ είπε προς τον Αμεσσαΐ· φρόντισε να κληθούν και να παρουσιασθούν εδώ όλοι οι άνδρες της φυλής Ιούδα εντός τριών ημερών, Συ δε έλα κατόπιν και στάσου εδώ".

Β Βασ. 20,5 - καὶ ἐπορεύθη Ἀμεσσαΐ τοῦ βοῆσαι τὸν Ἰούδαν καὶ ἐχρόνισεν ἀπὸ τοῦ καιροῦ, οὗ ἐτάξατο αὐτῷ Δαυίδ.

Β Βασ. 20,5 - Ο Αμεσσαΐ ανεχώρησε, δια να προσκαλέση την φυλήν του Ιούδα. Εβράδυνεν όμως από την προθεσμίαν, που του έδωκεν ο Δαυίδ.

Β Βασ. 20,6 - καὶ εἶπε Δαυὶδ πρὸς Ἀμεσσαΐ· νῦν κακοποιήσει ἡμᾶς Σαβεὲ υἱὸς Βοχορὶ ὑπὲρ Ἀβεσσαλώμ, καὶ νῦν σὺ λάβε μετὰ σεαυτοῦ τοὺς παῖδας τοῦ κυρίου σου καὶ καταδίωξον ὀπίσω αὐτοῦ, μήποτε ἑαυτῷ εὕρῃ πόλεις ὀχυρὰς καὶ σκιάσει τοὺς ὀφθαλμοὺς ἡμῶν.

Β Βασ. 20,6 - Οταν επέστρεψε, του είπεν ο Δαυίδ· "μάθε ότι ο Σαβεέ, ο υιός Βοχορί, έχει κατά νουν να επιφέρη τώρα εναντίον μας κακά μεγαλύτερα από εκείνα, τα οποία μας επροξένησεν ο Αβεσσαλώμ. Λοιπόν, συ τώρα πάρε μαζή σου το στράτευμα του κυρίου σου και καταδίωξε αυτόν, μήπως τυχόν εύρη πόλεις οχυράς και μας διαφύγη και μας φέρη εις δύσκολον θέσιν.

Β Βασ. 20,7 - καὶ ἐξῆλθον ὀπίσω αὐτοῦ οἱ ἄνδρες Ἰωὰβ καὶ ὁ Χερεθὶ καὶ ὁ Φελεθὶ καὶ πάντες οἱ δυνατοὶ καὶ ἐξῆλθον ἐξ Ἱερουσαλὴμ διῶξαι ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί.

Β Βασ. 20,7 - Μαζή με τον Αμεσσαΐ ηκολούθησαν και οι άνδρες του αρχιστρατήγου Ιωάβ, οι σωματοφύλακες του Δαυίδ Χερεθί και Φελεθί, όλοι γενναίοι άνδρες. Αυτοί εξήλθαν από την Ιερουσαλήμ, δια να καταδιώξουν τον Σαβεέ, τον Βοχορίτην.

Β Βασ. 20,8 - καὶ αὐτοὶ παρὰ τῷ λίθῳ τῷ μεγάλῳ τῷ ἐν Γαβαών, καὶ Ἀμεσσαΐ εἰσῆλθεν ἔμπροσθεν αὐτῶν. καὶ Ἰωὰβ περιεζωσμένος μανδύαν τὸ ἔνδυμα αὐτοῦ καὶ ἐπ᾿ αὐτῷ ἐζωσμένος μάχαιραν ἐζευγμένην ἐπὶ τῆς ὀσφύος αὐτοῦ ἐν κολεῷ αὐτῆς, καὶ ἡ μάχαιρα ἐξῆλθε καὶ ἔπεσε.

Β Βασ. 20,8 - Οταν ο στρατός του Δαυίδ ευρίσκετο εις την Γαβαών, πλησίον του μεγάλου βράχου, παρουσιάσθη ενώπιον αυτών ο Αμεσσαΐ. Ο Ιωάβ είχε φορέσει τον στρατιωτικόν του μανδύαν και επάνω από τον μανδύαν αυτόν είχε ζωσθή μάχαιραν, που εκρέματο από την μέσην του. Η δε μάχαιρα ήτο εντός της θήκης της. Η μάχαιρα όμως εβγήκεν από την θήκην και έπεσε κατά γης.

Β Βασ. 20,9 - καὶ εἶπεν Ἰωὰβ τῷ Ἀμεσσαΐ· εἰ ὑγιαίνεις σὺ ἀδελφέ; καὶ ἐκράτησεν ἡ χεὶρ ἡ δεξιὰ Ἰωὰβ τοῦ πώγωνος Ἀμεσσαΐ τοῦ καταφιλῆσαι αὐτόν.

Β Βασ. 20,9 - Ο Ιωάβ είπεν στον Αμεσσαΐ· “αδελφέ μου, τι κάνεις; Πως είναι η υγεία σου;” Ο Ιωάβ επήρε με την δεξιάν του χείρα τον πώγωνα του Αμεσσαΐ εις ένδειξιν αγάπης με σκοπόν να τον φιλήση.

Β Βασ. 20,10 - καὶ Ἀμεσσαΐ οὐκ ἐφυλάξατο τὴν μάχαιραν τὴν ἐν τῇ χειρὶ Ἰωάβ, καὶ ἔπαισεν αὐτὸν ἐν αὐτῇ Ἰωὰβ εἰς τὴν ψόαν, καὶ ἐξεχύθη ἡ κοιλία αὐτοῦ εἰς τὴν γῆν, καὶ οὐκ ἐδευτέρωσεν αὐτῷ, καὶ ἀπέθανε. καὶ Ἰωὰβ καὶ Ἀβεσσαΐ ὁ ἀδελφὸς αὐτοῦ ἐδίωξεν ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί·

Β Βασ. 20,10 - Και ο Αμεσσαΐ δεν επρόσεξε την μάχαιραν, την οποίαν εν τω μεταξύ είχεν λάβει από την γην ο Ιωάβ. Ο Ιωάβ εκτύπησε με αυτήν τον Αμεσσαΐ εκεί παρά τους νεφρούς και εχύθηκαν τα έντερα της κοιλίας του εις την γην. Δεν εκτύπησε δε δια δευτέραν φοράν, διότι ο Αμεσσαΐ απέθανεν αμέσως. Ετσι ο Ιωάβ και ο αδελφός του ο Αβεσσαΐ κατεδίωξαν τον Σαβεέ τον Βοχορίτην.

Β Βασ. 20,11 - καὶ ἀνὴρ ἔστη ἐπ᾿ αὐτὸν τῶν παιδαρίων Ἰωὰβ καὶ εἶπε· τίς ὁ βουλόμενος Ἰωὰβ καὶ τίς τοῦ Δαυίδ, ὀπίσω Ἰωάβ;

Β Βασ. 20,11 - Ενας από τους άνδρας του Ιωάβ εστάθη όρθιος επάνω από το πτώμα του Αμεσσαΐ και έλεγεν στους διερχομένους· “αυτός που θέλει τον Ιωάβ και αγαπά τον Δαυίδ, ας ακολουθήση τον Ιωάβ και ας φύγη από εδώ”.

Β Βασ. 20,12 - καὶ Ἀμεσσαΐ πεφυρμένος ἐν τῷ αἵματι ἐν μέσῳ τῆς τρίβου, καὶ εἶδεν ἀνήρ, ὅτι εἱστήκει πᾶς ὁ λαός, καὶ ἀπέστρεψε τὸν Ἀμεσσαΐ ἐκ τῆς τρίβου εἰς ἀγρὸν καὶ ἐπέῤῥιψεν ἐπ᾿ αὐτὸν ἱμάτιον, καθότι εἶδε πάντα τὸν ἐρχόμενον ἐπ᾿ αὐτὸν ἑστηκότα·

Β Βασ. 20,12 - Ο Αμεσσαΐ ήτο βουτηγμένος στο αίμα του και ευρίσκετο στο μέσον της οδού. Ο άνθρωπος αυτός του Ιωάβ είδεν, ότι όλος ο λαός είχε μαζευθή και εστέκετο εκεί. Δια τούτο απεμάκρυνε το πτώμα του Αμεσσαΐ από την οδόν, το μετέφερεν εις κάποιο χωράφι και έρριψεν επάνω εις αυτό ένα ιμάτιον, δια να το σκεπάση. Αυτό έκαμε, διότι έβλεπεν ότι όλος ο λαός ήρχετο προς το σώμα του Αβεσσαΐ και ίστατο όρθιος κοντά του.

Β Βασ. 20,13 - ἡνίκα δὲ ἔφθασεν ἐκ τῆς τρίβου, παρῆλθε πᾶς ἀνὴρ Ἰσραὴλ ὀπίσω Ἰωάβ τοῦ διῶξαι ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί.

Β Βασ. 20,13 - Οταν δε μετεφέρθη το πτώμα από την οδόν στο χωράφι, όλοι οι Ισραηλίται έφυγαν και ηκολούθησαν τον Ιωάβ, δια να καταδιώξουν τον Σαβεέ τον Βοχορίτην.

Β Βασ. 20,14 - καὶ διῆλθεν ἐν πάσαις φυλαῖς Ἰσραὴλ εἰς Ἀβὲλ καὶ εἰς Βαιθμαχὰ καὶ πάντες ἐν Χαῤῥί, καὶ ἐξεκκλησιάσθησαν, καὶ ἦλθον κατόπισθεν αὐτοῦ.

Β Βασ. 20,14 - Ο Ιωάβ από την περιοχήν εκείνην επέρασεν όλας τας φυλάς του Ισραήλ μέχρι την πόλιν Αβέλ και Βαιθμαχά. Εις Χαρρί συνεκεντρώθησαν όλοι οι οπαδοί του Ιωάβ και τον ηκολούθησαν.

Β Βασ. 20,15 - καὶ παρεγενήθησαν καὶ ἐπολιόρκουν ἐπ᾿ αὐτὸν τὴν Ἀβὲλ καὶ Βαιθμαχὰ καὶ ἐξέχεαν πρόσχωμα πρὸς τὴν πόλιν, καὶ ἔστη ἐν τῷ προτειχίσματι, καὶ πᾶς ὁ λαὸς μετά Ἰωὰβ ἐνοοῦσαν καταβαλεῖν τὸ τεῖχος.

Β Βασ. 20,15 - Επλησίασαν οι στρατιώται του Ιωάβ προς την Αβέλ και την Βαιθααχά εναντίον του Σαβεέ και έστησαν πολιορκίαν. Ανήγειραν γύρω από την πόλιν Αβέλ ένα τεχνητόν λόφον έως το ύψος, που είχε το τείχος της πόλεως. Ολος ο στρατός μαζή με τον Ιωάβ προσεπάθησαν να καταστρέψουν τα τείχη της πόλεως.

Β Βασ. 20,16 - καὶ ἐβόησε γυνὴ σοφὴ ἐκ τοῦ τείχους καὶ εἶπεν· ἀκούσατε ἀκούσατε, εἴπατε δὴ πρὸς Ἰωάβ· ἔγγισον ἕως ὧδε, καὶ λαλήσω πρὸς αὐτόν.

Β Βασ. 20,16 - Τοτε μία συνετή γυναίκα εφώναξεν από το τείχος και είπεν· “ακούσατε, ακούσατε, και είπατε αυτά, σας παρακαλώ, στον Ιωάβ· Ας έλθη έως εδώ ο Ιωάβ, δια να ομιλήσω προς αυτόν”.

Β Βασ. 20,17 - καὶ προσήγγισε πρὸς αὐτήν, καὶ εἶπεν ἡ γυνή· εἰ σὺ εἶ Ἰωάβ; ὁ δὲ εἶπεν· ἐγώ. εἶπε δὲ αὐτῷ· ἄκουσον τοὺς λόγους τῆς δούλης σου. καὶ εἶπεν Ἰωάβ· ἀκούω ἐγώ εἰμι.

Β Βασ. 20,17 - Ο Ιωάβ επλησίασε πράγματι προς αυτήν και η γυνή εκείνη του είπε· “συ είσαι ο Ιωάβ;” Εκείνος απήντησε· “ναι, εγώ είμαι”. Η γυναίκα του είπε· “άκουσε τα λόγια της δούλης σου”. Ο Ιωάβ είπε· “ακούω. Πρόθυμος είμαι να σε ακούσω”.

Β Βασ. 20,18 - καὶ εἶπε λέγουσα· λόγον ἐλάλησαν ἐν πρώτοις λέγοντες· ἠρωτημένος ἠρωτήθη ἐν τῇ Ἀβὲλ καὶ ἐν Δὰν εἰ ἐξέλιπον ἃ ἔθεντο οἱ πιστοὶ

τοῦ Ἰσραήλ, ἐρωτῶντες ἐπερωτήσουσιν ἐν Ἀβέλ, καὶ οὕτως εἰ ἐξέλιπον.

Β Βασ. 20,18 - Η γυναίκα του είπε τα εξής· “λέγεται από αρχαιοτέραν εποχήν· Οσοι ηρώτησαν την Αβέλ και την Δαν, εάν ηστόχησαν στους σκοπούς των οι πιστοί Ισραηλίται, δεν κατεστράφησαν. Αυτοί που θα ερωτήσουν την Αβέλ, πριν η πραγματοποιήσουν μίαν των απόφασιν, δεν θα χαθούν.

Β Βασ. 20,19 - ἐγώ εἰμι εἰρηνικὰ τῶν στηριγμάτων Ἰσραήλ, σὺ δὲ ζητεῖς θανατῶσαι πόλιν καὶ μητρόπολιν ἐν Ἰσραήλ· ἱνατί καταποντίζεις κληρονομίαν Κυρίου;

Β Βασ. 20,19 - Εγώ και η πόλις μου είμεθα τα ειρηνικά στηρίγματα του Ισραηλιτικού λαού. Συ επιδιώκεις να καταστρέψης την πόλιν αυτήν, η οποία είναι μήτηρ και άρχουσα εις πολλάς άλλας πόλστου Ισραηλιτικού λαού. Διατί λοιπόν θέλεις να καταποντίσης εις όλεθρον κληρονομίαν, η οποία ανήκει στον Κυριον;”

Β Βασ. 20,20 - καὶ ἀπεκρίθη Ἰωάβ, καὶ εἶπεν· ἵλεώς μοι ἵλεώς μοι, εἰ καταποντιῶ καὶ εἰ διαφθερῶ·

Β Βασ. 20,20 - Απήντησεν ο Ιωάβ και είπε· “δι' όνομα Θεού, εάν εγώ θέλω να εξαφανίσω η και να καταστρέψω την πόλιν σας.

Β Βασ. 20,21 - οὐχ οὕτως ὁ λόγος, ὅτι ἀνὴρ ἐξ ὄρους Ἐφραίμ, Σαβεὲ υἱὸς Βοχορὶ ὄνομα αὐτοῦ, καὶ ἐπῇρε τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν βασιλέα Δαυίδ· δότε αὐτόν μοι μόνον, καὶ ἀπελεύσομαι ἀπάνωθεν τῆς πόλεως. καὶ εἶπεν ἡ γυνὴ πρὸς Ἰωάβ· ἰδοὺ ἡ κεφαλὴ αὐτοῦ ῥιφήσεται πρὸς σὲ διὰ τοῦ τείχους.

Β Βασ. 20,21 - Ο λόγος, δια τον οποίον ευρίσκομαι εδώ, είναι, διότι ζητώ κάποιον άνθρωπον εκ του όρους Εφραίμ, ο οποίος ονομάζεται Σαβεέ ο Βοχορίτης και ο οποίος επανεστάτησεν εναντίον του βασιλέως Δαυίδ. Παραδώσατέ μας αυτόν μόνον, και ημείς θα φύγωμεν από την πόλιν σας”. Η γυναίκα εκείνη είπε προς τον Ιωάβ· “ιδού, η κεφαλή του Σαβεέ θα ριφθή προς σε από το τείχος”.

Β Βασ. 20,22 - καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς πάντα τὸν λαὸν καὶ ἐλάλησε πρὸς πᾶσαν τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῆς· καὶ ἀφεῖλε τὴν κεφαλὴν Σαβεὲ υἱοῦ Βοχορί. καὶ ἀφεῖλε καὶ ἔβαλε πρὸς Ἰωάβ. καὶ ἐσάλπισεν ἐν κερατίνῃ, καὶ διεσπάρησαν ἀπὸ τῆς πόλεως ἀπ᾽ αὐτοῦ ἀνὴρ εἰς τὰ σκηνώματα αὐτοῦ· καὶ Ἰωὰβ ἀπέστρεψεν εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα.

Β Βασ. 20,22 - Η γυναίκα αυτή επέστρεψεν εις την πόλιν και ωμίλησεν εις όλους τους κατοίκους με την σύνεσιν και την σοφίαν, η οποία την διέκρινε. Οι Ισραηλίται επείσθησαν εις αυτήν, εφόνευσαν τον Σαβεέ, απέκοψαν την κεφαλήν του και την έριψαν προς τον Ιωάβ. Ο Ιωάβ τότε εσάλπισε με την κερατίνην σάλπιγγα να καταπαύση ο πόλεμος. Οι στρατιώται του απεμακρύνθησαν από την πόλιν, μετέβησαν εις τας οικίας των, ο δε Ιωάβ επέστρεψεν στον βασιλέα Δαυίδ εις την Ιερουσαλήμ.

Β Βασ. 20,23 - Καὶ ὁ Ἰωὰβ πρὸς πάσῃ τῇ δυνάμει Ἰσραήλ, καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τοῦ Χερεθὶ καὶ ἐπὶ τοῦ Φελεθί,

Β Βασ. 20,23 - Ο Ιωάβ ήτο αρχιστράτηγος όλου του στρατού του Δαυίδ. Ο Βαναίας δέ, ο υιός του Ιωδαέ, ήτο αρχηγός της σωματοφυλακής του βασιλέως των Χερεθί και Φελεθί.

Β Βασ. 20,24 - καὶ Ἀδωνιρὰμ ἐπὶ τοῦ φόρου, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺθ ἀναμιμνήσκων,

Β Βασ. 20,24 - Ο Αδωνιράμ ήτο ο επιβλέπων επί των φόρων. Ο Ιωσαφάτ, ο υιός του Αχιλούθ, ήτο επί των υπομνημάτων, ο αρχειοφύλαξ.

Β Βασ. 20,25 - καὶ Σουσὰ γραμματεύς, καὶ Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς,

Β Βασ. 20,25 - Ο Σουσά ήτο γενικός γραμματεύς, ο δε Σαδώκ και ο Αβιάθαρ ήσαν αρχιερείς.

Β Βασ. 20,26 - καί γε Ἰρὰς ὁ Ἰαρὶν ἦν ἱερεὺς τοῦ Δαυίδ.

Β Βασ. 20,26 - Ο Ιράς, ο υιός του Ιαρίν, ήτο ιερεύς και σύμβουλος του βασιλέως Δαυίδ.

Β ΒΑΣΙΛΕΙΩΝ 21

Β Βασ. 21,1 - Καὶ ἐγένετο λιμὸς ἐν ταῖς ἡμέραις Δαυὶδ τρία ἔτη, ἐνιαυτὸς ὁ ἐχόμενος ἐνιαυτοῦ, καὶ ἐζήτησε Δαυὶδ τὸ πρόσωπον Κυρίου. καὶ εἶπε Κύριος· ἐπὶ Σαοὺλ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ ἀδικία ἐν θανάτῳ αἱμάτων αὐτοῦ, περὶ οὗ ἐθανάτωσε τοὺς Γαβαωνίτας.

Β Βασ. 21,1 - Κατά την εποχήν, που εβασίλευσεν ο Δαυίδ, έγινεν ένας λιμός, ο οποίος διήρκεσεν επί τρία κατά συνέχειαν έτη. Ο Δαυίδ παρεκάλεσε τον Κυριον να μάθη την αιτίαν της θλίψεως αυτής. Ο Κυριος απήντησεν· “η θλίψις αυτή είναι τιμωρία, η οποία επήλθεν εναντίον σας εξ αιτίας του Σαούλ και της οικογενείας του. Δια την παρασπονδίαν, την οποίαν έκαμαν αυτοί, όταν έχυσαν αίματα των κατοίκων της Γαβαών”.

Β Βασ. 21,2 - καὶ ἐκάλεσεν ὁ βασιλεὺς Δαυὶδ τοὺς Γαβαωνίτας καὶ εἶπε πρὸς αὐτούς· καὶ οἱ Γαβαωνῖται οὐχ υἱοὶ Ἰσραήλ εἰσιν, ὅτι ἀλλ᾽ ἢ ἐκ τοῦ λείμματος τοῦ Ἀμοῤῥαίου, καὶ οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν αὐτοῖς· καὶ ἐζήτησε Σαοὺλ πατάξαι αὐτοὺς ἐν τῷ ζηλῶσαι αὐτὸν τοὺς υἱοὺς Ἰσραὴλ καὶ Ἰούδα.

Β Βασ. 21,2 - Ο βασιλεύς Δαυίδ προσεκάλεσε τους Γαβαωνίτας και τους είπε· (οι Γαβαωνίται, ως γνωστόν, δεν ήσαν Ισραηλίται αλλά υπολείμματα από το γένος των Αμορραίων. Προς αυτούς δε είχαν ορκισθή οι υιοί του Ισραήλ να μη τους θανατώσουν; Ο Σαούλ όμως προς χάριν, τάχα, των Ισραηλιτών και των Ιουδαίων επεζήτησε να τους εξόντώση).

Β Βασ. 21,3 - καὶ εἶπε Δαυὶδ πρὸς τοὺς Γαβαωνίτας· τί ποιήσω ἡμῖν καὶ ἐν τίνι ἐξιλάσομαι καὶ εὐλογήσετε τὴν κληρονομίαν Κυρίου;

Β Βασ. 21,3 - Ο Δαυίδ, λοιπόν, είπε προς τους Γαβαωνίτας· “τι θέλετε να κάμω προς σας και με ποιό μέσον θα ημπορέσω να εξιλεωθώ απέναντί σας, δια να ευχηθήτε, ώστε να σωθή ο λαός αυτός, που είναι κληρονομία του Κυρίου;”

Β Βασ. 21,4 - καὶ εἶπαν αὐτῷ οἱ Γαβαωνῖται· οὐκ ἔστιν ἡμῖν ἀργύριον ἢ χρυσίον μετὰ Σαοὺλ καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ οὐκ ἔστιν ἡμῖν ἀνὴρ θανατῶσαι ἐν Ἰσραήλ.

Β Βασ. 21,4 - Είπαν προς αυτόν οι Γαβαωνίται· “η διαφορά μας δεν είναι ζήτημα αργυρίου η χρυσίου με τον Σαούλ και με τους απογόνους του, και ούτε ημείς έχομεν την αξίωσιν να θανατωθή οιοσδήποτε από τους άλλους Ισραηλίτας”.

Β Βασ. 21,5 - καὶ εἶπε· τί ὑμεῖς λέγετε καὶ ποιήσω ὑμῖν; καὶ εἶπαν πρὸς τὸν βασιλέα· ὁ ἀνήρ, ὃς συνετέλεσεν ἐφ᾿ ἡμᾶς καὶ ἐδίωξεν ἡμᾶς, ὃς παρελογίσατο ἐξολοθρεῦσαι ἡμᾶς· ἀφανίσωμεν αὐτόν, τοῦ μή ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ·

Β Βασ. 21,5 - Ο Δαυίδ τους ηρώτησε· “λοιπόν, τι λέγετε σεις, ότι πρέπει να κάμω;” Οι Γαβαωνίται απήντησαν προς τον βασιλέα· “ο άνθρωπος εκείνος, ο οποίος μας εξηφάνισε και μας κατεδίωξε, αυτός ο οποίος εσκέφθη να μας εξολοθρεύση, πρέπει να θανατωθή από ημάς και να μη έχη πλέον θέσιν εις την χώραν του Ισραηλιτικού λαού.

Β Βασ. 21,6 - δότω ἡμῖν ἑπτὰ ἄνδρας ἐκ τῶν υἱῶν αὐτοῦ, καὶ ἐξηλιάσωμεν αὐτοὺς τῷ Κυρίῳ ἐν τῷ Γαβαὼν Σαοὺλ ἐκλεκτοὺς Κυρίου. καὶ εἶπεν ὁ βασιλεύς· ἐγὼ δώσω.

Β Βασ. 21,6 - Δώστε μας, λοιπόν, επτά από τα παιδιά του Σαούλ, που σεις θα εκλέξετε, να τους κρεμάσωμεν εις την Γαβαών απέναντι του ηλίου προς εξιλέωσιν του Κυρίου”. Ο βασιλεύς Δαυίδ απήντησε· “μάλιστα εγώ θα σας τους δώσω”.

Β Βασ. 21,7 - καὶ ἐφείσατο ὁ βασιλεὺς ἐπὶ Μεμφιβοσθὲ υἱὸν Ἰωνάθαν υἱοῦ Σαοὺλ διὰ τὸν ὅρκον Κυρίου τὸν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Δαυὶδ καὶ ἀνὰ μέσον Ἰωνάθαν υἱοῦ Σαούλ·

Β Βασ. 21,7 - Ο βασιλεύς όμως ελυπήθη και δεν ηθέλησε να δώση τον Μεμφιβοσθέ, τον υιόν του Ιωνάθαν, υιού του Σαούλ. Τούτο δέ, δια τον όρκον που είχε δοθή ενώπιον του Κυρίου μεταξύ του Δαυίδ και του Ιωνάθαν, του υιού του Σαούλ.

Β Βασ. 21,8 - καὶ ἔλαβεν ὁ βασιλεὺς τοὺς δύο υἱοὺς Ῥεσφὰ θυγατρὸς Ἀϊᾶ, οὓς ἔτεκε τῷ Σαούλ, τὸν Ἑρμωνὶ καὶ τὸν Μεμφιβοσθέ, καὶ τοὺς πέντε υἱοὺς τῆς Μιχὸλ θυγατρὸς Σαούλ, οὓς ἔτεκε τῷ Ἐσδριὴλ υἱῷ Βερζελλὶ τῷ Μουλαθί,

Β Βασ. 21,8 - Επήρε λοιπόν ο βασιλεύς τους δύο υιούς της Ρεσφά, θυγατρός του Αϊά, τον Ερμωνί και τον Μεμφιβοσθέ, τους οποίους εγέννησεν αυτή ως σύζυγος του Σαούλ. Επίσης επήρε τους πέντε υιούς της Μιχόλ

θυγατρός του Σαούλ, τους οποίους εγέννησεν αυτή ως σύζυγος του Εσδριήλ του υιού Βερζελλί, ο οποίος κατήγετο από τον Μουλά.

Β Βασ. 21,9 - καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν Γαβαωνιτῶν, καὶ ἐξηλίασαν αὐτοὺς ἐν τῷ ὄρει ἔναντι Κυρίου, καὶ ἔπεσαν οἱ ἑπτὰ αὐτοὶ ἐπὶ τὸ αὐτό· καὶ αὐτοὶ δὲ ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ ἐν πρώτοις, ἐν ἀρχῇ θερισμοῦ κριθῶν.

Β Βασ. 21,9 - Αυτούς τους επτά παρέδωσεν ο βασιλεύς εις τα χέρια των Γαβαωνιτών, οι οποίοι και τους εκρέμασαν στο όρος ενώπιον του Κυρίου. Και οι επτά αυτοί εθανατώθησαν μαζή. Εξετελέσθησαν δε κατά την εποχήν, κατά την οποίαν γίνεται ο πρώτος θερισμός, ο θερισμός της κριθής, εις την αρχήν μάλιατα του θερισμού της κριθής.

Β Βασ. 21,10 - καὶ ἔλαβε Ῥεσφὰ θυγάτηρ Ἀϊᾶ τὸν σάκκον καὶ ἔπηξεν αὐτῇ πρὸς τὴν πέτραν ἐν ἀρχῇ θερισμοῦ κριθῶν, ἕως ἔσταξεν ἐπ᾿ αὐτοὺς ὕδωρ ἐκ τοῦ οὐρανοῦ, καὶ οὐκ ἔδωκε τὰ πετεινὰ τοῦ οὐρανοῦ καταπαῦσαι ἐπ᾿ αὐτοὺς ἡμέρας καὶ τὰ θηρία τοῦ ἀγροῦ νυκτός.

Β Βασ. 21,10 - Η Ρεσφά, η θυγάτηρ Αϊά, συντετριμμένη από την μητρικήν λύπην, επήρε ενά σάκκον, τον ήπλωσε εις κάποιον βράχον, τον έκαμε σκηνήν δια τον εαυτόν της και έμεινεν εκεί από τας πρώτας ημέρας του θερισμού, μέχρις ότου έπεσε βροχή από τον ουρανόν. Εκεί δε μένουσα δεν αφήκε τα πτηνά του ουρανού κατά την ημέραν και τα θηρία της γης κατά την νύκτα να φάγουν τα πτώματα των κρεμασθέντων παιδιών της.

Β Βασ. 21,11 - καὶ ἀπηγγέλη τῷ Δαυὶδ ὅσα ἐποίησε Ῥεσφὰ θυγάτηρ Ἀϊᾶ παλλακὴ Σαούλ· καὶ ἐξελύθησαν, καὶ κατέλαβεν αὐτοὺς Δὰν υἱὸς Ἰωὰ ἐκ τῶν ἀπογόνων τῶν γιγάντων,

Β Βασ. 21,11 - Επληροφόρησαν τον Δαυίδ αυτά, τα οποία έκαμεν Ρεσφά η θυγάτηρ Αϊά η σύζυγος δευτέρας σειράς του Σαούλ. Κατεπλάγησαν δε όλοι από την στοργήν της μητρός αυτής, ο δε Δαν, ο υιός του Ιωά, ένας από τους απογόνους των γιγάντων παρέλαβε τα κρεμασμένα πτώματα.

Β Βασ. 21,12 - καὶ ἐπορεύθη Δαυὶδ καὶ ἔλαβε τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ παρὰ τῶν ἀνδρῶν υἱῶν Ἰαβὶς Γαλαάδ, οἳ ἔκλεψαν αὐτοὺς ἐκ τῆς πλατείας Βαιθσάν, ὅτι ἔστησαν αὐτοὺς ἐκεῖ οἱ ἀλλόφυλοι ἐν τῇ ἡμέρᾳ, ᾗ ἐπάταξαν οἱ ἀλλόφυλοι τὸν Σαοὺλ ἐν Γελβουέ,

Β Βασ. 21,12 - Και ο Δαυίδ τότε μετέβη και επήρε τα οστά του Σαούλ, τα οστά του παιδιού του Ιωνάθαν από τους άνδρας της πόλεως Ιαβίς εις την περιοχήν Γαλαάδ, οι οποίοι είχον αφαιρέσει κρυφίως τα πτώματα αυτών από την πλατείαν της πόλεως Βαιθσάν. Διότι εκεί είχον κρεμάσει τον Σαούλ και τον Ιωνάθαν οι Φιλισταίοι, όταν εφόνευσαν τον Σαούλ στο όρος Γελβουέ.

Β Βασ. 21,13 - καὶ ἀνήνεγκεν ἐκεῖθεν τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ καὶ συνήγαγε τὰ ὀστᾶ τῶν ἐξηλιασμένων.

Β Βασ. 21,13 - Ο Δαυίδ επήρε και μετέφερεν από εκεί τα οστά του Σαούλ και τα οστά του Ιωνάθαν του υιού του, όπως και τα οστά των άλλων, που είχαν κρεμασθή.

Β Βασ. 21,14 - καὶ ἔθαψαν τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ καὶ τά ὀστᾶ τῶν ἡλιασθέντων ἐν γῇ Βενιαμὶν ἐν τῇ πλευρᾷ ἐν τῷ τάφῳ Κὶς τοῦ πατρὸς αὐτοῦ καὶ ἐποίησαν πάντα, ὅσα ἐνετείλατο ὁ βασιλεύς. καὶ ἐπήκουσεν ὁ Θεὸς τῇ γῇ μετὰ ταῦτα.

Β Βασ. 21,14 - Εθαψαν τα οστά του Σαούλ, τα οστά του παιδιού του Ιωνάθαν και τα οστά όσων άλλων είχαν κρεμασθή εις την χώραν της φυλής του Βενιαμίν. Αυτούς λοιπόν τους έθαψαν εις κάποιαν πλευράν στον τάφον του Κις, του πατρός του Σαούλ. Ολα αυτά έγιναν, διότι έτσι είχε διατάξει ο βασιλεύς. Ο δε Θεός κατόπιν αυτών ήκουσε την προσευχήν του Δαυίδ και απήλλαξε το βασίλειόν του από την μάστιγα του λιμού.

Β Βασ. 21,15 - Καὶ ἐγενήθη ἔτι πόλεμος τοῖς ἀλλοφύλοις μετὰ Ἰσραήλ. καὶ κατέβη Δαυὶδ καὶ οἱ παῖδες αὐτοῦ μετ᾿ αὐτοῦ καὶ ἐπολέμησαν μετὰ τῶν ἀλλοφύλων, καὶ ἐξελύθη Δαυίδ.

Β Βασ. 21,15 - Κατόπιν των γεγονότων αυτών έγινε νέος πόλεμος μεταξύ των αλλοφύλων και των Ισραηλιτών. Ελαβε δε μέρος στον πόλεμον αυτόν ο Δαυίδ μαζή με τον στρατόν του και επολέμησαν εναντίον αυτών των αλλοφύλων. Ο δε Δαυίδ πολεμών εκουράσθη.

Β Βασ. 21,16 - καὶ Ἰεσβί, ὃς ἦν ἐν τοῖς ἐκγόνοις τοῦ Ῥαφὰ καὶ ὁ σταθμὸς τοῦ δόρατος αὐτοῦ τριακοσίων σίκλων ὁλκὴ χαλκοῦ καὶ αὐτὸς περιεζωσμένος κορύνην, καὶ διενοεῖτο τοῦ πατάξαι τὸν Δαυίδ.

Β Βασ. 21,16 - Εκεί εις την μάχην, μεταξύ των εχθρών, ήτο και ο Ιεσβί, ενας από τους απογόνους του Ραφά, γίγας και αυτός. Το βάρος του χαλκίνου δόρατός του ήτο επάνω από τριακοσίους σίκλους. Είχε ζωσθή ένα φονικόν ρόπαλον και με αυτό επεχείρησε να φονεύση τον Δαυίδ.

Β Βασ. 21,17 - καὶ ἐβοήθησεν αὐτῷ Ἀβεσσὰ υἱὸς Σαρουΐας καὶ ἐπάταξε τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν αὐτόν. τότε ὤμοσαν οἱ ἄνδρες Δαυὶδ λέγοντες· οὐκ ἐξελεύσῃ ἔτι μεθ᾿ ἡμῶν εἰς πόλεμον καὶ οὐ μὴ σβέσῃς τὸν λύχνον Ἰσραήλ.

Β Βασ. 21,17 - Ο Αβεσσά όμως, ο υιός της Σαρουΐας, έσπευσε και εβοήθησε τον Δαυίδ και εκτύπησε και εφόνευσεν αυτόν τον αλλόφυλον. Τοτε οι άνδρες του Δαυίδ ωρκίσθησαν και του είπαν· “άλλην φοράν δεν θα βγης μαζή μας στον πόλεμον συ ο βασιλεύς, δια να μη φονευθής και σβήσης έτσι τον μοναδικόν αυτόν λύχνον του Ισραηλιτικού λαού”.

Β Βασ. 21,18 - καὶ ἐγενήθη μετὰ ταῦτα ἔτι πόλεμος ἐν Γὲθ μετὰ τῶν ἀλλοφύλων. τότε ἐπάταξε Σεβοχὰ ὁ Ἀστατωθὶ τὸν Σὲφ ἐν τοῖς ἐκγόνοις τοῦ Ῥαφά.

Β Βασ. 21,18 - Κατόπιν αυτών έγινε πάλιν πόλεμος εις την περιοχήν Γεθ μεταξύ των Φιλισταίων και του Ισραηλιτικού λαού. Τοτε ο Σεβοχά, ο οποίος κατήγετο από την Αστατώθ, εφόνευσε τον Σέφ, ένα από τους απογόνους του Ραφά.

Β Βασ. 21,19 - καὶ ἐγένετο ὁ πόλεμος ἐν Γὸβ μετὰ τῶν ἀλλοφύλων. καὶ ἐπάταξεν Ἐλεανὰν υἱὸς Ἀριωργὶμ ὁ Βηθλεεμίτης τὸν Γολιὰθ τὸν Γεθθαῖον, καὶ τὸ ξύλον τοῦ δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων.

Β Βασ. 21,19 - Και νέος πόλεμος έγινε μεταξύ Ισραηλιτών και αλλοφύλων εις την περιοχήν Γοβ. Εκεί ο Ελεανάν, ο υιός του Αριωργίμ, ο οποίος κατήγετο από την Βηθλεέμ, εφόνευσεν ένα γίγαντα, Γολιάθ ονόματι, τον καταγόμενον από την Γέθ, και του οποίου το ξύλον του δόρατός του ήτο σαν το αντί του αργαλειού.

Β Βασ. 21,20 - καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γέθ. καὶ ἦν ἀνὴρ μαδών, καὶ οἱ δάκτυλοι τῶν χειρῶν αὐτοῦ καὶ οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ ἓξ καὶ ἕξ, εἰκοσιτέσσαρες ἀριθμῷ, καί γε αὐτὸς ἐτέχθη τῷ Ῥαφά.

Β Βασ. 21,20 - Εγινε και άλλος πόλεμος εις την περιοχήν Γέθ. Εκεί υπήρχεν ενας ανήρ φαλακρός. Αυτός είχε εξ δάκτυλα εις κάθε του χέρι και εξ δάκτυλα εις κάθε του ποδί. Εν όλω δηλαδή είκοσι τέσσαρας δακτύλους και αυτός ήτο απόγονος του γίγαντος Ραφά.

Β Βασ. 21,21 - καὶ ὠνείδισε τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτὸν Ἰωνάθαν υἱὸς Σεμεΐ ἀδελφοῦ Δαυίδ.

Β Βασ. 21,21 - Υβριζε τον ισραηλιτικόν λαόν. Ο Ιωνάθαν, ο υιός του Σεμεΐ, αδελφού του Δαυίδ, εφόνευσεν αυτόν.

Β Βασ. 21,22 - οἱ τέσσαρες οὗτοι ἐτέχθησαν ἀπόγονοι τῶν γιγάντων ἐν Γὲθ τῷ Ῥαφὰ οἶκος, καὶ ἔπεσαν ἐν χειρὶ Δαυίδ, καὶ ἐν χειρὶ τῶν δούλων αὐτοῦ.

Β Βασ. 21,22 - Οι τέσσαρες αυτοί άνδρες ήσαν απόγονοι των γιγάντων εις την Γέθ, και ανήκον εις την οικογένειαν Ραφά. Αυτοί εφονεύθησαν με τα χέρια του Δαυίδ και με τα χέρια των στρατιωτών του.

Β ΒΑΣΙΛΕΙΩΝ 22

Β Βασ. 22,1 - Καὶ ἐλάλησε Δαυὶδ τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ᾗ ἡμέρᾳ ἐξείλετο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ,

Β Βασ. 22,1 - Εψαλε τότε ο Δαυίδ προς τον Κυριον τα λόγια της παρακάτω ωδής, όταν ο Κυριος εγλύτωσεν αυτόν από όλους τους εχθρούς του, και μάλιστα από τα χέρια του Σαούλ.

Β Βασ. 22,2 - καὶ εἶπεν· Κύριε, πέτρα μου καὶ ὀχύρωμά μου καὶ ἐξαιρούμενός με ἐμοί,

Β Βασ. 22,2 - Και είπε· “Κυριε, συ είσαι ο βράχος μου και το οχύρωμά μου. Συ είσαι εκείνος, ο οποίος με εγλύτωσες από τους κινδύνους και μου εχάρισες σωτηρίαν.

Β Βασ. 22,3 - ὁ Θεός μου φύλαξ μου ἔσται μοι, πεποιθὼς ἔσομαι ἐπ᾿ αὐτῷ, ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου, ἀντιλήπτωρ μου καὶ καταφυγή μου σωτηρίας μου, ἐξ ἀδίκου σώσεις με.

Β Βασ. 22,3 - Ο Θεός μου θα είναι και στο μέλλον ο φρουρός και προστάτης μου. Εις αυτόν θα έχω την πεποίθησίν μου. Αυτός θα είναι ο υπερασπιστής μου, η δύναμις της σωτηρίας μου, ο προστάτης μου, η καταφυγή της σωτηρίας μου. Συ, Κυριε, θα με σώσης από κάθε άδικον άνθρωπον.

Β Βασ. 22,4 - αἰνετὸν ἐπικαλέσομαι Κύριον καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

Β Βασ. 22,4 - Τον πανένδοξον και απειροΰμνητον Κυριον, θα επικαλεσθώ δια της προσευχής μου και με την βοήθειαν αυτού θα σωθώ από τα χέρια των εχθρών μου.

Β Βασ. 22,5 - ὅτι περιέσχον με συντριμμοὶ θανάτου, χείμαῤῥοι ἀνομίας ἐθάμβησάν με·

Β Βασ. 22,5 - Θα επικαλεσθώ τον Κυριον, διότι θανάσιμοι συμφοραί με έχουν περικυκλώσει, ορμητικαί και αιφνίδιαι, σαν χειμάρροι, αι κακίαι των ανθρώπων με κατεζάλισαν.

Β Βασ. 22,6 - ὠδῖνες θανάτου ἐκύκλωσάν με, προέφθασάν με σκληρότητες θανάτου.

Β Βασ. 22,6 - Ωδίνες θανάτου με περιεκύκλωσαν. Σκληροί πόνοι, που προμηνύουν τον θάνατον, με έχουν προφθάσει.

Β Βασ. 22,7 - ἐν τῷ θλίβεσθαί με ἐπικαλέσομαι τὸν Κύριον καὶ πρὸς τὸν Θεόν μου βοήσομαι· καὶ ἐπακούσεται ἐκ ναοῦ αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ.

Β Βασ. 22,7 - Εις την συγκλονιστικήν αυτήν θλίψιν κατέφυγον δια της προσευχής προς τον Κυριον, και προς τον Θεόν μου με όλην μου την φωνήν εφώναξα· Ο Κυριος από τον ναόν τον άγιον αυτού με ήκουσε και η κραυγή μου έφθασεν έως εις τα αυτιά του.

Β Βασ. 22,8 - καὶ ἐταράχθη καὶ ἐσείσθη ἡ γῆ, καὶ τὰ θεμέλια τοῦ οὐρανοῦ συνεταράχθησαν καὶ ἐσπαράχθησαν, ὅτι ἐθυμώθη Κύριος αὐτοῖς.

Β Βασ. 22,8 - Εταράχθη η γη και εσείσθη, και αυτά ακόμη τα θεμέλια του ουρανού συνεταράχθησαν και διερράγησαν, διότι εθύμωσεν ο Κυριος εναντίον των ασεβών ανθρώπων.

Β Βασ. 22,9 - ἀνέβη καπνὸς ἐν τῇ ὀργῇ αὐτοῦ, καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέδεται, ἄνθρακες ἐξεκαύθησαν ἀπ᾿ αὐτοῦ.

Β Βασ. 22,9 - Σαν καπνός ανέβη η οργή του Κυρίου, και καταστρεπτική φωτιά εβγήκεν από το στόμα του. Κατακόκκινοι, πυρακτωμένοι άνθρακες

εξεσφενδονίσθησαν από αυτόν.

Β Βασ. 22,10 - καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ.

Β Βασ. 22,10 - Εχαμήλωσε τους ουρανούς και κατέβη εις την γην. Κατω δε από τα πόδια του υπήρχε κατασκότεινον νέφος.

Β Βασ. 22,11 - καὶ ἐπεκάθισεν ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη καὶ ὤφθη ἐπὶ πτερύγων ἀνέμου.

Β Βασ. 22,11 - Κατέβη εις την γην καθήμενος επάνω εις χερουβικόν θρόνον. Παρουσιάσθη, σαν να πετούσε επάνω εις τας πτέρυγας του ανέμου.

Β Βασ. 22,12 - καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ κύκλῳ αὐτοῦ, ἡ σκηνὴ αὐτοῦ σκότος ὑδάτων· ἐπάχυνεν ἐν νεφέλαις ἀέρος.

Β Βασ. 22,12 - Γυρω του, σαν να ήθελε να αποκρύψη την παρουσίαν του, εσκόρπισε σκοτάδι. Και η σκηνή αυτή απετελείτο από σκοτεινά σύννεφα, έτοιμα να αναλυθούν εις βροχήν. Και ολίγον κατ' ολίγον τα σύννεφα της θυέλλης επυκνώνοντο.

Β Βασ. 22,13 - ἀπὸ τοῦ φέγγους ἐναντίον αὐτοῦ ἐξεκαύθησαν ἄνθρακες πυρός.

Β Βασ. 22,13 - Από τας αστραπάς, που ενώπιόν του εφεγγοβολούσαν, εξετοξεύοντο κεραυνοί, σαν πυρωμένα κάρβουνα.

Β Βασ. 22,14 - ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ

Β Βασ. 22,14 - Ο Κυριος έστειλε βροντάς από τον ουρανόν. Ο Υψιστος έδωκεν αυτήν την φωνήν του από τα ύψη του ουρανού.

Β Βασ. 22,15 - καὶ ἀπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς, καὶ ἤστραψεν ἀστραπὴν καὶ ἐξέστησεν αὐτούς.

Β Βασ. 22,15 - Εστειλε τους κεραυνούς σαν βέλη και διεσκόρπισε τους εχθρούς. Εστειλεν αστραπάς και τους κατέπληξε και τους εφόβησε.

Β Βασ. 22,16 - καὶ ὤφθησαν ἀφέσεις θαλάσσης, καὶ ἀπεκαλύφθη θεμέλια τῆς οἰκουμένης ἐν τῇ ἐπιτιμήσει Κυρίου, ἀπὸ πνοῆς πνεύματος θυμοῦ αὐτοῦ.

Β Βασ. 22,16 - Από την βιαίαν πνοήν της οργής του, από την επιτίμησίν του, εφάνησαν οι πυθμένες των θαλασσών, απεκαλύφθησαν τα θεμέλια της γης.

Β Βασ. 22,17 - ἀπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, εἵλκυσέ με ἐξ ὑδάτων πολλῶν·

Β Βασ. 22,17 - Και την ώραν εκείνην της φοβεράς αναστατώσεως μου έστειλεν ο Θεός βοήθειαν. Απλωσε το χέρι του και με έπιασε. Με ανέσυρεν ανάμεσα από τα πολλά ύδατα, όπου εκινδύνευα να πνιγώ.

Β Βασ. 22,18 - ἐῤῥύσατό με ἐξ ἐχθρῶν μου ἰσχύος, ἐκ τῶν μισούντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Β Βασ. 22,18 - Ο Κυριος με εγλύτωσεν από τους ισχυρούς εχθρούς μου, οι οποίοι με εμισούσαν, και είχαν γίνει πολύ ισχυρότεροί μου.

Β Βασ. 22,19 - προέφθασάν με ἡμέραι θλίψεώς μου καὶ ἐγένετο Κύριος ἐπιστήριγμά μου

Β Βασ. 22,19 - Ημέραι θλίψεως με εκυρίευσαν εξ αιτίας των εχθρών μου, αλλ' ο Κυριος έγινε το μεγάλο στήριγμά μου.

Β Βασ. 22,20 - καὶ ἐξήγαγέ με εἰς πλατυσμὸν καὶ ἐξείλετό με, ὅτι ηὐδόκησεν ἐν ἐμοί.

Β Βασ. 22,20 - Ο Κυριος με έβγαλεν από τους εχθρούς μου και με ετοποθέτησεν εις άνετον, ευχάριστον περιοχήν, διότι με ηγάπησε.

Β Βασ. 22,21 - καὶ ἀνταπέδωκέ μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταπέδωκέ μοι.

Β Βασ. 22,21 - Ο Κυριος μου ανταπέδωκε σύμφωνα με την δικαιοσύνην μου, και σύμφωνα με την καθαριότητα των χειρών μου από κάθε αδικίαν με εβράβευσε.

Β Βασ. 22,22 - ὅτι ἐφύλαξα ὁδοὺς Κυρίου καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου,

Β Βασ. 22,22 - Διότι εγώ εφύλαξα όλας τας εντολάς του Κυρίου. Δεν εδείχθην ασεβής απέναντι του Θεού.

Β Βασ. 22,23 - ὅτι πάντα τὰ κρίματα αὐτοῦ κατεναντίον μου, καὶ τὰ δικαιώματα αὐτοῦ, οὐκ ἀπέστην ἀπ ̓ αὐτῶν.

Β Βασ. 22,23 - Διότι είχα πάντοτε ενώπιόν μου όλας τας εντολάς του, και όλα τα δικαιώματά του. Ποτέ δεν απεμακρύνθην από αυτά.

Β Βασ. 22,24 - καὶ ἔσομαι ἄμωμος αὐτῷ καὶ προφυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

Β Βασ. 22,24 - Ημην και θα είμαι άμωμος ενώπιόν του και θα προφυλαχθώ από κάθε παρανομίαν μου.

Β Βασ. 22,25 - καὶ ἀποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.

Β Βασ. 22,25 - Ο Κυριος με εβράβευσε και θα με βραβεύη δια την δικαιοσύνην μου και δια την καθαρότητα των χειρών μου ενώπιον των οφθαλμών του.

Β Βασ. 22,26 - μετὰ ὁσίου ὁσιωθήσῃ καὶ μετὰ ἀνδρὸς τελείου τελειωθήσῃ

Β Βασ. 22,26 - Ο Κυριος φέρεται με οσιότητα απέναντι του οσίου ανθρώπου και απέναντι του τελείου ανθρώπου φέρεται με τελειότητα.

Β Βασ. 22,27 - καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ καὶ μετὰ στρεβλοῦ στρεβλωθήσῃ.

Β Βασ. 22,27 - Απέναντι των εκλεκτών σου θα είσαι, Κυριε, εκλεκτός, αλλά απέναντι των διεστραμμένων θα φερθής με ανάλογον προς την

κακότητά των τρόπον.

Β Βασ. 22,28 - καὶ τὸν λαὸν τὸν πτωχὸν σώσεις καὶ ὀφθαλμοὺς ἐπὶ μετεώρων ταπεινώσεις.

Β Βασ. 22,28 - Συ, Κυριε, λαόν πτωχόν και θλιμμένον θα σώσης, και αυτούς, που έχουν υπερηφάνους τους οφθαλμούς, θα τους ταπεινώσης.

Β Βασ. 22,29 - ὅτι σὺ ὁ λύχνος μου, Κύριε, καὶ Κύριος ἐκλάμψει μοι τὸ σκότος μου.

Β Βασ. 22,29 - Συ, Κυριε, είσαι ο λύχνος και το φως της ευτυχίας μου. Ναι, ο Κυριος θα λάμψη ενώπιόν μου και θα διαλύση τα σκοτάδια της θλίψεως και της δυστυχίας μου.

Β Βασ. 22,30 - ὅτι ἐν σοὶ δραμοῦμαι μονόζωνος καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.

Β Βασ. 22,30 - Με την ιδικήν σου δύναμιν θα τρέξω σαν ελαφρώς ωπλισμένος και με την δύναμιν του Θεού μου εγώ θα εισπηδήσω εις υψηλά τείχη και θα κυριεύσω ωχυρωμένας πόλεις.

Β Βασ. 22,31 - ὁ ἰσχυρός, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὸ ῥῆμα Κυρίου κραταιόν, πεπυρωμένον, ὑπερασπιστής ἐστι πᾶσι τοῖς πεποιθόσιν ἐπ᾿ αὐτόν.

Β Βασ. 22,31 - Ισχυρός είναι ο Θεός, άμωμος η οδός του. Ο τρόπος της ενεργείας του πανίσχυρος, και πυρακτωμένος ο λόγος του. Ο Θεός είναι πάντοτε κραταιός υπερασπιστής όλων εκείνων, οι οποίοι έχουν πίστιν εις αυτόν.

Β Βασ. 22,32 - τίς ἰσχυρὸς πλὴν Κυρίου; καὶ τίς κτίστης ἔσται πλὴν τοῦ Θεοῦ ἡμῶν;

Β Βασ. 22,32 - Ποιός άλλος είναι ισχυρότερος από τον Κυριον; Και ποιός άλλος είναι δημιουργός του σύμπαντος, πλην του Θεού μας;

Β Βασ. 22,33 - ὁ ἰσχυρὸς ὁ κραταιῶν με δυνάμει, καὶ ἐξετίναξεν ἄμωμον τὴν ὁδόν μου·

Β Βασ. 22,33 - Αυτός ο πανίσχυρος Θεός είναι εκείνος, ο οποίος με ενίσχυσε με την δύναμίν του. Αυτός άπλωσεν εμπρός μου και κατέστησεν άμωμον τον δρόμον της ζωής μου.

Β Βασ. 22,34 - τιθεὶς τοὺς πόδας μου ὡς ἐλάφων καὶ ἐπὶ τὰ ὕψη ἱστῶν με·

Β Βασ. 22,34 - Αυτός είναι εκείνος, ο οποίος έκαμε τα πόδια μου ελαφρά σαν των ελάφων και με ανυψώνει με την δύναμίν του επάνω εις τα υψώματα, υπεράνω από τους εχθρούς μου.

Β Βασ. 22,35 - διδάσκων χεῖράς μου εἰς πόλεμον καὶ κατάξας τόξον χαλκοῦν ἐν βραχίονί μου.

Β Βασ. 22,35 - Αυτός είναι, που εδίδαξε τα χέρια μου δια νικηφόρους πολέμους και κατέστησε τον βραχίονά μου ισχυρόν, ώστε να κρατή χάλκινον τόξον.

Β Βασ. 22,36 - καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου, καὶ ἡ ὑπακοή σου ἐπλήθυνέ με

Β Βασ. 22,36 - Συ, Κυριε, με υπερησπίσθης ενώπιον των εχθρών μου και η ευμένειά σου με έκαμε μέγαν.

Β Βασ. 22,37 - εἰς πλατυσμὸν εἰς τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἐσαλεύθησαν τὰ σκέλη μου.

Β Βασ. 22,37 - Η συγκατάβασίς σου και η προθυμία σου να ακούης την προσευχήν μου υπήρξε μεγάλη, ώστε να βαδίζω με ανοικτά βήματα και τα βήματα αυτά να είναι σταθερά εις την ζωήν μου.

Β Βασ. 22,38 - διώξω ἐχθρούς μου καὶ ἀφανιῶ αὐτοὺς καὶ οὐκ ἀναστρέψω ἕως ἂν συντελέσω αὐτούς·

Β Βασ. 22,38 - Με την ιδικήν σου δύναμιν θα καταδιώξω τους εχθρούς μου και θα τους εξαφανίσω και δεν θα επιστρέψω, εάν δεν φέρω εις πέρας την καταστροφήν των.

Β Βασ. 22,39 - καὶ θλάσω αὐτοὺς καὶ οὐκ ἀναστήσονται καὶ πεσοῦνται ὑπὸ τοὺς πόδας μου.

Β Βασ. 22,39 - Θα τους συντρίψω και θα τους ποδοπατήσω και δεν θα εγερθούν· θα πέσουν κάτω από τα πόδια μου.

Β Βασ. 22,40 - καὶ ἐνισχύσεις με δυνάμει εἰς πόλεμον, κάμψεις τοὺς ἐπιστανομένους μοι ὑποκάτω μου·

Β Βασ. 22,40 - Συ, Κυριε, θα με ενισχύσης με την δύναμίν σου εις καιρόν πολέμου. Θα κάμψης και θα θέσης κάτω από την εξουσίαν μου εκείνους, οι οποίοι επαναστατούν εναντίον μου.

Β Βασ. 22,41 - καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, τοὺς μισοῦντάς με, καὶ ἐθανάτωσας αὐτούς.

Β Βασ. 22,41 - Τους εχθρούς μου, οι οποίοι με μισούν, τους έτρεψες εις φυγήν και συ εθανάτωσες αυτούς.

Β Βασ. 22,42 - βοήσονται, καὶ οὐκ ἔστι βοηθός, πρὸς Κύριον, καὶ οὐκ ἐπήκουσεν αὐτῶν.

Β Βασ. 22,42 - Οι εχθροί μου θα φωνάξουν προς τους θεούς των ζητούντες βοήθειαν και δεν θα υπάρχη κανείς να τους βοηθήση. Θα επικαλεσθούν τότε τον Κυριον ημών, αλλά ο Κυριος δεν θα ακούση την προσευχήν των.

Β Βασ. 22,43 - καὶ ἐλέανα αὐτοὺς ὡς χοῦν γῆς, ὡς πηλὸν ἐξόδων ἐλέπτυνα αὐτούς.

Β Βασ. 22,43 - Τους εκονιορτοποίησα, όπως είναι το χώμα της γης, και όπως είναι η λάσπη τους έκαμα λεπτούς και αδυνάτους.

Β Βασ. 22,44 - καὶ ῥύσῃ με ἐκ μάχης λαῶν, φυλάξεις με εἰς κεφαλὴν ἐθνῶν. λαός, ὃν οὐκ ἔγνω, ἐδούλευσάν μοι,

Β Βασ. 22,44 - Συ, Κυριε, θα με περιφρουρήσης από έριδας και μάχας λαών. Συ θα με διαφυλάξης και θα με αναδείξης επί κεφαλής εθνών. Λαός, τον οποίον δεν εγνώριζα, αυτός ο λαός έγινε δούλος μου με την ιδικήν σου βοήθειαν.

Β Βασ. 22,45 - υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, εἰς ἀκοὴν ὠτίου ἤκουσάν μου·

Β Βασ. 22,45 - Ξένο λαοί εφέρθησαν με υποκρισίαν και δολιότητα απέναντί μου. Αλλά υπετάχθησαν εις εμέ.

Β Βασ. 22,46 - υἱοὶ ἀλλότριοι ἀποῤῥιφήσονται καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν.

Β Βασ. 22,46 - Ξένοι λαοί θα απορριφθούν από τας πόλεις των, θα παραπατήσουν και θα εξέλθουν από τας οχυράς και κλεισμένας πόλεις των.

Β Βασ. 22,47 - ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ φύλαξ μου, καὶ ὑψωθήσεται ὁ Θεός μου, ὁ φύλαξ τῆς σωτηρίας μου.

Β Βασ. 22,47 - Ζη Κυριος ο Θεός μου. Ας είναι ευλογημένος ο φύλακάς μου αυτός. Θα μεγαλυνθή και θα δοξασθή ο Θεός μου, ο φρουρός μου και σωτήρ μου.

Β Βασ. 22,48 - ἰσχυρὸς Κύριος ὁ διδοὺς ἐκδικήσεις ἐμοί, παιδεύων λαοὺς ὑποκάτω μου

Β Βασ. 22,48 - Ο Κυριος, ο οποίος τιμωρεί τους εχθρούς μου, είναι παντοδύναμος. Αυτός είναι εκείνος, που παιδεύει τους λαούς και τους θέτει κάτω από την ιδικήν μου την εξουσίαν.

Β Βασ. 22,49 - καὶ ἐξάγων με ἐξ ἐχθρῶν μου, καὶ ἐκ τῶν ἐπεγειρομένων μοι ὑψώσεις με, ἐξ ἀνδρὸς ἀδικημάτων ῥύσῃ με.

Β Βασ. 22,49 - Ο Θεός είναι εκείνος, ο οποίος με έβγαλεν εκ μέσου των εχθρών μου. Ο Θεός με ύψωσε και θα με υψώση υπεράνω από τους εχθρούς μου αυτός ο οποίος με απήλλαξεν από τον άνδρα εκείνον των αδικιών (τον Σαούλ).

Β Βασ. 22,50 - διὰ τοῦτο ἐξομολογήσομαί σοι, Κύριε, ἐν τοῖς ἔθνεσι καὶ ἐν τῷ ὀνόματί σου ψαλῶ,

Β Βασ. 22,50 - Δια τούτο εγώ, Κυριε, θα σε δοξάζω εν μέσω όλων των εθνών και θα ψάλλω ύμνους εις δόξαν και τιμήν του ονόματός σου.

Β Βασ. 22,51 - μεγαλύνων τὰς σωτηρίας βασιλέως αὐτοῦ καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ, τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Β Βασ. 22,51 - Θα υμνολογώ και θα διαλαλώ τας θαυμαστάς σωτηρίας, τας οποίας ο Θεός επραγματοποίησεν εις εμέ, τον βασιλέα του, ευσπλαγχνιζόμενος εμέ τον Δαυίδ, τον οποίον αυτός έχρισε βασιλέα, ευσπλαγχνιζόμενος ακόμη και τους απογόνους μου στους αιώνας.

Β ΒΑΣΙΛΕΙΩΝ 23

Β Βασ. 23,1 - Καὶ οὗτοι οἱ λόγοι Δαυὶδ οἱ ἔσχατοι· Πιστὸς Δαυὶδ υἱὸς Ἰεσσαί, καὶ πιστὸς ἀνήρ, ὃν ἀνέστησε Κύριος ἐπὶ χριστὸν Θεοῦ Ἰακώβ, καὶ εὐπρεπεῖς ψαλμοὶ Ἰσραήλ.

Β Βασ. 23,1 - Αυτοί ξε είναι οι τελευταίοι λόγοι, τους οποίους είπεν ο Δαυίδ. Αξιόπιστος είναι ο Δαυίδ, ο υιός του Ιεσσαί. Αξιόπιστος είναι ο ανήρ αυτός, τον οποίον ο Κυριος ανύψωσε και ανέδειξεν, ώστε να χρισθή βασιλεύς υπό του Θεού του Ιακώβ και αυτοί είναι οι ωραίοι και σεμνοί ψαλμοί μεταξύ του Ισραηλιτικού λαού.

Β Βασ. 23,2 - πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοί, καὶ ὁ λόγος αὐτοῦ ἐπὶ γλώσσης μου.

Β Βασ. 23,2 - Ο Δαυίδ είπεν· “Το Πνεύμα του Κυρίου ωμίλησεν εις εμέ και ο ιδικός του λόγος ευρίσκεται εις την γλώσσαν μου.

Β Βασ. 23,3 - λέγει ὁ Θεὸς Ἰσραήλ, ἐμοὶ ἐλάλησε φύλαξ Ἰσραήλ· παραβολὴν εἰπὸν ἐν ἀνθρώπῳ· πῶς κραταιώσητε φόβον Θεοῦ;

Β Βασ. 23,3 - Ο Θεός του Ισραηλιτικού λαού, ο φρουρός αυτός του Ισραήλ, μου ωμίλησε και μου είπε· Δια παραβολικού τρόπου θα ενισχυθή μεταξύ των ανθρώπων ο φόβος του Θεού.

Β Βασ. 23,4 - καὶ ἐν Θεῷ φωτὶ πρωΐας ἀνατείλαι ἥλιος, τὸ πρωΐ παρῆλθεν ἐκ φέγγους καὶ ὡς ἐξ ὑετοῦ χλόης ἀπὸ γῆς.

Β Βασ. 23,4 - Φως Θεού, σαν άλλος ήλιος την πρωΐαν, θα ανατείλη, θα εμφανισθή σαν φως, που ομοιάζει με χλόην της γης έπειτα από βροχήν.

Β Βασ. 23,5 - οὐ γὰρ οὕτως ὁ οἶκός μου μετὰ ἰσχυροῦ; διαθήκην γὰρ αἰώνιον ἔθετό μοι, ἑτοίμην ἐν παντὶ καιρῷ πεφυλαγμένην, ὅτι πᾶσα σωτηρία μου καὶ πᾶν θέλημα, ὅτι οὐ μὴ βλαστήσῃ ὁ παράνομος.

Β Βασ. 23,5 - Τέτοιος δεν θα είναι ο ιδικός μου οίκος και οι απόγονοί μου κάτω από την παντοδύναμον προστασίαν και ενίσχυσιν του Θεού; Μαλιστα· διότι ο Θεός μου έδωσε την αιωνίαν αυτήν υπόσχεσιν, η οποία είναι ακλόνητος, παντοτεινή, αμετακίνητος. Καθε ιερός μου πόθος και η ασφαλής σωτηρία μου θα προέλθη από την εκπλήρωσιν της υποσχέσεως αυτής. Ετσι δε δεν θα αναβλαστήσουν και δεν θα ενισχυθούν οι παράνομοι εναντίον μου.

Β Βασ. 23,6 - ὥσπερ ἄκανθα ἐξωσμένη πάντες οὗτοι, ὅτι οὐ χειρὶ ληφθήσονται,

Β Βασ. 23,6 - Αυτοί θα τεθούν κατά μέρος, σαν πεταμένα αγκάθια, τα οποία δεν εγγίζει κανείς με τα χέρια του.

Β Βασ. 23,7 - καὶ ἀνὴρ οὐ κοπιάσει ἐν αὐτοῖς, καὶ πλῆρες σιδήρου καὶ ξύλον δόρατος, καὶ ἐν πυρὶ καύσει καυθήσονται αἰσχύνην αὐτῶν.

Β Βασ. 23,7 - Ο άνθρωπος δέ, ο οποίος θα καταπιασθή με αυτά, δεν θα καρφωθή, διότι θα τα πετάξη με την βοήθειαν κάποιου σιδηρού μέσου η ξυλίνου δόρατος. Θα τα στοιβάξη και θα τα κατακαύση εις την φωτιά. Αυτό θα είναι το κατάντημα των αδιαντρόπων εχθρών του Θεού”.

Β Βασ. 23,8 - Ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν Δαυίδ· Ἰεβοσθὲ ὁ Χαναναῖος, ἄρχων τοῦ τρίτου ἐστίν, Ἀδινὼν ὁ Ἀσωναῖος· οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ὀκτακοσίους στρατιώτας εἰσάπαξ.

Β Βασ. 23,8 - Τα ονόματα των ισχυρών ανδρών της αυλής του Δαυίδ είναι αυτά· Ο Ιεβοσθέ ο Χαναναίος, είναι ενας από τους τρεις εκλεκτούς άνδρας και ο Αδινών ο Ασωναίος. Αυτός έσυρε το ξίφος του και επετέθη συγχρόνως εναντίον οκτακοσίων στρατιωτών.

Β Βασ. 23,9 - καὶ μετ᾿ αὐτὸν Ἐλεανὰν υἱὸς πατραδέλφου αὐτοῦ υἱὸς Σουδίτου ἐν τοῖς τρισὶ δυνατοῖς. οὗτος μετὰ Δαυὶδ ἦν ἐν Σεῤῥάν, καὶ ἐν τῷ ὀνειδίσαι αὐτὸν ἐν τοῖς ἀλλοφύλοις συνήχθησαν ἐκεῖ εἰς πόλεμον, καὶ ἀνέβησαν ἀνὴρ Ἰσραήλ·

Β Βασ. 23,9 - Επειτα από αυτόν ενας από τους εκλεκτούς ήτο ο Ελεανάν, ανεψιός του προηγουμένου, υιός Σουδίτου. Ητο και αυτός ένας από τους άνδρας μαζή με τον Δαυίδ εις Σερράν, όταν οι συγκεντρωθέντες εκεί αλλόφυλοι εχλεύαζαν και επροκάλεσαν κάθε γενναίον Ισραηλίτην εις μονομαχίαν. Εκεί είχαν συγκεντρωθή και όλοι οι Ισραηλίται.

Β Βασ. 23,10 - αὐτὸς ἀνέστη καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις, ἕως οὗ ἐκοπίασεν ἡ χεὶρ αὐτοῦ καὶ προσεκολλήθη ἡ χεὶρ αὐτοῦ πρὸς τὴν μάχαιραν, καὶ ἐποίησε Κύριος σωτηρίαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ὁ λαὸς ἐκάθητο ὀπίσω αὐτοῦ πλὴν ἐκδιδύσκειν.

Β Βασ. 23,10 - Αυτός ηγέρθη, εκτύπησε τους Φιλισταίους, μέχρις ότου εκουράσθη το χέρι του και εκόλλησεν η παλάμη του εις την λαβήν της μαχαίρας του. Ο Κυριος δι' αυτού επραγματοποίησε μεγάλην νίκην κατά την ημέραν εκείνην προς σωτηρίαν του Ισραηλιτικού λαού. Ο δε λαός, ο οποίος ήτο όπισθεν αυτού, ελαφυραγωγούσε μόνον και απεγύμνωνε τους νεκρούς.

Β Βασ. 23,11 - καὶ μετ᾿ αὐτὸν Σαμαΐα υἱὸς Ἀσὰ ὁ Ἀρουχαῖος. καὶ συνήχθησαν οἱ ἀλλόφυλοι εἰς Θηρία, καὶ ἦν ἐκεῖ μερὶς τοῦ ἀγροῦ πλήρης φακοῦ, καὶ ὁ λαὸς ἔφυγεν ἐκ προσώπου ἀλλοφύλων·

Β Βασ. 23,11 - Επειτα από αυτόν ένας από τους τρεις εκλεκτούς ήτο ο Σαμαΐα, ο υιός του Ασά, ο οποίος κατήγετο από την Αρούχ. Οι Φιλισταίοι είχαν συγκεντρωθή εις κάποιαν τοποθεσίαν υνομαζομένην Θηρία. Εκεί δε υπήρχεν αγρός, ο οποίος είχε σπαρή με φακήν. Ο ισραηλιτικός λαός ετράπη εις φυγήν, όταν αντίκρυσε τους Φιλισταίους.

Β Βασ. 23,12 - καὶ ἐστηλώθη ἐν μέσῳ τῆς μερίδος καὶ ἐξείλατο αὐτὴν καὶ ἐπάταξε τοὺς ἀλλοφύλους, καὶ ἐποίησε Κύριος σωτηρίαν μεγάλην.

Β Βασ. 23,12 - Ο Σαμαΐα όμως εστάθηκε ακίνητος εν μέσω του αγρού εκείνου, ηγωνίσθη εις υπεράσπισίν του και εφόνευσε τους αλλοφύλους. Ο Κυριος δι' αυτού κατόρθωσε μίαν μεγάλην και σωτηριώδη νίκην.

Β Βασ. 23,13 - καὶ κατέβησαν τρεῖς ἀπὸ τῶν τριάκοντα καὶ ἦλθαν εἰς Κασὼν πρὸς Δαυὶδ εἰς τὸ σπήλαιον Ὀδολλάμ, καὶ τάγμα τῶν ἀλλοφύλων

παρενέβαλον ἐν τῇ κοιλάδι Ῥαφαΐμ·

Β Βασ. 23,13 - Οι τρεις ανωτέρω εκλεκτοί από τους τριάκοντα γενναίους κατέβηκαν και ήλθαν εις Κασών, προς τον Δαυίδ, στο σπήλαιον Οδολλάμ. Ενα στρατιωτικόν τμήμα των Φιλισταίων είχε στρατοπεδεύσει εις την κοιλάδα των Ραφαΐμ.

Β Βασ. 23,14 - καὶ Δαυὶδ τότε ἐν τῇ περιοχῇ, καὶ τὸ ὑπόστημα τῶν ἀλλοφύλων τότε ἐν Βηθλεέμ.

Β Βασ. 23,14 - Ο Δαυίδ τότε ευρίσκετο εις ένα φρούριον, το δε στρατιωτικόν τμήμα των αλλοφύλων είχε στρατοπεδεύσει εις την Βηθλεέμ.

Β Βασ. 23,15 - καὶ ἐπεθύμησε Δαυὶδ καὶ εἶπε· τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ; τὸ δὲ σύστημα τῶν ἀλλοφύλων τότε ἐν Βηθλεέμ.

Β Βασ. 23,15 - Ο Δαυίδ εξέφρασε μίαν επιθυμίαν “Ποιός τάχα ημπορεί να μου φέρη να πιώ νερό από το φρέαρ, που ευρίσκεται πλησίον εις την πύλην του τείχους της πόλεως Βηθλεέμ;” Στρατιωτικόν τμήμα των αλλοφύλων τότε είχε στρατοπεδεύσει εκεί.

Β Βασ. 23,16 - καὶ διέῤῥηξαν οἱ τρεῖς δυνατοὶ ἐν τῇ παρεμβολῇ τῶν ἀλλοφύλων καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ καὶ ἔλαβαν καὶ παρεγένοντο πρὸς Δαυίδ, καὶ οὐκ ἠθέλησε πιεῖν αὐτὸ καὶ ἔσπεισεν αὐτὸ τῷ Κυρίῳ

Β Βασ. 23,16 - Οι τρεις, λοιπόν, αυτοί γενναίοι άνδρες διέσπασαν το στρατόπεδον των Φιλισταίων, ήντλησαν νερό από το φρέαρ, που ευρίσκετο εις την πύλην του τείχους της πόλεως Βηθλεέμ, επήραν αυτό και ήλθαν στον Δαυίδ. Ο Δαυίδ όμως δεν ηθέλησε να το πίη. Το προσέφερε θυσίαν προς τον Κυριον

Β Βασ. 23,17 - καὶ εἶπεν· ἵλεώς μοι, Κύριε, τοῦ ποιῆσαι τοῦτο, εἰ αἷμα τῶν ἀνδρῶν τῶν πορευθέντων ἐν ταῖς ψυχαῖς αὐτῶν πίομαι· καὶ οὐκ ἠθέλησε πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί.

Β Βασ. 23,17 - και είπε τούτο· “λυπήσου με, Κυριε, να μη χορτάσω την επιθυμίαν μου με το νερο αυτό. Κατ' ουδένα λόγον θα πίω αυτό, διότι είναι το αίμα εκείνων, που με κίνδυνον της ζωής των επήγαν να μου το προμηθεύσουν”. Και ηρνήθη να το πίη. Αυτά τα κατορθώματα έκαμαν οι τρεις εκείνοι δυνατοί.

Β Βασ. 23,18 - καὶ Ἀβεσσὰ ὁ ἀδελφὸς Ἰωὰβ υἱὸς Σαρουΐας αὐτὸς ἄρχων ἐν τοῖς τρισί. καὶ αὐτὸς ἐξήγειρε τὸ δόρυ αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισίν·

Β Βασ. 23,18 - Ο Αβεσσά, ο αδελφός του Ιωάβ, ο υιός της Σαρουΐας ήτο ο επιφανέστερος μεταξύ τριών άλλων δευτέρας σειράς εκλεκτών ανδρών. Αυτός εσήκωσε το δόρυ του εναντίον τριακοσίων ανδρών, τους εφόνευσε και έγινεν ονομαστός μεταξύ των τριών αυτών εκλεκτών.

Β Βασ. 23,19 - ἐκ τῶν τριῶν ἔνδοξος, καὶ ἐγένετο αὐτοῖς εἰς ἄρχοντα, καὶ ἕως τῶν τριῶν οὐκ ἦλθε.

Β Βασ. 23,19 - Αυτός ήτο ο πλέον ένδοξος μεταξύ των τριών εκείνων, ο πρωτεύων μεταξύ αυτών. Αλλά δεν έφθασεν, από απόψεως αξίας, κανένα από τους τρεις της πρώτης τριάδος.

Β Βασ. 23,20 - καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἀνὴρ αὐτὸς πολλοστὸς ἔργοις ἀπὸ Καβεσεήλ, καὶ αὐτὸς ἐπάταξε τοὺς δύο υἱοὺς Ἀριὴλ τοῦ Μωάβ· καὶ αὐτὸς κατέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν μέσῳ τοῦ λάκκου ἐν τῇ ἡμέρᾳ τῆς χιόνος·

Β Βασ. 23,20 - Επίσης ο Βαναίας, ο υιός του Ιωδαέ, ο οποίος κατήγετο από την Καβεσεήλ, είχε πολλά θαυμαστά έργα να επιδείξη. Αυτός εφόνευσε τους δύο υιούς του Αριήλ του Μωαβίτου. Ο ίδιος δε κατέβηκε εις ένα λάκκον και εφόνευσε λέοντα, ο οποίος εις ημέραν, που εχιόνιζε, είχε πέσει εντός αυτού.

Β Βασ. 23,21 - αὐτὸς ἐπάταξε τὸν ἄνδρα τὸν Αἰγύπτιον, ἄνδρα ὁρατόν, ἐν δὲ τῇ χειρὶ τοῦ Αἰγυπτίου δόρυ ὡς ξύλον διαβάθρας, καὶ κατέβη πρὸς αὐτὸν ἐν ῥάβδῳ καὶ ἥρπασε τὸ δόρυ ἐκ τῆς χειρὸς τοῦ Αἰγυπτίου καὶ ἀπέκτεινεν αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ.

Β Βασ. 23,21 - Ο ίδιος εκτύπησε και εφόνευσε ένα πανύψηλον Αιγύπτιον άνδρα. Εις τα χέρια του ο Αιγύπτιος εκρατούσε δόρυ μεγάλο σαν ένα ξύλο γεφύρας, το οποίον συνδέει πλοίον με την ξηράν. Ο Βαναίας επλησίασε προς αυτόν, ωπλισμένος μέ την ράβδον του μόνον, ήρπασε το δόρυ από το χέρι του Αιγυπτίου και με το ίδιο αυτό δόρυ τον εφόνευσε.

Β Βασ. 23,22 - ταῦτα ἐποίησε Βαναίας υἱὸς Ἰωδαέ, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισὶ τοῖς δυνατοῖς·

Β Βασ. 23,22 - Αυτά τα κατορθώματα έκαμε ο Βαναίας, ο υιός του Ιωδαέ. Ανεδείχθη ονομαστός μεταξύ των τριών δυνατών της δευτέρας τριάδος.

Β Βασ. 23,23 - ἐκ τῶν τριῶν ἔνδοξος, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἦλθε· καὶ ἔταξεν αὐτὸν Δαυὶδ πρὸς τὰς ἀκοὰς αὐτοῦ. καὶ ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν Δαυὶδ τοῦ βασιλέως·

Β Βασ. 23,23 - Αυτός, βέβαια, ήτο ο πλέον ένδοξος μεταξύ των εκλεκτών ανδρών της δευτέρας τριάδος. Αλλά δεν έφθασεν, από απόψεως γενναιότητος και κατορθωμάτων, τους τρεις της πρώτης τριάδος. Αυτόν ο Δαυίδ τον ενέταξε μεταξύ των ανδρών, των οποίων τας συμβουλάς ήκουε. Τα δε ονόματα των τριάκοντα γενναίων ανδρών της αυλής του Δαυίδ ήσαν τα εξής·

Β Βασ. 23,24 - Ἀσαὴλ ἀδελφὸς Ἰωὰβ (οὗτος ἐν τοῖς τριάκοντα), Ἐλεανὰν υἱὸς Δουδὶ πατραδέλφου αὐτοῦ ἐν Βηθλεέμ.

Β Βασ. 23,24 - Ο Ασαήλ, ο αδελφός του Ιωάβ. Αυτός ήτο μεταξύ των τριάκοντα γενναίων ανδρών. Ο Ελεανάν, υιός του Δουδί πατραδέλφου του εις την Βηθλεέμ.

Β Βασ. 23,25 - Σαμαῒ ὁ Ἀρουδαῖος, Ἐλικὰ ὁ Ἀρωδαῖος,
Β Βασ. 23,25 - Σαμαΐ ο Αρουδαίος, ο Ελικά ο Αρωδαίος.
Β Βασ. 23,26 - Σελλὴς ὁ Κελωθί, Ἴρας υἱὸς Ἐκκὰς ὁ Θεκωΐτης,
Β Βασ. 23,26 - Σελλής ο εκ Κελωθί, ο Ιρας ο υιός του Εκκάς από την Θεκωέ.
Β Βασ. 23,27 - Ἀβιέζερ ὁ Ἀναθωθίτης ἐκ τῶν υἱῶν τοῦ Ἀσωθίτου,
Β Βασ. 23,27 - Ο Αβιέζερ ο Αναθωθίτης από τους υιούς του Ασωθίτου,
Β Βασ. 23,28 - Ἐλλὼν ὁ Ἀωΐτης, Μοορὲ ὁ Νετωφαθίτης,
Β Βασ. 23,28 - Ο Ελλών ο Αωΐτης, Μοορέ ο Νετωφαθίτης.
Β Βασ. 23,29 - Ἐθθὶ υἱὸς Ῥιβὰ ἐκ Γαβαὲθ υἱὸς Βενιαμίν,
Β Βασ. 23,29 - Ο Εθθί, υιός του Ριβά, από την Γαβαέθ της φυλής Βενιαμίν.
Β Βασ. 23,30 - Βαναίας ὁ Φαραθενίτης, Οὐρὶ ἐκ Ναχαλιγαίας,
Β Βασ. 23,30 - Βαναίας ο Φαραθενίτης, Ουρί ο από την Ναχαλιγαίαν.
Β Βασ. 23,31 - Ἀβιὴλ υἱὸς τοῦ Ἀραβωθίτου, Ἀζμὼθ ὁ Βαρσαμίτης,
Β Βασ. 23,31 - Αβιήλ ο υιός του Αραβωθίτου, ο Αζμώθ ο Βαρσαμίτης,
Β Βασ. 23,32 - Ἐλιασοὺ ὁ Σαλαβωνίτης, υἱοὶ Ἰαβάν, Ἰωνάθαν,
Β Βασ. 23,32 - ο Ελιασού ο Σαλαβωνίτης, υιός του Ιαβάν, ο Ιωνάθαν,
Β Βασ. 23,33 - Σαμνὰν ὁ Ἀρωδίτης, Ἀχιὰν υἱὸς Ἀραΐ Σαραουρίτης,
Β Βασ. 23,33 - ο Σαμνάν ο Αρωδίτης, ο Αχιάν, υιός του Αραΐ, ο Σαραουρίτης,
Β Βασ. 23,34 - Ἀλιφαλὲθ υἱὸς τοῦ Ἀσβίτου, υἱὸς τοῦ Μααχαθί, Ἐλιὰβ υἱὸς Ἀχιτόφελ τοῦ Γελωνίτου,
Β Βασ. 23,34 - ο Αλιφαλέθ υιός του Ασβίτου, υιός του Μααχαθί, ο Ελιάβ ο υιός του Αχιτόφελ του Γελωνίτου,
Β Βασ. 23,35 - Ἀσαραΐ ὁ Καρμήλιος, Φαραΐ ὁ Ἐρχί,
Β Βασ. 23,35 - ο Ασαραΐ ο Καρμήλιος, ο Φαραΐ, ο Ερχί,
Β Βασ. 23,36 - Γάαλ υἱὸς Νάθαν ἀπὸ δυνάμεως, υἱὸς Γαλααδεί,
Β Βασ. 23,36 - ο Γααλ ο υιός του Ναθαν από δυνάμεων, υιός Γαλααδεί,
Β Βασ. 23,37 - Ἐλιὲ ὁ Ἀμμανίτης, Γελωραΐ ὁ Βηρωθαῖος αἴρων τὰ σκεύη Ἰωὰβ υἱοῦ Σαρουΐας,
Β Βασ. 23,37 - ο Ελιέ ο Αμμανίτης, ο Γελωραΐ ο Βηρωθαίος ο υπασπιστής του Ιωάβ, του υιού της Σαρουΐας,
Β Βασ. 23,38 - Ἰρὰς ὁ Ἰεθιραῖος, Γαρὴβ ὁ Ἐθθεναῖος,
Β Βασ. 23,38 - ο Ιράς ο Ιεθιραίος, ο Γαρήθ ο Εθθεναίος,
Β Βασ. 23,39 - Οὐρίας ὁ Χετταῖος· οἱ πάντες τριάκοντα καὶ ἑπτά.
Β Βασ. 23,39 - ο Ουρίας ο Χετταίος. Ολοι αυτοί ήσαν τριάκοντα επτά.

Β ΒΑΣΙΛΕΙΩΝ 24

Β Βασ. 24,1 - Καὶ προσέθετο ὀργὴν Κύριος ἐκκαῆναι ἐν Ἰσραήλ, καὶ ἐπέσεισε τὸν Δαυὶδ ἐν αὐτοῖς λέγων· βάδιζε, ἀρίθμησον τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν.

Β Βασ. 24,1 - Ηναψε πάλιν η οργή του Κυρίου εναντίον του Ισραηλιτικού λαού, διότι ο διάβολος παρώθησε τον Δαυίδ εις μίαν πτώσιν υποβαλών εις αυτόν την κατωτέρω ιδέαν· "Εμπρός, πήγαινε και κάμε αρίθμησιν του ισραηλιτικού λαού και της φυλής του Ιούδα".

Β Βασ. 24,2 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἰωὰβ ἄρχοντα τῆς ἰσχύος τὸν μετ᾿ αὐτοῦ· δίελθε δὴ πάσας φυλὰς Ἰσραὴλ καὶ Ἰούδα, ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ καὶ ἐπίσκεψαι τὸν λαόν, καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ λαοῦ.

Β Βασ. 24,2 - Ο βασιλεύς, παρασυρθείς από τον πειρασμόν αυτόν, είπε προς τον αρχηγόν του στρατεύματός του τον Ιωάβ, ο οποίος ήτο πάντοτε μαζή του· "σε παρακαλώ να διαβής από όλας τας φυλάς του Ισραηλιτικού βασιλείου και από την φυλήν Ιούδα, από την βορεινήν Δαν μέχρι την Βηρσαβεέ, που ευρίσκεται προς νότον, και κάμε καταμέτρησιν όλων αυτών, δια να μάθω τον αριθμόν του στρατού".

Β Βασ. 24,3 - καὶ εἶπεν Ἰωὰβ πρὸς τὸν βασιλέα· καὶ προσθείη Κύριος ὁ Θεὸς πρὸς τὸν λαὸν ὥσπερ αὐτοὺς καὶ ὥσπερ αὐτοὺς ἑκατονταπλασίονα, καὶ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως ὁρῶντες· καὶ ὁ κύριός μου ὁ βασιλεὺς ἱνατί βούλεται ἐν τῷ λόγῳ τούτῳ;

Β Βασ. 24,3 - Ο Ιωάβ απήντησε προς τον βασιλέα· "είθε Κυριος ο Θεός να πολλαπλασιάση τον λαόν σου, ώστε να είναι εκατόν φορές περισσότεροι, από όσοι είναι σήμερον και έτσι οι οφθαλμοί του κυρίου μου, του βασιλέως, να τους βλέπουν και να χαίρωνται από το πλήθος αυτό. Διατί όμως ο κύριός μου και βασιλεύς θέλει να γίνη αυτή η αρίθμησις, η οποία προφανώς δεν είναι σύμφωνος με το θέλημα του Θεού;"

Β Βασ. 24,4 - καὶ ὑπερίσχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς Ἰωὰβ καὶ εἰς τοὺς ἄρχοντας τῆς δυνάμεως. καὶ ἐξῆλθεν Ἰωὰβ καὶ οἱ ἄρχοντες τῆς ἰσχύος ἐνώπιον τοῦ βασιλέως ἐπισκέψασθαι τὸν λαὸν τὸν Ἰσραήλ.

Β Βασ. 24,4 - Ο βασιλεύς όμως επέμενε και επεκράτησεν η διαταγή του προς τον Ιωάβ και προς τους κατωτέρους άρχοντας του στρατού. Ο Ιωάβ και οι άλλοι άρχοντες του στρατεύματος υπακούοντες εις την διαταγήν του βασιλέως εξήλθον από τον βασιλικόν οίκον και επροχώρησαν, δια να κάμουν καταμέτρησιν του Ισραηλιτικού λαού.

Β Βασ. 24,5 - καὶ διέβησαν τὸν Ἰορδάνην καὶ παρενέβαλον ἐν Ἀροὴρ ἐκ δεξιῶν τῆς πόλεως τῆς ἐν μέσῳ τῆς φάραγγος Γὰδ καὶ Ἐλιέζερ.

Β Βασ. 24,5 - Επέρασαν τον Ιορδάνην ποταμόν και ήρχισαν από την Αροήρ και από την πόλιν, που ευρίσκεται εκ δεξιών στο μέσον της κοιλάδος Γαδ και Ελιέζερ.

Β Βασ. 24,6 - καὶ ἦλθον εἰς Γαλαὰδ καὶ εἰς γῆν Θαβασών, ἥ ἐστιν Ἀδασαί, καὶ παρεγένοντο εἰς Δανιδὰν καὶ Οὐδὰν καὶ ἐκύκλωσαν εἰς Σιδῶνα.

Β Βασ. 24,6 - Από εκεί επροχώρησαν εις την χώραν Γαλαάδ και εις την χώραν Θαβασών, η οποία είναι η Αδασαί, έφθασαν εις Δανιδάν και Ουδάν και επροχώρησαν κύκλω προς την Σιδώνα.

Β Βασ. 24,7 - καὶ ἦλθον εἰς Μάψαρ Τύρου καὶ εἰς πάσας τὰς πόλεις τοῦ Εὐαίου καὶ τοῦ Χαναναίου καὶ ἦλθαν κατὰ νότον Ἰούδα εἰς Βηρσαβεὲ

Β Βασ. 24,7 - Από εκεί ήλθον εις Μαψαρ της Τυρου και εις όλας τας πόλεις των Ευαίων και των άλλων Χαναναίων. Επροχώρησαν και έφθασαν στο νότιον μέρος της φυλής Ιούδα εις την Βηρσαβεέ.

Β Βασ. 24,8 - καὶ περιώδευσαν ἐν πάσῃ τῇ γῇ καὶ παρεγένοντο ἀπὸ τέλους ἐννέα μηνῶν καὶ εἴκοσιν ἡμερῶν εἰς Ἱερουσαλήμ.

Β Βασ. 24,8 - Περιώδευσαν όλην την χώραν και έπειτα από πορείαν εννέα μηνών και είκοσι ημερών επανήλθον εις την Ιερουσαλήμ.

Β Βασ. 24,9 - καὶ ἔδωκεν Ἰωὰβ τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ πρὸς τὸν βασιλέα, καὶ ἐγένετο Ἰσραὴλ ὀκτακόσιαι χιλιάδες ἀνδρῶν δυνάμεως σπωμένων ῥομφαίαν καὶ ἀνὴρ Ἰούδα πεντακόσιαι χιλιάδες ἀνδρῶν μαχητῶν.

Β Βασ. 24,9 - Ο Ιωάβ παρέδωκεν στον βασιλέα Δαυίδ τον αριθμόν της καταμετρήσεως του λαού. Ησαν οκτακόσιαι χιλιάδες ανδρών από τας άλλας φυλάς των Ισραηλιτών και πεντακόσιαι χιλιάδες από την φυλήν του Ιούδα, όλοι αυτοί οι οποίοι ημπορούσαν να μάχωνται χειριζόμενοι την σπάθην.

Β Βασ. 24,10 - καὶ ἐπάταξε καρδία Δαυὶδ αὐτὸν μετὰ τὸ ἀριθμῆσαι τὸν λαόν, καὶ εἶπε Δαυὶδ πρὸς Κύριον· ἥμαρτον σφόδρα, ὃ ἐποίησα νῦν, Κύριε· παραβίβασον δὴ τὴν ἀνομίαν τοῦ δούλου σου, ὅτι ἐμωράνθην σφόδρα.

Β Βασ. 24,10 - Ο Δαυίδ όμως ησθάνθη τύψεις συνειδήσεως έπειτα από την καταμέτρησιν αυτήν του λαού και είπε προς τον Κυριον· “Κυριε, ημάρτησα πάρα πολύ δι' αυτό το οποίον έκαμα. Σε παρακαλώ συγχώρησε την αμαρτίαν αυτήν του δούλου σου, διότι συμπεριεφέρθην κατά ένα πολύ μωρόν τρόπον”.

Β Βασ. 24,11 - καὶ ἀνέστη Δαυὶδ τὸ πρωΐ. καὶ λόγος Κυρίου ἐγένετο πρὸς Γὰδ τὸν προφήτην τὸν ὁρῶντα λέγων·

Β Βασ. 24,11 - Εξύπνησε την άλλην ημέραν το πρωί ο Δαυίδ, ο δε Κυριος είπε προς τον προφήτην Γαδ, τον βλέποντα τα μέλλοντα·

Β Βασ. 24,12 - πορεύθητι καὶ λάλησον πρὸς Δαυὶδ λέγων· τάδε λέγει Κύριος· τρία ἐγώ εἰμι αἴρω ἐπὶ σέ, καὶ ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω σοι.

Β Βασ. 24,12 - “Πηγαινε και ειπέ στον Δαυίδ· Αυτά λέγει ο Κυριος· Εγώ ο Κυριος θέτω ενώπιόν σου τρία τινά. Διάλεξε συ ένα από αυτά και εγώ θα το

θέσω εις εφαρμογήν”.

Β Βασ. 24,13 - καὶ εἰσῆλθε Γὰδ πρὸς Δαυὶδ καὶ ἀνήγγειλε καὶ εἶπεν αὐτῷ· ἔκλεξαι σεαυτῷ γενέσθαι, εἰ ἔλθῃ σοι τρία ἔτη λιμὸς ἐν τῇ γῇ σου, ἢ τρεῖς μῆνας φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν σου καὶ ἔσονται διώκοντές σε, ἢ γενέσθαι τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ σου· νῦν οὖν γνῶθι καὶ ἰδὲ τί ἀποκριθῶ τῷ ἀποστείλαντί με ῥῆμα.

Β Βασ. 24,13 - Ο Γαδ ήλθε προς τον Δαυίδ, ανήγγειλεν εις αυτόν τα λόγια του Θεού και του είπε· “διάλεξε δια τον εαυτόν σου, τι προτιμάς να γίνη· να πέση επί τρία έτη πείνα εις την χώραν σου η επί τρεις μήνας να φύγης καταδιωκόμενος από τους εχθρούς σου η να πέση θανατικόν επί τρεις ημέρας στον λαόν της χώρας σου. Τωρα λοιπόν σκέψου και πές μου, τι να απαντήσω στον Κυριον, ο οποίος με απέστειλε”.

Β Βασ. 24,14 - καὶ εἶπε Δαυὶδ πρὸς Γάδ· στενά μοι πάντοθεν σφόδρα ἐστίν· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα, εἰς δὲ χεῖρας ἀνθρώπου οὐ μὴ ἐμπέσω·

Β Βασ. 24,14 - Ο Δαυίδ είπε προς τον Γαδ «μεγάλη στενοχώρια και θλίψις ολόγυρά μου. Αντί να πέσω εις τα χέρια εχθρών ανθρώπων, προτιμώ να πέσω εις τα χέρια του Κυρίου, διότι αυτός είναι πολυέλεος”.

Β Βασ. 24,15 - καὶ ἐξελέξατο ἑαυτῷ Δαυὶδ τὸν θάνατον. καὶ ἡμέραι θερισμοῦ πυρῶν, καὶ ἔδωκε Κύριος θάνατον ἐν Ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως ὥρας ἀρίστου, καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ, καὶ ἀπέθανεν ἐκ τοῦ λαοῦ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν.

Β Βασ. 24,15 - Και ο Δαυίδ επροτίμησε την θανατηφόρον επιδημίαν. Ησαν δε τότε αι ημέραι του θερισμού των σιτηρών. Εστειλεν ο Κυριος θανατικόν μεταξύ των Ισραηλιτών από την πρωΐαν έως τας απογευματινάς ώρας. Ηρχισεν η θραύσις του θανάτου μεταξύ του Ισραηλιτικού λαού και απέθανον από τον λαόν, από την πόλιν Δαν μέχρι και την Βηρσαβεέ, εβδόμηκοντα χιλιάδες άνδρες.

Β Βασ. 24,16 - καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ Θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς Ἱερουσαλὴμ τοῦ διαφθεῖραι αὐτήν, καὶ παρεκλήθη Κύριος ἐπὶ τῇ κακίᾳ καὶ εἶπε τῷ ἀγγέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ· πολὺ νῦν, ἄνες τὴν χεῖρά σου· καὶ ὁ ἄγγελος Κυρίου ἦν παρὰ τῇ ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου.

Β Βασ. 24,16 - Ο τιμωρός, άγγελος του Θεού άπλωσε το χέρι του εναντίον της Ιερουσαλήμ, δια να καταστρέψη και αυτήν. Ο Κυριος όμως ηρκέσθη με την έως εδώ τιμωρίαν και ανεκάλεσε την απόφασίν του δια την επέκτασίν του θανάτου και είπεν στον άγγελον, τον εντεταλμένον να αποστείλη θάνατον στον λαόν· “αρκετά έως εδώ. Σταμάτησε το χέρι σου”. Και ο άγγελος του Κυρίου ευρίσκετο τότε στο αλώνι του Ορνά του Ιεβουσαίου.

Β Βασ. 24,17 - καὶ εἶπε Δαυὶδ πρὸς Κύριον ἐν τῷ ἰδεῖν αὐτὸν τὸν ἄγγελον τὸν τύπτοντα ἐν τῷ λαῷ καὶ εἶπεν· ἰδοὺ ἐγώ εἰμι ἠδίκησα καὶ ἐγώ εἰμι ὁ ποιμὴν ἐκακοποίησα, καὶ οὗτοι τὰ πρόβατα τί ἐποίησαν; γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου.

Β Βασ. 24,17 - Ο Δαυίδ βλέπων τον άγγελον να αποστέλλη θάνατον στον λαόν είπε προς τον Κυριον· "ιδού, εγώ είμαι εκείνος ο οποίος ημάρτησα. Εγώ είμαι ο ποιμήν, ο οποίος διέπραξα αυτήν την αδικίαν. Εκείνοι είναι τα πρόβατα, εις τι πταίουν; Ας πέση, λοιπόν, η τιμωρός δεξιά σου εναντίον εμού και εναντίον του οίκου του πατρός μου".

Β Βασ. 24,18 - καὶ ἦλθε Γὰδ πρὸς Δαυὶδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶπεν αὐτῷ· ἀνάβηθι καὶ στῆσον τῷ Κυρίῳ θυσιαστήριον ἐν τῷ ἅλωνι Ὀρνὰ τοῦ Ἰεβουσαίου.

Β Βασ. 24,18 - Ο Γαδ μετέβη κατά την ημέραν εκείνην προς τον Δαυίδ και του είπε· "πήγαινε να ανεγείρης θυσιαστήριον προς τιμήν του Κυρίου στο αλώνι του Ορνά του Ιεβουσαίου".

Β Βασ. 24,19 - καὶ ἀνέβη Δαυὶδ κατὰ τὸν λόγον Γάδ, καθ᾿ ὃν τρόπον ἐνετείλατο αὐτῷ Κύριος.

Β Βασ. 24,19 - Ο Δαυίδ, σύμφωνα, με τον λόγον αυτόν του προφήτου Γαδ, ανέβηκεν εκεί και έκαμεν, όπως τον διέταξεν ο Κυριος.

Β Βασ. 24,20 - καὶ διέκυψεν Ὀρνὰ καὶ εἶδε τὸν βασιλέα καὶ τοὺς παῖδας αὐτοῦ παραπορευομένους ἐπάνω αὐτοῦ, καὶ ἐξῆλθεν Ὀρνὰ καὶ προσεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν.

Β Βασ. 24,20 - Ο Ορνά εκύτταξε προς τα κάτω, είδε τον βασιλέα του με τους ακολουθούντας αυτόν δούλους του, εβγήκε και προσεκύνησε τον βασιλέα έως εδάφους.

Β Βασ. 24,21 - καὶ εἶπεν Ὀρνά· τί ὅτι ἦλθεν ὁ κύριός μου ὁ βασιλεὺς πρός τὸν δοῦλον αὐτοῦ; καὶ εἶπε Δαυὶδ· κτήσασθαι παρὰ σοῦ τὸν ἅλωνα τοῦ οἰκοδομῆσαι θυσιαστήριον τῷ Κυρίῳ, καὶ συσχεθῇ ἡ θραῦσις ἐπάνω τοῦ λαοῦ.

Β Βασ. 24,21 - Είπε δε ο Ορνά προς τον βασιλέα· "διατί, τάχα, ήλθεν ο κύριός μου ο βασιλεύς προς εμέ, τον δούλον του;" Ο Δαυίδ του απήντησεν· "ήλθον να αγοράσω από σε το αλώνι σου, δια να ανοικοδομήσω εδώ θυσιαστήριον προς τιμήν του Κυρίου και να σταματήση έτσι το θανατικό εναντίον του λαού".

Β Βασ. 24,22 - καὶ εἶπεν Ὀρνὰ πρὸς Δαυὶδ· λαβέτω καὶ ἀνενεγκάτω ὁ κύριός μου ὁ βασιλεὺς τῷ Κυρίῳ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ· ἰδοὺ οἱ βόες εἰς ὁλοκαύτωμα, καὶ οἱ τροχοὶ καὶ τὰ σκεύη τῶν βοῶν εἰς ξύλα.

Β Βασ. 24,22 - Ο Ορνά είπε τότε προς τον Δαυίδ· "ας πάρη ο κύριός μου ο βασιλεύς το αλώνι μου και ας το διαθέση δια θυσιαστήριον προς τον Κυριον, όπως αυτός νομίζει καλόν. Ιδού και το βόδια μου ας τα προσφέρη ο

βασιλεύς ολοκαύτωμα προς τον Κυριον. Τα αμάξια και ο ζυγός των ζώων ας είναι ξύλα δια την φωτιάν της θυσίας”.

B Βασ. 24,23 - τὰ πάντα ἔδωκεν Ὀρνὰ τῷ βασιλεῖ, καὶ εἶπεν Ὀρνά πρὸς τὸν βασιλέα· Κύριος ὁ Θεός σου εὐλογήσαι σε.

B Βασ. 24,23 - Ολα τα προσέφερεν ο Ορνά προς τον βασιλέα και είπε προς αυτόν· “είθε Κυριος ο Θεός να σε ευλογήση”.

B Βασ. 24,24 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ὀρνά· οὐχί, ὅτι ἀλλὰ κτώμενος κτήσομαι παρὰ σοῦ ἐν ἀναλλάγματι, καὶ οὐκ ἀνοίσω τῷ Κυρίῳ μου Θεῷ ὁλοκαύτωμα δωρεάν· καὶ ἐκτήσατο Δαυὶδ τὸν ἅλωνα καὶ τοὺς βόας ἐν ἀργυρίῳ σίκλων πεντήκοντα.

B Βασ. 24,24 - Ο βασιλεύς είπε προς τον Ορνά· “όχι, δεν δέχομαι την δωρεάν, αλλά θα αγοράσω το αλώνι σου από σέ με χρήματα και δεν θέλω να προσφέρω στον Κυριον και Θεόν μου δωρεάν τα ολοκαυτώματα”. Ο Δαυίδ ηγόρασε πράγματι το αλώνι και τα βόδια αντί πεντήκοντα αργυρών σίκλων.

B Βασ. 24,25 - καὶ ᾠκοδόμησεν ἐκεῖ Δαυὶδ θυσιαστήριον Κυρίῳ. καὶ ἀνήνεγκεν ὁλοκαυτώσεις καὶ εἰρηνικάς. καὶ προσέθηκε Σαλωμὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ᾿ ἐσχάτῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις. καὶ ἐπήκουσε Κύριος τῇ γῇ, καὶ συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν Ἰσραήλ.

B Βασ. 24,25 - Εκεί δε έκτισε θυσιαστήριον προς τον Κυριον και προσέφερεν επάνω εις αυτό ολοκαυτώματα και άλλας ειρηνικάς θυσίας. Αργότερα δε ο Σολωμών εμεγάλωσεν αυτό το θυσιαστήριον, διότι ήτο μικρόν. Ο Κυριος ήκουσε την δέησιν του Δαυίδ δια την σωτηρίαν της χώρας, έπραΰνθη και εσταμάτησε την θραύσιν την εναντίον του Ισραηλιτικού λαού.

ΒΑΣΙΛΕΙΩΝ Γ' (Βασιλέων Α')

Γ ΒΑΣΙΛΕΙΩΝ 1

Γ Βασ. 1,1 - Καὶ ὁ βασιλεὺς Δαυὶδ πρεσβύτερος προβεβηκὼς ἡμέραις, καὶ περιέβαλλον αὐτὸν ἱματίοις, καὶ οὐκ ἐθερμαίνετο.
Γ Βασ. 1,1 - Ο βασιλεύς Δαυίδ, όταν εγήρασε και είχε προχωρήσει πολύ εις την ηλικίαν, δεν ημπορούσε να θερμανθή, αν και τον περιέβαλλαν με πολλά ενδύματα.
Γ Βασ. 1,2 - καὶ εἶπον οἱ παῖδες αὐτοῦ· ζητησάτωσαν τῷ βασιλεῖ παρθένον νεάνιδα, καὶ παραστήσεται τῷ βασιλεῖ καὶ ἔσται αὐτὸν θάλπουσαν καὶ κοιμηθήσεται μετ᾿ αὐτοῦ καὶ θερμανθήσεται ὁ κύριός μου ὁ βασιλεύς.
Γ Βασ. 1,2 - Οι δούλοι είπαν τότε αναμεταξύ των· “ας αναζητηθή και ας ευρεθή δια τον βασιλέα μας μία νεαρά παρθένος, η οποία θα ευρίσκεται πλησίον αυτού, δια να τον εξυπηρετή. Αυτή θα κοιμάται μαζή του και θα θερμαίνη τον κύριόν μας, τον βασιλέα”.
Γ Βασ. 1,3 - καὶ ἐζήτησαν νεάνιδα καλὴν ἐκ παντὸς ὁρίου Ἰσραὴλ καὶ εὗρον τὴν Ἀβισὰγ τὴν Σωμανῖτιν καὶ ἤνεγκαν αὐτὴν πρὸς τὸν βασιλέα.
Γ Βασ. 1,3 - Πράγματι ανεζήτησαν νεαράν παρθένον ωραίαν μεταξύ όλων των ορίων του Ισραηλιτικού λαού. Και ευρήκαν την Αβισάγ την Σωμανίτιδα, την οποίαν και έφεραν προς τον βασιλέα.
Γ Βασ. 1,4 - καὶ ἡ νεᾶνις καλὴ ἕως σφόδρα· καὶ ἦν θάλπουσα τὸν βασιλέα καὶ ἐλειτούργει αὐτῷ, καὶ ὁ βασιλεὺς οὐκ ἔγνω αὐτήν.
Γ Βασ. 1,4 - Η νεάνις αυτή ήτο πάρα πολύ ωραία. Αυτή λοιπόν εθέρμαινε τον βασιλέα και γενικώς τον εξυπηρετούσε. Ο δε βασιλεύς δεν ήλθε ποτέ εις σαρκικήν σχέσιν με αυτήν.
Γ Βασ. 1,5 - Καὶ Ἀδωνίας υἱὸς Ἀγγὶθ ἐπῄρετο λέγων· ἐγὼ βασιλεύσω· καὶ ἐποίησεν ἑαυτῷ ἅρματα καὶ ἱππεῖς καὶ πεντήκοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ.
Γ Βασ. 1,5 - Ο Αδωνίας, ο υιός της Αγγίθ, υπερηφανεύετο και διαλαλούσε· “εγώ θα γίνω βασιλεύς”. Προς τούτο κατεσκεύασε δια τον εαυτόν του πολεμικά άρματα και προσέλαβεν ιππείς. Είχε δε ως σωματοφυλακήν του πενήντα άνδρας, οι οποίοι και έτρεχαν τιμητικώς εμπρός από αυτόν.
Γ Βασ. 1,6 - καὶ οὐκ ἀπεκώλυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ οὐδέποτε λέγων· διατὶ σὺ ἐποίησας; καί γε αὐτὸς ὡραῖος τῇ ὄψει σφόδρα, καὶ αὐτὸν ἔτεκεν ὀπίσω Ἀβεσσαλώμ.
Γ Βασ. 1,6 - Ο Δαυίδ, ο πατέρας, έβλεπεν όλα αυτά, άλλα ποτέ δεν ημπόδισε τον Αδωνίαν και ποτέ δεν του είπε· “διατί φέρεσαι έτσι;” Ο δε

Αδωνίας ήτο ωραιότατος κατά την μορφήν και το παράστημα. Αυτόν είχε γεννήσει η Αγγίθ έπειτα από τον Αβεσσαλώμ.

Γ Βασ. 1,7 - καὶ ἐγένοντο οἱ λόγοι αὐτοῦ μετὰ Ἰωὰβ τοῦ υἱοῦ Σαρουΐας καὶ μετὰ Ἀβιάθαρ τοῦ ἱερέως, καὶ ἐβοήθουν ὀπίσω Ἀδωνίου·

Γ Βασ. 1,7 - Ο Αδωνίας συνενοήθηκε σχετικώς με τον Ιωάβ, τον υιόν της Σαρουΐας, και με τον αρχιερέα τον Αβιάθαρ, οι οποίοι και τον ηκολούθησαν.

Γ Βασ. 1,8 - καὶ Σαδὼκ ὁ ἱερεὺς καὶ Βαναίας υἱὸς Ἰωδαὲ καὶ Νάθαν ὁ προφήτης καὶ Σεμεΐ καὶ Ῥησὶ καὶ υἱοὶ δυνατοὶ τοῦ Δαυὶδ οὐκ ἦσαν ὀπίσω Ἀδωνίου.

Γ Βασ. 1,8 - Ο αρχιερεύς όμως Σαδώκ, ο Βαναίας υιός του Ιωδαέ, ο προφήτης Ναθαν, ο Σεμεΐ, ο Ρησί και οι άλλοι ισχυροί άνδρες του Δαυίδ δεν ηκολούθουν τον Αδωνίαν. Ο Αδωνίας ήλθεν στον βράχον Ζωελεθί, ο οποίος ήτο πλησίον της πηγής Ρωγήλ,

Γ Βασ. 1,9 - καὶ ἐθυσίασεν Ἀδωνίας πρόβατα καὶ μόσχους καὶ ἄρνας παρὰ τὸν λίθον τοῦ Ζωελεθί, ὃς ἦν ἐχόμενα τῆς Ῥωγήλ, καὶ ἐκάλεσε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ καὶ πάντας τοὺς ἁδροὺς Ἰούδα παῖδας τοῦ βασιλέως·

Γ Βασ. 1,9 - και εθυσίασε πρόβατα, μόσχους και αμνούς· εκεί προσεκάλεσεν όλους τους αδελφούς του, όλους τους επισήμους από τους Ιουδαίους, αυλικούς του βασιλέως.

Γ Βασ. 1,10 - καὶ Νάθαν τὸν προφήτην καὶ Βαναίαν καὶ τοὺς δυνατούς, καὶ τὸν Σαλωμὼν ἀδελφὸν αὐτοῦ οὐκ ἐκάλεσε.

Γ Βασ. 1,10 - Δεν προσεκάλεσεν όμως Ναθαν τον προφήτην, τον Βαναίαν, τους εμπειροπολέμους σωματοφύλακας του βασιλέως καίτόν Σολομώντα, τον αδελφόν αυτού.

Γ Βασ. 1,11 - Καὶ εἶπε Νάθαν πρὸς Βηρσαβεὲ μητέρα Σαλωμὼν λέγων· οὐκ ἤκουσας ὅτι ἐβασίλευσεν Ἀδωνίας υἱὸς Ἀγγίθ; καὶ ὁ κύριος ἡμῶν Δαυὶδ οὐκ ἔγνω.

Γ Βασ. 1,11 - Ο Ναθαν ο προφήτης είπε τότε προς την Βηρσαβεέ, την μητέρα του Σολομώντος· “δεν ήκούσες, ότι ο Αδωνίας, ο υιός της Αγγίθ, ανεκήρυξε τον εαυτόν του βασιλέα, ενώ ο κύριος ημών, ο βασιλεύς Δαυίδ, δεν έχει ουδεμίαν γνώσιν του γεγονότος αυτού;

Γ Βασ. 1,12 - καὶ νῦν δεῦρο συμβουλεύσω σοι δὴ συμβουλίαν, καὶ ἐξελοῦ τὴν ψυχήν σου καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου Σαλωμών.

Γ Βασ. 1,12 - Και τώρα άκουσε μίαν συμβουλήν, που θα σου δώσω, δια να ημπορέσης να σώσης την ζωήν σου και την ζωήν του παιδιού σου, του Σολομώντος.

Γ Βασ. 1,13 - δεῦρο εἴσελθε πρὸς τὸν βασιλέα Δαυὶδ καὶ ἐρεῖς πρὸς αὐτὸν λέγουσα· οὐχὶ σύ, κύριέ μου βασιλεῦ, ὤμοσας τῇ δούλῃ σου λέγων ὅτι ὁ υἱός σου Σαλωμὼν βασιλεύσει μετ᾿ ἐμὲ καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου; καὶ τί ὅτι ἐβασίλευσεν Ἀδωνίας;

Γ Βασ. 1,13 - Πηγαινε αμέσως προς τον βασιλέα Δαυίδ και είπε προς αυτόν τα εξής· Κυριέ μου, βασιλεύ, συ δεν ωρκίσθης εις εμέ την δούλην σου λέγων ότι το παιδί σου, ο Σολομών, θα βασιλεύση ύστερα από εμέ και αυτός θα καθήση επί του θρόνου μου; Διατί λοιπόν τώρα εβασίλευσεν ο Αδωνίας;

Γ Βασ. 1,14 - καὶ ἰδοὺ ἔτι λαλούσης σου ἐκεῖ μετὰ τοῦ βασιλέως καὶ ἐγὼ εἰσελεύσομαι ὀπίσω σου καὶ πληρώσω τοὺς λόγους σου.

Γ Βασ. 1,14 - Την ώραν δέ, κατά την οποίαν συ θα ομιλής εκεί με τον βασιλέα, θα έλθω και εγώ έπειτα από σε και θα επιβεβαιώσω τα λόγια σου”.

Γ Βασ. 1,15 - καὶ εἰσῆλθε Βηρσαβεὲ πρὸς τὸν βασιλέα εἰς τὸ ταμιεῖον, καὶ ὁ βασιλεὺς πρεσβύτης σφόδρα, καὶ Ἀβισὰγ ἡ Σωμανῖτις ἦν λειτουργοῦσα τῷ βασιλεῖ.

Γ Βασ. 1,15 - Η Βηρσαβεέ εισήλθεν στο δωμάτιον, όπου ευρίσκετο ο βασιλεύς, ο οποίος ήτα πολύ προχωρημένος πλέον εις την ηλικίαν και δια τούτο εξυπηρετείτο από την Αβισάγ την Σωμανίτιδα.

Γ Βασ. 1,16 - καὶ ἔκυψε Βηρσαβεὲ καὶ προσεκύνησε τῷ βασιλεῖ· καὶ εἶπεν ὁ βασιλεύς· τί ἔστι σοι;

Γ Βασ. 1,16 - Η Βηρσαβεέ έσκυψε και προσεκύνησε τον βασιλέα. Εκείνος δε την ηρώτησε· “τι σου συμβαίνει;”

Γ Βασ. 1,17 - ἡ δὲ εἶπε· κύριέ μου βασιλεῦ, σὺ ὤμοσας ἐν Κυρίῳ τῷ Θεῷ σου τῇ δούλῃ σου λέγων· ὅτι ὁ υἱός σου Σαλωμὼν βασιλεύσει μετ᾿ ἐμὲ καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου.

Γ Βασ. 1,17 - Η Βηρσαβεέ απήντησε· “κύριέ μου βασιλεύ, συ ωρκίσθης στο όνομα Κυρίου του Θεού σου και υπεσχέθης εις εμέ την δούλην σου ειπών· Το παιδί σου, ο Σολομών, θα βασιλεύση έπειτα από εμέ. Αυτός θα καθήση στον θρόνον μου.

Γ Βασ. 1,18 - καὶ νῦν ἰδοὺ Ἀδωνίας ἐβασίλευσε, καὶ σύ, κύριέ μου βασιλεῦ, οὐκ ἔγνως·

Γ Βασ. 1,18 - Και ιδού τώρα ο Αδωνίας ανεκηρύχθη βασιλεύς, χωρίς συ, κύριέ μου και βασιλεύ, να πληροφορηθής το γεγονός.

Γ Βασ. 1,19 - καὶ ἐθυσίασε μόσχους καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ βασιλέως καὶ Ἀβιάθαρ τὸν ἱερέα καὶ Ἰωὰβ τὸν ἄρχοντα τῆς δυνάμεως, καὶ τὸν Σαλωμὼν τὸν δοῦλόν σου οὐκ ἐκάλεσε.

Γ Βασ. 1,19 - Εκείνος εθυσίασε μοσχάρια, αρνιά και πολυάριθμα πρόβατα και προσεκάλεσεν εκεί όλους τους υιούς του βασιλέως, όπως επίσης τον αρχιερέα Αβιάθαρ, τον αρχιστράτηγον Ιωάβ· τον Σολομώντα όμως, τον υιόν σου, δεν τον εκάλεσε.

Γ Βασ. 1,20 - καὶ σύ, κύριέ μου βασιλεῦ, οἱ ὀφθαλμοὶ παντὸς Ἰσραὴλ πρός σε. ἀπάγγειλαι αὐτοῖς τίς καθήσεται ἐπὶ τοῦ θρόνου τοῦ κυρίου μου τοῦ βασιλέως μετ᾿ αὐτόν.

Γ Βασ. 1,20 - Προς σε δέ, κύριέ μου βασιλεύ, είναι εστραμμένοι οι οφθαλμοί όλου του Ισραηλιτικού λαού, δια να αναγγείλης εις αυτούς ποίος πράγματι θα καθήση στον θρόνον σου έπειτα από σέ.

Γ Βασ. 1,21 - καὶ ἔσται ὡς ἂν κοιμηθῇ ὁ κύριός μου ὁ βασιλεὺς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔσομαι ἐγὼ καὶ Σαλωμὼν ὁ υἱὸς μου ἁμαρτωλοί.

Γ Βασ. 1,21 - Εάν δε ο κύριός μου και ο βασιλεύς κοιμηθή και προστεθή στους προπάτορας αυτού, θελήση δε ο υιός μου ο Σολομών να διεκδικήση τον θρόνον, τότε αυτός και εγώ θα θεωρηθώμεν ως ένοχοι".

Γ Βασ. 1,22 - καὶ ἰδοὺ ἔτι αὐτῆς λαλούσης μετὰ τοῦ βασιλέως καὶ Νάθαν ὁ προφήτης ἦλθε.

Γ Βασ. 1,22 - Και ιδού, ενώ ακόμη αυτή ωμιλούσε με τον βασιλέα, έφθασεν ο προφήτης Ναθαν.

Γ Βασ. 1,23 - καὶ ἀνηγγέλη τῷ βασιλεῖ· ἰδοὺ Νάθαν ὁ προφήτης· καὶ εἰσῆλθε κατὰ πρόσωπον τοῦ βασιλέως καὶ προσεκύνησε τῷ βασιλεῖ κατὰ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν.

Γ Βασ. 1,23 - Ανήγγειλαν στον βασιλέα· "ιδού, ο Ναθαν ο προφήτης ήλθε". Εξήλθεν η Βηρσαβεέ και ο Ναθαν εισήλθε και παρουσιάσθη ενώπιον του βασιλέως, προσεκύνησεν αυτόν, κύψας το πρόσωπόν του μέχρις εδάφους.

Γ Βασ. 1,24 - καὶ εἶπε Νάθαν· κύριέ μου βασιλεῦ, σὺ εἶπας Ἀδωνίας βασιλεύσει ὀπίσω μου καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου;

Γ Βασ. 1,24 - Ο Ναθαν ηρώτησε· "Κυριέ μου βασιλεύ, συ απεφάσισες και ανήγγειλες, ότι ο Αδωνίας θα βασιλεύση έπειτα από σε και θα καθήση στον θρόνον σου;

Γ Βασ. 1,25 - ὅτι κατέβη σήμερον καὶ ἐθυσίασε μόσχους καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ βασιλέως καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως καὶ Ἀβιάθαρ τὸν ἱερέα, καὶ ἰδοὺ εἰσὶν ἐσθίοντες καὶ πίνοντες ἐνώπιον αὐτοῦ καὶ εἶπαν· ζήτω ὁ βασιλεὺς Ἀδωνίας.

Γ Βασ. 1,25 - Διότι αυτός σήμερον κατέβηκε και εθυσίασε μοσχάρια, αρνιά και πρόβατα πολυάριθμα, προσεκάλεσεν εκεί όλους τους υιούς του βασιλέως, τους αρχηγούς του στρατού και τον αρχιερέα Αβιάθαρ. Και ιδού εκείνοι τρώγουν και πίνουν μαζή του και ανακράζουν· Ζητω ο βασιλεύς Αδωνίας.

Γ Βασ. 1,26 - καὶ ἐμὲ αὐτὸν τὸν δοῦλόν σου καὶ Σαδὼκ τὸν ἱερέα καὶ Βαναίαν υἱὸν Ἰωδαὲ καὶ Σαλωμὼν τὸν δοῦλόν σου οὐκ ἐκάλεσεν.

Γ Βασ. 1,26 - Εμέ δε τον δούλον σου και τον Σαδώκ τον αρχιερέα, τον Βαναίαν τον υιόν του Ιωδαέ και τον Σολομώντα τον υιόν σου δεν εκάλεσεν.

Γ Βασ. 1,27 - εἰ διὰ τοῦ κυρίου μου τοῦ βασιλέως γέγονε τὸ ῥῆμα τοῦτο καὶ οὐκ ἐγνώρισας τῷ δούλῳ σου τίς καθήσεται ἐπὶ τὸν θρόνον τοῦ κυρίου μου τοῦ βασιλέως μετ᾿ αὐτόν;

Γ Βασ. 1,27 - Εάν το πράγμα αυτό έγινε κατόπιν εντολής του κυρίου μου του βασιλέως, πως δεν μου το κατέστησες γνωστόν, ώστε να γνωρίζω και εγώ ο δούλός σου, ποίος θα καθίση στον θρόνον του κυρίου μου του βασιλέως έπειτα από αυτόν;"

Γ Βασ. 1,28 - καὶ ἀπεκρίθη ὁ βασιλεὺς Δαυὶδ καὶ εἶπε· καλέσατέ μοι τὴν Βηρσαβεέ· καὶ εἰσῆλθεν ἐνώπιον τοῦ βασιλέως καὶ ἔστη ἐνώπιον αὐτοῦ.

Γ Βασ. 1,28 - Απεκρίθη ο Δαυίδ και είπε· "φωνάξατε να έλθη η Βηρσαβεέ". Η Βηρσαβεέ εισήλθε και εστάθη ενώπιον του βασιλέως.

Γ Βασ. 1,29 - καὶ ὤμοσεν ὁ βασιλεὺς καὶ εἶπε· ζῇ Κύριος, ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ πάσης θλίψεως,

Γ Βασ. 1,29 - Ο βασιλεύς ενώπιον αυτής και του Ναθαν ωρκίσθη και είπεν· "ορκίζομαι στον ζώντα Κυριον και Θεόν, ο οποίος μέχρι σήμερον εγλύτωσε την ζωήν μου από πολλούς και διαφόρους κινδύνους,

Γ Βασ. 1,30 - ὅτι καθὼς ὤμοσά σοι ἐν Κυρίῳ Θεῷ Ἰσραὴλ λέγων ὅτι Σαλωμὼν ὁ υἱός σου βασιλεύσει μετ᾿ ἐμὲ καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου ἀντ᾿ ἐμοῦ, ὅτι οὕτω ποιήσω τῇ ἡμέρᾳ ταύτῃ.

Γ Βασ. 1,30 - ότι, όπως υπεσχέθην εις σε ορκισθείς στο όνομα του Θεού του Ισραήλ λέγων, ότι ο Σολομών, ο υιός σου, θα βασιλεύση έπειτα από εμέ και αυτός θα καθήση στον θρόνον μου ως διάδοχός μου, έτσι σου λέγω και τώρα, ότι τούτο θα κάμω κατά την ημέραν αυτήν".

Γ Βασ. 1,31 - καὶ ἔκυψε Βηρσαβεὲ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ προσεκύνησε τῷ βασιλεῖ καὶ εἶπε· ζήτω ὁ κύριός μου ὁ βασιλεὺς Δαυὶδ εἰς τὸν αἰῶνα.

Γ Βασ. 1,31 - Η Βηρσαβεέ έσκυψε το πρόσωπόν της μέχρις εδάφους, προσεκύνησε τον βασιλέα και είπε· "είθε να ζη ο κύριός μου και βασιλεύς Δαυίδ αιωνίως".

Γ Βασ. 1,32 - καὶ εἶπεν ὁ βασιλεὺς Δαυίδ· καλέσατέ μοι Σαδὼκ τὸν ἱερέα καὶ Νάθαν τὸν προφήτην καὶ Βαναίαν υἱὸν Ἰωδαέ· καὶ εἰσῆλθον ἐνώπιον τοῦ βασιλέως,

Γ Βασ. 1,32 - Ο βασιλεύς Δαυίδ είπε· "καλέσατε να παρουσιασθούν ενώπιόν μου ο αρχιερεύς Σαδώκ, ο προφήτης Ναθαν, ο Βαναίας ο υιός του Ιωδαέ". Αυτοί δε και παρουσιάσθησαν ενώπιον του βασιλέως.

Γ Βασ. 1,33 - καὶ εἶπεν ὁ βασιλεὺς αὐτοῖς· λάβετε τοὺς δούλους τοῦ κυρίου ὑμῶν μεθ᾿ ὑμῶν καὶ ἐπιβιβάσατε τὸν υἱόν μου Σαλωμὼν ἐπὶ τὴν ἡμίονον τὴν ἐμὴν καὶ καταγάγετε αὐτὸν εἰς τὴν Γιών,

Γ Βασ. 1,33 - Ο βασιλεύς είπε προς αυτούς· "πάρετε μαζή σας την σωματοφυλακήν εμού του κυρίου σας και αναβιβάσατε εις την ιδικήν μου ημίονον τον υιόν μου τον Σολομώντα και οδηγήσατε αυτόν εις την Γιών.

Γ Βασ. 1,34 - καὶ χρισάτω αὐτὸν ἐκεῖ Σαδὼκ ὁ ἱερεὺς καὶ Νάθαν ὁ προφήτης εἰς βασιλέα ἐπὶ Ἰσραήλ, καὶ σαλπίσατε κερατίνῃ καὶ ἐρεῖτε· ζήτω

ὁ βασιλεὺς Σαλωμών.

Γ Βασ. 1,34 - Εκεί ο αρχιερεύς Σαδώκ ενώπιον και του προφήτου Ναθαν ας χρίση αυτόν ως βασιλέα του Ισραηλιτικού λαού. Κατόπιν με την κερατίνην σάλπιγγα σαλπίσατε και διαλαλήσατε· Ζητω ο βασιλεύς Σολομών.

Γ Βασ. 1,35 - καὶ καθήσεται ἐπὶ τοῦ θρόνου μου καὶ βασιλεύσει ἀντ᾿ ἐμοῦ, καὶ ἐγὼ ἐνετειλάμην τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ Ἰσραὴλ καὶ Ἰούδαν.

Γ Βασ. 1,35 - Αυτός θα καθήση επί του θρόνου μου και θα βασιλεύση αντί εμού. Εγώ έδωσα την εντολήν να είναι αυτός άρχων εις όλον τον ισραηλιτικόν λαόν και εις την φυλήν του Ιούδα".

Γ Βασ. 1,36 - καὶ ἀπεκρίθη Βαναίας υἱὸς Ἰωδαὲ τῷ βασιλεῖ καὶ εἶπε· γένοιτο οὕτως· πιστώσαι Κύριος ὁ Θεὸς τοῦ κυρίου μου τοῦ βασιλέως.

Γ Βασ. 1,36 - Ο Βαναίας, ο υιός του Ιωδαέ, απεκρίθη και είπε στον βασιλέα· "ας γίνη, όπως διέταξεν ο βασιλεύς. Κυριος ο Θεός του κυρίου μου του βασιλέως ας επαληθεύση και ας πραγματοποίηση τους λόγους σου.

Γ Βασ. 1,37 - καθὼς ἦν Κύριος μετὰ τοῦ κυρίου μου τοῦ βασιλέως, οὕτως εἴη μετὰ Σαλωμὼν καὶ μεγαλύναι τὸν θρόνον αὐτοῦ ὑπὲρ τὸν θρόνον τοῦ κυρίου μου τοῦ βασιλέως Δαυίδ.

Γ Βασ. 1,37 - Είθε δέ, όπως Κυριος ο Θεός ήτο μαζή με τον κύριόν μου τον βασιλέα, κατά παρόμοιον τρόπον να είναι μαζή με τον Σολομώντα, και να δοξάση την βασιλείαν του περισσότερον από την βασιλείαν του κυρίου μου του βασιλέως Δαυίδ".

Γ Βασ. 1,38 - καὶ κατέβη Σαδὼκ ὁ ἱερεὺς καὶ Νάθαν ὁ προφήτης καὶ Βαναίας υἱὸς Ἰωδαὲ καὶ ὁ Χερεθὶ καὶ ὁ Φελεθὶ καὶ ἐπεκάθισαν τὸν Σαλωμὼν ἐπὶ τὴν ἡμίονον τοῦ βασιλέως Δαυὶδ καὶ ἀπήγαγον αὐτὸν εἰς τὴν Γιών.

Γ Βασ. 1,38 - Πράγματι ο αρχιερεύς Σαδώκ, ο προφήτης Ναθαν και ο Βαναίας ο υιός του Ιωδαέ, όπως επίσης και η βασιλική φρουρά, που απετελείτο από τα Χερεθί και Φελεθί, ήλθον. Αυτοί εβοήθησαν και εκάθησεν εις την ημίονον του βασιλέως Δαυίδ ο Σολομών και ωδήγησαν αυτόν εις την Γιών.

Γ Βασ. 1,39 - καὶ ἔλαβε Σαδὼκ ὁ ἱερεὺς τὸ κέρας τοῦ ἐλαίου ἐκ τῆς σκηνῆς καὶ ἔχρισε τὸν Σαλωμὼν καὶ ἐσάλπισε τῇ κερατίνῃ, καὶ εἶπε πᾶς ὁ λαός· ζήτω ὁ βασιλεὺς Σαλωμών.

Γ Βασ. 1,39 - Ο αρχιερεύς Σαδώκ επήρε την κερατίνην φιάλην, η οποία περιείχεν ιερόν έλαιον από την Σκηνήν του Μαρτυρίου και έχρισε τον Σολομώντα. Κατόπιν εσάλπισε με την κερατίνην σάλπιγγα και όλος ο παριστάμενος λαός εφώναζε· Ζητω ο βασιλεύς ο Σολομών.

Γ Βασ. 1,40 - καὶ ἀνέβη πᾶς ὁ λαὸς ὀπίσω αὐτοῦ καὶ ἐχόρευον ἐν χοροῖς καὶ εὐφραινόμενοι εὐφροσύνην μεγάλην, καὶ ἐῤῥάγη ἡ γῆ ἐν τῇ φωνῇ αὐτῶν.

Γ Βασ. 1,40 - Ολος ο Ισραηλιτικός λαός ανεγνώρισε και ηκολούθησε τον Σολομώντα ως βασιλέα. Οι Ισραηλίται εχόρευσαν τότε πολλούς χορούς και διεσκέδασαν με χαράν μεγάλην ζητωκραυγάζοντες, ώστε σαν να εσείετο και να εσχίζετο η γη από τας φωνάς αυτών.

Γ Βασ. 1,41 - Καὶ ἤκουσεν Ἀδωνίας καὶ πάντες οἱ κλητοὶ αὐτοῦ, καὶ αὐτοὶ συνετέλεσαν φαγεῖν· καὶ ἤκουσεν Ἰωὰβ τὴν φωνὴν τῆς κερατίνης καὶ εἶπε· τίς ἡ φωνὴ τῆς πόλεως ἠχούσης;

Γ Βασ. 1,41 - Ο Αδωνίας και όλοι οι επίσημοι άνδρες, που ήσαν μαζή του, ήκουσαν αυτόν τον θόρυβον, όταν πλέον είχε τελειώσει το συμπόσιόν των. Ο δε Ιωάβ, όταν ήκουσε τον ήχον της σάλπιγγος, ηρώτησε· “τι σημαίνουν αι κραυγαί αυταί, από τας οποίας αντηχεί ολόκληρος η πόλις;”

Γ Βασ. 1,42 - ἔτι αὐτοῦ λαλοῦντος καὶ ἰδοὺ Ἰωνάθαν υἱὸς Ἀβιάθαρ τοῦ ἱερέως εἰσῆλθε, καὶ εἶπεν Ἀδωνίας· εἴσελθε, ὅτι ἀνὴρ δυνάμεως εἶ σύ, καὶ ἀγαθὰ εὐαγγέλισαι.

Γ Βασ. 1,42 - Ενώ δε έλεγεν αυτά, ιδού ο Ιωνάθαν, ο υιός του αρχιερέως Αβιάθαρ, προσήλθεν εις την συγκέντρωσιν αυτήν και ο Αδωνίας του είπεν· “έλα, διότι είσαι γενναίος άνθρωπος και ασφαλώς αγγελιαφόρος καλών ειδήσεων”.

Γ Βασ. 1,43 - καὶ ἀπεκρίθη Ἰωνάθαν καὶ εἶπε· καὶ μάλα ὁ κύριος ἡμῶν ὁ βασιλεὺς Δαυὶδ ἐβασίλευσε τὸν Σαλωμών·

Γ Βασ. 1,43 - Ο Ιωνάθαν απήντησε και είπε· “βεβαιότατα ο κύριος μας, ο βασιλεύς Δαυίδ, ανεκήρυξε τον Σολομώντα ως βασιλέα.

Γ Βασ. 1,44 - καὶ ἀπέστειλε μετ᾿ αὐτοῦ ὁ βασιλεὺς τὸν Σαδὼκ τὸν ἱερέα καὶ Νάθαν τὸν προφήτην καὶ Βαναίαν τὸν υἱὸν Ἰωδαὲ καὶ τὸν Χερεθὶ καὶ τὸν Φελεθὶ καὶ ἐπεκάθισαν αὐτὸν ἐπὶ τὴν ἡμίονον τοῦ βασιλέως·

Γ Βασ. 1,44 - Ο βασιλεύς έστειλε μαζή με τον Σολομώντα τον αρχιερέα Σαδώκ, τον προφήτην Ναθαν, τον Βαναίαν τον υιόν του Ιωδαέ, την βασιλικήν φρουράν των Χερεθί και Φελεθί, οι οποίοι εβοήθησαν τιμητικώς να ανεβή ο Σολομών εις την βασιλικήν ημίονον.

Γ Βασ. 1,45 - καὶ ἔχρισαν αὐτὸν Σαδὼκ ὁ ἱερεὺς καὶ Νάθαν ὁ προφήτης ἐν τῇ Γιών, καὶ ἀνέβησαν ἐκεῖθεν εὐφραινόμενοι καὶ ἤχησεν ἡ πόλις· αὕτη ἡ φωνὴ ἣν ἠκούσατε.

Γ Βασ. 1,45 - Ο αρχιερεύς Σαδώκ ενώπιον και του προφήτου Ναθαν έχρισε τον Σολομώντα βασιλέα εις την Γιών. Από εκεί επέστρεψαν ευφραινόμενοι εις την Ιερουσαλήμ και όλη η πόλις αντήχησεν από τας ζητωκραυγάς. Αυταί είναι αι φωναί τας οποίας ηκούσατε”.

Γ Βασ. 1,46 - καὶ ἐκάθισε Σαλωμὼν ἐπὶ θρόνον βασιλείας,

Γ Βασ. 1,46 - Ετσι ο Σολομών εκάθησεν στον βασιλικόν θρόνον.

Γ Βασ. 1,47 - καὶ εἰσῆλθον οἱ δοῦλοι τοῦ βασιλέως εὐλογῆσαι τὸν κύριον ἡμῶν τὸν βασιλέα Δαυὶδ λέγοντες· ἀγαθύναι ὁ Θεὸς τὸ ὄνομα Σαλωμὼν

ὑπὲρ τὸ ὄνομά σου καὶ μεγαλύναι τὸν θρόνον αὐτοῦ ὑπὲρ τὸν θρόνον σου· καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐπὶ τὴν κοίτην,

Γ Βασ. 1,47 - Ολοι δε οι αυλικοί και το περιβάλλον του βασιλέως Δαυίδ εισήλθεν εις την αίθουσαν αυτού, δια να τον τιμήσουν και τον δοξάσουν λέγοντες· “είθε ο Θεός να δοξάση το όνομα του Σολομώντος περισσότερον από το ιδικόν σου όνομα και να αναδείξη την βασιλείαν του ανωτέραν από την βασιλείαν την ιδικήν σου”. Ο δε βασιλεύς ηυχαριστήθη και προσεκύνησε από την κλίνην του τον Θεόν.

Γ Βασ. 1,48 - καί γε οὕτως εἶπεν ὁ βασιλεύς· εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὃς ἔδωκε σήμερον ἐκ τοῦ σπέρματός μου καθήμενον ἐπὶ τοῦ θρόνου μου, καὶ οἱ ὀφθαλμοί μου βλέπουσι.

Γ Βασ. 1,48 - Ο βασιλεύς ηυχήθη κατά τον ίδιον τρόπον και είπε· “δοξασμένος ας είναι Κυριος ο Θεός του Ισραηλιτικού λαού, ο οποίος σήμερον έδωκεν από τους υιούς μου βασιλέα να καθήση στον θρόνον μου και τον οποίον βασιλέα βλέπω εγώ με τα ίδια μου τα μάτια”.

Γ Βασ. 1,49 - Καὶ ἐξέστησαν πάντες οἱ κλητοὶ τοῦ Ἀδωνίου καὶ ἦλθον ἀνὴρ εἰς τὴν ὁδὸν αὐτοῦ.

Γ Βασ. 1,49 - Κατόπιν αυτών όλοι οι επίσημοι προσκεκλημένοι του Αδωνίου εταράχθησαν και διεσκορπίσθησαν και ο καθένας επήρε τον δρόμον δια το σπίτι του.

Γ Βασ. 1,50 - καὶ Ἀδωνίας ἐφοβήθη ἀπὸ προσώπου Σαλωμὼν καὶ ἀνέστη καὶ ἀπῆλθε καὶ ἐπελάβετο τῶν κεράτων τοῦ θυσιαστηρίου.

Γ Βασ. 1,50 - Ο ίδιος ο Αδωνίας εφοβήθη τον Σολομώντα, εσηκώθη και ήλθεν στο θυσιαστήριον των ολοκαυτωμάτων και έπιασε τα κέρατα του θυσιαστηρίου.

Γ Βασ. 1,51 - καὶ ἀνηγγέλη τῷ Σαλωμὼν λέγοντες· ἰδοὺ Ἀδωνίας ἐφοβήθη τὸν βασιλέα Σαλωμὼν καὶ κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου λέγων· ὀμοσάτω μοι σήμερον Σαλωμών, εἰ οὐ θανατώσει τὸν δοῦλον αὐτοῦ ἐν ῥομφαίᾳ.

Γ Βασ. 1,51 - Αυτό ανέφεραν μερικοί στον Σολομώντα και του είπαν· “ιδού, ο Αδωνίας εφοβήθη τον βασιλέα Σολομώντα και κρατεί με τα χέρια του τα κέρατα του θυσιαστηρίου των ολοκαυτωμάτων λέγων· Ας μου ορκισθή σήμερον ο Σολομών, ότι δεν θα θανατώση δια ρομφαίας εμέ, τον δούλον του”.

Γ Βασ. 1,52 - καὶ εἶπε Σαλωμών· ἐὰν γένηται εἰς υἱὸν δυνάμεων, εἰ πεσεῖται τῶν τριχῶν αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐὰν κακία εὑρεθῇ ἐν αὐτῷ, θανατωθήσεται.

Γ Βασ. 1,52 - Ο Σολομών είπεν· “εάν στο μέλλον αναδειχθή καλός και τίμιος άνθρωπος, ούτε τρίχα δεν θα πέση από το κεφάλι του. Εάν όμως συλληφθή εις νέον ολίσθημα, θα καταδικασθή εις θάνατον”.

Γ Βασ. 1,53 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς Σαλωμὼν καὶ κατήνεγκαν αὐτὸν ἀπάνωθεν τοῦ θυσιαστηρίου· καὶ εἰσῆλθε καὶ προσεκύνησε τῷ βασιλεῖ Σαλωμών, καὶ εἶπεν αὐτῷ Σαλωμών· δεῦρο εἰς τὸν οἶκόν σου.
Γ Βασ. 1,53 - Ο βασιλεύς Σολομών έστειλεν ανθρώπους, οι οποίοι κατέβασαν τον Αδωνίαν από το θυσιαστήριον των ολοκαυτωμάτων. Εκείνος παρουσιάσθη ενώπιον του βασιλέως Σολομώντος και τον προσεκύνησεν. Ο δε Σολομών του είπε· “πήγαινε στο σπίτι σου”.

Γ ΒΑΣΙΛΕΙΩΝ 2

Γ Βασ. 2,1 - Καὶ ἤγγισαν αἱ ἡμέραι Δαυὶδ ἀποθανεῖν αὐτόν, καὶ ἀπεκρίνατο Σαλωμὼν υἱῷ αὐτοῦ λέγων·
Γ Βασ. 2,1 - Επλησίασαν πλέον αι ημέραι, κατά τας οποίας ο Δαυίδ θα απέθνησκεν. Εκάλεσε τον Σολομώντα και κατά τρόπον επίσημον του είπε·
Γ Βασ. 2,2 - ἐγώ εἰμι πορεύομαι ἐν ὁδῷ πάσης τῆς γῆς· καὶ ἰσχύσεις καὶ ἔσῃ εἰς ἄνδρα.
Γ Βασ. 2,2 - “εγώ ο Δαυίδ βαδίζω τώρα τον δρόμον προς τον θάνατον, τον οποίον βαδίζουν και όλοι οι άνθρωποι της γης. Συ δε πρέπει να αναδειχθής ισχυρός και ανδρείος.
Γ Βασ. 2,3 - καὶ φυλάξεις φυλακὴν Κυρίου Θεοῦ σου τοῦ πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα τὰ γεγραμμένα ἐν τῶ νόμῳ Μωυσέως· ἵνα συνήσῃς ἃ ποιήσεις κατὰ πάντα, ὅσα ἂν ἐντείλωμαί σοι,
Γ Βασ. 2,3 - Προς τούτο θα προσπαθήσης και θα καταβάλης κάθε φροντίδα να φυλάξης όλα, όσα διέταξε Κυριος ο Θεός σου, να πορεύεσαι στους δρόμους, τους οποίους αυτός σου εχάραξε. Αυτό δε θα το επιτύχης, αν τηρής τας εντολάς του, τα δικαιώματά του και τα κρίματά του, τα οποία είναι γραμμένα στον Νομον του Μωϋσέως. Ετσι όταν ζης και πορεύεσαι, θα ενοήσης όλα όσα εγώ σε διατάσσω να κάμης.
Γ Βασ. 2,4 - ἵνα στήσῃ Κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησε λέγων· ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν πορεύεσθαι ἐνώπιόν μου ἐν ἀληθείᾳ ἐν ὅλῃ καρδίᾳ αὐτῶν λέγων· οὐκ ἐξολοθρευθήσεταί σοι ἀνὴρ ἐπάνωθεν θρόνου Ἰσραήλ.
Γ Βασ. 2,4 - Ετσι και ο Κυριος θα εκπληρώση την υπόσχεσίν του, την οποίαν έδωσε λέγων· Εάν τα παιδιά σου προσέξουν την πορείαν της ζωής των και βαδίζουν με όλην αυτών την καρδίαν κατά αλήθειαν ενώπιόν μου, τότε δεν θα εξολοθρευθή διάδοχός σου από τον βασιλικόν θρόνον επί του Ισραηλιτικού λαού.

Γ Βασ. 2,5 - καί γε σὺ ἔγνως ὅσα ἐποίησέ μοι Ἰωὰβ υἱὸς Σαρουΐας, ὅσα ἐποίησε τοῖς δυσὶν ἄρχουσι τῶν δυνάμεων Ἰσραήλ, τῷ Ἀβεννὴρ υἱῷ Νὴρ καὶ τῷ Ἀμεσσαΐ υἱῷ Ἰεθέρ, καὶ ἀπέκτεινεν αὐτοὺς καὶ ἔταξε τὰ αἵματα πολέμου ἐν εἰρήνῃ καὶ ἔδωκεν αἷμα ἀθῷον ἐν τῇ ζώνῃ αὐτοῦ τῇ ἐν τῇ ὀσφύϊ αὐτοῦ καὶ ἐν τῷ ὑποδήματι αὐτοῦ τῷ ἐν τῶ ποδὶ αὐτοῦ·

Γ Βασ. 2,5 - Γνωρίζεις δε και συ προσωπικώς, όσα κακά έκαμε εναντίον μου ο Ιωάβ, ο υιός της Σαρουΐας. Οσα έκαμε εναντίον των δύο στρατηγών του Ισραηλιτικού λαού, του Αβεννήρ, υιού του Νηρ, και του Αμεσσαΐ υιού του Ιεθέρ. Εφόνευσεν αυτούς κατά τρόπον δολοφονικόν, έχυσεν ανδρεία αίματα εις καιρόν ειρήνης και έτσι το αθώον αίμα των θυμάτων του έτρεξεν εις την ζώνην του, εις την ζώνην της οσφύος του και εις τα υποδήματά του, που εφορούσεν εις τα πόδια του.

Γ Βασ. 2,6 - καὶ ποιήσεις κατὰ τὴν σοφίαν σου καὶ οὐ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν εἰρήνῃ εἰς ᾄδου·

Γ Βασ. 2,6 - Θα πράξης και θα φερθής απέναντι του σύμφωνα με την σύνεσίν σου και σοφίαν σου και δεν θα αποθάνη αυτός, ο ασπρομάλλης γέρων, με φυσικόν θάνατον.

Γ Βασ. 2,7 - καὶ τοῖς υἱοῖς Βερζελλὶ τοῦ Γαλααδίτου ποιήσεις ἔλεος, καὶ ἔσονται ἐν τοῖς ἐσθίουσι τὴν τράπεζάν σου, ὅτι οὕτως ἤγγισάν μοι ἐν τῷ με ἀποδιδράσκειν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ σου.

Γ Βασ. 2,7 - Εις τους υιούς όμως του Βερζελλί, ο οποίος κατάγεται από την Γαλαάδ, θα συμπεριφερθής με πολλήν καλωσύνην, διότι έτσι συμπεριεφέρθησαν και αυτοί απέναντί μου, όταν εδραπέτευσα από την πατρίδα μας φεύγων την καταδίωξιν του αδελφού σου, του Αβεσσαλώμ.

Γ Βασ. 2,8 - καὶ ἰδοὺ μετὰ σοῦ Σεμεΐ υἱὸς Γηρὰ υἱὸς τοῦ Ἰεμενὶ ἐκ Βαουρίμ, καὶ αὐτὸς κατηράσατό με κατάραν ὀδυνηρὰν τῇ ἡμέρᾳ, ᾗ ἐπορευόμην εἰς Παρεμβολάς, καὶ αὐτὸς κατέβη εἰς ἀπαντήν μου εἰς τὸν Ἰορδάνην, καὶ ὤμοσα αὐτῷ ἐν Κυρίῳ λέγων· εἰ θανατώσω σε ἐν ῥομφαίᾳ·

Γ Βασ. 2,8 - Ιδού, μαζή σου ευρίσκεται ο Σεμεΐ, ο υιός του Γηρά, ο Βενιαμίτης από την πόλιν Βαουρίμ. Αυτός αδίκως με κατηράσθη με φρικτήν κατάραν κατά την ημέραν, κατά την οποίαν έφευγα εις τας Παρεμβολάς. Αυτός όμως ο ίδιος κατά την επιστροφήν μου κατέβη εις προϋπάντησίν μου στον Ιορδάνην ποταμόν. Εγώ δε ωρκίσθηκα εις αυτόν ενώπιον του Κυρίου και είπα· Δια την ένοχον προτέραν διαγωγήν δεν θα διατάξω εγώ να σε εκτελέσουν με ρομφαίαν.

Γ Βασ. 2,9 - καὶ οὐ μὴ ἀθῳώσῃς αὐτόν, ὅτι ἀνὴρ σοφὸς εἶ σὺ καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ, καὶ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵματι εἰς ᾄδου.

Γ Βασ. 2,9 - Συ όμως δεν θα τον αφήσης ατιμώρητον. Είσαι σοφός και γνωρίζεις, τι θα πράξης προς αυτόν, ώστε με βίαιον θάνατον να στείλης τον ασπρομάλλην αυτόν στον τάφον”

Γ Βασ. 2,10 - καὶ ἐκοιμήθη Δαυὶδ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει Δαυίδ.

Γ Βασ. 2,10 - Ο Δαυίδ εκοιμήθη και προσετέθη στους προπάτορας αυτού. Ετάφη δε εις την πόλιν Δαυίδ.

Γ Βασ. 2,11 - καὶ αἱ ἡμέραι, ἃς ἐβασίλευσε Δαυὶδ ἐπὶ τὸν Ἰσραὴλ τεσσαράκοντα ἔτη· ἐν Χεβρὼν ἐβασίλευσεν ἑπτὰ ἔτη καὶ ἐν Ἱερουσαλὴμ τριακοντατρία ἔτη.

Γ Βασ. 2,11 - Τα έτη, κατά τα οποία εβασίλευσεν ο Δαυίδ επί του ισραηλιτικού λαού, ήσαν τεσσαράκοντα. Επτά έτη εβασίλευσεν εις την Χεβρών και τριάκοντα τρία έτη εις την Ιερουσαλήμ.

Γ Βασ. 2,12 - Καὶ Σαλωμὼν ἐκάθισεν ἐπὶ θρόνου Δαυὶδ τοῦ πατρὸς αὐτοῦ υἱὸς ἐτῶν δώδεκα καὶ ἡτοιμάσθη ἡ βασιλεία αὐτοῦ σφόδρα.

Γ Βασ. 2,12 - Ο Σολομών εκάθισεν στον θρόνον του πατρός του Δαυίδ εις ηλικίαν δώδεκα ετών, η δε βασιλεία του ετακτοποιήθη και εστερεώθη πολύ.

Γ Βασ. 2,13 - καὶ εἰσῆλθεν Ἀδωνίας υἱὸς Ἀγγὶθ πρὸς Βηρσαβεὲ μητέρα Σαλωμὼν καὶ προσεκύνησεν αὐτῇ. ἡ δὲ εἶπεν· εἰρήνη ἡ εἴσοδός σου; καὶ εἶπεν· εἰρήνη·

Γ Βασ. 2,13 - Ο Αδωνίας, ο υιός της Αγγίθ, παρουσιάσθη προς την Βηρσαβεέ την μητέρα του Σολομώντος και την προσεκύνησεν. Εκείνη τον ηρώτησεν· “έρχεσαι δι' ειρηνικόν σκοπόν;” Εκείνος απήντησεν· “ο σκοπός μου είναι, ειρηνικός.

Γ Βασ. 2,14 - λόγος μοι πρός σε· καὶ εἶπεν αὐτῷ· λάλησον.

Γ Βασ. 2,14 - Εχω να ανακοινώσω κάτι προς σέ”. Εκείνη δε του είπε· “ομίλησε”.

Γ Βασ. 2,15 - καὶ εἶπεν αὐτῇ· σὺ οἶδας, ὅτι ἐμοὶ ἦν βασιλεία καὶ ἐπ᾿ ἐμὲ ἔθετο πᾶς Ἰσραὴλ τὸ πρόσωπον αὐτοῦ εἰς βασιλέα, καὶ ἐστράφη ἡ βασιλεία καὶ ἐγένετο τῷ ἀδελφῷ μου, ὅτι παρὰ Κυρίου ἐγενήθη αὐτῷ·

Γ Βασ. 2,15 - Ο Αδωνίας ειπέ προς αυτήν· “συ γνωρίζεις ότι εις εμέ, ως προς πρεσβύτερον υιόν του Δαυίδ, ανήκεν η βασιλεία και προς εμέ εστράφησαν οι Ισραηλίται, οι οποίοι και με ανεκηρυξαν βασιλέα των. Ομως η βασιλεία αυτή περιήλθεν στον αδελφόν μου, διότι ο Κυριος ηθέλησε να περιέλθη εις αυτόν.

Γ Βασ. 2,16 - καὶ νῦν αἴτησιν μίαν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου. καὶ εἶπεν αὐτῷ Βηρσαβεέ· λάλει.

Γ Βασ. 2,16 - Τωρα υποβάλλω προς σε μίαν αίτησιν, μίαν παράκλησιν. Μη αρνηθής να την ακούσης”. Η Βηρσαβεέ του είπε· “ομίλησε”.

Γ Βασ. 2,17 - καὶ εἶπεν αὐτῇ· εἰπὸν δὴ πρὸς Σαλωμὼν τὸν βασιλέα, ὅτι οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀπὸ σοῦ, καὶ δώσει μοι τὴν Ἀβισὰγ τὴν Σωμανῖτιν εἰς γυναῖκα.

Γ Βασ. 2,17 - Εκείνος πονηρά σκεπτόμενος της είπε· “ειπέ, σε παρακαλώ, στον βασιλέα Σολομώντα συ, διότι θα σε ακούση εκείνος με ευμένειαν και προσοχήν, να μου δώση ως σύζυγον την Αβισάγ την Σωμανίτιδα”.

Γ Βασ. 2,18 - καὶ εἶπε Βηρσαβεέ· καλῶς· ἐγὼ λαλήσω περὶ σοῦ τῷ βασιλεῖ.

Γ Βασ. 2,18 - Η Βηρσαβεέ απονήρευτος απήντησε· “πολύ καλά. Εγώ θα ομιλήσω στον Σολομώντα δια σέ”.

Γ Βασ. 2,19 - καὶ εἰσῆλθε Βηρσαβεὲ πρὸς τὸν βασιλέα Σαλωμὼν λαλῆσαι αὐτῷ περὶ Ἀδωνίου. καὶ ἐξανέστη ὁ βασιλεὺς εἰς ἀπαντὴν αὐτῇ καὶ κατεφίλησεν αὐτὴν καὶ ἐκάθισεν ἐπὶ τοῦ θρόνου, καὶ ἐτέθη θρόνος τῇ μητρὶ τοῦ βασιλέως καὶ ἐκάθισεν ἐκ δεξιῶν αὐτοῦ.

Γ Βασ. 2,19 - Η Βηρσαβεέ παρουσιάσθη πράγματι προς τον βασιλέα Σολομώντα, δια να ομιλήση προς αυτόν περί του Αδωνίου. Ο βασιλεύς ηγέρθη, δια να έλθη εις προϋπάντησίν της. Την ήσπάσθη με στοργήν και κατόπιν εκάθησεν στον θρόνον του. Επί δε τη ευκαιρία ετέθη δεξιά άλλος θρόνος δια την μητέρα του βασιλέως, η οποία έτσι και εκάθισεν εκ δεξιών αυτού.

Γ Βασ. 2,20 - καὶ εἶπεν αὐτῷ· αἴτησιν μίαν μικρὰν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου. καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς· αἴτησαι, μῆτερ ἐμή, καὶ οὐκ ἀποστρέψω σε.

Γ Βασ. 2,20 - Η Βηρσαβεέ είπεν εις αυτόν· “ζητώ εγώ από σε μίαν μικράν χάριν. Μη αρνηθής να μου την εκπληρώσης”. Ο βασιλεύς της είπε· “μητέρα μου, ζήτησέ μου ο,τι θέλεις και εγώ δεν θα σου το αρνηθώ”.

Γ Βασ. 2,21 - καὶ εἶπε· δοθήτω δὴ Ἀβισὰγ ἡ Σωμανῖτις τῷ Ἀδωνίᾳ τῷ ἀδελφῷ σου εἰς γυναῖκα.

Γ Βασ. 2,21 - Η Βηρσαβεέ είπε· “σε παρακαλώ να δοθή η Αβισάγ η Σωμανίτις ως σύζυγος στον αδελφόν σου τον Αδωνίαν”.

Γ Βασ. 2,22 - καὶ ἀπεκρίθη ὁ βασιλεὺς Σαλωμὼν καὶ εἶπε τῇ μητρὶ αὐτοῦ· καὶ ἱνατί σὺ ᾔτησαι τὴν Ἀβισὰγ τῷ Ἀδωνίᾳ; καὶ αἴτησαι αὐτῷ τὴν βασιλείαν, ὅτι οὗτος ἀδελφός μου ὁ μέγας ὑπὲρ ἐμέ, καὶ αὐτῷ Ἀβιάθαρ ὁ ἱερεὺς καὶ αὐτῷ Ἰωὰβ υἱὸς Σαρουΐας ἀρχιστράτηγος ἑταῖρος.

Γ Βασ. 2,22 - Ο βασιλεύς Σολομών, ο οποίος κατενόησε την πονηρίαν του Αδωνίου, απήντησε και είπεν εις την μητέρα του· “διατί συ εζήτησες την Αβισάγ σύζυγον δια τον Αδωνίαν; Είναι σαν να εζήτησες δι' αυτόν την βασιλείαν, αφού θέλεις να του δοθή ως σύζυγος εκείνη, η οποία εχρημάτισε λευκή σύζυγος του βασιλέως Δαυίδ. Γνωρίζεις δε ότι αυτός από απόψεως ηλικίας είναι μεγαλύτερος από εμέ και προς αυτόν έχει προσκολληθή ο Αβιάθαρ ο αρχιερεύς, ο δε αρχιστράτηγος Ιωάβ, ο υιός της Σαρουΐας, είναι φίλος και σύμβουλός του”.

Γ Βασ. 2,23 - καὶ ὤμοσεν ὁ βασιλεὺς Σαλωμὼν κατὰ τοῦ Κυρίου λέγων· τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη, ὅτι κατὰ τῆς ψυχῆς αὐτοῦ ἐλάλησεν Ἀδωνίας τὸν λόγον τοῦτον·

Γ Βασ. 2,23 - Τοτε ο βασιλεύς Σολομών ωρκίσθη στον Θεόν και είπεν· “ας με τιμωρήση ο Θεός με οιανδήποτε τιμωρίαν θέλει, αν δεν τιμωρήσω τον Αδωνίαν, διότι κατά τρόπον πονηρόν ωμίλησεν εναντίον αυτής ταύτης της ζωής του με το να υποβάλη την δολίαν αυτήν αίτησιν.

Γ Βασ. 2,24 - καὶ νῦν ζῇ Κύριος, ὃς ἡτοίμασέ με καὶ ἔθετό με ἐπὶ τὸν θρόνον Δαυὶδ τοῦ πατρός μου, καὶ αὐτὸς ἐποίησέ μοι οἶκον, καθὼς ἐλάλησε Κύριος, ὅτι σήμερον θανατωθήσεται Ἀδωνίας.

Γ Βασ. 2,24 - Και λοιπόν, ορκίζομαι στον ζώντα Κυριον, ο οποίος με προητοίμασε και με έβαλεν στον θρόνον του Δαυίδ του πατρός μου, που μου έδωσε τον βασιλικόν αυτόν οίκον, όπως ο Κυριος μίλησε, ορκίζομαι ότι σήμερον θα θανατωθή ο Αδωνίας”.

Γ Βασ. 2,25 - καὶ ἐξαπέστειλεν ὁ βασιλεὺς Σαλωμὼν ἐν χειρὶ Βαναίου υἱοῦ Ἰωδαὲ καὶ ἀνεῖλεν αὐτόν, καὶ ἀπέθανεν Ἀδωνίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Γ Βασ. 2,25 - Ο βασιλεύς Σολομών έστειλε τον Βαναίαν, υιόν του Ιωδαέ, δια να εκτελέση τον Αδωνίαν. Πράγματι κατά την ημέραν εκείνην εθανατώθη ο Αδωνίας.

Γ Βασ. 2,26 - Καὶ τῷ Ἀβιάθαρ τῷ ἱερεῖ εἶπεν ὁ βασιλεύς· ἀπότρεχε σὺ εἰς Ἀναθὼθ εἰς ἀγρόν σου, ὅτι ἀνὴρ θανάτου εἶ σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ οὐ θανατώσω σε, ὅτι ἦρας τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου ἐνώπιον τοῦ πατρός μου, καὶ ὅτι ἐκακουχήθης ἐν πᾶσιν, οἷς ἐκακουχήθη ὁ πατήρ μου.

Γ Βασ. 2,26 - Ο βασιλεύς Σολομών είπε προς τον αρχιερέα Αβιάθαρ· “συ πήγαινε εις την Αναθώθ και μένε εκεί στον αγρόν σου, διότι είσαι άξιος θανάτου κατά την ημέραν αυτήν. Ομως δεν θα σε φονεύσω, διότι μετέφερες την Κιβωτόν της Διαθήκης του Κυρίου, καθ' ον χρόνον εζούσεν ακόμη ο πατήρ μου, και διότι υπέστης και συ όλας τας ταλαιπωρίας, τας οποίας υπέστη και ο πατήρ μου”.

Γ Βασ. 2,27 - καὶ ἐξέβαλε Σαλωμὼν τὸν Ἀβιάθαρ τοῦ μὴ εἶναι ἱερέα τοῦ Κυρίου, πληρωθῆναι τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐπὶ τὸν οἶκον Ἡλὶ ἐν Σηλώμ.

Γ Βασ. 2,27 - Ο Σολομών εξεδίωξε τον Αβιάθαρ, ώστε να μη είναι πλέον αυτός αρχιερεύς του Κυρίου, και έτσι εξεπληρώθη ο λόγος του Κυρίου, τον οποίον είπε δια την οικογένειαν του Ηλί εις Σηλώμ.

Γ Βασ. 2,28 - καὶ ἡ ἀκοὴ ἦλθεν ἕως Ἰωὰβ υἱοῦ Σαρουΐας (ὅτι Ἰωὰβ ἦν κεκλικὼς ὀπίσω Ἀδωνίου, καὶ ὀπίσω Σαλωμὼν οὐκ ἔκλινε), καὶ ἔφυγεν Ἰωὰβ εἰς τὸ σκήνωμα τοῦ Κυρίου καὶ κατέσχε τῶν κεράτων τοῦ θυσιαστηρίου.

Γ Βασ. 2,28 - Ο Ιωάβ, ο υιός της Σαρουΐας, ο οποίος ήτο με το μέρος του Αδωνίου και όχι με το μέρος του Σολομώντος, επληροφορήθη την εκδίωξιν και τον περιορισμόν του Αβιάθαρ και εφοβήθη. Κατέφυγε, λοιπόν, εις την Σκηνήν του Μαρτυρίου και εκρατήθη από τας εξοχάς του θυσιαστηρίου των ολοκαυτωμάτων.

Γ Βασ. 2,29 - καὶ ἀπηγγέλη τῷ Σαλωμὼν λέγοντες ὅτι πέφυγεν Ἰωὰβ εἰς τὴν σκηνὴν τοῦ Κυρίου καὶ ἰδοὺ κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀπέστειλε Σαλωμὼν ὁ βασιλεὺς πρὸς Ἰωὰβ λέγων· τί γέγονέ σοι, ὅτι πέφυγας εἰς τὸ θυσιαστήριον; καὶ εἶπεν Ἰωάβ· ὅτι ἐφοβήθην ἀπὸ προσώπου σου, καὶ ἔφυγον πρὸς Κύριον. καὶ ἀπέστειλε Σαλωμὼν τὸν Βαναίου υἱὸν Ἰωδαὲ λέγων· πορεύου καὶ ἄνελε αὐτὸν καὶ θάψον αὐτόν.

Γ Βασ. 2,29 - Ανήγγειλαν στον Σολομώντα το γεγονός και είπαν, ότι ο Ιωάβ έχει καταφύγει εις την Σκηνήν του Κυρίου και ιδού κρατεί εκεί τα κέρατα του θυσιαστηρίου των ολοκαυτωμάτων. Ο βασιλεύς Σολομών έστειλεν άνθρωπον προς τον Ιωάβ και του είπε· “τι σου συνέβη; Διατί κατέφυγες στο θυσιαστήριον των ολοκαυτωμάτων;” Ο Ιωάβ απήντησεν· “εφοβήθην από σε και κατέφυγον προς τον Κυριον”. Ο Σολομών έστειλε τότε τον Βαναίαν, τον υιόν του Ιωδαέ, και του είπε· “πήγαινε και θανάτωσε τον Ιωάβ και θάψε τον”.

Γ Βασ. 2,30 - καὶ ἦλθε Βαναίας υἱὸς Ἰωδαὲ πρὸς Ἰωὰβ εἰς τὴν σκηνὴν τοῦ Κυρίου καὶ εἶπεν αὐτῷ· τάδε λέγει ὁ βασιλεύς· ἔξελθε. καὶ εἶπεν Ἰωάβ· οὐκ ἐκπορεύομαι, ὅτι ὧδε ἀποθανοῦμαι. καὶ ἐπέστρεψε Βαναίας υἱὸς Ἰωδαὲ καὶ εἶπε τῷ βασιλεῖ λέγων· τάδε λελάληκεν Ἰωὰβ καὶ τάδε ἀποκέκριταί μοι.

Γ Βασ. 2,30 - Ο Βαναίας, ο υιός του Ιωδαέ, μετέβη προς τον Ιωάβ εις την Σκηνήν του Κυρίου και του είπε· “αυτά λέγει ο βασιλεύς· Εβγα από αυτού”. Ο Ιωάβ απήντησε· “δεν θα εξέλθω διότι προτιμώ να αποθάνω εδώ”. Ο Βαναίας, ο υιός του Ιωδαέ, επέστρεψεν στον βασιλέα και του είπεν· “αυτά μου είπεν ο Ιωάβ. Αυτήν την απάντησιν μου έδωκεν εις την διαταγήν σου”.

Γ Βασ. 2,31 - καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· πορεύου καὶ ποίησον αὐτῷ καθὼς εἴρηκε, καὶ ἄνελε αὐτὸν καὶ θάψεις αὐτὸν καὶ ἐξαρεῖς σήμερον τὸ αἷμα, ὃ δωρεὰν ἐξέχεεν ἀπ᾿ ἐμοῦ καὶ ἀπὸ τοῦ οἴκου τοῦ πατρός μου·

Γ Βασ. 2,31 - Ο βασιλεύς είπεν εις αυτόν· “πήγαινε και κάμε του, όπως σου είπε· θανάτωσέ τον και θάψε τον. Ετσι δε θα αποπλύνης σήμερα από εμέ και από τον οίκον του πατρός μου το αθώον αίμα το οποίον αναιτίως έχυσεν εκείνος.

Γ Βασ. 2,32 - καὶ ἐπέστεψε Κύριος τὸ αἷμα τῆς ἀδικίας αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, ὡς ἀπήντησε τοῖς δυσὶν ἀνθρώποις τοῖς δικαίοις καὶ ἀγαθοῖς ὑπὲρ αὐτὸν καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ῥομφαίᾳ, καὶ ὁ πατήρ μου Δαυὶδ οὐκ ἔγνω τὸ αἷμα αὐτῶν, τὸν Ἀβεννὴρ υἱὸν Νὴρ ἀρχιστράτηγον Ἰσραὴλ καὶ τὸν Ἀμεσσὰ υἱὸν Ἰεθὲρ ἀρχιστράτηγον Ἰούδα·

Γ Βασ. 2,32 - Ετσι ο Κυριος έρριψεν επάνω στο κεφάλι αυτού το αδικοχυμένον από αυτόν αίμα δύο ανθρώπων, οι οποίοι ήσαν αγαθώτεροι και δικαιότεροι από αυτόν και τους οποίους εκείνος εφόνευσε με την ρομφαίαν του. Ο πατήρ μου Δαυίδ δεν είχε γνώσιν εκ των προτέρων ούτε ενέκρινεν εκ των υστέρων τους φόνους εκείνους. Οι δε φονευθέντες υπό του Ιωάβ ήσαν ο Αβεννήρ ο υιός του Νηρ αρχιστράτηγος του Ισραηλιτικού λαού και ο Αμεσσά ο υιός του Ιεθέρ, αρχιστράτηγος της φυλής Ιούδα.

Γ Βασ. 2,33 - καὶ ἐπεστράφη τὰ αἵματα αὐτῶν εἰς κεφαλὴν αὐτοῦ καὶ εἰς κεφαλὴν τοῦ σπέρματος αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ καὶ τῷ θρόνῳ αὐτοῦ γένοιτο εἰρήνη ἕως αἰῶνος παρὰ Κυρίου.

Γ Βασ. 2,33 - Ετσι δε έπεσαν τα αθώα αίματα εκείνων εις την κεφαλήν αυτού και εις τας κεφαλάς των απογόνων του στον αιώνα. Εις τον Δαυίδ όμως και στους απογόνους του, μάλιστα στον οίκον του και στον θρόνον του, είθε να βασιλεύη αιωνίως η ειρήνη παρά του Θευ”.

Γ Βασ. 2,34 - καὶ ἀνέβη Βαναίας υἱὸς Ἰωδαὲ καὶ ἀπήντησε αὐτῷ καὶ ἐθανάτωσεν αὐτὸν καὶ ἔθαψεν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ ἐν τῇ ἐρήμῳ.

Γ Βασ. 2,34 - Ο Βαναίας ο υιός του Ιωδαέ μετέδη πράγματι στο θυσιαστήριον των ολοκαυτωμάτων, ευρήκεν εκεί τον 'Ιωαβ, τον εθανάτωσε και τον έθαψεν στο υπόγειον του οίκου του, που ευρίσκεται εις την έρημον.

Γ Βασ. 2,35 - καὶ ἔδωκεν ὁ βασιλεὺς τὸν Βαναίου υἱὸν Ἰωδαὲ ἀντ᾿ αὐτοῦ ἐπὶ τὴν στρατηγίαν· καὶ ἡ βασιλεία κατωρθοῦτο ἐν Ἱερουσαλήμ· καὶ Σαδὼκ τὸν ἱερέα ἔδωκεν αὐτὸν ὁ βασιλεὺς εἰς ἱερέα πρῶτον ἀντὶ Ἀβιάθαρ.

Γ Βασ. 2,35 - Ο βασιλεύς εγκατέστησε τότε τον Βαναίαν, τον υιόν του Ιωδαέ, αντί του Ιωάβ, ως αρχιστράτηγον. Η δε βασιλεία του Σολομώντος εστερεούτο και ενισχύετο εις την Ιερουσαλήμ. Τον Σαδώκ τον αρχιερέα εγκατέστησεν ο βασιλεύς ως αρχιερέα, αντί του Αβιάθαρ.

Γ Βασ. 2,35α - Καὶ ἔδωκε Κύριος φρόνησιν τῷ Σαλωμὼν καὶ σοφίαν πολλὴν σφόδρα καὶ πλάτος καρδίας, ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν.

Γ Βασ. 2,35^{α} - Ο Κυριος έδωκεν στον Σολομώντα σύνεσιν και σοφίαν πάρα πολύ μεγάλην και ευρύτητα διανοίας, όπως η άμμος η παρά το χείλος της θαλάσσης.

Γ Βασ. 2,35β - καὶ ἐπληθύνθη ἡ φρόνησις Σαλωμὼν σφόδρα ὑπὲρ τὴν φρόνησιν πάντων υἱῶν ἀρχαίων καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου.

Γ Βασ. 2,35β - Η σοφία του Σολομώντος ηυξήθη και επληθύνθη πάρα πολύ, περισσότερον από την σύνεσιν και την σοφίαν όλων των αρχαίων σοφών και όλων των σοφών της Αιγύπτου.

Γ Βασ. 2,35γ - καὶ ἔλαβε τὴν θυγατέρα Φαραὼ καὶ εἰσήγαγεν αὐτὴν εἰς πόλιν Δαυὶδ ἕως συντελέσαι αὐτὸν οἰκοδομῆσαι τὸν οἶκον αὐτοῦ. καὶ τὸν

οἶκον Κυρίου ἐν πρώτοις καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κυκλόθεν· ἐν ἑπτὰ ἔτεσιν ἐποίησε καὶ συνετέλεσε.

Γ Βασ. 2,35γ - Ο Σολομών επήρε ως σύζυγον την θυγατέρα του Φαραώ, την οποίαν και εγκατέστησεν εις την πόλιν του Δαυίδ στο όρος Σιών, μέχρις ότου αποτελειώση την ανοικοδόμησιν του βασιλικού ανακτόρου. Πρώτον έκτισε τον ναόν του Κυρίου και κατόπιν συνέχισε το κτίσιμον του τείχους της Ιερουσαλήμ. Αυτά ήρχισε και ετελείωσεν εις διάστημα επτά ετών.

Γ Βασ. 2,35δ - καὶ ἦν τῷ Σαλωμὼν ἑβδομήκοντα χιλιάδας αἴροντες ἄρσιν καὶ ὀγδοήκοντα χιλιάδας λατόμων ἐν τῷ ὄρει.

Γ Βασ. 2,35δ - Εις την υπηρεσίαν του Σολομώντος δια τα έργα αυτά ήσαν εβδομήκοντα χιλιάδες αχθοφόροι και ογδοήκοντα χιλιάδες λατόμοι στο όρος.

Γ Βασ. 2,35ε - καὶ ἐποίησε Σαλωμὼν τὴν θάλασσαν καὶ τὰ ὑποστηρίγματα καὶ τοὺς λουτῆρας τοὺς μεγάλους καὶ τοὺς στύλους καὶ τὴν κρήνην τῆς αὐλῆς καὶ τὴν θάλασσαν τὴν χαλκῆν.

Γ Βασ. 2,35ε - Ο Σολομών κατεσκεύασε τότε και τα ιερά σκεύη, δηλαδή την θάλασσαν, τα υποστηρίγματα, τους μεγάλους λουτήρας, τους στύλους, την κρήνην της αυλής, την θάλασσαν την χαλκήν.

Γ Βασ. 2,35ζ - καὶ ᾠκοδόμησε τὴν ἄκραν καὶ τὰς ἐπάλξεις αὐτῆς καὶ διέκοψε τὴν πόλιν Δαυίδ· οὕτως θυγάτηρ Φαραὼ ἀνέβαινεν ἐκ τῆς πόλεως Δαυὶδ εἰς τὸν οἶκον αὐτῆς, ὃν ᾠκοδόμησεν αὐτῇ· τότε ᾠκοδόμησε τὴν ἄκραν.

Γ Βασ. 2,35ζ - Ανοικοδόμησεν επίσης την ακρόπολιν και τας επάλξεις της και διέκοψεν έτσι την επικοινωνίαν της πόλεως Δαυίδ με την έξω περιοχήν. Ετσι δε η θυγάτηρ του Φαραώ ανέβαινεν από την πόλιν Δαυίδ στον οίκον της, τον οποίον δι' αυτήν είχε κτίσει ο Σολομών. Τοτε ανοικοδόμησε και την ακρόπολιν.

Γ Βασ. 2,35·η - καὶ Σαλωμὼν ἀνέφερε τρεῖς ἐν τῷ ἐνιαυτῷ ὁλοκαυτώσεις καὶ εἰρηνικὰς ἐπὶ τὸ θυσιαστήριον, ὃ ᾠκοδόμησε τῷ Κυρίῳ, καὶ ἐθυμία ἐνώπιον Κυρίου, καὶ συνετέλεσε τὸν οἶκον.

Γ Βασ. 2,35η - Ο Σολομών προσέφερε κάθε έτος τρεις θυσίας ολοκαυτωμάτων και ειρηνικών θυσιών στο θυσιαστήριον, το οποίον ανοικοδόμησε προς τιμήν του Κυρίου. Προσέφερεν ακόμη και θυμίαμα προς τον Κυριον. Ετσι απετελείωσε τον ναόν προς δόξαν και τιμήν του Κυρίου.

Γ Βασ. 2,35θ - καὶ οὗτοι οἱ ἄρχοντες οἱ καθεσταμένοι ἐπὶ τὰ ἔργα τοῦ Σαλωμών· τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ἐπιστάται τοῦ λαοῦ τῶν ποιούντων τὰ ἔργα.

Γ Βασ. 2,35θ - Οι άνθρωποι, οι οποίοι είχον διορισθή ως επόπται εις τα έργα του Σολομώντος, ήσαν τρεις χιλιάδες εξακόσιοι επιστάται επί των ανθρώπων, οι οποίοι ειργάζοντο εις αυτά τα έργα.

Γ Βασ. 2,35ι - καὶ ᾠκοδόμησε τὴν Ἀσσοὺρ καὶ τὴν Μαγδὼ καὶ τὴν Γαζὲρ καὶ τὴν Βαιθωρὼν τὴν ἐπάνω καὶ τὰ Βααλάθ·

Γ Βασ. 2,35ι - Ο Σολομών ανοικοδόμησε την Ασσούρ, την Μαγδώ, την Γαζέρ, την επάνω Βαιθωρών και τα Βααλάθ.

Γ Βασ. 2,35κ - πλὴν μετὰ τὸ οἰκοδομῆσαι αὐτὸν τὸν οἶκον τοῦ Κυρίου καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κύκλῳ, μετὰ ταῦτα ᾠκοδόμησε τὰς πόλεις ταύτας.

Γ Βασ. 2,35κ - Τας πόλεις όμως αυτάς οικοδόμησε, αφού πρώτον ανοικοδόμησε τον οίκον του Κυρίου και το τείχος το περί την Ιερουσαλήμ.

Γ Βασ. 2,35λ - καὶ ἐν τῷ ἔτι Δαυὶδ ζῆν ἐνετείλατο τῷ Σαλωμὼν λέγων· ἰδοὺ μετὰ σοῦ Σεμεΐ υἱὸς Γηρὰ υἱὸς τοῦ σπέρματος τοῦ Ἰεμενὶ ἐκ Χεβρών·

Γ Βασ. 2,35λ - Οταν ακόμη εζούσεν ο Δαυίδ, είχε δώσει εντολήν στον Σολομώντα λέγων· “ιδού, μαζή σου ευρίσκεται ο Σεμεΐ, ο υιός του Γηρά, από την φυλήν Βενιαμίν εκ της πόλεως Χεβρών.

Γ Βασ. 2,35μ - οὗτος κατηράσατό με κατάραν ὀδυνηρὰν ἐν ᾗ ἡμέρᾳ ἐπορευόμην εἰς Παρεμβολάς,

Γ Βασ. 2,35μ - Αυτός εξέφερε φοβεράς κατάρας εναντίον μου κατά την ημέραν, κατά την οποίαν έφευγα εις τας Παρεμβολάς.

Γ Βασ. 2,35ν - καὶ αὐτὸς κατέβαινεν εἰς ἀπαντὴν μοι ἐπὶ τὸν Ἰορδάνην καὶ ὤμοσα αὐτῷ κατὰ τοῦ Κυρίου λέγων· εἰ θανατωθήσεται ἐν ῥομφαίᾳ·

Γ Βασ. 2,35ν - Κατά την επιστροφήν μου όμως ήλθεν εις προϋπάντησίν μου και με συνήντησεν στον Ιορδάνην. Εκεί εγώ του ωρκίσθην ενώπιον του Κυρίου, ότι δεν θα εκτελεσθή δια ρομφαίας.

Γ Βασ. 2,35ξ - καὶ νῦν μὴ ἀθωώσῃς αὐτόν, ὅτι ἀνὴρ φρόνιμος σὺ καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ, καὶ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵματι εἰς ᾅδου.

Γ Βασ. 2,35ξ - Συ όμως να μη τον απαλλάξης από την ενοχήν του. Είσαι σοφός και συνετός και γνωρίζεις, τι πρέπει να πράξης εις αυτόν, ώστε να κρημνίσης τα γηρατεία του στον άδην εκτελών αυτόν δια το αμάρτημά του”.

Γ Βασ. 2,36 - Καὶ ἐκάλεσεν ὁ βασιλεὺς τὸν Σεμεΐ καὶ εἶπεν αὐτῷ· οἰκοδόμησον σεαυτῷ οἶκον ἐν Ἱερουσαλὴμ καὶ κάθου ἐκεῖ καὶ οὐκ ἐξελεύσῃ ἐκεῖθεν οὐδαμοῦ·

Γ Βασ. 2,36 - Ο βασιλεύς Σολομών εκάλεσε τον Σεμεΐ και του είπε· “κτίσε δια τον εαυτόν σου οίκον εντός της Ιερουσαλήμ. Να εγκατασταθής εις την οικίαν αυτήν και δεν θα εξέλθης από εκεί προς οιονδήποτε μέρος.

Γ Βασ. 2,37 - καὶ ἔσται ἐν τῇ ἡμέρᾳ τῆς ἐξόδου σου καὶ διαβήσῃ τὸν χειμάῤῥουν Κέδρων, γινώσκων γνώσῃ ὅτι θανάτῳ ἀποθανῇ, τὸ αἷμά σου ἔσται ἐπὶ τὴν κεφαλήν σου. καὶ ὥρκισεν αὐτὸν ὁ βασιλεὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Γ Βασ. 2,37 - Διότι κατά την ημέραν, κατά την οποίαν θα εξέλθης από την Ιερουσαλήμ και θα περάσης τον χείμαρρον των Κέδρων, μάθε καλά, ότι θα καταδικασθής εις θάνατον. Και συ θα είσαι υπεύθυνος δια την τιμωρίαν σου

αυτήν”. Τον ώρκισε δε ο βασιλεύς κατά την ημέραν εκείνην, να σεβασθή την εντολήν του.

Γ Βασ. 2,38 - καὶ εἶπε Σεμεΐ πρὸς τὸν βασιλέα· ἀγαθὸν τὸ ῥῆμα, ὃ ἐλάλησας, κύριέ μου βασιλεῦ· οὕτω ποιήσει ὁ δοῦλός σου. καὶ ἐκάθισε Σεμεΐ ἐν Ἱερουσαλὴμ τρία ἔτη.

Γ Βασ. 2,38 - Ο Σεμεΐ απήντησε προς τον βασιλέα· “είναι πράγματι καλός ο λόγος αυτός, τον οποίον μου είπες, κύριέ μου βασιλεύ. Οπως διέταξες, έτσι θα κάμη ο δούλος σου”. Και ο Σεμεΐ έμεινε πράγματι εις την Ιερουσαλήμ τρία έτη, χωρίς να εξέλθη από αυτήν.

Γ Βασ. 2,39 - καὶ ἐγενήθη μετὰ τὰ τρία ἔτη καὶ ἀπέδρασαν δύο δοῦλοι τοῦ Σεμεΐ πρὸς Ἀγχοὺς υἱὸν Μααχὰ βασιλέα Γέθ, καὶ ἀπηγγέλη τῷ Σεμεΐ λέγοντες· ἰδοὺ οἱ δοῦλοί σου ἐν Γέθ.

Γ Βασ. 2,39 - Επειτα όμως από τα τρία αυτά έτη δύο δούλοι του Σεμεί εδραπέτευσαν προς τον Αγχούς, τον υιόν Μααχά τον βασιλέα της Γέθ. Ανήγγειλαν δε στον Σεμεί μερικοί και του είπαν· “ιδού οι δούλοι σου ευρίσκονται εις την Γέθ”.

Γ Βασ. 2,40 - καὶ ἀνέστη Σεμεΐ καὶ ἐπέσαξε τὴν ὄνον αὐτοῦ καὶ ἐπορεύθη εἰς Γὲθ πρὸς Ἀγχοὺς τοῦ ἐκζητῆσαι τοὺ δούλους αὐτοῦ, καὶ ἐπορεύθη Σεμεΐ καὶ ἤγαγε τοὺς δούλους αὐτοῦ ἐκ Γέθ.

Γ Βασ. 2,40 - Ο Σεμεί εσηκώθη, εσαμάρωσε την όνον του και μετέβη εις Γεθ προς τον βασιλέα Αγχούς, δια να ζητήση τους δούλους του. Ο Σεμεί μετέβη πράγματι και επανέφερε τους δούλους του από την Γέθ.

Γ Βασ. 2,41 - καὶ ἀπηγγέλη τῷ Σαλωμὼν λέγοντες ὅτι ἐπορεύθη Σεμεΐ ἐξ Ἱερουσαλὴμ εἰς Γέθ, καὶ ἀπέστρεψε τοὺς δούλους αὐτοῦ,

Γ Βασ. 2,41 - Ανήγγειλαν όμως στον Σολομώντα μερικοί το γεγονός αυτό και του είπαν· “ο Σεμεΐ μετέβη από την Ιερουσαλήμ εις Γεθ και επανέφερε τους δούλους του”.

Γ Βασ. 2,42 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ ἐκάλεσε τὸν Σεμεΐ καὶ εἶπε πρὸς αὐτόν· οὐχὶ ὥρκισά σε κατὰ τοῦ Κυρίου καὶ ἐπεμαρτυράμην σοι λέγων· ἐν ᾗ ἂν ἡμέρᾳ ἐξέλθῃς ἐξ Ἱερουσαλὴμ καὶ πορευθῇς εἰς δεξιὰ ἢ ἀριστερά, γινώσκων γνώσῃ ὅτι θανάτῳ ἀποθανῇ;

Γ Βασ. 2,42 - Ο Σολομών έστειλεν άνθρωπον και εκάλεσε τον Σεμεΐ και του είπε “δεν σε έβαλα και ωρκίσθης στο όνομα του Κυρίου και δεν σου ετόνισα λέγων· Οτι κατά την ημέραν, κατά την οποίαν θα εξέλθης από την Ιερουσαλήμ και θα μεταβής αριστερά η δεξιά, να γνωρίζης καλά ότι θα εκτελεσθής;

Γ Βασ. 2,43 - καὶ τί ὅτι οὐκ ἐφύλαξας τὸν ὅρκον Κυρίου καὶ τὴν ἐντολήν, ἣν ἐνετειλάμην κατὰ σοῦ;

Γ Βασ. 2,43 - Διατί δεν εφύλαξες την εντολήν μου, την οποίαν με όρκον ενώπιον του Κυρίου σου είχα δώσει;”

Γ Βασ. 2,44 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Σεμεΐ· σὺ οἶδας πᾶσαν τὴν κακίαν σου, ἣν οἶδεν ἡ καρδία σου, ἃ ἐποίησας Δαυὶδ τῷ πατρί μου, καὶ ἀνταπέδωκε Κύριος τὴν κακίαν σου εἰς κεφαλήν σου·

Γ Βασ. 2,44 - Ο βασιλεύς προσέθεσε τότε προς τον Σεμεΐ· "συ γνωρίζεις όλην την κακίαν σου και ενθυμείσαι βεβαίως, τι έκαμες στον Δαυίδ τον πατέρα μου. Και να ότι σήμερον ο Κυριος θα ρίψη την κακίαν σου αυτήν εις την κεφαλήν σου.

Γ Βασ. 2,45 - καὶ ὁ βασιλεὺς Σαλωμὼν εὐλογημένος, καὶ ὁ θρόνος Δαυὶδ ἔσται ἕτοιμος ἐνώπιον Κυρίου εἰς τὸν αἰῶνα.

Γ Βασ. 2,45 - Εγώ δε ο βασιλεύς Σολομών, πράττων τούτο, θα είμαι ευλογημένος ενώπιον του Θεού και ο βασιλικός μου θρόνος στερεωμένος από τον Κυριον στους αιώνας των αιώνων".

Γ Βασ. 2,46 - καὶ ἐνετείλατο ὁ βασιλεὺς Σαλωμὼν τῷ Βαναίᾳ υἱῷ Ἰωδαέ, καὶ ἐξῆλθε καὶ ἀνεῖλεν αὐτὸν καὶ ἀπέθανε.

Γ Βασ. 2,46 - Ο βασιλεύς Σολομών διέταξε σχετικώς τον Βαναίαν, τον υιόν του Ιωδαέ, ο οποίος εξήλθε και εξετέλεσε τον Σεμεΐ.

Γ Βασ. 2,46α - Καὶ ἦν ὁ βασιλεὺς Σαλωμὼν φρόνιμος σφόδρα, καὶ σοφός, καὶ Ἰούδα καὶ Ἰσραὴλ πολλοὶ σφόδρα, ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος, ἐσθίοντες καὶ πίνοντες καὶ χαίροντες.

Γ Βασ. 2,46^{α} - Ο βασιλεύς Σολομών ήτο πάρα πολύ συνετός και σοφός. Πολυάριθμοι δε ήσαν οι Ισραηλίται και οι Ιουδαίοι, που ευρίσκοντο υπό την εξουσίαν του. Αυτοί ήσαν τόσοι, όση είναι η άμμος η πλησίον της θαλάσσης. Αυτοί ήσαν τρώγοντες και πίνοντες και ευφραινόμενοι.

Γ Βασ. 2,46β - καὶ Σαλωμὼν ἦν ἄρχων ἐν πάσαις ταῖς βασιλείαις, καὶ ἦσαν προσφέροντες δῶρα καὶ ἐδούλευον τῷ Σαλωμὼν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Γ Βασ. 2,46β - Ο Σολομών ήτο άρχων όλων των βασιλείων, των οποίων οι κάτοικοι και προσέφεραν δώρα και ήσαν υποτελείς εις αυτόν όλας τας ημέρας της ζωής του.

Γ Βασ. 2,46γ - καὶ Σαλωμὼν ἤρξατο ἀνοίγειν τὰ δυναστεύματα τοῦ Λιβάνου,

Γ Βασ. 2,46γ - Ο Σολομών ήρχισε τότε να εκμεταλλεύεται τα δάση, τα λατομεία και τα μεταλλεία του όρους Λιβάνου.

Γ Βασ. 2,46δ - καὶ αὐτὸς ᾠκοδόμησε τὴν Θερμαὶ ἐν τῇ ἐρήμῳ.

Γ Βασ. 2,46δ - Ετσι δε ανοικοδόμησε την Θερμαί εις την έρημον.

Γ Βασ. 2,46ε - καὶ τοῦτο τὸ ἄριστον τῷ Σαλωμών· τριάκοντα κόροι σεμιδάλεως καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου, δέκα μόσχοι ἐκλεκτοὶ καὶ εἴκοσι βόες νομάδες καὶ ἑκατὸν πρόβατα, ἐκτὸς ἐλάφων καὶ δορκάδων καὶ ὀρνίθων ἐκλεκτῶν νομάδων·

Γ Βασ. 2,46ε - Το δε μεσημβρινόν φαγητόν της αυλής και ακολουθίας του Σολομώντος ήτο τριάκοντα κόροι σημιγδάλι, εξήκοντα κόροι αλεύρι χονδροκοπανισμένο, δέκα εκλεκτά μοσχάρια, είκοσι βόδια καλοθρεμμένα και εκατόν πρόβατα, εκτός από τα ελάφια, τα ζαρκάδια και τα άλλα εκλεκτά και ευτραφή ορνίθια.

Γ Βασ. 2,46ζ - ὅτι ἦν ἄρχων ἐν παντὶ πέραν τοῦ ποταμοῦ ἀπὸ Ῥαφὶ ἕως Γάζης, ἐν πᾶσι τοῖς βασιλεῦσι πέραν τοῦ ποταμοῦ·

Γ Βασ. 2,45ζ - Ητο βασιλεύς εις όλην την χώραν, η οποία επεκτείνεται πέραν του Ευφράτου ποταμού, από Ραφί μέχρι Γαζης· ήτο βασιλεύς εις όλας τας βασιλείας τας πέραν του ποταμού.

Γ Βασ. 2,46η - καὶ ἦν αὐτῷ εἰρήνη ἐκ πάντων τῶν μερῶν αὐτοῦ κυκλόθεν, καὶ κατῴκει Ἰούδα καὶ Ἰσραὴλ πεποιθότες ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ, ἐσθίοντες καὶ πίνοντες καὶ ἑορτάζοντες ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ πάσας τὰς ἡμέρας Σαλωμών.

Γ Βασ. 2,46η - Επί των ημερών του επικρατούσε από όλα τα γύρω μέρη ειρήνη εις όλην την χώραν και όλοι οι Ισραηλίται κατοικούσαν ήσυχοι και ασφαλείς, καθένας στο αμπέλι του και κάτω από τις συκιές του, τρώγοντες, πίνοντες και εορταζοντες από την Δαν μέχρι της Βηρσαβεέ όλας τας ημέρας, κατά τας οποίας έζησε και εβασίλευσεν ο Σολομών,

Γ Βασ. 2,46θ - καὶ οὗτοι οἱ ἄρχοντες τοῦ Σαλωμών· Ἀζαρίου υἱὸς Σαδὼκ τοῦ ἱερέως καὶ Ὀρνίου υἱὸς Νάθαν ἄρχων τῶν ἐφεστηκότων καὶ Ἐδρὰμ ἐπὶ τὸν οἶκον αὐτοῦ καὶ Σουβὰ γραμματεὺς καὶ Βασὰ υἱὸς Ἀχιθαλὰμ ἀναμιμνήσκων καὶ Ἀβὶ υἱὸς Ἰωὰβ ἀρχιστράτηγος καὶ Ἀχιρὲ υἱὸς Ἐδραΐ ἐπὶ τὰς ἄρσεις καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τῆς αὐλαρχίας καὶ ἐπὶ τοῦ πλινθίου καὶ Ζαχοὺρ υἱὸς Νάθαν ὁ σύμβουλος.

Γ Βασ. 2,46θ - Αυτοί δε είναι οι άρχοντες του περιβάλλοντος του Σολομώντος· Αζαρίας ο υιός του αρχιερέως Σαδώκ, ο Ορνίας υιός του Ναθαν άρχων των επί μέρους αρχόντων, Εδράμ αρχηγός του βασιλικού οίκου, Σουβά ο γενικός γραμματεύς του κράτους, Βασά ο υιός του Αχιθαλάμ ο υπομνηματογράφος, Αβί ο υιός του Ιωάβ αρχιστράτηγος, Αχιρέ ο υιός του Εδραΐ δια τας μεταφοράς, ο Βαναίας ο υιός του Ιωδαέ αυλάρχης και επόπτης επί της πλινθοποιΐας και Ζαχούρ ο υιός του Ναθαν ήτο σύμβουλός του.

Γ Βασ. 2,46ι - καὶ ἦσαν τῷ Σαλωμὼν τεσσαράκοντα χιλιάδες τοκάδες ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιάδες ἵππων.

Γ Βασ. 2,46ι - Είχε δε ο Σολομών δια τα πολεμικά του άρματα σαράντα χιλιάδας φορβάδας και δώδεκα χιλιάδας ίππους.

Γ Βασ. 2,46κ - καὶ ἦν ἄρχων ἐν πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου.

Γ Βασ. 2,46κ - Εβασίλευε δε ο Σολομών εις τα βασίλεια από τον ποταμόν Ευφράτην προς ανατολάς μέχρι των αλλοφύλων προς δυσμάς και μέχρι των

συνόρων της Αιγύπτου προς νότον.

Γ Βασ. 2,46λ - καὶ Σαλωμὼν υἱὸς Δαυὶδ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ Ἰούδα ἐν Ἱερουσαλήμ.

Γ Βασ. 2,46λ - Ο Σολομών, ο υιός του Δαυίδ, εβασίλευσεν επί όλων των Ισραηλιτών έχων πρωτεύουσαν του βασιλείου του την Ιερουσαλήμ.

Γ ΒΑΣΙΛΕΙΩΝ 3

Γ Βασ. 3,1 - Τῆς δὲ βασιλείας ἑδρασθείσης ἐν χειρὶ Σαλωμὼν ἐπιγαμίαν ἐποιήσατο Σαλωμὼν πρὸς Φαραὼ βασιλέα Αἰγύπτου καὶ ἔλαβε τὴν θυγατέρα Φαραὼ καὶ εἰσήγαγεν αὐτὴν εἰς τὴν πόλιν Δαυίδ, ἕως οὗ συνετέλεσεν οἰκοδομῶν τὸν οἶκον ἑαυτοῦ καὶ τὸν οἶκον Κυρίου καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κύκλῳ.]

Γ Βασ. 3,1 - Αφού δε εστερεώθη πλέον η βασιλεία δια της χειρός του Σολομώντος, ο Σολομών ήλθεν εις συμπεθεριάν με τον Φαραώ τον βασιλέα της Αιγύπτου και επήρεν ως συζυγόν του την θυγατέρα αυτού του Φαραώ, την οποίαν έφερεν εις την πόλιν Δαυίδ, μέχρις ότου ετελείωσε την ανοικοδόμησιν του ιδικού του οίκου, του ναού του Κυρίου και του τείχους του κύκλω από την Ιερουσαλήμ.

Γ Βασ. 3,2 - Πλήν ὁ λαὸς ἦσαν θυμιῶντες ἐπὶ τοῖς ὑψηλοῖς, ὅτι οὐκ ᾠκοδομήθη οἶκος τῷ Κυρίῳ ἕως τοῦ νῦν.

Γ Βασ. 3,2 - Ο λαός όμως προσέφερε θυσίαν θυμιάματος επάνω εις υψηλούς τόπους, διότι δεν είχεν ακόμη οικοδομηθή ο ναός του Κυρίου μέχρι της ημέρας εκείνης.

Γ Βασ. 3,3 - καὶ ἠγάπησε Σαλωμὼν τὸν Κύριον πορεύεσθαι ἐν τοῖς προστάγμασι Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, πλὴν ἐν τοῖς ὑψηλοῖς ἔθυε καὶ ἐθυμία.

Γ Βασ. 3,3 - Ο Σολομών ηγάπησε τον Κυριον, επορεύετο σύμφωνα με τας εντολάς, τας οποίας ο Δαυίδ ο πατήρ του του είχε δώσει, αλλά προσέφερε θυσίας και θυμιάματα προς τον Θεόν στους υψηλούς τόπους, διότι δεν είχεν ανοικοδομηθή ο ναός.

Γ Βασ. 3,4 - καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Γαβαὼν θῦσαι ἐκεῖ, ὅτι αὕτη ὑψηλοτάτη καὶ μεγάλη· χιλίαν ὁλοκαύτωσιν ἀνήνεγκε Σαλωμὼν ἐπὶ τὸ θυσιαστήριον ἐν Γαβαών.

Γ Βασ. 3,4 - Εσηκώθη, λοιπόν, κάποτε και επήγε εις την Γαβαών, δια να προσφέρη και εκεί θυσίαν προς τον Θεόν, διότι η μεγάλη αυτή πόλις ευρίσκετο εις ένα πολύ υψηλόν τόπον. Ο Σολομών προσέφερεν ως θυσίαν ολοκαυτώματος χίλια ζώα στο θυσιαστήριον της Γαβαών.

Γ Βασ. 3,5 - καὶ ὤφθη Κύριος τῷ Σαλωμὼν ἐν ὕπνῳ τὴν νύκτα, καὶ εἶπε Κύριος πρὸς Σαλωμών· αἴτησαί τι αἴτημα σεαυτῷ.

Γ Βασ. 3,5 - Εκεί δε ο Κυριος παρουσιάσθη στον Σολομώντα κατά την νύκτα στον ύπνον του και του είπεν· “ζήτησέ μου κάτι δια τον εαυτόν σου”.

Γ Βασ. 3,6 - καὶ εἶπεν Σαλωμών· σὺ ἐποίησας μετὰ τοῦ δούλου σου Δαυὶδ τοῦ πατρός μου ἔλεος μέγα, καθὼς διῆλθεν ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ καὶ ἐν εὐθύτητι καρδίας μετὰ σοῦ, καὶ ἐφύλαξας αὐτῷ τὸ ἔλεος τὸ μέγα τοῦτο δοῦναι τὸν υἱὸν αὐτοῦ ἐπὶ τοῦ θρόνου αὐτοῦ, ὡς ἡ ἡμέρα αὕτη·

Γ Βασ. 3,6 - Ο Σολομών απήντησε· “συ, Κυριε, έδειξες μεγάλην καλωσύνην προς τον δούλον σου τον Δαυίδ τον πατέρα μου, διότι έζησεν αυτός ενώπιόν σου με πίστιν προς σέ, με δικαιοσύνην και ευθύτητα καρδίας απέναντί σου. Συ δε του επεδαψίλευσες το μέγα τούτο καλόν, το να δώσης δηλαδή τον υιόν του να καθήση επί του θρόνου του, όπως μαρτυρεί η ημέρα αυτή.

Γ Βασ. 3,7 - καὶ νῦν, Κύριε ὁ Θεός μου, σὺ ἔδωκας τὸν δοῦλόν σου ἀντὶ Δαυὶδ τοῦ πατρός μου, καὶ ἐγώ εἰμι παιδάριον μικρὸν καὶ οὐκ οἶδα τὴν ἔξοδόν μου καὶ τὴν εἴσοδόν μου,

Γ Βασ. 3,7 - Και τώρα, Κυριέ μου και Θεέ μου, συ έδωκες εμέ τον δούλον σου αντί του Δαυίδ του πατρός μου. Εγώ δε είμαι μικρόν παιδίον ακόμη και δεν γνωρίζω, πως να πορεύωμαι και να συμπεριφέρωμαι εις την ζωήν μου.

Γ Βασ. 3,8 - ὁ δὲ δοῦλός σου ἐν μέσῳ τοῦ λαοῦ σου, ὃν ἐξελέξω λαὸν πολύν, ὃς οὐκ ἀριθμηθήσεται.

Γ Βασ. 3,8 - Εγώ ο δούλος σου ευρίσκομαι εν μέσω λαού, τον οποίον συ εξέλεξες και ο οποίος είναι αναρίθμητος.

Γ Βασ. 3,9 - καὶ δώσεις τῷ δούλῳ σου καρδίαν ἀκούειν καὶ διακρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοῦ συνιεῖν ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ· ὅτι τίς δυνηθήσεται κρίνειν τὸν λαόν σου τὸν βαρὺν τοῦτον;

Γ Βασ. 3,9 - Δια τούτο επιθυμώ, να δώσης εις εμέ τον δούλον σου διάνοιαν προσεκτικήν να ακούη και να κρίνη τον λαόν με δικαιοσύνην, να διακρίνη το δίκαιον από το άδικον· διότι ποιός χωρίς την ιδικήν σου βοήθειαν θα ημπορή να κυβερνά τον πολύν και δυσκυβέρνητον τούτον λαόν σου;”

Γ Βασ. 3,10 - καὶ ἤρεσεν ἐνώπιον Κυρίου, ὅτι ᾐτήσατο Σαλωμὼν τὸ ῥῆμα τοῦτο,

Γ Βασ. 3,10 - Ο λόγος και το αίτημα αυτό του Σολομώντος εφάνη αρεστόν ενώπιον του Κυρίου.

Γ Βασ. 3,11 - καὶ εἶπε Κύριος πρὸς αὐτόν· ἀνθ᾿ ὧν ᾐτήσω παρ᾿ ἐμοῦ τὸ ῥῆμα τοῦτο καὶ οὐκ ᾐτήσω σεαυτῷ ἡμέρας πολλὰς καὶ οὐκ ᾐτήσω πλοῦτον, οὐδὲ ᾐτήσω ψυχὰς ἐχθρῶν σου, ἀλλ᾿ ᾐτήσω σεαυτῷ τοῦ συνιεῖν τοῦ εἰσακούειν κρίμα,

Γ Βασ. 3,11 - Και ο Κυριος του είπεν· “επειδή εζήτησες από εμέ αυτό το πράγμα και δεν εζήτησες δια τον εαυτόν σου μακρότητα ημερών, δεν εζήτησες πλούτη, δεν εζήτησες τον θάνατον των εχθρών σου, αλλά εζήτησες δια τον εαυτόν σου σοφίαν και νοητικήν ικανότητα, ώστε να δύνασαι να κρίνης δικαίως,

Γ Βασ. 3,12 - ἰδοὺ πεποίηκα κατὰ τὸ ῥῆμά σου· ἰδοὺ δέδωκά σοι καρδίαν φρονίμην καὶ σοφήν, ὡς σὺ οὐ γέγονεν ἔμπροσθέν σου καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι.

Γ Βασ. 3,12 - Ιδού έκαμα εις σέ, όπως μου είπες. Ιδού, σου έδωσα διάνοιαν συνετήν και σοφήν, ομοίαν προς την οποίαν κανείς προηγουμένως από σε δεν είχε και ούτε θα υπάρξη υστερα από σε όμοιός σου.

Γ Βασ. 3,13 - καὶ ἃ οὐκ ᾐτήσω, δέδωκά σοι, καὶ πλοῦτον καὶ δόξαν, ὡς οὐ γέγονεν ἀνὴρ ὅμοιός σοι ἐν βασιλεῦσι·

Γ Βασ. 3,13 - Αλλά και όσα δεν μου εζήτησες θα σου τα δώσω δηλαδή πλούτον και δόξαν, ώστε να μη υπάρξη άλλος όμοιός σου μεταξύ όλων των βασιλέων.

Γ Βασ. 3,14 - καὶ ἐὰν πορευθῇς ἐν τῇ ὁδῷ μου φυλάσσειν τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου, ὡς ἐπορεύθη Δαυὶδ ὁ πατήρ σου, καὶ πληθυνῶ τὰς ἡμέρας σου.

Γ Βασ. 3,14 - Εάν δε πορευθής κατά το διάστημα της ζωής σου σύμφωνσα με τας εντολάς και τα προστάγματά μου, όπως επορεύθη ο Δαυίδ ο πατήρ σου, θα σου δώσω και μακρότητα ημερών”.

Γ Βασ. 3,15 - καὶ ἐξυπνίσθη Σαλωμών, καὶ ἰδοὺ ἐνύπνιον· καὶ ἀνέστη καὶ παραγίνεται εἰς Ἱερουσαλὴμ καὶ ἔστη κατὰ πρόσωπον τοῦ θυσιαστηρίου τοῦ κατὰ πρόσωπον κιβωτοῦ διαθήκης Κυρίου ἐν Σιὼν καὶ ἀνήγαγεν ὁλοκαυτώσεις καὶ ἐποίησεν εἰρηνικὰς καὶ ἐποίησε πότον μέγα ἑαυτῷ καὶ πᾶσι τοῖς παισὶν αὐτοῦ.

Γ Βασ. 3,15 - Ο Σολομών εξύπνησε και ενόησε, ποίον ήτο το όνειρόν του. Ηγέρθη, ήλθεν εις την Ιερουσαλήμ, εστάθη ενώπιον του θυσιαστηρίου απέναντι της Κιβωτού της Διαθήκης του Κυρίου εις την Σιών. Εκεί προσέφερεν ολοκαυτώματα και θυσίας ειρηνικάς. Παρέθεσε δε δια τον εαυτόν του και δι' όλους τους δούλους του μέγα συμπόσιον.

Γ Βασ. 3,16 - Τότε ὤφθησαν δύο γυναῖκες πόρναι τῷ βασιλεῖ καὶ ἔστησαν ἐνώπιον αὐτοῦ.

Γ Βασ. 3,16 - Κατά τας ημέρας εκείνας παρουσιάσθησαν στον βασιλέα δύο κοιναί γυναίκες, αι οποίαι εστάθησαν όρθιαι ενώπιόν του.

Γ Βασ. 3,17 - καὶ εἶπεν ἡ γυνὴ μία· ἐν ἐμοί, κύριε· ἐγὼ καὶ ἡ γυνὴ αὕτη ᾠκοῦμεν ἐν οἴκῳ ἑνὶ καὶ ἐτέκομεν ἐν τῷ οἴκῳ.

Γ Βασ. 3,17 - Η μία από αυτάς του είπεν· “άκουσέ με, σε παρακαλώ, κύριε· Εγώ και αυτή η γυναίκα εμέναμεν στον ίδιον οίκον, και εγεννήσαμεν

στον οίκον αυτόν.

Γ Βασ. 3,18 - καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ τεκούσης μου, ἔτεκε καὶ ἡ γυνὴ αὕτη· καὶ ἡμεῖς κατὰ τὸ αὐτό, καὶ οὐκ ἔστιν οὐθεὶς μεθ᾿ ἡμῶν πάρεξ ἀμφοτέρων ἡμῶν ἐν τῷ οἴκῳ.

Γ Βασ. 3,18 - Κατά την τρίτην ημέραν μετά την γέννησιν του τέκνου μου εγέννησε και η γυναίκα αυτή. Είμεθα μαζή στο ίδιο το κρεββάτι. Δεν υπήρξε κανένας άλλος μαζή μας, πλην από ημάς τας δύο.

Γ Βασ. 3,19 - καὶ ἀπέθανεν ὁ υἱὸς τῆς γυναικὸς ταύτης τὴν νύκτα, ὡς ἐπεκοιμήθη ἐπ᾿ αὐτόν·

Γ Βασ. 3,19 - Συνέβη όμως να αποθάνη το παιδί της γυναικός αυτής κατά την νύκτα, διότι αυτή έπεσε και εκοιμήθη επάνω του.

Γ Βασ. 3,20 - καὶ ἀνέστη μέσης τῆς νυκτὸς καὶ ἔλαβε τὸν υἱόν μου ἐκ τῶν ἀγκαλῶν μου καὶ ἐκοίμισεν αὐτὸν ἐν τῷ κόλπῳ αὐτῆς καὶ τὸν υἱὸν αὐτῆς τὸν τεθνηκότα ἐκοίμισεν ἐν τῷ κόλπῳ μου.

Γ Βασ. 3,20 - Εσηκώθη όμως κατά το μεσονύκτιον, επήρε το παιδί μου από την αγκαλιά μου, το εκοίμισεν εις την ιδικήν της αγκαλιάν, τον δε υιόν της τον νεκρόν τον απέθεσεν εις την ιδικήν μου αγκάλην.

Γ Βασ. 3,21 - καὶ ἀνέστην τὸ πρωΐ θηλάσαι τὸν υἱόν μου, καὶ ἐκεῖνος ἦν τεθνηκώς· καὶ ἰδοὺ κατενόησα αὐτὸν πρωΐ, καὶ ἰδοὺ οὐκ ἦν ὁ υἱός μου, ὃν ἔτεκον.

Γ Βασ. 3,21 - Εσηκώθηκα εγώ το πρωί να θηλάσω το παιδί μου, και είδα ότι εκείνο ήτο νεκρόν. Οταν έγινε πρωι, παρετήρησα και είδα ότι αυτό δεν ήτο το παιδί, το οποίον εγώ είχα γεννήσει".

Γ Βασ. 3,22 - καὶ εἶπεν ἡ γυνὴ ἡ ἑτέρα· οὐχί, ἀλλὰ ὁ υἱός μου ὁ ζῶν, ὁ δὲ υἱός σου ὁ τεθνηκώς. καὶ ἐλάλησαν ἐνώπιον τοῦ βασιλέως.

Γ Βασ. 3,22 - Η άλλη όμως γυναίκα είπε προς αυτήν· "όχι, το παιδί, που ζη, είναι το δικό μου το παιδί. Το ιδικόν σου το παιδί είναι νεκρόν". Ετσι ωμίλησαν αι δύο αυταί γυναίκες ενώπιον του βασιλέως.

Γ Βασ. 3,23 - καὶ εἶπεν ὁ βασιλεὺς αὐταῖς· σὺ λέγεις· οὗτος ὁ υἱός μου ὁ ζῶν, καὶ ὁ υἱὸς ταύτης ὁ τεθνηκώς. καὶ σὺ λέγεις· οὐχί, ἀλλὰ ὁ υἱός μου ὁ ζῶν, καὶ ὁ υἱός σου ὁ τεθνηκώς.

Γ Βασ. 3,23 - Ο βασιλεύς Σολομών είπεν εις την μίαν· "συ λέγεις ότι αυτό είναι το παιδί σου, που ζη, και ότι το παιδί εκείνης είναι νεκρόν". Και εις την άλλην είπε· "συ λέγεις· όχι, όχι· αντιθέτως το ζωντανό παιδί είναι ο υιός μου και το νεκρό παιδί είναι ο υιός σου".

Γ Βασ. 3,24 - καὶ εἶπεν ὁ βασιλεύς· λάβετέ μοι μάχαιραν· καὶ προσήνεγκαν τὴν μάχαιραν ἐνώπιον τοῦ βασιλέως.

Γ Βασ. 3,24 - Είπε τότε ο βασιλεύς· "πάρετε και φέρετε εδώ μίαν μάχαιραν". Εφεραν πράγματι την μάχαιραν ενώπιον του βασιλέως.

Γ Βασ. 3,25 - καὶ εἶπεν ὁ βασιλεύς· διέλετε τὸ παιδίον τὸ ζῶν τὸ θηλάζον εἰς δύο καὶ δότε τὸ ἥμισυ αὐτοῦ ταύτῃ καὶ τὸ ἥμισυ αὐτοῦ ταύτῃ.

Γ Βασ. 3,25 - Είπε τότε ο βασιλεύς· "κόψτε εις δύο το ζωντανό παιδί, το οποίον θηλάζει, και δώστε το ήμισυ εις την γυναίκα αυτήν και το άλλο ήμισυ εις την άλλην γυναίκα".

Γ Βασ. 3,26 - καὶ ἀπεκρίθη ἡ γυνή, ἧς ἦν ὁ υἱὸς ὁ ζῶν, καὶ εἶπε πρὸς τὸν βασιλέα, ὅτι ἐταράχθη ἡ μήτρα αὐτῆς ἐπὶ τῷ υἱῷ αὐτῆς, καὶ εἶπεν· ἐν ἐμοί, κύριε, δότε αὐτῇ τὸ παιδίον καὶ θανάτῳ μὴ θανατώσητε αὐτό· καὶ αὕτη εἶπε· μήτε ἐμοὶ μήτε αὐτῇ ἔστω, διέλετε.

Γ Βασ. 3,26 - Εταράχθησαν τα μητρικά σπλάγχνα της γυναικός, εις την οποίαν ανήκε το ζωντανόν βρέφος, και είπε προς τον βασιλέα· "κάμε, σε παρακαλώ, καλωσύνην προς εμέ, κύριε, και δώσατε εις αυτήν το παιδί και μη το φονεύσετε". Η άλλη όμως γυναίκα είπεν· "ούτε εις εμέ ούτε εις αυτήν να δοθή. Διαμελίσατό το".

Γ Βασ. 3,27 - καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε· δότε τὸ παιδίον τῇ εἰπούσῃ· δότε αὐτῇ αὐτὸ καὶ θανάτῳ μὴ θανατώσητε αὐτό· αὕτη ἡ μήτηρ αὐτοῦ.

Γ Βασ. 3,27 - Απήντησεν τότε ο βασιλεύς· "δώσατε το παιδί εις την γυναίκα, που είπε· Δώστε αυτό εις εκείνην και μη το θανατώσετε. Αυτή είναι η πραγματική του μητέρα".

Γ Βασ. 3,28 - καὶ ἤκουσαν πᾶς Ἰσραὴλ τὸ κρίμα τοῦτο, ὃ ἔκρινεν ὁ βασιλεύς, καὶ ἐφοβήθησαν ἀπὸ προσώπου τοῦ βασιλέως, ὅτι εἶδον ὅτι φρόνησις Θεοῦ ἐν αὐτῷ τοῦ ποιεῖν δικαίωμα.

Γ Βασ. 3,28 - Ολοι οι Ισραηλίται ήκουσαν την απόφασιν αυτήν, την οποίαν εξέδωκεν ο βασιλεύς, και κατελήφθησαν από ιερόν δέος προς το πρόσωπον του βασιλέως, διότι είδον ότι η σύνεσις του Θεού υπήρχεν εις αυτόν, ώστε να κρίνη κατά δίκαιον τρόπον.

Γ ΒΑΣΙΛΕΙΩΝ 4

Γ Βασ. 4,1 - Καὶ ἦν ὁ βασιλεὺς Σαλωμὼν βασιλεύων ἐπὶ Ἰσραήλ.

Γ Βασ. 4,1 - Ο βασιλεύς Σολομών εβασίλευσεν εις όλον τον ισραηλιτικόν λαόν.

Γ Βασ. 4,2 - καὶ οὗτοι ἄρχοντες οἳ ἦσαν αὐτῷ. Ἀζαρίας υἱὸς Σαδὼκ

Γ Βασ. 4,2 - Οι άρχοντες δέ, οι οποίοι εβοηθούσαν αυτόν, ήσαν οι εξής· Αζαριας ο υιός του Σαδώκ.

Γ Βασ. 4,3 - καὶ Ἐλιαρὲφ καὶ Ἀχιὰ υἱὸς Σαβὰ γραμματεῖς. καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλὶδ ἀναμιμνήσκων

Γ Βασ. 4,3 - Ο Ελιαρέφ και ο Αχιά, ο υιός του Σαβά, οι γραμματείς του βασιλέως. Ο Ιωσαφάτ ο υιός του Αχιλίδ, ο φυλάττων τα αρχεία του

βασιλείου.

Γ Βασ. 4,4 - καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τῆς δυνάμεως καὶ Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς

Γ Βασ. 4,4 - Ο Βαναίας υιός του Ιωδαέ, ο αρχηγός των στρατιωτικών δυνάμεων, ο Σαδώκ και ο Αβιάθαρ, οι αρχιερείς.

Γ Βασ. 4,5 - καὶ Ὀρνία υἱὸς Νάθαν ἐπὶ τῶν καθεσταμένων καὶ Ζαβούθ υἱὸς Νάθαν ἑταῖρος τοῦ βασιλέως

Γ Βασ. 4,5 - Ο Ορνίας ο υιός του Ναθαν, ο οποίος ήτο αρχηγός των κατά περιοχάς αρχόντων, ο Ζαβούθ ο υιός του Ναθαν, ο έμπιστος φίλος του βασιλέως,

Γ Βασ. 4,6 - καὶ Ἀχιὴλ ἦν οἰκονόμος καὶ Ἐλιὰβ υἱὸς Σὰφ ἐπὶ τῆς πατριᾶς καὶ Ἀδωνιρὰμ υἱὸς Ἐφρὰ ἐπὶ τῶν φόρων.

Γ Βασ. 4,6 - ο Αχιήλ, ο οποίος ήτο οικονόμος του παλατίου, ο Ελιάβ ο υιός του Σαφ, ο οποίος ήτο επί του οίκου του βασιλέως, ο Αδωνιράμ ο υιός του Εφρά, ο οποίος ήτο επί των μεταφορών.

Γ Βασ. 4,7 - καὶ τῷ Σαλωμὼν δώδεκα καθεσταμένοι ἐπὶ πάντα Ἰσραὴλ χορηγεῖν τῷ βασιλεῖ καὶ τῷ οἴκῳ αὐτοῦ· μῆνα ἐν τῷ ἐνιαυτῷ ἐγίνετο ἐπὶ τὸν ἕνα χορηγεῖν.

Γ Βασ. 4,7 - Ο Σολομών είχε δώδεκα άρχοντας εις ισαρίθμους περιοχάς επί όλου του Ισραηλιτικού λαού, δια να προμηθεύουν εις αυτόν και τον οίκον του όσα εχρειάζοντο προς συντήρησίν του. Ενα μήνα κάθε έτος είχεν αναλάβει έκαστος από αυτούς να χορηγή στον βασιλέα τα προς διατροφήν.

Γ Βασ. 4,8 - καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Βενὼρ ἐν ὄρει Ἐφραίμ, εἷς·

Γ Βασ. 4,8 - Αυτά δε ήσαν τα ονόματα των κατά περιοχάς αρχόντων αυτών· Ο Βενώρ εις την ορεινήν περιοχήν Εφραίμ,

Γ Βασ. 4,9 - υἱὸς Δακὰρ ἐν Μαχεμὰς καὶ ἐν Σαλαβὶν καὶ Βαιθσαμὺς καὶ Αἰλὼν ἕως Βηθανάν, εἷς·

Γ Βασ. 4,9 - ο υιός Δακάρ εις την περιοχήν Μεχαμάς, εις Σαλαβίν, εις Βαιθσαμύς και εις Αιλών έως Βηθανάν·

Γ Βασ. 4,10 - υἱὸς Ἐσδὶ ἐν Ἀραβώθ, αὐτοῦ Σωχὼ καὶ πᾶσα ἡ γῆ Ὀφέρ·

Γ Βασ. 4,10 - ο υιός του Εσδί εις Αραβώθ. Εις αυτόν υπήγετο η Σωχώ και όλη η χώρα Οφέρ.

Γ Βασ. 4,11 - Χαναδὰβ καὶ Ἀναφαθέ, ἀνὴρ Ταβλήθ, θυγάτηρ Σαλωμὼν ἦν αὐτῷ εἰς γυναῖκα, εἷς·

Γ Βασ. 4,11 - Εις Χαναδάβ και Αναφαθέ ο ανήρ της Ταβλήθ, μιας θυγατρός του Σολομώντος, την οποίαν αυτός είχε λάδει ως σύζυγον.

Γ Βασ. 4,12 - Βαανὰ υἱὸς Ἀχιλὶδ Θααναχ καὶ Μαγεδδὼ καὶ πᾶς ὁ οἶκος Σὰν ὁ παρὰ Σεσαθὰν ὑποκάτω τοῦ Ἐσραὲ καὶ ἐκ Βηθσὰν ἕως Σαβελμαουλᾶ, ἕως Μαεβὲρ Λουκάμ, εἷς·

Γ Βασ. 4,12 - Ο Βαανά ο υιός του Αχιλίδ, έχων δικαιοδοσίαν εις Θααννάχ και Μαγεδδώ και επί όλου του οίκου του Σαν, του ευρισκομένου πλησίον της Σεσαθάν κάτω του Εσραέ και από την Βηθσάν μέχρι Σαβελμαουλά, μέχρι του Μαεβέρ Λουκάμ.

Γ Βασ. 4,13 - υἱὸς Γαβὲρ ἐν Ῥεμὰθ Γαλαάδ, τούτῳ σχοίνισμα Ἐρεγαβά, ἣ ἐν τῇ Βασάν, ἑξήκοντα πόλεις μεγάλαι τειχήρεις καὶ μοχλοὶ χαλκοῖ, εἷς·

Γ Βασ. 4,13 - Ο υιός Γαβέρ έχων δικαιοδοσίαν εις Ρεμάθ Γαλαάδ. Εις αυτόν υπήγετο η περιοχή Ερεγαβά, η οποία περιελαμβάνετο εις την Βασάν. Εκεί υπήρχον εξήκοντα μεγάλαι πόλεις ωχυρωμέναι με τείχη, εις τας πύλας των οποίων υπήρχαν μοχλοί χάλκινοι.

Γ Βασ. 4,14 - Ἀχιναδὰβ υἱὸς Σαδδὼ Μααναΐμ, εἷς·

Γ Βασ. 4,14 - Ο Αχιναδάβ, ο υιός του Σαδδώ, εις Μααναΐμ,

Γ Βασ. 4,15 - Ἀχιμαὰς ἐν Νεφθαλίμ, καὶ οὗτος ἔλαβε τὴν Βασεμμὰθ θυγατέρα Σαλωμὼν εἰς γυναῖκα, εἷς·

Γ Βασ. 4,15 - ο Αχιμαάς εις Νεφθαλίμ. Αυτός έλαβεν ως σύζυγόν του την Βασεμμάθ, θυγατέρα του Σολομώντος.

Γ Βασ. 4,16 - Βαανᾶ υἱὸς Χουσὶ ἐν Ἀσὴρ καὶ ἐν Βααλώθ, εἷς·

Γ Βασ. 4,16 - Ο Βαανά ο υιός Χουσί εις την Ασήρ και την Βααλώθ,

Γ Βασ. 4,17 - Σαμαὰ υἱὸς Ἠλὰ ἐν τῷ Βενιαμίν·

Γ Βασ. 4,17 - Ο Σαμαά υιός του Ηλά εις την περιοχήν Βενιαμίν,

Γ Βασ. 4,18 - Γαβὲρ υἱὸς Ἀδαΐ ἐν τῇ γῇ Γάδ, καὶ Σηὼν βασιλέως τοῦ Ἐσεβὼν καὶ Ὢγ βασιλέως τοῦ Βασάν· καὶ νασὶφ εἷς ἐν γῇ Ἰούδα·

Γ Βασ. 4,18 - Ο Γαβέρ υιός του Αδαΐ εις την χώραν Γαδ και την χώραν του Σηών του βασιλέως της πόλεως Εσεβών και του Ωγ του βασιλέως της χώρας Βασάν. Ο Νασίφ ήτο εις την Ιουδαίαν.

Γ Βασ. 4,19 - Ἰωσαφὰτ υἱὸς Φουασοὺδ ἐν Ἰσσάχαρ.

Γ Βασ. 4,19 - Δωδέκατος δε ήτο ο Ιωσαφάτ ο υιός του Φουασούδ, εις την περιοχήν Ισσάχαρ.

Γ Βασ. 20 - καὶ Ἰσραὴλ πολλοὶ ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος ἔσθοντες καὶ πίνοντες καὶ εὐφραινόμενοι.]

Γ Βασ. 4,20 - Οι Ιουδαίοι και οι Ισραηλίται ήσαν πολλοί, ωσάν την άμμον της θαλάσσης κατά το πλήθος. Αυτοί έτρωγαν και έπιναν και ηυφραίνοντο.

Γ ΒΑΣΙΛΕΙΩΝ 5

Γ Βασ. 5,1 - [Καὶ Σαλωμὼν ἦν ἐξουσιάζων ἐν πᾶσι τοῖς βασιλείοις ἀπὸ τοῦ ποταμοῦ γῆς ἀλλοφύλων καὶ ἕως ὁρίου Αἰγύπτου προσεγγίζοντες δῶρα καὶ δουλεύοντες τῷ Σαλωμὼν πάσας ἡμέρας ζωῆς αὐτοῦ.] Καὶ ἐχορήγουν οἱ καθεσταμένοι οὕτως τῷ βασιλεῖ Σαλωμὼν καὶ πάντα τὰ

διαγγέλματα ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως, ἕκαστος μῆνα αὐτοῦ, οὐ παραλλάσσουσι λόγον·

Γ Βασ. 5,1 - Ο Σολομών εξουσίαζεν εις όλας τας βασιλείας εκείνας, αι οποίαι εξετείνοντο από τον ποταμόν Ευφράτην έως την χώραν των Φιλισταίων και έως εις τα σύνορα της Αιγύπτου. Οι βασιλείς αυτοί προσέφεραν δώρα στον Σολομώντα και ήσαν υποτελείς εις αυτόν όλας τας ημέρας της ζωής του. Οι δε προαναφερθέντες δώδεκα τοπάρχαι επρομήθευον στον βασιλέα Σολομώντα, σύμφωνα με τας εντολάς τας οποίας είχον λάβει, όλα όσα εχρειάζετο δια την βασιλικήν τράπεζαν. Καθε ενας από αυτούς δι' ένα μήνα ανελάμβανε την χορήγησιν, Ολοι δε αυτοί ετηρούσαν με ακρίβειαν την υποχρέωσίν των αυτήν.

Γ Βασ. 5,2 - καὶ τὰς κριθὰς καὶ τὸ ἄχυρον τοῖς ἵπποις καὶ τοῖς ἅρμασιν ᾖρον εἰς τὸν τόπον, οὗ ἂν ᾖ ὁ βασιλεύς, ἕκαστος κατὰ τὴν σύνταξιν αὐτοῦ. καὶ ταῦτα τὰ δέοντα τῷ Σαλωμὼν ἐν ἡμέρᾳ μιᾷ· τριάκοντα κόροι σεμιδάλεως καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου.

Γ Βασ. 5,2 - Οι τοπάρχαι αυτοί εφρόντιζαν να προμηθεύουν κριθήν και άχυρα δι' όλους τους ίππους και δι' εκείνους, που ήσαν ζευγμένοι εις τα βασιλικά πολεμικά άρματα. Αυτήν δε την τροφοδοσίαν των ίππων έφεραν στον τόπον, όπου εκάστοτε ευρίσκετο ο βασιλεύς. Καθένας από τους τοπάρχας αυτούς έφερε το μερίδιόν του. Τα δε προς διατροφήν απαιτούμενα δια την βασιλικήν τράπεζαν του Σολομώντος ήσαν εκάστην ημέραν τα εξής· Τριάκοντα κόροι σημιγδάλι, εξήκοντα κόροι αλεύρου κοπανισμένου,

Γ Βασ. 5,3 - καὶ δέκα μόσχοι ἐκλεκτοὶ καὶ εἴκοσι βόες νομάδες καὶ ἑκατὸν πρόβατα ἐκτὸς ἐλάφων καὶ δορκάδων ἐκλεκτῶν, σιτευτά·

Γ Βασ. 5,3 - δέκα εκλεκτά μοσχάρια καλοθρεμμένα, είκοσι βόδια από εκείνα που βόσκουν εις τα λειβάδια, εκατόν πρόβατα, εκτός βέβαια από τα ελάφια και τα ζαρκάδια, τα οποία ήσαν εκλεκτά και καλοθρεμμένα.

Γ Βασ. 5,4 - ὅτι ἦν ἄρχων πέραν ποταμοῦ, καὶ ἦν αὐτῷ εἰρήνη ἐκ πάντων τῶν μερῶν κυκλόθεν.

Γ Βασ. 5,4 - Ο Σολομών ήτο μέγας βασιλεύς, διότι εκυριαρχούσεν εις χώρας και πέραν του Ευφράτου ποταμού. Και μολονότι τοιαύτην έκτασιν είχεν η βασιλεία του, επικρατούσε εις όλην την περιοχήν εντός και γύρω της αυτοκρατορίας του ειρήνη.

Γ Βασ. 5,5 - Καὶ ἔδωκε Κύριος φρόνησιν τῷ Σαλωμὼν καὶ σοφίαν πολλὴν σφόδρα καὶ χύμα καρδίας ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν.

Γ Βασ. 5,5 - Ο Κυριος έδωκεν στον Σολομώντα σύνεσιν και σοφίαν πολλήν και μεγάλην ευρύτητα αντιλήψεως, όση είναι η άμμος, που ευρίσκεται πλησίον εις την θάλασσαν.

Γ Βασ. 5,10 - καὶ ἐπληθύνθη Σαλωμὼν σφόδρα ὑπὲρ τὴν φρόνησιν πάντων ἀρχαίων ἀνθρώπων καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου

Γ Βασ. 5,10 - Ο Σολομών απέκτησε πολύ μεγάλην σοφίαν και σύνεσιν, μεγαλυτέραν από την σοφίαν και σύνεσιν όλων των αρχαίων ανδρών και αυτών ακόμη των σοφών της Αιγύπτου.

Γ Βασ. 5,11 - καὶ ἐσοφίσατο ὑπὲρ πάντας τοὺς ἀνθρώπους καὶ ἐσοφίσατο ὑπὲρ Γαιθὰν τὸν Ζαρείτην καὶ τὸν Αἰνὰν καὶ τὸν Χαλκὰλ καὶ Δαρδὰ υἱοὺς Μάλ.

Γ Βασ. 5,11 - Εγινε σοφώτερος από όλους τους ανθρώπους. Σοφώτερος από τον Γαιθάν τον Ζαρείτην, τον Αινάν, τον Χαλκάλ, τον Δαρδά, οι οποίοι ήσαν υιοί του Μαλ.

Γ Βασ. 5,12 - καὶ ἐλάλησε Σαλωμὼν τρισχιλίας παραβολάς, καὶ ἦσαν ᾠδαὶ αὐτοῦ πεντακισχίλιαι.

Γ Βασ. 5,12 - Ο Σολομών έγραψε τρεις χιλιάδες αποφθέγματα και παροιμίας και πέντε χιλιάδας ωδάς.

Γ Βασ. 5,13 - καὶ ἐλάλησεν ὑπὲρ τῶν ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοῦ τοίχου καὶ ἐλάλησε περὶ τῶν κτηνῶν καὶ περὶ τῶν πετεινῶν καὶ περὶ τῶν ἑρπετῶν καὶ περὶ τῶν ἰχθύων.

Γ Βασ. 5,13 - Ωμίλησε δι' όλα τα δένδρα από τα μεγάλα κέδρα, που υπάρχουν στον Λιβανον, μέχρι του μικρού φυτού του υσσώπου, που φυτρώνει στους τοίχους. Ωμίλησε δια τα ζώα, δια τα πτηνά, δια τα ερπετά και δια τους ιχθύς.

Γ Βασ. 5,14 - καὶ παρεγίνοντο πάντες οἱ λαοὶ ἀκοῦσαι τῆς σοφίας Σαλωμὼν καὶ ἐλάμβανε δῶρα παρὰ πάντων τῶν βασιλέων τῆς γῆς, ὅσοι ἤκουον τῆς σοφίας αὐτοῦ.

Γ Βασ. 5,14 - Ολοι οι άνθρωποι προσήρχρντο να ακούσουν την σοφίαν του Σολομώντος. Ο δε Σολομών ελάμβανε δώρα από όλους τους βασιλείς της γης, όσοι ήρχοντο να ακούσουν την σοφίαν του.

Γ Βασ. 5,14α - Καὶ ἔλαβε Σαλωμὼν τὴν θυγατέρα Φαραὼ αὐτῷ εἰς γυναῖκα καὶ εἰσήγαγεν αὐτὴν εἰς τὴν πόλιν Δαυὶδ ἕως συντελέσαι αὐτὸν τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον ἑαυτοῦ καὶ τὸ τεῖχος Ἰερουσαλήμ.

Γ Βασ. 5,14[α] - Ο Σολομών επήρεν ως σύζυγόν του την θυγατέρα του Φαραώ της Αιγύπτου, την οποίαν και έφερεν εις την πόλιν Δαυίδ και την εγκατέστησεν εκεί, μέχρις ότου ετελείωσε την ανοικοδόμησιν του ναού του Κυρίου και του ιδικού του ανακτόρου και του τείχους, το οποίον περιέβαλλε την Ιερουσαλήμ.

Γ Βασ. 5,14β - τότε ἀνέβη Φαραὼ βασιλεὺς Αἰγύπτου καὶ προκατελάβετο τὴν Γαζὲρ καὶ ἐνεπύρισεν αὐτὴν καὶ τὸν Χανανίτην τὸν κατοικοῦντα ἐν Μεργάβ, καὶ ἔδωκεν αὐτὰς Φαραὼ ἀποστολὰς θυγατρὶ αὐτοῦ γυναικὶ Σαλωμών, καὶ Σαλωμὼν ᾠκοδόμησε τὴν Γαζέρ.

Γ Βασ. 5,14β - Τοτε δε ο Φαραώ ο βασιλεύς της Αιγύπτου εξεστράτευσε και κατέλαβε κατ' αρχάς την Γαζέρ, την οποίαν και επυρπόλησε. Κατόπιν υπέταξε τους Χαναναίους, οι οποίοι κατοικούσαν εις την Μεργάβ. Αυτάς δε τας χώρας έδωκεν ο Φαραώ ως προίκα εις την θυγατέρα του, την σύζυγον του Σολομώντος. Ο Σολομών ανοικοδόμησε τότε την πυρποληθείσαν Γαζέρ.

Γ Βασ. 5,15 - Καὶ ἀπέστειλε Χιρὰμ βασιλεὺς Τύρου τοὺς παῖδας αὐτοῦ χρῖσαι τὸν Σαλωμὼν ἀντὶ Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, ὅτι ἀγαπῶν ἦν Χιρὰμ τὸν Δαυὶδ πάσας τὰς ἡμέρας.

Γ Βασ. 5,15 - Ο δε βασιλεύς της πόλεως Τυρου, ο Χιράμ, έστειλεν ανθρώπους, δια να συγχαρή τον Σολομώντα, ο οποίος ανεδείχθη βασιλεύς αντί του πατρός του, διότι ο Χιράμ ήτο φίλος του Δαυίδ όλας τας ημέρας της ζωής του.

Γ Βασ. 5,16 - καὶ ἀπέστειλε Σαλωμὼν πρὸς Χιρὰμ λέγων·

Γ Βασ. 5,16 - Ο Σολομών έστειλεν ανθρώπους και παρεκάλεσε τον Χιράμ λέγων·

Γ Βασ. 5,17 - σὺ οἶδας τὸν πατέρα μου Δαυὶδ ὅτι οὐκ ἠδύνατο οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ μου ἀπὸ προσώπου τῶν πολέμων τῶν κυκλωσάντων αὐτὸν ἕως τοῦ δοῦναι Κύριον αὐτοὺς ὑπὸ τὰ ἴχνη τῶν ποδῶν αὐτοῦ.

Γ Βασ. 5,17 - “συ γνωρίζεις ότι ο πατήρ μου ο Δαυίδ δεν ημπορούσε να ανοικοδομήση ναόν προς δόξαν και τιμήν του ονόματος του Κυρίου του Θεού μου εξ αιτίας των πολέμων, τους οποίους είχε διεξαγάγει ολόγυρα, μέχρις ότου ο Κυριος υπέταξεν υπό τους πόδας του Δαυίδ όλους αυτούς τους εχθρούς του.

Γ Βασ. 5,18 - καὶ νῦν ἀνέπαυσε Κύριος ὁ Θεός μου ἐμοὶ κυκλόθεν· οὐκ ἔστιν ἐπίβουλος καὶ οὐκ ἔστιν ἁμάρτημα πονηρόν.

Γ Βασ. 5,18 - Και τώρα Κυριος ο Θεός έδωσεν εις εμέ ειρήνην και ησυχίαν από τους γύρω μου εχθρούς. Κανείς πλέον εχθρός δεν υπάρχει, ούτε και υφίσταται κανένα θέμα επικίνδυνον και πονηρόν, ικανόν να διαταράξη την ειρήνην.

Γ Βασ. 5,19 - καὶ ἰδοὺ ἐγὼ λέγω οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ μου, καθὼς ἐλάλησε Κύριος ὁ Θεὸς πρὸς Δαυὶδ τὸν πατέρα μου, λέγων· ὁ υἱός σου, ὃν δώσω ἀντὶ σοῦ ἐπὶ τὸν θρόνον σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀνόματί μου.

Γ Βασ. 5,19 - Και έτσι εγώ λέγω και επήρα την απόφασιν, να οικοδομήσω ναόν στο όνομα Κυρίου του Θεού μου, όπως είπε Κυριος ο Θεός προς τον πατέρα μου τον Δαυίδ λέγων· Ο υιός σου, τον οποίον εγώ προορίζω να σε διαδεχθή στον βασιλικόν σου θρόνον, αυτός θα οικοδομήση τον ναόν επ' ονόματί μου.

Γ Βασ. 5,20 - καὶ νῦν ἔντειλαι καὶ κοψάτωσάν μοι ξύλα ἐκ τοῦ Λιβάνου, καὶ ἰδοὺ οἱ δοῦλοί μου μετὰ τῶν δούλων σου· καὶ τὸν μισθὸν δουλείας σου

δώσω σοι κατὰ πάντα, ὅσα ἂν εἴπῃς, ὅτι σὺ οἶδας ὅτι οὐκ ἔστιν ἡμῖν εἰδὼς ξύλα κόπτειν καθὼς οἱ Σιδώνιοι.

Γ Βασ. 5,20 - Και τώρα δώσε εντολήν να κόψουν δι' εμέ ξύλα από τα δένδρα του όρους Λιβάνου. Ιδού οι δούλοι μου είναι εις την διάθεσίν σου, δια να συνεργασθούν με τους ιδικούς σου δούλους. Εγώ δε θα δώσω ως μισθόν δια τους δούλους σου ο,τι συ μου ζητήσης. Ας αναλάβουν οι δούλοι σου το κόψιμο των δένδρων, διότι, όπως και συ γνωρίζεις, δεν υπάρχουν εις την περιοχήν μας ξυλοκόποι ικανοί, όπως είναι οι Σιδώνιοι”.

Γ Βασ. 5,21 - καὶ ἐγενήθη καθὼς ἤκουσε Χιρὰμ τῶν λόγων Σαλωμών, ἐχάρη σφόδρα καὶ εἶπεν· εὐλογητὸς ὁ Θεὸς σήμερον, ὃς ἔδωκε τῷ Δαυὶδ υἱὸν φρόνιμον ἐπὶ τὸν λαὸν τὸν πολὺν τοῦτον

Γ Βασ. 5,21 - Οταν ο Χιράμ ήκουσε τα λόγια αυτά του Σολομώντος εχάρη πάρα πολύ και είπε· “δοξασμένος ας είναι σήμερον ο Θεός, ο οποίος έδωσεν στον Δαυίδ υιόν τόσον συνετόν ως κυβερνήτην δια τον πολυάριθμον αυτόν λαόν του Ισραήλ”.

Γ Βασ. 5,22 - καὶ ἀπέστειλε πρὸς Σαλωμὼν λέγων· ἀκήκοα περὶ πάντων, ὧν ἀπέσταλκας πρός με· ἐγὼ ποιήσω πᾶν θέλημά σου, ξύλα κέδρινα καὶ πεύκινα·

Γ Βασ. 5,22 - Ο Χιράμ απήντησε προς τον Σολομώντα και του είπε· “ήκουσα με προσοχήν όλα εκείνα, τα οποία μου παρήγγειλες. Εγώ θα κάμω κάθε τι, που μου εζήτησες, δηλαδή να προμηθεύσω εις σε ξύλα από κέδρον και πεύκην.

Γ Βασ. 5,23 - οἱ δοῦλοί μου κατάξουσιν αὐτὰ ἐκ τοῦ Λιβάνου εἰς τὴν θάλασσαν, ἐγὼ θήσομαι αὐτὰ σχεδίας ἕως τοῦ τόπου, οὗ ἐὰν ἀποστείλῃς πρός με, καὶ ἐκτινάξω αὐτὰ ἐκεῖ, καὶ σὺ ἀρεῖς· καὶ ποιήσεις τὸ θέλημά μου, τοῦ δοῦναι ἄρτους τῷ οἴκῳ μου.

Γ Βασ. 5,23 - Οι δούλοι μου θα κόψουν και θα καταβιβάσουν αυτά από το όρος Λιβανον εις την θάλασσαν, θα τα τοποθετήσω επάνω εις σχεδίας και θα τα μεταφέρω δια θαλάσσης έως εις την παράλιον περιοχήν, την οποίαν συ θα μου ορίσης. Εκεί εγώ θα τα αποθέσω, και από εκεί εσύ θα τα πάρης. Συ δε θα εκπληρώσης και το ιδικόν μου θέλημα θα δώσης δηλαδή τρόφιμα στον οίκον μου”.

Γ Βασ. 5,24 - καὶ ἦν Χιρὰμ διδοὺς τῷ Σαλωμὼν κέδρους καὶ πεύκας καὶ πᾶν θέλημα αὐτοῦ.

Γ Βασ. 5,24 - Πράγματι ο Χιράμ εχορηγούσε στον Σολομώντα κέδρα και πεύκα και ο,τι άλλο εκείνος ήθελε.

Γ Βασ. 5,25 - καὶ Σαλωμὼν ἔδωκε τῷ Χιρὰμ εἴκοσι χιλιάδας κόρους πυροῦ καὶ μαχεὶρ τῷ οἴκῳ αὐτοῦ καὶ εἴκοσι χιλιάδας βαὶθ ἐλαίου κεκομμένου· κατὰ τοῦτο ἐδίδου Σαλωμὼν τῷ Χιρὰμ κατ᾽ ἐνιαυτόν.

Γ Βασ. 5,25 - Ο δε Σολομών έδιδε τακτικώς στον Χιράμ τέσσαρα και πλέον εκατομμύρια κιλά σίτου και τροφάς δια τον βασιλικόν του οίκον. Ακόμη δε τετρακοσίας είκοσι χιλιάδας και πλέον κιλά ελαίου από τα ελαιοπιεστήρια. Αυτό το ποσόν έδιδε κάθε έτος ο Σολομών στον Χιράμ.

Γ Βασ. 5,26 - καὶ Κύριος ἔδωκε σοφίαν τῷ Σαλωμών, καθὼς ἐλάλησεν αὐτῷ· καὶ ἦν εἰρήνη ἀνὰ μέσον Χιρὰμ καὶ ἀνὰ μέσον Σαλωμών, καὶ διέθεντο διαθήκην ἀνὰ μέσον αὐτῶν.

Γ Βασ. 5,26 - Ο Κυριος έδωσε σοφίαν στον Σολομώντα, όπως είχεν υποσχεθή εις αυτόν. Και επικρατούσε ειρήνη μεταξύ του Χιράμ και του Σολομώντος. Αυτοί συνήψαν συμφωνίαν μεταξύ των.

Γ Βασ. 5,27 - καὶ ἀνήνεγκεν ὁ βασιλεὺς φόρον ἐκ παντὸς Ἰσραήλ, καὶ ἦν ὁ φόρος τριάκοντα χιλιάδες ἀνδρῶν.

Γ Βασ. 5,27 - Ο βασιλεύς του Ισραηλιτικού λαού, ο Σολομών, ώρισεν ως αχθοφόρους από όλους τους Ισραηλίτας τριάντα χιλιάδες άνδρας.

Γ Βασ. 5,28 - καὶ ἀπέστειλεν αὐτοὺς εἰς τὸν Λίβανον, δέκα χιλιάδες ἐν τῷ μηνί, ἀλλασσόμενοι, μῆνα ἦσαν ἐν τῷ Λιβάνῳ καὶ δύο μῆνας ἐν οἴκῳ αὐτῶν· καὶ Ἀδωνιρὰμ ἐπὶ τοῦ φόρου.

Γ Βασ. 5,28 - Εστειλε δε αυτούς εις τα όρος Λιβανον, δια να εργάζωνται ανά δέκα χιλιάδες κατά μήνα. Αυτοί ενηλλάσσοντο, ώστε ένα μήνα ήσαν στον Λιβανον και δύο μήνας ευρίσκοντο εις τα σπίτια των. Επόπτης δε αυτών ήτο ο Αδωνιράμ.

Γ Βασ. 5,29 - καὶ ἦν τῷ Σαλωμὼν ἑβδομήκοντα χιλιάδες αἴροντες ἄρσιν καὶ ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει,

Γ Βασ. 5,29 - Υπήρχον ακόμη εις την υπηρεσίαν του Σολομώντος εβδομήκοντα χιλιάδες αχθοφόροι και ογδοήκοντα χιλιάδες λατόμοι στο όρος.

Γ Βασ. 5,30 - χωρὶς τῶν ἀρχόντων τῶν καθεσταμένων ἐπὶ τῶν ἔργων τῷ Σαλωμών, τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ἐπιστάται οἱ ποιοῦντες τὰ ἔργα.

Γ Βασ. 5,30 - Εις αυτούς δεν συμπεριελαμβάνοντο οι επόπται των έργων, τους οποίους είχε διορίσει ο Σολομών και των οποίων ο αριθμός ανήρχετο εις τρεις χιλιάδας εξακοσίους.

Γ Βασ. 5,32 - καὶ ἡτοίμασαν τοὺς λίθους καὶ τὰ ξύλα τρία ἔτη.

Γ Βασ. 5,32 - Αυτοί εργαζόμενοι επί τρία κατά συνέχειαν έτη ητοίμασαν όλους τους λίθους και τα ξύλα.

Γ ΒΑΣΙΛΕΙΩΝ 6

Γ Βασ. 6,1 - Καὶ ἐγενήθη ἐν τῷ τεσσαρακοστῷ καὶ τετρακοσιοστῷ ἔτει τῆς ἐξόδου υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου, τῷ ἔτει τῷ τετάρτῳ ἐν μηνὶ τῷ δευτέρῳ βασιλεύοντος τοῦ βασιλέως Σαλωμὼν ἐπὶ τὸν Ἰσραήλ, (Κεφ. Ε 31)

Γ Βασ. 6,1 - Κατά το τετρακοσιοστόν τεσσαρακοστόν έτος από της εξόδου των Ισραηλιτών εκ της Αιγύπτου και κατά τον δεύτερον μήνα του τετάρτου έτους, που εβασίλευεν ο Σολομών στον ισραηλιτικόν λαόν,

Γ Βασ. 6,1α - καὶ ἐνετείλατο ὁ βασιλεὺς ἵνα αἴρωσι λίθους μεγάλους τιμίους εἰς τὸν θεμέλιον τοῦ οἴκου, καὶ λίθους ἀπελεκήτους. (Κεφ. Ε 32)

Γ Βασ. 6,1[α] - ο βασιλεύς Σολομών διέταξε και μετέφεραν τους μεγάλους και ωραίους λίθους δια τα θεμέλια του ναού. Αυτοί δε οι λίθοι ήσαν απελέκητοι.

Γ Βασ. 6,1β - καὶ ἐπελέκησαν οἱ υἱοὶ Σαλωμὼν καὶ οἱ υἱοὶ Χιρὰμ καὶ ἔβαλαν αὐτούς.

Γ Βασ. 6,1β - Αυτούς τους λίθους είχον κόψει προηγουμένως οι δούλοι του Σολομώντος και οι δούλοι του Χιράμ από το όρος και κατόπιν, αφού τους επελέκησαν, τους έθεσαν ως θεμέλιον του ναού.

Γ Βασ. 6,1γ - ἐν τῷ ἔτει τῷ τετάρτῳ ἐθεμελίωσε τὸν οἶκον Κυρίου ἐν μηνὶ Νισώ, καὶ τῷ δευτέρῳ μηνὶ

Γ Βασ. 6,1γ - Κατά δε το τέταρτον έτος και τον μήνα Νισώ, τον δεύτερον αυτόν μήνα, εθεμελίωσεν ο Σολομών τον ναόν του Κυρίου.

Γ Βασ. 6,1δ - ἐν ἑνδεκάτῳ ἐνιαυτῷ, ἐν μηνὶ Βαὰλ (οὗτος ὁ μὴν ὁ ὄγδοος) συνετελέσθη ὁ οἶκος εἰς πάντα λόγον αὐτοῦ καὶ εἰς πᾶσαν διάταξιν αὐτοῦ.

Γ Βασ. 6,1δ - Κατά δε το ενδέκατον έτος, τον μήνα Βαάλ (αυτός είναι ο όγδοος μην) απεπερατώθη ο ναός του Θεού καθ' όλην την αρχιτεκτονικήν αυτού και την άλλην τάξιν.

Γ Βασ. 6,2 - καὶ ὁ οἶκος, ὃν ᾠκοδόμησεν ὁ βασιλεὺς τῷ Κυρίῳ, τεσσαράκοντα ἐν πήχει μῆκος αὐτοῦ καὶ εἴκοσιν ἐν πήχει πλάτος αὐτοῦ καὶ πέντε καὶ εἴκοσιν ἐν πήχει τὸ ὕψος αὐτοῦ.

Γ Βασ. 6,2 - Ο οίκος αυτός του Κυρίου, τον οποίον ανοικοδόμησεν ο βασιλεύς Σολομών προς τιμήν του Κυρίου, είχε μήκος μεν τεσσαράκοντα εβραϊκούς πήχεις, πλάτος είκοσι πήχεις και οψος είκοσι πέντε πήχεις.

Γ Βασ. 6,3 - καὶ τὸ αἰλὰμ κατὰ πρόσωπον τοῦ ναοῦ, εἴκοσιν ἐν πήχει μῆκος αὐτοῦ εἰς τὸ πλάτος τοῦ οἴκου καὶ δέκα ἐν πήχει τὸ πλάτος αὐτοῦ κατὰ πρόσωπον τοῦ οἴκου. καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ συνετέλεσεν αὐτόν.

Γ Βασ. 6,3 - Εμπρός στον ναόν υπήρχεν η στοα. Το μήκος της προσόψεώς της ήτο τόσοι, πήχεις, όσον ήτο το πλάτος του ναού, δηλαδή είκοσι πήχεις. Το δε βάθος της στοάς, που έφθανε μέχρι του ναού, ήτο δέκα πήχεις. Ετσι ανοικοδόμησε και έφερεν εις πέρας ο Σολομών τον ναόν τούτον του Κυρίου.

Γ Βασ. 6,4 - καὶ ἐποίησε τῷ οἴκῳ θυρίδας παρακυπτομένας κρυπτάς.

Γ Βασ. 6,4 - Ο βασιλεύς διέταξε και κατεσκεύασαν στον ναόν παράθυρα με κιγκλιδώματα.

Γ Βασ. 6,5 - καὶ ἔδωκεν ἐπὶ τὸν τοῖχον τοῦ οἴκου μέλαθρα κυκλόθεν τῷ ναῷ καὶ τῷ δαβὶρ καὶ ἐποίησε πλευρὰς κυκλόθεν.

Γ Βασ. 6,5 - Προς τον παρά τον τοίχον του κυρίως ναού χώρον και γύρω από τον ναόν τούτον και από το άδυτον του ναού διέταξεν ο Σολομών και κατεσκεύασαν δωμάτια. Τα δωμάτια ήσαν εις επαλλήλους ορόφους γύρω από τον ναόν.

Γ Βασ. 6,6 - ἡ πλευρὰ ἡ ὑποκάτω πέντε πήχεων ἐν πήχει τὸ πλάτος αὐτῆς, καὶ τὸ μέσον ἕξ, καὶ ἡ τρίτη ἑπτὰ ἐν πήχει τὸ πλάτος αὐτῆς· ὅτι διάστημα ἔδωκε τῷ οἴκῳ κυκλόθεν ἔξωθεν τοῦ οἴκου, ὅπως μὴ ἐπιλαμβάνωνται τῶν τοίχων τοῦ οἴκου.

Γ Βασ. 6,6 - Ο πρώτος όροφος, ο κατώτερος, είχε πλάτος πέντε πήχεις, ο μεσαίος εξ πήχεις και ο τρίτος επτά πήχεις. Μεταξύ των οικοδομημάτων αυτών και του κυρίως ναού υπήρχε, σεβασμού ένεκεν, μία απόστασις, δια να μη εγγίζουν αυτά τα οικοδομήματα στον τοίχον του ναού.

Γ Βασ. 6,7 - καὶ ὁ οἶκος ἐν τῷ οἰκοδομεῖσθαι αὐτὸν λίθοις ἀκροτόμοις ἀργοῖς ᾠκοδομήθη, καὶ σφῦρα καὶ πέλεκυς καὶ πᾶν σκεῦος σιδηροῦν οὐκ ἠκούσθη ἐν τῷ οἴκῳ ἐν τῷ οἰκοδομεῖσθαι αὐτόν.

Γ Βασ. 6,7 - Δια την ανοικοδόμησιν του ναού εχρησιμοποιήθησαν συμπαγείς λίθοι, οι οποίοι δεν είχον ανάγκην κατεργασίας. Ησαν μεγάλοι και έτοιμοι. Ετσι δε κανένα σιδερένιο εργαλείον, κανείς πέλεκυς και κανένα σφυρί δεν ηκούσθη στον ναόν κατά το διάστημα της ανοικοδομήσεως.

Γ Βασ. 6,8 - καὶ ὁ πυλὼν τῆς πλευρᾶς τῆς ὑποκάτωθεν ὑπὸ τὴν ὠμίαν τοῦ οἴκου τὴν δεξιάν, καὶ ἑλικτὴ ἀνάβασις εἰς τὸ μέσον καὶ ἐκ τῆς μέσης ἐπὶ τὰ τριώροφα,

Γ Βασ. 6,8 - Εις το δεξιόν μέρος του ναού, στο ισόγειον των παραπλεύρως οικοδομημάτων, υπήρχε μία πύλη, η οποία με ελικοειδή κλίμακα ωδηγούσε στον μεσαίον όροφον και από εκεί στον τρίτον όροφον.

Γ Βασ. 6,9 - καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ συνετέλεσεν αὐτόν· καὶ ἐκοιλοστάθμησε τὸν οἶκον κέδροις.

Γ Βασ. 6,9 - Ο Σολομών οικοδόμησε και έφερεν εις πέρας τον ναόν. Εχρησιμοποίησε δε δια τον ναόν ξυλείαν από κέδρους.

Γ Βασ. 6,10 - καὶ ᾠκοδόμησε τοὺς ἐνδέσμους δι᾿ ὅλου τοῦ οἴκου πέντε ἐν πήχει τὸ ὕψος αὐτοῦ, καὶ συνέσχε τὸν σύνδεσμον ἐν ξύλοις κεδρίνοις.

Γ Βασ. 6,10 - Ανοικοδόμησε γύρω από τον ναόν και δωμάτια. Το ύψος του κάθε δωματίου ήτο πέντε πήχεις. Δια το όλον αυτό οικοδομικόν συγκρότημα εχρησιμοποίησε κέδρους.

Γ Βασ. 6,11 - [Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαλωμὼν λέγων·

Γ Βασ. 6,11 - Είπε δε τότε ο Κυριος προς τον Σολομώντα·

Γ Βασ. 6,12 - ὁ οἶκος οὗτος, ὃν σὺ οἰκοδομεῖς, ἐὰν ὁδεύῃς τοῖς προστάγμασί μου καὶ τὰ κρίματά μου ποιῇς καὶ φυλάσσῃς πάσας τὰς ἐντολάς μου ἀναστρέφεσθαι ἐν αὐταῖς, στήσω τὸν λόγον μου, ὃν ἐλάλησα πρὸς Δαυὶδ τὸν πατέρα σου

Γ Βασ. 6,12 - “ο ναός αυτός, τον οποίον συ οικοδομείς, θα δοξασθή και θα με δόξαση, εάν συ πορευθής σύμφωνα με τα προστάγματά μου και εφαρμόσης τας αποφάσεις μου και φυλάξης όλας τας εντολάς μου, αναστρεφόμενος και ζων σύμφωνα με αυτά. Και τότε εγώ θα τηρήσω και θα εφαρμόσω την υπόσχεσιν, την οποίαν έδωκα στον πατέρα σου Δαυίδ·

Γ Βασ. 6,13 - καὶ κατασκηνώσω ἐν μέσῳ υἱῶν Ἰσραὴλ καὶ οὐκ ἐγκαταλείψω τὸν λαόν μου Ἰσραήλ.

Γ Βασ. 6,13 - θα κατασκηνώσω δηλαδή εν μέσω του Ισραηλιτικού λαού και δεν θα εγκαταλείψω ποτέ τον λαόν μου τον ισραηλιτικόν”.

Γ Βασ. 6,14 - καὶ ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον καὶ συνετέλεσε αὐτόν.]

Γ Βασ. 6,14 - Ο Σολομών, οικοδομών κατ' αυτόν τον τρόπον, επεράτωσε την ανοικοδόμησιν του ναού.

Γ Βασ. 6,15 - καὶ ᾠκοδόμησε τοὺς τοίχους τοῦ οἴκου ἔσωθεν διὰ ξύλων κεδρίνων ἀπὸ τοῦ ἐδάφους τοῦ οἴκου καὶ ἕως τῶν τοίχων καὶ ἕως τῶν δοκῶν· ἐκοιλοστάθμησε συνεχόμενα ξύλοις ἔσωθεν καὶ περιέσχε τὸ ἔσω τοῦ οἴκου ἐν πλευραῖς πευκίναις.

Γ Βασ. 6,15 - Ενέδυσε δε τους εσωτερικούς τοίχους του ναού από το έδαφος έως εις τας δοκούς της οροφής με ξύλα κέδρινα εφαρμοστά. Ολον το δάπεδον του ναού έστρωσε με σανίδας εκ πεύκων.

Γ Βασ. 6,16 - καὶ ᾠκοδόμησε τοὺς εἴκοσι πήχεις ἀπ᾽ ἄκρου τοῦ τοίχου τὸ πλευρὸν τὸ ἓν ἀπὸ τοῦ ἐδάφους ἕως τῶν δοκῶν, καὶ ἐποίησε ἐκ τοῦ δαβὶρ εἰς τὸ ἅγιον τῶν ἁγίων.

Γ Βασ. 6,16 - Εις το εσωτερικόν του ναού και εις απόστασιν είκοσι πήχεων από την οπισθίαν πλευράν του κυρίως ναού ανήγειρεν από το έδαφος έως εις την οροφήν το δαβίρ, τα άγια των αγίων.

Γ Βασ. 6,17 - καὶ τεσσαράκοντα πήχεων ἦν ὁ ναὸς [ὁ ἐσώτατος

Γ Βασ. 6,17 - Ο κυρίως ναός είχε μήκος τεσσαράκοντα πήχεις.

Γ Βασ. 6,18 - καὶ διὰ κέδρου πρὸς τὸν οἶκον ἔσω πλοκὴν ἐπαναστήσεις καὶ πέταλον καὶ ἀνάγλυφα πάντα κέδρινα οὐκ ἐφαίνετο λίθος.]

Γ Βασ. 6,18 - “Με σανίδας εκ κέδρων θα επενδύσης, είπεν ο Θεός, το εσωτερικόν του ναού. Με σανίδας εκ κέδρου, επί των οποίων θα είναι ανάγλυφα σκαλίσματα ανθέων. Αι σανίδες θα εφαρμόζουν μία προς την άλλην, ώστε να μη φαίνεται ο λίθινος τοίχος του ναού”.

Γ Βασ. 6,19 - κατὰ πρόσωπον τοῦ δαβὶρ ἐν μέσῳ τοῦ οἴκου ἔσωθεν δοῦναι ἐκεῖ τὴν κιβωτὸν διαθήκης Κυρίου.

Γ Βασ. 6,19 - Το τμήμα του ναού, που ελέγετο Αγια, ήτο έμπροσθεν του αδύτου, το οποίον ευρίσκετο εις το βάθος του ναού. Εχρησίμευε δε το άδυτον, δια να τοποθετήται εκεί η Κιβωτός της Διαθήκης του Κυρίου.

Γ Βασ. 6,20 - εἴκοσι πήχεις μῆκος καὶ εἴκοσι πήχεις πλάτος καὶ εἴκοσι πήχεις τὸ ὕψος αὐτοῦ, καὶ παριέσχεν αὐτὸ χρυσίῳ συγκεκλεισμένῳ. καὶ ἐποίησε θυσιαστήριον [κέδρου

Γ Βασ. 6,20 - Το άδυτον, τα Αγια των Αγίων, είχον μήκος είκοσι πήχεις και πλάτος επίσης είκοσι πήχεις και ύψος είκοσι πήχεις. Τα εσωτερικά δε τοιχώματα τούτου είχον καλύψει με καθαρόν χρυσόν. Κατεσκεύασεν επίσης και το θυσιαστήριον του θυμιάματος από ξύλα κέδρινα.

Γ Βασ. 6,21 - καὶ περιεπύλωσε Σαλωμὼν τὸν οἶκον ἔνδοθεν χρυσίῳ ἀποκλειστῷ καὶ παρήγαγεν ἐν καθηλώμασι χρυσίου.]

Γ Βασ. 6,21 - Ο Σολομών ενέδυσεν εσωτερικώς τον ναόν με ελάσματα από καθαρόν χρυσόν, τα οποία εκάρφωσε με χρυσά καρφιά.

Γ Βασ. 6,21 - κατὰ πρόσωπον τοῦ δαβίρ, καὶ περιέσχεν αὐτὸ χρυσίῳ.

Γ Βασ. 6,21 - Ετοποθέτησε δε εμπρός εις τα Αγια των Αγίων το θυσιαστήριον του θυμιάματος, το οποίον εκάλυψεν επίσης με χρυσόν.

Γ Βασ. 6,22 - καὶ ὅλον τὸν οἶκον περιέσχε χρυσίῳ ἕως συντελείας παντὸς τοῦ οἴκου [καὶ ὅλον τὸ ἔσω τοῦ δαβὶρ ἐπετάλωσε χρυσίῳ.]

Γ Βασ. 6,22 - Ολα τα εσωτερικά τοιχώματα του ναού, από το δάπεδον και έως την οροφήν, εκάλυψε με χρυσόν. Ολον τον εσωτερικόν χώρον του Αδύτου εκάλυψεν επίσης με ελάσματα χρυσού.

Γ Βασ. 6,23 - καὶ ἐποίησεν ἐν τῷ δαβὶρ δύο Χερουβὶμ δέκα πήχεων μέγεθος ἐσταθμωμένον.

Γ Βασ. 6,23 - Μέσα δε στον χώρον αυτόν, εις τα Αγια Αγίων, ετοποθέτησε δύο Χερουβίμ, των οποίων το ύψος ήτο δέκα πήχεις με ακρίβειαν μετρημένους.

Γ Βασ. 6,24 - καὶ πέντε πήχεων πτερύγιον τοῦ Χερουβὶμ τοῦ ἑνὸς καὶ πέντε πήχεων πτερύγιον αὐτοῦ τὸ δεύτερον, ἐν πήχει δέκα ἀπὸ μέρους πτερυγίου αὐτοῦ εἰς μέρος πτερυγίου αὐτοῦ·

Γ Βασ. 6,24 - Η μία πτέρυξ του ενός Χερουβίμ είχε μήκος πέντε πήχεις. Πέντε πήχεις είχε και η άλλη πτέρυξ του ιδίου Χερουβίμ. Ετσι δε ήσαν δέκα πήχεις από το ένα άκρον της μιας πτέρυγος έως το άλλο άκρον της άλλης πτέρυγος του ιδίου Χερουβίμ.

Γ Βασ. 6,25 - οὕτως τῷ Χερουβὶμ τῷ δευτέρῳ, ἐν μέτρῳ ἑνὶ συντέλεια μία ἀμφοτέροις.

Γ Βασ. 6,25 - Τας αυτάς διαστάσεις είχε και το δεύτερον Χερουβίμ. Αι διαστάσεις και η μορφή ήσαν τα ίδια και δια τα δύο Χερουβίμ.

Γ Βασ. 6,26 - καὶ τὸ ὕψος τοῦ Χερὸυβ τοῦ ἑνὸς δέκα ἐν πήχει, καὶ οὕτω τῷ Χερὸυβ τῷ δευτέρῳ.

Γ Βασ. 6,26 - Το ύψος του ενός Χερουβείμ ήτο δέκα πήχεις. Επίσης δε δέκα πήχεις ήτο και το ύψος του άλλου Χερουβείμ.

Γ Βασ. 6,27 - καὶ ἀμφότερα τὰ Χερουβὶμ ἐν μέσῳ τοῦ οἴκου τοῦ ἐσωτάτου· καὶ διεπέτασε τὰς πτέρυγας αὐτῶν, καὶ ἥπτετο πτέρυξ μία τοῦ τοίχου, καὶ πτέρυξ Χεροὺβ τοῦ δευτέρου ἥπτετο τοῦ τοίχου τοῦ δευτέρου, καὶ αἱ πτέρυγες αὐτῶν ἐν μέσῳ τοῦ οἴκου ἥπτοντο πτέρυξ πτέρυγος.

Γ Βασ. 6,27 - Και τα δύο Χερουβίμ ευρίσκοντο στο μέσον του χώρου, που ονομάζεται Αγια Αγίων. Είχον ανοικτάς τας πτέρυγάς των και η μία πτέρυξ του ενός Χερουβείμ ήγγιζεν στον τοίχον, η δε άλλη πτέρυξ του άλλου Χερουβείμ στον απέναντι τοίχον. Αι δε δύο άλλαι πτέρυγες των Χερουβίμ ήγγιζαν η μία την άλλην.

Γ Βασ. 6,28 - καὶ περιέσχε τὰ Χερουβὶμ χρυσίῳ.

Γ Βασ. 6,28 - Ο Σολομών περιέβαλε και αυτά τα Χερουβίμ με χρυσόν.

Γ Βασ. 6,29 - καὶ πάντας τοὺς τοίχους τοῦ οἴκου κύκλῳ ἐγκολαπτὰ ἔγραψε γραφίδι Χερουβίμ, καὶ φοίνικες τῷ ἐσωτέρῳ καὶ τῷ ἐξωτέρῳ.

Γ Βασ. 6,29 - Με ειδικόν δε εργαλείον εχάραξεν εις όλας τας εσωτερικάς και εξωτερικάς πλευράς του τοίχου του ναού και του αδύτου αναγλύφους μορφάς Χερουβίμ και φοινίκων.

Γ Βασ. 6,30 - καὶ τὸ ἔδαφος τοῦ οἴκου περιέσχε χρυσίῳ, τοῦ ἐσωτάτου καὶ τοῦ ἐξωτάτου.

Γ Βασ. 6,30 - Το δάπεδον δε του ναού, τόσον του εσωτάτου, του Αγίου των Αγίων, όσον και του εξωτερικού, των Αγίων, εκάλυψε με χρυσόν.

Γ Βασ. 6,31 - καὶ τῷ θυρώματι τοῦ δαβὶρ ἐποίησε θύρας ξύλων ἀρκευθίνων εἰς φλιὰς πενταπλᾶς

Γ Βασ. 6,31 - Κατεσκεύασε δε και θύραν του αδύτου, της οποίας τα πενταπλά θυρόφυλλα ήσαν από ξύλον αρκεύθου.

Γ Βασ. 6,32 - καὶ δύο θύρας ξύλων πευκίνων καὶ ἐγκολαπτὸν ἐπ᾿ αὐτῶν ἐγκεκολαμμένα Χερουβὶμ καὶ φοίνικας καὶ πέταλα διαπεπετασμένα· καὶ περιέσχε χρυσίῳ καὶ κατέβαινεν ἐπὶ τὰ Χερουβὶμ καὶ ἐπὶ τοὺς φοίνικας τὸ χρυσίον.

Γ Βασ. 6,32 - Εις τα θυρόφυλλα δέ, που είχαν κατασκευασθή από ξύλα πεύκου, είχαν χαραχθή ανάγλυφοι μορφαί Χερουβίμ, φοινίκων και ανοιγμένων ανθέων. Και αυτά τα ενέδυσε με χρυσόν. Ο χρυσός αυτός κατέβαινε και εις τας αναγλύφους μορφάς των Χερουβίμ και των φοινίκων.

Γ Βασ. 6,33 - καὶ οὕτως ἐποίησε τῷ πυλῶνι τοῦ ναοῦ, φλιαὶ ξύλων ἀρκευθίνων, στοαὶ τετραπλῶς.

Γ Βασ. 6,33 - Καθ' όμοιον τρόπον κατεσκεύασε θύραν δια τα Αγια του κυρίως ναού. Οι παραστάται αυτής ήσαν από ξύλον αρκεύθου. Το δε άνοιγμά της είχε σχήμα τετραπλεύρου.

Γ Βασ. 6,34 - καὶ ἐν ἀμφοτέραις ταῖς θύραις ξύλα πεύκινα· δύο πτυχαὶ ἡ θύρα ἡ μία καὶ στροφεῖς αὐτῶν, καὶ δύο πτυχαὶ ἡ θύρα ἡ δευτέρα, στρεφόμενα·

Γ Βασ. 6,34 - Και τα δύο θυρόφυλλα είχον καταακευασθή από ξύλα πεύκης. Το ένα θυρόφυλλον απετελείτο από δύο ξύλινα τμήματα, τα οποία δια στροφίγγων ανοιγόκλειαν. Επίσης και το άλλο θυρόφυλλον είχε κατασκευασθή από δύο ξύλινα τεμάχια, τα οποία δια στροφίγγων επίσης ανοιγόκλειαν.

Γ Βασ. 6,35 - ἐγκεκολαμμένα Χερουβὶμ καὶ φοίνικες καὶ διαπεπετασμένα πέταλα καὶ περιεχόμενα χρυσίῳ καταγομένῳ ἐπὶ τὴν ἐκτύπωσιν.

Γ Βασ. 6,35 - Επάνω εις αυτά είχαν χαραχθή Χερουβείμ, φοίνικες και άνθη με ανοικτά τα πέταλα. Είχον δε καλυφθή και αυτά με χρυσόν, ο οποίος εξετείνετο μέχρι και των αναγλύφων παραστάσεων.

Γ Βασ. 6,36 - καὶ ᾠκοδόμησε τὴν αὐλὴν τὴν ἐσωτάτην τρεῖς στίχους ἀπελεκήτων, καὶ στίχος κατειργασμένης κέδρου κυκλόθεν.

Γ Βασ. 6,36 - Εκτισε κύκλω την εσωτερικήν αυλήν με τρεις σειράς απελεκήτων λίθων και με μίαν σειράν από κέδρινα δοκάρια.

Γ Βασ. 6,36^α - καὶ ᾠκοδόμησε τὸ καταπέτασμα τῆς αὐλῆς τοῦ αἰλὰμ τοῦ οἴκου τοῦ κατὰ πρόσωπον τοῦ ναοῦ.

Γ Βασ. 6,36^α - Επίσης κατεσκεύασε το καταπέτασμα του προνάου, ο οποίος ευρίσκετο εμπρός στον κυρίως ναόν.

Γ ΒΑΣΙΛΕΙΩΝ 7

Γ Βασ. 7,1 - Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Σαλωμὼν καὶ ἔλαβε τὸν Χιρὰμ ἐκ Τύρου,

Γ Βασ. 7,1 - Ο βασιλεύς Σολομών έστειλε και εκάλεσε από την Τυρον τον Χιράμ.

Γ Βασ. 7,2 - υἱὸν γυναικὸς χήρας, καὶ οὗτος ἀπὸ τῆς φυλῆς τῆς Νεφθαλίμ, καὶ ὁ πατὴρ αὐτοῦ ἀνὴρ Τύριος, τέκτων χαλκοῦ καὶ πεπληρωμένος τῆς τέχνης καὶ συνέσεως καὶ ἐπιγνώσεως τοῦ ποιεῖν πᾶν ἔργον ἐν χαλκῷ· καὶ εἰσηνέχθη πρὸς τὸν βασιλέα Σαλωμὼν καὶ ἐποίησε πάντα τὰ ἔργα.

Γ Βασ. 7,2 - Αυτός ήτο υιός μιας χήρας από την φυλήν Νεφθαλίμ. Ο δε πατήρ του κατήγετο από την Τυρον. Είχεν ειδικότητα εις την κατεργασίαν του χαλκού. Είχεν ανεπτυγμένην την καλαισθησίαν και ήτο πλήρης σοφίας και αντιλήψεως, στο να κατασκευάζη κάθε έργον δια του χαλκού. Αυτός ωδηγήθη στον βασιλέα τον Σολομώντα και ανέλαβε να κατασκευάση όλα τα ιερά σκεύη.

Γ Βασ. 7,3 - καὶ ἐχώνευσε τοὺς δύο στήλους τῷ αἰλὰμ τοῦ οἴκου, ὀκτωκαίδεκα πήχεις ὕψος τοῦ στύλου, καὶ περίμετρον τεσσαρεσκαίδεκα πήχεις ἐκύκλου αὐτόν, καὶ τὸ πάχος τοῦ στύλου τεσσάρων δακτύλων τὰ κοιλώματα, καὶ οὕτως ὁ στῦλος ὁ δεύτερος.

Γ Βασ. 7,3 - Εχυσε και κατεσκεύασε δύο στύλους δια την είσοδον του ναού. Το ύψος του ενός στύλου ήτο δέκα οκτώ πήχεις, η δε περίμετρός του ήτο δέκα τέσσαρες πήχεις. Αι προεξοχαί των κοίλον ραβδώσεών του είχον πάχος τέσσαρας δακτύλους. Καθ' όμοιον τρόπον κατεσκευάσθη και ο δεύτερος στύλος.

Γ Βασ. 7,4 - καὶ δύο ἐπιθέματα ἐποίησε δοῦναι ἐπὶ τὰς κεφαλὰς τῶν στύλων, χωνευτὰ χαλκᾶ· πέντε πήχεις τὸ ὕψος τοῦ ἐπιθέματος τοῦ ἑνός, καὶ πέντε πήχεις τὸ ὕψος τοῦ ἐπιθέματος τοῦ δευτέρου.

Γ Βασ. 7,4 - Κατεσκεύασεν επίσης δύο κιονόκρανα, δια να τοποθετηθούν εις τας κορυφάς αυτών των στύλων. Τα έκαμε χωνευτά χάλκινα. Το ύψος του ενός κιονοκράνου ήτο πέντε πήχεις. Πέντε επίσης πήχεις ήτο και το ύψος του κιονοκράνου του άλλου στύλου.

Γ Βασ. 7,5 - καὶ ἐποίησε δύο δίκτυα περικαλύψαι τὸ ἐπίθεμα τῶν στύλων, καὶ δίκτυον τῷ ἐπιθέματι τῷ ἑνί, καὶ δίκτυον τῷ ἐπιθέματι τῷ δευτέρῳ.

Γ Βασ. 7,5 - Κατεσκεύασε δύο δικτυωτά, δια να περικαλύψη το κιονόκρανον των στύλων. Ενα δικτυωτόν στο κιονόκρανον του ενός στύλου και άλλο δικτυωτόν στο κιονόκρανον του δευτέρου.

Γ Βασ. 7,6 - καὶ ἔργον κρεμαστόν, δύο στίχοι ῥοῶν χαλκῶν δεδικτυωμένοι, ἔργον κρεμαστόν, στίχος ἐπὶ στίχον· καὶ οὕτως ἐποίησε τῷ ἐπιθέματι τῷ δευτέρῳ.

Γ Βασ. 7,6 - Επίσης κατεσκεύασε δια το κάθε κιονόκρανον ένα καλλιτεχνικόν κρεμαστόν ανάγλυφον. Αυτό απετελείτο από δύο σειράς χαλκίνων ομοιωμάτων καρπών ροδιάς εντός του δικτύου. Ητο δε κρεμαστόν εις δύο σειράς παραλλήλους. Το ίδιο καλλιτεχνικόν έργον έκαμε και δια το δεύτερον κιονόκρανον.

Γ Βασ. 7,7 - καὶ ἔστησε τοὺς στύλους τοῦ αἰλὰμ τοῦ ναοῦ· καὶ ἔστησε τὸν στῦλον τὸν ἕνα καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰαχούμ· καὶ ἔστησε τὸν στῦλον τὸν δεύτερον καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ Βαάς.

Γ Βασ. 7,7 - Τους δύο αυτούς στύλους ετοποθέτησεν εις την είσοδον του ναού. Ετοποθέτησε τον πρώτον στύλον, τον οποίον ωνόμασεν Ιαχούμ. Ετοποθέτησεν έπειτα τον δεύτερον στύλον, τον οποίον ωνόμασε Βαάς.

Γ Βασ. 7,8 - καὶ ἐπὶ τῶν κεφαλῶν τῶν στύλων ἔργον κρίνου κατὰ τὸ αἰλὰμ τεσσάρων πηχῶν.

Γ Βασ. 7,8 - Επάνω δε από τους στύλους αυτούς, που είχαν τοποθετηθή εις την είσοδον του ναού, ετοποθετήθη χάλκινον ομοίωμα κρίνου ύψους

τεσσάρων πήχεων.

Γ Βασ. 7,9 - καὶ μέλαθρον ἐπ᾽ ἀμφοτέρων τῶν στύλων, καὶ ἐπάνωθεν τῶν πλευρῶν ἐπίθεμα τὸ μέλαθρον τῷ πάχει.

Γ Βασ. 7,9 - Επάνω δε από αυτό υπήρχεν επιστύλιον και στους δύο στύλους. Εις την άνω επιφάνειαν των επιστυλίων υπήρχε κιονόκρανον με πάχος ίσον προς το επιστύλιον.

Γ Βασ. 7,10 - καὶ ἐποίησε τὴν θάλασσαν δέκα ἐν πήχει ἀπὸ τοῦ χείλους αὐτῆς ἕως τοῦ χείλους αὐτῆς, στρογγύλον κύκλῳ τὸ αὐτό· πέντε ἐν πήχει τὸ ὕψος αὐτῆς, καὶ συνηγμένοι τρεῖς καὶ τριάκοντα ἐν πήχει ἐκύκλουν αὐτήν.

Γ Βασ. 7,10 - Κατεσκεύασεν επίσης την χαλκίνην θάλασσαν. Η απόστασις του ενός χείλους από το άλλο, η διάμετρος δηλαδή της επιφανείας της θαλάσσης, ήτο δέκα πήχεις. Αυτή ήτο ολόγυρα στρογγυλή. Το ύψος της ήτο πέντε πήχεις, η δε περίμετρος, που περιέβαλλε το χείλος της, ήτο τριάκοντα τρεις πήχεις.

Γ Βασ. 7,11 - καὶ ὑποστηρίγματα ὑποκάτωθεν τοῦ χείλους αὐτῆς κυκλόθεν ἐκύκλουν αὐτήν, δέκα ἐν πήχει κυκλόθεν

Γ Βασ. 7,11 - Κατω από το χείλος και γύρω-γύρω περιέβαλλον την θάλασσαν αυτήν δέκα υποστηρίγματα απέχοντα το ένα από το άλλο ένα πήχυν.

Γ Βασ. 7,12 - καὶ τὸ χεῖλος αὐτῆς ὡς ἔργον χείλους ποτηρίου, βλαστὸς κρίνου, καὶ τὸ πάχος αὐτοῦ παλαιστής.

Γ Βασ. 7,12 - Το χείλος της θαλάσσης ήτο ωσάν το χείλος του ποτηρίου, όπως ο βλαστός του κρίνου, το δε πάχος του χείλους αυτού ήτο μία παλάμη.

Γ Βασ. 7,13 - καὶ δώδεκα βόες ὑποκάτω τῆς θαλάσσης, οἱ τρεῖς ἐπιβλέποντες βοῤῥᾶν καὶ οἱ τρεῖς ἐπιβλέποντες θάλασσαν καὶ οἱ τρεῖς ἐπιβλέποντες νότον καὶ οἱ τρεῖς ἐπιβλέποντες ἀνατολήν, καὶ πάντα τὰ ὀπίσθια εἰς τὸν οἶκον, καὶ ἡ θάλασσα ἐπ᾽ αὐτῶν ἐπάνωθεν.

Γ Βασ. 7,13 - Κατω από την χαλκίνην αυτήν θάλασσαν υπήρχον δώδεκα ομοιώματα χαλκίνων βοών. Οι τρεις από αυτούς έστρεφον το πρόσωπόν των προς βορράν, οι άλλοι τρεις έβλεπαν προς την Μεσόγειον Θαλασσαν, δηλαδή προς δυσμάς, οι άλλοι τρεις προς νότον και οι άλλοι τρεις έβλεπαν προς ανατολάς. Τα πίσω μέρη των ήσαν εστραμμένα προς το κέντρον εντός της αυλής του ναού. Επάνω εις αυτούς εστηρίζετο η χαλκίνη θάλασσα.

Γ Βασ. 7,14 - καὶ ἐποίησε δέκα μεχωνὼθ χαλκᾶς· πέντε πήχεις μῆκος τῆς μεχωνὼθ τῆς μιᾶς, καὶ τέσσαρες πήχεις τὸ πλάτος αὐτῆς, καὶ ἓξ ἐν πήχει τὸ ὕψος αὐτῆς.

Γ Βασ. 7,14 - Κατεσκεύασεν επίσης δέκα κινητά χάλκινα πλυντήρια. Το μήκος κάθε τοιούτου δοχείου ήτο πέντε πήχεις, το πλάτος του τέσσαρες πήχεις και το ύψος του εξ πήχεις.

Γ Βασ. 7,15 - καὶ τοῦτο τὸ ἔργον τῶν μεχωνὼθ συγκλειστὸν αὐτοῖς, καὶ συγκλειστὸν ἀνὰ μέσον τῶν ἐξεχομένων.

Γ Βασ. 7,15 - Τα πλυντήρια δε αυτά είχαν την εξής κατασκευήν· Ησαν κλεισμένα υδατοστεγώς με παραπλεύρους πλάκας. Αι πλάκες αυταί ευρίσκοντο μέσα εις πλαίσια, που προεξείχον.

Γ Βασ. 7,16 - καὶ ἐπὶ τὰ συγκλείσματα αὐτῶν ἀνὰ μέσον τῶν ἐξεχομένων λέοντες καὶ βόες καὶ Χερουβίμ, καὶ ἐπὶ τῶν ἐξεχομένων οὕτως· καὶ ἐπάνωθεν καὶ ὑποκάτωθεν τῶν λεόντων καὶ τῶν βοῶν χῶραι, ἔργον καταβάσεως

Γ Βασ. 7,16 - Εις τας πλευράς μεταξύ των πλαισίων των προεξεχόντων ήσαν σκαλισμένοι λέοντες, βόες και Χερουβίμ. Αι ίδιαι παραστάσεις υπήρχον και εις τα προεξέχοντα πλαίσια. Επάνω και υποκάτω από τας παραστάσεις των λεόντων και των βοών υπήρχον ανάγλυφοι παραστάσεις, που προεξείχαν τόσον, ώστε να φαίνωνται ότι εκρέμαντο επάνω από τας παραστάσεις των λεόντων και των βοών.

Γ Βασ. 7,17 - καὶ τέσσαρες τροχοὶ χαλκοῖ τῇ μεχωνὼθ τῇ μιᾷ, καὶ τὰ προσέχοντα χαλκᾶ καὶ τέσσαρα μέρη αὐτῶν, ὠμίαι ὑποκάτω τῶν λουτήρων.

Γ Βασ. 7,17 - Εις κάθε δε τέτοιο δοχείον- λουτήρα υπήρχον τέσσαρες χάλκινοι τροχοί και οι άξονες αυτών, οι εξέχοντες, επίσης χαλκοί. Εις τα τέσσαρα προς τα έξω μέρη των τροχών υπήρχον υποστηρίγματα χάλκινα ομοιάζοντα με ώμον, που υπεβάσταζαν τους λουτήρας αυτούς.

Γ Βασ. 7,18 - καὶ χεῖρες ἐν τοῖς τροχοῖς ἐν τῇ μεχωνώθ, καὶ τὸ ὕψος τοῦ τροχοῦ τοῦ ἑνὸς πήχεος καὶ ἡμίσους.

Γ Βασ. 7,18 - Επάνω στους τροχούς του κάθε λουτήρος εστηρίζοντο χάλκινοι βραχίονες. Το ύψος εκάστου τροχού ήτο ένας και ήμισυς πήχυς.

Γ Βασ. 7,19 - καὶ τὸ ἔργον τῶν τροχῶν ἔργον τροχῶν ἅρματος· αἱ χεῖρες αὐτῶν καὶ οἱ νῶτοι αὐτῶν καὶ ἡ πραγματεία αὐτῶν, τὰ πάντα χωνευτά.

Γ Βασ. 7,19 - Οι τροχοί αυτοί ήσαν κατεσκευασμένοι όπως οι τροχοί ενός άρματος· δηλαδή οι βραχίονές των, τα πλευρά και η όλη αυτών κατασκευή ήσαν χωνευτά.

Γ Βασ. 7,20 - αἱ τέσσαρες ὠμίαι ἐπὶ τῶν τεσσάρων γωνιῶν τῆς μεχωνὼθ τῆς μιᾶς, ἐκ τῆς μεχωνὼθ οἱ ὦμοι αὐτῆς.

Γ Βασ. 7,20 - Εις κάθε λουτήρα υπήρχον τέσσαρα υποστηρίγματα, ένα εις κάθε γωνίαν. Τα υποστηρίγματα αυτά ήσαν κολλημένα στον λουτήρα.

Γ Βασ. 7,21 - καὶ ἐπὶ τῆς κεφαλῆς τῆς μεχωνὼθ ἥμισυ τοῦ πήχεος μέγεθος αὐτῆς στρογγύλον κύκλῳ ἐπὶ τῆς κεφαλῆς τῆς μεχωνώθ, καὶ ἀρχὴ χειρῶν αὐτῆς καὶ τὰ συγκλείσματα αὐτῆς, καὶ ἠνοίγετο ἐπὶ τὰς ἀρχὰς τῶν χειρῶν αὐτῆς.

Γ Βασ. 7,21 - Εις το άλλο μέρος του λουτήρος υπήρχε το σκέπασμα καθ' όλην την επιφάνειαν, σχήματος κυρτού με κυρτότητα ημίσεος πήχεως. Εις το επάνω μέρος του λουτήρος υπήρχον αι χειρολαβαί, εκεί όπου ήτο το μέρος, στο οποίον ήνοιγε και έκλειεν ο λουτήρ. Ηνοιγε δε και έκλειε με αυτάς τας χειρολαβάς.

Γ Βασ. 7,22 - καὶ τὰ συγκλείσματα αὐτῆς Χερουβὶμ καὶ λέοντες καὶ φοίνικες ἑστῶτα, ἐχόμενον ἕκαστον κατὰ πρόσωπον αὐτοῦ ἔσω καὶ τὰ κυκλόθεν.

Γ Βασ. 7,22 - Επάνω δε εις τα χάλκινα αυτά τεμάχια, τα δια το κλείσιμον και άνοιγμα του λουτήρος, είχον σκαλισθή Χερουβίμ, λέοντες, και φοίνικες όρθιοι. Η κάθε μία δε από τας παραστάσεις αυτάς κατείχε την θέσιν της εσωτερικώς και κύκλω.

Γ Βασ. 7,23 - κατ᾿ αὐτὴν ἐποίησε πάσας τὰς δέκα μεχωνώθ, τάξιν μίαν καὶ μέτρον ἐν πάσαις.

Γ Βασ. 7,23 - Κατά παρόμοιον τρόπον έκαμε όλους τους δέκα λουτήρας. Είχαν όλοι τας ιδίας διαστάσεις και την αυτήν μορφήν εξ ολοκλήρου.

Γ Βασ. 7,24 - καὶ ἐποίησε δέκα χυτροκαύλους χαλκοῦς, τεσσαράκοντα χοεῖς χωροῦντα τὸν ἕνα χυτρόκαυλον μετρήσει τεσσάρων πηχῶν· ὁ χυτρόκαυλος ὁ εἷς ἐπὶ τῆς μεχωνὼθ τῆς μιᾶς ταῖς δέκα μεχωνώθ.

Γ Βασ. 7,24 - Κατεσκεύασεν επίσης δέκα μεγάλας χαλκίνας χύτρας. Καθε χύτρα είχε μήκος τέσσαρας πήχεις και εχωρούσε σαράντα αττικούς χόας. Εις κάθε λουτήρα αντιστοιχούσε και μία από τας δέκα αυτάς χύτρας.

Γ Βασ. 7,25 - καὶ ἔθετο τὰς πέντε μεχωνὼθ ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐκ δεξιῶν καὶ πέντε ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐξ ἀριστερῶν· καὶ ἡ θάλασσα ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐκ δεξιῶν κατ᾿ ἀνατολὰς ἀπὸ τοῦ κλίτους τοῦ νότου.

Γ Βασ. 7,25 - Διέταξε δε ο Σολομών και ετοποθέτησαν τους πέντε λουτήρας εις την δεξιάν πλευράν του ναού και τους άλλους πέντε εις την αριστεράν πλευράν του ναού, την δε χαλκίνην θάλασσαν ετοποθέτησαν προς τα δεξιά του ναού, μεταξύ ανατολής και νότου, ήτοι νοτιοανατολικώς.

Γ Βασ. 7,26 - καὶ ἐποίησε Χιρὰμ τοὺς λέβητας καὶ τὰς θερμάστρεις καὶ τὰς φιάλας, καὶ συνετέλεσε Χιρὰμ ποιῶν πάντα τὰ ἔργα, ἃ ἐποίησε τῷ βασιλεῖ Σαλωμὼν ἐν οἴκῳ Κυρίου,

Γ Βασ. 7,26 - Κατεσκεύασεν ακόμη ο Χιράμ τους λέβητας, τας θερμάστρας και τας φιάλας. Εφερεν εις πέρας όλα τα έργα του ναού, τα οποία του είχεν αναθέσει ο βασιλεύς Σολομών να κατασκευάση στον οίκον του Κυρίου.

Γ Βασ. 7,27 - στύλους δύο καὶ τὰ στρεπτὰ τῶν στύλων ἐπὶ τῶν κεφαλῶν τῶν στύλων δύο καὶ τὰ δίκτυα δύο τοῦ καλύπτειν ἀμφότερα τὰ στρεπτὰ τῶν γλυφῶν τὰ ὄντα ἐπὶ τῶν στύλων,

Γ Βασ. 7,27 - Κατεσκεύασε, δηλαδή, τους δύο στύλους και τα περί τας κεφαλάς των δύο αυτών στύλων περιστρεπτά καλλιτεχνήματα. Τα δύο δίκτυα, δια να σκεπάζουν τα ανάγλυφα ομοιώματα αλυσίδων με τας ελικοειδείς στροφάς που υπήρχον στους στύλους.

Γ Βασ. 7,28 - τὰς ῥοὰς τετρακοσίας ἀμφοτέροις τοῖς δικτύοις, δύο στίχοι ῥοῶν τῷ δικτύῳ τῷ ἑνὶ περικαλύπτειν ἀμφότερα τὰ ὄντα τὰ στρεπτὰ τῆς μεχωνὼθ ἐπ᾿ ἀμφοτέροις τοῖς στύλοις,

Γ Βασ. 7,28 - Κατεσκεύασε τετρακόσια ομοιώματα καρπών ροδιάς, που υπήρχον εις τα δύο δικτυωτά ανάγλυφα. Δυο σειραί από καρπούς ροδιάς υπήρχον στο κάθε δικτυωτόν. Αυτά εχρησίμευαν, δια να σκεπάζουν τας δύο αναγλύφους ελικοειδείς στροφάς των κιονοκράνων.

Γ Βασ. 7,29 - καὶ τὰ μεχωνὼθ δέκα καὶ τοὺς χυτροκαύλους δέκα ἐπὶ τῶν μεχωνὼθ

Γ Βασ. 7,29 - Ετσι κατεσκεύασε τους δέκα λουτήρας και τας δέκα χύτρας, αι οποίαι θα ήσαν επάνω στους λουτήρας.

Γ Βασ. 7,30 - καὶ τὴν θάλασσαν μίαν καὶ τοὺς βόας δώδεκα ὑποκάτω τῆς θαλάσσης

Γ Βασ. 7,30 - Κατεσκεύασε μίαν θάλασσαν και υποκάτω από αυτήν τα δώδεκα χάλκινα ομοιώματα βοδιών.

Γ Βασ. 7,31 - καὶ τοὺς λέβητας καὶ τὰς θερμάστρεις καὶ τὰς φιάλας καὶ πάντα τὰ σκεύη, ἃ ἐποίησε Χιρὰμ τῷ βασιλεῖ Σαλωμὼν τῷ οἴκῳ Κυρίου· καὶ οἱ στῦλοι τεσσαράκοντα καὶ ὀκτὼ τοῦ οἴκου τοῦ βασιλέως καὶ τοῦ οἴκου Κυρίου. πάντα τὰ ἔργα τοῦ βασιλέως, ἃ ἐποίησε Χιράμ, χαλκᾶ ἄρδην·

Γ Βασ. 7,31 - Κατεσκεύασε τους λέβητας, τας θερμάστρας, τας φιάλας και όλα τα άλλα ιερά σκεύη, τα οποία ο Χιράμ κατ' εντολήν του βασιλέως Σολομώντος ανέλαβε να κατασκευάση δια τον ναόν του Κυρίου. Οι στύλοι, που κατεσκευάσθησαν στον οίκον του βασιλέως και εις τον ναόν του Κυρίου, ήσαν τεσσαράκοντα οκτώ. Ολα δε αυτά ήσαν εξ ολοκλήρου από χαλκόν.

Γ Βασ. 7,32 - οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ, οὗ ἐποίησε πάντα τὰ ἔργα ταῦτα, ἐκ πλήθους σφόδρα· οὐκ ἦν τέρμα τῶν σταθμῶν τοῦ χαλκοῦ.

Γ Βασ. 7,32 - Δεν ήτο δυνατόν δε να υπολογισθή ο χαλκός, ο οποίος εχρησιμοποιήθη δι' όλα αυτά τα έργα, επειδή ήτο πάρα πολύς. Ο χαλκός αυτός ήτο ανυπολόγιστος.

Γ Βασ. 7,33 - ἐν τῷ περιοίκῳ τοῦ Ἰορδάνου ἐχώνευσεν αὐτὰ ἐν τῷ πάχει τῆς γῆς ἀνὰ μέσον Σοκχὼθ καὶ ἀνὰ μέσον Σειρά.

Γ Βασ. 7,33 - Το χυτήριον δέ, όπου κατεσκεύασαν όλα αυτά τα χάλκινα είδη, ευρίσκετο εις την περιοχήν του Ιορδάνου εις κάποιον αργιλλώδη τόπον μεταξύ Σοκχώθ και Σειρά.

Γ Βασ. 7,34 - καὶ ἔδωκεν ὁ βασιλεὺς Σαλωμὼν τὰ σκεύη, ἃ ἐποίησεν, ἐν οἴκῳ Κυρίου, τὸ θυσιαστήριον τὸ χρυσοῦν καὶ τὴν τράπεζαν, ἐφ᾿ ἧς οἱ

ἄρτοι τῆς προσφορᾶς, χρυσῆν,

Γ Βασ. 7,34 - Εδωσεν εντολήν ο βασιλεύς Σολομών να κατασκευασθούν επίσης και τα άλλα ιερά χρυσά σκεύη, τα οποία ο ίδιος ο Χιράμ κατεσκεύασε δια τον οίκον του Κυρίου. Δηλαδή το χρυσούν θυσιαστήριον του θυμιάματος, η χρυσή τράπεζα, επάνω εις την οποίαν ετοποθετούντο οι άρτοι της προθέσεως.

Γ Βασ. 7,35 - καὶ τὰς λυχνίας πέντε ἐξ ἀριστερῶν καὶ πέντε ἐκ δεξιῶν κατὰ πρόσωπον τοῦ δαβίρ, χρυσᾶς συγκλειομένας, καὶ τὰ λαμπάδια καὶ τοὺς λύχνους καὶ τὰς ἐπαρυστρίδας χρυσᾶς

Γ Βασ. 7,35 - Αι χρυσαί λυχνίαι πέντε εξ αριστερών και πέντε εκ δεξιών εντός του χώρου των Αγίων εμπρός εις τα Αγια των Αγίων. Αι λυχνίαι αυταί ήσαν κατασκευασμέναι από καθαρόν χρυσόν μαζή με τα λαμπάδια και τους λύχνους και τα χρυσά λαδικά.

Γ Βασ. 7,36 - καὶ τὰ πρόθυρα καὶ οἱ ἧλοι καὶ αἱ φιάλαι καὶ τὰ τρυβλία καὶ αἱ θυΐσκαι χρυσαῖ, σύγκλειστα, καὶ τὰ θυρώματα τῶν θυρῶν τοῦ οἴκου τοῦ ἐσωτάτου, ἁγίου τῶν ἁγίων, καὶ τὰς θύρας τοῦ ναοῦ χρυσᾶς.

Γ Βασ. 7,36 - Επίσης αι θύραι, τα καρφιά, αι φιάλαι, τα πινάκια, τα χρυσά θυαιατήρια, ήσαν κατασκευασμένα από καθαρόν χρυσίον. Τα θυρόφυλλα της θύρας του εσωτάτου μέρους του ναού, δηλαδή του Αδύτου, όπως και αι θύραι του ναού, ήτοι των Αγίων, και αυτά ήσαν χρυσά.

Γ Βασ. 7,37 - καὶ ἀνεπληρώθη πᾶν τὸ ἔργον, ὃ ἐποίησε Σαλωμὼν οἴκου Κυρίου, καὶ εἰσήνεγκε Σαλωμὼν τὰ ἅγια Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ πάντα τὰ ἅγια Σαλωμών, τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη, ἔδωκεν εἰς τοὺς θησαυροὺς οἴκου Κυρίου.

Γ Βασ. 7,37 - Ετσι δε ωλοκληρώθη όλον το έργον, το οποίον έκαμεν ο Σολομών, δηλαδή ο οίκος του Κυρίου. Κατόπιν ο Σολομών έφερε και έθεσεν στον ναόν του Κυρίου όλα τα αφιερώματα του πατρός του Δαυίδ και κάθε τι, που αυτός ο ίδιος ο Σολομών είχεν αφιερώσει εις άργυρον, χρυσόν και σκεύη. Ολα αυτά τα αφιέρωσεν στο θησαυροφυλάκιον του ναού του Κυρίου.

Γ Βασ. 7,38 - Καὶ τὸν οἶκον ἑαυτῷ ᾠκοδόμησε Σαλωμὼν τρισκαίδεκα ἔτεσι.

Γ Βασ. 7,38 - Ο Σολομών ανοικοδόμησε και δια τον εαυτόν του ανάκτορον εις χρονικόν διάστημα δέκα τριών ετών.

Γ Βασ. 7,39 - καὶ ᾠκοδόμησε τὸν οἶκον δρυμῷ τοῦ Λιβάνου· ἑκατὸν πήχεις μῆκος αὐτοῦ, καὶ πεντήκοντα πήχεις πλάτος αὐτοῦ, καὶ τριάκοντα πηχῶν ὕψος αὐτοῦ· καὶ τριῶν στίχων στύλων κεδρίνων, καὶ ὠμίαι κέδριναι τοῖς στύλοις.

Γ Βασ. 7,39 - Ανοικοδόμησεν επίσης και άλλον οίκον, ο οποίος ως εκ των πολλών κέδρων, που εχρησιμοποιήθησαν, υπενθύμιζε το δάσος του Λιβάνου. Το οικοδόμημα αυτό είχε μήκος εκατόν εβραϊκούς πήχεις, πλάτος

πεντήκοντα πήχεις και ύψος τριάκοντα πήχεις. Εις το οικοδόμημα αυτό υπήρχον τρεις σειραί από κεδρίνους στύλους, επάνω δε στους στύλους αυτούς υπήρχον δοκάρια κέδρινα.

Γ Βασ. 7,40 - καὶ ἐφάτνωσε τὸν οἶκον ἄνωθεν ἐπὶ τῶν πλευρῶν τῶν στύλων, καὶ ὁ ἀριθμὸς τῶν στύλων τεσσαράκοντα καὶ πέντε ὁ στίχος·

Γ Βασ. 7,40 - Εστέγασε δε τον οίκον με σκεπήν από ξύλα κέδρου επάνω από τους στύλους. Ο δε αριθμός των στύλων ήτο εν συνόλω σαράντα πέντε τακτοποιημένων εις τρεις σειράς.

Γ Βασ. 7,41 - καὶ μέλαθρα τρία καὶ χώρα ἐπὶ χώραν τρισσῶς·

Γ Βασ. 7,41 - Υπήρχον δε τρεις όροφοι, οι οποίοι διαιρούσαν έτσι το οικοδόμημα από την μίαν πλευράν έως εις την άλλην εις τρία επάλληλα τμήματα.

Γ Βασ. 7,42 - καὶ πάντα τὰ θυρώματα καὶ αἱ χῶραι τετράγωνοι μεμελαθρωμέναι καὶ ἀπὸ τοῦ θυρώματος ἐπὶ θύραν τρισσῶς.

Γ Βασ. 7,42 - Ολαι αι θύραι και οι παραστάται αυτών ήσαν κατασκευασμένα από τετραγώνους σανίδας, θύραι και παράθυρα του οικοδομήματος εξετείνοντο εις τρεις σειράς.

Γ Βασ. 7,43 - καὶ τὸ αἰλὰμ τῶν στύλων πεντήκοντα μῆκος καὶ πεντήκοντα ἐν πλάτει, ἐζυγωμένα, αἰλὰμ ἐπὶ πρόσωπον αὐτῶν, καὶ στῦλοι καὶ πάχος ἐπὶ πρόσωπον αὐτῆς τοῖς αἰλαμμίμ.

Γ Βασ. 7,43 - Μια δε άλλη στοά μήκους πεντήκοντα πήχεων και πλάτους πεντήκοντα επίσης πήχεων υπήρχε με στύλους συμμετρικώς τοποθετημένους. Εμπρός από αυτήν υπήρχεν άλλη επίσης στοά με στύλους. Εμπρός δε εις αυτήν την στοάν υπήρχεν υψωμένον έδαφος με κλίμακα δια τας άλλας στοάς.

Γ Βασ. 7,44 - καὶ τὸ αἰλὰμ τῶν θρόνων, οὗ κρινεῖ ἐκεῖ, αἰλὰμ τοῦ κριτηρίου.

Γ Βασ. 7,44 - Ακόμη δε υπήρχε και η στοά των θρόνων, εκεί όπου εδίκαζεν ο βασιλεύς· η στοά δηλαδή του δικαστηρίου.

Γ Βασ. 7,45 - καὶ ὁ οἶκος αὐτῶν, ἐν ᾧ καθήσεται ἐκεῖ, αὐλὴ μία ἐξελισσομένη τούτοις κατὰ τὸ ἔργον τοῦτο· καὶ οἶκον τῇ θυγατρὶ Φαραώ, ἣν ἔλαβε Σαλωμών, κατὰ τὸ αἰλὰμ τοῦτο.

Γ Βασ. 7,45 - Επί πλέον υπήρχε και ο οίκος, στον οποίον παρέμενεν ο βασιλεύς μαζή με τους αυλικούς του. Ο οίκος αυτός ήτο κτισμένος εις μίαν αυλήν με στοάς κατά παρόμοιον τρόπον κατασκευασμένος. Κατεσκεύασεν επίσης ο Σολομών δια την θυγατέρα του Φαραώ, την οποίαν είχε λάβει ως σύζυγόν του, όμοιον με την στοάν αυτήν οίκον.

Γ Βασ. 7,46 - πάντα ταῦτα ἐκ λίθων τιμίων κεκολαμμένα ἐκ διαστήματος ἔσωθεν καὶ ἐκ τοῦ θεμελίου ἕως τῶν γεισῶν καὶ ἔξωθεν εἰς τὴν αὐλὴν τὴν μεγάλην

Γ Βασ. 7,46 - Ολα δε αυτά τα οικοδομήματα είχαν κατασκευασθή από ωραίους λίθους, οι οποίοι εκόπησαν και εσκαλίσθησαν κανονικά και είχαν τοποθετηθή από το θεμέλιον έως στους γείσους της οροφής, στο εσωτερικόν των οικοδομημάτων και εις την μεγάλην εξωτερικήν αυλήν.

Γ Βασ. 7,47 - τὴν τεθεμελιωμένην ἐν τιμίοις λίθοις μεγάλοις, λίθοις δεκαπήχεσι καὶ τοῖς ὀκταπήχεσι,

Γ Βασ. 7,47 - Αυτή δε η αυλή είχε θεμελιωθή με ωραίους μεγάλους λίθους μήκους δέκα η οκτώ πήχεων.

Γ Βασ. 7,48 - καὶ ἐπάνωθεν τιμίοις κατὰ τὸ μέτρον ἀπελεκήτων καὶ κέδροις.

Γ Βασ. 7,48 - Επάνω δε από αυτούς υπήρχον προσηρμοσμένοι άλλοι ωραιότατοι λίθοι, σύμφωνα με το μέτρον των απελεκήτων λίθων, και ξύλα από κέδρους.

Γ Βασ. 7,49 - τῆς αὐλῆς τῆς μεγάλης κύκλῳ τρεῖς στίχοι ἀπελεκήτων καὶ στίχος κεκολαμμένης κέδρου. καὶ συνετέλεσε Σαλωμὼν ὅλον τὸν οἶκον αὐτοῦ.

Γ Βασ. 7,49 - Αυτήν δε την αυλήν την περιέβαλλον κύκλω τρεις σειραί από μεγάλους απελέκητους λίθους και μία σειρά δοκάρια από κέδρα καλοκομμένα. Ετσι δε ο Σολομών έφερεν εις πέρας όλον το ανάκτορόν του.

Γ ΒΑΣΙΛΕΙΩΝ 8

Γ Βασ. 8,1 - Καὶ ἐγένετο ὡς συνετέλεσε Σαλωμὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον αὐτοῦ μετὰ εἴκοσιν ἔτη, τότε ἐξεκκλησίασεν ὁ βασιλεὺς Σαλωμὼν πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ ἐν Σιὼν τοῦ ἀνενεγκεῖν τὴν κιβωτὸν διαθήκης Κυρίου ἐκ πόλεως Δαυὶδ (αὕτη ἐστὶ Σιὼν)

Γ Βασ. 8,1 - Οταν δε ο Σολομών ετελείωσε την ανοικοδόμησιν του ναού του Κυρίου και του ιδικού του ανακτόρου εις χρονικόν διάστημα είκοσι ετών, εκάλεσεν όλους τους πρεσβυτέρους του Ισραηλιτικού λαού εις την Σιών, δια να μεταφέρουν την Κιβωτόν της Διαθήκης του Κυρίου από την πόλιν Δαυίδ (αυτή είναι η Σιών).

Γ Βασ. 8,2 - ἐν μηνὶ Ἀθανίν.

Γ Βασ. 8,2 - Αυτό έγινε κατά τον μήνα Αθανίν.

Γ Βασ. 8,3 - καὶ ᾖραν οἱ ἱερεῖς τὴν κιβωτὸν

Γ Βασ. 8,3 - Οι ιερείς εσήκωσαν και μετέφεραν την Κιβωτόν της Διαθήκης

Γ Βασ. 8,4 - καὶ τὸ σκήνωμα τοῦ μαρτυρίου καὶ τὰ σκεύη τὰ ἅγια τὰ ἐν τῷ σκηνώματι τοῦ μαρτυρίου,

Γ Βασ. 8,4 - και την Σκηνήν του Μαρτυρίου και τα άγια σκεύη, τα οποία υπήρχον εις την Σκηνήν του Μαρτυρίου.

Γ Βασ. 8,5 - καὶ ὁ βασιλεὺς καὶ πᾶς Ἰσραὴλ ἔμπροσθεν τῆς κιβωτοῦ θύοντες πρόβατα καὶ βόας ἀναρίθμητα.

Γ Βασ. 8,5 - Κατά την επίσημον εκείνην πομπήν επροπορεύετο της Κιβωτού ο βασιλεύς και όλος ο Ισραηλιτικός λαός. Καθ' οδόν δε εθυσίαζον αναρίθμητα πρόβατα και βόδια.

Γ Βασ. 8,6 - καὶ εἰσφέρουσιν οἱ ἱερεῖς τὴν κιβωτὸν εἰς τὸν τόπον αὐτῆς εἰς τὸ δαβὶρ τοῦ οἴκου, εἰς τὰ ἅγια τῶν ἁγίων ὑπὸ τὰς πτέρυγας τῶν Χερουβίμ·

Γ Βασ. 8,6 - Οταν η πομπή έφθασεν στον ναόν, οι ιερείς έφεραν και ετοποθέτησαν την Κιβωτόν εις την θέσιν της, στο άδυτον του ναού, εις τα Αγια των Αγίων, κάτω από τας πτέρυγας των Χερουβίμ.

Γ Βασ. 8,7 - ὅτι τὰ Χερουβὶμ διαπεπετασμένα ταῖς πτέρυξιν ἐπὶ τὸν τόπον τῆς κιβωτοῦ, καὶ περιεκάλυπτον τὰ Χερουβὶμ ἐπὶ τὴν κιβωτὸν καὶ ἐπὶ τὰ ἅγια αὐτῆς ἐπάνωθεν,

Γ Βασ. 8,7 - Διότι τα Χερουβίμ είχαν τας πτέρυγάς των ανοιγμένας επάνω από τον τόπον, όπου ευρίσκετρ η Κιβωτός, και εσκέπαζαν με τας πτέρυγάς των την Κιβωτόν και τα άγια, τα οποία υπήρχαν εις αυτήν.

Γ Βασ. 8,8 - καὶ ὑπερεῖχον τὰ ἡγιασμένα, καὶ ἐνεβλέποντο αἱ κεφαλαὶ τῶν ἡγιασμένων ἐκ τῶν ἁγίων εἰς πρόσωπον τοῦ δαβὶρ καὶ οὐκ ὠπτάνοντο ἔξω.

Γ Βασ. 8,8 - Τα άκρα δε των ιερών ράβδων της Κιβωτού εξείχαν και εφαίνοντο αι κεφαλαί των και από τον άλλον χώρον του ναού. Από τον χώρον όμως τον εκτός του ναού δεν εφαίνοντο αι ράβδοι.

Γ Βασ. 8,9 - οὐκ ἦν ἐν τῇ κιβωτῷ πλὴν δύο πλάκες λίθιναι, πλάκες τῆς διαθήκης, ἃς ἔθηκεν ἐκεῖ Μωυσῆς ἐν Χωρήβ, ἃς διέθετο Κύριος μετὰ τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς ἐκ γῆς Αἰγύπτου.

Γ Βασ. 8,9 - Μέσα εις την Κιβωτόν δεν υπήρχε τίποτε άλλο, παρά μόνον αι δύο λίθιναι πλάκες της Διαθήκης, τας οποίας ο Μωυσής είχε τοποθετήσει μέσα εις αυτήν στο όρος Χωρήβ. Αυταί δε αι πλάκες περιείχον την Διαθήκην, που έκαμεν ο Θεός με τους Ισραηλίτας, όταν αυτοί είχαν εξέλθει από την χώραν της Αιγύπτου και είχαν φθάσει στο όρος Σινά.

Γ Βασ. 8,10 - καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ νεφέλη ἔπλησε τὸν οἶκον·

Γ Βασ. 8,10 - Οταν οι ιερείς, μετά την επίσημον αυτήν τελετήν, εξήλθον από τον ναόν, η νεφέλη εγέμισε τον ναόν.

Γ Βασ. 8,11 - καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς στήκειν λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησε δόξα Κυρίου τὸν οἶκον.

Γ Βασ. 8,11 - Οι ιερείς δεν ημπορούσαν να παραμείνουν εκεί και να προσφέρουν τας υπηρεσίας των εξ αιτίας της νεφέλης, διότι το φως και η θεία λάμψις της εγέμισε τον ναόν τούτον του Κυρίου.

Γ Βασ. 8,14 - Καὶ ἀπέστρεψεν ὁ βασιλεὺς τὸ πρόσωπον αὐτοῦ, καὶ εὐλόγησεν ὁ βασιλεὺς πάντα Ἰσραήλ, καὶ πᾶσα ἐκκλησία Ἰσραὴλ εἱστήκει·

Γ Βασ. 8,14 - Επειτα ο βασιλεύς εγύρισε το πρόσωπόν του προς τον ισραηλιτικόν λαόν και ευλόγησεν όλον αυτόν τον λαόν. Ολοι δε οι Ισραηλίται εστέκοντο όρθιοι.

Γ Βασ. 8,15 - καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ σήμερον, ὃς ἐλάλησεν ἐν τῷ στόματι αὐτοῦ περὶ Δαυὶδ τοῦ πατρός μου καὶ ἐν ταῖς χερσὶν αὐτοῦ ἐπλήρωσε λέγων·

Γ Βασ. 8,15 - Ο βασιλεύς ανέπεμψεν αυτήν την προσευχήν· “Ευλογημένος ας είναι σήμερον ο Θεός του Ισραηλιτικού λαού, ο οποίος εξεπλήρωσε την υπόσχεσιν, που με το ίδιο του το στόμα είχε δώσει προς τον πατέρα μου τον Δαυίδ, την ανοικοδόμησιν δηλαδή του ναού, λέγων·

Γ Βασ. 8,16 - ἀφ᾿ ἧς ἡμέρας ἐξήγαγον τὸν λαόν μου τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου, οὐκ ἐξελεξάμην ἐν πόλει ἐν ἑνὶ σκήπτρῳ Ἰσραὴλ τοῦ οἰκοδομῆσαι οἶκον τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ. καὶ ἐξελεξάμην ἐν Ἱερουσαλὴμ εἶναι τὸ ὄνομά μου ἐκεῖ· καὶ ἐξελεξάμην τὸν Δαυὶδ τοῦ εἶναι ἐπὶ τὸν λαόν μου τὸν Ἰσραήλ.

Γ Βασ. 8,16 - Από την ημέραν, που έβγαλα ελεύθερον τον λαόν μου τον Ισραηλιτικόν εκ της Αιγύπτου, δεν εξέλεξα άλλην πόλιν από την περιοχήν του Ισραηλιτικού λαού, δια να οικοδομήσω τον ναόν μου, δια να είναι και να δοξάζεται εκεί το όνομά μου. Εδιάλεξα την Ιερουσαλήμ ως τόπον, όπου θα αναφέρωνται αι δοξολογίαι και και προσευχαί στο όνομά μου. Ως βασιλέα δε εδιάλεξα τον Δαυίδ, δια να κυβερνήση αυτός τον ισραηλιτικόν λαόν μου.

Γ Βασ. 8,17 - καὶ ἐγένετο ἐπὶ τῆς καρδίας τοῦ πατρός μου οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραήλ.

Γ Βασ. 8,17 - Ο πατήρ μου επεθύμησε με όλην του την καρδίαν να ανοικοδομήση τον ναόν προς δόξαν και τιμήν του ονόματος Κυρίου του Θεού του Ισραήλ.

Γ Βασ. 8,18 - καὶ εἶπε Κύριος πρὸς Δαυὶδ τὸν πατέρα μου· ἀνθ᾿ ὧν ἦλθεν ἐπὶ τὴν καρδίαν σου τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματί μου, καλῶς ἐποίησας ὅτι ἐγενήθη ἐπὶ τὴν καρδίαν σου·

Γ Βασ. 8,18 - Ο Κυριος όμως απήντησε προς τον πατέρα μου τον Δαυίδ· Καλή είναι η επιθυμία της καρδίας σου να οικοδομήσης ναόν προς δόξαν του ονόματός μου. Καλώς έπραξες, που εγενήθη αυτή η επιθυμία μέσα εις την καρδίαν σου.

Γ Βασ. 8,19 - πλὴν σὺ οὐκ οἰκοδομήσεις τὸν οἶκον, ἀλλ᾿ ἢ ὁ υἱός σου ὁ ἐξελθὼν ἐκ τῶν πλευρῶν σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀνόματί μου.

Γ Βασ. 8,19 - Αλλά δεν θα οικοδομήσης συ τούτον τον ναόν, ει μη μόνον ο υιός σου, ο οποίος εβγήκεν από τα σπλάγχνα σου. Αυτός θα οικοδομήση

τον ναόν προς δόξαν και τιμήν του ονόματός μου.

Γ Βασ. 8,20 - καὶ ἀνέστησε Κύριος τὸ ῥῆμα αὐτοῦ, ὃ ἐλάλησε, καὶ ἀνέστην ἀντὶ Δαυὶδ τοῦ πατρός μου καὶ ἐκάθισα ἐπὶ τοῦ θρόνου Ἰσραήλ, καθὼς ἐλάλησε Κύριος, καὶ ᾠκοδόμησα τὸν οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραήλ.

Γ Βασ. 8,20 - Ο Θεός εξεπλήρωσεν αυτήν την υπόσχεσιν, την οποίαν είπε προς τον πατέρα μου, διότι εγώ ήλθον εις την θέσιν του πατρός μου, εκάθησα στον θρόνον του Ισραηλιτικού λαού, όπως ακριβώς είχε προαναγγείλει ο Κυριος, και οικοδόμησα τον ναόν αυτόν προς δόξαν του ονόματος Κυρίου του Θεού του Ισραηλιτικού λαού.

Γ Βασ. 8,21 - καὶ ἐθέμην ἐκεῖ τόπον τῇ κιβωτῷ, ἐν ᾗ ἐστιν ἐκεῖ διαθήκη Κυρίου, ἣν διέθετο Κύριος μετὰ τῶν πατέρων ἡμῶν ἐν τῷ ἐξαγαγεῖν αὐτὸν αὐτοὺς ἐκ γῆς Αἰγύπτου.

Γ Βασ. 8,21 - Εκεί καθώρισα τον τόπον δια την Κιβωτόν, εντός της οποίας υπάρχουν αι πλάκες της Διαθήκης, την οποίαν συνήψεν ο Κυριος με τους προπάτοράς μας, αφού τους έβγαλεν ελευθέρους από την χώραν της Αιγύπτου”.

Γ Βασ. 8,22 - Καὶ ἀνέστη Σαλωμὼν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου Κυρίου ἐνώπιον πάσης ἐκκλησίας Ἰσραὴλ καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν,

Γ Βασ. 8,22 - Εστάθη ο Σολομών όρθιος εμπρός από το θυσιαστήριον των ολοκαυτωμάτων του Κυρίου ενώπιον όλης της συγκεντρώσεως του Ισραηλιτικού λαού, ήπλωσε τας χείρας του προς τον ουρανόν

Γ Βασ. 8,23 - καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσραήλ, οὐκ ἔστιν ὡς σὺ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, φυλάσσων διαθήκην καὶ ἔλεος τῷ δούλῳ σου τῷ πορευομένῳ ἐνώπιόν σου ἐν ὅλῃ τῇ καρδίᾳ αὐτοῦ,

Γ Βασ. 8,23 - και είπε· “Κυριε, Θεέ του Ισραηλιτικού λαού, δεν υπάρχει άλλος Θεός, όπως συ, ούτε άνω στον ουρανόν ούτε κάτω εις την γην. Διότι συ εκπληρώνεις την υπόσχεσίν σου και παρέχστο έλεός σου εις εμέ τον δούλον σου, ο οποίος με όλην του την καρδίαν πορεύεται κατά το θέλημά σου ενώπιόν σου,

Γ Βασ. 8,24 - ἃ ἐφύλαξας τῷ δούλῳ σου Δαυὶδ τῷ πατρί μου· καὶ γὰρ ἐλάλησας ἐν τῷ στόματί σου καὶ ἐν χερσί σου ἐπλήρωσας ὡς ἡ ἡμέρα αὕτη.

Γ Βασ. 8,24 - όπως εξεπλήρωσες αυτά στον δούλον σου, τον πατέρα μου τον Δαυίδ· διότι όσα με το ίδιο σου το στόμα του υπεσχέθης, τα εξεπλήρωσες σήμερον, κατά την ημέραν αυτήν δια της δυνάμεώς σου.

Γ Βασ. 8,25 - καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραήλ, φύλαξον τῷ δούλῳ σου Δαυὶδ τῷ πατρί μου ἃ ἐλάλησας αὐτῷ λέγων· οὐκ ἐξαρθήσεταί σου ἀνὴρ ἐκ προσώπου μου καθήμενος ἐπὶ θρόνου Ἰσραήλ, πλὴν ἐὰν φυλάξωνται τὰ

τέκνα σου τὰς ὁδοὺς αὐτῶν τοῦ πορεύεσθαι ἐνώπιόν μου, καθὼς ἐπορεύθης ἐνώπιον ἐμοῦ.

Γ Βασ. 8,25 - Και τώρα, Κυριε ο Θεός του Ισραήλ, εκπλήρωσε στον δούλον σου τον Δαυίδ, τον πατέρα μου, όσα υπεσχέθης εις αυτόν λέγων· Δεν θα λείψη άνθρωπος ενώπιόν μου από τους απογόνους σου, ο οποίος θα κάθεται στον βασιλικόν θρόνον του ισραηλιτικού λαού, υπό τον όρον όμως ότι οι απόγονοί σου θα τηρούν τας εντολάς μου και θα πορεύωνται ενώπιόν μου, όπως επορεύθης και συμπεριεφέρθης συ ενώπιόν μου.

Γ Βασ. 8,26 - καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραήλ, πιστωθήτω δὴ τὸ ῥῆμά σου τῷ Δαυὶδ τῷ πατρί μου.

Γ Βασ. 8,26 - Και τώρα παρακαλώ, Κυριε, Θεέ του ισραηλιτικού λαού, ας αποδειχθή αληθινή και ας πραγματοποιηθή η υπόσχεσις, την οποίαν είπες προς τον πατέρα μου Δαυίδ·

Γ Βασ. 8,27 - ὅτι εἰ ἀληθῶς κατοικήσει ὁ Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς; εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πλὴν καὶ ὁ οἶκος οὗτος, ὃν ᾠκοδόμησα τῷ ὀνόματί σου;

Γ Βασ. 8,27 - ότι δηλαδή, συ ο Θεός θα κατοικήσης μαζή με τους ανθρώπους εις την γην. Εάν ο ουρανός και ο ουρανός του ουρανού δεν είναι ικανοί να σε χωρέσουν, πως θα γίνη κατοικητήριόν σου ο ναός αυτός, τον οποίον εγώ οικοδόμησα προς δόξαν του Ονόματός σου;

Γ Βασ. 8,28 - καὶ ἐπιβλέψῃ ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς Ἰσραήλ, ἀκούειν τῆς προσευχῆς, ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου πρός σε σήμερον,

Γ Βασ. 8,28 - Σε παρακαλώ όμως, Κυριε, ρίψε ευμενές βλέμα εις την δέησίν μου. Κυριε και Θεέ του ισραηλιτικού λαού, άκουσε την προσευχήν μου, την οποίαν ο δούλός σου απευθύνει προς σε σήμερον.

Γ Βασ. 8,29 - τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἠνεῳγμένους εἰς τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτός, εἰς τὸν τόπον, ὃν εἶπας· ἔσται τὸ ὄνομά μου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας καὶ νυκτός.

Γ Βασ. 8,29 - Ας είναι σε παρακαλώ οι οφθαλμοί σου ανοικτοί ημέραν και νύκτα προς τον ναόν τούτον, στον τόπον αυτόν, δια τον οποίον είπες· Θα είμαι εγώ εκεί, δια να ακούω την προσευχήν, την οποίαν θα απευθύνη ο δούλος μου στον τόπον τούτον, ημέραν και νύκτα.

Γ Βασ. 8,30 - καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου καὶ τοῦ λαοῦ σου Ἰσραήλ, ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν οὐρανῷ καὶ ποιήσεις καὶ ἵλεως ἔσῃ.

Γ Βασ. 8,30 - Ναι θα ακούης την προσευχήν εμού του δούλου σου και τας προσευχάς του ισραηλιτικού λαού, τας οποίας θα απευθύνουν προς σε από τον ιερόν τούτον τόπον. Θα ακούης τας προσευχάς μας από την

ουράνιον κατοικίαν σου και θα κάμης ο,τι σε παρακαλέσουν, δεικνύων έλεος και ευσπλαγχνίαν προς όλους μας.

Γ Βασ. 8,31 - ὅσα ἂν ἁμάρτῃ ἕκαστος τῷ πλησίον αὐτοῦ, καὶ ἐὰν λάβῃ ἐπ᾿ αὐτὸν ἀρὰν τοῦ ἀράσασθαι αὐτόν, καὶ ἔλθῃ καὶ ἐξαγορεύσῃ κατὰ πρόσωπον τοῦ θυσιαστηρίου σου ἐν τῷ οἴκῳ τούτῳ,

Γ Βασ. 8,31 - Εάν κανείς αδικήση τον πλησίον του και εκείνος αναγκάση τον αδικήσαντα να πάρη όρκον, θα έλθη ο αδικήσας στο θυσιαστήριον τούτο των ολοκαυτωμάτων του ναού και θα δώση μετά κατάρας ένορκον διαβεβαίωσιν.

Γ Βασ. 8,32 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ποιήσεις καὶ κρινεῖς τὸν λαόν σου Ἰσραὴλ ἀνομηθῆναι ἄνομον, δοῦναι τὴν ὁδὸν αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ καὶ τοῦ δικαιῶσαι δίκαιον, δοῦναι αὐτῷ κατὰ τὴν δικαιοσύνην αὐτοῦ.

Γ Βασ. 8,32 - Συ δε θα ακούσης από τον ουρανόν την ένορκον αυτήν διαβεβαίωσιν και θα δικάσης αυτόν, όπως και κάθε άλλον Ισραηλίτην, εκφέρων την δικαίαν απόφασίν σου, ώστε να πέση η δικαία τιμωρία σου επί την κεφαλήν του παρανομήσαντος και να δικαιωθή ο δίκαιος, σύμφωνα με το δίκαιόν του.

Γ Βασ. 8,33 - ἐν τῷ πταῖσαι τὸν λαόν σου Ἰσραὴλ ἐνώπιον ἐχθρῶν, ὅτι ἁμαρτήσονταί σοι, καὶ ἐπιστρέψουσι καὶ ἐξομολογήσονται τῷ ὀνόματί σου καὶ προσεύξονται καὶ δεηθήσονται ἐν τῷ οἴκῳ τούτῳ,

Γ Βασ. 8,33 - Οταν ο ισραηλιτικός λαός νικηθή από τους εχθρούς του, διότι ημάρτησεν εις σέ, και κατόπιν μετανοήσουν και επιστρέψουν και δοξάσουν το Ονομά σου και σου απευθύνουν προσευχάς και δεήσεις εστραμμένοι προς τον ναόν τούτον,

Γ Βασ. 8,34 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ λαοῦ σου Ἰσραὴλ καὶ ἐπιστρέψεις αὐτοὺς εἰς τὴν γῆν, ἣν ἔδωκας τοῖς πατράσιν αὐτῶν.

Γ Βασ. 8,34 - συ θα ακούσης τας δεήσεις των από τον ουρανόν, θα φανής ευσπλαγχνικός εις τας αμαρτίας του ισραηλιτικού λαού, θα απελευθερώσης αυτούς από την αιχμαλωσίαν και ελευθέρους θα τους επαναφέρης εις την χώραν αυτήν, την οποίαν συ έδωκες ως κληρονομίαν στους προπάτοράς των.

Γ Βασ. 8,35 - ἐν τῷ συσχεθῆναι τὸν οὐρανὸν καὶ μὴ γενέσθαι ὑετόν, ὅτι ἁμαρτήσονταί σοι, καὶ προσεύξονται εἰς τὸν τόπον τοῦτον καὶ ἐξομολογήσονται τῷ ὀνόματί σου καὶ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ἀποστρέψουσιν, ὅταν ταπεινώσῃς αὐτούς,

Γ Βασ. 8,35 - Οταν δε κλείση ο ουρανός και δεν θα πέση βροχή εις την γην, διότι ημάρτησαν απέναντί σου οι Ισροηλίται, προσευχηθούν δε στον

τόπον αυτόν, δοξολογήσουν το Ονομά σου και ξεκόψουν από τας αμαρτίας των, όταν δια της ανομβρίας τιμωρής αυτούς,

Γ Βασ. 8,36 - καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ δούλου σου καὶ τοῦ λαοῦ σου Ἰσραήλ· ὅτι δηλώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγαθὴν πορεύεσθαι ἐν αὐτῇ καὶ δώσεις ὑετὸν ἐπὶ τὴν γῆν, ἣν ἔδωκας τῷ λαῷ σου ἐν κληρονομίᾳ.

Γ Βασ. 8,36 - θα εισακούσης την προσευχήν των από τον ουρανόν, θα γίνης ίλεως εις τας αμαρτίας των δούλων σου των Ισραηλιτών. Θα διδάξης αυτούς και πάλιν την αγαθήν οδόν να βαδίζουν αυτήν, και τότε θα δώσης την βροχήν εις την γην, την οποίαν συ έδωκες ως κληρονομίαν στον λαόν σου τον ισραηλιτικόν.

Γ Βασ. 8,37 - λιμὸς ἐὰν γένηται, θάνατος ἐὰν γένηται, ὅτι ἔσται ἐμπυρισμός, βροῦχος, ἐρυσίβη ἐὰν γένηται, καὶ ἐὰν θλίψῃ αὐτὸν ὁ ἐχθρὸς αὐτοῦ ἐν μιᾷ τῶν πόλεων αὐτοῦ, πᾶν συνάντημα, πάντα πόνον,

Γ Βασ. 8,37 - Εάν δε πέση λιμός εις την χώραν, εάν απλωθή επιδημία θανατικής νόσου, εάν πνεύση καυστικός άνεμος, εάν πέσουν σμήνη ακρίδων, εάν προσβάλη τα φυτά η ερυσίβη, εάν ο εχθρός πολιορκήση μίαν από τας πόλεις και την φέρη εις δύσκολον θέσιν, γενικώς εάν συμβή κάποιο κακό γεγονός η οδυνηρά νόσος,

Γ Βασ. 8,38 - πᾶσαν προσευχήν, πᾶσαν δέησιν, ἐὰν γένηται παντὶ ἀνθρώπῳ ὡς ἂν γνῶσιν ἕκαστος ἁφὴν καρδίας αὐτοῦ καὶ διαπετάσῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν οἶκον τοῦτον,

Γ Βασ. 8,38 - και κάθε Ισραηλίτης, στον οποίον θα πέση η θλίψις αυτή, σου απευθύνη ολόθερμον προσευχήν και δέησιν, υψώση δε τας χείρας του προς τον ναόν τούτον και προσευχηθή,

Γ Βασ. 8,39 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ἵλεως ἔσῃ καὶ ποιήσεις καὶ δώσεις ἀνδρὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καθὼς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ, ὅτι σὺ μονώτατος οἶδας τὴν καρδίαν πάντων υἱῶν ἀνθρώπων,

Γ Βασ. 8,39 - συ θα εισακούσης την δέησίν του από τον ουρανόν, από το άριστον και πανυπερτέλειον κατοικητήριόν σου, και θα γίνης ίλεως προς αυτόν και θα δώσης στον άνθρωπον αυτόν ανάλογα με την διαγωγήν του, ανάλογα με τας διαθέσεις της καρδίας του, διότι συ μόνος, και κανείς άλλος, γνωρίζεις τας καρδίας των ανθρώπων.

Γ Βασ. 8,40 - ὅπως φοβῶνταί σε πάσας τὰς ἡμέρας, ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν.

Γ Βασ. 8,40 - Αι πράξεις δε αυταί του ελέους και της τιμωρίας σου προς τους ανθρώπους θα έχουν αποτέλεσμα να σε φοβούνται και σε σέβωνται όλας τας ημέρας της ζωής των, όσας θα ζουν εις την γην, την οποίαν συ έδωκες κληρονομίαν στους προπάτοράς μας.

Γ Βασ. 8,41 - καὶ τῷ ἀλλοτρίῳ, ὃς οὐκ ἔστιν ἀπὸ λαοῦ σου οὗτος,

Γ Βασ. 8,41 - Ακόμη δε και την προσευχήν εκείνου του ξένου, ο οποίος δεν είναι Ισραηλίτης,

Γ Βασ. 8,42 - καὶ ἥξουσι καὶ προσεύξονται εἰς τὸν τόπον τοῦτον,

Γ Βασ. 8,42 - θα έλθη όμως εις τον τόπον αυτόν να προσευχηθή,

Γ Βασ. 8,43 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ποιήσεις κατὰ πάντα, ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλότριος, ὅπως γνῶσι πάντες οἱ λαοὶ τὸ ὄνομά σου, καὶ φοβῶνταί σε, καθὼς ὁ λαός σου Ἰσραήλ, καὶ γνῶσιν ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὸν οἶκον τοῦτον, ὃν ᾠκοδόμησα.

Γ Βασ. 8,43 - συ, Κυριε, θα την εισακούσης από τον ουρανόν, από το τέλειον κατοικητήριόν σου, και θα δώσης εις αυτόν όλα όσα σε παρακαλεί ο ξένος ούτος. Ετσι δε όλοι οι λαοί θα γνωρίσουν το Ονομά σου, θα σε σέβωνται και θα σε φοβούνται, όπως ο ισραηλιτικός λαός, και θα μάθουν ότι είναι αφιερωμένος στο ένδοξον Ονομά σου ο ναός αυτός, τον οποίον εγώ οικοδόμησα.

Γ Βασ. 8,44 - ὅτι ἐξελεύσεται ὁ λαός σου εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ ἐν ὁδῷ, ᾗ ἐπιστρέψεις αὐτούς, καὶ προσεύξονται ἐν ὀνόματι Κυρίου ὁδὸν τῆς πόλεως, ἧς ἐξελέξω ἐν αὐτῇ, καὶ τοῦ οἴκου, οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου,

Γ Βασ. 8,44 - Οταν δε ο λαός σου εξέλθη εις πόλεμον εναντίον των εχθρών του στον δρόμον, τον οποίον συ υπέδειξες εις αυτούς, και προσευχηθή εν τω ονόματί σου του Κυρίου στρεφόμενος προς την πόλιν, την οποίον συ εξέλεξες και προς τον ναόν, τον οποίον εγώ οικοδόμησα εις δόξαν του Ονόματός σου,

Γ Βασ. 8,45 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς δεήσεως αὐτῶν καὶ τῆς προσευχῆς αὐτῶν καὶ ποιήσεις τὸ δικαίωμα αὐτοῖς.

Γ Βασ. 8,45 - συ από τον ουρανόν θα ακούσης την δέησιν αυτών και θα αποδώσης εις αυτούς το δίκαιόν των.

Γ Βασ. 8,46 - ὅτι ἁμαρτήσονταί σοι ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐχ ἁμαρτήσεται καὶ ἐπάξεις αὐτοὺς καὶ παραδώσεις αὐτοὺς ἐνώπιον ἐχθρῶν καὶ αἰχμαλωτιοῦσιν οἱ αἰχμαλωτίζοντες εἰς γῆν μακρὰν καὶ ἐγγύς,

Γ Βασ. 8,46 - Εάν δε αμαρτήσουν απέναντί σου, διότι δεν υπάρχει άνθρωπος, ο οποίος να μη αμαρτήση, και τιμωρήσης αυτούς και παραδώσης αυτούς στους εχθρούς των, οι οποίοι θα τους αιχμαλωτίσουν και θα τους μεταφέρουν εις χώραν ευρισκομένην μακράν η πλησίον,

Γ Βασ. 8,47 - καὶ ἐπιστρέψουσι καρδίας αὐτῶν ἐν τῇ γῇ, οὗ μετήχθησαν ἐκεῖ, καὶ ἐπιστρέψουσιν ἐν γῇ μετοικίας αὐτῶν καὶ δεηθῶσί σου λέγοντες· ἡμάρτομεν, ἠδικήσαμεν, ἠνομήσαμεν,

Γ Βασ. 8,47 - τότε, εάν μετανοήσουν με όλην των την καρδίαν εις την χώραν όπου ωδηγήθησαν αιχμάλωτοι, εάν εις την χώραν της αιχμαλωσίας επιστρέψουν προς σε και προσευχηθούν και είπουν· Ημαρτήσαμεν, ηδικήσαμεν, ηνομήσαμεν·

Γ Βασ. 8,48 - καὶ ἐπιστρέψωσι πρός σε ἐν ὅλῃ καρδίᾳ αὐτῶν καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν ἐν τῇ γῇ ἐχθρῶν αὐτῶν, οὗ μετήγαγες αὐτούς, καὶ προσεύξονται πρός σε, ὁδὸν γῆς αὐτῶν, ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν, καὶ τῆς πόλεως, ἧς ἐξελέξω, καὶ τοῦ οἴκου, οὗ ᾠκοδόμηκα τῷ ὀνόματί σου,

Γ Βασ. 8,48 - εάν μετανοήσουν και επιστρέψουν προς σε με όλην των την καρδίαν και με όλην των την ψυχήν εις την χώραν των εχθρών των, όπου ωδήγησες αυτούς και εκεί προσευχηθούν προς σε με το πρόσωπον και την καρδίαν των προς την γην, την οποίαν συ εξέλεξες δι' αυτούς, και προς τον ναόν, τον οποίον εγώ οικοδόμησα προς δόξαν του Ονόματός σου,

Γ Βασ. 8,49 - καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου

Γ Βασ. 8,49 - συ θα εισακούσης την προσευχήν των από τον ουρανόν από το πανυπερτέλειον κατοικητήριόν σου

Γ Βασ. 8,50 - καὶ ἵλεως ἔσῃ ταῖς ἀδικίαις αὐτῶν, αἷς ἥμαρτόν σοι, καὶ κατὰ πάντα τὰ ἀθετήματα αὐτῶν, ἃ ἠθέτησάν σοι, καὶ δώσεις αὐτοὺς εἰς οἰκτιρμοὺς ἐνώπιον αἰχμαλωτευόντων αὐτούς, καὶ οἰκτειρήσουσιν αὐτούς·

Γ Βασ. 8,50 - και θα γίνης ίλεως δια τας αδικίας, τας οποίας διέπραξαν ενώπιόν σου και γενικώς δι' όλας τας παραβάσεις και τας ανομίας, τας οποίας διέπραξαν ενώπιόν σου. Θα εμβάλης εις τας καρδίας αυτών, που τους αιχμαλώτισαν, συναισθήματα καλωσύνης και ελέους δι' αυτούς και θα τους ευσπλαγχνισθούν.

Γ Βασ. 8,51 - ὅτι λαός σου καὶ κληρονομία σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐκ μέσου χωνευτηρίου σιδήρου.

Γ Βασ. 8,51 - Τούτο δέ, διότι αυτός ο λαός σου είναι ιδικός σου, είναι κληρονομία σου, αυτοί τους οποίους συ ελευθέρους έβγαλες από την Αίγυπτον, από την σιδηράν κάμινον, εις την οποίαν έλυωναν.

Γ Βασ. 8,52 - καὶ ἔστρωσαν οἱ ὀφθαλμοί σου καὶ τὰ ὦτά σου ἠνεῳγμένα εἰς τὴν δέησιν τοῦ δούλου σου καὶ εἰς τὴν δέησιν τοῦ λαοῦ σου Ἰσραὴλ εἰσακούειν αὐτῶν ἐν πᾶσιν, οἷς ἂν ἐπικαλέσωνταί σε,

Γ Βασ. 8,52 - Ας είναι λοιπόν οι οφθαλμοί σου, Κυριε, και τα ώτα σου ανοικτά εις την δέησιν του κάθε Ισραηλίτου και εις την δέησιν όλου του Ισραηλιτικού λαού, δια να εισακούης αυτούς εις όλα, όσα θα σε παρακαλέσουν.

Γ Βασ. 8,53 - ὅτι σὺ διέστειλας αὐτοὺς σεαυτῷ εἰς κληρονομίαν ἐκ πάντων τῶν λαῶν τῆς γῆς, καθὼς ἐλάλησας ἐν χειρὶ δούλου σου Μωυσῇ ἐν τῷ ἐξαγαγεῖν σε τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου, Κύριε Κύριε.

Γ Βασ. 8,53 - Διότι συ εξεχώρισες αυτούς από όλους τους άλλους λαούς της γης, δια να γίνουν ιδική σου κληρονομία, όπως εδήλωσες δια του δούλου σου του Μωϋσέως, όταν, Κυριε, Κυριε, έβγαλες τους προγόνους ημών ελευθέρους από την χώραν της Αιγύπτου”.

Γ Βασ. 8,53α - Τότε ἐλάλησε Σαλωμὼν ὑπὲρ τοῦ οἴκου, ὡς συνετέλεσε τοῦ οἰκοδομῆσαι αὐτόν, Ἥλιον ἐγνώρισεν ἐν οὐρανῷ Κύριος, εἶπε τοῦ κατοικεῖν ἐν γνόφῳ· οἰκοδόμησον οἶκόν μου, οἶκον εὐπρεπῆ σεαυτῷ, τοῦ κατοικεῖν ἐπὶ καινότητος. οὐκ ἰδοὺ αὕτη γέγραπται ἐν βιβλίῳ τῆς ᾠδῆς;

Γ Βασ. 8,53α - Εις την περίστασιν αυτήν, όταν δηλαδή ο Σολομών απεπεράτωσε την ανοικοδόμησιν του ναού, ωμίλησε δια τον ναόν και είπεν· “Ο Κυριος εν τη σοφία του έθεσε τον ήλιον στον ουρανόν, δια να φωτίζη τους ανθρώπους, ενώ αυτός ο ίδιος κατοικεί στον γνόφον και μένει αόρατος. Αυτός με διέταξε και μου είπε· Οικοδόμησε τον ναόν μου, σεμνόν και ωραίον στους οφθαλμούς μου, δια να κατοικώ στον καινούργιον αυτόν οίκον”. Αυτά δεν είναι γραμμένα στο βιβλίον εκείνο που ονομάζεται ωδή;

Γ Βασ. 8,54 - Καὶ ἐγένετο ὡς συνετέλεσε Σαλωμὼν προσευχόμενος πρὸς Κύριον ὅλην τὴν προσευχὴν καὶ τὴν δέησιν ταύτην, καὶ ἀνέστη ἀπὸ προσώπου τοῦ θυσιαστηρίου Κυρίου ὀκλακὼς ἐπὶ τὰ γόνατα αὐτοῦ καὶ αἱ χεῖρες αὐτοῦ διαπεπετασμέναι εἰς τὸν οὐρανόν.

Γ Βασ. 8,54 - Οταν ο Σολομών γονατιστός εμπρός στο θυσιαστήριον του Κυρίου και με τας χείρας υψωμένας προς τον ουρανόν ετελείωσεν όλην την προσευχήν του, την δέησιν αυτήν, ηγέρθη από έμπροσθεν του θυσιαστηρίου,

Γ Βασ. 8,55 - καὶ ἔστη καὶ εὐλόγησε πᾶσαν ἐκκλησίαν Ἰσραὴλ φωνῇ μεγάλῃ λέγων·

Γ Βασ. 8,55 - εστάθη και ευλόγησεν όλην την συγκέντρωσιν των Ισραηλιτών με μεγάλην φωνήν και είπεν·

Γ Βασ. 8,56 - εὐλογητὸς Κύριος σήμερον, ὃς ἔδωκε κατάπαυσιν τῷ λαῷ αὐτοῦ Ἰσραὴλ κατὰ πάντα, ὅσα ἐλάλησεν· οὐ διεφώνησε λόγος εἷς ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ τοῖς ἀγαθοῖς, οἷς ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Μωυσῆ.

Γ Βασ. 8,56 - “ας είναι δοξασμένος ο Κυριος σήμερον, ο οποίος ανέπαυσε τον ισραηλιτικόν του λαόν και επραγματοποίησεν όλα, όσα υπεσχέθη ότι θα κάμη. Καμμία από τας αγαθάς υποσχέσεις, τας οποίας έδωσε δια του Μωϋσέως στον ισραηλιτικόν λαόν, δεν έμεινεν ανεκπλήρωτος.

Γ Βασ. 8,57 - γένοιτο Κύριος ὁ Θεὸς ἡμῶν μεθ᾿ ἡμῶν, καθὼς ἦν μετὰ τῶν πατέρων ἡμῶν· μὴ ἐγκαταλίποιτο ἡμᾶς μηδὲ ἀποστρέψοιτο ἡμᾶς,

Γ Βασ. 8,57 - Είθε Κυριος ο Θεός ημών να είναι μαζή μας, όπως ήτο μαζή με τους προπάτοράς μας. Είθε να μη αποστρέψη ποτέ το πρόσωπόν

του από ημάς και να μη μας εγκαταλείψη.

Γ Βασ. 8,58 - ἐπικλῖναι καρδίας ἡμῶν ἐπ᾽ αὐτὸν τοῦ πορεύεσθαι ἐν πάσαις ὁδοῖς αὐτοῦ καὶ φυλάσσειν πάσας ἐντολὰς αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ, ἃ ἐνετείλατο τοῖς πατράσιν ἡμῶν.

Γ Βασ. 8,58 - Ας ελκύση τας καρδίας μας προς αυτόν, δια να πορευώμεθα συμφώνως προς τας οδούς αυτού, να τηρούμεν όλας τας εντολάς του και τα προστάγματα του, τα οποία διέταξεν στους προπάτοράς μας.

Γ Βασ. 8,59 - καὶ ἔστρωσαν οἱ λόγοι οὗτοι, ὡς δεδέημαι ἐνώπιον Κυρίου Θεοῦ ἡμῶν, ἐγγίζοντες πρὸς Κύριον Θεὸν ἡμῶν ἡμέρας καὶ νυκτός, τοῦ ποιεῖν τὸ δικαίωμα τοῦ δούλου σου καὶ τὸ δικαίωμα λαοῦ Ἰσραὴλ ῥῆμα ἡμέρας ἐν ἡμέρᾳ ἐνιαυτοῦ,

Γ Βασ. 8,59 - Οι ικευτικοί αυτοί λόγοι, τους οποίους ως δέησιν απηύθυνα προς τον Κυριον και Θεόν μας, ας είναι ενώπιον Κυρίου του Θεού μας ημέραν και νύκτα ως δίκαιον αίτημα εμού του δούλου σου, αλλά και όλου του Ισραηλιτικού λαού καθ' όλας τας ημέρας του έτους,

Γ Βασ. 8,60 - ὅπως γνῶσιν πάντες οἱ λαοὶ τῆς γῆς, ὅτι Κύριος ὁ Θεός, αὐτὸς Θεὸς καὶ οὐκ ἔστιν ἔτι.

Γ Βασ. 8,60 - δια να μάθουν όλοι οι λαοί της γης ότι Κυριος ο Θεός ημών αυτός είναι ο αληθινός Θεός, και δεν υπάρχει άλλος πλην αυτού.

Γ Βασ. 8,61 - καὶ ἔστρωσαν οἱ καρδίαι ἡμῶν τέλειαι πρὸς Κύριον Θεὸν ἡμῶν καὶ ὁσίως πορεύεσθαι ἐν τοῖς προστάγμασιν αὐτοῦ καὶ φυλάσσειν ἐντολὰς αὐτοῦ ὡς ἡ ἡμέρα αὕτη.

Γ Βασ. 8,61 - Αι καρδίαι μας ας είναι αγνοί και καθαραί προς Κυριον τον Θεόν μας, ώστε να πορευώμεθα με οσιότητα σύμφωνα με τα προστάγματά του και να φυλάσσωμεν τας εντολάς του, όπως γίνεται κατά την ημέραν αυτήν”.

Γ Βασ. 8,62 - Καὶ ὁ βασιλεὺς καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ ἔθυσαν θυσίαν ἐνώπιον Κυρίου.

Γ Βασ. 8,62 - Ο βασιλεύς και όλοι οι Ισραηλίται προσέφεραν κατά την ημέραν εκείνην θυσίας ενώπιον του Κυρίου.

Γ Βασ. 8,63 - καὶ ἔθυσεν ὁ βασιλεὺς Σαλωμὼν τὰς θυσίας τῶν εἰρηνικῶν, ἃς ἔθυσε τῷ Κυρίῳ, βοῶν δύο καὶ εἴκοσι χιλιάδας καὶ προβάτων ἑκατὸν καὶ εἴκοσι χιλιάδας· καὶ ἐνεκαίνισε τὸν οἶκον Κυρίου ὁ βασιλεὺς καὶ πάντες οἱ υἱοὶ Ἰσραήλ.

Γ Βασ. 8,63 - Ο Σολομών προσέφερεν ειρηνικάς θυσίας προς τον Κυριον εικοσιδύο χιλιάδες βόδια, εκατόν είκοσι χιλιάδες πρόβατα και εγκαινίασε ναόν του Κυρίου ο βασιλεύς και όλοι οι Ισραηλίται μαζή με αυτόν.

Γ Βασ. 8,64 - τῇ ἡμέρᾳ ἐκείνῃ ἡγίασεν ὁ βασιλεὺς τὸ μέσον τῆς αὐλῆς τὸ κατὰ πρόσωπον τοῦ οἴκου Κυρίου· ὅτι ἐποίησεν ἐκεῖ τὴν ὁλοκαύτωσιν

καὶ τὰς θυσίας καὶ τὰ στέατα τῶν εἰρηνικῶν, ὅτι τὸ θυσιαστήριον τὸ χαλκοῦν τὸ ἐνώπιον Κυρίου μικρόν· τοῦ μὴ δύνασθαι τὴν ὁλοκαύτωσιν καὶ τὰς θυσίας τῶν εἰρηνικῶν ὑπενεγκεῖν.

Γ Βασ. 8,64 - Κατά την ιδίαν εκείνην ημέραν ηγίασεν ο βασιλεύς την εσωτερικήν αυλήν, η οποία ευρίσκεται εμπρός στον ναόν του Κυρίου. Διότι εκεί προσέφερε τας θυσίας των ολοκαυτωμάτων, τας αναιμάκτους θυσίας και τα επί των ειρηνικών θυσιών, επειδή το χαλκούν θυσιαστήριον, που ευρίσκετο ενώπιον του ναού του Κυρίου, ήτο μικρόν και δεν επαρκούσε δια την προσφοράν των ολοκαυτωμάτων και των ειρηνικών θυσιών.

Γ Βασ. 8,65 - καὶ ἐποίησε Σαλωμὼν τὴν ἑορτὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ πᾶς Ἰσραὴλ μετ᾿ αὐτοῦ, ἐκκλησία μεγάλη ἀπὸ τῆς εἰσόδου Ἡμὰθ ἕως ποταμοῦ Αἰγύπτου, ἐνώπιον Κυρίου Θεοῦ ἡμῶν ἐν τῷ οἴκῳ, ᾧ ᾠκοδόμησεν, ἐσθίων καὶ πίνων καὶ εὐφραινόμενος ἐνώπιον Κυρίου Θεοῦ ἡμῶν ἑπτὰ ἡμέρας.

Γ Βασ. 8,65 - Ο Σολομών κατά την ημέραν εκείνην των εγκαινίων ετέλεσε και την εορτήν της Σκηνοπηγίας και μαζή με αυτόν όλος ο ισραηλιτικός λαός. Ητο μεγάλη συγκέντρωσις ανθρώπων, οι οποίοι ήλθον από βορρά μεν από την είσοδον της Ημάθ, από δε νότου μέχρι και από τον ποταμόν, που υπάρχει εις τα όρια της Παλαιστίνης και της Αιγύπτου. Αυτοί συνεκεντρώθησαν ενώπιον Κυρίου του Θεού μας στον ναόν, τον οποίον οικοδόμησαν. Ολοι δε έτρωγαν και έπιναν και ευφραίνοντο ενώπιον Κυρίου του Θεού μας επί επτά κατά συνέχειαν ημέρας.

Γ Βασ. 8,66 - καὶ ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξαπέστειλε τὸν λαὸν καὶ εὐλόγησαν τὸν βασιλέα, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὰ σκηνώματα αὐτοῦ χαίροντες καὶ ἀγαθῇ καρδίᾳ ἐπὶ τοῖς ἀγαθοῖς, οἷς ἐποίησε Κύριος τῷ Δαυὶδ δούλῳ αὐτοῦ καὶ τῷ Ἰσραὴλ λαῷ αὐτοῦ.

Γ Βασ. 8,66 - Κατά την ογδόην ημέραν ο βασιλεύς απέλυσε τον λαόν, δια να αναχωρήσουν, και ο λαός εδόξασε τον βασιλέα. Καθένας από τους Ισραηλίτας επανήλθεν εις την κατοικίαν του χαίρων και με ευφραινομένην την καρδίαν δια τα αγαθά, που ο Κυριος έδωσεν στον δούλον του Δαυίδ και στον λαόν του τον ισραηλιτικόν.

Γ ΒΑΣΙΛΕΙΩΝ 9

Γ Βασ. 9,1 - Καὶ ἐγενήθη ὡς συνετέλεσε Σαλωμὼν οἰκοδομεῖν τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πᾶσαν τὴν πραγματείαν Σαλωμών, ὅσα ἠθέλησε ποιῆσαι,

Γ Βασ. 9,1 - Οταν ο Σολομών έφερεν εις πέρας την ανοικοδόμησιν του ναού του Κυρίου και του βασιλικού του ανακτόρου και γενικώς όλα τα άλλα οικοδομήματα, που ηθέλησε να κάμη,

Γ Βασ. 9,2 - καὶ ὤφθη Κύριος τῷ Σαλωμὼν δεύτερον, καθὼς ὤφθη ἐν Γαβαών,

Γ Βασ. 9,2 - ο Κυριος παρουσιάσθη εις αυτόν δευτέραν φοράν, όπως είχε παρουσιασθή δια πρώτην φοράν εις την Γαβαών,

Γ Βασ. 9,3 - καὶ εἶπε πρὸς αὐτὸν Κύριος· ἤκουσα τῆς φωνῆς τῆς προσευχῆς σου καὶ τῆς δεήσεώς σου, ἧς ἐδεήθης ἐνώπιόν μου· πεποίηκά σοι κατὰ πᾶσαν τὴν προσευχήν σου, ἡγίακα τὸν οἶκον τοῦτον, ὃν ᾠκοδόμησας τοῦ θέσθαι τὸ ὄνομά μου ἐκεῖ εἰς τὸν αἰῶνα, καὶ ἔσονται οἱ ὀφθαλμοί μου ἐκεῖ καὶ ἡ καρδία μου πάσας τὰς ἡμέρας.

Γ Βασ. 9,3 - και είπε προς αυτόν· “ήκουσα τα λόγια της προσευχής και της δεήσεώς σου, την οποίαν απηύθυνες προς εμέ. Εξεπλήρωσα όσα μου είχες ζητήσει. Ηγίασα τον ναόν τούτον, τον οποίον οικοδόμησες, δια να δοξάζεται εκεί αιωνίως το όνομά μου και θα είναι εστραμμένοι οι οφθαλμοί μου και η καρδία μου προς τα εκεί πάντοτε.

Γ Βασ. 9,4 - καὶ σὺ ἐὰν πορευθῇς ἐνώπιον ἐμοῦ, καθὼς ἐπορεύθη Δαυὶδ ὁ πατήρ σου, ἐν ὁσιότητι καρδίας καὶ ἐν εὐθύτητι καὶ τοῦ ποιεῖν κατὰ πάντα, ἃ ἐνετειλάμην αὐτῷ, καὶ τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου φυλάξῃς,

Γ Βασ. 9,4 - Εάν δε συ πορευθής ενώπιόν μου, όπως έζησε και επορεύθη ο πατήρ σου Δαυίδ, με οσιότητα καρδίας, με ειλικρίνειαν και ευθύτητα, δια να τηρής όλα όσα παρήγγειλα προς εκείνον και να εφαρμόζης τα προστάγματά μου και τας εντολάς μου,

Γ Βασ. 9,5 - καὶ ἀναστήσω τὸν θρόνον τῆς βασιλείας σου ἐν Ἰσραὴλ εἰς τὸν αἰῶνα, καθὼς ἐλάλησα Δαυὶδ πατρί σου λέγων· οὐκ ἐξαρθήσεταί σοι ἀνὴρ ἡγούμενος ἐν Ἰσραήλ.

Γ Βασ. 9,5 - εγώ θα δοξάσω και θα στερεώσω τον θρόνον της βασιλείας σου επί του ισραηλιτικού λαού αιωνίως, όπως υπεσχέθην στον πατέρα σου τον Δαυίδ λέγων, ότι δεν θα λείψη απόγονός σου άρχων επί του ισραηλιτικού λαού.

Γ Βασ. 9,6 - ἐὰν δὲ ἀποστραφέντες ἀποστραφῆτε ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν ἀπ᾿ ἐμοῦ, καὶ μὴ φυλάξητε τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου, ἃ ἔδωκε Μωυσῆς ἐνώπιον ὑμῶν, καὶ πορευθῆτε καὶ δουλεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς,

Γ Βασ. 9,6 - Εάν όμως αποστραφήτε και απομακρυνθήτε από εμέ σεις και τα παιδιά σας και δεν φυλάξετε τας εντολάς μου και τα προστάγματά μου, τα οποία έδωκεν ο Μωϋσής ενώπιόν σας, και πορευθήτε να λατρεύσετε άλλους θεούς και προσκυνήσετε αυτούς,

Γ Βασ. 9,7 - καὶ ἐξαρῶ τὸν Ἰσραὴλ ἀπὸ τῆς γῆς ἣν ἔδωκα αὐτοῖς, καὶ τὸν οἶκον τοῦτον, ὃν ἡγίασα τῷ ὀνόματί μου, ἀποῤῥίψω ἐκ προσώπου μου, καὶ ἔσται Ἰσραὴλ εἰς ἀφανισμὸν καὶ εἰς λάλημα εἰς πάντας τοὺς λαούς.

Γ Βασ. 9,7 - εγώ θα ξερριζώσω τον ισραηλιτικόν λαόν από την γην, την οποίαν έχω δώσει εις αυτούς· και τον ναόν, τον οποίον αφιέρωσα στο όνομά μου, θα τον απορρίψω από το πρόσωπόν μου. Ο ισραηλιτικός λαός θα εξαφανισθή από την πατρίδα του και θα γίνη περίγελως μεταξύ όλων των λαών της γης.

Γ Βασ. 9,8 - καὶ ὁ οἶκος οὗτος ἔσται ὁ ὑψηλός, πᾶς ὁ διαπορευόμενος δι᾿ αὐτοῦ ἐκστήσεται καὶ συριεῖ καὶ ἐροῦσιν· ἕνεκεν τίνος ἐποίησε Κύριος οὕτως τῇ γῇ ταύτῃ καὶ τῷ οἴκῳ τούτῳ;

Γ Βασ. 9,8 - Ο δε μεγαλοπρεπής και υψηλός αυτός ναός θα έλθη εις τέτοιο κατάντημα, ώστε καθένας, που θα διέρχεται από εμπρός του, θα εκπλήσσεται, θα συρίζη δε εις έκφρασιν απορίας και θα λέγη· Δια ποίαν αιτίαν ο Κυριος έστειλεν αυτό το κακόν εις την γην αυτήν και εις αυτόν τον ναόν;

Γ Βασ. 9,9 - καὶ ἐροῦσιν· ἀνθ᾿ ὧν ἐγκατέλιπον Κύριον Θεὸν αὐτῶν, ὃς ἐξήγαγε τοὺς πατέρας αὐτῶν ἐξ Αἰγύπτου, ἐξ οἴκου δουλείας, καὶ ἀντελάβοντο θεῶν ἀλλοτρίων καὶ προσεκύνησαν αὐτοῖς καὶ ἐδούλευσαν αὐτοῖς, διὰ τοῦτο ἐπήγαγε Κύριος ἐπ᾿ αὐτοὺς τὴν κακίαν ταύτην.

Γ Βασ. 9,9 - Θα τους δίδεται δε η απάντησις· Επειδή εγκατέλιπαν Κυριον τον Θεόν των, ο οποίος τους έβγαλεν ελευθέρους από την Αίγυπτον, από την χώραν της δουλείας, και παρεδέχθησαν ξένους θεούς και προσεκύνησαν αυτούς και υπεδουλώθησαν εις αυτούς, δια τούτο έστειλεν ο Κυριος εναντίον των αυτήν την τιμωρίαν”.

Γ Βασ. 9,9[α] - Τότε ἀνήγαγε Σαλωμὼν τὴν θυγατέρα Φαραὼ ἐκ πόλεως Δαυὶδ εἰς οἶκον αὐτοῦ, ὃν ᾠκοδόμησεν ἑαυτῷ ἐν ταῖς ἡμέραις ἐκείναις.

Γ Βασ. 9,9[α] - Τοτε ο Σολομών οδήγησε την θυγατέρα του Φαραώ από την πόλιν Δαυίδ στο ανάκτορόν του, το οποίον οικοδόμησε δια τον εαυτόν του κατά τας ημέρας εκείνας.

Γ Βασ. 9,10 - Εἴκοσιν ἔτη ἐν οἷς ᾠκοδόμησε Σαλωμὼν τοὺς δύο οἴκους, τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως,

Γ Βασ. 9,10 - Εις διάστημα είκοσιν ετών οικοδόμησεν ο Σολομών τα δύο κτιριακά συγκροτήματα, τον ναόν του Κυρίου και το βασιλικόν του ανάκτορον.

Γ Βασ. 9,11 - Χιρὰμ ὁ βασιλεὺς Τύρου ἀντελάβετο τοῦ Σαλωμὼν ἐν ξύλοις κεδρίνοις καὶ ἐν ξύλοις πευκίνοις καὶ ἐν χρυσίῳ καὶ ἐν παντὶ θελήματι αὐτοῦ. τότε ἔδωκεν ὁ βασιλεὺς τῷ Χιρὰμ εἴκοσι πόλεις ἐν τῇ γῇ τῇ Γαλιλαίᾳ.

Γ Βασ. 9,11 - Ο Χιράμ, ο βασιλεύς της Τυρου, εβοήθησε τον Σολομώντα με κέδρινα ξύλα και με ξύλα από πεύκην, με χρυσόν και με ο,τι άλλο ηθέλησεν ο Σολομών. Τοτε ο βασιλεύς Σολομών έδωσεν στον Χιράμ είκοσι πόλεις εις την Γαλιλαίαν.

Γ Βασ. 9,12 - καὶ ἐξῆλθε Χιρὰμ ἐκ Τύρου καὶ ἐπορεύθη εἰς τὴν Γαλιλαίαν τοῦ ἰδεῖν τὰς πόλεις, ἃς ἔδωκεν αὐτῷ Σαλωμών, καὶ οὐκ ἤρεσαν αὐτῷ·

Γ Βασ. 9,12 - Ο δε Χιράμ εβγήκεν από την Τυρον και επορεύθη, προς την Γαλιλαίαν, δια να ίδη τας πόλεις, τας οποίας του έδωσεν ο Σολομών και αι οποίαι δεν του ήρεσαν.

Γ Βασ. 9,13 - καὶ εἶπε· τί αἱ πόλεις αὗται, ἃς ἔδωκάς μοι, ἀδελφέ; καὶ ἐκάλεσεν αὐτὰς Ὅριον ἕως τῆς ἡμέρας ταύτης.

Γ Βασ. 9,13 - Ο Χιράμ είπε τότε προς τον Σολομώντα· “τι πόλεις είναι αύται, τας οποίας μου έδωσες, αδελφέ μου; Ωνόμασε δε αυτάς “Οριον” και έτσι αυταί ονομάζονται μέχρι της ημέρας αυτής.

Γ Βασ. 9,14 - καὶ ἤνεγκε Χιρὰμ τῷ Σαλωμὼν ἑκατὸν καὶ εἴκοσι τάλαντα χρυσίου

Γ Βασ. 9,14 - Ο Χιράμ έφερε και προσέφερε προς τον Σολομώντα εκατόν είκοσι τάλαντα χρυσίου.

Γ Βασ. 9,26 - καὶ ναῦν ὑπὲρ οὗ ἐποίησεν ὁ βασιλεὺς Σαλωμὼν ἐν Γασιὼν Γαβὲρ τὴν οὖσαν ἐχομένην Αἰλὰθ ἐπὶ τοῦ χείλους τῆς ἐσχάτης θαλάσσης ἐν γῇ Ἐδώμ.

Γ Βασ. 9,26 - Εδωσεν επίσης στον Σολομώντα ναυτικόν, δια το οποίον ο βασιλεύς κατεσκεύασε ναύσταθμον εις Γασιών Γαβέρ, που ευρίσκεται πλησίον της Αιλάθ, εις την παραλίαν της Ερυθράς Θαλάσσης παρά την περιοχήν της Ιδουμαίας.

Γ Βασ. 9,27 - καὶ ἀπέστειλε Χιρὰμ ἐν τῇ νεὶ τῶν παίδων αὐτοῦ ἄνδρας ναυτικοὺς ἐλαύνειν εἰδότας θάλασσαν μετὰ τῶν παίδων Σαλωμών.

Γ Βασ. 9,27 - Δια την επάνδρωσιν δε του ναυτικού τούτου έστειλεν ο Χιράμ από το ιδικόν του ναυτικόν πλήρωμα, ανθρώπους, οι οποίοι εγνώριζαν την θάλασσαν και την τέχνην της ναυσιπλοΐας. Αυτοί ήσαν μαζή με το πλήρωμα των ανδρών του Σολομώντος.

Γ Βασ. 9,28 - καὶ ἦλθον εἰς Σωφηρὰ καὶ ἔλαβον ἐκεῖθεν χρυσίου ἑκατὸν εἴκοσι τάλαντα καὶ ἤνεγκαν τῷ βασιλεῖ Σαλωμών.

Γ Βασ. 9,28 - Το ναυτικόν τούτο έπλευσεν εις Σωφηρά και έλαβεν από εκεί εκατόν είκοσι τάλαντα χρυσού, τα οποία έφεραν στον Σολομώντα.

Γ ΒΑΣΙΛΕΙΩΝ 10

Γ Βασ. 10,1 - Καὶ βασίλισσα Σαβὰ ἤκουσε τὸ ὄνομα Σαλωμὼν καὶ τὸ ὄνομα Κυρίου καὶ ἦλθε πειράσαι αὐτὸν ἐν αἰνίγμασι·

Γ Βασ. 10,1 - Η βασίλισσα της χώρας Σαβά ήκουσε την φήμην του ονόματος του Σολομώντος, όπως και τα περί του ονόματος του Κυρίου και ήλθε προς τον Σολομώντα, δια να τον γνωρίση προσωπικώς και να υποβάλη εις αυτόν μερικά αινιγματώδη ερωτήματα.

Γ Βασ. 10,2 - καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ ἐν δυνάμει βαρείᾳ σφόδρα, καὶ κάμηλοι αἴρουσαι ἡδύσματα καὶ χρυσὸν πολὺν σφόδρα καὶ λίθον τίμιον, καὶ εἰσῆλθε πρὸς Σαλωμὼν καὶ ἐλάλησεν αὐτῷ πάντα ὅσα ἦν ἐν τῇ καρδίᾳ αὐτῆς.

Γ Βασ. 10,2 - Ηλθεν εις την Ιερουσαλήμ με πολύ μεγάλην συνοδείαν, με καμήλους, αι οποίαι ήσαν φορτωμέναι με αρωματικά προϊόντα, με πολύν χρυσόν και με πολύτιμους λίθους. Παρουσιάσθη στον Σολομώντα και του είπεν όλα, όσα αινιγματώδη είχεν εις την διάνοιάν της.

Γ Βασ. 10,3 - καὶ ἀπήγγειλεν αὐτῇ Σαλωμὼν πάντας τοὺς λόγους αὐτῆς· οὐκ ἦν λόγος παρεωραμένος παρὰ τοῦ βασιλέως, ὃν οὐκ ἀπήγγειλεν αὐτῇ.

Γ Βασ. 10,3 - Ο Σολομών απήντησεν εις όλους τους αινιγματώδεις αυτής λόγους. Καμμία απορία και ερωτησίς της δεν έμεινε χωρίς απάντησιν εκ μέρους του βασιλέως Σολομώντος. Εις όλας εκείνος απήντησε.

Γ Βασ. 10,4 - καὶ εἶδε βασίλισσα Σαβὰ πᾶσαν τὴν φρόνησιν Σαλωμὼν καὶ τὸν οἶκον, ὃν ᾠκοδόμησε,

Γ Βασ. 10,4 - Η βασίλισσα της χώρας Σαβά εγνώρισε προσωπικώς πλέον όλην την σοφίαν του Σολομώντος. Είδε δε και τον οίκον, τον οποίον αυτός είχεν οικοδομήσει.

Γ Βασ. 10,5 - καὶ τὰ βρώματα Σαλωμὼν καὶ τὴν καθέδραν παίδων αὐτοῦ καὶ τὴν στάσιν λειτουργῶν αὐτοῦ καὶ τὸν ἱματισμὸν αὐτοῦ καὶ τοὺς οἰνοχόους αὐτοῦ, καὶ τὴν ὁλοκαύτωσιν αὐτοῦ, ἣν ἀνέφερεν ἐν οἴκῳ Κυρίου, καὶ ἐξ ἑαυτῆς ἐγένετο.

Γ Βασ. 10,5 - Είδε την ποικιλίαν των φαγητών του Σολομώντος, τας κατοικίας, όπου έμειναν οι δούλοι του, την συμπεριφοράν των υπηρετών του, τα ενδύματά του, τους οινοχόους του και τα ζώα, τα οποία καθημερινώς προσεφέροντο προς ολοκαύτωσιν στον Κυριον και εξεπλάγη πάρα πολύ.

Γ Βασ. 10,6 - καὶ εἶπε πρὸς τὸν βασιλέα Σαλωμών· ἀληθινὸς ὁ λόγος, ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τοῦ λόγου σου καὶ περὶ τῆς φρονήσεώς σου,

Γ Βασ. 10,6 - Είπε δε αυτή προς τον βασιλέα Σολομώντα· "αληθινή ήτο η μεγάλη φήμη σου, την οποίαν εγώ ήκουσα εις την χώραν μου σχετικώς με το πρόσωπόν σου και ειδικώτερα σχετικώς με την σοφίαν σου.

Γ Βασ. 10,7 - καὶ οὐκ ἐπίστευσα τοῖς λαλοῦσί μοι, ἕως ὅτου παρεγενόμην καὶ ἑωράκασιν οἱ ὀφθαλμοί μου, καὶ ἰδοὺ οὐκ εἰσὶ τὸ ἥμισυ καθὼς ἀπήγγειλάν μοι· προστέθεικας ἀγαθὰ πρὸς αὐτὰ ἐπὶ πᾶσαν τὴν ἀκοήν, ἣν ἤκουσα ἐν τῇ γῇ μου·

Γ Βασ. 10,7 - Τοτε δεν επίστευσα εις αυτά, τα οποία μου έλεγαν οι άνθρωποι, μέχρις ότου ήλθα εδώ και είδα με τα ίδια μου τα μάτια. Ιδού· εκείνα τα οποία μου είχαν είπει, δεν είναι ούτε τα μισά από όσα πράγματι υπάρχουν. Συ με την προσωπικήν μας γνωριμίαν μου προσέθεσες και με

έκαμες να καταλάβω, ότι τα αγαθά τα ιδικά σου είναι πολύ ανώτερα, από όσα είχα ακούσει εις την χώραν μου.

Γ Βασ. 10,8 - μακάριαι αἱ γυναῖκές σου, μακάριοι οἱ παῖδές σου οὗτοι οἱ παρεστηκότες ἐνώπιόν σου διόλου, οἱ ἀκούοντες πᾶσαν τὴν φρόνησίν σου·

Γ Βασ. 10,8 - Ευτυχισμέναι είναι αι γυναίκες σου, ευτυχισμένοι οι δούλοι σου, οι οποίοι παρίστανται πάντοτε ενώπιόν σου και ακούουν καθημερινώς όλην την σοφίαν σου.

Γ Βασ. 10,9 - γένοιτο Κύριος ὁ Θεός σου εὐλογημένος, ὃς ἠθέλησεν ἐν σοὶ δοῦναί σε ἐπὶ θρόνον Ἰσραήλ· διὰ τὸ ἀγαπᾶν Κύριον τὸν Ἰσραὴλ στῆσαι εἰς τὸν αἰῶνα καὶ ἔθετό σε βασιλέα ἐπ᾿ αὐτοὺς τοῦ ποιεῖν κρίμα ἐν δικαιοσύνῃ καὶ ἐν κρίμασιν αὐτῶν.

Γ Βασ. 10,9 - Ευλογημένος ας είναι Κυριος ο Θεός σου, ο οποίος ευηρεστήθη εις σε και ευδόκησε να σε εγκαταστήση στον θρόνον βασιλέα του ισραηλιτικού λαού. Τούτο δε έγινε, διότι ο Θεός αγαπά τον ισραηλιτικόν λαόν και θέλει να στερεώση αυτόν στους αιώνας των αιώνων. Δια τούτο εγκατέστησε σε βασιλέα εις αυτούς, δια να αποδίδης εις αυτούς το δίκαιον, όταν αυτοί παρουσιάζονται να κριθούν σχετικώς με τας διαφοράς των”.

Γ Βασ. 10,10 - καὶ ἔδωκε τῷ Σαλωμὼν ἑκατὸν εἴκοσι τάλαντα χρυσίου καὶ ἡδύσματα πολλὰ σφόδρα καὶ λίθον τίμιον· οὐκ ἐληλύθει κατὰ τὰ ἡδύσματα ἐκεῖνα ἔτι εἰς πλῆθος, ἃ ἔδωκε βασίλισσα Σαβὰ τῷ βασιλεῖ Σαλωμών.

Γ Βασ. 10,10 - Η βασίλισσα έδωσεν στον Σολομώντα εκατόν είκοσι τάλαντα χρυσίου, πολλά λίαν αρωματώδη είδη και πολυτίμους λίθους. Ουδέποτε δε άλλοτε δεν προσεφέρθησαν τόσα πολλά αρωματώδη προϊόντα εις άλλον βασιλέα, από όσα προσέφερεν η βασίλισσα της χώρας Σαβά στον βασιλέα Σολομώντα.

Γ Βασ. 10 ,11 - (καὶ ἡ ναῦς Χιρὰμ ἡ αἴρουσα τὸ χρυσίον ἐκ Σουφὶρ ἤνεγκε ξύλα πελεκητὰ πολλὰ σφόδρα καὶ λίθον τίμιον·

Γ Βασ. 10,11 - (Το δε ναυτικόν το οποίον είχε δώσει ο Χιράμ στον Σολομώντα και το οποίον μετέφερεν από Σουφίρ χρυσίον, έφερεν επίσης στον Σολομώντα πάρα πολλά πολύτιμα ξύλα και πολυτίμους λίθους.

Γ Βασ. 10,12 - καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πελεκητὰ ὑποστηρίγματα τοῦ οἴκου Κυρίου καὶ τοῦ οἴκου τοῦ βασιλέως καὶ νάβλας καὶ κινύρας τοῖς ᾠδοῖς· οὐκ ἐληλύθει τοιαῦτα ξύλα ἀπελέκητα ἐπὶ τῆς γῆς, οὐδὲ ὤφθησάν που ἕως τῆς ἡμέρας ταύτης).

Γ Βασ. 10,12 - Και ο βασιλεύς Σολομών με τα πολύτιμα αυτά ξύλα κατεσκεύασε πελεκητά υποστηρίγματα δια τον ναόν του Κυρίου και δια το βασιλικόν ανάκτορον. Κατεσκεύασεν επίσης μουσικά όργανα, νάβλας και κινύρας δια τους μουσικούς, που έψαλλον στον ναόν. Τέτοια δε πολύτιμα ξύλα δεν είχαν βγη ποτέ από άλλα σημεία της γης, ούτε και είχαν παρουσιασθή πουθενά μέχρι της ημέρας εκείνης).

Γ Βασ. 10,13 - καὶ ὁ βασιλεὺς Σαλωμὼν ἔδωκε τῇ βασιλίσσῃ Σαβὰ πάντα, ὅσα ἠθέλησεν, ὅσα ᾐτήσατο, ἐκτὸς πάντων ὧν ἐδεδόκει αὐτῇ διὰ χειρὸς τοῦ βασιλέως Σαλωμών· καὶ ἀπεστράφη καὶ ἦλθεν εἰς τὴν γῆν αὐτῆς, αὐτὴ καὶ πάντες οἱ παῖδες αὐτῆς.

Γ Βασ. 10,13 - Ο βασιλεύς Σολομών έδωσεν εις την βασίλισσαν Σαβά όλα όσα εκείνη ηθέλησεν, όλα όσα του εζήτησεν, εκτός βέβαια εκείνων τα οποία αυτός οικειοθελώς έδωσε προς αυτήν. Η βασίλισσα επέστρεψε κατόπιν αυτών και ήλθεν εις την χώραν της, αυτή και όλοι οι συνοδεύοντες αυτήν δούλοι.

Γ Βασ. 10,14 - Καὶ ἦν ὁ σταθμὸς τοῦ χρυσίου τοῦ ἐληλυθότος τῷ Σαλωμὼν ἐν ἐνιαυτῷ ἑνὶ ἑξακόσια καὶ ἑξηκονταὲξ τάλαντα χρυσίου,

Γ Βασ. 10,14 - Ο δε χρυσός, ο οποίος κάθε έτος εισήρχετο στο ταμείον του Σολομώντος ήτο εξακόσια εξήκοντα εξ τάλαντα χρυσού.

Γ Βασ. 10,15 - χωρὶς τῶν φόρων τῶν ὑποτεταγμένων καὶ τῶν ἐμπόρων καὶ πάντων τῶν βασιλέων τοῦ πέραν καὶ τῶν σατραπῶν τῆς γῆς.

Γ Βασ. 10,15 - Εις αυτά δεν συμπεριελαμβάνοντο οι φόροι των υποτελών εις αυτόν, δηλαδή των εμπόρων και όλων των βασιλέων, των εκτός της χώρας, και των διοικητών διαφόρων περιοχών.

Γ Βασ. 10,16 - καὶ ἐποίησε Σαλωμὼν τριακόσια δόρατα χρυσᾶ ἐλατά. -τριακόσιοι χρυσοῖ ἐπῆσαν ἐπὶ τὸ δόρυ τὸ ἓν-

Γ Βασ. 10,16 - Από τον χρυσόν αυτόν κατεσκεύασεν ο Σολομών τριακόσια δόρατα σφυρηλατημένα. Δια κάθε δε δόρυ εχρειάσθησαν τριακόσιοι χρυσοί σίκλοι.

Γ Βασ. 10,17 - καὶ τριακόσια ὅπλα χρυσᾶ ἐλατὰ -καὶ τρεῖς μναῖ ἐνῆσαν χρυσοῦ εἰς τὸ ὅπλον τὸ ἓν- καὶ ἔδωκεν αὐτὰ ὁ βασιλεὺς εἰς οἶκον δρυμοῦ τοῦ Λιβάνου.

Γ Βασ. 10,17 - Κατεσκεύασε τριακόσια όπλα από σφυρηλατημένον χρυσόν, δια κάθε όπλον απητήθησαν τρεις μναι χρυσού, και έδωκεν αυτά ο βασιλεύς, να φυλαχθούν στο οικοδόμημα, το οποίον ωνομάζετο δάσος του Λιβάνου.

Γ Βασ. 10,18 - καὶ ἐποίησεν ὁ βασιλεὺς θρόνον ἐλεφάντινον μέγαν καὶ περιεχρύσωσεν αὐτὸν χρυσίῳ δοκίμῳ·

Γ Βασ. 10,18 - Κατεσκεύασεν ακόμη ο βασιλεύς ένα μεγάλον θρόνον από ελεφαντοστούν, τον οποίον επεχρύσωσε με καθαρόν χρυσίον.

Γ Βασ. 10,19 - ἓξ ἀναβαθμοὶ ἐν θρόνῳ καὶ προτομαὶ μόσχων τῷ θρόνῳ ἐκ τῶν ὀπίσω αὐτοῦ καὶ χεῖρες ἔνθεν καὶ ἔνθεν ἐπὶ τοῦ τόπου τῆς καθέδρας, καὶ δύο λέοντες ἑστηκότες παρὰ τὰς χεῖρας,

Γ Βασ. 10,19 - Εις τον θρόνον αυτόν υπήρχον εξ σκαλοπάτια. Εις το όπισθεν μέρος του θρόνου υπήρχον προτομαί κεφαλών μόσχων, εκατέρωθεν δε του καθίσματος του θρόνου βραχίονες, δια να στηρίζονται τα

χέρια. Υπήρχον δε ακόμη και δύο αγάλματα ορθίων λεόντων πλησίον των βραχιόνων αυτών.

Γ Βασ. 10,20 - καὶ δώδεκα λέοντες ἑστῶτες ἐκεῖ ἐπὶ τῶν ἓξ ἀναβαθμῶν ἔνθεν καὶ ἔνθεν· οὐ γέγονεν οὕτως πάσῃ βασιλείᾳ.

Γ Βασ. 10,20 - Εις δε τα εκατέρωθεν άκρα των εξ βαθμίδων υπήρχον δώδεκα άλλοι λέοντες. Τέτοιος θρόνος δεν υπήρξεν εις κανένα άλλο βασίλειον.

Γ Βασ. 10,21 - καὶ πάντα τὰ σκεύη τὰ ὑπὸ τοῦ Σαλωμὼν γεγονότα χρυσᾶ καὶ λουτῆρες χρυσοῖ, καὶ πάντα τὰ σκεύη οἴκου δρυμοῦ τοῦ Λιβάνου χρυσίῳ συγκεκλεισμένα, οὐκ ἦν ἀργύριον, ὅτι οὐκ ἦν λογιζόμενον ἐν ταῖς ἡμέραις Σαλωμών·

Γ Βασ. 10,21 - Επί πλέον δε όλα τα οικιακά σκεύη του Σολομώντος ήσαν χρυσά και οι λουτήρες ακόμη ήσαν χρυσοί. Ολα τα σκεύη του οικοδομήματος, που ελέγετο “δάσος Λιβάνου”, είχαν κατασκευασθή από εξαίρετον χρυσόν. Αργυρος δεν υπήρχε, διότι κατά τας ημέρας του Σολομώντος δεν ελαμβάνετο καθόλου υπ' όψει.

Γ Βασ. 10,22 - ὅτι ναῦς Θαρσὶς τῷ βασιλεῖ Σαλωμὼν ἐν τῇ θαλάσσῃ μετὰ τῶν νηῶν Χιράμ, μία διὰ τριῶν ἐτῶν ἤρχετο τῷ βασιλεῖ ναῦς ἐκ θαρσὶς χρυσίου καὶ ἀργυρίου καὶ λίθων τορευτῶν καὶ πελεκητῶν.

Γ Βασ. 10,22 - Το ναυτικόν του Σολομώντος μαζή με το ναυτικόν του Χιράμ μετέβαινε δια της Μεσογείου Θαλάσσης εις Θαρσίς. Καθε δε τρία έτη το ναυτικόν του Σολομώντος επέστρεφεν από την Θαρσίς με χρυσίον, με άργυρον, με πολυτίμους λίθους και με πολύτιμα ξύλα.

Γ Βασ. 10,22α - Αὕτη ἦν ἡ πραγματεία τῆς προνομῆς, ἧς ἀνήνεγκεν ὁ βασιλεὺς Σαλωμὼν οἰκοδομῆσαι τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ τὸ τεῖχος Ἱερουσαλὴμ καὶ τὴν ἄκραν, τοῦ περιφράξαι τὸν φραγμὸν τῆς πόλεως Δαυὶδ καὶ τὴν Ἀσσοὺρ καὶ τὴν Μαγδὰλ καὶ τὴν Γαζὲρ καὶ τὴν Βαιθωρὼν τὴν ἀνωτέρω καὶ τὴν Ἰεθαρμὰθ καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων καὶ πάσας τὰς πόλεις τῶν ἱππέων καὶ τὴν πραγματείαν Σαλωμών, ἣν ἐπραγματεύσατο οἰκοδομῆσαι ἐν Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ γῇ, τοῦ μὴ κατάρξαι αὐτοῦ.

Γ Βασ. 10,22[α] - Αυτή δε ήτο η μεριμνά και η προσεκτική συγκέντρωσις και επιλογή ανθρώπων και πραγμάτων, την οποίαν έκαμεν ο βασιλεύς Σολομών, δια την ανοικοδόμησιν του ναού του Κυρίου, του ιδικού του ανακτόρου, του τείχους της Ιερουσαλήμ, του φρουρίου, δια την ειδικήν περίφραξιν του τμήματος εκείνου της Ιερουσαλήμ, που ελέγετο “πόλις Δαυίδ”, δια το κτίσιμον και την οχύρωσιν της Ασσούρ, της Μαγδάλ, της Γαζέρ, της άνω Βαιθωρών, της Ιεθερμάθ και όλων των πόλεων, όπως επίσης των πολεμικών αρμάτων και των πόλεων, που έμεναν οι ιππείς. Αυτό ήτο το έργον, το οποίον επραγματοποίησεν ο Σολομών δια την

ανοικοδόμησιν και οχύρωσιν της Ιερουσαλήμ και των άλλων πόλεων της υπαίθρου, ώστε να μη επέλθη και τας κυριεύση οιοσδήποτε εχθρός.

Γ Βασ. 10,22β - πάντα τὸν λαὸν τὸν ὑπολελειμμένον ὑπὸ τοῦ Χετταίου καὶ τοῦ Ἀμοῤῥαίου καὶ τοῦ Φερεζαίου καὶ τοῦ Χαναναίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου καὶ τοῦ Γεργεσαίου, τῶν μὴ ἐκ τῶν υἱῶν Ἰσραὴλ ὄντων, τὰ τέκνα αὐτῶν τὰ ὑπολελειμμένα μετ᾿ αὐτοῦ ἐν τῇ γῇ, οὓς οὐκ ἐδύναντο οἱ υἱοὶ Ἰσραὴλ ἐξολοθρεῦσαι αὐτούς, καὶ ἀνήγαγεν αὐτοὺς Σαλωμὼν εἰς φόρον ἕως τῆς ἡμέρας ταύτης.

Γ Βασ. 10,22β - Ολους τους κατοίκους της Χαναάν, οι οποίοι δεν ανήκον εις την φυλήν του Ισραήλ, δηλαδή τους Χετταίους, τους Αμορραίους, τους Φερεζαίους, Χαναναίους, Ευαίους, Ιεβουσαίους, Γεργεσαίους και οι οποίοι είχον εναπομείνει μετά την κατά κτήσιν της Παλαιστίνης από τους Ισραηλίτας και εζούσαν με τους Ισραηλίτας, αυτούς, τους οποίους οι Ισραηλίται δε ημπόρεσαν να εξολοθρεύσουν, τους υποχρέωσεν ο Σολομών εις μεταφοράς και αγγαρείας μέχρι της ημέρας αυτής.

Γ Βασ. 10,22γ - καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ οὐκ ἔδωκε Σαλωμὼν πρᾶγμα, ὅτι αὐτοὶ ἦσαν ἄνδρες οἱ πολεμισταὶ καὶ παῖδες αὐτοῦ καὶ ἄρχοντες καὶ τρισσοὶ αὐτοῦ καὶ ἄρχοντες τῶν ἁρμάτων αὐτοῦ καὶ ἱππεῖς αὐτοῦ.

Γ Βασ. 10,22γ - Τους Ισραηλίτας όμως ο Σολομών δεν υπεχρέωσεν στοιαύτας μεταφοράς και αγγαρείας, διότι αυτοί ήσαν στρατιώται ασχολούμενοι με τους πολέμους. Ησαν αυλικοί του, άρχοντες, ανώτεροι αξιωματικοί και αρχηγοί των αρμάτων του και ιππείς αυτού.

Γ Βασ. 10,23 - Καὶ ἐμεγαλύνθη Σαλωμὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς τῆς γῆς πλούτῳ καὶ φρονήσει.

Γ Βασ. 10,23 - Με αυτά δε τα έργα του, μάλιστα δέ με τον πλούτον και την σοφίαν, εδοξάσθη ο Σολομών περισσότερον από όλους τους βασιλείς της γης.

Γ Βασ. 10,24 - καὶ πάντες βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον Σαλωμὼν τοῦ ἀκοῦσαι τῆς φρονήσεως αὐτοῦ, ἧς ἔδωκε Κύριος τῇ καρδίᾳ αὐτοῦ.

Γ Βασ. 10,24 - Ολοι δε οι βασιλείς της γης εζητούσαν να ίδουν τον Σολομώντα και να ακούσουν την σοφίαν, την οποίαν ο Κυριος είχε δώσει εις την διάνοιαν αυτού.

Γ Βασ. 10,25 - καὶ αὐτοὶ ἔφερον ἕκαστος τὰ δῶρα, σκεύη χρυσᾶ καὶ ἱματισμόν, στακτὴν καὶ ἡδύσματα καὶ ἵππους καὶ ἡμιόνους τὸ κατ᾿ ἐνιαυτὸν ἐνιαυτῷ.

Γ Βασ. 10,25 - Προσέφεραν δε ο καθένας από αυτούς κάθε έτος διάφορα δώρα, σκεύη χρυσά, ιματισμόν, στακτήν και άλλα αρώματα, όπως επίσης ίππους και ημιόνους.

Γ Βασ. 10,26 - καὶ ἦσαν τῷ Σαλωμὼν τέσσαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιάδες ἱππέων, καὶ ἔθετο αὐτὰς ἐν ταῖς πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ βασιλέως ἐν Ἱερουσαλήμ. 26α καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου.

Γ Βασ. 10,26 - Ο Σολομών είχε τέσσαρας χιλιάδας φορβαδας δια τα πολεμικά του άρματα και δώδεκα χιλιάδας ιππείς. Είχε δε κατανείμει τας φορβάδας αυτάς εις τας πόλεις, όπου υπήρχον τα πολεμικά άρματα εκτός εκείνων, τας οποίας είχεν εις την Ιερουσαλήμ.

Γ Βασ. 10,27 - καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν Ἱερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ἔδωκεν ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος,

Γ Βασ. 10,27 - Ο βασιλεύς Σολομών διέθεσε τον χρυσόν και τον άργυρον εις την Ιερουσαλήμ εις τόσην αφθονίαν, ως εάν ήσαν λίθοι. Κατώρθωσεν επίσης, ώστε τα ξύλα εκ της κέδρου να είναι τόσον άφθονα, όπως αι συκάμινοι εις την πεδιάδα των Φιλισταίων.

Γ Βασ. 10,28 - καὶ ἡ ἔξοδος Σαλωμὼν τῶν ἱππέων καὶ ἐξ Αἰγύπτου καὶ ἐκ Θεκουέ, ἔμποροι τοῦ βασιλέως ἐλάμβανον ἐκ Θεκουὲ ἐν ἀλλάγματι·

Γ Βασ. 10,28 - Εστελλε δε και αγόραζεν εις την Θεκουέ της Παλαιστίνης δια τους ιππείς του ίππους προερχομένους από την Αίγυπτον, τους οποίους έφερον εκεί οι έμποροι του βασιλέως. Τους ηγόραζε δέ με ανταλλάγματα.

Γ Βασ. 10,29 - καὶ ἀνέβαινεν ἡ ἔξοδος ἐξ Αἰγύπτου, ἅρμα ἀντὶ ἑκατὸν ἀργυρίου καὶ ἵππος ἀντὶ πεντήκοντα ἀργυρίου· καὶ οὕτως πᾶσι τοῖς βασιλεῦσι Χεττιῒν καὶ βασιλεῦσι Συρίας κατὰ θάλασσαν ἐξεπορεύοντο.

Γ Βασ. 10,29 - Καθε πολεμικόν άρμα, που έβγαινε από την Αίγυπτον, ηγοράζετο εις την Θεκουέ αντί εκατόν αργυρών σίκλων. Καθε δε ίππος αντί πεντήκοντα αργυρών σίκλων. Αυτοί δε οι έμποροι μετέβαινον κατόπιν και μετεπώλουν τα άρματα και τους ίππους, που τους επερίσσευαν, στους Χετταίους βασιλείς και στους βασιλείς της Συρίας και στους κατοικούντας τα παράλια της Μεσογείου Θαλάσσης.

Γ ΒΑΣΙΛΕΙΩΝ 11

Γ Βασ. 11,1 - Καὶ ὁ βασιλεὺς Σαλωμὼν ἦν φιλογύνης. καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι ἑπτακόσιαι καὶ παλλακαὶ τριακόσιαι. καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας καὶ τὴν θυγατέρα Φαραώ, Μωαβίτιδας, Ἀμμανίτιδας, Σύρας καὶ Ἰδουμαίας, Χετταίας καὶ Ἀμοῤῥαίας,

Γ Βασ. 11,1 - Ομως ο βασιλεύς Σολομών αγαπούσε τας γυναίκας. Είχε δε ως συζύγους πρώτης σειράς επτακοσίας ευγενούς καταγωγής και ως

συζύγους δευτέρας σειράς τριακοσίας. Αι δε γυναίκες των ξένων λαών, τας οποίας έλαβεν, ήσαν· Η θυγάτηρ του Φαραώ, ήσαν κόραι Μωαβίτισσαι, Αμμανίτισσαι, όπως επίσης και κόραι από την Συρίαν, την Ιδουμαίαν, από τους Χετταίους και τους Αμορραίους.

Γ Βασ. 11,2 - ἐκ τῶν ἐθνῶν, ὧν ἀπεῖπε Κύριος τοῖς υἱοῖς Ἰσραήλ· οὐκ εἰσελεύσεσθε εἰς αὐτούς, καὶ αὐτοὶ οὐκ εἰσελεύσονται εἰς ὑμᾶς, μὴ ἐκκλίνωσι τὰς καρδίας ὑμῶν ὀπίσω εἰδώλων αὐτῶν· εἰς αὐτοὺς ἐκολλήθη Σαλωμὼν τοῦ ἀγαπῆσαι

Γ Βασ. 11,2 - Ετσι δε επήρε γυναίκας από τα έθνη τα ειδωλολατρικά, πράγμα το οποίον είχεν απαγορεύσει ο Κυριος στους Ισραηλίτας ειπών· “δεν θα συνάψετε με τους ειδωλολατρικούς αυτούς λαούς γάμους ούτε αυτοί θα νυμφευθούν ιδικάς σας γυναίκας, δια να μη εκτρέψουν τας καρδίας σας και ακολουθήσετε την λατρείαν των ειδώλων”. Ο Σολομών όμως προσεκολλήθη και ηγάπησεν, εξ αιτίας των γυναικών αυτών, τα έθνη των.

Γ Βασ. 11,3 - [Καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι ἑπτακόσιαι καὶ παλλακαὶ τριακόσιαι καὶ ἐξέκλιναν γυναῖκες αὐτοῦ τὴν καρδίαν αὐτοῦ.]

Γ Βασ. 11,3 - Είχε δε ως συζύγους πρώτης σειράς επτακοσίας πριγκίπισσας και ως συζύγους δευτέρας σειράς άλλας τριακοσίας. Αυταί δε και εξέκλιναν την καρδίαν του Σολομώντος από τον δρόμον του Θεού.

Γ Βασ. 11,4 - καὶ ἐγενήθη ἐν καιρῷ γήρους Σαλωμὼν καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐξέκλιναν γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν αὐτῶν.

Γ Βασ. 11,4 - Οταν δε ο Σολομών επροχώρησεν εις την ηλικίαν, δεν είχε πλέον την καρδίαν του αγνήν και καθαράν απέναντι του Θεού, όπως ήτο η καρδία του πατρός του Δαυίδ, διότι αι αλλόφυλοι γυναίκες εξέκλιναν αυτόν από την λατρείαν του αληθινού Θεού, ώστε να λατρεύη ξένους ειδωλικους θεούς.

Γ Βασ. 11,5 - τότε ᾠκοδόμησε Σαλωμὼν ὑψηλὸν τῷ Χαμώς, εἰδώλῳ Μωὰβ καὶ τῷ βασιλεῖ αὐτῶν εἰδώλῳ υἱῶν Ἀμμὼν

Γ Βασ. 11,5 - Τοτε ο Σολομών ανοικοδόμησε εις ένα υψηλόν τόπον ιερόν δια τον θεόν Χαμώς, είδωλον των Μωαβιτών, δια δε τον βασιλέα των στο είδωλον των Αμμωνιτών·

Γ Βασ. 11,6 - καὶ τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων,

Γ Βασ. 11,6 - επίσης και δια την Αστάρτην, την αισχράν και αποκρουστικήν θεότητα των Σιδωνίων.

Γ Βασ. 11,7 - καὶ οὕτως ἐποίησε πάσαις ταῖς γυναιξὶν αὐτοῦ ταῖς ἀλλοτρίαις, αἳ ἐθυμίων καὶ ἔθυον τοῖς εἰδώλοις αὐτῶν.

Γ Βασ. 11,7 - Τέτοια ειδωλολατρικά θυσιαστήρια ανοικοδόμησεν ο Σολομών προς χάριν όλων των αλλοφύλων γυναικών του, αι οποίαι και προσέφεραν θυμίαμα και θυσίας στους θεούς των.

Γ Βασ. 11,8 - καὶ ἐποίησε Σαλωμὼν τὸ πονηρὸν ἐνώπιον Κυρίου· οὐκ ἐπορεύθη ὀπίσω Κυρίου ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ.

Γ Βασ. 11,8 - Ετσι δε ο Σολομών διέπραξε την πονηράν αυτήν πράξιν ενώπιον του Κυρίου και δεν επορεύθη ενώπιον του Κυρίου κατά το παράδειγμα του πατρός αυτού Δαυίδ.

Γ Βασ. 11,9 - καὶ ὠργίσθη Κύριος ἐπὶ Σαλωμών, ὅτι ἐξέκλινε καρδίαν αὐτοῦ ἀπὸ Κυρίου Θεοῦ Ἰσραὴλ τοῦ ὀφθέντος αὐτῷ δὶς

Γ Βασ. 11,9 - Δια τούτο και ωργίσθη ο Κυριος εναντίον του Σολομώντος, επειδή η καρδία του είχε πλέον παρεκκλίνει από τον Κυριον τον Θεόν του Ισραηλιτικού λαού, ο οποίος μάλιστα δύο φοράς είχε παρουσιασθή εις αυτόν

Γ Βασ. 11,10 - καὶ ἐντειλαμένου αὐτῷ ὑπὲρ τοῦ λόγου τούτου, τὸ παράπαν μὴ πορευθῆναι ὀπίσω θεῶν ἑτέρων καὶ φυλάξασθαι ποιῆσαι, ἃ ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός, οὐδ᾿ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου κατὰ τὴν καρδίαν Δαυὶδ τοῦ πατρὸς αὐτοῦ.

Γ Βασ. 11,10 - και του είχε δώσει ρητήν εντολήν να προσέξη πολύ και κατ' ουδένα λόγον να μη πορευθή οπίσω ειδωλολατρικών θεών και λατρεύση αυτούς, και του επέστησε την προσοχήν να τηρήση όλα, όσα ο Κυριος τον είχε διατάξει να κάμη. Ετσι δε η καρδία του Σολομώντος δεν υπήρξεν αγνή και καθαρά απέναντι του Κυρίου, όπως ήτο η καρδία του πατρός αυτού του Δαυίδ.

Γ Βασ. 11,11 - καὶ εἶπε Κύριος πρὸς Σαλωμών· ἀνθ᾿ ὧν ἐγένετο ταῦτα μετὰ σοῦ καὶ οὐκ ἐφύλαξας τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου, ἃ ἐνετειλάμην σοι, διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου ἐκ χειρός σου καὶ δώσω αὐτὴν τῷ δούλῳ σου.

Γ Βασ. 11,11 - Είπε δε τότε ο Κυριος προς τον Σολομώντα· "επειδή συ, μολονότι έλαβες τόσας μεγάλας δωρεάς εκ μέρους μου, δεν εφύλαξες όμως τας εντολάς μου και τα προστάγματά μου, τα οποία εγώ σε διέταξα να τηρήσης, δια τούτο εγώ θα διασπάσω την βασιλείαν σου από τα χέρια σου και θα δώσω αυτήν στον δούλον σου.

Γ Βασ. 11,12 - πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω αὐτὰ διὰ Δαυὶδ τὸν πατέρα σου· ἐκ χειρὸς υἱοῦ σου λήψομαι αὐτήν.

Γ Βασ. 11,12 - Αλλά προς χάριν του πατρός σου Δαυίδ δεν θα πραγματοποιήσω την απόφασίν μου αυτήν εις τας ιδικάς σου ημέρας. Θα πάρω όμως την βασιλείαν σου από τα χέρια του παιδιού σου.

Γ Βασ. 11,13 - πλὴν ὅλην τὴν βασιλείαν οὐ μὴ λάβω· σκῆπτρον ἓν δώσω τῷ υἱῷ σου διὰ Δαυὶδ τὸν δοῦλόν μου καὶ διὰ Ἱερουσαλὴμ τὴν πόλιν, ἣν ἐξελεξάμην.

Γ Βασ. 11,13 - Αλλά και από τα χέρια του παιδιού σου δεν θα αφαιρέσω ολόκληρον την βασιλείαν. Θα αφήσω εις αυτό μίαν φυλήν και τούτο προς

χάριν του δούλου μου Δαυίδ και της πόλεως Ιερουσαλήμ, την οποίαν εγώ έχω εκλέξει ως κατοικίαν μου”.

Γ Βασ. 11,14 - Καὶ ἤγειρε Κύριος σατὰν τῷ Σαλωμὼν τὸν Ἄδερ τὸν Ἰδουμαῖον καὶ τὸν Ἐσρὼμ υἱὸν Ἐλιαδαέ, τὸν ἐν Ῥαεμμὰθ Ἀδραζὰρ βασιλέα Σουβὰ κύριον αὐτοῦ· καὶ συνηθροίσθησαν ἐπ᾿ αὐτὸν ἄνδρες, καὶ ἦν ἄρχων συστρέμματος καὶ προκατελάβετο τὴν Δαμασέκ· καὶ ἦσαν σατὰν τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Σαλωμών. καὶ Ἄδερ ὁ Ἰδουμαῖος ἐκ τοῦ σπέρματος τῆς βασιλείας ἐν Ἰδουμαίᾳ·

Γ Βασ. 11,14 - Παρεχώρησεν όμως ο Κυριος να εγερθούν προς τιμωρίαν του Σολομώντος πειρασμοί και πολέμιοι. Τέτοιοι δε πολέμιοι ήσαν ο Αδερ ο Ιδουμαίος, ο Εσρώμ ο υιός του Ελιαδαέ ο εις Ραεμμάθ, ο οποίος ήτο δούλος του Αδραζάρ, βασιλέως Σουβά. Γυρω δε από τον Εσρώμ ως περί αρχηγόν συνεκεντρώθησαν αρκετοί άνδρες και δι' αυτών ο Εσρώμ κατέλαβε την Δαμασκόν. Με ορμητήριον δε την Δαμασκόν κατέστη μάστιξ και πειρασμός των Ισραηλιτών όλας τας ημέρας, κατά τας οποίας εβασίλευεν ο Σολομών. Αλλά και ο Αδερ ο Ιδουμαίος, ο οποίος κατήγετο από βασιλικόν γένος της Ιδουμαίας, υπήρξεν εξ ίσου μάστιξ των Ισραηλιτών.

Γ Βασ. 11,15 - καὶ ἐγένετο ἐν τῷ ἐξολοθρεῦσαι Δαυὶδ τὸν Ἐδὼμ ἐν τῷ πορευθῆναι Ἰωὰβ ἄρχοντα τῆς στρατιᾶς θάπτειν τοὺς τραυματίας, καὶ ἔκοψαν πᾶν ἀρσενικὸν ἐν τῇ Ἰδουμαίᾳ

Γ Βασ. 11,15 - Η ιστορία δε του Αδερ είναι η εξής· Οταν ο Δαυίδ εις κάποιαν εκστρατείαν του εξωλόθρευσε τους Ιδουμαίους και ο αρχιστράτηγος του στρατού του ο Ιωάβ επορεύθη να θάψη τους νεκρούς, οι Ισραηλίται εφόνευσαν τότε κάθε άρρενα Ιδουμαίον.

Γ Βασ. 11,16 - ὅτι ἓξ μῆνας ἐνεκάθητο ἐκεῖ Ἰωὰβ καὶ πᾶς Ἰσραὴλ ἐν τῇ Ἰδουμαίᾳ, ἕως ὅτου ἐξωλόθρευσε πᾶν ἀρσενικὸν ἐν τῇ Ἰδουμαίᾳ-

Γ Βασ. 11,16 - Επί εξ μήνας ο Ιωάβ και ο ισραηλιτικός στρατός είχον εγκατασταθή εις την Ιδουμαίαν, μέχρις ότου εφόνευσαν όλα τα αρσενικά των Ιδουμαίων.

Γ Βασ. 11,17 - καὶ ἀπέδρα Ἄδερ, αὐτὸς καὶ πάντες ἄνδρες Ἰδουμαῖοι τῶν παίδων τοῦ πατρὸς αὐτοῦ μετ᾿ αὐτοῦ, καὶ εἰσῆλθον εἰς Αἴγυπτον· καὶ Ἄδερ παιδάριον μικρόν.

Γ Βασ. 11,17 - Τοτε ο Αδερ, ο οποίος ήτο μικρό παιδί, και όλοι οι Ιδουμαίοι άνδρες του βασιλικού περιβάλλοντος του πατρός του, οι οποίοι διέφυγον την σφαγήν, εδραπέτευσαν και εισήλθαν εις την Αίγυπτον.

Γ Βασ. 11,18 - καὶ ἀνίστανται ἄνδρες ἐκ τῆς πόλεως Μαδιὰμ καὶ ἔρχονται εἰς Φαρὰν καὶ λαμβάνουσιν ἄνδρας μεθ᾿ ἑαυτῶν καὶ ἔρχονται πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ εἰσῆλθεν Ἄδερ πρὸς Φαραώ, καὶ ἔδωκεν αὐτῷ οἶκον καὶ ἄρτους διέταξεν αὐτῷ.

Γ Βασ. 11,18 - Εξεκίνησαν άνδρες από την πόλιν Μαδιάμ, ήλθον εις την Φοράν, παρέλαβον από εκεί και άλλους άνδρας και όλοι μαζή ήλθον προς τον Φαραώ, τον βασιλέα της Αιγύπτου. Ο Αδερ παρουσιάσθη ενώπιον του Φαραώ. Ο Φαραώ του παρεχώρησε προς κατοικίαν οίκον και έδωσεν εντολήν να δίδουν εις αυτόν τροφάς.

Γ Βασ. 11,19 - καὶ εὗρεν Ἅδερ χάριν ἐναντίον Φαραὼ σφόδρα, καὶ ἔδωκεν αὐτῷ γυναῖκα ἀδελφὴν τῆς γυναικὸς αὐτοῦ, ἀδελφὴν Θεκεμίνας τὴν μείζω.

Γ Βασ. 11,19 - Ο Αδερ απέκτησε την ιδιαιτέραν στοργήν και ευμένειαν του Φαραώ, ο οποίος και έδωσεν εις αυτόν ως γυναίκα την αδελφήν της συζύγου του, την μεγαλυτέραν αδελφήν της βασιλίσσης Θεκεμίνας.

Γ Βασ. 11,20 - καὶ ἔτεκεν αὐτῷ ἡ ἀδελφὴ Θεκεμίνας τῷ Ἅδερ τὸν Γανηβὰθ υἱὸν αὐτῆς, καὶ ἐξέθρεψεν αὐτὸν Θεκεμίνα ἐν μέσῳ υἱῶν Φαραώ, καὶ ἦν Γανηβὰθ ἐν μέσῳ υἱῶν Φαραώ.

Γ Βασ. 11,20 - Η αδελφή δε της βασιλίσσης Θεκεμίνας εγέννησεν στον Αδερ ένα υιόν, τον οποίον ωνόμασαν Γανηβάθ. Η βασίλισσα Θεκεμίνα διέθρεψε και ανέθρεψεν αυτόν εν μέσω των υιών του Φαραώ. Ετσι δε ο Γανηβάθ ήτο μεταξύ των υιών του Φαραώ.

Γ Βασ. 11,21 - καὶ Ἅδερ ἤκουσεν ἐν Αἰγύπτῳ ὅτι κεκοίμηται Δαυὶδ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ὅτι τέθνηκεν Ἰωὰβ ὁ ἄρχων τῆς στρατιᾶς· καὶ εἶπεν Ἅδερ πρὸς Φαραώ· ἐξαπόστειλόν με καὶ ἀποστρέψω εἰς τὴν γῆν μου.

Γ Βασ. 11,21 - Οταν ο Αδερ έμεινεν εις την Αίγυπτον, επληροφορήθη ότι είχεν αποθάνει ο Δαυίδ και είχε ταφή με τους πατέρας του. Και ότι επίσης είχεν αποθάνει ο αρχιστράτηγος της στρατιάς του Δαυίδ, ο Ιωάβ. Είπε δε τότε ο Αδερ προς τον Φαραώ· “δος μου την άδειαν να επανέλθω εις την πατρίδα μου”.

Γ Βασ. 11,22 - καὶ εἶπε Φαραὼ τῷ Ἅδερ· τίνι σὺ ἐλαττονῇ μετ᾿ ἐμοῦ; καὶ ἰδοὺ σὺ ζητεῖς ἀπελθεῖν εἰς τὴν γῆν σου. καὶ εἶπεν αὐτῷ Ἅδερ, ὅτι ἐξαποστέλλων ἐξαποστελεῖς με· καὶ ἀνέστρεψεν Ἅδερ εἰς τὴν γῆν αὐτοῦ. αὕτη ἡ κακία, ἣν ἐποίησεν Ἅδερ· καὶ ἐβαρυθύμησεν ἐν Ἰσραὴλ καὶ ἐβασίλευσεν ἐν γῇ Ἐδώμ

Γ Βασ. 11,22 - Ο Φαραώ είπε προς τον Αδερ· “τι σου λείπει εδώ κοντά μου, και συ ζητείς να επανέλθης εις την πατρίδα σου;” Ο Αδερ είπε προς αυτόν· “σε παρακαλώ, δος μου την άδειαν να επιστρέψω”. Και πράγματι με την άδειαν του Φαραώ ο Αδερ επέστρεψεν εις την πατρίδα του, την Ιδουμαίαν. Εκεί ανεκηρύχθη βασιλεύς και με τας επιδρομάς του παρενωχλούσε συνεχώς τους Ισραηλίτας, ώστε οι Ισραηλίται βαρέως έφεραν αυτήν την θλίψιν.

Γ Βασ. 11,23 - [Καὶ ἤγειρε Κύριος σατὰν τῷ Σαλωμὼν τὸν Ῥαζὼν υἱὸν Ἐλιαδαὲ τὸν Βαραμεὲθ Ἀδαδεζὲρ βασιλέα Σουβὰ κύριον αὐτοῦ.

Γ Βασ. 11,23 - Ο Κυριος παρεχώρησεν εν συνεχεία, να αναφανή και άλλος πειρασμός εις βάρος του Σολομώντος. Αυτός δε ήτο ο Ραζών, ο υιός του Ελιαδαέ ο Βαραμεθίτης, ο οποίος είχε καταφύγει στον αυθέντην του τον Αδαδεζέρ, τον βασιλέα της Σουβά.

Γ Βασ. 11,24 - καὶ συνηθροίσθησαν ἐπ᾿ αὐτὸν ἄνδρες καὶ ἦν ἄρχων συστρέμματος ἐν τῷ ἀποκτείνειν Δαυὶδ αὐτούς, καὶ ἐπορεύθησαν εἰς Δαμασκὸν καὶ ἐκάθισαν ἐν αὐτῷ καὶ ἐβασίλευσεν ἐν Δαμασκῷ

Γ Βασ. 11,24 - Αυτός επίσης είχε συγκεντρώσει γύρω του άνδρας, των οποίων έγινεν αρχηγός, όταν ο Δαυίδ είχεν εξολοθρεύσει τους στρατιώτας του κυρίου του. Τωρα αυτοί μετέβησαν εις την Δαμασκόν και ανεκήρυξαν τον Ραζών ως βασιλέα των.

Γ Βασ. 11,25 - καὶ ἐγένετο ἀντικείμενος τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Σαλωμών.

Γ Βασ. 11,25 - Αυτός λοιπόν ο Ραζών υπήρξεν εχθρός των Ισραηλιτών καθ' όλον το διάστημα της ζωής του Σολομώντος.

Γ Βασ. 11 ,26 - Καὶ Ἱεροβοὰμ υἱὸς Ναβὰτ ὁ Ἐφραθὶ ἐκ τῆς Σαριρὰ υἱὸς γυναικὸς χήρας δοῦλος Σαλωμών.

Γ Βασ. 11,26 - Αλλος τρίτος εχθρός ήτο ο Ιεροβοάμ ο υιός του Ναβάτ, ο οποίος κατήγετο εκ της φυλής Εφραίμ από την πόλιν Σαριρά. Ητο δε υιός μιας χήρας γυναικός και δούλος του Σολομώντος.

Γ Βασ. 11,27 - καὶ τοῦτο τὸ πρᾶγμα ὡς ἐπήρατο χεῖρας ἐπὶ βασιλέα Σαλωμών. καὶ ὁ βασιλεὺς Σαλωμὼν ᾠκοδόμησε τὴν ἄκραν, συνέκλεισε τὸν φραγμὸν τῆς πόλεως Δαυὶδ τοῦ πατρὸς αὐτοῦ.

Γ Βασ. 11,27 - Ιδού δέ πως ήλθαν τα πράγματα, ώστε ο Ιεροβοάμ να σηκώση χέρια εναντίον του βασιλέως Σολομώντος. Ο βασιλεύς Σολομών ανοικοδόμησε το φρούριον της πόλεως του Δαυίδ και έκλεισε τον φραγμόν, που ευρίσκετο πλησίον αυτής της πόλεως του πατρός του Δαυίδ.

Γ Βασ. 11,28 - καὶ ὁ ἄνθρωπος Ἱεροβοὰμ ἰσχυρὸς δυνάμει, καὶ εἶδε Σαλωμὼν τὸ παιδάριον ὅτι ἀνὴρ ἔργων ἐστί, καὶ κατέστησεν αὐτὸν ἐπὶ τὰς ἄρσεις οἴκου Ἰωσήφ.

Γ Βασ. 11,28 - Ο άνθρωπος αυτός, ο Ιεροβοάμ, εφάνη εις την περίστασιν αυτήν ρωμαλέος και δυνατός. Ο Σολομών είδε τον νεαρόν ότι ήτο ανήρ έργων, και τον διώρισεν επόπτην εις τας αγγαρείας, τας οποίας εξετέλει τότε η φυλή του Ιωσήφ.

Γ Βασ. 11,29 - καὶ ἐγενήθη ἐν τῷ καιρῷ ἐκείνῳ καὶ Ἱεροβοὰμ ἐξῆλθεν ἐξ Ἱερουσαλὴμ καὶ εὗρεν αὐτὸν Ἀχιὰ ὁ Σηλωνίτης ὁ προφήτης ἐν τῇ ὁδῷ καὶ ἀπέστησεν αὐτὸν ἐκ τῆς ὁδοῦ· καὶ Ἀχιὰ περιβεβλημένος ἱματίῳ καινῷ, καὶ ἀμφότεροι μόνοι ἐν τῷ πεδίῳ.

Γ Βασ. 11,29 - Συνέβη δε κατά την εποχήν εκείνην ο Ιεροβοάμ εξήλθεν από την Ιερουσαλήμ και τον συνήντησε καθ' οδόν ο προφήτης Αχιά ο Σηλωνίτης, ο οποίος και τον απετράβηξεν από τον δρόμον του. Ο Αχιά δε

εφορούσε τότε ένα καινουργές ιμάτιον. Οι δύο μόνοι των ευρίσκοντο εις την πεδιάδα.

Γ Βασ. 11,30 - καὶ ἐπελάβετο Ἀχιὰ τοῦ ἱματίου αὐτοῦ τοῦ καινοῦ τοῦ ἐπ᾿ αὐτῷ καὶ διέῤῥηξεν αὐτὸν δώδεκα ῥήγματα

Γ Βασ. 11,30 - Ο Αχιά επήρε το καινούργιο ιμάτιόν του, το οποίον εφορούσε, το έσχισεν εις δώδεκα κομμάτια,

Γ Βασ. 11,31 - καὶ εἶπε τῷ Ἱεροβοάμ· λάβε σεαυτῷ δέκα ῥήγματα, ὅτι τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἰδοὺ ἐγὼ ῥήσσω τὴν βασιλείαν ἐκ χειρὸς Σαλωμὼν καὶ δώσω σοι δέκα σκῆπτρα.

Γ Βασ. 11,31 - και είπεν στον Ιεροβοάμ· “πάρε δια τον εαυτόν σου ως ιδικά σου δέκα κομμάτια, διότι αυτά λέγει Κυριος ο Θεός του Ισραήλ· Ιδού εγώ θα διασπάσω την βασιλείαν από τα χέρια του Σολομώντος και θα δώσω εις σε τον Ιεροβοάμ την αρχηγίαν των δέκα φυλών.

Γ Βασ. 11,32 - καὶ δύο σκῆπτρα ἔσονται αὐτῷ διὰ τὸν δοῦλόν μου Δαυὶδ καὶ διὰ Ἱερουσαλὴμ τὴν πόλιν, ἣν ἐξελεξάμην ἐν αὐτῇ ἐκ πασῶν φυλῶν Ἰσραήλ,

Γ Βασ. 11,32 - Δυο φυλαί θα μείνουν στον Σολομώντα και τούτο προς χάριν του δούλου μου Δαυίδ και της πόλεως Ιερουσαλήμ, την οποίαν εγώ έχω εκλέξει από όλας τας φυλάς των Ισραηλιτών ως κατοικίαν μου.

Γ Βασ. 11,33 - καὶ ἀνθ᾿ ὧν ἐγκατέλιπέ με καὶ ἐποίησε τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων καὶ τῷ Χαμὼς καὶ τοῖς εἰδώλοις Μωὰβ καὶ τῷ βασιλεῖ αὐτῶν προσοχθίσματι υἱῶν Ἀμμὼν καὶ οὐκ ἐπορεύθη ἐν ταῖς ὁδοῖς μου τοῦ ποιῆσαι τὸ εὐθὲς ἐνώπιον ἐμοῦ, ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ.

Γ Βασ. 11,33 - Αι τιμωρίαι δε αυταί θα επέλθουν εναντίον του Σολομώντος, διότι με εγκατέλιπε και προσέφερε θυσίας εις την Αστάρτην την αισχράν θεάν των Σιδωνίων και στον ειδωλικόν θεόν Χαμώς και εις τα είδωλα των Μωαβιτών και στο αποκρουστικόν είδωλον του βασιλέως των υιών Αμμών και δεν επορεύθη στους δρόμους μου, ώστε να εκτελή το ορθόν ενώπιόν μου, όπως ετήρει αυτό ο Δαυίδ ο πατήρ του.

Γ Βασ. 11,34 - καὶ οὐ μὴ λάβω τὴν βασιλείαν ὅλην ἐκ χειρὸς αὐτοῦ, διότι ἀντιτασσόμενος ἀντιτάξομαι αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, διὰ τὸν Δαυὶδ τὸν δοῦλόν μου, ὃν ἐξελεξάμην αὐτόν.

Γ Βασ. 11,34 - Δεν θα αφαιρέσω όλον το βασίλειόν του από τα χέρια του, αλλά θα αντιταχθώ υπέρ αυτού και θα διατηρήσω αυτόν εις την βασιλείαν του, εφ' όσον χρόνον ζη. Τούτο δε προς χάριν του δούλου μου Δαυίδ, τον οποίον εγώ εξέλεξα ως βασιλέα.

Γ Βασ. 11,35 - καὶ λήψομαι τὴν βασιλείαν ἐκ χειρὸς τοῦ υἱοῦ αὐτοῦ καὶ δώσω σοι τὰ δέκα σκῆπτρα,

Γ Βασ. 11,35 - Μετά τον θάνατον του όμως θα αφαιρέσω την βασιλείαν από τα χέρια του παιδιού του και θα δώσω εις σε την αρχηγίαν των δέκα

φυλών.

Γ Βασ. 11,36 - τῷ δὲ υἱῷ αὐτοῦ δώσω τὰ δύο σκῆπτρα, ὅπως ᾖ θέσις τῷ δούλῳ μου Δαυὶδ πάσας τὰς ἡμέρας ἐνώπιον ἐμοῦ ἐν Ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελεξάμην ἐμαυτῷ τοῦ θέσθαι τὸ ὄνομά μου ἐκεῖ.

Γ Βασ. 11,36 - Εις δε τον υιόν του θα δώσω την αρχηγίαν των δύο φυλών, δια να υπάρχη έτσι προς χάριν του δούλου μου Δαυίδ τύπος εις την πόλιν Ιερουσαλήμ πάντοτε ενώπιόν μου, διότι την πόλιν αυτήν Ιερουσαλήμ εγώ έχω εκλέξει δια τον εαυτόν μου, δια να θέσω και δοξάσω εκεί το όνομά μου.

Γ Βασ. 11,37 - καὶ σὲ λήψομαι καὶ βασιλεύσεις ἐν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ σὺ ἔσῃ βασιλεὺς ἐπὶ τὸν Ἰσραήλ.

Γ Βασ. 11,37 - Θα πάρω, λοιπόν, σε και θα σε εγκαταστήσω ως βασιλέα και θα βασιλεύσης, όπως επιθυμεί η ψυχή σου. Και θα είσαι βασιλεύς στον μεγαλύτερον τμήμα του Ισραηλιτικού λαού.

Γ Βασ. 11,38 - καὶ ἔσται ἐὰν φυλάξῃς πάντα, ὅσα ἂν ἐντείλωμαί σοι, καὶ πορευθῇς ἐν ταῖς ὁδοῖς μου καὶ ποιήσῃς τὸ εὐθὲς ἐνώπιον ἐμοῦ τοῦ φυλάξασθαι τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου, καθὼς ἐποίησε Δαυὶδ ὁ δοῦλός μου, καὶ ἔσομαι μετὰ σοῦ καὶ οἰκοδομήσω σοι οἶκον πιστόν, καθὼς ᾠκοδόμησα τῷ Δαυὶδ.

Γ Βασ. 11,38 - Εάν δε συ τηρήσης όλα όσα εγώ σε διατάσσω και πορευθής στους δρόμους των εντολών μου και κάμης το ορθόν ενώπιόν μου, εάν τηρήσης, δηλαδή, και φυλάξης τας εντολάς και τα προστάγματά μου, όπως ετήρησεν αυτάς ο δούλος μου ο Δαυίδ, εγώ θα είμαι μαζή σου και θα στερεώσω τον βασιλικόν σου οίκον, όπως υπεσχέθηκα και εστερέωσα αυτόν δια τον Δαυίδ”.

Γ Βασ. 11,40 - καὶ ἐζήτησε Σαλωμὼν θανατῶσαι τὸν Ἱεροβοάμ, καὶ ἀνέστη καὶ ἀπέδρα εἰς Αἴγυπτον πρὸς Σουσακὶμ βασιλέα Αἰγύπτου καὶ ἦν ἐν Αἰγύπτῳ, ἕως οὗ ἀπέθανε Σαλωμών.

Γ Βασ. 11,40 - Οταν ο Σολομών έμαθε τα γεγονότα αυτά, ηθέλησε να θανατώση τον Ιεροβοάμ. Αυτός όμως εδραπέτευσεν αμέσως εις την Αίγυπτον προς τον βασιλέα της Αιγύπτου Σουσακίμ. Εμεινε δε εκεί μέχρι της ημέρας, που απέθανε ο Σολομών.

Γ Βασ. 11,41 - Καὶ τὰ λοιπὰ τῶν λόγων Σαλωμὼν καὶ πάντα, ὅσα ἐποίησε, καὶ πᾶσαν τὴν φρόνησιν αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ ῥημάτων Σαλωμών;

Γ Βασ. 11,41 - Τα υπόλοιπα δε από τους λόγους του Σολομώντος και όλα όσα αυτός έκαμε και όλη η σοφία του, ιδού,δεν είναι γραμμένα αυτά στο βιβλίον, το οποίον επιγράφεται “ρήματα Σολομώντος”;

Γ Βασ. 11,42 - καὶ αἱ ἡμέραι, ἅς ἐβασίλευε Σαλωμὼν ἐν Ἱερουσαλὴμ ἐπὶ πάντα Ἰσραὴλ τεσσαράκοντα ἔτη.

Γ Βασ. 11,42 - Το χρονικόν δε διάστημα, κατά το οποίον ο Σολομών εβασίλευσεν εις την Ιερουσαλήμ επί όλου του Ισραηλιτικού λαού ήτο τεσσαράκοντα έτη.

Γ Βασ. 11,43 - καὶ ἐκοιμήθη Σαλωμὼν μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐγενήθη ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβάτ, -καὶ αὐτοῦ ἔτι ὄντος ἐν Αἰγύπτῳ ὡς ἔφυγεν ἐκ προσώπου Σαλωμὼν καὶ ἐκάθητο ἐν Αἰγύπτῳ- κατευθύνει καὶ ἔρχεται εἰς τὴν πόλιν αὐτοῦ εἰς τὴν γῆν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραίμ.

Γ Βασ. 11,43 - Ο Σολομών απέθανε και ανεπαύθη με τους προπάτορας αυτού, έθαψαν δε αυτόν εις την πόλιν Δαυίδ του πατρός του. Ο Ιεροβοάμ, ο υιός Ναβάτ,- ο οποίος ευρίσκετο ακόμη εις την Αίγυπτον, όπου είχε δραπετεύσει, δια να αποφύγη την εκτέλεσίν του από τον Σολομώντα και έμενεν εκεί,- όταν επληροφορήθη τον θάνατον του Σολομώντος, επήρε κατεύθυνσιν προς την πόλιν του εις την χώραν Σαριρά, η οποία ευρίσκετο στο όρος Εφραίμ.

Γ Βασ. 11,44 - καὶ ὁ βασιλεὺς Σαλωμὼν ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσε Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 11,44 - Ετσι δε ο βασιλεύς Σολομών απέθανε και ανεπαύθη με τους προπάτορας αυτού. Εγινε δε βασιλεύς αντ' αυτού ο υιός του ο Ροβοάμ.

Γ ΒΑΣΙΛΕΙΩΝ 12

Γ Βασ. 12,1 - Καὶ πορεύεται βασιλεὺς Ῥοβοὰμ εἰς Σίκιμα, ὅτι εἰς Σίκιμα ἤρχοντο πᾶς Ἰσραὴλ βασιλεῦσαι αὐτόν.

Γ Βασ. 12,1 - Ο βασιλεύς Ροβοάμ μετέβη εις την πόλιν Σικιμα, διότι εκεί είχον έλθει όλοι οι Ισραηλίται, δια να τον ανακηρύξουν ως βασιλέα των δώδεκα φύλων.

Γ Βασ. 12,2 - [Καὶ ἐγένετο ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβὰτ καὶ αὐτοῦ ἔτι ὄντος ἐν Αἰγύπτῳ, καὶ ἔφυγεν ἐκ προσώπου τοῦ βασιλέως Σαλωμὼν καὶ ἐπέστρεψεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου,

Γ Βασ. 12,2 - Ο Ιεροβοάμ, ο υιός του Ναβάτ, ο οποίος ήτο ακόμη εις την Αίγυπτον, όπου είχε καταφύγει δια να διαφύγη την οργήν του Σολομώντος, όταν επληροφορήθη αυτά τα γεγονότα, επέστρεψεν από την Αίγυπτον και ήλθεν εις την πατρίδα του.

Γ Βασ. 12,3 - [καὶ ἀπέστειλαν καὶ ἐκάλεσαν αὐτὸν καὶ ἦλθεν Ἱεροβοὰμ καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραήλ.] καὶ ἐλάλησεν ὁ λαὸς πρὸς τὸν βασιλέα Ῥοβοὰμ λέγοντες·

Γ Βασ. 12,3 - Εστειλαν δε οι Ισραηλίται και προσεκάλεσαν αυτόν εις την συγκέντρωσίν των. Ο Ιεροβοάμ προσήλθε πράγματι εκεί, όπου ήτο η

συγκέντρωσις όλων των Ισραηλιτών. Αντιπρόσωποι δε όλου του λαού, και μάλιστα των δέκα φυλών, ωμίλησαν προς τον Ροβοάμ και του είπαν ·

Γ Βασ. 12,4 - ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν κούφισον ἀπὸ τῆς δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς καὶ ἀπὸ τοῦ κλοιοῦ αὐτοῦ τοῦ βαρέως, οὗ ἔδωκεν ἐφ᾿ ἡμᾶς, καὶ δουλεύσομέν σοι.

Γ Βασ. 12,4 - “ο πατήρ σου κατεβάρυνεν ημάς με σκληρόν ζυγόν. Συ, σε παρακαλούμεν, ανακούφισέ μας τώρα από την σκληράν αυτήν δουλείαν, που μας είχεν επιβάλει ο πατήρ σου, και από τον βαρύν αυτόν ζυγόν, τον οποίον επέβαλεν εις ημάς. Ημείς δε προθύμως θα γίνωμεν δούλοι σου”.

Γ Βασ. 12,5 - καὶ εἶπεν πρὸς αὐτούς· ἀπέλθετε ἕως ἡμερῶν τριῶν καὶ ἀναστρέψατε πρός με· καὶ ἀπῆλθον.

Γ Βασ. 12,5 - Ο Ροβοάμ απάντησε προς αυτούς· “πηγαίνετε τώρα και μετά τρεις ημέρας επιστρέψατε προς εμέ”. Εκείνοι πράγματι απήλθον.

Γ Βασ. 12,6 - καὶ ἀπήγγειλεν ὁ βασιλεὺς τοῖς πρεσβυτέροις, οἳ ἦσαν παρεστῶτες ἐνώπιον Σαλωμὼν τοῦ πατρὸς αὐτοῦ ἔτι ζῶντος αὐτοῦ λέγων· πῶς ὑμεῖς βουλεύεσθε καὶ ἀποκριθῶ τῷ λαῷ τούτῳ λόγον;

Γ Βασ. 12,6 - Ο βασιλεύς ηρώτησε τους πρεσβυτέρους, οι οποίοι ήσαν σύμβουλοι του πατρός του, καθ' ον χρόνον ακόμη εκείνος εζούσε, και τους είπε· “πως και τι με συμβουλεύετε σεις να απαντήσω στον λαόν αυτόν επί του ζητήματός των;”

Γ Βασ. 12,7 - καὶ ἐλάλησαν πρὸς αὐτὸν λέγοντες· εἰ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἔσῃ δοῦλος τῷ λαῷ τούτῳ καὶ δουλεύσεις αὐτοῖς καὶ λαλήσεις πρὸς αὐτοὺς λόγους ἀγαθούς, καὶ ἔσονταί σοι δοῦλοι πάσας τὰς ἡμέρας.

Γ Βασ. 12,7 - Οι πρεσβύτεροι του απήντησαν και είπαν· “εάν κατά την ημέραν αυτήν προσφέρης αυτήν την εκδούλευσιν στον λαόν σου και εξυπηρετήσης αυτούς και ομιλήσης προς αυτούς λόγους καλωσύνης, αυτοί θα είναι δούλοι σου εις όλας τας ημέρας της ζωής σου”.

Γ Βασ. 12,8 - καὶ ἐγκατέλιπε τὴν βουλὴν τῶν πρεσβυτέρων, ἃ συνεβουλεύσαντο αὐτῷ, καὶ συνεβουλεύσατο μετὰ τῶν παιδαρίων τῶν ἐκτραφέντων μετ᾿ αὐτοῦ τῶν παρεστηκότων πρὸς προσώπου αὐτοῦ

Γ Βασ. 12,8 - Ο Ροβοάμ όμως εγκατέλιπε την συμβουλήν των πρεσβυτέρων και δεν έδωσε καμμίαν σημασίαν εις αυτά, που εκείνοι τον είχαν συμβουλεύσει. Εζήτησε δε την συμβουλήν μερικών νεαρών, με τους οποίους είχεν ανατραφή και οι οποίοι συνεχώς τον περιεστοίχιζον,

Γ Βασ. 12,9 - καὶ εἶπεν αὐτοῖς· τί ὑμεῖς συμβουλεύετε, καὶ τί ἀποκριθῶ τῷ λαῷ τούτῳ τοῖς λέγουσι πρός με λεγόντων· κούφισον ἀπὸ τοῦ κλοιοῦ, οὗ ἔδωκεν ὁ πατήρ σου ἐφ᾿ ἡμᾶς;

Γ Βασ. 12,9 - και τους ηρώτησε· “σεις τι με συμβουλεύετε να απαντήσω στους εκπροσώπους του λαού, οι οποίοι ειπόν προς εμέ· Ανακούφισέ μας από τον ζυγόν, τον οποίον έχει επιβάλει ο πατήρ σου εις ημάς”.

Γ Βασ. 12,10 - καὶ ἐλάλησαν πρὸς αὐτὸν τὰ παιδάρια τὰ ἐκτραφέντα μετ᾿ αὐτοῦ, οἱ παρεστηκότες πρὸ προσώπου αὐτοῦ λέγοντες· τάδε λαλήσεις τῷ λαῷ τούτῳ τοῖς λαλήσασι πρός σε λέγοντες· ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν καὶ σὺ νῦν κούφισον ἀφ᾿ ἡμῶν, τάδε λαλήσεις πρὸς αὐτούς· ἡ μικρότης μου παχυτέρα τῆς ὀσφύος τοῦ πατρός μου·

Γ Βασ. 12,10 - Οι νεαροί εκείνοι, που είχαν μεγαλώσει μαζή με αυτόν και τον περιεστοίχιζαν συνεχώς, του είπαν· “Αυτά θα απαντήσης στους αντιπροσώπους αυτούς του λαού, οι οποίοι σου είπαν· Ο πατέρας σου κατεβάρυνεν ημάς με σκληρόν ζυγόν και τώρα σε παρακαλούμεν ελάφρωσέ μας από αυτόν. Αυτά, λοιπόν, θα απαντήσης προς εκείνους. Το μικρότερόν μου δάκτυλον είναι παχύτερον και ισχυρότερον από την μέσην του πατρός μου.

Γ Βασ. 12,11 - καὶ νῦν ὁ πατήρ μου ἐπεσάσσετο ὑμᾶς κλοιῷ βαρεῖ, κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξιν, ἐγὼ δὲ παιδεύσω ὑμᾶς ἐν σκορπίοις.

Γ Βασ. 12,11 - Και να το νόημα των λόγων μου· Ο πατήρ μου επέβαλλεν επάνω σας, σαν σαμάρι, βαρύν ζυγόν. Εγώ θα προσθέσω και θα κάμω βαρύτερον τον ζυγόν σας. Ο πατήρ μου σας ετιμωρούσε με απλά μαστίγια, εγώ θα σας τιμωρήσω με αγκαθωτά μαστίγια”.

Γ Βασ. 12,12 - καὶ παρεγένοντο πᾶς Ἰσραὴλ πρὸς τὸν βασιλέα Ῥοβοὰμ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καθότι ἐλάλησεν αὐτοῖς ὁ βασιλεὺς λέγων· ἀναστράφητε πρός με τῇ ἡμέρᾳ τῇ τρίτῃ.

Γ Βασ. 12,12 - Κατά την τρίτην ημέραν προσήλθον αντιπρόσωποι των δέκα φυλών προς τον βασιλέα Ροβοάμ, όπως είχε παραγγείλει εις αυτούς ο βασιλεύς λέγων· Να επανέλθετε εις εμέ κατά την τρίτην ημέραν.

Γ Βασ. 12,13 - καὶ ἀπεκρίθη ὁ βασιλεὺς πρὸς τὸν λαὸν σκληρά, καὶ ἐγκατέλιπε Ῥοβοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων, ἃ συνεβουλεύσαντο αὐτῷ,

Γ Βασ. 12,13 - Ο βασιλεύς Ροβοάμ απήντησε προς αυτούς με τρόπον σκληρόν. Κατεφρόνησεν ο Ροβοάμ την συμβουλήν των πρεσβυτέρων, όσα εκείνοι τον είχαν συμβουλεύσει,

Γ Βασ. 12,14 - καὶ ἐλάλησε πρὸς αὐτοὺς κατὰ τὴν βουλὴν τῶν παιδαρίων λέγων· ὁ πατήρ μου ἐβάρυνε τὸν κλοιὸν ὑμῶν, κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις.

Γ Βασ. 12,14 - και ωμίλησε προς αυτούς σύμφωνα με την βουλήν των νεαρών λέγων· “ο πατήρ μου σας εβάρυνε με σκληρόν ζυγόν, εγώ θα προσθέσω και θα κάμω βαρύτερον τον ζυγόν σας. Ο πατήρ μου σας ετιμωρούσε με μάστιγας, εγώ θα σας τιμωρώ με μάστιγας αγκαθωτάς”.

Γ Βασ. 12,15 - καὶ οὐκ ἤκουσεν ὁ βασιλεὺς τοῦ λαοῦ, ὅτι ἦν μεταστροφὴ παρὰ Κυρίου, ὅπως στήσῃ τὸ ῥῆμα αὐτοῦ, ὃ ἐλάλησεν ἐν χειρὶ Ἀχιὰ τοῦ Σηλωνίτου περὶ Ἱεροβοὰμ υἱοῦ Ναβάτ.

Γ Βασ. 12,15 - Ετσι δε ο βασιλεύς δεν έδωσε προσοχήν, δεν εδέχθη την παράκλησιν του λαού, διότι τούτο ήτο και τροπή των πραγμάτων υπό του Κυρίου, ώστε να εκπληρωθή ο λόγος του, τον οποίον είπεν ο Κυριος δια του Αχιά του Σηλωνίτου προς τον Ιεροβοάμ, τον υιόν του Ναβάτ.

Γ Βασ. 12,16 - καὶ εἶδον πᾶς Ἰσραήλ, ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς αὐτῶν, καὶ ἀπεκρίθη ὁ λαὸς τῷ βασιλεῖ λέγων· τίς ἡμῖν μερὶς ἐν Δαυίδ; καὶ οὐκ ἔστιν ἡμῖν κληρονομία ἐν υἱῷ Ἰεσσαί· ἀπότρεχε, Ἰσραήλ, εἰς τὰ σκηνώματά σου· νῦν βόσκε τὸν οἶκόν σου, Δαυίδ. καὶ ἀπῆλθεν Ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ.

Γ Βασ. 12,16 - Αι δέκα φυλαί του Ισραήλ, όταν επληροφορήθησαν, ότι ο βασιλεύς δεν εδέχθη την παράκλησίν των, απήντησαν προς τον βασιλέα και του είπον· “τι μερίδιον και ποίαν σχέσιν ημπορεί να έχωμεν ημείς με τους απογόνους του Δαυίδ; Καμμίαν κοινήν κληρονομίαν δεν έχομεν με τους απογόνους του Δαυίδ, του υιού Ιεσσαί. Και τώρα σεις, αι δέκα φυλαί του Ισραήλ, επανέλθετε εις τας κατοικίας σας. Συ δε Ροβοάμ, απόγονε του Δαυίδ, ποίμαινε μόνον την φυλήν σου”. Αι δέκα φυλαί του Ισραηλιτικού λαού επέστρεψαν εις τας κατοικίας των.

Γ Βασ. 12,18 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς τὸν Ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου, καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις καὶ ἀπέθανε· καὶ ὁ βασιλεὺς Ῥοβοὰμ ἔφθασεν ἀναβῆναι τοῦ φυγεῖν εἰς Ἱερουσαλήμ.

Γ Βασ. 12,18 - Επειτα από τα γεγονότα αυτά ο βασιλεύς Ροβοάμ έστειλε δια συμβιβασμόν προς τας δέκα φυλάς τον Αδωνιράμ, ο οποίος ήτο επόπτης των αχθοφορικών έργων. Αυτόν όμως οι Ισραηλίται τον ελιθοβόλησαν και τον εφόνευσαν. Μολις δε ο ίδιος ο βασιλεύς Ροβοάμ επρόλαβε να ανεβή στο άρμα του και να καταφύγη εις Ιερουσαλήμ.

Γ Βασ. 12,19 - καὶ ἠθέτησεν Ἰσραὴλ εἰς τὸν οἶκον Δαυὶδ ἕως τῆς ἡμέρας ταύτης.

Γ Βασ. 12,19 - Ετσι απεστάτησαν αι δέκα φυλαί του Ισραήλ από τον βασιλικόν οίκον του Δαυίδ έως την ημέραν αυτήν.

Γ Βασ. 12,20 - καὶ ἐγένετο ὡς ἤκουσε πᾶς Ἰσραὴλ ὅτι ἀνέκαμψεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου, καὶ ἀπέστειλαν καὶ ἐκάλεσαν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ ἐβασίλευσαν αὐτὸν ἐπὶ Ἰσραήλ· καὶ οὐκ ἦν ὀπίσω οἴκου Δαυὶδ πάρεξ σκήπτρου Ἰούδα καὶ Βενιαμὶν μόνοι.

Γ Βασ. 12,20 - Οταν δε αι δέκα φυλαί του Ισραηλιτικού λαού επληροφορήθησαν, ότι επανήλθεν από την Αίγυπτον ο Ιεροβοάμ, έστειλαν και τον προσεκάλεσαν εις την συγκέντρωσίν των και τον ανεκήρυξαν βασιλέα επί των δέκα φυλών. Ετσι δε δεν απέμειναν με την οικογένειαν Δαυίδ υπό την βασιλείαν του Ροβοάμ, ει μη μόνον αι φυλαί του Ιούδα και του Βενιαμίν.

Γ Βασ. 12,21 - καὶ Ῥοβοὰμ εἰσῆλθεν εἰς Ἱερουσαλὴμ καὶ ἐξεκκλησίασε τὴν συναγωγὴν Ἰούδα καὶ σκῆπτρον Βενιαμὶν ἑκατὸν καὶ εἴκοσι χιλιάδας νεανιῶν ποιούντων πόλεμον, τοῦ πολεμεῖν πρὸς οἶκον Ἰσραήλ, ἐπιστρέψαι τὴν βασιλείαν Ῥοβοὰμ υἱῷ Σαλωμών.

Γ Βασ. 12,21 - Ο βασιλεύς Ροβοάμ εισήλθε κατόπιν αυτών εις την Ιερουσαλήμ και συνεκέντρωσε όλους τους άνδρας των φυλών Ιούδα και Βενιαμίν, οι οποίοι ήσαν ικανοί να πολεμήσουν, εκατόν είκοσιν χιλιάδας άνδρας, δια να πολεμήση εναντίον των δέκα φυλών του Ισραηλιτικού λαού, με τον σκοπόν να επιστραφή και αποδοθή η βασιλεία στον Ροβοάμ, τον υιόν του Σολομώντος.

Γ Βασ. 12,22 - καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμαίαν ἄνθρωπον τοῦ Θεοῦ λέγων·

Γ Βασ. 12,22 - Τοτε ωμίλησεν ο Κυριος προς τον Σαμαίαν άνθρωπον του Θεού και του είπε·

Γ Βασ. 12,23 - εἰπὸν τῷ Ῥοβοὰμ υἱῷ Σαλωμὼν βασιλεῖ Ἰούδα καὶ πρὸς πάντα οἶκον Ἰούδα καὶ Βενιαμὶν καὶ τῷ καταλοίπῳ τοῦ λαοῦ λέγων·

Γ Βασ. 12,23 - “Ειπέ εις τον βασιλέα Ροβοάμ, τον υιόν του Σολομώντος, και εις όλην την φυλήν του Ιούδα και του Βενιαμίν, όπως επίσης και προς όσους εκ των άλλων φυλών ευρίσκονται μαζή των, τα εξής·

Γ Βασ. 12,24 - τάδε λέγει Κύριος· οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε μετὰ τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραήλ· ἀποστρεφέτω ἕκαστος εἰς τὸν οἶκον ἑαυτοῦ, ὅτι παρ᾿ ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου Κυρίου καὶ κατέπαυσαν τοῦ πορευθῆναι κατὰ τὸ ῥῆμα Κυρίου.

Γ Βασ. 12,24 - Αυτά διατάσσει ο Κυριος. Δεν θα κάμετε εκστρατείαν και δεν θα πολεμήσετε εναντίον των αδελφών σας, των δέκα φυλών του Ισραήλ. Ο καθένας σας να επανέλθη στον οίκον του, διότι κατόπιν ιδικής μου αποφάσεως επραγματοποίηθη το γεγονός της αποσπάσεως των δέκα φυλών”. Αι δύο φυλαί Ιούδα και Βενιαμίν υπήκουσαν εις την εντολήν του Κυρίου και σύμφωνα με αυτήν εματαίωσαν την εκστρατείαν των εναντίον των δέκα φυλών.

Γ Βασ. 12,24α - Καὶ ὁ βασιλεὺς Σαλωμὼν κοιμᾶται μετὰ τῶν πατέρων αὐτοῦ καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ. καὶ ἐβασίλευσε Ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ ἐν Ἱερουσαλὴμ υἱὸς ὢν ἑκκαίδεκα ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ δώδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Νααναν, θυγάτηρ Ἀνὰν υἱοῦ Ναὰς βασιλέως υἱῶν Ἀμμών· καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ οὐκ ἐπορεύθη ἐν ὁδῷ Δαυὶδ τοῦ πατρὸς αὐτοῦ.

Γ Βασ. 12,24^{α} - Ο βασιλεύς Σολομών εκοιμήθη με τους προπάτορας αυτού και ετάφη στους προγονικούς τάφους εις την πόλιν Δαυίδ. Εγινε δε αντ' αυτού βασιλεύς της Ιερουσαλήμ ο υιός του Ροβοάμ εις ηλικίαν δέκα εξ

ετών. Επί δώδεκα έτη εβασίλευσεν εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Νaανάν, ήτο θυγάτηρ του Ανάν, υιού του Ναάς βασιλέως των Αμωνιτών. Ο Ροβοάμ διέπραξε πονηρίας ενώπιον του Κυρίου και δεν επορεύθη κατά την οδόν του Δαυίδ, του πατρός του.

Γ Βασ. 12,24β - καὶ ἦν ἄνθρωπος ἐξ ὄρους Ἐφραὶμ δοῦλος τῷ Σαλωμών, καὶ ὄνομα αὐτῷ Ἱεροβοάμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Σαριρά, γυνὴ πόρνη· καὶ ἔδωκεν αὐτὸν Σαλωμὼν εἰς ἄρχοντα σκυτάλης ἐπὶ ἄρσεις οἴκου Ἰωσήφ, καὶ ᾠκοδόμησε τῷ Σαλωμὼν τὴν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραίμ, καὶ ἦσαν αὐτῶ τριακόσια ἅρματα ἵππων· οὗτος ᾠκοδόμησε τὴν ἄκραν ἐν ταῖς ἄρσεσιν οἴκου Ἐφραὶμ, οὗτος συνέκλεισε τὴν πόλιν Δαυὶδ καὶ ἦν ἐπαιρόμενος ἐπὶ τὴν βασιλείαν.

Γ Βασ. 12,24β - Εζούσε τότε κάποιος άνθρωπος καταγόμενος από την ορεινήν περιοχήν της φυλής του Εφραίμ, δούλος του Σολομώντος. Αυτός ωνομάζετο Ιεροβοάμ, η δε μητέρα του ωνομάζετο Σαριρά και ήτο γυνή πόρνη. Αυτόν ο Σολομών είχε διορίσει επόπτην επί των μεταφορών, δια να επιβλέπη εις τας αγγαρείας των ανδρών της φυλής του Ιωσήφ. Ανοικοδόμησεν αυτός τότε, τη εντολή του Σολομώντος, την πόλιν Σαριρά εις την ορεινήν περιοχήν της φυλής Εφραίμ και είχεν υπό την δικαιοδοσίαν του τριακόσια πολεμικά άρματα. Αυτός επίσης ανοικοδόμησε και το φρούριον της Ιερουσαλήμ με αγγαρείας των ανδρών της φυλής Εφραίμ. Επέβλεψε δε και απεπεράτωσε και την οχύρωσιν της πόλεως Δαυίδ. Αυτός, λοιπόν, υπερηφανεύετο δια τα έργα του και εφιλοδοξούσε να γίνη βασιλεύς του Ισραηλιτικού λαού.

Γ Βασ. 12,24γ - καὶ ἐζήτει Σαλωμὼν θανατῶσαι αὐτόν, καὶ ἐφοβήθη καὶ ἀπέδρα αὐτὸς πρὸς Σουσακὶμ βασιλέα Αἰγύπτου καὶ ἦν μετ᾿ αὐτοῦ ἕως ἀπέθανε Σαλωμών.

Γ Βασ. 12,24γ - Ο Σολομών, όταν επληροφορήθη τας επιδιώξεις και φιλοδοξίας αυτάς του Ιεροβοάμ, εζήτησε να τον συλλάβη και να τον θανατώση. Αυτός δε φοβηθείς εδραπέτευσε και κατέφυγεν στον Σουσακίμ βασιλέα της Αιγύπτου, κοντά στον οποίον παρέμεινεν, έως ότου απέθανεν ο Σολομών.

Γ Βασ. 12,24δ - καὶ ἤκουσεν Ἱεροβοὰμ ἐν Αἰγύπτῳ ὅτι τέθνηκε Σαλωμών, καὶ ἐλάλησεν εἰς τὰ ὦτα Σουσακὶμ βασιλέως Αἰγύπτου λέγων· ἐξαπόστειλόν με καὶ ἀπελεύσομαι ἐγὼ εἰς τὴν γῆν μου· καὶ εἶπεν αὐτῷ Σουσακίμ· αἴτησαί τι αἴτημα καὶ δώσω σοι.

Γ Βασ. 12,24δ - Ο Ιεροβοάμ επληροφορήθη εις την Αίγυπτον, όπου παρέμενε, τον θάνατον του Σολομώντος. Ηλθε τότε και ωμίλησε προς τον Σουσακίμ βασιλέα της Αιγύπτου λέγων· “δος μου την άδειαν να φύγω, δια να επανέλθω και εγώ εκ την πατρίδα μου”. Είπε προς αυτόν ο Σουσακίμ· “ζήτησέ μου ως δώρον κάτι, δια να σου το προσφέρω και να μη αναχωρήσης”.

Γ Βασ. 12,24ε - καὶ Σουσακὶμ ἔδωκε τῷ Ἱεροβοὰμ τὴν Ἀνώ, ἀδελφὴν Θεκεμίνας τὴν πρεσβυτέραν τῆς γυναικὸς αὐτοῦ αὐτῷ εἰς γυναῖκα· αὕτη ἦν μεγάλη ἐν μέσῳ τῶν θυγατέρων τοῦ βασιλέως καὶ ἔτεκε τῷ Ἱεροβοὰμ τὸν Ἀβιὰ υἱὸν αὐτοῦ.

Γ Βασ. 12,24[ε] - Ο Σουσακίμ εδωσε στον Ιεροβοάμ ως σύζυγον την Ανώ, αδελφήν πρεσβυτέραν της Θεκεμίνας, συζύγου του βασιλέως. Αυτή εθεωρείτο επίσημος μεταξύ των θυγατέρων του Φαραώ. Εγέννησε δε στον Ιεροβοάμ υιόν, ο οποίος ωνομάσθη Αβιά.

Γ Βασ. 12,24ζ - καὶ εἶπεν Ἱεροβοὰμ πρὸς Σουσακίμ· ὄντως ἐξαπόστειλόν με καὶ ἀπελεύσομαι. καὶ ἐξῆλθεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου καὶ ἦλθεν εἰς γῆν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραίμ· καὶ συνάγεται ἐκεῖ πᾶν σκῆπτρον Ἐφραίμ· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἱεροβοὰμ χάρακα.

Γ Βασ. 12,24ζ - Ο Ιεροβοάμ παρεκάλεσεν επιμόνως τον Σουσακίμ λέγων· “είναι ανάγκη οπωσδήποτε να μου δώσης την άδειαν να φύγω”. Ο Ιεροβοάμ ανεχώρησεν από την Αίγυπτον, και ήλθεν εις την πόλιν Σαριρά, η οποία ευρίσκετο στο όρος Εφραίμ. Εκεί δε συνηθροίσθη προς υποδοχήν του όλη η φυλή του Εφραίμ. Ο Ιεροβοάμ κατεσκεύασεν εκεί ένα οχυρωματικόν έργον.

Γ Βασ. 12,24η - Καὶ ἠρώστησε τὸ παιδάριον αὐτοῦ ἀῤῥωστίαν κραταιὰν σφόδρα, καὶ ἐπορεύθη Ἱεροβοὰμ ἐρωτῆσαι περὶ τοῦ παιδαρίου· καὶ εἶπε πρὸς Ἀνὼ τὴν γυναῖκα αὐτοῦ· ἀνάστηθι καὶ πορεύου, ἐπερώτησον τὸν Θεὸν περὶ τοῦ παιδαρίου, εἰ ζήσεται ἐκ τῆς ἀῤῥωστίας αὐτοῦ.

Γ Βασ. 12,24[η] - Το μικρό παιδί του Ιεροβοάμ ησθένησεν από μίαν επικίνδυνον και βαρείαν ασθένειαν. Ο Ιεροβοάμ απεφάσισε να ερωτήση τον Θεόν δια την υγείαν του παιδιού του. Και ειπέ προς την Ανώ την γυναίκα του· “σήκω, πήγαινε και ερώτησε τον Θεόν δια το παιδί μας, εάν θα ζήση από την ασθένειάν του αυτήν”.

Γ Βασ. 12,24θ - καὶ ἄνθρωπος ἦν ἐν Σηλὼμ καὶ ὄνομα αὐτῷ Ἀχιά, καὶ οὗτος ἦν υἱὸς ἑξήκοντα ἐτῶν, καὶ ῥῆμα Κυρίου μετ᾽ αὐτοῦ. καὶ εἶπεν Ἱεροβοὰμ πρὸς τὴν γυναῖκα αὐτοῦ· ἀνάστηθι καὶ λαβὲ εἰς τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ Θεοῦ ἄρτους καὶ κολλύρια τοῖς τέκνοις αὐτοῦ καὶ σταφυλὴν καὶ στάμνον μέλιτος. καὶ ἀνέστη ἡ γυνὴ

Γ Βασ. 12,24θ - Εις την Σηλώμ εζούσεν ενας άνθρωπος, ο οποίος ωνομάζετο Αχιά. Ητο δε ηλικίας εξήκοντα ετών και ο Θεός ωμιλούσε μαζή του. Είπεν ο Ιεροβοάμ εις την γυναίκα του· “σήκω, πάρε μαζή σου δια τον άνθρωπον αυτόν του Θεού άρτους και κουλλούρια. Δια δε τα τέκνα του πάρε ξηράν σταφίδα και μία στάμνα μέλι”.

Γ Βασ. 12,24ι - καὶ ἔλαβεν εἰς τὴν χεῖρα αὐτῆς ἄρτους καὶ δύο κολλύρια καὶ σταφυλὴν καὶ στάμνον μέλιτος τῷ Ἀχιά· καὶ ὁ ἄνθρωπος πρεσβύτερος, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἠμβλυώπουν τοῦ ἰδεῖν,

Γ Βασ. 12,24ι - Η σύζυγος εσηκώθη, επήρε μαζή της άρτους, δύο κουλλούρες, σταφίδα και μίαν στάμναν μέλι δια τον Αχιά. Ο άνθρωπος αυτός ήτο γέρων και οι οφθαλμοί του έβλεπαν θαμπά.

Γ Βασ. 12,24κ - καὶ ἀνέστη ἐκ Σαριρὰ καὶ πορεύεται, καὶ ἐγένετο ἐλθούσης αὐτῆς εἰς τὴν πόλιν πρὸς Ἀχιὰ τὸν Σηλωνίτην καὶ εἶπεν Ἀχιὰ τῷ παιδαρίῳ αὐτοῦ· ἔξελθε δὴ εἰς ἀπαντὴν Ἀνὼ τῇ γυναικὶ Ἱεροβοὰμ καὶ ἐρεῖς αὐτῇ· εἴσελθε καὶ μὴ στῇς, ὅτι τάδε λέγει Κύριος· σκληρὰ ἐγὼ ἐπαποστέλλω ἐπὶ σέ.

Γ Βασ. 12,24κ - Η γυνή του Ιεροβοάμ ανεχώρησεν από την Σαριρά και ήλθε προς αυτόν. Οταν δε η γυνή αυτή εισήρχετο εις την Σηλώ προς τον Αχιά, αυτός είπε προς τον υπηρέτην του· “έβγα από την οικίαν και θα συναντήσης την Ανώ, την σύζυγον του Ιεροβοάμ, και ειπέ εις αυτήν· Πηγαινε στον Αχιά και να μη χασομερήσης εκεί, διότι αυτά λέγει ο Κυριος· Θα στείλω εναντίον σου σκληράς θλίψεις”.

Γ Βασ. 12,24λ - καὶ εἰσῆλθεν Ἀνὼ πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ, καὶ εἶπεν αὐτῇ Ἀχιά· ἱνατί ἐνήνοχάς μοι ἄρτους καὶ σταφυλὴν καὶ κολλύρια καὶ στάμνον μέλιτος; τάδε λέγει Κύριος· ἰδοὺ σὺ ἀπελεύσῃ ἀπ᾽ ἐμοῦ, καὶ ἔσται εἰσελθούσης σου τὴν πόλιν εἰς Σαριρὰ καὶ τὰ κοράσιά σου ἐξελεύσονταί σοι εἰς συνάντησιν καὶ ἐροῦσί σοι· τὸ παιδάριον τέθνηκεν.

Γ Βασ. 12,24λ - Η Ανώ παρουσιάσθη εν τούτοις στον άνθρωπον του Θεού και ο Αχιά είπε προς αυτήν· “προς ποίον σκοπόν μου έφερες άρτους, σταφίδα, κουλλούρας και στάμναν με μέλι; Αυτά δεν θα αλλάξουν την βουλήν του Θεού. Διότι αυτά λέγει ο Κυριος· Ιδού, συ θα φύγης από εμέ και όταν θα εισέρχεσαι εις την πόλιν Σαριρά, αι δούλαι σου θα εξέλθουν προς συνάντησίν σου και θα σου είπουν· Το παιδί απέθανε.

Γ Βασ. 12,24μ - ὅτι τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐξολοθρεύσω τοῦ Ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον, καὶ ἔσονται οἱ τεθνηκότες τοῦ Ἱεροβοὰμ ἐν τῇ πόλει καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγεται τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὸ παιδάριον κόψονται· οὐαὶ Κύριε, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ Κυρίου.

Γ Βασ. 12,24μ - Διότι αυτά λέγει ο Κυριος· Ιδού, εγώ θα εξολοθρεύσω από την οικογένειαν του Ιεροβοάμ κάθε αρσενικόν. Οσοι δε εκ της οικογενείας του Ιεροβοάμ θα αποθάνουν εις την πόλιν, θα φαγωθούν από τα σκυλιά. Οσοι δε θα αποθάνουν στους αγρούς, θα φαγωθούν από τα πτηνά του ουρανού. Δια δε το παιδίον θα πενθήσουν και θα ολολύξουν λέγοντες· Αλλοίμονον, Κυριε. Δια το παιδίον όμως αυτό κάτι καλόν θα γίνη εκ μέρους του Κυρίου, ότι δηλαδή δεν θα φαγωθή το σώμα του από τα σκυλιά”.

Γ Βασ. 12,24ν - καὶ ἀπῆλθεν ἡ γυνή, ὡς ἤκουσε, καὶ ἐγένετο ὡς εἰσῆλθεν εἰς τὴν Σαριρά, καὶ τὸ παιδάριον ἀπέθανε, καὶ ἐξῆλθεν ἡ κραυγὴ εἰς ἀπαντήν.

Γ Βασ. 12,24ν - Η γυναίκα ανεχώρησεν από τον Αχιά, όταν ήκουσεν αυτά. Μολις δε εισήλθεν εις Σαριρά, το παιδίον απέθανε και εξήλθαν αι δούλαι προς προϋπάντησίν της ολολύζουσαι με μεγάλην φωνήν.

Γ Βασ. 12, 24ξ - Καὶ ἐπορεύθη Ἱεροβοὰμ εἰς Σίκιμα τὴν ἐν ὄρει Ἐφραὶμ καὶ συνήθροισεν ἐκεῖ τὰς φυλὰς τοῦ Ἰσραήλ, καὶ ἀνέβη ἐκεῖ Ῥοβοὰμ υἱὸς Σαλωμών. καὶ λόγος Κυρίου ἐγένετο πρὸς Σαμαίαν τὸν Ἐλαμὶ λέγων· λαβὲ σεαυτῷ ἱμάτιον καινὸν τὸ οὐκ εἰσεληλυθὸς εἰς ὕδωρ καὶ ῥῆξον αὐτὸ δώδεκα ῥήγματα καὶ δώσεις τῷ Ἱεροβοὰμ καὶ ἐρεῖς αὐτῷ· τάδε λέγει Κύριος· λάβε σεαυτῷ δέκα ῥήγματα τοῦ περιβαλέσθαι σε. καὶ ἔλαβεν Ἱεροβοάμ· καὶ εἶπε Σαμαίας· τάδε λέγει Κύριος ἐπὶ τὰς δέκα φυλὰς τοῦ Ἰσραήλ.

Γ Βασ. 12,24ξ - Ο Ιεροβοάμ επήγεν εις τα Σικιμα στο όρος Εφραίμ. Εκεί δε συνεκέντρωσε τας δέκα φυλάς του Ισραήλ. Αλλά εκεί επορεύθη και ο Ροβοάμ, ο υιός του Σολομώντος. Εδόθη όμως εκ μέρους του Κυρίου στον Σαμαίαν τον Ελαμίτην η εξής εντολή· Παρε μαζή σου ένα καινούργιο ιμάτιον, το οποίον ακόμη δεν έχει μπη στο νερό, σχίσε το εις δώδεκα κομμάτια και θα δώσης στον Ιεροβοάμ τα δέκα κομμάτια και θα του ειπής· Αυτά λέγει ο Κυριος. Παρε δια τον εαυτόν σου δέκα κομμάτια, δια να τα φορέσης”. Ο Ιεροβοάμ τα επήρε. Ο Σαμαίας προσέθεσε· “Αυτά λέγει ο Κυριος δια τας δέκα φυλάς του Ισραηλιτικού λαού”.

Γ Βασ. 12,24ο - Καὶ εἶπεν ὁ λαὸς πρὸς Ῥοβοὰμ υἱὸν Σαλωμών· ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν αὐτοῦ ἐφ᾿ ἡμᾶς καὶ ἐβάρυνε τὰ βρώματα τῆς τραπέζης αὐτοῦ· καὶ νῦν εἰ κουφιεῖς ἐφ᾿ ἡμᾶς καὶ δουλεύσομέν σοι. καὶ εἶπε Ῥοβοὰμ πρὸς τὸν λαόν· ἔτι τριῶν ἡμερῶν καὶ ἀποκριθήσομαι ὑμῖν ῥῆμα.

Γ Βασ. 12,24ο - Αι δέκα φυλαί του Ισραηλιτικού λαού είπαν προς τον Ροβοάμ, τον υιόν του Σολομώντος. Ο πατέρας σου κατέστησε βαρύν τον ζυγόν του επάνω μας, διότι επλήθυνε τας πολυδάπανους τροφάς της τραπέζης του. Τωρα εάν συ ελαφρύνης τον ζυγόν αυτόν εις ημάς, ημείς θα είμεθα δούλοι σου. Ο Ροβοάμ είπε προς τον λαόν· Επειτα από τρεις ημέρας θα σας δώσω απάντησιν.

Γ Βασ. 12,24π - καὶ εἶπε Ῥοβοάμ· εἰσαγάγετέ μοι τοὺς πρεσβυτέρους καὶ συμβουλεύσομαι μετ᾿ αὐτῶν τί ἀποκριθῶ τῷ λαῷ ῥῆμα ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἐλάλησε Ῥοβοὰμ εἰς τὰ ὦτα αὐτῶν καθὼς ἀπέστειλεν ὁ λαὸς πρὸς αὐτὸν καὶ εἶπον οἱ πρεσβύτεροι τοῦ λαοῦ· οὕτως ἐλάλησε πρός σε ὁ λαός.

Γ Βασ. 12,24π - Ο Ροβοάμ έστειλε τους δούλους του και είπε· «φέρετε ενώπιόν μου τους πρεσβυτέρους, δια να ζητήσω την γνώμην των, ώστε να γνωρίζω, τι να αποκριθώ στον λαόν κατά την τρίτην ημέραν”. Οι πρεσβύτεροι

ήλθον, ο δε Ροβοάμ εγνωστοποίησεν εις αυτούς, τι του είχε προτείνει ο λαός. Οι πρεσβύτεροι του λαού του απήντησαν· “Ορθώς ωμίλησε προς σε ο λαός”.

Γ Βασ. 12,24ρ - καὶ διεσκέδασε Ῥοβοὰμ τὴν βουλὴν αὐτῶν, καὶ οὐκ ἤρεσεν ἐνώπιον αὐτοῦ· καὶ ἀπέστειλε καὶ εἰσήγαγε τοὺς συντρόφους αὐτοῦ καὶ ἐλάλησεν αὐτοῖς· ταῦτα καὶ ταῦτα ἀπέσταλκεν ὁ λαὸς πρός με λέγων. καὶ εἶπαν οἱ σύντροφοι αὐτοῦ· οὕτως λαλήσεις πρὸς τὸν λαὸν λέγων· ἡ μικρότης μου παχυτέρα ὑπὲρ τὴν ὀσφὺν τοῦ πατρός μου· ὁ πατήρ μου ἐμαστίγου ὑμᾶς μάστιξιν, ἐγὼ δὲ κατάρξω ὑμᾶς ἐν σκορπίοις.

Γ Βασ. 12,24ρ - Ο Ροβοάμ όμως απέρριψε την συμβουλήν των πρεσβυτέρων, διότι δεν του εφάνη αρεστή, και έστειλεν ανθρώπους, οι οποίοι έφεραν ενώπιόν του τους νεαρούς, που είχαν ανατραφή μαζή του, και τους είπε· “Αυτά και αυτά μου είπεν ο λαός των δέκα φυλών δια των απεσταλμένων του”. Οι νεαροί σύντροφοί του του είπαν· “Ετσι θα απαντήσης προς τους απεσταλμένους του λαού· Το μικρό μου δάκτυλο είναι παχύτερο από την μέσην του πατρός μου. Ο πατέρας μου σας εμαστίγωνε με απλά μαστίγια, εγώ όμως θα κατεξουσιάσω επάνω σας μαστιγώνων με μαστίγια, που θα έχουν αγκάθια”.

Γ Βασ. 12,24σ - καὶ ἤρεσε τὸ ῥῆμα ἐνώπιον Ῥοβοάμ, καὶ ἀπεκρίθη τῷ λαῷ καθὼς συνεβούλευσαν αὐτῷ οἱ σύντροφοι αὐτοῦ τά παιδάρια.

Γ Βασ. 12,24σ - Αυτή η συμβουλή ήρεσεν στον Ροβοάμ, ο οποίος έτσι και απήντησεν στον λαόν, όπως τον συνεβούλευσαν οι νεαροί σύντροφοι του.

Γ Βασ. 12,24τ - καὶ εἶπε πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς, ἕκαστος τῷ πλησίον αὐτοῦ, καὶ ἀνέκραξαν ἅπαντες λέγοντες· οὐ μερὶς ἡμῖν ἐν Δαυὶδ οὐδὲ κληρονομία ἐν υἱῷ Ἰεσσαί· ἕκαστος εἰς τὰ σκηνώματά σου Ἰσραήλ, ὅτι ὁ ἄνθρωπος οὗτος οὐκ εἰς ἄρχοντα οὐδὲ εἰς ἡγούμενον.

Γ Βασ. 12,24τ - Τοτε αι δέκα φυλαί του Ισραηλιτικού λαού, ωσάν να ήσαν ενας άνθρωπος, είπαν ο ένας στον άλλον με κραυγήν μεγάλην· “Δεν υπάρχει καμμία σχέσις και κανένα μερίδιον κληρονομίας μας με τον Δαυίδ, τον υιόν του Ιεσσαί. Εκαστος, λοιπόν, από τους Ισραηλίτας ας επανέλθη στο σπίτι του, διότι ο άνθρωπος αυτός, ο Ροβοάμ, δεν πρέπει να είναι ούτε βασιλεύς μας ούτε αρχηγός μας”.

Γ Βασ. 12,24υ - καὶ διεσπάρη πᾶς ὁ λαὸς ἐκ Σικίμων, καὶ ἀπῆλθον ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ κατεκράτησε Ῥοβοὰμ καὶ ἀπῆλθε καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα αὐτοῦ καὶ εἰσῆλθεν εἰς Ἱερουσαλήμ, καὶ πορεύονται ὀπίσω αὐτοῦ πᾶν σκῆπτρον Ἰούδα καὶ πᾶν σκῆπτρον Βενιαμίν.

Γ Βασ. 12,24υ - Ο λαός των δέκα φυλών του Ισραήλ διεσκορπίσθη από τα Σικιμα και ο καθένας ήλθεν στο σπίτι του. Ο δε Ροβοάμ επρόλαβε και ανεχώρησεν από εκεί, ανέβη εις τα άρμα του και επανήλθεν εις την Ιερουσαλήμ. Ηκολούθησαν δε αυτόν όλη η φυλή του Ιούδα και όλη η φυλή του Βενιαμίν.

Γ Βασ. 12.24φ - καὶ ἐγένετο ἐνισταμένου τοῦ ἐνιαυτοῦ καὶ συνήθροισε Ῥοβοὰμ πάντα ἄνδρα Ἰούδα καὶ Βενιαμὶν καὶ ἀνέβη τοῦ πολεμεῖν πρὸς Ἱεροβοὰμ εἰς Σίκιμα.

Γ Βασ. 12,24φ - Κατά το έτος αυτό ο Ροβοάμ συνεκέντρωσεν όλους τους άνδρας πολεμιστάς της φυλής του Ιούδα και της φυλής του Βενιαμίν και απεφάσισε να εκστρατεύση εναντίον του Ιεροβοάμ εις την πόλιν Σικιμα.

Γ Βασ. 12,24χ - καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Σαμαίαν ἄνθρωπον τοῦ Θεοῦ λέγων· εἰπὸν τῷ Ῥοβοὰμ βασιλεῖ Ἰούδα καὶ πρὸς πάντα οἶκον Ἰούδα καὶ Βενιαμὶν καὶ πρὸς τὸ κατάλειμμα τοῦ λαοῦ λέγων· τάδε λέγει Κύριος· οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν υἱοὺς Ἰσραήλ· ἀναστρέφετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ᾿ ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο.

Γ Βασ. 12,24χ - Εδόθη όμως προς τον Σαμαίαν, τον άνθρωπον του Θεού, εντολή εκ μέρους του Κυρίου, ο οποίος του είπε· “στον Ροβοάμ, τον βασιλέα του Ιούδα, και προς όλην την φυλήν του Ιούδα και την φυλήν του Βενιαμίν και προς όσους άλλους από τας δέκα φυλάς έμειναν μαζή του ειπέ τούτο· Αυτά λέγει ο Κυριος· δεν θα εκστρατεύσετε και δεν θα πολεμήσετε τους αδελφούς σας τους Ισραηλίτας. Ο καθένας να επιστρέψη στο σπίτι του. Διότι εγώ επέτρεψα να πραγματοποιηθή το γεγονός αυτό”.

Γ Βασ. 12,24ψ - καὶ ἤκουσαν τοῦ λόγου Κυρίου καὶ ἀνέσχον μὴ πορευθῆναι κατὰ τὸ ῥῆμα Κυρίου.

Γ Βασ. 12,24ψ - Αυτοί ήκουσαν και υπήκουσαν εις την εντολήν του Κυρίου και συνεκρατήθησαν, ώστε να μη εκστρατεύσουν, όπως τους είχεν είπει ο Κυριος, εναντίον των δέκα φυλών.

Γ Βασ. 12,25 - Καὶ ᾠκοδόμησεν Ἱεροβοὰμ τὴν Σίκιμα τὴν ἐν ὄρει Ἐφραὶμ καὶ κατῴκει ἐν αὐτῇ· καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ᾠκοδόμησε τὴν Φανουήλ.

Γ Βασ. 12,25 - Ο Ιεροβοάμ ωχύρωσε την πόλιν Σικιμα, που ευρίσκετο στο όρος Εφραίμ, και κατοικούσε εις αυτήν. Από εκεί εξήλθε και ωχύρωσε και την πόλιν Φανουήλ.

Γ Βασ. 12,26 - καὶ εἶπεν Ἱεροβοὰμ ἐν τῇ καρδίᾳ αὐτοῦ· ἰδοὺ νῦν ἐπιστρέψει ἡ βασιλεία εἰς οἶκον Δαυίδ·

Γ Βασ. 12,26 - Ο Ιεροβοάμ εσκέφθη και είπε καθ' εαυτόν· “ιδού, υπάρχει τώρα φόβος να επανέλθη η βασιλεία εις την οικογένειαν του Δαυίδ.

Γ Βασ. 12,27 - ἐὰν ἀναβῇ ὁ λαὸς οὗτος ἀναφέρειν θυσίαν ἐν οἴκῳ Κυρίου εἰς Ἱερουσαλήμ, καὶ ἐπιστραφήσεται καρδία τοῦ λαοῦ πρὸς Κύριον καὶ κύριον αὐτῶν, πρὸς Ῥοβοὰμ βασιλέα Ἰούδα, καὶ ἀποκτενοῦσί με.

Γ Βασ. 12,27 - Αυτό θα γίνη, εάν μεταβή αυτός ο λαός των Ισραηλιτών εις Ιερουσαλήμ, δια να προσφέρη θυσίαν στον ναόν του Κυρίου. Εκεί υπάρχει

φόβος να επιστραφή η καρδία του λαού προς τον Κυριον τον Θεόν και προς τον βασιλέα αυτών, τον Ροβοάμ, βασιλέα Ιούδα, οπότε εμέ θα θανατώσουν”.

Γ Βασ. 12,28 - καὶ ἐβουλεύσατο ὁ βασιλεὺς καὶ ἐπορεύθη καὶ ἐποίησε δύο δαμάλεις χρυσᾶς· καὶ εἶπε πρὸς τὸν λαόν· ἱκανούσθω ὑμῖν ἀναβαίνειν εἰς Ἱερουσαλήμ· ἰδοὺ θεοί σου, Ἰσραήλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου.

Γ Βασ. 12,28 - Ο βασιλεύς Ιεροβοάμ, δια να προλάβη αυτό το ενδεχόμενον, επορεύθη και κατεσκεύασε δύο δαμάλεις χρυσάς και είπε προς τον λαόν· “επί αρκετόν χρόνον επηγαίνατε έως τώρα εις την Ιερουσαλήμ, δια να λατρεύσετε τον Θεόν. Ιδού όμως οι θεοί σου, ισραηλιτικέ λαέ, οι οποίοι σε έβγαλαν από την Αίγυπτον”.

Γ Βασ. 12,29 - καὶ ἔθετο τὴν μίαν ἐν Βαιθὴλ καὶ τὴν μίαν ἔδωκεν ἐν Δάν.

Γ Βασ. 12,29 - Την μίαν από τας χρυσάς δαμάλεις έθεσεν εις την πόλιν Βαιθήλ, την δε άλλην έδωσεν εις πόλιν Δαν.

Γ Βασ. 12,30 - καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς ἁμαρτίαν· καὶ ἐπορεύετο ὁ λαὸς πρὸ προσώπου τῆς μιᾶς ἕως Δάν. καὶ εἴασαν τὸν οἶκον Κυρίου.

Γ Βασ. 12,30 - Η πράξις αυτή του Ιεροβοάμ έγινεν αφορμή να παρασυρθή ο λαός εις μεγάλην αμαρτίαν. Διότι ο λαός μετέβαινε να προσκυνήση την μίαν χρυσήν δάμαλιν, η οποία ευρίσκετο εις την Βαιθήλ, και την άλλην, η οποία ευρίσκετο εις Δαν. Ετσι δε εγκατέλειψαν τον ναόν του Κυρίου.

Γ Βασ. 12,31 - καὶ ἐποίησεν οἴκους ἐφ᾿ ὑψηλῶν καὶ ἐποίησεν ἱερεῖς μέρος τι ἐκ τοῦ λαοῦ, οἳ οὐκ ἦσαν ἐκ τῶν υἱῶν Λευί.

Γ Βασ. 12,31 - Ο Ιεροβοάμ κατεσκεύασεν επί πλέον ναούς στους υψηλούς τόπους και καθιέρωσεν ως ιερείς μερικούς από τον λαόν, οι οποίοι δεν κατήγοντο από την φυλήν Λευϊ.

Γ Βασ. 12,32 - καὶ ἐποίησεν Ἱεροβοὰμ ἑορτὴν ἐν τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς κατὰ τὴν ἑορτὴν τὴν ἐν γῇ Ἰούδα καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον, ὃ ἐποίησεν ἐν Βαιθήλ, τοῦ θύειν ταῖς δαμάλεσιν, αἷς ἐποίησε, καὶ παρέστησεν ἐν Βαιθὴλ τοὺς ἱερεῖς τῶν ὑψηλῶν, ὧν ἐποίησε.

Γ Βασ. 12,32 - Ο Ιεροβοάμ καθιέρωσεν επίσης και μίαν εορτήν κατά την δεκάτην πέμπτην ημέραν του ογδόου μηνός, ομοίαν με την εορτήν της Σκηνοπηγίας, που εωρτάζετο στο βασίλειον του Ιούδα εις την Ιερουσαλήμ. Κατά την ημέραν αυτήν ο Ιεροβοάμ ανέβη στο θυσιαστήριον, που είχε κάμει εις την Βαιθήλ, δια να προσφέρη θυσίαν εις τας δαμάλεις, τας οποίας είχε κατασκευάσει. Εις τους ευκτηρίους δε εκεί οίκους εγκατέστησε και τους ιερείς, τους οποίους ο ίδιος είχεν αναδείξει.

Γ Βασ. 12,33 - καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον, ὃ ἐποίησε, τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ ἐν τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ ἑορτῇ, ᾗ ἐπλάσατο ἀπὸ

καρδίας αὐτοῦ, καὶ ἐποίησεν ἑορτὴν τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον τοῦ ἐπιθῦσαι.

Γ Βασ. 12,33 - Ο Ιεροβοάμ, λοιπόν, ανέβη στο θυσιαστήριον, που είχε κατασκευάσει, κατά την δεκάτην πέμπτην ημέραν του ογδόου μηνός, την εορτήν της Σκηνοπηγίας, την οποίαν αυτός διεμόρφωσεν, όπως ήθελε. Ωρισε, λοιπόν, αυτήν την εορτήν δια τους Ισραηλίτας και ετόλμησε να ανέλθη ο ίδιος στο θυσιαστήριον, δια να προσφέρη θυσίαν.

Γ ΒΑΣΙΛΕΙΩΝ 13

Γ Βασ. 13,1 - Καὶ ἰδοὺ ἄνθρωπος τοῦ Θεοῦ ἐξ Ἰούδα παρεγένετο ἐν λόγῳ Κυρίου εἰς Βαιθήλ, καὶ Ἱεροβοὰμ εἱστήκει ἐπὶ τὸ θυσιαστήριον ἐπιθῦσαι.

Γ Βασ. 13,1 - Ιδού όμως, ότι κατά την ώραν εκείνην ένας άνθρωπος του Θεού, που κατήγετο από την Ιουδαίαν, ήλθε κατόπιν διαταγής του Θεού εις την πόλιν Βαιθήλ. Ο Ιεροβοάμ εστεκετο όρθιος εκεί επί του θυσιαστηρίου, έτοιμος να προσφέρη θυσίαν.

Γ Βασ. 13,2 - καὶ ἐπεκάλεσε πρὸς τὸ θυσιαστήριον ἐν λόγῳ Κυρίου καὶ εἶπε· θυσιαστήριον θυσιαστήριον, τάδε λέγει Κύριος· ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ Δαυίδ, Ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν τοὺς ἐπιθύοντας ἐπὶ σὲ καὶ ὀστᾶ ἀνθρώπων καύσει ἐπὶ σέ.

Γ Βασ. 13,2 - Ο άνθρωπος του Θεού, κατ' εντολήν του Κυρίου, προσεφώνησε το θυσιαστήριον και είπε “θυσιαστήριον, θυσιαστήριον, αυτά λέγει ο Κυριος· Ιδού, θα γεννηθή κάποιος από τους απογόνους του Δαυίδ, του οποίου το όνομα θα είναι Ιωσίας. Αυτός θα σφάξη επάνω εις σε τους ιερείς των υψηλών τόπων, εκείνους που θυσιάζουν εις σέ, και θα καύση οστά ανθρώπων επάνω σου.

Γ Βασ. 13,3 - καὶ δώσει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τέρας λέγων· τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε Κύριος λέγων· ἰδοὺ τὸ θυσιαστήριον ῥήγνυται, καὶ ἐκχυθήσεται ἡ πιότης ἡ ἐπ᾿ αὐτῷ.

Γ Βασ. 13,3 - Και εις πίστωσιν του μελλοντικού γεγονότος της ημέρας εκείνης θα δώση τώρα αμέσως ένα θαυματουργικόν σημείον. Ιδού, το θυσιαστήριον διαρρήγνυται και θα χυθή η λιπαρά τέφρα των θυσιασθέντων ζώων, που ευρίσκεται εις αυτό”.

Γ Βασ. 13,4 - καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς Ἱεροβοὰμ τῶν λόγων τοῦ ἀνθρώπου τοῦ Θεοῦ τοῦ ἐπικαλεσαμένου ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν Βαιθήλ, καὶ ἐξέτεινεν ὁ βασιλεὺς τὴν χεῖρα αὐτοῦ ἀπὸ τοῦ θυσιαστηρίου λέγων· συλλάβετε αὐτόν· καὶ ἰδοὺ ἐξηράνθη ἡ χεὶρ αὐτοῦ, ἣν ἐξέτεινεν ἐπ᾿ αὐτόν, καὶ οὐκ ἐδυνήθη ἐπιστρέψαι αὐτὴν πρὸς αὐτόν,

Γ Βασ. 13,4 - Οταν ο βασιλεύς Ιεροβοάμ ήκουσε τα λόγια αυτά του ανθρώπου του Θεού, ο οποίος έτσι ωμίλησε κατά του θυσιαστηρίου εις Βαιθήλ, άπλωσε το χέρι του από το θυσιαστήριον λέγων· “συλλάβετε αυτόν”. Και ιδού, το χέρι του, το οποίον άπλωσε εναντίον του ανθρώπου του Θεού, έμεινε ξηρόν και δεν ημπορούσε να το επαναφέρη εις την θέσιν του.

Γ Βασ. 13,5 - καὶ τὸ θυσιαστήριον ἐῤῥάγη, καὶ ἐξεχύθη ἡ πιότης ἀπὸ τοῦ θυσιαστηρίου κατὰ τὸ τέρας, ὃ ἔδωκεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐν λόγῳ Κυρίου.

Γ Βασ. 13,5 - Το δε θυσιαστήριον διερράγη πράγματι την ώραν εκείνην και εχύθη η λιπαρά στάκτη από το θυσιαστήριον σύμφωνα με το σημείον, το οποίον έδωκεν ο άνθρωπος του Θεού κατόπιν εντολής του Κυρίο

Γ Βασ. 13,6 - καὶ εἶπεν ὁ βασιλεὺς Ἱεροβοὰμ τῷ ἀνθρώπῳ τοῦ Θεοῦ· δεήθητι τοῦ προσώπου Κυρίου τοῦ Θεοῦ σου, καὶ ἐπιστρεψάτω ἡ χείρ μου πρὸς ἐμέ. καὶ ἐδεήθη ὁ ἄνθρωπος τοῦ Θεοῦ τοῦ προσώπου Κυρίου, καὶ ἐπέστρεψε τὴν χεῖρα τοῦ βασιλέως πρὸς αὐτόν, καὶ ἐγένετο καθὼς τὸ πρότερον.

Γ Βασ. 13,6 - Ο βασιλεύς Ιεροβοάμ είπε τότε στον άνθρωπον του Θεού· “παρακάλεσε τον Κυριον τον Θεόν σου, να αποκατασταθή υγιής η χείρ μου και να επανέλθη εις την θέσιν της”. Ο άνθρωπος του Θεού παρεκάλεσε τον Κυριον και η ξηρανθείσα χειρ απέκτησε την υγείαν της, όπως και πριν, και επανήλθεν εις την θέσιν της.

Γ Βασ. 13,7 - καὶ ἐλάλησεν ὁ βασιλεὺς πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ· εἴσελθε μετ᾿ ἐμοῦ εἰς οἶκον καὶ ἀρίστησον, καὶ δώσω σοι δόμα.

Γ Βασ. 13,7 - Ο βασιλεύς παρεκάλεσε τον άνθρωπον του Θεού και του είπε· “έλα στο σπίτι μου, δείπνησε και θα σου δώσω και κάποιο δώρον”.

Γ Βασ. 13,8 - καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ Θεοῦ πρὸς τὸν βασιλέα· ἐὰν δῷς μοι τὸ ἥμισυ τοῦ οἴκου σου, οὐκ εἰσελεύσομαι μετὰ σοῦ οὐδὲ μὴ φάγω ἄρτον οὐδὲ μὴ πίω ὕδωρ ἐν τῷ τόπῳ τούτῳ·

Γ Βασ. 13,8 - Ο άνθρωπος όμως του Θεού είπε προς τον βασιλέα· “και εάν ακόμη μου δώσης το ήμισυ από το ανάκτορόν σου, δεν πρόκειται να έλθω μαζή σου να φάγω φαγητόν, ούτε και να πίω ύδωρ από τον τόπον αυτόν.

Γ Βασ. 13,9 - ὅτι οὕτως ἐνετείλατό μοι Κύριος ἐν λόγῳ λέγων· μὴ φάγῃς ἄρτον καὶ μὴ πίῃς ὕδωρ καὶ μὴ ἐπιστρέψῃς ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθης ἐν αὐτῇ.

Γ Βασ. 13,9 - Διότι έτσι ρητώς ο Κυριος με διέταξε και μου είπε· Να μη φάγης άρτον και να μη πίης ύδωρ και επανερχόμενος εις την πατρίδα σου να μη επανέλθης από τον ίδιον δρόμον”.

Γ Βασ. 13,10 - καὶ ἀπῆλθεν ἐν ὁδῷ ἄλλῃ καὶ οὐκ ἀνέστρεψεν ἐν τῇ ὁδῷ, ᾗ ἦλθεν ἐν αὐτῇ εἰς Βαιθήλ.

Γ Βασ. 13,10 - Ο άνθρωπος του Θεού έφυγε πράγματι δι' άλλης οδού και δεν επέστρεψεν από τον ίδιον δρόμον, τον οποίον είχεν ακολουθήσει ερχόμενος εις Βαιθήλ.

Γ Βασ. 13,11 - Καὶ προφήτης εἷς πρεσβύτης κατῴκει ἐν Βαιθήλ, καὶ ἔρχονται οἱ υἱοὶ αὐτοῦ καὶ διηγήσαντο αὐτῷ πάντα τὰ ἔργα, ἃ ἐποίησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν Βαιθήλ, καὶ τοὺς λόγους, οὓς ἐλάλησε τῷ βασιλεῖ· καὶ ἐπέστρεψαν τὸ πρόσωπον τοῦ πατρὸς αὐτῶν.

Γ Βασ. 13,11 - Εκεί εις την Βαιθήλ κατοικούσεν ένας γέρων προφήτης. Ηλθον, λοιπόν, προς αυτόν τα παιδιά του και του διηγήθησαν όλα τα έργα, τα οποία είχε κάμει ο άνθρωπος του Θεού εις την Βαιθήλ κατά την ημέραν εκείνην, όπως επίσης και τους λόγους, τους οποίους είπεν στον βασιλέα. Εκίνησαν δε το ενδιαφέρον του πατρός των δια τον άνθρωπον αυτόν του Θεού.

Γ Βασ. 13,12 - καὶ ἐλάλησε πρὸς αὐτοὺς ὁ πατὴρ αὐτῶν λέγων· ποίᾳ ὁδῷ πεπόρευται; καὶ δεικνύουσιν αὐτῷ οἱ υἱοὶ αὐτοῦ τὴν ὁδόν, ἐν ᾗ ἀνῆλθεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ὁ ἐλθὼν ἐξ Ἰούδα.

Γ Βασ. 13,12 - Ο πατήρ των τους ηρώτησε λέγων· “από ποίαν οδόν επορεύθη ο άνθρωπος του Θεού;” Τα παιδιά του του έδειξαν την οδόν, από την οποίαν είχεν αναχωρήσει ο άνθρωπος του Θεού, που είχεν έλθει από την φυλήν Ιούδα.

Γ Βασ. 13,13 - καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ· ἐπισάξατέ μοι τὸν ὄνον· καὶ ἐπέσαξαν αὐτῷ τὸν ὄνον, καὶ ἐπέβη ἐπ᾿ αὐτόν.

Γ Βασ. 13,13 - Είπεν εις τα παιδιά του· “σαμαρώσατέ μου τον όνον”. Και εσαμάρωσαν δι' αυτόν τον όνον, επί του οποίου και εκάθησε.

Γ Βασ. 13,14 - καὶ ἐπορεύθη κατόπισθεν τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ εὗρεν αὐτὸν καθήμενον ὑπὸ δρῦν καὶ εἶπεν αὐτῷ· εἰ σὺ εἶ ὁ ἄνθρωπος τοῦ Θεοῦ ὁ ἐληλυθὼς ἐξ Ἰούδα; καὶ εἶπεν αὐτῷ· ἐγώ.

Γ Βασ. 13,14 - Επορεύθη δε οπίσω από τον άνθρωπον του Θεού και τον συνήντησε να κάθεται κάτω από την δρυν και του είπεν· “αλήθεια, συ είσαι ο άνθρωπος του Θεού, που ήλθες από την φυλήν Ιούδα;” Εκείνος του είπεν· “εγώ είμαι”.

Γ Βασ. 13,15 - καὶ εἶπεν αὐτῷ· δεῦρο μετ᾿ ἐμοῦ καὶ φάγε ἄρτον.

Γ Βασ. 13,15 - Λέγει προς αυτόν· “έλα μαζή μου να φάγης άρτον”.

Γ Βασ. 13,16 - καὶ εἶπεν· οὐ μὴ δύνωμαι τοῦ ἐπιστρέψαι μετὰ σοῦ οὐδὲ μὴ φάγομαι ἄρτον οὐδὲ πίομαι ὕδωρ ἐν τῷ τόπῳ τούτῳ·

Γ Βασ. 13,16 - Ο άνθρωπος του Θεού της φυλής Ιούδα είπε· “δεν δύναμαι να επιστρέψω μαζή σου και ούτε να φάγω άρτον, ούτε να πίω νερό στον τόπον τούτον·

Γ Βασ. 13,17 - ὅτι οὕτως ἐντέταλταί μοι ἐν λόγῳ Κύριος λέγων· μὴ φάγῃς ἄρτον ἐκεῖ καὶ μὴ πίῃς ὕδωρ καὶ μὴ ἐπιστρέψῃς ἐκεῖ ἐν τῇ ὁδῷ, ᾗ

ἐπορεύθης ἐν αὐτῇ.

Γ Βασ. 13,17 - διότι έτσι με διέταξεν ο Κυριος· Ούτε ψωμί θα φάγης εκεί, ούτε νερό θα πίης, ούτε θα επιστρέψης εις την πατρίδα σου από τον ίδιον δρόμον, δια του οποίου ήλθες εις την Βαιθήλ”.

Γ Βασ. 13,18 - καὶ εἶπε πρὸς αὐτόν· κἀγὼ προφήτης εἰμὶ καθὼς σύ, καὶ ἄγγελος λελάληκε πρός με ἐν ῥήματι Κυρίου λέγων· ἐπίστρεψον αὐτὸν πρὸς σεαυτὸν εἰς τὸν οἶκόν σου, καὶ φαγέτω ἄρτον, καὶ πιέτω ὕδωρ· καὶ ἐψεύσατο αὐτῷ.

Γ Βασ. 13,18 - Ο προφήτης της Βαιθήλ του είπε· “και εγώ είμαι προφήτης, όπως συ. Ενας δε άγγελος μου ωμίλησε εν ονόματι του Κυρίου και μου είπε· Επανάφερε αυτόν στον οίκον σου προς σέ, δια να φάγη φαγητόν και να πίη ύδωρ”. Αυτά δε έλεγε ψευδόμενος προς αυτόν.

Γ Βασ. 13,19 - καὶ ἐπέστρεψεν αὐτὸν καὶ ἔφαγεν ἄρτον καὶ ἔπιεν ὕδωρ ἐν τῷ οἴκῳ αὐτοῦ.

Γ Βασ. 13,19 - Ο προφήτης της Βαιθήλ επανέφερε τον προφήτην εκ της φυλής Ιούδα και έφαγεν άρτον και έπιεν ύδωρ στον οίκον αυτού.

Γ Βασ. 13,20 - καὶ ἐγένετο αὐτῶν καθημένων ἐπὶ τῆς τραπέζης, καὶ ἐγένετο λόγος Κυρίου πρὸς τὸν προφήτην τὸν ἐπιστρέψαντα αὐτὸν

Γ Βασ. 13,20 - Καθ' ον χρόνον εκάθηντο στο τραπέζι του φαγητού, έγινεν αποκάλυψις Κυρίου προς τον προφήτην της Βαιθήλ, ο οποίος είχεν επαναφέρει εκείνον στον οίκον του,

Γ Βασ. 13,21 - καὶ εἶπε πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ τὸν ἥκοντα ἐξ Ἰούδα λέγων· τάδε λέγει Κύριος· ἀνθ᾿ ὧν παρεπίκρανας τὸ ῥῆμα Κυρίου καὶ οὐκ ἐφύλαξας τὴν ἐντολήν, ἣν ἐνετείλατό σοι Κύριος ὁ Θεός σου,

Γ Βασ. 13,21 - και είπε προς τον άνθρωπον του Θεού, ο οποίος είχεν έλθει από την φυλήν του Ιούδα· “αυτά λέγει ο Κυριος· Επειδή επίκρανες τον Θεόν και δεν ετήρησες την εντολήν, την οποίαν σου έδωσε Κυριος ο Θεός σου,

Γ Βασ. 13,22 - καὶ ἐπέστρεψας καὶ ἔφαγες ἄρτον καὶ ἔπιες ὕδωρ ἐν τῷ τόπῳ τούτῳ, ᾧ ἐλάλησε πρός σε λέγων· οὐ μὴ φάγῃς ἄρτον καὶ μὴ πίῃς ὕδωρ, οὐ μὴ εἰσέλθῃ τὸ σῶμά σου εἰς τὸν τάφον τῶν πατέρων σου.

Γ Βασ. 13,22 - και έτσι επέστρεψες εδώ και έφαγες άρτον και έπιες ύδωρ στον τόπον αυτόν, δια τον οποίον σου έδωσε ρητήν εντολήν ο Κυριος λέγων· Δεν θα φάγης άρτον και δεν θα πίης νερό, δια τούτο το σώμα σου δεν θα ταφή στον τάφον των προγόνων σου”.

Γ Βασ. 13,23 - καὶ ἐγένετο μετὰ τὸ φαγεῖν αὐτὸν ἄρτον καὶ πιεῖν ὕδωρ, καὶ ἐπέσαξεν αὐτῷ τὸν ὄνον, καὶ ἐπέστρεψε.

Γ Βασ. 13,23 - Ο από την Ιουδαίαν προφήτης, αφού έφαγεν άρτον και έπιεν ύδωρ, εσαμάρωσε τον όνον του και επανήρχετο εις την Ιουδαίαν.

Γ Βασ. 13,24 - καὶ ἀπῆλθε, καὶ εὗρεν αὐτὸν λέγων ἐν τῇ ὁδῷ καὶ ἐθανάτωσεν αὐτόν, καὶ ἦν τὸ σῶμα αὐτοῦ ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος εἱστήκει παρ᾿ αὐτό, καὶ ὁ λέων εἱστήκει παρὰ τὸ σῶμα.

Γ Βασ. 13,24 - Οταν όμως απεμακρύνθη, συνήντησεν αυτόν καθ' οδόν ένας λέων, ο οποίος και τον εθανάτωσε. Το σώμα του προφήτου έμεινεν ερριμένον εις την οδόν. Ο όνος δε ίστατο όρθιος πλησίον του και ο λέων επίσης ίστατο όρθιος πλησίον του νεκρού σώματος.

Γ Βασ. 13,25 - καὶ ἰδοὺ ἄνδρες παραπορευόμενοι καὶ εἶδον τὸ θνησιμαῖον ἐῤῥιμμένον ἐν τῇ ὁδῷ καὶ ὁ λέων εἱστήκει ἐχόμενα τοῦ θνησιμαίου· καὶ εἰσῆλθον καὶ ἐλάλησαν ἐν τῇ πόλει, οὗ ὁ προφήτης ὁ πρεσβύτης κατῴκει ἐν αὐτῇ.

Γ Βασ. 13,25 - Ιδού δε ότι κατά την ώραν εκείνην δύο άνδρες, διερχόμενοι από εκεί, είδαν το πτώμα του προφήτου κείμενον εις την οδόν και τον λέοντα, ο οποίος ίστατο όρθιος πλησίον του πτώματος. Αυτοί εισήλθον εις την πόλιν, όπου ευρίσκετο ο γέρων προφήτης, και ανήγγειλαν εις την πόλιν τα συμβάντα.

Γ Βασ. 13,26 - καὶ ἤκουσεν ὁ ἐπιστρέψας αὐτὸν ἐκ τῆς ὁδοῦ καὶ εἶπεν· ὁ ἄνθρωπος τοῦ Θεοῦ οὗτός ἐστίν, ὃς παρεπίκρανε τὸ ῥῆμα Κυρίου.

Γ Βασ. 13,26 - Ο εκ Βαιθήλ προφήτης, που είχεν επαναφέρει από τον δρόμον τον προφήτην της Ιουδαίας, είπεν· “αυτός είναι ο άνθρωπος του Θεού, ο οποίος παρέβη την εντολήν του Κυρίου, και έτσι παρεπίκρανε τον Θεόν”.

Γ Βασ. 13,28 - καὶ ἐπορεύθη καὶ εὗρε τὸ σῶμα αὐτοῦ ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος καὶ ὁ λέων εἱστήκεισαν παρὰ τὸ σῶμα, καὶ οὐκ ἔφαγεν ὁ λέων τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ οὐ συνέτριψε τὸν ὄνον.

Γ Βασ. 13,28 - Ο γέρων αυτός προφήτης μετέβη και ευρήκε το πτώμα κείμενον στον δρόμον, ο όνος δε και ο λέων ήσαν όρθιοι πλησίον του σώματος. Ο λέων δεν κατέφαγε το σώμα του ανθρώπου του Θεού, ούτε και τον όνον συνέτριψεν.

Γ Βασ. 13,29 - καὶ ἦρεν ὁ προφήτης τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ ἐπέθηκεν αὐτὸ ἐπὶ τὸν ὄνον, καὶ ἐπέστρεψεν αὐτὸν εἰς τὴν πόλιν ὁ προφήτης τοῦ θάψαι αὐτὸν

Γ Βασ. 13,29 - Ο προφήτης αυτός επήρε το νεκρόν σώμα του ανθρώπου του Θεού, το έθεσεν επάνω στον όνον και το έφερεν εις την πόλιν, δια να το θάψη στον τάφον του.

Γ Βασ. 13,30 - ἐν τῷ τάφῳ ἑαυτοῦ, καὶ ἐκόψαντο αὐτόν· οὐαὶ ἀδελφέ.

Γ Βασ. 13,30 - Εκεί εθρήνησαν αυτόν οι άνθρωποι λέγοντες· “αλλοίμονον, αδελφέ”.

Γ Βασ. 13,31 - καὶ ἐγένετο μετὰ τὸ κόψασθαι αὐτὸν καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ λέγων· ἐὰν ἀποθάνω, θάψατέ με ἐν τῷ τάφῳ τούτῳ οὗ ὁ ἄνθρωπος

τοῦ Θεοῦ τέθαπται ἐν αὐτῷ· παρὰ τὰ ὀστᾶ αὐτοῦ θέτε με, ἵνα σωθῶσι τὰ ὀστᾶ μου μετὰ τῶν ὀστῶν αὐτοῦ·

Γ Βασ. 13,31 - Επειτα δε από τον θρήνον αυτόν είπεν ο γέρων προφήτης εις τα παιδιά του· “όταν αποθάνω, να με θάψετε στον τάφον αυτόν, όπου έχει ταφή ο άνθρωπος του Θεού. Θέσατέ με κοντά εις τα οστά αυτού, δια να σωθούν και τα ιδικά μου οστά με τα οστά εκείνου.

Γ Βασ. 13,32 - ὅτι γινόμενον ἔσται τὸ ῥῆμα, ὃ ἐλάλησεν ἐν λόγῳ Κυρίου ἐπὶ τὸ θυσιαστήριον ἐν Βαιθὴλ καὶ ἐπὶ τοὺς οἴκους τοὺς ὑψηλοὺς τοὺς ἐν Σαμαρείᾳ.

Γ Βασ. 13,32 - Διότι οπωσδήποτε θα πραγματοποιηθη ο λόγος, τον οποίον ωμίλησεν αυτός κατ' εντολήν του Κυρίου δια το θυσιαστήριον τούτο της Βαιθήλ και δια τους ναούς, οι οποίοι έχουν οικοδομηθή στους υψηλούς τόπους της Σαμαρείας”.

Γ Βασ. 13,33 - καὶ μετὰ τὸ ῥῆμα τοῦτο οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἐπέστρεψε καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν· ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγίνετο ἱερεὺς εἰς τὰ ὑψηλά.

Γ Βασ. 13,33 - Εν τούτοις ο Ιεροβοάμ παρά τον λόγον αυτόν του προφήτου δεν εσυνετίσθη και δεν μετενόησε δια την ασέβειάν του, αλλά συνέχισε την παρανομίαν του και εγκατέστησεν στους υψηλούς τόπους της ειδωλολατρείας ιερείς εκ του λαού, οι οποίοι δεν κατήγοντο από την φυλήν του Λευι. Ο οιοσδήποτε δε εγίνετο τότε ιερεύς στους ειδωλολατρικούς αυτούς ευκτηρίους οίκους.

Γ Βασ. 13,34 - καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ καὶ εἰς ὄλεθρον καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς.

Γ Βασ. 13,34 - Η ασεβής αυτή πράξις κατελογίσθη ως βαρεία αμαρτία στον οίκον του Ιεροβοάμ και έγινεν αιτία ολέθρου και αφανισμού αυτού από το πρόσωπον της γης.

Γ ΒΑΣΙΛΕΙΩΝ 14

Γ Βασ. 14,1 [Ἐν τῷ καιρῷ ἐκείνῳ ἠῤῥώστησεν Ἀβιὰ υἱὸς Ἱεροβοὰμ

Γ Βασ. 14,1 - Κατά τον καιρόν εκείνον αρρώστησεν ο Αβιά, ο υιός του Ιεροβοάμ.

Γ Βασ. 14,2 - καὶ εἶπεν ὁ Ἱεροβοὰμ πρὸς τὴν γυναῖκα αὐτοῦ· ἀνάστηθι καὶ ἀλλοιωθήσῃ, καὶ οὐ γνώσονται ὅτι σὺ γυνὴ Ἱεροβοάμ, καὶ πορευθήσῃ εἰς Σηλώ· καὶ ἰδοὺ ἐκεῖ Ἀχιὰ ὁ προφήτης, αὐτὸς ἐλάλησεν ἐμὲ τοῦ βασιλεῦσαι ἐπὶ τὸν λαὸν τοῦτον.

Γ Βασ. 14,2 - Ο Ιεροβοάμ είπεν εις την γυναίκα του· “σήκω, άλλαξε ενδύματα, ώστε να μη σε αναγνωρίσουν ότι είσαι η σύζυγος του Ιεροβοάμ,

και πήγαινε εις την Σηλώ. Ιδού εκεί ευρίσκεται ο προφήτης Αχιά. Αυτός ωμίλησεν εις εμέ εκ μέρους του Θεού, ότι θα γίνω βασιλεύς των δέκα τούτων φύλων.

Γ Βασ. 14,3 - καὶ λαβὲ εἰς τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ Θεοῦ ἄρτους καὶ κολλυρίδα τοῖς τέκνοις αὐτοῦ καὶ σταφίδας καὶ στάμνον μέλιτος, καὶ ἐλεύσῃ πρὸς αὐτόν. αὐτὸς ἀναγγείλῃ σοι τί ἔσται τῷ παιδί.

Γ Βασ. 14,3 - Παρε μαζή σου δια τον άνθρωπον αυτόν του Θεού ως δώρον άρτους και κουλλούρια δια τα τέκνα του και σταφίδες και μίαν στάμναν μέλι, και θα μεταβής προς αυτόν. Αυτός δε θα σου αναγγείλη, τι θα συμβή σχετικώς με την ασθένειαν του παιδιού μας”.

Γ Βασ. 14,4 - καὶ ἐποίησεν οὕτως γυνὴ Ἱεροβοάμ· καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σηλώ, καὶ εἰσῆλθεν ἐν οἴκῳ Ἀχιά· καὶ ὁ ἄνθρωπος πρεσβύτερος τοῦ ἰδεῖν, καὶ ἠμβλυώπουν οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ γήρους αὐτοῦ.

Γ Βασ. 14,4 - Η γυναίκα του Ιεροβοάμ έκαμε, όπως εκείνος της είχε πη. Εσηκώθη, ητοιμάσθη και επορεύθη εις Σηλώ. Εισήλθεν στον οίκον του Αχιά. Ο άνθρωπος αυτός ήτο γέρων και θαμπά έβλεπαν τα μάτια του εξ αιτίας του γήρατός του.

Γ Βασ. 14,5 - καὶ Κύριος εἶπε πρὸς Ἀχιά· ἰδοὺ γυνὴ τοῦ Ἱεροβοὰμ εἰσέρχεται τοῦ ἐκζητῆσαι ῥῆμα παρὰ σοῦ περὶ υἱοῦ αὐτῆς, ὅτι ἄῤῥωστός ἐστι· κατὰ τοῦτο καὶ κατὰ τοῦτο λαλήσεις πρὸς αὐτήν. καὶ ἐγένετο ἐν τῷ εἰσέρχεσθαι αὐτὴν καὶ αὐτὴ ἀπεξενοῦτο.

Γ Βασ. 14,5 - Ο Κυριος είπε προς τον Αχιά· “ιδού, έρχεται η γυνή του Ιεροβοάμ, δια να ζητήση την γνώμην σου σχετικώς με το παιδί της, που είναι άρρωστο. Ετσι και έτσι θα ομιλήσης προς αυτήν, όπως εγώ θα σου αποκαλύψω”. Οταν η γυνή του Ιεροβοάμ εισήλθεν στον οίκον του Αχιά, προσεποιείτο ότι δεν είναι σύζυγος του Ιεροβοάμ.

Γ Βασ. 14,6 - καὶ ἐγένετο ὡς ἤκουσεν Ἀχιὰ τὴν φωνὴν ποδῶν αὐτῆς, εἰσερχομένης αὐτῆς ἐν τῷ ἀνοίγματι, καὶ εἶπεν· εἴσελθε, γυνὴ Ἱεροβοάμ· ἱνατί σὺ τοῦτο ἀποξενοῦσαι; καὶ ἐγώ εἰμι ἀπόστολος πρός σε σκληρός.

Γ Βασ. 14,6 - Ο Αχιά, όταν ήκουσε τον θόρυβον των βημάτων της και καθ' ην στιγμήν εκείνη εισήρχετο δια της θύρας του οίκου, είπε προς αυτήν· “είσελθε, γυνή του Ιεροβοάμ· διατί προσπαθείς να παρουσιασθής ως άλλη γυναίκα; Εγώ είμαι διέ σε αγγελιαφόρος σκληρών ειδήσεων.

Γ Βασ. 14,7 - πορευθεῖσα εἰπὸν τῷ Ἱεροβοάμ· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἀνθ᾿ οὗ ὅσον ὕψωσά σε ἀπὸ μέσου λαοῦ καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ,

Γ Βασ. 14,7 - Πηγαινε και ειπέ στον Ιεροβοάμ· Αυτά λέγει Κυριος ο Θεός του Ισραήλ· εγώ σε ύψωσα και σε ανέδειξα εκ μέσου του λαού αυτού και σε κατέστησα βασιλέα επί τον λαόν μου τούτον των δέκα φυλών του Ισραήλ.

Γ Βασ. 14,8 - καὶ ἔῤῥηξα σὺν τὸ βασίλειον ἀπὸ τοῦ οἴκου Δαυὶδ καὶ ἔδωκα αὐτό σοι καὶ οὐκ ἐγένου ὡς ὁ δοῦλός μου Δαυίδ, ὃς ἐφύλαξε τὰς ἐντολάς μου καὶ ὃς ἐπορεύθη ὀπίσω μου ἐν πάσῃ καρδίᾳ αὐτοῦ ποιῆσαι ἕκαστος τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου

Γ Βασ. 14,8 - Διέρρηξα το βασίλειον του οίκου Δαυίδ και έδωσα αυτό εις σέ. Συ όμως δεν ανεδείχθης, όπως ο δούλος μου ο Δαυίδ, ο οποίος ετήρησε τας εντολάς μου και με ηκολούθησε με όλην του την καρδίαν, ώστε να πράττη το ορθόν πάντοτε ενώπιόν μου.

Γ Βασ. 14,9 - καὶ ἐπονηρεύσω τοῦ ποιῆσαι παρὰ παντός, ὅσοι ἐγένοντο εἰς πρόσωπόν σου καὶ ἐπορεύθης καὶ ἐποίησας σεαυτῷ θεοὺς ἑτέρους χωνευτὰ τοῦ παροργίσαι με καὶ ἐμὲ ἔῤῥιψας ὀπίσω σώματός σου·

Γ Βασ. 14,9 - Συ όμως διέπραξες πονηρίας μεγαλυτέρας από όλους τους Ισραηλίτας, οι οποίοι είχαν ζήσει προηγουμένως από σέ. Επορεύθης και κατεσκεύασες άλλους θεούς από μέταλλον, που εχύθη εις ειδικόν καλούπι, ώστε να με εξοργίσης εναντίον σου, επειδή με επέταξες έτσι όπισθέν σου.

Γ Βασ. 14,10 - διὰ τοῦτο ἐγὼ ἄγω κακίαν πρός σε εἰς οἶκον Ἱεροβοάμ· ἐξολοθρεύσω τοῦ Ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον ἐχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραὴλ καὶ ἐπιλέξω οἴκου Ἱεροβοάμ, καθὼς ἐπιλέγεται ἡ κόπρος, ὡς τελειωθῆναι αὐτόν·

Γ Βασ. 14,10 - Δια τούτο εγώ αποστέλλω τιμωρίαν εναντίον σου και εναντίον του οίκου Ιεροβοάμ. Θα εξολοθρεύσω από την οικογένειαν του Ιεροβοάμ κάθε αρσενικόν, δούλον η ελεύθερον. Θα σαρώσω την οικογένειαν του Ιεροβοάμ, όπως σαρώνεται η κόπρος, έως ότου θα ολοκληρωθή η καταστροφή της.

Γ Βασ. 14,11 - οἱ τεθνηκότες τοῦ Ἱεροβοὰμ ἐν τῇ πόλει, καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι Κύριος ἐλάλησε.

Γ Βασ. 14,11 - Οσοι εκ της οικογενείας του Ιεροβοάμ αποθνήσκουν μέσα εις την πόλιν, θα κατατρώγωνται από τους κύνας. Εκείνος δε ο οποίος πεθαίνει στον αγρόν, θα κατατρώγεται από τα πετεινά του ουρανού. Αυτά θα γίνουν, διότι ο Κυριος τα προανήγγειλε.

Γ Βασ. 14,12 - καὶ σὺ ἀναστᾶσα πορεύθητι εἰς τὸν οἶκόν σου· ἐν τῷ εἰσέρχεσθαι πόδα σου τὴν πόλιν, ἀποθανεῖται τὸ παιδάριον·

Γ Βασ. 14,12 - Συ, λοιπόν, σήκω τώρα και πήγαινε στον οίκον σου. Την ώραν, δε κατά την οποίαν το πόδι σου θα πατήση εις την πόλιν, το παιδί σου θα αποθάνη.

Γ Βασ. 14,13 - καὶ κόψονται αὐτὸν πᾶς Ἰσραὴλ καὶ θάψουσιν αὐτόν, ὅτι οὗτος μόνος εἰσελεύσεται τῷ Ἱεροβοὰμ πρὸς τάφον, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ Κυρίου Θεοῦ Ἰσραὴλ ἐν οἴκῳ Ἱεροβοάμ·

Γ Βασ. 14,13 - Θα θρηνήσουν αυτό όλοι οι Ισραηλίται και θα το θάψουν, διότι αυτό μόνον από την οικογένειαν του Ιεροβοάμ θα ταφή κανονικά στον τάφον, επειδή δι' αυτό ευρέθη κάποιος καλός λόγος παρά Κυρίου του Θεού του Ισραήλ μεταξύ όλης της οικογενείας Ιεροβοάμ.

Γ Βασ. 14,14 - καὶ ἀναστήσει Κύριος ἑαυτῷ βασιλέα ἐπὶ Ἰσραήλ, ὃς πλήξει τὸν οἶκον Ἱεροβοάμ ταύτῃ τῇ ἡμέρᾳ· καὶ τί καὶ νῦν;

Γ Βασ. 14,14 - Ο ίδιος δε ο Κυριος θα αναδείξη άλλο βασιλέα εις τας δέκα φυλάς του Ισραήλ, ο οποίος θα κτυπήση αποφασιστικά τον οίκον του Ιεροβοάμ κατά την ημέραν εκείνην. Αλλά τι λέγω; Εχει ήδη αρχίσει η τιμωρία αυτή.

Γ Βασ. 14,15 - Κύριος πλήξει τὸν Ἰσραήλ, καθὰ κινεῖται ὁ ἄνεμος ἐν τῷ ὕδατι, καὶ ἐκτελεῖ τὸν Ἰσραὴλ ἀπὸ ἄνω τῆς χθονὸς τῆς ἀγαθῆς ταύτης, ἧς ἔδωκε τοῖς πατράσιν αὐτῶν, καὶ λικμήσει αὐτοὺς ἀπὸ πέραν τοῦ ποταμοῦ· ἀνθ᾿ οὗ ὅσον ἐποίησαν τὰ ἄλση αὐτῶν παροργίζοντες τὸν Κύριον·

Γ Βασ. 14,15 - Ο Κυριος θα πλήξη τον ισραηλιτικόν λαόν, όπως αναταράσσει η θύελλα τα ύδατα, και θα ξερριζώση το βασίλειον του Ισραήλ από αυτήν την γην την εύφορον και γόνιμον, την οποίαν έδωκεν στους προπάτοράς του, και θα τους διασκορπίση πέραν από τον ποταμόν Ευφράτην. Τούτο δέ, διότι οικοδόμησαν ειδωλικούς ναούς και κατεσκεύασαν είδωλα μέσα εις ιερά άλση και παρώργισαν έτσι τον Κυριον.

Γ Βασ. 14,16 - καὶ παραδώσει Κύριος τὸν Ἰσραὴλ χάριν ἁμαρτιῶν Ἱεροβοάμ, ὃς ἥμαρτε καὶ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Γ Βασ. 14,16 - Θα παραδώση δε ο Κυριος τον ισραηλιτικόν λαόν εις αυτάς τας τιμωρίας εξ αιτίας των αμαρτιών του Ιεροβοάμ, ο οποίος ημάρτησεν ο ίδιος, αλλά και τον ισραηλιτικόν λαόν παρέσυρεν εις αμαρτίαν”.

Γ Βασ. 14,17 - καὶ ἀνέστη ἡ γυνὴ Ἱεροβοὰμ καὶ ἐπορεύθη εἰς γῆν Σαριρά· καὶ ἐγένετο ὡς εἰσῆλθεν ἐν τῷ προθύρῳ τοῦ οἴκου καὶ τὸ παιδάριον ἀπέθανε.

Γ Βασ. 14,17 - Η γυνή του Ιεροβοάμ εσηκώθη και επέστρεψεν εις την πόλιν Σαριρά. Οταν δε εισήλθον στο κατώφλι του σπιτιού της, το παιδί απέθανε.

Γ Βασ. 14,18 - καὶ ἔθαψαν αὐτὸν καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραήλ, κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἀχιὰ τοῦ προφήτου.

Γ Βασ. 14,18 - Εθαψαν αυτό και το εθρήνησαν όλοι οι Ισραηλίται σύμφωνα με τον λόγον, τον οποίον είπεν ο Κυριος δια του δούλου αυτού του προφήτου Αχιά.

Γ Βασ. 14,19 - καὶ περισσὸν ῥημάτων Ἱεροβοάμ, ὅσα ἐπολέμησε καὶ ὅσα ἐβασίλευσεν, ἰδοὺ αὐτὰ γεγραμμένα ἐπὶ βιβλίου ῥημάτων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραὴλ.

Γ Βασ. 14,19 - Τα δε άλλα έργα του Ιεροβοάμ, τα πολεμικά του έργα και όσα άλλα έργα έκαμε κατά το διάστημα της βασιλείας του, όλα αυτά είναι

γραμμένα στο βιβλίον, που επιγράφεται “έργα και ημέραι των βασιλέων του Ισραήλ”.

Γ Βασ. 14,20 - καὶ αἱ ἡμέραι, ἃς ἐβασίλευσεν Ἱεροβοὰμ εἴκοσι δύο ἔτη· καὶ ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐβασίλευσε Ναβὰτ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.]

Γ Βασ. 14,20 - Τα έτη δέ, κατά τα οποία εβασίλευσεν ο Ιεροβοάμ, ανήλθαν εις είκοσι δύο. Απέθανε και ετάφη με τους πατέρας αυτού και τον διεδέχθη στον βασιλικόν θρόνον ο υιός του, ο Ναβάτ.

Γ Βασ. 14,21 - Καὶ Ῥοβοὰμ υἱὸς Σαλωμὼν ἐβασίλευσεν ἐπὶ Ἰούδαν· υἱὸς τεσσαράκοντα καὶ ἑνὸς ἐνιαυτῶν Ῥοβοὰμ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελέξατο Κύριος θέσθαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ ἐκ πασῶν φυλῶν τοῦ Ἰσραήλ· καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ Νααμὰ ἡ Ἀμμωνῖτις.

Γ Βασ. 14,21 - Βασιλεύς στο βασίλειον του Ιούδα ήτο τότε ο Ροβοάμ, ο υιός του Σολομώντος. Τεσσαράκοντα και ενός ετών ήτο, όταν αυτός ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσε δεκαεπτά έτη εις την πόλιν Ιερουσαλήμ, την οποίαν ο Κυριος εξέλεξεν από όλας τας ισραηλιτικάς πόλεις, δια να δοξάζεται και λατρεύεται εκεί το Ονομά του. Το όνομα της μητρός του Ροβοάμ ήτο Νααμά. Αυτή δε κατήγετο από την φυλήν των Αμμωνιτών.

Γ Βασ. 14,22 - καὶ ἐποίησε Ῥοβοὰμ τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ παρεζήλωσεν αὐτὸν ἐν πᾶσιν, οἷς ἐποίησαν οἱ πατέρες αὐτῶν ἐν ταῖς ἁμαρτίαις αὐτῶν, αἷς ἥμαρτον,

Γ Βασ. 14,22 - Και ο Ροβοάμ διέπραξεν επίσης πονηρά ενώπιον του Κυρίου και εξώργισε τον Θεόν εναντίον του περισότερον, από όσον τον είχαν εξοργίσει οι προπάτορές του με τας ιδικάς των αμαρτίας, τας οποίας είχαν διαπράξει.

Γ Βασ. 14,23 - καὶ ᾠκοδόμησαν ἑαυτοῖς ὑψηλὰ καὶ στήλας καὶ ἄλση ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ὑποκάτω παντὸς ξύλου συσκίου.

Γ Βασ. 14,23 - Αυτοί εξέλεξαν υψώματα, όπου έστησαν ειδωλικάς στήλας και αγάλματα ειδωλικών θεών εις κάθε υψηλόν λόφον και κάτω από ευσκιόφυλλα δένδρα.

Γ Βασ. 14,24 - καὶ σύνδεσμος ἐγενήθη ἐν τῇ γῇ, καὶ ἐποίησαν ἀπὸ πάντων τῶν βδελυγμάτων τῶν ἐθνῶν, ὧν ἐξῆρε Κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ.

Γ Βασ. 14,24 - Ετσι ολόκληρος η χώρα παρεσύρθη εις την ειδωλολατρείαν και αποστασίαν, διότι κατεσκεύασαν συχαμερά είδωλα όλων των ειδωλικών θεοτήτων, που είχαν τα άλλα έθνη, και τα οποία είδωλα ο Κυριος είχεν εξαφανίσει εκ μέσου των Ισροηλιτών.

Γ Βασ. 14,25 - καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ πέμπτῳ βασιλεύοντος Ῥοβοάμ, ἀνέβη Σουσακὶμ βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλὴμ

Γ Βασ. 14,25 - Κατά το πέμπτον έτος της βασιλείας του Ροβοάμ ανέβη από την Αίγυπτον ο βασιλεύς Σουσακίμ και εισήλθεν εις την Ιερουσαλήμ.

Γ Βασ. 14,26 - καὶ ἔλαβε πάντας τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ τὰ δόρατα τὰ χρυσᾶ, ἃ ἔλαβε Δαυὶδ ἐκ χειρὸς τῶν παίδων Ἀδραζὰρ βασιλέως Σουβά, καὶ εἰσήνεγκεν αὐτὰ εἰς Ἱερουσαλὴμ τὰ πάντα, ἃ ἔλαβεν, ὅπλα τὰ χρυσᾶ, ὅσα ἐποίησε Σαλωμών, καὶ ἐπήνεγκεν αὐτὰ εἰς Αἴγυπτον.

Γ Βασ. 14,26 - Νικητής δε καθώς ήτο, επήρεν όλους τους θησαυρούς από τον ναόν του Κυρίου και τους θησαυρούς από το ανάκτορον του βασιλέως και τα χρυσά δόρατα, τα οποία ο Δαυίδ είχε πάρει από τα χέρια των δούλων του Αδραζάρ, βασιλέως Σουβά, και τα οποία είχε φέρει εις την Ιερουσαλήμ. Ολα αυτά τα επήρεν ο Σουσακίμ, όπλα χρυσά όσα έκαμεν ο Σολομών, και τα έφερεν εις την Αίγυπτον.

Γ Βασ. 14,27 - καὶ ἐποίησε Ῥοβοὰμ ὁ βασιλεὺς ὅπλα χαλκᾶ ἀντ᾽ αὐτῶν. καὶ ἐπέθεντο ἐπ᾽ αὐτὸν οἱ ἡγούμενοι τῶν παρατρεχόντων οἱ φυλάσσοντες τὸν πυλῶνα οἴκου βασιλέως.

Γ Βασ. 14,27 - Ο Ροβοάμ κατεσκεύασεν αντί αυτών των χρυσών όπλων χάλκινα όπλα. Αυτά δε οι αρχηγοί της βασιλικής σωματοφυλακής, οι οποίοι εφρουρούσαν την πύλην του βασιλικού ανακτόρου, τα ετοποθέτησαν εις την θέσιν, όπου προηγουμένως υπήρχον τα χρυσά όπλα.

Γ Βασ. 14,28 - καὶ ἐγένετο ὅτε εἰσεπορεύετο ὁ βασιλεὺς εἰς οἶκον Κυρίου, καὶ ᾖρον αὐτὰ οἱ παρατρέχοντες καὶ ἀπηρείδοντο αὐτὰ εἰς τὸ θεὲ τῶν παρατρεχόντων.

Γ Βασ. 14,28 - Καθε φοράν δε που ο βασιλεύς εν επισήμω πομπή εισήρχετο στον ναόν του Κυρίου, οι σωματοφύλακες οι συνοδεύοντες αυτόν ελάμβανον τα όπλα. Μετά δε την επίσημον πομπήν, τα ετοποθετούσαν πάλιν εις την αίθουσαν των φρουρών.

Γ Βασ. 14,29 - καὶ τὰ λοιπὰ τῶν λόγων Ῥοβοὰμ καὶ πάντα, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Γ Βασ. 14,29 - Τα υπόλοιπα έργα του Ροβοάμ και όλα όσα έκαμεν, αυτά δεν περιέχονται εις τα χρονικά των βασιλέων του βασιλείου Ιούδα;

Γ Βασ. 14,30 - καὶ πόλεμος ἦν ἀνὰ μέσον Ῥοβοὰμ καὶ ἀνὰ μέσον Ἱεροβοὰμ πάσας τὰς ἡμέρας.

Γ Βασ. 14,30 - Πολεμος δε υπήρχε μεταξύ του Ροβοάμ και του Ιεροβοάμ όλας τας ημέρας της βασιλείας των.

Γ Βασ. 14,31 - καὶ ἐκοιμήθη Ῥοβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἀβιοὺ ὁ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Γ Βασ. 14,31 - Απέθανεν ο Ροβοάμ και ετάφη, όπου είχον ταφή οι πατέρες του, εις την πόλιν Δαυίδ. Αντ' αυτού δε έγινε βασιλεύς ο υιός του, ο

Αβιού.

Γ ΒΑΣΙΛΕΙΩΝ 15

Γ Βασ. 15,1 - Καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύοντος Ἱεροβοὰμ υἱοῦ Ναβάτ, βασιλεύει Ἀβιοὺ υἱὸς Ῥοβοὰμ ἐπὶ Ἰούδαν.

Γ Βασ. 15,1 - Ο Αβιού, ο υιός του Ροβοάμ, έγινε βασιλεύς της Ιουδαίας κατά το δέκατον όγδοον έτος της βασιλείας του Ιεροβοάμ, του υιού του Ναβάτ.

Γ Βασ. 15,2 - καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Μααχά, θυγάτηρ Ἀβεσσαλώμ,

Γ Βασ. 15,2 - Αυτός εβασίλευσε τρία έτη επί της Ιουδαίας έχων πρωτεύουσάν του την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Μααχά και ήτο εγγονή του Αβεσσαλώμ.

Γ Βασ. 15,3 - καὶ ἐπορεύθη ἐν ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ, αἷς ἐποίησεν ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου Θεοῦ αὐτοῦ ὡς ἡ καρδία τοῦ πατρὸς αὐτοῦ.

Γ Βασ. 15,3 - Αλλά και ο Αβιού επορεύθη εις τας αμαρτίας, τας οποίας είχε διαπράξει και ο πατήρ του προ αυτού. Ετσι δε η καρδία του δεν ήτο τελεία απέναντι του Θεού, όπως ήτο η καρδία του προπάτορός του Δαυίδ.

Γ Βασ. 15,4 - ὅτι διὰ Δαυὶδ ἔδωκεν αὐτῷ Κύριος κατάλειμμα, ἵνα στήσῃ τὰ τέκνα αὐτοῦ μετ᾿ αὐτὸν καὶ στήσῃ τὴν Ἱερουσαλήμ,

Γ Βασ. 15,4 - Προς χάριν όμως του Δαυίδ έδωκεν εις αυτόν ο Κυριος υιόν ως διάδοχον του βασιλικού θρόνου, δια να αναδείξη έτσι τέκνα ύστερα από αυτόν ως βασιλείς και να σταθεροποιήση την Ιερουσαλήμ ως πρωτεύουσαν του βασιλείου του.

Γ Βασ. 15,5 - ὡς ἐποίησε Δαυὶδ τὸ εὐθὲς ἐνώπιον Κυρίου, οὐκ ἐξέκλινεν ἀπὸ πάντων, ὧν ἐνετείλατο αὐτῷ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Γ Βασ. 15,5 - Διότι ο Δαυίδ έπραξε το ορθόν ενώπιον του Κυρίου και όλας τας ημέρας της ζωής του δεν παρεξέκλινεν από όλα, όσα είχε διατάξει εις αυτόν ο Κυριος.

Γ Βασ. 15,7 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἀβιοὺ τὰ πάντα, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; καὶ πόλεμος ἦν ἀνὰ μέσον Ἀβιοὺ καὶ ἀνὰ μέσον Ἱεροβοάμ.

Γ Βασ. 15,7 - Ολα τα άλλα έργα του Αβιού, όλα όσα έκαμε δεν υπάρχουν αυτά γραμμένα στο βιβλίον "Εργα και ημέραι των βασιλέων του Ιούδα;» Πολεμος δε υπήρχε κατά το διάστημα της ζωής των μεταξύ Αβιού και μεταξύ Ιεροβοάμ.

Γ Βασ. 15,8 - καὶ ἐκοιμήθη Ἀβιοὺ μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ εἰκοστῷ καὶ τετάρτῳ ἔτει τοῦ Ἱεροβοὰμ καὶ θάπτεται μετὰ τῶν πατέρων

αὐτοῦ ἐν πόλει Δαυίδ, καὶ βασιλεύει Ἀσὰ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 15,8 - Απέθανεν ο Αβιού και ετάφη μαζή με τους προγόνους αυτού κατά το εικοστόν τέταρτον έτος της βασιλείας του Ιεροβοάμ και ετάφη, όπου και οι πρόγονοί του εις την πόλιν Δαυίδ. Εβασίλευσε δε αντ' αυτού ο υιός του ο Ασά.

Γ Βασ. 15,9 - Ἐν τῷ ἐνιαυτῷ τετάρτῳ καὶ εἰκοστῷ τοῦ Ἱεροβοὰμ βασιλέως Ἰσραὴλ βασιλεύει Ἀσὰ ἐπὶ Ἰούδαν

Γ Βασ. 15,9 - Κατά το εικοστόν τέταρτον έτος της βασιλείας του Ιεροβοάμ, βασιλέως του Ισραήλ, έγινε βασιλεύς στο βασίλειον του Ιούδα ο Ασά.

Γ Βασ. 15,10 - καὶ τεσσαράκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἀνὰ θυγάτηρ Ἀβεσσαλώμ.

Γ Βασ. 15,10 - Αυτός με πρωτεύουσαν την Ιερουσαλήμ εβασίλευσεν επί τεσσαράκοντα και εν έτη. Η μητέρα του ωνομάζετο Ανά, ήτο δε απόγονος του Αβεσσαλώμ.

Γ Βασ. 15,11 - καὶ ἐποίησεν Ἀσὰ τὸ εὐθὲς ἐνώπιον Κυρίου ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ.

Γ Βασ. 15,11 - Ο Ασά έπραξε το ορθόν ενώπιον του Κυρίου, όπως και ο προπάτωρ αυτού ο Δαυίδ.

Γ Βασ. 15,12 - καὶ ἀφεῖλε τὰς τελετὰς ἀπὸ τῆς γῆς καὶ ἐξαπέστειλε πάντα τὰ ἐπιτηδεύματα, ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ.

Γ Βασ. 15,12 - Κατήργησε τας ειδωλολατρικάς τελετάς από την χώραν του και απεμάκρυνε όλα τα είδωλα και τας ειδωλολατρικάς συνηθείας, τας οποίας είχαν εισαγάγει οι πρόγονοί του.

Γ Βασ. 15,13 - καὶ τὴν Ἀνὰ τὴν μητέρα ἑαυτοῦ μετέστησε τοῦ μὴ εἶναι ἡγουμένην, καθὼς ἐποίησε σύνοδον ἐν τῷ ἄλσει αὐτῆς, καὶ ἐξέκοψεν Ἀσὰ τὰς καταδύσεις αὐτῆς καὶ ἐνέπρησε πυρὶ ἐν τῷ χειμάῤῥῳ Κέδρων.

Γ Βασ. 15,13 - Από δε την μητέρα του την Ανά αφήρεσε κάθε εξουσίαν, ώστε να μη κατέχη αυτή καаμίαν εξέχουσαν θέσιν και τούτο διότι κατεσκεύασεν αύτη ευκτήριον οίκον στο άλσος και ετοποθέτησεν ειδωλικόν θεόν. Ο Ασά κατέστρεψε τα μυστικά σπήλαια της λατρείας των ειδώλων και παρέδωσεν στο πυρ τα είδωλα στον χείμαρρον των Κέδρων.

Γ Βασ. 15,14 - τὰ δὲ ὑψηλὰ οὐκ ἐξῇρε· πλὴν ἡ καρδία Ἀσὰ ἦν τελεία μετὰ Κυρίου πάσας τὰς ἡμέρας αὐτοῦ.

Γ Βασ. 15,14 - Τους υψηλούς όμως ειδωλολατρικούς τόπους δεν κατέστρεψεν. Εν τούτοις η καρδία του Ασά ήτο καθ' όλον τον χρόνον της ζωής του αφιερωμένη στον Κυριον.

Γ Βασ. 15,15 - καὶ εἰσήνεγκε τοὺς κίονας τοῦ πατρὸς αὐτοῦ καὶ τοὺς κίονας αὐτοῦ εἰσήνεγκεν εἰς τὸν οἶκον Κυρίου, ἀργυροῦς καὶ χρυσοῦς καὶ σκεύη.

Γ Βασ. 15,15 - Ο Ασά επανέφερεν στον ναόν του Κυρίου τους κίονας του πατρός του και τους ιδικούς του αργυρούς και χρυσούς κίονας, όπως και τα

ιερά σκεύη.

Γ Βασ. 15,16 - καὶ πόλεμος ἦν ἀνὰ μέσον Ἀσὰ καὶ ἀνὰ μέσον Βαασὰ βασιλέως Ἰσραὴλ πάσας τὰς ἡμέρας αὐτῶν.

Γ Βασ. 15,16 - Αλλά μεταξύ του Ασά και του Βαασά, βασιλέως του βασιλείου Ισραήλ, εσυνεχίζετο πόλεμος όλας τας ημέρας της ζωής των.

Γ Βασ. 15,17 - καὶ ἀνέβη Βαασὰ βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰούδαν καὶ ᾠκοδόμησε τὴν Ῥαμὰ τοῦ μὴ εἶναι ἐκπορευόμενον καὶ εἰσπορευόμενον τῷ Ἀσὰ βασιλεῖ Ἰούδα.

Γ Βασ. 15,17 - Ο Βαασά, ο βασιλεύς του Ισραηλιτικού βασιλείου, εξεστράτευσεν εναντίον του βασιλείου Ιούδα και ωχύρωσε την Ραμά, ώστε να μη ημπορή κανείς άνθρωπος του Ασά, του βασιλέως Ιούδα, να εισέρχεται και να εξέρχεται εις την χώραν του.

Γ Βασ. 15,18 - καὶ ἔλαβεν Ἀσὰ σύμπαν τὸ ἀργύριον καὶ τὸ χρυσίον τὸ εὑρεθὲν ἐν τοῖς θησαυροῖς οἴκου Κυρίου καὶ ἐν τοῖς θησαυροῖς τοῦ οἴκου τοῦ βασιλέως καὶ ἔδωκεν αὐτὰ εἰς χεῖρας παίδων αὐτοῦ, καὶ ἐξαπέστειλεν αὐτοὺς ὁ βασιλεὺς Ἀσὰ πρὸς υἱὸν Ἄδερ υἱὸν Ταβερεμμὰν υἱοῦ Ἀζὶν βασιλέως Συρίας τοῦ κατοικοῦντος ἐν Δαμασκῷ λέγων·

Γ Βασ. 15,18 - Επήρε τότε ο Ασά όλον το αργύριον και το χρυσίον, που υπήρχεν στο θησαυροφυλάκιον του ναού του Κυρίου και στο θησαυροφυλάκιον του βασιλικού του ανακτόρου, παρέδωσεν αυτά εις τα χέρια εμπίστων δούλων του και τα έστειλεν ο βασιλεύς Ασά προς τον υιόν Αδερ, υιόν του Ταβερεμμάν, υιού του Αζίν βασιλέως της Συρίας, ο οποίος κατοικούσεν εις την Δαμασκόν και του παρήγγειλε·

Γ Βασ. 15,19 - διάθου διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τοῦ πατρός μου καὶ τοῦ πατρός σου· ἰδοὺ ἐξαπέσταλκά σοι δῶρα ἀργύριον καὶ χρυσίον, δεῦρο διασκέδασον τὴν διαθήκην σου τὴν πρὸς Βαασὰ βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται ἀπ᾿ ἐμοῦ.

Γ Βασ. 15,19 - “ας συνάψωμεν συμφωνίαν φιλίας μεταξύ μας ομοίαν προς εκείνην, η οποία υπήρχε μεταξύ του ιδικού μου πατρός και του ιδικού σου πατρός. Ιδού, σου έστειλα ως δώρα αργύριον και χρυσίον. Εμπρός, λοιπόν, διάλυσε την συμφωνίαν σου με τον Βαασά, τον βασιλέα Ισραήλ, δια να απομακρυνθή έτσι αυτός από την χώραν μου”.

Γ Βασ. 15,20 - καὶ ἤκουσεν υἱὸς Ἄδερ τοῦ βασιλέως Ἀσὰ καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῶν δυνάμεων αὐτοῦ ταῖς πόλεσι τοῦ Ἰσραὴλ καὶ ἐπάταξαν τὴν Ἀΐν, τὴν Δὰν καὶ τὴν Ἀβελμαὰ καὶ πᾶσαν τὴν Χεννερὲθ ἕως πάσης τῆς γῆς Νεφθαλί.

Γ Βασ. 15,20 - Ο υιός Αδερ ήκουσε και εδέχθη την πρότασιν του βασιλέως Ασά και απέστειλε τους αρχηγούς των στρατιωτικών του δυνάμεων εναντίον των πόλεων του βασιλείου Ισραήλ. Εκείνοι δε προσέβαλαν και κατέλαβαν την πόλιν Αΐν, την Δαν, την Αβελμαά και όλην

την περιοχήν της Γεννησαρέτ μέχρι και όλης της χώρας, η οποία ανήκεν εις την φυλήν Νεφθαλί.

Γ Βασ. 15,21 - καὶ ἐγένετο ὡς ἤκουσε Βαασά, καὶ διέλιπε τοῦ οἰκοδομεῖν τὴν Ῥαμὰ καὶ ἀνέστρεψεν εἰς Θερσά.

Γ Βασ. 15,21 - Ο Βαασά όταν ήκουσε τα γεγονότα αυτά, εσταμάτησε πλέον να οχυρώνη την Ραμά και επέστρεψεν εις την πόλιν Θερσά.

Γ Βασ. 15,22 - καὶ ὁ βασιλεὺς Ἀσὰ παρήγγειλε παντὶ Ἰούδα εἰς Αἰνακίμ, καὶ αἴρουσι τοὺς λίθους τῆς Ῥαμὰ καὶ τὰ ξύλα αὐτῆς, ἃ ᾠκοδόμησε Βαασά, καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς ὁ βασιλεὺς Ἀσὰ πᾶν βουνὸν Βενιαμὶν καὶ τὴν σκοπιάν.

Γ Βασ. 15,22 - Τοτε δε ο βασιλεύς Ασά έδωσεν εντολήν εις όλους τους άνδρας της φυλής Ιούδα εις Αινακίμ, να σηκώσουν και να μεταφέρουν τους λίθους της Ραμά και τα ξύλα αυτής, τα οποία είχε χρησιμοποιήσει προς οχύρωσίν της ο Βαασά. Δι' αυτών δε ωχύρωσεν ο βασιλεύς Ασά όλους τους λόφους και τα υψώματα της φυλής Βενιαμίν και την σκοπιάν.

Γ Βασ. 15,23 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἀσὰ καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, ἣν ἐποίησε, καὶ τὰς πόλεις, ἃς ᾠκοδόμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; πλὴν ἐν τῷ καιρῷ τοῦ γήρως αὐτοῦ ἐπόνεσε τοὺς πόδας αὐτοῦ.

Γ Βασ. 15,23 - Τα δε αλλά έργα του Ασά και όλα τα μεγάλα αυτού κατορθώματα, που είχε πράξει, και αι πόλεις τας οποίας ωχύρωσε, όλα αυτά δεν είναι γραμμένα στο βιβλίον των λόγων και των έργων των βασιλέων Ιούδα; Αλλά κατά τον καιρόν των γηρατείων του υπέφερεν αυτός από πόνους των ποδών του.

Γ Βασ. 15,24 - καὶ ἐκοιμήθη Ἀσὰ μετὰ τῶν πατέρων αὐτοῦ καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυὶδ πατρὸς αὐτοῦ, καὶ βασιλεύει Ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 15,24 - Ο Ασά εκοιμήθη και προσετέθη στους προγόνους του και ετάφη στους τάφους των προγόνων του εις την πόλιν Δαυίδ, του προπάτορός του. Αντ' αυτού δε εβασίλευσεν στο βασίλειον του Ιούδα ο υιός του ο Ιωσαφάτ.

Γ Βασ. 15,25 - Καὶ Ναδὰβ υἱὸς Ἱεροβοὰμ βασιλεύει ἐπὶ Ἰσραήλ ἐν ἔτει δευτέρῳ τοῦ Ἀσὰ βασιλέως Ἰούδα καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ ἔτη δύο.

Γ Βασ. 15,25 - Ο Ναδάβ, ο υιός του Ιεροβοάμ, εβασίλευσεν στο βασίλειον του Ισραήλ κατά το δεύτερον έτος της βασιλείας του Ασά, βασιλέως του βασιλείου Ιούδα. Εβασίλευσε δε δύο έτη στο βασίλειον του Ισραήλ.

Γ Βασ. 15,26 - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐπορεύθη ἐν ὁδῷ τοῦ πατρὸς αὐτοῦ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἐξήμαρτε τὸν Ἰσραὴλ.

Γ Βασ. 15,26 - Αυτός όμως διέπραξε το πονηρόν ενώπιον του Κυρίου και επορεύθη τον δρόμον των αμαρτιών του πατρός του, δια των οποίων εκείνος είχε παρασύρει τους Ισραηλίτας προς την αμαρτίαν.

Γ Βασ. 15,27 - καὶ περιεκάθισεν αὐτὸν Βαασὰ υἱὸς Ἀχιὰ ἐπὶ τὸν οἶκον Βελαὰν καὶ ἐχάραξεν αὐτὸν ἐν Γαβαθὼν τῇ τῶν ἀλλοφύλων, καὶ Ναδὰβ καὶ πᾶς Ἰσραὴλ περιεκάθητο ἐπὶ Γαβαθών.

Γ Βασ. 15,27 - Ο Βαασά, υιός του Αχιά, περιεκύκλωσε τον Ναδάβ ευρισκόμενον στον ειδωλολατρικόν ναόν Βεελάν και δι' οχυρώματος περιέκλεισεν αυτόν εις την Γαβαθών, την πόλιν των αλλοφύλων. Ο δε Ναδάβ και όλος ο ισραηλιτικός λαός είχον τότε περικυκλώσει την Γαβαθών.

Γ Βασ. 15,28 - καὶ ἐθανάτωσεν αὐτὸν Βαασὰ ἐν ἔτει τρίτῳ τοῦ Ἀσὰ υἱοῦ Ἀβιοὺ βασιλέως Ἰούδα καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 15,28 - Ο Βαασά εθανάτωσε τον Ναδάβ κατά το τρίτον έτος της βασιλείας του Ασά, υιού Αβιού του βασιλέως Ιούδα και εβασίλευσεν αυτός αντί εκείνου.

Γ Βασ. 15,29 - καὶ ἐγένετο ὡς ἐβασίλευσε, καὶ ἐπάταξεν ὅλον τὸν οἶκον Ἱεροβοὰμ καὶ οὐχ ὑπελίπετο πᾶσαν πνοὴν τοῦ Ἱεροβοὰμ ἕως τοῦ ἐξολοθρεῦσαι αὐτὸν κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἀχιὰ τοῦ Σηλωνίτου

Γ Βασ. 15,29 - Οταν δε αυτός έγινε βασιλεύς, εξωλόθρευσεν όλην την οικογένειαν του Ιεροβοάμ. Δεν αφήκε κανένα μέλος της οικογενείας του Ιεροβοάμ εις την ζωήν. Τους εξωλόθρευσεν όλους σύμφωνα με την προφητείαν του Κυρίου, την οποίαν είχεν είπει δια μέσου του δούλου του, του προφήτου Αχιά του Σηλωνίτου.

Γ Βασ. 15,30 - περὶ τῶν ἁμαρτιῶν Ἱεροβοάμ, ὡς ἐξήμαρτε τὸν Ἰσραήλ, καὶ ἐν τῷ παροργισμῷ αὐτοῦ, ᾧ παρώργισε τὸν Κύριον Θεὸν τοῦ Ἰσραήλ.

Γ Βασ. 15,30 - Η φοβερά αυτή τιμωρία είχε προφητευθή τότε εξ αιτίας των αμαρτιών του Ιεροβοάμ και διότι αυτός είχε παροργίσει τον Κυριον τον Θεόν του Ισραηλιτικού λαού, με το να παρακινήση και να εξωθήση τον λαόν εις την ειδωλολατρείαν.

Γ Βασ. 15,31 - καὶ τὰ λοιπὰ τῶν λόγων Ναδὰβ καὶ πάντα, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Γ Βασ. 15,31 - Τα υπόλοιπα έργα του Ναδάβ, όλα όσα έκαμε, ιδού, δεν είναι γραμμένα στο βιβλίον “έργα και ημέραι των βασιλέων του Ισραήλ”;

Γ Βασ. 15,33 - Καὶ ἐν τῷ ἔτει τῷ τρίτῳ τοῦ Ἀσὰ βασιλέως Ἰούδα βασιλεύει Βαασὰ υἱὸς Ἀχιὰ ἐπὶ Ἰσραὴλ ἐν Θερσὰ εἴκοσι καὶ τέσσαρα ἔτη.

Γ Βασ. 15,33 - Κατά δε το τρίτον έτος της βασιλείας του Ασά, βασιλέως του βασιλείου του Ιούδα, εβασίλευσεν ο Βαασά, ο υιός του Αχιά, στο βασίλειον του Ισραήλ με πρωτεύουσαν την Θερσά επί είκοσι τέσσαρα έτη.

Γ Βασ. 15,34 - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐπορεύθη ἐν ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, ὡς ἐξήμαρτε τὸν Ἰσραήλ.

Γ Βασ. 15,34 - Και αυτός όμως έπραξε το πονηρόν ενώπιον του Κυρίου. Παρεσύρθη εις την ειδωλολατρείαν και εβάδισε τον δρόμον του Ιεροβοάμ, του υιού του Ναβάτ, υποπεσών εις τας ιδίας αμαρτίας, δια των οποίων εκείνος είχεν οδηγήσει τον ισραηλιτικόν λαόν εις την ειδωλολατρείαν.

Γ ΒΑΣΙΛΕΙΩΝ 16

Γ Βασ. 16,1 - Καὶ ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἰοὺ υἱοῦ Ἀνανὶ πρὸς Βαασά·

Γ Βασ. 16,1 - Ο Κυριος δια του Ιού, υιού του Ανανί, ωμίλησε προς τον βασιλέα Βαασά και είπεν·

Γ Βασ. 16,2 - ἀνθ᾿ ὧν ὕψωσά σε ἀπὸ τῆς γῆς καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραὴλ καὶ ἐπορεύθης ἐν τῇ ὁδῷ Ἱεροβοὰμ καὶ ἐξήμαρτες τὸν λαόν μου τὸν Ἰσραήλ, τοῦ παροργίσαι με ἐν τοῖς ματαίοις αὐτῶν,

Γ Βασ. 16,2 - "Ενώ εγώ σε ανέδειξα εκ του μηδενός και σε εγκατέστησα βασιλέα του Ισραηλιτικού μου λαού, συ ηκολούθησες τον αμαρτωλόν δρόμον του Ιεροβοάμ και παρέσυρες τον λαόν μου εις την αμαρτίαν, δια να με παροργίσουν έτσι οι Ισραηλίται με την ειδωλολατρείαν των.

Γ Βασ. 16,3 - ἰδοὺ ἐγὼ ἐξεγείρω ὀπίσω Βαασὰ καὶ ὄπισθεν τοῦ οἴκου αὐτοῦ καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβάτ·

Γ Βασ. 16,3 - Δια τούτο θα αναδείξω εγώ έπειτα από σε και την οικογένειάν σου άλλον βασιλέα και θα παραδώσω εις όλεθρον την οικογένειάν σου, όπως παρέδωσα την οικογένειαν Ιεροβοάμ του υιού Ναβάτ.

Γ Βασ. 16,4 - τὸν τεθνηκότα τοῦ Βαασὰ ἐν τῇ πόλει καταφάγονται αὐτὸν οἱ κύνες, καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ καταφάγονται αὐτὸν τὰ πετεινὰ τοῦ οὐρανοῦ.

Γ Βασ. 16,4 - Οσοι από την οικογένειαν του Βαασά θα πεθαίνουν εις την πόλιν θα τους κατατρώγουν τα σκυλιά. Τους νεκρούς δε στους αγρούς θα τους φάγουν τα σαρκοβόρα όρνεα του ουρανού".

Γ Βασ. 16,5 - καὶ τὰ λοιπὰ τῶν λόγων Βαασὰ καὶ πάντα ἃ ἐποίησε, καὶ αἱ δυναστεῖαι αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ;

Γ Βασ. 16,5 - Τα υπόλοιπα από τα έργα του Βαασά, που έκαμε, και τα κατορθώματά του είναι γραμμένα στο βιβλίον λόγων και έργων των βασιλέων του Ισραήλ.

Γ Βασ. 16,6 - καὶ ἐκοιμήθη Βαασὰ μετὰ τῶν πατέρων αὐτοῦ καὶ θάπτεται ἐν Θερσά, καὶ βασιλεύει Ἠλὰ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ ἐν τῷ εἰκοστῷ ἔτει βασιλέως Ἀσά.

Γ Βασ. 16,6 - Ο Βαασά εκοιμήθη με τους πατέρας αυτού και ετάφη εις Θερσά. Αντ' αυτού δε εβασίλευσεν ο Ηλά, ο υιός του, κατά το εικοστόν έτος της βασιλείας του Ασά.

Γ Βασ. 16,7 - καὶ ἐν χειρὶ Ἰοὺ υἱοῦ Ἀνανὶ ἐλάλησε Κύριος ἐπὶ Βαασὰ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ πᾶσαν τὴν κακίαν, ἣν ἐποίησεν ἐνώπιον Κυρίου τοῦ παροργίσαι αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, τοῦ εἶναι κατὰ τὸν οἶκον Ἱεροβοάμ, καὶ ὑπὲρ τοῦ πατάξαι αὐτόν.

Γ Βασ. 16,7 - Ο Κυριος δια του στόματος του Ιού, υιού του Ανανί, ωμίλησεν εναντίον του Βαασά και της οικογενείας του εξ αιτίας της κακίας, την οποίαν έπραξεν αυτός ενώπιον του Κυρίου, ώστε να παροργίση αυτόν, με εκείνα που έκαμε, γενόμενος όμοιος με τον Ιεροβοάμ, του οποίου την οικογένειαν αυτός ούτος ο Βαασά είχεν εξολοθρεύσει.

Γ Βασ. 16,8 - Καὶ Ἠλὰ υἱὸς Βαασὰ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ δύο ἔτη ἐν Θερσά.

Γ Βασ. 16,8 - Ο Ηλά, ο υιός του Βαασά, έγινε βασιλεύς του ισραηλιτικού βασιλείου επί δύο έτη εις την πόλιν Θερσά.

Γ Βασ. 16,9 - καὶ συνέστρεψεν ἐπ᾿ αὐτὸν Ζαμβρὶ ὁ ἄρχων τῆς ἡμίσους τῆς ἵππου, καὶ αὐτὸς ἦν ἐν Θερσὰ πίνων μεθύων ἐν τῷ οἴκῳ Ὠσὰ τοῦ οἰκονόμου ἐν Θερσά.

Γ Βασ. 16,9 - Ο Ζαμβρί, ο αρχηγός του ημίσεος του ιππικού, συνωμότησεν εναντίον του Ηλά. Ο Ηλά έμενεν εις την πόλιν Θερσά πίνων και μεθύων στον οίκον Ωσά, ο οποίος ήτο ο αρχιοικονόμος του βασιλικού οίκου εις Θερσά.

Γ Βασ. 16,10 - καὶ εἰσῆλθε Ζαμβρὶ καὶ ἐπάταξεν αὐτὸν καὶ ἐθανάτωσεν αὐτὸν καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 16,10 - Ο Ζαμβρί εισήλθεν στον οίκον, εκτύπησε τον βασιλέα, τον εφόνευσε και εβασίλευσεν αυτός αντί εκείνου.

Γ Βασ. 16,11 - καὶ ἐγενήθη ἐν τῷ βασιλεῦσαι αὐτὸν ἐν τῷ καθίσαι αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ καὶ ἐπάταξεν ὅλον τὸν οἶκον Βαασὰ

Γ Βασ. 16,11 - Οταν δε ανήλθεν στον βασιλικόν θρόνον, εξωλόθρευσεν όλην την οικογένειαν του Βαασά,

Γ Βασ. 16,12 - κατὰ τὸ ῥῆμα, ὃ ἐλάλησε Κύριος ἐπὶ τὸν οἶκον Βαασά, πρὸς Ἰοὺ τὸν προφήτην

Γ Βασ. 16,12 - σύμφωνα με τον λόγον, τον οποίον ο Κυριος είχεν εξαγγείλλει δια του προφήτου Ιού εναντίον της οικογενείας Βαασά.

Γ Βασ. 16,13 - περὶ πασῶν τῶν ἁμαρτιῶν Βαασὰ καὶ Ἠλὰ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἐξήμαρτε τὸν Ἰσραὴλ τοῦ παροργίσαι Κύριον τὸν Θεὸν Ἰσραὴλ

ἐν τοῖς ματαίοις αὐτῶν.

Γ Βασ. 16,13 - Ετιμωρήθη δε σκληρώς η οικογένεια αυτή εξ αιτίας των αμαρτιών του Βαασά και του υιού του Ηλά, ο οποίος και παρέσυρε τον ισραηλιτικόν λαόν εις την ειδωλολατρείαν, ώστε να παροργίση Κυριον τον Θεόν.

Γ Βασ. 16,14 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἠλά, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ;

Γ Βασ. 16,14 - Τα άλλα από τα έργα, τα οποία έκαμεν ο Ηλά, υπάρχουν γραμμένα στο βιβλίον των έργων και των λόγων των βασιλέων του Ισραήλ.

Γ Βασ. 16,15 - Καὶ Ζαμβρὶ ἐβασίλευεν ἐν Θερσὰ ἡμέρας ἑπτά. καὶ ἡ παρεμβολὴ Ἰσραὴλ ἐπὶ Γαβαθὼν τὴν τῶν ἀλλοφύλων,

Γ Βασ. 16,15 - Ο Ζαμβρί εβασίλευσεν εις Θερσά μόνον επτά ημέρας. Διότι ο στρατός των Ισραηλιτών ευρίσκετο στρατοπεδευμένος απέναντι της πόλεως Γαβαθών, η οποία ανήκεν στους αλλοφύλους, στους Φιλισταίους.

Γ Βασ. 16,16 - καὶ ἤκουσεν ὁ λαὸς ἐν τῇ παρεμβολῇ λεγόντων· συνεστράφη Ζαμβρὶ καὶ ἔπαισε τὸν βασιλέα· καὶ ἐβασίλευσαν ἐν Ἰσραὴλ τὸν Ἀμβρὶ τὸν ἡγούμενον τῆς στρατιᾶς ἐπὶ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν τῇ παρεμβολῇ.

Γ Βασ. 16,16 - Ο στρατός, λοιπόν, ο οποίος ευρίσκετο εκεί στρατοπεδευμένος, έμαθε την είδησιν αυτήν, ότι δηλαδή ο Ζαμβρί είχε συνωμοτήσει και εφόνευσε τον βασιλέα και τότε οι στρατιώται ανεκήρυξαν ως βασιλέα του Ισραηλιτικού λαού τον Αμβρί, ο οποίος ήτο αρχηγός της στρατιάς του Ισραήλ κατά την ημέραν εκείνην στο στρατόπεδον.

Γ Βασ. 16,17 - καὶ ἀνέβη Ἀμβρὶ καὶ πᾶς Ἰσραὴλ μετ᾿ αὐτοῦ ἐκ Γαβαθὼν καὶ περιεκάθισαν ἐπὶ Θερσά.

Γ Βασ. 16,17 - Ο Αμβρί και όλος ο ισραηλιτικός στρατός, που ήτο μαζή του, ανέβησαν από την Γαβαθών και επολιόρκησαν την Θερσά.

Γ Βασ. 16,18 - καὶ ἐγενήθη ὡς εἶδε Ζαμβρὶ ὅτι προκατείληπται αὐτοῦ ἡ πόλις, καὶ πορεύεται εἰς ἄντρον τοῦ οἴκου τοῦ βασιλέως καὶ ἐνεπύρισεν ἐπ᾿ αὐτὸν τὸν οἶκον τοῦ βασιλέως καὶ ἀπέθανεν

Γ Βασ. 16,18 - Οταν ο Ζαμβρί είδεν ότι είχε καταληφθή από τον Αμβρί η πόλις, κατέφυγεν εις ένα πύργον του βασιλικού ανακτόρου, έβαλεν εις αυτόν φωτιάν και εκάη και ο ίδιος μαζή με τον πύργον.

Γ Βασ. 16,19 - ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐποίησε, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου πορευθῆναι ἐν ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, ὡς ἐξήμαρτε τὸν Ἰσραήλ.

Γ Βασ. 16,19 - Ο σκληρός αυτός θάνατος επήλθεν εναντίον του εξ αιτίας των αμαρτιών, τας οποίας είχε διαπράξει, ώστε να βαδίση τον δρόμον του αμαρτωλού Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος και ο ίδιος ημάρτησε και τον λαόν είχε παρασύρει εις την αμαρτίαν.

Γ Βασ. 16,20 - καὶ τὰ λοιπὰ τῶν λόγων Ζαμβρὶ καὶ τὰς συνάψεις αὐτοῦ, ἃς συνῆψεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ;

Γ Βασ. 16,20 - Τα υπόλοιπα από τα έργα του Ζαμβρί και αι συγκρούσεις, τας οποίας αυτός εναντίον άλλων έκαμεν είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ισραήλ.

Γ Βασ. 16,21 - Τότε μερίζεται ὁ λαὸς Ἰσραήλ· ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω Θαμνὶ υἱοῦ Γωνὰθ τοῦ βασιλεῦσαι αὐτόν, καὶ τὸ ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω Ἀμβρί.

Γ Βασ. 16,21 - Τοτε δε εξ αιτίας, προφανώς, των γεγονότων αυτών εδιχάσθη το βασίλειον το ισραηλιτικόν. Το ήμισυ του λαού ηκολούθησε τον Θαμνί, υιόν Γωνάθ, και ανέδειξεν αυτόν βασιλέα. Το δε άλλο ήμισυ ηκολούθησε τον Αμβρί.

Γ Βασ. 16,22 - ὁ λαὸς ὁ ὢν ὀπίσω Ἀμβρὶ ὑπερεκράτησε τὸν λαὸν τὸν ὀπίσω Θαμνὶ υἱοῦ Γωνάθ, καὶ ἀπέθανε Θαμνὶ καὶ Ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἐβασίλευσεν Ἀμβρὶ μετὰ Θαμνί.

Γ Βασ. 16,22 - Ο λαός, ο οποίος ηκολούθησε τον Αμβρί, υπερίσχυσεν εναντίον της μερίδος που ήτο με τον Θαμνί, τον υιόν Γωνάθ. Ο Θαμνί εφονεύθη, όπως και ο αδελφός του Ιωράμ κατά την εποχήν εκείνην. Ετσι δε έγινε βασιλεύς μετά τον Θαμνί ο Αμβρί.

Γ Βασ. 16,23 - ἐν τῷ ἔτει τῷ τριακοστῷ καὶ πρώτῳ τοῦ βασιλέως Ἀσὰ βασιλεύει Ἀμβρὶ ἐπὶ Ἰσραὴλ δώδεκα ἔτη. ἐν Θερσὰ βασιλεύει ἓξ ἔτη·

Γ Βασ. 16,23 - Οταν διήνυε το τριακοστόν πρώτον έτος της βασιλείας του ο Ασά, ο βασιλεύς του Ιούδα, εβασίλευσεν επί του βασιλείου του Ισραήλ επί δώδεκα έτη ο Αμβρί. Εξ έτη εβασίλευσεν εις την Θερσά.

Γ Βασ. 16,24 - καὶ ἐκτήσατο Ἀμβρὶ τὸ ὄρος τὸ Σεμερὼν παρὰ Σεμὴρ τοῦ κυρίου τοῦ ὄρους δύο ταλάντων ἀργυρίου καὶ ᾠκοδόμησε τὸ ὄρος καὶ ἐπεκάλεσε τὸ ὄνομα τοῦ ὄρους, οὗ ᾠκοδόμησεν, ἐπὶ τῷ ὀνόματι Σεμὴρ τοῦ κυρίου τοῦ ὄρους Σαεμηρών.

Γ Βασ. 16,24 - Ο Αμβρί ηγόρασε το όρος της Σαμαρείας από τον Σεμήρ, στον οποίον ανήκε το όρος, αντί δύο ταλάντων αργυρίου και οικοδόμησεν στο όρος πόλιν. Εκάλεσε δε το όνομα του όρους, επί του οποίου είχεν οικοδομήσει την πόλιν, εκ του ονόματος Σεμήρ, του κυρίου του όρους, Σαμάρειαν.

Γ Βασ. 16,25 - καὶ ἐποίησεν Ἀμβρὶ τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ·

Γ Βασ. 16,25 - Αλλά και ο Αμβρί διέπραξε το πονηρόν ενώπιον του Κυρίου. Εξετράπη εις ασεβείας πολύ χειροτέρας από εκείνας, που είχαν διαπράξει οι προηγηθέντες από αυτόν ασεβείς βασιλείς.

Γ Βασ. 16,26 - καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἐξήμαρτε τὸν Ἰσραὴλ τοῦ παροργίσαι τὸν Κύριον Θεὸν Ἰσραὴλ ἐν τοῖς ματαίοις αὐτῶν.

Γ Βασ. 16,26 - Ηκολούθησεν εξ ολοκλήρου τον δρόμον του αμαρτωλού Ιεροβοάμ υιού Ναβάτ εις τας αμαρτίας αυτού, με τας οποίας και τον ισραηλιτικόν λαόν παρέσυρεν εις την αμαρτίαν, ώστε οι Ισραηλίται να εξοργίσουν εναντίον των Κυριον τον Θεόν του Ισραήλ δια την ειδωλολατρείαν των και τας αμαρτωλάς ειδωλολατρικάς πράξεις των.

Γ Βασ. 16,27 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἀμβρὶ καὶ πάντα, ἃ ἐποίησε, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ;

Γ Βασ. 16,27 - Τα υπόλοιπα από τα έργα του Αμβρί και όλα όσα έκαμεν και όλα τα μεγάλα του κατορθώματα είναι γραμμένα στο βιβλίον των λόγων και των έργων των βασιλέων του Ισραήλ.

Γ Βασ. 16,28 - καὶ ἐκοιμήθη Ἀμβρὶ μετὰ τῶν πατέρων αὐτοῦ καὶ θάπτεται ἐν Σαμαρείᾳ, καὶ βασιλεύει Ἀχαὰβ ὁ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 16,28 - Απέθανεν ο Αμβρί και ανεπαύθη μαζή με τους πατέρας του και ετάφη εις Σαμάρειαν. Αντί δε αυτού έγινε βασιλεύς ο υιός του ο Αχαάβ.

Γ Βασ. 16,28α - Καὶ ἐν τῷ ἐνιαυτῷ τῷ ἑνδεκάτῳ ἔτει τοῦ Ἀμβρὶ βασιλεύει Ἰωσαφὰτ υἱὸς Ἀσὰ ἐτῶν τριάκοντα καὶ πέντε ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ εἴκοσι πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Γαζουβὰ θυγάτηρ Σελί.

Γ Βασ. 16,28^{α} - Κατά δε το ενδέκατον έτος της βασιλείας του Αμβρί ανεδείχθη βασιλεύς εις την Ιερουσαλήμ ο Ιωσαφάτ, υιός του Ασά. Ητο δε τότε τριάκοντα πέντε ετών και εβασίλευσεν εις την Ιερουσαλήμ επί είκοσι πέντε έτη. Η μητέρα του ωνομάζετο Γαζουβά, ήτο δε θυγάτηρ του Σελί.

Γ Βασ. 16.28β - καὶ ἐπορεύθη ἐν τῇ ὁδῷ Ἀσὰ τοῦ πατρὸς αὐτοῦ καὶ οὐκ ἐξέκλινεν ἀπ᾿ αὐτῆς τοῦ ποιεῖν τὸ εὐθὲς ἐνώπιον Κυρίου· πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῇραν, ἔθυον ἐν τοῖς ὑψηλοῖς, καὶ ἐθυμίων.

Γ Βασ. 16,28β - Αυτός εβάδισεν επί τα ίχνη του ευσεβούς πατρός του, του Ασά, και δεν εξέκλινεν από τον δρόμον του Θεού, αλλά έπραττε πάντοτε το ορθόν ενώπιον του Κυρίου. Πλην όμως δεν επέτυχε να καταστρέψη εντελώς την ειδωλολατρείαν, μάλιστα δε από τους υψηλούς τόπους, οπού προσεφέροντο ακόμη θυσίαι και θυμιάματα.

Γ Βασ. 16,28γ - καὶ ἃ συνέθετο Ἰωσαφὰτ μετὰ βασιλέως Ἰσραὴλ καὶ πᾶσα ἡ δυναστεία, ἣν ἐποίησε, καὶ οὓς ἐπολέμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰούδα;

Γ Βασ. 16,28γ - Τα της συνθήκης του Ιωσαφάτ με τον βασιλέα του Ισραήλ και όλα τα κατορθώματα, τα οποία αυτός επραγματοποίησεν, όπως και οι

πόλεμοι, τους οποίους διεξήγαγεν, είναι γραμμένα στο βιβλίον των λόγων και των έργων των βασιλέων του Ιούδα.

Γ Βασ. 16,28δ - καὶ τὰ λοιπὰ τῶν συμπλοκῶν, ἃς ἐπέθεντο ἐν ταῖς ἡμέραις Ἀσὰ τοῦ πατρὸς αὐτοῦ, ἐξῆρεν ἀπὸ τῆς γῆς.

Γ Βασ. 16,28δ - Και τας υπολειφθείσας ιεροδούλους γυναίκας, αι οποίαι είχαν προστεθή κατά τας ημέρας του πατρός του Ασά, εξεδίωξεν από την χώραν του.

Γ Βασ. 16,28ε - καὶ βασιλεὺς οὐκ ἦν ἐν Συρίᾳ Νασίβ.

Γ Βασ. 16,28ε - Βασιλεύς δε τότε δεν υπήρχεν εις την Συρίαν· δεν υπήρχεν εκεί αρχηγός.

Γ Βασ. 16,28ζ - καὶ ὁ βασιλεὺς Ἰωσαφὰτ ἐποίησε ναῦν εἰς Θαρσὶς πορεύεσθαι εἰς Σωφὶρ ἐπὶ τὸ χρυσίον· καὶ οὐκ ἐπορεύθη, ὅτι συνετρίβη ἡ ναῦς ἐν Γασιὼν Γαβέρ.

Γ Βασ. 16,28ζ - Ο βασιλεύς Ιωσαφάτ εναυπήγησε μεγάλο πλοίον εις Θαρσίς, δια να πλεύση αυτός εις Σωφίρ, όπου υπήρχε το χρυσίον. Το πλοίον όμως δεν επορεύθη, διότι συνετρίβη εις Γασιών Γαβέρ.

Γ Βασ. 16,28η - τότε εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ· ἐξαποστελῶ τοὺς παῖδάς σου καὶ τὰ παιδάριά μου ἐν τῇ νηΐ· καὶ οὐκ ἐβούλετο Ἰωσαφάτ.

Γ Βασ. 16,28η - Τοτε ο Οχοζίας, ο βασιλεύς του ισραηλιτικού βασιλείου, είπε προς Ιωσαφάτ· “εγώ είμαι πρόθυμος να στείλω με τους υπηρέτας σου και τους ανθρώπους μου στο ναυτικόν σου”. Ο Ιωσαφάτ όμως δεν συγκατετέθη.

Γ Βασ. 16,28θ - καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 16,28θ - Εκοιμήθη δέ, όπως και οι πατέρες του, και ετάφη στους τάφους των πατέρων του εις την πόλιν Δαυίδ. Βασιλεύς δε αντ' αυτού έγινεν ο υιός του, ο Ιωράμ.

Γ Βασ. 16,29 - Ἐν ἔτει δευτέρῳ τοῦ Ἰωσαφὰτ βασιλέως Ἰούδα βασιλεύει Ἀχαὰβ υἱὸς Ἀμβρί· ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ εἴκοσι καὶ δύο ἔτη.

Γ Βασ. 16,29 - Κατά το δεύτερον έτος της βασιλείας του Ιωσαφάτ, βασιλέως του ιουδαϊκού βασιλείου, έγινε βασιλεύς στο ισραηλιτικόν βασίλειον ο Αχαάβ, ο υιός του Αμβρί. Αυτός εβασίλευσεν στο Ισραήλ με πρωτεύουσαν την Σαμάρειαν επί είκοσι δύο έτη.

Γ Βασ. 16,30 - καὶ ἐποίησεν Ἀχαὰβ τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς ἔμπροσθεν αὐτοῦ.

Γ Βασ. 16,30 - Ο Αχαάβ διέπραξε το πονηρόν ενώπιον του Κυρίου και εξέκλινεν εις ασέβειαν και αμαρτωλότητα χειροτέραν από τους προκατόχους

του ασεβείς βασιλείς.

Γ Βασ. 16,31 - καὶ οὐκ ἦν αὐτῷ ἱκανὸν τοῦ πορεύεσθαι ἐν ταῖς ἁμαρτίαις Ἱεροβοὰμ υἱοῦ Ναβάτ, καὶ ἔλαβε γυναῖκα τὴν Ἰεζάβελ θυγατέρα Ἰεθεβαὰλ βασιλέως Σιδωνίων καὶ ἐπορεύθη καὶ ἐδούλευσε τῷ Βάαλ καὶ προσεκύνησεν αὐτῷ,

Γ Βασ. 16,31 - Και δεν του ήτο αρκετόν ότι εβάδισε τον δρόμον του αμαρτωλού Ιεροβοάμ, υιού του Ναβάτ, αλλά επήρε και ως σύζυγόν του την Ιεζάβελ θυγατέρα του Ιεθεβαάλ, βασιλέως των Σιδωνίων, επορεύθη και ελάτρευσε τον Βααλ και προσεκύνησεν αυτόν.

Γ Βασ. 16,32 - καὶ ἔστησε θυσιαστήριον τῷ Βάαλ ἐν οἴκῳ τῶν προσοχθισμάτων αὐτοῦ, ὃν ᾠκοδόμησεν ἐν Σαμαρείᾳ,

Γ Βασ. 16,32 - Ανοικοδόμησε δε προς τιμήν του ειδώλου Βααλ θυσιαστήριον, το οποίον έθεσεν στον οίκον των ειδωλολατρικών βδελυγμάτων του, εις αυτόν που είχεν ανοικοδομήσει εις την Σαμάρειαν.

Γ Βασ. 16,33 - καὶ ἐποίησεν Ἀχαὰβ ἄλσος, καὶ προσέθεκεν Ἀχαὰβ τοῦ ποιῆσαι παροργίσματα τοῦ παροργίσαι τὸν Κύριον Θεὸν τοῦ Ἰσραὴλ καὶ τὴν ψυχὴν αὐτοῦ τοῦ ἐξολοθρευθῆναι· ἐκακοποίησεν ὑπὲρ πάντας τοὺς βασιλεῖς Ἰσραὴλ τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ.

Γ Βασ. 16,33 - Εις δε το ειοωλολατρικόν ιερόν άλσος έστησεν ο Αχαάβ άγαλμα την Αστάρτην, διέπραξε δε και άλλας πονηράς ειδωλολατρικάς πράξεις, δια των οποίων παρώργισε Κυριον τον Θεόν του ισραηλιτικού λαού εναντίον του, ώστε να αυτοκαταδικασθή έτσι εις εξολόθρευσιν. Εξετράπη δε στο κακόν περισσότερον από όλους τους άλλους βασιλείς του Ισραήλ, οι οποίοι ποοηγήθησαν από αυτόν,

Γ Βασ. 16,34 - καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ ᾠκοδόμησεν Ἀχιὴλ ὁ Βαιθηλίτης τὴν Ἱεριχώ· ἐν τῷ Ἀβιρὼν προτοτόκῳ αὐτοῦ ἐθεμελίωσεν αὐτὴν καὶ τῷ Σεγοὺβ τῷ νεωτέρῳ αὐτοῦ ἐπέστησε θύρας αὐτῆς κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ Ἰησοῦ υἱοῦ Ναυῆ.

Γ Βασ. 16,34 - Κατά τας ημέρας του Αχαάβ, ο Αχιήλ ο οποίος κατήγετο από την Βαιθήλ, ανοικοδόμησε την Ιεριχώ. Οταν έθετε τα θεμέλιά της, απέθανεν ο πρωτότοκος υιός του, ο Αβιρών. Απέθανε δε και ο νεώτερος υιός του ο Σεγούβ, όταν απεπεράτωσεν αυτήν και έθεσε τας πύλας του τείχους της. Τούτο δε έγινεν ως θεία τιμωρία, δια να εκπληρωθή ο λόγος, τον οποίον ο Κυριος είχεν εξαγγείλει δια του Ιησού, του υιού του Ναυη, ότι δεν έπρεπε να ανοικοδομηθούν ποτέ τα τείχη της Ιεριχούς.

Γ ΒΑΣΙΛΕΙΩΝ 17

Γ Βασ. 17,1 - Καὶ εἶπεν Ἠλιοὺ ὁ προφήτης Θεσβίτης ὁ ἐκ Θεσβῶν τῆς Γαλαὰδ πρὸς Ἀχαάβ· ζῇ Κύριος ὁ Θεὸς τῶν δυνάμεων ὁ Θεὸς Ἰσραήλ, ᾧ

παρέστην ἐνώπιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετός, ὅτι εἰ μὴ διὰ στόματος λόγου μου.

Γ Βασ. 17,1 - Ο προφήτης Ηλίας ο Θεσβίτης, ο οποίος κατήγετο από την Θέσδην της Γαλαάδ, ειπέ προς τον Αχαάβ· “εν ονόματι του ζώντος Θεού του Κυρίου των δυνάμεων, του Θεού του Ισραήλ, ενώπιον του οποίου παρίσταμαι ως υπηρέτης, σου αναγγέλλω ότι δεν θα υπάρξη κατά τα έτη αυτά ούτε βροχή ούτε δροσιά, ει μη μόνον όταν εγώ δια του στόματός μου είπω”.

Γ Βασ. 17,2 - καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἠλιού·

Γ Βασ. 17,2 - Ωμίλησεν ο Κυριος προς τον Ηλιού και του είπε·

Γ Βασ. 17,3 - πορεύου ἐντεῦθεν κατὰ ἀνατολὰς καὶ κρύβηθι ἐν τῷ χειμάῤῥῳ Χοῤῥὰθ τοῦ ἐπὶ προσώπου τοῦ Ἰορδάνου·

Γ Βασ. 17,3 - “φύγε από εδώ προς ανατολάς και κρύψου στον χείμαρρον Χορράθ, ο οποίος ευρίσκεται ανατολικώς από τον Ιορδάνην.

Γ Βασ. 17,4 - καὶ ἔσται ἐκ τοῦ χειμάῤῥου πίεσαι ὕδωρ, καὶ τοῖς κόραξιν ἐντελοῦμαι διατρέφειν σε ἐκεῖ.

Γ Βασ. 17,4 - Από αυτόν τον χείμαρρον θα πίνης νερό, εγώ δε θα διατάξω τους κόρακας να σε διατρέφουν εκεί”.

Γ Βασ. 17,5 - καὶ ἐποίησεν Ἠλιοὺ κατὰ τὸ ῥῆμα Κυρίου, καὶ ἐκάθισεν ἐν τῷ χειμάῤῥῳ Χοῤῥὰθ ἐπὶ προσώπου τοῦ Ἰορδάνου.

Γ Βασ. 17,5 - Ο Ηλίας έπραξεν, όπως ο Κυριος τον είχε διατάξει, και εκάθησεν στον χείμαρρον Χορράθ ανατολικώς από τον Ιορδάνην.

Γ Βασ. 17,6 - καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τὸ πρωΐ καὶ κρέα τὸ δείλης, καὶ ἐκ τοῦ χειμάῤῥου ἔπινεν ὕδωρ.

Γ Βασ. 17,6 - Οι κόρακες έφεραν εις αυτόν άρτους κατά την πρωΐαν, κατά δε το δειλινόν του έφεραν κρέας. Από τον χείμαρρον έπινε νερό.

Γ Βασ. 17,7 - καὶ ἐγένετο μεθ᾿ ἡμέρας καὶ ἐξηράνθη ὁ χειμάῤῥους, ὅτι οὐκ ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς.

Γ Βασ. 17,7 - Επειτα από ημέρας εξηράνθη ο χείμαρρος, διότι δεν έπιπτε καθόλου βροχή εις την γην.

Γ Βασ. 17,8 - καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἠλιού·

Γ Βασ. 17,8 - Εκ μέρους του Κυρίου εδόθη νέα διαταγή προς τον Ηλίαν.

Γ Βασ. 17,9 - ἀνάστηθι καὶ πορεύου εἰς Σαρεπτὰ τῆς Σιδωνίας· ἰδοὺ ἐντέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε.

Γ Βασ. 17,9 - “Σηκω, είπεν ο Κυριος, και πήγαινε εις τα Σαρεπτά της Σιδωνίας. Ιδού εγώ έδωσα ήδη εντολήν εις γυναίκα χήραν εκεί να σε διατρέφη”.

Γ Βασ. 17,10 - καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σαρεπτὰ καὶ ἦλθεν εἰς τὸν πυλῶνα τῆς πόλεως, καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα συνέλεγε ξύλα· καὶ ἐβόησεν

ὀπίσω αὐτῆς Ἠλιοὺ καὶ εἶπεν αὐτῇ· λαβὲ δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος καὶ πίομαι.

Γ Βασ. 17,10 - Ο Ηλίας εσηκώθη και επορεύθη εις τα Σαρεπτά. Ηλθεν εις την πύλην του τείχους της πόλεως και ιδού εκεί ήτο μία γυναίκα χήρα, η οποία εμάζευε ξύλα. Εφώναξε, λοιπόν, προς αυτήν ο Ηλιού και της είπε· "δος μου ολίγον νερό με το δοχείον δια να πίω".

Γ Βασ. 17,11 - καὶ ἐπορεύθη λαβεῖν, καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἠλιοὺ καὶ εἶπε· λήψῃ δή μοι ψωμὸν ἄρτου τοῦ ἐν τῇ χειρί σου.

Γ Βασ. 17,11 - Εκείνη επήγε να φέρη προς αυτόν ύδωρ, ο δε Ηλίας εφώναξε πάλιν προς αυτήν· "φέρε μου, σε παρακαλώ, λίγο ψωμί, από εκείνο που κρατείς στο χέρι σου".

Γ Βασ. 17,12 - καὶ εἶπεν ἡ γυνή· ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας ἀλλ᾿ ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ· καὶ ἰδοὺ ἐγὼ συλλέξω δύο ξυλάρια καὶ εἰσελεύσομαι καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγόμεθα καὶ ἀποθανούμεθα.

Γ Βασ. 17,12 - Απήντησεν η γυναίκα· "ορκίζομαι εις Κυριον τον Θεόν σου ότι δεν έχω ψωμί, παρά μονάχα μια χούφτα αλεύρι εις την υδρίαν μου και λίγο λάδι στο δοχείον του ελαίου. Ιδού, μαζεύω δύο ξυλάκια, θα επιστρέψω στο σπίτι μου, θα ψήσω με αυτό μια κουλούρα δια τον εαυτόν μου και τα παιδιά μου. Θα φάμε το ψωμί αυτό και έπειτα θα πεθάνωμεν από την πείναν".

Γ Βασ. 17,13 - καὶ εἶπε πρὸς αὐτὴν Ἠλιού· θάρσει, εἴσελθε καὶ ποίησον κατὰ τὸ ῥῆμά σου· ἀλλὰ ποίησόν μοι ἐκεῖθεν ἐγκρυφίαν μικρὸν καὶ ἐξοίσεις μοι ἐν πρώτοις, σαυτῇ δὲ καὶ τοῖς τέκνοις σου ποιήσεις ἐπ᾿ ἐσχάτῳ·

Γ Βασ. 17,13 - Ο Ηλίας είπε προς αυτήν· "Μη φοβάσαι, αλλά έχε θάρρος. Πηγαινε στο σπίτι σου και κάμε, όπως είπες. Ψήσε όμως μια μικρή λαγάνα και φέρε την πρώτα εις εμέ. Δια δε τον εαυτόν σου και τα παιδιά σου φτιάσε κατόπιν,

Γ Βασ. 17,14 - ὅτι τάδε λέγει Κύριος· ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει ἕως ἡμέρας τοῦ δοῦναι Κύριον τὸν ὑετὸν ἐπὶ τῆς γῆς.

Γ Βασ. 17,14 - διότι αυτά λέγει ο Κυριος· Το αλεύρι της υδρίας δεν θα λείψη πλέον και το δοχείον, που περιέχει το έλαιον, δεν θα λιγοστέψη μέχρι της ημέρας, κατά την οποίαν ο Κυριος θα στείλη βροχήν εις την γην".

Γ Βασ. 17,15 - καὶ ἐπορεύθη ἡ γυνή, καὶ ἐποίησε· καὶ ἤσθιεν αὐτὴ καὶ αὐτὸς καὶ τὰ τέκνα αὐτῆς.

Γ Βασ. 17,15 - Η γυναίκα έφυγε και έκαμεν, όπως είπεν ο προφήτης. Χαρις δε στο θαύμα του προφήτου έτρωγεν αυτή, αυτός και τα τέκνα της.

Γ Βασ. 17,16 - καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἠλαττονήθη κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ Ἠλιού.

Γ Βασ. 17,16 - Το αλεύρι, που υπήρχεν εις την υδρίαν, δεν έλειψε πλέον και το λάδι, που περιείχετο στον καμψάκην, δεν ωλιγόστεψε σύμφωνα με τον λόγον, τον οποίον ο Κυριος ωμίλησε δια του στόματος του Ηλιού.

Γ Βασ. 17,17 - καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἠῤῥώστησεν ὁ υἱὸς τῆς γυναικὸς τῆς κυρίας τοῦ οἴκου, καὶ ἦν ἡ ἀῤῥωστία αὐτοῦ κραταιὰ σφόδρα, ἕως οὐχ ὑπελείφθη ἐν αὐτῷ πνεῦμα.

Γ Βασ. 17,17 - Επειτα από τα γεγονότα αυτά, αρρώστησε το παιδί της γυναικός, της κυρίας του οίκου. Η αρρώστια του ήτο πάρα πολύ βαρειά, ώστε έσβησε πλέον η ζωη του.

Γ Βασ. 17,18 - καὶ εἶπε πρὸς Ἠλιού· τί ἐμοὶ καὶ σοί, ἄνθρωπε τοῦ Θεοῦ; εἰσῆλθες πρός με τοῦ ἀναμνῆσαι ἀδικίας μου καὶ θανατῶσαι τὸν υἱόν μου;

Γ Βασ. 17,18 - Είπε δε βαρυπενθούσα η χήρα προς τον Ηλιού· “τι είμαι εγώ μπροστά σε σένα, άνθρωπε του Θεού; Εισήλθες στον οίκον μου, δια να ενθυμηθή έτσι ο Θεός τας αμαρτίας μου και να με τιμωρήση και να θανατώση τον υιόν μου;”

Γ Βασ. 17,19 - καὶ εἶπεν Ἠλιοὺ πρὸς τὴν γυναῖκα· δός μοι τὸν υἱόν σου. καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ κόλπου αὐτῆς καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ ὑπερῷον, ἐν ᾧ αὐτὸς ἐκάθητο ἐκεῖ, καὶ ἐκοίμισεν αὐτὸν ἐπὶ τῆς κλίνης.

Γ Βασ. 17,19 - Απήντησεν ο Ηλιού προς την γυναίκα· “δος μου το παιδί σου. Ο προφήτης επήρεν αυτό από την αγκάλην της. Το ανέβασεν στο υπερώον, όπου αυτός έμενε, και το έθεσεν επάνω στο κρεββάτι του.

Γ Βασ. 17,20 - καὶ ἀνεβόησεν Ἠλιού, καὶ εἶπεν· οἴμοι, Κύριε, ὁ μάρτυς τῆς χήρας, μεθ᾿ ἧς ἐγὼ κατοικῶ μετ᾿ αὐτῆς, σὺ κεκάκωκας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς.

Γ Βασ. 17,20 - Ο Ηλιού έκραξε προς τον Θεόν και είπεν· “αλλοιμονον, Κυριε ! εγώ είμαι αυτόπτης μάρτυς εις την δυστυχίαν της χήρας αυτής, με την οποίαν εγώ διαμένω. Συ έστειλες την βαρείαν αυτήν θλίψιν, ώστε να πεθάνη το παιδί της”.

Γ Βασ. 17,21 - καὶ ἐνεφύσησε τῷ παιδαρίῳ τρὶς καὶ ἐπεκαλέσατο τὸν Κύριον καὶ εἶπε· Κύριε ὁ Θεός μου, ἐπιστραφήτω δὴ ἡ ψυχὴ τοῦ παιδαρίου τούτου εἰς αὐτόν.

Γ Βασ. 17,21 - Εφύσησεν ο προφήτης Ηλίας τρεις φορές στο πρόσωπον του παιδιού και καρεκάλεσε τον Κυριον και είπε· “Κυριε ο Θεός μου, δόσε, ώστε να επιστρέψη η ψυχή του παιδιού τούτου εις αυτό”.

Γ Βασ. 17,22 - καὶ ἐγένετο οὕτως, καὶ ἀνεβόησε τὸ παιδάριον.

Γ Βασ. 17,22 - Ετσι δε και έγινε. Το παιδί ανέζησε και ωμίλησε δυνατά.

Γ Βασ. 17,23 - καὶ κατήγαγεν αὐτὸ ἀπὸ τοῦ ὑπερῴου εἰς τὸν οἶκον καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ· καὶ εἶπεν Ἠλιού· βλέπε, ζῇ ὁ υἱός σου.

Γ Βασ. 17,23 - Ο Ηλίας κατέβασε το παιδί από το υπερώον στο σπίτι, το παρέδωκεν εις την μητέρα του και είπε· “βλέπεις ότι το παιδί σου ζη”.

Γ Βασ. 17,24 - καὶ εἶπεν ἡ γυνὴ πρὸς Ἠλιού· ἰδοὺ ἔγνωκα ὅτι σὺ ἄνθρωπος Θεοῦ καὶ ῥῆμα Κυρίου ἐν τῷ στόματί σου ἀληθινόν.

Γ Βασ. 17,24 - Απήντησεν η γυναίκα προς τον Ηλίαν· "ιδού, εγώ έχω πλέον γνωρίσει καλά και πεισθή, ότι συ είσαι άνθρωπος του Θεού και ότι ο λόγος του Θεού ο αληθινός πάντοτε υπάρχει στο στόμα σου".

Γ ΒΑΣΙΛΕΙΩΝ 18

Γ Βασ. 18,1 - Καὶ ἐγένετο μεθ᾿ ἡμέρας πολλὰς καὶ ῥῆμα Κυρίου ἐγένετο πρὸς Ἠλιοὺ ἐν τῷ ἐνιαυτῷ τῷ τρίτῳ λέγων· πορεύθητι καὶ ὄφθητι τῷ Ἀχαάβ, καὶ δώσω ὑετὸν ἐπὶ πρόσωπον τῆς γῆς.

Γ Βασ. 18,1 - Επειτα από αρκετόν χρόνον, κατά το τρίτον έτος του λιμού, εδόθη εκ μέρους του Θεού εντολή στον Ηλιού, προς τον οποίον ο Κυριος είπε· "πήγαινε, παρουσιάσου στον Αχαάβ και εγώ θα δώσω τώρα βροχήν εις την γην".

Γ Βασ. 18,2 - καὶ ἐπορεύθη Ἠλιοὺ τοῦ ὀφθῆναι τῷ Ἀχαάβ, καὶ ἡ λιμὸς κραταιὰ ἐν Σαμαρείᾳ.

Γ Βασ. 18,2 - Ο Ηλιού επήγε πράγματι να παρουσιασθή στον Αχαάβ, ενώ η πείνα λόγω της ανομβρίας ήτο ακόμη πολύ μεγάλη εις την Σαμάρειαν.

Γ Βασ. 18,3 - καὶ ἐκάλεσεν Ἀχαὰβ τὸν Ἀβδιοὺ τὸν οἰκονόμον· (καὶ Ἀβδιοὺ ἦν φοβούμενος τὸν Κύριον σφόδρα,

Γ Βασ. 18,3 - Ο Αχαάβ προσεκάλεσε τας ημέρας εκείνας τον αρχιοικονόμον του, τον Αβδιού (ο οποίος Αβδιού εφοβείτο πάρα πολύ τον Κυριον,

Γ Βασ. 18,4 - καὶ ἐγένετο ἐν τῷ τύπτειν τὴν Ἰεζάβελ τοὺς προφήτας Κυρίου καὶ ἔλαβεν Ἀβδιοὺ ἑκατὸν ἄνδρας προφήτας καὶ κατέκρυψεν αὐτοὺς κατὰ πεντήκοντα ἐν σπηλαίῳ καὶ διέτρεφεν αὐτοὺς ἐν ἄρτῳ καὶ ὕδατι·)

Γ Βασ. 18,4 - και όταν η Ιεζάβελ εθανάτωνε τους προφήτας του Κυρίου, ο Αβδιού επήρεν εκατόν άνδρας προφήτας και τους απέκρυψεν ανά πεντήκοντα εις δύο σπήλαια, όπου και τους διέτρεφε με ψωμί και νερό).

Γ Βασ. 18,5 - καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἀβδιού· δεῦρο καὶ διέλθωμεν ἐπὶ τὴν γῆν καὶ ἐπὶ πηγὰς τῶν ὑδάτων καὶ ἐπὶ χειμάῤῥους, ἐάν πως εὕρωμεν βοτάνην καὶ περιποιησώμεθα ἵππους καὶ ἡμιόνους, καὶ οὐκ ἐξολοθρευθήσονται ἀπὸ τῶν σκηνῶν.

Γ Βασ. 18,5 - Ο Αχαάβ είπε προς τον Αβδιού· "έλα, ας περιοδεύσωμεν ανά την χώραν. Να πάμε εις τας πηγάς των υδάτων και στους χειμάρρους, μήπως τυχόν και εύρωμεν χόρτον, δια να θρέψωμεν τους ίππους και τους ημιόνους, δια να μη εξολοθρευθούν εντελώς από τους σταύλους".

Γ Βασ. 18,6 - καὶ ἐμέρισαν ἑαυτοῖς τὴν ὁδὸν τοῦ διελθεῖν αὐτήν· Ἀχαὰβ ἐπορεύθη ἐν ὁδῷ μιᾷ καὶ Ἀβδιοὺ ἐπορεύθη ἐν ὁδῷ ἄλλῃ μόνος.

Γ Βασ. 18,6 - Εμοιράσθησαν μεταξύ των τον δρόμον, δια να περάσουν την χώραν. Ο Αχαάβ επορεύθη στον ένα δρόμον και ο Αβδιού εβάδισεν στον άλλον δρόμον μόνος.

Γ Βασ. 18,7 - καὶ ἦν Ἀβδιοὺ ἐν τῇ ὁδῷ μόνος, καὶ ἦλθεν Ἠλιοὺ εἰς συνάντησιν αὐτοῦ μόνος· καὶ Ἀβδιοὺ ἔσπευσεν καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ εἶπεν· εἰ σὺ εἶ αὐτός, κύριέ μου Ἠλιού;

Γ Βασ. 18,7 - Ενώ ο Αβδιού επροχωρούσε μόνος του στον δρόμον, ήλθε προς συνάντησίν του ο προφήτης Ηλίας. Ο Αβδιού έσπευσε και προσεκύνησεν αυτόν μέχρις εδάφους και του είπεν· “αλήθεια, συ είσαι ο ίδιος ο προφήτης Ηλίας, κύριέ μου;”

Γ Βασ. 18,8 - καὶ εἶπεν Ἠλιοὺ αὐτῷ· ἐγώ. πορεύου, λέγε τῷ κυρίῳ σου· ἰδοὺ Ἠλιού.

Γ Βασ. 18,8 - Ο Ηλίας του απήντησεν· “εγώ είμαι. Πηγαινε και είπε στον κύριόν σου· Ιδού, ήλθεν ο Ηλιού”.

Γ Βασ. 18,9 - καὶ εἶπεν Ἀβδιού· τί ἡμάρτηκα, ὅτι δίδως τὸν δοῦλόν σου εἰς χεῖρα Ἀχαὰβ τοῦ θανατῶσαί με;

Γ Βασ. 18,9 - Ο Αβδιού απήντησεν· “εις τι σου έπταισα, ποίαν αμαρτίαν διέπραξα και παραδίδεις εμέ τον δούλον σου εις τας χείρας του Αχαάβ, δια να με θανατώση;

Γ Βασ. 18,10 - ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστιν ἔθνος ἢ βασιλεία, οὗ οὐκ ἀπέστειλεν ὁ κύριός μου ζητεῖν σε, καὶ εἰ εἶπον· οὐκ ἔστι, καὶ ἐνέπρησε τὴν βασιλείαν καὶ τὰς χώρας αὐτῆς, ὅτι οὐχ εὕρηκέ σε.

Γ Βασ. 18,10 - Σε διαβεβαιώ ενώπιον Κυρίου του Θεού σου, ότι δεν υπάρχει έθνος η βασίλειον, όπου ο κύριός μου ο Αχαάβ δεν απέστειλε, δια να σε αναζητήση. Και αν εκείνοι του απαντούσαν· Δεν υπάρχει εδώ ο Ηλιού, αυτός παρέδιδεν στο πυρ την βασιλείαν και τας χώρας αυτής, διότι δεν σε ανεκάλυπτε.

Γ Βασ. 18,11 - καὶ νῦν σὺ λέγεις· πορεύου, ἀνάγγελλε τῷ κυρίῳ σου· ἰδοὺ Ἠλιού.

Γ Βασ. 18,11 - Και τώρα συ μου λέγεις, πήγαινε και ανάγγειλε στον κύριόν σου, ότι ο Ηλίας είναι εδώ παρών;

Γ Βασ. 18,12 - καὶ ἔσται ἐὰν ἐγὼ ἀπέλθω ἀπὸ σοῦ, καὶ πνεῦμα Κυρίου ἀρεῖ σε εἰς τὴν γῆν, ἣν οὐκ οἶδα, καὶ εἰσελεύσομαι ἀπαγγεῖλαι τῷ Ἀχαάβ, καὶ οὐχ εὑρήσει σε, καὶ ἀποκτενεῖ με· καὶ ὁ δοῦλός σού ἐστι φοβούμενος τὸν Κύριον ἐκ νεότητος αὐτοῦ.

Γ Βασ. 18,12 - Εάν όμως συμβή, ώστε καθ' ον χρόνον εγώ θα φύγω από σέ, δια να μεταβώ στον Αχαάβ και σε αφαρπάση Πνεύμα Κυρίου και σε μεταφέρη εις άλλην χώραν, την οποίαν δεν γνωρίζω, εγώ δε θα

παρουσιασθώ, δια να αναγγείλω στον Αχαάβ ότι είσαι εδώ και εκείνος δεν θα σε εύρη, τότε επάνω στον θυμόν του θα με θανατώση. Εγώ δε ο δούλος σου φοβούμαι τον Κυριον ανέκαθεν, από την νεαράν μου ηλικίαν.

Γ Βασ. 18,13 - ἦ οὐκ ἀπηγγέλη σοι τῷ κυρίῳ μου, οἷα πεποίηκα ἐν τῷ ἀποκτείνειν τὴν Ἰεζάβελ τοὺς προφήτας Κυρίου, καὶ ἔκρυψα ἀπὸ τῶν προφητῶν Κυρίου ἑκατὸν ἄνδρας, ἀνὰ πεντήκοντα ἐν σπηλαίῳ, καὶ ἔθρεψα ἐν ἄρτοις καὶ ὕδατι;

Γ Βασ. 18,13 - Ασφαλώς δε θα έχουν γνωστοποιηθή εις σε τον κύριόν μου, όσα εγώ έκαμα δια τους προφήτας του Κυρίου, όταν η Ιεζάβελ τους εθανάτωνε. Εκρυψα από τους προφήτας του Κυρίου εκατόν άνδρας, ανά πεντήκοντα, εις δύο σπήλαια και τους έθρεψα με ψωμί και νερό.

Γ Βασ. 18,14 - καὶ νῦν σὺ λέγεις μοι· πορεύου, λέγε τῷ κυρίῳ σου· ἰδοὺ Ἠλιού· καὶ ἀποκτενεῖ με;

Γ Βασ. 18,14 - Και συ τώρα μου λέγεις πήγαινε και ειπέ στον κύριόν σου, ότι ο Ηλίας είναι παρών; Εκείνος ασφαλώς θα με θανατώση".

Γ Βασ. 18,15 - καὶ εἶπεν Ἠλιού· ζῇ Κύριος τῶν δυνάμεων, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, ὅτι σήμερον ὀφθήσομαι αὐτῷ.

Γ Βασ. 18,15 - Ο Ηλίας απήντησεν· "ορκίζομαι στον Κυριον των δυνάμεων, ενώπιον του οποίου παρίσταμαι ως δούλος, ότι σήμερον οπωσδήποτε θα παρουσιασθώ στον Αχαάβ, τον κύριόν σου".

Γ Βασ. 18,16 - καὶ ἐπορεύθη Ἀβδιοὺ εἰς συναντὴν τῷ Ἀχαὰβ καὶ ἀπήγγειλεν αὐτῷ· καὶ ἐξέδραμεν Ἀχαὰβ καὶ ἐπορεύθη εἰς συνάντησιν Ἠλιού.

Γ Βασ. 18,16 - Ο Αβδιού, κατόπιν της εντολής αυτής του Ηλιού, επορεύθη εις συνάντησιν του Αχαάβ και ανήγγειλεν εις αυτόν την εμφάνισιν του Ηλιού. Ο Αχαάβ έτρεξε, δια να συναντήση τον Ηλιού.

Γ Βασ. 18,17 - Καὶ ἐγένετο ὡς εἶδεν Ἀχαὰβ τὸν Ἠλιού, καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἠλιού· εἰ σὺ εἶ αὐτὸς ὁ διαστρέφων τὸν Ἰσραήλ;

Γ Βασ. 18,17 - Οταν δε είδε τον προφήτην Ηλίαν του είπεν· "αλήθεια, συ δεν είσαι εκείνος ο οποίος διαστρέφστον ισραηλιτικόν λαόν;"

Γ Βασ. 18,18 - καὶ εἶπεν Ἠλιού· οὐ διαστρέφω τὸν Ἰσραήλ, ὅτι ἀλλ᾿ ἢ σὺ καὶ οἶκος τοῦ πατρός σου ἐν τῷ καταλιμπάνειν ὑμᾶς τὸν Κύριον Θεὸν ὑμῶν καὶ ἐπορεύθης ὀπίσω τῶν Βααλίμ.

Γ Βασ. 18,18 - Ο Ηλιού του απήντησε· "δεν διαστρέφω τον ισραηλιτικόν λαόν εγώ, αλλά συ και η οικογένεια του πατρός σου, διότι σεις έχετε εγκαταλείψει Κυριον τον Θεόν σας και ηκολουθήσατε την λατρείαν των ειδώλων του Βααλ.

Γ Βασ. 18,19 - καὶ νῦν ἀπόστειλον, συνάθροισον πρός με πάντα Ἰσραὴλ εἰς ὄρος τὸ Καρμήλιον καὶ τοὺς προφήτας τῆς αἰσχύνης τετρακοσίους καὶ

πεντήκοντα καὶ τοὺς προφήτας τῶν ἀλσῶν τετρακοσίου ἐσθίοντας τράπεζαν Ἰεζάβελ.

Γ Βασ. 18,19 - Και τώρα στείλε και συγκέντρωσε κοντά μου όλους τους εκπροσώπους του ισραηλιτικού λαού στο όρος Καρμηλον, όπως επίσης και τους τετρακοσίους πεντήκοντα ιερείς της αισχύνης και τους τετρακοσίους άλλους ιερείς των δασών της Αστάρτης, οι οποίοι τρώγουν εις την τράπεζαν της Ιεζάβελ”.

Γ Βασ. 18,20 - καὶ ἀπέστειλεν Ἀχαὰβ εἰς πάντα Ἰσραὴλ καὶ ἐπισυνήγαγε πάντας τοὺς προφήτας εἰς ὄρος τὸ Καρμήλιον.

Γ Βασ. 18,20 - Ο Αχαάβ απέστειλε πράγματι ανθρώπους εις όλον τον ισραηλιτικόν λαόν και συνεκέντρωσεν όλους τους ψευδείς προφήτας στο Καρμήλιον όρος.

Γ Βασ. 18,21 - καὶ προσήγαγεν Ἠλιοὺ πρὸς πάντας, καὶ εἶπεν αὐτοῖς Ἠλιού· ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ᾿ ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστι Κύριος ὁ Θεός, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δὲ ὁ Βάαλ, πορεύεσθε ὀπίσω αὐτοῦ. καὶ οὐκ ἀπεκρίθη ὁ λαὸς λόγον.

Γ Βασ. 18,21 - Ο προφήτης Ηλίας επλησίασεν όλους τους συγκεντρωθέντας εκεί και είπε προς αυτούς· “έως πότε εσείς θα χωλαίνετε και από τα δύο πόδια και θα κλίνετε πότε εδώ και πότε εκεί; Εάν ο Κυριος και Θεός των πατέρων μας είναι αληθινός, ακολουθήσατε αυτόν. Εάν όμως ο Βααλ είναι ο πραγματικός θεός, λατρεύσατε αυτόν”. Ο λαός δεν απήντησε τίποτε εις αυτά.

Γ Βασ. 18,22 - καὶ εἶπεν Ἠλιοὺ πρὸς τὸν λαόν· ἐγὼ ὑπολέλειμμαι προφήτης τοῦ Κυρίου μονώτατος, καὶ οἱ προφῆται τοῦ Βάαλ τετρακόσιοι καὶ πεντήκοντα ἄνδρες, καὶ οἱ προφῆται τοῦ ἄλσους τετρακόσιοι·

Γ Βασ. 18,22 - Ο δε Ηλιού είπε τότε προς τον λαόν· “εγώ έχω απομείνει εδώ εντελώς μόνος προφήτης του Κυρίου. Ενώ οι μεν προφήται του Βααλ είναι τετρακόσιοι και πεντήκοντα, οι δε προφήται του άλσους της Αστάρτης είναι τετρακόσιοι

Γ Βασ. 18,23 - δότωσαν ἡμῖν δύο βόας, καὶ ἐκλεξάσθωσαν ἑαυτοῖς τὸν ἕνα καὶ μελισάτωσαν καὶ ἐπιθέτωσαν ἐπὶ τῶν ξύλων καὶ πῦρ μὴ ἐπιθέτωσαν, καὶ ἐγὼ ποιήσω τὸν βοῦν τὸν ἄλλον, καὶ πῦρ οὐ μὴ ἐπιθῶ.

Γ Βασ. 18,23 - Ας μας δώσουν δύο βόϊδια και ας εκλέξουν αυτοί ένα βόϊδι, ας το κόψουν εις τεμάχια και ας το επιθέσουν επάνω εις τα ξύλα. Φωτιά όμως να μη ανάψουν. Το ίδιο θα κάμω και εγώ στο βόϊδι το άλλο και δεν θα ανάψω φωτιά επί του θυσιαστηρίου.

Γ Βασ. 18,24 - καὶ βοᾶτε ἐν ὀνόματι θεῶν ὑμῶν, καὶ ἐγὼ ἐπικαλέσομαι ἐν τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ μου, καὶ ἔσται ὁ θεὸς ὃς ἐὰν ἐπακούσῃ ἐν πυρί, οὗτος Θεός. καὶ ἀπεκρίθησαν πᾶς ὁ λαὸς καὶ εἶπον· καλὸν τὸ ῥῆμα, ὃ ἐλάλησας.

Γ Βασ. 18,24 - Σεις, οι ιερείς των ειδώλων, θα φωνάζετε και θα παρακαλήτε τον θεόν σας και εγώ επίσης θα επικαλεσθώ το όνομα Κυρίου του Θεού μου. Εκείνος ο Θεός θα είναι αληθινός και πραγματικός, ο οποίος θα ακούση την προσευχήν και θα στείλη πυρ επάνω στο θυσιαστήριον”. Ολοι οι παριστάμενοι αντιπρόσωποι του λαού, απεκρίθησαν και είπαν· “καλός είναι αυτός ο λόγος, τον οποίον μας είπες ας γίνη έτσι”.

Γ Βασ. 18,25 - καὶ εἶπεν Ἠλιοὺ τοῖς προφήταις τῆς αἰσχύνης· ἐκλέξασθε ἑαυτοῖς τὸν μόσχον τὸν ἕνα καὶ ποιήσατε πρῶτοι, ὅτι πολλοὶ ὑμεῖς, καὶ ἐπικαλέσασθε ἐν ὀνόματι θεοῦ ὑμῶν καὶ πῦρ μὴ ἐπιθῆτε.

Γ Βασ. 18,25 - Τοτε ο Ηλίας είπεν στους προφήτας της αισχύνης· “διαλέξετε σεις δια τον εαυτόν σας τον ένα μόσχον και ετοιμάσατό τον σεις πρώτοι, διότι είσθε πολλοί και επικαλεσθήτε το όνομα του θεού σας. Φωτιά όμως να μη θέσετε επάνω στο θυσιαστήριον”.

Γ Βασ. 18,26 - καὶ ἔλαβον τὸν μόσχον καὶ ἐποίησαν καὶ ἐπεκαλοῦντο ἐν ὀνόματι τοῦ Βάαλ ἐκ πρωΐθεν ἕως μεσημβρίας καὶ εἶπον· ἐπάκουσον ἡμῶν, ὁ Βάαλ, ἐπάκουσον ἡμῶν· καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις· καὶ διέτρεχον ἐπὶ τοῦ θυσιαστηρίου, οὗ ἐποίησαν.

Γ Βασ. 18,26 - Εκείνοι επήραν τον μόσχον, ητοίμασαν αυτόν και επεκαλούντο το όνομα του Βααλ από την πρωίαν έως την μεσημβρίαν και έλεγαν· “ω Βααλ, επάκουσέ μας. Ακουσε την προσευχήν μας, Βααλ” ! Αλλά ο θεός των ούτε τους ήκουσεν ούτε και τους απήντησεν. Εκείνοι δε έτρεχαν γύρω από το θυσιαστήριον, το οποίον κατεσκεύασαν, παρακαλούντες συνεχώς τον Βααλ.

Γ Βασ. 18,27 - καὶ ἐγένετο μεσημβρία καὶ ἐμυκτήρισεν αὐτοὺς Ἠλιοὺ ὁ Θεσβίτης καὶ εἶπεν· ἐπικαλεῖσθε ἐν φωνῇ μεγάλῃ, ὅτι θεός ἐστιν, ὅτι ἀδολεσχία αὐτῷ ἐστι, καὶ ἅμα μή ποτε χρηματίζει αὐτός, ἢ μή ποτε καθεύδει αὐτός, καὶ ἐξαναστήσεται.

Γ Βασ. 18,27 - Εφθασεν η μεσημβρία, ο δε προφήτης Ηλίας ο Θεσβίτης, ειρωνευόμενος αυτούς, τους είπε· “παρακαλέσατε αυτόν με ακόμη μεγαλυτέραν φωνήν, διότι είναι θεός ! Ισως φλυαρεί κάπου, πιθανόν να ευρίσκεται προς σωματικήν του ανάγκην, δεν αποκλείεται και να κοιμάται. Φωνάξτε, δια να εξυπνήση” !

Γ Βασ. 18,28 - καὶ ἐπεκαλοῦντο ἐν φωνῇ μεγάλῃ καὶ κατετέμνοντο κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐν μαχαίραις καὶ σειρομάσταις ἕως ἐκχύσεως αἵματος ἐπ᾿ αὐτούς·

Γ Βασ. 18,28 - Εκείνοι εκαλούσαν τον θεόν των με ακόμη μεγαλυτέραν φωνήν και, κατά την ειδωλολατρικήν των συνήθειαν, κατέκοπτον τον εαυτόν των με μαχαίρας και με αγκαθεράς λόγχας, μέχρις ότου έρρεεν επάνω εις τα σώματά των το αίμα.

Γ Βασ. 18,29 - καὶ ἐπροφήτευον ἕως οὗ παρῆλθε τὸ δειλινόν. καὶ ἐγένετο ὡς ὁ καιρὸς τοῦ ἀναβῆναι τὴν θυσίαν καὶ οὐκ ἦν φωνή. καὶ

ἐλάλησεν Ἠλιοὺ ὁ Θεσβίτης πρὸς τοὺς προφήτας τῶν προσοχθισμάτων λέγων· μετάστητε ἀπὸ τοῦ νῦν, καὶ ἐγὼ ποιήσω τὸ ὁλοκαύτωμά μου. καὶ μετέστησαν, καὶ ἀπῆλθον.

Γ Βασ. 18,29 - Επεκαλούντο τον θεόν και προσηύχοντο, μέχρις ότου ήλθε το δειλινόν, η ώρα δηλαδή κατά την οποίαν προσεφέρετο η απογευματινή θυσία προς τον θεόν. Αλλά καμμία απάντησις δεν εδίδετο εις αυτούς. Ωμίλησε τότε ο Ηλιού ο Θεσβίτης προς τους προφήτας των βδελυρών θεών λέγων· “απομακρυνθήτε από αυτού τώρα και εγώ θα ετοιμάσω τον μόσχον δια το ολοκαύτωμά μου”. Εκείνοι απεμακρύνθησαν ολίγον και απεχώρησαν από εκεί.

Γ Βασ. 18,30 - καὶ εἶπεν Ἠλιοὺ πρὸς τὸν λαόν· προσαγάγετε πρός με· καὶ προσήγαγε πᾶς ὁ λαὸς πρὸς αὐτόν.

Γ Βασ. 18,30 - Είπε τότε ο Ηλιού προς τον λαόν· “πλησιάσατε εδώ κοντά μου”. Και όλος ο λαός επλησίασε προς αυτόν.

Γ Βασ. 18,31 - καὶ ἔλαβεν Ἠλιοὺ δώδεκα λίθους κατὰ ἀριθμὸν φυλῶν τοῦ Ἰσραήλ, ὡς ἐλάλησε Κύριος πρὸς αὐτὸν λέγων· Ἰσραὴλ ἔσται τὸ ὄνομά σου.

Γ Βασ. 18,31 - Επήρεν ο Ηλιού δώδεκα λίθους, κατά τον αριθμόν των φυλών του Ισραήλ, όπως είχεν ομιλήσει ο Κυριος τότε προς τον Ιακώβ λέγων· “Ισραήλ θα είναι πλέον το όνομά σου”.

Γ Βασ. 18,32 - καὶ ᾠκοδόμησε τοὺς λίθους ἐν ὀνόματι Κυρίου καὶ ἰάσατο τὸ θυσιαστήριον τὸ κατεσκαμμένον, καὶ ἐποίησε θάλασσαν χωροῦσαν δύο μετρητὰς σπέρματος κυκλόθεν τοῦ θυσιαστηρίου.

Γ Βασ. 18,32 - Και έκτισε με τους λίθους αυτούς θυσιαστήριον επ' ονόματι του Κυρίου. Ξαναέκτισε δηλαδή και ανεκαίνισεν εκεί προηγούμενον θυσιαστήριον, το οποίον είχε καταστροφή. Εκαμεν επίσης γύρω από το θυσιαστήριον τούτο μεγάλο αυλάκι, που εχωρούσε δύο μετρητάς νερού (25 - περίπου κιλά).

Γ Βασ. 18,33 - καὶ ἐστοίβασε τὰς σχίδακας ἐπὶ τὸ θυσιαστήριον, ὃ ἐποίησε, καὶ ἐμέλισε τὸ ὁλοκαύτωμα καὶ ἐπέθηκεν ἐπὶ τὰς σχίδακας καὶ ἐστοίβασεν ἐπὶ τὸ θυσιαστήριον καὶ εἶπε· λάβετέ μοι τέσσαρας ὑδρίας ὕδατος καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα καὶ ἐπὶ τὰς σχίδακας· καὶ ἐποίησαν οὕτως.

Γ Βασ. 18,33 - Εστοίβασε τα σχισμένα ξύλα επάνω στο θυσιαστήριον αυτό, που είχε κάμει, ετεμάχισε το ολοκαύτωμα και έθεσε τα τεμάχια του ζώου επάνω εις τα ξύλα, που είχε στοιβάσει στο θυσιαστήριον, και είπε· “φέρετέ μου τέσσαρας υδρίας νερό και χύσατέ το επάνω στο ολοκαύτωμα και εις τα ξύλα”. Εκείνοι δε έκαμαν, όπως τους είπεν.

Γ Βασ. 18,34 - καὶ εἶπε· δευτερώσατε· καὶ ἐδευτέρωσαν. καὶ εἶπε· τρισσώσατε· καὶ ἐτρίσσευσαν.

Γ Βασ. 18,34 - Ο Ηλίας είπε· “κάμετε το ίδιο δια δευτέραν φοράν”. Και δια δευτέραν φοράν έρριψαν νερό. Είπε πάλιν· “δια τρίτην φοράν το ίδιο”. Και εκείνοι έχυσαν νερό δια τρίτην φοράν.

Γ Βασ. 18,35 - καὶ διεπορεύετο τὸ ὕδωρ κύκλῳ τοῦ θυσιαστηρίου, καὶ τὴν θάλασσαν ἔπλησαν ὕδατος.

Γ Βασ. 18,35 - Το νερό, που εχύθη, έτρεχεν ολόγυρα από το θυσιαστήριον και εγέμισε το αύυάκι νερό.

Γ Βασ. 18,36 - καὶ ἀνεβόησεν Ἠλιοὺ εἰς τὸν οὐρανὸν καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραήλ, ἐπάκουσόν μου, Κύριε, ἐπάκουσόν μου σήμερον ἐν πυρί, καὶ γνώτωσαν πᾶς ὁ λαὸς οὗτος ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς Ἰσραὴλ καὶ ἐγὼ δοῦλός σου καὶ διὰ σὲ πεποίηκα τὰ ἔργα ταῦτα.

Γ Βασ. 18,36 - Ο Ηλίας προσηυχήθη με μεγάλην κραυγήν στον ουρανόν και είπε· “Κυριε, ο Θεός του Αβραάμ και του Ισαάκ και του Ισραήλ, άκουσε την προσευχήν μου. Κυριε, άκουσε σήμερον την προσευχήν μου και στείλε πυρ επάνω στο θυσιαστήριον αυτό, δια να γνωρίση όλος αυτός ο ισραηλιτικός λαός, ότι συ είσαι ο Κυριος και ο Θεός του Ισραήλ, εγώ σε είμαι δούλος σου και προς δόξαν του αγίου Ονόματός σου και κατόπιν ιδικής σου εντολής έκαμα αυτά τα έργα.

Γ Βασ. 18,37 - ἐπάκουσόν μου, Κύριε, ἐπάκουσόν μου ἐν πυρί, καὶ γνώτω ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς καὶ σὺ ἔστρεψας τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπίσω.

Γ Βασ. 18,37 - Επάκουσόν μου, Κυριε, επάκουσόν μου αποστέλλων πυρ και ας μάθη όλος ο λαός αυτός, ότι συ είσαι ο αληθινός Κυριος και Θεός και συ μετέστρεψες την καρδίαν του λαού αυτού, ώστε να σε ακολουθή”.

Γ Βασ. 18,38 - καὶ ἔπεσε πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε τὰ ὁλοκαυτώματα καὶ τὰς σχίδακας καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ, καὶ τοὺς λίθους καὶ τὸν χοῦν ἐξέλειξε τὸ πῦρ.

Γ Βασ. 18,38 - Επεσε δε τότε πυρ από τον ουρανόν παρά Κυρίου, το οποίον κατέφαγε τα τεμάχια του προς ολοκαύτωσιν ζώου, τα ξύλα και το ύδωρ, που ευρίσκετο εις την αύλακα. Ακόμη δε κατέφαγε και τους λίθους, έγλειψε δε και αυτό το χώμα.

Γ Βασ. 18,39 - καὶ ἔπεσε πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον αὐτῶν καὶ εἶπον· ἀληθῶς Κύριος ὁ Θεός, αὐτὸς ὁ Θεός.

Γ Βασ. 18,39 - Ολος ο λαός, όταν είδε το καταπληκτικόν θαύμα, έπεσεν στο έδαφος, προσεκύνησαν τον Θεόν και είπαν· “ο Κυριος και ο Θεός μας, αυτός είναι ο πραγματικός Θεός”.

Γ Βασ. 18,40 - καὶ εἶπεν Ἠλιοὺ πρὸς τὸν λαόν· συλλάβετε τοὺς προφήτας τοῦ Βάαλ, μηδεὶς σωθήτω ἐξ αὐτῶν· καὶ συνέλαβον αὐτούς, καὶ κατάγει αὐτοὺς Ἠλιοὺ εἰς τὸν χειμάῤῥουν Κισσῶν καὶ ἔσφαξεν αὐτοὺς ἐκεῖ.

Γ Βασ. 18,40 - Είπε δε τότε ο Ηλιού προς τον λαόν· “συλλάβετε τους ιερείς του Βααλ. Κανείς από αυτούς δεν πρέπει να διασωθή”. Οι άνδρες συνέλαβαν τους ιερείς, ο δε Ηλίας τους κατεβίβασεν στον χείμαρρον Κισσών, όπου και τους έσφαξεν.

Γ Βασ. 18,41 - Καὶ εἶπεν Ἠλιοὺ τῷ Ἀχαάβ· ἀνάβηθι καὶ φάγε καὶ πίε, ὅτι φωνὴ τῶν ποδῶν τοῦ ὑετοῦ.

Γ Βασ. 18,41 - Είπε κατόπιν ο Ηλίας προς τον Αχαάβ· “σήκω, φάγε και πίε, διότι ακούεται ο θόρυβος της ερχομένης βροχής, σαν πόδια πεζοπορούντων”.

Γ Βασ. 18,42 - καὶ ἀνέβη Ἀχαὰβ τοῦ φαγεῖν καὶ πιεῖν, καὶ Ἠλιοὺ ἀνέβη ἐπὶ τὸν Κάρμηλον καὶ ἔκυψεν ἐπὶ τὴν γῆν καὶ ἔθηκε τὸ πρόσωπον αὐτοῦ ἀνὰ μέσον τῶν γονάτων αὐτοῦ.

Γ Βασ. 18,42 - Ο Αχαάβ ανέβη εις κάποιο εκεί ύψωμα, δια να φάγη και να πιή. Ο δε Ηλιού ανέβη εις μίαν κορυφήν του Καρμήλου, έσκυψεν εις την γην, έθεσε το πρόσωπόν του ανάμεσα εις τα γόνατά του και προσηύχετο.

Γ Βασ. 18,43 - καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ· ἀνάβηθι καὶ ἐπίβλεψον ὁδὸν τῆς θαλάσσης. καὶ ἐπέβλεψεν τὸ παιδάριον καὶ εἶπεν· οὐκ ἔστιν οὐθέν. καὶ εἶπεν Ἠλιού· καὶ σὺ ἐπίστρεψον ἑπτάκις·

Γ Βασ. 18,43 - Κατόπιν ο Ηλιού είπεν στον υπηρέτην του· “ανέβα εις ένα ύψωμα και στρέψε τα βλέμματά σου προς δυσμάς, προς το μέρος της θαλάσσης”. Ο υπηρέτης ανέβη πράγματι, εγύρισε το βλέμμα του προς την θάλασσαν και είπε· “δεν υπάρχει τίποτε”. Ο Ηλίας του απήντησε· “πήγαινε και έλα επτά φοράς”.

Γ Βασ. 18,44 - καὶ ἐπέστρεψε τὸ παιδάριον ἑπτάκις. καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ ἰδοὺ νεφέλη μικρὰ ὡς ἴχνος ἀνδρὸς ἀνάγουσα ὕδωρ· καὶ εἶπεν· ἀνάβηθι καὶ εἶπον τῷ Ἀχαάβ· ζεῦξον τὸ ἅρμα σου καὶ κατάβηθι, μὴ καταλάβῃ σε ὁ ὑετός.

Γ Βασ. 18,44 - Ο υπηρέτης επήγε και ήλθεν επτά φοράς. Κατά δε την εβδόμην φοράν, ιδού εφάνη μία μικρά νεφέλη, το μέγεθος της οποίας ήτο σαν το ίχνος που αφήνει το πάτημα ανδρός και αυτή προεμήνυε βροχήν. Ο Ηλίας είπε τότε στον υπηρέτην του· “πήγαινε και ειπέ στον Αχαάβ· Ζεύξε το άρμα σου και κατέβα, μήπως σε προλάβη η βροχή στον δρόμον”.

Γ Βασ. 18,45 - καὶ ἐγένετο ἕως ὧδε καὶ ὧδε καὶ ὁ οὐρανὸς συνεσκότασε νεφέλαις καὶ πνεύματι, καὶ ἐγένετο ὑετὸς μέγας· καὶ ἔκλαιε καὶ ἐπορεύετο Ἀχαὰβ ἕως Ἰεζράελ.

Γ Βασ. 18,45 - Δεν επέρασε πολλή ώρα και ο ουρανός εσκοτείνιασεν από τα πολλά νέφη, που έφερεν ο άνεμος. Και αμέσως έπιασε μεγάλη βροχή. Ο δε Αχαάβ επορεύετο κλαίων προς την πόλιν του Ιεζράελ.

Γ Βασ. 18,46 - καὶ χεὶρ Κυρίου ἐπὶ τὸν Ἠλιού, καὶ συνέσφιξε τὴν ὀσφὺν αὐτοῦ καὶ ἔτρεχεν ἔμπροσθεν Ἀχαὰβ ἕως Ἰεζράελ.

Γ Βασ. 18,46 - Δυναμις δε του Κυρίου υπήρχεν στον Ηλιού, ο οποίος έζωσε το φόρεμά του εις την μέσην του, έφθασε και επροσπέρασε τον Αχαάβ, έως την πόλιν Ιεζράελ.

Γ ΒΑΣΙΛΕΙΩΝ 19

Γ Βασ. 19,1 - Καὶ ἀνήγγειλεν Ἀχαὰβ τῇ Ἰεζάβελ γυναικὶ αὐτοῦ πάντα, ἃ ἐποίησεν Ἠλιού, καὶ ὡς ἀπέκτεινε τοὺς προφήτας ἐν ῥομφαίᾳ.

Γ Βασ. 19,1 - Ο Αχαάβ, όταν έφθασεν στο ανάκτορόν του, εγνωστοποίησεν εις την σύζυγόν του την Ιεζάβελ όλα, όσα θαυματουργικώς έκαμεν ο Ηλιού, όπως επίσης και το ότι εθανάτωσε με ρομφαίαν τους προφήτας των ειδώλων.

Γ Βασ. 19,2 - καὶ ἀπέστειλεν Ἰεζάβελ πρὸς Ἠλιοὺ καὶ εἶπεν· εἰ σὺ εἶ Ἠλιοὺ καὶ ἐγὼ Ἰεζάβελ, τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη, ὅτι ταύτην τὴν ὥραν αὔριον θήσομαι τὴν ψυχήν σου καθὼς ψυχὴν ἑνὸς ἐξ αὐτῶν.

Γ Βασ. 19,2 - Η Ιεζάβελ, κυριευθείσα από οργήν, έστειλεν ανθρώπους της προς τον Ηλίαν και του είπεν· "όσον είναι αλήθεια ότι συ είσαι ο Ηλιού και εγώ είμαι η Ιεζάβελ, ας με τιμωρήση ο Θεός με τας βαρυτέρας τιμωρίας, εάν αυτήν την ώραν αύριον δεν παραδώσω την ζωήν σου εις θάνατον, ωσάν ενός εξ αυτών που συ εθανάτωσες".

Γ Βασ. 19,3 - καὶ ἐφοβήθη Ἠλιοὺ καὶ ἀνέστη καὶ ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ καὶ ἔρχεται εἰς Βηρσαβεὲ γῆν Ἰούδα καὶ ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ·

Γ Βασ. 19,3 - Ο Ηλίας εφοβήθη. Εσηκώθη και έφυγεν από εκεί και κατηυθύνετο, όπου η φοβισμένη καρδιά του τον ωθούσε. Εφθασεν εις την Βηρσαβεέ, πόλιν της φυλής του Ιούδα. Εκεί δε αφήκε τον υπηρέτην του.

Γ Βασ. 19,4 - καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέρας καὶ ἦλθε καὶ ἐκάθισεν ὑποκάτω Ῥαθμὲν καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν καὶ εἶπεν· ἱκανούσθω νῦν, λαβὲ δὴ τὴν ψυχή μου ἀπ᾿ ἐμοῦ, Κύριε, ὅτι οὐ κρείσσων ἐγώ εἰμι ὑπὲρ τοὺς πατέρας μου.

Γ Βασ. 19,4 - Ο Ηλίας επροχώρησεν στο εσωτερικόν της ερήμου, δρόμον μιας ημέρας, ήλθε και εκάθισεν υποκάτω από ένα φυτόν, που ωνομάζετο Ραθμέν (αρκευθος), και εζήτησεν από τον Θεόν να αποθάνη λέγων· "αρκετά έως τώρα έζησα. Παρε, Κυριε, από εμέ την ψυχήν μου, διότι εγώ δεν είμαι καλύτερος από τους προγόνους μου".

Γ Βασ. 19,5 - καὶ ἐκοιμήθη καὶ ὕπνωσεν ἐκεῖ ὑπὸ φυτόν, καὶ ἰδού τις ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ· ἀνάστηθι καὶ φάγε·

Γ Βασ. 19,5 - Αποκαρδιωμένος δε και βαρύθυμος έπεσε και εκοιμήθη εκεί κάτω από το δένδρον. Αίφνης κάποιος τον ήγγισεν και του είπε· "σήκω και

φάγε”.
Γ Βασ. 19,6 - καὶ ἐπέβλεψεν Ἠλιού, καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης καὶ καψάκης ὕδατος· καὶ ἀνέστη καὶ ἔφαγε καὶ ἔπιε. καὶ ἐπιστρέψας ἐκοιμήθη.
Γ Βασ. 19,6 - Ο Ηλίας εξύπνησεν, ήνοιξε τα μάτια του και είδεν προς το μέρος, που ανεπαύετο η κεφαλή του, ψημένην κριθίνην λαγάναν και δοχείον με νερό. Εσηκώθη, έφαγε, έπιε και εκοιμήθη πάλιν.
Γ Βασ. 19,7 - καὶ ἐπέστρεψεν ὁ ἄγγελος Κυρίου ἐκ δευτέρου καὶ ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ· ἀνάστα φάγε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός.
Γ Βασ. 19,7 - Ο άγγελος επανήλθε δια δευτέραν φοράν, ήγγισεν αυτόν και του είπε· “σήκω και φάγε, διότι είναι πολύς ακόμη ο δρόμος, που θα κάμης”.
Γ Βασ. 19,8 - καὶ ἀνέστη καὶ ἔφαγε καὶ ἔπιε· καὶ ἐπορεύθη ἐν ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἕως ὄρους Χωρήβ.
Γ Βασ. 19,8 - Ο Ηλίας εσηκώθη, έφαγε και έπιε. Με την δύναμιν δε της τροφής εκείνης εβάδισεν επί τεσσαράκοντα ημέρας και τεσσαράκοντα νύκτας, έως ότου έφθασεν στο όρος Χωρήβ.
Γ Βασ. 19,9 - καὶ εἰσῆλθεν ἐκεῖ εἰς τὸ σπήλαιον καὶ κατέλυσεν ἐκεῖ· καὶ ἰδοὺ ῥῆμα Κυρίου πρὸς αὐτὸν καὶ εἶπε· τί σὺ ἐνταῦθα, Ἠλιού;
Γ Βασ. 19,9 - Εισήλθεν εις ένα εκεί σπήλαιον, όπου και έμεινε. Και ιδού, ο Κυριος ωμίλησε προς αυτόν και είπε· “διατί συ, Ηλιού, ευρίσκεσαι εδώ;”
Γ Βασ. 19,10 - καὶ εἶπεν Ἠλιού· ζηλῶν ἐζήλωκα τῷ Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραήλ· τὰ θυσιαστήριά σου κατέσκαψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν.
Γ Βασ. 19,10 - Ο Ηλίας απήντησε· “πλημμυρίζει η καρδία μου από φλογερόν ζήλον δια σέ, τον Κυριον και Παντοκράτορα, διότι οι Ισραηλίται σε εγκατέλειψαν. Τα θυσιαστήριά σου τα κατέσκαψαν, τους δε προφήτας σου εφόνευσαν με ρομφαίαν. Ετσι δε έχω απομείνει εγώ εντελώς μόνος, οι δε εχθροί σου ζητούν να αφαιρέσουν και την δίκην μου ζωήν”.
Γ Βασ. 19,11 - καὶ εἶπεν· ἐξελεύσῃ αὔριον καὶ στήσῃ ἐνώπιον Κυρίου ἐν τῷ ὄρει· ἰδοὺ παρελεύσεται Κύριος, καὶ ἰδοὺ πνεῦμα μέγα κραταιὸν διαλῦον ὄρη καὶ συντρίβον πέτρας ἐνώπιον Κυρίου, οὐκ ἐν τῷ πνεύματι Κύριος· καὶ μετὰ τὸ πνεῦμα συσσεισμός, οὐκ ἐν τῷ συσσεισμῷ Κύριος·
Γ Βασ. 19,11 - Είπε προς αυτόν ο Θεός· “αύριον να εξέλθης από το σπήλαιον και να σταθής ενώπιον του Κυρίου στο όρος· και ιδού, θα περάση εκεί ο Κυριος”. Ετσι και έγινε. Αίφνης ισχυρότατος άνεμος έπνευσε, που διέλυε όρη και συνέτριβε πέτρας, αλλά δεν υπήρχεν ο Κυριος μέσα στον

σφοδρόν άνεμον. Επειτα από τον άνεμον έγινε σεισμός μεγάλος, αλλά ούτε μέσα στον σεισμόν υπήρχεν ο Κυριος.

Γ Βασ. 19,12 - καὶ μετὰ τὸν συσσειμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ Κύριος· καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς, κἀκεῖ Κύριος.

Γ Βασ. 19,12 - Επειτα από τον σεισμόν ήλθε πυρ. Ούτε μέσα στο πυρ υπήρχεν ο Κυριος. Επειτα από το πυρ ηκούσθη φωνή αύρας λεπτής και δροσεράς. Εκεί υπήρχεν ο Κυριος.

Γ Βασ. 19,13 - καὶ ἐγένετο ὡς ἤκουσεν Ἠλιού, καὶ ἐπεκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν τῇ μηλωτῇ αὐτοῦ καὶ ἐξῆλθε καὶ ἔστη ὑπὸ σπήλαιον· καὶ ἰδοὺ πρὸς αὐτὸν φωνὴ καὶ εἶπε· τί σὺ ἐνταῦθα Ἠλιού;

Γ Βασ. 19,13 - Οταν ο Ηλίας ήκουσε και είδεν αυτό, εκάλυψεν από σεβασμόν και φόβον τα πρόσωπόν του με την μηλωτήν. Εξήλθε και εστάθη κάτω από το σπήλαιον. Και ιδού πάλιν ο Θεός τον η ρώτησε· “διατί ευρίσκεσαι εδώ, Ηλία;”

Γ Βασ. 19,14 - καὶ εἶπεν Ἠλιού· ζηλῶν ἐζήλωκα τῷ Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπον τὴν διαθήκην σου οἱ υἱοὶ Ἰσραήλ· καὶ τὰ θυσιαστήριά σου καθεῖλαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν.

Γ Βασ. 19,14 - Ο δε Ηλίας απήντησε· “φλογερύς ζήλος πλημμυρίζει την καρδίαν μου προς χάριν σου, του Θεού του παντοκράτορος. Πονώ, διότι οι Ισραηλίται εγκατέλιπον την διαθήκην σου. Κατέσκαψαν και εκρήμνισαν τα θυσιαστήριά σου. Εφόνευσαν με ρομφαίαν τους προφήτας σου. Εγώ δε εντελώς μόνος έχω απομείνει. Αλλά ζητούν και την ίιδικήν μου ζωήν να αφαιρέσουν”.

Γ Βασ. 19,15 - καὶ εἶπε Κύριος πρὸς αὐτόν· πορεύου, ἀνάστρεφε εἰς τὴν ὁδόν σου καὶ ἥξεις εἰς τὴν ὁδὸν ἐρήμου Δαμασκοῦ καὶ ἥξεις καὶ χρίσεις τὸν Ἀζαὴλ εἰς βασιλέα τῆς Συρίας·

Γ Βασ. 19,15 - Είπε τότε ο Κυριος προς αυτόν· “πήγαινε, ξαναγύρισε στον δρόμον σου και θα έλθης στον δρόμον της ερήμου της Δαμασκού. Οταν φθάσης εκεί, θα χρίσης ως βασιλέα της Συρίας τον Αζαήλ,

Γ Βασ. 19,16 - καὶ τὸν Ἰοὺ υἱὸν Ναμεσσὶ χρίσεις εἰς βασιλέα ἐπὶ Ἰσραήλ· καὶ τὸν Ἑλισαιὲ υἱὸν Σαφὰτ χρίσεις εἰς προφήτην ἀντὶ σοῦ.

Γ Βασ. 19,16 - τον δε Ιού, υιόν του Ναμεσσί, θα τον χρίσης βασιλέα των Ισραηλιτών και τον Ελισαιέ, τον υιόν Σαφάτ, θα τον χρίσης ως προφήτην αντί σου.

Γ Βασ. 19,17 - καὶ ἔσται τὸν σῳζόμενον ἐκ ῥομφαίας Ἀζαήλ, θανατώσει Ἰού, καὶ τὸν σῳζόμενον ἐκ ῥομφαίας Ἰοὺ θανατώσει Ἑλισαιέ.

Γ Βασ. 19,17 - Θα συμβή δε τούτο· εκείνον οποίος θα διασωθή από την ρομφαίαν του Αζαήλ, θα τον θανατώση ο Ιού, και εκείνον ο οποίος θα διαφύγη την φονικήν ρομφαίαν Ιού, θα τον τιμωρήση δια θανάτου ο 'Ελισαιος.

Γ Βασ. 19,18 - καὶ καταλείψεις ἐν Ἰσραὴλ ἑπτὰ χιλιάδας ἀνδρῶν, πάντα γόνατα, ἃ οὐκ ὤκλασαν γόνυ τῷ Βάαλ, καὶ πᾶν στόμα, ὃ οὐ προσεκύνησεν αὐτῷ.

Γ Βασ. 19,18 - Θα αφήσης όμως ζώντας και ασφαλείς μεταξύ των Ισραηλιτών επτά χιλιάδας άνδρας, όλους εκείνους οι οποίοι δεν έκαμψαν γόνυ, δια, να προσκυνήσουν τον Βααλ, τα στόματα εκείνα τα οποία δεν προσεκύνησαν αυτόν".

Γ Βασ. 19,19 - Καὶ ἀπῆλθεν ἐκεῖθεν καὶ εὑρίσκει τὸν Ἑλισαιὲ υἱὸν Σαφάτ, καὶ αὐτὸς ἠροτρία ἐν βουσὶ -δώδεκα ζεύγη ἐνώπιον αὐτοῦ, καὶ αὐτὸς ἐν τοῖς δώδεκα- καὶ ἀπῆλθεν ἐπ᾿ αὐτὸν καὶ ἐπέῤῥιψε τὴν μηλωτὴν αὐτοῦ ἐπ᾿ αὐτόν.

Γ Βασ. 19,19 - Ο Ηλίας ανεχώρησεν από εκεί, εύρε τον Ελισαίον, τον υιόν του Σαφάτ, ο οποίος τότε έκανε χωράφι με τα βόϊδια του- δώδεκα ζεύγη βοϊδιών ώργωναν ενώπιόν του, αυτός δε έκανε χωράφι αυτοπροσώπως με ένα ζεύγος-. Ο Ηλίας τον επλησίασε και έρριψεν επάνω εις αυτόν την μηλωτήν.

Γ Βασ. 19,20 - καὶ κατέλιπεν Ἑλισαιὲ τὰς βόας καὶ κατέδραμεν ὀπίσω Ἠλιοὺ καὶ εἶπε· καταφιλήσω τὸν πατέρα μου καὶ ἀκολουθήσω ὀπίσω σου· καὶ εἶπεν Ἠλιού· ἀνάστρεφε, ὅτι πεποίηκά σοι.

Γ Βασ. 19,20 - Ο Ελισαίος ενόησε την συμβολικήν αυτήν πράξιν του Ηλιού, εγκατέλειπε τα βόϊδια του και έτρεξεν όπισθεν του Ηλιού και του είπεν· "επίτρεψόν μου να μεταβώ, δια να αποχαιρετήσω και καταφιλήσω τον πατέρα μου, και έπειτα θα σε ακολουθήσω". Ο δε Ηλίας του είπε· "πήγαινε και γύρισε πάλιν, διότι σε έχω καταστήσει προφήτην".

Γ Βασ. 19,21 - καὶ ἀνέστρεψεν ἐξόπισθεν αὐτοῦ καὶ ἔλαβε τὰ ζεύγη τῶν βοῶν καὶ ἔθυσε καὶ ἥψησεν αὐτὰ ἐν τοῖς σκεύεσι τῶν βοῶν καὶ ἔδωκε τῷ λαῷ, καὶ ἔφαγον· καὶ ἀνέστη καὶ ἐπορεύθη ὀπίσω Ἠλιοὺ καὶ ἐλειτούργει αὐτῷ.

Γ Βασ. 19,21 - Ο Ελισαίος απεχωρίσθη την ώραν εκείνην από τον Ηλίαν, επήρε τα δώδεκα ζεύγη των βοϊδιών, τα έσφαξε και τα εθυσίασε, τα έψησε με τα ξύλα από τα άροτρα των βοϊδιών, παρέθεσε τράπεζαν στον λαόν και έφαγον. Επειτα εσηκώθη και επορεύθη εις συνάντησιν του Ηλιού και υπηρετούσεν αυτόν.

Γ ΒΑΣΙΛΕΙΩΝ 20 (Μασ. 21)

Γ Βασ. 20,1 - Καὶ ἀμπελὼν εἷς ἦν τῷ Ναβουθαὶ τῷ Ἰεζραηλίτῃ παρὰ τῇ ἅλῳ Ἀχαὰβ βασιλέως Σαμαρείας.

Γ Βασ. 20,1 - Ο Ναβουθαί, ο οποίος κατήγετο από την πόλιν Ιεζράελ, είχεν ένα αμπελώνα, που ευρίσκετο κοντά στο αλώνι του Αχαάβ, βασιλέως

της Σαμαρείας.

Γ Βασ. 20,2 - καὶ ἐλάλησεν Ἀχαὰβ πρὸς Ναβουθαὶ λέγων· δός μοι τὸν ἀμπελῶνά σου καὶ ἔσται μοι εἰς κῆπον λαχάνων, ὅτι ἐγγίζων οὗτος τῷ οἴκῳ μου, καὶ δώσω σοι ἀμπελῶνα ἄλλον ἀγαθὸν ὑπὲρ αὐτόν· εἰ δὲ ἀρέσκει ἐνώπιόν σου, δώσω σοι ἀργύριον ἄλλαγμα ἀμπελῶνός σου τούτου, καὶ ἔσται μοι εἰς κῆπον λαχάνων.

Γ Βασ. 20,2 - Ο Αχαάβ ωμίλησε και είπε προς τον Ναβουθαί· "δος μου τον αμπελώνα σου, δια να μεταβάλω αυτόν εις λαχανόκηπόν μου, επειδή αυτός ευρίσκεται πολύ κοντά στο βασιλικόν μου ανάκτορον. Θα σου δώσω δε άλλον αμπελώνα, καλύτερον από αυτόν. Εάν δέ σου αρέση, θα σου δώσω αργύριον εις αντάλλαγμα αυτού του αμπελώνος σου. Και έτσι θα γίνη ο λαχανόκηπός μου.

Γ Βασ. 20,3 - καὶ εἶπε Ναβουθαὶ πρὸς Ἀχαάβ· μὴ γένοιτό μοι παρὰ Θεοῦ μου δοῦναι κληρονομίαν πατέρων μου σοί.

Γ Βασ. 20,3 - Ο Ναβουθαί απήντησε προς τον Αχαάβ· "να μη επιτρέψη ποτέ ο Θεός, να σου δώσω την προγονικήν μου κληρονομίαν".

Γ Βασ. 20,4 - καὶ ἐγένετο τὸ πνεῦμα Ἀχαὰβ τεταραγμένον, καὶ ἐκοιμήθη ἐπὶ τῆς κλίνης αὐτοῦ καὶ συνεκάλυψε τὸ πρόσωπον αὐτοῦ καὶ οὐκ ἔφαγεν ἄρτον.

Γ Βασ. 20,4 - Ο Αχαάβ εστενοχωρήθη πολύ με την απάντησιν αυτήν. Επεσε νηστικός στο κρεββάτι του και εσκέπασε το πρόσωπόν του.

Γ Βασ. 20,5 - καὶ εἰσῆλθεν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ πρὸς αὐτὸν καὶ ἐλάλησε πρὸς αὐτόν· τί τὸ πνεῦμά σου τεταραγμένον καὶ οὐκ εἶ σὺ ἐσθίων ἄρτον;

Γ Βασ. 20,5 - Η Ιεζάβελ, η σύζυγός του, εισήλθεν στο δωμάτιόν του και τον ηρώτησε· "διατί είσαι τόσον στενοχωρημένος και δεν έφαγες φαγητόν;

Γ Βασ. 20,6 - καὶ εἶπε πρὸς αὐτήν, ὅτι ἐλάλησα πρὸς Ναβουθαὶ τὸν Ἰεζραηλίτην λέγων· δός μοι τὸν ἀμπελῶνά σου ἀργυρίου· εἰ δὲ βούλῃ, δώσω σοι ἀμπελῶνα ἄλλον ἀντ᾽ αὐτοῦ· καὶ εἶπεν· οὐ δώσω σοι κληρονομίαν πατέρων μου.

Γ Βασ. 20,6 - Ο Αχαάβ απήντησε προς αυτήν· "στενοχωρούμαι διότι ωμίλησα προς τον Ναβουθαί τον Ιεζραηλίτην και του είπα· Δος μου τον αμπελώνα σου αντί χρημάτων. Εάν όμως θέλης, θα σου δώσω άλλον αμπελώνα αντί αυτού. Εκείνος δε μου είπε· δεν θα σου δώσω την προγονικήν μου κληρονομίαν".

Γ Βασ. 20,7 - καὶ εἶπε πρὸς αὐτὸν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ· σὺ νῦν οὕτω ποιεῖς βασιλέα ἐπὶ Ἰσραήλ; ἀνάστηθι καὶ φάγε ἄρτον καὶ σαυτοῦ γενοῦ, ἐγὼ δὲ δώσω σοι τὸν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰεζραηλίτου.

Γ Βασ. 20,7 - Η σύζυγός του, η Ιεζάβελ, του είπε· "συ ως βασιλεύς έτσι ασκείς την βασιλικήν σου εξουσίαν; Σηκω, φάγε το φαγητόν σου, έλα στον

εαυτόν σου, εγώ δε θα σου δώσω τον αμπελώνα του Ναβουθαί του Ιεζραηλίτου”.

Γ Βασ. 20,8 - καὶ ἔγραψε βιβλίον ἐπὶ τῷ ὀνόματι Ἀχαὰβ καὶ ἐσφραγίσατο τῇ σφραγίδι αὐτοῦ καὶ ἀπέστειλε τὸ βιβλίον πρὸς τοὺς πρεσβυτέρους καὶ τοὺς ἐλευθέρους τοὺς κατοικοῦντας μετὰ Ναβουθαί.

Γ Βασ. 20,8 - Η Ιεζάβελ συνέταξεν ένα εγγράφον εξ ονόματος του Αχαάβ, το εσφράγισε με την σφραγίδα αυτού και το έστειλε προς τους πρεσβυτέρους και τους άρχοντας, οι οποίοι κατοικούσαν εις την ιδίαν πόλιν με τον Ναβουθαί.

Γ Βασ. 20,9 - καὶ ἐγέγραπτο ἐν τοῖς βιβλίοις λέγων· νηστεύσατε νηστείαν καὶ καθίσατε τὸν Ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ·

Γ Βασ. 20,9 - Εις το έγγραφον αυτό εγράφετο· “Κηρύξατε νηστείαν και καθίσατε τον Ναβουθαί ως κατηγορούμενον ενώπιον του λαού.

Γ Βασ. 20,10 - καὶ ἐγκαθίσατε δύο ἄνδρας υἱοὺς παρανόμων ἐξεναντίας αὐτοῦ, καὶ καταμαρτυρησάτωσαν αὐτοῦ λέγοντες· ηὐλόγησε Θεὸν καὶ βασιλέα· καὶ ἐξαγαγέτωσαν αὐτὸν καὶ λιθοβολησάτωσαν αὐτόν, καὶ ἀποθανέτω.

Γ Βασ. 20,10 - Κατόπιν παρουσιάσατε δύο παρανόμους άνδρας ενώπιόν του, δύο ψευδομάρτυρας, οι οποίοι ας καταθέσουν μαρτυρίαν ,ψευδή εναντίον του λέγοντες· Αυτός εβλασφήμησε τον Θεόν και τον βασιλέα. Ετσι θα καταδικασθή εις θάνατον. Κατόπιν ας οδηγηθή έξω από την πόλιν, ας τον λιθοβολήσουν εκεί και ας αποθάνη”.

Γ Βασ. 20,11 - καὶ ἐποίησαν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ οἱ πρεσβύτεροι καὶ οἱ ἐλεύθεροι οἱ κατοικοῆντες ἐν τῇ πόλει αὐτοῦ, καθὼς ἀπέστειλε πρὸς αὐτοὺς Ἰεζάβελ καὶ καθὰ ἐγέγραπτο ἐν τοῖς βιβλίοις, οἷς ἀπέστειλε πρὸς αὐτούς.

Γ Βασ. 20,11 - Οι άνδρες της πόλεως του Ναβουθαί, οι πρεσβύτεροι και οι άρχοντες οι οποίοι κατοικούσαν εις την πόλιν του, ενήργησαν, όπως παρήγγειλε προς αυτούς η Ιεζάβελ και όπως ήτο γραμμένον στο έγγραφον, το οποίον είχεν αποστείλει προς αυτούς.

Γ Βασ. 20,12 - καὶ ἐκάλεσαν νηστείαν καὶ ἐκάθισαν τὸν Ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ,

Γ Βασ. 20,12 - Αυτοί εκάλεσαν εις νηστείαν τον λαόν και εκάθισαν τον Μαβουθαί ως κατηγορούμενον ενώπιον του λαού.

Γ Βασ. 20,13 - καὶ εἰσῆλθον δύο ἄνδρες υἱοὶ παρανόμων καὶ ἐκάθισαν ἐξεναντίας αὐτοῦ καὶ κατεμαρτύρησαν αὐτοῦ λέγοντες· ηὐλόγηκας Θεὸν καὶ βασιλέα· καὶ ἐξήγαγον αὐτὸν ἔξω τῆς πόλεως καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις, καὶ ἀπέθανε.

Γ Βασ. 20,13 - Εισήλθον εις την αίθουσαν του δικαστηρίου δύο άνδρες παράνομοι, έλαβον θέσιν απέναντι του Ναουθαί και κατέθεσαν ψευδή

κατηγορίαν εναντίον αυτού λέγοντες· "συ εβλασφήμησες τον Θεόν και τον βασιλέα". Εξ αιτίας της καταθέσεως αυτής ο Ναβουθαί κατεδικάσθη εις θάνατον. Τον έβγαλαν έξω από την πόλιν, τον ελιθοβόλησαν και εκεί απέθανεν.

Γ Βασ. 20,14 - καὶ ἀπέστειλαν πρὸς Ἰεζάβελ λέγοντες· λελιθοβόληται Ναβουθαὶ καὶ τέθνηκε.

Γ Βασ. 20,14 - Οι άνθρωποι της πόλεως εκείνης έστειλαν αγγελιαφόρους προς την Ιεζάβελ και την επληροφόρησαν. "Ελιθοβολήθη ο Ναβουθαί και απέθανε".

Γ Βασ. 20,15 - καὶ ἐγένετο ὡς ἤκουσεν Ἰεζάβελ, καὶ εἶπε πρὸς Ἀχαάβ· ἀνάστα, κληρονόμει τὸν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰεζραηλίτου, ὃς οὐκ ἔδωκέ σοι ἀργυρίου, ὅτι οὐκ ἔστι Ναβουθαὶ ζῶν, ὅτι τέθνηκε.

Γ Βασ. 20,15 - Οταν η Ιεζάβελ επληροφορήθη το γεγονός, είπε προς τον Αχαάβ· "σήκω και πήγαινε να κληρονομήσης τον αμπελώνα του Ναβουθαί, του Ιεζρατηλίτου, τον οποίον εκείνος δεν ήθελε να σου τον πωλήση αντί αργυρίου. Διότι δεν ζη πλέον ο Ναβουθαί, αλλ' έχει αποθάνει".

Γ Βασ. 20,16 - καὶ ἐγένετο ὡς ἤκουσεν Ἀχαὰβ ὅτι τέθνηκε Ναβουθαὶ ὁ Ἰεζραηλίτης, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ περιεβάλετο σάκκον· καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἀνέστη καὶ κατέβη Ἀχαὰβ εἰς τὸν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰεζραηλίτου κληρονομῆσαι αὐτόν.

Γ Βασ. 20,16 - Ο Αχαάβ, όταν ήκουσε τον τρόπον της καταδίκης και του θανάτου του Ναβουθαί, έσχισεν εις ένδειξιν διαμαρτυρίας και πένθους τα ενδύματά του και περιεβλήθη σάκκινον ένδυμα. Κατόπιν όμως κατέβη στον αμπελώνα του Ναβουθαί του Ιεζραηλίτου, δια να τον κληρονομήση.

Γ Βασ. 20,17 - Καὶ εἶπεν Κύριος πρὸς Ἠλιοὺ τὸν Θεσβίτην λέγων·

Γ Βασ. 20,17 - Είπε τότε ο Θεός προς τον Ηλία, τον Θεσβίτην·

Γ Βασ. 20,18 - ἀνάστηθι καὶ κατάβηθι εἰς ἀπαντὴν Ἀχαὰβ βασιλέως Ἰσραὴλ τοῦ ἐν Σαμαρείᾳ, ὅτι οὗτος ἐν ἀμπελῶνι Ναβουθαί, ὅτι καταβέβηκεν ἐκεῖ κληρονομῆσαι αὐτόν.

Γ Βασ. 20,18 - "σήκω και πήγαινε να συναντήσης τον Αχαάβ, τον βασιλέα του Ισραηλιτικού λαού, που μένει εις την Σαμάρειαν, διότι αυτός κατέβηκε στον αμπελώνα του Ναδουθαί, δια να τον κληρονομήση.

Γ Βασ. 20,19 - καὶ λαλήσεις πρὸς αὐτὸν λέγων· τάδε λέγει Κύριος· ὡς σὺ ἐφόνευσας καὶ ἐκληρονόμησας, διὰ τοῦτο τάδε λέγει Κύριος· ἐν παντὶ τόπῳ, ᾧ ἔλειξαν αἱ ὕες καὶ οἱ κύνες τὸ αἷμα Ναβουθαί, ἐκεῖ λείξουσιν οἱ κύνες τὸ αἷμα σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου.

Γ Βασ. 20,19 - Θα πης δε προς αυτόν τα εξής· Αυτά λέγει ο Κυριος. Επειδή συ εφόνευσες τον Ναβουθαί και κατέλαβες τον αμπελώνα του, δια τούτο ο Κυριος λέγει· Εις τους τόπους, στους οποίους οι χοίροι και τα σκυλιά

έγλειψαν το αίμα του Ναβουθαί, εκεί τα σκυλιά θα γλείψουν και το ιδικόν σου αίμα, αι δε πόρναι θα λουσθούν στο αίμα σου”.

Γ Βασ. 20,20 - καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἠλιού· εἰ εὕρηκάς με, ὁ ἐχθρός μου; καὶ εἶπεν· εὕρηκα, διότι μάτην πέπρασαι ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου παροργίσαι αὐτόν.

Γ Βασ. 20,20 - Ο Αχαάβ είπε προς τον Ηλίαν· “αλήθεια, συ ο εχθρός μου με ευρήκες πάλιν;” Ο Ηλίας απήντησε· “σε ευρήκα, διότι έχεις πωληθή και έγινες δούλος στο πονηρόν, ώστε να εξοργίσης τον Κυριον, ο οποίος και λέγει·

Γ Βασ. 20,21 - ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ κακὰ καὶ ἐκκαύσω ὀπίσω σου καὶ ἐξολοθρεύσω τοῦ Ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραήλ·

Γ Βασ. 20,21 - Ιδού εγώ θα επιφέρω εναντίον σου συμφοράς, θα ανάψω όπισθέν σου φωτιές και θα εξολοθρεύσω από την οικογένειαν του Αχαάβ κάθε αρσενικόν άνθρωπον, ακόμη δε δούλον και ελεύθερον μεταξύ του Ισραηλιτικού λαού.

Γ Βασ. 20,22 - καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ὡς τὸν οἶκον Βαασὰ υἱοῦ Ἀχιὰ περὶ τῶν παροργισμάτων, ὧν παρώργισας καὶ ἐξήμαρτες τὸν Ἰσραήλ.

Γ Βασ. 20,22 - Θα παραδώσω εις όλεθρον την οικογένειάν σου, όπως παρέδωκα την οικογένειαν Ιεροβοάμ του υιού Ναβάτ, όπως παρέδωσα εις καταστροφήν την οικογένειαν του Βαασά, υιού του Αχιά. Τούτο δέ, διότι συ με τας εξοργιστικάς αμαρτίας σου έγινες αιτία να οργισθή εναντίον σου ο Θεός και να παρασυρθή εις αμαρτίας ο ισραηλιτικός λαός”.

Γ Βασ. 20,23 - καὶ τῇ Ἰεζάβελ ἐλάλησε Κύριος λέγων· οἱ κύνες καταφάγονται αὐτὴν ἐν τῷ προτειχίσματι Ἰεζράελ.

Γ Βασ. 20,23 - Και δια την Ιεζάβελ ωμίλησεν ο Κυριος και είπε· “τα σκυλιά θα καταφάγουν και αυτήν στο τείχος το εμπρός της πόλεως Ιεζράελ.

Γ Βασ. 20,24 - τὸν τεθνηκότα τοῦ Ἀχαὰβ ἐν τῇ πόλει φάγονται οἱ κύνες καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ φάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ.

Γ Βασ. 20,24 - Τους νεκρούς της οικογενείας του Αχαάβ εις την πόλιν θα καταφάγουν οι κύνες. Και τους νεκρούς της οικογενείας του εις την πεδιάδα θα καταφάγουν τα όρνεα του ουρανού”.

Γ Βασ. 20,25 - πλὴν ματαίως Ἀχαάβ, ὃς ἐπράθη ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου, ὡς μετέθηκεν αὐτὸν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ·

Γ Βασ. 20,25 - Εις μάτην όμως ελέχθησαν αι απειλαί αυταί του Κυρίου. Ο Αχαάβ είχε πωληθή στο να πράττη το πονηρόν αναισχύντως ενώπιον του Κυρίου, όπως τον παρακινούσεν η σύζυγός του η Ιεζάβελ.

Γ Βασ. 20,26 - καὶ ἐβδελύχθη σφόδρα πορεύεσθαι ὀπίσω τῶν βδελυγμάτων κατὰ πάντα, ἃ ἐποίησεν ὁ Ἀμοῤῥαῖος, ὃν ἐξωλόθρευσε

Κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ.

Γ Βασ. 20,26 - Εγινε συχαμερός και μισητός πάρα πολύ ενώπιον του Κυρίου, διότι εδέχθη και ηκολούθησε την λατρείαν των ειδωλικών θεών, όπως οι Αμορραίοι, τους οποίους ο Κυριος είχε καταστρέψει ενώπιον του Ισραηλιτικού λαού.

Γ Βασ. 20,27 - καὶ ὑπὲρ τοῦ λόγου, ὡς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου τοῦ Κυρίου καὶ ἐπορεύετο κλαίων καὶ διέῤῥηξε τὸν χιτῶνα αὐτοῦ καὶ ἐζώσατο σάκκον ἐπὶ τὸ σῶμα αὐτοῦ καὶ ἐνήστευσε καὶ περιεβάλετο σάκκον ἐν τῇ ἡμέρᾳ, ᾗ ἐπάταξε Ναβουθαὶ τὸν Ἰεζραηλίτην, καὶ ἐπορεύθη,

Γ Βασ. 20,27 - Επειδή όμως ο Αχαάβ ακούσας τον λόγον του Ηλία συνετρίβη ενώπιον του Κυρίου, εβάδιζε δε κλαίων και διέρρηξε τον χιτώνα αυτού και εζώσθη σάκκινον ένδυμα, επειδή δε κατά την ημέραν, κατά την οποίαν εφονεύθη ο Ναβουθαί, ενήστευσε και περιεβλήθη σάκκινον ένδυμα και με αυτό επορεύετο,

Γ Βασ. 20,28 - καὶ ἐγένετο ῥῆμα Κυρίου ἐν χειρὶ δούλου αὐτοῦ Ἠλιοὺ περὶ Ἀχαάβ, καὶ εἶπε Κύριος·

Γ Βασ. 20,28 - έγινε πάλιν λόγος Κυρίου δια του Ηλιού, του δούλου του, προς τον Αχαάβ. Είπε δηλαδή ο Κυριος προς τον Ηλίαν·

Γ Βασ. 20,29 - ἑώρακας ὡς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; οὐκ ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀλλ᾿ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ αὐτοῦ ἐπάξω τὴν κακίαν.

Γ Βασ. 20,29 - “είδες πως συνετρίβη ο Αχαάβ ενώπιόν μου; Δια τούτο δεν θα αποστείλω την τιμωρίαν κατά τας ημέρας, κατά τας οποίας αυτός ζη. Αλλά θα στείλω αυτήν την τιμωρίαν εις τας ημέρας του υιού του”.

Γ ΒΑΣΙΛΕΙΩΝ 21 (Μασ. 20)

Γ Βασ. 21,1 - Καὶ συνήθροισεν υἱὸς Ἄδερ πᾶσαν τὴν δύναμιν αὐτοῦ καὶ ἀνέβη καὶ περιεκάθισεν ἐπὶ Σαμάρειαν καὶ τριακονταδύο βασιλεῖς μετ᾿ αὐτοῦ καὶ πᾶς ἵππος καὶ ἅρμα· καὶ ἀνέβησαν καὶ περιεκάθισαν ἐπὶ Σαμάρειαν καὶ ἐπολέμησαν ἐπ᾿ αὐτήν.

Γ Βασ. 21,1 - Ο υιός Αδερ συνήθροισεν όλην την στρατιωτικήν του δύναμιν, εξεστράτευσε και επολιόρκησε την Σαμάρειαν, μαζή με τριάκοντα δύο βασιλείς, με όλον το ιππικόν και τα πολεμικά του άρματα. Ανέβησαν αυτοί και επολιορκούσαν την Σαμάρειαν και επολεμούσαν εναντίον αυτής.

Γ Βασ. 21,2 - καὶ ἀπέστειλε πρὸς Ἀχαὰβ βασιλέα Ἰσραὴλ εἰς τὴν πόλιν, καὶ εἶπε πρὸς αὐτόν· τάδε λέγει υἱὸς Ἄδερ·

Γ Βασ. 21,2 - Ο υιός Αδερ έστειλεν αγγελιαφόρους προς τον Αχαάβ, βασιλέα των Ισραηλιτών εις την πόλιν, και του είπεν· “αυτά παραγγέλλει ο υιός Αδερ·

Γ Βασ. 21,3 - τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου ἐμόν ἐστι καὶ αἱ γυναῖκές σου καὶ τὰ τέκνα σου ἐμά ἐστι.

Γ Βασ. 21,3 - Το αργύριόν σου και το χρυσίον σου είναι ιδικά μου και αι γυναίκες σου και τα τέκνα σου είναι ιδικά μου".

Γ Βασ. 21,4 - καὶ ἀπεκρίθη βασιλεὺς Ἰσραὴλ καὶ εἶπε· καθὼς ἐλάλησας, κύριέ μου βασιλεῦ, σὸς ἐγώ εἰμι καὶ πάντα τὰ ἐμά.

Γ Βασ. 21,4 - Ο βασιλεύς του Ισραηλιτικού λαού, ο Αχαάβ, απήντησε· "κύριέ μου, βασιλεύ, όπως είπες, έτσι θα γίνη. Εγώ θα είμαι υποτελής σου και όλα τα ιδικά μου ανήκουν εις σέ".

Γ Βασ. 21,5 - καὶ ἀνέστρεψαν οἱ ἄγγελοι, καὶ εἶπαν· τάδε λέγει ὁ υἱὸς Ἄδερ· ἐγὼ ἀπέστειλα πρός σε λέγων· τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα σου δώσεις ἐμοί·

Γ Βασ. 21,5 - Ηλθον και πάλιν οι αγγελιαφόροι του υιού Αδερ προς τον βασιλέα Αχαάβ και του είπαν· "αυτά λέγει ο υιός Αδερ· Εγώ σου παρήγγειλα και σου είπα ότι το αργύριόν σου, το χρυσίον σου, τας γυναίκας σου και τα παιδιά σου θα τα παραδώσης.

Γ Βασ. 21,6 - ὅτι ταύτην τὴν ὥραν αὔριον ἀποστελῶ τοὺς παῖδάς μου πρός σε, καὶ ἐρευνήσουσι τὸν οἶκόν σου καὶ τοὺς οἴκους τῶν παίδων σου καὶ ἔσται πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν αὐτῶν, ἐφ᾿ ἃ ἂν ἐπιβάλωσι τὰς χεῖρας αὐτῶν, καὶ λήψονται.

Γ Βασ. 21,6 - Τωρα όμως σου λέγω. Οτι αύριον αυτήν την ώραν θα αποστείλω τους υπηρέτας μου, οι οποίοι θα ερευνήσουν τον οίκόν σου και τους οίκους των υπηκόων σου και κάθε τι, που θα επιθυμήσουν οι οφθαλμοί των. Θα βάλουν χέρι εις αυτά και θα τα πάρουν".

Γ Βασ. 21,7 - καὶ ἐκάλεσεν ὁ βασιλεὺς Ἰσραὴλ πάντας τοὺς πρεσβυτέρους τῆς γῆς καὶ εἶπε· γνῶτε δὴ καὶ ἴδετε ὅτι κακίαν οὗτος ζητεῖ, ὅτι ἀπέσταλκε πρός με περὶ τῶν γυναικῶν μου καὶ περὶ τῶν υἱῶν μου καὶ περὶ τῶν θυγατέρων μου· τὸ ἀργύριόν μου καὶ τὸ χρυσίον μου οὐκ ἀπεκώλυσα ἀπ᾿ αὐτοῦ.

Γ Βασ. 21,7 - Ο βασιλεύς του Ισραηλιτικού λαού, ο Αχαάβ, εκάλεσεν όλους τους πρεσβυτέρους του βασιλείου και τους είπε· "ακούστε, σας παρακαλώ, και ιδέτε ότι ο υιός Αδερ ζητεί την καταστροφήν μας. Διότι έστειλε προς εμέ αγγελιαφόρους και μου εζήτησε τας γυναίκας μου, τα παιδιά μου και τας θυγατέρας μου. Το αργύριόν μου και το χρυσίον μου δεν ηρνήθην να το δώσω εις αυτόν".

Γ Βασ. 21,8 - καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι καὶ πᾶς ὁ λαός· μὴ ἀκούσῃς καὶ μὴ θελήσῃς.

Γ Βασ. 21,8 - Απήντησαν εις αυτόν οι πρεσβύτεροι και όλος ο λαός· "μη υπακούσης εις αυτόν και μη θελήσης να υποχωρήσης εις τας αξιώσστου".

Γ Βασ. 21,9 - καὶ εἶπε τοῖς ἀγγέλοις υἱοῦ Ἄδερ· λέγετε τῷ κυρίῳ ὑμῶν· πάντα ὅσα ἀπέσταλκας πρὸς τὸν δοῦλόν σου ἐν πρώτοις ποιήσω, τὸ δὲ ῥῆμα τοῦτο οὐ δυνήσομαι ποιῆσαι. καὶ ἀπῇραν οἱ ἄνδρες καὶ ἐπέστρεψαν αὐτῷ λόγον.

Γ Βασ. 21,9 - Είπε τότε ο Αχαάβ στους αγγελιαφόρους του υιού Αδερ· "αναγγείλατε στον κύριόν σας τα εξής· Ολα όσα την πρώτην φοράν δι' αγγελιαφόρων του εζήτησεν από τον δούλον του, θα τα εκτελέσω. Την σημερινήν όμως απαίτησίν του δεν θα ημπορέσω να την εκπληρώσω". Οι απεσταλμένοι του υιού Αδερ ανεχώρησαν και ανέφεραν εις αυτόν την απάντησιν του Αχαάβ.

Γ Βασ. 21,10 - καὶ ἀπέστειλε πρὸς αὐτὸν υἱὸς Ἄδερ λέγων· τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη, εἰ ἐκποιήσει ὁ χοῦς Σαμαρείας ταῖς ἀλώπεξι παντὶ τῷ λαῷ τοῖς πεζοῖς μου.

Γ Βασ. 21,10 - Ο Αδερ έστειλε πάλιν αγγελιαφόρους προς τον Αχαάβ και του είπεν· "ας με τιμωρήση ο Θεός με τας πλέον σκληράς τιμωρίας, εάν εγώ δεν καταστρέψω εξ ολοκλήρου την Σαμάρειαν, ώστε το χώμα, που θα απομείνη εις αυτήν, να μη είναι αρκετόν ούτε δια τας αλώπεκας, και δι' όλον τον λαόν του πεζικού μου".

Γ Βασ. 21,11 - καὶ ἀπεκρίθη ὁ βασιλεὺς Ἰσραὴλ καὶ εἶπεν· ἱκανούσθω· μὴ καυχάσθω ὁ κυρτὸς ὡς ὁ ὀρθός.

Γ Βασ. 21,11 - Ο βασιλεύς του Ισραηλιτικού βασιλείου απήντησε και είπε· "αρκεί έως εδώ. Ας μη καυχάται ο καμπούρης όπως ο ευθυτενής".

Γ Βασ. 21,12 - καὶ ἐγένετο ὅτε ἀπεκρίθη αὐτῷ τὸν λόγον τοῦτον, πίνων ἦν αὐτὸς καὶ πάντες οἱ βασιλεῖς οἱ μετ᾽ αὐτοῦ ἐν σκηναῖς καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· οἰκοδομήσατε χάρακα· καὶ ἔθεντο χάρακα ἐπὶ τὴν πόλιν.

Γ Βασ. 21,12 - Οταν ο Αχααδ έστειλε την απάντησιν αυτήν προς τον Αδερ, ο Αδερ έχων πεποίθησιν εις την νίκην του, έπινε και εμέθυε αυτός και όλοι οι βασιλείς που ήσαν μαζή του εις τας σκηνάς των, και έδωσε διαταγήν στους δούλους του· "οικοδομήσατε χαράκωμα γύρω από την πόλιν". Εκείνοι ανήγειραν χαράκωμα γύρω από την πόλιν.

Γ Βασ. 21,13 - καὶ ἰδοὺ προφήτης εἷς προσῆλθε τῷ Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ καὶ εἶπε· τάδε λέγει Κύριος· εἰ ἑώρακας τὸν ὄχλον τὸν μέγαν τοῦτον; ἰδοὺ ἐγὼ δίδωμι αὐτὸν σήμερον εἰς χεῖράς σας, καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος.

Γ Βασ. 21,13 - Και ιδού ένας προφήτης του αληθινού Θεού προσήλθεν στον Αχαάβ, τον βασιλέα του Ισραηλιτικού λαού, και του είπεν· "αυτά λέγει ο Κυριος· Βλέπστον πολυάριθμον αυτόν όχλον; Ιδού εγώ παραδίδω αυτόν σήμερον εις τα χέρια σου· και θα μάθης έτσι, ότι εγώ είμαι ο αληθινός Κυριος και Θεός".

Γ Βασ. 21,14 - καὶ εἶπεν Ἀχαάβ· ἐν τίνι; καὶ εἶπε· τάδε λέγει Κύριος· ἐν τοῖς παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν. καὶ εἶπεν Ἀχαάβ· τίς συνάξει τὸν

πόλεμον; καὶ εἶπε· σύ.

Γ Βασ. 21,14 - Ο Αχαάβ η ρώτησε “με ποίον τρόπον θα κατορθωθή αυτό;” Ο Κυριος απήντησε· “με τους νεαρούς δούλους των επαρχιακών διοικητών”. “Ποιός θα διεξαγάγη τον πόλεμον;” Είπεν ο Αχαάβ. “Συ”, απήντησεν ο Θεός.

Γ Βασ. 21,15 - καὶ ἐπεσκέψατο Ἀχαὰβ τὰ παιδάρια τῶν ἀρχόντων τῶν χωρῶν, καὶ ἐγένοντο διακόσια τριάκοντα· καὶ μετὰ ταῦτα ἐπεσκέψατο τὸν λαόν, πάντα υἱὸν δυνάμεως, ἑπτὰ χιλιάδας.

Γ Βασ. 21,15 - Ο Αχαάβ επεθεώρησε και ηρίθμησε τους νεαρούς δούλους των διοικητών της επαρχίας, οι οποίοι ήσαν διακόσιοι τριάκοντα. Κατόπιν επεθεώρησε και ηρίθμησε τους ικανούς προς πόλεμον άνδρας εκ του λαού, οι οποίοι ανήρχοντο εις επτά χιλιάδας.

Γ Βασ. 21,16 - καὶ ἐξῆλθε μεσημβρίας· καὶ υἱὸς Ἄδερ πίνων μεθύων ἐν Σοκχὼθ αὐτὸς καὶ οἱ βασιλεῖς, τριάκοντα καὶ δύο βασιλεῖς συμβοηθοὶ μετ᾽ αὐτοῦ.

Γ Βασ. 21,16 - Κατά την μεσημβρίαν εξήλθεν ο Αχαάβ από την Σαμάρειαν. Ο υιός Αδερ έπινε και εμεθούσε εις Σοκχώθ, αυτός, οι βασιλείς και οι βοηθοί του, τριάκοντα δύο εν όλω σύμμαχοί του.

Γ Βασ. 21,17 - καὶ ἐξῆλθον ἄρχοντες παιδάρια τῶν χωρῶν ἐν πρώτοις. καὶ ἀποστέλλουσι καὶ ἀπαγγέλλουσι τῷ βασιλεῖ Συρίας λέγοντες· ἄνδρες ἐξεληλύθασιν ἐκ Σαμαρείας.

Γ Βασ. 21,17 - Πρώτοι εξήλθον προς πόλεμον οι νεαροί δούλοι των επαρχιακών διοικητών. Ανθρωποι του υιού Αδερ έστειλαν και εγνωστοποίησαν στον βασιλέα της Συρίας, ότι “άνδρες εβγήκαν από την Σαμάρειαν”.

Γ Βασ. 21,18 - καὶ εἶπεν αὐτοῖς· εἰ εἰς εἰρήνην ἐκπορεύονται, συλλαβεῖν αὐτοὺς ζῶντας· καὶ εἰ εἰς πόλεμον, ζῶντας συλλαβεῖν αὐτούς·

Γ Βασ. 21,18 - Εκείνος είπεν εις αυτούς· “εάν έρχωνται να ζητήσουν ειρήνην, συλλάβετέ τους ζώντας. Εάν εξέρχωνται προς πόλεμον, συλλάβετέ τους και πάλιν ζώντας.

Γ Βασ. 21,19 - καὶ μὴ ἐξελθάτωσαν ἐκ τῆς πόλεως τὰ παιδάρια ἀρχόντων τῶν χωρῶν. καὶ ἡ δύναμις ὀπίσω αὐτῶν

Γ Βασ. 21,19 - Εκτελέσατε αμέσως την διαταγήν μου, ώστε να μη προκάμουν να βγουν όλοι οι νεαροί δούλοι των διοικητών της επαρχίας”. Εν τούτοις αμέσως οπίσω από τους νεαρούς αυτούς δούλους, ακολουθούσε και το κύριον σώμα του στρατού.

Γ Βασ. 21,20 - ἐπάταξεν ἕκαστος τὸν παρ᾽ αὐτοῦ καὶ ἐδευτέρωσεν ἕκαστος τὸν παρ᾽ αὐτοῦ, καὶ ἔφυγε Συρία, καὶ κατεδίωξεν αὐτοὺς Ἰσραήλ· καὶ σῴζεται υἱὸς Ἄδερ βασιλεὺς Συρίας ἐφ᾽ ἵππου ἱππέως.

Γ Βασ. 21,20 - Ο καθένας από αυτούς επετέθη εις κάθε απέναντί του Σύρον πρώτην και δευτέραν φοράν, ώστε οι Συροι ετράπησαν εις φυγήν. Οι Ισραηλίται τους κατεδίωξαν. Ο υιός Αδερ, ο βασιλεύς της Συρίας, εσώθη επάνω εις ένα ίππον κάποιου ιππέως.

Γ Βασ. 21,21 - καὶ ἐξῆλθεν ὁ βασιλεὺς Ἰσραὴλ καὶ ἔλαβε πάντας τοὺς ἵππους καὶ τὰ ἅρματα καὶ ἐπάταξε πληγὴν μεγάλην ἐν Συρίᾳ.

Γ Βασ. 21,21 - Εβγήκε τότε ο βασιλεύς των Ισραηλιτών από την πόλιν, επήρε όλους τους ίππους των εχθρών, επήρε τα άρματα αυτών και επέφερε μεγάλην καταστροφήν στον στρατόν της Συρίας.

Γ Βασ. 21,22 - καὶ προσῆλθεν ὁ προφήτης πρὸς βασιλέα Ἰσραὴλ καὶ εἶπε· κραταιοῦ καὶ γνῶθι καὶ ἴδε τί ποιήσεις, ὅτι ἐπιστρέφοντος τοῦ ἐνιαυτοῦ υἱὸς Ἄδερ βασιλεὺς Συρίας ἀναβαίνει ἐπὶ σέ.

Γ Βασ. 21,22 - Τοτε ο αληθινός προφήτης προσήλθεν στον βασιλέα των Ισραηλιτών Αχαάβ και του είπε· “Εχε θάρρος ! Μαθε όμως ότι ο υιός Αδερ, ο βασιλεύς της Συρίας, όταν συμπληρωθή ένας χρόνος, θα εκστρατεύση πάλιν εναντίον σου”.

Γ Βασ. 21,23 - καὶ οἱ παῖδες βασιλέως Συρίας εἶπον· Θεὸς ὀρέων Θεὸς Ἰσραὴλ καὶ οὐ Θεὸς κοιλάδων, διὰ τοῦτο ἐκραταίωσεν ὑπὲρ ἡμᾶς· ἐὰν δὲ πολεμήσωμεν αὐτοὺς κατ᾽ εὐθύ, εἰ μὴν κραταιώσωμεν ὑπὲρ αὐτούς.

Γ Βασ. 21,23 - Οι δούλοι του βασιλέως της Συρίας είπαν εις αυτόν· “Ο Θεός του Ισραηλιτικού λαού είναι Θεός των ορέων και όχι των πεδιάδων. Δια τούτο και εκείνοι ανεδείχθησαν ισχυρότεροι από ημάς. Εάν όμως πολεμήσωμεν αυτούς εις την πεδιάδα, ασφαλώς θα αναδειχθώμεν ημείς ισχυρότεροι από αυτούς και θα τους νικήσωμεν.

Γ Βασ. 21,24 - καὶ τὸ ῥῆμα τοῦτο ποίησον· ἀπόστησον τοὺς βασιλεῖς ἕκαστον εἱς τὸν τόπον αὐτῶν καὶ θοῦ ἀντ᾽ αὐτῶν σατράπας,

Γ Βασ. 21,24 - Καμε δε και τούτο· απόστειλε τους συμμάχους σου βασιλείς τον καθένα εις την χώραν του και θέσε αντ' αυτών σατράπας.

Γ Βασ. 21,25 - καὶ ἀλλάξομέν σοι δύναμιν κατὰ τὴν δύναμιν τὴν πεσοῦσαν καὶ ἵππον κατὰ τὴν ἵππον καὶ ἅρματα κατὰ τὰ ἅρματα καὶ πολεμήσομεν πρὸς αὐτοὺς κατ᾽ εὐθὺ καὶ κραταιώσομεν ὑπὲρ αὐτούς. καὶ ἤκουσε τῆς φωνῆς αὐτῶν καὶ ἐποίησεν οὕτως.

Γ Βασ. 21,25 - Θα αναπληρώσωμεν δε με άλλην δύναμιν στρατού την δύναμιν, που εχάσαμεν κατά την μάχην, το απολεσθέν ιππικόν με άλλο ιππικόν και τα άρματα μα άλλα άρματα. Ετσι δε θα πολεμήσωμεν αυτούς εις την πεδιάδα και θα τους νικήσωμεν”. Ο υιός Αδερ εδέχθη την πρότασίν των και έπραξεν όπως τον συνεβούλευσαν.

Γ Βασ. 21,26 - καὶ ἐγένετο ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ καὶ ἐπεσκέψατο υἱὸς Ἄδερ τὴν Συρίαν καὶ ἀνέβη εἰς Ἀφεκὰ εἰς πόλεμον ἐπὶ Ἰσραήλ.

Γ Βασ. 21,26 - Πράγματι κατά την άνοιξιν του επομένου έτους συνεκέντρωσε στρατόν της Συρίας ο υιός Αδερ και εξεστράτευσεν εναντίον

της πόλεως Αφεκά, δια να πολεμήση τους Ισραηλίτας.

Γ Βασ. 21,27 - καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπεσκέπησαν καὶ παρεγένοντο εἰς ἀπαντὴν αὐτῶν, καὶ παρενέβαλεν Ἰσραὴλ ἐξεναντίας αὐτῶν ὡσεὶ δύο ποίμνια αἰγῶν, καὶ Συρία ἔπλησε τὴν γῆν.

Γ Βασ. 21,27 - Οι Ισραηλίται ητοιμάσθησαν και εξήλθαν εις συνάντησιν των εχθρών των. Εστρατοπέδευσαν οι Ισραηλίται απέναντι αυτών, τόσον ολίγοι ωσάν δύο ποίμνια αιγών, ενώ οι στρατιώται της Συρίας εγέμισαν την περιοχήν.

Γ Βασ. 21,28 - καὶ προσῆλθεν ὁ ἄνθρωπος τοῦ Θεοῦ καὶ εἶπε τῷ βασιλεῖ Ἰσραήλ· τάδε λέγει Κύριος· ἀνθ᾿ ὧν εἶπε Συρία· Θεὸς ὀρέων Κύριος ὁ Θεὸς Ἰσραὴλ καὶ οὐ Θεὸς κοιλάδων αὐτός, καὶ δώσω τὴν δύναμιν τὴν μεγάλην ταύτην εἰς χεῖρα σήν, καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος.

Γ Βασ. 21,28 - Προσήλθε πάλιν ο άνθρωπος του Θεού προς τον Αχαάβ και είπεν στον βασιλέα των Ισραηλιτών· “αυτά λέγει ο Κυριος· Επειδή οι Συροι είπον ότι ο Κυριος και Θεός του Ισραήλ είναι Θεός των ορέων και δεν είναι αυτός Θεός των πεδιάδων, θα παραδώσω εις τα χέρια σου όλην αυτήν την μεγάλην στρατιωτικήν δύναμιν και θα μάθης, ότι εγώ είμαι πράγματι ο αληθινός Κυριος και Θεός”.

Γ Βασ. 21,29 - καὶ παρεμβάλλουσιν οὗτοι ἀπέναντι τούτων ἑπτὰ ἡμέρας, καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ προσήγαγεν ὁ πόλεμος, καὶ ἐπάταξεν Ἰσραὴλ τὴν Συρίαν ἑκατὸν χιλιάδας πεζῶν μιᾷ ἡμέρᾳ.

Γ Βασ. 21,29 - Εστρατοπέδευσαν πράγματι οι Ισραηλίται απέναντι των Συρων επί επτά ημέρας, κατά τας οποίας δεν έκαμαν τίποτε. Κατά την εβδόμην όμως ημέραν συνήφθη μάχη. Οι Ισραηλίται εκτύπησαν τους Συρους κατά την ημέραν αυτήν και εφόνευσαν από αυτούς εκατόν χιλιάδας πεζούς.

Γ Βασ. 21,30 - καὶ ἔφυγον οἱ κατάλοιποι εἰς Ἀφεκὰ εἰς τὴν πόλιν, καὶ ἔπεσε τὸ τεῖχος ἐπὶ εἴκοσι καὶ ἑπτὰ χιλιάδας ἀνδρῶν τῶν καταλοίπων. καὶ υἱὸς Ἄδερ ἔφυγε καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ κοιτῶνος, εἰς τὸ ταμιεῖον.

Γ Βασ. 21,30 - Οι υπολειφθέντες Συροι στρατιώται ετράπησαν εις φυγήν και εισήλθον εις την πόλιν Αφεκά, δια να σωθούν. Αλλά το τείχος της πόλεως εκρημνίσθη και έπεσεν επάνω των και εφονεύθησαν από τους υπολειφθέντας στρατιώτας είκοσιν επτά χιλιάδες. Ο δε υιός Αδερ ετράπη και αυτός εις φυγήν και εισήλθεν φοβισμένος εις τον κοιτώνα του ανακτόρου του στο απόκρυφον τούτο δωμάτιον του οίκου του.

Γ Βασ. 21,31 - καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· οἶδα ὅτι βασιλεῖς Ἰσραὴλ βασιλεῖς ἐλέους εἰσίν· ἐπιθώμεθα δὴ σάκκους ἐπὶ τὰς ὀσφύας ἡμῶν καὶ σχοινία ἐπὶ τὰς κεφαλὰς ἡμῶν καὶ ἐξέλθωμεν πρὸς βασιλέα Ἰσραήλ, εἴ πως ζωογονήσει τὰς ψυχὰς ἡμῶν.

Γ Βασ. 21,31 - Ο υιός Αδερ είπε τότε στους δούλους του· “γνωρίζω ότι οι βασιλείς του Ισραήλ είναι άνθρωποι σπλαγχνικοί. Ας φορέσωμεν λοιπόν σάκκους αντί ενδυμάτων, ας δέσωμεν σχοινιά στον λαιμόν μας και ας εξέλθωμεν να συναντήσωμεν τον βασιλέα του Ισραηλιτικού λαού. Ισως μας λυπηθή και μας χαρίση την ζωήν”.

Γ Βασ. 21,32 - καὶ περιεζώσαντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν καὶ ἔθεσαν σχοινία ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ εἶπον τῷ βασιλεῖ Ἰσραήλ· δοῦλός σου υἱὸς Ἄδερ λέγει· ζησάτω δὴ ἡ ψυχὴ ἡμῶν. καὶ εἶπεν· εἰ ἔτι ζῇ, ἀδελφός μού ἐστι.

Γ Βασ. 21,32 - Πράγματι εφόρεσαν σάκκινα ενδύματα, που τα έζωσαν γύρω από την μέσην των, έβαλαν σχοινιά στους λαιμούς των και είπαν στον βασιλέα του Ισραηλιτικού λαού οι δούλοι του Αδερ· “Ο υιός Αδερ λέγει ότι είναι δούλος σου. Παρακαλεί δε εκείνος, παρακαλούμεν και ημείς χαρίσατέ μας την ζωήν”. Ο βασιλεύς του Ισραήλ απήντησεν· “εάν ακόμη ο Αδερ ζη, είναι αδελφός μου”.

Γ Βασ. 21,33 - καὶ οἱ ἄνδρες οἰωνίσαντο καὶ ἐσπείσαντο καὶ ἀνελέξαντο τὸν λόγον ἐκ τοῦ στόματος αὐτοῦ καὶ εἶπον· ἀδελφός σου υἱὸς Ἄδερ. καὶ εἶπεν· εἰσέλθατε καὶ λάβετε αὐτόν· καὶ ἐξῆλθε πρὸς αὐτὸν υἱὸς Ἄδερ, καὶ ἀναβιβάζουσιν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα.

Γ Βασ. 21,33 - Οι άνδρες του υιού Αδερ συνεβουλεύθησαν τους οιωνούς και έκαμαν θυσίας. Επέτυχον δε να πάρουν υπόσχεσιν από το στόμα του βασιλέως Αχαάβ και είπαν· “ο υιός Αδερ είναι αδελφός σου”. Εκείνος δε τους απήντησεν· “εισέλθετε στον οίκον του και πάρετε αυτόν από εκεί”. Ο υιός Αδερ εξήλθεν από τον οίκον του, δια να πορευθή προς τον βασιλέα και ανεβίβασαν αυτόν στο πολεμικόν του άρμα.

Γ Βασ. 21,34 - καὶ εἶπε πρὸς αὐτόν· τὰς πόλεις, ἃς ἔλαβεν ὁ πατήρ μου παρὰ τοῦ πατρός σου, ἀποδώσω σοι, καὶ ἐξόδους θήσεις σεαυτῷ ἐν Δαμασκῷ, καθὼς ἔθετο ὁ πατήρ μου ἐν Σαμαρείᾳ· καὶ ἐγὼ ἐν διαθήκῃ ἐξαποστελῶ σε. καὶ διέθετο αὐτῷ διαθήκην καὶ ἐξαπέστειλεν αὐτόν.

Γ Βασ. 21,34 - Οταν δε παρουσιάσθη προ του Αχαάβ του είπε· “τας πόλεις, τας οποίας κατέλαβεν ο πατήρ μου και τας αφήρεσεν από τον πατέρα σου, θα σου τας επιστρέψω. Συ δε ο ίδιος θα ορίσης τοποθεσίας εντός της Δαμασκού ιδικάς σου, όπως και ο πατήρ μου έθεσε τοιαύτας τοποθεσίας εις την Σαμάρειαν”. Ο Αχαάβ του απήντησε· “θα συντάξωμεν ένα σύμφωνον φιλίας και εγώ θα σε αφήσω ελεύθερον”. Πράγματι ο Αχαάβ συνήψε με αυτόν συμφωνίαν και τον έστειλεν ελεύθερον εις την χώραν του.

Γ Βασ. 21,35 - Καὶ ἄνθρωπος εἷς ἐκ τῶν υἱῶν τῶν προφητῶν εἶπε πρὸς τὸν πλησίον αὐτοῦ ἐν λόγῳ Κυρίου· πάταξον δή με· καὶ οὐκ ἠθέλησεν ὁ ἄνθρωπος πατάξαι αὐτόν.

Γ Βασ. 21,35 - Ενας από τους προφήτας είπε προς κάποιον πλησίον του, κατόπιν εντολής του Κυρίου· “κτύπησέ με”. Ο άνθρωπος όμως εκείνος δεν

ηθέλησε να τον κτυπήση.

Γ Βασ. 21,36 - καὶ εἶπε πρὸς αὐτόν· ἀνθ᾿ ὧν οὐκ ἤκουσας τῆς φωνῆς Κυρίου καὶ ἰδοὺ σὺ ἀποτρέχεις ἀπ᾿ ἐμοῦ, καὶ πατάξει σε λέων· καὶ ἀπῆλθεν ἀπ᾿ αὐτοῦ, καὶ εὑρίσκει αὐτὸν λέων καὶ ἐπάταξεν αὐτόν.

Γ Βασ. 21,36 - Είπε τότε προς αυτόν ο προφήτης· "επειδή δεν υπήκουσες εις την φωνήν του Κυρίου, ιδού, καθώς συ θα φεύγης από εμέ θα σε φονεύση ένας λέων καθ' οδόν". Εφυγεν ο άνθρωπος από τον προφήτην, τον συνήντησε πράγματι ένας λέων και τον εφόνευσε.

Γ Βασ. 21,37 - καὶ εὑρίσκει ἄνθρωπον ἄλλον καὶ εἶπε· πάταξόν με δή· καὶ ἐπάταξεν αὐτὸν ὁ ἄνθρωπος πατάξας καὶ συνέτριψε.

Γ Βασ. 21,37 - Ο προφήτης ευρήκεν ένα άλλον άνθρωπον και του είπε· "κτύπησέ με σε παρακαλώ". Εκείνος δε τον εκτύπησε και του άνοιξε πληγήν εις την κεφαλήν.

Γ Βασ. 21,38 - καὶ ἐπορεύθη ὁ προφήτης καὶ ἔστη τῷ βασιλεῖ Ἰσραὴλ ἐπὶ τῆς ὁδοῦ καὶ κατεδήσατο ἐν τελαμῶνι τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Γ Βασ. 21,38 - Αυτός ο προφήτης μετέβη και εστάθη καθ' οδόν ενώπιον του βασιλέως του Ισραηλιτικού λαού, έχων δεμένους τους οφθαλμούς του με κάποιαν ζώνην.

Γ Βασ. 21,39 - καὶ ἐγένετο ὡς παρεπορεύετο ὁ βασιλεύς, καὶ οὗτος ἐβόα πρὸς τὸν βασιλέα καὶ εἶπεν· ὁ δοῦλός σου ἐξῆλθεν ἐπὶ τὴν στρατιὰν τοῦ πολέμου, καὶ ἰδοὺ ἀνὴρ εἰσήγαγε πρός με ἄνδρα καὶ εἶπε πρός με· φύλαξον τοῦτον τὸν ἄνδρα, ἐὰν δὲ ἐκπηδῶν ἐκπηδήσῃ, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, ἢ τάλαντον ἀργυρίου στήσεις·

Γ Βασ. 21,39 - Ενώ ο βασιλεύς εβάδιζε την πλησίον εκεί οδόν, ο προφήτης αυτός εβόησε προς τον βασιλέα και είπεν "εγώ ο δούλος σου έλαβα μέρος εις την εκστρατείαν του τελευταίου τούτου πολέμου. Και ιδού ένας ανήρ με ωδήγησε προς άλλον αιχμάλωτον άνδρα και μου είπε· Φυλαξε αυτόν τον άνδρα ασφαλώς. Εάν δε αυτός δραπετεύση, θα πληρώσης την ζωήν του με την ιδικήν σου ζωήν η θα πληρώσης ως πρόστιμον ένα τάλαντον αργυρίου.

Γ Βασ. 21,40 - καὶ ἐγενήθη περιεβλέψατο ὁ δοῦλός σου ὧδε καὶ ὧδε, καὶ οὗτος οὐκ ἦν. καὶ εἶπε πρὸς αὐτὸν ὁ βασιλεὺς Ἰσραήλ· ἰδοὺ καὶ τὰ ἔνεδρα παρ᾿ ἐμοὶ ἐφόνευσας.

Γ Βασ. 21,40 - Ενώ δε εγώ ο δούλος σου παρατηρούσα εδώ και εκεί, είδα αίφνης ότι ο αιχμάλωτος δεν υπήρχεν εις την θέσιν του". Είπε τότε προς αυτόν ο βασιλεύς του Ισραήλ· "θα τιμωρηθής, διότι συ υπήρξες αιτία να φονευθούν οι άνδρες της ενέδρας, που είχα στήσει εναντίον των εχθρών".

Γ Βασ. 21,41 - καὶ ἔσπευσε καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ ἐπέγνω αὐτὸν ὁ βασιλεὺς Ἰσραήλ, ὅτι ἐκ τῶν προφητῶν οὗτος.

Γ Βασ. 21,41 - Ο προφήτης αφήρεσεν αμέσως την ταινίαν από τα μάτια του, ο δε βασιλεύς του Ισραηλιτικού λαού, ο Αχαάβ, αντελήφθη ότι αυτός ήτο ένας από τους προφήτας.

Γ Βασ. 21,42 - καὶ εἶπε πρὸς αὐτόν· τάδε λέγει Κύριος· διότι ἐξήνεγκας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ.

Γ Βασ. 21,42 - Είπε δε προς αυτόν ο προφήτης· "αυτά λέγει ο Κυριος· Επειδή συ αφήκες ελεύθερον από τα χέρια σου άνδρα αμαρτωλόν και επικίνδυνον, θα τιμωρηθής συ αντ' αυτού και ο λαός σου αντί του λαού του".

Γ Βασ. 21,43 - καὶ ἀπῆλθεν ὁ βασιλεὺς Ἰσραὴλ συγκεχυμένος καὶ ἐκλελυμένος καὶ ἔρχεται εἰς Σαμάρειαν.

Γ Βασ. 21,43 - Ο βασιλεύς του Ισραήλ, όταν ήκουσεν αυτά, ανεχώρησε ταραγμένος και παραλυμένος από την λύπην και ήλθεν εις την Σαμάρειαν.

Γ ΒΑΣΙΛΕΙΩΝ 22

Γ Βασ. 22,1 - Καὶ ἐκάθισε τὰ τρία ἔτη, καὶ οὐκ ἦν πόλεμος ἀνὰ μέσον Συρίας καὶ ἀνὰ μέσον Ἰσραήλ.

Γ Βασ. 22,1 - Ο Αχαάβ έμεινε τρία έτη εκεί και δεν συνέβη πόλεμος μεταξύ της Συρίας και του Ισραηλιτικού λαού.

Γ Βασ. 22,2 - καὶ ἐγενήθη ἐν τῷ ἐνιαυτῷ τῷ τρίτῳ καὶ κατέβη Ἰωσαφὰτ βασιλεὺς Ἰούδα πρὸς βασιλέα Ἰσραήλ.

Γ Βασ. 22,2 - Κατά το τρίτον όμως έτος ο Ιωσαφάτ, ο βασιλεύς του βασιλείου Ιούδα, ήλθε προς τον βασιλέα του Ισραήλ.

Γ Βασ. 22,3 - καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς τοὺς παῖδας αὐτοῦ· εἰ οἴδατε ὅτι ἡμῖν Ῥεμμὰθ Γαλαάδ, καὶ ἡμεῖς σιωπῶμεν λαβεῖν αὐτὴν ἐκ χειρὸς βασιλέως Συρίας;

Γ Βασ. 22,3 - Ο βασιλεύς του Ισραηλιτικού λαού είπε προς τους ανθρώπους του· "γνωρίζετε, ότι εις ημάς ανήκει η πόλις Ρεμμάθ της περιοχής Γαλαάδ. Και όμως σιωπώμεν και δεν κάμνομεν τίποτε, δια να την ανακτήσωμεν από τα χέρια του βασιλέως της Συρίας".

Γ Βασ. 22,4 - καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ· ἀναβήσῃ μεθ᾿ ἡμῶν εἰς Ῥεμμὰθ Γαλαὰδ εἰς πόλεμον;

Γ Βασ. 22,4 - Ο βασιλεύς του Ισραηλιτικού λαού είπε τότε προς τον Ιωσαφάτ· "θα έλθης και συ μαζή μας να πολεμήσης εναντίον της πόλεως Ρεμμάθ της περιοχής Γαλαάδ;"

Γ Βασ. 22,5 - καὶ εἶπεν Ἰωσαφάτ· καθὼς ἐγὼ καὶ σὺ οὕτως, καθὼς ὁ λαός μου ὁ λαός σου, καθὼς οἱ ἵπποι μου οἱ ἵπποι σου. καὶ εἶπεν Ἰωσαφὰτ

βασιλεὺς Ἰούδα πρὸς βασιλέα Ἰσραήλ· ἐπερωτήσατε δὴ σήμερον τὸν Κύριον.

Γ Βασ. 22,5 - Ο Ιωσαφάτ απήντησεν· “όπως είσαι συ, είμαι και εγώ. Οπως είναι ο λαός σου, είναι και ο λαός μου. Οπως είναι το ιππικόν μου, είναι και το ιδικόν σου ιππικόν”. Ο βασιλεύς του Ιούδα, ο Ιωσαφάτ, είπεν ακόμη προς τον βασιλέα του Ισραήλ· “ερωτήσατε σήμερον, παρακαλώ, επί του θέματος αυτού τον Κυριον”.

Γ Βασ. 22,6 - καὶ συνήθροισεν ὁ βασιλεὺς Ἰσραὴλ πάντας τοὺς προφήτας, ὡς τετρακοσίους ἄνδρας, καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς· εἰ πορευθῶ εἰς Ῥεμμὰθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπίσχω; καὶ εἶπον· ἀνάβαινε, καὶ διδοὺς δώσει Κύριος εἰς χεῖρας τοῦ βασιλέως.

Γ Βασ. 22,6 - Ο βασιλεύς του Ισραήλ συνήθροισεν όλους τους ψευδοπροφήτας, περίπου τετρακοσίους άνδρας, και είπεν εις αυτούς· “να εκστρατεύσω εναντίον της Ρεμμάθ, της περιοχής Γαλαάδ, η να αποφύγω τον πόλεμον;” Εκείνοι του είπαν· “πήγαινε, διότι ο Κυριος θα παραδώση ασφαλώς και βεβαίως την πόλιν εις τα χέρια σου του βασιλέως”.

Γ Βασ. 22,7 - καὶ εἶπεν Ἰωσαφὰτ πρὸς βασιλέα Ἰσραήλ· οὐκ ἔστιν ὧδε προφήτης τοῦ Κυρίου καὶ ἐπερωτήσομεν τὸν Κύριον δι᾿ αὐτοῦ;

Γ Βασ. 22,7 - Ο Ιωσαφάτ όμως ηρώτησε τον βασιλέα του Ισραήλ· “δεν υπάρχει εδώ ένας αληθινός προφήτης του Κυρίου, δια να ερωτήσωμεν δια μέσου αυτού τον Κυριον;”

Γ Βασ. 22,8 - καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ· εἷς ἐστιν ἀνὴρ εἰς τὸ ἐπερωτῆσαι δι᾿ αὐτοῦ τὸν Κύριον, καὶ ἐγὼ μεμίσηκα αὐτόν, ὅτι οὐ λαλεῖ περὶ ἐμοῦ καλά, ἀλλ᾿ ἢ κακά, Μιχαίας υἱὸς Ἰεμβλαά. καὶ εἶπεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα· μὴ λεγέτω ὁ βασιλεὺς οὕτως.

Γ Βασ. 22,8 - Ο βασιλεύς του Ισραηλιτικού λαού είπε προς τον Ιωσαφάτ· “υπάρχει ένας ανήρ, να ερωτήσωμεν δια μέσου αυτού τον Κυριον. Αλλά εγώ έχω μισήσει αυτόν, διότι δεν ομιλεί καλά περί εμού, αλλά πάντοτε δυσάρεστα. Αυτός είναι ο Μιχαίας, ο υιός του Ιεμβλαά”. Ο Ιωσαφάτ, ο βασιλεύς του Ιούδα, απήντησε· “ας μη λέγη τέτοια λόγια ο βασιλεύς του Ισραήλ εναντίον του Μιχαία”.

Γ Βασ. 22,9 - καὶ ἐκάλεσεν ὁ βασιλεὺς Ἰσραὴλ εὐνοῦχον ἕνα καὶ εἶπε· τὸ τάχος Μιχαίαν υἱὸν Ἰεμβλαά.

Γ Βασ. 22,9 - Ο βασιλεύς του Ισραήλ εκάλεσεν ένα δούλον του, ευνούχον, και του είπε· “προσκάλεσε ταχέως τον Μιχαίαν, τον υιόν του Ιεμβλαά”.

Γ Βασ. 22,10 - καὶ ὁ βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα ἐκάθηντο ἀνὴρ ἐπὶ τοῦ θρόνου αὐτοῦ ἔνοπλοι ἐν ταῖς πύλαις Σαμαρείας, καὶ πάντες οἱ προφῆται ἐπροφήτευον ἐνώπιον αὐτῶν.

Γ Βασ. 22,10 - Ο Αχαάβ, ο βασιλεύς του Ισραηλιτικού λαού και ο Ιωσαφάτ ο βασιλεύς του βασιλείου Ιούδα, εκάθηντο ο καθένας στον θρόνον

του, εις τας πύλας του τείχους της πόλεως της Σαμαρείας, φορούντες τας βασιλικάς των στολάς. Ενώπιον δε αυτών ήσαν οι ψευδοπροφήται, οι οποίοι επροφήτευαν.

Γ Βασ. 22,11 - καὶ ἐποίησεν ἑαυτῷ Σεδεκίας υἱὸς Χανανὰ κέρατα σιδηρᾶ καὶ εἶπε· τάδε λέγει Κύριος· ἐν τούτοις κερατιεῖς τὴν Συρίαν, ἕως συντελεσθῇ.

Γ Βασ. 22,11 - Ο Σεδεκίας, υιός του Χανανά, αρχηγός των ψευδοπροφητών, κατεσκεύασε δια τον εαυτόν του σιδηρά κέρατα και είπε προς τον Αχαάβ· "με αυτά θα πολεμήσης τους Συρους, μέχρις ότου τους εξολοθρεύσης».

Γ Βασ. 22,12 - καὶ πάντες οἱ προφῆται ἐπροφήτευον οὕτως λέγοντες· ἀνάβαινε εἰς Ῥεμμὰθ Γαλαάδ, καὶ εὐοδώσει καὶ δώσει Κύριος εἰς χεῖράς σου καὶ τὸν βασιλέα Συρίας.

Γ Βασ. 22,12 - Και όλοι οι ψευδοπροφήται τα ίδια έλεγον· "Εκστράτευσε εναντίον της Ρεμμάθ εις Γαλαάδ, ο δε Κυριος θα κατευοδώση την εκστρατείαν σου και θα παραδώση εις τα χέρια σου τον βασιλέα της Συρίας".

Γ Βασ. 22,13 - καὶ ὁ ἄγγελος ὁ πορευθεὶς καλέσαι τὸν Μιχαίαν ἐλάλησεν αὐτῷ λέγων· ἰδοὺ δὴ λαλοῦσι πάντες οἱ προφῆται ἐν στόματι ἑνὶ καλὰ περὶ τοῦ βασιλέως· γίνου δὴ καὶ σὺ εἰς τοὺς λόγους σου κατὰ τοὺς λόγους ἑνὸς τούτων καὶ λάλησον καλά.

Γ Βασ. 22,13 - Εν τω μεταξύ ο αγγελιαφόρος, ο οποίος είχε μεταβή, δια να καλέση τον Μιχαίαν, ωμίλησε προς αυτόν και είπεν· "ιδού ότι όλοι οι προφήται με ένα στόμα λέγουν ευχάριστα δια τον βασιλέα. Γινε, λοιπόν, και συ ως προς τα λόγια ωσάν ένας από αυτούς και ειπέ ευχάριστα πράγματα προς τον βασιλέα".

Γ Βασ. 22,14 - καὶ εἶπε Μιχαίας· ζῇ Κύριος, ὅτι ἃ ἐὰν εἴπῃ Κύριος πρός με, ταῦτα λαλήσω.

Γ Βασ. 22,14 - Ο Μιχαίας απήντησεν· "ορκίζομαι στον ζώντα Θεόν, ότι εγώ θα ομιλήσω εκείνα, τα οποία ο Κυριος θα μου αποκαλύψη".

Γ Βασ. 22,15 - καὶ ἦλθε πρὸς τὸν βασιλέα καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Μιχαία, εἰ ἀναβῶ εἰς Ῥεμμὰθ Γαλαὰδ εἰς πόλεμον, ἢ ἐπίσχω; καὶ εἶπεν· ἀνάβαινε, καὶ εὐοδώσει Κύριος εἰς χεῖρας τοῦ βασιλέως.

Γ Βασ. 22,15 - Ο Μιχαίας παρουσιάσθη ενώπιον του βασιλέως· του είπε δε ο Αχαάβ ο βασιλεύς· "Μιχαία, τι λέγεις; Να εκστρατεύσω εναντίον της πόλεως Ρεμμάθ εις Γαλαάδ η να ματαιώσω τον πόλεμον;" Ο Μιχαίας ειρωνικώς ομιλών του είπε· "ναι, εκστράτευσε και ο Κυριος θα δώση αίσιον πέρας εις την εκστρατείαν και θα παραδώση εις τα χέρια σου τον βασιλέα" !

Γ Βασ. 22,16 - καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ποσάκις ἐγὼ ὁρκίζω σε ὅπως λαλήσῃς πρός με ἀλήθειαν ἐν ὀνόματι Κυρίου;

Γ Βασ. 22,16 - Ο βασιλεύς Αχαάβ είπε τότε προς αυτόν· “πόσες και πόσες φορές εγώ σε εξώρκισα να είπης προς εμέ την αλήθειαν εν ονόματι του Κυρίου;”

Γ Βασ. 22,17 - καὶ εἶπε Μιχαίας· οὐχ οὕτως. ἑώρακα πάντα τὸν Ἰσραὴλ διεσπαρμένον ἐν τοῖς ὄρεσιν ὡς ποίμνιον, ᾧ οὐκ ἔστι ποιμήν, καὶ εἶπε Κύριος· οὐ κύριος τούτοις Θεός; ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν εἰρήνῃ ἀναστρεφέτω.

Γ Βασ. 22,17 - Ο Μιχαίας απήντησε· “δεν θα πράξης, όπως σου λέγουν οι ψευδοπροφήται. Δεν θα μεταβής εις πόλεμον. Βλέπω τον ισραηλιτικόν λαόν διασκορπισμένον εις τα όρη ωσάν τα πρόβατα, δια τα οποία δεν υπάρχει ποιμήν. Ο Κυριος λέγει στους διασκορπισμένους αυτούς· Δεν υπάρχει, λοιπόν, Κυριος και Θεός εις αυτούς; Ας επιστρέψη κάθε Ισραηλίτης ειρηνικά στο σπίτι του”.

Γ Βασ. 22,18 - καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα· οὐκ εἶπα πρός σε ὅτι οὐ προφητεύει οὗτός μοι καλά, διότι ἀλλ᾿ ἢ κακά;

Γ Βασ. 22,18 - Ο βασιλεύς του Ισραήλ είπε τότε προς τον Ιωσαφάτ τον βασιλέα του Ιούδα· “δεν σου είπα, ότι αυτός ο προφήτης δεν αναγγέλλει ποτέ ευχάριστα δι' εμέ, αλλά μόνον δυσάρεστα και κακά;”

Γ Βασ. 22,19 - καὶ εἶπε Μιχαίας· οὐχ οὕτως, οὐκ ἐγώ, ἄκουε ῥῆμα Κυρίου, οὐχ οὕτως· εἶδον Θεὸν Ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ εἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων.

Γ Βασ. 22,19 - Ο Μιχαίας είπε· “δεν είναι έτσι. Δεν ομιλώ εγώ, αλλά ο Κυριος. Ακουσε τον λόγον του Κυρίου. Δεν είναι τα πράγματα, όπως συ νομίζεις. Εγώ είδα τον Θεόν του ισραηλιτικού λαού να κάθεται επάνω στον θρόνον του και γύρω από αυτόν εκ δεξιών και εξ αριστερών υπήρχεν όλος ο αγγελικός στρατός του ουρανού.

Γ Βασ. 22,20 - καὶ εἶπε Κύριος· τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα Ἰσραὴλ καὶ ἀναβήσεται καὶ πεσεῖται ἐν Ῥεμμὰθ Γαλαάδ; καὶ εἶπεν οὗτος οὕτως καὶ οὗτος οὕτως.

Γ Βασ. 22,20 - Είπεν ο Κυριος· Ποιός θα εξαπατήση τον βασιλέα του ισραηλιτικού λαού, τον Αχαάβ, και θα τον παρακινήση να εκστρατεύση εναντίον της πόλεως Ρεμμάθ εις Γαλαάδ, δια να φονευθή εκεί; Αλλος μεν έλεγεν άλλα, και άλλος έλεγε διαφορετικά.

Γ Βασ. 22,21 - καὶ ἐξῆλθε πνεῦμα καὶ ἔστη ἐνώπιον Κυρίου καὶ εἶπεν· ἐγὼ ἀπατήσω αὐτόν.

Γ Βασ. 22,21 - Εξήλθεν ένα πνεύμα, εστάθηκε ενώπιον του Κυρίου και είπε· εγώ θα εξαπατήσω αυτόν.

Γ Βασ. 22,22 - καὶ εἶπε πρὸς αὐτὸν Κύριος· ἐν τίνι; καὶ εἶπεν· ἐξελεύσομαι καὶ ἔσομαι πνεῦμα ψευδὲς εἰς τὸ στόμα πάντων τῶν

προφητῶν αὐτοῦ. καὶ εἶπεν· ἀπατήσεις καί γε δυνήσῃ, ἔξελθε καὶ ποίησον οὕτως.

Γ Βασ. 22,22 - Ο Κυριος ηρώτησε το πνεύμα· με τι τρόπον θα εξαπατήσης αυτόν; Και το πνεύμα απήντησε· θα φύγω από εδώ και θα γίνω πνεύμα ψεύδους προφητείας στο στόμα όλων των ψευδοπροφητών. Και ο Θεός είπεν· πράγματι έτσι θα κατορθώσης να τον εξαπατήσης. Φυγε από εδώ και κάμε όπως είπες.

Γ Βασ. 22,23 - καὶ νῦν ἰδοὺ ἔδωκε Κύριος πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν σου τούτων, καὶ Κύριος ἐλάλησεν ἐπὶ σὲ κακά.

Γ Βασ. 22,23 - Και ιδού ότι τώρα έδωσεν ο Κυριος πνεύμα ψευδούς προφητείας στο στόμα όλων αυτών των ψευδοπροφητών σου. Ο Κυριος προανήγγειλεν όλας τας συμφοράς, που θα επιπέσουν εις σέ”.

Γ Βασ. 22,24 - καὶ προσῆλθε Σεδεκίας υἱὸς Χανανὰ καὶ ἐπάταξε τὸν Μιχαίαν ἐπὶ τὴν σιαγόνα καὶ εἶπε· ποῖον πνεῦμα Κυρίου τὸ λαλῆσαν ἐν σοί;

Γ Βασ. 22,24 - Ο Σεδεκίας, ο υιός του Χανανά, επλησίασε γεμάτος αγανάκτησιν τον Μιχαίαν, εκτύπησεν αυτόν στο πρόσωπον και του είπε· “ποιό είναι αυτό το πνεύμα του Κυρίου, το οποίον απεκάλυψεν εις σε αυτά;”

Γ Βασ. 22,25 - καὶ εἶπε Μιχαίας· ἰδοὺ σὺ ὄψῃ τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν εἰσέλθῃς ταμιεῖον τοῦ ταμιείου τοῦ κρυβῆναι ἐκεῖ.

Γ Βασ. 22,25 - Και ο Μιχαίας του απήντησεν· “ιδού, θα ιδής και θα καταλάβης κατά την ημέραν εκείνην, ποιό είναι αυτό το πνεύμα, όταν τρομαγμένος θα εισέλθης στο πλέον απόκρυφον μέρος του εσωτερικού σου δωματίου, δια να κρυβής εκεί”.

Γ Βασ. 22,26 - καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραήλ· λάβετε τὸν Μιχαίαν καὶ ἀποστρέψατε αὐτὸν πρὸς Σεμὴρ τὸν βασιλέα τῆς πόλεως· καὶ τῷ Ἰωὰς υἱῷ τοῦ βασιλέως

Γ Βασ. 22,26 - Με αγανάκτησιν ο βασιλεύς του ισραηλιτικού λαού διέταξε “συλλάβετε τον Μιχαίαν και φέρετε αυτόν προς τον Σεμήρ, τον άρχοντα της πόλεως. Εις δε τον υιόν του άρχοντος τον Ιωάς

Γ Βασ. 22,27 - εἰπὸν θέσθαι τοῦτον ἐν φυλακῇ καὶ ἐσθίειν αὐτὸν ἄρτον θλίψεως καὶ ὕδωρ θλίψεως ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ.

Γ Βασ. 22,27 - είπατε να τον θέση εις την φυλακήν και να του δίδη ολίγον ψωμί να τρώγη και ολίγον νερό, μέχρις ότου επανέλθω εγώ νικητής και ειρηνικός από τον πόλεμον”.

Γ Βασ. 22,28 - καὶ εἶπε Μιχαίας· ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς ἐν εἰρήνῃ, οὐ λελάληκε Κύριος ἐν ἐμοί.

Γ Βασ. 22,28 - Είπε τότε ο Μιχαίας· “εάν συ επιστρέψης από τον πόλεμον νικητής, τότε δεν θα είναι ο Κυριος, ο οποίος ωμίλησεν εις εμέ”.

Γ Βασ. 22,29 - καὶ ἀνέβη βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα μετ᾿ αὐτοῦ εἰς Ῥεμμὰθ Γαλαάδ.

Γ Βασ. 22,29 - Ο βασιλεύς του Ισραήλ εξεστράτευσεν εναντίον της Ρεμμάθ εις Γαλαάδ, μαζή δε με αυτόν και ο Ιωσαφάτ, ο βασιλεύς του βασιλείου του Ιούδα.

Γ Βασ. 22,30 - καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα· συγκαλύψομαι καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι τὸν ἱματισμόν μου· καὶ συνεκαλύψατο βασιλεὺς Ἰσραὴλ καὶ εἰσῆλθεν εἰς τὸν πόλεμον.

Γ Βασ. 22,30 - Είπεν ο βασιλεύς του Ισραήλ προς τον Ιωσαφάτ τον βασιλέα του Ιούδα· “εγώ θα μεταμφιεσθώ και θα λάβω μέρος άγνωστος στον πόλεμον. Συ όμως φόρεσε την ιδικήν μου βασιλικήν στολήν”. Πράγματι ο βασιλεύς Αχαάβ ήλλαξε την βασιλικήν του στολήν με άλλην και έλαβε μέρος στον πόλεμον.

Γ Βασ. 22,31 - καὶ βασιλεὺς Συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων αὐτοῦ τριάκοντα καὶ δυσὶ λέγων· μὴ πολεμεῖτε μικρὸν καὶ μέγαν, ἀλλ᾽ ἢ τὸν βασιλέα Ἰσραὴλ μονώτατον.

Γ Βασ. 22,31 - Ο βασιλεύς της Συρίας διέταξε τους τριανταδύο άρχοντας των πολεμικών αρμάτων του και είπε· “μη συνάψετε μάχην εναντίον μικρών η μεγάλων εχθρών, αλλά μόνον εναντίον του βασιλέως των Ισραηλιτών”.

Γ Βασ. 22,32 - καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν Ἰωσαφὰτ βασιλέα Ἰούδα, καὶ αὐτοὶ εἶπαν· φαίνεται βασιλεὺς Ἰσραὴλ οὗτος· καὶ ἐκύκλωσαν αὐτὸν πολεμῆσαι, καὶ ἀνέκραξεν Ἰωσαφάτ.

Γ Βασ. 22,32 - Οταν οι αρχηγοί των πολεμικών αρμάτων είδον τον Ιωσαφάτ, τον βασιλέα του Ιούδα, είπαν αναμεταξύ των· “έκαμε την εμφάνισίν του ο βασιλεύς των Ισραηλιτών· αυτός είναι. Τον περιεκύκλωσαν, δια να τον καταπολεμήσουν και τον φονεύσουν. Ο Ιωσαφάτ τότε εφώναξεν.

Γ Βασ. 22,33 - καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων ὅτι οὐκ ἔστι βασιλεὺς Ἰσραὴλ οὗτος, καὶ ἀνέστρεψαν ἀπ᾽ αὐτοῦ.

Γ Βασ. 22,33 - Οταν είδαν οι αρχηγοί των πολεμικών αρμάτων, ότι αυτός δεν είναι ο βασιλεύς των Ισραηλιτών, απεμακρύνθησαν από αυτόν.

Γ Βασ. 22,34 - καὶ ἐπέτεινεν εἷς τὸ τόξον εὐστόχως καὶ ἐπάταξε τὸν βασιλέα Ἰσραὴλ ἀνὰ μέσον τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ θώρακος. καὶ εἶπε τῷ ἡνιόχῳ αὐτοῦ· ἐπίστρεψον τὰς χεῖράς σου καὶ ἐξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι τέτρωμαι.

Γ Βασ. 22,34 - Ενας όμως από αυτούς ετέντωσε το τόξον του και επέτυχε να κτυπήση τον βασιλέα των Ισραηλιτών, τον Αχαάβ, ανάμεσα στον πνεύμονα και τον θώρακα. Εκείνος δε είπεν στον ηνίοχόν του· “στρέψε τα ηνία του άρματός σου με τα χέρια σου και βγάλε με από το πεδίον της μάχης, διότι έχω πληγωθή”.

Γ Βασ. 22,35 - καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ὁ βασιλεὺς ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος ἐξεναντίας Συρίας ἀπὸ πρωΐ ἕως

ἑσπέρας καὶ ἐπέχυνε τὸ αἷμα ἀπὸ τῆς πληγῆς εἰς τὸν κόλπον τοῦ ἅρματος· καὶ ἀπέθανεν ἑσπέρας, καὶ ἐξεπορεύετο τὸ αἷμα τῆς τροπῆς ἕως τοῦ κόλπου τοῦ ἅρματος.

Γ Βασ. 22,35 - Η μάχη εκράτησεν όλην την ημέραν εκείνην, ο δε βασιλεύς Αχαάβ εστέκετο όρθιος επί του πολεμικού του άρματος απέναντι των Συρων, το δε αίμα της πληγής του έτρεχεν εντός του άρματος. Κατά την εσπέραν όμως απέθανε. Το αίμα δε της πληγής του εξηκολούθει να ρέη και μετά τον θάνατόν του εντός του άρματος.

Γ Βασ. 22,36 - καὶ ἔστη ὁ στρατοκήρυξ δύοντος τοῦ ἡλίου λέγων· ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν καὶ εἰς τὴν ἑαυτοῦ γῆν,

Γ Βασ. 22,36 - Οταν ο ήλιος έδυε, εστάθη ο κήρυξ του στρατού όρθιος και εφώναξε· “ο καθένας ας επιστρέψη εις την πόλιν του και εις την χώραν του,

Γ Βασ. 22,37 - ὅτι τέθνηκεν ὁ βασιλεύς. καὶ ἦλθον εἰς Σαμάρειαν καὶ ἔθαψαν τὸν βασιλέα ἐν Σαμαρείᾳ.

Γ Βασ. 22,37 - διότι ο βασιλεύς απέθανε”. Ηλθον τότε εις την Σαμάρειαν οι ακόλουθοι του βασιλέως και έθαψαν τον νεκρόν βασιλέα εις την Σαμάρειαν.

Γ Βασ. 22,38 - καὶ ἀπένιψαν τὸ αἷμα ἐπὶ τὴν κρήνην Σαμαρείας, καὶ ἐξέλειξαν αἱ ὕες καὶ οἱ κύνες τὸ αἷμα, καὶ αἱ πόρναι ἐλούσαντο ἐν τῷ αἵματι κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησε.

Γ Βασ. 22,38 - Εις την πηγήν της Σαμαρείας έπλυναν το άρμα από το αίμα του βασιλέως. Εκεί δε οι χοίροι και τα σκυλιά έγλειψαν το αίμα και αι πόρναι ελούσθησαν με το ύδωρ της κρήνης, όπου υπήρχεν ακόμη το αίμα του Αχαάβ, και έτσι εξεπληρώθη ο λόγος, τον οποίον ο Κυριος είχεν ειπεί εναντίον του Αχαάβ.

Γ Βασ. 22,39 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἀχαὰβ καὶ πάντα, ἃ ἐποίησε, καὶ οἶκον ἐλεφάντινον, ὃν ᾠκοδόμησε, καὶ πάσας τὰς πόλεις, ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ;

Γ Βασ. 22,39 - Τα υπόλοιπα από τα έργα του Αχαάβ, τα οποία αυτός έκαμε, και ο ελεφάντινος οίκος τον οποίον ανοικοδόμησε, και όλαι αι πόλεις τας οποίας έκτισε και ωχύρωσε, δεν είναι όλα αυτά γραμμένα στο βιβλίον των έργων και των λόγων των βασιλέων του Ισραηλιτικού λαού;

Γ Βασ. 22,40 - καὶ ἐκοιμήθη Ἀχαὰβ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν Ὀχοζίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 22,40 - Ο Αχαάβ εκοιμήθη με τους πατέρας αυτού. Εβασίλευσε δε αντ' αυτού ο υιός του, ο Οχοζίας.

Γ Βασ. 22,41 - Καὶ Ἰωσαφὰτ υἱὸς Ἀσὰ ἐβασίλευσεν ἐπὶ Ἰούδαν· ἐν ἔτει τετάρτῳ τοῦ Ἀχαὰβ βασιλέως Ἰσραὴλ ἐβασίλευσεν Ἰωσαφάτ.

Γ Βασ. 22,41 - Ο Ιωσαφάτ ο υιός του Ασά εβασίλευσεν στο βασίλειον του Ιούδα. Αυτός ανήλθεν στον βασιλικόν θρόνον κατά το τέταρτον έτος του

βασιλέως του Ισραήλ Αχαάβ.

Γ Βασ. 22,42 - υἱὸς τριάκοντα καὶ πέντε ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ εἴκοσι καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀζουβὰ θυγάτηρ Σαλαΐ.

Γ Βασ. 22,42 - Ητο τριάκοντα πέντε ετών, όταν ανήλθεν στον βασιλικόν θρόνον και εβασίλευσεν επί είκοσι πέντε έτη εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Αζουβά, ήτο δε θυγάτηρ του Σαλαΐ.

Γ Βασ. 22,43 - καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ Ἀσὰ τοῦ πατρὸς αὐτοῦ· οὐκ ἐξέκλινεν ἀπ᾽ αὐτῆς τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου·

Γ Βασ. 22,43 - Ο Ιωσαφάτ επορεύθη κατά πάντα τον δρόμον του ευσεβούς πατρός του, του Ασά. Δεν παρεξέκλινεν από τον δρόμον του Κυρίου και έπραττε πάντοτε το ορθόν ενώπιον των οφθαλμών του Θεού.

Γ Βασ. 22,44 - πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς.

Γ Βασ. 22,44 - Τους υψηλούς όμως ειδωλικούς τόπους δεν επέτυχε να τους καταστρέψη, ο δε λαός εξακολουθούσε να θυσιάζη και να προσφέρη θυμίαμα στους υψηλούς αυτούς τόπους.

Γ Βασ. 22,45 - καὶ εἰρήνευσεν Ἰωσαφὰτ μετὰ βασιλέως Ἰσραήλ.

Γ Βασ. 22,45 - Ο Ιωσαφάτ είχε συνάψει ειρήνην με τον βασιλέα του Ισραηλιτικού λαού, τον Αχαάβ.

Γ Βασ. 22,46 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωσαφὰτ καὶ αἱ δυναστεῖαι αὐτοῦ, ὅσα ἐποίησεν οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν βασιλέων Ἰούδα;

Γ Βασ. 22,46 - Τα υπόλοιπα έργα του Ιωσαφάτ και τα κατορθώματά του, όσα έπραξεν, ιδού, δεν είναι αυτά γραμμένα στο βιβλίον των έργων και των λόγων των βασιλέων του Ιούδα;

Γ Βασ. 22 ,47 - [Καὶ περισσὸν τοῦ ἐνδιηλλαγμένου, ὃ ὑπελείφθη ἐν ἡμέραις Ἀσὰ τοῦ πατρὸς αὐτοῦ, ἐπέλεξεν ἀπὸ τῆς γῆς.

Γ Βασ. 22,47 - Ο Ιωσαφάτ εξηφάνισεν από την χώραν του τα υπολείμματα της διαφθοράς, τα οποία είχον απομείνει από τας ημέρας του πατρός του Ασά.

Γ Βασ. 22,48 - καὶ βασιλεὺς οὐκ ἦν ἐν Ἐδὲμ ἐστηλωμένος. καὶ ὁ βασιλεὺς

Γ Βασ. 22,48 - Βασιλεύς δε μόνιμος και σταθερός δεν υπήρχεν τότε εις την Ιδουμαίαν.

Γ Βασ. 22,49 - Ἰωσαφὰτ ἐποίησε νῆας εἰς Θαρσὶς τοῦ πορευθῆναι Ὠφέρδε εἰς χρυσίον, καὶ οὐκ ἐπορεύθησαν, ὅτι συνετρίβησαν νῆες ἐν Ἀσεὼν Γαβέρ.

Γ Βασ. 22,49 - Ο Ιωσαφάτ εναυπήγησε πλοία εις Θαρσίς, δια να πλεύσουν εις Ωφέρδε, όπου υπήρχε χρυσίον. Τα πλοία όμως δεν έφθασαν

στον σκοπόν των, διότι συνετρίβησαν εις Ασεών Γαβέρ.

Γ Βασ. 22,50 - τότε εἶπε Ὀχοζίας υἱὸς Ἀχαὰβ πρὸς Ἰωσαφάτ· πορευθήτωσαν δοῦλοί μου μετὰ τῶν δούλων σου ταῖς ναυσί· καὶ οὐκ ἠθέλησεν Ἰωσαφάτ.]

Γ Βασ. 22,50 - Είπε τότε ο Οχοζίας, ο υιός του Αχαάβ, προς τον Ιωσαφάτ· "ας υπηρετήσουν οι άνδρες μου μαζή με τους ιδικούς σου άνδρας εις τα πλοία". Ο Ιωσαφάτ όμως δεν εδέχθη αυτήν την πρότασιν.

Γ Βασ. 22,51 - καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη παρὰ τοῖς πατράσιν αὐτοῦ ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Γ Βασ. 22,51 - Ο Ιωσαφάτ εκοιμήθη και ανεπαύθη με τους πατέρας αυτού και ετάφη κοντά στους προγονικούς τάφους εις την πόλιν Δαυίδ, του προπάτορός του. Εγινε δε αντ' αυτού βασιλεύς ο υιός του, ο Ιωράμ.

Γ Βασ. 22,52 - Καὶ Ὀχοζίας υἱὸς Ἀχαὰβ ἐβασίλευεν ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἐν ἔτει ἑπτακαιδεκάτῳ Ἰωσαφὰτ βασιλέως Ἰούδα· καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ ἐν Σαμαρείᾳ δύο ἔτη.

Γ Βασ. 22,52 - Ο δε Οχοζίας, ο υιός του Αχαάβ, εβασίλευσεν επί του Ισραηλιτικού λαού με πρωτεύουσαν την Σαμάρειαν κατά το δέκατον έβδομον έτος της βασιλείας του Ιωσαφάτ, βασιλέως του Ιούδα. Αυτός εβασίλευσεν επί του Ισραηλιτικού βασιλείου με πρωτεύουσαν την Σαμάρειαν επί δύο έτη.

Γ Βασ. 22,53 - καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου καὶ ἐπορεύθη ἐν ὁδῷ Ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ καὶ ἐν ὁδῷ Ἰεζάβελ τῆς μητρὸς αὐτοῦ καὶ ἐν ταῖς ἁμαρτίαις οἴκου Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Γ Βασ. 22,53 - Αυτός όμως εξέκλινεν προς την ειδωλολατρείαν, διέπραξε πονηρά ενώπιον του Κυρίου και εβάδισε τον δρόμον του πατρός του του Αχαάβ και της μητρός του της Ιεζάβελ. Εζησε την αμαρτωλήν ζωήν της οικογενείας Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος παρεκίνησε και εξώθησε τους Ισραηλίτας εις την ασέβειαν.

Γ Βασ. 22,54 - καὶ ἐδούλευσε τοῖς Βααλὶμ καὶ προσεκύνησεν αὐτοῖς καὶ παρώργισε τὸν Κύριον Θεὸν Ἰσραήλ, κατὰ πάντα τὰ γενόμενα ἔμπροσθεν αὐτοῦ.

Γ Βασ. 22,54 - Αυτός εδούλευσε και ελάτρευσε τα διάφορα είδωλα του Βααλ, προσεκύνησεν αυτά, όπως όλοι οι ασεβείς προκάτοχοί του, και εξώργισεν εναντίον του Κυριον τον Θεόν του Ισραηλιτικού λαού.

ΒΑΣΙΛΕΙΩΝ Δ' (Βασιλέων Β')

Δ ΒΑΣΙΛΕΙΩΝ

Δ Βασ. 1,1 - Καὶ ἠθέτησε Μωὰβ ἐν Ἰσραὴλ μετὰ τὸ ἀποθανεῖν Ἀχαάβ.

Δ Βασ. 1,1 - Μετά τον θάνατον του Αχαάβ οι Μωαβίται κατεπάτησαν την συνθήκην υποτελείας των, που είχαν συνάψει με τους Ισραηλίτας.

Δ Βασ. 1,2 - καὶ ἔπεσεν Ὀχοζίας διὰ τοῦ δικτυωτοῦ τοῦ ἐν τῷ ὑπερῴῳ αὐτοῦ τῷ ἐν Σαμαρείᾳ καὶ ἠῤῥώστησε. καὶ ἀπέστειλεν ἀγγέλους καὶ εἶπε πρὸς αὐτούς· δεῦτε καὶ ἐπιζητήσατε ἐν τῷ Βάαλ μυῖαν θεὸν Ἀκκαρών, εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης· καὶ ἐπορεύθησαν ἐπερωτῆσαι δι᾿ αὐτοῦ.

Δ Βασ. 1,2 - Εις την Σαμάρειαν ο βασιλεύς Οχοζίας έπεσεν από το δικτυωτόν του υπερώου του και κατέκειτο ασθενής. Απέστειλεν δε αγγελιαφόρους, στους οποίους είπε· “πηγαίνετε και αναζητήσατε εις την πόλιν Ακκαρών τον ειδωλικόν θεόν των μυιών Βααλ και ερωτήσατέ τον, εάν θα διαφύγω τον θάνατον από την αρρώστειαν μου αυτήν”. Οι απεσταλμένοι επορεύθησαν να ερωτήσουν τον θεόν Βααλ.

Δ Βασ. 1,3 - καὶ ἄγγελος Κυρίου ἐκάλεσεν Ἠλιοὺ τὸν Θεσβίτην λέγων· ἀναστὰς δεῦρο εἰς συνάντησιν τῶν ἀγγέλων Ὀχοζίου βασιλέως Σαμαρείας καὶ λαλήσεις πρὸς αὐτούς· εἰ παρὰ τὸ μὴ εἶναι Θεὸν ἐν Ἰσραὴλ ὑμεῖς πορεύεσθε ἐπιζητῆσαι ἐν τῷ Βάαλ μυῖαν θεὸν Ἀκκαρών; καὶ οὐχ οὕτως·

Δ Βασ. 1,3 - Αγγελος όμως Κυρίου εκάλεσε τον Ηλίαν τον Θεσβίτην και του είπε “σήκω και πήγαινε εις συνάντησιν των αγγελιαφόρων του Οχοζίου, του βασιλέως της Σαμαρείας, και είπε προς αυτούς· Μηπως τάχα δεν υπάρχει θεός αληθινός στον ισραηλιτικόν λαόν και δια τούτο σεις πορεύεσθε να συμβουλευθήτε τον Βααλ, θεόν των μυιών, εις την Ακκαρών;

Δ Βασ. 1,4 - ὅτι τάδε λέγει Κύριος· ἡ κλίνη, ἐφ᾿ ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ᾿ αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ. καὶ ἐπορεύθη Ἠλιοὺ καὶ εἶπε πρὸς αὐτούς.

Δ Βασ. 1,4 - Αυτό δεν είναι καθόλου ορθόν. Δια τούτο αυτά λέγει ο Κυριος να είπετε στον Οχοζίαν· Από την κλίνην, επάνω εις την οποίαν ασθενής έχεις συ ανεβή, δεν θα κατέλθης υγιής, διότι θα αποθάνης εξάπαντος”. Ο Ηλίας μετέβη και είπε προς αυτούς, όσα ο Θεός τον διέταξεν.

Δ Βασ. 1,5 - καὶ ἐπεστράφησαν οἱ ἄγγελοι πρὸς αὐτόν, καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι ἐπεστρέψατε;

Δ Βασ. 1,5 - Οι αγγελιαφόροι επέστρεψαν προς τον Οχοζίαν και εκείνος τους ηρώτησε· “διατί τόσον συντόμως επανήλθατε;”

Δ Βασ. 1,6 - καὶ εἶπαν πρὸς αὐτόν· ἀνὴρ ἀνέβη εἰς συνάντησιν ἡμῶν καὶ εἶπε πρὸς ἡμᾶς· δεῦτε ἐπιστράφητε πρὸς τὸν βασιλέα τὸν

ἀποστείλαντα ὑμᾶς καὶ λαλήσατε πρὸς αὐτόν· τάδε λέγει Κύριος· εἰ παρὰ τὸ μὴ εἶναι Θεὸν ἐν Ἰσραὴλ σὺ πορεύῃ ἐπιζητῆσαι ἐν τῷ Βάαλ μυῖαν θεὸν Ἀκκαρών; οὐχ οὕτως· ἡ κλίνη, ἐφ᾿ ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ᾿ αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ.

Δ Βασ. 1,6 - Οι απεσταλμένοι του απήντησαν· “κάποιος ανήρ ήλθε, μας συνήντησε και μας είπε· Εμπρός, επιστρέψατε προς τον βασιλέα, ο οποίος σας έστειλε, και είπατε εις αυτόν αυτά λέγει ο Κυριος· Μηπως τάχα δεν υπάρχει Θεός αληθινός στον ισραηλιτικόν λαόν; Και συ πηγαίνεις να επιζητήσης συμβουλάς από τον Βαάλ, τον θεόν των μυιών, εις την Ακκαρών; Αυτό δεν είναι καθόλου ορθόν. Δια τούτο δεν θα κατεβής υγιής από την κλίνην, επάνω εις την οποίαν έχεις ανεβή ασθενής, διότι εξάπταντος θα αποθάνης”.

Δ Βασ. 1,7 - καὶ ἐλάλησε πρὸς αὐτοὺς λέγων· τίς ἡ κρίσις τοῦ ἀνδρὸς τοῦ ἀναβάντος εἰς συνάντησιν ὑμῖν καὶ λαλήσαντος πρὸς ὑμᾶς τοὺς λόγους τούτους;

Δ Βασ. 1,7 - Ο Οχοζίας ηρώτησεν αυτούς και τους είπε· “ποία είναι η εμφάνισις του ανδρός αυτού, που ήλθεν εις συνάντησίν σας και ωμίλησε προς σας αυτούς τους λόγους;”

Δ Βασ. 1,8 - καὶ εἶπαν πρὸς αὐτόν· ἀνὴρ δασὺς καὶ ζώνην δερματίνην περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ. καὶ εἶπεν· Ἠλιοὺ ὁ Θεσβίτης οὗτός ἐστι.

Δ Βασ. 1,8 - Εκείνοι του είπαν· “είναι ανήρ δασύτριχος, ζωσμένος γύρω από την μέσην δερματίνην ζώνην”. Ο Οχοζίας τους είπεν. “Αυτός είναι Ηλιού ο Θεσβίτης”.

Δ Βασ. 1,9 - καὶ ἀπέστειλε πρὸς αὐτὸν πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη πρὸς αὐτόν, καὶ ἰδοὺ Ἠλιοὺ ἐκάθητο ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν καὶ εἶπεν· ἄνθρωπε τοῦ Θεοῦ, ὁ βασιλεὺς ἐκάλεσέ σε, κατάβηθι.

Δ Βασ. 1,9 - Ο βασιλεύς έστειλε προς αυτόν ένα πεντηκόνταρχον με τους πενήντα άνδρας του, ο οποίος και ανέβη προς τον Ηλιού, τον προφήτην. Ιδού δε ο Ηλίας εκάθητο εις την κορυφήν του όρους. Ο πεντηκόνταρχος ωμίλησε προς αυτόν και του είπεν· “άνθρωπε του Θεού, ο βασιλεύς σε καλεί. Ελα προς αυτόν”.

Δ Βασ. 1,10 - καὶ ἀπεκρίθη Ἠλιού, καὶ εἶπε πρὸς τὸν πεντηκόνταρχον· καὶ εἰ ἄνθρωπος Θεοῦ ἐγώ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου· καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ.

Δ Βασ. 1,10 - Ο προφήτης Ηλίας απήντησε προς τον πεντηκόνταρχον· “εάν εγώ είμαι άνθρωπος του Θεού, όπως και είμαι, πυρ θα κατεβή από τον ουρανόν, το οποίον θα κατακαύση σε και τους πενήντα άνδρας σου”. Πράγματι δε κατέβη αμέσως από τον ουρανόν πυρ και κατέκαυσεν αυτόν και τους πεντήκοντα άνδρας του.

Δ Βασ. 1,11 - καὶ προσέθετο ὁ βασιλεὺς καὶ ἀπέστειλε πρὸς αὐτὸν ἄλλον πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν καὶ εἶπεν· ἄνθρωπε τοῦ Θεοῦ, τάδε λέγει ὁ βασιλεύς· ταχέως κατάβηθι.

Δ Βασ. 1,11 - Ο βασιλεύς έστειλε πάλιν προς τον Ηλίαν άλλον πεντηκόνταρχον με τους πενήντα άνδρας του. Ο αξιωματικός ανέβη προς τον Ηλίαν, του ωμίλησε και είπε· "άνθρωπε του Θεού, αυτά λέγει ο βασιλεύς· Ελα γρήγορα προς αυτόν".

Δ Βασ. 1,12 - καὶ ἀπεκρίθη Ἠλιοὺ καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν· εἰ ἄνθρωπος Θεοῦ ἐγώ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου· καὶ κατέβη πῦρ ἐξ οὐρανοῦ καὶ κατέφαγε αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ.

Δ Βασ. 1,12 - Απήντησεν ο Ηλιού και του είπεν· "εάν εγώ είμαι πράγματι άνθρωπος του Θεού, θα κατεβή φωτιά από τον ουρανόν που θα καταφάγη σε και τους πενήντα άνδρας σου". Πράγματι δε κατέβη την ώραν εκείνην πυρ από τον ουρανόν και κατέφαγεν αυτόν και τους πεντήκοντα άνδρας του.

Δ Βασ. 1,13 - καὶ προσέθετο ὁ βασιλεὺς ἔτι ἀποστεῖλαι ἡγούμενον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἦλθεν ὁ πεντηκόνταρχος ὁ τρίτος καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ κατέναντι Ἠλιοὺ καὶ ἐδεήθη αὐτοῦ καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν· ἄνθρωπε τοῦ Θεοῦ, ἐντιμωθήτω δὴ ἡ ψυχή μου καὶ ἡ ψυχὴ τῶν δούλων σου τούτων τῶν πεντήκοντα ἐν ὀφθαλμοῖς σου·

Δ Βασ. 1,13 - Ο βασιλεύς απέστειλε και πάλιν άλλον αξιωματικόν και τους πενήντα άνδρας μαζή του. Ηλθεν ο τρίτος αυτός πεντηκόνταρχος, εγονάτισεν ενώπιον του Ηλιού, τον παρεκάλεσεν ευλαβώς και του είπεν· "άνθρωπε του Θεού, ας θεωρηθή αξία ελέους ενώπιόν σου η ζωη μου και η ζωή αυτών των πεντήκοντα δούλων σου.

Δ Βασ. 1,14 - ἰδοὺ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε τοὺς δύο πεντηκοντάρχους τοὺς πρώτους καὶ τοὺς πεντήκοντα αὐτῶν, καὶ νῦν ἐντιμωθήτω δὴ ἡ ψυχή μου ἐν ὀφθαλμοῖς σου.

Δ Βασ. 1,14 - Διότι εγώ γνωρίζω, ότι κατήλθε πυρ από τον ουρανόν και κατέφαγε τους δύο πρώτους πεντηκοντάρχους και τους πενήντα στρατιώτας αυτών. Τωρα λοιπόν ας θεωρηθή αξία ελέους η ζωη μου ενώπιόν σου".

Δ Βασ. 1,15 - καὶ ἐλάλησεν ἄγγελος Κυρίου πρὸς Ἠλιοὺ καὶ εἶπε· κατάβηθι μετ᾿ αὐτοῦ, μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν· καὶ ἀνέστη Ἠλιοὺ καὶ κατέβη μετ᾿ αὐτοῦ πρὸς τὸν βασιλέα.

Δ Βασ. 1,15 - Ο άγγελος του Κυρίου ελάλησε τότε προς τον Ηλιού και του είπε· "κατέβα και πήγαινε μαζή με αυτόν· μη φοβηθής αυτούς". Εσηκώθη ο Ηλίας, κατέβηκε και μαζή με αυτόν μετέβη στον βασιλέα.

Δ Βασ. 1,16 - καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν Ἠλιού· τάδε λέγει Κύριος· τί ὅτι ἀπέστειλας ἀγγέλους ἐκζητῆσαι ἐν τῷ Βάαλ μυῖαν θεὸν

Ἀκκαρών; οὐχ οὕτως· ἡ κλίνη, ἐφ᾿ ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ᾿ αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ.

Δ Βασ. 1,16 - Ο Ηλίας ωμίλησε προς τον βασιλέα και του είπε· "αυτά λέγει ο Κυριος· Διατί συ έστειλες ανθρώπους σου προς τον Βααλ, τον θεόν των μυιών, εις την Ακκαρών; Δεν είναι καθόλου ορθόν αυτό. Δια τούτο δεν θα κατεβής πλέον υγιής από την κλίνην, επάνω εις την οποίαν ανέβηκες ασθενής, διότι εξάπαντος θα αποθάνης".

Δ Βασ. 1,17 - καὶ ἀπέθανε κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν Ἠλιού.

Δ Βασ. 1,17 - Και πράγματι ο βασιλεύς Οχοζίας σύμφωνα με τον λόγον, τον οποίον ο Κυριος είπεν εις αυτόν δια του προφήτου Ηλιού, απέθανε.

Δ Βασ. 1,18 - καὶ τὰ λοιπὰ τῶν λόγων Ὀχοζίου, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Δ Βασ. 1,18 - Τα υπόλοιπα έργα, τα οποία έκαμεν ο Οχοζίας, δεν είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του ισραηλιτικού λαού;

Δ Βασ. 1,18α - Καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ βασιλεύει ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἔτη δεκαδύο, ἐν ἔτει ὀκτωκαιδεκάτῳ Ἰωσαφὰτ βασιλέως Ἰούδα.

Δ Βασ. 1,18^{α} - Ο Ιωράμ, ο υιός του Αχαάβ, εβασίλευσεν επί του ισραηλιτικού λαού με πρωτεύουσαν την Σαμάρειαν δώδεκα έτη, κατά το δέκατον όγδοον έτος της βασιλείας Ιωσαφάτ του βασιλέως του Ιούδα.

Δ Βασ. 1,18β - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, πλὴν οὐχ ὡς οἱ ἀδελφοὶ αὐτοῦ, οὐδὲ ὡς ἡ μήτηρ αὐτοῦ.

Δ Βασ. 1,18β - Και αυτός διέπραξε το πονηρόν ενώπιον του Κυρίου. Οχι όμως τόσον, όπως οι αδελφοί του και όπως η μητέρα του.

Δ Βασ. 1,18γ - καὶ ἀπέστησε τὰς στήλας τοῦ Βάαλ, ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ, καὶ συνέτριψεν αὐτάς· πλὴν ἐν ταῖς ἁμαρτίαις οἴκου Ἱεροβοάμ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, ἐκολλήθη, οὐκ ἀπέστη ἀπ᾿ αὐτῶν.

Δ Βασ. 1,18γ - Εβγαλε τας ειδωλολατρικάς στήλας του Βααλ εκ μέσου του λαού, τας οποίας είχεν οικοδομήσει ο πατήρ του, και τας συνέτριψεν, αλλά και αυτός έζησε μέσα εις τας αμαρτίας της οικογενείας του Ιεροβοάμ, ο οποίος είχε εξωθήσει τον ισραηλιτικόν λαόν εις την ασέβειαν· προσεκολλήθη και δεν απεμακρύνθη από αυτάς.

Δ Βασ. 1,18δ - καὶ ἐθυμώθη ὀργῇ Κύριος εἰς τὸν οἶκον Ἀχαάβ.

Δ Βασ. 1,18δ - Δια τούτο ο Κυριος ωργίσθη πολύ εναντίον των απογόνων του Αχαάβ.

Δ ΒΑΣΙΛΕΙΩΝ 2

Δ Βασ. 2,1 - Καὶ ἐγένετο ἐν τῷ ἀνάγειν Κύριον ἐν συσσεισμῷ τὸν Ἠλιοὺ ὡς εἰς τὸν οὐρανὸν καὶ ἐπορεύθη Ἠλιοὺ καὶ Ἑλισαιὲ ἐκ Γαλγάλων.

Δ Βασ. 2,1 - Οταν ο Κυριος απεφάσισε να αναλάβη τον Ηλίαν με συσσεισμόν άνω προς τον ουρανόν, ο Ηλίας και ο Ελισαίος ανεχώρησαν από τα Γαλγαλα.

Δ Βασ. 2,2 - καὶ εἶπεν Ἠλιοὺ πρὸς Ἑλισαιέ· κάθου δὴ ἐνταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με ἕως Βαιθήλ· καὶ εἶπεν Ἑλισαιέ· ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἦλθον εἰς Βαιθήλ.

Δ Βασ. 2,2 - Είπεν ο Ηλιού προς τον Ελισαίον· “κάθησε εδώ, σε παρακαλώ, διότι ο Κυριος με απέστειλεν έως εις την Βαιθήλ”. Ο Ελισαίος απήντησεν· “ορκίζομαι στον ζώντα Θεόν και εις την ζωήν σου, ότι δεν θα σε εγκαταλείψω”. Και ήλθον μαζή εις την Βαιθήλ.

Δ Βασ. 2,3 - καὶ ἦλθον οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Βαιθὴλ πρὸς Ἑλισαιὲ καὶ εἶπον πρὸς αὐτόν· εἰ ἔγνως, ὅτι Κύριος σήμερον λαμβάνει τὸν κύριόν σου ἐπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε· κἀγὼ ἔγνωκα, σιωπᾶτε.

Δ Βασ. 2,3 - Οι προφήται, οι οποίοι ευρίσκοντο εκεί εις την Βαιθήλ, ήλθον στον Ελισαίον και του είπον· “άραγε γνωρίζεις ότι σήμερον ο Κυριος θα πάρη επάνω από το κεφάλι σου τον κύριόν σου;” Εκείνος τους απήντησε· “και εγώ το γνωρίζω πολύ καλά μη ομιλείτε”.

Δ Βασ. 2,4 - καὶ εἶπεν Ἠλιοὺ πρὸς Ἑλισαιέ· κάθου δὴ ἐνταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με εἰς Ἱεριχώ· καὶ εἶπεν Ἑλισαιέ· ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἦλθον εἰς Ἱεριχώ.

Δ Βασ. 2,4 - Ο Ηλίας είπε προς τον Ελισαίον· “κάθησε, σε παρακαλώ, εδώ, διότι ο Κυριος μου έχει δώσει εντολήν να μεταβώ εις την Ιεριχώ” Ο Ελισαιέ όμως του είπεν· “ορκίζομαι στον ζώντα Θεόν και εις την ιδικήν σου ζωήν, ότι δεν θα σε εγκαταλείψω”. Και έφθασαν μαζή εις την Ιεριχώ.

Δ Βασ. 2,5 - καὶ ἤγγισαν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Ἱεριχὼ πρὸς Ἑλισαιὲ καὶ εἶπαν πρὸς αὐτόν· εἰ ἔγνως ὅτι σήμερον λαμβάνει Κύριος τὸν κύριόν σου ἐπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε· καί γε ἐγὼ ἔγνων, σιωπᾶτε.

Δ Βασ. 2,5 - Ο προφήται, οι οποίοι ευρίσκοντο εις την Ιεριχώ, ήλθαν προς τον Ελισαιέ και του είπαν· “αλήθεια, γνωρίζεις ότι σήμερον θα αναλάβη στον ουρανόν επάνω από το κεφάλι σου ο Κυριος τον κύριόν σου;” Εκείνος απήντησε· “βεβαίως το γνωρίζω. Μη ομιλείτε όμως”.

Δ Βασ. 2,6 - καὶ εἶπεν αὐτῷ Ἠλιού· κάθου δὴ ὧδε, ὅτι Κύριος ἀπέσταλκέ με ἕως εἰς τὸν Ἰορδάνην· καὶ εἶπεν Ἑλισαιέ· ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἐπορεύθησαν ἀμφότεροι·

Δ Βασ. 2,6 - Είπε προς τον Ελισαίον ο Ηλιού· “κάθησε συ εδώ, διότι ο Κυριος με έχει αποστείλει έως τον Ιορδάνην”. Ο Ελισαίος απήντησε· “Ορκίζομαι στον ζώντα Κυριον και εις την ζωήν σου, ότι δεν θα σε εγκαταλείψω”. Και επήγαν και οι δύο προς τον Ιορδάνην.

Δ Βασ. 2,7 - καὶ πεντήκοντα ἄνδρες υἱοὶ τῶν προφητῶν καὶ ἔστησαν ἐξεναντίας μακρόθεν· καὶ ἀμφότεροι ἔστησαν ἐπὶ τοῦ Ἰορδάνου.

Δ Βασ. 2,7 - Συγχρόνως όμως πενήντα άνδρες από τους προφήτας μετέβησαν και εστάθησαν όρθιοι μακράν απέναντι από αυτούς, ο δε Ελισαίος και ο Ηλίας εστάθησαν εις την όχθην του ποταμού Ιορδάνου.

Δ Βασ. 2,8 - καὶ ἔλαβεν Ἠλιοὺ τὴν μηλωτὴν αὐτοῦ καὶ εἵλησε καὶ ἐπάταξε τὸ ὕδωρ, καὶ διῃρέθη τὸ ὕδωρ ἔνθα καὶ ἔνθα, καὶ διέβησαν ἀμφότεροι ἐν ἐρήμῳ.

Δ Βασ. 2,8 - Ο Ηλίας επήρε την μηλωτήν, ετύλιξεν αυτήν, εκτύπησε το ύδωρ του ποταμού, το οποίον και διηρέθη εις δύο μέρη, άνω και κάτω. Και διέβησαν και οι δύο προς την απέναντι έρημον περιοχήν.

Δ Βασ. 2,9 - καὶ ἐγένετο ἐν τῷ διαβῆναι αὐτοὺς καὶ Ἠλιοὺ εἶπε πρὸς Ἑλισαιέ· αἴτησαι τί ποιήσω σοι πρὶν ἢ ἀναληφθῆναί με ἀπὸ σοῦ. καὶ εἶπεν Ἑλισαιέ· γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ᾿ ἐμέ.

Δ Βασ. 2,9 - Οταν επέρασαν τον ποταμόν, είπεν ο Ηλίας προς τον Ελισαίον· “ζήτησέ μου τι θέλεις να σου κάμω, πριν αναληφθώ από σε στον ουρανόν”; Ο Ελισαίος απήντησεν· “δόσε, σε παρακαλώ, διπλήν την χάριν σου εις εμέ”.

Δ Βασ. 2,10 - καὶ εἶπεν Ἠλιού· ἐσκλήρυνας τοῦ αἰτήσασθαι· ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, καὶ ἔσται σοι οὕτως· καὶ ἐὰν μή, οὐ μὴ γένηται.

Δ Βασ. 2,10 - Ο Ηλιού απήντησε· “πολύ βαρύ είναι το αίτημά σου. Εάν όμως με ίδης να αναλαμβάνωμαι από σε προς τον ουρανόν, θα πραγματοποιηθή το αίτημά σου. Εάν όμως όχι, δεν θα πραγματοποιηθή”.

Δ Βασ. 2,11 - καὶ ἐγένετο αὐτῶν πορευομένων, ἐπορεύοντο καὶ ἐλάλουν· καὶ ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρὸς καὶ διέστειλαν ἀνὰ μέσον ἀμφοτέρων, καὶ ἀνελήφθη Ἠλιοὺ ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν.

Δ Βασ. 2,11 - Ενώ δε αυτοί εβάδιζαν και πορευόμενοι συνωμίλουν, αίφνης ένα πύρινον άρμα και πύρινοι ίπποι διεχώρισαν τον ένα από τον άλλον, και ο Ηλιού μέσα εις ανεμοστρόβιλον ανελήφθη και εφέρετο ως στον ουρανόν.

Δ Βασ. 2,12 - καὶ Ἑλισαιὲ ἑώρα καὶ ἐβόα· πάτερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ· καὶ οὐκ εἶδεν αὐτὸν ἔτι καὶ ἐπελάβετο τῶν ἱματίων αὐτοῦ καὶ διέῤῥηξεν αὐτὰ εἰς δύο ῥήγματα.

Δ Βασ. 2,12 - Ο Ελισαίος έβλεπε και εκραύγαζε· “πάτερ, πάτερ, συ ήσο η σωτήριος δύναμις, άρματα και ιππικόν, δια τον λαόν του Ισραήλ”. Ο Ελισαίος δεν τον είδε πλέον. Και εις ένδειξιν λύπης δια τον χωρισμόν έπιασε τα ενδύματά του και τα έσχισεν εις δύο κομμάτια.

Δ Βασ. 2,13 - καὶ ὕψωσε τὴν μηλωτὴν Ἠλιού, ἣ ἔπεσεν ἐπάνωθεν Ἑλισαιέ, καὶ ἐπέστρεψεν Ἑλισαιὲ καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου·

Δ Βασ. 2,13 - Ο Ελισαίος εσήκωσεν από κάτω την μηλωτήν του Ηλιού, η οποία έπεσεν από επάνω υψηλά, και επέστρεφεν έχων την μηλωτήν. Εστάθη εις την όχθην του Ιορδάνου.

Δ Βασ. 2,14 - καὶ ἔλαβε τὴν μηλωτὴν Ἠλιού, ἣ ἔπεσεν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὸ ὕδωρ καὶ οὐ διέστη· καὶ εἶπε· ποῦ ὁ Θεὸς Ἠλιοὺ ἀφφώ; καὶ ἐπάταξε τὰ ὕδατα, καὶ διεῤῥάγησαν ἔνθα καὶ ἔνθα, καὶ διέβη Ἑλισαιέ.

Δ Βασ. 2,14 - Επήρε την μηλωτήν του Ηλιού, η οποία έπεσεν επάνω εις αυτόν, εκτύπησε το ύδωρ, αλλ' εκείνο δεν διηρέθη, όπως προηγουμένως. Ο Ελισαίος είπε τότε· “που είναι ο Θεός του Ηλιού, που είναι;” Κατόπιν όμως εκτύπησε πάλιν τα ύδατα και εκείνα εχωρίσθησαν εις δύο, από εδώ και από εκεί, και ο Ελισαίος διέβη τον Ιορδάνην ποταμόν.

Δ Βασ. 2,15 - καὶ εἶδον αὐτὸν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν Ἱεριχὼ ἐξεναντίας καὶ εἶπον· ἐπαναπέπαυται τὸ πνεῦμα Ἠλιοὺ ἐπὶ Ἑλισαιέ· καὶ ἦλθον εἰς συναντὴν αὐτοῦ καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν.

Δ Βασ. 2,15 - Οι προφήται, οι οποίοι ήσαν εις την απέναντι όχθην του Ιορδάνου προς την Ιεριχώ, είδον το θαύμα και είπον· “πράγματι το Πνεύμα του Θεού ανεπαύθη στον Ελισαίον”. Ηλθον αυτοί εις συνάντησιν του Ελισαίου και προσεκύνησαν αυτόν μέχρις εδάφους.

Δ Βασ. 2,16 - καὶ εἶπον πρὸς αὐτόν· ἰδοὺ δὴ μετὰ τῶν παίδων σου πεντήκοντα ἄνδρες υἱοὶ δυνάμεως· πορευθέντες δὴ ζητησάτωσαν τὸν κύριόν σου, μή ποτε ᾖρεν αὐτὸν πνεῦμα Κυρίου καὶ ἔῤῥιψεν αὐτὸν ἐν τῷ Ἰορδάνῃ ἢ ἐφ᾿ ἓν τῶν ὀρέων ἢ ἐφ᾿ ἕνα τῶν βουνῶν. καὶ εἶπεν Ἑλισαιέ· οὐκ ἀποστελεῖτε.

Δ Βασ. 2,16 - Είπον δε προς αυτόν· “ιδού, μαζή με ημάς τους προφήτας τους δούλους σου υπάρχουν πεντήκοντα δυνατοί νέοι. Σε παρακαλούμεν, ας μεταβούν να αναζητήσουν τον κύριόν σου τον Ηλίαν, μήπως, τυχόν και άνεμος επήρεν αυτόν και τον έρριψεν στον Ιορδάνην η εις κανένα όρος η εις κανένα από τους λόφους”. Ο Ελισαίος τους είπεν· “όχι να μη τους αποστείλετε”.

Δ Βασ. 2,17 - καὶ παρεβιάσαντο αὐτὸν ἕως οὗ ᾐσχύνετο. καὶ εἶπεν· ἀποστείλατε. καὶ ἀπέστειλαν πεντήκοντα ἄνδρας, καὶ ἐζήτησαν τρεῖς ἡμέρας καὶ οὐχ εὗρον αὐτόν.

Δ Βασ. 2,17 - Αυτοί όμως επέμεναν, ώστε ο Ελισαίος, από εντροπήν πλέον, υπεχώρησε και είπε· “στείλατέ τους”. Οι Προφήται έστειλαν τους πεντήκοντα νέους και ανεζήτουν τον Ηλίαν επί τρεις ημέρας, αλλά δεν τον ευρήκαν.

Δ Βασ. 2,18 - καὶ ἀνέστρεψαν πρὸς αὐτόν, καὶ αὐτὸς ἐκάθητο ἐν Ἱεριχώ, καὶ εἶπεν Ἑλισαιέ· οὐκ εἶπον πρὸς ὑμᾶς, μὴ πορευθῆτε;

Δ Βασ. 2,18 - Επέστρεψαν άπρακτοι προς τον Ελισαίον, ο οποίος εκάθητο εις την Ιεριχώ, και τους είπε· “δεν σας είπα να μη πάτε εις αναζήτησιν του Ηλιού;”

Δ Βασ. 2,19 - καὶ εἶπον οἱ ἄνδρες τῆς πόλεως πρὸς Ἑλισαιέ· ἰδοὺ ἡ κατοίκησις τῆς πόλεως ἀγαθή, καθὼς ὁ κύριος βλέπει, καὶ τὰ ὕδατα πονηρὰ καὶ ἡ γῆ ἀτεκνουμένη.

Δ Βασ. 2,19 - Οι άνδρες της Ιεριχούς είπαν προς τον Ελισαίον· "ιδού, η τοποθεσία και η περιοχή της πόλεως είναι ωραία, όπως και συ, ο κύριος, βλέπεις, αλλά τα νερά είναι επιβλαβή και η γη δεν βλαστάνει και δεν καρποφορεί".

Δ Βασ. 2,20 - καὶ εἶπεν Ἑλισαιέ· λάβετέ μοι ὑδρίσκην καινὴν καὶ θέτε ἐκεῖ ἅλα· καὶ ἔλαβον καὶ ἤνεγκαν πρὸς αὐτόν.

Δ Βασ. 2,20 - Ο Ελισαίος είπε προς αυτούς· "φέρετέ μου μίαν καινούργιαν υδρίαν και βάλετε μέσα εις αυτήν αλάτι". Επήραν και την έφεραν προς αυτόν, όπως τους είπε.

Δ Βασ. 2,21 - καὶ ἐξῆλθεν Ἑλισαιὲ εἰς τὴν διέξοδον τῶν ὑδάτων καὶ ἔῤῥιψεν ἐκεῖ ἅλα καὶ εἶπε· τάδε λέγει Κύριος· ἴαμαι τὰ ὕδατα, οὐκ ἔσται ἔτι ἐκεῖθεν θάνατος καὶ ἀτεκνουμένη.

Δ Βασ. 2,21 - Ο Ελισαίος εβγήκε προς την πηγήν των υδάτων, έρριψεν εκεί το αλάτι και είπεν· "αυτά λέγει ο Κυριος· Εγώ εξυγιαίνω τα ύδατα και δεν θα προέρχεται πλέον από αυτά θάνατος και ακαρπία εις την γην".

Δ Βασ. 2,22 - καὶ ἰάθησαν τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης κατὰ τὸ ῥῆμα Ἑλισαιέ, ὃ ἐλάλησε.

Δ Βασ. 2,22 - Πράγματι τα ύδατα εξυγιάνθησαν από της ώρας εκείνης και μένουν ζωογόνα και χρήσιμα μέχρι της ημέρας αυτής σύμφωνα με την εντολήν, την οποίαν ο Ελισαίος είπεν.

Δ Βασ. 2,23 - καὶ ἀνέβη ἐκεῖθεν εἰς Βαιθήλ· καὶ ἀναβαίνοντος αὐτοῦ ἐν τῇ ὁδῷ καὶ παιδάρια μικρὰ ἐξῆλθον ἐκ τῆς πόλεως καὶ κατέπαιζον αὐτοῦ καὶ εἶπον αὐτῷ· ἀνάβαινε, φαλακρέ, ἀνάβαινε.

Δ Βασ. 2,23 - Ο Ελισαίος ανεχώρησεν από την Ιεριχώ προς την Βαιθήλ. Ενώ δε ανέβαινεν αυτός τον δρόμον του, εβγήκαν μικρά παιδιά από την πόλιν και τον ενέπαιζαν λέγοντα· "ανάβαινε, φαλακρέ, ανάβαινε".

Δ Βασ. 2,24 - καὶ ἐξένευσεν ὀπίσω αὐτῶν καὶ εἶδεν αὐτά, καὶ κατηράσατο αὐτοῖς ἐν ὀνόματι Κυρίου· καὶ ἰδοὺ ἐξῆλθον δύο ἄρκοι ἐκ τοῦ δρυμοῦ καὶ ἀνέῤῥηξαν ἀπ᾿ αὐτῶν τεσσαράκοντα καὶ δύο παῖδας.

Δ Βασ. 2,24 - Εγύρισεν οπίσω προς αυτά ο Ελισαίος, τα είδε και τα κατηράσθη εν ονόματι του Κυρίου· και ιδού εβγήκαν δύο άρκτοι από το δάσος και κατεσπάραξαν τεσσαράκοντα δύο παιδιά από αυτά.

Δ Βασ. 2,25 - καὶ ἐπορεύθη ἐκεῖθεν εἰς τὸ ὄρος τὸ Καρμήλιον κἀκεῖθεν ἐπέστρεψεν εἰς Σαμάρειαν.

Δ Βασ. 2,25 - Ο Ελισαίος μετέβη από εκεί στο όρος Καρμηλον και από εκεί επανήλθεν εις την Σαμάρειαν.

Δ ΒΑΣΙΛΕΙΩΝ 3

Δ Βασ. 3,1 - Καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ ἐβασίλευσεν ἐν Ἰσραὴλ ἐν ἔτει ὀκτωκαιδεκάτῳ Ἰωσαφὰτ βασιλέως Ἰούδα καὶ ἐβασίλευσε δώδεκα ἔτη.

Δ Βασ. 3,1 - Ο Ιωράμ, ο υιός του Αχαάβ, έγινε βασιλεύς στο βασίλειον του Ισραήλ κατά το δέκατον όγδοον έτος της βασιλείας του Ιωσαφάτ, βασιλέως του Ιούδα, και εβασίλευσεν επί δώδεκα έτη.

Δ Βασ. 3,2 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς ὁ πατὴρ αὐτοῦ καὶ οὐχ ὡς ἡ μήτηρ αὐτοῦ. καὶ μετέστησε τὰς στήλας τοῦ Βάαλ, ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ·

Δ Βασ. 3,2 - Και αυτός διέπραξε το πονηρόν ενώπιον του Κυρίου, όχι όμως τόσον όσον ο πατήρ του και η μήτηρ του. Αφήρεσε τας στήλας του Βααλ εκ μέσου του λαού, τας οποίας είχε κατασκευάσει ο πατέρας του.

Δ Βασ. 3,3 - πλὴν ἐν τῇ ἁμαρτίᾳ Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, ἐκολλήθη, οὐκ ἀπέστη ἀπ᾿ αὐτῆς.

Δ Βασ. 3,3 - Αλλά και αυτός προσεκολλήθη και δεν απεμακρύνθη από τας αμαρτίας, τας οποίας είχε διαπράξει ο Ιεροβοάμ, ο υιός του Ναβάτ, ο οποίος έγινεν αφορμή και αιτία να παρασυρθή εις την αμαρτίαν και ο ισραηλιτικός λαός.

Δ Βασ. 3,4 - καὶ Μωσὰ βασιλεὺς Μωὰβ ἦν νωκήδ, καὶ ἐπέστρεφε τῷ βασιλεῖ Ἰσραὴλ ἐν τῇ ἐπαναστάσει ἑκατὸν χιλιάδας ἀρνῶν καὶ ἑκατὸν χιλιάδας κριῶν ἐπὶ πόκων.

Δ Βασ. 3,4 - Ο Μωσά, ο βασιλεύς της περιοχής Μωάβ, είχε πολλά ποίμνια. Εξ αιτίας δε μιας αποτυχούσης επαναστάσεώς του επλήρωνε κάθε έτος στον βασιλέα του Ισραηλιτικού λαού ως φόρον εκατόν χιλιάδες αρνιά και εκατόν χιλιάδες κριάρια ακούρευτα.

Δ Βασ. 3,5 - καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν Ἀχαὰβ καὶ ἠθέτησε βασιλεὺς Μωὰβ ἐν βασιλεῖ Ἰσραήλ.

Δ Βασ. 3,5 - Οταν όμως απέθανεν ο Αχαάβ, ο βασιλεύς της Μωάβ ηρνήθη να πληρώση τον φόρον στον βασιλέα του Ισραηλιτικού λαού.

Δ Βασ. 3,6 - καὶ ἐξῆλθεν ὁ βασιλεὺς Ἰωρὰμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ Σαμαρείας καὶ ἐπεσκέψατο τὸν Ἰσραήλ·

Δ Βασ. 3,6 - Τοτε ο βασιλεύς Ιωράμ εβγήκε κατά την ημέραν εκείνην από την Σαμάρειαν και επεσκέφθη τον ισραηλιτικόν λαόν.

Δ Βασ. 3,7 - καὶ ἐπορεύθη καὶ ἐξαπέστειλε πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα λέγων· βασιλεὺς Μωὰβ ἠθέτησεν ἐν ἐμοί· εἰ πορεύσῃ μετ᾿ ἐμοῦ εἰς Μωὰβ εἰς πόλεμον; καὶ εἶπεν· ἀναβήσομαι· ὅμοιός μοι ὅμοιός σοι, ὡς ὁ λαός μου ὁ λαός σου, ὡς οἱ ἵπποι μου οἱ ἵπποι σου.

Δ Βασ. 3,7 - Μετέβη κατόπιν και έστειλεν ανθρώπους του προς τον Ιωσαφάτ βασιλέα των Ιουδαίων και του είπε· “ο βασιλεύς των Μωαβιτών κατεπάτησε την συμφωνίαν, την οποίαν έχει συνάψει με εμέ. Θέλεις να εκστρατεύσης μαζή μου εναντίον της χώρας Μωάβ;” Ο Ιωσαφάτ απήντησε· “θα εκστρατεύσω μαζή σου, διότι όπως είμαι εγώ, είσαι και συ. Οπως είναι ο λαός μου, είναι και ο λαός σου όπως είναι το ιππικόν μου είναι και το ιδικόν σου ιππικόν”.

Δ Βασ. 3,8 - καὶ εἶπε· ποία ὁδῷ ἀναβῶ; καὶ εἶπεν· ὁδὸν ἔρημον Ἐδώμ.

Δ Βασ. 3,8 - Ηρώτησεν ο Ιωσαφάτ τον Ιωράμ· “ποίον δρόμον θα ακολουθήσω;” Και εκείνος του είπε· “θα ακολουθήσωμεν την έρημον οδόν δια μέσου της Ιδουμαίας”.

Δ Βασ. 3,9 - καὶ ἐπορεύθη ὁ βασιλεὺς Ἰσραὴλ καὶ ὁ βασιλεὺς Ἰούδα καὶ ὁ βασιλεὺς Ἐδὼμ καὶ ἐκύκλωσαν ὁδὸν ἑπτὰ ἡμερῶν, καὶ οὐκ ἦν ὕδωρ τῇ παρεμβολῇ καὶ τοῖς κτήνεσι τοῖς ἐν τοῖς ποσὶν αὐτῶν.

Δ Βασ. 3,9 - Ο βασιλεύς του Ισραηλιτικού βασιλείου και ο βασιλεύς των Ιουδαίων και ο βασιλεύς των Ιδουμαίων εβάδισαν μαζή κύκλω δρόμον επτά ημερών. Αλλά εκεί όπου έφθασαν, δεν υπήρχεν ύδωρ δια τον στρατόν και δια τα κτήνη, τα οποία τους ακολουθούσαν.

Δ Βασ. 3,10 - καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραήλ· ὦ, ὅτι κέκληκε Κύριος τοὺς τρεῖς βασιλεῖς παρερχομένους δοῦναι αὐτοὺς ἐν χειρὶ Μωὰβ

Δ Βασ. 3,10 - Ο βασιλεύς του Ισραήλ είπεν· “αλλοίμονον ! ο Κυριος λοιπόν προσεκάλεσεν ημάς τους τρεις βασιλείς, που βαδίζομεν εναντίον των Μωαβιτών, δια να μας παραδώση εις τα χέρια εκείνων”.

Δ Βασ. 3,11 - καὶ εἶπεν Ἰωσαφάτ· οὐκ ἔστιν ὧδε προφήτης τοῦ Κυρίου καὶ ἐπιζητήσωμεν τὸν Κύριον παρ᾿ αὐτοῦ; καὶ ἀπεκρίθη εἷς τῶν παίδων τοῦ βασιλέως Ἰσραὴλ καὶ εἶπεν· ὧδε Ἑλισαιὲ υἱὸς Σαφάτ, ὃς ἐπέχεεν ὕδωρ ἐπὶ χεῖρας Ἠλιού.

Δ Βασ. 3,11 - Ο Ιωσαφάτ ηρώτησε· “δεν υπάρχει εδώ κανείς προφήτης του Κυρίου, δια να παρακαλέσωμεν μέσω αυτού τον Κυριον;” Ενας από τους στρατιώτας του βασιλέως των Ισραηλιτών είπεν· “υπάρχει εδώ ο Ελισαιέ, ο υιός του Σαφάτ, ο οποίος υπηρετούσε τον Ηλιού και του έρριπτε νερό εις τα χέρια του”.

Δ Βασ. 3,12 - καὶ εἶπεν Ἰωσαφάτ· ἔστιν αὐτῷ ῥῆμα Κυρίου. καὶ κατέβη πρὸς αὐτὸν βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα καὶ βασιλεὺς Ἐδώμ.

Δ Βασ. 3,12 - Ο Ιωσαφάτ είπε· “πράγματι εις αυτόν και δι' αυτού υπάρχει λόγος Κυρίου”. Οι τρεις βασιλείς, ο βασιλεύς του Ισραήλ, ο βασιλεύς των Ιουδαίων Ιωσαφάτ και ο βασιλεύς της Εδώμ ήλθαν εις συνάντησιν του Ελισαίου.

Δ Βασ. 3,13 - καὶ εἶπεν Ἑλισαιὲ πρὸς βασιλέα Ἰσραήλ· τί ἐμοὶ καὶ σοί; δεῦρο πρὸς τοὺς προφήτας τοῦ πατρός σου καὶ τοὺς προφήτας τῆς μητρός

σου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς Ἰσραήλ· μὴ ὅτι κέκληκε Κύριος τοὺς τρεῖς βασιλεῖς τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖρας Μωάβ;

Δ Βασ. 3,13 - Ο Ελισαίος απευθυνόμενος προς τον βασιλέα του Ισραηλιτικού λαού είπε· “ποία σχέσις υπάρχει μεταξύ εμού και σου; Πηγαινε να ζητήσης συμβουλήν και χάριν από τους προφήτας του πατρός σου και τους προφήτας της μητρός σου”. Ο βασιλεύς του Ισραήλ του απήντησε· “μήπως τάχα ο Κυριος εκάλεσεν ημάς τους τρεις βασιλείς, δια να μας παραδώση εις τα χέρια των Μωαβιτών;”

Δ Βασ. 3,14 - καὶ εἶπεν Ἑλισαιέ· ζῇ Κύριος τῶν δυνάμεων, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, ὅτι εἰ μὴ πρόσωπον Ἰωασαφὰτ βασιλέως Ἰούδα ἐγὼ λαμβάνω, εἰ ἐπέβλεψα πρός σε καὶ εἶδόν σε·

Δ Βασ. 3,14 - Ο Ελισαίος απήντησεν· “ορκίζομαι στον ζώντα Κυριον των δυνάμεων, ενώπιον του οποίου παρέστην και παρίσταμαι, ότι εάν δεν ελάμβανα υπ' όψει τον Ιωσαφάτ, τον βασιλέα των Ιουδαίων, ποτέ δεν θα έστρεφα το βλέμμα μου προς σε και ποτέ δεν θα σε επρόσεχα.

Δ Βασ. 3,15 - καὶ νῦν λαβέ μοι ψάλλοντα. καὶ ἐγένετο ὡς ἔψαλλεν ὁ ψάλλων, καὶ ἐγένετο ἐπ᾿ αὐτὸν χεὶρ Κυρίου,

Δ Βασ. 3,15 - Τωρα όμως φέρε μου εδώ ένα μουσικόν, που παίζει όργανον”. Οταν δε ο μουσικός ήλθε και έπαιξε μουσικήν, η δύναμις και η χάρις του Κυρίου εφώτισαν τον Ελισαίον, ο οποίος

Δ Βασ. 3,16 - καὶ εἶπε· τάδε λέγει Κύριος· ποιήσατε τὸν χειμάῤῥουν τοῦτον βοθύνους βοθύνους·

Δ Βασ. 3,16 - και είπεν· “αυτά λέγει ο Κυριος· Ανοίξατε στους διαφόρους τόπους αυτού του ξηροποτάμου λάκκους.

Δ Βασ. 3,17 - ὅτι τάδε λέγει Κύριος· οὐκ ὄψεσθε πνεῦμα καὶ οὐκ ὄψεσθε ὑετόν, καὶ ὁ χειμάῤῥους οὗτος πλησθήσεται ὕδατος, καὶ πίεσθε ὑμεῖς καὶ αἱ κτήσεις ὑμῶν καὶ τὰ κτήνη ὑμῶν·

Δ Βασ. 3,17 - Αυτά λέγει ακόμη ο Κυριος· Δεν θα ακούσετε άνεμον να φυσά και δεν θα ίδετε βροχήν να πίπτη και όμως ο ξηροπόταμος αυτός θα γεμίση από νερά. Και θα πιήτε και σεις και τα ποίμνιά σας και τα μεταγωγικά σας.

Δ Βασ. 3,18 - καὶ κούφη αὐτὴ ἐν ὀφθαλμοῖς Κυρίου, καὶ παραδώσω τὴν Μωὰβ ἐν χειρὶ ὑμῶν,

Δ Βασ. 3,18 - Είναι δε αυτό το έργον ευκολώτατον ενώπιον του Κυρίου, ο οποίος και θα παραδώση την χώραν των Μωαβιτών εις την εξουσίαν σας.

Δ Βασ. 3,19 - καὶ πατάξετε πᾶσαν πόλιν ὀχυρὰν καὶ πᾶν ξύλον ἀγαθὸν καταβαλεῖτε καὶ πάσας πηγὰς ὕδατος ἐμφράξεσθε καὶ πᾶσαν μερίδα ἀγαθὴν ἀχρειώσετε ἐν λίθοις.

Δ Βασ. 3,19 - Και θα καταστρέψετε σεις κάθε οχυράν πόλιν των Μωαβιτών και θα κατακόψετε κάθε καρποφόρον δένδρον, θα φράξετε δε τας

πηγάς των υδάτων, κάθε δε εύφορον περιοχήν θα την κάμετε άχρηστον γεμίζοντες αυτήν με λίθους”.

Δ Βασ. 3,20 - καὶ ἐγένετο πρωΐ ἀναβαινούσης τῆς θυσίας καὶ ἰδοὺ ὕδατα ἤρχοντο ἐξ ὁδοῦ Ἐδώμ, καὶ ἐπλήσθη ἡ γῆ ὕδατος.

Δ Βασ. 3,20 - Πράγματι δε κατά την επομένην πρωΐαν, όταν προσεφέρετο προς τον Θεόν η πρωϊνή θυσία, ιδού ύδατα πολλά κατέβαιναν από την περιοχήν της Εδώμ και εγέμισεν η χώρα από νερό.

Δ Βασ. 3,21 - καὶ πᾶσα Μωὰβ ἤκουσαν ὅτι ἀνέβησαν οἱ τρεῖς βασιλεῖς πολεμεῖν αὐτούς, καὶ ἀνεβόησαν ἐκ παντὸς περιεζωσμένοι ζώνην καὶ εἶπαν· ὢ καὶ ἔστησαν ἐπὶ τοῦ ὁρίου.

Δ Βασ. 3,21 - Εν τω μεταξύ όλοι οι Μωαβίται, όταν επληροφορήθησαν ότι εξεστράτευσαν οι τρεις βασιλείς, δια να πολεμήσουν εναντίον των, εκραύγασαν και όλοι όσοι ημπορούσαν να φέρουν όπλα ηγέρθησαν και είπαν· “αλλοίμονον!” Ητοιμάσθησαν όμως και παρετάχθησαν εις τα σύνορα της χώρας των.

Δ Βασ. 3,22 - καὶ ὤρθρισαν τὸ πρωΐ, καὶ ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τὰ ὕδατα· καὶ εἶδε Μωὰβ ἐξεναντίας τὰ ὕδατα πυρὰ ὡσεὶ αἷμα

Δ Βασ. 3,22 - Οι στρατευμένοι Μωαβίται εσηκώθησαν το πρωι, ενώ ο ήλιος είχεν ανατείλει και έρριπτε τας ακτίνας του εις τα ύδατα. Είδαν δε τα απέναντι ύδατα κόκκινα ωσάν αίμα.

Δ Βασ. 3,23 - καὶ εἶπαν· αἷμα τοῦτο τῆς ῥομφαίας, καὶ ἐμαχέσαντο οἱ βασιλεῖς καὶ ἐπάταξεν ἀνὴρ τὸν πλησίον αὐτοῦ, καὶ νῦν ἐπὶ τὰ σκῦλα Μωάβ.

Δ Βασ. 3,23 - Είπαν δε αναμεταξύ των· “το αίμα αυτό προέρχεται από ρομφαίαν. Φαίνεται ότι οι τρεις βασιλείς συνήψαν μάχην μεταξύ των και καθένας από τους στρατιώτας των θα επετέθη εναντίον του άλλου. Και τώρα λοιπόν, Μωαβίται, εμπρός δια να τους λαφυραγωγήσωμεν”.

Δ Βασ. 3,24 - καὶ εἰσῆλθον εἰς τὴν παρεμβολὴν Ἰσραήλ, καὶ Ἰσραὴλ ἀνέστησαν καὶ ἐπάταξαν τὴν Μωάβ, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτῶν. καὶ εἰσῆλθον εἰσπορευόμενοι καί τύπτοντες τὴν Μωὰβ

Δ Βασ. 3,24 - Οι Μωαβίται εισώρμησαν στο στρατόπεδον του Ισραηλιτικού λαού, αλλά οι Ισραηλίται ηγέρθησαν, επετέθησαν και ενίκησαν τους Μωαβίτας, οι οποίοι και ετράπησαν εις φυγήν εμπρός από αυτούς. Οι Ισραηλίται καταδιώκοντες και κτυπώντες αυτούς εισήλθον εις την χώραν των Μωαβιτών.

Δ Βασ. 3,25 - καὶ τὰς πόλεις καθεῖλον καὶ πᾶσαν μερίδα ἀγαθὴν ἔῤῥιψαν ἀνὴρ τὸν λίθον καὶ ἐνέπλησαν αὐτὴν καὶ πᾶσαν πηγὴν ἐνέφραξαν καὶ πᾶν ξύλον ἀγαθὸν κατέβαλον ἕως τοῦ καταλιπεῖν τοὺς λίθους τοῦ τοίχου καθῃρημένους, καὶ ἐκύκλωσαν οἱ σφενδονῆται καὶ ἐπάταξαν αὐτήν.

Δ Βασ. 3,25 - Εκεί κατεκρήμνισαν τας πόλεις· εις κάθε δε εύφορον αγρόν, δια να τον καταστήσουν άχρηστον, έρριψεν ο καθένας από τους στρατιώτας

λίθους και τον εγέμισαν. Καθε πηγήν την έφραξαν και κάθε καρποφόρον και ωραίον δένδρον το έκοψαν από την ρίζαν. Επέφεραν τέτοιαν καταστροφήν, ώστε εις κάποιαν πόλιν δεν έμειναν παρά λίθοι στους ετοιμόρροπους τοίχους. Οι Ισραηλίται, οι οποίοι εχειρίζοντο την σφενδόνην, περιεκύκλωσαν αυτήν την πόλιν και την κατέλαβαν.

Δ Βασ. 3,26 - καὶ εἶδεν ὁ βασιλεὺς Μωὰβ ὅτι ἐκραταίωσεν ὑπὲρ αὐτὸν ὁ πόλεμος. καὶ ἔλαβε μεθ᾿ ἑαυτοῦ ἑπτακοσίους ἄνδρας ἐσπασμένους ῥομφαίαν διακόψαι πρὸς βασιλέα Ἐδώμ, καὶ οὐκ ἠδυνήθησαν.

Δ Βασ. 3,26 - Τοτε ο βασιλεύς των Μωαβιτών, όταν είδεν ότι ο πόλεμος εστράφη καταστρεπτικός εναντίον του, επήρε μαζή του επτακοσίους άνδρας, οι οποίοι ημπορούσαν να χειρίζωνται την σπάθην, και μετέβη, δια να ανοίξη δρόμον προς τον βασιλέα των Ιδουμαίων, αλλά δεν το κατώρθωσαν.

Δ Βασ. 3,27 - καὶ ἔλαβε τὸν υἱὸν αὐτοῦ τὸν πρωτότοκον, ὃν ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ, καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτωμα ἐπὶ τοῦ τείχους· καὶ ἐγένετο μετάμελος μέγας ἐπὶ Ἰσραήλ, καὶ ἀπῆραν ἀπ᾿ αὐτοῦ καὶ ἐπέστρεψαν εἰς τὴν γῆν.

Δ Βασ. 3,27 - Επάνω δε εις την αγωνίαν και τον πόνον του επήρε τον πρωτοτόκον υιόν του, ο οποίος θα τον διεδέχετο στον θρόνον, και τον προσέφερε θυσίαν ολοκαυτώματος επάνω στο τείχος της πόλεως. Οι Ισραηλίται, όταν είδαν αυτήν την τραγικήν θυσίαν, συνεκλονίσθησαν και σαν μεταμελόμενοι ανεχώρησαν από τα μέρη εκείνα και επέστρεψαν εις την χώραν των.

Δ ΒΑΣΙΛΕΙΩΝ 4

Δ Βασ. 4,1 - Καὶ γυνὴ μία ἀπὸ τῶν υἱῶν τῶν προφητῶν ἐβόα πρὸς τὸν Ἑλισαιὲ λέγουσα· ὁ δοῦλός σου ἀνήρ μου ἀπέθανε, καὶ σὺ ἔγνως ὅτι δοῦλός σου ἦν φοβούμενος τὸν Κύριον· καὶ ὁ δανειστὴς ἦλθε λαβεῖν τοὺς δύο υἱούς μου ἑαυτῷ εἰς δούλους.

Δ Βασ. 4,1 - Η σύζυγος ενός από τους προφήτας εκραύγασε προς τον Ελισαίον λέγουσα· “ο σύζυγός μου, ο δούλός σου, απέθανε. Συ δε γνωρίζεις, ότι αυτός εσέβετο τον Θεόν. Μετά τον θάνατόν του, ήλθεν ο δανειστής μας, στον οποίον δεν εξωφλήσαμεν το χρέος μας, να πάρη ως δούλους του τα δύο παιδιά μου”.

Δ Βασ. 4,2 - καὶ εἶπεν Ἑλισαιέ· τί ποιήσω σοι; ἀνάγγειλόν μοι τί ἔστι σοι ἐν τῷ οἴκῳ. ἡ δὲ εἶπεν· οὐκ ἔστι τῇ δούλῃ σου οὐδὲν ἐν τῷ οἴκῳ, ὅτι ἀλλ᾿ ἢ ὃ ἀλείψομαι ἔλαιον.

Δ Βασ. 4,2 - Ο Ελισαίος είπε προς αυτήν· τη ημπορώ να κάμω δια σε; Πές μου, τι υπάρχει μέσα στο σπίτι σου;” Εκείνη απήντησεν· “στο σπίτι εμού

της δούλης σου δεν υπάρχει τίποτε, ειμή μόνον ελάχιστον λάδι, όσον αρκεί δια να αλείψωμεν το ψωμί μας”.

Δ Βασ. 4,3 - καὶ εἶπε πρὸς αὐτήν· δεῦρο αἴτησαι σεαυτῇ σκεύη ἔξωθεν παρὰ πάντων τῶν γειτόνων σκεύη κενά, μὴ ὀλιγώσῃς.

Δ Βασ. 4,3 - Ο Ελισαίος είπε προς αυτήν· “πήγαινε εις την γειτονιά και ζήτησε από όλους τους γείτονάς σου δοχεία αδειανά. Μη διστάσης να ζητήσης πολλά.

Δ Βασ. 4,4 - καὶ εἰσελεύσῃ καὶ ἀποκλείσεις τὴν θύραν κατὰ σοῦ καὶ κατὰ τῶν υἱῶν σου καὶ ἀποχεεῖς εἰς τὰ σκεύη ταῦτα καὶ τὸ πληρωθὲν ἀρεῖς.

Δ Βασ. 4,4 - Κατόπιν θα εισέλθης στο σπίτι σου, θα κλείσης την θύραν μέσα δε στο σπίτι σου θα είσαι συ και τα παιδιά σου. Από το λάδι, που έχεις, θα χύσης λίγο εις τα δοχεία αυτά. Τα δοχεία θα γεμίσουν λάδι, το οποίον θα θέσης κατά μέρος”.

Δ Βασ. 4,5 - καὶ ἀπῆλθε παρ᾿ αὐτοῦ, καὶ ἀπέκλεισε τὴν θύραν καθ᾿ ἑαυτῆς καὶ κατὰ τῶν υἱῶν αὐτῆς· αὐτοὶ προσήγγιζον πρὸς αὐτήν, καὶ αὐτὴ ἐπέχεεν ἕως ἐπλήσθησαν τὰ σκεύη.

Δ Βασ. 4,5 - Εφυγεν η γυναίκα, εισήλθεν στο σπίτι της, έκλεισε την θύραν και μέσα εις αυτό έμεινεν αυτή και τα παιδιά της. Τα παιδιά της έφεραν προς αυτήν το ένα μετά το άλλο τα κενά δοχεία και αυτή έχυνε λάδι, έως ότου εγέμισαν.

Δ Βασ. 4,6 - καὶ εἶπε πρὸς τοὺς υἱοὺς αὐτῆς· ἐγγίσατε ἔτι πρός με τὸ σκεῦος· καὶ εἶπον αὐτῇ· οὐκ ἔστιν ἔτι σκεῦος· καὶ ἔστη τὸ ἔλαιον.

Δ Βασ. 4,6 - Είπε δε προς τα παιδιά της· “φέρετε προς εμέ ένα ακόμη κενόν δοχείον». Εκείνα της απήντησαν· “δεν υπάρχει άλλο δοχείον κενόν”. Και τότε εσταμάτησεν η ροή του ελαίου.

Δ Βασ. 4,7 - καὶ ἦλθε καὶ ἀπήγγειλε τῷ ἀνθρώπῳ τοῦ Θεοῦ, καὶ εἶπεν Ἑλισαιέ· δεῦρο καὶ ἀπόδου τὸ ἔλαιον καὶ ἀποτίσεις τοὺς τόκους σου, καὶ σὺ καὶ οἱ υἱοί σου ζήσεσθε ἐν τῷ ἐπιλοίπῳ ἐλαίῳ.

Δ Βασ. 4,7 - Η γυνή ήλθε και ανήγγειλεν στον Ελισαίον, τον άνθρωπον του Θεού. Ο Ελισαίος της είπε· “πήγαινε, πώλησε το λάδι και με τα χρήματα, που θα εισπράξης, να πληρώσης το χρέος σου. Με το υπόλοιπον δε λάδι, που θα μείνη, θα τραφήτε εσύ και τα παιδιά σου.

Δ Βασ. 4,8 - καὶ ἐγένετο ἡμέρα καὶ διέβη Ἑλισαιὲ εἰς Σωμάν, καὶ ἐκεῖ γυνὴ μεγάλη καὶ ἐκράτησεν αὐτὸν φαγεῖν ἄρτον. καὶ ἐγένετο ἀφ᾿ ἱκανοῦ τοῦ εἰσπορεύεσθαι αὐτὸν ἐξέκλινε τοῦ ἐκεῖ φαγεῖν.

Δ Βασ. 4,8 - Καποιαν άλλην ημέραν ο Ελισαίος διέβαινεν από την πόλιν Σωμάν. Εκεί υπήρχε μία πλούσια γυναίκα, η οποία τον παρεκάλεσε με επιμονήν να καθήση να φάγη άρτον. Εκτοτε κάθε φοράν, που ο Ελισαίος εισήρχετο εις την πόλιν, μετέβαινε στον οίκον της δια να φάγη.

Δ Βασ. 4,9 - καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς· ἰδοὺ δὴ ἔγνων ὅτι ἄνθρωπος τοῦ Θεοῦ ἅγιος οὗτος διαπορεύεται ἐφ᾿ ἡμᾶς διὰ παντός.

Δ Βασ. 4,9 - Η γυνή αυτή είπεν στον σύζυγόν της· “ιδού, γνωρίζω καλά, ότι ο άνθρωπος αυτός του Θεού είναι άγιος και πάντοτε διέρχεται από το σπίτι μας.

Δ Βασ. 4,10 - ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον τόπον μικρὸν καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην καὶ τράπεζαν καὶ δίφρον καὶ λυχνίαν. καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι πρὸς ἡμᾶς καὶ ἐκκλινεῖ ἐκεῖ.

Δ Βασ. 4,10 - Ας κτίσωμεν λοιπόν δι' αυτόν ένα μικρόν δωμάτιον στο υπερώον. Ας θέσωμεν εκεί μίαν κλίνην, μίαν τράπεζαν και ένα κάθισμα και μίαν λυχνίαν. Ετσι δε κάθε φοράν, που αυτός θα έρχεται προς ημάς, θα μένη στο δωμάτιον εκείνο”.

Δ Βασ. 4,11 - καὶ ἐγένετο ἡμέρα καὶ εἰσῆλθεν ἐκεῖ καὶ ἐξέκλινεν εἰς τὸ ὑπερῷον καὶ ἐκοιμήθη ἐκεῖ.

Δ Βασ. 4,11 - Καποιαν κατόπιν ημέραν ο Ελισαίος εισήλθεν εις την πόλιν και επήγεν εις τα υπερώον εκείνο, όπου και εκοιμήθη.

Δ Βασ. 4,12 - καὶ εἶπε πρὸς Γιεζὶ τὸ παιδάριον αὐτοῦ· κάλεσόν μοι τὴν Σωμανῖτιν ταύτην· καὶ ἐκάλεσεν αὐτήν, καὶ ἔστη ἐνώπιον αὐτοῦ.

Δ Βασ. 4,12 - Είπε δε προς τον Γιεζί, τον υπηρετήν του· “κάλεσε αυτήν την Σωμανίτιν γυναίκα να έλθη προς εμέ”. Ο υπηρέτης του Ελισαίου την εκάλεσε και εκείνη παρουσιάσθη ενώπιον αυτού.

Δ Βασ. 4,13 - καὶ εἶπεν αὐτῷ· εἰπὸν δὴ πρὸς αὐτήν· ἰδοὺ ἐξέστησας ἡμῖν πᾶσαν τὴν ἔκστασιν ταύτην· τί δεῖ ποιῆσαί σοι; εἰ ἔστι λόγος σοι πρὸς τὸν βασιλέα ἢ πρὸς τὸν ἄρχοντα τῆς δυνάμεως; ἡ δὲ εἶπεν· ἐν μέσῳ τοῦ λαοῦ ἐγώ εἰμι οἰκῶ.

Δ Βασ. 4,13 - Ο Ελισαίος ειπέ προς τον Γιεζί· “πες προς την γυναίκα αυτήν, ότι μας κατέπληξε και μας καθυπεχρέωσε με την φιλοξενίαν της. Τι πρέπει, λοιπόν, να κάμωμεν εις σέ; Μηπως υπάρχει κάποιο ζήτημά σου εκκρεμές, δια να ομιλήσωμεν προς τον βασιλέα η προς τον αρχηγόν του στρατού;» Εκείνη απήντησεν· “εγώ κατοικώ εν μέσω των ανθρώπων μου και δεν έχω καμμίαν τέτοιαν ανάγκην”.

Δ Βασ. 4,14 - καὶ εἶπε πρὸς Γιεζί· τί δεῖ ποιῆσαι αὐτῇ; καὶ εἶπε Γιεζὶ τὸ παιδάριον αὐτοῦ· καὶ μάλα υἱὸς οὐκ ἔστιν αὐτῇ, καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης.

Δ Βασ. 4,14 - Ο ' Ελισαίος είπε προς τον Γιεζί· “τι λοιπόν πρέπει να κάνωμεν δι' αυτήν;” Ο Γιεζί ο υπηρέτης του Ελισαίου είπε· “γεγονός είναι ότι αυτή η γυνή δεν έχει παιδί και ο σύζυγός της είναι γέρων”.

Δ Βασ. 4,15 - καὶ ἐκάλεσεν αὐτήν, καὶ ἔστη παρὰ τὴν θύραν.

Δ Βασ. 4,15 - Ο Ελισαίος την εκάλεσε και εκείνη εστάθη ορθία κοντά εις την θύραν.

Δ Βασ. 4,16 - καὶ εἶπεν Ἑλισαιὲ πρὸς αὐτήν· εἰς τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα, ζῶσα σὺ περιειληφυῖα υἱόν. ἡ δὲ εἶπε· μὴ Κύριε, μὴ διαψεύσῃ τὴν δούλην σου.

Δ Βασ. 4,16 - Είπε τότε προς αυτήν ο Ελισαίος· "κατά το επόμενον έτος, την εποχήν αυτήν, συ θα ζης βέβαια, αλλά και θα κρατής παιδί εις την αγκαλιά σου". Εκείνη όμως απήντησε· "σε παρακαλώ, κύριε, μη διαψεύσης αυτήν την υπόσχεσιν, που έδωσες προς εμέ, την δούλην σου".

Δ Βασ. 4,17 - καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνὴ καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα, ζῶσα, ὡς ἐλάλησε πρὸς αὐτὴν Ἑλισαιέ.

Δ Βασ. 4,17 - Πράγματι η γυναίκα αυτή συνέλαβε και εγέννησε παιδί κατά το επόμενον έτος και κατά την εποχήν εκείνην, ευρίσκετο αυτή, φυσικά, εν τη ζωή, όπως είχε προαναγγείλει εις αυτήν ο Ελισαίος.

Δ Βασ. 4,18 - καὶ ἡδρύνθη τὸ παιδάριον· καὶ ἐγένετο ἡνίκα ἐξῆλθε πρὸς τὸν πατέρα αὐτοῦ πρὸς τοὺς θερίζοντας,

Δ Βασ. 4,18 - Το παιδί εμεγάλωσε και κάποτε εβγήκεν στον αγρόν, όπου ευρίσκετο ο πατέρας του και οι θερισταί.

Δ Βασ. 4,19 - καὶ εἶπε πρὸς τὸν πατέρα αὐτοῦ· τὴν κεφαλήν μου, τὴν κεφαλήν μου· καὶ εἶπε τῷ παιδαρίῳ· ἆρον αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ.

Δ Βασ. 4,19 - Αίφνης είπε προς τον πατέρα του· "το κεφάλι μου, το κεφάλι μου" ! Ο δε πατέρας είπεν στον υπηρέτην· "πάρε το παιδί και φέρε το προς την μητέρα του".

Δ Βασ. 4,20 - καὶ ᾖρεν αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ, καὶ ἐκοιμήθη ἐπὶ τῶν γονάτων αὐτῆς ἕως μεσημβρίας καὶ ἀπέθανε.

Δ Βασ. 4,20 - Ο υπηρέτης επήρε το παιδί και το έφερεν εις την μητέρα του. Αυτό εκοιμήθη εις τα γόνατα της μητρός του έως το μεσημέρι, οπότε απέθανε.

Δ Βασ. 4,21 - καὶ ἀνήνεγκεν αὐτὸν καὶ ἐκοίμισεν αὐτὸν ἐπὶ τὴν κλίνην τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ ἀπέκλεισε κατ᾽ αὐτοῦ καὶ ἐξῆλθε.

Δ Βασ. 4,21 - Η μητέρα του το ανέβασεν στο υπερώον και το εκοίμισεν στο κρεββάτι του προφήτου Ελισαίου. Εκλεισε δε πίσω από αυτό την πόρτα και εξήλθεν.

Δ Βασ. 4,22 - καὶ ἐκάλεσε τὸν ἄνδρα αὐτῆς καὶ εἶπεν· ἀπόστειλον δή μοι ἓν τῶν παιδαρίων καὶ μίαν τῶν ὄνων, καὶ δραμοῦμαι ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ ἐπιστρέψω.

Δ Βασ. 4,22 - Η γυναίκα έστειλε και παρεκάλεσε τον άνδρα της λέγουσα· "στείλε μου σε παρακαλώ ένα από τους δούλους σου και μίαν από τας όνους, διότι εγώ θα σπεύσω έως εκεί, που είναι ο άνθρωπος του Θεού, ο Ελισαίος και θα επιστρέψω".

Δ Βασ. 4,23 - καὶ εἶπε· τί ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν σήμερον; οὐ νεομηνία οὐδὲ σάββατον. ἡ δὲ εἶπεν· εἰρήνη.

Δ Βασ. 4,23 - Εκείνος την ηρώτησε· “διατί συ σήμερον πηγαίνεις προς αυτόν; Δεν είναι ούτε πρώτη του μηνός ούτε εορτή του Σαββάτου”. Εκείνη του είπε· “μη ανησυχής, ειρήνευε”.

Δ Βασ. 4,24 - καὶ ἐπέσαξε τὴν ὄνον καὶ εἶπε πρὸς τὸ παιδάριον αὐτῆς· ἄγε πορεύου, μὴ ἐπίσχῃς μοι τοῦ ἐπιβῆναι, ὅτι ἐὰν εἴπω σοι· δεῦρο καὶ πορεύσῃ καὶ ἐλεύσῃ πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ εἰς ὄρος τὸ Καρμήλιον.

Δ Βασ. 4,24 - Εσαμάρωσεν η ίδια την όνον και είπε προς τον δούλον της· “εμπρός, πήγαινε, και μη σταματήσης την πορείαν, έως ότου εγώ σου πω. Εμπρός προχώρει. Θα μεταβώμεν προς τον άνθρωπον του Θεού, τον Ελισαίον, στο Καρμήλιον όρος”.

Δ Βασ. 4,25 - καὶ ἐπορεύθη καὶ ἦλθεν ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ εἰς τὸ ὄρος. καὶ ἐγένετο ὡς εἶδεν Ἑλισαιὲ ἐρχομένην αὐτήν, καὶ εἶπε πρὸς Γιεζὶ τὸ παιδάριον αὐτοῦ· ἰδοὺ δὴ ἡ Σωμανῖτις ἐκείνη·

Δ Βασ. 4,25 - Επορεύθη η γυναίκα αυτή με τον υπηρέτην της έως το Καρμήλιον όρος, όπου ευρίσκετο ο άνθρωπος του Θεού. Οταν ο Ελισαίος την είδε να έρχεται είπε προς τον υπηρέτην του τον Γεζί· “ιδού, λοιπόν, η Σωμανίτις εκείνη γυνή.

Δ Βασ. 4,26 - νῦν δράμε εἰς ἀπαντὴν αὐτῆς καὶ ἐρεῖς· εἰ εἰρήνη σοι; εἰ εἰρήνη τῷ ἀνδρί σου; εἰ εἰρήνη τῷ παιδαρίῳ; ἡ δὲ εἶπεν· εἰρήνη.

Δ Βασ. 4,26 - Τρέξε τώρα εις προαπάντησίν της και θα της πης· Είσαι συ καλά; Είναι υγιής ο άνδρας σου; Είναι καλά το παιδί σου;” Εκείνη απήντησεν· “όλοι είμεθα καλά”.

Δ Βασ. 4,27 - καὶ ἦλθε πρὸς Ἑλισαιὲ εἰς τὸ ὄρος καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ. καὶ ἤγγισε Γιεζὶ ἀπώσασθαι αὐτήν, καὶ εἶπεν Ἑλισαιέ· ἄφες αὐτήν, ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ, καὶ Κύριος ἀπέκρυψεν ἀπ᾿ ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι.

Δ Βασ. 4,27 - Ηλθε προς τον Ελισαίον στο όρος, έπεσεν στο έδαφος και έπιασε τα πόδια του προφήτου. Ο Γιεζί επλησίασε, δια να την απωθήση. Ο Ελισαίος όμως είπε προς αυτόν· “άφησέ την, διότι η καρδιά της είναι καταπικραμμένη και θλιμμένη, ο δε Κυριος απέκρυψεν από εμέ και δεν μου είπε την αιτίαν του πόνου της”.

Δ Βασ. 4,28 - ἡ δὲ εἶπε· μὴ ᾐτησάμην υἱὸν παρὰ τοῦ Κυρίου μου; ὅτι οὐκ εἶπα· οὐ πλανήσεις μετ᾿ ἐμοῦ;

Δ Βασ. 4,28 - Εκείνη του είπε· “μήπως εγώ εζήτησα από τον κύριόν μου παιδί; Δεν είπα προς σε ότι δεν πρέπει να διαψεύσης την ελπίδα, που μου έδωσες;”

Δ Βασ. 4,29 - καὶ εἶπεν Ἑλισαιὲ τῷ Γιεζί· ζῶσαι τὴν ὀσφύν σου καὶ λαβὲ τὴν βακτηρίαν μου ἐν τῇ χειρί σου καὶ δεῦρο· ὅτι ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτόν, καὶ ἐὰν εὐλογήσῃ σε ἀνήρ, οὐκ ἀποκριθήσῃ αὐτῷ· καὶ ἐπιθήσεις τὴν βακτηρίαν μου ἐπὶ πρόσωπον τοῦ παιδαρίου.

Δ Βασ. 4,29 - Είπε τότε ο Ελισαίος προς τον Γιεζί· “ζώσε την μέσην σου με την ζώνην, πάρε την βακτηρίαν του στο χέρι σου και πήγαινε στο σπίτι της γυναικός αυτής. Εάν δέ, τυχόν, και συναντήσης άνθρωπον στον δρόμον, δεν θα τον χαιρετήσης και αν εκείνος σε χαιρετήση, δεν θα του αποκριθής. Ταχέως θα φθάσης στο σπίτι και θα θέσης την βακτηρίαν μου στο πρόσωπον του παιδιού”.

Δ Βασ. 4,30 - καὶ εἶπεν ἡ μήτηρ τοῦ παιδαρίου· ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἀνέστη Ἑλισαιὲ καὶ ἐπορεύθη ὀπίσω αὐτῆς.

Δ Βασ. 4,30 - Η μητέρα του παιδιού είπε προς τον Ελισαίον· “ορκίζομαι στον ζώντα Θεόν και εις την ιδικήν σου ζωήν, ότι δεν θα σε εγκαταλείψω”. Εσηκώθη ο Ελισαίος και ηκολούθησεν αυτήν έως στο σπίτι.

Δ Βασ. 4,31 - καὶ Γιεζὶ διῆλθεν ἔμπροσθεν αὐτῆς καὶ ἐπέθηκε τὴν βακτηρίαν ἐπὶ πρόσωπον τοῦ παιδαρίου, καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις· καὶ ἐπέστρεψεν εἰς ἀπαντὴν αὐτοῦ καὶ ἀπήγγειλεν αὐτῷ λέγων· οὐκ ἠγέρθη τὸ παιδάριον.

Δ Βασ. 4,31 - Ο Γιεζί όμως εβάδισεν ενωρίτερον από αυτούς και έθεσε την βακτηρίαν στο πρόσωπον του παιδιού. Αλλά καμμία φωνή και καμμία ακρόασις δεν υπήρξεν εκ μέρους του παιδιού. Επέστρεψεν ο Γιεζί εις απάντησιν του Ελισαίου και ανήγγειλεν εις αυτόν, ότι το παιδί δεν εσηκώθη από την κλίνην.

Δ Βασ. 4,32 - καὶ εἰσῆλθεν Ἑλισαιὲ εἰς τὸν οἶκον καὶ ἰδοὺ τὸ παιδάριον τεθνηκὸς κεκοιμισμένον ἐπὶ τὴν κλίνην αὐτοῦ.

Δ Βασ. 4,32 - Ο Ελισαίος εισήλθεν στο σπίτι και ιδού βλέπει το παιδί νεκρόν εξηπλωμένον επάνω στο κρεββάτι του.

Δ Βασ. 4,33 - καὶ εἰσῆλθεν Ἑλισαιὲ εἰς τὸν οἶκον καὶ ἀπέκλεισε τὴν θύραν κατὰ τῶν δύο ἑαυτῶν καὶ προσηύξατο πρὸς Κύριον·

Δ Βασ. 4,33 - Εισήλθεν στο δωμάτιον του υπερώου, έκλεισε την θύραν του δωματίου, έμεινεν αυτός με το νεκρό παιδί και προσηυχήθη προς τον Κυριον.

Δ Βασ. 4,34 - καὶ ἀνέβη καὶ ἐκοιμήθη ἐπὶ τὸ παιδάριον καὶ ἔθηκε τὸ στόμα αὐτοῦ ἐπὶ τὸ στόμα αὐτοῦ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας αὐτοῦ καὶ διέκαμψεν ἐπ᾽ αὐτόν, καὶ διεθερμάνθη ἡ σάρξ τοῦ παιδαρίου.

Δ Βασ. 4,34 - Ανέβηκε κατόπιν εις την κλίνην, εξηπλώθη επάνω στο παιδίον, έθεσε το στόμα του στο στόμα του παιδιού και τα μάτια του εις τα μάτια εκείνου και τα χέρια του εις τα χέρια εκείνου, εξηπλώθη επάνω εις αυτό και έτσι το σώμα του παιδιού εθερμάνθη.

Δ Βασ. 4,35 - καὶ ἐπέστρεψε καὶ ἐπορεύθη ἐν τῇ οἰκίᾳ ἔνθεν καὶ ἔνθεν καὶ ἀνέβη καὶ συνέκαμψεν ἐπὶ τὸ παιδάριον ἕως ἑπτάκις, καὶ ἤνοιξε τὸ παιδάριον τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Δ Βασ. 4,35 - Ο Ελισαίος απεσύρθη, επήγεν από εδώ και από εκεί μέσα στο σπίτι, ανέβηκε πάλιν εις την κλίνην και εξηπλώθη επάνω στο παιδί, όπως και προηγουμένως. Αυτό επανεληφθη επτά φορές. Το δε παιδί ήνοιξε τότε τα μάτια του.

Δ Βασ. 4,36 - καὶ ἐξεβόησε Ἑλισαιὲ πρὸς Γιεζὶ καὶ εἶπε· κάλεσον τὴν Σωμανῖτιν ταύτην· καὶ ἐκάλεσε, καὶ εἰσῆλθε πρὸς αὐτόν. καὶ εἶπεν Ἑλισαιέ· λάβε τὸν υἱόν σου.

Δ Βασ. 4,36 - Ο Ελισαίος εφώναξε τον Γιεζί και είπε· “κάλεσε την Σωμανίτιν αυτήν”. Την εκάλεσε και εκείνη εισήλθεν στο υπερώον, όπου ήτο αυτός. Ο Ελισαίος της είπε· “πάρε το παιδί σου”.

Δ Βασ. 4,37 - καὶ εἰσῆλθεν ἡ γυνὴ καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν καὶ ἔλαβε τὸν υἱὸν αὐτῆς καὶ ἐξῆλθε.

Δ Βασ. 4,37 - Η γυναίκα επλησίασεν, έπεσεν στους πόδας του Ελισαίου και προσεκύνησε μέχρις εδάφους και κατόπιν επήρε ζωντανό το παιδί της και εβγήκεν από το δωμάτιον.

Δ Βασ. 4,38 - καὶ Ἑλισαιὲ ἐπέστρεψεν εἰς Γάλγαλα, καὶ ὁ λιμὸς ἐν τῇ γῇ, καὶ υἱοὶ τῶν προφητῶν ἐκάθηντο ἐνώπιον αὐτοῦ. καὶ εἶπεν Ἑλισαιὲ τῷ παιδαρίῳ αὐτοῦ· ἐπίστησεν τὸν λέβητα τὸν μέγαν καὶ ἕψε ἕψεμα τοῖς υἱοῖς τῶν προφητῶν.

Δ Βασ. 4,38 - Επειτα από το γεγονός αυτό ο Ελισαίος επέστρεψεν εις τα Γαλγαλα. Τοτε είχε πέσει μεγάλος λιμός εις εκείνην την χώραν, οι δε προφήται εκάθηντο νηστικοί πλησίον του Ελισαίου. Ο Ελισαίος είπε τότε στον υπηρέτην του τον Γιεζί· “βάλε τον μεγάλον λέβητα και βράσε φαγητόν δια τους προφήτας”.

Δ Βασ. 4,39 - καὶ ἐξῆλθεν εἰς τὸν ἀγρὸν συλλέξαι ἀριὼθ καὶ εὗρεν ἄμπελον ἐν τῷ ἀγρῷ καὶ συνέλεξεν ἀπ᾿ αὐτῆς τολύπην ἀγρίαν πλῆρες τὸ ἱμάτιον αὐτοῦ καὶ ἐνέβαλεν εἰς τὸν λέβητα τοῦ ἑψέματος, ὅτι οὐκ ἔγνωσαν.

Δ Βασ. 4,39 - Ενας δε από αυτούς εβγήκεν εις τα χωράφια, δια να μαζέψη χόρτα. Εις μίαν δε περιοχήν ευρήκεν άμπελον, από το έδαφος της οποίας εμάζεψεν άγρια κολοκύθια και εγέμισε το ιμάτιόν του. Εβαλε δε αυτά μέσα στον λέβητα, δια να βράσουν. Δεν εγνώριζεν όμως ότι αυτά είναι δηλητηριώδη.

Δ Βασ. 4,40 - καὶ ἐνέχει τοῖς ἀνδράσι φαγεῖν, καὶ ἐγένετο ἐν τῷ ἐσθίειν αὐτοὺς ἐκ τοῦ ἑψέματος καὶ ἰδοὺ ἀνεβόησαν καὶ εἶπαν· θάνατος ἐν τῷ λέβητι, ἄνθρωπε τοῦ Θεοῦ· καὶ οὐκ ἠδύναντο φαγεῖν.

Δ Βασ. 4,40 - Επειτα έδωσεν στους άνδρας να φάγουν. Ενώ δε εκείνοι έτρωγαν από το βραστόν αυτό φαγητόν, αίφνης εφώναξαν και είπαν· “άνθρωπε του Θεού, θάνατος υπάρχει στον λέβητα”. Και δεν ημπορούσαν ούτε και ήθελαν πλέον να φάγουν.

Δ Βασ. 4,41 - καὶ εἶπε· λάβετε ἄλευρον καὶ ἐμβάλετε εἰς τὸν λέβητα· καὶ εἶπεν Ἑλισαιὲ πρὸς Γιεζὶ τὸ παιδάριον· ἔγχει τῷ λαῷ καὶ ἐσθιέτωσαν· καὶ οὐκ ἐγενήθη ἐκεῖ ἔτι ῥῆμα πονηρὸν ἐν τῷ λέβητι.

Δ Βασ. 4,41 - Είπε τότε ο Ελισαίος· “πάρτε αλεύρι και ρίξτε στον λέβητα”. Εις δε τον δούλον του τον Γιεζί είπε· “κένωσε τώρα στον λαόν από αυτό και ας φάγουν”. Εκείνοι έφαγον. Δεν υπήρξε δε τίποτε το επιβλαβές στο φαγητόν αυτό του λέβητος.

Δ Βασ. 4,42 - καὶ ἀνὴρ διῆλθεν ἐκ Βαιθσαρισὰ καὶ ἤνεγκε πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ πρωτογεννημάτων εἴκοσιν ἄρτους κριθίνους καὶ παλάθας, καὶ εἶπε· δότε τῷ λαῷ καὶ ἐσθιέτωσαν.

Δ Βασ. 4,42 - Καποιος άνθρωπος ήλθεν από την Βαιθσαρισά και έφερεν στον άνθρωπον του Θεού είκοσι κρίθινα ψωμιά από τα πρωτογεννήματα των αγρών του, όπως επίσης και μερικές αρμάθες σύκα και είπε· “δώστε αυτά στον λαόν να φάγουν”.

Δ Βασ. 4,43 - καὶ εἶπεν ὁ λειτουργὸς αὐτοῦ· τί δῶ τοῦτο ἐνώπιον ἑκατὸν ἀνδρῶν; καὶ εἶπε· δὸς τῷ λαῷ καὶ ἐσθιέτωσαν, ὅτι τάδε λέγει Κύριος· φάγονται καὶ καταλείψουσι.

Δ Βασ. 4,43 - Ο υπηρέτης του απήντησε· “τι να πρωτοδώσω από αυτά εις εκατόν ανθρώπους;” Ο Ελισαίος είπε· “δώσε στον λαόν και ας φάγουν από αυτά, διότι αυτό λέγει ο Κυριος· Θα φάγουν, θα χορτάσουν και θα περισσεύσουν”.

Δ Βασ. 4,44 - καὶ ἔφαγον καὶ κατέλιπον κατὰ τὸ ῥῆμα Κυρίου.

Δ Βασ. 4,44 - Πράγματι έφαγαν, εχόρτασαν και επερίσσευσαν, όπως είχεν είπει ο Κυριος.

Δ ΒΑΣΙΛΕΙΩΝ 5

Δ Βασ. 5,1 - Καὶ Ναιμὰν ὁ ἄρχων τῆς δυνάμεως Συρίας ἦν ἀνὴρ μέγας ἐνώπιον τοῦ κυρίου αὐτοῦ καὶ τεθαυμασμένος προσώπῳ, ὅτι ἐν αὐτῷ ἔδωκε Κύριος σωτηρίαν Συρίᾳ· καὶ ὁ ἀνὴρ ἦν δυνατὸς ἰσχύϊ, λελεπρωμένος.

Δ Βασ. 5,1 - Ο Ναιμάν, αρχιστράτηγος του στρατού της Συρίας, ήτο άνθρωπος μέγας και επίσημος ενώπιον του βασιλέως του, αξιοθαύμαστος απέναντι αυτού, διότι δια μέσου αυτού ο Κυριος έσωσε την Συρίαν από τους εχθρούς της. Ητο γενναίος άνθρωπος, αλλά κατείχετο από λέπραν.

Δ Βασ. 5,2 - καὶ Συρία ἐξῆλθον μονόζωνοι καὶ ᾐχμαλώτευσαν ἐκ γῆς Ἰσραὴλ νεάνιδα μικράν, καὶ ἦν ἐνώπιον τῆς γυναικὸς Ναιμάν.

Δ Βασ. 5,2 - Τοτε ομάδες Συρων εισήλθαν από την Συρίαν εις την χώραν της Παλαιστίνης προς λεηλασίαν και μεταξύ των άλλων επήραν ως

αιχμάλωτον και μίαν μικράν νεάνιδα, η οποία έγινε δούλη της συζύγου του Ναιμάν.

Δ Βασ. 5,3 - ἡ δὲ εἶπε τῇ κυρίᾳ αὐτῆς· ὄφελον ὁ κύριός μου ἐνώπιον τοῦ προφήτου τοῦ Θεοῦ τοῦ ἐν Σαμαρείᾳ, τότε ἀποσυνάξει αὐτὸν ἀπὸ τῆς λέπρας αὐτοῦ.

Δ Βασ. 5,3 - Η νεάνις είπε προς την κυρίαν της· "μάκαρι ο κύριός μου να παρουσιάζετο ενώπιον του προφήτου του Θεού, του Ελισαίου, ο οποίος ευρίσκεται εις την Σαμάρειαν. Εκείνος θα εθεράπευεν αυτόν από την λέπραν του".

Δ Βασ. 5,4 - καὶ εἰσῆλθε καὶ ἀπήγγειλε τῷ κυρίῳ ἑαυτῆς καὶ εἶπεν· οὕτως καὶ οὕτως ἐλάλησεν ἡ νεᾶνις ἡ ἐκ γῆς Ἰσραήλ.

Δ Βασ. 5,4 - Η σύζυγος του Ναιμάν εισήλθε και ανήγγειλεν στον κύριόν της και του είπεν· "αυτά και αυτά μου είπεν η νεάνις, που κατάγεται από την χώραν των Ισραηλιτών".

Δ Βασ. 5,5 - καὶ εἶπε βασιλεὺς Συρίας πρὸς Ναιμάν· δεῦρο εἴσελθε, καὶ ἐξαποστελῶ βιβλίον πρὸς βασιλέα Ἰσραήλ· καὶ ἐπορεύθη καὶ ἔλαβεν ἐν τῇ χειρὶ αὐτοῦ δέκα τάλαντα ἀργυρίου καὶ ἑξακισχιλίους χρυσοῦς καὶ δέκα ἀλλασσομένας στολάς.

Δ Βασ. 5,5 - Ο Ναιμάν ανέφερε τούτο στον βασιλέα της Συρίας και ο βασιλεύς της Συρίας είπε προς τον Ναιμάν· "εμπρός, πήγαινε· και εγώ θα στείλω με σένα επιστολήν σχετικήν, προς τον βασιλέα των Ισραηλιτών. Ο Ναιμάν επήρε μαζή του δέκα τάλαντα αργυρίου και εξ χιλιάδες χρυσούς σίκλους και δέκα καινουργείς στολάς,

Δ Βασ. 5,6 - καὶ ἤνεγκε τὸ βιβλίον πρὸς τὸν βασιλέα Ἰσραὴλ λέγων· καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρὸς σέ, ἰδοὺ ἀπέστειλα πρός σε Ναιμὰν τὸν δοῦλόν μου, καὶ ἀποσυνάξεις αὐτὸν ἀπὸ τῆς λέπρας αὐτοῦ.

Δ Βασ. 5,6 - επορεύθη προς τον βασιλέα του Ισραηλιτικού λαού και έδωσε προς αυτόν την επιστολήν του βασιλέως του, δια της οποίας εκείνος έλεγε· "μαζή με την επιστολήν αυτήν, που ήλθεν εις τα χέρια σου, ιδού εγώ αποστέλλω και τον δούλον μου τον Ναιμάν και να φροντίσης, ώστε να θεραπεύσης αυτόν από την λέπραν του".

Δ Βασ. 5,7 - καὶ ἐγένετο ὡς ἀνέγνω βασιλεὺς Ἰσραὴλ τὸ βιβλίον, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ εἶπεν· ὁ Θεὸς ἐγὼ τοῦ θανατῶσαι καὶ ζωοποιῆσαι, ὅτι οὗτος ἀποστέλλει πρός με ἀποσυνάξαι ἄνδρα ἀπὸ τῆς λέπρας αὐτοῦ; ὅτι πλὴν γνῶτε δὴ καὶ ἴδετε ὅτι προφασίζεται οὗτός μοι.

Δ Βασ. 5,7 - Αμέσως μόλις εδιάβασεν αυτό το γράμμα ο βασιλεύς του ισραηλιτικού λαού έσχισε τα ενδύματά του και είπε· "είμαι εγώ θεός, ώστε να έχω την δύναμιν να θανατώσω και να ζωοποιήσω; Διατί ο βασιλεύς της Συρίας μου στέλνει τον άνθρωπόν του, δια να τον θεραπεύσω από την λέπραν του; Μαθετε, σας παρακαλώ, και ίδετε, ότι αυτός ζητεί πρόφασιν πολέμου".

Δ Βασ. 5,8 - καὶ ἐγένετο ὡς ἤκουσεν Ἑλισαιὲ ὅτι διέῤῥηξεν ὁ βασιλεὺς Ἰσραὴλ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπέστειλε πρὸς τὸν βασιλέα Ἰσραὴλ λέγων· ἱνατὶ διέῤῥηξας τὰ ἱμάτιά σου; ἐλθέτω δὴ πρός με Ναιμὰν καὶ γνώτω ὅτι ἐστὶ προφήτης ἐν Ἰσραήλ.

Δ Βασ. 5,8 - Οταν ο Ελισαίος επληροφορήθη, ότι ο βασιλεύς του ισραηλιτικού λαού έσχισεν από την λύπην του τα ενδύματά του, έστειλε προς αυτόν άνθρωπόν του και του είπε· “διατί έσχισες τα ενδύματά σου; Ας έλθη, λοιπόν, προς εμέ ο Ναιμάν και κάθε άνθρωπος ας μάθη, ότι υπάρχει προφήτης μεταξύ του ισραηλιτικού λαού”.

Δ Βασ. 5,9 - καὶ ἦλθε Ναιμὰν ἐν ἵππῳ καὶ ἅρματι καὶ ἔστη ἐπὶ θύρας οἴκου Ἑλισαιέ.

Δ Βασ. 5,9 - Ο Ναιμάν ήλθε με ιππικόν και πολεμικά άρματα και εσταμάτησεν εμπρός εις την θύραν του σπιτιού του Ελισαίου.

Δ Βασ. 5,10 - καὶ ἀπέστειλεν Ἑλισαιὲ ἄγγελον πρὸς αὐτὸν λέγων· πορευθεὶς λοῦσαι ἑπτάκις ἐν τῷ Ἰορδάνῃ, καὶ ἐπιστρέψει ἡ σάρξ σού σοι, καὶ καθαρισθήσῃ.

Δ Βασ. 5,10 - Ο Ελισαίος έστειλεν αγγελιαφόρον προς αυτόν και του είπε· “πήγαινε να λουσθής επτά φορές στον Ιορδάνην και θα θεραπευθής από την λέπραν σου και θα επανέλθη εντελώς υγιής η σαρξ σου”.

Δ Βασ. 511 - καὶ ἐθυμώθη Ναιμὰν καὶ ἀπῆλθε καὶ εἶπεν· ἰδοὺ εἶπον ὅτι πρός με πάντως ἐξελεύσεται καὶ στήσεται καὶ ἐπικαλέσεται ἐν ὀνόματι Θεοῦ αὐτοῦ καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν τόπον καὶ ἀποσυνάξει τὸ λεπρόν·

Δ Βασ. 5,11 - Ο Ναιμάν ωργίσθη, έφυγε και είπε· “ιδού εγώ ενόμισα και είπα ότι αυτός θα εξέλθη οπωσδήποτε εις συνάντησίν μου, θα σταθή και θα επικαλεσθή ενώπιόν μου το όνομα του Θεού του, θα θέση το χέρι αυτού στο ασθενές μου σωμα, θα περιμαζεύση έτσι και θα θεραπεύση την λέπραν μου.

Δ Βασ. 5,12 - οὐχὶ ἀγαθὸς Ἀβανὰ καὶ Φαρφὰρ ποταμοὶ Δαμασκοῦ ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραήλ; οὐχὶ πορευθεὶς λούσομαι ἐν αὐτοῖς καὶ καθαρισθήσομαι; καὶ ἐξέκλινε καὶ ἀπῆλθεν ἐν θυμῷ.

Δ Βασ. 5,12 - Δεν είναι καλύτεροι οι ποταμοί της Δαμασκού, ο Αβανά και ο Φαρφάρ, περισσότερον από όλα τα νερά του ισραηλιτικού βασιλείου; Διατί, λοιπόν, να μη υπάγω και να λουσθώ εις τα ύδατα των ποταμών αυτών;” Και γεμάτος θυμόν ήλλαξε δρόμον και ανεχώρησε.

Δ Βασ. 5,13 - καὶ ἤγγισαν οἱ παῖδες αὐτοῦ καὶ ἐλάλησαν πρὸς αὐτόν· μέγα λόγον ἐλάλησεν ὁ προφήτης πρὸς σέ· οὐχὶ ποιήσεις; καὶ ὅτι εἶπε πρὸς σέ, λοῦσαι καὶ καθαρίσθητι.

Δ Βασ. 5,13 - Τον επλησίασαν όμως οι δούλοι του και του είπαν· “μήπως σου είπε κανένα δύσκολον έργον ο προφήτης, ώστε να μη ημπορής να το κάμης; Σου είπεν απλώς να λουσθής και θα καθαρισθής”.

Δ Βασ. 5,14 - καὶ κατέβη Ναιμὰν καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις κατὰ τὸ ῥῆμα Ἑλισαιέ, καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ ὡς σάρξ παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.

Δ Βασ. 5,14 - Ο Ναιμάν υπεχώρησε, κατέβηκεν στον Ιορδάνην ποταμόν, ελούσθη εις τα ύδατα αυτού επτά φορές, όπως του είχεν είπει ο Ελισαίος, και τότε εκαθαρίσθη η σαρξ του αποκατεστάθη υγιής και έγινεν, όπως η σαρξ του μικρού παιδιού.

Δ Βασ. 5,15 - καὶ ἐπέστρεψε πρὸς Ἑλισαιὲ αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἦλθε καὶ ἔστη ἐνώπιον αὐτοῦ καὶ εἶπεν· ἰδοὺ δὴ ἔγνωκα ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ὅτι ἀλλ᾿ ἢ ἐν τῷ Ἰσραήλ· καὶ νῦν λαβὲ τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου.

Δ Βασ. 5,15 - Εγύρισε τότε προς τον Ελισαίον αυτός και όλη η συνοδεία του. Ηλθεν, εστάθη όρθιος ενώπιον αυτού και του είπε· “ιδού, εγνώριαα και επείσθην ότι εις όλην την γην δεν υπάρχει άλλος Θεός, ει μη μόνον αυτός, ο οποίος υπάρχει στον ισραηλιτικόν λαόν. Και τώρα λάβε τα δώρα αυτά από εμέ τον δούλον σου”.

Δ Βασ. 5,16 - καὶ εἶπεν Ἑλισαιέ· ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι· καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπείθησε.

Δ Βασ. 5,16 - Ο Ελισαίος απήντησεν· “ορκίζομαι στον ζώντα Κυριον, ενώπιον του οποίου παρέστην και παρίσταμαι, ότι δεν θα λάβω κανένα δώρον”. Ο Ναιμάν επέμενε να λάβη δώρα, εκείνος όμως έμεινεν αμετάπειστος.

Δ Βασ. 5,17 - καὶ εἶπε Ναιμάν· καὶ εἰ μή, δοθήτω δὴ τῷ δούλῳ σου γόμος ζεῦγος ἡμιόνων, ὅτι οὐ ποιήσει ἔτι ὁ δοῦλός σου ὁλοκαύτωμα καὶ θυσίασμα θεοῖς ἑτέροις, ἀλλ᾿ ἢ τῷ Κυρίῳ μόνῳ·

Δ Βασ. 5,17 - Είπε τότε ο Ναιμάν· “αφού συ δεν θέλστο δώρον μου, ας δοθούν παρακαλώ εις εμέ τον δούλον σου φορτώματα χώματος δύο ημιόνων, διότι και εγώ ο δούλος σου δεν θα προσφέρω πλέον ολοκαυτώματα η θυσίας εις άλλους θεούς, ει μη μόνον στον Κυριον, τον μόνον αληθινόν Θεόν.

Δ Βασ. 5,18 - καὶ ἱλάσεται Κύριος τῷ δούλῳ σου ἐν τῷ εἰσπορεύεσθαι τὸν κύριόν μου εἰς οἶκον Ῥεμμὰν προσκυνῆσαι ἐκεῖ καὶ αὐτὸς ἐπαναπαύσεται ἐπὶ τῆς χειρός μου καὶ προσκυνήσω ἐν οἴκῳ Ῥεμμὰν ἐν τῷ προσκυνεῖν αὐτὸν ἐν οἴκῳ Ῥεμμάν, καὶ ἱλάσεται δὴ Κύριος τῷ δούλῳ σου ἐν τῷ λόγῳ τούτῳ.

Δ Βασ. 5,18 - Και θα συγχωρήση ο Κυριος εμέ, τον δούλον σου, διότι, όταν ο κύριός μου και βασιλεύς μου θα εισέρχεται στον ναόν του Θεού Ρεμμάν να προσκυνήση εκεί, θα στηρίζεται στο χέρι μου. Και μαζή με αυτόν θα είμαι υποχρεωμένος να προσκυνήσω και εγώ στον ναόν Ρεμμάν, όταν

εκείνος θα προσκυνή αυτόν τον θεόν εκεί. Θα συγχωρήση λοιπόν, παρακαλώ ο Κυριος εις εμέ τον δούλον σου την πράξιν μου αυτήν”.

Δ Βασ. 5,19 - καὶ εἶπεν Ἐλισαιὲ πρὸς Ναιμάν· δεῦρο εἰς εἰρήνην. καὶ ἀπῆλθεν ἀπ᾿ αὐτοῦ εἰς δεβραθὰ τῆς γῆς.

Δ Βασ. 5,19 - Ο Ελισαίος είπεν στον Ναιμάν· “πήγαινε εις ειρήνην”. Ο Ναιμάν ανεχώρησεν από αυτόν και επροχώρησεν εις κάποιαν απόστασιν από εκεί.

Δ Βασ. 5,20 - καὶ εἶπε Γιεζὶ τὸ παιδάριον Ἐλισαιέ· ἰδοὺ ἐφείσατο ὁ κύριός μου τοῦ Ναιμὰν τοῦ Σύρου τούτου τοῦ μὴ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ἃ ἐνήνοχε· ζῇ Κύριος ὅτι εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ καὶ λήψομαι ἀπ᾿ αὐτοῦ τι.

Δ Βασ. 5,20 - Ο δούλος του Ελισαίου, ο Γιεζί, διελογίσθη τότε και είπεν από μέσα του· “ιδού· ο κύριός μου ελυπήθη αυτόν τον Ναιμάν, τον Συρον, και δεν επήρε τίποτε από τα χέρια του, από όσα εκείνος έφερεν. Ορκίζομαι στον Θεόν τον ζώντα ότι θα τρέξω οπίσω του και κάτι θα πάρω από αυτόν”.

Δ Βασ. 5,21 - καὶ ἐδίωξε Γιεζὶ ὀπίσω τοῦ Ναιμάν, καὶ εἶδεν αὐτὸν Ναιμὰν τρέχοντα ὀπίσω αὐτοῦ καὶ ἐπέστρεψεν ἀπὸ τοῦ ἅρματος εἰς ἀπαντὴν αὐτοῦ καὶ εἶπεν· εἰρήνη·

Δ Βασ. 5,21 - Πράγματι ο Γιεζί έτρεξε πίσω από τον Ναιμάν. Ο Ναιμάν τον είδε να τρέχη οπίσω από αυτόν, κατέβηκεν από το άρμα του, δια να τον συναντήση και του είπε· “πως έως εδώ με το καλό;”

Δ Βασ. 5,22 - ὁ κύριός μου ἀπέστειλέ με λέγων· ἰδοὺ νῦν ἦλθον πρός με δύο παιδάρια ἐξ ὄρους Ἐφραὶμ ἀπὸ τῶν υἱῶν τῶν προφητῶν· δὸς δὴ αὐτοῖς τάλαντον ἀργυρίου καὶ δύο ἀλλασσομένας στολάς.

Δ Βασ. 5,22 - Ο Γιεζί απήντησεν· “ο κύριός μου με έστειλε, δια να σου είπω· Ιδού ήλθον προς εμέ δύο νέοι, παιδιά των προφητών, από το όρος Εφραίμ. Δος μου, σε παρακαλώ, δια να δώσω εις αυτούς ένα τάλαντον αργυρίου και δύο καινουργείς στολάς”.

Δ Βασ. 5,23 - καὶ εἶπε· λαβὲ διτάλαντον ἀργυρίου· καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ θυλάκοις καὶ δύο ἀλλασσομένας στολὰς καὶ ἔδωκεν ἐπὶ δύο παιδάρια αὐτοῦ. καὶ ἦραν ἔμπροσθεν αὐτοῦ.

Δ Βασ. 5,23 - Ο Ναιμάν είπε· “πάρε δύο τάλαντα αργυρίου”. Επήρεν ο Γιεζί τα δύο τάλαντα αργυρίου και έθεσεν αυτά εις δύο σάκκους και τας δύο καινουργείς στολάς. Αυτά έδωσεν ο Γιεζί στους δύο δούλους του, οι οποίοι και τα μετέφεραν προπορευόμενοι από αυτόν.

Δ Βασ. 5,24 - καὶ ἦλθον εἰς τὸ σκοτεινόν, καὶ ἔλαβεν ἐκ τῶν χειρῶν αὐτῶν καὶ παρέθετο ἐν οἴκῳ καὶ ἐξαπέστειλε τοὺς ἄνδρας.

Δ Βασ. 5,24 - Αλλ' όταν ήλθον εις κάποιον απόκρυφον και σκοτεινόν μέρος, τα επήρεν από τα χέρια των ο Γιεζί, τα ετοποθέτησεν στο απόκρυφον μέρος του οίκου και αφήκε τους δούλους του να φύγουν.

Δ Βασ. 5,25 - καὶ αὐτὸς εἰσῆλθε καὶ παρεστήκει πρὸς τὸν κύριον αὐτοῦ· καὶ εἶπε πρὸς αὐτὸν Ἑλισαιέ· πόθεν, Γιεζί; καὶ εἶπε Γιεζί· οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα.

Δ Βασ. 5,25 - Κατόπιν ο Γιεζί εισήλθεν στον οίκον, όπου ήτο ο Ελισαίος, και εστάθη εμπρός στον κύριόν του. Ο Ελισαίος τον ηρώτησε· “Γιεζί, από που έρχεσαι;” Ο Γιεζί απήντησεν· “ο δούλος σου εδώ είναι. Δεν επήγε εδώ και εκεί”.

Δ Βασ. 5,26 - καὶ εἶπε πρὸς αὐτὸν Ἑλισαιέ· οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ, ὅτε ἐπέστεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς συναντήν σοι; καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ νῦν ἔλαβες τὰ ἱμάτια καὶ ἐλαιῶνας καὶ ἀμπελῶνας καὶ πρόβατα καὶ βόας καὶ παῖδας καὶ παιδίσκας·

Δ Βασ. 5,26 - Είπε τότε προς αυτόν ο Ελισαίος· “νομίζεις ότι το μάτι της ψυχής μου δεν σε παρηκολούθησεν, όταν ο Ναιμάν επέστρεψεν από το άρμα του, δια να σε συναντήση; Επήρες, λοιπόν, τας δύο στολάς, επήρες και το αργύριον, ώστε με τα χρήματα αυτά να αγοράσης ελαιώνας, αμπελώνας, πρόβατα, βόϊδια, δούλους και δούλας.

Δ Βασ. 5,27 - καὶ ἡ λέπρα Ναιμὰν κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. καὶ ἐξῆλθεν ἐκ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών.

Δ Βασ. 5,27 - Αλλά δια το ψεύδος, που είπες, ιδού η λέπρα του Ναιμάν θα προσκολληθή επάνω σου και στους απογόνους σου, εις τας γενεάς των γενεών” ο Γιεζί έφυγεν από τον Ελισαίον γεμάτος λέπραν, λευκός όπως το χιόνι.

Δ ΒΑΣΙΛΕΙΩΝ 6

Δ Βασ. 6,1 - Καὶ εἶπον υἱοὶ τῶν προφητῶν πρὸς Ἑλισαιέ· ἰδοὺ δὴ ὁ τόπος, ἐν ᾧ ἡμεῖς οἰκοῦμεν ἐνώπιόν σου, στενὸς ἀφ᾽ ἡμῶν·

Δ Βασ. 6,1 - Οι προφήται είπαν κάποιαν ημέραν προς τον Ελισαίον· “ιδού, ο τόπος στον οποίον μένομεν υπό την ιδικήν σου πνευματικήν δικαιοδοσίαν, είναι, στενός δι' ημάς.

Δ Βασ. 6,2 - πορευθῶμεν δὴ ἕως τοῦ Ἰορδάνου καὶ λάβωμεν ἐκεῖθεν ἀνὴρ εἷς δοκόν μίαν καὶ ποιήσωμεν ἑαυτοῖς ἐκεῖ τοῦ οἰκεῖν ἐκεῖ. καὶ εἶπε· δεῦτε.

Δ Βασ. 6,2 - Δος μας την άδειαν να μεταβώμεν στον Ιορδάνην. Εκεί ο καθένας από ημάς ας πάρη κανένα δοκάρι και ας κατασκευάσωμεν δια τον εαυτόν μας εκεί κατοικίας”. Ο Ελισαίος τους είπε· “πηγαίνετε”.

Δ Βασ. 6,3 - καὶ εἶπεν ὁ εἷς ἐπιεικῶς· δεῦρο μετὰ τῶν δούλων σου· καὶ εἶπεν· ἐγὼ πορεύσομαι.

Δ Βασ. 6,3 - Ενας από τους προφήτας είπε παρακαλών τον Ελισαίον· “έλα και συ μαζή με ημάς τους δούλους σου”. Ο Ελισαίος απήντησε· “θα έλθω μαζή σας”.

Δ Βασ. 6,4 - καὶ ἐπορεύθη μετ᾿ αὐτῶν, καὶ ἦλθον εἰς τὸν Ἰορδάνην καὶ ἔτεμνον τὰ ξύλα.

Δ Βασ. 6,4 - Επήγε μαζή των, ήλθον στον Ιορδάνην και έκοπτον τα ξύλα.

Δ Βασ. 6,5 - καὶ ἰδοὺ ὁ εἷς καταβάλλων τὴν δοκόν, καὶ τὸ σιδήριον ἐξέπεσεν εἰς τὸ ὕδωρ· καὶ ἐβόησεν· ὢ Κύριε, καὶ αὐτὸ κεκρυμμένον.

Δ Βασ. 6,5 - Αίφνης ένας από αυτούς, ενώ έκοπτε μίαν δοκόν, το σίδηρον από τον πέλεκύν του έπεσεν στο νερό του Ιορδάνου και εφώναξε προς τον Ελισαίον· “ω κύριε ! Το σίδηρον αυτό έπεσεν στον ποταμόν και δεν φαίνεται πλέον”.

Δ Βασ. 6,6 - καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ Θεοῦ· ποῦ ἔπεσε; καὶ ἔδειξεν αὐτῷ τὸν τόπον. καὶ ἀπέκνισε ξύλον καὶ ἔῤῥιψεν ἐκεῖ, καὶ ἐπεπόλασε τὸ σιδήριον.

Δ Βασ. 6,6 - Ο προφήτης Ελισαίος τον ηρώτησε· “που ακριβώς έπεσε;” Εκείνος του έδειξε τον τόπον. Ο προφήτης εξεφλούδισεν ένα κομμάτι ξύλου και το έρριψεν εκεί, το δε σίδηρον του πελέκεως ανήλθεν εις την επιφάνειαν του ύδατος

Δ Βασ. 6,7 - καὶ εἴρηκεν· ὕψωσον σεαυτῷ· καὶ ἐξέτεινε τὴν χεῖρα καὶ ἔλαβεν αὐτό.

Δ Βασ. 6,7 - Ο Ελισαίος είπεν στον άνθρωπον εκείνον· “πάρε το από το ύδωρ”. Εκείνος άπλωσε το χέρι του και το επήρε.

Δ Βασ. 6,8 - καὶ ὁ βασιλεὺς Συρίας ἦν πολεμῶν ἐν Ἰσραὴλ καὶ ἐβουλεύσατο πρὸς τοὺς παῖδας αὐτοῦ λέγων· εἰς τὸν τόπον τόνδε τινὰ ἐλμωνὶ παρεμβαλῶ.

Δ Βασ. 6,8 - Κατά την εποχήν εκείνην ο βασιλεύς της Συρίας ευρίσκετο εις πόλεμον εναντίον του Ισραηλιτικού λαού. Συνεσκέφθη δέ με τους ανθρώπους του και είπε· “εις κάποιον κατάλληλον τόπον θα στήσω ενέδραν εναντίον των Ισραηλιτών”.

Δ Βασ. 6,9 - καὶ ἀπέστειλεν Ἑλισαιὲ πρὸς τὸν βασιλέα Ἰσραὴλ λέγων· φύλαξαι μὴ παρελθεῖν ἐν τῷ τόπῳ τούτῳ, ὅτι ἐκεῖ Συρία κέκρυπται.

Δ Βασ. 6,9 - Ο Ελισαίος, φωτισθείς από τον Θεόν, έστειλε προς τον βασιλέα του Ισραήλ άνθρωπον και του είπε· “πρόσεξε να μη περάσης από τον τόπον εκείνον, διότι οι Συροι έχουν στήσει εκεί ενέδραν”.

Δ Βασ. 6,10 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἰσραὴλ εἰς τὸν τόπον, ὃν εἶπεν αὐτῷ Ἑλισαιέ, καὶ ἐφυλάξατο ἐκεῖθεν οὐ μίαν οὐδὲ δύο.

Δ Βασ. 6,10 - Ο βασιλεύς του Ισραηλιτικού λαού έστειλεν ανθρώπους εις την θέσιν εκείνην, που είχε καθορίσει ο προφήτης Ελισαίος, και απέφυγαν ούτε μίαν ούτε δύο φοράς, αλλά επανειλημμένως να περάσουν από εκεί και να πέσουν εις την ενέδραν.

Δ Βασ. 6,11 - καὶ ἐξεκινήθη ἡ ψυχὴ βασιλέως Συρίας περὶ τοῦ λόγου τούτου, καὶ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ καὶ εἶπε πρὸς αὐτούς· οὐκ ἀναγγελεῖτέ μοι τίς προδίδωσί με βασιλεῖ Ἰσραήλ;

Δ Βασ. 6,11 - Εξερεθίσθη ο βασιλεύς της Συρίας εξ αιτίας του γεγονότος αυτού, εκάλεσε τους ανθρώπους του και τους είπε· “δεν θα μου φανερώσετε λοιπόν, ποιός είναι εκείνος, ο οποίος με προδίδει στον βασιλέα του Ισραηλιτικού λαού;”

Δ Βασ. 6,12 - καὶ εἶπεν εἷς τῶν παίδων αὐτοῦ· οὐχί κύριέ μου βασιλεῦ, ὅτι Ἑλισαιὲ ὁ προφήτης ὁ ἐν Ἰσραὴλ ἀναγγέλλει τῷ βασιλεῖ Ἰσραὴλ πάντας τοὺς λόγους, οὓς ἐὰν λαλήσῃς ἐν τῷ ταμιείῳ τοῦ κοιτῶνός σου.

Δ Βασ. 6,12 - Ενας από τους ανθρώπους του είπε προς αυτόν· “κύριε μου και βασιλεύ, κανένας από ημάς δεν σε προδίδει, αλλά ο προφήτης Ελισαίος, ο οποίος ευρίσκεται μεταξύ των Ισραηλιτών, καθιστά γνωστούς στον βασιλέα των Ισραηλιτών όλους τους λόγους, τους οποίους θα είπης συ και στο εσωτερικώτερον ακόμη δωμάτιον του ύπνου σου”.

Δ Βασ. 6,13 - καὶ εἶπε· δεῦτε ἴδετε ποῦ οὗτος, καὶ ἀποστείλας λήψομαι αὐτόν· καὶ ἀπήγγειλαν αὐτῷ λέγοντες· ἰδοὺ ἐν Δωθαΐμ.

Δ Βασ. 6,13 - Ο βασιλεύς της Συρίας είπε· “πηγαίνετε, λοιπόν, ερευνήσατε, δια να μάθετε, που είναι αυτός. Εγώ δε θα στείλω άνδρας, να τον συλλάβουν”. Ανήγγειλαν εις αυτόν λέγοντες· “ιδού ευρίσκεται εις Δωθαΐμ”.

Δ Βασ. 6,14 - καὶ ἀπέστειλεν ἐκεῖ ἵππον καὶ ἅρμα καὶ δύναμιν βαρεῖαν, καὶ ἦλθον νυκτὸς καὶ περιεκύκλωσαν τὴν πόλιν.

Δ Βασ. 6,14 - Ο βασιλεύς της Συρίας απέστειλεν εναντίον του Ελισαίου ιππικόν, πολεμικά άρματα και ισχυρόν στρατόν πεζικού. Εφθασαν εις Δωθαΐμ κατά το διάστημα της νυκτός και περιεκύκλωσαν την πόλιν.

Δ Βασ. 6,15 - καὶ ὤρθρισεν ὁ λειτουργὸς Ἑλισαιὲ ἀναστῆναι καὶ ἐξῆλθε, καὶ ἰδοὺ δύναμις κυκλοῦσα τὴν πόλιν καὶ ἵππος καὶ ἅρμα, καὶ εἶπε τὸ παιδάριον πρὸς αὐτόν· ὦ κύριε, πῶς ποιήσομεν;

Δ Βασ. 6,15 - Ο υπηρέτης του Ελισαίου εσηκώθη πρωί και εβγήκεν έξω από το σπίτι. Αίφνης είδε γύρω από την πόλιν στρατιωτικήν δύναμιν πεζικού, πολεμικά άρματα και ιππικόν, να την έχουν περικυκλώσει και είπεν ο υπηρέτης προς τον Ελισαίον· “ω κύριε ! Τι θα κάμωμεν;”

Δ Βασ. 6,16 - καὶ εἶπεν Ἑλισαιέ· μὴ φοβοῦ, ὅτι πλείους οἱ μεθ᾿ ἡμῶν ὑπὲρ τοὺς μετ᾿ αὐτῶν.

Δ Βασ. 6,16 - Ο Ελισαίος του απήντησε· “μη φοβήσαι, διότι περισσότεροι είναι εκείνοι, που ευρίσκονται μαζή μας, παρά εκείνοι οι οποίοι είναι μαζή με αυτούς”.

Δ Βασ. 6,17 - καὶ προσηύξατο Ἑλισαιὲ καὶ εἶπε· Κύριε, διάνοιξον δὴ τοὺς ὀφθαλμοὺς τοῦ παιδαρίου καὶ ἰδέτω· καὶ διήνοιξε Κύριος τοὺς ὀφθαλμοὺς

αὐτοῦ καὶ εἶδε. καὶ ἰδοὺ τὸ ὄρος πλῆρες ἵππων, καὶ ἅρμα πυρὸς περικύκλῳ Ἑλισαιέ.

Δ Βασ. 6,17 - Ο Ελισαίος προσηυχήθη προς τον Θεόν και είπε· “Κυριε, άνοιξε, σε παρακαλώ, τα μάτια αυτού του παιδαρίου, δια να ίδη”. Ο Κυριος πράγματι ήνοιξε τα μάτια εκείνου και είδε· και ιδού ότι το όρος ήτο γεμάτον από ιππικόν και άρματα πύρινα γύρω από τον Ελισαίον.

Δ Βασ. 6,18 - καὶ κατέβησαν πρὸς αὐτόν, καὶ προσηύξατο πρὸς Κύριον καὶ εἶπε· πάταξον δὴ τὸ ἔθνος τοῦτο ἀορασίᾳ· καὶ ἐπάταξεν αὐτοὺς ἀορασίᾳ κατὰ τὸ ῥῆμα Ἑλισαιέ.

Δ Βασ. 6,18 - Οι Συροι κατέβησάν με τον σκοπόν να συλλάβουν τον άνθρωπον του Θεού. Ο Ελισαίος προσηυχήθη στον Κυριον και είπε· “κτύπησε, σε παρακαλώ, τον λαόν αυτόν με τύφλωσιν”. Πράγματι ο Κυριος εκτύπησε τον στρατόν των Συρων, όπως είπεν ο Ελισαίος, με τύφλωσιν.

Δ Βασ. 6,19 - καὶ εἶπε πρὸς αὐτοὺς Ἑλισαιέ· οὐχὶ αὕτη ἡ πόλις καὶ αὕτη ἡ ὁδός· δεῦτε ὀπίσω μου, καὶ ἄξω ὑμᾶς πρὸς τὸν ἄνδρα, ὃν ζητεῖτε· καὶ ἀπήγαγεν αὐτοὺς πρὸς Σαμάρειαν.

Δ Βασ. 6,19 - Ο Ελισαίος είπε προς τους προελαύνοντας στρατιώτας· “δεν είναι αυτή η πόλις και ούτε η οδός. Ελάτε κοντά μου και εγώ θα σας οδηγήσω προς τον άνθρωπον, τον οποίον ζητείτε”. Ο Ελισαίος ωδήγησεν αυτούς μέσα εις την Σαμάρειαν.

Δ Βασ. 6,20 - καὶ ἐγένετο ὡς εἰσῆλθον εἰς Σαμάρειαν, καὶ εἶπεν Ἑλισαιέ· ἄνοιξον δή, Κύριε, τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ ἰδέτωσαν· καὶ διήνοιξε Κύριος τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον, καὶ ἰδοὺ ἦσαν ἐν μέσῳ Σαμαρείας.

Δ Βασ. 6,20 - Οταν εισήλθον εις την Σαμάρειαν, παρεκάλεσεν ο Ελισαίος τον Κυριον και είπε· “άνοιξε σε παρακαλώ, τα μάτια των και ας ίδουν, που ευρίσκονται”. Πράγματι ο Κυριος ήνοιξε τα μάτια των και αίφνης είδον, ότι ευρίσκοντο μέσα εις την Σαμάρειαν.

Δ Βασ. 6,21 - καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἑλισαιέ, ὡς εἶδεν αὐτούς· εἰ πατάξας πατάξω, πάτερ;

Δ Βασ. 6,21 - Ο βασιλεύς των Ισραηλιτών, όταν είδε τον στρατόν της Συρίας εγκλωβισμένον μέσα εις την Σαμάρειαν, είπε προς τον Ελισαίον· “να κτυπήσω και εξοντώσω αυτούς, πάτερ;”

Δ Βασ. 6,22 - καὶ εἶπεν· οὐ πατάξεις, εἰ μὴ οὓς ᾐχμαλώτευσας ἐν ῥομφαίᾳ σου καὶ τόξῳ σου σὺ τύπτεις· παράθες ἄρτους καὶ ὕδωρ ἐνώπιον αὐτῶν, καὶ φαγέτωσαν καὶ πιέτωσαν καὶ ἀπελθέτωσαν πρὸς τὸν κύριον αὐτῶν.

Δ Βασ. 6,22 - Ο Ελισαίος απήντησε· “δεν έχστο δικαίωμα να κτυπήσης παρά μόνον εκείνους, τους οποίους συ συνέλαβες αιχμαλώτους με την ρομφαίαν και το τόξον σου. Αλλά τώρα να παραθέσης εις αυτούς άρτον και

ύδωρ. Ας φάγουν, ας πίουν και ας απέλθουν ελεύθεροι προς τον βασιλέα των”.

Δ Βασ. 6,23 - καὶ παρέθηκεν αὐτοῖς παράθεσιν μεγάλην, καὶ ἔφαγον καὶ ἔπιον· καὶ ἀπέστειλεν αὐτούς, καὶ ἀπῆλθον πρὸς τὸν κύριον αὐτῶν. καὶ οὐ προσέθεντο ἔτι μονόζωνοι Συρίας τοῦ ἐλθεῖν εἰς γῆν Ἰσραήλ.

Δ Βασ. 6,23 - Ο βασιλεύς του Ισραήλ παρέθεσε κατόπιν της εντολής του Ελισαίου εις αυτούς πλουσίαν τράπεζαν. Εκείνοι δε έφαγον και έπιον. Επειτα τους αφήκεν ελευθέρους να αναχωρήσουν και απήλθον προς τον βασιλέα των. Αλλην δε φοράν, ληστρικά τμήματα της Συρίας δεν επεχείρησαν να εισέλθουν εις την γην του Ισραήλ.

Δ Βασ. 6,24 - Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἤθροισεν υἱὸς Ἄδερ βασιλεὺς Συρίας πᾶσαν τὴν παρεμβολὴν αὐτοῦ καὶ ἀνέβη καὶ περιεκάθισεν ἐπὶ Σαμάρειαν.

Δ Βασ. 6,24 - Επειτα από αυτά ο υιός Αδερ, ο βασιλεύς της Συρίας, συνήθροισεν όλον τον στρατόν του και επήλθεν εναντίον της Σαμαρείας, την οποίαν και περιεκύκλωσε.

Δ Βασ. 6,25 - καὶ ἐγένετο λιμὸς μέγας ἐν Σαμαρείᾳ, καὶ ἰδοὺ περιεκάθηντο ἐπ᾽ αὐτήν, ἕως οὗ ἐγενήθη κεφαλὴ ὄνου πεντήκοντα σίκλων ἀργυρίου καὶ τέταρτον τοῦ κάβου κόπρου περιστερῶν πέντε σίκλων ἀργυρίου.

Δ Βασ. 6,25 - Λογω δε της πολιορκίας έπεσε μεγάλη πείνα μέσα εις την Σαμάρειαν. Οι Συροι στρατιώται περιεκύκλωσαν επί τόσον χρονικόν διάστημα την πόλιν, ώστε, εξ αιτίας της ελλείψεως τροφής, μία άνευ άλλωστε αξίας κεφαλή όνου επωλείτο αντί πεντήκοντα αργυρών σίκλων και ένα τέταρτον του κάβου της κόπρου των περιστερών επωλείτο αντί πέντε αργυρών σίκλων.

Δ Βασ. 6 ,26 - καὶ ἦν ὁ βασιλεὺς διαπορευόμενος ἐπὶ τοῦ τείχους, καὶ γυνὴ ἐβόησε πρὸς αὐτὸν λέγουσα· σῶσον, κύριε βασιλεῦ.

Δ Βασ. 6,26 - Ο βασιλεύς του ισραηλιτικού λαού περιπατούσε κάποιαν ημέραν επάνω στο τείχος της Σαμαρείας. Καποια δε γυναίκα εφωναξε με μεγάλην φωνήν προς αυτόν και του είπε· “σώσε με, κύριε βασιλεύ. Πεθαίνω από την πείναν”.

Δ Βασ. 6,27 - καὶ εἶπεν αὐτῇ· μή σε σώσαι Κύριος, πόθεν σώσω σε; μὴ ἀπὸ ἅλωνος ἢ ἀπὸ ληνοῦ;

Δ Βασ. 6,27 - Ο βασιλεύς απήντησεν προς αυτήν· “εάν ο Κυριος δεν σε σώση, πως εγώ θα ημπορέσω να σε σώσω; Μηπως από ανύπαρκτα προϊόντα του αλωνιού η του ληνού;”

Δ Βασ. 6,28 - καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς· τί ἔστι σοι; καὶ εἶπεν ἡ γυνή· αὕτη εἶπε πρός με· δὸς τὸν υἱόν σου καὶ φαγόμεθα αὐτὸν σήμερον, καὶ τὸν υἱόν μου φαγόμεθα αὐτὸν αὔριον·

Δ Βασ. 6,28 - Ο βασιλεύς την ηρώτησε· “τι σου συμβαίνει;” Εκείνη δε απήντησε· “μια γυναίκα μου είπε· Φέρε το παιδί σου να το φάγωμεν σήμερον, το δε δικό μου το παιδί θα το φάγωμεν αύριον.

Δ Βασ. 6,29 - καὶ ἡψήσαμεν τὸν υἱόν μου καὶ ἐφάγομεν αὐτόν, καὶ εἶπον πρὸς αὐτὴν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ· δὸς τὸν υἱόν σου καὶ φάγωμεν αὐτόν. καὶ ἔκρυψε τὸν υἱόν αὐτῆς.

Δ Βασ. 6,29 - Πράγματι εψήσαμε το παιδί μου και το εφάγαμε. Και είπα προς αυτήν κατά την δευτέραν ημέραν· Φέρε τώρα το δικό σου το παιδί, δια να το φάγωμεν. Εκείνη όμως απέκρυψε το παιδί της”.

Δ Βασ. 6,30 - καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς Ἰσραὴλ τοὺς λόγους τῆς γυναικός, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ αὐτὸς διεπορεύετο ἐπὶ τοῦ τείχους. καὶ εἶδεν ὁ λαὸς τὸν σάκκον ἐπὶ τῆς σαρκὸς αὐτοῦ ἔσωθεν.

Δ Βασ. 6,30 - Οταν ο βασιλεύς του ισραηλιτικού λαού ήκουσε τα λόγια αυτά της γυναικός, κατελήφθη από απέραντον οδύνην, έσχισε τα ιμάτιά του και εβάδιζεν έτσι επάνω στο τείχος φέρων μόνον σάκκινον ένδυμα. Κατάπληκτος ο ισραηλιτικός λαός είδε τον βασιλέα να φορή μόνον το εσωτερικόν σάκκινον ένδυμα.

Δ Βασ. 6,31 - καὶ εἶπε· τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη, εἰ στήσεται ἡ κεφαλὴ Ἑλισαιὲ ἐπ᾿ αὐτῷ σήμερον.

Δ Βασ. 6,31 - Καταληφθείς από μεγάλην αγανάκτησιν ο βασιλεύς είπεν· “ας με τιμωρήση ο Θεός με τας πλέον βαρείας τιμωρίας, εάν μείνη σήμερον το κεφάλι του Ελισαίου επάνω στους ώμους του”.

Δ Βασ. 6,32 - καὶ Ἑλισαιὲ ἐκάθητο ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ οἱ πρεσβύτεροι ἐκάθηντο μετ᾿ αὐτοῦ. καὶ ἀπέστειλεν ἄνδρα πρὸ προσώπου αὐτοῦ πρὶν ἐλθεῖν τὸν ἄγγελον πρὸς αὐτὸν καὶ αὐτὸς εἶπε πρὸς τοὺς πρεσβυτέρους· εἰ οἴδατε ὅτι ἀπέστειλεν ὁ υἱὸς τοῦ φονευτοῦ οὗτος ἀφελεῖν τὴν κεφαλήν μου; ἴδετε ὡς ἂν ἔλθῃ ὁ ἄγγελος, ἀποκλείσατε τὴν θύραν· καὶ παραθλίψατε αὐτὸν ἐν τῇ θύρᾳ· οὐχὶ φωνὴ τῶν ποδῶν τοῦ κυρίου αὐτοῦ κατόπισθεν αὐτοῦ;

Δ Βασ. 6,32 - Ο Ελισαίος εν τω μεταξύ εκάθητο στον οίκον του και μαζή του εκάθηντο οι πρεσβύτεροι της πόλεως. Ο βασιλεύς έστειλε κάποιον με την διαταγήν να εκτελέση τον Ελισαίον. Πριν όμως ο απεσταλμένος φθάση, ο Ελισαίος είπε προς τους πρεσβυτέρους· “γνωρίζετε ότι ο υιός του δολοφόνου βασιλέως έστειλεν άνθρωπον, δια να μου αφαιρέση την κεφαλήν; Προσέξατε, όταν ο απεσταλμένος αυτός έλθη, κλείσατε την θύραν και αφήσατέ τον στενοχωρούμενον έξω. Ο θόρυβος των ποδών του κυρίου του, που έρχεται εδώ δεν ακούεται πίσω από τον απεσταλμένον του;”

Δ Βασ. 6,33 - ἔτι αὐτοῦ λαλοῦντος μετ᾿ αὐτῶν καὶ ἰδοὺ ἄγγελος κατέβη πρὸς αὐτὸν καὶ εἶπεν· ἰδοὺ αὕτη ἡ κακία παρὰ Κυρίου· τί ὑπομείνω τῷ Κυρίῳ ἔτι;

Δ Βασ. 6,33 - Ενώ ακόμη ο Ελισαίος συνωμιλούσε με τους πρεσβυτέρους, ιδού ο απεσταλμένος δια να τον θανατώση, ήλθε προς αυτόν. Συγχρόνως σχεδόν έφθασε και ο βασιλεύς, ο οποίος είπε προς τον Ελισαίον· “σε ηνέχθην έως τώρα και σε αφήκα να ζήσης. Ιδού όμως ότι επήλθεν εναντίον μου αυτή η μεγάλη σύμφορα εκ μέρους του Κυρίου. Τι άλλο βαρύτερον έχω να περιμένω ακόμη από τον Κυριον;”

Δ ΒΑΣΙΛΕΙΩΝ 7

Δ Βασ. 7,1 - Καὶ εἶπεν Ἑλισαιέ· ἄκουσον λόγον Κυρίου· τάδε λέγει Κύριος· ὡς ἡ ὥρα αὕτη αὔριον μέτρον σεμιδάλεως σίκλου καὶ δίμετρον κριθῶν σίκλου ἐν ταῖς πύλαις Σαμαρείας.

Δ Βασ. 7,1 - Απήντησε προς αυτόν ο Ελισαίος· “άκουσε τον λόγον του Κυρίου. Αυτά προαναγγέλλει ο Κυριος· Η κατάστασις θα αλλάξη. Αύριον την ώραν αυτήν ένα μέτρον σημιγδάλι θα τιμάται αντί ενός μόνον σίκλου και δύο μέτρα κριθάρι θα πωλούνται επίσης ένα σίκλον εις τας πύλας του τείχους της Σαμαρείας”.

Δ Βασ. 7,2 - καὶ ἀπεκρίθη ὁ τριστάτης, ἐφ᾿ ὃν ὁ βασιλεὺς ἐπανεπαύετο ἐπὶ τὴν χεῖρα αὐτοῦ, τῷ Ἑλισαιὲ καὶ εἶπεν· ἰδοὺ ποιήσει Κύριος καταράκτας ἐν οὐρανῷ, μὴ ἔσται τὸ ρῆμα τοῦτο; καὶ Ἑλισαιὲ εἶπεν· ἰδοὺ σὺ ὄψει τοῖς ὀφθαλμοῖς σου καὶ ἐκεῖθεν οὐ φάγῃ.

Δ Βασ. 7,2 - Ο άρχων του βασιλέως, επί του οποίου ο βασιλεύς εις ένδειξιν τιμής επανέπαυε και εστήριζε το χέρι του, είπε προς τον Ελισαίον προφανώς με ειρωνείαν· “μήπως ημπορεί ο Θεός να ανοίξη καταρράκτας από τον ουρανόν και να μας στείλη τα τρόφιμα αυτά; Αυτό είναι πράγμα αδύνατον”. Ο Ελισαίος είπεν· “ιδού συ ο ίδιος θα ίδης με τα μάτια σου την αφθονίαν των αγαθών, από τα οποία όμως δια την απιστίαν σου δεν θα φάγης τίποτε”.

Δ Βασ. 7,3 - καὶ τέσσαρες ἄνδρες ἦσαν λεπροὶ παρὰ τὴν θύραν τῆς πόλεως, καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· τί ἡμεῖς καθήμεθα ὧδε, ἕως ἀποθάνωμεν;

Δ Βασ. 7,3 - Τέσσαρες λεπροί άνδρες ευρίσκοντο πλησίον έξω από την πύλην του τείχους της πόλεως. Ο ένας από αυτούς είπεν στον άλλον· “διατί καθήμεθα εδώ περιμένοντες τον θάνατον;

Δ Βασ. 7,4 - ἐὰν εἴπωμεν, εἰσέλθωμεν εἰς τὴν πόλιν, καὶ ὁ λιμὸς ἐν τῇ πόλει καὶ ἀποθανούμεθα ἐκεῖ· καὶ ἐὰν καθίσωμεν ὧδε, καὶ ἀποθανούμεθα. καὶ νῦν δεῦτε καὶ ἐμπέσωμεν εἰς τὴν παρεμβολὴν Συρίας· ἐὰν ζωογονήσωσιν ἡμᾶς, καὶ ζησόμεθα· καὶ ἐὰν θανατώσωσιν ἡμᾶς, καὶ ἀποθανούμεθα.

Δ Βασ. 7,4 - Εάν αποφασίσωμεν να εισέλθωμεν εις την πόλιν, θα αποθάνωμεν εκεί λόγω της πείνης. Εάν καθίσωμεν εδώ, που ευρισκόμεθα, πάλιν θα αποθάνωμεν. Εμπρός λοιπόν ας προχωρήσωμεν και ας πέσωμεν στο στρατόπεδον των Συρων. Εάν μας λυπηθούν και μας δώσουν τροφήν, θα ζήσωμεν. Εάν μας φονεύσουν, θα αποθάνωμεν εκεί".

Δ Βασ. 7,5 - καὶ ἀνέστησαν ἐν τῷ σκότει εἰσελθεῖν εἰς τὴν παρεμβολὴν Συρίας καὶ ἦλθον εἰς μέρος παρεμβολῆς Συρίας, καὶ ἰδοὺ οὐκ ἔστιν ἀνὴρ ἐκεῖ.

Δ Βασ. 7,5 - Εσηκώθηκαν πράγματι και, καθώς είχε πέσει το σκοτάδι, εισήλθον στο στρατόπεδον των Συρων, έφθασαν εις την αρχήν του στρατοπέδου. Και ιδού κανένας στρατιώτης δεν ευρίσκετο εκεί.

Δ Βασ. 7,6 - καὶ κύριος ἀκουστὴν ἐποίησε παρεμβολὴν τὴν Συρίας φωνὴν ἅρματος καὶ φωνὴν ἵππου, φωνὴν δυνάμεως μεγάλης, καὶ εἶπεν ἀνὴρ πρὸς τὸν ἀδελφὸν αὐτοῦ· νῦν ἐμισθώσατο ἐφ᾿ ἡμᾶς ὁ βασιλεὺς Ἰσραὴλ τοὺς βασιλέας τῶν Χετταίων καὶ τοὺς βασιλέας Αἰγύπτου τοῦ ἐλθεῖν ἐφ᾿ ἡμᾶς.

Δ Βασ. 7,6 - Τούτο συνέβη, διότι ο Κυριος έκαμεν, ώστε τα στρατεύματα των Συρων να ακούσουν κάποιον μεγάλον θόρυβον, σαν να προήρχετο από πολεμικά άρματα, από ποδοβολητόν ίππων και θόρυβον μεγάλης στρατιωτικής δυνάμεως. Τοτε ο κάθε στρατιώτης είπεν στον συνάδελφόν του· "ιδού, ο βασιλεύς του ισραηλιτικού λαού επήρε μισθοφορικά στρατεύματα από τους βασιλείς των Χετταίων και τους βασιλείς της Αιγύπτου, δια να επιτεθούν εναντίον μας".

Δ Βασ. 7,7 - καὶ ἀνέστησαν καὶ ἀπέδρασαν ἐν τῷ σκότει καὶ ἐγκατέλιπαν τὰς σκηνὰς αὐτῶν καὶ τοὺς ἵππους αὐτῶν καὶ τοὺς ὄνους αὐτῶν ἐν τῇ παρεμβολῇ ὥς ἐστι καὶ ἔφυγον πρὸς τὴν ψυχὴν ἑαυτῶν.

Δ Βασ. 7,7 - Εσηκώθηκαν, λοιπόν, και ετράπησαν πανικόβλητοι κατά το διάστημα της νυκτός εις φυγήν, εγκατέλειψαν τας σκηνάς αυτών και τους ίππους των και τους όνους των στο στρατόπεδον, όπως ήσαν, και έφυγαν φροντίζοντες να σώσουν μόνον την ζωήν των.

Δ Βασ. 7,8 - καὶ εἰσῆλθον οἱ λεπροὶ οὗτοι ἕως μέρους τῆς παρεμβολῆς καὶ εἰσῆλθον εἰς σκηνὴν μίαν καὶ ἔφαγον καὶ ἔπιον καὶ ᾖραν ἐκεῖθεν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἐπορεύθησαν· καὶ ἐπέστρεψαν ἐκεῖθεν καὶ εἰσῆλθον εἰς σκηνὴν ἄλλην καὶ ἔλαβον ἐκεῖθεν καὶ ἐπορεύθησαν καὶ κατέκρυψαν.

Δ Βασ. 7,8 - Οι λεπροί αυτοί εισεχώρησαν εις ένα μέρος του στρατοπέδου, εισήλθον μέσα εις μίαν σκηνήν, έφαγον, έπιον και επήραν από εκεί αργύριον και χρυσίον και ενδύματα. Από εκεί δε επορεύθησαν και εισήλθον εις άλλην σκηνήν. Επήραν και από εκεί ο,τι ημπορούσαν να μεταφέρουν, ανεχώρησαν και έκρυψαν τα όσα ελεηλάτησαν.

Δ Βασ. 7,9 - καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· οὐχ οὕτως ἡμεῖς ποιοῦμεν· ἡ ἡμέρα αὕτη ἡμέρα εὐαγγελίας ἐστί, καὶ ἡμεῖς σιωπῶμεν καὶ μένομεν ἕως φωτὸς τοῦ πρωΐ καὶ εὑρήσομεν ἀνομίαν· καὶ νῦν δεῦρο καὶ εἰσέλθωμεν καὶ ἀναγγείλωμεν εἰς τὸν οἶκον τοῦ βασιλέως.

Δ Βασ. 7,9 - Ενας όμως από αυτούς είπε προς τον άλλον· "δεν πρέπει να φερθώμεν έτσι. Η ημέρα αυτή είναι ημέρα χαρμοσύνων γεγονότων. Και ημείς σιωπώμεν και μένομεν εδώ, έως ότου ξημερώση ! Θα καταλογισθή αυτό ως αμαρτία ενώπιον του Κυρίου. Εμπρός, λοιπόν, ας εισέλθωμεν εις την πόλιν, δια να αναγγείλωμεν στον βασιλικόν οίκον τα ευχάριστα αυτά γεγονότα".

Δ Βασ. 7,10 - καὶ εἰσῆλθον καὶ ἐβόησαν πρὸς τὴν πύλην τῆς πόλεως καὶ ἀνήγγειλαν αὐτοῖς, λέγοντες· εἰσήλθομεν εἰς τὴν παρεμβολὴν Συρίας, καὶ ἰδοὺ οὐκ ἔστιν ἐκεῖ ἀνὴρ καὶ φωνὴ ἀνθρώπου, ὅτι εἰ μὴ ἵππος δεδεμένος καὶ ὄνος καὶ αἱ σκηναὶ αὐτῶν ὡς εἰσί.

Δ Βασ. 7,10 - Πράγματι έφυγαν από το στρατόπεδον, έφθασαν πλησίον εις την πύλην της πόλεως και ανήγγειλαν εις αυτούς το χαρμόσυνον γεγονός λέγοντες· "εισήλθομεν εις στρατόπεδον των Συρων και ιδού δεν υπάρχει κανένας άνθρωπος εκεί. Δεν ακούεται καμμία φωνή. Υπάρχουν μόνον ίπποι δεμένοι και όνοι και αι σκηναί των εχθρών, όπως τας αφήκαν εκείνοι".

Δ Βασ. 7,11 - καὶ ἐβόησαν οἱ θυρωροὶ καὶ ἀνήγγειλαν εἰς τὸν οἶκον τοῦ βασιλέως ἔσω.

Δ Βασ. 7,11 - Οι φρουρούντες την πύλην εφώναξαν εις τους εντός της πόλεως, δια να αναγγείλουν το ευχάριστον τούτο γεγονός στο βασιλικόν ανάκτορον.

Δ Βασ. 7,12 - καὶ ἀνέστη ὁ βασιλεὺς νυκτὸς καὶ εἶπε πρὸς τοὺς παῖδας αὐτοῦ· ἀναγγελῶ δὴ ὑμῖν ἃ ἐποίησεν ὑμῖν Συρία· ἔγνωσαν ὅτι πεινῶμεν ἡμεῖς, καὶ ἐξῆλθαν ἐκ τῆς παρεμβολῆς καὶ ἐκρύβησαν ἐν τῷ ἀγρῷ λέγοντες· ὅτι ἐξελεύσονται ἐκ τῆς πόλεως, καὶ συλληψόμεθα αὐτοὺς ζῶντας καὶ εἰς τὴν πόλιν εἰσελευσόμεθα.

Δ Βασ. 7,12 - Ο βασιλεύς εσηκώθη, ενώ άκομη ήτο νύκτα, και είπε προς τους ανθρώπούς του· "θα σας πω λοιπόν τι εσκέφθησαν και έκαμαν εις βάρος ημών οι Συροι στρατιώται. Αυτοί έμαθαν ότι ημείς πεινώμεν, έφυγαν από το στρατόπεδόν των, εκρύφθησαν εις κάποιαν αγροτικήν περιοχήν και είπαν ότι· Οταν αυτοί βγουν από την πόλιν, θα τους συλλάβωμεν ζώντας και θα εισέλθωμεν αμαχητί εις την πόλιν".

Δ Βασ. 7,13 - καὶ ἀπεκρίθη εἷς τῶν παίδων αὐτοῦ καὶ εἶπε· λαβέτωσαν δὴ πέντε τῶν ἵππων τῶν ὑπολελειμμένων, οἳ κατελείφθησαν ὧδε, ἰδού εἰσι πρὸς πᾶν τὸ πλῆθος Ἰσραὴλ τὸ ἐκλεῖπον· καὶ ἀποστελοῦμεν ἐκεῖ καὶ ὀψόμεθα.

Δ Βασ. 7,13 - Ενας από τους υπηρέτας του βασιλέως είπε· "καλύτερα ας πάρουν πέντε άνδρες τους πέντε ίππους, οι οποίοι μόνοι απέμειναν εις ημάς

από το πλήθος των ίππων, που είχαμεν, και αυτούς θα τους στείλωμεν εκεί δια να ίδουν τι ακριβώς συμβαίνει”.

Δ Βασ. 7,14 - καὶ ἔλαβον δύο ἐπιβάτας ἵππων, καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἰσραὴλ ὀπίσω τοῦ βασιλέως Συρίας λέγων· δεῦτε καὶ ἴδετε.

Δ Βασ. 7,14 - Επήραν πράγματι δύο ιππείς και τους απέστειλεν ο βασιλεύς του ισραηλιτικού λαού στο στρατόπεδον των Συρων και τους έδωσε διαταγήν· “πηγαίνετε, δια να ιδήτε τι συμβαίνει”.

Δ Βασ. 7,15 - καὶ ἐπορεύθησαν ὀπίσω αὐτῶν ἕως τοῦ Ἰορδάνου, καὶ ἰδοὺ πᾶσα ἡ ὁδὸς πλήρης ἱματίων καὶ σκευῶν, ὧν ἔῤῥιψε Συρία ἐν τῷ θαμβεῖσθαι αὐτούς· καὶ ἐπέστρεψαν οἱ ἄγγελοι καὶ ἀνήγγειλαν τῷ βασιλεῖ.

Δ Βασ. 7,15 - Πράγματι εκείνοι εβάδισαν μέχρι του Ιορδάνου, ακολουθούντες την κατεύθυνσιν της φυγής των Συρων στρατιωτών. Και ιδού όλος ο δρόμος ήτο γεμάτος από ιμάτια και σκεύη, τα οποία έρριπτον οι Συροι, όταν πανικόβλητοι έφευγον δια να σωθούν. Οι απεσταλμένοι του βασιλέως επέστρεψαν και κατέστησαν εις αυτόν γνωστά τα γεγονότα.

Δ Βασ. 7,16 - καὶ ἐξῆλθεν ὁ λαὸς καὶ διήρπασαν τὴν παρεμβολὴν Συρίας, καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου, κατὰ τὸ ῥῆμα Κυρίου, καὶ δίμετρον κριθῶν σίκλου.

Δ Βασ. 7,16 - Τοτε όλος ο λαός της Σαμαρείας εβγήκεν από την πόλιν, έφθασεν στο στρατόπεδον της Συρίας και επεδόθη εις διαρπαγήν. Ησαν δε τόσον πολλά τα λάφυρα και μάλιστα τα τρόφιμα, ώστε, σύμφωνα με τον λόγον του Κυρίου, ένα μέτρον σημιγδάλι επωλείτο αντί ενός σίκλου και δύο μέτρα κριθάρι επωλούντο πάλιν αντί ενός σίκλου.

Δ Βασ. 7,17 - καὶ ὁ βασιλεὺς κατέστησε τὸν τριστάτην, ἐφ᾿ ὃν ὁ βασιλεὺς ἐπανεπαύετο τῇ χειρὶ αὐτοῦ, ἐπὶ τῆς πύλης. καὶ συνεπάτησεν αὐτὸν ὁ λαὸς ἐν τῇ πύλῃ, καὶ ἀπέθανε, καθὰ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ, ὃς ἐλάλησεν ἐν τῷ καταβῆναι τὸν ἄγγελον πρὸς αὐτόν.

Δ Βασ. 7,17 - Ο βασιλεύς έστειλεν εις την πύλην της πόλεως τον άρχοντά του, επί του οποίου εστήριζε την χείρα εις ένδειξιν ευμενείας, δια να εποπτεύη. Ο λαός όμως καθώς ορμητικός εξήρχετο οπό την πύλην, τον κατεπάτησε και τον εφόνευσεν, όπως είχε προαναγγείλει ο προφήτης Ελισαίος, ο άνθρωπος του Θεού, ο οποίος είχεν ομιλήσει, όταν ήλθε προς αυτόν ο απεσταλμένος αυτός του βασιλέως.

Δ Βασ. 7,18 - καὶ ἐγένετο καθὰ ἐλάλησεν Ἑλισαιὲ πρὸς τὸν βασιλέα λέγων· δίμετρον κριθῆς σίκλου καὶ μέτρον σεμιδάλεως σίκλου καὶ ἔσται ὡς ἡ ὥρα αὔριον ἐν τῇ πύλῃ Σαμαρείας·

Δ Βασ. 7,18 - Εγιναν τα γεγονότα, όπως ακριβώς είχε προαναγγείλει ο Ελισαίος προς τον βασιλέα λέγων· “δύο μέτρα κριθάρι θα πωληθή αντί ενός σίκλου και ένα μέτρον σημιγδάλι πάλιν αντί ενός σίκλου. Αυτά θα γίνουν την ώραν αυτήν αύριον εις την πύλην της Σαμαρείας”.

Δ Βασ. 7,19 - καὶ ἀπεκρίθη ὁ τριστάτης τῷ Ἑλισαιὲ καὶ εἶπεν· ἰδοὺ Κύριος ποιεῖ καταράκτας ἐν τῷ οὐρανῷ, μὴ ἔσται τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν Ἑλισαιέ· ἰδοὺ ὄψῃ τοῖς ὀφθαλμοῖς σου καὶ ἐκεῖθεν οὐ μὴ φάγῃ.

Δ Βασ. 7,19 - Είχε δε απαντήσει τότε ο άρχων του βασιλέως προς τον Ελισαίον και ειρωνικώς του είχεν είπει· "μήπως και θα ανοίξη καταρράκτας ο Θεός στον ουρανόν, δια να πραγματοποιηθούν τα λόγια σου αυτά;" Ο δε Ελισαίος του είχεν απαντήσει· "ιδού και συ ο ίδιος με τα μάτια σου θα ίδης αυτά τα γεγονότα, αλλά δεν θα ψάγης τίποτε από όσα θα δώση ο Θεός".

Δ Βασ. 7,20 - καὶ ἐγένετο οὕτως, καὶ συνεπάτησεν αὐτὸν ὁ λαὸς ἐν τῇ πύλῃ καὶ ἀπέθανε.

Δ Βασ. 7,20 - Και πράγματι έτσι έγινεν. Ο λαός, καθώς ορμητικός εξήρχετο από την πόλιν, κατεπάτησε τον άρχοντα αυτόν εις την πύλην και εκείνος απέθανεν εκεί.

Δ ΒΑΣΙΛΕΙΩΝ 8

Δ Βασ. 8,1 - Καὶ Ἑλισαιὲ ἐλάλησε πρὸς τὴν γυναῖκα, ἧς ἐζωπύρησε τὸν υἱόν, λέγων· ἀνάστηθι καὶ δεῦρο σὺ καὶ ὁ οἶκός σου καὶ παροίκει, οὗ ἐὰν παροικήσῃς, ὅτι κέκληκε Κύριος λιμὸν ἐπὶ τὴν γῆν, καί γε ἦλθεν ἐπὶ τὴν γῆν ἑπτὰ ἔτη.

Δ Βασ. 8,1 - Ο Ελισαίος ωμίλησε προς την γυναίκα, της οποίας είχεν αναστήσει το παιδί, και της είπε· "σήκω και πήγαινε συ και οι άνθρωποι του σπιτιού σου και μένε προσωρινώς, όπου θέλεις, διότι ο Κυριος διέταξε να έλθη στον τόπον μας πείνα, η οποία θα διαρκέση επί επτά έτη".

Δ Βασ. 8,2 - καὶ ἀνέστη ἡ γυνὴ καὶ ἐποίησε κατὰ τὸ ῥῆμα Ἑλισαιὲ καὶ αὐτὴ καὶ ὁ οἶκος αὐτῆς καὶ παρῴκει ἐν γῇ ἀλλοφύλων ἑπτὰ ἔτη.

Δ Βασ. 8,2 - Η γυναίκα εκείνη εσηκώθη και έκαμε, όπως ακριβώς της είχε πει ο Ελισαίος, αυτή και οι άνθρωποι του σπιτιού της. Εφυγε και κατώκησε προσωρινώς επί επτά έτη εις την χώραν των αλλοφύλων.

Δ Βασ. 8,3 - καὶ ἐγένετο μετὰ τὸ τέλος τῶν ἑπτὰ ἐτῶν καὶ ἐπέστρεψεν ἡ γυνὴ ἐκ γῆς ἀλλοφύλων εἰς τὴν πόλιν καὶ ἦλθε βοῆσαι πρὸς τὸν βασιλέα περὶ τοῦ οἴκου ἑαυτῆς καὶ περὶ τῶν ἀγρῶν αὐτῆς.

Δ Βασ. 8,3 - Οταν επέρασαν τα επτά έτη, η γυναίκα εκείνη επανήλθεν από την χώραν των Φιλισταίων εις την πόλιν της. Παρουσιάσθη προς τον βασιλέα και θερμώς παρεκάλεσε να αποδοθή εις αυτήν ο οίκος της και οι αγροί της, τους οποίους είχαν καταπατήσει άλλοι.

Δ Βασ. 8,4 - καὶ ὁ βασιλεὺς ἐλάλει πρὸς Γιεζὶ τὸ παιδάριον Ἑλισαιὲ τοῦ ἀνθρώπου τοῦ Θεοῦ λέγων· διήγησαι δὴ ἐμοὶ πάντα τὰ μεγάλα, ἃ ἐποίησεν Ἑλισαιέ.

Δ Βασ. 8,4 - Ο βασιλεύς την ώραν εκείνην ομιλούσε προς τον Γιεζί, τον δούλον του Ελισαίου του ανθρώπου του Θεού, και του έλεγε· “διηγήσου μου, σε παρακαλώ, όλα τα μεγάλα έργα, τα οποία έκαμεν ο Ελισαίος”.

Δ Βασ. 8,5 - καὶ ἐγένετο αὐτοῦ ἐξηγουμένου τῷ βασιλεῖ, ὡς ἐζωπύρησεν υἱὸν τεθνηκότα, καὶ ἰδοὺ ἡ γυνή, ἧς ἐζωπύρησε τὸν υἱὸν αὐτῆς Ἑλισαιέ, βοῶσα πρὸς τὸν βασιλέα περὶ τοῦ οἴκου ἑαυτῆς καὶ περὶ τῶν ἀγρῶν ἑαυτῆς· καὶ εἶπε Γιεζί· κύριε βασιλεῦ, αὕτη ἡ γυνὴ καὶ οὗτος ὁ υἱὸς αὐτῆς, ὃν ἐζωπύρησεν Ἑλισαιέ.

Δ Βασ. 8,5 - Ενώ δε ο Γιεζί διηγείτο προς τον βασιλέα, πως ο Ελισαίος ανέστησε τον νεκρόν υιόν της γυναικός εκείνης, ιδού η γυναίκα, της οποίας τον υιόν είχεν αναστήσει ο Ελισαίος, ήλθεν εκεί κράζουσα προς τον βασιλέα δια την απόδοσιν του οίκου της και των αγρών της. Είπε δε ο Γιεζί· “κύριε βασιλεύ, αυτή είναι η γυναίκα, περί της οποίας σου ωμίλησα, και αυτός είναι ο υιός της, τον οποίον ανέστησεν ο Ελισαίος”.

Δ Βασ. 8,6 - καὶ ἐπηρώτησεν ὁ βασιλεὺς τὴν γυναῖκα καὶ διηγήσατο αὐτῷ· καὶ ἔδωκεν αὐτῇ ὁ βασιλεὺς εὐνοῦχον ἕνα λέγων· ἐπίστρεψον πάντα τὰ αὐτῆς καὶ πάντα τὰ γενήματα τοῦ ἀγροῦ ἀπὸ τῆς ἡμέρας, ἧς κατέλιπε τὴν γῆν ἕως τοῦ νῦν.

Δ Βασ. 8,6 - Ο βασιλεύς ηρώτησε τότε την γυναίκα και εκείνη διηγήθη εις αυτόν τα γεγονότα. Ο βασιλεύς έδωκεν εις αυτήν ένα αξιωματικόν του και του είπε· “φρόντισε να αποδοθούν εις την γυναίκα αυτήν όλα όσα της ανήκουν και όλα τα προϊόντα του αγρού της από την ημέραν, κατά την οποίαν εγκατέλειψε την χώραν μέχρι τώρα”.

Δ Βασ. 8,7 - Καὶ ἦλθεν Ἑλισαιὲ εἰς Δαμασκόν, καὶ υἱὸς Ἄδερ βασιλεὺς Συρίας ἠῤῥώστει, καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες· ἥκει ὁ ἄνθρωπος τοῦ Θεοῦ ἕως ὧδε.

Δ Βασ. 8,7 - Επειτα ο Ελισαίος ήλθεν εις την Δαμασκόν. Ο υιός Αδερ, ο βασιλεύς της Συρίας, ήτο ασθενής. Είπον δε οι άνθρωποι του στον βασιλέα· “έχει ελθει έως εδώ ο Ελισαίος, ο άνθρωπος του Θεού”.

Δ Βασ. 8,8 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀζαήλ· λάβε ἐν τῇ χειρί σου μαναὰ καὶ δεῦρο εἰς ἀπαντὴν τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ ἐπιζήτησον τὸν Κύριον παρ᾿ αὐτοῦ λέγων· εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης;

Δ Βασ. 8,8 - Ο βασιλεύς είπε προς τον Αζαήλ· “πάρε εις τα χέρια σου δώρα, πήγαινε να συναντήσης τον άνθρωπον αυτόν του Θεού και ζήτησε δια μέσου αυτού να μάθης από τον Κυριον, εάν θα θεραπευθώ από την αρρώστιά μου αυτήν και θα ζήσω”.

Δ Βασ. 8,9 - καὶ ἐπορεύθη Ἀζαὴλ εἰς ἀπαντὴν αὐτοῦ καὶ ἔλαβε μαναὰ ἐν τῇ χειρὶ αὐτοῦ καὶ πάντα τὰ ἀγαθὰ Δαμασκοῦ, ἄρσιν τεσσαράκοντα καμήλων, καὶ ἦλθε καὶ ἔστη ἐνώπιον αὐτοῦ καὶ εἶπε πρὸς Ἑλισαιέ· υἱός σου

υἱὸς Ἄδερ βασιλεὺς Συρίας ἀπέστειλέ με πρός σε ἐπερωτῆσαι λέγων· εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης;

Δ Βασ. 8,9 - Ο Αζαήλ εξεκίνησεν εις συνάντησιν του Ελισαίου. Επήρε δώρα πολλά εις τα χέρια του από όλα τα αγαθά της Δαμασκού, τεσσαράκοντα φορτώματα καμήλων. Ηλθε και εστάθη ενώπιον του Ελισαίου και του είπε· “ο υιός σου, ο υιός Αδερ ο βασιλεύς της Συρίας, με έστειλε προς σέ, δια να ερωτήσω εκ μέρους του λέγων· εάν θα θεραπευθώ από την ασθένειάν μου αυτήν;”

Δ Βασ. 8,10 - καὶ καὶ εἶπεν Ἑλισαιέ· δεῦρο εἰπὸν αὐτῷ· ζωῇ ζήσῃ· καὶ ἔδειξέ μοι Κύριος ὅτι θανάτῳ ἀποθανῇ·

Δ Βασ. 8,10 - Ο Ελισαίος απήντησε· “πήγαινε και ειπέ εις αυτόν· Θα θεραπευθής από την ασθένειάν σου και θα ζήσης. Ο Κυριος όμως μου έδειξε κάποιον άλλον τρόπον, δια του οποίου θα αποθάνης”.

Δ Βασ. 8,11 - καὶ παρέστη τῷ προσώπῳ αὐτοῦ καὶ ἔθηκεν ἕως αἰσχύνης, καὶ ἔκλαυσεν ὁ ἄνθρωπος τοῦ Θεοῦ.

Δ Βασ. 8,11 - Ο Ελισαίος εστάθη ενώπιον του Αζαήλ, τον παρετήρησεν ατενώς, μέχρις ότου εκείνος εντράπη. Ο Ελισαίος ηρχισε να κλαίη.

Δ Βασ. 8,12 - καὶ εἶπεν Ἀζαήλ· τί ὅτι ὁ κύριός μου κλαίει; καὶ εἶπεν· ὅτι οἶδα ὅσα ποιήσεις τοῖς υἱοῖς Ἰσραὴλ κακά· τὰ ὀχυρώματα αὐτῶν ἐξαποστελεῖς ἐν πυρὶ καὶ τοὺς ἐκλεκτοὺς αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενεῖς καὶ τὰ νήπια αὐτῶν ἐνσείσεις καὶ τὰς ἐν γαστρὶ ἐχούσας αὐτῶν ἀναῤῥήξεις.

Δ Βασ. 8,12 - Ο Αζαήλ τότε τον ηρώτησε· “διατί κλαίει ο κύριός μου;” “Κλαίω διότι γνωρίζω πόσα κακά θα κάμης συ εναντίον των Ισραηλιτών. Τας ωχυρωμένας πόλεις αυτών θα παραδώσης στο πυρ και τους εκλεκτούς άνδρας των θα φονεύσης δια της ρομφαίας. Θα συντρίψης τα κεφάλια των νηπίων και θα ανοίξης τας κοιλίας των εγκύων γυναικών”.

Δ Βασ. 8,13 - καὶ εἶπεν Ἀζαήλ· τίς ἐστιν ὁ δοῦλός σου ὁ κύων ὁ τεθνηκώς, ὅτι ποιήσει τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν Ἑλισαιέ· ἔδειξέ μοι Κύριός σε βασιλεύοντα ἐπὶ Συρίαν.

Δ Βασ. 8,13 - Ο Αζαήλ απήντησε· “ποιός είμαι εγώ ο δούλος σου, εγώ το ψόφιο σκυλί που θα τολμήσω να κάμω τα έργα αυτά;” Ο Ελισαίος του απήντησεν· “ο Κυριος μου απεκάλυψεν, ότι θα γίνης βασιλεύς της Συρίας”.

Δ Βασ. 8,14 - καὶ ἀπῆλθεν ἀπὸ Ἑλισαιὲ καὶ εἰσῆλθε πρὸς τὸν κύριον αὐτοῦ καὶ εἶπεν αὐτῷ· τί εἶπέ σοι Ἑλισαιέ; καὶ εἶπεν· εἶπέ μοι, ζωῇ ζήσῃ.

Δ Βασ. 8,14 - Ο Αζαήλ ανεχώρησεν από τον Ελισαίον, εισήλθεν προς τον κύριόν του, ο οποίος και τον ηρώτησε· “τι σου είπεν ο Ελισαίος;” Εκείνος απήντησε· “μου είπεν ότι θα θεραπευθής από την ασθένειάν σου και θα ζήσης”.

Δ Βασ. 8,15 - καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ ἔλαβε τὸ μαχμὰ καὶ ἔβαψεν ἐν τῷ ὕδατι καὶ περιέβαλεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ καὶ ἀπέθανε, καὶ ἐβασίλευσεν Ἀζαὴλ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 8,15 - Την επομένην ημέραν ο Αζαήλ επήρεν ένα σκέπασμα, το εβύθισε μέσα στο νερό και με αυτό περιετύλιξεν ασφυκτικώς το πρόσωπον του βασιλέως του, τον έπνιξε και εκείνος απέθανεν. Αντί δε αυτού εβασίλευσεν ο Αζαήλ.

Δ Βασ. 8,16 - Ἐν ἔτει πέμπτῳ τῷ Ἰωρὰμ υἱῷ Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἰωρὰμ υἱὸς Ἰωσαφὰτ βασιλεὺς Ἰούδα.

Δ Βασ. 8,16 - Κατά το πέμπτον έτος της βασιλείας του Ιωράμ, υιού του Αχαάβ βασιλέως του Ισραήλ, όταν ο Ιωσαφάτ ήτο βασιλεύς του Ιούδα, ανήλθεν στον θρόνον του βασιλείου Ιούδα ο Ιωράμ, ο υιός του Ιωσαφάτ.

Δ Βασ. 8,17 - υἱὸς τριάκοντα καὶ δύο ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Δ Βασ. 8,17 - Ητο δε τότε τριάκοντα δύο ετών ο Ιωράμ, όταν ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσε δε επί οκτώ έτη με πρωτεύουσαν την Ιερουσαλήμ.

Δ Βασ. 8,18 - καὶ ἐπορεύθη ἐν ὁδῷ βασιλέων Ἰσραήλ, καθὼς ἐποίησεν οἶκος Ἀχαάβ, ὅτι θυγάτηρ Ἀχαὰβ ἦν αὐτῷ εἰς γυναῖκα· καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου.

Δ Βασ. 8,18 - Εβάδισεν όμως τον δρόμον της ασεβείας των βασιλέων του Ισραήλ. Εκαμε και αυτός ο,τι είχε κάμει η οικογένεια Αχαάβ, διότι έλαβεν ως σύζυγόν του θυγατέρα του Αχαάβ. Διέπραξε πονηρά ενώπιον του Κυρίου εκτραπείς εις την ειδωλολατρείαν.

Δ Βασ. 8,19 - καὶ οὐκ ἠθέλησε Κύριος διαφθεῖραι τὸν Ἰούδαν διὰ Δαυὶδ τὸν δοῦλον αὐτοῦ, καθὼς εἶπε δοῦναι αὐτῷ λύχνον καὶ τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας.

Δ Βασ. 8,19 - Ο Κυριος όμως δεν ηθέλησε να εξολοθρεύση αυτόν και να σταματήση έτσι την διαδοχήν στο βασίλειον του Ιούδα. Τούτο δέ, προς χάριν του Δαυίδ του δούλου του. Διότι είχεν υποσχεθή εις αυτόν, ότι θα δώση λύχνον διαδοχής στους απογόνους αυτού αδιακόπως επί του βασιλικού θρόνου.

Δ Βασ. 8,20 - ἐν ταῖς ἡμέραις αὐτοῦ ἠθέτησεν Ἐδὼμ ὑποκάτωθεν χειρὸς Ἰούδα καὶ ἐβασίλευσαν ἐφ᾿ ἑαυτοὺς βασιλέα.

Δ Βασ. 8,20 - Κατά την περίοδον της βασιλείας του Ιωράμ οι Ιδουμαίοι επανεστάτησαν εναντίον της δουλείας των Ιουδαίων και ανεκήρυξαν δια τον εαυτόν τους ιδικόν των βασιλέα.

Δ Βασ. 8,21 - καὶ ἀνέβη Ἰωρὰμ εἰς Σιὼρ καὶ πάντα τὰ ἅρματα τὰ μετ᾿ αὐτοῦ, καὶ ἐγένετο αὐτοῦ ἀναστάντος καὶ ἐπάταξε τὸν Ἐδὼμ τὸν

κυκλώσαντα ἐπ᾿ αὐτὸν καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων, καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν.

Δ Βασ. 8,21 - Ο Ιωράμ εξεστράτευσε τότε εναντίον της Σιώρ της ιδουμαίας, με όλα τα πολεμικά του άρματα. Αφού ητοιμάσθη εκτύπησε τους Ιδουμαίους. Εκείνοι όμως περιεκύκλωσαν αυτόν και τους αρχηγούς των αρμάτων. Ο ιουδαϊκός στρατός ηττηθείς ετράπη εις φυγήν και οι στρατιώται επέστρεψαν εις τας κατοικίας των.

Δ Βασ. 8,22 - καὶ ἠθέτησεν Ἐδὼμ ὑποκάτω τῆς χειρὸς Ἰούδα ἕως τῆς ἡμέρας ταύτης. τότε ἠθέτησε Λοβενὰ ἐν τῷ καιρῷ ἐκείνῳ.

Δ Βασ. 8,22 - Ετσι δε οι Ιδουμαίοι απετίναξαν τον ζυγόν του βασιλείου του Ιούδα και έμεναν ελεύθεροι μέχρι της ημέρας αυτής. Κατά την ιδίαν περίοδον απετίναξαν τον ζυγόν της δουλείας των και οι κάτοικοι της Λοβενά.

Δ Βασ. 8,23 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωρὰμ καὶ πάντα, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 8,23 - Τα δε άλλα έργα του Ιωράμ, όσα αυτός έκαμε, δεν είναι γραμμένα στο βιβλίον χρονικών των βασιλέων του Ιούδα;

Δ Βασ. 8,24 - καὶ ἐκοιμήθη Ἰωρὰμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐβασίλευσεν Ὀχοζίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 8,24 - Ο Ιωράμ εκοιμήθη μετά των πατέρων του, απέθανε και ετάφη με τους προπάτοράς του εις την πόλιν Δαυίδ, του προγόνου του. Εγινε δε βασιλεύς αντ' αυτού ο Οχοζίας, ο υιός του.

Δ Βασ. 8,25 - Ἐν ἔτει δωδεκάτῳ τῷ Ἰωρὰμ υἱῷ Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἰωράμ.

Δ Βασ. 8,25 - Κατά το δωδέκατον έτος της βασιλείας του Ιωράμ, υιού του Αχαάβ, βασιλέως του Ισραήλ, εβασίλευσεν ο Οχοζίας ο υιός του Ιωράμ.

Δ Βασ. 8,26 - υἱὸς εἴκοσι καὶ δύο ἐτῶν Ὀχοζίας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἐνιαυτὸν ἕνα ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Γοθολία θυγάτηρ Ἀμβρὶ βασιλέως Ἰσραήλ.

Δ Βασ. 8,26 - Ο Οχοζίας, όταν ανήλθεν στον βασιλικόν θρόνον, ήτο είκοσι δύο ετών. Εμεινε δε βασιλεύς επί ένα έτος εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Γοθολία, ήτο δε θυγάτηρ του Αμβρί, βασιλέως του ισραηλιτικού λαού.

Δ Βασ. 8,27 - καὶ ἐπορεύθη ἐν ὁδῷ οἴκου Ἀχαὰβ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καθὼς ὁ οἶκος Ἀχαάβ.

Δ Βασ. 8,27 - Επορεύθη όμως και αυτός τον δρόμον της ασεβείας του Αχαάβ και διέπραξε πονηρά ενώπιον του Κυρίου, όπως και ο οίκος του Αχαάβ.

Δ Βασ. 8,28 - καὶ ἐπορεύθη μετὰ Ἰωρὰμ υἱοῦ Ἀχαὰβ εἰς πόλεμον μετὰ Ἀζαὴλ βασιλέως ἀλλοφύλων ἐν Ῥεμμὼθ Γαλαάδ, καὶ ἐπάταξαν οἱ Σύροι τὸν Ἰωράμ.

Δ Βασ. 8,28 - Αυτός εξεστράτευσε μαζή με τον Ιωράμ, υιόν του Αχαάβ, εναντίον του Αζαήλ, βασιλέως των Συρων εις Ρεμμώθ Γαλαάδ. Εκεί όμως εκτύπησαν οι Συροι τον Ιωράμ.

Δ Βασ. 8,29 - καὶ ἐπέστρεψεν ὁ βασιλεὺς Ἰωρὰμ τοῦ ἰατρευθῆναι ἐν Ἰεζράελ ἀπὸ τῶν πληγῶν, ὧν ἐπάταξαν αὐτὸν ἐν Ῥεμμὼθ ἐν τῷ πολεμεῖν αὐτὸν μετὰ Ἀζαὴλ βασιλέως Συρίας· καὶ Ὀχοζίας υἱὸς Ἰωρὰμ κατέβη τοῦ ἰδεῖν τὸν Ἰωρὰμ υἱὸν Ἀχαὰβ ἐν Ἰεζράελ, ὅτι ἠῤῥώστει αὐτός.

Δ Βασ. 8,29 - Ο βασιλεύς Ιωράμ πληγωμένος επέστρεψεν εις την πόλιν Ιεζράελ, δια να θεραπευθή από τας πληγάς, τας οποίας έλαβεν εις Ρεμμώθ πολεμών εναντίον του Αζαήλ, βασιλέως της Συρίας. Ο Οχοζίας, ο υιός του Ιωράμ, κατέβη εις την πόλιν Ιεζράελ, δια να ίδη τον Ιωράμ, υιόν του Αχαάβ, ο οποίος ήτο πληγωμένος και ασθενής.

Δ ΒΑΣΙΛΕΙΩΝ 9

Δ Βασ. 9,1 - Καὶ Ἑλισαιὲ ὁ προφήτης ἐκάλεσεν ἕνα τῶν υἱῶν τῶν προφητῶν καὶ εἶπεν αὐτῷ· ζῶσαι τὴν ὀσφύν σου καὶ λαβὲ τὸν φακὸν τοῦ ἐλαίου τούτου ἐν τῇ χειρί σου καὶ δεῦρο εἰς Ῥεμμὼθ Γαλαάδ·

Δ Βασ. 9,1 - Ο προφήτης Ελισαίος εκάλεσεν ένα από τους νεαρούς προφήτας και του είπε· “δέσε την ζώνην σου γύρω από την μέσην σου και ετοιμάσου· πάρε στο χέρι σου αυτό το δοχείον του ελαίου και πήγαινε εις την Ρεμμώθ Γαλαάδ.

Δ Βασ. 9,2 - καὶ εἰσελεύσῃ ἐκεῖ καὶ ὄψῃ ἐκεῖ Ἰοὺ υἱὸν Ἰωσαφὰτ υἱοῦ Ναμεσσὶ καὶ εἰσελεύσῃ καὶ ἀναστήσεις αὐτὸν ἐκ μέσου τῶν ἀδελφῶν αὐτοῦ καὶ εἰσάξεις αὐτὸν εἰς τὸ ταμιεῖον ἐν ταμιείῳ·

Δ Βασ. 9,2 - Θα εισέλθης εις την πόλιν και εκεί θα ίδης τον Ιού, υιόν του Ιωσαφάτ, υιού του Ναμεσσί. Θα εισέλθης εκεί, όπου ευρίσκεται, θα τον πάρης ανάμεσα από τους συναδέλφους του τους στρατιωτικούς και θα τον οδηγήσης μέσα στο ιδιαίτερον και πλέον απόκρυφον δωμάτιον.

Δ Βασ. 9,3 - καὶ λήψῃ τὸν φακὸν τοῦ ἐλαίου καὶ ἐπιχεεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ εἰπόν· τάδε λέγει Κύριος· κέχρικά σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ· καὶ ἀνοίξεις τὴν θύρα καὶ φεύξῃ καὶ οὐ μενεῖς.

Δ Βασ. 9,3 - Θα πάρης το δοχείον αυτό του ελαίου και θα χύσης το έλαιον επάνω στο κεφάλι του και θα του είπης· αυτά λέγει ο Κυριος· Σε έχω χρίσει βασιλέα του ισραηλιτικού λαού. Αμέσως δε κατόπιν θα ανοίξης την θύραν και θα φύγης και δεν θα μείνης εκεί πλέον”.

Δ Βασ. 9,4 - καὶ ἐπορεύθη τὸ παιδάριον ὁ προφήτης εἰς Ῥεμμὼθ Γαλαὰδ

Δ Βασ. 9,4 - Ο νεαρός προφήτης επήγεν εις την Ρεμμώθ Γαλαάδ,

Δ Βασ. 9,5 - καὶ εἰσῆλθε, καὶ ἰδοὺ οἱ ἄρχοντες τῆς δυνάμεως ἐκάθηντο, καὶ εἶπε· λόγος μοι πρὸς σέ, ὁ ἄρχων. καὶ εἶπεν Ἰού· πρὸς τίνα ἐκ πάντων ἡμῶν; καὶ εἶπε· πρὸς σέ, ὁ ἄρχων.

Δ Βασ. 9,5 - εισήλθεν εις την πόλιν και στον οίκον, όπου οι στρατιωτικοί αρχηγοί εκάθηντο, και είπε προς τον Ιού ο προφήτης· “θέλω να σου ανακοινώσω κάτι, στρατηγέ”. Ο Ιού απήντησε· “προς ποίον από όλους μας;” Εκείνος του είπε· “προ σέ, στρατηγέ”.

Δ Βασ. 9,6 - καὶ ἀνέστη καὶ εἰσῆλθεν εἰς τὸν οἶκον, καὶ ἐπέχεε τὸ ἔλαιον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ εἶπεν αὐτῷ· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· κέχρικά σε εἰς βασιλέα ἐπὶ λαὸν Κυρίου ἐπὶ τὸν Ἰσραήλ,

Δ Βασ. 9,6 - Ο Ιού εσηκώθη και εισήλθε μαζή με τον προφήτην στο εσωτερικόν του οίκου. Εκεί δε ο προφήτης έχυσε το έλαιον επάνω εις την κεφαλήν του και είπεν εις αυτόν· “αυτά λέγει Κυριος ο Θεός του Ισραήλ· Σε έχω χρίσει βασιλέα επί τον λαόν Κυρίου, επί τον ισραηλιτικόν λαόν.

Δ Βασ. 9,7 - καὶ ἐξολοθρεύσεις τὸν οἶκον Ἀχαὰβ τοῦ κυρίου σου ἐκ προσώπου μου καὶ ἐκδικήσεις τὰ αἵματα τῶν δούλων μου τῶν προφητῶν καὶ τὰ αἵματα πάντων τῶν δούλων Κυρίου ἐκ χειρὸς Ἰεζάβελ

Δ Βασ. 9,7 - Σου δίδω εντολήν να εξολοθρεύσης την οικογένειαν του Αχαάβ, του κυρίου σου, από ενώπιόν μου και να τιμωρήσης εκείνους, οι οποίοι έχυσαν το αίμα των δούλων μου, των προφητών και τα αίματα όλων των δούλων του Κυρίου δια της χειρός της Ιεζάβελ

Δ Βασ. 9,8 - καὶ ἐκ χειρὸς ὅλου τοῦ οἴκου Ἀχαὰβ καὶ ἐξολοθρεύσεις τῷ οἴκῳ Ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραήλ·

Δ Βασ. 9,8 - και δια των άλλων ανθρώπων του βασιλικού οίκου του Αχαάβ. Θα εξολοθρεύσης λοιπόν όλους τους άρρενας της οικογενείας Αχαάβ, δούλον η ελεύθερον, από τους απογόνους του, που έχουν απομείνει μεταξύ του ισραηλιτικού λαού.

Δ Βασ. 9,9 - καὶ δώσω τὸν οἶκον Ἀχαὰβ ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ὡς τὸν οἶκον Βαασὰ υἱοῦ Ἀχιά·

Δ Βασ. 9,9 - Εγώ ο Θεός θα παραδώσω εις καταστροφήν τον οίκον του Αχαάβ, όπως κατέστρεψα τον οίκον Ιεροβοάμ, υιού Ναβάτ, και όπως επίσης έπραξα εναντίον του οίκου Βαασά, του υιού Αχιά.

Δ Βασ. 9,10 - καὶ τὴν Ἰεζάβελ καταφάγονται οἱ κύνες ἐν τῇ μερίδι Ἰεζράελ, καὶ οὐκ ἔστιν ὁ θάπτων. καὶ ἤνοιξε τὴν θύραν καὶ ἔφυγε.

Δ Βασ. 9,10 - Την δε Ιεζάβελ θα καταφάγουν τα σκυλιά στον αγρόν Ιεζράελ. Και δεν θα ευρεθή άνθρωπος να την θάψη”. Κατόπιν ο προφήτης

ήνοιξε την θύραν και έφυγε.

Δ Βασ. 9,11 - καὶ Ἰοὺ ἐξῆλθε πρὸς τοὺς παῖδας τοῦ κυρίου αὐτοῦ, καὶ εἶπαν αὐτῷ· εἰρήνη; τί ὅτι εἰσῆλθεν ὁ ἐπίληπτος οὗτος πρὸς σέ; καὶ εἶπεν αὐτοῖς· ὑμεῖς οἴδατε τὸν ἄνδρα καὶ τὴν ἀδολεσχίαν αὐτοῦ.

Δ Βασ. 9,11 - Ο Ιού εβγήκεν από το δωμάτιον και επήγε προς τους αξιωματικούς συναδέλφους του, τους υπηρετούντας τον βασιλέα. Εκείνοι τον ηρώτησαν· “δια το καλόν ήτο η επίσκεψις του ανθρώπου αυτού; Τι συμβαίνει; Διατί ήλθε προς σε αυτός ο επιληπτικός;” Ο Ιού είπε προς αυτούς· “σεις γνωρίζετε ασφαλώς τον άνθρωπον αυτόν και τον λόγον, τον οποίον μου είπε”.

Δ Βασ. 9,12 - καὶ εἶπον· ἄδικον· ἀπάγγειλον δὴ ἡμῖν. καὶ εἶπεν Ἰοὺ πρὸς αὐτούς· οὕτω καὶ οὕτω ἐλάλησε πρός με λέγων· τάδε λέγει Κύριος· κέχρικά σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ.

Δ Βασ. 9,12 - Εκείνοι του απήντησαν· “ακατανόητος η απάντησίς σου. Πές μας, λοιπόν, τι ακριβώς συνέβη;” Ο Ιού είπε προς αυτούς· “αυτά και αυτά μου είπεν ο άνθρωπος του Θεού λέγων· Ταδε λέγει Κυριος. Σε έχω χρίσει βασιλέα στον ισραηλιτικόν λαόν”.

Δ Βασ. 9,13 - καὶ ἀκούσαντες ἔσπευσαν καὶ ἔλαβεν ἕκαστος τὸ ἱμάτιον αὐτοῦ καὶ ἔθηκαν ὑποκάτω αὐτοῦ ἐπὶ τὸ γαρὲμ τῶν ἀναβαθμῶν καὶ ἐσάλπισαν ἐν κερατίνῃ καὶ εἶπαν· ἐβασίλευσεν Ἰού.

Δ Βασ. 9,13 - Εκείνοι, όταν ήκουσαν αυτά, επήρεν ο καθένας το ιμάτιόν του, το έβαλεν εις σημείον υποταγής εις την ανωτάτην βαθμίδα της κλίμακος, εσάλπισαν με κερατίνην σάλπιγγα και διεκήρυξαν· “ο Ιού είναι βασιλεύς”.

Δ Βασ. 9,14 - καὶ συνεστράφη Ἰοὺ υἱὸς Ἰωσαφὰτ υἱοῦ Ναμεσσὶ πρὸς Ἰωρὰμ καὶ Ἰωρὰμ αὐτὸς ἐφύλασσεν ἐν Ῥεμμὼθ Γαλαάδ, αὐτὸς καὶ πᾶς Ἰσραὴλ ἀπὸ προσώπου Ἀζαὴλ βασιλέως Συρίας,

Δ Βασ. 9,14 - Ο Ιού, ο υιός του Ιωσαφάτ υιού του Ναμεσσί, οργάνωσε μίαν συνωμοσίαν εναντίον του βασιλέως Ιωράμ. Ο δε Ιωράμ είχε τότε εκστρατεύσει εις Ρεμμώθ Γαλαάδ, αυτός και όλος ο στρατός του, και ήσαν έτοιμοι προς πόλεμον εναντίον Αζαήλ, του βασιλέως της Συρίας.

Δ Βασ. 9,15 - καὶ ἀπέστρεψεν Ἰωρὰμ ὁ βασιλεὺς ἰατρευθῆναι ἐν Ἰεζράελ ἀπὸ τῶν πληγῶν, ὧν ἔπαισαν αὐτὸν οἱ Σύριοι ἐν τῷ πολεμεῖν αὐτὸν μετὰ Ἀζαὴλ βασιλέως Συρίας· καὶ εἶπεν Ἰού· εἰ ἔστι ψυχὴ ὑμῶν μετ᾿ ἐμοῦ, μὴ ἐξελθέτω ἐκ τῆς πόλεως διαπεφευγὼς τοῦ πορευθῆναι καὶ ἀπαγγεῖλαι ἐν Ἰεζράελ.

Δ Βασ. 9,15 - Ο Ιωράμ μετά την μάχην είχεν επιστρέψει εις Ιεζράελ, δια να θεραπευθή από τας πληγάς, τας οποίας του είχαν προξενήσει στο σώμα του οι Συροι, όταν αυτός επολεμούσεν εναντίον του Αζαήλ, βασιλέως των Συρων. Ο Ιού είπε προς τους αξιωματικούς συναδέλφους του· “εάν η καρδιά σας είναι με το μέρος μου, κανείς ας μη εξέλθη από την πόλιν, ας μη

διαφύγη από εδώ και πορευθή και αναγγείλη στον βασιλέα, ο οποίος ευρίσκεται εις Ιεζράελ, όσα γνωρίζομεν”.

Δ Βασ. 9,16 - καὶ ἵππευσε καὶ ἐπορεύθη Ἰοὺ καὶ κατέβη εἰς Ἰεζράελ, ὅτι Ἰωρὰμ βασιλεὺς Ἰσραὴλ ἐθεραπεύετο ἐν τῷ Ἰεζράελ ἀπὸ τῶν τοξευμάτων, ὧν κατετόξευσαν αὐτὸν οἱ Ἀραμὶν ἐν τῇ Ῥαμμὰθ ἐν τῷ πολέμῳ μετὰ Ἀζαὴλ βασιλέως Συρίας, ὅτι αὐτὸς δυνατὸς καὶ ἀνὴρ δυνάμεως, καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα κατέβη ἰδεῖν τὸν Ἰωράμ.

Δ Βασ. 9,16 - Ο Ιού ανέβη εις ένα ίππον και κατέβηκε με την συνοδείαν του εις την Ιεζράελ. Εις την πόλιν αυτήν ο βασιλεύς του Ισραήλ, ο Ιωράμ, εθεραπεύετο από τας πληγάς, τας οποίας έλαβεν από τα τοξεύματα των Αραμαίων εις Ραμμάθ, κατά τον πόλεμον εναντίον του Αζαήλ, βασιλέως της Συρίας, διότι αυτός ήτο γενναίος και αρχηγός μεγάλης στρατιωτικής δυνάμεως. Ο Οχοζίας, ο βασιλεύς των Ιουδαίων, κατέβη και αυτός να επισκεφθή και ίδη τον Ιωράμ.

Δ Βασ. 9,17 - καὶ ὁ σκοπὸς ἀνέβη ἐπὶ τὸν πύργον Ἰεζράελ καὶ εἶδε τὸν κονιορτὸν Ἰοὺ ἐν τῷ παραγίνεσθαι αὐτὸν καὶ εἶπε· κονιορτὸν ἐγὼ βλέπω. καὶ εἶπεν Ἰωράμ· λαβὲ ἐπιβάτην καὶ ἀπόστειλον ἔμπροσθεν αὐτῶν, καὶ εἰπάτω, εἰ εἰρήνη.

Δ Βασ. 9,17 - Ο φρουρών στρατιώτης ανέβη εις ένα πύργον της πόλεως Ιεζράελ και είδε τον κονιορτόν, που εσήκωνεν ο Ιού καθώς ήρχετο με καλπασμόν, και είπε· “βλέπω εγώ κονιορτόν”. Ο Ιωράμ του είπε· “πάρε ένα ιππέα και στείλε αυτόν εμπρός από εκείνους, που έρχονται, και ας ερωτήσουν εάν έρχωνται δι' ειρηνικούς σκοπούς”.

Δ Βασ. 9,18 - καὶ ἐπορεύθη ἐπιβάτης ἵππου εἰς ἀπαντὴν αὐτῶν καὶ εἶπε· τάδε λέγει ὁ βασιλεύς, εἰ εἰρήνη. καὶ εἶπεν Ἰού· τί σοι καὶ εἰρήνη; ἐπίστρεφε εἰς τὰ ὀπίσω μου. καὶ ἀπήγγειλεν ὁ σκοπὸς λέγων· ἦλθεν ὁ ἄγγελος ἕως αὐτῶν καὶ οὐκ ἀνέστρεψε.

Δ Βασ. 9,18 - Ο έφιππος απεσταλμένος εκάλπασεν εις απάντησιν αυτών και είπε· “αυτά ερωτά ο βασιλεύς· Εάν έρχεσθε δι' ειρηνικούς σκοπούς”. Ο Ιού απήντησε· “τι ενδιαφέρεσαι συ δια την ειρήνην; Ελα και συ κοντά μου”. Ο φρουρός της πόλεως Ιεζράελ είπεν προς τον Ιωράμ· “ο αγγελιαφόρος έφθασε μέχρις αυτών, αλλά δεν επέστρεψε”.

Δ Βασ. 9,19 - καὶ ἀπέστειλεν ἐπιβάτην ἵππου δεύτερον, καὶ ἦλθε πρὸς αὐτὸν καὶ εἶπε· τάδε λέγει ὁ βασιλεύς· εἰ εἰρήνη. καὶ εἶπεν Ἰού· τί σοι καὶ εἰρήνη; ἐπιστρέφου εἰς τὰ ὀπίσω μου.

Δ Βασ. 9,19 - Ο βασιλεύς έστειλεν άλλον δεύτερον έφιππον αγγελιαφόρον, ο οποίος ήλθε προς τον Ιού και τον ηρώτησεν· “αυτά λέγει ο βασιλεύς· Ερχεσαι με ειρηνικόν σκοπόν;” Ο δε Ιού του απήντησε· “τι συ ενδιαφέρεσαι δια την ειρήνην; Ελα και συ κοντά μου”.

Δ Βασ. 9,20 - καὶ ἀπήγγειλεν ὁ σκοπὸς λέγων· ἦλθεν ἕως αὐτῶν καὶ οὐκ ἀνέστρεψε· καὶ ὁ ἄγων ἦγε τὸν Ἰοὺ υἱὸν Ναμεσσί, ὅτι ἐν παραλλαγῇ ἐγένετο.

Δ Βασ. 9,20 - Ο φρουρός της πόλεως ανήγγειλε δια δευτέραν φοράν και είπε προς τον βασιλέα· "ο δεύτερος έφιππος αγγελιαφόρος έφθασε μέχρις εκείνων, αλλά δεν επανήλθε". Και ο ιππεύς Ιού, υιός του Ναμεσσί έτρεχε με αλλόφρονα καλπασμόν προς την πόλιν.

Δ Βασ. 9,21 - καὶ εἶπεν Ἰωράμ· ζεῦξον· καὶ ἔζευξεν ἅρμα. καὶ ἐξῆλθεν Ἰωρὰμ βασιλεὺς Ἰσραὴλ καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα, ἀνὴρ ἐν τῷ ἅρματι αὐτοῦ, καὶ ἐξῆλθον εἰς ἀπαντὴν Ἰοὺ καὶ εὗρον αὐτὸν ἐν τῇ μερίδι Ναβουθαὶ τοῦ Ἰεζραηλίτου.

Δ Βασ. 9,21 - Εκ τούτου ο βασιλεύς Ιωράμ υπωπτεύθη κάποιον κακόν και είπε· "ζεύξε το άρμα μου". Ο υπηρέτης του έζευξε το πολεμικόν άρμα. Εβγήκεν ο βασιλεύς του Ισραήλ Ιωράμ. Μαζή του δε εξήλθε και ο βασιλεύς Ιούδα, ο Οχοζίας, ο καθένας από αυτούς στο ιδικόν του άρμα και εξήλθον εις απάντησιν του Ιού. Συνήντησαν δε αυτόν στον αγρόν του Ναβουθαί, του Ιεζραηλίτου.

Δ Βασ. 9,22 - καὶ ἐγένετο ὡς εἶδεν Ἰωρὰμ τὸν Ἰού, καὶ εἶπεν· εἰ εἰρήνη Ἰού; καὶ εἶπεν Ἰού· τί εἰρήνη; ἔτι αἱ πορνεῖαι Ἰεζάβελ τῆς μητρός σου καὶ τὰ φάρμακα αὐτῆς τὰ πολλά.

Δ Βασ. 9,22 - Οταν ο Ιωράμ είδε τον Ιού, τον ηρώτησεν· "ειρηνικός είναι ο σκοπός της επισκέψεώς σου;" Ο δε Ιού του απήντησε· "τι ειρήνη και ειρήνη; Ακόμη μένουν η διαφθορά και η ασέβεια Ιεζάβελ της μητρός σου και αι μαγείαι αυτής αι πάρα πολλαί. Εφθασεν ο καιρός της τιμωρίας".

Δ Βασ. 9,23 - καὶ ἐπέστρεψεν Ἰωρὰμ τὰς χεῖρας αὐτοῦ τοῦ φυγεῖν καὶ εἶπε πρὸς Ὀχοζίαν· δόλος, Ὀχοζία.

Δ Βασ. 9,23 - Ο Ιωράμ αμέσως εγύρισε τα ηνία του άρματος να φύγη και είπε προς τον Οχοζίαν· "Οχοζία, πρόκειται περί συνωμοσίας".

Δ Βασ. 9,24 - καὶ ἔπλησεν Ἰοὺ τὴν χεῖρα αὐτοῦ ἐν τῷ τόξῳ καὶ ἐπάταξε τὸν Ἰωρὰμ ἀνὰ μέσον τῶν βραχιόνων αὐτοῦ, καὶ ἐξῆλθε τὸ βέλος αὐτοῦ διὰ τῆς καρδίας αὐτοῦ, καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ.

Δ Βασ. 9,24 - Ο Ιού επήρεν στο χέρι του το τόξον, εκτύπησε με το βέλος τον Ιωράμ ανάμεσα εις τις δύο πλάτες και το βέλος εβγήκεν δια της καρδίας του. Ο Ιωράμ εγονάτισεν επάνω στο άρμα του και απέθανεν αμέσως.

Δ Βασ. 9,25 - καὶ εἶπε πρὸς Βαδεκὰρ τὸν τριστάτην αὐτοῦ· ῥῖψον αὐτὸν ἐν τῇ μερίδι ἀγροῦ Ναβουθαὶ τοῦ Ἰεζραηλίτου· ὅτι μνημονεύω, ἐγὼ καὶ σὺ ἐπιβεβηκότες ἐπὶ ζεύγη ὀπίσω Ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ, καὶ Κύριος ἔλαβεν ἐπ᾿ αὐτὸν τὸ λῆμμα τοῦτο λέγων·

Δ Βασ. 9,25 - Ο Ιού είπεν στον αξιωματικόν της συνοδείας του, τον Βαδεκάρ· "ρίξε το πτώμα του Ιωράμ στον αγρόν του Ναβουθαί του

Ιεζραηλίτου. Διότι ενθυμούμαι, όταν εγώ και συ έφιπποι ηκολουθήσαμεν ως συνοδοί Αχαάβ τον πατέρα αυτού, ο Κυριος είχε προαναγγείλει αυτήν την τιμωρίαν εναντίον του λέγων·

Δ Βασ. 9,26 - εἰ μὴ τὰ αἵματα Ναβουθαὶ καὶ τὰ αἵματα τῶν υἱῶν αὐτοῦ εἶδον ἐχθές, φησὶ Κύριος, καὶ ἀνταποδώσω αὐτῷ ἐν τῇ μερίδι ταύτῃ, φησὶ Κύριος· καὶ νῦν ἄρας δὴ ῥῖψον αὐτὸν ἐν τῇ μερίδι κατὰ τὸ ῥῆμα Κυρίου.

Δ Βασ. 9,26 - Οπως είδον χθες τα αίματα του Ναβουθαί και των υιών του να χύνωνται από τούτον, λέγει ο Κυριος, έτσι θα του ανταποδώσω την αδικίαν, που διέπραξεν, στον ίδιον ακριβώς αγρόν. Και τώρα πάρε το νεκρόν σώμα και ρίξε το στον αγρόν αυτόν σύμφωνα με τον λόγον του Κυρίου".

Δ Βασ. 9,27 - καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα εἶδε καὶ ἔφυγεν ὁδὸν Βαιθαγγάν, καὶ ἐδίωξεν ὀπίσω αὐτοῦ Ἰοὺ καὶ εἶπε· καί γε αὐτόν· καὶ ἐπάταξεν αὐτὸν πρὸς τῷ ἅρματι ἐν τῷ ἀναβαίνειν Γαΐ, ἥ ἐστιν Ἰεβλαάμ, καὶ ἔφυγεν εἰς Μαγεδδὼ καὶ ἀπέθανεν ἐκεῖ.

Δ Βασ. 9,27 - Ο βασιλεύς των Ιουδαίων, ο Οχοζίας, όταν είδε το τραγικόν γεγονός, έφυγε πανικόβλητος ακολουθών την οδόν προς Βαιθαγγάν, αλλά ο Ιού με τους στρατιώτας του τον κατεδίωξε και είπεν εις ένα από τους στρατιώτας του· "και αυτόν εκτελέσατε". Και πράγματι ένας στρατιώτης εκτύπησεν αυτόν στο άρμα του, όταν ανέβαινεν εις την πόλιν Γαϊ, η οποία ευρίσκεται πλησίον της Ιεβλαάμ. Εφυγε δε με το άρμα του πληγωμένος εις Μαγεδδώ ο Οχοζίας, όπου και απέθανε.

Δ Βασ. 9,28 - καὶ ἐπεβίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἐπὶ τὸ ἅρμα καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσαλὴμ καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν πόλει Δαυίδ.

Δ Βασ. 9,28 - Οι δούλοι του τον απέθεσαν νεκρόν στο άρμα του, τον έφεραν εις την Ιερουσαλήμ και τον έθαψαν στον τάφον του εις την πόλιν του Δαυίδ.

Δ Βασ. 9,29 - καὶ ἐν ἔτει ἑνδεκάτῳ Ἰωρὰμ βασιλέως Ἰσραὴλ ἐβασίλευσεν Ὀχοζίας ἐπὶ Ἰούδαν.

Δ Βασ. 9,29 - Κατά το ενδέκατον έτος του Ιωράμ, βασιλέως του ισραηλιτικού λαού, εβασίλευσεν ο Οχοζίας στο βασίλειον του Ιούδα.

Δ Βασ. 9,30 - καὶ ἦλθεν Ἰοὺ ἐπὶ Ἰεζράελ· καὶ Ἰεζάβελ ἤκουσε καὶ ἐστιμίσατο τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ ἠγάθυνε τὴν κεφαλὴν αὐτῆς καὶ διέκυψε διὰ τῆς θυρίδος.

Δ Βασ. 9,30 - Ο Ιού εισήλθεν εις την πόλιν Ιεζράελ. Η Ιεζάβελ ήκουσε τα γεγονότα αυτά, έβαψε μαύρα τα βλέφαρά της, εστόλισε την κεφαλήν της και έκυψεν από το παράθυρον του ανακτόρου της.

Δ Βασ. 9,31 - καὶ Ἰοὺ εἰσεπορεύετο ἐν τῇ πόλει καὶ εἶπεν· εἰ εἰρήνη, Ζαμβρὶ ὁ φονευτὴς τοῦ κυρίου αὐτοῦ;

Δ Βασ. 9,31 - Ο Ιού την ώραν εκείνην εισήρχετο εις την πόλιν. Η Ιεζάβελ είπε προς αυτόν ειρωνικώς· "είναι ειρηνική η εισοδός σου, όμοιε με τον

Ζαμβρί, που εδολοφόνησε τον κύριόν του;”

Δ Βασ. 9,32 - καὶ ἐπῆρε τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θυρίδα καὶ εἶδεν αὐτὴν καὶ εἶπε· τίς εἶ σύ; κατάβηθι μετ᾿ ἐμοῦ. καὶ κατέκυψαν πρὸς αὐτὸν δύο εὐνοῦχοι·

Δ Βασ. 9,32 - Ο Ιού εσήκωσε το πρόσωπόν του προς το παράθυρον, είδεν αυτήν και είπε· “ποιά είσαι συ; Κατέβα κάτω προς εμέ”. Εσκυψαν προς αυτόν από το παράθυρον δύο ευνούχοι.

Δ Βασ. 9,33 - καὶ εἶπε· κυλίσατε αὐτήν, καὶ ἐκύλισαν αὐτήν, καὶ ἐῤῥαντίσθη τοῦ αἵματος αὐτῆς πρὸς τὸν τοῖχον καὶ πρὸς τοὺς ἵππους, καὶ συνεπάτησαν αὐτήν.

Δ Βασ. 9,33 - Ο Ιού τους είπε· “κυλίσατε αυτήν κάτω”. Και την εκύλισαν πράγματι. Το δε αίμα της ερράντισε τον τοίχον και τους ίππους, οι οποίοι και την εποδοπάτησαν.

Δ Βασ. 9,34 - καὶ εἰσῆλθε καὶ ἔφαγε καὶ ἔπιε καὶ εἶπεν· ἐπισκέψασθε δὴ τὴν κατηραμένην ταύτην καὶ θάψατε αὐτήν, ὅτι θυγάτηρ βασιλέως ἐστί.

Δ Βασ. 9,34 - Ο Ιού εισήλθεν στον οίκον, έφαγεν, έπιε και είπε· “πηγαίνετε, λοιπόν, προς την κατηραμένην αυτήν γυναίκα και θάψατέ την, διότι επί τέλους είναι θυγάτηρ βασιλέως”.

Δ Βασ. 9,35 - καὶ ἐπορεύθησαν θάψαι αὐτὴν καὶ οὐχ εὗρον ἐν αὐτῇ ἄλλο τι ἢ τὸ κρανίον καὶ οἱ πόδες καὶ τὰ ἴχνη τῶν χειρῶν.

Δ Βασ. 9,35 - Εκείνοι μετέβησαν, δια να την θάψουν και δεν ευρήκαν τίποτε άλλο από το σώμα της παρά μόνον το κρανίον, τα πόδια της και τας παλάμας από τας χείρας της.

Δ Βασ. 9,36 - καὶ ἐπέστρεψαν καὶ ἀνήγγειλαν αὐτῷ, καὶ εἶπε· λόγος Κυρίου, ὃν ἐλάλησεν ἐν χειρὶ Ἠλιοὺ τοῦ Θεσβίτου λέγων· ἐν τῇ μερίδι Ἰεζράελ καταφάγονται οἱ κύνες τὰς σάρκας Ἰεζάβελ,

Δ Βασ. 9,36 - Επέστρεψαν και ανήγγειλαν στον Ιού αυτά. Ο Ιού είπεν· “εξεπληρώθη του Κυρίου η προφητεία, την οποίαν ελάλησε δια του Ηλιού του Θεσβίτου λέγων· Εις τον αγρόν, που ευρίσκεται εις Ιεζράελ, εκεί θα φάγουν οι κύνες τας σάρκας της Ιεζάβελ.

Δ Βασ. 9,37 - καὶ ἔσται τὸ θνησιμαῖον Ἰεζάβελ ὡς κοπρία ἐπὶ προσώπου τοῦ ἀγροῦ ἐν τῇ μερίδι Ἰεζράελ, ὥστε μὴ εἰπεῖν αὐτοὺς Ἰεζάβελ.

Δ Βασ. 9,37 - Το δε πτώμα της θα είναι ωσάν κοπριά στον αγρόν της περιοχής Ιεζράελ. Θα υποστή δε τέτοιαν παραμόρφωσιν, ώστε δεν θα ημπορή να είπη κανείς ότι αυτή είναι η Ιεζάβελ”.

Δ ΒΑΣΙΛΕΙΩΝ 10

Δ Βασ. 10,1 - Καὶ τῷ Ἀχαὰβ ἑβδομήκοντα υἱοὶ ἐν Σαμαρείᾳ. καὶ ἔγραψεν Ἰοὺ βιβλίον καὶ ἀπέστειλεν ἐν Σαμαρείᾳ πρὸς τοὺς ἄρχοντας Σαμαρείας καὶ πρὸς τοὺς πρεσβυτέρους καὶ πρὸς τοὺς τιθηνοὺς Ἀχαὰβ λέγων·

Δ Βασ. 10,1 - Εις την Σαμάρειαν εζούσαν εβδομήκοντα απόγονοι του Αχαάβ. Ο Ιού έγραψεν επιστολήν, την οποίον και έστειλεν εις την Σαμάρειαν, προς τους άρχοντας της Σαμάρειας, προς τους πρεσβυτέρους και προς τους τροφούς των υιών του Αχαάβ, παραγγέλλων τα εξής·

Δ Βασ. 10,2 - καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρὸς ὑμᾶς, καὶ μεθ᾿ ὑμῶν οἱ υἱοὶ τοῦ κυρίου ὑμῶν καὶ μεθ᾿ ὑμῶν τὸ ἅρμα καὶ οἱ ἵπποι καὶ πόλεις ὀχυραὶ καὶ τὰ ὅπλα,

Δ Βασ. 10,2 - “όταν έλθη εις χείρας σας η επιστολή αυτή, μαζή σας θα ευρίσκονται τα παιδιά του βασιλέως σας, του Αχαάβ· μαζή σας επίσης θα είναι τα πολεμικά άρματα, το ιππικόν, αι οχυραί πόλεις και τα όπλα.

Δ Βασ. 10,3 - καὶ ὄψεσθε τὸν ἀγαθὸν καὶ τὸν εὐθῆ ἐν τοῖς υἱοῖς τοῦ κυρίου ὑμῶν καὶ καταστήσετε αὐτὸν ἐπὶ τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ καὶ πολεμεῖτε ὑπὲρ τοῦ οἴκου τοῦ κυρίου ὑμῶν.

Δ Βασ. 10,3 - Ιδέτε και εκλέξετε σστον καλύτερον, τον περισσότερον ευάρεστον εις σας μεταξύ των υιών του κυρίου σας, και καταστήσατε αυτόν βασιλέα στον θρόνον του πατρός του. Εξέλθετε, λοιπόν, εις πόλεμον μαζή με αυτόν εναντίον μου, δια να υπερασπίσετε τον βασιλικόν οίκον του κυρίου σας”.

Δ Βασ. 10,4 - καὶ ἐφοβήθησαν σφόδρα καὶ εἶπον· ἰδοὺ οἱ δύο βασιλεῖς οὐκ ἔστησαν κατὰ πρόσωπον αὐτοῦ, καὶ πῶς στησόμεθα ἡμεῖς;

Δ Βασ. 10,4 - Εκείνοι εφοβήθησαν πάρα πολύ και είπαν· “ιδού, οι δύο βασιλείς, ο Ιωράμ και ο Οχοζίας, δεν ημπόρεσαν να αντισταθούν ενώπιον της δυνάμεως του Ιού, και πως ημείς θα αντισταθώμεν εναντίον του;”

Δ Βασ. 10,5 - καὶ ἀπέστειλαν οἱ ἐπὶ τοῦ οἴκου καὶ οἱ ἐπὶ τῆς πόλεως καὶ οἱ πρεσβύτεροι καὶ οἱ τιθηνοὶ πρὸς Ἰοὺ λέγοντες· παῖδές σου καὶ ἡμεῖς, καὶ ὅσα ἐὰν εἴπῃς πρὸς ἡμᾶς, ποιήσομεν· οὐ βασλεύσομεν ἄνδρα, τὸ ἀγαθὸν ἐν ὀφθαμοῖς σου ποιήσομεν.

Δ Βασ. 10,5 - Οι άρχοντες, λοιπόν, του βασιλικού οίκου και της πόλεως Σαμαρείας και οι πρεσβύτεροι, και οι υπεύθυνοι δια την διατροφήν και ανατροφήν των υιών του βασιλέως, απήντησαν προς τον Ιού και του είπαν· “ημείς είμεθα δούλοι σου. Και όσα εάν μας διατάξης, θα κάμωμεν. Δεν θέλομεν να αναδείξωμεν άλλον άνδρα ως βασιλέα μας. Αλλά θα πράξωμεν ο,τι είναι αρεστόν ενώπιόν σου”.

Δ Βασ. 10,6 - καὶ ἔγραψε πρὸς αὐτοὺς Ἰοὺ βιβλίον δεύτερον λέγων· εἰ ἐμοὶ ὑμεῖς, καὶ τῆς φωνῆς μου ὑμεῖς εἰσακούετε, λάβετε τὴν κεφαλὴν ἀνδρῶν τῶν υἱῶν τοῦ κυρίου ὑμῶν καὶ ἐνέγκατε πρός με ὡς ἡ ὥρα αὔριον

ἐν Ἰεζράελ. καὶ οἱ υἱοὶ τοῦ βασιλέως ἦσαν ἑβδομήκοντα ἄνδρες· οὗτοι ἁδροὶ τῆς πόλεως ἐξέτρεφον αὐτούς.

Δ Βασ. 10,6 - Ο Ιού έστειλε δευτέραν επιστολήν προς αυτούς λέγων· "εάν πράγματι σεις είσθε ιδικοί μου και υπακούετε εις τας εντολάς μου, πάρετε τας κεφαλάς των ανδρών, των υιών του κυρίου σας, και αύριον κατά την αυτήν ώραν φέρετέ τας προς εμέ εις Ιεζράελ". Οι δε υιοί του βασιλέως Αχαάβ ήσαν εβδομήκοντα άνδρες, τους οποίους οι επίσημοι της πόλεως διέτρεφον.

Δ Βασ. 10,7 - καὶ ἐγένετο ὡς ἦλθε τὸ βιβλίον πρὸς αὐτούς, καὶ ἔλαβον τοὺς υἱοὺς τοῦ βασιλέως καὶ ἔσφαξαν αὐτούς, ἑβδομήκοντα ἄνδρας, καὶ ἔθηκαν τὰς κεφαλὰς αὐτῶν ἐν καρτάλλοις καὶ ἀπέστειλαν αὐτὰς πρὸς αὐτὸν εἰς Ἰεζράελ.

Δ Βασ. 10,7 - Οταν η επιστολή έφθασε προς αυτούς, επήραν εκείνοι τους απογόνους του βασιλέως, τους έσφαξαν εν όλω εβδομήκοντα άνδρας, έθεσαν τας κεφαλάς των εις κάνιστρα και τας έστειλαν προς τον Ιού, εις την Ιεζράελ.

Δ Βασ. 10,8 - καὶ ἦλθεν ὁ ἄγγελος καὶ ἀπήγγειλε λέγων· ἤνεγκαν τὰς κεφαλὰς τῶν υἱῶν τοῦ βασιλέως· καὶ εἶπε· θέτε αὐτὰς βουνοὺς δύο παρὰ τὴν θύραν τῆς πύλης εἰς πρωΐ.

Δ Βασ. 10,8 - Ηλθεν αγγελιαφόρος προς τον Ιού και του ανήγγειλεν· "έφεραν τας κεφαλάς των απογόνων του βασιλέως Αχαάβ". Εκείνος δε απήντησε· "θέσατε τας εις δύο σωρούς πλησίον εις την θύραν της πύλης της πόλεως έως το πρωϊ".

Δ Βασ. 10,9 - καὶ ἐγένετο πρωΐ καὶ ἐξῆλθε καὶ ἔστη ἐν τῷ πυλῶνι τῆς πόλεως καὶ εἶπε πρὸς πάντα τὸν λαόν· δίκαιοι ὑμεῖς· ἰδοὺ ἐγώ εἰμι συνεστράφην ἐπὶ τὸν κύριόν μου καὶ ἀπέκτεινα αὐτόν· καὶ τίς ἐπάταξε πάντας τούτους;

Δ Βασ. 10,9 - Οταν έγινε πρωι, εβγήκεν ο Ιού και εστάθη εις την πύλην της πόλεως και είπε προς όλον τον συγκεντρωθέντα εκεί λαόν· "σεις είσθε δίκαιοι κριταί. Ιδού εγώ επανεστάτησα εναντίον του κυρίου μου, του βασιλέως Ιωράμ, και τον εφόνευσα. Αυτούς όμως εδώ ποιός τους εφόνευσε;

Δ Βασ. 10,10 - ἴδετε ἀφφώ, ὅτι οὐ πεσεῖται ἀπὸ τοῦ ῥήματος Κυρίου εἰς τὴν γῆν, οὗ ἐλάλησε Κύριος ἐπὶ τὸν οἶκον Ἀχαάβ· καὶ Κύριος ἐποίησεν ὅσα ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἠλιού.

Δ Βασ. 10,10 - Προσέξατε, λοιπόν, και ίδετε ότι καμμία από τας προφητείας, τας οποίας ο Κυριος μίλησε εναντίον του οίκου του Αχαάβ, δεν έπεσεν εις την γην απραγματοποίητος. Ο Κυριος επραγματοποίησεν όσα προανήγγειλε δια μέσου του δούλου του του Ηλιού εναντίον του Αχαάβ".

Δ Βασ. 10,11 - καὶ ἐπάταξεν Ἰοὺ πάντας τοὺς καταλειφθέντας ἐν τῷ οἴκῳ Ἀχαὰβ ἐν Ἰεζράελ καὶ πάντας τοὺς ἁδροὺς αὐτοῦ καὶ τοὺς γνωστοὺς αὐτοῦ καὶ τοὺς ἱερεῖς αὐτοῦ ὥστε μὴ καταλιπεῖν αὐτοῦ κατάλειμμα.

Δ Βασ. 10,11 - Ο Ιού εφόνευσεν επίσης όλους τους εναπομείναντος απογόνους του οίκου Αχαάβ εις Ιζράελ και όλους τους αξιωματούχους ανθρώπους του και τους γνωστούς του και τους ιερείς αυτού, ώστε να μη απομείνη κανένας απόγονος από τον οίκον Αχαάβ.

Δ Βασ. 10,12 - Καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σαμάρειαν, αὐτὸς ἐν Βαιθακὰδ τῶν ποιμένων ἐν τῇ ὁδῷ,

Δ Βασ. 10,12 - Επειτα από τα γεγονότα αυτά εσηκώθη και επορεύθη εις την Σαμάρειαν εις Βαιθακάδ, η οποία ήτο πόλις των ποιμένων παρά την οδόν.

Δ Βασ. 10,13 - καὶ Ἰοὺ εὗρε τοὺς ἀδελφοὺς Ὀχοζίου βασιλέως Ἰούδα καὶ εἶπε· τίνες ὑμεῖς; καὶ εἶπον· ἀδελφοὶ Ὀχοζίου ἡμεῖς καὶ κατέβημεν εἰς εἰρήνην τῶν υἱῶν τοῦ βασιλέως καὶ τῶν υἱῶν τῆς δυναστευούσης.

Δ Βασ. 10,13 - Εκεί συνήντησε τους αδελφούς του Οχοζίου, του βασιλέως των Ιουδαίων, και τους ηρώτησε· “ποίοι είσθε σεις;” Εκείνοι δε του απήντησαν· “ημείς είμεθα αδελφοί του Οχοζίου και κατεβαίνομεν, δια να χαιρετήσωμεν τους υιούς του βασιλέως και της βασιλίσσης”.

Δ Βασ. 10,14 - καὶ εἶπε· συλλάβετε αὐτοὺς ζῶντας· καὶ ἔσφαξαν αὐτοὺς εἰς Βαιθακάδ, τεσσαράκοντα καὶ δύο ἄνδρας, οὐ κατέλιπεν ἄνδρα ἐξ αὐτῶν.

Δ Βασ. 10,14 - Ο Ιού διέταξε· “συλλάβετε αυτούς ζώντας”. Τους συνέλαβαν και τους έσφαξαν εις Βαιθακάδ, τεσσαράκοντα δύο άνδρας εν όλω. Κανένας από αυτούς δεν υπελείφθη ζωντανός.

Δ Βασ. 10,15 - καὶ ἐπορεύθη ἐκεῖθεν καὶ εὗρε τὸν Ἰωναδὰβ υἱὸν Ῥηχὰβ εἰς ἀπαντὴν αὐτοῦ, καὶ ηὐλόγησεν αὐτόν. καὶ εἶπε πρὸς αὐτὸν Ἰού· εἰ ἔστι καρδία σου μετὰ καρδίας μου εὐθεῖα καθὼς ἡ καρδία μου μετὰ τῆς καρδίας σου; καὶ εἶπεν Ἰωναδάβ· ἔστι. καὶ εἶπεν Ἰού· καὶ εἰ ἔστι, δὸς τὴν χεῖρά σου. καὶ ἔδωκε τὴν χεῖρα αὐτοῦ, καὶ ἀνεβίβασεν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα

Δ Βασ. 10,15 - Από εκεί ο Ιού επορεύθη και συνήντησε τον Ιωναδάβ, υιόν του Ρηχάβ, τον εχαιρέτησεν ειρηνικώς και τον ηρώτησεν· “η καρδιά σου είναι ειλικρινώς μαζή με την ιδικήν μου καρδιάν, όπως η καρδιά μου είναι με την ιδικήν σου καρδιάν;” Ο Ιωναδάβ απήντησεν· “είναι”. Ο Ιού είπε πάλιν προς αυτόν· “εάν είναι, δος μου το χέρι σου”. Του έδωκε το χέρι ο δε Ιού τον ανεβίβασεν στο άρμα του και τον εκάθησε πλησίον του.

Δ Βασ. 10,16 - καὶ εἶπε πρὸς αὐτόν· δεῦρο μετ᾿ ἐμοῦ καὶ ἰδὲ ἐν τῷ ζηλῶσαί με τῷ Κυρίῳ Σαββαὼθ καὶ ἐπεκάθισεν αὐτὸν ἐν τῷ ἅρματι αὐτοῦ.

Δ Βασ. 10,16 - Είπε δε ο Ιού προς τον Ιωναδάβ· “έλα μαζή μου και θα ιδής τον ζήλον, με τον οποίον υπηρετώ τον Κυριον Σαββαώθ”. Ο Ιού έβαλεν αυτόν να καθήση στο πολεμικόν του άρμα.

Δ Βασ. 10,17 - καὶ εἰσῆλθεν εἰς Σαμάρειαν καὶ ἐπάταξε πάντας τοὺς καταλειφθέντας τοῦ Ἀχαὰβ ἐν Σαμαρείᾳ ἕως τοῦ ἀφανίσαι αὐτὸν κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησε πρὸς Ἠλιού.

Δ Βασ. 10,17 - Εισήλθεν εις την Σαμάρειαν, όπου και εφόνευσεν όλους τους απομείναντας από τους απογόνους του Αχαάβ εις την Σαμάρειαν, μέχρις ότου τους εξηφάνισεν όλους, σύμφωνα με την προφητείαν του Κυρίου, την οποίαν είπε προς τον προφήτην Ηλίαν.

Δ Βασ. 10,18 - Καὶ συνήθροισεν Ἰοὺ πάντα τὸν λαὸν καὶ εἶπε πρὸς αὐτούς· Ἀχαὰβ ἐδούλευσε τῷ Βάαλ ὀλίγα, Ἰοὺ δουλεύσει αὐτῷ πολλά·

Δ Βασ. 10,18 - Ο Ιού συνεκέντρωσεν όλον τον λαόν και είπε προς αυτούς· "ο Αχαάβ ολίγον ελάτρευσε τον θεόν Βααλ και τον υπηρέτησε. Εγώ όμως ο Ιού θα λατρεύσω αυτόν περισσότερον".

Δ Βασ. 10,19 - καὶ νῦν, πάντες οἱ προφῆται τοῦ Βάαλ, πάντας τοὺς δούλους αὐτοῦ καὶ τοὺς ἱερεῖς αὐτοῦ καλέσατε πρός με, ἀνὴρ μὴ ἐπισκεπήτω, ὅτι θυσία μεγάλη μοι τῷ Βάαλ· πᾶς, ὃς ἐὰν ἐπισκεπῇ, οὐ ζήσεται. καὶ Ἰοὺ ἐποίησεν ἐν πτερνισμῷ, ἵνα ἀπολέσῃ τοὺς δούλους τοῦ Βάαλ.

Δ Βασ. 10,19 - Και τώρα καλέσατε εδώ προς εμέ όλους τους προφήτας του Βααλ, όλους τους ιερείς και γενικώς όλους εκείνους οι οποίοι ελάτρευον αυτόν. Κανείς να μη απουσιάση, διότι εγώ θα προσφέρω μεγάλην θυσίαν στον Βααλ. Εκείνος ο οποίος θα απουσιάση, δεν θα ζήση θα εκτελεσθή". Ο Ιού έκαμε τούτο με την υστερόβουλον σκέψιν να εξολοθρεύση όλους όσοι ελάτρευον τον Βααλ.

Δ Βασ. 10,20 - καὶ εἶπεν Ἰού· ἁγιάσατε ἱερείαν τῷ Βάαλ· καὶ ἐκήρυξαν.

Δ Βασ. 10,20 - Ο Ιού διέταξε· "προκηρύξατε επίσημον συγκέντρωσιν προς τιμήν του Βααλ". Εκείνοι δε προεκήρυξαν.

Δ Βασ. 10,21 - καὶ ἀπέστειλεν Ἰοὺ ἐν παντὶ Ἰσραὴλ λέγων· καὶ νῦν πάντες οἱ δοῦλοι καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ καὶ πάντες οἱ προφῆται αὐτοῦ, μηδεὶς ἀπολειπέσθω, ὅτι θυσίαν μεγάλην ποιῶ· ὃς ἂν ἀπολειφθῇ, οὐ ζήσεται. καὶ ἦλθον πάντες οἱ δοῦλοι τοῦ Βάαλ καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ καὶ πάντες οἱ προφῆται αὐτοῦ· οὐ κατελείφθη ἀνήρ, ὅς οὐ παρεγένετο. καὶ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ Βάαλ, καὶ ἐπλήσθη ὁ οἶκος τοῦ Βάαλ στόμα εἰς στόμα.

Δ Βασ. 10,21 - Ο Ιού έστειλε διαταγήν προς όλους τους Ισραηλίτας λέγων· "λοιπόν, όλοι οι λατρεύοντες τον Βααλ, οι ιερείς αυτού και οι προφήται αυτού, ας έλθουν εις την συγκέντρωσιν. Κανείς ας μη λείψη, διότι εγώ θα προσφέρω θυσίαν μεγάλην. Εάν κανείς απουσιάση, θα εκτελεσθή". Και συνεκεντρώθησαν πράγματι όλοι οι λάτρστου Βααλ και όλοι οι ιερείς αυτού και όλοι οι προφήται του. Δεν απέμεινεν ούτε ένας άνθρωπος, ο οποίος δεν προσήλθεν. Εισήλθον δε όλοι στον ναόν του Βααλ και εγέμισεν ο ναός του Βααλ τόσον, ώστε το στόμα του ενός ήγγιζεν στο στόμα του άλλου.

Δ Βασ. 10,22 - καὶ εἶπεν Ἰοὺ τῷ ἐπὶ τοῦ οἴκου μεσθάαλ· ἐξάγαγε ἔνδυμα πᾶσι τοῖς δούλοις τοῦ Βάαλ· καὶ ἐξήνεγκεν αὐτοῖς ὁ στολιστής.

Δ Βασ. 10,22 - Ο Ιού είπεν στον σκευοφύλακα του ναού του Βααλ· “βγάλε τα ιερά άμφια και δώσε αυτά στους λατρεύοντας τον Βααλ”. Ο σκευοφύλαξ τα έβγαλε και τα έδωσεν εις αυτούς.

Δ Βασ. 10,23 - καὶ εἰσῆλθεν Ἰοὺ καὶ Ἰωναδὰβ υἱὸς Ῥηχὰβ εἰς οἶκον τοῦ Βάαλ καὶ εἶπε τοῖς δούλοις τοῦ Βάαλ· ἐρευνήσατε καὶ ἴδετε, εἰ ἔστι μεθ᾿ ὑμῶν τῶν δούλων Κυρίου, ὅτι ἀλλ᾿ ἢ οἱ δοῦλοι τοῦ Βάαλ μονώτατοι.

Δ Βασ. 10,23 - Ο Ιού εισήλθε τότε μαζή με τον Ιωναδάβ, υιόν του Ρηχάβ, στον ναόν του Βααλ και είπεν στους λατρεύοντας τον Βααλ· “ερευνήσατε και ίδετε, μήπως υπάρχει μεταξύ σας κανείς άνθρωπος, ο οποίος πιστεύει στον Κυριον του Ισραήλ, διότι εδώ μέσα πρέπει να ευρίσκωνται μόνον και μόνον οι πιστοί του Βααλ”.

Δ Βασ. 10,24 - καὶ εἰσῆλθε τοῦ ποιῆσαι τὰ θύματα καὶ τὰ ὁλοκαυτώματα. καὶ Ἰοὺ ἔταξεν ἑαυτῷ ἔξω ὀγδοήκοντα ἄνδρας καὶ εἶπεν· ἀνήρ, ὃς ἐὰν διασωθῇ ἀπὸ τῶν ἀνδρῶν, ὧν ἐγὼ ἀνάγω ἐπὶ χεῖρα ὑμῶν, ἡ ψυχὴ αὐτοῦ ἀντὶ τῆς ψυχῆς αὐτοῦ.

Δ Βασ. 10,24 - Εισήλθε και ο Ιού στον ναόν, τάχα δια να προσφέρη θυσίας και ολοκαυτώματα. Εν τω μεταξύ διέταξε να ευρίσκονται έξω από τον ναόν ογδοήκοντα άνδρες και είπε προς αυτούς· “εάν κανείς από τους άνδρας, τους οποίους εγώ θα παραδώσω εις τα χέρια σας, διασωθή, θα πληρώσετε με την ιδικήν σας ζωήν την ζωήν εκείνου”.

Δ Βασ. 10,25 - καὶ ἐγένετο ὡς συνετέλεσε ποιῶν τὴν ὁλοκαύτωσιν, καὶ εἶπεν Ἰοὺ τοῖς παρατρέχουσι καὶ τοῖς τριστάταις· εἰσελθόντες πατάξατε αὐτούς, μὴ ἐξελθάτω ἐξ αὐτῶν ἀνήρ· καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας, καὶ ἔῤῥιψαν οἱ παρατρέχοντες καὶ οἱ τριστάται καὶ ἐπορεύθησαν ἕως πόλεως οἴκου τοῦ Βάαλ.

Δ Βασ. 10,25 - Οταν ο Ιού ετελείωσε την θυσίαν του ολοκαυτώματος, είπεν εις την σωματοφυλακήν του και τους αξιωματικούς του· “εισέλθετε στον ναόν του Βααλ και φονεύσατε όλους. Κανείς από αυτούς δεν πρέπει να εξέλθη ζωντανός”. Εκείνοι επέρασαν όλους εν στόματι ρομφαίας. Αφού δε η βασιλική φρουρά του Ιού και οι αξιωματικοί του έρριψαν αυτούς κάτω νεκρούς, εισήλθον στο εσωτερικόν μέρος του ναού του Βααλ.

Δ Βασ. 10,26 - καὶ ἐξήνεγκαν τὴν στήλην τοῦ Βάαλ καὶ ἐνέπρησαν αὐτήν.

Δ Βασ. 10,26 - Απ' εκεί έβγαλαν έξω το άγαλμα του Βααλ και το παρέδωσαν στο πυρ.

Δ Βασ. 10,27 - καὶ κατέσπασαν τὰς στήλας τοῦ Βάαλ καὶ ἔταξαν αὐτὸν εἰς λυτρῶνα ἕως τῆς ἡμέρας ταύτης.

Δ Βασ. 10,27 - Ακόμη δε και τα άλλα μικρότερα αγάλματα του Βααλ κατέρριψαν και συνέτριψαν, ερήμωσαν τον ναόν και ώρισαν αυτόν ως τόπον απορριμμάτων, όπως και είναι μέχρι της ημέρας αυτής.

Δ Βασ. 10,28 - Καὶ ἠφάνισεν Ἰοὺ τὸν Βάαλ ἐξ Ἰσραήλ·

Δ Βασ. 10,28 - Ετσι ο Ιού εξηφάνισε τον θεόν Βααλ εκ μέσου του Ισραηλιτικού λαού.

Δ Βασ. 10,29 - πλὴν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, οὐκ ἀπέστη Ἰοὺ ἀπὸ ὄπισθεν αὐτῶν, αἱ δαμάλεις αἱ χρυσαῖ ἐν Βαιθὴλ καὶ ἐν Δάν.

Δ Βασ. 10,29 - Αλλά δεν απεμακρύνθη εντελώς ο Ιού από τας αμαρτίας του Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος είχεν εκτρέψει τον ισραηλιτικόν λαόν εις την ασέβειαν. Διότι αι χρυσαί ειδωλολατρικαί δαμάλεις παρέμεναν, όπως και πριν, εις την Βαιθήλ και εις την Δαν.

Δ Βασ. 10,30 - καὶ εἶπε Κύριος πρὸς Ἰού· ἀνθ᾿ ὧν ὅσα ἠγάθυνας ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου κατὰ πάντα, ὅσα ἐν τῇ καρδίᾳ μου ἐποίησας τῷ οἴκῳ Ἀχαάβ, υἱοὶ τέταρτοι καθήσονταί σοι ἐπὶ θρόνου Ἰσραήλ.

Δ Βασ. 10,30 - Ο Κυριος είπε τότε προς τον Ιού· “δι' όλας τας αγαθάς πράξεις, τας οποίας προθύμως έκαμες ενώπιόν μου, όσα δηλαδή έκαμες σύμφωνα με το θέλημά μου εναντίον του οίκου του Αχαάβ, εγώ θα σε αμείψω. Ιδού τέσσαρες γενεαί σου θα καθήσουν επάνω στον βασιλικόν θρόνον του λαού του Ισραήλ”.

Δ Βασ. 10,31 - καὶ Ἰοὺ οὐκ ἐφύλαξε πορεύεσθαι ἐν νόμῳ Κυρίου Θεοῦ Ἰσραὴλ ἐν ὅλῃ καρδίᾳ αὐτοῦ, οὐκ ἀπέστη ἀπάνωθεν ἁμαρτιῶν Ἱεροβοάμ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Δ Βασ. 10,31 - Αλλά ο Ιού δεν επρόσεξεν, ώστε να βαδίση και να ζήση σύμφωνα με τον νόμον του Κυρίου, του Θεού του Ισραηλιτικού λαού, με όλην του την καρδίαν. Δια τούτο δε και δεν απεμακρύνθη από τας αμαρτίας του Ιεροβοάμ, ο οποίος παρέσυρε τον ισραηλιτικόν λαόν εις την ασέβειαν.

Δ Βασ. 10,32 - ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο Κύριος συγκόπτειν ἐν τῷ Ἰσραήλ, καὶ ἐπάταξεν αὐτοὺς Ἀζαὴλ ἐν παντὶ ὁρίῳ Ἰσραήλ,

Δ Βασ. 10,32 - Δι' αυτό και ο Κυριος κατά την εποχήν εκείνην ήρχισε να περικόπτη εδάφη από τον ισραηλιτικόν λαόν. Ο Αζαήλ προσέβαλε τους Ισραηλίτας καθ' όλον το μήκος των συνόρων του βασιλείου των.

Δ Βασ. 10,33 - ἀπὸ τοῦ Ἰορδάνου κατ᾿ ἀνατολὰς ἡλίου πᾶσαν τὴν γῆν Γαλαὰδ τοῦ Γαδδὶ καὶ τοῦ Ῥουβὴν καὶ τοῦ Μανασσῆ, ἀπὸ Ἀροήρ, ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάῤῥου Ἀρνών, καὶ τὴν Γαλαὰδ καὶ τὴν Βασάν.

Δ Βασ. 10,33 - Ηρχισε δε να περικόπτη και αφαιρή εδάφη από την ανατολικήν του Ιορδάνου χώραν. Ετσι κατέλαβεν όλην την χώραν Γαλαάδ της φυλής Γαδ, την περιοχήν των φυλών Ρουβήν και του Μανασσή, από της πόλεως Αροήρ, η οποία ευρίσκεται εις την όχθην του χειμάρρου Αρνών προς νότον, μέχρι και της χώρας Γαλαάδ και Βασάν προς βορράν.

Δ Βασ. 10,34 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰοὺ καὶ πάντα, ὅσα ἐποίησε, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ καὶ τὰς συνάψεις, ἃς συνῆψεν, οὐχὶ ταῦτα

γεγραμμένα ἐπὶ βιβλίου λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Δ Βασ. 10,34 - Τα υπόλοιπα από τα έργα του Ιού και όλα τα κατορθώματά του και αι μάχαι, τας οποίας έκαμε, όλα αυτά δεν είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ισραήλ;

Δ Βασ. 10,35 - καὶ ἐκοιμήθη Ἰοὺ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἔθαψαν αὐτὸν ἐν Σαμαρείᾳ· καὶ ἐβασίλευσεν Ἰωάχαζ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Δ Βασ. 10,35 - Ο Ιού εκοιμήθη με τους προγόνους αυτού και τον έθαψαν εις την Σαμάρειαν. Αντ' αυτού δε έγινε βασιλεύς ο υιός του ο Ιωάχαζ.

Δ Βασ. 10,36 - καὶ αἱ ἡμέραι, ἃς ἐβασίλευσεν Ἰοὺ ἐπὶ Ἰσραήλ, εἰκοσιοκτὼ ἔτη ἐν Σαμαρείᾳ.

Δ Βασ. 10,36 - Τα έτη δέ, κατά τα οποία εβασίλευσεν ο Ιού στον ισραηλιτικόν λαόν με πρωτεύουσαν την Σαμάρειαν, ανήλθον εις είκοσι οκτώ.

Δ ΒΑΣΙΛΕΙΩΝ 11

Δ Βασ. 11,1 - Καὶ Γοθολία ἡ μήτηρ Ὀχοζίου εἶδεν ὅτι ἀπέθανεν ὁ υἱὸς αὐτῆς, καὶ ἀπώλεσε πᾶν τὸ σπέρμα τῆς βασιλείας.

Δ Βασ. 11,1 - Η Γοθολία, η μήτηρ του Οχοζίου, όταν είδεν ότι απέθανεν ο υιός της, εξωλόθρευσεν αυτή όλους τους απογόνους της βασιλικής οικογενείας του βασιλείου Ιούδα.

Δ Βασ. 11,2 - καὶ ἔλαβεν Ἰωσαβεὲ θυγάτηρ τοῦ βασιλέως Ἰωρὰμ ἀδελφὴ Ὀχοζίου τὸν Ἰωὰς υἱὸν ἀδελφοῦ αὐτῆς καὶ ἔκλεψεν αὐτὸν ἐκ μέσου τῶν υἱῶν τοῦ βασιλέως τῶν θανατουμένων, αὐτὸν καὶ τὴν τροφὸν αὐτοῦ, ἐν τῷ ταμείῳ τῶν κλινῶν, καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώπου Γοθολίας καὶ οὐκ ἐθανατώθη.

Δ Βασ. 11,2 - Η Ιωσαβεέ όμως, θυγάτηρ του βασιλέως Ιωράμ και αδελφή του Οχοζίου, απέσυρε κρυφίως τον Ιωάς, υιόν του αδελφού της, από τους άλλους υιούς του βασιλέως, όταν εκείνοι εφονεύοντο. Εθεσε δε αυτόν και την τροφόν του εις ένα δωμάτιον, όπου υπήρχον κλίναι. Εκεί απέκρυψεν αυτόν από την Γοθολίαν και έτσι αυτός δεν εξετελέσθη.

Δ Βασ. 11,3 - καὶ ἦν μετ᾽ αὐτῆς κρυβόμενος ἐν οἴκῳ Κυρίου ἓξ ἔτη· καὶ Γοθολία βασιλεύουσα ἐπὶ τῆς γῆς.

Δ Βασ. 11,3 - Από εκεί μετέφερεν αυτόν στον οίκον του Κυρίου, όπου έμεινε κρυμμένος μαζή με την τροφόν του επί εξ έτη. Η δε Γοθολία κατά το διάστημα αυτό εβασίλευεν επί του λαού της χώρας.

Δ Βασ. 11,4 - καὶ ἐν τῷ ἔτει τῷ ἑβδόμῳ ἀπέστειλεν Ἰωδαὲ ὁ ἱερεὺς καὶ ἔλαβε τοὺς ἑκατοντάρχους τῶν Χορρὶ καὶ τῶν Ῥασίμ, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς αὐτὸν εἰς οἶκον Κυρίου καὶ διέθετο αὐτοῖς διαθήκην Κυρίου καὶ

ὥρκωσεν αὐτοὺς ἐνώπιον Κυρίου καὶ ἔδειξεν αὐτοῖς Ἰωδαὲ τὸν υἱὸν τοῦ βασιλέως

Δ Βασ. 11,4 - Κατά το έβδομον έτος ο αρχιερεύς Ιωδαέ απέστειλε και προσεκάλεσε τους εκατοντάρχους, αξιωματικούς της βασιλικής φρουράς των Χορρί και των Ρασίμ, και έφερεν αυτούς στον οίκον του Κυρίου προς τον κρυμμένον Ιωάς. Εκεί δε συνήψε με αυτούς συμφωνίαν ενώπιον του Κυρίου δια την ανάδειξιν του Ιωάς ως βασιλέως. Τους ώρκισεν ενώπιον του Κυρίου και έδειξεν εις αυτούς ο Ιωδαέ τον υιόν του βασιλέως.

Δ Βασ. 11,5 - καὶ ἐνετείλατο αὐτοῖς λέγων· οὗτος ὁ λόγος, ὃν ποιήσετε·

Δ Βασ. 11,5 - Εδωσε δε κατόπιν εις αυτούς εντολήν και είπεν· “αυτό είναι το έργον, το οποίον έχετε καθήκον να κάμετε.

Δ Βασ. 11,6 - τὸ τρίτον ἐξ ὑμῶν εἰσελθέτω τὸ σάββατον καὶ φυλάξατε φυλακὴν οἴκου τοῦ βασιλέως ἐν τῷ πυλῶνι καὶ τὸ τρίτον ἐν τῇ πύλῃ τῶν ὁδῶν καὶ τὸ τρίτον τῆς πύλης ὀπίσω τῶν παρατρεχόντων· καὶ φυλάξατε τὴν φυλακὴν τοῦ οἴκου.

Δ Βασ. 11,6 - Το ένα τρίτον από σας με τους στρατιώτας σας θα προσέλθουν κατά το Σαββατον τούτο και θα φρουρούν το βασιλικόν ανάκτορον ιστάμενοι εις την πύλην των ανακτόρων. Το δεύτερον τμήμα θα ευρίσκεται στοποθεσίαν, που ονομάζεται πύλη οδών. Το δε τρίτον τμήμα θα φρουρή εις την τοποθεσίαν της πύλης, η οποία λέγεται πύλη των στρατιωτών. Από εκεί αυτά θα επιβλέπουν και θα προσέχουν το βασιλικόν ανάκτορον.

Δ Βασ. 11,7 - καὶ δύο χεῖρες ἐν ὑμῖν, πᾶς ὁ ἐκπορευόμενος τὸ σάββατον, καὶ φυλάξουσι τὴν φυλακὴν οἴκου Κυρίου πρὸς τὸν βασιλέα·

Δ Βασ. 11,7 - Από τα δύο δε ιδικά σας τάγματα το ένα τμήμα θα φρουρή τον οίκον του Κυρίου και τον βασιλέα, που θα ευρίσκεται εις αυτόν.

Δ Βασ. 11,8 - καὶ κυκλώσατε ἐπὶ τὸν βασιλέα κύκλῳ, ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν χειρὶ αὐτοῦ, καὶ ὁ εἰσπορευόμενος εἰς τὰς σαδηρὼθ ἀποθανεῖται. καὶ ἔσονται μετὰ τοῦ βασιλέως ἐν τῷ ἐκπορεύεσθαι αὐτὸν καὶ ἐν τῷ εἰσπορεύεσθαι αὐτόν.

Δ Βασ. 11,8 - Το δε άλλο θα περικυκλώση τον ναόν, όπου ευρίσκεται ο βασιλεύς, και καθένας από τους στρατιώτας θα κρατή εις τα χέρια του το όπλον του. Εκείνος, που θα τολμήση να εισέλθη εις τας τάξεις των, θα εκτελήται. Αυτοί θα είναι εις την διάθεσιν του βασιλέως, οπουδήποτε θελήση αυτός να μεταβή”.

Δ Βασ. 11,9 - καὶ ἐποίησαν οἱ ἑκατόνταρχοι πάντα, ὅσα ἐνετείλατο Ἰωδαὲ ὁ συνετός, καὶ ἔλαβεν ἀνὴρ τοὺς ἄνδρας αὐτοῦ καὶ τοὺς εἰσπορευομένους τὸ σάββατον μετὰ τῶν ἐκπορευομένων τὸ σάββατον καὶ εἰσῆλθον πρὸς Ἰωδαὲ τὸν ἱερέα.

Δ Βασ. 11,9 - Οι εκατόνταρχοι και οι άλλοι αξιωματικοί εξετέλεσαν όλα όσα υπέδειξεν εις αυτούς ο συνετός Ιωδαέ. Επήρε, δηλαδή, ο κάθε

αξιωματικός τους άνδρας του, οι οποίοι κατά το Σαββατον θα αντικαθιστούσαν την φρουράν, όπως επίσης και τους άνδρας της φρουράς που θα αντικαθίστατο, και μετέβησαν προς τον αρχιερέα Ιωδαέ.

Δ Βασ. 11,10 - καὶ ἔδωκεν ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις τοὺς σειρομάστας καὶ τοὺς τρισσοὺς τοῦ βασιλέως Δαυὶδ τοῦ ἐν οἴκῳ Κυρίου.

Δ Βασ. 11,10 - Ο αρχιερεύς έδωκεν στους αξιωματικούς τα όπλα, λόγχας και ασπίδας του βασιλέως, Δαυίδ, που υπήρχον στον ναόν του Κυρίου.

Δ Βασ. 11,11 - καὶ ἔστησαν οἱ παρατρέχοντες, ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως τῆς ὠμίας τοῦ οἴκου τῆς εὐωνύμου τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα κύκλῳ.

Δ Βασ. 11,11 - Οι στρατιώται ίσταντο εις την θέσιν των κρατούντες εις τα χέρια ο καθένας το όπλον του. Παρετάχθησαν δε από της δεξιάς πλευράς του ναού μέχρι της αριστεράς πλευράς του, πλησίον στο θυσιαστήριον των ολοκαυτωμάτων, και γύρω στον ναόν, όπου έμενεν ο νεαρός βασιλεύς.

Δ Βασ. 11,12 - καὶ ἐξαπέστειλε τὸν υἱὸν τοῦ βασιλέως καὶ ἔδωκεν ἐπ᾿ αὐτὸν τὸ νεζὲρ καὶ τὸ μαρτύριον καὶ ἐβασίλευσεν αὐτὸν καὶ ἔχρισεν αὐτόν, καὶ ἐκρότησαν τῇ χειρὶ καὶ εἶπαν· ζήτω ὁ βασιλεύς.

Δ Βασ. 11,12 - Ο Ιωδαέ τότε έβγαλε τον νεαρόν βασιλέα, έθεσεν εις αυτόν το βασιλικόν διάδημα, έδωσεν εις τα χέρια του τον Νομον, τον έχρισε και τον ανεκήρυξεν ως βασιλέα. Οι παριστάμενοι εχειροκρότησαν και είπαν· "ζήτω ο βασιλεύς" !

Δ Βασ. 11,13 - καὶ ἤκουσε Γοθολία τὴν φωνὴν τῶν τρεχόντων τοῦ λαοῦ καὶ εἰσῆλθε πρὸς τὸν λαὸν εἰς οἶκον Κυρίου.

Δ Βασ. 11,13 - Η Γοθολία ήκουσε την φωνήν αυτήν και τας ζητωκραυγάς των στρατιωτών και του λαού και εβγήκε προς τον λαόν στον οίκον του Κυρίου.

Δ Βασ. 11,14 - καὶ εἶδε καὶ ἰδοὺ ὁ βασιλεὺς εἱστήκει ἐπὶ τοῦ στύλου κατὰ τὸ κρίμα, καὶ οἱ ᾠδοὶ καὶ αἱ σάλπιγγες πρὸς τὸν βασιλέα, καὶ πᾶς ὁ λαὸς τῆς γῆς χαίρων καὶ σαλπίζων ἐν σάλπιγξι· καὶ διέῤῥηξε Γοθολία τὰ ἱμάτια ἑαυτῆς καὶ ἐβόησε· σύνδεσμος σύνδεσμος.

Δ Βασ. 11,14 - Αίφνης είδε τον νεαρόν βασιλέα να ίσταται επάνω εις την εξέδραν του, σύμφωνα με τα παραδεδομένα, και πλησίον του ήσαν οι ψάλται και οι σαλπιγκταί, και όλοι οι κάτοικοι της Ιερουσαλήμ χαίροντες και σαλπίζοντες. Η Γοθολία έσχισε τα ιμάτιά της και εφώναξε· "συνωμοσία, συνωμοσία".

Δ Βασ. 11,15 - καὶ ἐνετείλατο Ἰωδαὲ ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις τοῖς ἐπισκόποις τῆς δυνάμεως καὶ εἶπε πρὸς αὐτούς· ἐξαγάγετε αὐτὴν ἔσωθεν τῶν σαδηρώθ· ὁ εἰσπορευόμενος ὀπίσω αὐτῆς θανάτῳ θανατωθήσεται ἐν ῥομφαίᾳ· ὅτι εἶπεν ὁ ἱερεύς· καὶ μὴ ἀποθάνῃ ἐν οἴκῳ Κυρίου.

Δ Βασ. 11,15 - Ο αρχιερεύς Ιωδαέ έδωσεν εντολήν στους εκατοντάρχους, στους αξιωματικούς της στρατιωτικής δυνάμεως, και είπε προς αυτούς· “βγάλετε αυτήν έξω από την παράταξιν. Εκείνος, ο οποίος θα ακολουθήση οπίσω από αυτήν, θα αποθάνη δια ροαφαίας”. Διέταξε δε ακόμη και είπε να μη φονευθή αυτή εντός του ναού του Κυρίου.

Δ Βασ. 11,16 - καὶ ἐπέθηκαν αὐτῇ χεῖρας, καὶ εἰσῆλθεν ὁδὸν εἰσόδου τῶν ἵππων οἴκου τοῦ βασιλέως καὶ ἀπέθανεν ἐκεῖ.

Δ Βασ. 11,16 - Απλωσαν τα χέρια των και την συνέλαβον· αυτή δε εισήλθεν εις την οδόν, η οποία οδηγεί εις την είσοδον του βασιλικού σταύλου. Εκεί και εθανατώθη.

Δ Βασ. 11,17 - καὶ διέθετο Ἰωδαὲ διαθήκην ἀνὰ μέσον Κυρίου καὶ ἀνὰ μέσον τοῦ βασιλέως καὶ ἀνὰ μέσον τοῦ λαοῦ τοῦ εἶναι εἰς λαὸν τῷ Κυρίῳ, καὶ ἀνὰ μέσον τοῦ βασιλέως καὶ ἀνὰ μέσον τοῦ λαοῦ.

Δ Βασ. 11,17 - Ο Ιωδαέ συνήψε συμφωνίαν μεταξύ του Κυρίου, του βασιλέως και του λαού, δια να είναι ο λαός αυτός ιδιαίτερος λαός του Κυρίου. Συμφωνίαν επίσης συνήψε μεταξύ του βασιλέως και του λαού.

Δ Βασ. 11,18 - καὶ εἰσῆλθε πᾶς ὁ λαὸς τῆς γῆς εἰς οἶκον τοῦ Βάαλ καὶ κατέσπασαν αὐτὸν καὶ τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰς εἰκόνας αὐτοῦ συνέτριψαν ἀγαθῶς καὶ τὸν Μαθὰν τὸν ἱερέα τοῦ Βάαλ ἀπέκτειναν κατὰ πρόσωπον τῶν θυσιαστηρίων, καὶ ἔθηκεν ὁ ἱερεὺς ἐπισκόπους εἰς τὸν οἶκον Κυρίου.

Δ Βασ. 11,18 - Ολοι δε οι κάτοικοι της Ιερουσαλήμ, έπειτα από τα γεγονότα αυτά, εισήλθον στον ναόν του Βααλ και τον κατεκρήμνισαν. Συνέτριψαν τα θυσιαστήρια και τα αγάλματα αυτού εξ ολοκλήρου. Τον δε Μαθάν, τον ιερέα του Βααλ, εφόνευσαν εμπρός εις τα θυσιαστήρια. Ο αρχιερεύς Ιωδαέ έθεσε φρουρούς στον ναόν του Κυρίου.

Δ Βασ. 11,19 - καὶ ἔλαβε τοὺς ἑκατοντάρχους καὶ τὸν Χοῤῥὶ καὶ τὸν Ῥασὶμ καὶ πάντα τὸν λαὸν τῆς γῆς, καὶ κατήγαγον τὸν βασιλέα ἐξ οἴκου Κυρίου, καὶ εἰσῆλθον ὁδὸν πύλης τῶν παρατρεχόντων οἴκου τοῦ βασιλέως, καὶ ἐκάθισαν αὐτὸν ἐπὶ θρόνου τῶν βασιλέων.

Δ Βασ. 11,19 - Επήρε κατόπιν ο Ιωδαέ τους εκατοντάρχους της βασιλικής φρουράς Χορρί και Ρασίμ, όπως και όλον τον λαόν της Ιερουσαλήμ. Ολοι οδήγησαν τον βασιλέα αυτόν από τον ναόν του Κυρίου και εισήλθαν δια της πύλης των στρατιωτών στο βασιλικόν ανάκτορον. Εκεί δε έθεσαν αυτόν στον βασιλικόν θρόνον.

Δ Βασ. 11,20 - καὶ ἐχάρη πᾶς ὁ λαὸς τῆς γῆς, καὶ ἡ πόλις ἡσύχασε· καὶ τὴν Γοθολίαν ἐθανάτωσαν ἐν ῥομφαίᾳ ἐν οἴκῳ τοῦ βασιλέως.

Δ Βασ. 11,20 - Ολος ο λαός της περιοχής Ιερουσαλήμ εχάρη, η δε πόλις ησύχασε. Την Γοθολίαν εξετελεσαν δια ρομφαίας μέσα στο βασιλικόν ανάκτορον.

Δ ΒΑΣΙΛΕΙΩΝ 12

Δ Βασ. 12,1 - Υἱὸς ἑπτὰ ἐτῶν Ἰωὰς ἐν τῷ βασιλεύειν αὐτόν.
Δ Βασ. 12,1 - Επτά ετών ήτο ο Ιωάς, όταν ανήλθεν στον βασιλικόν θρόνον.
Δ Βασ. 12,2 - ἐν ἔτει ἑβδόμῳ τῷ Ἰοὺ ἐβασίλευσεν Ἰωὰς καὶ τεσσαράκοντα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἀβιὰ ἐκ τῆς Βηρσαβεέ.
Δ Βασ. 12,2 - Κατά το έβδομον έτος του Ιού, βασιλέως του Ισραήλ, ανήλθεν στον θρόνον ο Ιωάς. Εβασίλευσε δε τεσσαράκοντα έτη εις την Ιουδαίαν με πρωτεύουσαν την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Αβιά και κατήγετο από την πόλιν Βηρσαβεέ.
Δ Βασ. 12,3 - καὶ ἐποίησεν Ἰωὰς τὸ εὐθὲς ἐνώπιον Κυρίου πάσας τὰς ἡμέρας, ἃς ἐφώτισεν αὐτὸν Ἰωδαὲ ὁ ἱερεύς·
Δ Βασ. 12,3 - Ο Ιωάς έπραξε το ευάρεστον ενώπιον του Κυρίου όλας τας ημέρας της βασιλείας του, κατά τας οποίας διεφωτίζετο από τον αρχιερέα Ιωδαέ.
Δ Βασ. 12,4 - πλὴν τῶν ὑψηλῶν οὐ μετεστάθησαν, καὶ ἐκεῖ ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς.
Δ Βασ. 12,4 - Αλλά τους υψηλούς τόπους, όπου ελατρεύοντο ακόμη τα είδωλα, δεν επέτυχε να καταστρέψη και έτσι ο λαός προσέφερεν και στους ειδωλικούς θεούς θυσίας και θυμιάματα.
Δ Βασ. 12,5 - καὶ εἶπεν Ἰωὰς πρὸς τοὺς ἱερεῖς· πᾶν τὸ ἀργύριον τῶν ἁγίων τὸ εἰσοδιαζόμενον ἐν τῷ οἴκῳ Κυρίου, ἀργύριον συντιμήσεως, ἀνὴρ ἀργύριον λαβὼν συντιμήσεως, πᾶν ἀργύριον, ὃ ἐὰν ἀναβῇ ἐπὶ καρδίαν ἀνδρὸς ἐνεγκεῖν ἐν οἴκῳ Κυρίου,
Δ Βασ. 12,5 - Ο Ιωάς είπε προς τους ιερείς· "όλον το αργύριον, το οποίον εισοδεύεται στον ναόν από τας αγίας προσφοράς, δηλαδή το αργύριον το οποίον προέρχεται από προσωπικήν προσφοράν, το αργύριον το οποίον εισπράττεται κατόπιν εκτιμήσεως, και το αργύριον το οποίον κατά την διάθεσίν του έκαστος θα προσφέρη προς τον ναόν του Κυρίου,
Δ Βασ. 12,6 - λαβέτωσαν ἑαυτοῖς οἱ ἱερεῖς ἀνὴρ ἀπὸ τῆς πράσεως αὐτῶν καὶ αὐτοὶ κρατήσουσι τὸ βεδὲκ τοῦ οἴκου εἰς πάντα, οὗ ἐὰν εὑρεθῇ ἐκεῖ βεδέκ.
Δ Βασ. 12,6 - ας το πάρουν οι ιερείς, ο καθένας από την είσπραξιν της δικαιοδοσίας του, και ας διαθέσουν αυτό δια την επισκευήν του ναού του Κυρίου, όπου αυτός ευρεθή ότι έχει ανάγκην επιδιορθώσεως".
Δ Βασ. 12,7 - καὶ ἐγενήθη ἐν τῷ εἰκοστῷ καὶ τρίτῳ ἔτει τῷ βασιλεῖ Ἰωὰς οὐκ ἐκραταίωσαν οἱ ἱερεῖς τὸ βεδὲκ τοῦ οἴκου.

Δ Βασ. 12,7 - Αλλά κατά το εικοστόν τρίτον έτος της βασιλείας του Ιωάς, οι ιερείς δεν εφρόντισαν δια την επιδιόρθωσιν των φθορών του ναού.

Δ Βασ. 12,8 - καὶ ἐκάλεσεν Ἰωὰς ὁ βασιλεὺς Ἰωδαὲ τὸν ἱερέα καὶ τοὺς ἱερεῖς καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι οὐκ ἐκραταιοῦτε τὸ βεδὲκ τοῦ οἴκου; καὶ νῦν μὴ λάβητε ἀργύριον ἀπὸ τῶν πράσεων ὑμῶν, ὅτι εἰς τὸ βεδὲκ τοῦ οἴκου δώσετε αὐτό.

Δ Βασ. 12,8 - Ο βασιλεύς Ιωάς προσεκάλεσε τον αρχιερέα Ιωδαέ και τους ιερείς και είπε προς αυτούς· "διατί δεν εφροντίσατε δια την επισκευήν του ναού; Δια τούτο από τώρα και στο εξής δεν θα αναλάβετε σεις την είσπραξιν του φόρου τούτου του προοριζομένου δια την επισκευήν του ναού, διότι αυτός θα διατίθεται κατ' ευθείαν δια την επιδιόρθωσιν του ναού".

Δ Βασ. 12,9 - καὶ συνεφώνησαν οἱ ἱερεῖς τοῦ μὴ λαβεῖν ἀργύριον παρὰ τοῦ λαοῦ καὶ τοῦ μὴ ἐνισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου.

Δ Βασ. 12,9 - Οι ιερείς εδέχθησαν να μη εισπράττουν το αργύριον αυτό από τον λαόν και να απαλλαγούν από την υποχρέωσίν των δια την επιδιόρθωσιν του οίκου του Κυρίου.

Δ Βασ. 12,10 - καὶ ἔλαβεν Ἰωδαὲ ὁ ἱερεὺς κιβωτὸν μίαν καὶ ἔτρησε τρώγλην ἐπὶ τῆς σανίδος αὐτῆς καὶ ἔδωκεν αὐτὴν παρὰ ἀμμαζειβὶ ἐν τῷ οἴκῳ ἀνδρὸς οἴκου Κυρίου, καὶ ἔδωκαν οἱ ἱερεῖς οἱ φυλάσσοντες τὸν σταθμὸν πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου.

Δ Βασ. 12,10 - Ο αρχιερεύς Ιωδαέ επήρε τότε ένα κιβώτιον, ήνοιξεν στο άνω μέρος μίαν οπήν και έδωσε να το τοποθετήσουν πλησίον του θυσιαστηρίου στον οίκον κάποιου ανδρός, ανήκοντος στον ναόν του Κυρίου. Οι δε ιερείς, οι οποίοι εφύλασσον την θέσιν αυτήν, κατέθεσαν όλον το ευρεθέν αργύριον στον ναόν του Κυρίου.

Δ Βασ. 12,11 - καὶ ἐγένετο ὡς εἶδον ὅτι πολὺ τὸ ἀργύριον ἐν τῇ κιβωτῷ, καὶ ἀνέβη ὁ γραμματεὺς τοῦ βασιλέως καὶ ὁ ἱερεὺς ὁ μέγας καὶ ἔσφιγξαν καὶ ἠρίθμησαν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου.

Δ Βασ. 12,11 - Οταν όμως είδον ότι το αργύριον το εντός του κιβωτίου ήτο πολύ, ανέβηκεν στον ναόν ο γραμματεύς του βασιλέως και ο αρχιερεύς, ηρίθμησαν το ευρεθέν στον οίκον Κυρίου αργύριον και το έδεσαν εις σάκκους.

Δ Βασ. 12,12 - καὶ ἔδωκαν τὸ ἀργύριον τὸ ἑτοιμασθὲν ἐπὶ χεῖρας ποιούντων τὰ ἔργα τῶν ἐπισκόπων οἴκου Κυρίου, καὶ ἐξέδοσαν τοῖς τέκτοσι τῶν ξύλων καὶ τοῖς οἰκοδόμοις τοῖς ποιοῦσιν ἐν οἴκῳ Κυρίου

Δ Βασ. 12,12 - Αυτό δε το αργύριον το παρέδωσαν εις τα χέρια των ανθρώπων εκείνων, οι οποίοι είχον αναλάβει να επιβλέπουν εις τα έργα της επιδιορθώσεως του ναού του Κυρίου. Αυτοί δε παρέδωσαν αυτό στους ξυλουργούς και στους οικοδόμους, οι οποίοι ειργάζοντο δια την επισκευήν του οίκου Κυρίου,

Δ Βασ. 12,13 - καὶ τοῖς τειχισταῖς καὶ τοῖς λατόμοις τῶν λίθων τοῦ κτήσασθαι ξύλα καὶ λίθους λατομητοὺς τοῦ κατασχεῖν τὸ βεδὲκ οἴκου Κυρίου εἰς πάντα, ὅσα ἐξωδιάσθη ἐπὶ τὸν οἶκον τοῦ κραταιῶσαι·

Δ Βασ. 12,13 - στους κτίστας και στους λατόμους, δια να αγοράσουν ξύλα και πελεκημένους λίθους προς επισκευήν των εφθαρμένων μερών του ναού του Κυρίου. Ολον δε αυτό το αργύριον εξωδεύθη δια την επιδιόρθωσιν εφθαρμένων μερών του οίκου του Κυρίου, ώστε αυτός να στερεωθή ασφαλώς.

Δ Βασ. 12,14 - πλὴν οὐ ποιηθήσονται οἴκῳ Κυρίου θύραι ἀργυραῖ, ἧλοι, φιάλαι καὶ σάλπιγγες, πᾶν σκεῦος χρυσοῦν καὶ σκεῦος ἀργυροῦν, ἐκ τοῦ ἀργυρίου τοῦ εἰσενεχθέντος ἐν οἴκῳ Κυρίου,

Δ Βασ. 12,14 - Είχε δε δοθή διαταγή, όπως μη κατασκευασθούν δια τον οίκον του Κυρίου θύραι αργυραί, καρφιά, φιάλαι, σάλπιγγες και κάθε χρυσούν και αργυρούν σκεύος από το αργύριον αυτό, το οποίον εισεπράχθη στον ναόν του Κυρίου,

Δ Βασ. 12,15 - ὅτι τοῖς ποιοῦσι τὰ ἔργα δώσουσιν αὐτό, καὶ ἐκραταίωσαν ἐν αὐτῷ τὸν οἶκον Κυρίου.

Δ Βασ. 12,15 - αλλά να δοθή ολόκληρον δι' εκείνους, οι οποίοι ανέλαβον το έργον της στερεώσεως και επιδιορθώσεως του ναού του Κυρίου.

Δ Βασ. 12,16 - καὶ οὐκ ἐξελογίζοντο τοὺς ἄνδρας, οἷς ἐδίδουν τὸ ἀργύριον ἐπὶ χεῖρας αὐτῶν δοῦναι τοῖς ποιοῦσι τὰ ἔργα, ὅτι ἐν πίστει αὐτῶν ποιοῦσιν.

Δ Βασ. 12,16 - Δεν εζητείτο δε λογαριασμός από τους άνδρας, εις τα χέρια των οποίων εδίδοντο τα χρήματα δια να πληρώσουν τους αναλαβόντας τα έργα της επιοιορθώσεως, διότι αυτοί εφέροντο με τιμιότητα.

Δ Βασ. 12,17 - ἀργύριον περὶ ἁμαρτίας καὶ ἀργύριον περὶ πλημμελείας, ὅ,τι εἰσηνέχθη ἐν οἴκῳ Κυρίου, τοῖς ἱερεῦσιν ἐγένετο.

Δ Βασ. 12,17 - Τα χρήματα όμως, τα οποία εισοδεύοντο στον ναόν από τας θυσίας περί αμαρτίας, εδίδοντο όχι δια την επιδιόρθωσιν του ναού, αλλά δια την συντήρησιν των ιερέων.

Δ Βασ. 12,18 - Τότε ἀνέβη Ἀζαὴλ βασιλεὺς Συρίας καὶ ἐπολέμησεν ἐπὶ Γὲθ καὶ προκατελάβετο αὐτήν. καὶ ἔταξεν Ἀζαὴλ τὸ πρόσωπον αὐτοῦ ἀναβῆναι ἐπὶ Ἱερουσαλήμ.

Δ Βασ. 12,18 - Κατά την εποχήν εκείνην ο Αζαήλ, ο βασιλεύς της Συρίας, εξεκίνησεν από την Συρίαν και επολέμησεν εναντίον της Γέθ, την οποίαν και κατέλαβεν. Ο Αζαήλ είχε πάρει την απόφασιν να εκστρατεύση και εναντίον της Ιερουσαλήμ.

Δ Βασ. 12,19 - καὶ ἔλαβεν Ἰωὰς βασιλεὺς Ἰούδα πάντα τὰ ἅγια, ὅσα ἡγίασεν Ἰωσαφὰτ καὶ Ἰωρὰμ καὶ Ὀχοζίας οἱ πατέρες αὐτοῦ καὶ βασιλεῖς Ἰούδα, καὶ τὰ ἅγια αὐτοῦ καὶ πᾶν τὸ χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς

οἴκου Κυρίου καὶ οἴκου τοῦ βασιλέως καὶ ἀπέστειλε τῷ Ἀζαὴλ βασιλεῖ Συρίας, καὶ ἀνέβη ἀπὸ Ἱερουσαλήμ.

Δ Βασ. 12,19 - Ο Ιωάς, ο βασιλεύς, διότι προφανώς δεν ηδύνατο να αντιπαραταχθή κατά του Αζαήλ, επήρεν όλα τα αφιερώματα, όσα είχαν αφιερώσει στον ναόν ο Ιωσαφάτ, ο Ιωράμ, ο Οχοζίας, οι προπάτορές του και βασιλείς του βασιλείου Ιούδα, όσα και ο ίδιος είχε προσφέρει, όλον το χρυσίον το οποίον ευρέθη εις τα θησαυροφυλάκια του ναού του Κυρίου και τα θησαυροφυλάκια του βασιλέως, και έστειλεν αυτά προς τον Αζαήλ βασιλέα της Συρίας, δια να τον εξευμενίση. Εκείνος δε αφού έλαβεν αυτά απεμακρύνθη από την Ιερουσαλήμ.

Δ Βασ. 12,20 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωὰς καὶ πάντα, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα πάντα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 12,20 - Τα υπόλοιπα από τα έργα του Ιωάς και όλα όσα άλλα έκαμε δεν είναι αυτά γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ιούδα;

Δ Βασ. 12,21 - καὶ ἀνέστησαν οἱ δοῦλοι αὐτοῦ καὶ ἔδησαν πάντα σύνδεσμον καὶ ἐπάταξαν τὸν Ἰωὰς ἐν οἴκῳ Μαλλὼ τῷ ἐν Γααλὰ

Δ Βασ. 12,21 - Οι δούλοι του Ιωάς επαναστάτησαν εναντίον του, έκαμαν συνωμοσίαν και τον εφόνευσαν στον οίκον Μαλλώ, που ευρίσκετο εις την περιοχήν Γααλά.

Δ Βασ. 12,22 - καὶ Ἰεζιχὰρ υἱὸς Ἰεμουὰθ καὶ Ἰεζεβοὺθ ὁ υἱὸς αὐτοῦ Σωμὴρ οἱ δοῦλοι αὐτοῦ ἐπάταξαν αὐτόν, καὶ ἀπέθανε· καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἀμεσσίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 12,22 - Οι δούλοι αυτοί, οι οποίοι επαναστάτησαν και εφόνευσαν τον βασιλέα, ήσαν ο Ιεζιχάρ, υιός του Ιεμουάθ, και ο Ιεζεβούθ ο υιός του Σωμήρ. Εθαψαν τον νεκρόν βασιλέα μαζή με τους προπάτοράς του εις την πόλιν του Δαυίδ. Αντί δε αυτού έγινε βασιλεύς ο υιός του, ο Αμεσσίας.

Δ ΒΑΣΙΛΕΙΩΝ 13

Δ Βασ. 13,1 - Ἐν ἔτει εἰκοστῷ καὶ τρίτῳ ἔτει τῷ Ἰωὰς υἱῷ Ὀχοζίου βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἰωάχαζ υἱὸς Ἰοὺ ἐν Σαμαρείᾳ ἑπτακαίδεκα ἔτη.

Δ Βασ. 13,1 - Κατά το εικοστόν τρίτον έτος της βασιλείας του Ιωάς, υιού του Οχοζίου, βασιλέως του βασιλείου του Ιούδα, έγινε βασιλεύς στον ισραηλιτικόν λαόν με πρωτεύουσαν την Σαμάρειαν ο Ιωάχαζ, υιός του Ιού, εβασίλευσεν επί δέκα επτά έτη.

Δ Βασ. 13,2 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου καὶ ἐπορεύθη ὀπίσω ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ,

οὐκ ἀπέστη ἀπ᾿ αὐτῶν.
Δ Βασ. 13,2 - Αυτός έπραξε πονηρά ενώπιον του Κυρίου, εβάδισε τον δρόμον της ειδωλολατρείας και της αμαρτωλής ζωής του Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος παρώθησε τον ισραηλιτικόν λαόν εις την αμαρτίαν και την ασέβειαν. Ο Ιωάχαζ δεν απεμακρύνθη από τας αμαρτίας εκείνων.
Δ Βασ. 13,3 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐν τῷ Ἰσραὴλ καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ Ἀζαὴλ βασιλέως Συρίας καὶ ἐν χειρὶ υἱοῦ Ἄδερ υἱοῦ Ἀζαὴλ πάσας τὰς ἡμέρας.
Δ Βασ. 13,3 - Δια τούτο ωργίσθη πολύ ο Κυριος κατά των Ισραηλιτών και παρέδωκεν αυτούς εις την εξουσίαν των βασιλέων της Συρίας Αζαήλ και του υιού του Αδερ καθ' όλας τας ημέρας της ζωής του Ιωάχαζ.
Δ Βασ. 13,4 - καὶ ἐδεήθη Ἰωάχαζ τοῦ προσώπου Κυρίου, καὶ ἐπήκουσεν αὐτοῦ Κύριος, ὅτι εἶδε τὴν θλῖψιν Ἰσραήλ, ὅτι ἔθλιψεν αὐτοὺς βασιλεὺς Συρίας.
Δ Βασ. 13,4 - Τοτε ο Ιωάχαζ θερμώς παρεκάλεσε τον Κυριον να τον βοηθήση, και ο Κυριος εισήκουσε την παράκλησίν του, διότι είδε την θλίψιν, με την οποίαν κατεβάρυνεν αυτούς ο βασιλεύς της Συρίας.
Δ Βασ. 13,5 - καὶ ἔδωκεν Κύριος σωτηρίαν τῷ Ἰσραήλ, καὶ ἐξῆλθεν ὑποκάτωθεν χειρὸς Συρίας. καὶ ἐκάθισαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τοῖς σκηνώμασιν αὐτῶν καθὼς ἐχθὲς καὶ τρίτης·
Δ Βασ. 13,5 - Ο Κυριος έσωσε τους Ισραηλίτας και έτσι οι Ισραηλίται ηλευθερώθησαν από την εξουσίαν των Συρων και εκάθισαν ειρηνικοί και ελεύθεροι εις τας κατοικίας των. Εζησαν ησύχως όπως και προηγουμένως.
Δ Βασ. 13,6 - πλὴν οὐκ ἀπέστησαν ἀπὸ ἁμαρτιῶν οἴκου Ἱεροβοάμ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, ἐν αὐταῖς ἐπορεύθησαν, καί γε τὸ ἄλσος ἐστάθη ἐν Σαμαρείᾳ.
Δ Βασ. 13,6 - Αλλά, παρ' όλα αυτά, δεν απεμακρύνθησαν από τας αμαρτίας της οικογενείας Ιεροβοάμ, ο οποίος εξώθησε τον ισραηλιτικόν λαόν εις ασέβειαν. Και αυτό ακόμη το ειδωλολατρικόν άγαλμα της Αστάρτης έμενεν εις την θέσιν του, στο άλσος εν τη Σαμαρεία.
Δ Βασ. 13,7 - ὅτι οὐχ ὑπελείφθη τῷ Ἰωάχαζ λαός, ἀλλ᾿ ἢ πεντήκοντα ἱππεῖς καὶ δέκα ἅρματα καὶ δέκα χιλιάδες πεζῶν, ὅτι ἀπώλεσεν αὐτοὺς βασιλεὺς Συρίας, καὶ ἔθεντο αὐτοὺς ὡς χοῦν εἰς καταπάτησιν.
Δ Βασ. 13,7 - Δια τούτο τους αφήρεσεν ο Θεός την δόξαν και την δύναμίν των, ώστε δεν απέμεινεν στον Ιωάχαζ στρατός ειμή μόνον πεντήκοντα ιππείς, δέκα πολεμικά άρματα και δέκα χιλιάδες πεζών. Ο βασιλεύς της Συρίας τους εξολόθρευσε και τους έκαμε κονιορτόν, δια να τους καταπατούν.
Δ Βασ. 13,8 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωάχαζ καὶ πάντα ὅσα ἐποίησε καὶ αἱ δυναστεῖαι αὐτοῦ, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Δ Βασ. 13,8 - Τα υπόλοιπα από τα έργα του Ιωάχαζ και όλα όσα αυτός έκαμε, και τα κατορθώματά του τα ιδιαίτερα, όλα αυτά δεν είναι γραμμένα στο βιβλίον των έργων των ημερών των βασιλέων του Ισραήλ;

Δ Βασ. 13,9 - καὶ ἐκοιμήθη Ἰωάχαζ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν Σαμαρείᾳ, καὶ ἐβασίλευσεν Ἰωὰς υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 13,9 - Ο Ιωάχαζ εκοιμήθη μετά των προγόνων του και τον έθαψαν εις την Σαμάρειαν, αντί δε αυτού έγινε βασιλεύς ο υιός του ο Ιωάς.

Δ Βασ. 13,10 - Ἐν ἔτει τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῷ Ἰωὰς βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἰωὰς υἱὸς Ἰωάχαζ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἑκκαίδεκα ἔτη.

Δ Βασ. 13,10 - Κατά το τριακοστόν έβδομον έτος του Ιωάς, βασιλέως του βασιλείου του Ιούδα, ανήλθεν στον βασιλικόν θρόνον του ισραηλιτικού λαού εις την Σαμάρειαν ο υιός του Ιωάχαζ, ο Ιωάς, ο οποίος εβασίλευσεν επί δέκα εξ έτη.

Δ Βασ. 13,11 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου· οὐκ ἀπέστη ἀπὸ πάσης ἁμαρτίας Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, ἐν αὐταῖς ἐπορεύθη.

Δ Βασ. 13,11 - Αλλά και αυτός έπραξε πονηρά ενώπιον των οφθαλμών του Κυρίου και εξέκλινε προς την ειδωλολατρείαν. Δεν απεμακρύνθη από τας αμαρτίας του Ιεροβοάμ, του υιού του Ναβάτ, ο οποίος ωδήγησε τους Ισραηλίτας εις την ειδωλολατρείαν. Εις την ειδωλολατρείαν και αμαρτίαν επορεύθη και αυτός.

Δ Βασ. 13,12 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωὰς καὶ πάντα ὅσα ἐποίησε, καὶ αἱ δυναστεῖαι αὐτοῦ, ἃς ἐποίησε μετὰ Ἀμεσσίου βασιλέως Ἰούδα, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Δ Βασ. 13,12 - Τα υπόλοιπα από τα έργα του Ιωάς, τα οποία αυτός έπραξε, και τα κατορθώματά του τα οποία επέτυχεν εναντίον του Αμεσσίου του βασιλέως Ιούδα, δεν είναι γραμμένα στο βιβλίον των έργων και ημερών των βασιλέων του Ισραήλ;

Δ Βασ. 13,13 - καὶ ἐκοιμήθη Ἰωὰς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ Ἱεροβοὰμ ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἐτάφη ἐν Σαμαρείᾳ μετὰ τῶν βασιλέων Ἰσραήλ.

Δ Βασ. 13,13 - Ο Ιωάς εκοιμήθη με τους προγόνους του· εκάθισε δε στον θρόνον αυτού ως διάδοχός του ο Ιεροβοάμ. Ο Ιωάς δε ενεταφιάσθη μαζή με τους βασιλείς του ισραηλιτικού λαού εις Σαμάρειαν.

Δ Βασ. 13,14 - Καὶ Ἑλισαιὲ ἠῤῥώστησε τὴν ἀῤῥωστίαν αὐτοῦ, δι᾿ ἣν ἀπέθανε. καὶ κατέβη πρὸς αὐτὸν Ἰωὰς βασιλεὺς Ἰσραὴλ καὶ ἔκλαυσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ εἶπε· πάτερ πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ.

Δ Βασ. 13,14 - Ο Ελισαίος αρρώστησεν από κάποιαν βαρείαν νόσον, από την οποίαν και θα απέθνησκεν. Ηλθεν εις επίσκεψίν του ο Ιωάς, ο

βασιλεύς του Ισραήλ, και πεσών επί το πρόσωπον αυτού, έκλαυσε και είπε· “πάτερ, πάτερ, συ είσαι το πολεμικόν άρμα και το ιππικόν του ισραηλιτικού λαού. Εάν αποθάνης, τι θα γίνωμεν;”

Δ Βασ. 13,15 - καὶ εἶπεν αὐτῷ Ἑλισαιέ· λάβε τόξον καὶ βέλη. καὶ ἔλαβε πρὸς ἑαυτὸν τόξον καὶ βέλη.

Δ Βασ. 13,15 - Ο Ελισαίος είπε προς αυτόν· “πάρε τόξον και βέλη”. Εκείνος επήρε πλησίον του τόξον και βέλη.

Δ Βασ. 13,16 - καὶ εἶπε τῷ βασιλεῖ· ἐπιβίβασον τὴν χεῖρά σου ἐπὶ τὸ τόξον· καὶ ἐπεβίβασεν Ἰωὰς τὴν χεῖρα αὐτοῦ, καὶ ἐπέθηκεν Ἑλισαιὲ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας τοῦ βασιλέως.

Δ Βασ. 13,16 - Είπεν ο Ελισαίος στον βασιλέα· “πάρε και κράτησε στο χέρι σου το τοξον”. Ο Ιωάς άπλωσε και επήρεν στο χέρι του το τόξον. Ο δε Ελισαίος έθεσε τα χέρια του εις τα χέρια του βασιλέως

Δ Βασ. 13,17 - καὶ εἶπεν· ἄνοιξον τὴν θυρίδα κατ᾿ ἀνατολάς· καὶ ἤνοιξε. καὶ εἶπεν Ἑλισαιέ· τόξευσον· καὶ ἐτόξευσε. καὶ εἶπε· βέλος σωτηρίας τῷ Κυρίῳ καὶ βέλος σωτηρίας ἐν Συρίᾳ, καὶ πατάξεις τὴν Συρίαν ἐν Ἀφὲκ ἕως συντελείας.

Δ Βασ. 13,17 - και είπε προς αυτόν· “άνοιξε το παράθυρον, το οποίον βλέπει προς ανατολάς”. Και το ήνοιξε. Ο Ελισαίος προσέθεσε· “ρίξε το βέλος”. Και εκείνος έρριψε το βέλος. Ο Ελισαίος είπε τότε· “αυτό είναι βέλος σωτηρίας των Ισραηλιτών εκ μέρους του Θεού. Βέλος, που σημαίνει την απαλλαγήν από την τυραννίαν των Συρων. Θα πολεμήσης τους Συρους εις την πόλιν Αφέκ μέχρις ολοτελούς συντριβής των”.

Δ Βασ. 13,18 - καὶ εἶπεν αὐτῷ Ἑλισαιέ· λάβε τόξα· καὶ ἔλαβε. καὶ εἶπε τῷ βασιλεῖ Ἰσραήλ· πάταξον εἰς τὴν γῆν· καὶ ἐπάταξεν ὁ βασιλεὺς τρὶς καὶ ἔστη.

Δ Βασ. 13,18 - Είπε πάλιν ο Ελισαίος στον βασιλέα· “πάρε βέλη”. Και εκείνος τα επήρε. Είπε προς τον βασιλέα· “τόξευσε κάτω προς την γην”. Ο βασιλεύς έρριξε τα βέλη τρεις φορές και έπειτα εσταμάτησεν.

Δ Βασ. 13,19 - καὶ ἐλυπήθη ἐπ᾿ αὐτῷ ὁ ἄνθρωπος τοῦ Θεοῦ καὶ εἶπεν· εἰ ἐπάταξας πεντάκις ἢ ἑξάκις, τότε ἂν ἐπάταξας τὴν Συρίαν ἕως συντελείας· καὶ νῦν τρὶς πατάξεις τὴν Συρίαν.

Δ Βασ. 13,19 - Ο άνθρωπος του Θεού, ο Ελισαίος, ελυπήθη δι' αυτόν και του είπεν· “εάν έρριπτες το βέλος πέντε η εξ φοράς, θα επολεμούσες και θα εξωλόθρευες πλήρως τους Συρους. Τωρα όμως τρεις μόνον φοράς θα κτυπήσης την Συρίαν”.

Δ Βασ. 13,20 - καὶ ἀπέθανεν Ἑλισαιέ, καὶ ἔθαψαν αὐτόν. καὶ μονόζωνοι Μωὰβ ἦλθον ἐν τῇ γῇ ἐλθόντος τοῦ ἐνιαυτοῦ·

Δ Βασ. 13,20 - Ο Ελισαίος απέθανε και τον έθαψαν. Κατά δε το επόμενον έτος εισέβαλαν εις την χώραν των Ισραηλιτών επιδρομείς Μωαβίται.

Δ Βασ. 13,21 - καὶ ἐγένετο αὐτῶν θαπτόντων τὸν ἄνδρα, καὶ ἰδοὺ εἶδον τὸν μονόζωνον καὶ ἔῤῥιψαν τὸν ἄνδρα ἐν τῷ τάφῳ Ἑλισαιέ, καὶ ἐπορεύθη καὶ ἥψατο τῶν ὀστέων Ἑλισαιὲ καὶ ἔζησε καὶ ἀνέστη ἐπὶ τοὺς πόδας αὐτοῦ.

Δ Βασ. 13,21 - Ενώ δε οι Ισραηλίται έθαπτον ένα νεκρόν, εφάνησαν από μακράν ερχόμενοι οι επιδρομείς Μωαβίται. Κατελήφθησαν από τρόμον οι Ισραηλίται και έρριψαν τον νεκρόν άνδρα στον ανοικτόν τάφον του Ελισαίου και ετράπησαν εις φυγήν. Ο νεκρός μόλις ήγγισε τα οστά του Ελισαίου, ανέζησε και ανωρθώθη στους πόδας του.

Δ Βασ. 13,22 - καὶ Ἀζαὴλ ἐξέθλιψε τὸν Ἰσραὴλ πάσας τὰς ἡμέρας Ἰωάχαζ.

Δ Βασ. 13,22 - Ο Αζαήλ συνεχίζων τον πόλεμον εναντίον των Ισραηλιτών καθ' όλας τας ημέρας του Ιωάχαζ, τους κατέθλιβε πολύ.

Δ Βασ. 13,23 - καὶ ἠλέησε Κύριος αὐτούς, καὶ ᾠκτείρησεν αὐτοὺς καὶ ἐπέβλεψεν ἐπ᾿ αὐτοὺς διὰ τὴν διαθήκην αὐτοῦ τὴν μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ οὐκ ἠθέλησε Κύριος διαφθεῖραι αὐτοὺς καὶ οὐκ ἀπέῤῥιψεν αὐτοὺς ἀπὸ τοῦ προσώπου αὐτοῦ.

Δ Βασ. 13,23 - Ο Κυριος όμως τους ηλέησε, τους ελυπήθη και έρριψε βλέμμα ευμενές προς αυτούς, χάριν της διαθήκης, την οποίαν είχε κάμει με τον Αβραάμ και τον Ισαάκ και τον Ιακώβ. Δια τούτο και δεν ηθέλησεν ο Κυριος να εξολοθρεύση αυτούς. Δεν τους απέρριψεν από το πρόσωπόν του.

Δ Βασ. 13,24 - καὶ ἀπέθανεν Ἀζαὴλ βασιλεὺς Συρίας, καὶ ἐβασίλευσεν υἱὸς Ἄδερ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 13,24 - Ο Αζαήλ, ο βασιλεύς της Συρίας, απέθανε και ανεκηρύχθη βασιλεύς αντ' αυτού Αδερ, ο υιός του.

Δ Βασ. 13,25 - καὶ ἐπέστρεψεν Ἰωὰς υἱὸς Ἰωάχαζ καὶ ἔλαβε τὰς πόλεις ἐκ χειρὸς υἱοῦ Ἄδερ υἱοῦ Ἀζαήλ, ἃς ἔλαβεν ἐκ χειρὸς Ἰωάχαζ τοῦ πατρὸς αὐτοῦ ἐν τῷ πολέμῳ· τρὶς ἐπάταξεν αὐτὸν Ἰωὰς καὶ ἐπέστρεψε τὰς πόλεις Ἰσραήλ.

Δ Βασ. 13,25 - Ανεθάρρησε τότε ο Ιωάς, ο υιός του Ιωάχαζ, επανήλθε και ανακατέλαβεν από την κυριαρχίαν του υιού του Αζαήλ, του ονομαζομένου “υιού Αδερ”, τας πόλεις, τας οποίας κατά τον πόλεμον είχεν εκείνος αφαιρέσει από τον Ιωάχαζ, τον πατέρα του Ιωάς. Τρεις φοράς επολέμησεν αυτόν νικηφόρως ο Ιωάς και ανέκτησε τας κυριευθείσας από εκείνον πόλστου Ισραήλ.

Δ ΒΑΣΙΛΕΙΩΝ 14

Δ Βασ. 14,1 - Ἐν ἔτει δευτέρῳ τῶ Ἰωὰς υἱῷ Ἰωάχαζ βασιλεῖ Ἰσραὴλ καὶ ἐβασίλευσεν Ἀμεσσίας υἱὸς Ἰωὰς βασιλεὺς Ἰούδα.

Δ Βασ. 14,1 - Κατά το δεύτερον έτος της βασιλείας του Ιωάς, υιού του Ιωάχαζ βασιλέως των Ισραηλιτών, ανήλθεν στον βασιλικόν θρόνον των Ιουδαίων ο Αμεσσίας, ο υιός του Ιωάς.

Δ Βασ. 14,2 - υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἰωαδὶμ ἐξ Ἱερουσαλήμ.

Δ Βασ. 14,2 - Οταν ανήλθεν στον βασιλικόν θρόνον ήτο είκοσι πέντε ετών. Εβασίλευσε δε επί είκοσιν εννέα έτη με πρωτεύουσαν την Ιερουσαλήμ. Η μητέρα αυτού ωνομάζετο Ιωαδίμ και κατήγετο από την Ιερουσαλήμ.

Δ Βασ. 14,3 - καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ· κατὰ πάντα ὅσα ἐποίησεν Ἰωὰς ὁ πατὴρ αὐτοῦ, ἐποίησε·

Δ Βασ. 14,3 - Ο Αμεσσίας έπραξε το ευάρεστον ενώπιον του Κυρίου, όχι όμως όπως ο προπάτωρ αυτού ο Δαυίδ. Εζησε και έπραξε καθ' όλα όπως ο πατήρ του ο Ιωάς.

Δ Βασ. 14,4 - πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῇρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς.

Δ Βασ. 14,4 - Αλλά τους υψηλούς ειδωλολατρικούς τόπους δεν κατέστρεψε και έτσι ο λαός εξακολουθούσεν ακόμη να θυσιάζη και να προσφέρη θυμιάματα στους υψηλούς ειδωλολατρικούς τόπους.

Δ Βασ. 14,5 - καὶ ἐγένετο ὅτε κατίσχυεν ἡ βασιλεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐπάταξε τοὺς δούλους αὐτοῦ τοὺς πατάξαντας τὸν πατέρα αὐτοῦ·

Δ Βασ. 14,5 - Οταν δε εστερεώθη καλά εις τα χέρια του η βασιλεία, εθανάτωσε τους δούλους του εκείνους, οι οποίοι είχαν συνωμοτικώς κτυπήσει και φονεύσει τον πατέρα του.

Δ Βασ. 14,6 - καὶ τοὺς υἱοὺς τῶν παταξάντων οὐκ ἐθανάτωσε, καθὼς γέγραπται ἐν βιβλίῳ νόμων Μωυσῆ, ὡς ἐνετείλατο Κύριος λέγων· οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ὅτι ἀλλ᾿ ἢ ἕκαστος ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἀποθανεῖται.

Δ Βασ. 14,6 - Τα παιδιά όμως των δολοφόνων αυτών του πατρός του δεν τα εφόνευσε τηρήσας την σχετικήν εντολήν του βιβλίου των νόμων του Μωϋσέως, στο οποίον ο Κυριος διέτασσε· “δεν πρέπει να θανατώνωνται πατέρες εξ αιτίας των υιών, ούτε υιοί εξ αιτίας των πατέρων των. Αλλά καθένας θα θανατώνεται δια τας ιδικάς του αμαρτίας”.

Δ Βασ. 14,7 - αὐτὸς ἐπάταξε τὴν Ἐδὼμ ἐν Γαιμελὲ δέκα χιλιάδας καὶ συνέλαβε τὴν Πέτραν ἐν τῷ πολέμῳ καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Καθοὴλ ἕως τῆς ἡμέρας ταύτης.

Δ Βασ. 14,7 - Αυτός, λοιπόν, ο Αμεσσίας επολέμησε τους Ιδουμαίους εις Γαιμελέ με δέκα χιλιάδας στρατιώτας και κατά τον πόλεμον αυτόν κατέλαβε την Πέτραν, την οποίαν μετωνόμασε Καθοήλ. Ετσι δε ονομάζεται η πόλις αυτή έως την ημέραν αυτήν.

Δ Βασ. 14,8 - τότε ἀπέστειλεν Ἀμεσσίας ἀγγέλους πρὸς Ἰωὰς υἱὸν Ἰωάχαζ υἱοῦ Ἰοὺ βασιλέως Ἰσραὴλ λέγων· δεῦρο ὀφθῶμεν προσώποις.

Δ Βασ. 14,8 - Υπερήφανος δια την νίκην του αυτήν ο Αμεσσίας έστειλεν αγγελιαφόρους προς τον Ιωάς, υιόν του Ιωάχαζ υιού του Ιού, βασιλέως των Ισραηλιτών, και είπε· “έλα να αντιπαραταχθώμεν εις πόλεμον”.

Δ Βασ. 14,9 - καὶ ἀπέστειλεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ πρὸς Ἀμεσσίαν βασιλέα Ἰούδα λέγων· ὁ ἄκαν ὁ ἐν τῷ Λιβάνῳ ἀπέστειλε πρὸς τὴν κέδρον τὴν ἐν τῷ Λιβάνῳ λέγων· δὸς τὴν θυγατέρα σου τῷ υἱῷ μου εἰς γυναῖκα· καὶ διῆλθον τὰ θηρία τοῦ ἀγροῦ τὰ ἐν τῷ Λιβάνῳ καὶ συνεπάτησαν τὴν ἄκανα.

Δ Βασ. 14,9 - Ο Ιωάς ο βασιλεύς των Ισραηλιτών έστειλεν ιδικούς του ανθρώπους προς τον Αμεσσίαν τον βασιλέα του Ιούδα και είπεν “η άκανθα, η οποία ευρίσκεται στο όρος Λιβανον, έστειλε προς την κέδρον την εν τω Λιβάνω και είπε· Δος μου την θυγατέρα σου ως σύζυγον στο παιδί μου. Τα θηρία της περιοχής του Λιβάνου ηγανάκτησαν δια την αναίδειάν της, κατεπάτησαν και εξωλόθρευσαν την άκανθαν.

Δ Βασ. 14,10 - τύπτων ἐπάταξας τὴν Ἰδουμαίαν, καὶ ἐπῆρέ σε καρδία σου· ἐνδοξάσθητι καθήμενος ἐν τῷ οἴκῳ σου, καὶ ἱνατί ἐρίζεις ἐν κακίᾳ σου; καὶ πεσῇ σὺ καὶ Ἰούδας μετὰ σοῦ.

Δ Βασ. 14,10 - Συ πολεμών ενίκησες την Ιδουμαίαν. Εξ αιτίας του κατορθώματός σου αλαζονεύθηκε η καρδία σου. Μείνε, λοιπόν, ήσυχος και αναπαυμένος με το κατόρθωμά σου αυτό. Διατί φιλονεικείς εξ αιτίας της κακότητός σου; Πρόσεξε, διότι εάν πολεμήσης εναντίον μου, θα πέσης και θα καταστραφής συ και ο ιουδαϊκός λαός μαζή σου”.

Δ Βασ. 14,11 - καὶ οὐκ ἤκουσεν Ἀμεσσίας. καὶ ἀνέβη Ἰωὰς βασιλεὺς Ἰσραήλ, καὶ ὤφθησαν προσώποις αὐτὸς καὶ Ἀμεσσίας βασιλεὺς Ἰούδα ἐν Βαιθσαμὺς τῇ τοῦ Ἰούδα·

Δ Βασ. 14,11 - Ο Αμεσσίας όμως δεν ήκουσε την συνετήν αυτήν συμβουλήν. Δα τούτο ο Ιωάς ο βασιλεύς του Ισραήλ εξεστράτευσεν εναντίον του. Συνηντήθησαν αντιμέτωποι εις την Βαιθσαμύς της Ιουδαίας αυτός ο Ιωάς, και ο Αμεσσίας, ο βασιλεύς της Ιουδαίας.

Δ Βασ. 14,12 - καὶ ἔπταισεν Ἰούδας ἀπὸ προσώπου Ἰσραήλ, καὶ ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτοῦ·

Δ Βασ. 14,12 - Κατά την μάχην οι Ιουδαίοι ενικήθησαν από τους Ισραηλίτας και ο καθένας από τους Ιουδαίους έφυγεν εις την κατοικίαν του.

Δ Βασ. 14,13 - καὶ τὸν Ἀμεσσίαν υἱὸν Ἰωὰς υἱοῦ Ὀχοζίου συνέλαβεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ ἐν Βαιθσαμύς. καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ καὶ καθεῖλεν ἐν τῷ τείχει Ἱερουσαλὴμ ἐν τῇ πύλῃ Ἐφραὶμ ἕως πύλης τῆς γωνίας τετρακοσίους πήχεις·

Δ Βασ. 14,13 - Τον δε Αμεσσίαν, υιόν Ιωάς υιού του Οχοζίου, συνέλαβεν αιχμάλωτον ο Ιωάς, ο βασιλεύς των Ισραηλιτών, εις Βαιθσαμύς. Ο Ιωάς ήλθεν έπειτα εις την Ιερουσαλήμ και εκρήμνισε τα τείχη της πόλεως από της πύλης Εφραίμ μέχρι της πύλης της γωνίας εις έκτασιν διακοσίων και πλέον μέτρων.

Δ Βασ. 14,14 - καὶ ἔλαβεν τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ πάντα τὰ σκεύη τὰ εὑρεθέντα ἐν οἴκῳ Κυρίου καὶ ἐν θησαυροῖς οἴκου τοῦ βασιλέως καὶ τοὺς υἱοὺς τῶν συμμίξεων καὶ ἀπέστρεψεν εἰς Σαμάρειαν.

Δ Βασ. 14,14 - Επήρεν επίσης τον χρυσόν, τον άργυρον και όλα τα ιερά σκεύη, που υπήρχαν στον ναόν του Κυρίου και εις τα θησαυροφυλάκια του βασιλικού οίκου. Επήρεν επίσης και επιφανείς ομήρους μαζή του και επέστρεψεν εις την Σαμάρειαν,

Δ Βασ. 14,15 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωάς, ὅσα ἐποίησεν ἐν δυναστείᾳ αὐτοῦ, ἃ ἐπολέμησε μετὰ Ἀμεσσίου βασιλέως Ἰούδα, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Δ Βασ. 14,15 - Τα υπόλοιπα από τα έργα του Ιωάς, όσα κατορθώματα αυτός έκαμε, ο πόλεμός του εναντίον του Αμεσσίου βασιλέως του Ιούδα, δεν είναι αυτά γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ισραήλ;

Δ Βασ. 14,16 - καὶ ἐκοιμήθη Ἰωὰς μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν Σαμαρείᾳ μετὰ τῶν βασιλέων Ἰσραήλ, καὶ ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 14,16 - Ο Ιωάς εκοιμήθη με τους προγόνους αυτού και ετάφη εις την Σαμάρειαν με τους βασιλείς του Ισραήλ. Αντί δε αυτού έγινε βασιλεύς ο Ιεροβοάμ, ο υιός του.

Δ Βασ. 14,17 - καὶ ἔζησεν Ἀμεσσίας υἱὸς Ἰωὰς βασιλεὺς Ἰούδα μετὰ τὸ ἀποθανεῖν Ἰωὰς υἱὸν Ἰωάχαζ βασιλέα Ἰσραὴλ πεντεκαίδεκα ἔτη.

Δ Βασ. 14,17 - Ο Αμεσσίας, ο υιός του Ιωάς, βασιλεύς των Ιουδαίων έζησε μετά τον θάνατον του Ιωάς, υιού του Ιωάχαζ βασιλέως του Ισραήλ, δέκα πέντε έτη.

Δ Βασ. 14,18 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἀμεσσίου καὶ πάντα, ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 14,18 - Τα υπόλοιπα από τα έργα του Αμεσσίου και όλα όσα έκαμεν, είναι γραμμένα στο βιβλίον των έργων και ημερών των βασιλέων του Ιούδα.

Δ Βασ. 14,19 - καὶ συνεστράφησαν ἐπ᾿ αὐτὸν σύστρεμμα ἐν Ἱερουσαλήμ, καὶ ἔφυγεν εἰς Λαχίς· καὶ ἀπέστειλαν ὀπίσω αὐτοῦ εἰς Λαχὶς καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ.

Δ Βασ. 14,19 - Εγινε κατόπιν συνωμοσία εναντίον του εις την Ιερουσαλήμ. Αυτός δε κατέφυγε, δια να σωθή, εις την Λαχίς. Αλλά εστάλησαν όπισθεν από αυτόν άνθρωποι, οι οποίοι και τον εθανάτωσαν εκεί.

Δ Βασ. 14,20 - καὶ ἦραν αὐτὸν ἐφ᾿ ἵππων, καὶ ἐτάφη ἐν Ἱερουσαλὴμ μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ.

Δ Βασ. 14,20 - Εφόρτωσαν το πτώμα του εις ίππον, με συνοδείαν δε και άλλων ιππέων έφεραν αυτόν εις Ιερουσαλήμ και τον έθαψαν εις την πόλιν Δαυίδ με τους προπάτοράς του.

Δ Βασ. 14,21 - καὶ ἔλαβε πᾶς ὁ λαὸς Ἰούδα τὸν Ἀζαρίαν -καὶ αὐτὸς υἱὸς ἑκκαίδεκα ἐτῶν- καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ Ἀμεσσίου.

Δ Βασ. 14,21 - Ολος δε τότε ο λαός των Ιουδαίων επήρε τον Αζαρίαν- όταν αυτός ήτο ακόμη δέκα εξ ετών- και τον ανεβίβασαν στον βασιλικόν θρόνον αντί του πατρός του, του Αμεσσίου.

Δ Βασ. 14,22 - αὐτὸς ᾠκοδόμησε τὴν Αἰλὼθ καὶ ἐπέστρεψεν αὐτὴν τῷ Ἰούδᾳ μετὰ τὸ κοιμηθῆναι τὸν βασιλέα μετὰ τῶν πατέρων αὐτοῦ.

Δ Βασ. 14,22 - Αυτός ο Αζαρίας οικοδόμησε την Αιλώθ και προσήρτησεν αυτήν εις την Ιουδαίαν, αφού ο βασιλεύς πατήρ του, ο Αμεσσίας, είχε κοιμηθή και ταφή μαζή με τους προγόνους του.

Δ Βασ. 14,23 - Ἐν ἔτει πεντεκαιδεκάτῳ τοῦ Ἀμεσσίου υἱῷ Ἰωὰς βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς Ἰωὰς ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ τεσσαράκοντα καὶ ἓν ἔτος.

Δ Βασ. 14,23 - Κατά το δέκατον πέμπτον έτος του Αμεσσίου, υιού του Ιωάς βασιλέως των Ιουδαίων, έγινε βασιλεύς των Ισραηλιτών εις την Σαμάρειαν ο Ιεροβοάμ υιός του Ιωάς, ο οποίος και εβασίλευσεν επί τεσσαράκοντα και εν έτος.

Δ Βασ. 14,24 - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου· οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Δ Βασ. 14,24 - Αυτός διέπραξε πονηρά ενώπιον του Κυρίου. Δεν απεμακρύνθη καθόλου από τας αμαρτίας του Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος εξώθησε τον ισραηλιτικόν λαόν εις την ασέβειαν.

Δ Βασ. 14,25 - αὐτὸς ἀπέστησε τὸ ὅριον Ἰσραὴλ ἀπὸ εἰσόδου Αἰμὰθ ἕως τῆς θαλάσσης τῆς Ἄραβα κατὰ τὸ ῥῆμα Κυρίου Θεοῦ Ἰσραήλ, ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἰωνᾶ υἱοῦ Ἀμαθὶ τοῦ προφήτου τοῦ ἐν Γεθχοφέρ.

Δ Βασ. 14,25 - Αυτός αποκατέστησε τα όρια του Ισραηλιτικού βασιλείου από την είσοδον Αιμάθ προς βορράν μέχρι της Γεννησαρέτ, όπως είχε

προείπει Κυριος ο Θεός του Ισραήλ δια του δούλου αυτού Ιωνά του προφήτου, υιού του Αμαθί, ο οποίος κατήγετο από την Γεθχοφέρ.

Δ Βασ. 14,26 - ὅτι εἶδε Κύριος τὴν ταπείνωσιν Ἰσραὴλ πικρὰν σφόδρα καὶ ὀλιγοστοὺς συνεχομένους καὶ ἐσπανισμένους καὶ ἐγκαταλελειμμένους, καὶ οὐκ ἦν ὁ βοηθῶν τῷ Ἰσραήλ.

Δ Βασ. 14,26 - Διότι ο Κυριος είδε τον εξευτελισμόν και την μεγάλην πικρίαν των Ισραηλιτών, οι οποίοι είχον απομείνει ολιγοστοί και σπάνιοι, εγκαταλελειμμένοι από όλους και δεν υπήρχε κανείς να βοηθήση τον ισραηλιτικόν λαόν.

Δ Βασ. 14,27 - καὶ οὐκ ἐλάλησε Κύριος ἐξαλεῖψαι τὸ σπέρμα Ἰσραὴλ ὑποκάτωθεν τοῦ οὐρανοῦ καὶ ἔσωσεν αὐτοὺς διὰ χειρὸς Ἱεροβοὰμ υἱοῦ Ἰωάς.

Δ Βασ. 14,27 - Δεν ηθέλησεν ο Κυριος να εξολοθρεύση τους απογόνους του Ισραήλ από την υπό τον ουρανόν, αλλά έσωσεν αυτούς δια μέσου του Ιεροβοάμ, του υιού του Ιωάς.

Δ Βασ. 14,28 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἱεροβοὰμ καὶ πάντα, ὅσα ἐποίησε, καὶ αἱ δυναστεῖαι αὐτοῦ, ὅσα ἐπολέμησε καὶ ὅσα ἐπέστρεψε τὴν Δαμασκὸν καὶ τὴν Αἰμὰθ τῷ Ἰούδᾳ ἐν Ἰσραήλ, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Δ Βασ. 14,28 - Τα υπόλοιπα εκ των έργων του Ιεροβοάμ και όσα άλλα έκαμε, τα κατορθώματά του, πως επολέμησε και πως ανέκτησε δια το βασίλειον του Ισραήλ την Δαμασκόν και την Αιμάθ, που ανήκεν στο βασίλειον του Ιούδα, είναι γραμμένα στο βιβλίον των έργων των ημερών των βασιλέων του Ισραήλ.

Δ Βασ. 14,29 - καὶ ἐκοιμήθη Ἱεροβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ μετὰ βασιλέων Ἰσραήλ, καὶ ἐβασίλευσε Ζαχαρίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 14,29 - Ο Ιεροβοάμ εκοιμήθη με τους προγόνους του, με τους βασιλείς του Ισραήλ. Ανεκηρύχθη δε βασιλεύς αντ' αυτού ο υιός του ο Ζαχαρίας.

Δ ΒΑΣΙΛΕΙΩΝ 15

Δ Βασ. 15,1 - Ἐν ἔτει εἰκοστῷ καὶ ἑβδόμῳ τῷ Ἱεροβοὰμ βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ἀζαρίας υἱὸς Ἀμεσσίου βασιλέως Ἰούδα.

Δ Βασ. 15,1 - Κατά το εικοστόν έβδομον έτος του Ιεροβοάμ, βασιλέως των Ισραηλιτών, εβασίλευσε ο Αζαρίας ο υιός του Αμεσσίου βασιλέως των Ιουδαίων.

Δ Βασ. 15,2 - υἱὸς ἑκκαίδεκα ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ πεντηκονταδύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ

Ἱεχελία ἐξ Ἱερουσαλήμ.
Δ Βασ. 15,2 - Δέκα εξ ετών ήτο αυτός, όταν έγινε βασιλεύς, και εβασίλευσεν εις την Ιερουσαλήμ επί πεντήκοντα δύο έτη. Η μητέρα του ωνομάζετο Ιεχελία και κατήγετο από την Ιερουσαλήμ.
Δ Βασ. 15,3 - καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου κατὰ πάντα, ὅσα ἐποίησεν Ἀμεσσίας ὁ πατὴρ αὐτοῦ·
Δ Βασ. 15,3 - Αυτός έπραξε το ορθόν και ευάρεστον ενώπιον του Κυρίου καθ' όλα, όπως ο Αμεσσίας ο πατήρ του.
Δ Βασ. 15,4 - πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῇρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς,
Δ Βασ. 15,4 - Αλλά δεν κατέστρεψε τους υψηλούς τόπους της ειδωλολατρικής θρησκείας και έτσι ο λαός εξακολουθούσε να θυσιάζη και να προσφέρη θυμιάματα στους ειδωλικούς θεούς.
Δ Βασ. 15,5 - καὶ ἥψατο Κύριος τὸν βασιλέα, καὶ ἦν λελεπρωμένος ἕως ἡμέρας θανάτου αὐτοῦ καὶ ἐβασίλευσεν ἐν οἴκῳ ἀφφουσώθ, καὶ Ἰωάθαμ υἱὸς τοῦ βασιλέως ἐπὶ τῷ οἴκῳ κρίνων τὸν λαὸν τῆς γῆς.
Δ Βασ. 15,5 - Δια τούτο ο Κυριος ετιμώρησε τον βασιλέα αυτόν με την ασθένειαν της λέπρας μέχρι της ημέρας του θανάτου του. Εξ αιτίας δε της λέπρας του, είχεν ως έδραν της βασιλείας του κάποιον απομεμονωμένον οίκον. Ο δε υιός του, ο Ιωάθαμ, εδίκαζε και εκυβερνούσε αντ' αυτού τον λαόν της Ιερουσαλήμ.
Δ Βασ. 15,6 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἀζαρίου, καὶ πάντα, ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;
Δ Βασ. 15,6 - Τα υπόλοιπα εκ των λόγων και έργων του Αζαρίου, όλα όσα έκαμεν, είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων Ιούδα.
Δ Βασ. 15,7 - καὶ ἐκοιμήθη Ἀζαρίας μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἰωάθαμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.
Δ Βασ. 15,7 - Ο Αζαρίας εκοιμήθη με τους προγόνους αυτού, τον έθαψαν δε στους τάφους των προγόνων του εις την πόλιν Δαυίδ. Αντ' αυτού δε εβασίλευσεν ο υιός του ο Ιωάθαμ.
Δ Βασ. 15,8 - Ἐν ἔτει τριακοστῷ καὶ ὀγδόῳ τῷ Ἀζαρίου βασιλεῖ Ἰούδα ἐβασίλευσε Ζαχαρίας υἱὸς Ἱεροβοὰμ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἑξάμηνον.
Δ Βασ. 15,8 - Κατά το τριακοστόν όγδοον έτος του Αζαρίου βασιλέως των Ιουδαίων εβασίλευσεν στο βασίλειον του Ισραήλ εις την Σαμάρειαν επί εξ μήνας ο Ζαχαρίας, ο υιός του Ιεροβοάμ.
Δ Βασ. 15,9 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, καθὰ ἐποίησαν οἱ πατέρες αὐτοῦ· οὐκ ἀπέστη ἀπὸ πασῶν τῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Δ Βασ. 15,9 - Αυτός διέπραξε πονηρά ενώπιον του Κυρίου. Εξέκλινεν προς την ειδωλολατρείαν, όπως έκαναν οι πρόγονοί του. Δεν απεμακρύνθη από τας πολυαρίθμους αμαρτίας του Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος είχεν εξωθήσει τους Ισραηλίτας εις την ασέβειαν και ειδωλολατρείαν.

Δ Βασ. 15,10 - καὶ συνεστράφησαν ἐπ᾿ αὐτὸν Σελλοὺμ υἱὸς Ἰαβὶς καὶ Κεβλαὰμ καὶ ἐπάταξαν αὐτὸν καὶ ἐθανάτωσαν αὐτόν, καὶ Σελλοὺμ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 15,10 - Ωργάνωσαν όμως συνωμοσίαν εναντίον αυτού ο Σελλούμ, ο υιός του Ιαβίς, και ο Κεβλαάμ, οι οποίοι τον εκτύπησαν και τον εφόνευσαν. Ανεκηρύχθη δε κατόπιν βασιλεύς αντ' αυτού ο Σελλούμ.

Δ Βασ. 15,11 - καὶ τὰ λοιπὰ τῶν λόγων Ζαχαρίου ἰδού εἰσι γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ.

Δ Βασ. 15,11 - Τα υπόλοιπα από τα έργα του Ζαχαρίου είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ισραήλ.

Δ Βασ. 15,12 - ὁ λόγος Κυρίου, ὃν ἐλάλησε πρὸς Ἰοὺ λέγων· υἱοὶ τέταρτοι καθήσονταί σοι ἐπὶ θρόνου Ἰσραήλ· καὶ ἐγένετο οὕτως.

Δ Βασ. 15,12 - Ο Κυριος είχε προφητεύσει προς τον Ιού και είπε· “τέσσαρες γενεαί σου θα καθίσουν διαδοχικώς στον βασιλικόν θρόνον των Ισραηλιτών”. Ετσι δε και έγινε.

Δ Βασ. 15,13 - Καὶ Σελλοὺμ υἱὸς Ἰαβὶς ἐβασίλευσε· καὶ ἐν ἔτει τριακοστῷ καὶ ἐνάτῳ Ἀζαρίᾳ βασιλεῖ Ἰούδα ἐβασίλευσε Σελλοὺμ μῆνα ἡμερῶν ἐν Σαμαρείᾳ.

Δ Βασ. 15,13 - Ο Σελλούμ, ο υιός του Ιαβίς, ανήλθεν στον βασιλικόν θρόνον. Κατά το τριακοστόν έννατον έτος του Αζαρίου, βασιλέως των Ιουδαίων, έγινε βασιλεύς ο Σελλούμ επί ένα μόνον μήνα εις την Σαμάρειαν.

Δ Βασ. 15,14 - καὶ ἀνέβη Μαναὴμ υἱὸς Γαδδὶ ἐκ Θαρσιλὰ καὶ ἦλθεν εἰς Σαμάρειαν καὶ ἐπάταξε τὸν Σελλοὺμ υἱὸν Ἰαβὶς ἐν Σαμαρείᾳ καὶ ἐθανάτωσεν αὐτόν.

Δ Βασ. 15,14 - Ο Μαναήμ, ο οποίος κατήγετο από την φυλήν Γαδ, ανέβη από την πόλιν Θαρσιλά, ήλθεν εις την Σαμάρειαν, εκτύπησε τον Σελλούμ, τον οίον του Ιαβίς, εντός της Σαμαρείας και τον εφόνευσε.

Δ Βασ. 15,15 - καὶ τὰ λοιπὰ τῶν λόγων Σελλοὺμ καὶ ἡ συστροφὴ αὐτοῦ, ἣν συνεστράφη, ἰδού εἰσι γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ.

Δ Βασ. 15,15 - Τα υπόλοιπα από τα έργα του Σελλούμ και η συνωμοσία, την οποίαν αυτός ωργάνωσε, ιδού είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του βασιλείου Ισραήλ.

Δ Βασ. 15,16 - τότε ἐπάταξε Μαναὴμ τὴν Θερσὰ καὶ πάντα τὰ ἐν αὐτῇ καὶ τὰ ὅρια αὐτῆς ἀπὸ Θερσά, ὅτι οὐκ ἤνοιξαν αὐτῷ· καὶ ἐπάταξεν αὐτὴν καὶ τὰς ἐν γαστρὶ ἐχούσας ἀνέῤῥηξεν.

Δ Βασ. 15,16 - Τοτε ο Μαναήμ εκτύπησε την πόλιν Θερσά και όλα τα περίχωρα αυτής και όλους όσοι ευρίσκοντο εις αυτήν. Την εκτύπησε, διότι οι κάτοικοί της δεν του ήνοιξαν τας πύλας της πόλεώς των. Οταν δε την κατέλαβε, διέπραξεν ωμότητας, αφού έφθασε μέχρι του σημείου να σχίση ακόμη και τας κοιλίας των εγκύων γυναικών.

Δ Βασ. 15,17 - Ἐν ἔτει τριακοστῷ καὶ ἐνάτῳ τῷ Ἀζαρίᾳ βασιλεῖ Ἰούδα ἐβασίλευσε Μαναὴμ υἱὸς Γαδδὶ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ δέκα ἔτη.

Δ Βασ. 15,17 - Κατά το τριακοστόν έννατον έτος του Αζαρίου, βασιλέως των Ιουδαίων, ανήλθεν στον βασιλικόν θρόνον ο Μαναήμ, καταγόμενος από την φυλήν Γαδ, και εβασίλευσεν εις την Σαμάρειαν επί δέκα έτη.

Δ Βασ. 15,18 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου· οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Δ Βασ. 15,18 - Αυτός διέπραξε πονηρά και ασεβή ενώπιον του Κυρίου. Δεν απεμακρύνθη από καμμίαν αμαρτίαν του Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος εξώθησε τον ισραηλιτικόν λαόν εις αμαρτίαν και ασέβειαν.

Δ Βασ. 15,19 - ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνέβη Φοὺλ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὴν γῆν, καὶ Μαναὴμ ἔδωκε τῷ Φοὺλ χίλια τάλαντα ἀργυρίου εἶναι τὴν χεῖρα αὐτοῦ μετ᾿ αὐτοῦ.

Δ Βασ. 15,19 - Κατά τας ημέρας του βασιλέως αυτού ο Φούλ, βασιλεύς των Ασσυρίων, επήλθεν εναντίον της χώρας των Ισραηλιτών. Ο Μαναήμ, δια να αποφύγη ήτταν και υποδούλωσιν, παρέδωσεν στον Φουλ χίλια τάλαντα αργυρίου, δια να τον έχη και σύμμαχόν του.

Δ Βασ. 15,20 - καὶ ἐξήνεγκε Μαναὴμ τὸ ἀργύριον ἐπὶ τὸν Ἰσραήλ, ἐπὶ πᾶν δυνατὸν ἰσχύϊ, δοῦναι τῷ βασιλεῖ τῶν Ἀσσυρίων, πεντήκοντα σίκλους τῷ ἀνδρὶ τῷ ἑνί· καὶ ἀπέστρεψε βασιλεὺς Ἀσσυρίων καὶ οὐκ ἔστη ἐκεῖ ἐν τῇ γῇ.

Δ Βασ. 15,20 - Ο Μαναήμ απέσπασε και συνεκέντρωσε το αργύριον αυτό από τους Ισραηλίτας, μάλιστα δε από εκείνους που ήσαν εις θέσιν να δώσουν, και το παρέδωσεν στον βασιλέα των Ασσυρίων. Πεντήκοντα σίκλους εζήτησε και επήρεν από κάθε πλούσιον άνδρα. Ο δε βασιλεύς των Ασσυρίων επανήλθε κατόπιν εις την χώραν του και έτσι απεμακρύνθη από την χώραν των Ισραηλιτών.

Δ Βασ. 15,21 - καὶ τὰ λοιπὰ τῶν λόγων Μαναὴμ καὶ πάντα ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ;

Δ Βασ. 15,21 - Τα υπόλοιπα εκ των έργων του Μαναήμ και όσα άλλα έκαμεν είναι αυτά γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ισραήλ.

Δ Βασ. 15,22 - καὶ ἐκοιμήθη Μαναὴμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσε Φακεσίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 15,22 - Ο Μαναήμ εκοιμήθη με τους προπάτοράς του και αντ' αυτού ανεκηρύχθη βασιλεύς ο Φακεσίας, ο υιός του.

Δ Βασ. 15,23 - Ἐν ἔτει πεντηκοστῷ τοῦ Ἀζαρίου βασιλεῖ Ἰούδα ἐβασίλευσε Φακεσίας υἱὸς Μαναὴμ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ δύο ἔτη.

Δ Βασ. 15,23 - Κατά το πεντηκοστόν έτος του Αζαρίου, βασιλέως των Ιουδαίων, εβασίλευσεν στο βασίλειον των Ισραηλιτών εις την Σαμάρειαν επί δύο έτη ο Φακεσίας, ο υιός του Μαναήμ.

Δ Βασ. 15,24 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου· οὐκ ἀπέστη ἀπὸ ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Δ Βασ. 15,24 - Αυτός διέπραξε πονηρά και ασεβή ενώπιον του Κυρίου. Δεν απεμακρύνθη καθόλου από τας αμαρτίας του Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος εξώθησε τους Ισραηλίτας εις την ασέβειαν και την αμαρτίαν.

Δ Βασ. 15,25 - καὶ συνεστράφη ἐπ᾿ αὐτὸν Φακεὲ υἱὸς Ῥομελίου ὁ τριστάτης αὐτοῦ καὶ ἐπάταξεν αὐτὸν ἐν Σαμαρείᾳ ἐναντίον οἴκου τοῦ βασιλέως μετὰ τοῦ Ἀργόβ καὶ μετὰ τοῦ Ἀρία, καὶ μετ᾿ αὐτοῦ πεντήκοντα ἄνδρες ἀπὸ τῶν τετρακοσίων· καὶ ἐθανάτωσεν αὐτὸν καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 15,25 - Εναντίον αυτού ωργάνωσε συνωμοσίαν ο μεγάλος αξιωματούχος του, ο Φακεέ, υιός του Ρομελίου, ο οποίος και εφόνευσεν αυτόν εις την Σαμάρειαν εμπρός εις τα βασιλικά ανάκτορα. Μαζή με αυτόν εφονεύθη ο Αργόβ και ο Αρίας και πεντήκοντα από τους τετρακοσίους άνδρας, τους σωματοφύλακάς του. Ο Φακεέ θανατώσας τον Φακεσίαν ανεκηρύχθη αντ' αυτού βασιλεύς.

Δ Βασ. 15,26 - καὶ τὰ λοιπὰ τῶν λόγων Φακεσίου καὶ πάντα, ὅσα ἐποίησεν, ἰδού εἰσι γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ.

Δ Βασ. 15,26 - Τα υπόλοιπα από τα έργα του Φακεσίου και όλα όσα έκαμεν είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ισραήλ.

Δ Βασ. 15,27 - Ἐν ἔτει πεντηκοστῷ καὶ δευτέρῳ τοῦ Ἀζαρίου βασιλεῖ Ἰούδα ἐβασίλευσε Φακεὲ υἱὸς Ῥομελίου ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ εἴκοσιν ἔτη.

Δ Βασ. 15,27 - Κατά το πεντηκοστόν δεύτερον έτος του Αζαρίου, βασιλέως των Ιουδαίων, ανήλθεν στον βασιλικόν θρόνον του βασιλείου των Ισραηλιτών ο Φακεέ, υιός του Ρομελίου, ο οποίος εβασίλευσεν εις την Σαμάρειαν επί είκοσι έτη.

Δ Βασ. 15,28 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου· οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

Δ Βασ. 15,28 - Και αυτός διέπραξε πονηρά ενώπιον του Κυρίου. Δεν απεμακρύνθη από καμμίαν αμαρτίαν του Ιεροβοάμ, υιού του Ναβάτ, ο οποίος είχε εξωθήσει τον ισραηλιτικόν λαόν εις αμαρτίαν και ασέβειαν.

Δ Βασ. 15,29 - ἐν ταῖς ἡμέραις Φακεὲ βασιλέως Ἰσραὴλ ἦλθε Θαγλαθφελλασὰρ βασιλεὺς Ἀσσυρίων καὶ ἔλαβε τὴν Αἰὶν καὶ τὴν Ἀβελβαιθαμααχὰ καὶ τὴν Ἀνιὼχ καὶ τὴν Κενὲζ καὶ τὴν Ἀσὼρ καὶ τὴν Γαλαὰδ καὶ τὴν Γαλιλαίαν, πᾶσαν γῆν Νεφθαλί, καὶ ἀπῴκισεν αὐτοὺς εἰς Ἀσσυρίους.

Δ Βασ. 15,29 - Κατά τας ημέρας του Φακεέ, βασιλέως των Ισραηλιτών, επήλθεν ο Θαγλαθφελλασάρ, βασιλεύς των Ασσυρίων, και κατέλαβε την Αιν, την Αβελβαιθαμααχα, την Ανιώχ, την Κενέζ, την Ασώρ, την Γαλαάδ και την Γαλιλαίαν καθ' όλην την έκτασιν της φυλής Νεφθαλίμ. Τους κατοίκους των περιοχών αυτών μετέφερε και εγκατέστησεν εις την χώραν των Ασσυρίων.

Δ Βασ. 15,30 - καὶ συνέστρεψε σύστρεμμα Ὡσηὲ υἱὸς Ἠλὰ ἐπὶ Φακεὲ υἱὸν Ῥομελίου καὶ ἐπάταξεν αὐτὸν καὶ ἐθανάτωσε καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ ἐν ἔτει εἰκοστῷ Ἰωάθαμ υἱοῦ Ἀζαρίου.

Δ Βασ. 15,30 - Ο Ωσηέ, υιός του Ηλά, ωργάνωσε συνωμοσίαν εναντίον του Φακεέ, υιού του Ρομελίου, εκτύπησεν αυτόν και τον εθανάτωσεν. Ανήλθε δε αντ' αυτού στον βασιλικόν θρόνον κατά το εικοστόν έτος του Ιωάθαμ, υιού του Αζαρίου.

Δ Βασ. 15,31 - καὶ τὰ λοιπὰ τῶν λόγων Φακεὲ καὶ πάντα, ὅσα ἐποίησεν, ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ.

Δ Βασ. 15,31 - Τα υπόλοιπα εκ των έργων του Φακεέ, όλα όσα έκαμε, ιδού όλα αυτά είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του βασιλείου των Ισραηλιτών.

Δ Βασ. 15,32 - Ἐν ἔτει δευτέρῳ Φακεὲ υἱοῦ Ῥομελίου βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ἰωάθαμ υἱὸς Ἀζαρίου βασιλέως Ἰούδα.

Δ Βασ. 15,32 - Κατά το δεύτερον έτος της βασιλείας του Φακεέ, υιού του Ρομελίου, βασιλέως των Ισραηλιτών, εβασίλευσεν ο Ιωάθαμ ο υιός του Αζαρίου βασιλέως του βασιλείου του Ιούδα.

Δ Βασ. 15,33 - υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἑκκαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἱερουσὰ θυγάτηρ Σαδώκ.

Δ Βασ. 15,33 - Ητο εικοσιπέντε ετών ούτος, όταν ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσε δε επί δέκα εξ έτη εις την Ιερουσαλήμ· η μήτηρ αυτού ωνομάζετο Ιερουσά, ήτο δε θυγάτηρ του Σαδώκ.

Δ Βασ. 15,34 - καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου κατὰ πάντα, ὅσα ἐποίησεν Ἀζαρίας ὁ πατὴρ αὐτοῦ·

Δ Βασ. 15,34 - Ο Ιωάθαμ έπραξε το αρεστόν ενώπιον του Κυρίου, σύμφωνα με όσα είχε πράξει και ο πατήρ του Αζαρίας.

Δ Βασ. 15,35 - πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῇρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς. αὐτὸς ᾠκοδόμησε τὴν πύλην οἴκου Κυρίου τὴν ἐπάνω.

Δ Βασ. 15,35 - Αλλά τους υψηλούς τόπους των ειδώλων δεν κατέστρεψε. Δια τούτο και ο λαός εξακολουθούσε να προσφέρη θυσίας και θυμίαμα στους υψηλούς αυτούς τόπους. Αυτός δε ανοικοδόμησε την άνω πύλην του ναού του Κυρίου.

Δ Βασ. 15,36 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωάθαμ καὶ πάντα, ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 15,36 - Τα υπόλοιπα εκ των έργων του Ιωάθαμ, όλα όσα έκαμε, είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ιούδα.

Δ Βασ. 15,37 - ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο Κύριος ἐξαποστέλλειν ἐν Ἰούδᾳ τὸν Ῥαασσὼν βασιλέα Συρίας, καὶ τὸν Φακεὲ υἱὸν Ῥομελίου.

Δ Βασ. 15,37 - Κατά την εποχήν εκείνην ήρχισεν ο Κυριος να αποστέλλη εναντίον του βασιλείου του Ιούδα τον Ραασσών, βασιλέα της Συρίας, και τον Φακεέ, υιόν του Ρομελίου.

Δ Βασ. 15,38 - καὶ ἐκοιμήθη Ἰωάθαμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐβασίλευσεν Ἄχαζ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 15,38 - Ο Ιωάθαμ εκοιμήθη μετά των πατέρων του και ετάφη εις την πόλιν του προγόνου του Δαυίδ, αντ' αυτού δε εβασίλευσεν ο Αχαζ ο υιός του.

Δ ΒΑΣΙΛΕΙΩΝ 16

Δ Βασ. 16,1 - Ἐν ἔτει ἑπτακαιδεκάτῳ Φακεὲ υἱοῦ Ῥομελίου ἐβασίλευσεν Ἄχαζ υἱὸς Ἰωάθαμ βασιλέως Ἰούδα.

Δ Βασ. 16,1 - Κατά το δέκατον έβδομον έτος της βασιλείας του Φακεέ, υιού του Ρομελίου, έγινε βασιλεύς στο βασίλειον του Ιούδα ο Αχαζ, ο υιός του Ιωάθαμ.

Δ Βασ. 16,2 - υἱὸς εἴκοσιν ἐτῶν ἦν Ἄχαζ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἑκκαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. καὶ οὐκ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου Θεοῦ αὐτοῦ πιστῶς, ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ

Δ Βασ. 16,2 - Ητο αυτός είκοσιν ετών, όταν ανήλθεν στον βασιλικόν θρόνον, και εβασίλευσεν επί δεκαέξ έτη εις την Ιερουσαλήμ. Αυτός όμως δεν έπραξε το ορθόν και το ευάρεστον ενώπιον Κυρίου του Θεού αυτού πιστώς, όπως είχε πράξει και ο προγονός του ο Δαυίδ.

Δ Βασ. 16,3 - καὶ ἐπορεύθη, ἐν ὁδῷ βασιλέων Ἰσραήλ, καί γε τὸν υἱὸν αὐτοῦ διῆγεν ἐν πυρὶ κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν, ὧν ἐξῆρε Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ,

Δ Βασ. 16,3 - Αλλά εβάδισε τον δρόμον της ασεβείας και αμαρτωλότητος των βασιλέων του Ισραήλ, αφού και αυτόν ακόμη τον υιόν του τον επέρασεν από την φωτιάν, σύμφωνα με τας αποκρουστικάς συνηθείας των ειδωλολατρικών εθνών, τα οποία είχε ξερριζώσει ο Κυριος εμπρός από τους Ισραηλίτας.

Δ Βασ. 16,4 - καὶ ἐθυσίαζε καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς καὶ ἐπὶ τῶν βουνῶν καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους.

Δ Βασ. 16,4 - Ετσι δε ο Ισραηλιτικός λαός προσέφερε θυσίας και θυμιάματα εις τους υψηλούς τόπους, στους λόφους και κάτω από κάθε δασικόν πυκνόφυλλον δένδρον.

Δ Βασ. 16,5 - τότε ἀνέβη Ῥαασσὼν βασιλεὺς Συρίας καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ εἰς Ἱερουσαλὴμ εἰς πόλεμον καὶ ἐπολιόρκουν ἐπὶ Ἄχαζ καὶ οὐκ ἠδύναντο πολεμεῖν.

Δ Βασ. 16,5 - Τοτε ο Ρaασσών, ο βασιλεύς της Συρίας, και ο Φακεέ, υιός του Ρομελίου, βασιλεύς του βασιλείου του Ισραήλ, εξεστράτευσαν εναντίον της Ιερουσαλήμ, δια να την πολεμήσουν και επολιόρκουν αυτήν και τον Αχαζ, που ευρίσκετο εντός αυτής. Αλλά δεν ηδυνήθησαν να επιτύχουν νίκην.

Δ Βασ. 16,6 - ἐν τῷ καιρῷ ἐκείνῳ ἐπέστρεψε Ῥαασσὼν βασιλεὺς Συρίας τὴν Αἰλὰθ τῇ Συρίᾳ καὶ ἐξέβαλε τοὺς Ἰουδαίους ἐξ Αἰλὰθ καὶ Ἰδουμαῖοι ἦλθον εἰς Αἰλὰθ καὶ κατῴκησαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης.

Δ Βασ. 16,6 - Κατά την εποχήν εκείνην ο Ρaασσών, βασιλεύς της Συρίας, κατέκτησε και προσήρτησεν εις την Συρίαν την Αιλάθ και εξεδίωξε τους Ιουδαίους από την Αιλάθ. Κατόπιν δε οι Ιδουμαίοι, τη συγκαταθέσει του Ρaασσών, ήλθον εις Αιλάθ και εγκατεστάθησαν εκεί μέχρις αυτής της ημέρας.

Δ Βασ. 16,7 - καὶ ἀπέστειλεν Ἄχαζ ἀγγέλους πρὸς Θαγλαθφελλασὰρ βασιλέα Ἀσσυρίων λέγων· δοῦλός σου καὶ υἱός σου ἐγώ, ἀνάβηθι καὶ σῶσόν με ἐκ χειρὸς βασιλέως Συρίας καὶ ἐκ χειρὸς βασιλέως Ἰσραὴλ τῶν ἐπανισταμένων ἐπ᾿ ἐμέ.

Δ Βασ. 16,7 - Τοτε ο Αχαζ έστειλεν αγγελιαφόρους προς τον Θαγλαθφελλασάρ, βασιλέα των Ασσυρίων, και του είπεν· “εγώ είμαι δούλος σου και παιδί σου. Ελα και σώσε με από τα χέρια του βασιλέως της Συρίας και από τα χέρια του βασιλέως του βασιλείου των Ισραηλιτών, οι οποίοι έχουν επιτεθή εναντίον μου”.

Δ Βασ. 16,8 - καὶ ἔλαβεν Ἄχαζ ἀργύριον καὶ χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς οἴκου Κυρίου καὶ οἴκου βασιλέως καὶ ἀπέστειλε τῷ βασιλεῖ δῶρα.

Δ Βασ. 16,8 - Επῆρεν ο Αχαζ όλον τον άργυρον και τον χρυσόν, που υπήρχεν εις τα θησαυροφυλάκια του ναού του Κυρίου και του βασιλικού ανακτόρου, και έστειλεν αυτά ως δώρα στον βασιλέα.

Δ Βασ. 16,9 - καὶ ἤκουσεν αὐτοῦ βασιλεὺς Ἀσσυρίων, καὶ ἀνέβη βασιλεὺς Ἀσσυρίων εἰς Δαμασκὸν καὶ συνέλαβεν αὐτὴν καὶ ἀπῴκισεν αὐτὴν καὶ τὸν Ῥαασσὼν βασιλέα ἐθανάτωσε.

Δ Βασ. 16,9 - Ο βασιλεύς των Ασσυρίων εδέχθη την πρόσκλησιν του Αχαζ και εξεστράτευσεν εις την Δαμασκόν, την οποίαν και κατέλαβε. Τους κατοίκους αυτής μετέφερεν εις άλλας περιοχάς, τον δε βασιλέα Ραασσών εφόνευσε.

Δ Βασ. 16,10 - καὶ ἐπορεύθη βασιλεὺς Ἄχαζ εἰς Δαμασκὸν εἰς ἀπαντὴν Θαγλαθφελλασὰρ βασιλεῖ Ἀσσυρίων εἰς Δαμασκόν. καὶ εἶδε τὸ θυσιαστήριον ἐν Δαμασκῷ, καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ πρὸς Οὐρίαν τὸν ἱερέα τὸ ὁμοίωμα τοῦ θυσιαστηρίου καὶ τὸν ῥυθμὸν αὐτοῦ καὶ πᾶσαν ποίησιν αὐτοῦ·

Δ Βασ. 16,10 - Ο βασιλεύς Αχαζ μετέβη κατόπιν εις την Δαμασκόν, δια να συναντήση τον Θαγλαθφελλασάρ, βασιλέα των Ασσυρίων, ο οποίος έμεινεν εις την πόλιν αυτήν. Εκεί εις την Δαμασκόν είδε το θυσιαστήριον του ειδωλολατρικού θεού και ο Αχαζ ο βασιλεύς έστειλε προς τον αρχιερέα Ουρίαν εις την Ιερουσαλήμ σχέδιον του θυσιαστηρίου και κάθε άλλην λεπτομέρειαν, δια να ανοικοδομηθή όμοιον.

Δ Βασ. 16,11 - καὶ ᾠκοδόμησεν Οὐρίας ὁ ἱερεὺς τὸ θυσιαστήριον κατὰ πάντα, ὅσα ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ ἐκ Δαμασκοῦ.

Δ Βασ. 16,11 - Πράγματι ο Ουρίας, ο αρχιερεύς, οικοδόμησε θυσιαστήριον καθ' όλα όμοιον, όπως είχε διατάξει με τους απεσταλμένους του ο βασιλεύς Αχαζ από την Δαμασκόν.

Δ Βασ. 16,12 - καὶ εἶδεν ὁ βασιλεὺς τὸ θυσιαστήριον καὶ ἀνέβη ἐπ᾿ αὐτὸ

Δ Βασ. 16,12 - Ο βασιλεύς Αχαζ, όταν ήλθεν εις την Ιερουσαλήμ, είδε το θυσιαστήριον και ανέβη επάνω εις αυτό.

Δ Βασ. 16,13 - καὶ ἐθυμίασε τὴν ὁλοκαύτωσιν αὐτοῦ καὶ τὴν θυσίαν αὐτοῦ καὶ τὴν σπονδὴν αὐτοῦ καὶ προσέχεε τὸ αἷμα τῶν εἰρηνικῶν τῶν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον

Δ Βασ. 16,13 - Προσέφερε δε ο ίδιος θυσίαν του θυμιάματος, αιματηρά ολοκαυτώματα, αναίμακτον θυσίαν δημητριακών καρπών και σπονδήν του οίνου. Το δε αίμα των ειρηνικών θυσιών έχυσεν στο θυσιαστήριον.

Δ Βασ. 16,14 - τὸ χαλκοῦν τὸ ἀπέναντι Κυρίου. καὶ προσήγαγε ἀπὸ προσώπου τοῦ οἴκου Κυρίου ἀπὸ τοῦ ἀνὰ μέσον τοῦ θυσιαστηρίου καὶ ἀπὸ τοῦ ἀνὰ μέσον τοῦ οἴκου Κυρίου καὶ ἔδειξεν αὐτὸ ἐπὶ μηρὸν τοῦ θυσιαστηρίου κατὰ βοῤῥᾶν.

Δ Βασ. 16,14 - Ο βασιλεύς Αχαζ διέταξεν επί πλέον, όπως το χαλκούν θυσιαστήριον των ολοκαυτωμάτων, το οποίον υπήρχεν έμπροσθεν του ναού του Κυρίου μετατοπισθή και τοποθετηθή πλησίον του νέου θυσιαστηρίου προς βορράν.

Δ Βασ. 16,15 - καὶ ἐνετείλατο ὁ βασιλεὺς Ἄχαζ τῷ Οὐρίᾳ τῷ ἱερεῖ λέγων· ἐπὶ τὸ θυσιαστήριον τὸ μέγα πρόσφερε τὴν ὁλοκαύτωσιν τὴν πρωϊνὴν καὶ τὴν θυσίαν τὴν ἑσπερινήν, καὶ τὴν ὁλοκαύτωσιν τοῦ βασιλέως καὶ τὴν θυσίαν αὐτοῦ καὶ τὴν ὁλοκαύτωσιν παντὸς τοῦ λαοῦ καὶ τὴν θυσίαν αὐτῶν καὶ τὴν σπονδὴν αὐτῶν καὶ πᾶν αἷμα ὁλοκαυτώσεως καὶ πᾶν αἷμα θυσίας ἐπ᾿ αὐτῷ ἐκχεεῖς· καὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ἔσται μοι εἰς τὸ πρωΐ.

Δ Βασ. 16,15 - Διέταξεν ακόμη ο βασιλεύς Αχαζ τον αρχιερέα Ουρίαν και του είπεν· “στο νέον αυτό μέγα θυσιαστήριον πρόσφερε τα ολοκαυτώματα της πρωΐας, την απογευματινήν θυσίαν, το ιδιαίτερον ολοκαύτωμα του βασιλέως, την αναίμακτον ειρηνικήν θυσίαν και τα ολοκαυτώματα όλων των ανθρώπων του λαού, την αναίμακτον θυσίαν αυτών και την σπονδήν του οίνου. Ολον δε το αίμα των ολοκαυτωμάτων θα χύσης στο θυσιαστήριον τούτο. Το δε παλαιόν χαλκούν θυσιαστήριον θα διατεθή δι' εμέ προσωπικώς, δια την πρωϊνήν θυσίαν”.

Δ Βασ. 16,16 - καὶ ἐποίησεν Οὐρίας ὁ ἱερεὺς κατὰ πάντα, ὅσα ἐνετείλατο αὐτῷ ὁ βασιλεὺς Ἄχαζ.

Δ Βασ. 16,16 - Ο αρχιερεύς Ουρίας έπραξεν όλα όσα είχεν είπει ο Αχαζ. Εξετελεσεν όλας τας εντολάς του βασιλέως.

Δ Βασ. 16,17 - καὶ συνέκοψεν ὁ βασιλεὺς Ἄχαζ τὰ συγκλείσματα τῶν μεχωνὼθ καὶ μετῆρεν ἀπ᾿ αὐτῶν τὸν λουτῆρα καὶ τὴν θάλασσαν καθεῖλεν ἀπὸ τῶν βοῶν τῶν χαλκῶν τῶν ὑποκάτω αὐτῆς καὶ ἔδωκεν αὐτὴν ἐπὶ βάσιν λιθίνην.

Δ Βασ. 16,17 - Ακόμη ο βασιλεύς Αχαζ έθραυσε τα πλευρά των κινητών λουτήρων, αφήρεσεν από αυτά τον νιπτήρα, κατέβασε την χαλκίνην θάλασσαν από τα χάλκινα βόϊδια, τα οποία ήσαν υποκάτω από αυτήν ως υποστηρίγματά της, και την ετοποθέτησεν εις άλλην ευτελή λιθίνην βάσιν.

Δ Βασ. 16,18 - καὶ τὸν θεμέλιον τῆς καθέδρας ᾠκοδόμησεν ἐν οἴκῳ Κυρίου καὶ τὴν εἴσοδον τοῦ βασιλέως τὴν ἔξω ἐπέστρεψεν ἐν οἴκῳ Κυρίου ἀπὸ προσώπου βασιλέως Ἀσσυρίων.

Δ Βασ. 16,18 - Δια να ευχαριστήση δε τον βασιλέα των Ασσυρίων, διέταξε και μετερρύθμισαν την εξέδραν, η οποία ήτο κτισμένη στον ναόν του Κυρίου, όπως επίσης και την εισοδον, που ωδηγούσεν από το εξωτερικόν μέρος του βασιλικού ανακτόρου προς τον ναόν του Κυρίου.

Δ Βασ. 16,19 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἄχαζ, ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 16,19 - Τα υπόλοιπα εκ των έργων του Αχαζ, τα οποία αυτός έκανε είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του βασιλείου Ιουδα.

Δ Βασ. 16,20 - καὶ ἐκοιμήθη Ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἐζεκίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 16,20 - Ο Αχαζ εκοιμήθη με τους προπάτορας αυτού και ετάφη εις την πόλιν Δαυίδ. Αντ' αυτού δε ανήλθεν στον βασιλικόν θρόνον ο υιός του, ο Εζεκίας.

Δ ΒΑΣΙΛΕΙΩΝ 17

Δ Βασ. 17,1 - Ἐν ἔτει δωδεκάτῳ τοῦ Ἄχαζ βασιλέως Ἰούδα ἐβασίλευσεν Ὡσηὲ υἱὸς Ἠλὰ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ ἐννέα ἔτη.

Δ Βασ. 17,1 - Κατά το δωδέκατον έτος της βασιλείας του Αχαζ, βασιλέως Ιούδα, εβασίλευσεν στο βασίλειον του Ισραήλ με πρωτεύουσαν την Σαμάρειαν επί εννέα έτη ο Ωσηέ, υιός του Ηλά.

Δ Βασ. 17,2 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς οἱ βασιλεῖς Ἰσραήλ, οἳ ἦσαν ἔμπροσθεν αὐτοῦ.

Δ Βασ. 17,2 - Αυτός έπραξε πονηρά ενώπιον του Κυρίου, αλλά όχι όπως οι προ αυτού βασιλείς του Ισραήλ.

Δ Βασ. 17,3 - ἐπ᾿ αὐτὸν ἀνέβη Σαλαμανασὰρ βασιλεὺς Ἀσσυρίων, καὶ ἐγενήθη αὐτῷ Ὡσηὲ δοῦλος καὶ ἐπέστρεψεν αὐτῷ μαναά.

Δ Βασ. 17,3 - Εναντίον αυτού εξεστράτευσεν ο Σαλαμανασάρ, ο βασιλεύς των Ασσυρίων. Ο Ωσηέ ηττήθη, έγινεν υποτελής εις αυτόν και επλήρωνε φόρον υποτελείας.

Δ Βασ. 17,4 - καὶ εὗρε βασιλεὺς Ἀσσυρίων ἐν τῷ Ὡσηὲ ἀδικίαν, ὅτι ἀπέστειλεν ἀγγέλους πρὸς Σηγὼρ βασιλέα Αἰγύπτου καὶ οὐκ ἤνεγκε μαναὰ τῷ βασιλεῖ Ἀσσυρίων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, καὶ ἐπολιόρκησεν αὐτὸν ὁ βασιλεὺς Ἀσσυρίων καὶ ἔδησεν αὐτὸν ἐν οἴκῳ φυλακῆς.

Δ Βασ. 17,4 - Ο βασιλεύς των Ασσυρίων ανεκάλυψεν ότι ο Ωσηέ είχε παρασπονδήσει, διότι είχεν αποστείλει αγγελιαφόρους προς τον βασιλέα της Αιγύπτου, τον Σηγώρ, ζητών βοήθειαν· κατά δε το έτος εκείνο δεν έδωσεν στον βασιλέα των Ασσυρίων τον συνήθη φόρον της υποτελείας. Δια τούτο ο βασιλεύς των Ασσυρίων επήλθε πάλιν εναντίον του, τον συνέλαβε, τον έδεσε και τον έρριψεν εις την φυλακήν.

Δ Βασ. 17,5 - καὶ ἀνέβη ὁ βασιλεὺς Ἀσσυρίων ἐν πάσῃ τῇ γῇ καὶ ἀνέβη εἰς Σαμάρειαν, καὶ ἐπολιόρκησεν ἐπ᾿ αὐτὴν τρία ἔτη.

Δ Βασ. 17,5 - Κατόπιν ο βασιλεύς των Ασσυρίων διεπέρασε όλην την χώραν των Ισραηλιτών και έφθασε έως εις την πρωτεύουσαν, την Σαμάρειαν, την οποίαν επολιόρκησεν επί τρία έτη.

Δ Βασ. 17,6 - ἐν ἔτει ἐνάτῳ Ὡσηὲ συνέλαβε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν καὶ ἀπῴκισεν Ἰσραὴλ εἰς Ἀσσυρίους καὶ κατῴκισεν αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβὼρ ποταμοῖς Γωζάν, καὶ ὄρη Μήδων.

Δ Βασ. 17,6 - Κατά το ένατον έτος της βασιλείας του Ωσηέ ο βασιλεύς των Ασσυρίων κατέλαβε την Σαμάρειαν και μετέφερεν ένα μέρος των Ισραηλιτών εις την χώραν των Ασσυρίων, εγκατέστησεν αυτούς εις την Αλαέ και εις την Αβώρ, στους ποταμούς της χώρας Γωζάν και εις τα όρη της χώρας των Μηδων.

Δ Βασ. 17,7 - καὶ ἐγένετο ὅτι ἥμαρτον οἱ υἱοὶ Ἰσραὴλ τῷ Κυρίῳ Θεῷ αὐτῶν τῷ ἀναγαγόντι αὐτοὺς ἐκ γῆς Αἰγύπτου ὑποκάτωθεν χειρὸς Φαραὼ βασιλέως Αἰγύπτου καὶ ἐφοβήθησαν θεοὺς ἑτέρους

Δ Βασ. 17,7 - Αυτά δε έγιναν ως τιμωρία εναντίον των Ισραηλιτών εκ μέρους του Θεού, διότι αυτοί ημάρτησαν ενώπιον Κυρίου του Θεού των, ο οποίος έβγαλεν αυτούς ελευθέρους από την γην της Αιγύπτου, από την εξουσίαν Φαραώ του βασιλέως της Αιγύπτου. Αυτοί όμως δεν εσεβάσθησαν τον αληθινόν Θεόν των, αλλά εσεβάσθησαν άλλους ειδωλολατρικούς θεούς.

Δ Βασ. 17,8 - καὶ ἐπορεύθησαν τοῖς δικαιώμασι τῶν ἐθνῶν, ὧν ἐξῆρε Κύριος ἐκ προσώπου υἱῶν Ἰσραήλ, καὶ οἱ βασιλεῖς Ἰσραήλ, ὅσοι ἐποίησαν,

Δ Βασ. 17,8 - Οι Ισραηλίται και οι βασιλείς των έπραξαν και έζησαν σύμφωνα με τα έθιμα των ειδωλολατρικών εθνών, τα οποία ο Κυριος είχε ξερριζώσει από το πρόσωπον του ισραηλιτικού λαού.

Δ Βασ. 17,9 - καὶ ὅσοι ἠμφιέσαντο οἱ υἱοὶ Ἰσραὴλ λόγους οὐχ οὕτως κατὰ Κυρίου Θεοῦ αὐτῶν. καὶ ᾠκοδόμησαν ἑαυτοῖς ὑψηλὰ ἐν πάσαις ταῖς πόλεσιν αὐτῶν ἀπὸ πύργου φυλασσόντων ἕως πόλεως ὀχυρᾶς

Δ Βασ. 17,9 - Παρεδέχθησαν και οικειοποιήθησαν οι Ισροηλίται διδασκαλίας και λατρευτικάς πράξεις, αι οποίαι δεν ήσαν ευάρεστοι ενώπιον Κυρίου του Θεού αυτών. Ανοικοδόμησαν δηλαδή οι ίδιοι δια τον εαυτόν τους πύργους λατρείας του ειδωλικού θεού εις υψηλά μέρη, εις όλας τας πόλεις των από τους μεμονωμένους πύργους της φρουράς μέχρι και των οχυρωμένων πόλεων.

Δ Βασ. 17,10 - καὶ ἐστήλωσαν ἑαυτοῖς στήλας καὶ ἄλση ἐπὶ παντὶ βουνῷ ὑψηλῷ καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους

Δ Βασ. 17,10 - Ανήγειραν ειδωλολατρικός στήλας, εφύτευσαν ιερά δάση, όπου έθεσαν τα αγάλματα της Αστάρτης εις κάθε υψηλόν λόφον κάτω από κάθε δασικόν πυκνόφυλλον δένδρον.

Δ Βασ. 17,11 - καὶ ἐθυμίασαν ἐκεῖ ἐν πᾶσιν ὑψηλοῖς καθὼς τὰ ἔθνη, ἃ ἀπῴκισε Κύριος ἐκ προσώπου αὐτῶν, καὶ ἐποίησαν κοινωνοὺς καὶ ἐχάραξαν τοῦ παροργίσαι τὸν Κύριον

Δ Βασ. 17,11 - Εκεί εις όλους αυτούς τους υψηλούς τόπους προσέφεραν θυμιάματα, όπως και τα ειδωλολατρικά έθνη, τα οποία ο Θεός είχεν απομακρύνει από το πρόσωπον αυτών. Και εμολύνθησαν εις τας αμαρτίας

και ασεβείας εκείνων και εχάραξαν σταθεράν την απόφασιν να παροργίσουν τον Κυριον.

Δ Βασ. 17,12 - καὶ ἐλάτρευσαν τοῖς εἰδώλοις, οἷς εἶπε Κύριος αὐτοῖς· οὐ ποιήσετε τὸ ῥῆμα τοῦτο τῷ Κυρίῳ.

Δ Βασ. 17,12 - Ελάτρευσαν τα είδωλα, δια τα οποία ο Κυριος τους είχε πη· "δεν θα πράξετε το πονηρόν τούτο έργον ενώπιον του Κυρίου".

Δ Βασ. 17,13 - καὶ διεμαρτύρατο Κύριος ἐν τῷ Ἰσραὴλ καὶ ἐν τῷ Ἰούδᾳ καὶ ἐν χειρὶ πάντων τῶν προφητῶν αὐτοῦ, παντὸς ὁρῶντος λέγων· ἀποστράφητε ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν καὶ φυλάξατε τὰς ἐντολάς μου καὶ τὰ δικαιώματά μου καὶ πάντα τὸν νόμον, ὃν ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν, ὅσα ἀπέστειλα αὐτοῖς ἐν χειρὶ τῶν δούλων μου τῶν προφητῶν.

Δ Βασ. 17,13 - Ο Κυριος εντόνως και επανειλημμένως είχεν απαγορεύσει την ασέβειαν και ειδωλολατρείαν στους Ισραηλίτας και στους Ιουδαίους δια μέσου όλων των προφητών και όλων των φωτισμένων ανδρών λέγων· "απομακρυνθήτε από τους δρόμους σας τους πονηρούς, φυλάξατε τας εντολάς μου και τα κρίματά μου και όλον τον Νομον, τον οποίον εγώ παρέδωσα στους προπάτοράς σας, όλα όσα δια μέσου των δούλων μου των προφητών διέταξα αυτούς να τηρούν".

Δ Βασ. 17,14 - καὶ οὐκ ἤκουσαν καὶ ἐσκλήρυναν τὸν νῶτον αὐτῶν ὑπὲρ τὸν νῶτον τῶν πατέρων αὐτῶν

Δ Βασ. 17,14 - Εκείνοι όμως δεν υπήκουσαν εις την εντολήν του Θεού. Εσκλήρυναν τον αυχένα των περισσότερον, από όσον είχαν σκληρύνει τας καρδίας των οι προπάτορες αυτών.

Δ Βασ. 17,15 - καὶ τὰ μαρτύρια αὐτοῦ, ὅσα διεμαρτύρατο αὐτοῖς, οὐκ ἐφύλαξαν καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων καὶ ἐματαιώθησαν, καὶ ὀπίσω τῶν ἐθνῶν τῶν περικύκλῳ αὐτῶν, ὧν ἐνετείλατο Κύριος αὐτοῖς μὴ ποιῆσαι κατὰ ταῦτα.

Δ Βασ. 17,15 - Τας εντολάς του Κυρίου, όσας εντόνως και επανειλημμένως διέταξεν εις αυτούς, δεν εφύλαξαν, αλλά έζησαν και έπραξαν ακολουθούντες τα μάταια είδωλα, και έγιναν και αυτοί αμαρτωλοί και ανόητοι, διότι ηκολούθησαν τα έθνη, τα οποία ήσαν γύρω των, τα ήθη και τα έθιμα τα οποία διέταξεν ο Κυριος αυτούς να μη τα ακολουθήσουν.

Δ Βασ. 17,16 - ἐγκατέλιπον τὰς ἐντολὰς Κυρίου Θεοῦ αὐτῶν καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα δύο δαμάλεις καὶ ἐποίησαν ἄλση καὶ προσεκύνησαν πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ ἐλάτρευσαν τῷ Βάαλ

Δ Βασ. 17,16 - Εγκατέλειψαν και κατεφρόνησαν τας εντολάς Κυρίου του Θεού των, έχυσαν και κατεσκεύασαν δια τον εαυτόν των δύο ομοιώματα δαμάλεων, έστησαν αγάλματα της Αστάρτης εις τα άλση, επροσκύνησαν όλους τους αστέρας του ουρανού και ελάτρευσαν τον Βααλ.

Δ Βασ. 17,17 - καὶ διῆγον τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρὶ καὶ ἐμαντεύοντο μαντείας καὶ οἰωνίζοντο καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου παροργίσαι αὐτόν.

Δ Βασ. 17,17 - Αυτοί ακόμη επερνούσαν τους υιούς και τας θυγατέρας των δια πυρός σύμφωνα με τα ειδωλολατρικά έθιμα, συνεβουλεύοντο τους μάντεις, παρετήρουν τους οιωνούς και γενικώς τόσον πολύ εξετράπησαν στο κακόν, σαν να επωλήθησαν ως δούλοι, δια να κάνουν το κακόν ενώπιον του Κυρίου, ώστε να εξοργίσουν αυτόν εναντίον των.

Δ Βασ. 17,18 - καὶ ἐθυμώθη Κύριος σφόδρα ἐν τῷ Ἰσραήλ, καὶ ἀπέστησεν αὐτοὺς ἀπὸ τοῦ προσώπου αὐτοῦ, καὶ οὐχ ὑπελείφθη πλὴν φυλὴ Ἰούδα μονωτάτη.

Δ Βασ. 17,18 - Ο Κυριος ωργίσθη πάρα πολύ εναντίον των Ισραηλιτών και απέστρεψεν από αυτούς με αγανάκτησιν το πρόσωπόν του. Δεν έμειναν πλέον πιστοί στον Θεόν, ειμή μόνον η φυλή του Ιούδα.

Δ Βασ. 17,19 - καί γε Ἰούδας οὐκ ἐφύλαξε τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ αὐτῶν καὶ ἐπορεύθησαν ἐν τοῖς δικαιώμασιν Ἰσραήλ, οἷς ἐποίησαν,

Δ Βασ. 17,19 - Μολονότι και το βασίλειον ακόμη του Ιούδα δεν ετήρησε κατά πάντα τας εντολάς Κυρίου του Θεού των, διότι και οι Ιουδαίοι επορεύθησαν και έζησαν σύμφωνα με τας ασεβείς συνηθείας του ισραηλιτικού λαού, τας οποίας έκαμαν.

Δ Βασ. 17,20 - καὶ ἀπεώσαντο τὸν Κύριον, καὶ ἐθυμώθη Κύριος παντὶ σπέρματι Ἰσραὴλ καὶ ἐσάλευσεν αὐτοὺς καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ διαρπαζόντων αὐτούς, ἕως οὗ ἀπέῤῥιψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ.

Δ Βασ. 17,20 - Αυτοί είχαν απωθήσει τον Κυριον. Δια τούτο ο Κυριος ωργίσθη εναντίον όλου του Ισραηλιτικού λαού, συνετάραξεν αυτούς και τους παρέδωσεν εις τα χέρια των εχθρών, οι οποίοι εισωρμούσαν εις την χώραν των και επεδίδοντο εις διαρπαγάς, μέχρις ότου τους απέρριψεν ο Κυριος από το πρόσωπόν του.

Δ Βασ. 17,21 - ὅτι πλὴν Ἰσραὴλ ἐπάνωθεν οἴκου Δαυὶδ καὶ ἐβασίλευσαν τὸν Ἱεροβοὰμ υἱὸν Ναβάτ, καὶ ἐξέωσεν Ἱεροβοὰμ τὸν Ἰσραὴλ ἐξόπισθεν Κυρίου καὶ ἐξήμαρτεν αὐτοὺς ἁμαρτίαν μεγάλην.

Δ Βασ. 17,21 - Αλλο μεγάλο αμάρτημά των είναι ότι αι δέκα φυλαί του Ισραήλ εξέκοψαν από τον οίκον Δαυίδ και ανεκήρυξαν δια τον εαυτόν των βασιλέα τον Ιεροβοάμ, τον υιόν του Ναβάτ. Ο δε Ιεροβοάμ απεμάκρυνε και εξέκοψε τον ισραηλιτικόν λαόν από τας οδούς του Κυρίου και ωδήγησεν αυτόν εις την μεγάλην ασέβειαν και αμαρτίαν της ειδωλολατρείας.

Δ Βασ. 17,22 - καὶ ἐπορεύθησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν πάσῃ ἁμαρτίᾳ Ἱεροβοάμ, ᾗ ἐποίησεν, οὐκ ἀπέστησαν ἀπ᾿ αὐτῆς,

Δ Βασ. 17,22 - Ετσι δε οι Ισραηλίται επορεύθησαν εις όλας τας αμαρτίας του Ιεροβοάμ, τας οποίας αυτός είχε διαπράξει, και δεν απεμακρύνθησαν καθόλου από αυτάς,

Δ Βασ. 17,23 - ἕως οὗ μετέστησε Κύριος τὸν Ἰσραὴλ ἀπὸ προσώπου αὐτοῦ, καθὼς ἐλάλησε Κύριος ἐν χειρὶ πάντων τῶν δούλων αὐτοῦ τῶν προφητῶν, καὶ ἀπῳκίσθη Ἰσραὴλ ἐπάνωθεν τῆς γῆς αὐτοῦ εἰς Ἀσσυρίους ἕως τῆς ἡμέρας ταύτης.

Δ Βασ. 17,23 - μέχρις ότου ο Κυριος τους απέρριψεν από το πρόσωπόν του και εστέρησεν από την προστασίαν του τον ισραηλιτικόν λαόν. Αυτό άλλωστε είχε προείπει ο Κυριος δια μέσου όλων των δούλων του των προφητών. Και προς τιμωρίαν του ο ισραηλιτικός λαός απήχθη αιχμάλωτος από την χώραν του εις την χώραν των Ασσυρίων μέχρι της ημέρας αυτής.

Δ Βασ. 17,24 - Καὶ ἤγαγε βασιλεὺς Ἀσσυρίων ἐκ Βαβυλῶνος τὸν ἐκ Χουθὰ ἀπὸ Ἀϊὰ καὶ ἀπὸ Αἰμὰθ καὶ Σεπφαρουαΐμ, καὶ κατῳκίσθησαν ἐν πόλεσι Σαμαρείας ἀντὶ τῶν υἱῶν Ἰσραὴλ καὶ ἐκληρονόμησαν τὴν Σαμάρειαν καὶ κατῴκισαν ἐν ταῖς πόλεσιν αὐτῆς.

Δ Βασ. 17,24 - Ο βασιλεύς των Ασσυρίων μετέφερεν ανθρώπους από την Βαβυλώνα, δηλαδή κατοίκους των πόλεων Χουθά, Αϊά, Αιμάθ και Σεπφαρουαίμ και τους εγκατέστησεν εις τας πόλεις της Σαμαρείας αντί των Ισραηλιτών. Αυτοί δε επήραν πλέον ως κληρονομίαν των την Σαμάρειαν και εγκατεστάθησον εις τας πόλεις αυτής.

Δ Βασ. 17,25 - καὶ ἐγένετο ἐν ἀρχῇ τῆς καθέδρας αὐτῶν οὐκ ἐφοβήθησαν τὸν Κύριον, καὶ ἀπέστειλε Κύριος ἐν αὐτοῖς τοὺς λέοντας, καὶ ἦσαν ἀποκτέννοντες ἐν αὐτοῖς.

Δ Βασ. 17,25 - Οι έποικοι αυτοί εις την αρχήν της εγκαταστάσεώς των δεν εφοβήθησαν τον Κυριον. Δια τούτο ο Κυριος απέστειλεν εναντίον των λέοντας, οι οποίοι και τους κατεσπάρασσαν.

Δ Βασ. 17,26 - καὶ εἶπαν τῷ βασιλεῖ Ἀσσυρίων λέγοντες· τὰ ἔθνη, ἃ ἀπῴκισας καὶ ἀντεκάθισας ἐν πόλεσι Σαμαρείας, οὐκ ἔγνωσαν τὸ κρίμα τοῦ Θεοῦ τῆς γῆς, καὶ ἀπέστειλεν εἰς αὐτοὺς τοὺς λέοντας, καὶ ἰδού εἰσι θανατοῦντες αὐτούς, καθότι οὐκ οἴδασι τὸ κρίμα τοῦ Θεοῦ τῆς γῆς,

Δ Βασ. 17,26 - Τοτε προσήλθον μερικοί στον βασιλέα των Ασσυρίων και του είπον· “οι λαοί, τους οποίους συ μετέφερες και εγκατέστησες αντί των Σαμαρειτών εις τας πόλεις της Σαμαρείας, δεν εφρόντισαν να μάθουν το θέλημα του Θεού της χώρας αυτής. Δια τούτο ο Θεός έστειλεν εναντίον των τους λέοντας· και ιδού ότι οι λέοντες τους κατασπαράσσουν, διότι δεν εφρόντισαν οι άνθρωποι αυτοί να μάθουν και να τηρήσουν το θέλημα του Θεού της χώρας αυτής”.

Δ Βασ. 17,27 - καὶ ἐνετείλατο ὁ βασιλεὺς Ἀσσυρίων λέγων· ἀπάγετε ἐκεῖθεν καὶ πορευέσθωσαν καὶ κατοικήτωσαν ἐκεῖ καὶ φωτιοῦσιν αὐτοὺς τὸ κρίμα τοῦ Θεοῦ τῆς γῆς.

Δ Βασ. 17,27 - Ο βασιλεύς των Ασσυρίων έδωσε τότε την εξής διαταγήν· “οδηγήσατε, είπεν, εκεί ανθρώπους, οι οποίοι θα μεταβούν και θα

κατοικήσουν μαζή των και θα διαφωτίσουν και θα διδάξουν τους εποίκους λαούς το θέλημα του Θεού της χώρας εκείνης".

Δ Βασ. 17,28 - καὶ ἤγαγον ἕνα τῶν ἱερέων, ὧν ἀπῴκισαν ἀπὸ Σαμαρείας, καὶ ἐκάθισεν ἐν Βαιθὴλ καὶ ἦν φωτίζων αὐτοὺς πῶς φοβηθῶσι τὸν Κύριον.

Δ Βασ. 17,28 - Εκείνοι πράγματι οδήγησαν ένα από τους ιερείς, που είχε μεταφέρει από την Σαμάρειαν εις την Ασσυρίαν ο βασιλεύς. Ο ιερεύς εκάθισεν εις την Βαιθήλ και διεφώτιζε και εδίδασκε τους ξένους εκείνους λαούς, πως πρέπει να σέβωνται και να λατρεύουν τον Κυριον.

Δ Βασ. 17,29 - καὶ ἦσαν ποιοῦντες ἔθνη ἔθνη θεοὺς αὐτῶν καὶ ἔθηκαν ἐν οἴκῳ τῶν ὑψηλῶν, ὧν ἐποίησαν οἱ Σαμαρεῖται, ἔθνη ἔθνη ἐν ταῖς πόλεσιν αὐτῶν, ἐν αἷς κατῴκουν.

Δ Βασ. 17,29 - Αλλά τα διάφορα εκείνα έθνη είχαν τους θεούς των, τους οποίους ετοποθετούσαν εις ναούς κτισμένους από τους Σαμαρείτας εις υψηλούς τόπους. Επί πλέον κάθε έθνος κατεσκεύαζε τέτοιους ναούς εις τας πόλεις, εις τας οποίας είχεν εγκατασταθή.

Δ Βασ. 17,30 - καὶ οἱ ἄνδρες Βαβυλῶνος ἐποίησαν τὴν Σωκχὼθ Βαινίθ, καὶ οἱ ἄνδρες Χοὺθ ἐποίησαν τὴν Νηριγέλ, καὶ οἱ ἄνδρες Αἱμὰθ ἐποίησαν τὴν Ἀσιμάθ,

Δ Βασ. 17,30 - Ετσι δε οι άνδρες, οι καταγόμενοι από την Βαβυλώνα, κατεσκεύασαν ναόν της Σωκχώθ Βαινίθ και οι άνδρες της πόλεως Χουθ ωκοδόμησαν ναόν της Νηριγέλ, οι δε άνδρες της Αιμάθ ωκοδόμησαν ναόν της Ασιμάθ.

Δ Βασ. 17,31 - καὶ οἱ Εὐαῖοι ἐποίησαν τὴν Ἐβλαζὲρ καὶ τὴν Θαρθάκ, καὶ οἱ Σεπφαρουαΐμ κατέκαιον τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ τῷ Ἀδραμέλεχ καὶ Ἀνημελέχ, θεοῖς Σεπφαρουαΐμ.

Δ Βασ. 17,31 - Οι Ευαίοι κατεσκεύασαν την Εβλαζέρ και την Θαρθάκ, οι δε καταγόμενοι από την Σεπφαρουαΐμ επερνούσαν τους υιούς των δια πυρός εις ένδειξιν λατρείας και ικεσίας προς τους θεούς Αδραμέλεχ και Ανημελέχ, οι οποίοι ήσαν θεοί της πόλεως Σεπφαρουαΐμ.

Δ Βασ. 17,32 - καὶ ἦσαν φοβούμενοι τὸν Κύριον καὶ κατῴκισαν τὰ βδελύγματα αὐτῶν ἐν τοῖς οἴκοις τῶν ὑψηλῶν, ἃ ἐποίησαν ἐν Σαμαρείᾳ, ἔθνος ἔθνος ἐν πόλει, ἐν ᾗ κατῴκουν ἐν αὐτῇ· καὶ ἦσαν φοβούμενοι τὸν Κύριον καὶ ἐποίησαν ἑαυτοῖς ἱερεῖς τῶν ὑψηλῶν καὶ ἐποίησαν ἐν οἴκῳ τῶν ὑψηλῶν.

Δ Βασ. 17,32 - Με ένα τέτοιον τρόπον εσέβοντο αυτοί τον Κυριον. Εγκατέστησαν τους βωμούς των και τα ειδωλολατρικά των αγάλματα, τα οποία κατεσκεύασαν, στους ναούς των υψηλών τόπων, όπως επίσης και όσα κατεσκεύασαν εις την Σαμάρειαν. Και γενικώς κάθε έθνος έτσι έκαμνεν εις την πόλιν, εις την οποίαν κατοικούσαν. Αυτοί ήσαν οι φοβούμενοι τον

Κυριον, οι οποίοι και ανέδειξαν ιερείς από τον λαόν, δια να ιερουργούν στους υψηλούς τόπους, όπου είχαν κατασκευάσει ναούς.

Δ Βασ. 17,33 - καὶ τὸν Κύριον ἐφοβοῦντο καὶ τοῖς θεοῖς αὐτῶν ἐλάτρευον κατὰ τὸ κρίμα τῶν ἐθνῶν, ὅθεν ἀπῴκισαν αὐτοὺς ἐκεῖθεν.

Δ Βασ. 17,33 - Εσέβοντο τον Κυριον, αλλά ελάτρευαν και τους ειδωλολατρικούς θεούς των εθνών σύμφωνα με τα ήθη και εθιμα των εθνών τούτων, από τα οποία και μετέφεραν όλους αυτούς τους ειδωλικούς θεούς εις την χώραν του Ισραήλ.

Δ Βασ. 17,34 - ἕως τῆς ἡμέρας ταύτης αὐτοὶ ἐποίουν κατὰ τὸ κρίμα αὐτῶν· αὐτοὶ φοβοῦνται καὶ αὐτοὶ ποιοῦσι κατὰ τὰ δικαιώματα αὐτῶν καὶ κατὰ τὴν κρίσιν αὐτῶν καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἐντολήν, ἣν ἐνετείλατο Κύριος τοῖς υἱοῖς Ἰακώβ, οὗ ἔθηκε τὸ ὄνομα αὐτοῦ Ἰσραήλ,

Δ Βασ. 17,34 - Και οι Ισραηλίται μέχρι της ημέρας αυτής ελάτρευαν τον Θεόν σύμφωνα με τας συγκεχυμένας αυτάς αντιλήψεις και ειδωλολατρικάς δοξασίας. Αυτοί φοβούνται τον Θεόν, αλλά πράττουν και ζουν σύμφωνα και με τα ειδωλολατρικά έθιμα. Ακολουθούν τα ίχνη των εθνών, αλλά και τον Νομον και την εντολήν, την οποίαν έδωσεν ο Κυριος στους υιούς του Ιακώβ, τον οποίον είχε μετονομάσει Ισραήλ.

Δ Βασ. 17,35 - καὶ διέθετο Κύριος μετ᾿ αὐτῶν διαθήκην καὶ ἐνετείλατο αὐτοῖς λέγων· οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους καὶ οὐ προσκυνήσετε αὐτοῖς καὶ οὐ λατρεύσετε αὐτοῖς καὶ οὐ θυσιάσετε αὐτοῖς,

Δ Βασ. 17,35 - Αλλά ο Κυριος είχε συνάψει με αυτούς συμφωνίαν και έδωσεν εις αυτούς εντολήν λέγων· “δεν θα σέβεσθε άλλους θεούς, δεν θα προσκυνήσετε αυτούς, δεν θα τους λατρεύσετε και δεν θα θυσιάσετε προς αυτούς,

Δ Βασ. 17,36 - ὅτι ἀλλ᾿ ἢ τῷ Κυρίῳ, ὃς ἀνήγαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου ἐν ἰσχύϊ μεγάλῃ καὶ ἐν βραχίονι ὑψηλῷ, αὐτὸν φοβηθήσεσθε καὶ αὐτῷ προσκυνήσετε, αὐτῷ θύσετε·

Δ Βασ. 17,36 - παρά μόνον στον Κυριον, ο οποίος σας έβγαλεν ελευθέρους από την χώραν της Αιγύπτου με την μεγάλην δύναμιν της ακατανικήτου δεξιάς του. Αυτόν θα φοβήσθε, αυτόν θα προσκυνήτε και προς αυτόν μόνον θα προσφέρετε θυσίας.

Δ Βασ. 17,37 - καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα καὶ τὸν νόμον καὶ τὰς ἐντολάς, ἃς ἔγραψεν ὑμῖν ποιεῖν, φυλάσσεσθε πάσας τὰς ἡμέρας καὶ οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους·

Δ Βασ. 17,37 - Θα τηρήτε δε όλας τας ημέρας της ζωής σας τας εντολάς του και τα κρίματά του και τον νόμον του, και όσα άλλα γραπτώς παρέδωσε προς σας να πράττετε, και δεν θα σεβασθήτε άλλους θεούς.

Δ Βασ. 17,38 - καὶ τὴν διαθήκην, ἣν διέθετο μεθ᾿ ὑμῶν, οὐκ ἐπιλήσεσθε καὶ οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους,

Δ Βασ. 17,38 - Την διαθήκην, την οποίαν έκαμε με σας, δεν θα την λησμονήσετε και δεν θα λατρεύσετε και δεν θα φοβηθήτε άλλους θεούς,

Δ Βασ. 17,39 - ἀλλ᾿ ἢ τὸν Κύριον Θεὸν ὑμῶν φοβηθήσεσθε, καὶ αὐτὸς ἐξελεῖται ὑμᾶς ἐκ πάντων τῶν ἐχθρῶν ὑμῶν·

Δ Βασ. 17,39 - παρά μόνον Κυριον τον Θεόν σας θα σέβεσθε, διότι αυτός είναι ο μόνος ικανός να σας απαλλάξη από όλους τους εχθρούς σας.

Δ Βασ. 17,40 - καὶ οὐκ ἀκούσεσθε ἐπὶ τῷ κρίματι αὐτῶν, ὃ αὐτοὶ ποιοῦσι.

Δ Βασ. 17,40 - Δεν θα υπακούσετε και δεν θα συμμορφωθήτε με τους νόμους και τας συνηθείας, τας οποίας οι ειδωλολάτραι τηρούν".

Δ Βασ. 17,41 - καὶ ἦσαν τὰ ἔθνη ταῦτα φοβούμενοι τὸν Κύριον καὶ τοῖς γλυπτοῖς αὐτῶν ἦσαν δουλεύοντες, καί γε οἱ υἱοὶ καὶ οἱ υἱοὶ τῶν υἱῶν αὐτῶν, καθὰ ἐποίησαν οἱ πατέρες αὐτῶν, ποιοῦσιν ἕως τῆς ἡμέρας ταύτης.

Δ Βασ. 17,41 - Ετσι τα έθνη αυτά εφοβούντο τον Κυριον, αλλά προσκυνούσαν και τα γλυπτά αγάλματά των. Και αυτοί ακόμη οι υιοί των και τα παιδιά των υιών των ζουν, όπως έζησαν και έπραξαν οι πατέρες των. Αυτά πράττουν μέχρι της ημέρας αυτής.

Δ ΒΑΣΙΛΕΙΩΝ 18

Δ Βασ. 18,1 - Καὶ ἐγένετο ἐν ἔτει τρίτῳ τῷ Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ἐζεκίας υἱὸς Ἄχαζ βασιλέως Ἰούδα.

Δ Βασ. 18,1 - Κατά το τρίτον έτος της βασιλείας του Ωσηέ, υιού του Ηλά, βασιλέως του ισραηλιτικού λαού, εβασίλευσεν ο ' Εζεκίας, ο υιός του Αχαζ, βασιλέως του βασιλείου Ιούδα.

Δ Βασ. 18,2 - υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἄβου θυγάτηρ Ζαχαρίου.

Δ Βασ. 18,2 - Είκοσι πέντε ετών ήτο ο Εζεκίας, όταν ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί είκοσι και εννέα έτη. Η μητέρα του ωνομάζετο Αβου και ήτο θυγάτηρ του Ζαχαρίου.

Δ Βασ. 18,3 - καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου κατὰ πάντα, ὅσα ἐποίησε Δαυὶδ ὁ πατὴρ αὐτοῦ.

Δ Βασ. 18,3 - Αυτός έπραξε το αληθές και ευάρεστον ενώπιον του Κυρίου καθ' όλα, όπως έπραξε και ο πρόγονός του ο Δαυίδ.

Δ Βασ. 18,4 - αὐτὸς ἐξῇρε τὰ ὑψηλὰ καὶ συνέτριψε τὰς στήλας καὶ ἐξωλόθρευσε τὰ ἄλση καὶ τὸν ὄφιν τὸν χαλκοῦν, ὃν ἐποίησε Μωυσῆς, ὅτι ἕως τῶν ἡμερῶν ἐκείνων ἦσαν οἱ υἱοὶ Ἰσραὴλ θυμιῶντες αὐτῷ, καὶ ἐκάλεσεν αὐτὸν Νεεσθάν.

Δ Βασ. 18,4 - Αυτός κατέστρεψε τους υψηλούς τόπους της ειδωλολατρείας, εκρήμνισε και συνέτριψε τας ειδωλολατρικάς στήλας, κατέστρεψε τα αγάλματα της Αστάρτης, επίσης κατέστρεψε και τον χαλκούν όφιν, τον οποίον είχε κατασκευάσει ο Μωϋσής, διότι μέχρι των ηιερών του Εζεκίου οι Ισραηλίται προσέφεραν εις αυτόν, ως προς Θεόν, θυμίαμα λατρείας. Αυτόν τον χαλκούν όφιν ο Εζεκίας, ωνόμασε Νεεσθάν, δηλαδή χάλκωμα.

Δ Βασ. 18,5 - ἐν Κυρίῳ Θεῷ Ἰσραὴλ ἤλπισε, καὶ μετ᾽ αὐτὸν οὐκ ἐγενήθη ὅμοιος αὐτῷ ἐν βασιλεῦσιν Ἰούδα καὶ ἐν τοῖς γενομένοις ἔμπροσθεν αὐτοῦ·

Δ Βασ. 18,5 - Ο Εζεκίας καθ' όλον το διάστημα της ζωής του εστήριζε τας ελπίδας του εις Κυριον τον Θεόν του Ισραήλ. Επειτα από αυτόν δεν υπήρξεν άλλος όμοιός του κατά την ευσέβειαν μεταξύ των βασιλέων του βασιλείου του Ιούδα. Ούτε δε και κανείς από εκείνους, οι οποίοι υπήρξαν προ αυτού.

Δ Βασ. 18,6 - καὶ ἐκολλήθη τῷ Κυρίῳ, οὐκ ἀπέστη ὄπισθεν αὐτοῦ καὶ ἐφύλαξε τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐνετείλατο Μωυσῇ·

Δ Βασ. 18,6 - Αυτός προσεκολλήθη στον Κυριον και δεν απεμακρύνθη καθόλου από αυτόν και εφύλαξεν όλας τας εντολάς του, όσας ο Θεός δια του Μωϋσέως είχε διατάξει.

Δ Βασ. 18,7 - καὶ ἦν Κύριος μετ᾽ αὐτοῦ, καὶ ἐν πᾶσιν, οἷς ἐποίει, συνῆκε. καὶ ἠθέτησεν ἐν τῷ βασιλεῖ Ἀσσυρίων καὶ οὐκ ἐδούλευσεν αὐτῷ.

Δ Βασ. 18,7 - Ο δε Κυριος ήτο πάντοτε μαζή του, εις όλα όσα έκαμνε. Και αυτός με την δύναμιν του Θεού ευδοκιμούσε. Απετίναξε δε τον ζυγόν του βασιλέως των Ασσυρίων και έπαυσε πλέον να είναι φόρου υποτελής εις αυτόν.

Δ Βασ. 18,8 - αὐτὸς ἐπάταξε τοὺς ἀλλοφύλους ἕως Γάζης καὶ ἕως ὁρίου αὐτῆς ἀπὸ πύργου φυλασσόντων καὶ ἕως πόλεως ὀχυρᾶς.

Δ Βασ. 18,8 - Επετέθη και ενίκησε τους αλλοφύλους μέχρι της Γαζης και των ορίων αυτής, από τους μικρούς συνοικισμούς των φρουρών μέχρι της πλέον οχυράς πόλεως.

Δ Βασ. 18,9 - Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ τετάρτῳ βασιλεῖ Ἐζεκίᾳ (αὐτὸς ἐνιαυτὸς ὁ ἕβδομος τῷ Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραὴλ) ἀνέβη Σαλαμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπὶ Σαμάρειαν καὶ ἐπολιόρκει ἐπ᾽ αὐτήν·

Δ Βασ. 18,9 - Κατά το τέταρτον έτος του βασιλέως Εζεκίου (αυτό είναι το έβδομον έτος της βασιλείας Ωσηέ, υιού του Ηλά βασιλέως του Ισραήλ) ο βασιλεύς των Ασσυρίων Σαλαμανασάρ εξεστράτευσεν εναντίον του βασιλείου του Ισραήλ, έφθασε μέχρι της Σαμαρείας και επολιορκούσεν αυτήν.

Δ Βασ. 18,10 - καὶ κατελάβετο αὐτὴν ἀπὸ τέλους τριῶν ἐτῶν ἐν ἔτει ἕκτῳ τῷ Ἐζεκίᾳ (αὐτὸς ἐνιαυτὸς ἔνατος τῷ Ὡσηὲ βασιλεῖ Ἰσραήλ), καὶ

συνελήφθη Σαμάρεια.

Δ Βασ. 18,10 - Επειτα από τρία έτη πολιορκίας την κατέλαβε κατά το έκτον έτος της βασιλείας του Εζεκίου (δηλαδή κατά το ένατον έτος της βασιλείας του Ωσηέ βασιλέως του Ισραήλ), τότε κατελήφθη η Σαμάρεια.

Δ Βασ. 18,11 - καὶ ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους καὶ ἔθηκεν αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβὼρ ποταμῷ Γωζὰν καὶ ὄρη Μήδων,

Δ Βασ. 18,11 - Ο βασιλεύς των Ασσυρίων μετέφερε τους κατοίκους της Σαμαρείας εις την χώραν τον Ασσυρίων και εγκατέστησεν αυτούς εις την Αλαέ, την Αβώρ, παρά τον ποταμόν Γωζάν, και εις τα όρη των Μηδων.

Δ Βασ. 18,12 - ἀνθ᾿ ὧν ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς Κυρίου Θεοῦ αὐτῶν καὶ παρέβησαν τὴν διαθήκην αὐτοῦ, πάντα ὅσα ἐνετείλατο Μωυσῆς ὁ δοῦλος Κυρίου, καὶ οὐκ ἤκουσαν καὶ οὐκ ἐποίησαν.

Δ Βασ. 18,12 - Αυτό δε έγινε προς τιμωρίαν των Ισραηλιτών, διότι αυτοί δεν υπήκουσαν εις την φωνήν Κυρίου του Θεού των. Παρέβησαν την διαθήκην του και κατεπάτησαν όλα όσα ο Μωϋσής, ο δούλος αυτός του Κυρίου, είχε διατάξει. Δεν υπήκουσαν και δεν ετήρησαν τας εντολάς του Κυρίου.

Δ Βασ. 18,13 - Καὶ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει τοῦ βασιλέως Ἐζεκίου ἀνέβη Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις Ἰούδα τὰς ὀχυρὰς καὶ συνέλαβεν αὐτάς.

Δ Βασ. 18,13 - Κατά το δέκατον τέταρτον έτος της βασιλείας του Εζεκίου εξεστράτευσεν ο βασιλεύς των Ασσυρίων ο Σενναχηρίμ εναντίον των οχυρών πόλεων του βασιλείου Ιούδα και τας κατέλαβε.

Δ Βασ. 18,14 - καὶ ἀπέστειλεν Ἐζεκίας βασιλεὺς Ἰούδα ἀγγέλους πρὸς βασιλέα Ἀσσυρίων εἰς Λαχὶς λέγων· ἡμάρτηκα, ἀποστράφηθι ἀπ᾿ ἐμοῦ· ὃ ἐὰν ἐπιθῇς ἐπ᾿ ἐμέ, βαστάσω. καὶ ἐπέθηκεν ὁ βασιλεὺς Ἀσσυρίων ἐπὶ Ἐζεκίαν βασιλέα Ἰούδα τριακόσια τάλαντα ἀργυρίου καὶ τριάκοντα τάλαντα χρυσίου.

Δ Βασ. 18,14 - Ο βασιλεύς του βασιλείου του Ιούδα ο Εζεκίας έστειλεν αγγελιαφόρους προς τον βασιλέα των Ασσυρίων εις την Λαχίς και είπε· “διέπραξα σφάλμα, που απεκήρυξα την εξουσίαν σου. Απομακρύνσου τώρα από εμέ και εγώ θα βαστάσω, όποιον δήποτε φόρον θελήσης να μου επιβάλης”. Ο βασιλεύς των Ασσυρίων επέβαλεν στον Εζεκίαν τον βασιλέα των Ιουδαίων ως φόρον τριακόσια αργυρά τάλαντα και τριάκοντα χρυσά τάλαντα.

Δ Βασ. 18,15 - καὶ ἔδωκεν Ἐζεκίας πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου καὶ ἐν θησαυροῖς οἴκου τοῦ βασιλέως.

Δ Βασ. 18,15 - Ο Εζεκίας επήρεν όλον το αργύριον, που ευρίσκετο στον ναόν του Κυρίου και εις τα θησαυροφυλάκια του βασιλικού ανακτόρου, και τα παρέδωκεν στον Σενναχηρίμ.

Δ Βασ. 18,16 - ἐν τῷ καιρῷ ἐκείνῳ συνέκοψεν Ἐζεκίας τὰς θύρας ναοῦ καὶ τὰ ἐστηριγμένα, ἃ ἐχρύσωσεν Ἐζεκίας ὁ βασιλεὺς Ἰούδα, καὶ ἔδωκεν αὐτὰ βασιλεῖ Ἀσσυρίων.

Δ Βασ. 18,16 - Επίσης κατά τον καιρόν εκείνον ο Εζεκίας απέκοψε και απέσπασε τον χρυσόν από τας θύρας του ναού και τους στύλου των θυρών, αυτά τα οποία ο ίδιος ο Εζεκίας, ο βασιλεύς του Ιούδα, είχε χρυσώσει και τα έδωκεν στον βασιλέα των Ασσυρίων.

Δ Βασ. 18,17 - καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων τὸν Θαρθὰν καὶ τὸν Ῥαφὶς καὶ τὸν Ῥαψάκην ἐκ Λαχὶς πρὸς τὸν βασιλέα Ἐζεκίαν ἐν δυνάμει βαρείᾳ ἐπὶ Ἱερουσαλήμ, καὶ ἔστησαν ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω, ἥ ἐστιν ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως.

Δ Βασ. 18,17 - Ο βασιλεύς των Ασυρίων απέστειλεν από την Λαχίς προς τον βασιλέα Εζεκίαν εις την Ιερουσαλήμ τον Θαρθάν, τον Ραφίς και τον Ραψάκην με βαρείαν στρατιωτικήν δύναμιν. Αυτοί ήλθον και εγκατεστάθησαν στο υδραγωγείον της άνω δεξαμενής, η οποία ευρίσκεται εις την οδόν του αγρού του γναφέως.

Δ Βασ. 18,18 - καὶ ἐβόησαν πρὸς Ἐζεκίαν, καὶ ἦλθον πρὸς αὐτὸν Ἑλιακὶμ υἱὸς Χελκίου ὁ οἰκονόμος καὶ Σωμνὰς ὁ γραμματεὺς καὶ Ἰωὰς ὁ υἱὸς Σαφὰτ ὁ ἀναμιμνῄσκων.

Δ Βασ. 18,18 - Εφώναξαν δε και εκάλεσαν τον Εζεκίαν. Τοτε ο Ελιακίμ, ο υιός του Χελκίου ο αρχηγός του βασιλικού οίκου, ο Σωμνάς ο γραμματεύς και ο Ιωάς ο υιός του Σαφάτ ο αρχειοφύλαξ ήλθον προς τον Ραψάκην.

Δ Βασ. 18,19 - καὶ εἶπε πρὸς αὐτοὺς Ῥαψάκης· εἴπατε δὴ πρὸς Ἐζεκίαν· τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας ὁ βασιλεὺς Ἀσσυρίων· τί ἡ πεποίθησις αὕτη, ἣν πέποιθας;

Δ Βασ. 18,19 - Ο Ραψάκης είπε προς αυτούς· “πέστε, λοιπόν, προς τον Εζεκίαν· Αυτά λέγει ο βασιλεύς ο μέγας, ο βασιλεύς των Ασσυρίων· Ποιά είναι αυτή η πεποίθησις, εις την οποίαν στηρίζεσθε;

Δ Βασ. 18,20 - εἶπας· πλὴν λόγοι χειλέων, βουλὴ καὶ δύναμις εἰς πόλεμον. νῦν οὖν τίνι πεποιθὼς ἠθέτησας ἐν ἐμοί;

Δ Βασ. 18,20 - Συ είπες ότι τα λόγια μου είναι χωρίς περιεχόμενον. Εγώ όμως έχω απόφασιν και δύναμιν προς πόλεμον. Πές μου, λοιπόν, τώρα εις ποίον εστηρίχθης, ώστε να αποκηρύξης τον ζυγόν μου;

Δ Βασ. 18,21 - νῦν ἰδοὺ πέποιθας σαυτῷ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύτην, ἐπ᾽ Αἴγυπτον; ὃς ἂν στηριχθῇ ἀνὴρ ἐπ᾽ αὐτήν, καὶ εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ καὶ τρήσει αὐτήν· οὕτως Φαραὼ βασιλεὺς Αἰγύπτου πᾶσι τοῖς πεποιθόσιν ἐπ᾽ αὐτόν.

Δ Βασ. 18,21 - Ιδού, γνωρίζω ότι έχεις πεποίθησιν εις την σπασμένην καλαμένιαν ράβδον, την Αίγυπτον. Αλλά σου λέγω τούτο. Οτι εις εκείνον ο οποίος θα στηριχθή εις αυτήν, η ράβδος αυτή θα εισέλθη στο χέρι του και θα

το τρυπήση. Αυτό συμβαίνει με όλους, όσοι έχουν πεποίθησιν εις τον Φαραώ, τον βασιλέα της Αιγύπτου.

Δ Βασ. 18,22 - καὶ ὅτι εἶπας πρός με· ἐπὶ Κύριον Θεὸν πεποίθαμεν· οὐχὶ αὐτὸς οὗτος, οὗ ἀπέστησεν Ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ καὶ τὰ θυσιαστήρια αὐτοῦ καὶ εἶπε τῷ Ἰούδᾳ καὶ τῇ Ἱερουσαλήμ· ἐνώπιον τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε ἐν Ἱερουσαλήμ;

Δ Βασ. 18,22 - Εάν μου είπης ότι ημείς έχομεν πεποίθησιν εις Κυριον τον Θεόν μας, εγώ σου απαντώ, δεν πρέπει να στηρίζεσαι εις αυτόν, διότι αυτός ούτος ο Εζεκίας τον δυσηρέστησε καταργήσας τους υψηλούς τόπους της λατρείας και τα θυσιαστήρια αυτού· και έδωσεν εντολήν στο βασίλειον του Ιούδα και τους κατοίκους της Ιερουσαλήμ λέγων· Εμπρός στούτο το θυσιαστήριον της πόλεως Ιερουσαλήμ θα προσκυνήτε τον Θεόν.

Δ Βασ. 18,23 - καὶ νῦν μίχθητε δὴ τῷ κυρίῳ μου βασιλεῖ Ἀσσυρίων, καὶ δώσω σοι δισχιλίους ἵππους, εἰ δυνήσῃ δοῦναι σεαυτῷ ἐπιβάτας ἐπ᾿ αὐτούς.

Δ Βασ. 18,23 - Και τώρα ταχθήτε και ενωθήτε με τον κύριόν μου τον βασιλέα των Ασσυρίων και θα σου δώσωμεν δύο χιλιάδας ίππους, εάν ημπορέσετε σεις να εύρετε άλλους τόσους ιππείς δι' αυτούς.

Δ Βασ. 18,24 - καὶ πῶς ἀποστρέψεις τὸ πρόσωπον τοπάρχου ἑνὸς τῶν δούλων τοῦ κυρίου μου τῶν ἐλαχίστων; καὶ ἤλπισας σαυτῷ ἐπ᾿ Αἴγυπτον εἰς ἅρματα καὶ ἱππεῖς.

Δ Βασ. 18,24 - Αλλωστε και σας ερωτώ· Πως ημπορείτε να περιφρονήσετε, έστω και ένα μόνον από τους αρχηγούς τους ελαχίστους δούλους του Κυρίου μου; Συ όμως ήλπισες να προμηθευθής δια τον εαυτόν σου άρματα και ίππους από την Αίγυπτον.

Δ Βασ. 18,25 - καὶ νῦν μὴ ἄνευ Κυρίου ἀνέβημεν ἐπὶ τὸν τόπον τοῦτον τοῦ διαφθεῖραι αὐτόν; Κύριος εἶπε πρός με· ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην καὶ διάφθειρον αὐτήν.

Δ Βασ. 18,25 - Μηπως και νομίζεις, ότι χωρίς την εντολήν του Κυρίου και Θεού σας ήλθομεν ημείς εις την χώραν σας, δια να την καταστρέψωμεν; Αυτός ο κύριος μου είπε· Πηγαινε εις την χώραν αυτήν και κατάστρεψέ την”.

Δ Βασ. 18,26 - καὶ εἶπεν Ἑλιακὶμ υἱὸς Χελκίου καὶ Σωμνὰς καὶ Ἰωὰς πρὸς Ῥαψάκην· λάλησον δὴ πρὸς τοὺς παῖδάς σου Συριστί, ὅτι ἀκούομεν ἡμεῖς, καὶ οὐ λαλήσεις μεθ᾿ ἡμῶν Ἰουδαϊστί, καὶ ἱνατί λαλεῖς ἐν τοῖς ὠσὶ τοῦ λαοῦ τοῦ ἐπὶ τοῦ τείχους;

Δ Βασ. 18,26 - Ο Ελιακίμ ο υιός του Χελκίου, ο Σωμνάς και ο Ιωάς είπαν προς τον Ραψάκην· “ομίλησε, σε παρακαλούμεν, προς ημάς τους δούλους σου εις την συριακήν γλώσσαν, διότι ημείς την εννοούμεν και μη ομιλής προς ημάς εις την εβραϊκήν γλώσσαν. Διατί ομιλείς εις την εβραϊκήν και

ακούουν οι άνθρωποι του ιουδαϊκού λαού, οι οποίοι ευρίσκονται επάνω στο τείχος;”

Δ Βασ. 18,27 - καὶ εἶπε πρὸς αὐτοὺς Ῥαψάκης· μὴ ἐπὶ τὸν κύριόν σου καὶ πρὸς σὲ ἀπέστειλέ με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τούτους; οὐχὶ ἐπὶ τοὺς ἄνδρας τοὺς καθημένους ἐπὶ τοῦ τείχους τοῦ φαγεῖν τὴν κόπρον αὐτῶν καὶ πιεῖν τὸ οὖρον αὐτῶν μεθ᾽ ὑμῶν ἅμα;

Δ Βασ. 18,27 - Ο Ραψάκης απήντησε προς αυτούς· “μήπως νομίζετε, ότι ο κύριός μου με έστειλε να ομιλήσω προς τον βασιλέα σου και προς σε αυτούς τους λόγους; Οχι, αλλά με έστειλε να ομιλήσω προς τους άνδρας αυτούς, που κάθονται τώρα επάνω στο τείχος, και να τους είπω ότι η πολιορκία της πόλεως θα είναι τόσον σκληρά, ώστε από την πείναν θα φάγουν την κόπρον των και θα πίουν το ούρος των, μαζή δέ με αυτούς και σεις οι ίδιοι”.

Δ Βασ. 18,28 - καὶ ἔστη Ῥαψάκης καὶ ἐβόησε φωνῇ μεγάλῃ Ἰουδαϊστὶ καὶ ἐλάλησε καὶ εἶπεν· ἀκούσατε τοὺς λόγους τοῦ μεγάλου βασιλέως Ἀσσυρίων·

Δ Βασ. 18,28 - Ο Ραψάκης εστάθη όρθιος, εφώναξε με μεγάλην φωνήν εις την εβραϊκήν γλώσσαν και είπε προς τον λαόν· “ακούσατε όλοι τους λόγους του μεγάλου βασιλέως των Ασσυρίων.

Δ Βασ. 18,29 - τάδε λέγει ὁ βασιλεύς· μὴ ἐπαιρέτω ὑμᾶς Ἐζεκίας λόγοις, ὅτι οὐ μὴ δύνηται ὑμᾶς ἐξελέσθαι ἐκ χειρός μου.

Δ Βασ. 18,29 - Αυτά λέγει ο βασιλεύς· Ας μη σας κάνη με τα λόγια του ο Εζεκίας να αλαζονεύεσθε, διότι δεν θα ημπορέση να σας γλυτώση από τα χέρια μου

Δ Βασ. 18,30 - καὶ μὴ ἐπελπιζέτω ὑμᾶς Ἐζεκίας πρὸς Κύριον λέγων· ἐξαιρούμενος ἐξελεῖται Κύριος, οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βασιλέως Ἀσσυρίων.

Δ Βασ. 18,30 - Ας μη σας δίνη ο Εζεκίας ματαίας ελπίδας εις την βοήθειαν του Κυρίου λέγων, ότι ο Θεός οπωσδήποτε θα μας γλυτώση από τους εχθρούς και η πόλις μας δεν θα παραδοθή εις τα χέρια του βασιλέως των Ασσυρίων.

Δ Βασ. 18,31 - μὴ ἀκούετε Ἐζεκίου· ὅτι τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων· ποιήσατε μετ᾽ ἐμοῦ εὐλογίαν καὶ ἐξέλθατε πρός με, καὶ πίεται ἀνὴρ τὴν ἄμπελον αὐτοῦ καὶ ἀνὴρ τὴν συκῆν αὐτοῦ φάγεται καὶ πίεται ὕδωρ τοῦ λάκκου αὐτοῦ,

Δ Βασ. 18,31 - Μη ακούετε τον Εζεκίαν, διότι αυτά λέγει ο βασιλεύς των Ασσυρίων· Συνάψατε μαζή μου ειρήνην και φιλίαν και ελάτε με το μέρος μου. Τοτε ο καθένας από σας θα πίη το κρασί της αμπέλου του και ο καθένας σας θα φάγη τους καρπούς από τις συκιές του και θα πίη το νερο από το πηγάδι του·

Δ Βασ. 18,32 - ἕως ἔλθω καὶ λάβω ὑμᾶς εἰς γῆν ὡς γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου καὶ ἄρτου καὶ ἀμπελώνων, γῆ ἐλαίας ἐλαίου καὶ μέλιτος, καὶ ζήσετε καὶ οὐ μὴ ἀποθάνητε. καὶ μὴ ἀκούετε Ἐζεκίου, ὅτι ἀπατᾷ ὑμᾶς λέγων· Κύριος ῥήσεται ὑμᾶς.

Δ Βασ. 18,32 - έως ότου έλθω και σας πάρω, δια να σας μεταφέρω εις άλλην χώραν, η οποία είναι πλουσία όπως η ιδική σας χώρα, γεμάτη σίτον και οίνον και άρτους και αμπέλια, εις χώραν η οποία είναι γεμάτη από λάδι και μέλι. Εκεί θα ζήσετε καλά και δεν θα αποθάνετε. Λοιπόν, μη ακούετε όσα σας λέγει ο Εζεκίας, διότι σας εξαπατά λέγων ότι ο Κυριος θα σας σώση από τα χέρια μου.

Δ Βασ. 18,33 - μὴ ῥυόμενοι ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων;

Δ Βασ. 18,33 - Μηπως, τάχα, οι θεοί των εθνών εγλύτωσαν, ο καθένας από αυτούς την χώραν του, από τα χέρια του βασιλέως των Ασσυρίων;

Δ Βασ. 18,34 - ποῦ ἐστιν ὁ θεὸς Αἰμὰθ καὶ Ἀρφάδ; ποῦ ἐστιν ὁ θεὸς Σεπφαουραΐμ, Ἀνὰ καὶ Ἀβά, ὅτι ἐξείλαντο Σαμάρειαν ἐκ χειρός μου;

Δ Βασ. 18,34 - Που είναι ο θεός της Αιμάθ και της Αρφάδ; Που είναι ο θεός της Σεπφαουραΐμ, ο Ανά και ο Αβά; Που είναι εκείνοι, οι οποίοι επήραν την Σαμάρειαν από τα χέρια μου;

Δ Βασ. 18,35 - τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν γαιῶν, οἳ ἐξείλαντο τὰς γᾶς αὐτῶν ἐκ χειρός μου, ὅτι ἐξελεῖται Κύριος τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου;

Δ Βασ. 18,35 - Ποιός μεταξύ όλων των θεών των άλλων χωρών είναι εκείνος, ο οποίος επροστάτευσε και απήλλαξε την χώραν του από τα χέρια μου, ώστε να πεισθώμεν ότι ο Κυριος θα γλυτώση την Ιερουσαλήμ από την εξουσίαν μου;”

Δ Βασ. 18,36 - καὶ ἐκώφευσαν καὶ οὐκ ἀπεκρίθησαν αὐτῷ λόγον, ὅτι ἐντολὴ τοῦ βασιλέως λέγων· οὐκ ἀποκριθήσεσθε αὐτῷ.

Δ Βασ. 18,36 - Οι επί του τείχους της πόλεως άνθρωποι του Εζεκίου εσιώπησαν και δεν απήντησαν τίποτε, διότι αυτήν την εντολήν είχον πάρει από τον βασιλέα, ο οποίος τους είχεν είπει· “δεν θα δώσετε καμμίαν απόκρισιν”.

Δ Βασ. 18,37 - καὶ εἰσῆλθεν Ἑλιακὶμ υἱὸς Χελκίου ὁ οἰκονόμος καὶ Σωμνὰς ὁ γραμματεὺς καὶ Ἰωὰς υἱὸς Σαφὰτ ὁ ἀναμιμνήσκων πρὸς Ἐζεκίαν, διεῤῥηχότες τὰ ἱμάτια καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λόγους Ῥαψάκου.

Δ Βασ. 18,37 - Ο Ελιακίμ, ο υιός του Χελκίου, ο αρχηγός του βασιλικού οίκου, ο Σωμνάς ο γραμματεύς, και Ιωάς ο υιός του Σαφάτ ο αρχειοφύλαξ, σχίσαντες τα ιμάτιά των εις ένδειξιν απογνώσεως ήλθαν προς τον Εζεκίαν και του ανήγγειλαν τους λόγους του Ραψάκου.

Δ ΒΑΣΙΛΕΙΩΝ 19

Δ Βασ. 19,1 - Καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς Ἐζεκίας, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλετο σάκκον καὶ εἰσῆλθεν εἰς οἶκον Κυρίου.

Δ Βασ. 19,1 - Οταν ο βασιλεύς Εζεκίας ήκουσε τας αλαζονικάς αυτάς προτάσστου Ραψάκου, διέρρηξε τα ιμάτιά του και εφόρεσεν, εις ένδειξιν πένθους, σάκκινον ένδυμα και ανήλθεν εις τον ναόν του Κυρίου.

Δ Βασ. 19,2 - καὶ ἀπέστειλεν Ἐλιακὶμ τὸν οἰκονόμον καὶ Σωμνὰν τὸν γραμματέα καὶ τοὺς πρεσβυτέρους τῶν ἱερέων περιβεβλημένους σάκκους πρὸς Ἡσαΐαν τὸν προφήτην, υἱὸν Ἀμώς,

Δ Βασ. 19,2 - Εστειλε δε τον αρχηγόν του βασιλικού οίκου τον Ελιακίμ, τον Σωμνάν τον γραμματέα, και τους γεροντοτέρους από τους ιερείς ενδεδυμένους όλους με σάκκινα ενδύματα προς τον προφήτην Ησαΐαν, τον υιόν του Αμώς.

Δ Βασ. 19,3 - καὶ εἶπον πρὸς αὐτόν· τάδε λέγει Ἐζεκίας· ἡμέρα θλίψεως καὶ ἐλεγμοῦ καὶ παροργισμοῦ ἡ ἡμέρα αὕτη· ὅτι ἦλθον υἱοὶ ἕως ὠδίνων, καὶ ἰσχὺς οὐκ ἔστι τῇ τικτούσῃ·

Δ Βασ. 19,3 - Εκείνοι του είπαν· “αυτά λέγει ο Εζεκίας· Η σημερινή ημέρα είναι ημέρα θλίψεως, θείας τιμωρίας, ημέρα εκρήξεως οργής του Θεού, διότι οι Ισραηλίται δοκιμάζουν οδύνην, ομοίαν προς εκείνην, την οποίαν δοκιμάζει η γυναίκα που γεννά, άλλα δεν έχει την δύναμιν να γεννήση.

Δ Βασ. 19,4 - εἴ πως εἰσακούσεται Κύριος ὁ Θεός σου πάντας τοὺς λόγους Ῥαψάκου, ὃν ἀπέστειλεν αὐτὸν βασιλεὺς Ἀσσυρίων ὁ κύριος αὐτοῦ ὀνειδίζειν Θεὸν ζῶντα καὶ βασφημεῖν ἐν λόγοις, οἷς ἤκουσε Κύριος ὁ Θεός σου, καὶ λήψῃ προσευχὴν περὶ τοῦ λείμματος τοῦ εὑρισκομένου.

Δ Βασ. 19,4 - Παρακάλεσε τον Θεόν δια την σωτηρίαν μας. Ισως ο Κυριος ακούση τους κομπαστικούς λόγους του Ραψάκου, που τον έστειλεν ο βασιλεύς των Ασσυρίων, δια να χλευάση τον αληθινόν Θεόν και τον βλασφημήση με τους λόγους, τους οποίους ήκουσε Κυριος ο Θεός σου. Αυτός ίσως ακούση την προσευχήν σου και θα σώση τους απολειφθέντας εις την Ιερουσαλήμ Ιουδαίους”.

Δ Βασ. 19,5 - καὶ ἦλθον οἱ παῖδες τοῦ βασιλέως Ἐζεκίου πρὸς Ἡσαΐαν,

Δ Βασ. 19,5 - Οι απεσταλμένοι του βασιλέως Εζεκίου ήλθαν και είπαν στον Ησαΐαν αυτά.

Δ Βασ. 19,6 - καὶ εἶπεν αὐτοῖς Ἡσαΐας· τάδε ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν· τάδε λέγει Κύριος· μὴ φοβηθῇς ἀπὸ τῶν λόγων, ὧν ἤκουσας, ὧν ἐβλασφήμησαν τὰ παιδάρια βασιλέως Ἀσσυρίων·

Δ Βασ. 19,6 - Ο Ησαΐας τους απήντησε· “αυτά να πητε στον κύριόν σας· αυτά λέγει ο Κυριος· Να μη φοβηθής από τους λόγους, τους οποίους, ήκουσες και δια των οποίων οι δούλοι του βασιλέως των Ασσυρίων εβλασφήμησαν τον Θεόν.

Δ Βασ. 19,7 - ἰδοὺ ἐγὼ δίδωμι ἐν αὐτῷ πνεῦμα, καὶ ἀκούσεται ἀγγελίαν καὶ ἀποστραφήσεται εἰς τὴν γῆν αὐτοῦ, καὶ καταβαλῶ αὐτὸν ἐν ῥομφαίᾳ ἐν τῇ γῇ αὐτοῦ.

Δ Βασ. 19,7 - Ιδού εγώ δημιουργώ εντός αυτού τέτοιαν ψυχικήν διάθεσιν, ώστε θα ακούση κάποιαν αγγελίαν και θα αναγκασθή να επιστρέψη εις την πατρίδα του. Εκεί δε θα εξοντώσω αυτόν δια ρομφαίας".

Δ Βασ. 19,8 - Καὶ ἐπέστρεψε Ῥαψάκης, καὶ εὗρε τὸν βασιλέα Ἀσσυρίων πολεμοῦντα ἐπὶ Λοβνά, ὅτι ἤκουσεν ὅτι ἀπῆρεν ἐκ Λαχίς.

Δ Βασ. 19,8 - Ο Ραψάκης επέστρεψεν από την Ιερουσαλήμ και συνήντησε τον βασιλέα των Ασσυρίων πολεμούντα εις την πάλιν Λοβνά. Είχε πληροφορηθή, ότι ο βασιλεύς των Ασσυρίων είχεν αναχωρήσει από την Λαχίς.

Δ Βασ. 19,9 - καὶ ἤκουσε περὶ Θαρακὰ βασιλέως Αἰθιόπων λέγων· ἰδοὺ ἐξῆλθε πολεμεῖν μετὰ σοῦ. καὶ ἐπέστρεψε καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν λέγων·

Δ Βασ. 19,9 - Ο βασιλεύς της Ασσυρίας εβάδισεν εις Λοβνά, διότι ήκουσε να του λέγουν, ότι ο Θαρακά, ο βασιλεύς των Αιθιόπων, ιδού εκστρατεύει να πολεμήση εναντίον σου. Ο Σενναχηρίμ στραφείς εναντίον του Θαρακά έστειλεν αγγελιαφόρους προς τον Εζεκίαν και του είπεν·

Δ Βασ. 19,10 - μὴ ἐπαιρέτω σε ὁ Θεός σου, ἐφ᾿ ᾧ σὺ πέποιθας ἐπ᾿ αὐτῷ λέγων· οὐ μὴ παραδοθῇ Ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων.

Δ Βασ. 19,10 - "μη σε κάνη να αλαζονεύεσαι ο Θεός σου, στον οποίον είχες στηρίξει την πεποίθησίν σου λέγων· Οτι δεν θα παραδοθή η Ιερουσαλήμ εις τα χέρια του βασιλέως των Ασσυρίων.

Δ Βασ. 19,11 - ἰδοὺ σὺ ἤκουσας πάντα ὅσα ἐποίησαν βασιλεῖς Ἀσσυρίων πάσαις ταῖς γαίαις τοῦ ἀναθεματίσαι αὐτάς, καὶ σὺ ῥυσθήσῃ;

Δ Βασ. 19,11 - Ιδού, συ επληροφορήθης καλώς όλα όσα έκαμαν οι βασιλείς των Ασσυρίων εναντίον όλων των χωρών, τας οποίας παρέδωσαν εις την καταστροφήν. Και συ νομίζεις ότι θα γλυτώσης;

Δ Βασ. 19,12 - μὴ ἐξαιρούμενοι ἐξείλαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν, οὓς διέφθειραν οἱ πατέρες μου, τήν τε Γωζὰν καὶ τὴν Χαῤῥὰν καὶ τὴν Ῥαφὶς καὶ υἱοὺς Ἐδὲμ τοὺς ἐν Θαεσθέν;

Δ Βασ. 19,12 - Μηπως, τάχα, οι θεοί εκείνων, τους οποίους οι πατέρες μας κατέστρεψαν, τους εγλύτωσαν; Και συγκεκριμένως μήπως εγλύτωσαν την Γωζάν, την Χαρράν, την Ραφίς και τους υιούς Εδέμ, οι οποίοι ευρίσκοντο εις Θαεσθέν;

Δ Βασ. 19,13 - ποῦ ἐστιν ὁ βασιλεὺς Αἰμὰθ καὶ ὁ βασιλεὺς Ἀρφάδ; καὶ ποῦ ἐστι βασιλεὺς τῆς πόλεως Σεπφαρουαΐν Ἀνὰ καὶ Ἀβά;

Δ Βασ. 19,13 - Που είναι ο βασιλεύς της Αιμάθ και ο βασιλεύς της Αρφάδ; Και που είναι ο βασιλεύς της πόλεως Σεπφαρουαΐν, Ανά και Αβά;"

Δ Βασ. 19,14 - καὶ ἔλαβεν Ἐζεκίας τὰ βιβλία ἐκ χειρὸς τῶν ἀγγέλων καὶ ἀνέγνω αὐτά· καὶ ἀνέβη εἰς οἶκον Κυρίου καὶ ἀνέπτυξεν αὐτὰ Ἐζεκίας ἐναντίον Κυρίου

Δ Βασ. 19,14 - Ο Εζεκίας έλαβε την επιστολήν από τα χέρια των αγελιαφόρων και την ανέγνωσε. Ανέβη δε αμέσως στον ναόν του Κυρίου και εξεδίπλωσε την επιστολήν ενώπιον του Κυρίου,

Δ Βασ. 19,15 - καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσραὴλ ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, σὺ εἶ ὁ Θεὸς μόνος ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δ Βασ. 19,15 - και είπε· “Κυριε ο Θεός του Ισραήλ ο καθήμενος επάνω εις τα Χερουβίμ, συ είσαι ο μόνος Θεός εις όλας τας βασιλείας της γης. Συ εδημιούργησες τον ουρανόν και την γην.

Δ Βασ. 19,16 - κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἄκουσον· ἄνοιξον, Κύριε, τοὺς ὀφθαλμούς σου καὶ ἰδὲ καὶ ἄκουσον τοὺς λόγους Σενναχηρίμ, οὓς ἀπέστειλεν ὀνειδίζειν Θεὸν ζῶντα.

Δ Βασ. 19,16 - Κλίνε, Κυριε, το ους σου και άκουσε την προσευχήν μας. Ανοιξε, Κυριε, τους οφθαλμούς σου και ιδέ και άκουσε τους λόγους του Σενναχηρίμ, τους οποίους αυτός έστειλε, δια να χλευάση σε τον ζώντα Θεόν.

Δ Βασ. 19,17 - ὅτι ἀληθείᾳ, Κύριε, ἠρήμωσαν βασιλεῖς Ἀσσυρίων τὰ ἔθνη

Δ Βασ. 19,17 - Είναι αλήθεια, Κυριε, ότι οι βασιλείς των Ασσυρίων ερήμωσαν έθνη

Δ Βασ. 19,18 - καὶ ἔδωκαν τοὺς θεοὺς αὐτῶν εἰς τὸ πῦρ, ὅτι οὐ θεοί εἰσιν, ἀλλ᾽ ἢ ἔργα χειρῶν ἀνθρώπων, ξύλα καὶ λίθοι, καὶ ἀπώλεσαν αὐτούς.

Δ Βασ. 19,18 - και παρέδωκαν τους ειδωλολατρικούς θεούς εκείνων εις την φωτιάν, διότι δεν είναι θεοί πραγματικοί, αλλά έργα χειρών ανθρώπων, ξύλα και λίθοι, δι' αυτό δε και τους κατέστρεψαν.

Δ Βασ. 19,19 - καὶ νῦν, Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ καὶ γνώσονται πᾶσαι αἱ βασιλεῖαι τῆς γῆς, ὅτι σὺ Κύριος ὁ Θεὸς μόνος.

Δ Βασ. 19,19 - Αλλά τώρα, Κυριε ο Θεός ημών, σώσε μας από τα χέρια αυτού και έτσι θα μάθουν όλαι αι βασίλειαι της γης, ότι συ είσαι ο μοναδικός Θεός”.

Δ Βασ. 19,20 - Καὶ ἀπέστειλεν Ἡσαΐας υἱὸς Ἀμὼς πρὸς Ἐζεκίαν λέγων· τάδε λέγει Κύριος ὁ Θεὸς τῶν δυνάμεων Θεὸς Ἰσραήλ· ἃ προσηύξω πρός με περὶ Σενναχηρὶμ βασιλέως Ἀσσυρίων, ἤκουσα.

Δ Βασ. 19,20 - Ο Ησαΐας, ο υιός Αμώς, έστειλε προς τον Εζεκίαν απεσταλμένον του και του είπεν· “αυτά λέγει Κυριος ο Θεός των δυνάμεων, ο

Θεός του Ισραήλ· Ηκουσα την προσευχήν, την οποίαν απηύθυνες προς εμέ δια τον Σενναχηρίμ, βασιλέα των Ασσυρίων.

Δ Βασ. 19,21 - οὗτος ὁ λόγος, ὃν ἐλάλησε Κύριος ἐπ᾿ αὐτόν· ἐξουδένωσέ σε καὶ ἐμυκτήρισέ σε παρθένος θυγάτηρ Σιών, ἐπὶ σοὶ κεφαλὴν αὐτῆς ἐκίνησε θυγάτηρ Ἱερουσαλήμ.

Δ Βασ. 19,21 - Αυτός είναι ο λόγος, τον οποίον είπεν ο Κυριος εναντίον του Σενναχηρίμ· Σε εξηυτέλισε και σε εχλεύασεν η μικρά αυτή κόρη Σιών. Εκίνησεν εις βάρος σου εμπαικτικά την κεφαλήν της η θυγάτηρ Ιερουσαλήμ”.

Δ Βασ. 19,22 - τίνα ὠνείδισας καὶ τίνα ἐβλασφήμησας; καὶ ἐπὶ τίνα ὕψωσας φωνήν; καὶ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου εἰς τὸν ἅγιον τοῦ Ἰσραήλ.

Δ Βασ. 19,22 - Είπε δε κατ' ευθείαν προς τον Σενναχηρίμ ο Θεός· “Ποίον εχλεύασες και ύβρισες; Εναντίον τίνος ύψωσες αλαζονικήν την φωνήν σου; Υπερηφανεύθης και ύψωσες τα μάτια σου εναντίον του αγίου τόπου του Ισραηλιτικού λαού.

Δ Βασ. 19,23 - ἐν χειρὶ ἀγγέλων σου ὠνείδισας Κύριον καὶ εἶπας· ἐν τῷ πλήθει τῶν ἁρμάτων μου ἐγὼ ἀναβήσομαι εἰς ὕψος ὀρέων, μηροὺς τοῦ Λιβάνου, καὶ ἔκοψα τὸ μέγεθος τῆς κέδρου αὐτοῦ, τὰ ἐκλεκτὰ κυπαρίσσων αὐτοῦ, καὶ ἦλθον εἰς μέσον δρυμοῦ καὶ Καρμήλου.

Δ Βασ. 19,23 - Δια των αγγελιαφόρων σου ύβρισες τον Κυριον και είπες· Εγώ με το πλήθος των πολεμικών μου αρμάτων θα αναβώ εις τα ύψη των ορέων, εις τις πλαγιές του Λιβάνου. Εκοψα τα μεγαλύτερα κέδρα, τα εκλεκτά από τα κυπαρίσσια αυτού, ήλθα εις τας λόχμας και στο όρος του Καρμήλου.

Δ Βασ. 19,24 - ἐγὼ ἔψυξα καὶ ἔπιον ὕδατα ἀλλότρια καὶ ἐξηρήμωσα τῷ ἴχνει τοῦ ποδός μου πάντας ποταμοὺς περιοχῆς.

Δ Βασ. 19,24 - Εγώ έπια και εξήρανα ξένα ύδατα. Οπου επέρασαν τα πόδια μου, εξήρανα όλους τους μεγάλους ποταμούς.

Δ Βασ. 19,25 - ἔπλασα αὐτήν, συνήγαγον αὐτήν, καὶ ἐγενήθη εἰς ἐπάρσεις ἀποικεσιῶν μαχίμων, πόλεις ὀχυράς.

Δ Βασ. 19,25 - Εγώ έπλασα την γην. Την έκλεισα εις τα χέρια μου και έγιναν ιδικά μου υψώματα μαχίμων στρατιωτών και πόλεις οχυραί.

Δ Βασ. 19,26 - καὶ οἱ ἐνοικοῦντες ἐν αὐταῖς ἠσθένησαν τῇ χειρί, ἔπτηξαν καὶ κατῃσχύνθησαν, ἐγένοντο χόρτος ἀγροῦ ἢ χλωρὰ βοτάνη, χλόη δωμάτων καὶ πάτημα ἀπέναντι ἑστηκότος.

Δ Βασ. 19,26 - Ετσι οι κάτοικοι των χωρών αυτών ησθένησαν εμπρός εις την δύναμίν μου. Ετρόμαξαν, κατεντροπιάσθησαν. Εγιναν χορτάρι του αγρού σαν χλωρή βοτάνη, χλόη δωμάτων, ποδοπάτημα του κάθε διαβάτου.

Δ Βασ. 19,27 - καὶ τὴν καθέδραν σου καὶ τὴν ἔξοδόν σου ἔγνων καὶ τὸν θυμόν σου ἐπ᾿ ἐμέ,

Δ Βασ. 19,27 - Γνωρίζω εγώ πότε κάθεσαι στο σπίτι σου και πότε βγαίνεις. Ολην σου την ζωήν γνωρίζω, όπως και τον θυμόν σου εναντίον μου.

Δ Βασ. 19,28 - διὰ τὸ ὀργισθῆναί σε ἐπ᾿ ἐμὲ καὶ τὸ στρῆνός σου ἀνέβη ἐν τοῖς ὠσί μου καὶ θήσω τὰ ἄγκιστρά μου ἐν τοῖς μυκτῆρσί σου καὶ χαλινὸν ἐν τοῖς χείλεσί σου καὶ ἀποστρέψω σε ἐν τῇ ὁδῷ, ᾗ ἦλθες ἐν αὐτῇ.

Δ Βασ. 19,28 - Επειδή ωργίσθης εναντίον μου και η αλαζονία σου έφθασεν έως τα αυτιά μου, θα βάλω τα αγκίστριά μου στους ρώθωνάς σου και χαλινόν εις τα χείλη σου και θα σε σύρω με αυτά, δια να σε επαναφέρω εις την οδόν, από την οποίαν ήλθες”.

Δ Βασ. 19,29 - καὶ τοῦτόν σοι τὸ σημεῖον· φάγε τοῦτον τὸν ἐνιαυτὸν αὐτόματα καὶ τῷ ἔτει τῷ δευτέρῳ τὰ ἀνατέλλοντα· καὶ ἔτει τῷ τρίτῳ σπορὰ καὶ ἄμητος καὶ φυτεία ἀμπελώνων, καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν.

Δ Βασ. 19,29 - Επειτα ο Θεός είπε προς τον Εζεκίαν· “σημείον ότι θα γίνη αυτό στον Σενναχηρίμ είναι τούτο. Αυτό το έτος θα φάγετε όσα αυτομάτως παρήχθησαν στους αγρούς σας. Κατά το δεύτερον έτος θα φάγετε ο,τι άλλο αυτομάτως θα φυτρώση και θα καρποφορήση. Κατά δε το τρίτον έτος θα υπάρξη σπορά και θερισμός και φύτευμα αμπελώνων και θα φάγετε και θα χορτάσετε από τους καρπούς αυτών.

Δ Βασ. 19,30 - καὶ προσθήσει τὸν διασεσωσμένον οἴκου Ἰούδα τὸ ὑπολειφθὲν ῥίζαν κάτω καὶ ποιήσει καρπὸν ἄνω.

Δ Βασ. 19,30 - Οσοι από την φυλήν Ιούδα διασωθούν από την καταστροφήν και εναπομείνουν, θα ρίξουν ρίζες εις την γην, θα αποκτήσουν καρπόν κοιλίας, δηλαδή τέκνα, και θα ευτυχήσουν.

Δ Βασ. 19,31 - ὅτι ἐξ Ἱερουσαλὴμ ἐξελεύσεται κατάλειμμα καὶ ἀνασῳζόμενος ἐξ ὄρους Σιών· ὁ ζῆλος Κυρίου τῶν δυνάμεων ποιήσει τοῦτο.

Δ Βασ. 19,31 - Διότι οπωσδήποτε από την Ιερουσαλήμ θα εξέλθουν υπολειφθέντες Ιουδαίοι και από το όρος Σιών θα υπάρξουν άνθρωποι, που θα έχουν διασωθή. Αυτό θα πραγματοποιήση η αγάπη του Θεού προς τον λαόν του.

Δ Βασ. 19,32 - οὐχ οὕτως; τάδε λέγει Κύριος πρὸς βασιλέα Ἀσσυρίων· οὐκ εἰσελεύσεται εἰς τὴν πόλιν ταύτην καὶ οὐ τοξεύσει ἐκεῖ βέλος, καὶ οὐ προφθάσει αὐτὴν θυρεός, καὶ οὐ μὴ ἐκχέῃ πρὸς αὐτὴν πρόσχωμα·

Δ Βασ. 19,32 - Ετσι δεν είναι; Διότι αυτά λέγει ο Κυριος προς τον βασιλέα των Ασσυρίων· Δεν θα εισέλθη αυτός εις την πόλιν Ιερουσαλήμ ούτε και ένα βέλος δεν θα τοξεύση εναντίον της. Κανείς ασπιδοφόρος δεν θα προλάβη να πλησίαση αιφνιδίως προς αυτήν. Ούτε και γύρω από το τείχος της θα υψωθούν προχώματα και πολιορκητικαί μηχαναί.

Δ Βασ. 19,33 - τῇ ὁδῷ, ᾗ ἦλθεν, ἐν αὐτῇ ἀποστραφήσεται καὶ εἰς τὴν πόλιν ταύτην οὐκ εἰσελεύσεται, λέγει Κύριος,

Δ Βασ. 19,33 - Τον δρόμον, από τον οποίον αυτός ήλθε, θα ακολουθήση πάλιν και θα επιστρέψη εις την πατρίδα του. Αλλά εις την πόλιν αυτήν δεν θα εισέλθη, λέγει ο Κυριος.

Δ Βασ. 19,34 - καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι᾿ ἐμὲ καὶ διὰ Δαυὶδ τὸν δοῦλόν μου.

Δ Βασ. 19,34 - Εγώ θα υπερασπίσω την πόλιν αυτήν δι' εμέ αυτόν και προς χάριν του δούλου μου Δαυίδ".

Δ Βασ. 19,35 - Καὶ ἐγένετο ἕως νυκτὸς καὶ ἐξῆλθεν ἄγγελος Κυρίου καὶ ἐπάταξεν ἐν τῇ παρεμβολῇ Ἀσσυρίων ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας· καὶ ὤρθρισαν τὸ πρωΐ, καὶ ἰδοὺ πάντες σώματα νεκρά.

Δ Βασ. 19,35 - Ετσι δε ακριβώς και έγινε, διότι κατά την νύκτα εκείνην εξήλθεν από τον Θεόν τιμωρός άγγελος, ο οποίος εθανάτωσεν από το στρατόπεδον των Ασσυρίων εκατόν ογδοήκοντα πέντε χιλιάδες άνδρες. Οι διασωθέντες ηγέρθησαν το πρωί και είδαν όλα τα νεκρά σώματα.

Δ Βασ. 19,36 - καὶ ἀπῇρε καὶ ἐπορεύθη καὶ ἀπέστρεψε Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων καὶ ᾤκησεν ἐν Νινευῇ.

Δ Βασ. 19,36 - Ο Σενναχηρίμ ο βασιλεύς των Ασσυρίων ανεχώρησεν, επορεύθη και επέστρεψεν εις την χώραν του. Κατώκησε δε εις την Νινευή.

Δ Βασ. 19,37 - καὶ ἐγένετο αὐτοῦ προσκυνοῦντος ἐν οἴκῳ Νεσερὰχ θεοῦ αὐτοῦ καὶ Ἀδραμέλεχ καὶ Σαρασάρ, οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν ἐν μαχαίρᾳ, καὶ αὐτοὶ ἐσώθησαν εἰς γῆν Ἀραράθ· καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 19,37 - Αλλά, όταν αυτός προσεκύνει στον ναόν του Νεσεράχ, ιδικού του θεού, ο Αδραμέλεχ και ο Σαλασάρ, τα παιδιά του, τον εδολοφόνησαν δια μαχαίρας. Αυτοί δε διέφυγαν και εσώθησαν εις την χώραν Αραράθ. Αντί δε αυτού εβασίλευσεν ο υιός του, ο Ασορδάν.

Δ ΒΑΣΙΛΕΙΩΝ 20

Δ Βασ. 20,1 - Ἐν ταῖς ἡμέραις ἐκείναις ἠῤῥώστησεν Ἐζεκίας εἰς θάνατον. καὶ εἰσῆλθε πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης καὶ εἶπε πρὸς αὐτόν· τάδε λέγει Κύριος· ἔντειλαι τῷ οἴκῳ σου, ὅτι ἀποθνήσκεις σὺ καὶ οὐ ζήσῃ.

Δ Βασ. 20,1 - Κατά τας ημέρας εκείνας αρρώστησεν ο Εζεκίας σοβαράν ασθένειαν προς θάνατον. Ηλθε προς αυτόν ο Ησαΐας, ο υιός του Αμώς ο προφήτης, και του είπε· "αυτά λέγει ο Κυριος· Τακτοποίησε τας υποθέσστου οίκου σου, διότι θα αποθάνης και δεν θα ζήσης".

Δ Βασ. 20,2 - καὶ ἀπέστρεψεν Ἐζεκίας πρὸς τὸν τοῖχον καὶ ηὔξατο πρὸς Κύριον λέγων·

Δ Βασ. 20,2 - Ο Εζεκίας κλινήρης, καθώς ήτο, εστράφη προς τον τοίχον, προσηυχήθη και είπε προς τον Κυριον·

Δ Βασ. 20,3 - Κύριε, μνήσθητι δὴ ὅσα περιεπάτησα ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ καρδίᾳ πλήρει καὶ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ἐποίησα. καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ.

Δ Βασ. 20,3 - “Κυριε, ενθυμήσου, σε παρακαλώ, ότι επορεύθην ενώπιόν σου σύμφωνα με την αληθινήν πίστιν και με ακεραιότητα καρδίας. Επραξα δε το αγαθόν και ευάρεστον ενώπιόν σου”. Επειτα έκλαυσεν ο Εζεκίας πάρα πολύ.

Δ Βασ. 20,4 - καὶ ἦν Ἡσαΐας ἐν τῇ αὐλῇ τῇ μέσῃ, καὶ ῥῆμα Κυρίου ἐγένετο πρὸς αὐτὸν λέγων·

Δ Βασ. 20,4 - Την ώραν εκείνην ο Ησαΐας ευρίσκετο εις την αυλήν του ανακτόρου και ήκουσε τον Κυριον να ομιλή προς αυτόν και να του λέγη·

Δ Βασ. 20,5 - ἐπίστρεψον καὶ ἐρεῖς πρὸς Ἐζεκίαν τὸν ἡγούμενον τοῦ λαοῦ μου· τάδε λέγει Κύριος ὁ Θεὸς Δαυὶδ τοῦ πατρός σου· ἤκουσα τῆς προσευχῆς σου, εἶδον τὰ δάκρυά σου· ἰδοὺ ἐγὼ ἰάσομαί σε, τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναβήσῃ εἰς οἶκον Κυρίου·

Δ Βασ. 20,5 - “ξαναγύρισε στον Εζεκίαν, τον αρχηγόν του λαού μου, και είπε προς αυτόν. Αυτά λέγει Κυριος ο Θεός του Δαυίδ του προγόνου σου· Ηκουσα την προσευχήν σου, είδα τα δάκρυά σου. Ιδού εγώ, θα σε θεραπεύσω και κατά την τρίτην ημέραν θα ανέλθης υγιής στον ναόν του Κυρίου σου.

Δ Βασ. 20,6 - καὶ προσθήσω ἐπὶ τὰς ἡμέρας σου πεντεκαίδεκα ἔτη καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων σώσω σε καὶ τὴν πόλιν ταύτην καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι᾿ ἐμὲ καὶ διὰ Δαυὶδ τὸν δοῦλόν μου.

Δ Βασ. 20,6 - Θα προσθέσω εις την ζωήν σου δεκαπέντε ακόμη έτη. Θα σώσω σε και την πόλιν Ιερουσαλήμ από την εξουσίαν του βασιλέως των Ασσυρίων, θα υπερασπίσω την πόλιν αυτήν δια την δόξαν μου και προς χάριν του δούλου μου του Δαυίδ”.

Δ Βασ. 20,7 - καὶ εἶπε· λαβέτωσαν παλάθην σύκων καὶ ἐπιθέτωσαν ἐπὶ τὸ ἕλκος, καὶ ὑγιάσει.

Δ Βασ. 20,7 - Ο προφήτης Ησαΐας προσέθεσε· “ας πάρουν ένα κατάπλασμα από πολτόν σύκων και ας θέσουν αυτό επάνω στο έλκος της πληγής του και αυτό θα τον θεραπεύση”.

Δ Βασ. 20,8 - καὶ εἶπεν Ἐζεκίας πρὸς Ἡσαΐαν· τί τὸ σημεῖον ὅτι ἰάσεταί με Κύριος καὶ ἀναβήσομαι εἰς οἶκον Κυρίου τῇ ἡμέρᾳ τῇ τρίτῃ;

Δ Βασ. 20,8 - Ο Εζεκίας ηρώτησε τον Ησαΐαν· “ποιό είναι το σημείον, που θα με πείση ότι πράγματι ο Κυριος θα με θεραπεύση και εγώ υγιής θα αναβώ στον ναόν του Κυρίου κατά την τρίτην ημέραν;”

Δ Βασ. 20,9 - καὶ εἶπεν Ἡσαΐας· τοῦτο τὸ σημεῖον παρὰ Κυρίου, ὅτι ποιήσει Κύριος τὸν λόγον, ὃν ἐλάλησε· πορεύσεται ἡ σκιὰ δέκα βαθμούς, ἐὰν ἐπιστρέψῃ δέκα βαθμούς.

Δ Βασ. 20,9 - Απήντησεν ο Ησαΐας· "αυτό είναι το σημείον εκ μέρους του Κυρίου, ότι δηλαδή αυτός θα πραγματοποιήση την υπόσχεσιν, την οποίαν έδωσε. Η σκια του ηλιακού ωρολογίου θα προχωρήση δέκα βαθμούς εμπρός η δέκα βαθμούς οπίσω".

Δ Βασ. 20,10 - καὶ εἶπεν Ἐζεκίας· κοῦφον τὴν σκιὰν κλῖναι δέκα βαθμούς· οὐχί, ἀλλ᾿ ἐπιστραφήτω ἡ σκιὰ ἐν τοῖς ἀναβαθμοῖς δέκα βαθμοὺς εἰς τὰ ὀπίσω.

Δ Βασ. 20,10 - Ο Εζεκίας απήντησε· "μικρόν είναι, εάν η σκια προχωρήση δέκα βαθμούς εμπρός. Θαυμαστόν και καταπληκτικόν είναι, εάν η σκια υποχωρήση προς τα οπίσω δέκα βαθμούς".

Δ Βασ. 20,11 - καὶ ἐβόησεν Ἡσαΐας ὁ προφήτης πρὸς Κύριον, καὶ ἐπέστρεψεν ἡ σκιὰ ἐν τοῖς ἀναβαθμοῖς εἰς τὰ ὀπίσω δέκα βαθμούς.

Δ Βασ. 20,11 - Ο Ησαΐας παρεκάλεσε και δια τούτο τον Κυριον. Και ιδού, ότι η σκια επέστρεψεν εις τα σκαλοπάτια δέκα βαθμούς οπίσω.

Δ Βασ. 20,12 - ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μαρωδὰχ Βαλαδὰν υἱὸς Βαλαδὰν βασιλεὺς Βαβυλῶνος βιβλία καὶ μαναὰ πρὸς Ἐζεκίαν, ὅτι ἤκουσεν ὅτι ἠῤῥώστησεν Ἐζεκίας.

Δ Βασ. 20,12 - Κατά τον καιρόν εκείνον έστειλεν ο Μαρωδάχ Βαλαδάν, υιός του Βαλαδάν βασιλέως της Βαβυλώνος, γράμματα και δώρα προς τον Εζεκίαν, διότι είχε πληροφορηθή ότι ο Εζεκίας ησθένησεν.

Δ Βασ. 20,13 - καὶ ἐχάρη ἐπ᾿ αὐτοῖς Ἐζεκίας καὶ ἔδειξεν αὐτοῖς ὅλον τὸν οἶκον τοῦ νεχωθά, τὸ ἀργύριον καὶ τὸ χρυσίον, τὰ ἀρώματα καὶ τὸ ἔλαιον τὸ ἀγαθόν, καὶ τὸν οἶκον τῶν σκευῶν καὶ ὅσα ηὑρέθη ἐν τοῖς θησαυροῖς αὐτοῦ· οὐκ ἦν λόγος, ὃν οὐκ ἔδειξεν αὐτοῖς Ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ.

Δ Βασ. 20,13 - Ο Εζεκίας εχάρη δι' όλα αυτά και έδειξεν στους απεσταλμένους όλον τον οίκον των θησαυρών του, το αργύριον, το χρυσίον, τα αρώματα, το πολύτιμον έλαιον, την αίθουσαν των όπλων και όσα υπήρχον εις τα θησαυροφυλάκιά του. Δεν υπήρξε πράγμα, το οποίον δεν έδειξεν εις αυτούς ο Εζεκίας τόσον στο ανάκτορόν του όσον και εις όλην την χώραν, που ήτο υπό την εξουσίαν του.

Δ Βασ. 20,14 - καὶ εἰσῆλθεν Ἡσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα Ἐζεκίαν καὶ εἶπε πρὸς αὐτόν· τί ἐλάλησαν οἱ ἄνδρες οὗτοι καί πόθεν ἥκασι πρός σε; καὶ εἶπεν Ἐζεκίας· ἐκ γῆς πόῤῥωθεν ἥκασι πρός με, ἐκ Βαβυλῶνος.

Δ Βασ. 20,14 - Ο προφήτης Ησαΐας ήλθε προς τον βασιλέα Εζεκίαν και του είπε· "τι είπαν οι άνδρες αυτοί και από που έχουν έλθει προς σέ;" Ο

Εζεκίας απήντησεν· “ήλθαν αυτοί από μακρυνήν χώραν, από την Βαβυλώνα”.

Δ Βασ. 20,15 - καὶ εἶπε· τί εἶδον ἐν τῷ οἴκῳ σου; καὶ εἶπε· πάντα, ὅσα ἐν τῷ οἴκῳ μου εἶδον, οὐκ ἦν ἐν τῷ οἴκῳ μου, ὃ οὐκ ἔδειξα αὐτοῖς, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου.

Δ Βασ. 20,15 - Ο Ησαΐας τον ηρώτησε· “τι είδαν στο ανάκτορόν σου;” Και ο Εζεκίας απήντησεν· “όλα όσα υπάρχουν στο ανάκτορόν μου τα είδον. Δεν έμεινε τίποτε, τα οποίον να μη τους έχω δείξει. Ακόμη δε είδον και όλα όσα υπάρχουν εις τα θησαυροφυλάκιά μου”.

Δ Βασ. 20,16 - καὶ εἶπεν Ἡσαΐας πρὸς Ἐζεκίαν· ἄκουσον λόγον Κυρίου·

Δ Βασ. 20,16 - Ο Ησαΐας είπε προς τον Εζεκίαν· “άκουσε τώρα τον λόγον του Κυρίου·

Δ Βασ. 20,17 - ἰδοὺ ἡμέραι ἔρχονται καὶ ληφθήσεται πάντα τὰ ἐν οἴκῳ σου καὶ ὅσα ἐθησαύρισαν οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης εἰς Βαβυλῶνα· καὶ οὐχ ὑπολειφθήσεται ῥῆμα, ὃ εἶπε Κύριος·

Δ Βασ. 20,17 - Ιδού, έρχονται ημέραι, κατά τας οποίας θα λαφυραγωγηθούν όλα όσα απεθησαύρισαν οι πατέρες σου και απέθεσαν στον οίκον σου έως την ημέραν αυτήν. Και θα μεταφερθούν εις την Βαβυλώνα. Τιποτε δεν θα μείνη απραγματοποίητον από εκείνα, τα οποία είπεν ο Κυριος.

Δ Βασ. 20,18 - καὶ οἱ υἱοί σου, οἳ ἐξελεύσονται ἐκ σοῦ, οὓς γεννήσεις λήψεται, καὶ ἔσονται εὐνοῦχοι ἐν τῷ οἴκῳ τοῦ βασιλέως Βαβυλῶνος.

Δ Βασ. 20,18 - Και τα παιδιά σου ακόμη, τα οποία θα γεννηθούν από σέ, θα συλληφθούν αιχμάλωτοι και θα γίνουν ευνούχοι στον βασιλέα της Βαβυλώνος”.

Δ Βασ. 20,19 - καὶ εἶπεν Ἐζεκίας πρὸς Ἡσαΐαν· ἀγαθὸς ὁ λόγος Κυρίου, ὃν ἐλάλησεν· ἔστω εἰρήνη ἐν ταῖς ἡμέραις μου.

Δ Βασ. 20,19 - Ο Εζεκίας είπε προς τον Ησαΐαν· “καλός είναι ο λόγος, τον οποίον είπεν ο Κυριος. Ας είναι τουλάχιστον ειρήνη κατά το διάστημα της ιδικής μου ζωής”.

Δ Βασ. 20,20 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἐζεκίου καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ ὅσα ἐποίησε, τὴν κρήνην καὶ τὸν ὑδραγωγὸν καὶ εἰσήγαγε τὸ ὕδωρ εἰς τὴν πόλιν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 20,20 - Τα υπόλοιπα εκ των έργων του Εζεκίου και όλα τα κατορθώματά του και όσα έκαμεν, η πηγή, το υδραγωγείον, οι σωλήνες του υδραγωγείου, δια των οποίων έφερεν ύδωρ εις την πόλιν, όλα αυτά είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ιούδα.

Δ Βασ. 20,21 - καὶ ἐκοιμήθη Ἐζεκίας μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐβασίλευσε Μανασσῆς υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 20,21 - Ο Εζεκίας εκοιμήθη μετά των πατέρων αυτού και εβασίλευσεν αντ' αυτού ο υιός του ο Μανασσής.

Δ ΒΑΣΙΛΕΙΩΝ 21

Δ Βασ. 21,1 - Υἱὸς δώδεκα ἐτῶν Μανασσῆς ἐν τῷ βασιλεύειν αὐτὸν καὶ πεντήκοντα καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ὀψιβά.

Δ Βασ. 21,1 - Δωδεκα ετών ήτο ο Μανασσής, όταν ανήλθε στον βασιλικόν θρόνον. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί πεντήκοντα και πέντε έτη. Η μήτηρ του ωνομάζετο Οψιβά.

Δ Βασ. 21,2 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν, ὧν ἐξῇρε Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ,

Δ Βασ. 21,2 - Αυτός έπραξε πονηρά ενώπιον του Κυρίου, σύμφωνα με τα βδελυρά ειδωλολατρικά έργα των άλλων εθνών, τα οποία έθνη ο Κυριος έβγαλε και εξεδίωξεν από το πρόσωπον των Ισραηλιτών.

Δ Βασ. 21,3 - καὶ ἐπέστρεψε καὶ ᾠκοδόμησε τὰ ὑψηλά, ἃ κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἀνέστησε θυσιαστήριον τῇ Βάαλ καὶ ἐποίησε τὰ ἄλση, καθὼς ἐποίησε Ἀχαὰβ βασιλεὺς Ἰσραήλ, καὶ προσεκύνησε πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν αὐτοῖς.

Δ Βασ. 21,3 - Αυτός, λοιπόν, εστράφη και ανοικοδόμησε τους υψηλούς τόπους της ειδωλικής λατρείας, τους οποίους είχε κρημνίσει ο Εζεκίας, ο πατήρ του. Εκτισε θυσιαστήριον στον Βααλ, κατεσκεύασεν αγάλματα δια την θεάν Αστάρτην, όπως είχε κάμνει ο Αχαάβ, ο βασιλεύς των Ισραηλιτών. Ελάτρευσε και προσεκύνησεν όλα τα αστέρια του ουρανού και έγινε δούλος εις την ειδωλολατρείαν.

Δ Βασ. 21,4 - καὶ ᾠκοδόμησε θυσιαστήριον ἐν οἴκῳ Κυρίου, ὡς εἶπεν· ἐν Ἱερουσαλὴμ θήσω τὸ ὄνομά μου,

Δ Βασ. 21,4 - Εκτισεν επίσης και θυσιαστήριον στον ναόν του Κυρίου, δια τον οποίον ναόν ο Θεός είχε πει· “η Ιερουσαλήμ είναι η πόλις εκείνη, όπου θα θέσω προς λατρείαν το όνομά μου”.

Δ Βασ. 21,5 - καὶ ᾠκοδόμησε θυσιαστήριον πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου Κυρίου

Δ Βασ. 21,5 - Εκτισε και θυσιαστήριον εις λατρείαν των άστρων του ουρανού εντός των δύο αυλών του ναού του Κυρίου.

Δ Βασ. 21,6 - καὶ διῆγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρὶ καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο καὶ ἐποίησε τεμένη καὶ γνώστας ἐπλήθυνε τοῦ ποιεῖν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου παροργίσαι αὐτόν.

Δ Βασ. 21,6 - Επέρασε και αυτός τα παιδιά του από την φωτιάν κατά τα έθιμα των ειδωλολατρών, εζητούσε να μάθη το μέλλον με τον κλήδονα και με τους οιωνούς, έκτισεν ιερούς ειδωλολατρικούς τόπους και εκάλεσε πολυαρίθμους μάγους, δια να διαπράττεται έτσι το πονηρόν ενώπιον του Κυρίου, ώστε να εξοργίση τον Κυριον εναντίον του.

Δ Βασ. 21,7 - καὶ ἔθηκε τὸ γλυπτὸν τοῦ ἄλσους ἐν τῷ οἴκῳ, ᾧ εἶπε Κύριος πρὸς Δαυὶδ καὶ πρὸς Σαλωμὼν τὸν υἱὸν αὐτοῦ· ἐν τῷ οἴκῳ τούτῳ καὶ ἐν Ἱερουσαλήμ, ᾗ ἐξελεξάμην ἐκ πασῶν φυλῶν τοῦ Ἰσραήλ, καὶ θήσω τὸ ὄνομά μου εἰς τὸν αἰῶνα

Δ Βασ. 21,7 - Ετοποθέτησε και το άγαλμα της Αστάρτης στον ναόν του Κυρίου, δια τον οποίον ναόν ο Θεός είχεν είπει προς τον Δαυίδ και προς τον υιόν αυτού τον Σολομώντα ότι “στον ναόν τούτον και εις την Ιερουσαλήμ, την οποίαν εγώ εξέλεξα από τας άλλας πόλεις των φυλών του ισραηλιτικού λαού, εκεί θα θέσω το όνομά μου, δια να ακούεται και να δοξάζεται αιωνίως.

Δ Βασ. 21,8 - καὶ οὐ προσθήσω τοῦ σαλεῦσαι τὸν πόδα Ἰσραὴλ ἀπὸ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν, οἵτινες φυλάξουσι πάντα ὅσα ἐνετειλάμην κατὰ πᾶσαν τὴν ἐντολήν, ἣν ἐνετείλατο αὐτοῖς ὁ δοῦλός μου Μωυσῆς.

Δ Βασ. 21,8 - Και δεν θα αποφασίσω να σαλεύσω τα πόδια των Ισραηλιτών από την γην, που έδωσα στους πατέρας των, στους οποίους έδωσα την εντολήν να εφαρμόσουν τας εντολάς μου, όπως διέταξα εις αυτούς δια μέσου του δούλου μου του Μωϋσέως”.

Δ Βασ. 21,9 - καὶ οὐκ ἤκουσαν, καὶ ἐπλάνησεν αὐτοὺς Μανασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου ὑπὲρ τὰ ἔθνη, ἃ ἠφάνισε Κύριος ἐκ προσώπου υἱῶν Ἰσραήλ.

Δ Βασ. 21,9 - Εκείνοι όμως δεν ήκουσαν. Τους παρεπλάνησεν ο Μανασσής, ώστε να πράξουν πονηρά ενώπιον του Κυρίου περισσότερα από όσα έπραξαν τα άλλα έθνη, τα οποία εξωλόθρευσεν ο Κυριος από το πρόσωπον των Ισραηλιτών.

Δ Βασ. 21,10 - καὶ ἐλάλησε Κύριος ἐν χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν λέγων·

Δ Βασ. 21,10 - Ωμίλησεν ο Κυριος δια μέσου των δούλων του των προφητών λέγων·

Δ Βασ. 21,11 - ἀνθ᾽ ὧν ὅσα ἐποίησε Μανασσῆς ὁ βασιλεὺς Ἰούδα τὰ βδελύγματα ταῦτα τὰ πονηρὰ ἀπὸ πάντων, ὧν ἐποίησεν ὁ Ἀμοῤῥαῖος ὁ ἔμπροσθεν, καὶ ἐξήμαρτε καί γε τὸν Ἰούδαν ἐν τοῖς εἰδώλοις αὐτῶν,

Δ Βασ. 21,11 - “Αντί των όσων αμαρτωλών έργων έπραξεν ο Μανασσής, ο βασιλεύς του Ιούδα, ο οποίος κατεσκεύασε τα αποκρουστικά αυτά είδωλα, χειρότερα από εκείνα τα οποία έκαναν οι προ αυτού Αμορραίοι, και παρώθησε τον ιουδαϊκόν λαόν εις την λατρείαν αυτών των ειδώλων,

Δ Βασ. 21,12 - οὐχ οὕτως, τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἰδοὺ ἐγὼ φέρω κακὰ ἐπὶ Ἱερουσαλὴμ καὶ Ἰούδαν, ὥστε παντὸς ἀκούοντος ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ,

Δ Βασ. 21,12 - πράγμα το οποίον δεν έπρεπε να γίνη, δια τούτο αυτά λέγει Κυριος ο Θεός του Ισραήλ· Ιδού εγώ θα επιφέρω μεγάλας συμφοράς εναντίον της Ιερουσαλήμ και γενικώτερον εναντίον του ιουδαϊκού βασιλείου, ώστε καθένας ο οποίος θα τας ακούση, θα αισθανθή να βουΐζουν και τα δύο του τα αυτιά.

Δ Βασ. 21,13 - καὶ ἐκτενῶ ἐπὶ Ἱερουσαλὴμ τὸ μέτρον Σαμαρείας καὶ τὸ στάθμιον οἴκου Ἀχαάβ· καὶ ἀπαλείψω τὴν Ἱερουσαλήμ, καθὼς ἀπαλείφεται ὁ ἀλάβαστρος ἀπαλειφόμενος καὶ καταστρέφεται ἐπὶ πρόσωπον αὐτοῦ,

Δ Βασ. 21,13 - Θα επεκτείνω εναντίον της Ιερουσαλήμ το καταστρεπτικόν μέτρον, που εφήρμοσα κατά της Σαμαρείας, και το μέτρον που εφήρμοσα εναντίον της οικογενείας του Αχαάβ. Θα αδειάσω την Ιερουσαλήμ από τους κατοίκους της, όπως αδειάζει το αλαβάστρινον δοχείον από το μύρον και σκουπίζεται και αναστρέφεται με το στόμιον προς τα κάτω.

Δ Βασ. 21,14 - καὶ ἀπώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου καὶ παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς διαρπαγὴν καὶ εἰς προνομὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν,

Δ Βασ. 21,14 - Θα απομακρύνω από αυτήν το υπόλοιπον της κληρονομίας μου, το βασίλειον του Ιούδα, και θα παραδώσω αυτό εις τα χέρια των εχθρών του, ώστε να είναι άρπαγμα και λάφυρα εκείνων.

Δ Βασ. 21,15 - ἀνθ᾿ ὧν ὅσα ἐποίησαν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς μου καὶ ἦσαν παροργίζοντές με ἀπὸ τῆς ἡμέρας, ἧς ἐξήγαγον τοὺς πατέρας αὐτῶν ἐξ Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας ταύτης.

Δ Βασ. 21,15 - Και θα τιμωρηθούν έτσι, διότι διέπραξαν πονηρά ενώπιόν μου και συνεχώς με παρώργιζαν από την ημέραν. Που έβγαλα τους προγόνους αυτών ελευθέρους από την Αίγυπτον, μέχρι της ημέρας αυτής.

Δ Βασ. 21,16 - καί γε αἷμα ἀθῷον ἐξέχεε Μανασσῆς πολὺ σφόδρα, ἕως οὗ ἔπλησε τὴν Ἱερουσαλὴμ στόμα εἰς στόμα, πλὴν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, ὧν ἐξήμαρτε τὸν Ἰούδαν τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου.

Δ Βασ. 21,16 - Επί πλέον ο Μανασσής έχυσε πάρα πολύ αθώον αίμα, έως ότου εγέμισε την Ιερουσαλήμ από το ένα άκρον στο άλλο, έκτος βέβαια των άλλων ασεβειών τας οποίας είχε διαπράξει και δια των οποίων παρώθησε τον ιουδαϊκόν λαόν να παρασυρθή εις πονηράς πράξεις και την ειδωλολατρείαν ενώπιον του Κυρίου”.

Δ Βασ. 21,17 - καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσῆ καὶ πάντα, ὅσα ἐποίησε, καὶ ἡ ἁμαρτία αὐτοῦ, ἣν ἥμαρτεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ τῷ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 21,17 - Τα υπόλοιπα από τα έργα του Μανασσή όλα όσα αυτός έκαμε, όπως και αι αμαρτίαι τας οποίας διέπραξεν, είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ιούδα.

Δ Βασ. 21,18 - καὶ ἐκοιμήθη Μανασσῆς μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν τῷ κήπῳ τοῦ οἴκου αὐτοῦ, ἐν κήπω Ὀζά, καὶ ἐβασίλευσεν Ἀμὼν υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 21,18 - Εκοιμήθη ο Μανασσής μετά των πατέρων του και ετάφη στον κήπον του ανακτόρου του, στον κήπον του Οζά. Εβασίλευσε δε αντί αυτού ο υιός του ο Αμών.

Δ Βασ. 21,19 - Υἱὸς εἴκοσι καὶ δύο ἐτῶν Ἀμὼν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Μεσολλὰμ θυγάτηρ Ἀροῦς ἐξ Ἰετέβα.

Δ Βασ. 21,19 - Είκοσι δύο ετών ήτο ο Αμών, όταν ανήλθεν στον βασιλικόν θρόνον, και εβασίλευσεν επί δύο έτη εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Μεσολλάμ και ήτο θυγάτηρ του Αρούς, ο οποίος κατήγετο από την Ιετέβα.

Δ Βασ. 21,20 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, καθὼς ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ.

Δ Βασ. 21,20 - Και αυτός διέπραξε πονηρά ενώπιον του Κυρίου, ηκολούθησε την ειδωλολατρείαν, όπως είχε πράξει και ο Μανασσής ο πατέρας του.

Δ Βασ. 21,21 - καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ, ᾗ ἐπορεύθη ὁ πατὴρ αὐτοῦ, καὶ ἐλάτρευσε τοῖς εἰδώλοις, οἷς ἐλάτρευσεν ὁ πατὴρ αὐτοῦ, καὶ προσεκύνησεν αὐτοῖς

Δ Βασ. 21,21 - Αυτός, δηλαδή, επορεύθη εις όλον τον δρόμον, τον οποίον είχε πορευθή ο πατέρας του, ελάτρευσε τα είδωλα, όπως και ο πατέρας του, και προσεκύνησεν αυτά.

Δ Βασ. 21,22 - καὶ ἐγκατέλιπε τὸν Κύριον Θεὸν τῶν πατέρων αὐτοῦ καὶ οὐκ ἐπορεύθη ἐν ὁδῷ Κυρίου.

Δ Βασ. 21,22 - Εγκατέλειψε τον Κυριον και Θεόν των πατέρων του και δεν εβάδισε τον δρόμον του Κυρίου.

Δ Βασ. 21,23 - καὶ συνεστράφησαν οἱ παῖδες Ἀμὼν πρὸς αὐτὸν καὶ ἐθανάτωσαν τὸν βασιλέα ἐν τῷ οἴκῳ αὐτοῦ.

Δ Βασ. 21,23 - Δια την ασέβειάν του επέτρεψεν ο Θεός, ώστε οι δούλοι του Αμών έκαμαν συνωμοσίαν εναντίον του και εφόνευσαν τον βασιλέα μέσα στο βασιλικόν του ανάκτορον.

Δ Βασ. 21,24 - καὶ ἐπάταξεν ὁ λαὸς τῆς γῆς πάντας τοὺς συστραφέντας ἐπὶ τὸν βασιλέα Ἀμὼν καὶ ἐβασίλευσεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωσίαν υἱὸν αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 21,24 - Ο λαός όμως του βασιλείου Ιούδα ηγανάκτησε και εκτύπησεν όλους εκείνους, που είχαν συνωμοτήσει εναντίον του βασιλέως Αμώς, και τους εθανάτωσε. Εγκατέστησε δε ο λαός βασιλέα αντί του Αμών τον υιόν του Ιωσίαν.

Δ Βασ. 21,25 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἀμών, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 21,25 - Τα υπόλοιπα από τα έργα του Αμών, τα οποία αυτός έπραξεν, είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του Ιούδα.

Δ Βασ. 21,26 - καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν τῷ κήπῳ Ὀζά, καὶ ἐβασίλευσεν Ἰωσίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 21,26 - Εθαψαν αυτόν στον τάφον του, ο οποίος ευρίσκετο στον κήπον του Οζά, αντί δε αυτού ανήλθεν στον βασιλικόν θρόνον ο υιός του ο Ιωσίας.

Δ ΒΑΣΙΛΕΙΩΝ 22

Δ Βασ. 22,1 - Υἱὸς ὀκτὼ ἐτῶν Ἰωσίας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τριάκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰεδία θυγάτηρ Ἐδεϊὰ ἐκ Βασουρώθ.

Δ Βασ. 22,1 - Οκτώ ετών ήτο ο Ιωσίας, όταν ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί τριάκοντα και εν έτη. Η μητέρα του ωνομάζετο Ιεδία και ήτο θυγάτηρ του Εδεϊά, ο οποίος κατήγετο από την Βασουρώθ.

Δ Βασ. 22,2 - καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, οὐκ ἀπέστη δεξιὰ καὶ ἀριστερά.

Δ Βασ. 22,2 - Αυτός έπραξε το ευάρεστον ενώπιον του Κυρίου και επορεύθη καθ' όλα στον δρόμον του προγόνου του Δαυίδ και δεν εξέκλινε δεξιά και αριστερά από τον νόμον του Κυρίου.

Δ Βασ. 22,3 - καὶ ἐγενήθη ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῷ βασιλεῖ Ἰωσίᾳ ἐν τῷ μηνὶ τῷ ὀγδόῳ ἀπέστειλεν ὁ βασιλεὺς τὸν Σαπφὰν υἱὸν Ἐσελίου υἱοῦ Μεσολλάμ, τὸν γραμματέα οἴκου Κυρίου λέγων·

Δ Βασ. 22,3 - Κατά τον όγδοον μήνα του δεκάτου ογδόου έτους της βασιλείας του έστειλεν ο βασιλεύς Ιωσίας προς τον Σαπφάν, υιόν του Εσελίου υιού του Μεσολλάμ, τον γραμματέα του ναού του Κυρίου και είπε προς αυτόν·

Δ Βασ. 22,4 - ἀνάβηθι πρὸς Χελκίαν τὸν ἱερέα τὸν μέγαν καὶ σφράγισον τὸ ἀργύριον τὸ εἰσενεχθὲν ἐν οἴκῳ Κυρίου, ὃ συνήγαγον οἱ φυλάσσοντες τὸν σταθμὸν παρὰ τοῦ λαοῦ,

Δ Βασ. 22,4 - “ανέβα στον ναόν προς τον αρχιερέα Χελκίαν και μέτρησε μαζή με αυτόν το αργύριον, το οποίον έχει εισπραχθή στον νσον του Κυρίου

και το οποίον οι φύλακες της θύρας του ναού συνεκέντρωσαν από τον λαόν.

Δ Βασ. 22,5 - καὶ δότωσαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα τῶν καθεσταμένων ἐν οἴκῳ Κυρίου. καὶ ἔδωκεν αὐτὸ τοῖς ποιοῦσι τὰ ἔργα τοῖς ἐν οἴκῳ Δ Βασ. 22Κυρίου τοῦ κατισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου,

Δ Βασ. 22,5 - Ας παραδώσουν αυτό εις τα χέρια των εργοδηγών, οι οποίοι επιβλέπουν εις τα έργα του Κυρίου, εις αυτούς που είναι επόπται εις τας επισκευαζομένας φθοράς του ναού του Κυρίου". Ο Σαπφάν έδωκε το χρήμα τούτο στους αναλαβόντας αυτήν την εργασίαν στον ναόν του Κυρίου με την εντολήν, να επιδιορθώσουν τας φθοράς του ναού.

Δ Βασ. 22,6 - τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις καὶ τοῖς τειχισταῖς καὶ τοῦ κτήσασθαι ξύλα καὶ λίθους λατομητούς, τοῦ κραταιῶσαι τὸ βεδὲκ τοῦ οἴκου.

Δ Βασ. 22,6 - Οι επί των εργασιών του ναού επόπται έδωσαν το χρήμα αυτό στους ξυλουργούς, στους οικοδόμους, στους κτίστας, δια να αγοράσουν ξύλα και λίθους πελεκημένους, απαραιτήτους δια την επιδιόρθωσιν του ναού.

Δ Βασ. 22,7 - πλὴν οὐκ ἐξελογίζοντο αὐτοὺς τὸ ἀργύριον τὸ διδόμενον αὐτοῖς, ὅτι ἐν πίστει αὐτοὶ ποιοῦσι.

Δ Βασ. 22,7 - Κανείς όμως λογαριασμός δεν εζητείτο από αυτούς δια το διδόμενον χρήμα, διότι αυτοί ήσαν ευσυνείδητοι και τίμιοι.

Δ Βασ. 22,8 - καὶ εἶπε Χελκίας ὁ ἱερεὺς ὁ μέγας πρὸς Σαπφὰν τὸν γραμματέα· βιβλίον τοῦ νόμου εὗρον ἐν οἴκῳ Κυρίου· καὶ ἔδωκε Χελκίας τὸ βιβλίον πρὸς Σαπφάν, καὶ ἀνέγνω αὐτό.

Δ Βασ. 22,8 - Ο αρχιερεύς ο Χελκίας είπε προς τον Σαπφάν τον γραμματέα· "ευρήκα το βιβλίον του Νομου στον ναόν του Κυρίου". Ο Χελκίας έδωκε το βιβλίον τούτο στον Σαπφάν, ο οποίος και το ανέγνωσε.

Δ Βασ. 22,9 - καὶ εἰσῆλθεν ἐν οἴκῳ Κυρίου πρὸς τὸν βασιλέα καὶ ἀπέστρεψε τῷ βασιλεῖ ῥῆμα καὶ εἶπεν· ἐχώνευσαν οἱ δοῦλοί σου τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου καὶ ἔδωκαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα καθεσταμένων ἐν οἴκῳ Κυρίου

Δ Βασ. 22,9 - Ο Σαπφάν εισήλθε προς τον βασιλέα, ο οποίος ευρίσκετο στον ναόν του Κυρίου, και έδωσεν αναφοράν εις αυτόν δια την αποστολήν του και είπεν· "οι δούλοι σου συνέλεξαν το αργύριον, το οποίον ευρέθη στον ναόν του Κυρίου, και το έδωσαν στους εργολήπτας, οι οποίοι επιβλέπουν εις τα έργα που γίνονται στον ναόν του Κυρίου".

Δ Βασ. 22,10 - καὶ εἶπε Σαπφὰν ὁ γραμματεὺς πρὸς τὸν βασιλέα λέγων· βιβλίον ἔδωκέ μοι Χελκίας ὁ ἱερεὺς καὶ ἀνέγνω αὐτὸ Σαπφὰν ἐνώπιον τοῦ βασιλέως.

Δ Βασ. 22,10 - Είπε δε ακόμη ο γραμματεύς Σαπφάν προς τον βασιλέα τούτο· "ο Χελκίας ο αρχιερεύς μου έδωκεν ένα βιβλίον". Ο Σαπφάν το ανέγνωσεν ενώπιον του βασιλέως.

Δ Βασ. 22,11 - καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τοῦ βιβλίου τοῦ νόμου, καὶ διέῤῥηξε τὰ ἱμάτια ἑαυτοῦ.

Δ Βασ. 22,11 - Ο βασιλεύς, όταν ήκουσε τους λόγους τους γραμμένους στο βιβλίον του Νομου, συνεταράχθη και διέρρηξε τα ιμάτια αυτού.

Δ Βασ. 22,12 - καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Χελκίᾳ τῷ ἱερεῖ καὶ τῷ Ἀχικὰμ υἱῷ Σαπφὰν καὶ τῷ Ἀχοβὼρ υἱῷ Μιχαίου καὶ τῷ Σαπφὰν τῷ γραμματεῖ καὶ τῷ Ἀσαΐᾳ δούλῳ τοῦ βασιλέως λέγων·

Δ Βασ. 22,12 - Διέταξε δε ο βασιλεύς τον Χελκίαν τον αρχιερέα, και τον Αχικάμ υιόν Σαπφάν, και τον Αχοβώρ υιόν του Μιχαίου, τον Σαπφάν τον γραμματέα και τον δούλον του βασιλέως Ασαΐα λέγων·

Δ Βασ. 22,13 - δεῦτε ἐκζητήσατε τὸν Κύριον περὶ ἐμοῦ καὶ περὶ παντὸς τοῦ λαοῦ καὶ περὶ παντὸς τοῦ Ἰούδα περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρεθέντος τούτου, ὅτι μεγάλη ἡ ὀργὴ Κυρίου ἡ ἐκκεκαυμένη ἐν ἡμῖν, ὑπὲρ οὗ οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν τῶν λόγων τοῦ βιβλίου τούτου τοῦ ποιεῖν κατὰ πάντα τὰ γεγραμμένα καθ᾿ ἡμῶν.

Δ Βασ. 22,13 - “πηγαίνετε και ερωτήσατε τον Κυριον δι' εμέ, δι' όλον τον λαόν και δι' ολόκληρον το βασίλειον του Ιούδα, δι' όλα όσα είναι γραμμένα στο βιβλίον τούτο, το οποίον ανευρέθη, διότι από αυτό φαίνεται ότι είναι τρομερά αναμμένη εναντίον μας η οργή του Κυρίου, επειδή οι πρόγονοι ημών δεν υπήκουσαν εις τας εντολάς του βιβλίου τούτου να τηρήσουν και εφαρμόσουν όλα, όσα είναι γραμμένα μέσα εις αυτό”.

Δ Βασ. 22,14 - καὶ ἐπορεύθη Χελκίας ὁ ἱερεὺς καὶ Ἀχικὰμ καὶ Ἀχοβὼρ καὶ Σαπφὰν καὶ Ἀσαΐας πρὸς Ὄλδαν τὴν προφῆτιν μητέρα Σελλὴμ υἱοῦ Θεκουὲ υἱοῦ Ἀραὰς τοῦ ἱματιοφύλακος, καὶ αὕτη κατῴκει ἐν Ἱερουσαλὴμ ἐν τῇ Μασενᾷ, καὶ ἐλάλησαν πρὸς αὐτήν.

Δ Βασ. 22,14 - Εντολήν του βασιλέως εκτελούντες ο αρχιερεύς Χελκίας, ο Αχικάμ, ο Αχοβώρ, ο Σαπφάν και ο Ασαΐας, επήγαν προς την Ολδαν την προφήτιδα, η οποία ήτο μητέρα του Σελλήμ υιού του Θεκουέ, υιού του Αραάς του ιματιοφύλακος, και αυτή κατοικούσεν εις την δευτέραν συνοικίαν της Ιερουσαλήμ. Είπαν, λοιπόν, αυτοί προς εκείνην όλα, όσα ο βασιλεύς τους είχε διατάξει.

Δ Βασ. 22,15 - καὶ εἶπεν αὐτοῖς· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· εἴπατε τῷ ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρός με·

Δ Βασ. 22,15 - Η προφήτις απήντησε προς αυτούς· “αυτά λέγει Κυριος ο Θεός του Ισραήλ. Ειπέτε προς τον άνδρα, ο οποίος σας έστειλε προς εμέ τα εξής·

Δ Βασ. 22,16 - τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτόν, πάντας τοὺς λόγους τοῦ βιβλίου, οὓς ἀνέγνω βασιλεὺς Ἰούδα,

Δ Βασ. 22,16 - Αυτά λέγει ο Κυριος· ιδού εγώ θα επιφέρω μεγάλας συμφοράς εναντίον του τόπου τούτου και εναντίον των κατοικούντων εις αυτόν. Θα επιφέρω όλας τας τιμωρίας τας γραμμένας στο βιβλίον τούτο, τας οποίας ανέγνωσεν ο βασιλεύς του βασιλείου των Ιουδαίων.

Δ Βασ. 22,17 - ἀνθ᾿ ὧν ἐγκατέλιπόν με καὶ ἐθυμίων θεοῖς ἑτέροις, ὅπως παροργίσωσί με ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, καὶ ἐκκαυθήσεται θυμός μου ἐν τῷ τόπῳ τούτῳ καὶ οὐ σβεσθήσεται.

Δ Βασ. 22,17 - Και τούτο, διότι οι Ιουδαίοι με εγκατέλιπον, προσέφεραν θυσίαν θυμιάματος εις ξένους θεούς, ώστε να με εξοργίσουν εναντίον των δια τα έργα των χειρών των και να ανάψη ο θυμός μου εναντίον του τόπου τούτου και να μη σβεσθή.

Δ Βασ. 22,18 - καὶ πρὸς βασιλέα Ἰούδα τὸν ἀποστείλαντα ὑμᾶς ἐπιζητῆσαι τὸν Κύριον τάδε ἐρεῖτε πρὸς αὐτόν· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· οἱ λόγοι, οὓς ἤκουσας,

Δ Βασ. 22,18 - Προς δε τον βασιλέα του βασιλείου των Ιουδαίων, ο οποίος σας έστειλε να ερωτήσετε δι' εμού τον Κυριον περί αυτού, θα πήτε προς αυτόν· Αυτά λέγει Κυριος ο Θεός του Ισραήλ·

Δ Βασ. 22,19 - ἀνθ᾿ ὧν ὅτι ἡπαλύνθη ἡ καρδία σου καὶ ἐνετράπης ἀπὸ προσώπου, ὡς ἤκουσας ὅσα ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτὸν τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ εἰς κατάραν, καὶ διέῤῥηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν μου, καί γε ἐγὼ ἤκουσα, λέγει Κύριος.

Δ Βασ. 22,19 - Επειδή από τους λόγους, τους οποίους εδιάβασες στο βιβλίον του Νομου συνεκινήθη βαθύτατα προς μετάνοιαν η καρδία σου και εταπεινώθης ενώπιον του Κυρίου, όταν εδιάβασες όσα εγώ προείπα εναντίον του τόπου τούτου και εναντίον αυτών, οι οποίοι τον κατοικούν, ώστε να παραδοθούν εις όλεθρον και εις κατάραν και διέρρηξας τα ιμάτιά σου από λύπην και έκλαυσες ενώπιόν μου μετανοημένος, εγώ σε ήκουσα λέγει ο Κυριος.

Δ Βασ. 22,20 - οὐχ οὕτως· ἰδοὺ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ συναχθήσῃ εἰς τὸν τάφον σου ἐν εἰρήνῃ, καὶ οὐκ ὀφθήσεται ἐν τοῖς ὀφθαλμοῖς σου ἐν πᾶσι τοῖς κακοῖς, οἷς ἐγώ εἰμι ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον. καὶ ἐπέστρεψαν τῷ βασιλεῖ τὸ ῥῆμα.

Δ Βασ. 22,20 - Δεν θα πραγματοποιηθούν εναντίον σου αι τιμωρίαι αύται. Ιδού θα σε προσθέσω προς τους πατέρας σου και ειρηνικώς θα οδηγηθής στον τάφον σου. Δεν θα ίδης με τα μάτια σου όλας τας συμφοράς, τας οποίας εγώ θα επιφέρω εναντίον του τόπου τούτου”. Οι απεσταλμένοι του βασιλέως επέστρεψαν προς αυτόν και του ανέφεραν την απάντησιν.

Δ ΒΑΣΙΛΕΙΩΝ 23

Δ Βασ. 23,1 - Καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ συνήγαγε πρὸς ἑαυτὸν πάντας τοὺς πρεσβυτέρους Ἰούδα καὶ Ἱερουσαλήμ.

Δ Βασ. 23,1 - Ο βασιλεύς Ιωσίας έστειλεν ανθρώπους και προσεκάλεσε να έλθουν κοντά του οι πρεσβύτεροι του βασιλείου του Ιούδα και της Ιερουσαλήμ.

Δ Βασ. 23,2 - καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον Κυρίου καὶ πᾶς ἀνὴρ Ἰούδα καὶ πάντες οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ μετ᾿ αὐτοῦ καὶ οἱ ἱερεῖς καὶ οἱ προφῆται καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ καὶ ἕως μεγάλου, καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας τοὺς λόγους τοῦ βιβλίου τῆς διαθήκης τοῦ εὑρεθέντος ἐν οἴκῳ Κυρίου.

Δ Βασ. 23,2 - Οταν εκείνοι ήλθον, μετέβη ο βασιλεύς στον ναόν του Κυρίου. Μαζή δε με αυτόν και όλοι οι άνδρες του βασιλείου Ιούδα, οι οποίοι κατοικούσαν την Ιερουσαλήμ. Μαζή του επίσης ηκολούθησαν οι ιερείς, οι προφήται και όλος ο λαός από τον μικρόν έως τον μεγάλον. Εκεί δε ο βασιλεύς εδιάβασε με φωνήν μεγάλην εις τα αυτιά όλων τους λόγους του βιβλίου της Διαθήκης, το οποίον ευρέθη στον ναόν του Κυρίου.

Δ Βασ. 23,3 - καὶ ἔστη ὁ βασιλεὺς πρὸς τὸν στύλον καὶ διέθετο διαθήκην ἐνώπιον Κυρίου τοῦ πορεύεσθαι ὀπίσω Κυρίου καὶ τοῦ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ ἐν πάσῃ καρδίᾳ καὶ ἐν πάσῃ ψυχῇ τοῦ ἀναστῆσαι τοὺς λόγους τῆς διαθήκης ταύτης, τὰ γεγραμμένα ἐπὶ τὸ βιβλίον τοῦτο· καὶ ἔστη πᾶς ὁ λαὸς ἐν τῇ διαθήκῃ.

Δ Βασ. 23,3 - Μετά την ανάγνωσιν εστάθη όρθιος ο βασιλεύς επάνω εις την εξέδραν του και συνήψε συμφωνίαν μεταξύ του Κυρίου και του παρευρισκομένου λαού, δια της οποίας συμφωνίας ο λαός ανέλαβε την υποχρέωσιν να πορεύεται οπίσω του Κυρίου, να φυλάττη τας εντολάς του, τα μαρτύριά του και τα δικαιώματά του με όλην του την καρδιάν και με όλην του την ψυχήν, ώστε δια της ευλαβούς συμπεριφοράς του να αποκτήσουν κύρος και ζωήν τα λόγια της Διαθήκης αυτής, που είναι γραμμένα στο βιβλίον του Νομου. Ολος ο λαός εδέχθη την συμφωνίαν αυτήν.

Δ Βασ. 23,4 - καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Χελκίᾳ τῷ ἱερεῖ τῷ μεγάλῳ καὶ τοῖς ἱερεῦσι τῆς δευτερώσεως καὶ τοῖς φυλάσσουσιν τὸν σταθμὸν τοῦ ἐξαγαγεῖν ἐκ τοῦ ναοῦ Κυρίου πάντα τὰ σκεύη τὰ πεποιημένα τῷ Βάαλ καὶ τῷ ἄλσει καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ κατέκαυσεν αὐτὰ ἔξω Ἱερουσαλὴμ ἐν σαδημὼθ Κέδρων καὶ ἔβαλε τὸν χοῦν αὐτῶν εἰς Βαιθήλ.

Δ Βασ. 23,4 - Ο βασιλεύς έδωσε κατόπιν εντολήν στον μέγαν αρχιερέα Χελκίαν και στους ιερείς της δευτέρας τάξεως και εις εκείνους, οι οποίοι εφύλασσαν τας θύρας του ναού, να βγάλουν από τον ναόν του Κυρίου όλα τα ειδωλολατρικά σκεύη, τα οποία είχαν κατασκευασθή προς τιμήν του Βααλ και της Αστάρτης και των αστέρων του ουρανού. Ολα δε αυτά τα παρέδωσαν

στο πυρ και τα κατέκαυσαν έξω από την Ιερουσαλήμ στον αγρόν των Κέδρων. Την δε σκόνιν των την διεσκόρπισαν εις την Βαιθήλ.

Δ Βασ. 23,5 - καὶ κατέκαυσε τοὺς χωμαρίμ, οὓς ἔδωκαν βασιλεῖς Ἰούδα καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς καὶ ἐν ταῖς πόλεσιν Ἰούδα καὶ τοῖς περικύκλῳ Ἱερουσαλήμ, καὶ τοὺς θυμιῶντας τῷ Βάαλ καὶ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ καὶ τοῖς μαζουρὼθ καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ.

Δ Βασ. 23,5 - Παρέδωσαν επίσης στο πυρ τους ιερείς των ειδώλων, τους οποίους οι βασιλείς του Ιούδα είχαν εγκαταστήσει εκεί, δια να προσφέρουν θυσίαν θυμιάματος στους υψηλούς τόπους, εις τας πόλστου βασιλείου Ιούδα και εις τα γύρω από την Ιερουσαλήμ μέρη. Παρέδωσαν επίσης στο πυρ και κατέκαυσαν και εκείνους, οι οποίοι προσέφεραν θυμίαμα στον Βααλ, στον ήλιον, εις την σελήνην, εις τα δώδεκα ζώδια και εις όλους τους αστέρας του ουρανού.

Δ Βασ. 23,6 - καὶ ἐξήνεγκε τὸ ἄλσος ἐξ οἴκου Κυρίου ἔξωθεν Ἱερουσαλὴμ εἰς τὸν χειμάῤῥουν Κέδρων καὶ κατέκαυσεν αὐτὸν ἐν τῷ χειμάῤῥῳ Κέδρων καὶ ἐλέπτυνεν εἰς χοῦν καὶ ἔῤῥιψεν τὸν χοῦν αὐτοῦ εἰς τὸν τάφον τῶν υἱῶν τοῦ λαοῦ.

Δ Βασ. 23,6 - Εβγαλε το άγαλμα της Αστάρτης από τον ναόν του Κυρίου έξω από την Ιερουσαλήμ στον χείμαρρον των Κέδρων και κατέκαυσεν αυτό εκεί στον χείμαρρον των Κέδρων, το έκαμε σκόνιν και έρριψε την σκόνιν αυτήν στον τάφον, ο οποίος προωρίζετο δια τους κοινούς θνητούς.

Δ Βασ. 23,7 - καὶ καθεῖλε τὸν οἶκον τῶν καδησὶμ τῶν ἐν τῷ οἴκῳ Κυρίου, οὗ αἱ γυναῖκες ὕφαινον ἐκεῖ Χεττιΐμ τῷ ἄλσει.

Δ Βασ. 23,7 - Εκρήμνισεν επίσης τον οίκον των ιεροδούλων γυναικών, ο οποίος ήτο στον ναόν του Κυρίου και όπου αι γυναίκες ύφαιναν ενδύματα δια την Αστάρτην.

Δ Βασ. 23,8 - καὶ ἀνήγαγε πάντας τοὺς ἱερεῖς ἐκ πόλεων Ἰούδα καὶ ἐμίανε τὰ ὑψηλά, οὗ ἐθυμίασαν ἐκεῖ οἱ ἱερεῖς ἀπὸ Γαβαὰ καὶ ἕως Βηρσαβεέ. καὶ καθεῖλε τὸν οἶκον τῶν πυλῶν τὸν παρὰ τὴν θύραν τῆς πύλης Ἰησοῦ ἄρχοντος τῆς πόλεως, τῶν ἐξ ἀριστερῶν ἀνδρὸς ἐν τῇ πύλῃ τῆς πόλεως.

Δ Βασ. 23,8 - Συνεκέντρωσε όλους τους ιερείς των ειδώλων από τας πόλστου Ιούδα και εβεβήλωσε τους υψηλούς τόπους της λατρείας των ειδώλων, όπου οι ιερείς αυτοί προσέφεραν θυμιάματα, από της πόλεως Γαβαά προς Βορράν μέχρι της πόλεως Βηρσαβεέ προς Νοτον. Εκρήμνισε τον ειδωλικόν ναόν των πυλών, ο οποίος ευρίσκετο εις την θύραν της πύλης Ιησού του άρχοντος της πόλεως, και τον άλλον ναόν, ο οποίος ευρίσκετο αριστερά από την πύλην της πόλεως.

Δ Βασ. 23,9 - πλὴν οὐκ ἀνέβησαν οἱ ἱερεῖς τῶν ὑψηλῶν πρὸς τὸ θυσιαστήριον Κυρίου ἐν Ἱερουσαλήμ, ὅτι εἰ μὴ ἔφαγον ἄζυμα ἐν μέσῳ τῶν

ἀδελφῶν αὐτῶν.

Δ Βασ. 23,9 - Εν τούτοις οι ιερείς, οι οποίοι προσέφεραν άλλοτε θυσίας εις τα υψηλά, δεν προσήρχοντο προς το θυσιαστήριον του Κυρίου εις την Ιερουσαλήμ. Ελάμβαναν όμως μέρος στο φαγητόν των αζύμων μαζή με τους άλλους συναδέλφους των ιερείς.

Δ Βασ. 23,10 - καὶ ἐμίανε τὸν Ταφὲθ τὸν ἐν φάραγγι υἱοῦ Ἐννὸμ τοῦ διαγαγεῖν ἄνδρα τὸν υἱὸν αὐτοῦ καὶ ἄνδρα τὴν θυγατέρα αὐτοῦ τῷ Μολὸχ ἐν πυρί.

Δ Βασ. 23,10 - Εβεβήλωσεν επίσης το θυσιαστήριον Ταφέθ, που υπήρχεν εις την φάραγγα του υιού του Εννόμ, όπου κάθε λάτρης των ειδώλων παρέδιδεν στο πυρ τον υιόν του και την θυγατέρα του προς τιμήν του θεού Μολόχ.

Δ Βασ. 23,11 - καὶ κατέκαυσε τοὺς ἵππους, οὓς ἔδωκαν βασιλεῖς Ἰούδα τῷ ἡλίῳ ἐν τῇ εἰσόδῳ οἴκου Κυρίου εἰς τὸ γαζοφυλάκιον Νάθαν βασιλέως τοῦ εὐνούχου ἐν φαρουρίμ, καὶ τὸ ἅρμα τοῦ ἡλίου κατέκαυσε πυρί.

Δ Βασ. 23,11 - Παρέδωσεν επίσης ο βασιλεύς στο πυρ τους ξυλίνους ίππους, τους οποίους οι βασιλείς του Ιούδα είχαν αφιερώσει στον θεόν ήλιον και είχαν τοποθετήσει εις την είσοδον του ναού του Κυρίου παραπλεύρως από το δωμάτιον του Ναθαν, κάποιου ευνούχου ενός βασιλέως. Παρέδωσεν επίσης στο πυρ ο βασιλεύς ένα ειδωλολατρικόν ομοίωμα του άρματος του ηλίου.

Δ Βασ. 23,12 - καὶ τὰ θυσιαστήρια τὰ ἐπὶ τοῦ δώματος τοῦ ὑπερῴου Ἄχαζ, ἃ ἐποίησαν βασιλεῖς Ἰούδα, καὶ τὰ θυσιαστήρια, ἃ ἐποίησε Μανασσῆς ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου Κυρίου, καθεῖλεν ὁ βασιλεὺς καὶ κατέσπασεν ἐκεῖθεν καὶ ἔῤῥιψε τὸν χοῦν αὐτῶν εἰς τὸν χειμάῤῥουν Κέδρων.

Δ Βασ. 23,12 - Εκρήμνισε και διέλυσεν ο βασιλεύς τα θυσιαστήρια των ειδώλων, τα οποία υπήρχαν επάνω στο ηλιακωτόν του υπερώου του Αχαζ και τα οποία είχαν κατασκευάσει διάφοροι βασιλείς του Ιούδα. Επίσης ανέσπασε και εκρήμνισε τα θυσιαστήρια εκείνα, τα οποία είχε κατασκευάσει ο Μανασσής μέσα εις τας δύο αυλάς του ναού του Κυρίου. Την δε σκόνιν αυτών έρριψεν στον χείμαρρον των Κέδρων, ώστε να μη μείνη τίποτε από αυτά.

Δ Βασ. 23,13 - καὶ τὸν οἶκον τὸν ἐπὶ πρόσωπον Ἱερουσαλὴμ τὸν ἐκ δεξιῶν τοῦ ὄρους τοῦ Μοσοάθ, ὃν ᾠκοδόμησε Σαλωμὼν βασιλεὺς Ἰσραὴλ τῇ Ἀστάρτῃ προσοχθίσματι Σιδωνίων καὶ τῷ Χαμὼς προσοχθίσματι Μωὰβ καὶ τῷ Μολχὸλ βδελύγματι υἱῶν Ἀμών, ἐμίανεν ὁ βασιλεύς.

Δ Βασ. 23,13 - Ο βασιλεύς εβεβήλωσεν επίσης τον ειδωλολατρικόν ναόν, ο οποίος ευρίσκετο ανατολικά της Ιερουσαλήμ, δεξιά από το όρος Μοσοάθ, τον οποίον ναόν είχεν ανοικοδομήσει ο Σολομών ο βασιλεύς του Ισραηλιτικού λαού προς τιμήν του βδελυρού αγάλματος της Αστάρτης,

ειδώλου των κατοίκων της Σιδώνος. Εμόλυνεν και το βδελυρόν άγαλμα του Χαμώς των Μωαβιτών και το βδελυρόν άγαλμα του Μολχόλ των Αμωνιτών.

Δ Βασ. 23,14 - καὶ συνέτριψε τὰς στήλας καὶ ἐξωλόθρευσε τὰ ἄλση καὶ ἔπλησε τοὺς τόπους αὐτῶν ὀστέων ἀνθρώπων.

Δ Βασ. 23,14 - Συνέτριψεν ακόμη τας ειδωλολατρικάς στήλας. Συνέτριψε και εξολόθρευσε τα αγάλματα της Αστάρτης και τους τόπους της λατρείας της. Εβεβήλωσε δε όλα αυτά τα ιερά των ειδωλολατρών σκορπίσας επάνω εις αυτά οστά ανθρώπων.

Δ Βασ. 23,15 - καί γε τὸ θυσιαστήριον τὸ ἐν Βαιθὴλ τὸ ὑψηλόν, ὃ ἐποίησεν Ἱεροβοὰμ υἱὸς Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, καί γε τὸ θυσιαστήριον ἐκεῖνο τὸ ὑψηλὸν κατέσπασε καὶ συνέτριψε τοὺς λίθους αὐτοῦ καὶ ἐλέπτυνεν εἰς χοῦν καὶ κατέκαυσε τὸ ἄλσος.

Δ Βασ. 23,15 - Επί πλέον το θυσιαστήριον, το οποίον ευρίσκετο εις την Βαιθήλ, και τον υψηλόν ειδωλολατρικόν τόπον, που είχε κατασκευάσει ο Ιεροβοάμ, ο υιός του Ναβάτ, αυτός που είχεν εξωθήσει τους Ισραηλίτας εις αμαρτίαν και ασέβειαν. Αυτό το θυσιαστήριον και τον υψηλόν τόπον κατέρριψε, τους λίθους αυτών τους συνέτριψε, τους μετέβαλεν εις σκόνιν και κατέκαυσε το ξύλινον άγαλμα της Αστάρτης.

Δ Βασ. 23,16 - καὶ ἐξένευσεν Ἰωσίας καὶ εἶδε τοὺς τάφους τοὺς ἐκεῖ ἐν τῇ πόλει καὶ ἀπέστειλε καὶ ἔλαβε τὰ ὀστᾶ ἐκ τῶν τάφων καὶ κατέκαυσεν ἐπὶ τὸ θυσιαστήριον καὶ ἐμίανεν αὐτὸ κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐν τῷ ἑστάναι Ἱεροβοὰμ ἐν τῇ ἑορτῇ ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐπιστρέψας ᾖρε τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ Θεοῦ τοῦ λαλήσαντος τοὺς λόγους τούτους

Δ Βασ. 23,16 - Οταν δε ο Ιωσίας έστρεψε το πρόσωπόν του και είδε τους τάφους, που ευρίσκοντο εις την πόλιν, έστειλεν ανθρώπους και επήρε από τους τάφους αυτούς τα οστά, τα οποία και έκαυσεν επάνω στο ειδωλολατρικόν αυτό θυσιαστήριον της Βαιθήλ. Ετσι δε εβεβήλωσε το θυσιαστήριον σύμφωνα με την προφητείαν του Κυρίου, την οποίαν είχεν είπει ο άνθρωπος εκείνος του Θεού, ο προφήτης, όταν κατά κάποιαν εορτήν ο Ιεροβοάμ ευρίσκετο όρθιος επάνω στο θυσιαστήριον αυτό. Κατόπιν ο βασιλεύς έστρεψε το πρόσωπόν του, εσήκωσε τους οφθαλμούς του προς τον τάφον του ανθρώπου εκείνου του Θεού, του προφήτου, ο οποίος είχεν είπει τα λόγια εκείνα εναντίον του θυσιαστηρίου.

Δ Βασ. 23,17 - καὶ εἶπε· τί τὸ σκόπελον ἐκεῖνο, ὃ ἐγὼ ὁρῶ; καὶ εἶπον αὐτῷ οἱ ἄνδρες τῆς πόλεως· ὁ ἄνθρωπος τοῦ Θεοῦ ὁ ἐξεληλυθὼς ἐξ Ἰούδα καὶ ἐπικαλεσάμενος τοὺς λόγους τούτους, οὓς ἐπεκαλέσατο ἐπὶ τὸ θυσιαστήριον Βαιθήλ.

Δ Βασ. 23,17 - Και ηρώτησεν ο βασιλεύς· "τι είναι εκείνο το εξέχον μνημείον, το οποίον εγώ βλέπω;" Οι άνδρες της πόλεως εκείνης τον επληροφόρησαν· "εκεί ευρίσκεται ο άνθρωπος εκείνος του Θεού ο

προφήτης, ο οποίος είχεν εξέλθει από το βασίλειον του Ιούδα και εξεφώνησε τους προφητικούς λόγους εναντίον του θυσιαστηρίου της Βαιθήλ".

Δ Βασ. 23,18 - καὶ εἶπεν· ἄφετε αὐτόν, ἀνὴρ μὴ κινησάτωσαν τὰ ὀστᾶ αὐτοῦ· καὶ ἐῤῥύσθησαν τὰ ὀστᾶ αὐτοῦ μετὰ τῶν ὀστῶν τοῦ προφήτου τοῦ ἥκοντος ἐκ Σαμαρείας.

Δ Βασ. 23,18 - Ο βασιλεύς είπεν· "αφήσατε αυτόν στον τάφον του και κανείς ας μη μετακινήση τα οστά του". Ετσι δε τα οστά αυτού μαζή με τα οστά του άλλου προφήτου, που είχεν ελθει από την Σαμάρειαν, δεν παρεδόθησαν στο πυρ.

Δ Βασ. 23,19 - καί γε πάντας τοὺς οἴκους τῶν ὑψηλῶν τοὺς ἐν ταῖς πόλεσι Σαμαρείας, οὓς ἐποίησαν βασιλεῖς Ἰσραὴλ παροργίζειν Κύριον, ἀπέστησεν Ἰωσίας καὶ ἐποίησεν ἐν αὐτοῖς πάντα τὰ ἔργα, ἃ ἐποίησεν ἐν Βαιθήλ.

Δ Βασ. 23,19 - Κατέστρεψεν επίσης ο Ιωσίας όλους τους ναούς των υψηλών τόπων, οι οποίοι υπήρχον εις τας πόλεις της Σαμαρείας και τους οποίους είχαν κατασκευάσει οι βασιλείς του Ισραήλ, δια να παροργίσουν έτσι τον Θεόν εναντίον των. Ο Ιωσίας έκαμεν στους ειδωλολατρικούς αυτούς ναούς ο,τι είχε κάμει στο θυσιαστήριον της Βαιθήλ.

Δ Βασ. 23,20 - καὶ ἐθυσίασε πάντας τοὺς ἱερεῖς τῶν ὑψηλῶν τοὺς ὄντας ἐκεῖ ἐπὶ τῶν θυσιαστηρίων καὶ κατέκαυσε τὰ ὀστᾶ τῶν ἀνθρώπων ἐπ᾿ αὐτά, καὶ ἐπεστράφη εἰς Ἱερουσαλήμ.

Δ Βασ. 23,20 - Ακόμη δε εθυσίασεν όλους τους αμετανοήτους ιερείς των υψηλών ειδωλολατρικών τόπων, οι οποίοι ευρίσκοντο εις τα εκεί θυσιαστήρια. Εις βεβήλωσιν δε αυτών έκαυσεν επάνω των οστά ανθρώπων. Επειτα δε από τα έργα της καθάρσεως αυτής επέστρεψεν ο Ιωσίας εις την Ιερουσαλήμ.

Δ Βασ. 23,21 - Καὶ ἐνετείλατο ὁ βασιλεὺς παντὶ τῷ λαῷ λέγων· ποιήσατε πάσχα τῷ Κυρίῳ Θεῷ ἡμῶν, καθὼς γέγραπται ἐπὶ βιβλίου τῆς διαθήκης ταύτης·

Δ Βασ. 23,21 - Κατόπιν διέταξεν ο βασιλεύς όλον τον λαόν του βασιλείου Ιούδα και είπεν· "εορτάσατε το Πασχα προς τιμήν του Θεού και Κυρίου μας, όπως είναι γραμμένον στο βιβλίον της Διαθήκης αυτής".

Δ Βασ. 23,22 - ὅτι οὐκ ἐγενήθη τὸ πάσχα τοῦτο ἀφ᾿ ἡμερῶν τῶν κριτῶν, οἳ ἔκρινον τὸν Ἰσραήλ, καὶ πάσας τὰς ἡμέρας βασιλέων Ἰσραὴλ καὶ βασιλέων Ἰούδα,

Δ Βασ. 23,22 - Το δε Πασχα εκείνο εωρτάσθη με τόσην μεγαλοπρέπειαν και λαμπρότητα, με όσην δεν είχεν εορτασθή κανένα τέτοιο Πασχα από την εποχήν των Κριτών, που είχαν κυβερνήσει τον ισραηλιτικόν λαόν, και καθ' όλον το διάστημα των ετών των βασιλέων του Ισραήλ και των βασιλέων του Ιούδα.

Δ Βασ. 23,23 - ὅτι ἀλλ᾽ ἢ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τοῦ βασιλέως Ἰωσίου ἐγενήθη τὸ πάσχα τῷ Κυρίῳ ἐν Ἱερουσαλήμ.

Δ Βασ. 23,23 - Αυτό δε το Πασχα εωρτάσθη κατά το δέκατον όγδοον έτος της βασιλείας του βασιλέως Ιωσίου εις την Ιερουσαλήμ προς τιμήν και δόξαν του Κυρίου.

Δ Βασ. 23,24 - καί γε τοὺς θελητὰς καὶ τοὺς γνωριστὰς καὶ τὰ Θεραφὶν καὶ τὰ εἴδωλα καὶ πάντα τὰ προσοχθίσματα τὰ γεγονότα ἐν τῇ γῇ Ἰούδα καὶ ἐν Ἱερουσαλὴμ ἐξῆρεν Ἰωσίας, ἵνα στήσῃ τοὺς λόγους τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου, οὗ εὗρε Χελκίας ὁ ἱερεὺς ἐν οἴκῳ Κυρίου.

Δ Βασ. 23,24 - Τους μάγους και τους οιωνοσκόπους και τα αγαλμάτια και τα μεγάλα είδωλα και όλα τα αγάλματα, που υπήρχον εις την γην Ιούδα και εις την γην Ιερουσαλήμ, τα κατέστρεψεν ο Ιωσίας ο βασιλεύς, δια να εφαρμόση έτσι τους λόγους, οι οποίοι είναι γραμμένοι στο βιβλίον τούτο του Νομου, που ευρήκεν ο αρχιερεύς Χελκίας στον ναόν του Κυρίου.

Δ Βασ. 23,25 - ὅμοιος αὐτῷ οὐκ ἐγενήθη ἔμπροσθεν αὐτοῦ βασιλεύς, ὃς ἐπέστρεψε πρὸς Κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ καὶ ἐν ὅλῃ ἰσχύϊ αὐτοῦ κατὰ πάντα τὸν νόμον Μωυσῆ, καὶ μετ᾽ αὐτὸν οὐκ ἀνέστη ὅμοιος αὐτῷ.

Δ Βασ. 23,25 - Ομοιος με τον βασιλέα Ιωσίαν δεν υπήρξεν άλλος προ αυτού, ο οποίος εδόθη στον Κυριον με όλην του την καρδίαν, με όλην του την ψυχήν, με όλην του την δύναμιν σύμφωνα με τον νόμον του Μωϋσέως. Αλλά και έπειτα απ' αυτόν δεν ενεφανίσθη άλλος όμοιός του.

Δ Βασ. 23,26 - πλὴν οὐκ ἀπεστράφη Κύριος ἀπὸ θυμοῦ τῆς ὀργῆς αὐτοῦ τῆς μεγάλης, οὗ ἐθυμώθη ὀργῇ αὐτοῦ ἐν τῷ Ἰούδᾳ ἐπὶ τοὺς παροργισμούς, οὓς παρώργισεν αὐτὸν Μανασσῆς.

Δ Βασ. 23,26 - Παρ όλην όμως την ευσέβειαν και τα θεάρεστα έργα του Ιωσίου δεν έπαυσεν ο Κυριος να είναι πολύ ωργισμένος και αγανακτημένος εναντίον του βασιλείου του Ιούδα, λόγω των παραβάσεων, δια των οποίων ο Μανασσής είχε παροργίσει τον Κυριον.

Δ Βασ. 23,27 - καὶ εἶπε Κύριος· καί γε τὸν Ἰούδαν ἀποστήσω ἀπὸ τοῦ προσώπου μου, καθὼς ἀπέστησα τὸν Ἰσραήλ, καὶ ἀπώσομαι τὴν πόλιν ταύτην, ἣν ἐξελεξάμην τὴν Ἱερουσαλήμ, καὶ τὸν οἶκον οὗ εἶπον· ἔσται τὸ ὄνομά μου ἐκεῖ.

Δ Βασ. 23,27 - Δια τούτο και είπεν ο Κυριος· “και αυτό ακόμη το βασίλειον του Ιούδα θα το στερήσω από την προστασίαν μου, όπως εστέρησα το βασίλειον του Ισραήλ, και θα απορρίψω την πόλιν αυτήν την Ιερουσαλήμ, την οποίαν εξέλεξα, και τον ναόν τούτον, δια τον οποίον είπα· Εκεί θα είναι πάντοτε το όνομά μου”.

Δ Βασ. 23,28 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωσίου καὶ πάντα, ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων ἡμερῶν τοῖς

βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 23,28 - Τα υπόλοιπα από τα έργα του Ιωσίου, όλα όσα αυτός έκαμε, είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του βασιλείου του Ιούδα.

Δ Βασ. 23,29 - ἐν δὲ ταῖς ἡμέραις αὐτοῦ ἀνέβη φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου ἐπὶ βασιλέα Ἀσσυρίων ἐπὶ ποταμὸν Εὐφράτην· καὶ ἐπορεύθη Ἰωσίας εἰς ἀπαντὴν αὐτοῦ, καὶ ἐθανάτωσεν αὐτὸν Νεχαὼ ἐν Μαγεδδὼ ἐν τῷ ἰδεῖν αὐτόν.

Δ Βασ. 23,29 - Κατά τας ημέρας της βασιλείας του Ιωσίου ο Νεχαώ βασιλεύς της Αιγύπτου εξεστράτευσεν εναντίον του βασιλέως των Ασσυρίων προς τον Ευφράτην ποταμόν. Ο Ιωσίας εξήλθε, δια να αναχαιτίση αυτόν. Εκεί όμως ο Νεχαώ, κατά την μάχην, που εδόθη εις Μαγεδδώ, μόλις είδε τον Ιωσίαν, τον εθανάτωσε.

Δ Βασ. 23,30 - καὶ ἐπεβίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ νεκρὸν ἐκ Μαγεδδὼ καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσαλὴμ καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ. καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωάχαζ υἱὸν Ἰωσίου καὶ ἔχρισαν αὐτὸν καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ.

Δ Βασ. 23,30 - Παρέλαβον τον νεκρόν βασιλέα από την Μαγγεδώ, τον επεβίβασαν εις άρμα και τον έφεραν εις την Ιερουσαλήμ, όπου και τον έθαψαν στον τάφον του. Ο δε ιουδαϊκός λαός επήρε τον Ιωάχαζ υιόν του Ιωσίου, έχρισεν αυτόν και τον ανεκήρυξεν ως βασιλέα αντί του πατρός του.

Δ Βασ. 23,31 - Υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν ἦν Ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀμιτὰλ θυγάτηρ Ἱερεμίου ἐκ Λοβνά.

Δ Βασ. 23,31 - Οταν ο Ιωάχαζ ανήλθεν στον βασιλικόν θρόνον ήτο ηλικίας εικοσιτριών ετών. Αυτός εβασίλευσε μόνον επί ένα τρίμηνον εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Αμιτάλ, ήτο δε θυγάτηρ του Ιερεμίου, ο οποίος κατήγετο από την Λοβνά.

Δ Βασ. 23,32 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου κατὰ πάντα, ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ.

Δ Βασ. 23,32 - Ο Ιωάχαζ εξέκλινε προς την ειδωλολατρείαν, έπραξε πονηρά ενώπιον του Κυρίου όλα, όσα είχαν διαπράξει οι προπάτορές του.

Δ Βασ. 23,33 - καὶ μετέστησεν αὐτὸν φαραὼ Νεχαὼ ἐν Δεβλαθὰ ἐν γῇ Αἰμὰθ τοῦ μὴ βασιλεύειν ἐν Ἱερουσαλὴμ καὶ ἔδωκε ζημίαν ἐπὶ τὴν γῆν ἑκατὸν τάλαντα ἀργυρίου καὶ ἑκατὸν τάλαντα χρυσίου.

Δ Βασ. 23,33 - Ο βασιλεύς της Αιγύπτου ο Νεχαώ συνέλαβε και μετέφερε αυτόν εις την Δεβλαθά, εις την χώραν Αιμάθ, δια να μη είναι πλέον αυτός βασιλεύς εις την Ιερουσαλήμ. Επέβαλε δε πρόστιμον εις την χώραν του Ιούδα εκατόν τάλαντα αργυρίου και εκατόν τάλαντα χρυσίου.

Δ Βασ. 23,34 - καὶ ἐβασίλευσε φαραὼ Νεχαὼ ἐπ᾽ αὐτοὺς τὸν Ἐλιακὶμ υἱὸν Ἰωσίου βασιλέως Ἰούδα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ καὶ ἐπέστρεψε τὸ ὄνομα αὐτοῦ Ἰωακίμ· καὶ τὸν Ἰωάχαζ ἔλαβε καὶ εἰσήνεγκεν εἰς Αἴγυπτον, καὶ ἀπέθανεν ἐκεῖ.

Δ Βασ. 23,34 - Ο βασιλεύς της Αιγύπτου ο Νεχαώ ενεθρόνισεν ως βασιλέα στο βασίλειον του Ιούδα τον Ελιακίμ, άλλον υιόν του Ιωσίου, αντί του Ιωσίου του πατρός του. Ο Νεχαώ ήλλαξε το όνομα του Ελιακίμ εις Ιωακίμ. Τον δε Ιωάχαζ επήρε και μετέφερεν εις την Αίγυπτον, όπου ο Ιωάχαζ και απέθανε.

Δ Βασ. 23,35 - καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκεν Ἰωακὶμ τῷ φαραώ· πλὴν ἐτιμογράφησε τὴν γῆν τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόματος φαραώ, ἀνὴρ κατὰ τὴν συντίμησιν αὐτοῦ ἔδωκαν τὸ ἀργύριον καὶ τὸ χρυσίον μετὰ τοῦ λαοῦ τῆς γῆς τοῦ δοῦναι τῷ φαραὼ Νεχαώ.

Δ Βασ. 23,35 - Ο Ιωακίμ έδωκεν στον Φαραώ το αργύριον και το χρυσίον του προστίμου. Δια να ημπορέση όμως να καταβάλη το ορισθέν από τον Φαραώ πρόστιμον εις άργυρον και χρυσόν, επέβαλε φορολογίαν στους ανθρώπους της χώρας του. Ο καθένας, ανάλογα προς την οικονομικήν του δύναμιν, κατέβαλε το σχετικόν αργύριον και χρυσίον. Ο λαός της χώρας εφορολογήθη, δια να καταβληθή το πρόστιμον στον βασιλέα Νεχαώ.

Δ Βασ. 23,36 - υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακὶμ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰελδὰφ θυγάτηρ Φαδαὴλ ἐκ Ῥουμά.

Δ Βασ. 23,36 - Ο Ιωακίμ, όταν ανήλθεν στον βασιλικόν θρόνον, ήτο εικοσιπέντε ετών. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί ένδεκα έτη. Η μητέρα του ωνομάζετο Ιελδάφ και ήτο θυγάτηρ του Φαδαήλ, ο οποίος κατήγετο από την Ρουμά.

Δ Βασ. 23,37 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου κατὰ πάντα, ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ.

Δ Βασ. 23,37 - Αλλά και ο Ιωακίμ διέπραξε πονηρά ενώπιον του Κυρίου, όλα όσα είχαν πράξει και οι ασεβείς πρόγονοί του.

Δ ΒΑΣΙΛΕΙΩΝ 24

Δ Βασ. 24,1 - Ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνέβη Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος καὶ ἐγενήθη αὐτῷ Ἰωακὶμ δοῦλος τρία ἔτη, καὶ ἐπέστρεψε καὶ ἠθέτησεν ἐν αὐτῷ.

Δ Βασ. 24,1 - Κατά την εποχήν εκείνην ο Ναβουχοδονόσορ, ο βασιλεύς της Βαβυλώνος, εξεστράτευσεν εναντίον του βασιλείου του Ιούδα, διότι ο Ιωακίμ, ο υποτεταγμένος εις αυτόν, είχεν μετά τρία έτη αποκηρύξει τον ζυγόν του και εστράφη εναντίον του Ναβουχοδονόσορος.

Δ Βασ. 24,2 - καὶ ἀπέστειλε Κύριος αὐτῷ τοὺς μονοζώνους τῶν Χαλδαίων καὶ τοὺς μονοζώνους Συρίας καὶ τοὺς μονοζώνους Μωὰβ καὶ τοὺς μονοζώνους υἱῶν Ἀμὼν καὶ ἐξαπέστειλεν αὐτοὺς ἐν τῇ γῇ Ἰούδα τοῦ κατισχῦσαι κατὰ τὸν λόγον Κυρίου, ὃν ἐλάλησεν ἐν χειρὶ τῶν δούλων αὐτοῦ τῶν προφητῶν.

Δ Βασ. 24,2 - Ο Κυριος έστειλεν εναντίον του Ιωακίμ ληστρικάς ορδάς Χαλδαίων, ληστοσυμμορίας της Συρίας, ληστάς από την χώραν Μωάβ και ληστάς Αμμωνίτας. Εστειλε δε αυτούς ο Κυριος εναντίον του βασιλέως των Ιουδαίων, δια να πραγματοποιηθή ο λόγος, τον οποίον δια μέσου των δούλων του των προφητών είχε προαναγγείλει.

Δ Βασ. 24,3 - πλὴν ἐπὶ τὸν θυμὸν Κυρίου ἦν ἐν τῷ Ἰούδᾳ ἀποστῆσαι αὐτὸν ἀπὸ τοῦ προσώπου αὐτοῦ ἐν ἁμαρτίαις Μανασσῆ κατὰ πάντα, ὅσα ἐποίησε.

Δ Βασ. 24,3 - Αιτία των επιδρομών αυτών ήτο η οργή του Κυρίου, ο οποίος είχε λάβει την απόφασιν να απορρίψη από το πρόσωπόν του το βασίλειον του Ιούδα ένεκα των αμαρτιών, τας οποίας είχε διαπράξει ο βασιλεύς Μανασσής.

Δ Βασ. 24,4 - καί γε τὸ αἷμα ἀθῷον ἐξέχεε καὶ ἔπλησε τὴν Ἱερουσαλὴμ αἵματος ἀθῴου· καὶ οὐκ ἠθέλησε Κύριος ἱλασθῆναι.

Δ Βασ. 24,4 - Διότι ο Μανασσής, έκτος των άλλων ασεβειών, έχυσε τόσον αθώον αίμα, ώστε εγέμισεν η Ιερουσαλήμ. Ο δε Κυριος δεν ηθέλησε να συγχωρήση αυτούς.

Δ Βασ. 24,5 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωακὶμ καὶ πάντα, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

Δ Βασ. 24,5 - Τα υπόλοιπα από τα έργα του Ιωακίμ, όλα όσα αυτός έπραξεν είναι γραμμένα στο βιβλίον των έργων των βασιλέων του βασιλείου Ιούδα.

Δ Βασ. 24,6 - καὶ ἐκοιμήθη Ἰωακὶμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν Ἰωαχὶμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δ Βασ. 24,6 - Ο Ιωακιμ εκοιμήθη μετά των πατέρων αυτού. Αντί δε αυτού εβασίλευσεν ο υιός του ο Ιωαχίμ.

Δ Βασ. 24,7 - καὶ οὐ προσέθετο ἔτι βασιλεὺς Αἰγύπτου ἐξελθεῖν ἐκ τῆς γῆς αὐτοῦ, ὅτι ἔλαβε βασιλεὺς Βαβυλῶνος ἀπὸ τοῦ χειμάῤῥου Αἰγύπτου ἕως τοῦ ποταμοῦ Εὐφράτου πάντα, ὅσα ἦν τοῦ βασιλέως Αἰγύπτου.

Δ Βασ. 24,7 - Ο δε βασιλεύς της Αιγύπτου δεν ετόλμησε να εξέλθη πλέον από την χώραν του, επειδή ο βασιλεύς της Βαβυλώνος κατέκτησε τας χώρας, αι οποίαι υπήρχον από τον χείμαρρον της Αιγύπτου έως τον ποταμόν Ευφράτην, όλα όσα εις την περιοχήν αυτήν ανήκον στον βασιλέα της Αιγύπτου.

Δ Βασ. 24,8 - Υἱὸς ὀκτωκαίδεκα ἐτῶν Ἰωαχὶμ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Νέσθα, θυγάτηρ Ἐλλαναθὰν ἐξ Ἱερουσαλήμ.

Δ Βασ. 24,8 - Ο Ιωαχίμ, όταν ανήλθεν στον βασιλικόν θρόνον, ήτο δεκαοκτώ ετών. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί ένα μόνον τρίμηνον. Η μητέρα του ωνομάζετο Νέσθα, ήτο δε θυγάτηρ του Ελλαναθάν, ο οποίος κατήγετο από την Ιερουσαλήμ.

Δ Βασ. 24,9 - καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου κατὰ πάντα, ὅσα ἐποίησεν ὁ πατὴρ αὐτοῦ.

Δ Βασ. 24,9 - Και αυτός έπραξε πονηρά ενώπιον του Κυρίου, όλα όσα είχε διαπράξει και ο πατήρ του.

Δ Βασ. 24,10 - ἐν τῷ καιρῷ ἐκείνῳ ἀνέβη Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ.

Δ Βασ. 24,10 - Κατά την εποχήν εκείνην ο Ναβουχοδονόσορ, ο βασιλεύς της Βαβυλώνος, εξεστράτευσεν εναντίον της Ιερουσαλήμ. Και η Ιερουσαλήμ ετέθη υπό πολιορκίαν.

Δ Βασ. 24,11 - καὶ εἰσῆλθε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς πόλιν, καὶ οἱ παῖδες αὐτοῦ ἐπολιόρκουν ἐπ᾿ αὐτήν.

Δ Βασ. 24,11 - Ο Ναβουχοδονόσορ, ο βασιλεύς της Βαβυλώνος, ήλθεν εμπρός εις την πόλιν κατά τον καιρόν, που αυτή επολιορκείτο από τους στρατιώτας του.

Δ Βασ. 24,12 - καὶ ἐξῆλθεν Ἰωαχὶμ βασιλεὺς Ἰούδα ἐπὶ βασιλέα Βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ καὶ οἱ εὐνοῦχοι αὐτοῦ, καὶ ἔλαβεν αὐτὸν βασιλεὺς Βαβυλῶνος ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ.

Δ Βασ. 24,12 - Εξήλθεν ο βασιλεύς των Ιουδαίων, ο Ιωαχίμ, αυτός και οι δούλοι αυτού και η μητέρα του και οι άρχοντές του, και οι ευνούχοι αυτού. Ο βασιλεύς της Βαβυλώνος συνέλαβεν αυτόν αιχμάλωτον στο όγδοον έτος της βασιλείας του.

Δ Βασ. 24,13 - καὶ ἐξήνεγκεν ἐκεῖθεν πάντας τοὺς θησαυροὺς οἴκου Κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ συνέκοψε πάντα τὰ σκεύη τὰ χρυσᾶ, ἃ ἐποίησε Σαλωμὼν ὁ βασιλεὺς Ἰσραὴλ ἐν τῷ ναῷ Κυρίου κατὰ τὸ ρῆμα Κυρίου.

Δ Βασ. 24,13 - Εβγαλε και επήρεν από την πόλιν ο Ναβουχοδονόσορ όλους τους θησαυρούς του ναού του Κυρίου και τους θησαυρούς του βασιλικού ανακτόρου. Εσπασε δε όλα τα χρυσά σκεύη, τα οποία είχε κατασκευάσει ο Σολομών ο βασιλεύς του Ισραήλ στον ναόν του Κυρίου σύμφωνα με την εντολήν του Θεού.

Δ Βασ. 24,14 - καὶ ἀπῴκισε τὴν Ἱερουσαλὴμ καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς δυνατοὺς ἰσχύϊ αἰχμαλωσίας δέκα χιλιάδας αἰχμαλωτίσας καὶ πᾶν

τέκτονα καὶ τὸν συγκλείοντα, καὶ οὐχ ὑπελείφθη πλὴν οἱ πτωχοὶ τῆς γῆς.

Δ Βασ. 24,14 - Ο Ναβουχοδονόσορ επήρε και εγκατέστησεν εις την Βαβυλώνα αιχμαλώτους κατοίκους της Ιερουσαλήμ, μάλιστα δε όλους τους άρχοντας και τους γενναίους άνδρας, ανερχομένους εις δέκα χιλιάδας, κάθε ξυλουργόν μέχρι και κλειθροποιού. Δεν έμειναν εις την πόλιν παρά μονάχα οι πτωχοί της χώρας.

Δ Βασ. 24,15 - καὶ ἀπῴκισε τὸν Ἰωαχὶμ εἰς Βαβυλῶνα καὶ τὴν μητέρα τοῦ βασιλέως καὶ τοὺς εὐνούχους αὐτοῦ· καὶ τοὺς ἰσχυροὺς τῆς γῆς ἀπήγαγεν εἰς ἀποικεσίαν ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα

Δ Βασ. 24,15 - Ο Ναβουχοδονόσορ επήρεν από την Ιερουσαλήμ και μετέφερεν εις την Βαβυλώνα τον Ιωαχίμ, την μητέρα του βασιλέως αυτού και τους αυλικούς του. Τους ισχυρούς της χώρας ωδήγησεν εις μετοικεσίαν από την Ιερουσαλήμ εις την Βαβυλώνα.

Δ Βασ. 24,16 - καὶ πάντας τοὺς ἄνδρας τῆς δυνάμεως ἑπτακισχιλίους καὶ τὸν τέκτονα καὶ τὸν συγκλείοντα χιλίους, πάντες δυνατοὶ ποιοῦντες πόλεμον, καὶ ἤγαγεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος μετοικεσίαν εἰς Βαβυλῶνα.

Δ Βασ. 24,16 - Μετέφερεν επίσης όλους τους πολεμιστάς επτά χιλιάδας, τους ξυλουργούς και κλειθροποιούς χιλίους τον αριθμόν, όλους τους ικανούς προς πόλεμον ανθρώπους. Αυτούς ο βασιλεύς της Βαβυλώνος τους μετέφερε, δια να μετοικήσουν εις την Βαβυλώνα.

Δ Βασ. 24,17 - καὶ ἐβασίλευσε βασιλεὺς Βαβυλῶνος τὸν Ματθανίαν υἱὸν αὐτοῦ ἀντ᾿ αὐτοῦ καὶ ἐπέθηκε τὸ ὄνομα αὐτοῦ Σεδεκία.

Δ Βασ. 24,17 - Ανεβίβασε δε στον βασιλικόν θρόνον της Ιουδαίας αντί του Ιωαχίμ τον υιόν αυτού τον Ματθανίαν, τον οποίον μετωνόμασεν εις Σεδεκίαν.

Δ Βασ. 24,18 - Υἱὸς εἴκοσι καὶ ἑνὸς ἐνιαυτῶν Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀμιτὰλ θυγάτηρ Ἱερεμίου.

Δ Βασ. 24,18 - Ο Σεδεκίας, όταν ανήλθεν στον βασιλικόν θρόνον, ήτο είκοσι και ενός έτους. Εβασίλευσεν ένδεκα έτη εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Αμιτάλ, ήτο δε θυγάτηρ του Ιερεμίου.

Δ Βασ. 24,19 - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου κατὰ πάντα, ὅσα ἐποίησεν Ἰωακίμ·

Δ Βασ. 24,19 - Και αυτός διέπραξε πονηρά ενώπιον των οφθαλμών του Κυρίου, εξέκλινεν εις ασέβειαν και ειδωλολατρείαν, καθ' όλα όσα είχε κάμει ο Ιωακίμ.

Δ Βασ. 24,20 - ὅτι ἐπὶ τὸν θυμὸν Κυρίου ἦν ἐπὶ Ἱερουσαλὴμ καὶ ἐν τῷ Ἰούδᾳ, ἕως ἀπέῤῥιψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. καὶ ἠθέτησε Σεδεκίας ἐν τῷ βασιλεῖ Βαβυλῶνος.

Δ Βασ. 24,20 - Δι' αυτό και αι συνέπειαι της οργής του Κυρίου εναντίον της Ιερουσαλήμ και εναντίον του βασιλείου του Ιούδα συνεχίσθησαν, μέχρις ότου απέρριψεν ο Κυριος αυτούς εντελώς από το πρόσωπόν του. Ο δε βασιλεύς Σεδεκίας επανεστάτησεν εναντίον του βασιλέως της Βαβυλώνος.

Δ ΒΑΣΙΛΕΙΩΝ 25

Δ Βασ. 25,1 - Καὶ ἐγενήθη ἐν τῷ ἔτει τῷ ἐνάτῳ τῆς βασιλείας αὐτοῦ ἐν τῷ μηνὶ τῷ δεκάτῳ ἦλθε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἱερουσαλὴμ καὶ παρενέβαλεν ἐπ᾿ αὐτὴν καὶ ᾠκοδόμησεν ἐπ᾿ αὐτὴν περίτειχος κύκλῳ.

Δ Βασ. 25,1 - Αλλά κατά το ένατον έτος και κατά τον δέκατον μήνα της βασιλείας του Σεδεκίου επήλθεν ο βασιλεύς της Βαβυλώνος Ναβουχοδονόσορ με όλην αυτού την στρατιωτικήν δύναμιν εναντίον της Ιερουσαλήμ. Περιέκλεισεν αυτήν με τον στρατόν του και ήγειρε γύρω της οχυρωματικόν τείχος.

Δ Βασ. 25,2 - καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ ἕως τοῦ ἑνδεκάτου ἔτους τοῦ βασιλέως Σεδεκίου ἐνάτῃ τοῦ μηνὸς

Δ Βασ. 25,2 - Ετσι η πόλις είχε περικυκλωθή και πολιορκηθή μέχρι του ενδεκάτου έτους και του ενάτου μηνός της βασιλείας του Σεδεκίου.

Δ Βασ. 25,3 - καὶ ἐνίσχυσεν ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς.

Δ Βασ. 25,3 - Η πείνα εντός της πόλεως ήτο πολύ μεγάλη και πουθενά δεν υπήρχον άρτοι δια τον λαόν της πόλεως.

Δ Βασ. 25,4 - καὶ ἐῤῥάγη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου ἐξῆλθον νυκτὸς ὁδὸν πύλης τῆς ἀνὰ μέσον τῶν τειχῶν, αὕτη ἥ ἐστι τοῦ κήπου τοῦ βασιλέως, καὶ οἱ Χαλδαῖοι ἐπὶ τὴν πόλιν κύκλῳ. καὶ ἐπορεύθη ὁδὸν τὴν Ἄραβα,

Δ Βασ. 25,4 - Η πόλις έπαθε κάποιο ρήγμα στο τείχος και οι υπερασπισταί της οι πολεμούντες εντός αυτής άνδρες εβγήκαν μαζή με τον βασιλέα κατά το διάστημα της νυκτός δια της οδού, η οποία διήρχετο την πύλην, που ευρίσκετο μεταξύ των δύο τειχών και πλησίον στον κήπον του βασιλέως, καθ' ον χρόνον οι Χαλδαίοι ευρίσκοντο γύρω από την πόλιν. Οι διαφυγόντες ηκολούθησαν την οδόν, η οποία ωδηγούσε εις την κοιλάδα του Ιορδάνου.

Δ Βασ. 25,5 - καὶ ἐδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως καὶ κατέλαβον αὐτὸν ἐν Ἀραβὼθ Ἱεριχώ, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ διεσπάρη ἐπάνωθεν αὐτοῦ.

Δ Βασ. 25,5 - Ο στρατός όμως των Χαλδαίων τους αντελήφθη και κατεδίωξεν όπισθεν του βασιλέως Σεδεκίου και κατέφθασαν αυτόν εις την

κοιλάδα της Ιεριχούς. Ολη τότε η περί τον Σεδεκίαν στρατιωτική δύναμις διεσκορπίσθη μακράν από αυτόν.

Δ Βασ. 25,6 - καὶ συνέλαβον τὸν βασιλέα καὶ ἤγαγον αὐτὸν πρὸς βασιλέα Βαβυλῶνος εἰς Δεβλαθά, καὶ ἐλάλησε μετ᾿ αὐτοῦ κρίσιν·

Δ Βασ. 25,6 - Οι Χαλδαίοι συνέλαβον τον βασιλέα, τον έφεραν προς τον βασιλέα της Βαβυλώνος εις Δεβλαθά, ο οποίος εξέδωκεν εκεί την καταδίκην του.

Δ Βασ. 25,7 - καὶ τοὺς υἱοὺς Σεδεκίου ἔσφαξε κατ᾿ ὀφθαλμοὺς αὐτοῦ, καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε καὶ ἔδησεν αὐτὸν ἐν πέδαις καὶ ἤγαγεν εἰς Βαβυλῶνα.

Δ Βασ. 25,7 - Εσφαξε τους υιούς του Σεδεκίου εμπρός εις τα μάτια του πατέρα των, έβγαλεν αυτού τα μάτια, τον έδεσε με αλυσίδας και τον έστειλεν εις την Βαβυλώνα.

Δ Βασ. 25,8 - Καὶ ἐν τῷ μηνὶ τῷ πέμπτῳ ἑβδόμῃ τοῦ μηνὸς (αὐτὸς ἐνιαυτὸς ἐννεακαιδέκατος τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος) ἦλθε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος ἑστὼς ἐνώπιον βασιλέως Βαβυλῶνος εἰς Ἱερουσαλήμ.

Δ Βασ. 25,8 - Κατά δε τον πέμπτον μήνα και την εβδόμην ημέραν του μηνός αυτού (αυτό είναι το δέκατον ένατον έτος της βασιλείας του Ναβουχοδονόσορος, βασιλέως της Βαβυλώνος) ήλθεν εις την Ιερουσαλήμ ο Ναβουζαρδάν, ο αρχιμάγειρας του Ναβουχοδονόσορος, άνθρωπος του στενού του περιβάλλοντος.

Δ Βασ. 25,9 - καὶ ἐνέπρησε τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάντας τοὺς οἴκους Ἱερουσαλήμ, καὶ πᾶν οἶκον ἐνέπρησεν ὁ ἀρχιμάγειρος.

Δ Βασ. 25,9 - Αυτός παρέδωκεν στο πυρ τον ναόν του Κυρίου, τον βασιλικόν οίκον και όλους τους οίκους της Ιερουσαλήμ, κάθε σπίτι το παρέδωσεν στο πυρ.

Δ Βασ. 25,10 - καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κυκλόθεν κατέσπασεν ἡ δύναμις τῶν Χαλδαίων.

Δ Βασ. 25,10 - Ο δε στρατός των Χαλδαίων εκρήμνισε το τείχος, το οποίον ευρίσκετο γύρω από την Ιερουσαλήμ.

Δ Βασ. 25,11 - καὶ τὸ περισσὸν τοῦ λαοῦ τὸ καταλειφθὲν ἐν τῇ πόλει καὶ τοὺς ἐμπεπτωκότας, οἳ ἐνέπεσον πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ τὸ λοιπὸν τοῦ στηρίγματος μετῆρε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος.

Δ Βασ. 25,11 - Τον υπόλοιπον λαόν, ο οποίος είχεν απομείνει εις την πόλιν, και εκείνους οι οποίοι είχαν φύγει από αυτήν, όλους αυτούς που έπεσαν εις τα χέρια του βασιλέως της Βαβυλώνος και όλον τον λαόν παρέλαβεν ο αρχιμάγειρας Ναβουζαρδάν.

Δ Βασ. 25,12 - καὶ ἀπὸ τῶν πτωχῶν τῆς γῆς ὑπέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς καὶ εἰς γαβίν.

Δ Βασ. 25,12 - Αφήκεν όμως μερικούς από τους πτωχούς της χώρας, τους αμπελουργούς και τους γεωργούς.

Δ Βασ. 25,13 - καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ Κυρίου καὶ τὰς μεχωνὼθ καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ Κυρίου συνέτριψαν οἱ Χαλδαῖοι. καὶ ἦραν τὸν χαλκὸν αὐτῶν εἰς Βαβυλῶνα.

Δ Βασ. 25,13 - Επήρεν επίσης τους χαλκούς στύλους, οι οποίοι ευρίσκοντο στον ναόν του Κυρίου, τους κινητούς λουτήρας, την χαλκίνην θάλασσαν, που ήτο στον ναόν του Κυρίου. Ολα αυτά οι Χαλδαίοι τα συνέτριψαν και μετέφεραν τον χαλκόν αυτόν εις την Βαβυλώνα.

Δ Βασ. 25,14 - καὶ τοὺς λέβητας καὶ τὰ ἰαμὶν καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς, ἔλαβε·

Δ Βασ. 25,14 - Οι Χαλδαίοι επίσης επήραν και τους λέβητας, τα φτυάρια, τας φιάλας, τα θυμιατήρια και όλα τα ιερά χάλκινα σκεύη, δια των οποίων οι Λευίται ετέλουν τα της υπηρεσίας των στον ναόν.

Δ Βασ. 25,15 - καὶ τὰ πυρεῖα καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχιμάγειρος,

Δ Βασ. 25,15 - Ο αρχιμάγειρος αυτός επήρεν επίσης τα πυροδοχεία, τας χρυσάς και αργυράς φιάλας,

Δ Βασ. 25,16 - στύλους δύο καὶ τὴν θάλασσαν μίαν καὶ τὰς μεχωνώθ, ἃς ἐποίησε Σαλωμὼν τῷ οἴκῳ Κυρίου· οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ πάντων τῶν σκευῶν.

Δ Βασ. 25,16 - επήρε τους δύο στύλους, την θάλασσαν, τους κινητούς λουτήρας, αυτά τα οποία είχε κατασκευάσει ο Σολομών δια τον ναόν του Κυρίου. Ητο δε τόσον πολύς ο λαφυραγωγηθείς χαλκός, ώστε δεν ήτο δυνατόν να υπολογισθή το βάρος του.

Δ Βασ. 25,17 - ὀκτωκαίδεκα πήχεων ὕψος τοῦ στύλου τοῦ ἑνός, καὶ τὸ χωθὰρ ἐπ᾿ αὐτοῦ τὸ χαλκοῦν, καὶ τὸ ὕψος τοῦ χωθὰρ τριῶν πήχεων, σαβαχὰ καὶ ῥοαὶ ἐπὶ τῷ χωθὰρ κύκλῳ, τὰ πάντα χαλκᾶ· καὶ κατὰ τὰ αὐτὰ τῷ στύλῳ τῷ δευτέρῳ ἐπὶ τῶ σαβαχά.

Δ Βασ. 25,17 - Καθε στύλος ήτο δεκαοκτώ εβραϊκών πήχεων ύψους. Επάνω στον στύλον υπήρχε χάλκινον κιονόκρανον. Το ύψος του κιονοκράνου ήτο τρεις πήχεις, γύρω δε από το κιονόκρανον υπήρχον δικτυωτά και ομοιώματα καρπών ροδιάς. Ολα δε αυτά χάλκινα. Τα ίδια ήσαν και δια τον δεύτερον στύλον.

Δ Βασ. 25,18 - καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος τὸν Σαραίαν ἱερέα τὸν πρῶτον καὶ τὸν Σοφονίαν υἱὸν τῆς δευτερώσεως καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν σταθμὸν

Δ Βασ. 25,18 - Ο αρχιμάγειρος επήρε τον αρχιερέα Σαραίαν και τον Σοφονίαν, ιερέα δευτέρας σειράς, και τους τρεις άνδρας, οι οποίοι εφύλασσαν την πύλην του ναού.

Δ Βασ. 25,19 - καὶ ἐκ τῆς πόλεως ἔλαβον εὐνοῦχον ἕνα, ὃς ἦν ἐπιστάτης τῶν ἀνδρῶν τῶν πολεμιστῶν, καὶ πέντε ἄνδρας τῶν ὁρώντων τὸ πρόσωπον τοῦ βασιλέως τοὺς εὑρεθέντας ἐν τῇ πόλει καὶ τὸν γραμματέα τοῦ ἄρχοντος τῆς δυνάμεως τὸν ἐκτάσσοντα τὸν λαὸν τῆς γῆς καὶ ἑξήκοντα ἄνδρας τοῦ λαοῦ τῆς γῆς τοὺς εὑρεθέντας ἐν τῇ πόλει.

Δ Βασ. 25,19 - Οι Χαλδαίοι συνέλαβον από την πόλιν Ιερουσαλήμ τον αξιωματικόν της αυλής, ο οποίος ήτο αρχηγός των μαχίμων ανδρών, άλλους πέντε άνδρας που αποτελούσαν το στενόν εμπιστευτικόν περιβάλλον του βασιλέως, οι οποίοι ευρέθησαν εντός της πόλεως, και τον γραμματέα του αρχηγού της στρατιωτικής δυνάμεως, ο οποίος είχεν ως έργον του να στρατολογή εκ των κατοίκων της χώρας, και άλλους εξήκοντα άνδρας από τον λαόν της χώρας, οι οποίοι είχαν ευρεθή εις την πόλιν.

Δ Βασ. 25,20 - καὶ ἔλαβεν αὐτοὺς Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, καὶ ἤγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα Βαβυλῶνος εἰς Δεβλαθά.

Δ Βασ. 25,20 - Ο Ναβουζαρδάν ο αρχιμάγειρος επήρεν όλους αυτούς και τους έφερε προς τον βασιλέα της Βαβυλώνος ο οποίος ευρίσκετο εις Δεβλαθά.

Δ Βασ. 25,21 - καὶ ἔπαισεν αὐτοὺς ὁ βασιλεὺς Βαβυλῶνος καὶ ἐθανάτωσεν αὐτοὺς εἰς Δεβλαθὰ ἐν γῇ Αἱμάθ. καὶ ἀπῳκίσθη Ἰούδας ἐπάνωθεν τῆς γῆς αὐτοῦ.

Δ Βασ. 25,21 - Ο βασιλεύς της Βαβυλώνος εφόνευσεν αυτούς εις την Δεβλαθά πόλιν, η οποία ευρίσκετο εις την χώραν Αιμάθ. Ο δε ιουδαϊκός λαός μετεφέρθη αιχμάλωτος από την γην αυτού, δια να εγκατασταθή εις την ξένην γην.

Δ Βασ. 25,22 - Καὶ ὁ λαὸς ὁ καταλειφθεὶς ἐν τῇ γῇ Ἰούδα, οὓς κατέλιπε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ κατέστησεν ἐπ᾿ αὐτῶν τὸν Γοδολίαν υἱὸν Ἀχικὰμ υἱοῦ Σαφάν.

Δ Βασ. 25,22 - Εις την περιοχήν της Ιουδαίας έμεινε μόνον ο λαός, τον οποίον είχεν αφήσει ο Ναβουχοδονόσορ βασιλεύς της Βαβυλώνος. Επί του λαού αυτού ο βασιλεύς της Βαβυλώνος εγκατέστησεν ως διοικητήν τον Γοδολίαν, υιόν του Αχικάμ υιού του Σαφάν.

Δ Βασ. 25,23 - καὶ ἤκουσαν πάντες οἱ ἄρχοντες τῆς δυνάμεως, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν, ὅτι κατέστησε βασιλεὺς Βαβυλῶνος τὸν Γοδολίαν, καὶ ἦλθον πρὸς Γοδολίαν εἰς Μασσηφάθ, καὶ Ἰσμαὴλ υἱὸς Ναθανίου καὶ Ἰωανὰν υἱὸς Καρὴθ καὶ Σαραίας υἱὸς Θαναμὰθ ὁ Νετωφαθίτης καὶ Ἰεζονίας υἱὸς τοῦ Μαχαθί, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν.

Δ Βασ. 25,23 - Ολοι οι αξιωματικοί του ιουδαϊκού στρατού, που είχον διαφύγει την αιχμαλωσίαν, επληροφορήθησαν αυτοί και οι άνδρες των ότι ο βασιλεύς της Βαβυλώνος είχεν εγκαταστήσει ως διοικητήν τον Γοδολίαν. Προς τον Γοδολίαν αυτόν, που έμενεν εις Μασσηφάθ, ήλθαν ο Ισμαήλ ο υιός του Ναθανίου, ο Ιωανάν ο υιός του Καρήθ, ο Σαραίας ο υιός του Θαναμάθ, ο οποίος κατήγετο από Νετωφάθ, και ο Ιεζονίας, ο οποίος ανήκεν εις την φυλήν Μαχαθί. Ηλθαν οι αξιωματικοί αυτοί προς τον Γοδολίαν μαζή με τους άνδρας των.

Δ Βασ. 25,24 - καὶ ὤμοσε Γοδολίας αὐτοῖς καὶ τοῖς ἀνδράσιν αὐτῶν καὶ εἶπεν αὐτοῖς· μὴ φοβεῖσθε πάροδον τῶν Χαλδαίων· καθίσατε ἐν τῇ γῇ καὶ δουλεύσατε τῷ βασιλεῖ Βαβυλῶνος, καὶ καλῶς ἔσται ὑμῖν.

Δ Βασ. 25,24 - Ο Γοδολίας ωρκίσθη εις αυτούς και στους άνδρας των, τους εβεβαίωσε και τους, είπε· “μη φοβείσθε επιδρομήν και βλάβην εκ μέρους των Χαλδαίων. Παραμείνατε εις την χώραν αυτήν, υπηρετήσατε τον βασιλέα της Βαβυλώνος και τα πάντα δια σας θα έχουν καλώς”.

Δ Βασ. 25,25 - καὶ ἐγενήθη ἐν τῷ ἑβδόμῳ μηνὶ ἦλθεν Ἰσμαὴλ υἱὸς Ναθανίου υἱοῦ Ἑλισαμὰ ἐκ τοῦ σπέρματος τῶν βασιλέων καὶ δέκα ἄνδρες μετ᾿ αὐτοῦ· καὶ ἐπάταξε τὸν Γοδολίαν, καὶ ἀπέθανε, καὶ τοὺς Ἰουδαίους καὶ τοὺς Χαλδαίους, οἳ ἦσαν μετ᾿ αὐτοῦ ἐν Μασσηφάθ.

Δ Βασ. 25,25 - Κατά τον έβδομον όμως μήνα ο Ισμαήλ, υιός του Ναθανίου υιού του Ελισαμά, ο οποίος κατήγετο από βασιλικόν γένος, ήλθε μαζή με δέκα άνδρας του, εκτύπησε τον Γοδολίαν και εφόνευσεν αυτόν και τους Ιουδαίους και τους Χαλδαίους, οι οποίοι ευρίσκοντο μαζή του εις Μασσηράθ.

Δ Βασ. 25,26 - καὶ ἀνέστη πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου καὶ οἱ ἄρχοντες τῶν δυνάμεων καὶ εἰσῆλθον εἰς Αἴγυπτον, ὅτι ἐφοβήθησαν ἀπὸ προσώπου τῶν Χαλδαίων.

Δ Βασ. 25,26 - Τοτε όλος ο λαός από μικρόν έως μεγάλον εσηκώθησαν και οι άρχοντες του ιουδαϊκού στρατού και εισήλθον εις την Αίγυπτον, διότι εφοβήθησαν αντίποινα εκ μέρους των Χαλδαίων.

Δ Βασ. 25,27 - Καὶ ἐγενήθη ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῆς ἀποικίας τοῦ Ἰωαχὶμ βασιλέως Ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς ὕψωσεν Εὐιαλμαρωδὰχ βασιλεὺς Βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ τῆς βασιλείας αὐτοῦ τὴν κεφαλὴν Ἰωαχὶμ τοῦ βασιλέως Ἰούδα καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἴκου φυλακῆς αὐτοῦ.

Δ Βασ. 25,27 - Κατά το τριακοστόν έβδομον έτος της αιχμαλωσίας και αποικίσεως του Ιωαχίμ, βασιλέως του Ιούδα, κατά τον δωδέκατον μήνα και την εικοστήν εβδόμην του μηνός ο Ευϊαλμαρωδάχ, ο βασιλεύς της Βαβυλώνος απέδωσε κατά το πρώτον έτος της βασιλείας του την πρέπουσαν τιμήν στον Ιωαχίμ, τον βασιλέα του Ιούδα, και εξήγαγεν αυτόν από την φυλακήν.

Δ Βασ. 25,28 - καὶ ἐλάλησε μετ᾿ αὐτοῦ ἀγαθὰ καὶ ἔδωκε τὸν θρόνον αὐτοῦ ἐπάνωθεν τῶν θρόνων τῶν βασιλέων τῶν μετ᾿ αὐτοῦ ἐν Βαβυλῶνι,

Δ Βασ. 25,28 - Συνωμίλησε προς αυτόν με πολλήν την ευμένειαν και απέδωσε προς αυτόν, ως προς βασιλέα, τιμήν μεγαλυτέραν από εκείνην, που είχαν οι συναιχμάλωτοί του βασιλείς, οι οποίοι ευρίσκοντο εις την Βαβυλώνα·

Δ Βασ. 25,29 - καὶ ἠλλοίωσε τὰ ἱμάτια τῆς φυλακῆς αὐτοῦ καὶ ἤσθιεν ἄρτον διαπαντὸς ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ·

Δ Βασ. 25,29 - Ηλλαξε τα ιμάτια ταις φυλακής του με άλλα λαμπρότερα και τον εκάλεσε να τρώγη εις την βασιλικήν τράπεζαν του βασιλέως της Βαβυλώνος όλας τας ημέρας της ζωής του.

Δ Βασ. 25,30 - καὶ ἡ ἑστιατορία αὐτοῦ ἑστιατορία διαπαντὸς ἐδόθη αὐτῷ ἐξ οἴκου τοῦ βασιλέως λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Δ Βασ. 25,30 - Η βασιλική διατροφή του Ιωαχίμ ήτο συνεχής και προήρχετο από τον βασιλικόν οίκον, από όπου του εδίδετο κάθε πράγμα την μίαν ημέραν κατόπιν της άλλης καθ' όλας τας ημέρας της ζωής του.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α' (Χρονικών Α')

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 1

Α Παραλ. 1,1 - Ἀδάμ, Σήθ, Ἐνώς,
Α Παραλ. 1,1 - Ο Αδάμ, ο Σηθ, ο Ενώς,
Α Παραλ. 1,2 - Καϊνᾶν, Μαλελεήλ, Ἰάρεδ,
Α Παραλ. 1,2 - ο Καϊνάν, ο Μαλελεήλ, ο Ιάρεδ,
Α Παραλ. 1,3 - Ἐνώχ, Μαθουσάλα, Λάμεχ,
Α Παραλ. 1,3 - ο Ενώχ, ο Μαθουσάλα, ο Λαμεχ,
Α Παραλ. 1,4 - Νῶε. υἱοὶ Νῶε· Σήμ, Χάμ, Ἰάφεθ.
Α Παραλ. 1,4 - ο Νώε, οι υιοί του Νώε, ο Σημ, ο Χαμ και ο Ιάφεθ.
Α Παραλ. 1,5 - υἱοὶ Ἰάφεθ· Γαμέρ, Μαγώγ, Μαδαΐμ, Ἰωϋάν, Ἑλισά, Θοβέλ, Μοσὸχ καὶ Θίρας.
Α Παραλ. 1,5 - Οι υιοί του Ιάφεθ ήσαν· ο Γαμέρ, ο Μαγώγ, ο Μαδαΐμ, ο Ιωϋάν, ο Ελισά, ο Θοβέλ, ο Μοσόχ και ο Θιρας.
Α Παραλ. 1,6 - καὶ οἱ υἱοὶ Γαμέρ· Ἀσχανὰζ καὶ Ῥιφὰθ καὶ Θοργαμά.
Α Παραλ. 1,6 - Οι υιοι του Γαμέρ ήσαν· ο Ασχανάζ, ο Ριφάθ και ο Θοργαμά.
Α Παραλ. 1,7 - καὶ οἱ υἱοὶ Ἰωϋάν· Ἑλισὰ καὶ Θαρσίς, Κίτιοι καὶ Ῥόδιοι.
Α Παραλ. 1,7 - Οι υιοί του Ιωϋάν ήσαν· ο Ελισά, ο Θαρσίς, οι Κιτιοι και οι Ροδιοι.
Α Παραλ. 1,8 - καὶ οἱ υἱοὶ Χάμ· Χοὺς καὶ Μεσραΐμ, Φούδ, καὶ Χαναάν.
Α Παραλ. 1,8 - Οι υιοί του Χαμ ήσαν· ο Χούς, ο Μεσραΐμ, ο Φουδ και ο Χαναάν.
Α Παραλ. 1,9 - καὶ υἱοὶ Χούς· Σαβὰ καὶ Εὐιλὰ καὶ Σαβαθὰ καὶ Ῥεγμά, καὶ Σεβεθαχά. καὶ υἱοὶ Ῥεγμά· Σαβὰ καὶ Δαδάν.
Α Παραλ. 1,9 - Οι υιοί του Χους ήσαν· ο Σαβά, ο Ευιλά, ο Σαβαθα, ο Ρεγμά και ο Σεβεθαχά. Οι υιοί του Ρεγμά ήσαν· ο Σαβά και ο Δαδάν.
Α Παραλ. 1,10 - καὶ Χοὺς ἐγέννησε τὸν Νεβρώδ· οὗτος ἤρξατο εἶναι γίγας κυνηγὸς ἐπὶ τῆς γῆς.
Α Παραλ. 1,10 - Ο Χους εγέννησε τον Νεδρώδ. Αυτός υπήρξε γίγας ονομαστός κυνηγός εις την χώραν του.
Α Παραλ. 1,11 - [Καὶ Μεσραΐμ ἐγέννησε τοὺς Λωδιεὶμ καὶ τοὺς Ἀναμιεὶμ καὶ τοὺς Λαβεὶν καὶ τοὺς Νεφθαλὶμ
Α Παραλ. 1,11 - Ο Μεσραΐμ εγέννησε τους Λωδιείμ, τους Αναμιείμ, τους Λαβείν και τους Νεφθαλίμ,
Α Παραλ. 1,12 - καὶ τοὺς Πατροσωνιεὶμ καὶ τοὺς Χασλωνιείμ, ὅθεν ἐξῆλθεν ἐκεῖθεν Φυλιστιείμ, καὶ τοὺς Χαφοριεὶμ

Α Παραλ. 1,12 - τους Πατροσωνιείμ, τους Χασλωνιείμ, από αυτούς δε προήλθον οι Φιλισταίοι, και τους Χαφοριείμ.

Α Παραλ. 1,13 - καὶ Χαναὰν ἐγέννησε τὸν Σιδῶνα πρωτότοκον καὶ τὸν Χετταῖον

Α Παραλ. 1,13 - Ο Χαναάν εγέννησε τον πρωτοτόκον υιόν του, τον Σιδώνα, και τον Χετταίον,

Α Παραλ. 1,14 - καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν Ἀμοῤῥαῖον καὶ τὸν Γεργεσαῖον

Α Παραλ. 1,14 - τον Ιεβουσαίον, τον Αμορραίον και τον Γεργεσαίον,

Α Παραλ. 1,15 - καὶ τὸν Εὐαῖον καὶ τὸν Ἀρουκαῖον καὶ τὸν Ἀσενναῖον

Α Παραλ. 1,15 - τον Ευαίον, τον Αρουκαίον, τον Ασενναίον,

Α Παραλ. 1,16 - καὶ τὸν Ἀράδιον καὶ τὸν Σαμαραῖον καὶ τὸν Ἀμαθί.]

Α Παραλ. 1,16 - τον Αράδιον, τον Σαμαραίον και τον Αμαθί.

Α Παραλ. 1,17 - υἱοὶ Σήμ· Αἰλὰμ καὶ Ἀσσοὺδ καὶ Ἀρφαξάδ.

Α Παραλ. 1,17 - Οι υιοί του Σημ ήσαν· ο Αιλάμ, ο Ασσούδ και ο Αρφαξάδ.

Α Παραλ. 1,18 - [Καὶ Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνᾶν, καὶ Καϊνᾶν ἐγέννησε τὸν Σαλά, καὶ Σαλὰ ἐγέννησε τὸν Ἐβέρ,

Α Παραλ. 1,18 - Ο Αρφαξάδ εγέννησε τον Καϊνάν, ο Καϊνάν εγέννησε τον Σαλά και ο Σαλά εγέννησε τον Εβέρ.

Α Παραλ. 1,19 - καὶ τῷ Ἐβὲρ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑνὶ Φαλέκ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ, καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰεκτάν.

Α Παραλ. 1,19 - Ο Εβέρ απέκτησε δύο υιούς· ο πρώτος ωνομάζετο Φαλέκ· του εδόθη δε αυτό το όνομα, διότι επί των ημερών του εχωρίσθησαν οι άνθρωποι μεταξύ των και διεσκορπίσθησαν. Ο δε αδελφός του ωνομάσθη Ιεκτάν.

Α Παραλ. 1,20 - καὶ Ἰεκτὰν ἐγέννησε τὸν Ἐλμωδὰδ καὶ τὸν Σαλὲφ καὶ τὸν Ἀραμὼθ

Α Παραλ. 1,20 - Ο Ιεκτάν εγέννησε τον Ελμωδάδ, τον Σαλέφ και τον Αραμώθ,

Α Παραλ. 1,21 - καὶ τὸν Κεδουρὰν καὶ τὸν Αἰγὴν καὶ τὸν Δεκλὰμ

Α Παραλ. 1,21 - τον Κεδουράν, τον Αιγήν, τον Δεκλάμ,

Α Παραλ. 1,22 - καὶ τὸν Γεμιὰν καὶ τὸν Ἀβιμέκλ καὶ τὸν Σαβὰν

Α Παραλ. 1,22 - τον Γεμιάν, τον Αβιμέκλ και τον Σαβάν,

Α Παραλ. 1,23 - καὶ τὸν Οὐφεὶρ καὶ τὸν Εὐὶ καὶ τὸν Ὠράμ· πάντες οὗτοι υἱοὶ Ἰεκτάν.

Α Παραλ. 1,23 - και τον Ουφείρ, τον Ευί και τον Ωράμ. Ολοι αυτοί ήσαν παιδιά του Ιεκτάν.

Α Παραλ. 1,24 - υἱοὶ Σήμ· Αἰλὰμ καὶ Ἀσοὺρ καὶ Ἀρφαξάδ.]

Α Παραλ. 1,24 - Οι υιοί δε και απόγονοι του Σημ ήσαν ο Αιλάμ, ο Ασούρ, ο Αρφαξάδ, ο Σαλά,
Α Παραλ. 1,24 - Σαλά,
Α Παραλ. 1,24 - Σαλά,
Α Παραλ. 1,25 - Ἔβερ, Φαλέγ, Ῥαγαῦ,
Α Παραλ. 1,25 - ο Εβερ, ο Φαλέγ, ο Ραγαύ,
Α Παραλ. 1,26 - Σερούχ, Νεχώρ, Θάρα,
Α Παραλ. 1,26 - ο Σερούχ, ο Ναχώρ, ο Θαρα
Α Παραλ. 1,27 - Ἀβραάμ.
Α Παραλ. 1,27 - και ο Αβραάμ.
Α Παραλ. 1,28 - υἱοὶ δὲ Ἀβραάμ· Ἰσαὰκ καὶ Ἰσμαήλ.
Α Παραλ. 1,28 - Οι υιοί δε του Αβραάμ ήσαν ο Ισαάκ και ο Ισμαήλ.
Α Παραλ. 1,29 - αὗται δὲ αἱ γενέσεις πρωτοτόκου Ἰσμαήλ· Ναβαιὼθ καὶ Κηδάρ, Ναβδεήλ, Μαβσάμ,
Α Παραλ. 1,29 - Οι απόγονοι του πρωτοτόκου υιού του Αβραάμ του Ισμαήλ ήσαν ο Ναβαιώθ, ο Κηδάρ, ο Ναβδεήλ, ο Μαβσάμ,
Α Παραλ. 1,30 - Μασμά, Ἰδουμά, Μασσῆ, Χονδάν, Θαιμάν,
Α Παραλ. 1,30 - ο Μασμά, ο Ιδουμά, ο Μασσή, ο Χονδάν, ο Θαιμάν,
Α Παραλ. 1,31 - Ἰεττούρ, Ναφὲς καὶ Κεδμά. οὗτοί εἰσιν υἱοὶ Ἰσμαήλ.
Α Παραλ. 1,31 - ο Ιεττούρ, ο Ναφές και ο Κεδμά. Αυτοί είναι απόγονοι του Ισμαήλ.
Α Παραλ. 1,32 - καὶ υἱοὶ Χεττούρας παλλακῆς Ἀβραάμ· καὶ ἔτεκεν αὐτῷ τὸν Ζεμβράμ, Ἰεξάν, Μαδιάμ, Μαδάμ, Σοβάκ, Σωέ. καὶ υἱοὶ Ἰεξάν· Δαιδὰν καὶ Σαβά.
Α Παραλ. 1,32 - Οι υιοί δε της Χεττούρας, συζύγου δευτέρας σειράς του Αβραάμ, τους οποίους αυτή εγέννησε με τον Αβραάμ ήσαν ο Ζεμβράμ, ο Ιεξάν, ο Μαδιάμ, ο Μαδάμ, ο Σοβάκ και ο Σωέ. Οι υιοί δε του Ιεξάν ήσαν ο Δαιδάν και ο Σαβά.
Α Παραλ. 1,33 - καὶ υἱοὶ Μαδιάμ· Γαιφὰρ καὶ Ὀφὲρ καὶ Ἐνὼχ καὶ Ἀβιδὰ καὶ Ἐλλαδά. πάντες οὗτοι υἱοὶ Χεττούρας.
Α Παραλ. 1,33 - Οι υιοί δε του Μαδιάμ ήσαν ο Γαιφάρ, ο Οφέρ, ο Ενώχ, ο Αβιδά και ο Ελλαδά. Ολοι αυτοί ήσαν υιοί και απόγονοι της Χεττούρας.
Α Παραλ. 1,34 - καὶ ἐγέννησεν Ἀβραὰμ τὸν Ἰσαάκ. καὶ υἱοὶ Ἰσαάκ· Ἰακὼβ καὶ Ἡσαῦ.
Α Παραλ. 1,34 - Ο Αβραάμ εγέννησε τον Ισαάκ, οι υιοί δε του Ισαάκ ήσαν ο Ιακώβ, και ο Ησαύ.
Α Παραλ. 1,35 - υἱοὶ Ἡσαῦ· Ἐλιφὰζ καὶ Ῥαγουὴλ καὶ Ἰεοὺλ καὶ Ἰεγλὸμ καὶ Κορέ.
Α Παραλ. 1,35 - Οι υιοί του Ησαύ ήσαν ο Ελιφάζ, ο Ραγουήλ, ο Ιεούλ, ο Ιεγλόμ και ο Κορέ.

Α Παραλ. 1,36 - υἱοὶ Ἐλιφάζ· Θαιμὰν καὶ Ὠμάρ, Σωφὰρ καὶ Γοωθὰμ καὶ Κενὲζ καὶ τῆς Θαμνὰ Ἀμαλήκ.

Α Παραλ. 1,36 - Οι υιοί δε του Ελιφάζ ήσαν ο Θαιμάν, ο Ωμάρ, ο Σωφάρ, ο Γοωθάμ, ο Κενέζ και εκ της Θαμνά, συζύγου του δευτέρας σειράς, ο Αμαλήκ.

Α Παραλ. 1,37 - καὶ υἱοὶ Ῥαγουήλ· Ναχές, Ζαρέ, Σομὲ καὶ Μοζέ.

Α Παραλ. 1,37 - Οι υιοί του Ραγουήλ ήσαν ο Ναχές, ο Ζαρέ, ο Σομέ και ο Μοζέ.

Α Παραλ. 1,38 - υἱοὶ Σηΐρ· Λωτάν, Σωβάλ, Σεβεγών, Ἀνά, Δησών, Ὠσὰρ καὶ Λισάν.

Α Παραλ. 1,38 - Οι υιοί του Σηΐρ ήσαν ο Λωτάν, ο Σωβάλ, ο Σεβεγών, ο Ανά, ο Δησών, ο Ωσάρ και ο Λισάν.

Α Παραλ. 1,39 - καὶ υἱοὶ Λωτάν· Χορῤῥὶ καὶ Αἱμάν, ἀδελφὴ δὲ Λωτὰν Θαμνά.

Α Παραλ. 1,39 - Οι υιοί του Λωτάν ήσαν ο Χορρί και ο Αιμάν. Αδελφή δε του Λωτάν ήτο η Θαμνά.

Α Παραλ. 1,40 - υἱοὶ Σωβάλ· Γωλάμ, Μαναχάθ, Γαιβήλ, Σὼβ καὶ Ὠνάν. υἱοὶ δὲ Σεβεγών· Ἀϊὰ καὶ Ἀνά.

Α Παραλ. 1,40 - Υιοί του Σωβάλ ήσαν ο Γωλάμ, ο Μαναχάθ, ο Γαιβήλ, ο Σωβ, και ο Ωνάν. Υιοί δε του Σεβεγών ήσαν ο Αϊά και ο Ανά.

Α Παραλ. 1,41 - υἱοὶ Ἀνά· Δαισών. υἱοὶ δὲ Δαισών· Ἐμερὼν καὶ Ἐσεβὰν καὶ Ἰεθρὰν καὶ Χαῤῥάν.

Α Παραλ. 1,41 - Υιός δε του Ανά ήτο εις, ο Δαισών. Υιοί δε του Δαισών ήσαν ο Εμερών, ο Εσεβάν, ο Ιεθράν και ο Χαρράν.

Α Παραλ. 1,42 - καὶ υἱοὶ Ὠσάρ· Βαλαὰμ καὶ Ζουκὰμ καὶ Ἰωκάν. υἱοὶ Δαισάν· Ὢς καὶ Ἀράν.

Α Παραλ. 1,42 - Υιοί δε του Ωσάρ ήσαν ο Βαλαάμ, ο Ζουκάμ και ο Ιωκάν. Υιοί του Δαισάν ήσαν ο Ως και ο Αράν.

Α Παραλ. 1,43 - καὶ οὗτοι οἱ βασιλεῖς αὐτῶν· Βαλὰκ υἱὸς Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά.

Α Παραλ. 1,43 - Οι δε βασιλείς αυτών, των Ιδουμαίων, ήσαν ο Βαλάκ, ο υιός του Βεώρ. Η πόλις δέ, όπου αυτός κατοικούσεν, ωνομάζετο Δενναβά.

Α Παραλ. 1,44 - καὶ ἀπέθανε Βαλάκ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἰωβὰβ υἱὸς Ζαρὰ ἐκ Βοσόῤῥας.

Α Παραλ. 1,44 - Ο Βαλάκ απέθανε και αντ' αυτού έγινε βασιλεύς ο υιός του ο Ιωβάβ, ο οποίος ήτο υιός του Ζαρά εκ της Βοσόρρας.

Α Παραλ. 1,45 - καὶ ἀπέθανεν Ἰωβάβ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἀσὸμ ἐκ γῆς Θαιμανών.

Α Παραλ. 1,45 - Ο Ιωβάβ απέθανε και αντ' αυτού έγινε βασιλεύς ο Ασόμ, ο οποίος κατήγετο από την χώραν Θαιμανών.

Α Παραλ. 1,46 - καὶ ἀπέθανεν Ἀσόμ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἀδὰδ υἱὸς Βαρὰδ ὁ πατάξας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθθαίμ.

Α Παραλ. 1,46 - Ο Ασόμ απέθανε και αντ' αυτού έγινε βασιλεύς ο Αδάδ, ο υιός του Βαράδ, ο οποίος είχε πολεμήσει και κτυπήσει τους Μαδιανίτας εις την πεδιάδα της Μωάβ. Η πόλις δέ, όπου αυτός έμενεν ωνομάζετο Γεθθαίμ.

Α Παραλ. 1,47 - καὶ ἀπέθανεν Ἀδάδ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Σεβλὰ ἐκ Μασεκκᾶς.

Α Παραλ. 1,47 - Ο Αδάδ απέθανε και αντ' αυτού έγινε βασιλεύς ο Σεβλά, ο οποίος κατήγετο από την Μασεκκά.

Α Παραλ. 1,48 - καὶ ἀπέθανε Σεβλά, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Σαοὺλ ἐκ Ῥοωβὼθ τῆς παρὰ ποταμόν.

Α Παραλ. 1,48 - Μετά τον θάνατον του Σεβλά έγινε βασιλεύς αντ' αυτού ο Σαούλ, ο οποίος κατήγετο από την πόλιν Ροωβώθ, την κειμένην πλησίον ενός ποταμού.

Α Παραλ. 1,49 - καὶ ἀπέθανε Σαούλ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Βαλαεννὼρ υἱὸς Ἀχοβώρ.

Α Παραλ. 1,49 - Ο Σαούλ απέθανε και αντ' αυτού βασιλεύς έγινεν ο Βαλαεννώρ ο υιός του Αχοβώρ.

Α Παραλ. 1,50 - καὶ ἀπέθανε Βαλαεννώρ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἀδὰδ υἱὸς Βαράδ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φογώρ.

Α Παραλ. 1,50 - Ο Βαλαεννώρ απέθανε και εβασίλευσεν αντ' αυτού ο Αδάδ, ο υιός του Βαράδ. Η δε πόλις, εις την οποίαν αυτός κατοικούσε, ωνομάζετο Φογώρ.

Α Παραλ. 1,51 - ἡγεμόνες Ἐδώμ· ἡγεμὼν Θαμνά, ἡγεμὼν Γωλαδά, ἡγεμὼν Ἰεθέρ,

Α Παραλ. 1,51 - Μετά δε τον θάνατον αυτού ηγεμόνες της Ιδουμαίας ήσαν ο ηγεμών της Θαμνά, ο ηγεμών της Γωλαδά, ο ηγεμών της Ιεθέρ,

Α Παραλ. 1,52 - ἡγεμὼν Ἐλιβαμάς, ἡγεμὼν Ἠλάς, ἡγεμὼν Φινών,

Α Παραλ. 1,52 - ο ηγεμών της Ελιβαμάς, ο ηγεμών της Ηλάς, ο ηγεμών της Φινών,

Α Παραλ. 1,53 - ἡγεμὼν Κενέζ, ἡγεμὼν Θαιμάν, ἡγεμὼν Μαβσάρ, ἡγεμὼν Μαγεδιήλ, ἡγεμὼν Ζαφωΐν. οὗτοι ἡγεμόνες Ἐδώμ.

Α Παραλ. 1,53 - ο ηγεμών της Κενέζ, ο ηγεμών της Θαιμάν, ο ηγεμών της Μαβσάρ, ο ηγεμών της Μαγεδιήλ, ο ηγεμών της Ζαφωΐν. Αυτοί ήσαν ηγεμόνες των περιοχών της Ιδουμαίας.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 2

Α Παραλ. 2,1 - Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ· Ῥουβήν, Συμεών, Λευί, Ἰούδα, Ἰσσάχαρ, Ζαβουλών,

Α Παραλ. 2,1 - Αυτά δε ήσαν τα ονόματα των υιών του Ιακώβ· Ρουβήν, Συμεών, Λευι, Ιούδας, Ισσάχαρ, Ζαβουλών,

Α Παραλ. 2,2 - Δάν, Ἰωσήφ, Βενιαμίν, Νεφθαλί, Γάδ, Ἀσήρ.

Α Παραλ. 2,2 - Δαν, Ιωσήφ, Βενιαμίν, Νεφθαλί, Γαδ, και Ασήρ.

Α Παραλ. 2,3 - υἱοὶ Ἰούδα· Ἤρ, Αὐνάν, Σηλώμ, τρεῖς ἐγεννήθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς Σαύας τῆς Χανανίτιδος. καὶ ἦν Ἢρ ὁ πρωτότοκος Ἰούδα πονηρὸς ἐναντίον Κυρίου, καὶ ἀπέκτεινεν αὐτόν.

Α Παραλ. 2,3 - Υιοί του Ιούδα ήσαν· ο Ηρ, ο Αυνάν, ο Σηλώμ. Τους τρεις αυτούς απέκτησεν ο Ιούδας εκ της συζύγου του, θυγατρός της Σαύας της Χανανίτιδος. Ο Ηρ, ο πρωτοτόκος υιός του Ιούδα, εδείχθη κακός ενώπιον του Κυρίου, ο δε Κυριος τον εθανάτωσε.

Α Παραλ. 2,4 - καὶ Θάμαρ ἡ νύμφη αὐτοῦ ἔτεκεν αὐτῷ τὸν Φαρὲς καὶ τὸν Ζαρά. πάντες υἱοὶ Ἰούδα πέντε.

Α Παραλ. 2,4 - Η νύμφη του Ιούδα η Θαμαρ εγέννησε δια του Ιούδα τον Φαρές και τον Ζαρά. Και έτσι όλοι οι υιοί του Ιούδα ήσαν πέντε.

Α Παραλ. 2,5 - υἱοὶ Φαρές· Ἐσρὼμ καὶ Ἰεμουήλ.

Α Παραλ. 2,5 - Υιοί του Φαρές ήσαν· ο Εσρώμ και ο Ιεμουήλ.

Α Παραλ. 2,6 - καὶ υἱοὶ Ζαρά· Ζαμβρὶ καὶ Αἰθὰν καὶ Αἱμὰν καὶ Καλχὰλ καὶ Δαράδ, πάντες πέντε.

Α Παραλ. 2,6 - Υιοί του Ζαρά ήσαν ο Ζαμβρί, ο Αιθάν, ο Αιμάν, ο Καλχάλ και ο Δαράδ, πέντε εν όλω.

Α Παραλ. 2,7 - καὶ υἱοὶ Χαρμί· Ἄχαρ ὁ ἐμποδοστάτης Ἰσραήλ, ὃς ἠθέτησεν εἰς τὸ ἀνάθεμα.

Α Παραλ. 2,7 - Υιός του Χαρμί ήτο ο Αχαρ, εμπόδιον και σκανδαλοποιός εν μέσω του ισραηλιτικού λαού, ο οποίος κατεδολιεύθη αφιερώματα του Κυρίου.

Α Παραλ. 2,8 - καὶ υἱοὶ Αἰθάν, Ἀζαρίας.

Α Παραλ. 2,8 - Υιοί του Αιθάν ήσαν ένας, ο Αζαρίας.

Α Παραλ. 2,9 - καὶ υἱοὶ Ἐσρώμ, οἳ ἐτέχθησαν αὐτῷ· ὁ Ἱεραμεὴλ καὶ ὁ Ἀρὰμ καὶ ὁ Χαλέβ.

Α Παραλ. 2,9 - Υιοί δε του Εσρώμ, τους οποίους αυτός απέκτησεν, ήσαν ο Ιεραμεήλ, ο Αράμ και ο Χαλέβ.

Α Παραλ. 2,10 - καὶ Ἀρὰμ ἐγέννησε τὸν Ἀμιναδὰβ καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσὼν ἄρχοντα οἴκου Ἰούδα,

Α Παραλ. 2,10 - Ο Αράμ εγέννησε τον Αμιναδάβ, ο Αμιναδάβ εγέννησε τον Ναασσών, άρχοντα μιας φυλής του Ιούδα.

Α Παραλ. 2,11 - καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμών, καὶ Σαλμὼν ἐγέννησε τὸν Βοόζ,

Α Παραλ. 2,11 - Ο Ναασσών εγέννησε τον Σαλμών, ο Σαλμών εγέννησε τον Βοόζ,

Α Παραλ. 2,12 - καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβήδ, καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί,

Α Παραλ. 2,12 - Ο Βοόζ εγέννησε τον Ωβήδ, και ο Ωβήδ εγέννησε τον Ιεσσαί.

Α Παραλ. 2,13 - καὶ Ἰεσσαὶ ἐγέννησε τὸν πρωτότοκον αὐτοῦ τὸν Ἐλιάβ· Ἀμιναδὰβ ὁ δεύτερος, Σαμαὰ ὁ τρίτος,

Α Παραλ. 2,13 - Ο Ιεσσαί εγέννησε πρωτότοκον αυτού οίον τον Ελιάβ. Δεύτερος υιός του Ιεσσαί ήτο ο Αμιναδάβ, τρίτος ο Σαμαά,

Α Παραλ. 2,14 - Ναθαναὴλ ὁ τέταρτος, Ζαδδαΐ ὁ πέμπτος,

Α Παραλ. 2,14 - τέταρτος ο Ναθαναήλ, πέμπτος ο Ζαδδαΐ,

Α Παραλ. 2,15 - Ἀσὸμ ὁ ἕκτος, Δαυὶδ ὁ ἕβδομος,

Α Παραλ. 2,15 - έκτος ο Ασόμ, έβδομος δε ο Δαυίδ.

Α Παραλ. 2,16 - καὶ ἡ ἀδελφὴ αὐτῶν Σαρουία καὶ Ἀβιγαία· καὶ υἱοὶ Σαρουία· Ἀβισὰ καὶ Ἰωὰβ καὶ Ἀσαήλ, τρεῖς.

Α Παραλ. 2,16 - Αδελφαί δε αυτών ήσαν η Σαρουία και η Αβιγαία. Υιοί της Σαρουίας ήσαν· ο Αβεσά, ο Ιωάβ και ο Ασαήλ, τρεις εν όλω.

Α Παραλ. 2,17 - καὶ Ἀβιγαία ἐγέννησε τὸν Ἀμεσσά· καὶ πατὴρ Ἀμεσσὰ Ἰοθὸρ ὁ Ἰσμαηλίτης.

Α Παραλ. 2,17 - Η Αβιγαία εγέννησε τον Αμεσσά, πατήρ δε του Αμεσσά ήτο ο Ιοθόρ ο Ισμαηλίτης.

Α Παραλ. 2,18 - καὶ Χαλὲβ υἱὸς Ἐσρὼμ ἔλαβε τὴν Γαζουβὰ γυναῖκα καὶ τὴν Ἱεριώθ. καὶ οὗτοι υἱοὶ αὐτῆς· Ἰασὰρ καὶ Σουβὰβ καὶ Ὀρνά.

Α Παραλ. 2,18 - Ο Χαλέβ, ο υιός του Εσρώμ, επήρεν ως σύζυγον την Γαζουβά και την Ιεριώθ. Υιοί της Γαζουβά ήσαν ο Ιασάρ, ο Σουβάβ και ο Ορνά.

Α Παραλ. 2,19 - καὶ ἀπέθανε Γαζουβά, καὶ ἔλαβεν ἑαυτῷ Χαλὲβ τὴν Ἐφράθ, καὶ ἔτεκεν αὐτῷ τὸν Ὢρ·

Α Παραλ. 2,19 - Η Γαζουβά απέθανε και ο Χαλέβ επήρε ως σύζυγόν του την Εφράθ. Αυτή δε εγέννησεν εις αυτόν τον Ωρ.

Α Παραλ. 2,20 - καὶ Ὢρ ἐγέννησε τὸν Οὐρί, καὶ Οὐρὶ ἐγέννησε τὸν Βεσελεήλ.

Α Παραλ. 2,20 - Ο Ωρ εγέννησε τον Ουρί, ο Ουρί εγέννησε τον Βεσελεήλ.

Α Παραλ. 2,21 - καὶ μετὰ ταῦτα εἰσῆλθεν Ἐσρὼν πρὸς τὴν θυγατέρα Μαχὶρ πατρὸς Γαλαάδ, καὶ οὗτος ἔλαβεν αὐτήν, καὶ αὐτὸς ἑξηκονταπέντε ἐτῶν ἦν. καὶ ἔτεκεν αὐτῷ τὸν Σερούχ.

Α Παραλ. 2,21 - Μετά ταύτα ο Εσρών ενυμφεύθη την θυγατέρα του Μαχίρ, ο οποίος ήτο πατήρ των κατοίκων της χώρας Γαλαάδ. Ο Εσρών εις

ηλικίαν εξήκοντα πέντε ετών ενυμφεύθη αυτήν. Αυτή δε εγέννησεν εις αυτήν τον Σερούχ.

Α Παραλ. 2,22 - καὶ Σεροὺχ ἐγέννησε τὸν Ἰαΐρ. καὶ ἦσαν αὐτῷ εἴκοσι καὶ τρεῖς πόλεις ἐν τῇ Γαλαάδ.

Α Παραλ. 2,22 - Ο Σερούχ εγέννησε τον Ιαΐρ. Εις τον Ιαΐρ ανήκον είκοσι τρεις πόλεις της χώρας Γαλαάδ.

Α Παραλ. 2,23 - καὶ ἔλαβε Γεδσοὺρ καὶ Ἀρὰμ τὰς κώμας Ἰαΐρ ἐξ αὐτῶν, τὴν Κανὰθ καὶ τὰς κώμας αὐτῆς, ἑξήκοντα πόλεις· πᾶσαι αὗται υἱῶν Μαχὶρ πατρὸς Γαλαάδ.

Α Παραλ. 2,23 - Ο Γεδσούρ και ο Αράμ κατέλαβον από τας πόλστου Ιαΐρ την πόλιν Κανάθ και τας γύρω από αυτήν κώμας, εν όλω εξήκοντα πύλεις. Ολαι αυταί αι πόλεις ανήκον στους υιούς του Μαχίρ του πατρός της χώρας Γαλαάδ.

Α Παραλ. 2,24 - καὶ μετὰ τὸ ἀποθανεῖν Ἐσρὼν ἦλθε Χαλὲβ εἰς Ἐφραθά. καὶ ἡ γυνὴ Ἐσρὼν Ἀβιά, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀσχὼδ πατέρα Θεκωέ.

Α Παραλ. 2,24 - Οταν δε απέθανεν ο Εσρών, ήλθεν ο Χαλέβ εις Εφραθά. Η γυνή του Εσρών, η Αβιά, εγέννησεν εις αυτόν τον Ασχώδ, τον πατέρα του Θεκωέ.

Α Παραλ. 2,25 - καὶ ἦσαν οἱ υἱοὶ Ἱεραμεὴλ πρωτοτόκου Ἐσρών, ὁ πρωτότοκος Ῥάμ, καὶ Βαανὰ καὶ Ἀρὰν καὶ Ἀσὸμ ἀδελφὸς αὐτοῦ.

Α Παραλ. 2,25 - Υιοί του Ιεραμεήλ, πρωτοτόκου του Εσρών, ήσαν οι εξής· Πρωτοτόκος ο Ραμ, έπειτα από αυτόν ο Βαανά, ο Αράν και ο Ασόμ ο αδελφός του.

Α Παραλ. 2,26 - καὶ ἦν γυνὴ ἑτέρα τῷ Ἱεραμεήλ, καὶ ὄνομα αὐτῇ Ἀτάρα· αὕτη ἐστὶ μήτηρ Ὀζόμ.

Α Παραλ. 2,26 - Ο Ιεραμεήλ είχε και δεύτερον σύζυγον, η οποία ωνομάζετο Ατάρα. Αυτή ήτο μήτηρ του Οζόμ.

Α Παραλ. 2,27 - καὶ ἦσαν υἱοὶ Ῥὰμ πρωτοτόκου Ἱεραμεήλ· Μαὰς καὶ Ἰαμὶν καὶ Ἀκόρ.

Α Παραλ. 2,27 - Υιοί του Ραμ, πρωτοτόκου Ιεραμεήλ, ήσαν ο Μαάς, ο Ιαμίν και ο Ακόρ.

Α Παραλ. 2,28 - καὶ ἦσαν υἱοὶ Ὀζόμ· Σαμαΐ καὶ Ἰαδαέ. καὶ υἱοὶ Σαμαΐ· Ναδὰβ καὶ Ἀβισούρ.

Α Παραλ. 2,28 - Υιοί του Οζόμ ήσαν ο Σαμαΐ, και ο Ιαδαέ. Υιοί του Σαμαΐ ήσαν ο Ναδάβ και ο Αβισούρ.

Α Παραλ. 2,29 - καὶ ὄνομα τῆς γυναικὸς Ἀβισοὺρ Ἀβιχαία, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀχαβὰρ καὶ τὸν Μωήλ.

Α Παραλ. 2,29 - Η σύζυγος του Αβισούρ ωνομάζετο Αβιχαία. Αυτή εγέννησεν εις αυτόν τον Αχαβάρ και τον Μωήλ.

Α Παραλ. 2,30 - καὶ υἱοὶ Ναδάβ· Σαλὰδ καὶ Ἀπφαίν. καὶ ἀπέθανε Σαλὰδ οὐκ ἔχων τέκνα.

Α Παραλ. 2,30 - Υιοί του Ναδάβ ήσαν ο Σαλάδ και ο Απφαίν. Ο Σαλάδ απέθανε χωρίς να αποκτήση τέκνα.

Α Παραλ. 2,31 - καὶ υἱοὶ Ἀπφαίν· Ἰσεμιήλ. καὶ υἱοὶ Ἰσεμιήλ· Σωσάν. καὶ υἱοὶ Σωσάν· Ἀαδαί.

Α Παραλ. 2,31 - Υιός του Απφαίν ήτο ο Ισεμιήλ, υιός του Ισεμιήλ ήτο ο Σωσάν, υιός του Σωσάν ήτο ο Ααδαί.

Α Παραλ. 2,32 - καὶ υἱοὶ Ἀαδαί· Ἀχισαμάς, Ἰεθέρ, Ἰωνάθαν· καὶ ἀπέθανεν Ἰεθὲρ οὐκ ἔχων τέκνα.

Α Παραλ. 2,32 - Υιοί του Ααδαί ήσαν ο Αχισαμάς, ο Ιεθέρ, ο Ιωνάθαν. Ο Ιεθέρ απέθανε, χωρίς να αποκτήση τέκνα.

Α Παραλ. 2,33 - καὶ υἱοὶ Ἰωνάθαν· Φαλὲδ καὶ Ὀζάμ. οὗτοι ἦσαν υἱοὶ Ἱεραμεήλ.

Α Παραλ. 2,33 - Υιοί του Ιωνάθαν ήσαν ο Φαλέδ και ο Οζάμ. Ολοι αυτοί ήσαν απόγονοι του Ιεραμεήλ.

Α Παραλ. 2,34 - καὶ οὐκ ἦσαν τῷ Σωσὰν υἱοί, ἀλλ᾿ ἢ θυγατέρες· καὶ τῷ Σωσὰν παῖς Αἰγύπτιος, καὶ ὄνομα αὐτῷ Ἰωχήλ,

Α Παραλ. 2,34 - Ο Σωσάν δεν είχεν αποκτήσει υιούς, ειμή μόνον θυγατέρας. Ο Σωσάν είχε δούλον τινά Αιγύπτιον, ο οποίος ωνομάζετο Ιωχήλ.

Α Παραλ. 2,35 - καὶ ἔδωκε Σωσὰν τὴν θυγατέρα αὐτοῦ τῷ Ἰωχὴλ παιδὶ αὐτοῦ εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν Ἐθθί.

Α Παραλ. 2,35 - Εις αυτόν έδωκε ο Σωσάν την θυγατέρα του ως σύζυγον. Αυτή του εγέννησε τον Εθθί.

Α Παραλ. 2,36 - καὶ Ἐθθὶ ἐγέννησε τὸν Ναθάν, καὶ Ναθὰν ἐγέννησε τὸν Ζαβέδ,

Α Παραλ. 2,36 - Ο Εθθί εγέννησε τον Ναθάν· ο Ναθάν εγέννησε τον Ζαβέδ,

Α Παραλ. 2,37 - καὶ Ζαβὲδ ἐγέννησε τὸν Ἀφαμήλ, καὶ Ἀφαμὴλ ἐγέννησε τὸν Ὠβήδ,

Α Παραλ. 2,37 - ο Ζαβέδ εγέννησε τον Αφαμήλ, ο Αφαμήλ εγέννησε τον Ωβήδ,

Α Παραλ. 2,38 - καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰηού, καὶ Ἰηοὺ ἐγέννησε τὸν Ἀζαρίαν,

Α Παραλ. 2,38 - Ο Ωβήδ εγέννησε τον Ιηού, ο Ιηού εγέννησε τον Αζαρίαν,

Α Παραλ. 2,39 - καὶ Ἀζαρίας ἐγέννησε τὸν Χελλής, καὶ Χελλὴς ἐγέννησε τὸν Ἐλεασά,

Α Παραλ. 2,39 - ο Αζαρίας εγέννησε τον Χελλής, ο Χελλής εγέννησε τον Ελεασά.

Α Παραλ. 2,40 - καὶ Ἐλεασὰ ἐγέννησε τὸν Σοσομαΐ, καὶ Σοσομαΐ ἐγέννησε τὸν Σαλούμ,

Α Παραλ. 2,40 - Ο Ελεασά εγέννησε τον Σοσομαΐ, ο Σοσομαΐ εγέννησε τον Σαλούμ,

Α Παραλ. 2,41 - καὶ Σαλοὺμ ἐγέννησε τὸν Ἰεχεμίαν, καὶ Ἰεχεμίας ἐγέννησε τὸν Ἐλισαμά, καὶ Ἐλισαμὰ ἐγέννησε τὸν Ἰσμαήλ.

Α Παραλ. 2,41 - ο Σαλούμ εγέννησε τον Ιεχεμίαν, ο Ιεχεμίας εγέννησε τον Ελισαμά, ο Ελισαμά εγέννησε τον Ισμαήλ.

Α Παραλ. 2,42 - καὶ υἱοὶ Χαλὲβ ἀδελφοῦ Ἱεραμεήλ· Μαρισὰ ὁ πρωτότοκος αὐτοῦ, οὗτος πατὴρ Ζίφ· καὶ υἱοὶ Μαρισὰ πατρὸς Χεβρών.

Α Παραλ. 2,42 - Υιοί του Χαλέβ, αδελφού του Ιεραμεήλ, ήσαν ο πρωτότοκος αυτού ο Μαρισά. Ούτος ήτο πατήρ του Ζιφ και ο υιός του Μαρισά ο πατήρ του Χεβρών.

Α Παραλ. 2,43 - καὶ υἱοὶ Χεβρών· Κορὲ καὶ Θαπφοὺς καὶ Ῥεκὸμ καὶ Σαμαά.

Α Παραλ. 2,43 - Υιοί του Χεβρών ήσαν ο Κορέ, ο Θαπφούς, ο Ρεκόμ και ο Σαμαά.

Α Παραλ. 2,44 - καὶ Σαμαὰ ἐγέννησε τὸν Ῥαὲμ πατέρα Ἰεκλάν, καὶ Ἰεκλὰν ἐγέννησε τὸν Σαμαΐ·

Α Παραλ. 2,44 - Ο Σαμαά εγέννησε τον Ραέμ, τον πατέρα του Ιεκλάν. Ο Ιεκλάν εγέννησε τον Σαμαΐ.

Α Παραλ. 2,45 - καὶ υἱὸς αὐτοῦ Μαών, καὶ Μαὼν πατὴρ Βαιθσούρ.

Α Παραλ. 2,45 - Ο υιός του Σαμαΐ ήτο ο Μαών, ο δε Μαών ήτο ο πατήρ της πόλεως Βαιθσούρ.

Α Παραλ. 2,46 - καὶ Γαιφὰ ἡ παλλακὴ Χαλὲβ ἐγέννησε τὸν Ἀῤῥὰν καὶ τὸν Μωσὰ καὶ τὸν Γεζουέ.

Α Παραλ. 2,46 - Η Γαιφά, η δευτέρας σειράς σύζυγος του Χαλέβ, εγέννησε τον Αρράν, τον Μωσά και τον Γεζουέ.

Α Παραλ. 2,47 - καὶ υἱοὶ Ἀδδαΐ· Ῥαγὲμ καὶ Ἰωάθαμ καὶ Σωγὰρ καὶ Φαλὲκ καὶ Γαιφὰ καὶ Σαγαέ.

Α Παραλ. 2,47 - Υιοί του Αδδαΐ ήσαν ο Ραγέμ, ο Ιωάθαμ, ο Σωχάρ, ο Φαλέκ, ο Γαιφά και ο Σαγαέ.

Α Παραλ. 2,48 - καὶ ἡ παλλακὴ Χαλὲβ Μωχὰ ἐγέννησε τὸν Σαβὲρ καὶ τὸν Θαράμ.

Α Παραλ. 2,48 - Η δευτέρας σειράς σύζυγος του Χαλέβ η Μωχά εγέννησε τον Σαβέρ και τον Θαράμ.

Α Παραλ. 2,49 - καὶ ἐγέννησε Σαγαὲ πατέρα Μαρμηνὰ καὶ τὸν Σαοὺ πατέρα Μαχαμηνὰ καὶ πατέρα Γαιβαά· καὶ θυγάτηρ Χαλὲβ Ἀσχά.

Α Παραλ. 2,49 - Αυτή εγέννησεν επίσης τον Σαγαέ, τον πατέρα της πόλεως Μαρμηνά και τον Σαού τον πατέρα της πόλεως Μαχαμηνά και τον

πατέρα της πόλεως Γαιβαά. Η δε θυγάτηρ του Χαλέβ ωνομάζετο Ασχά.

Α Παραλ. 2,50 - οὗτοι ἦσαν υἱοὶ Χαλέβ. υἱοὶ ῝Ωρ πρωτοτόκου Ἐφραθά· Σωβὰλ πατὴρ Καριαθιαρίμ.

Α Παραλ. 2,50 - Αυτοί ήσαν οι υιοί του Χαλέβ. Υιοί του Ωρ, του πρωτοτόκου του Εφραθά, ήταν ο Σωβάλ, πατήρ της Καριαθιαρίμ,

Α Παραλ. 2,51 - Σαλωμὼν πατὴρ Βαιθλαὲμ καὶ Ἀρὶμ πατὴρ Βαιθγεδώρ.

Α Παραλ. 2,51 - ο Σαλωμών πατήρ της Βαιθλαέμ, και ο Αρίμ πατήρ της Βαιθγεδώρ.

Α Παραλ. 2,52 - καὶ ἦσαν υἱοὶ τῷ Σωβὰλ πατρὶ Καριαθιαρίμ· Ἀραὰ καὶ Αἰσὶ καὶ Ἀμμανὶθ

Α Παραλ. 2,52 - Εις τον Σωβάλ, τον πατέρα της πόλεως Καριαθιαρίμ, ήσαν οι εξής υιοί· Ο Αραά, ο Αισί, ο Αμμανίθ,

Α Παραλ. 2,53 - καὶ Οὐμασφαέ, πόλις Ἰαΐρ, Αἰθαλὶμ καὶ Μιφιθὶμ καὶ Ἡσαμαθὶμ καὶ Ἡμασαραΐμ· ἐκ τούτων ἐξήλθοσαν οἱ Σαραθαῖοι καὶ υἱοὶ Ἐσθαάμ.

Α Παραλ. 2,53 - και ο Ουμασφαέ, πόλεις Ιαΐρ, Αιθαλίμ, Μιφιθίμ, Ησαμαθίμ και Ημασαραΐμ. Απ' αυτούς προήλθον οι Σαραθαίοι οι απόγονοι του Εσθαάμ.

Α Παραλ. 2,54 - υἱοὶ Σαλωμών· Βαιθλαέμ, Νετωφαθί, Ἀταρὼθ οἴκου Ἰωὰβ καὶ ἥμισυ τῆς Μαλαθί, Ἠσαρί,

Α Παραλ. 2,54 - Υιοί του Σαλωμών ήσαν ο Βαιθλαέμ, ο Νετωφαθί, ο Αταρώθ εκ του οίκου του Ιωάβ. Το ήμισυ των Μαλαθί, Ησαρίται

Α Παραλ. 2,55 - πατριαὶ γραμματέων κατοικοῦντες ἐν Ἰάβις, Θαργαθιΐμ, Σαμαθιΐμ, καὶ Σωχαθίμ· οὗτοι οἱ Κιναῖοι οἱ ἐλθόντες ἐκ Μεσημὰ πατρὸς οἴκου Ῥηχάβ.

Α Παραλ. 2,55 - αι οικογένειαι των γραμματέων, οι οποίοι εκατοικούσαν εις την Ιάβις, Θαργαθιΐμ, την Σαμαθιΐμ και εις Σωχαθίμ. Αυτοί είναι οι Κιναίοι, οι οποίοι κατήγοντο εκ του Μεσημά, πατρός της φυλής του Ρηχάβ.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 3

Α Παραλ. 3,1 - Καὶ οὗτοι ἦσαν υἱοὶ Δαυὶδ οἱ τεχθέντες αὐτῷ ἐν Χεβρών· ὁ πρωτότοκος Ἀμνὼν τῇ Ἀχιναὰμ τῇ Ἰεζραηλίτιδι, ὁ δεύτερος Δαμνιὴλ τῇ Ἀβιγαίᾳ τῇ Καρμηλίᾳ,

Α Παραλ. 3,1 - Οι υιοί του Δαυΐδ, τους οποίους αυτός απέκτησεν εις την πόλιν Χεβρών, ήσαν ο πρωτότοκος αυτού ο Αμνών, ο οποίος εγεννήθη από την Αχιναάμ την Ιεζραηλίτιδα. Δεύτερος ήτο ο Δαμνιήλ, ο οποίος ενεννήθη από την Αβιγαίαν την Καρμηλίαν.

Α Παραλ. 3,2 - ὁ τρίτος Ἀβεσσαλὼμ υἱὸς Μωχὰ θυγατρὸς Θολμαΐ βασιλέως Γεδσούρ, ὁ τέταρτος Ἀδωνία υἱὸς Ἀγγίθ,

Α Παραλ. 3,2 - Τρίτος ο Αβεσσαλώμ, υιός της Μωχά θυγατρός του Θολμαί του βασιλέως της Γεδσούρ. Τέταρτος ήτο ο Αδωνία, υιός της Αγγίθ.

Α Παραλ. 3,3 - ὁ πέμπτος Σαφατία τῆς Ἀβιτάλ, ὁ ἕκτος Ἰεθραὰμ τῇ Ἀγλᾷ γυναικὶ αὐτοῦ.

Α Παραλ. 3,3 - Πέμπτος ο Σαφατία, ο υιός της Αβιτάλ. Εκτος ο Ιεθραάμ, εκ της Αγλά της συζύγου Δαυίδ.

Α Παραλ. 3,4 - ἓξ ἐγεννήθησαν αὐτῷ ἐν Χεβρών, καὶ ἐβασίλευσεν ἐκεῖ ἑπτὰ ἔτη καὶ ἑξάμηνον. καὶ τριάκοντα καὶ τρία ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Α Παραλ. 3,4 - Οι εξ αυτοί υιοί εγεννήθησαν εις Χεβρών, όπου ο Δαυίδ έμεινε βασιλεύς επί επτά έτη και εξ μήνας. Τα δε έτη, κατά τα οποία εβασίλευσεν αυτός εις την Ιερουσαλήμ, ανήλθον εις τριάκοντα και τρία.

Α Παραλ. 3,5 - καὶ οὗτοι ἐτέχθησαν αὐτῷ ἐν Ἱερουσαλήμ· Σαμαά, Σωβάβ, Νάθαν καὶ Σαλωμών, τέσσαρες τῇ Βηρσαβεὲ θυγατρὶ Ἀμιήλ,

Α Παραλ. 3,5 - Οι υιοί, τους οποίους απέκτησεν ο Δαυίδ εις την Ιερουσαλήμ, ήσαν, ο Σαμαά, ο Σωβάβ, ο Ναθαν και ο Σολομών. Οι τέσσαρες αυτοί εγεννήθησαν από την Βηρσαβεέ, θυγατέρα του Αμιήλ·

Α Παραλ. 3,6 - καὶ Ἰεβαὰρ καὶ Ἐλισὰ καὶ Ἐλιφαλὴθ

Α Παραλ. 3,6 - και ο Ιεβαάρ, ο Ελισά, ο Ελιφαλήθ,

Α Παραλ. 3,7 - καὶ Ναγαὶ καὶ Ναφὲκ καὶ Ἰαφιὲ

Α Παραλ. 3,7 - ο Ναγαί, ο Ναφέκ, ο Ιαφιέ.

Α Παραλ. 3,8 - καὶ Ἑλισαμὰ καὶ Ἐλιαδὰ καὶ Ἐλιφαλά, ἐννέα.

Α Παραλ. 3,8 - Ο Ελισαμά, ο Ελιαδά, ο Ελιφαλά εν όλω εννέα.

Α Παραλ. 3,9 - πάντες υἱοὶ Δαυίδ, πλὴν τῶν υἱῶν τῶν παλλακῶν, καὶ Θημὰρ ἀδελφὴ αὐτῶν.

Α Παραλ. 3,9 - Ολοι αυτοί είναι υιοί του Δαυίδ εκτός των υιών του, που εγεννήθησαν από τας συζύγους του της δευτέρας σειράς. Η δε Θημάρ ήτο αδελφή των.

Α Παραλ. 3,10 - υἱοὶ Σαλωμών· Ῥοβοάμ, Ἀβιὰ υἱὸς αὐτοῦ, Ἀσὰ υἱὸς αὐτοῦ, Ἰωσαφὰτ υἱὸς αὐτοῦ,

Α Παραλ. 3,10 - Οι απόγονοι του Σολομώντος ήσαν ο Ροβοάμ, ο υιός του Ροβοάμ Αβιά, ο υιός του Αβιά ο Ασά, ο υιός του Ασά ο Ιωσαφάτ.

Α Παραλ. 3,11 - Ἰωρὰμ υἱὸς αὐτοῦ, Ὀχοζίας υἱὸς αὐτοῦ, Ἰωὰς υἱὸς αὐτοῦ,

Α Παραλ. 3,11 - Ο υιός του Ιωσαφάτ ο Ιωράμ, ο υιός του Ιωράμ ο Οχοζίας, ο υιός του Οχοζία ο Ιωάς,

Α Παραλ. 3,12 - Ἀμασίας υἱὸς αὐτοῦ, Ἀζαρίας υἱὸς αὐτοῦ, Ἰωάθαμ υἱὸς αὐτοῦ,

Α Παραλ. 3,12 - ο υιός του Ιωάς ο Αμασίας, ο υιός του Αμασία ο Αζαρίας, ο υιός του Αζαρία ο Ιωάθαμ,

Α Παραλ. 3,13 - Ἄχαζ υἱὸς αὐτοῦ, Ἐζεκίας υἱὸς αὐτοῦ, Μανασσῆς υἱὸς αὐτοῦ,

Α Παραλ. 3,13 - ο υιός του Ιωάθαμ ο Αχαζ, ο υιός του Αχαζ ο Εζεκίας, ο υιός του Εζεκία ο Μανασσής.

Α Παραλ. 3,14 - Ἀμὼν υἱὸς αὐτοῦ, Ἰωσία υἱὸς αὐτοῦ.

Α Παραλ. 3,14 - Ο υιός του Μανασσή ο Αμών, ο υιός του Αμών ο Ιωσίας.

Α Παραλ. 3,15 - καὶ υἱοὶ Ἰωσία· πρωτότοκος Ἰωανάν, ὁ δεύτερος Ἰωακίμ, ὁ τρίτος Σεδεκίας, ὁ τέταρτος Σαλούμ.

Α Παραλ. 3,15 - Υιοί δε του Ιωσία ήσαν· ο πρωτότοκος αυτού ο Ιωανάν, δεύτερος ο Ιωακίμ, τρίτος ο Σεδεκίας, τέταρτος δε ο Σαλούμ.

Α Παραλ. 3,16 - καὶ υἱοὶ Ἰωακίμ· Ἰεχονίας υἱὸς αὐτοῦ, Σεδεκίας υἱὸς αὐτοῦ.

Α Παραλ. 3,16 - Οι υιοί και απόγονοι του Ιωακίμ ήσαν· ο υιός αυτού ο Ιεχονίας, ο υιός του Ιεχονία ο Σεδεκίας.

Α Παραλ. 3,17 - καὶ υἱοὶ Ἰεχονία· Ἀσίρ, Σαλαθιὴλ υἱὸς αὐτοῦ,

Α Παραλ. 3,17 - Υιός του Ιεχονία ήτο ο Ασίρ και ο υιός του Ασίρ ο Σαλαθιήλ.

Α Παραλ. 3,18 - Μελχιρὰμ καὶ Φαδαΐας καὶ Σανεσὰρ καὶ Ἰεκεμία καὶ Ὡσαμὰθ καὶ Ναβαδίας.

Α Παραλ. 3,18 - Ο Μελχιράμ, ο Φαδαΐας, ο Σανεσάρ, ο Ιεκεμίας, ο Ωσαμάθ και ο Ναβαδίας.

Α Παραλ. 3,19 - καὶ υἱοὶ Σαλαθιήλ· Ζοροβάβελ καὶ Σεμεΐ. καὶ υἱοὶ Ζοροβάβελ· Μοσολλὰμ καὶ Ἀνανία καὶ Σαλωμεθὶ ἀδελφὴ αὐτῶν

Α Παραλ. 3,19 - Οι υιοί του Σαλαθιήλ ήσαν ο Ζοροδάβελ και ο Σεμεΐ. Οι υιοί του Ζοροβάβελ ήσαν ο Μοσολλάμ, ο Ανανίας και η αδελφή αυτών η Σαλωμεθί.

Α Παραλ. 3,20 - καὶ Ἀσουβὲ καὶ Ὀὸλ καὶ Βαραχία καὶ Ἀσαδία καὶ Ἀσοβέδ, πέντε.

Α Παραλ. 3,20 - Ακόμη δε ο Ασουβέ, ο Οόλ, ο Βαραχίας, ο Ασαδίας, ο Ασοβέδ, εν όλω πέντε.

Α Παραλ. 3,21 - καὶ υἱοὶ Ἀνανία· Φαλεττία καὶ Ἰεσίας υἱὸς αὐτοῦ, Ῥαφὰλ υἱὸς αὐτοῦ, Ὀρνὰ υἱὸς αὐτοῦ, Ἀβδία υἱὸς αὐτοῦ, Σεχενίας υἱὸς αὐτοῦ.

Α Παραλ. 3,21 - Απόγονοι του Ανανία ήσαν· ο Φαλεττία, υιός του Φαλεττία ο Ιεσίας, υιός του Ιεσία ο Ραφάλ, ο υιός του Ραφάλ ο Ορνά, ο υιός του Ορνά ο Αβδία, ο υιός του Αβδία ο Σεχενίας,

Α Παραλ. 3,22 - καὶ υἱὸς Σεχενία, Σαμαΐα, καὶ υἱοὶ Σαμαΐα· Χαττοὺς καὶ Ἰωὴλ καὶ Βεῤῥὶ καὶ Νωαδία καὶ Σαφάθ, ἓξ.

Α Παραλ. 3,22 - ο υιός του Σεχενία ήτο ο Σαμαΐα. Οι υιοί του Σαμαΐα ήσαν ο Χαττούς, ο Ιωήλ, ο Βερρί, ο Νωαδία, ο Σαφάθ, εξ εν όλω.

Α Παραλ. 3,23 - καὶ υἱοὶ Νωαδία· Ἐλιθενὰν καὶ Ἐζεκία καὶ Ἐζρικάμ, τρεῖς.

Α Παραλ. 3,23 - Υιοί του Νωαδία ήσαν ο Ελιθενάν, ο Εζεκία, ο Εζρικάμ, εν όλω τρεις.

Α Παραλ. 3,24 - καὶ υἱοὶ Ἐλιθενάν· Ὀδολία καὶ Ἑλιασεβὼν καὶ Φαδαΐα καὶ Ἀκοὺβ καὶ Ἰωανὰν καὶ Δαλααΐα καὶ Ἀνάν, ἑπτά.

Α Παραλ. 3,24 - Οι υιοί του Ελιθενάν ήσαν ο Οδολία, ο Ελιασεβών, ο Φαδαΐας, ο Ακούβ, ο Ιωανάν, ο Δαλααΐα και ο Ανάν, επτά εν όλω.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 4

Α Παραλ. 4,1 - Καὶ υἱοὶ Ἰούδα· Φαρές, Ἐσρὼμ καὶ Χαρμὶ καὶ Ὤρ, Σουβὰλ

Α Παραλ. 4,1 - Οι υιοί του Ιούδα ήσαν· ο Φαρές, ο Εσρώμ, ο Χαρμί, ο Ωρ, ο Σουβάλ

Α Παραλ. 4,2 - καὶ Ῥάδα υἱὸς αὐτοῦ· καὶ Σουβὰλ ἐγέννησε τὸν Ἰέθ, καὶ Ἰὲθ ἐγέννησε τὸν Ἀχιμαΐ, καὶ τὸν Λαάδ· αὗται αἱ γενέσεις τοῦ Σαραθί.

Α Παραλ. 4,2 - και ο Ραδα, ο υιός αυτού. Ο Σουβάλ εγέννησε τον Ιέθ, ο Ιέθ εγέννησε τον Αχιμαΐ και τον Λαάδ. Οι δε απόγονοι του Σαραθί ήσαν·

Α Παραλ. 4,3 - καὶ οὗτοι υἱοὶ Αἰτάμ· Ἰεζραὴλ καὶ Ἰεσμὰν καὶ Ἰεβδάς, καὶ ὄνομα ἀδελφῆς αὐτῶν Ἐσηλεββών.

Α Παραλ. 4,3 - Κατά πρώτον οι υιοί του Αιτάμ ο Ιεζραήλ, ο Ιεσμάν, ο Ιεβδάς και η αδελφή των, η οποία ωνομάζετο Εσηλεββών.

Α Παραλ. 4,4 - καὶ Φανουὴλ πατὴρ Γεδώρ, καὶ Ἀζὴρ πατὴρ Ὡσάν. οὗτοι υἱοὶ ῍Ωρ τοῦ πρωτοτόκου Ἐφραθὰ πατρὸς Βαθαλαέν.

Α Παραλ. 4,4 - Φανουήλ ο πατήρ της πόλεως Γεδώρ, και Αζήρ ο πατήρ της πόλεως Ωσάν. Αυτοί ήσαν υιοί του Ωρ του πρωτοτόκου του Εφραθά, πατρός της Βαιθαλαέν.

Α Παραλ. 4,5 - καὶ τῷ Ἀσοὺρ πατρὶ Θεκωὲ ἦσαν δύο γυναῖκες, Ἀωδὰ καὶ Θοαδά.

Α Παραλ. 4,5 - Ο Ασούρ ο πατήρ της πόλεως Θεκωέ είχε δύο συζύγους, την Αωδά και την Θοαδά.

Α Παραλ. 4,6 - καὶ ἔτεκεν αὐτῷ Ἀωδὰ τὸν Ὠχαία καὶ τὸν Ἠφὰλ καὶ τὸν Θεμὰν καὶ τὸν Ἀασθήρ· πάντες οὗτοι υἱοὶ Ἀωδᾶς.

Α Παραλ. 4,6 - Η Αωδά εγέννησεν εις αυτόν τον Ωχαίαν, τον Ηφάλ, τον Θαιμάν και τον Αασθήρ. Ολοι αυτοί είναι παιδιά της Αωδάς.

Α Παραλ. 4,7 - καὶ υἱοὶ Θοαδᾶς· Σερὲθ καὶ Σαὰρ καὶ Ἐθνάν.

Α Παραλ. 4,7 - Οι υιοί της Θοαδάς είναι· ο Σερέθ, ο Σαάρ και ο Εθνάν.

Α Παραλ. 4,8 - καὶ Κὼς ἐγέννησε τὸν Ἐνὼβ καὶ τὸν Σαβαθά. καὶ γεννήσεις ἀδελφοῦ Ῥηχὰβ υἱοῦ Ἰαρίν.

Α Παραλ. 4,8 - Ο Κως εγέννησε τον Ενώβ και τον Σαβαθά, και τας οικογενείας του Ρηχάβ υιού του Ιαρίν.

Α Παραλ. 4,9 - καὶ ἦν Ἰγαβὴς ἔνδοξος ὑπὲρ τοὺς ἀδελφοὺς αὐτοῦ· καὶ ἡ μήτηρ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰγαβὴς λέγουσα· ἔτεκον ὡς γαβής.

Α Παραλ. 4,9 - Ο Ιγαβής ήτο ο περισσότερον ένδοξος μεταξύ των αδελφών του. Η μητέρα του τον ωνόμασεν Ιγαβής λέγουσα· “τον εγέννησα με πόνον”.

Α Παραλ. 4,10 - καὶ ἐπεκαλέσατο Ἰγαβὴς τὸν Θεὸν Ἰσραὴλ λέγων· ἐὰν εὐλογῶν εὐλογήσῃς με καὶ πληθύνῃς τὰ ὅριά μου καὶ ᾖ ἡ χείρ σου μετ᾿ ἐμοῦ, καὶ ποιήσεις γνῶσιν τοῦ μὴ ταπεινῶσαί με· καὶ ἐπήγαγεν ὁ Θεὸς πάντα, ὅσα ᾐτήσατο.

Α Παραλ. 4,10 - Ο Ιγαβής παρεκάλεσε τον Θεόν του Ισραήλ λέγων· “εάν μου στείλης πλουσίας τας ευλογίας σου και μεγαλώσης τα σύνορά μου και η παντοδύναμος δεξιά σου ευρίσκεται πάντοτε μαζή μου, με φωτίσης δε εις γνώσιν, ώστε να μη εξευτελισθώ, εγώ θα είμαι ιδικός σου”. Ο Θεός έδωσεν εις αυτόν όλα όσα εζήτησε.

Α Παραλ. 4,11 - καὶ Χαλὲβ πατὴρ Ἀσχὰ ἐγέννησε τὸν Μαχίρ· οὗτος πατὴρ Ἀσσαθών.

Α Παραλ. 4,11 - Ο Χαλέβ, ο πατήρ του Ασχά, εγέννησε τον Μαχίρ. Αυτός υπήρξε πατήρ του Ασσαθών.

Α Παραλ. 4,12 - καὶ Ἀσσαθὼν ἐγέννησε τὸν Βαθραίαν καὶ τὸν Βεσσηὲ καὶ τὸν Θανὰ πατέρα πόλεως Ναᾶς ἀδελφοῦ Ἐσελὼμ τοῦ Κενεζί· οὗτοι ἄνδρες Ῥηφά.

Α Παραλ. 4,12 - Ο Ασσαθών εγέννησε τον Βαθραίαν, τον Βεσσηέ και τον Θανά, πατέρα της πόλεως Ναάς. Ο Ναάς ήτο αδελφός του Εσελώμ, υιού του Κενεζί. Αυτοί είναι οι άνδρες της Ρηφά.

Α Παραλ. 4,13 - καὶ υἱοὶ Κενέζ· Γοθονιὴλ καὶ Σαραΐα. καὶ υἱοὶ Γοθονιήλ, Ἀθάθ.

Α Παραλ. 4,13 - Υιοί του Κενέζ είναι· ο Γοθονιήλ και ο Σαραΐα. Υιός του Γοθονιήλ είναι ο Αθάθ.

Α Παραλ. 4,14 - καὶ Μαναθὶ ἐγέννησε τὸν Γοφερά. καὶ Σαραΐα ἐγέννησε τὸν Ἰωὰβ πατέρα Ἀγεαδδαΐρ, ὅτι τέκτονες ἦσαν.

Α Παραλ. 4,14 - Ο Μαναθί απέκτησεν υιόν τον Γοφερά. Ο Σαραΐα εγέννησε τον Ιωάβ τον πατέρα των Αγεαδδαΐρ, οι οποίοι ήσαν οικοδόμοι.

Α Παραλ. 4,15 - καὶ υἱοὶ Χαλὲβ υἱοῦ Ἰεφοννή· Ἠρά, Ἀδὰ καὶ Νοόμ. καὶ υἱοὶ Ἀδά, Κενέζ.

Α Παραλ. 4,15 - Υιοί του Χαλέβ, υιού του Ιεφοννή ήσαν· ο Ηρά, ο Αδά και ο Νοόμ. Υιός του Αδά ήτο ένας ο Κενέζ.

Α Παραλ. 4,16 - καὶ υἱοὶ Γεσεήλ· Ζὶφ καὶ Ζεφὰ καὶ Θεφιὰ καὶ Ἐσεραήλ.

Α Παραλ. 4,16 - Οι υιοί του Γεσεήλ ήσαν· ο Ζιφ, ο Ζεφά, ο Θεφιά και ο Εσεραήλ.

Α Παραλ. 4,17 - καὶ υἱοὶ Ἐσρί· Ἰεθέρ, Μωρὰδ καὶ Ἄφερ καὶ Ἰαμών. καὶ ἐγέννησεν Ἰεθὲρ τὸν Μαρὼν καὶ τὸν Σεμαΐ καὶ τὸν Μαρὲθ πατέρα Ἐσθαιμών.

Α Παραλ. 4,17 - Υιοί του Εσρί ήσαν· ο Ιεθέρ, ο Μωράδ, ο Αφερ και ο Ιαμών. Ο Ιεθέρ εγέννησε τον Μαρών, τον Σεμαΐ και τον Μαρέθ πατέρα του Εσθαιμών.

Α Παραλ. 4,18 - καὶ ἡ γυνὴ αὐτοῦ (αὕτη Ἀδία) ἔτεκε τὸν Ἰάρεδ πατέρα Γεδὼρ καὶ τὸν Ἀβὲρ πατέρα Σωχὼν καὶ τὸν Χετιὴλ πατέρα Ζαμών. καὶ οὗτοι υἱοὶ Βετθία θυγατρὸς Φαραώ, ἣν ἔλαβε Μωρήδ.

Α Παραλ. 4,18 - Η δε άλλη σύζυγος αυτού (η Αδία) εγέννησε τον Ιάρεδ πατέρα του Γεδώρ, και τον Αβέρ τον πατέρα του Σωχών, τον Χετιήλ πατέρα του Ζαμών. Αυτοί είναι οι υιοί της Βετθία, θυγατρός του Φαραώ, την οποίαν είχε λάβει ως σύζυγον ο Μωρήδ.

Α Παραλ. 4,19 - καὶ υἱοὶ γυναικὸς τῆς Ἰδουΐας ἀδελφῆς Ναχὲμ πατρὸς Κεϊλά, Γαρμὶ καὶ Ἐσθαιμών, Νωχαθί.

Α Παραλ. 4,19 - Υιοί της γυναικός Ιδουΐας, αδελφής του Ναχέμ, πατρός του Κεϊλά είναι ο Γαρμί, ο Εσθαιμών, ο Νωχαθί.

Α Παραλ. 4,20 - καὶ υἱοὶ Σεμιών· Ἀμνὼν καὶ Ἀνὰ υἱὸς Φανὰ καὶ Θιλών. καὶ υἱοὶ Σεΐ· Ζωὰθ καὶ υἱοὶ Ζωάβ,

Α Παραλ. 4,20 - Υιοί του Σεμιών είναι· ο Αμνών, ο Ανά ο υιός του Φανά και ο Θιλών. Υιοί του Σεί είναι ο Ζωάθ και υιοί Ζωάβ.

Α Παραλ. 4,21 - υἱοὶ Σηλὼμ υἱοῦ Ἰούδα· Ἢρ πατὴρ Ληχάβ, καὶ Λααδὰ πατὴρ Μαρισὰ καὶ γενέσεις οἰκείων Ἐφραδαβὰκ τῷ οἴκῳ Ἐσοβὰ

Α Παραλ. 4,21 - Υιοί του Σηλώμ, υιού του Ιούδα, είναι· ο Ηρ, ο πατήρ του Ληχάβ, ο Λααδά ο πατήρ του Μαρισά και αι οικογένειαι των συγγενών Εφραδαβάκ του οίκου Εσοβά.

Α Παραλ. 4,22 - καὶ Ἰωακὶμ καὶ ἄνδρες Χωζηβὰ καὶ Ἰωὰς καὶ Σαράφ, οἳ κατῴκησαν ἐν Μωάβ· καὶ ἀπέστρεψεν αὐτοὺς ἀβεδηρὶν ἀθουκιΐμ.

Α Παραλ. 4,22 - Ο Ιωακίμ, οι άνδρες Χωζηβά, ο Ιωάς και ο Σαράφ, οι οποίοι κατοικούσαν εις την Μωάβ, και τους οποίους κάποιος μετωνόμασεν Αβεδηρίν Αθουκιΐμ.

Α Παραλ. 4,23 - οὗτοι κεραμεῖς οἱ κατοικοῦντες ἐν Ἀταΐμ καὶ Γαδηρὰ μετὰ τοῦ βασιλέως, ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐνίσχυσαν καὶ κατῴκησαν ἐκεῖ.

Α Παραλ. 4,23 - Αυτοί ήσαν κεραμοποιοί, κατοικούσαν εις την Αταΐμ και Γαδηρά μετά του βασιλέως και ειργάζοντο δια την βασιλείαν αυτού και είχαν

κατοικήσει εκεί.

Α Παραλ. 4,24 - υἱοὶ Συμεών· Ναμουὴλ καὶ Ἰαμίν, Ἰαρίβ, Ζαρέ, Σαούλ·

Α Παραλ. 4,24 - Οι υιοί του Συμεών ήσαν· ο Ναμουήλ, ο Ιαμίν, ο Ιαρίβ, ο Ζαρέ και ο Σαούλ.

Α Παραλ. 4,25 - Σαλὲμ υἱὸς αὐτοῦ, Μαβασὰμ υἱὸς αὐτοῦ, Μασμὰ υἱὸς αὐτοῦ,

Α Παραλ. 4,25 - Ο Σαλέμ ήτο υιός του Σαούλ, ο Μαβασάμ υιός του Σαλέμ, και ο Μασμά ήτο υιός του Μαβασάμ.

Α Παραλ. 4,26 - Ἀμουὴλ υἱὸς αὐτοῦ, Σαβοὺδ υἱὸς αὐτοῦ, Ζακχοὺρ υἱὸς αὐτοῦ, Σεμεΐ υἱὸς αὐτοῦ.

Α Παραλ. 4,26 - Ο Αμουήλ ήτο υιός του Μασμά, ο Σαβούδ υιός του Αμουήλ, ο Ζακχούρ ήτο υιός του Σαβούδ, ο Σεμεΐ ήτο υιός του Ζακχούρ.

Α Παραλ. 4,27 - Καὶ τῷ Σεμεΐ υἱοὶ ἑκκαίδεκα καὶ θυγατέρες τρεῖς· καὶ τοῖς ἀδελφοῖς αὐτῶν οὐκ ἦσαν υἱοὶ πολλοί· καὶ πᾶσαι αἱ πατριαὶ αὐτῶν οὐκ ἐπλεόνασαν ὡς υἱοὶ Ἰούδα.

Α Παραλ. 4,27 - Ο Σεμεί είχε δεκαέξ υιούς και τρεις θυγατέρας. Εις τους αδελφούς αυτούς όμως δεν υπήρχαν πολλοί υιοί και αι οικογένειαί των δεν επληθύνθησαν, όπως αι οικογένειαι του Ιούδα.

Α Παραλ. 4,28 - καὶ κατῴκησαν ἐν Βηρσαβεὲ καὶ Σαμὰ καὶ Μωλαδά, καὶ ἐν Ἐσηρσουὰλ

Α Παραλ. 4,28 - Αυτοί είχαν κατοικήσει εις την Βηρσαβεέ, εις την Σαμά, εις την Μωλαδά και εις την Εσηρσουάλ,

Α Παραλ. 4,29 - καὶ ἐν Βαλαὰ καὶ ἐν Βοασὸμ καὶ ἐν Θουλὰδ

Α Παραλ. 4,29 - εις Βαλαά, εις Βοασόμ, εις Θουλάδ,

Α Παραλ. 4,30 - καὶ ἐν Βαθουὴλ καὶ ἐν Ἑρμὰ καὶ ἐν Σικελὰγ

Α Παραλ. 4,30 - εις Βαθουήλ, εις Ερμά, εις Σικελάγ,

Α Παραλ. 4,31 - καὶ ἐν Βαιθμαριμὼθ καὶ Ἡμισουσεωσὶν καὶ οἶκον Βαρουσεωρίμ· αὗται αἱ πόλεις αὐτῶν ἕως βασιλέως Δαυΐδ.

Α Παραλ. 4,31 - εις Βαιθμαριμώθ, εις Ημισουσεωσίν και στον οίκον Βαρουσεωρίμ. Αυταί ήσαν αι πόλεις των μέχρι της εποχής του βασιλέως Δαυΐδ.

Α Παραλ. 4,32 - καὶ ἐπαύλεις αὐτῶν· Αἰτὰν καὶ Ἠνρεμμὼν καὶ Θοκκὰν καὶ Αἰσάν, πόλεις πέντε.

Α Παραλ. 4,32 - Εις αυτάς υπήρχον και αι αγροτικαί κατοικίαι των. Επίσης ιδικαί των ήσαν η Αιτάν, η Ηνρεμμών, η Θοκκάν, η Αισάν, εν όλω πέντε πόλεις.

Α Παραλ. 4,33 - καὶ πᾶσαι ἐπαύλεις αὐτῶν κύκλῳ τῶν πόλεων τούτων ἕως Βάαλ· αὕτη ἡ κατάσχεσις αὐτῶν καὶ ὁ καταλοχισμὸς αὐτῶν.

Α Παραλ. 4,33 - Αι αγροτικαί κατοικίαι ήσαν γύρω από τας πόλεις αυτάς έως εις την πόλιν Βααλ. Αυταί είναι αι περιοχαί που κατείχον και αι

γενεαλογίαι των.

Α Παραλ. 4,34 - καὶ Μοσωβὰβ καὶ Ἰεμολὸχ καὶ Ἰωσία υἱὸς Ἀμασία

Α Παραλ. 4,34 - Ο Μοσωβάβ, ο Ιεμολόχ, ο Ιωσία ο υιός του Αμασία,

Α Παραλ. 4,35 - καὶ Ἰωὴλ (καὶ οὗτος υἱὸς Ἀσαβία), υἱὸς Σαραία, υἱὸς Ἀσιὴλ

Α Παραλ. 4,35 - ο Ιωήλ (αυτός ήτο υιός του Ασαβία), ο υιός του Σαραία, ο υιός του Ασιήλ,

Α Παραλ. 4,36 - καὶ Ἐλιωναΐ καὶ Ἰακαβὰ καὶ Ἰασουΐα καὶ Ἀσαΐα καὶ Ἰεδιὴλ καὶ Ἰσμαὴλ καὶ Βαναίας

Α Παραλ. 4,36 - ο Ελιωναΐ, ο Ιακαβά, ο Ιασουΐα, ο Ασαΐα, ο Ιεδιήλ, ο Ισμαήλ, ο Βαναίας,

Α Παραλ. 4,37 - καὶ Ζουζὰ υἱὸς Σαφαΐ υἱοῦ Ἀλὼν υἱοῦ Ἰεδιὰ υἱοῦ Σεμρὶ υἱοῦ Σαμαίου.

Α Παραλ. 4,37 - ο Ζουζά ο υιός του Σαφαΐ υιού του Αλών υιού του Ιεδάα υιού Σεμρί υιού του Σαμαίου.

Α Παραλ. 4,38 - οὗτοι οἱ διελθόντες ἐν ὀνόμασιν ἀρχόντων ἐν ταῖς γενέσεσιν αὐτῶν· καὶ ἐν οἴκοις πατριῶν αὐτῶν ἐπληθύνθησαν εἰς πλῆθος,

Α Παραλ. 4,38 - Αυτοί, των οποίων τα ονόματα ανεφέρθησαν ήσαν αρχηγοί των οικογενειών αυτών. Αι πατριαρχικαί των οικογένειαι επληθύνθησαν εις μεγάλον αριθμόν.

Α Παραλ. 4,39 - καὶ ἐπορεύθησαν ἕως τοῦ ἐλθεῖν Γέραρα ἕως τῶν ἀνατολῶν τῆς Γαὶ τοῦ ζητῆσαι νομὰς τοῖς κτήνεσιν αὐτῶν·

Α Παραλ. 4,39 - Δι' αυτό δε και επορεύθησαν και έφθασαν μέχρι της Γέραρα προς ανατολάς της Γαι εις αναζήτησιν λειβαδιών δια τα κτήνη των.

Α Παραλ. 4,40 - καὶ εὗρον νομὰς πλείονας καὶ ἀγαθάς, καὶ ἡ γῆ πλατεῖα ἐναντίον αὐτῶν καὶ εἰρήνη καὶ ἡσυχία, ὅτι ἐκ τῶν υἱῶν Χὰμ τῶν κατοικούντων ἐκεῖ ἔμπροσθεν.

Α Παραλ. 4,40 - Ευρήκαν δε πολλάς και πλουσίας βοσκάς και η χώρα ενώπιόν των ηπλώνετο μεγάλη, ειρηνική και ήσυχος. Εκείνοι οι οποίοι κατοικούσαν προηγουμένως εις τας χώρας αυτάς ήσαν από τους απογόνους του Χαμ.

Α Παραλ. 4,41 - καὶ ἤλθοσαν οὗτοι οἱ γεγραμμένοι ἐπ᾿ ὀνόματος ἐν ἡμέραις Ἐζεκίου βασιλέως Ἰούδα καὶ ἐπάταξαν τοὺς οἴκους αὐτῶν καὶ τοὺς Μιναίους, οὓς εὕροσαν ἐκεῖ, καὶ ἀναθεμάτισαν αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης καὶ ᾤκησαν ἀντ᾿ αὐτῶν, ὅτι νομαὶ τοῖς κτήνεσιν αὐτῶν ἐκεῖ.

Α Παραλ. 4,41 - Αυτοί οι άνδρες, των οποίων τα ονόματα ανεφέρθησαν, ήλθαν, όταν εβασίλευσεν ο Εζεκίας ο βασιλεύς του βασιλείου του Ιούδα εις τας περιοχάς αυτάς. Κατέστρεψαν τας σκηνάς και τους Μιναίους, τους οποίους ευρήκαν εκεί. Παρέδωκαν αυτούς εις αναθεματισμόν και όλεθρον

και εγκατεστάθησαν αυτοί εις τον τόπον των μέχρι της ημέρας αυτής, διότι εκεί υπήρχον βοσκότοποι δια τα κτήνη των.

Α Παραλ. 4,42 - καὶ ἐξ αὐτῶν ἀπὸ τῶν υἱῶν Συμεὼν ἐπορεύθησαν εἰς ὄρος Σηὶρ ἄνδρες πεντακόσιοι, καὶ Φαλαεττία καὶ Νωαδία καὶ Ῥαφαΐα καὶ Ὀζιὴλ υἱοὶ Ἰεσὶ ἄρχοντες αὐτῶν·

Α Παραλ. 4,42 - Πεντακόσιοι ακόμη άνδρες από τους υιούς της φυλής του Συμεών μετέβησαν και εγκατεστάθησαν στο όρος Σηίρ. Αρχηγοί δε αυτών ήσαν ο Φαλαεττία, ο Νωαδία, ο Ραφαΐα και ο Οζιήλ υιοί του Ιεσί.

Α Παραλ. 4,43 - καὶ ἐπάταξαν τοὺς καταλοίπους τοὺς καταλειφθέντας τοῦ Ἀμαλὴκ καὶ κατῴκησαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης.

Α Παραλ. 4,43 - Αυτοί προσέβαλαν και εθανάτωσαν όσους είχον απομείνει από τους Αμαληκίτας και εγκατεστάθησαν εκεί μέχρι της ημέρας αυτής.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 5

Α Παραλ. 5,1 - Καὶ υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραήλ, ὅτι οὗτος ὁ πρωτότοκος, καὶ ἐν τῷ ἀναβῆναι ἐπὶ τὴν κοίτην τοῦ πατρὸς αὐτοῦ ἔδωκε τὴν εὐλογίαν αὐτοῦ τῷ υἱῷ αὐτοῦ Ἰωσὴφ υἱῷ Ἰσραήλ, καὶ οὐκ ἐγενεαλογήθη εἰς πρωτοτόκια·

Α Παραλ. 5,1 - Οι υιοί του Ρουβήν, του πρωτοτόκου του Ιακώβ, (τον οποίον πρωτότοκον ο Ιακώβ επειδή εμόλυνε την πατρικήν κοίτην δεν τον ηυλόγησε, αλλά έδωσε την ευλογίαν του στον υιόν του τον Ιωσήφ, και δι' αυτό ο Ρουβήν δεν ελήφθη υπ' όψιν δια τα πρωτοτόκια·

Α Παραλ. 5,2 - ὅτι Ἰούδας δυνατὸς ἰσχύϊ καὶ ἐν τοῖς ἀδελφοῖς αὐτοῦ καὶ εἰς ἡγούμενον ἐξ αὐτοῦ, καὶ ἡ εὐλογία τοῦ Ἰωσήφ.

Α Παραλ. 5,2 - ο Ιούδας υπήρξε δυνατός κατά την ισχύν, αυτός και οι απόγονοί του, και εξ αυτού εβγήκαν οι αρχηγοί του ισραηλιτικού λαού. Το κληρονομικόν όμως δικαίωμα των πρωτοτόκων εδόθη στον Ιωσήφ).

Α Παραλ. 5,3 - υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραήλ· Ἐνὼχ καὶ Φαλλούς, Ἀσρὼμ καὶ Χαρμί.

Α Παραλ. 5,3 - Υιοί του Ρουβήν, του πρωτοτόκου του Ιακώβ, ήσαν οι εξής· Ο Ενώχ, ο Φαλλούς, ο Ασρώμ και ο Χαρμί.

Α Παραλ. 5,4 - υἱοὶ Ἰωήλ· Σεμεΐ καὶ Βαναία υἱὸς αὐτοῦ. καὶ υἱοὶ Γοὺγ υἱοῦ Σεμεΐ·

Α Παραλ. 5,4 - Οι απόγονοι του Ιωήλ είναι· ο Σεμεί και ο Βαναία ο υιός αυτού, και οι υιοί του Γουγ υιού του Σεμεΐ.

Α Παραλ. 5,5 - υἱὸς αὐτοῦ Μιχά, υἱὸς αὐτοῦ Ῥηχά, υἱὸς αὐτοῦ Ἰωήλ,

Α Παραλ. 5,5 - Ο υιός αυτού ο Μιχά, ο υιός του Μιχά ο Ρηχά, ο υιός του Ρηχά ο Ιωήλ.

Α Παραλ. 5,6 - υἱὸς αὐτοῦ Βεήλ, ὃν μετῴκισε Θαγλαθφαλλασὰρ βασιλεὺς Ἀσσούρ· οὗτος ἄρχων τῶν Ῥουβήν.

Α Παραλ. 5,6 - Ο υιός του Ιωήλ ο Βεήλ, τον οποίον ο Θαγλαθφαλλασάρ ο βασιλεύς της Ασσούρ επήρεν αιχμάλωτον και τον μετώκισεν αλλού. Αυτός υπήρξεν ένας από τους αρχηγούς της φυλής του Ρουβήν.

Α Παραλ. 5,7 - καὶ ἀδελφοὶ αὐτοῦ τῇ πατρίδι αὐτοῦ ἐν τοῖς καταλοχισμοῖς αὐτῶν κατὰ γενέσεις αὐτῶν· ὁ ἄρχων Ἰωὴλ καὶ Ζαχαρία

Α Παραλ. 5,7 - Οι αδελφοί του Βεήλ, όπως ήσαν εις την περιοχήν αυτού γραμμένοι στους καταλόγους κατά τας γενεαλογίας των, ήσαν οι εξής· Ο αρχηγός Ιωήλ και ο Ζαχαρίας,

Α Παραλ. 5,8 - καὶ Βαλὲκ υἱὸς Ἀζοὺζ υἱὸς Σαμά, υἱὸς Ἰωήλ· οὗτος κατῴκησεν ἐν Ἀροὴρ καὶ ἐπὶ Ναβαῦ, καὶ Βελμασσὼν

Α Παραλ. 5,8 - ο Βαλέκ υιός του Αζούζ, ο υιός του Σαμά, ο υιός του Ιωήλ. Ο Βαλέκ αυτός εγκατεστάθη εις την Αροήρ μέχρι και της Ναβαύ και της πόλεως Βελμασσών.

Α Παραλ. 5,9 - καὶ πρὸς ἀνατολὰς κατῴκησεν ἕως ἐρχομένων τῆς ἐρήμου, ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου, ὅτι κτήνη αὐτῶν πολλὰ ἐν γῇ Γαλαάδ.

Α Παραλ. 5,9 - Προς ανατολάς επεξετάθησαν έως εις την αρχήν της ερήμου, η οποία οδηγεί προς τον Ευφράτην ποταμόν, διότι είχον πολλά κτήνη εις την χώραν Γαλαάδ.

Α Παραλ. 5,10 - καὶ ἐν ἡμέραις Σαοὺλ ἐποίησαν πόλεμον πρὸς τοὺς παροίκους, καὶ ἔπεσον ἐν χερσὶν αὐτῶν κατοικοῦντες ἐν σκηναῖς αὐτῶν πάντες κατ᾿ ἀνατολὰς τῆς Γαλαάδ.

Α Παραλ. 5,10 - Κατά τας ημέρας του Σαούλ επολέμησαν εναντίον των περιοίκων λαών, οι οποίοι έπεσαν εις τα χέρια των, και εγκατεστάθησαν όλοι εις τας σκηνάς των επί της ανατολικής περιοχής της χώρας Γαλαάδ.

Α Παραλ. 5,11 - υἱοὶ Γὰδ κατέναντι αὐτῶν κατῴκησαν ἐν γῇ Βασὰν ἕως Σελχά.

Α Παραλ. 5,11 - Οι απόγονοι του Γαδ εγκατεστάθησαν απέναντι της φυλής Ρουβήν εις την χώραν Βασάν έως την Σελχά.

Α Παραλ. 5,12 - Ἰωὴλ πρωτότοκος καὶ Σαφὰμ ὁ δεύτερος, καὶ Ἰανὶν ὁ γραμματεὺς ἐν Βασάν.

Α Παραλ. 5,12 - Αυτοί ήσαν· Ο πρωτότοκος Ιωήλ, ο δευτερότοκος Σαφάμ και ο γραμματεύς Ιανίν εις Βασάν.

Α Παραλ. 5,13 - καὶ οἱ ἀδελφοὶ αὐτῶν κατ᾿ οἴκους πατριῶν αὐτῶν· Μιχαήλ, Μοσολλὰμ καὶ Σεβεὲ καὶ Ἰωρεὲ καὶ Ἰωαχὰν καὶ Ζουέ, καὶ Ὠβήδ, ἑπτά.

Α Παραλ. 5,13 - Οι αδελφοί των κατά τας πατριαρχικάς των οικογενείας ήσαν οι εξής· Ο Μιχαήλ, ο Μοσολλάμ, ο Σεβεέ, ο Ιωρεέ, ο Ιωαχάν, ο Ζουέ και

ο Ωβήδ εν όλω επτά.

Α Παραλ. 5,14 - οὗτοι υἱοὶ Ἀβιχαία υἱοῦ Οὐρὶ υἱοῦ Ἰδαΐ υἱοῦ Γαλαὰδ υἱοῦ Μιχαὴλ υἱοῦ Ἰεσαΐ υἱοῦ Ἰεδδαΐ υἱοῦ Ζαβουχὰμ

Α Παραλ. 5,14 - Αυτοί ήσαν υιοί του Αβιχαία οιού του Ουρί, υιού του Ιδαΐ, υιού του Γαλαάδ, υιού του Μιχαήλ, υιού Ιεσαΐ, υιού του Ιεδδαΐ, υιού του Ζαβουχάμ,

Α Παραλ. 5,15 - ἀδελφοῦ υἱοῦ Ἀβδιὴλ υἱοῦ Γουνί· ἄρχων οἴκου πατριῶν.

Α Παραλ. 5,15 - του αδελφού του υιού Αβδιήλ υιού του Γουνί. Αυτός ήτο ο αρχηγός της πατριαρχικής των οικογενείας.

Α Παραλ. 5,16 - κατῴκουν ἐν Γαλαάδ, ἐν Βασὰν καὶ ἐν ταῖς κώμαις αὐτῶν καὶ πάντα τὰ περίχωρα Σαρὼν ἕως ἐξόδου.

Α Παραλ. 5,16 - Αυτοί κατοικούσαν εις την Γαλαάδ, εις την περιοχήν Βασάν, εις τας κώμας αυτών και εις όλα τα περίχωρα της Σαρών έως τα σύνορά της.

Α Παραλ. 5,17 - πάντων ὁ καταλοχισμὸς ἐν ἡμέραις Ἰωάθαμ βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ βασιλέως Ἰσραήλ.

Α Παραλ. 5,17 - Ολοι αυτοί της φυλής Γαδ κατεγράφησαν στους γενεαλογικούς πίνακας επί της εποχής του Ιωάθαμ βασιλέως του βασιλείου του Ιούδα και επί της εποχής Ιεροβοάμ βασιλέως του βασιλείου του Ισραήλ.

Α Παραλ. 5,18 - υἱοὶ Ῥουβὴν καὶ Γὰδ καὶ ἥμισυ φυλῆς Μανασσῆ ἐξ υἱῶν δυνάμεως, ἄνδρες αἴροντες ἀσπίδας καὶ μάχαιραν καὶ τείνοντες τόξον καὶ δεδιδαγμένοι πόλεμον, τεσσαράκοντα καὶ τέσσαρες χιλιάδες καὶ ἑπτακόσιοι καὶ ἑξήκοντα ἐκπορευόμενοι εἰς παράταξιν.

Α Παραλ. 5,18 - Οι απόγονοι του Ρουβήν, του Γαδ και του ημίσεως της φυλής του Μανασσή ήσαν άνδρες πολεμισταί, οι οποίοι έφεραν ασπίδα και μάχαιραν, και με πολλήν ικανότητα εκτυπούσαν δια του τόξου. Ησαν διδαγμένοι και ησκημένοι στον πόλεμον εν όλω τεσσαράκοντα τέσσαρες χιλιάδες επτακόσιοι εξήκοντα άνδρες, δυνάμενοι να λάβουν μέρος εις μάχας.

Α Παραλ. 5,19 - καὶ ἐποίουν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν καὶ Ἰτουραίων καὶ Ναφισαίων καὶ Ναδαβαίων

Α Παραλ. 5,19 - Αυτοί έκαμαν πόλεμον εναντίον των Αγαρηνών, των Ιτουραίων, των Ναφισαίων και των Ναδαβαίων.

Α Παραλ. 5,20 - καὶ κατίσχυσαν ἐπ᾿ αὐτῶν, καὶ ἐδόθησαν εἰς χεῖρας αὐτῶν οἱ Ἀγαραῖοι καὶ πάντα τὰ σκηνώματα αὐτῶν, ὅτι πρὸς τὸν Θεὸν ἐβόησαν ἐν τῷ πολέμῳ, καὶ ἐπήκουσεν αὐτοῖς, ὅτι ἤλπισαν ἐπ᾿ αὐτόν.

Α Παραλ. 5,20 - Τους ενίκησαν, διο και οι Αγαραίοι και όλοι εκείνοι, οι οποίοι κατοικούσαν μαζή των, παρεδόθησαν εις τας χείρας των με όλας τας σκηνάς των. Αυτοί δε ενικήθησαν και παρεδόθησαν στους Ισραηλίτας, διότι

οι Ισραηλίται παρεκάλεσαν τον Θεόν εξ όλης καρδίας δια τον πόλεμον αυτόν, ο δε Θεός ήκουσεν αυτούς, επειδή είχον στηρίξει τας ελπίδας των εις αυτόν.

Α Παραλ. 5,21 - καὶ ᾐχμαλώτευσαν τὴν ἀποσκευὴν αὐτῶν, καμήλους πεντακισχιλίας καὶ προβάτων διακοσίας πεντήκοντα χιλιάδας, ὄνους δισχιλίους καὶ ψυχὰς ἀνδρῶν ἑκατὸν χιλιάδας·

Α Παραλ. 5,21 - Οι Ισραηλίται ηχμαλώτευσαν όλα τα ζώα των εχθρών των, πέντε χιλιάδες καμήλους, διακοσίας πεντήκοντα χιλιάδες πρόβατα, δύο χιλιάδες όνους και άνδρας εκατόν χιλιάδας.

Α Παραλ. 5,22 - ὅτι τραυματίαι πολλοὶ ἔπεσον, ὅτι παρὰ τοῦ Θεοῦ ὁ πόλεμος. καὶ κατῴκησαν ἀντ᾿ αὐτῶν ἕως τῆς μετοικεσίας.

Α Παραλ. 5,22 - Από τους εχθρούς έπεσαν κατά την μάχην πολλοί, διότι στον πόλεμον αυτόν ο Θεός εβοήθησε τους Ισραηλίτας. Οι Ισραηλίται κατώκησαν αντί εκείνων εις τας χώρας των μέχρι της αιχμαλωσίας Βαβυλώνος.

Α Παραλ. 5,23 - καὶ ἡμίσεις φυλῆς Μανασσῆ κατῴκησαν ἐν τῇ γῇ ἀπὸ Βασὰν ἕως Βαὰλ Ἑρμὼν καὶ Σανὶρ καὶ ὄρος Ἀερμών· καὶ ἐν τῷ Λιβάνῳ αὐτοὶ ἐπλεονάσθησαν.

Α Παραλ. 5,23 - Το ήμισυ της φυλής του Μανασσή εγκατεστάθη εις την χώραν αυτήν από της Βασάν έως της Βαάλ Ερμών και της Σανίρ και του όρους Αερμών. Αυτοί στο όρος Λιβανον επληθύνθησαν πολύ.

Α Παραλ. 5,24 - καὶ οὗτοι ἀρχηγοὶ οἴκου πατριῶν αὐτῶν· Ὀφὲρ καὶ Σεΐ καὶ Ἐλιὴλ καὶ Ἱερμία καὶ Ὠδουΐα καὶ Ἰεδιήλ, ἄνδρες ἰσχυροὶ δυνάμει, ἄνδρες ὀνομαστοί, ἄρχοντες τῶν οἴκων πατριῶν αὐτῶν.

Α Παραλ. 5,24 - Αυτοί είναι οι αρχηγοί των πατριαρχικών οικογενειών· ο Οφέρ, ο Σεϊ, ο Ελιήλ, ο Ιερμία, ο Ωδουΐα και ο Ιεδιήλ. Ησαν δε αυτοί πολύ ισχυροί, ονομαστοί άνδρες αρχηγοί των πατριαρχικών των οικογενειών.

Α Παραλ. 5,25 - καὶ ἠθέτησαν ἐν Θεῷ πατέρων αὐτῶν καὶ ἐπόρνευσαν ὀπίσω θεῶν τῶν λαῶν τῆς γῆς, οὓς ἐξῆρεν ὁ Θεὸς ἀπὸ προσώπου αὐτῶν.

Α Παραλ. 5,25 - Αυτοί όμως κατεπάτησαν τον Νομον, τον οποίον ο Θεός είχε δώσει στους προγόνους των, παρεδόθησαν εις την πορνείαν, εγκατέλειψαν τον αληθινόν Θεόν· και ηκολούθησαν άλλους θεούς των λαών της χώρας, τους οποίους ο Θεός είχε ξερριζώσει εμπρός από αυτούς.

Α Παραλ. 5,26 - καὶ ἐπήγειρεν ὁ Θεὸς Ἰσραὴλ τὸ πνεῦμα Φαλὼχ βασιλέως Ἀσσοὺρ καὶ τὸ πνεῦμα Θαγλαθφαλλασὰρ βασιλέως Ἀσσούρ, καὶ μετῴκισε τὸν Ῥουβὴν καὶ τὸν Γαδδὶ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ καὶ ἤγαγεν αὐτοὺς εἰς Χαλὰχ καὶ Χαβὼρ καὶ ἐπὶ ποταμὸν Γωζὰν ἕως τῆς ἡμέρας ταύτης.

Α Παραλ. 5,26 - Δια τούτο ο Θεός του Ισραήλ εξήγειρε το πνεύμα του Φαλώχ βασιλέως της Ασσυρίας, το πνεύμα του Θαγλαθφαλλασάρ βασιλέως της Ασσυρίας, και απήγαγεν εις αιχμαλωσίαν τας φυλάς Ρουβήν και Γαδ και

το ήμισυ της φυλής του Μανασσή και έφερεν αυτούς εις την Χαλάχ, εις την Χαβώρ και στον ποταμόν Γωζάν, όπου ευρίσκονται έως την ημέραν αυτήν.

Α Παραλ. 5,27 - Υἱοὶ Λευί· Γεδσών, Καὰθ καὶ Μεραρί.

Α Παραλ. 5,27 - Οι υιοί και απόγονοι του Λευί ήσαν ο Γεδσών, ο Καάθ και ο Μεραρί.

Α Παραλ. 5,28 - καὶ υἱοὶ Καάθ· Ἄμβραμ καὶ Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ.

Α Παραλ. 5,28 - Οι υιοί του Καάθ ήσαν ο Αμβραμ, ο Ισσάαρ, ο Χεβρών και ο Οζιήλ.

Α Παραλ. 5,29 - καὶ υἱοὶ Ἄμβραμ· Ἀαρὼν καὶ Μωυσῆς καὶ Μαριάμ. καὶ υἱοὶ Ἀαρών· Ναδὰβ καὶ Ἀβιούδ, Ἐλεάζαρ καὶ Ἰθάμαρ.

Α Παραλ. 5,29 - Οι υιοί του Αμβραμ ήσαν ο Ααρών, ο Μωϋσής, η Μαριάμ. Υιοί του Ααρών ήσαν· ο Ναδάδ, ο Αβιούδ, ο Ελεάζαρ και ο Ιθάμαρ.

Α Παραλ. 5,30 - Ἐλεάζαρ ἐγέννησε τὸν Φινεές, Φινεὲς ἐγέννησε τὸν Ἀβισού,

Α Παραλ. 5,30 - Ο Ελεάζαρ απέκτησεν υιόν τον Φινεές, ο Φινεές απέκτησε τον Αβισού,

Α Παραλ. 5,31 - Ἀβισοὺ ἐγέννησε τὸν Βωκαΐ, Βωκαΐ ἐγέννησε τὸν Ὀζί,

Α Παραλ. 5,31 - Ο Αβισού απέκτησε τον Βωκαΐ, ο Βωκαΐ απέκτησε τον Οζί,

Α Παραλ. 5,32 - Ὀζὶ ἐγέννησε τὸν Ζαραία, Ζαραία ἐγέννησε τὸν Μαριὴλ

Α Παραλ. 5,32 - Ο Οζί απέκτησε τον Ζαραία, ο Ζαραία απέκτησε τον Μαριήλ,

Α Παραλ. 5,33 - καὶ Μαριὴλ ἐγέννησε τὸν Ἀμαρία, καὶ Ἀμαρία ἐγέννησε τὸν Ἀχιτώβ,

Α Παραλ. 5,33 - ο Μαριήλ απέκτησε τον Αμαρία, ο Αμαρία απέκτησε τον Αχιτώβ,

Α Παραλ. 5,34 - καὶ Ἀχιτὼβ ἐγέννησε τὸν Σαδώκ, καὶ Σαδὼκ ἐγέννησε τὸν Ἀχιμάας,

Α Παραλ. 5,34 - ο Αχιτώβ απέκτησε τον Σαδώκ, ο Σαδώκ απέκτησε τον Αχιμάας,

Α Παραλ. 5,35 - καὶ Ἀχιμάας ἐγέννησε τὸν Ἀζαρίαν, καὶ Ἀζαρίας ἐγέννησε τὸν Ἰωανάν,

Α Παραλ. 5,35 - Ο Αχιμάας απέκτησε τον Αζαρία, ο Αζαρίας απέκτησε τον Ιωανάν,

Α Παραλ. 5,36 - καὶ Ἰωανὰν ἐγέννησε τὸν Ἀζαρίαν· οὗτος ἱεράτευσεν ἐν τῷ οἴκῳ, ᾧ ᾠκοδόμησε Σαλωμὼν ἐν Ἱερουσαλήμ.

Α Παραλ. 5,36 - ο Ιωανάν απέκτησε τον Αζαρίαν. Αυτός υπήρξεν αρχιερεύς στον ναόν του Κυρίου, τον οποίον είχεν οικοδομήσει ο Σολομών εις την Ιερουσαλήμ.

Α Παραλ. 5,37 - καὶ ἐγέννησεν Ἀζαρίας τὸν Ἀμαρία, καὶ Ἀμαρία ἐγέννησε τὸν Ἀχιτώβ,

Α Παραλ. 5,37 - Ο Αζαρίας απέκτησε τον Αμαρία, ο Αμαρία, απέκτησε τον Αχιτώβ,

Α Παραλ. 5,38 - καὶ Ἀχιτὼβ ἐγέννησε τὸν Σαδώκ, καὶ Σαδὼκ ἐγέννησε τὸν Σαλώμ,

Α Παραλ. 5,38 - ο Αχιτώβ απέκτησε τον Σαδώκ, ο Σαδώκ απέκτησε τον Σαλώμ,

Α Παραλ. 5,39 - καὶ Σαλὼμ ἐγέννησε τὸν Χελκίαν, καὶ Χελκίας ἐγέννησε τὸν Ἀζαρίαν,

Α Παραλ. 5,39 - ο Σαλώμ απέκτησε τον Χελκίαν, ο Χελκίας απέκτησε τον Αζαρίαν,

Α Παραλ. 5,40 - καὶ Ἀζαρίας ἐγέννησε τὸν Σαραία, καὶ Σαραίας ἐγέννησε τὸν Ἰωσαδάκ,

Α Παραλ. 5,40 - ο Αζαρίας απέκτησε τον Σαραία, ο Σαραίας απέκτησε τον Ιωσαδάκ,

Α Παραλ. 5,41 - καὶ Ἰωσαδὰκ ἐπορεύθη ἐν τῇ μετοικεσίᾳ μετὰ Ἰούδα καὶ Ἱερουσαλὴμ ἐν χειρὶ Ναβουχοδονόσορ.

Α Παραλ. 5,41 - ο Ιωσαδάκ επήρε τον δρόμον της αιχμαλωσίας μαζή με την φυλήν του Ιούδα, όταν η Ιερουσαλήμ έπεσεν εις τας χείρας του Ναδουχοδονόσορος.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 6

Α Παραλ. 6,1 - Υἱοὶ Λευί· Γεδσών, Καὰθ καὶ Μεραρί.

Α Παραλ. 6,1 - Οι υιοί του Λευί ήσαν ο Γεδσών, ο Καάθ και ο Μεραρί.

Α Παραλ. 6,2 - καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Γεδσών· Λοβενὶ καὶ Σεμεΐ.

Α Παραλ. 6,2 - Αυτά δε είναι τα ονόματα των υιών του Γεδσών· ο Λοβενί και ο Σεμεΐ.

Α Παραλ. 6,3 - υἱοὶ Καάθ· Ἄμβραμ καὶ Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ.

Α Παραλ. 6,3 - Υιοί του Καάθ ήσαν· ο Αμβραμ και ο Ισσάαρ, ο Χεβρών και ο Οζιήλ.

Α Παραλ. 6,4 - υἱοὶ Μεραρί· Μοολὶ καὶ Ὁμουσί. καὶ αὗται αἱ πατριαὶ τοῦ Λευὶ κατὰ πατριὰς αὐτῶν.

Α Παραλ. 6,4 - Υιοί του Μεραρί ήσαν ο Μοολί και ο Ομουσί. Αυταί είναι αι οικογένειαι των Λευιτών κατά τους οίκους των πατέρων των.

Α Παραλ. 6,5 - τῷ Γεδσών· τῷ Λοβενὶ υἱῷ αὐτοῦ Ἰὲθ υἱὸς αὐτοῦ, Ζαμμὰ υἱὸς αὐτοῦ,

Α Παραλ. 6,5 - Εις τον Γεδσών υιοί και απόγονοι ήσαν οι εξής· Ο υιός του ο Λοβενί, ο υιός του Λοβενί ο Ιέθ, ο υιός του Ιέθ ο Ζαμμά,

Α Παραλ. 6,6 - Ἰωὰχ υἱὸς αὐτοῦ, Ἀδδὶ υἱὸς αὐτοῦ, Ζαρὰ υἱὸς αὐτοῦ, Ἰεθρὶ υἱὸς αὐτοῦ.

Α Παραλ. 6,6 - ο υιός του Ζαμά ο Ιωάχ, ο υιός του Ιωάχ ο Αδδί, ο υιός του Αδδί ο Ζαρά, ο υιός του Ζαρά ο Ιεθρί.

Α Παραλ. 6,7 - υἱοὶ Καάθ· Ἀμιναδὰβ υἱὸς αὐτοῦ, Κορὲ υἱὸς αὐτοῦ, Ἀσὴρ υἱὸς αὐτοῦ.

Α Παραλ. 6,7 - Οι απόγονοι δε του Καάθ ήσαν οι εξής· Αμιναδάβ ο υιός του, ο Κορέ ο υιός του Αμιναδάδ, ο Ασήρ ο υιός του Κορέ,

Α Παραλ. 6,8 - Ἑλκανὰ υἱὸς αὐτοῦ, Ἀβισὰφ υἱὸς αὐτοῦ,

Α Παραλ. 6,8 - ο Ελκανά ο υιός του Ασήρ, ο Αβισάφ ο υιός του Ελκανά, ο Ασήρ ο υιός του Αβισάφ,

Α Παραλ. 6,9 - Θαὰθ υἱὸς αὐτοῦ, Οὐριὴλ υἱὸς αὐτοῦ, Ὀζία υἱὸς αὐτοῦ, Σαοὺλ υἱὸς αὐτοῦ.

Α Παραλ. 6,9 - ο Θαάθ ο υιός του Ασήρ, ο Ουριήλ ο υιός του Θαάθ, ο Οζία ο υιός του Ουριήλ, ο Σαούλ ο υιός του Οζία.

Α Παραλ. 6,10 - καὶ υἱοὶ Ἑλκανά, Ἀμασὶ καὶ Ἀχιμώθ,

Α Παραλ. 6,10 - Οι υιοί του Ελκανά ήσαν ο Αμασί και ο Αχιμώθ,

Α Παραλ. 6,11 - Ἑλκανὰ υἱὸς αὐτοῦ, Σουφὶ υἱὸς αὐτοῦ καὶ Ναὰθ υἱὸς αὐτοῦ,

Α Παραλ. 6,11 - ο Ελκανά, οι υιοί του Ελκανά τούτου είναι ο Σουφί, ο Ναάθ ο υιός του Σουφί.

Α Παραλ. 6,12 - Ἐλιὰβ υἱὸς αὐτοῦ, Ἱερεὰμ υἱὸς αὐτοῦ, Ἑλκανὰ υἱὸς αὐτοῦ.

Α Παραλ. 6,12 - Ο Ελιάβ ο υιός του Ναάθ, ο Ιερεάμ ο υιός του Ελιάβ, ο Ελκανά ο υιός του Ιερεάμ.

Α Παραλ. 6,13 - υἱοὶ Σαμουήλ· ὁ πρωτότοκος Σανὶ καὶ Ἀβιά.

Α Παραλ. 6,13 - Υιοί του Σαμουήλ είναι· ο πρωτότοκος αυτού ο Σανί και ο Αβιά.

Α Παραλ. 6,14 - υἱοὶ Μεραρί· Μοολί, Λοβενὶ υἱὸς αὐτοῦ, Σεμεΐ υἱὸς αὐτοῦ, Ὀζὰ υἱὸς αὐτοῦ,

Α Παραλ. 6,14 - Οι απόγονοι του Μεραρί είναι· ο υιός του ο Μοολί, ο Λοβενί ο υιός του Μοολί, ο Σεμεΐ ο υιός του Λοβενί, ο Οζά ο υιός του Σεμεΐ,

Α Παραλ. 6,15 - Σαμαὰ υἱὸς αὐτοῦ, Ἀγγία υἱὸς αὐτοῦ, Ἀσαΐας υἱὸς αὐτοῦ.

Α Παραλ. 6,15 - ο Σαμαά ο υιός του Οζά, ο Αγγία ο υιός του Σαμαά, ο Ασαΐας ο υιός του Αγγία.

Α Παραλ. 6,16 - καὶ οὗτοι, οὓς κατέστησε Δαυὶδ ἐπὶ χεῖρας ᾀδόντων ἐν οἴκῳ Κυρίου ἐν τῇ καταπαύσει τῆς κιβωτοῦ,

Α Παραλ. 6,16 - Αυτοί είναι εκείνοι τους οποίους είχε καταστήσει ο Δαυίδ διευθυντάς των ψαλτών στον οίκον του Κυρίου, έπειτα από την εγκατάστασιν της Κιβωτού.

Α Παραλ. 6,17 - καὶ ἦσαν λειτουργοῦντες ἐναντίον τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν ὀργάνοις, ἕως οὗ ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον Κυρίου ἐν Ἱερουσαλήμ, καὶ ἔστησαν κατὰ τὴν κρίσιν αὐτῶν ἐπὶ τὰς λειτουργίας αὐτῶν.

Α Παραλ. 6,17 - Αυτοί υπηρετούσαν ενώπιον της Σκηνής του Μαρτυρίου με τα μουσικά των όργανα, έως ότου ο Σολομών οικοδόμησε τον ναόν του Κυρίου εις την Ιερουσαλήμ. Αυτοί δε κατενεμήθησαν αναλόγως των υπηρεσιών των ως ακολούθως·

Α Παραλ. 6,18 - καὶ οὗτοι οἱ ἑστηκότες καὶ υἱοὶ αὐτῶν ἐκ τῶν υἱῶν τοῦ Καάθ· Αἱμὰν ὁ ψαλτῳδὸς υἱὸς Ἰωήλ, υἱοῦ Σαμουήλ,

Α Παραλ. 6,18 - Πρώτον εκείνοι οι οποίοι είχαν ορισθή να προσφέρουν τας υπηρεσίας των μαζή με τους υιούς των. Από τους υιούς του Καάθ ήσαν Αιμάν ο ψάλτης ο υιός του Ιωήλ, ο οποίος ήτο υιός Σαμουήλ,

Α Παραλ. 6,19 - υἱοῦ Ἑλκανά, υἱοῦ Ἱερεβὰμ υἱοῦ Ἐλιὴλ υἱοῦ Θοοὺ

Α Παραλ. 6,19 - ο οποίος πάλιν Σαμουήλ ήτο υιός του Ελκανά, υιού του Ιερεβάμ υιού Ελιήλ, υιού του Θοού,

Α Παραλ. 6,20 - υἱοῦ Σοὺφ υἱοῦ Ἑλκανὰ υἱοῦ Μαὰθ υἱοῦ Ἀμαθὶ

Α Παραλ. 6,20 - ο Θοού ήτο υιός του Σουφ υιού του Ελκανά, υιού του Μαάθ, υιού του Αμαθί.

Α Παραλ. 6,21 - υἱοῦ Ἑλκανὰ υἱοῦ Ἰωὴλ υἱοῦ Ἀζαρία υἱοῦ Σαφανία

Α Παραλ. 6,21 - Ο Αμαθί ήτο υιός του Ελκανά, υιού του Ιωήλ, υιού του Αζαρία, υιού του Σαφανία.

Α Παραλ. 6,22 - υἱοῦ Θαὰθ υἱοῦ Ἀσὴρ υἱοῦ Ἀβιασὰφ υἱοῦ Κορὲ

Α Παραλ. 6,22 - Ο Σαφανίας ήτο υιός του Θαάθ, υιού του Ασήρ, υιού του Αβιασάφ, υιού του Κορέ,

Α Παραλ. 6,23 - υἱοῦ Ἰσάαρ υἱοῦ Καὰθ υἱοῦ Λευὶ υἱοῦ Ἰσραήλ.

Α Παραλ. 6,23 - υιού του Ισάαρ, υιού του Κααθ, ο οποίος Κααθ ήτο υιός του Λευί υιού του Ιακώβ.

Α Παραλ. 6,24 - καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀσὰφ ὁ ἑστηκὼς ἐν δεξιᾷ αὐτοῦ· Ἀσὰφ υἱὸς Βαραχία υἱοῦ Σαμαὰ

Α Παραλ. 6,24 - Ο αδελφός του Αιμαν ο Ασάφ ίστατο εις τα δεξιά του αδελφού του. Αυτός ο Ασάφ ήτο υιός του Βαραχία υιού του Σαμαά,

Α Παραλ. 6,25 - υἱοῦ Μιχαὴλ υἱοῦ Βαασία υἱοῦ Μελχία

Α Παραλ. 6,25 - υιού του Μιχαήλ, υιού του Βαασία, υιού του Μελχία.

Α Παραλ. 6,26 - υἱοῦ Ἀθανὶ υἱοῦ Ζαραΐ υἱοῦ Ἀδαΐ

Α Παραλ. 6,26 - Ο Μελχίας ήτο υιός του Αθανί, υιού του Ζαραΐ, υιού του Αδαΐ.

Α Παραλ. 6,27 - υἱοῦ Αἰθὰν υἱοῦ Ζαμμὰ υἱοῦ Σεμεΐ

Α Παραλ. 6,27 - Ο Αδαΐ ήτο υιός του Αιθάν, υιού του Ζαμά, υιού του Σεμεΐ.

Α Παραλ. 6,28 - υἱοῦ Ἰεὲθ υἱοῦ Γεθσὼν υἱοῦ Λευί.

Α Παραλ. 6,28 - Ο Σεμεί ήτο υιός του Ιεέθ, υιού του Γεθσών, υιού του Λευι.

Α Παραλ. 6,29 - καὶ υἱοὶ Μεραρὶ οἱ ἀδελφοὶ αὐτῶν ἐξ ἀριστερῶν· Αἰθὰν υἱὸς Κισὰ υἱοῦ Ἀβαΐ υἱοῦ Μαλὼχ

Α Παραλ. 6,29 - Οι απόγονοι του Μεραρί, οι αδελφοί του οι ευρισκόμενοι εις τα αριστερά ήσαν ο Αιθάν ο υιός του Κισά, υιού του Αβαΐ, υιού του Μαλών.

Α Παραλ. 6,30 - υἱοῦ Ἀσεβὶ υἱοῦ Ἀμεσία υἱοῦ Χελκίου

Α Παραλ. 6,30 - Ο Μαλώχ ήτο υιός του Ασεβί, υιού του Αμεσίου, υιού του Χελκίου.

Α Παραλ. 6,31 - υἱοῦ Ἀμασαΐ υἱοῦ Βανὶ υἱοῦ Σεμὴρ

Α Παραλ. 6,31 - Ο Χελκίας ήτο υιός του Αμασαΐ, υιού του Βανί, υιού του Σεμήρ.

Α Παραλ. 6,32 - υἱοῦ Μοολὶ υἱοῦ Μουσὶ υἱοῦ Μεραρὶ υἱοῦ Λευί.

Α Παραλ. 6,32 - Ο Σεμήρ ήτο υιός του Μοολί, υιού του Μουσί, υιού του Μεραρί, υιού του Λευι.

Α Παραλ. 6,33 - καὶ οἱ ἀδελφοὶ αὐτῶν κατ᾿ οἴκους πατριῶν αὐτῶν, οἱ Λευῖται οἱ δεδομένοι εἰς πᾶσαν ἐργασίαν λειτουργίας σκηνῆς οἴκου τοῦ Θεοῦ.

Α Παραλ. 6,33 - Οι αδελφοί των οι Λευίται κατά τας πατριαρχικάς των οικογενείας είχον ορισθή και είχον αναλάβει όλην την εξωτερικήν εργασίαν της Σκηνής του οίκου του Θεού.

Α Παραλ. 6,34 - καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ θυμιῶντες ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων καὶ ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων εἰς πᾶσαν ἐργασίαν ἅγια τῶν ἁγίων καὶ ἐξιλάσκεσθαι περὶ Ἰσραὴλ κατὰ πάντα, ὅσα ἐνετείλατο Μωυσῆς παῖς τοῦ Θεοῦ.

Α Παραλ. 6,34 - Ο Ααρών και οι υιοί του έκαιαν, ως ιερείς, επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων τα προς θυσίαν προσφερόμενα και προσέφερον θυμίαμα στο θυσιαστήριον των θυμιαμάτων. Αυτοί είχαν αναλάβει να εκπληρώνουν όλας τας υπηρεσίας εις τα Αγια των Αγίων και να εξιλεώνουν τον ισραηλιτικόν λαόν ενώπιον του Θεού σύμφωνα με όλα, όσα είχε διατάξει ο Μωϋσής, ο δούλος του Θεού.

Α Παραλ. 6,35 - καὶ οὗτοι υἱοὶ Ἀαρών· Ἐλεάζαρ υἱὸς αὐτοῦ, Φινεὲς υἱὸς αὐτοῦ, Ἀβισοὺ υἱὸς αὐτοῦ,

Α Παραλ. 6,35 - Αυτοί δε είναι οι υιοί και οι απόγονοι του Ααρών· ο Ελεάζαρ ο υιός του Ααρών, ο Φινεές ο υιός του Ελεάζαρ, ο Αβισού ο υιός του Φινεές,

Α Παραλ. 6,36 - Βωκαὶ υἱὸς αὐτοῦ, Ὀζὶ υἱὸς αὐτοῦ, Ζαραΐα υἱὸς αὐτοῦ,
Α Παραλ. 6,36 - ο Βωκαί ο υιός του Αβισού, ο Οζί ο υιός του Βωκαί, ο Ζαραΐα ο υιός του Οζί,
Α Παραλ. 6,37 - Μαριὴλ υἱὸς αὐτοῦ, Ἀμαρία υἱὸς αὐτοῦ, Ἀχιτὼβ υἱὸς αὐτοῦ,
Α Παραλ. 6,37 - ο Μαριήλ ο υιός του Ζαραΐα, ο Αμαρία ο υιός του Μαριήλ, ο Αχιτώβ ο υιός του Αμαρία.
Α Παραλ. 6,38 - Σαδὼκ υἱὸς αὐτοῦ, Ἀχιμάας υἱὸς αὐτοῦ.
Α Παραλ. 6,38 - Ο Σαδώκ ο υιός του Αχιτώβ, ο Αχιμάας ο υιός του Σαδώκ.
Α Παραλ. 6,39 - καὶ αὗται αἱ κατοικίαι αὐτῶν ἐν ταῖς κώμαις αὐτῶν, ἐν τοῖς ὁρίοις αὐτῶν· τοῖς υἱοῖς Ἀαρὼν τῇ πατριᾷ τοῦ Κααθὶ -ὅτι αὐτοῖς ἐγένετο ὁ κλῆρος-
Α Παραλ. 6,39 - Αυταί δε ήσαν αι κατοικίαι των εις τας διαφόρους πόλεις και τα περίχωρα αυτών. Εις τους υιούς του Ααρών και εις την οικογένειαν του Κααθί
Α Παραλ. 6,40 - καὶ ἔδωκαν αὐτοῖς τὴν Χεβρὼν ἐν γῇ Ἰούδα καὶ τὰ περισπόρια αὐτῆς κύκλῳ αὐτῆς·
Α Παραλ. 6,40 - εδόθη δια κλήρου η Χεβρών εις την γην του Ιούδα και αι γύρω καλλιεργήσιμοι εκτάσεις.
Α Παραλ. 6,41 - καὶ τὰ πεδία τῆς πόλεως καὶ τὰς κώμας αὐτῆς ἔδωκαν τῷ Χαλὲβ υἱῷ Ἰεφοννή.
Α Παραλ. 6,41 - Αλλά τους αγρούς της πόλεως και τας κωμοπόλεις αυτής έδωκαν στον Χαλέβ, τον υιόν του Ιεφοννή.
Α Παραλ. 6,42 - καὶ τοῖς υἱοῖς Ἀαρὼν ἔδωκαν τὰς πόλεις τῶν φυγαδευτηρίων, τὴν Χεβρὼν καὶ τὴν Λοβνὰ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Σελνὰ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἐσθαμὼ καὶ τὰ περισπόρια αὐτῆς
Α Παραλ. 6,42 - Εις τους υιούς του Ααρών έδωσαν τας πόλεις- άσυλα την Χεβρών, την Λοβνά και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις, την Σελνά και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις, την Εσθαμώ και τας γύρω από αυτήν καλιεργησίμους γαίας,
Α Παραλ. 6,43 - καὶ τὴν Ἰεθθὰρ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Δαβὶρ καὶ τὰ περισπόρια αὐτῆς
Α Παραλ. 6,43 - την Ιεθθάρ και τους γύρω από αυτήν καλλιεργησίμους αγρούς, την Δαβίρ και τους γύρω από αυτήν καλλιεργησίμους αγρούς,
Α Παραλ. 6,44 - καὶ τὴν Ἀσὰν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Βασαμὺς καὶ τὰ περισπόρια αὐτῆς.
Α Παραλ. 6,44 - την Ασάν και τας γύρω από αυτήν καλλιεργησίμους γαίας, την Βασαμύς και τας γύρω από αυτήν καλλιεργησίμους γαίας.

Α Παραλ. 6,45 - καὶ ἐκ φυλῆς Βενιαμὶν τὴν Γαβαὲ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Γαλεμὲθ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἀναθὼθ καὶ τὰ περισπόρια αὐτῆς· πᾶσαι αἱ πόλεις αὐτῶν τρισκαίδεκα πόλεις κατὰ πατριὰς αὐτῶν.

Α Παραλ. 6,45 - Από δε την περιοχήν της φυλής Βενιαμίν έδωκαν την Γαβαέ και τας γύρω αυτής καλλιεργησίμους γαίας, την Γαλεμέθ και τας γύρω από αυτήν καλλιεργησίμους γαίας, την Αναθώθ και τας γύρω από αυτήν καλλιεργησίμους γαίας. Ολαι αυταί αι πόλεις ήσαν εν όλω δεκατρείς, ανά τας διαφόρους πατριαρχικάς οικογενείας.

Α Παραλ. 6,46 - καὶ τοῖς υἱοῖς Καὰθ τοῖς καταλοίποις ἐκ τῶν πατριῶν ἐκ τῆς φυλῆς ἐκ τοῦ ἡμίσους φυλῆς Μανασσῆ κλήρῳ πόλεις δέκα.

Α Παραλ. 6,46 - Εις τους άλλους υιούς του Καάθ έδωσαν δια κλήρου δέκα πόλεις από τας οικογενείας της φυλής και από το ήμισυ της φυλής του Μανασσή.

Α Παραλ. 6,47 - καὶ τοῖς υἱοῖς Γεδσὼν κατὰ πατριὰς αὐτῶν ἐκ φυλῆς Ἰσσάχαρ, ἐκ φυλῆς Ἀσήρ, ἀπὸ φυλῆς Νεφθαλί, ἐκ φυλῆς Μανασσῆ ἐν τῇ Βασὰν πόλεις τρισκαίδεκα.

Α Παραλ. 6,47 - Εις τους απογόνους του Γεδσών έδωσαν δια κλήρου κατά τας πατριαρχικάς αυτών οικογενείας δεκατρείς πόλεις από την φυλήν Ισσάχαρ, την φυλήν Ασήρ, την φυλήν Νεφθαλί και την φυλήν Μανασσή εις την χώραν Βασάν.

Α Παραλ. 6,48 - καὶ τοῖς υἱοῖς Μεραρί κατὰ πατριὰς αὐτῶν ἐκ φυλῆς Ῥουβήν, ἐκ φυλῆς Γάδ, ἐκ φυλῆς Ζαβουλὼν κλήρῳ πόλεις δεκαδύο.

Α Παραλ. 6,48 - Εις τους απογόνους του Μεραρί έδωσαν κατά τας πατριαρχικάς αυτών οικογενείας δια κλήρου δώδεκα πόλεις από την φυλήν Ρουβήν, από την φυλήν Γαδ, από την φυλήν Ζαβουλών.

Α Παραλ. 6,49 - καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευίταις τὰς πόλεις καὶ τὰ περισπόρια αὐτῶν·

Α Παραλ. 6,49 - Οι Ισραηλίται έδωκαν στους Λευίτας τας πόλεις αυτάς και τας γύρω από αυτάς καλλιεργησίμους γαίας.

Α Παραλ. 6,50 - καὶ ἔδωκαν ἐν κλήρῳ ἐκ φυλῆς υἱῶν Ἰούδα καὶ ἐκ φυλῆς υἱῶν Συμεὼν καὶ ἐκ φυλῆς υἱῶν Βενιαμὶν τὰς πόλεις ταύτας, ἃς ἐκάλεσεν αὐτὰς ἐπ᾿ ὀνόματος.

Α Παραλ. 6,50 - Εδωκαν δηλαδή δια κλήρου από την φυλήν του Ιούδα, από την φυλήν Συμεών, από την φυλήν Βενιαμίν τας πόλεις αυτάς, αι οποίαι ανεφέρθησαν με τα ονόματά των.

Α Παραλ. 6,51 - καὶ ἀπὸ τῶν πατριῶν υἱῶν Καὰθ καὶ ἐγένοντο πόλεις τῶν ὁρίων αὐτῶν ἐκ φυλῆς Ἐφραίμ.

Α Παραλ. 6,51 - Οσον δε δια τας άλλας οικογενείας των απογόνων του Καάθ αι πόλεις, αι οποίαι δια κλήρου τους εδόθησαν, ήσαν από την φυλήν

του Εφραίμ.

Α Παραλ. 6,52 - καὶ ἔδωκαν αὐτοῖς τὰς πόλεις τῶν φυγαδευτηρίων, τὴν Συχὲμ καὶ τὰ περισπόρια αὐτῆς ἐν ὅρει Ἐφραὶμ καὶ τὴν Γαζὲρ καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,52 - Εδωκαν εις αυτούς ως πόλεις- φυγαδευτήρια την πόλιν Συχέμ και τας γύρω αυτής καλλιεργησίμους γαίας στο όρος Εφραίμ και την Γαζέρ με την γύρω αυτής καλλιεργήσιμον περιοχήν.

Α Παραλ. 6,53 - καὶ τὴν Ἰεκμαὰν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Βαιθωρὼν καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,53 - Εδωκαν επίσης την πόλιν Ιεκμαάν και τους γύρω αυτής καλλιεργησίμους αγρούς, την Βαιθωρών και τους γύρω αυτής καλλιεργησίμους αγρούς.

Α Παραλ. 6,54 - καὶ τὴν Ἐγλὰμ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Γεθρεμμὼν καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,54 - Την Εγλάμ και τους γύρω αυτής καλιεργησίμους αγρούς, την Γεθρεμμών και την γύρω αυτής καλλιεργήσιμον περιοχήν.

Α Παραλ. 6,55 - καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὴν Ἀνὰρ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰεμβλάαν καὶ τὰ περισπόρια αὐτῆς, κατὰ πατριὰν τοῖς υἱοῖς Καὰθ τοῖς καταλοίποις.

Α Παραλ. 6,55 - Εις δε τας υπολοίπους οικογενείας των άλλων υιών του Καάθ έδωσαν από το ήμισυ της φυλής Μανασσή την πόλιν Ανάρ και τας γύρω αυτής καλλιεργησίμους γαίας, την Ιεμβλάαν και τας γύρω αυτής καλλιεργησίμους γαίας.

Α Παραλ. 6,56 - τοῖς υἱοῖς Γεδσὼν ἀπὸ πατριῶν ἡμίσους φυλῆς Μανασσῆ τὴν Γωλὰν ἐκ τῆς Βασὰν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἀσηρὼθ καὶ τὰ περισπόρια αὐτῆς·

Α Παραλ. 6,56 - Εις τους υιούς του Γεδσών έδωσαν από τας οικογενείας του ημίσεος της φυλής του Μανασσή την πόλιν Γωλάν από την χώραν Βασάν και τας γύρω αυτής καλλιεργησίμους εκτάσεις. Την Ασηρώθ και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις.

Α Παραλ. 6,57 - καὶ ἐκ φυλῆς Ἰσσάχαρ τὴν Κέδες καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Δεβερὶ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Δαβὼρ καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,57 - Από την φυλήν του Ισσάχαρ έδωσαν την Κέδες και τας γύρω αυτής καλλιεργησίμους εκτάσεις, την Δεβερί και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις, την Δαβώρ και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις.

Α Παραλ. 6,58 - καὶ τὴν Ζαβὼρ καὶ τὴν Αἰνὰν καὶ τὰ περισπόρια αὐτῆς·

Α Παραλ. 6,58 - Την Ζαβώρ και την Αινάν και τας γύρω από αυτάς καλλιεργησίμους γαίας.

Α Παραλ. 6,59 - καὶ ἐκ φυλῆς Ἀσὴρ τὴν Μαασὰλ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἀβδὼν καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,59 - Από την φυλήν του Ασήρ έδωκαν την Μαασάλ και τας γύρω αυτής καλλιεργησίμους γαίας, την Αβδών και τας γύρω από αυτήν καλλιεργησίμους γαίας.

Α Παραλ. 6,60 - καὶ τὴν Ἀκὰκ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ῥοὼβ καὶ τὰ περισπόρια αὐτῆς·

Α Παραλ. 6,60 - Την Ακάκ και τας γύρω από αυτήν καλλιεργησίμους γαίας, την Ροώβ και τας γύρω από αυτήν καλλιεργησίμους γαίας.

Α Παραλ. 6,61 - καὶ ἀπὸ φυλῆς Νεφθαλὶ τὴν Κέδες ἐν τῇ Γαλιλαίᾳ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Χαμὼθ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Καριαθαΐμ καὶ τὰ περισπόρια αὐτῆς.

Α Παραλ. 6,61 - Από την φυλήν του Νεφθαλί έδωσαν την Κέδες εις την Γαλιλαίαν και τους γύρω από αυτούς καλλιεργησίμους αγρούς, την Χαμώθ και τας γύρω από αυτήν καλλιεργησίμους γαίας, την Καριαθαΐμ και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις.

Α Παραλ. 6,62 - τοῖς υἱοῖς Μεραρὶ τοῖς καταλοίποις ἐκ φυλῆς Ζαβουλὼν τὴν Ῥεμμὼν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Θαλλιὰ καὶ τὰ περισπόρια αὐτῆς,

Α Παραλ. 6,62 - Εδωσαν στους υπολοίπους Λευίτας, απογόνους του Μεραρί, από την φυλήν Ζαβουλών την πόλιν Ρεμμών και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις, την Θαλλιά και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις.

Α Παραλ. 6,63 - ἐκ τοῦ πέραν τοῦ Ἰορδάνου τὴν Ἱεριχὼ κατὰ δυσμὰς τοῦ Ἰορδάνου· ἐκ φυλῆς Ῥουβὴν τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰασὰ καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,63 - Από δε την πέραν του Ιορδάνου περιοχήν απέναντι από την Ιεριχώ, την κειμένην προς δυσμάς του Ιορδάνου ποταμού, έδωσαν από την φυλήν του Ρουβήν την Βοσόρ, η οποία ευρίσκεται εις την έρημον με τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις, την Ιασά και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις,

Α Παραλ. 6,64 - καὶ τὴν Καδμὼθ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Μαεφλὰ καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,64 - την Καδμώθ και τας γύρω από αυτήν καλλιεργησίμους γαίας, την Μαεφλά και τους γύρω από αυτήν καλλιεργησίμους αγρούς.

Α Παραλ. 6,65 - καὶ ἐκ φυλῆς Γὰδ τὴν Ῥαμμὼθ Γαλαὰδ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Μααναΐμ καὶ τὰ περισπόρια αὐτῆς

Α Παραλ. 6,65 - Από δε την φυλήν του Γαδ έδωσαν την Ραμμώθ εις την χώραν Γαλαάδ και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις, την Μααναΐμ και τας γύρω από αυτήν καλλιεργησίμους εκτάσεις.

Α Παραλ. 6,66 - καὶ τὴν Ἐσεβὼν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς.

Α Παραλ. 6,66 - Την Εσεβών και τας γύρω αυτής καλλιεργησίμους εκτάσεις και την Ιαζήρ και τας γύρω αυτής καλλιεργησίμους εκτάσεις.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 7

Α Παραλ. 7,1 - Καὶ τοῖς υἱοῖς Ἰσσάχαρ· Θωλὰ καὶ Φουὰ καὶ Ἰασοὺβ καὶ Σεμερών, τέσσαρες.

Α Παραλ. 7,1 - Οι υιοί του Ισσάχαρ ήσαν ο Θωλά, ο Φουα, ο Ιασούβ, ο Σεμερών, τέσσαρες εν όλω.

Α Παραλ. 7,2 - καὶ υἱοὶ Θωλά· Ὀζί, Ῥαφαΐα καὶ Ἰεριὴλ καὶ Ἰαμαΐ καὶ Ἰεβασὰμ καὶ Σαμουήλ, ἄρχοντες οἴκων πατριῶν αὐτῶν τῷ Θωλά, ἰσχυροὶ δυνάμει κατὰ γενέσεις αὐτῶν. ὁ ἀριθμὸς αὐτῶν ἐν ἡμέραις Δαυὶδ εἴκοσι καὶ δύο χιλιάδες καὶ ἑξακόσιοι.

Α Παραλ. 7,2 - Οι υιοί του Θωλά, ήσαν ο Οζί, ο Ραφαΐα, ο Ιεριήλ, ο Ιαμαΐ, ο Ιεβασάμ και ο Σαμουήλ. Ολοι αυτοί ήσαν αρχηγοί των πατριαρχικών οικογενειών, που είχαν εξέλθει από τον Θωλά, άνδρες γενναίοι, καταγεγραμμένοι κατά τας γενεαλογίας των και των οποίων ο αριθμός κατά την εποχήν του Δαυίδ ανήλθεν εις είκοσι δύο χιλιάδας εξακοσίους.

Α Παραλ. 7,3 - καὶ υἱοὶ Ὀζί· Ἰεζραΐα καὶ υἱοὶ Ἰεζραΐα· Μιχαήλ, Ἀβδιοὺ καὶ Ἰωὴλ καὶ Ἰεσία, πέντε, ἄρχοντες πάντες.

Α Παραλ. 7,3 - Υιός του Οζί ήτο ένάς, ο Ιεζραΐα. Υιοί του Ιεζραΐα ήσαν ο Μιχαήλ, ο Αβδιού, ο Ιωήλ, ο Ιεσία, εν όλω πέντε αρχηγοί πατριαρχικών οικογενειών.

Α Παραλ. 7,4 - καὶ ἐπ᾿ αὐτῶν κατὰ γενέσεις αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, ἰσχυροὶ παρατάξασθαι εἰς πόλεμον τριάκοντα καὶ ἓξ χιλιάδες, ὅτι ἐπλήθυναν γυναῖκας καὶ υἱούς.

Α Παραλ. 7,4 - Μαζή με αυτούς, κατά τας γενεαλογίας των και τας πατριαρχικάς των οικογενείας, ήσαν άνδρες ισχυροί στον πόλεμον εν όλω τριανταέξ χιλιάδες. Τούτο δε διότι είχον πρλλάς γυναίκας και πολλά παιδιά.

Α Παραλ. 7,5 - καὶ ἀδελφοὶ αὐτῶν εἰς πάσας πατριὰς Ἰσσάχαρ καὶ ἰσχυροὶ δυνάμει ὀγδοήκοντα καὶ ἑπτὰ χιλιάδες, ὁ ἀριθμὸς αὐτῶν τῶν πάντων.

Α Παραλ. 7,5 - Οι αδελφοί αυτών, οι της ιδίας φυλής άνδρες εις όλας τας πατριαρχικάς οικογενείας της φυλής του Ισσάχαρ, ήσαν γενναίοι άνδρες, των όποίων ο αριθμός ανήρχετο εν συνόλω εις ογδοήκοντα επτά χιλιάδας.

Α Παραλ. 7,6 - υἱοὶ Βενιαμίν· Βαλὲ καὶ Βαχὶρ καὶ Ἰαδιήλ, τρεῖς.

Α Παραλ. 7,6 - Υιοί του Βενιαμίν ήσαν ο Βαλέ, ο Βαχίρ και ο Ιαδιήλ, τρεις εν όλω.

Α Παραλ. 7,7 - καὶ υἱοὶ Βαλέ· Ἀσεβὼν καὶ Ὀζὶ καὶ Ὀζιὴλ καὶ Ἰεριμὼθ καὶ Οὐρί, πέντε, ἄρχοντες οἴκων πατριῶν ἰσχυροὶ δυνάμει, καὶ ὁ ἀριθμὸς αὐτῶν εἴκοσι καὶ δύο χιλιάδες καὶ τριακοντατέσσαρες.

Α Παραλ. 7,7 - Οι υιοί του Βαλέ ήσαν ο Ασεβών, ο Οζί, ο Οζιήλ, ο Ιεριμώθ και ο Ουρί, εν όλω πέντε. Αρχηγοί πατριαρχικών οίκων, άνδρες γενναίοι, των οποίων ο αριθμός της φυλής αυτής ανήρχετο εις είκοσι δύο χιλιάδας τριάκοντα τέσσαρας.

Α Παραλ. 7,8 - καὶ υἱοὶ Βαχίρ· Ζεμιρὰ καὶ Ἰωὰς καὶ Ἐλιέζερ καὶ Ἐλιθενὰν καὶ Ἀμαρία καὶ Ἰεριμὼθ καὶ Ἀβιοὺδ καὶ Ἀναθὼθ καὶ Ἐλμεμέθ· πάντες οὗτοι υἱοὶ Βαχίρ.

Α Παραλ. 7,8 - Οι υιοί του Βαχίρ ήσαν ο Ζεμιρά, ο Ιωάς, ο Ελιέζερ, ο Ελιθενάν, ο Αμαρία, ο Ιεριμώθ, ο Αβιούδ, ο Αναθώθ και ο Ελμεμέθ. Ολοι αυτοί ήσαν υιοί του Βαχίρ·

Α Παραλ. 7,9 - καὶ ὁ ἀριθμὸς αὐτῶν κατὰ γενέσεις αὐτῶν, ἄρχοντες οἴκων πατριῶν αὐτῶν ἰσχυροὶ δυνάμει, εἴκοσι χιλιάδες καὶ διακόσιοι.

Α Παραλ. 7,9 - οι εγγεγραμμένοι εις τας γενεαλογίας κατά τας γενεάς των, αρχηγοί πατριαρχικών οίκων, άνδρες γενναίοι, εν όλω είκοσι χιλιάδες διακόσιοι.

Α Παραλ. 7,10 - καὶ υἱοὶ Ἰαδιήλ· Βαλαάν. καὶ υἱοὶ Βαλαάν· Ἰαοὺς καὶ Βενιαμὶν καὶ Ἀὼθ καὶ Χανανὰ καὶ Ζαιθὰν καὶ Θαρσὶ καὶ Ἀχισαάρ.

Α Παραλ. 7,10 - Υιός του Ιαδιήλ ήτο εις, ο Βαλαάν, υιοί του Βαλαάν ήσαν ο Ιαούς, ο Βενιαμίν, ο Αώθ, ο Χανανά, ο Ζαιθάν, ο Θαρσί και ο Αχισαάρ.

Α Παραλ. 7,11 - πάντες οὗτοι υἱοὶ Ἰαδιήλ, ἄρχοντες τῶν πατριῶν ἰσχυροὶ δυνάμει ἑπτακαίδεκα χιλιάδες καὶ διακόσιοι, ἐκπορευόμενοι δυνάμει τοῦ πολεμεῖν.

Α Παραλ. 7,11 - Ολοι αυτοί ήσαν υιοί του Ιαδιήλ, αρχηγοί πατριαρχικών οικογενειών, γενναίοι άνδρες, ανερχόμενοι εις δέκα επτά χιλιάδας διακοσίους και οι οποίοι ηδύναντο να εκστρατεύουν και να λαμβάνουν μέρος στον πόλεμον.

Α Παραλ. 7,12 - καὶ Σαπφὶν καὶ Ἀπφὶν καὶ υἱοὶ Ῥαώμ· υἱὸς αὐτοῦ Ἀέρ.

Α Παραλ. 7,12 - Ο Σαπφίν και ο Απφίν ήσαν υιοί του Ραώμ, του οποίου έγγονος ήτο ο Αέρ.

Α Παραλ. 7,13 - υἱοὶ Νεφθαλί· Ἰασιήλ, Γωνὶ καὶ Ἰσσιὴρ καὶ Σαλλούρ, υἱοὶ Βαλαά.

Α Παραλ. 7,13 - Οι υιοί του Νεφθαλί ήσαν ο Ιασιήλ, ο Γωνί, ο Ισσιήρ, ο Σαλλούρ, απόγονοι, της Βαλαά.

Α Παραλ. 7,14 - υἱοὶ Μανασσῆ· Ἀσεριήλ, ὃν ἔτεκεν ἡ παλλακὴ αὐτοῦ ἡ Σύρα· ἔτεκε δὲ αὐτῷ καὶ Μαχὶρ πατέρα Γαλαάδ.

Α Παραλ. 7,14 - Υιοί του Μανασσή ήσαν· ο Ασεριήλ, τον οποίον εγέννησεν η δευτέρας σειράς εκ Συρίας σύζυγος του. Αυτή δε εγέννησεν εις

αυτόν και τον Μαχίρ, τον πατέρα της χώρας Γαλαάδ.

Α Παραλ. 7,15 - καὶ Μαχὶρ ἔλαβε γυναῖκα τῷ Ἀμφὶν καὶ Μαμφίν· καὶ ὄνομα ἀδελφῆς αὐτοῦ Μοωχά. καὶ ὄνομα τῷ δευτέρῳ Σαλπαάδ, καὶ ἐγεννήθησαν τῷ Σαλπαὰδ θυγατέρες.

Α Παραλ. 7,15 - Ο Μαχίρ εξέλεξεν αυτός συζύγους δια τους υιούς του Αμφίν και Μαμφίν. Το όνομα δε της αδελφής του ήτο Μοωχά. Το όνομα του δευτέρου του υιού ήτο Σαλπαάδ. Ο Σαλπαάδ απέκτησε μόνον θυγατέρας.

Α Παραλ. 7,16 - καὶ ἔτεκε Μοωχὰ γυνὴ Μαχὶρ υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές, καὶ ὄνομα ἀδελφοῦ αὐτοῦ Σόρος· υἱοὶ αὐτοῦ Οὐλὰμ καὶ Ῥοκόμ.

Α Παραλ. 7,16 - Η Μοωχά, σύζυγος του Μαχίρ, εγέννησεν υιόν τον οποίον εκάλεσε Φαρές. Το όνομα του αδελφού του ήτο Σορος. Υιοί του δε ήσαν ο Ουλάμ και ο Ροκόμ.

Α Παραλ. 7,17 - καὶ υἱοὶ Οὐλάμ, Βαδάν. οὗτοι υἱοὶ Γαλαὰδ υἱοῦ Μαχὶρ υἱοῦ Μανασσῆ.

Α Παραλ. 7,17 - Υιός του Ουλάμ ήτο ένας, ο Βαδάν. Αυτοί είναι οι υιοί του Γαλαάδ, υιού του Μαχίρ, υιού του Μανασσή.

Α Παραλ. 7,18 - καὶ ἡ ἀδελφὴ αὐτοῦ ἡ Μαλεχὲθ ἔτεκε τὸν Ἰσαδὲκ καὶ τὸν Ἀβιέζερ καὶ τὸν Μαελά.

Α Παραλ. 7,18 - Η αδελφή αυτού η Μαλεχέθ εγέννησε τον Ισαδέκ, τον Αβιέζερ και τον Μαελά.

Α Παραλ. 7,19 - καὶ ἦσαν υἱοὶ Σεμιρά· Ἰααὶμ καὶ Συχὲμ καὶ Λαχὶμ καὶ Ἀνιάν.

Α Παραλ. 7,19 - Οι υιοί του Σεμιρά ήσαν ο Ιααίμ, ο Συχέμ, ο Λαχίμ και ο Ανιάν.

Α Παραλ. 7,20 - καὶ υἱοὶ Ἐφραίμ· Σωθαλὰ καὶ Βαρὰδ υἱὸς αὐτοῦ καὶ Θαὰθ υἱὸς αὐτοῦ, Ἐλεαδὰ υἱὸς αὐτοῦ, Νομεὲ υἱὸς αὐτοῦ,

Α Παραλ. 7,20 - Οι απόγονοι του Εφραίμ ήσαν ο Σωθαλά, ο Βαράδ υιός του Σωθαλά, ο Θαάθ υιός του Βαράδ, ο Ελεαδά υιός του Θαάθ, ο Νομεέ υιός του Ελεαδά.

Α Παραλ. 7,21 - Ζαβὲδ υἱὸς αὐτοῦ, Σωθελὲ υἱὸς αὐτοῦ καὶ Ἀζὲρ καὶ Ἐλεάδ. καὶ ἀπέκτειναν αὐτοὺς οἱ ἄνδρες Γὲθ οἱ τεχθέντες ἐν τῇ γῇ, ὅτι κατέβησαν τοῦ λαβεῖν τὰ κτήνη αὐτῶν.

Α Παραλ. 7,21 - Ο Ζαβέδ, ο υιός του Νομεέ, ο Σωθελέ ο υιός του Ζαβέδ, του οποίου υιός επίσης ήτο ο Αζέρ και ο Ελεάδ, τους οποίους εφόνευσαν άνθρωποι της Γέθ, οι εντόπιοι, διότι αυτοί είχαν κατεβή προς εκείνους, δια να αρπάσουν τα κτήνη των.

Α Παραλ. 7,22 - καὶ ἐπένθησεν Ἐφραὶμ ὁ πατὴρ αὐτῶν ἡμέρας πολλάς, καὶ ἦλθον οἱ ἀδελφοὶ αὐτοῦ τοῦ παρακαλέσαι αὐτόν.

Α Παραλ. 7,22 - Ο πατέρας των ο Εφραίμ επένθησεν αυτούς επί πολλάς ημέρας και ήλθον οι αδελφοί αυτού να τον παρηγορήσουν.

Α Παραλ. 7,23 - καὶ εἰσῆλθε πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔλαβεν ἐν γαστρὶ καὶ ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Βαραγά, ὅτι ἐν κακοῖς ἐγένετο ἐν οἴκῳ μου.

Α Παραλ. 7,23 - Αυτός ήλθεν εις επικοινωνίαν με την γυναίκα του, εκείνη δε συνέλαβε και εγέννησεν υιόν, τον οποίον και εκάλεσε Βαραγά. Του έδωσε δε αυτό το όνομα, διότι μεγάλαι συμφοραί είχον πέσει τότε στον οίκον του.

Α Παραλ. 7,24 - καὶ ἐν ἐκείνοις τοῖς καταλοίποις καὶ ᾠκοδόμησε τὴν Βαιθωρὼν τὴν κάτω καὶ τὴν ἄνω. καὶ υἱοὶ Ὀζάν· Σεηρά,

Α Παραλ. 7,24 - Με τους υπολοίπους αυτού υιούς οικοδόμησε την Ανω και Κατω Βαιθωρών. Υιοί του Οζάν ήσαν ο Σεηρά,

Α Παραλ. 7,25 - καὶ Ῥαφὴ υἱοὶ αὐτοῦ, Σαρὰφ καὶ Θαλεὲς υἱοὶ αὐτοῦ, Θαὲν υἱὸς αὐτοῦ.

Α Παραλ. 7,25 - υιοί δε του Σεηρά ο Ραφή, ο Σαράφ, ο Θαλεές και ο Θαέν ο υιός αυτού.

Α Παραλ. 7,26 - τῷ Λααδὰν υἱῷ αὐτοῦ υἱὸς Ἀμιούδ, Ἐλισαμαΐ υἱὸς αὐτοῦ,

Α Παραλ. 7,26 - Υιοί του Θαέν ήσαν ο Λααδάν και ο υιός του Λααδάν ο Αμιούδ, υιός του Αμιούδ ο Ελισαμαΐ.

Α Παραλ. 7,27 - Νοὺμ υἱὸς αὐτοῦ, Ἰησουὲ υἱὸς αὐτοῦ.

Α Παραλ. 7,27 - Υιός του Ελισαμαῒ ο Νούμ, υιός του Νουμ ο Ιησουέ.

Α Παραλ. 7,28 - καὶ κατάσχεσις αὐτῶν καὶ κατοικία αὐτῶν· Βαιθὴλ καὶ αἱ κῶμαι αὐτῆς, κατ᾿ ἀνατολὰς Νοαράν, πρὸς δυσμαῖς Γαζὲρ καὶ αἱ κῶμαι αὐτῆς· καὶ Συχὲμ καὶ αἱ κῶμαι αὐτῆς ἕως Γαιὰν καὶ αἱ κῶμαι αὐτῆς.

Α Παραλ. 7,28 - Αι κατακτηθείσαι περιοχαί και κατοικίαι αυτών ήσαν η Βαιθήλ και αι κώμαι αι περί αυτήν. Προς ανατολάς η Νοαράν, προς δυσμάς η Γαζέρ και αι κώμαι, που εξηρτώντο από αυτήν. Η Συχέμ και αι κώμαι αυτής μέχρι της Γαιάν και των κωμοπόλεων, που εξηρτώντο από αυτήν.

Α Παραλ. 7,29 - καὶ ἕως ὁρίων υἱῶν Μανασσῆ· Βαιθσαὰν καὶ αἱ κῶμαι αὐτῆς, Θααναὰχ καὶ αἱ κῶμαι αὐτῆς, Μαγεδδὼ καὶ αἱ κῶμαι αὐτῆς, Δὼρ καὶ αἱ κῶμαι αὐτῆς. ἐν ταύταις κατῴκησαν υἱοὶ Ἰωσὴφ υἱοῦ Ἰσραήλ.

Α Παραλ. 7,29 - Εις την περιοχήν των υιών Μανασσή, ήσαν αι πόλεις Βαιθσαάν και αι περί αυτήν κώμαι, η Θαανάχ και αι κώμαι που εξηρτώντο από αυτήν. Η Μαγεδδώ και αι κώμαι που εξηρτώντο από αυτήν. Η Δωρ και αι περί αυτήν κώμαι. Εις αυτάς είχον εγκατασταθή οι απόγονοι του Ιωσήφ, του υιού του Ιακώβ.

Α Παραλ. 7,30 - υἱοὶ Ἀσήρ· Ἰεμνὰ καὶ Σουΐα. καὶ Ἰσουΐ καὶ Βεριὰ καὶ Σορὲ ἀδελφὴ αὐτῶν.

Α Παραλ. 7,30 - Οι υιοί του Ασήρ ήσαν ο Ιεμνά, ο Σουΐα, ο Ισουΐ, ο Βεριά και η αδελφή αυτών η Σορέ.

Α Παραλ. 7,31 - καὶ υἱοὶ Βεριά· Χάβερ καὶ Μελχιήλ, οὗτος πατὴρ Βερζαΐθ.

Α Παραλ. 7,31 - Υιοί του Βεριά ήσαν ο Χαβερ και ο Μελχιήλ. Αυτός ήτο πατήρ του Βερζαΐθ.

Α Παραλ. 7,32 - καὶ Χάβερ ἐγέννησε τὸν Ἰαφλὴτ καὶ τὸν Σαμὴρ καὶ τὸν Χωθὰμ καὶ τὴν Σωλὰ ἀδελφὴν αὐτῶν.

Α Παραλ. 7,32 - Ο Χαβερ εγέννησε τον Ιαφλήτ, τον Σαμήρ, τον Χωθάμ και την αδελφήν αυτών την Σωλά.

Α Παραλ. 7,33 - καὶ υἱοὶ Ἰαφλήτ· Φασὲκ καὶ Βαβαὴλ καὶ Ἀσίθ· οὗτοι υἱοὶ Ἰαφλήτ.

Α Παραλ. 7,33 - Υιοί του Ιαφλήτ ήσαν ο Φασέκ, ο Βαμαήλ και ο Ασίθ. Αυτοί είναι οι υιοί του Ιαφλήτ.

Α Παραλ. 7,34 - καὶ υἱοὶ Σεμμήρ· Ἀχιουραογὰ καὶ Ὀβὰ καὶ Ἀρὰμ

Α Παραλ. 7,34 - Οι υιοί του Σεμμήρ ήσαν ο Αχιουραογά, ο Οβά, ο Αράμ,

Α Παραλ. 7,35 - καὶ Βανηελάμ· ἀδελφοὶ αὐτοῦ Σοφὰ καὶ Ἰμανὰ καὶ Σελλὴς καὶ Ἀμάλ.

Α Παραλ. 7,35 - ο Βανηελάμ. Αδελφοί αυτού ήσαν ο Σωφά, ο Ιμανά, ο Σελλής και ο Αμάλ.

Α Παραλ. 7,36 - υἱοὶ Σωφά· Σουὲ καὶ Ἀρναφὰρ καὶ Σουδὰ καὶ Βαρὶν καὶ Ἰμρὰν

Α Παραλ. 7,36 - Οι υιοί του Σωφά ήσαν ο Σουέ, ο Αρναφάρ, ο Σουδά, ο Βαρίν, ο Ιμράν,

Α Παραλ. 7,37 - καὶ Σοβὰλ καὶ Ὢδ καὶ Σεμμὰ καὶ Σαλισὰ καὶ Ἰεθρὰν καὶ Βεηρά.

Α Παραλ. 7,37 - ο Σοβάλ, ο Ωδ, ο Σεμμά, ο Σαλισά, ο Ιεθράν και ο Βεηρά.

Α Παραλ. 7,38 - καὶ υἱοὶ Ἰεθήρ· Ἰεφινὰ καὶ Φασφὰ καὶ Ἀρά.

Α Παραλ. 7,38 - Οι υιοί του Ιεθήρ ήσαν ο Ιεφινά, ο Φασφά και ο Αρά.

Α Παραλ. 7,39 - καὶ υἱοὶ Ὠλά· Ὀρέχ, Ἀνιὴλ καὶ Ῥασιά.

Α Παραλ. 7,39 - Οι υιοί του Ωλά ήσαν ο Ορέχ, ο Ανιήλ και ο Ρασιά.

Α Παραλ. 7,40 - πάντες οὗτοι υἱοὶ Ἀσήρ, πάντες ἄρχοντες πατριῶν ἐκλεκτοὶ ἰσχυροὶ δυνάμει, ἄρχοντες ἡγούμενοι· ὁ ἀριθμὸς αὐτῶν εἰς παράταξιν τοῦ πολεμεῖν, ἀριθμὸς αὐτῶν ἄνδρες εἰκοσιὲξ χιλιάδες.

Α Παραλ. 7,40 - Ολοι αυτοί ήσαν απόγονοι του Ασήρ, όλοι αρχηγοί πατριαρχικών οικογενειών, εκλεκτοί και γενναίοι άνδρες, άρχοντες και ηγούμενοι. Ο αριθμός εκείνων, που ηδύναντο να λάβουν μέρος εις πολεμικάς επιχειρήσεις, ανήρχετο εις εικοσιέξ χιλιάδας άνδρας.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 8

Α Παραλ. 8,1 - Καὶ Βενιαμὶν ἐγέννησε Βαλὲ πρωτότοκον αὐτοῦ καὶ Ἀσβὴλ τὸν δεύτερον, Ἀαρὰ τὸν τρίτον,

Α Παραλ. 8,1 - Ο Βενιαμίν απέκτησε πρωτότοκον υιόν τον Βαλέ, δευτερότοκον τον Ασβήλ, τρίτον τον Ααρά,

Α Παραλ. 8,2 - Νωὰ τὸν τέταρτον καὶ Ῥαφὴ τὸν πέμπτον.

Α Παραλ. 8,2 - τέταρτον τον Νωα, πέμπτον τον Ραφή.

Α Παραλ. 8,3 - καὶ ἦσαν υἱοὶ τῷ Βαλέ· Ἀδὶρ καὶ Γηρὰ καὶ Ἀβιοὺδ

Α Παραλ. 8,3 - Οι δε υιοί του Βαλέ ήσαν οι εξής· Ο Αδίρ, ο Γηρά, ο Αβιούδ,

Α Παραλ. 8,4 - καὶ Ἀβισουὲ καὶ Νοαμὰ καὶ Ἀχιὰ

Α Παραλ. 8,4 - ο Αβισουέ, ο Νοαμά, ο Αχιά,

Α Παραλ. 8,5 - καὶ Γηρὰ καὶ Σεφουφὰμ καὶ Οὐράμ.

Α Παραλ. 8,5 - ο Γηρά, ο Σεφουφάμ και ο Ουράμ.

Α Παραλ. 8,6 - οὗτοι υἱοὶ Ἀώδ· οὗτοί εἰσιν ἄρχοντες πατριῶν τοῖς κατοικοῦσι Γαβεέ, καὶ μετῴκισαν αὐτοὺς εἰς Μαναχαθί·

Α Παραλ. 8,6 - Αυτοί δε ήσαν οι υιοί του Αώδ, οι οποίοι και ήσαν άρχοντες πατριαρχικών οίκων, κατοικούσαν δε την Γαβεέ, όπου και τους μετέφεραν εις Μαναχαθί.

Α Παραλ. 8,7 - καὶ Νοομὰ καὶ Ἀχιὰ καὶ Γηρά· οὗτος Ἰεγλαὰμ καὶ ἐγέννησε τὸν Ἀζὰ καὶ τὸν Ἰαχιχώ.

Α Παραλ. 8,7 - Ο Νοομά, ο Αχιά και ο Γηρά. Αυτός ο Ιεγλαάμ εγέννησε τον Αζά και τον Ιαχιχώ.

Α Παραλ. 8,8 - καὶ Σααρὶν ἐγέννησεν ἐν τῷ πεδίῳ Μωὰβ μετὰ τὸ ἀποστεῖλαι αὐτὸν Ὡσὶν καὶ τὴν Βααδὰ γυναῖκα αὐτοῦ.

Α Παραλ. 8,8 - Ο Σααρίν απέκτησεν υιούς εις την πεδιάδα της χώρας Μωάβ, αφού διεζεύχθη τας συζύγους του Ωσίν και την Βααδά.

Α Παραλ. 8,9 - καὶ ἐγέννησεν ἐκ τῆς Ἀδὰ γυναικὸς αὐτοῦ τὸν Ἰωβὰβ καὶ τὸν Σεβιὰ καὶ τὸν Μισὰ καὶ τὸν Μελχὰμ

Α Παραλ. 8,9 - Απέκτησε δε αυτός από την γυναίκα του την Αδά τον Ιωβάβ, τον Σελά, τον Μισά, τον Μελχάμ,

Α Παραλ. 8,10 - καὶ τὸν Ἰαὼς καὶ τὸν Σαβιὰ καὶ τὸν Μαρμά· οὗτοι ἄρχοντες τῶν πατριῶν.

Α Παραλ. 8,10 - τον Ιαώς, τον Σαβιά και τον Μαρμά. Αυτοί ήσαν αρχηγοί πατριαρχικών οικονενειών.

Α Παραλ. 8,11 - καὶ ἐκ τῆς Ὡσὶν ἐγέννησε τὸν Ἀβιτὼλ καὶ τὸν Ἀλφαάλ.

Α Παραλ. 8,11 - Από δε την Ωσίν απέκτησε τον Αβιτώλ και τον Αλφαάλ.

Α Παραλ. 8,12 - καὶ υἱοὶ Ἀλφαάλ· Ὠβήδ, Μισαάλ, Σεμμήρ· οὗτος ᾠκοδόμησε τὴν Ὠνὼ καὶ τὴν Λὼδ καὶ τὰς κώμας αὐτῆς·

Α Παραλ. 8,12 - Του Αλφαάλ δε οι υιοί ήσαν ο Ωβήδ, ο Μισαάλ, ο Σεμμήρ. Ο Σεμμήρ ανοικοδόμησε την Ωνώ και την Λωδ και τας κωμοπόλεις αυτής·

Α Παραλ. 8,13 - καὶ Βεριὰ καὶ Σαμά. οὗτοι ἄρχοντες πατριῶν τοῖς κατοικοῦσιν Αἰλάμ, καὶ οὗτοι ἐξεδίωξαν τοὺς κατοικοῦντας Γέθ.

Α Παραλ. 8,13 - και ο Βεριά και ο Σαμά, οι οποίοι ήσαν αρχηγοί πατριαρχικών οίκων, κατοικούσαν δε εις την Αιλάμ· αυτοί εξεδίωξαν τους κατοίκους της πόλεως Γέθ.

Α Παραλ. 8,14 - καὶ ἀδελφὸς αὐτοῦ Σωσὴκ καὶ Ἀριμὼθ

Α Παραλ. 8,14 - Οι αδελφοί αυτού ήσαν ο Σωσήκ, ο Αριμώθ,

Α Παραλ. 8,15 - καὶ Ζαβαδία, καὶ Ὠρὴδ καὶ Ἕδερ

Α Παραλ. 8,15 - ο Ζαβαδία, ο Ωρήδ, ο Εδερ,

Α Παραλ. 8,16 - καὶ Μιχαὴλ καὶ Ἰεσφὰ καὶ Ἰωδά, υἱοὶ Βεριά.

Α Παραλ. 8,16 - ο Μιχαήλ, ο Ιεσφά, ο Ιωδά. Ησαν αυτοί υιοί του Βεριά.

Α Παραλ. 8,17 - καὶ Ζαβαδία καὶ Μοσολλὰμ καὶ Ἀζακὶ καὶ Ἀβὰρ

Α Παραλ. 8,17 - Υιοί του Ελφαάλ ήσαν ο Ζαβαδία, ο Μοσολλάμ, ο Αζακί, ο Αβάρ,

Α Παραλ. 8,18 - καὶ Ἰσαμαρὶ καὶ Ἰεζλίας καὶ Ἰωβάβ, υἱοὶ Ἐλφαάλ.

Α Παραλ. 8,18 - ο Ισαμαρί, ο Ιεζλίας και ο Ιωβάβ.

Α Παραλ. 8,19 - καὶ Ἰακὶμ καὶ Ζαχρὶ καὶ Ζαβδὶ

Α Παραλ. 8,19 - Υιοί δε του Σαμαΐθ ήσαν ο Ιακίμ, ο Ζαχρί, ο Ζαβδί,

Α Παραλ. 8,20 - καὶ Ἐλιωναΐ καὶ Σαλαθὶ καὶ Ἐλιηλὶ

Α Παραλ. 8,20 - ο Ελιωναΐ ο Σαλαθί, ο Ελιηλί,

Α Παραλ. 8,21 - καὶ Ἀδαΐα καὶ Βαραΐα καὶ Σαμαράθ, υἱοὶ Σαμαΐθ.

Α Παραλ. 8,21 - ο Αδαΐα, ο Βαραΐα και ο Σαμαράθ.

Α Παραλ. 8,22 - καὶ Ἰεσφὰν καὶ Ὠβὴδ καὶ Ἐλεὴλ

Α Παραλ. 8,22 - Ο Ιεσφάν, ο Ωβήδ, ο Ελεήλ,

Α Παραλ. 8,23 - καὶ Ἀβδιὼν καὶ Ζεχρὶ καὶ Ἀνὰν

Α Παραλ. 8,23 - ο Αβδών, ο Ζεχρί, ο Ανάν,

Α Παραλ. 8,24 - καὶ Ἀνανία καὶ Ἀμβρὶ καὶ Αἰλὰμ καὶ Ἀναθὼθ

Α Παραλ. 8,24 - ο Ανανίας, ο Αμβρί, ο Αιλάμ, ο Αναθώθ,

Α Παραλ. 8,25 - καὶ Ἰαθὶν καὶ Ἰεφαδίας καὶ Φανουήλ, υἱοὶ Σωσήκ,

Α Παραλ. 8,25 - ο Ιαθίν, ο Ιεφαδίας και ο Φανουήλ ήσαν υιοί του Σωσήκ.

Α Παραλ. 8,26 - καὶ Σαμσαρὶ καὶ Σααρίας καὶ Γοθολία

Α Παραλ. 8,26 - Υιοί δε του Ιεροάμ ήσαν ο Σαμσαρί, ο Σααρίας, ο Γοθολία,

Α Παραλ. 8,27 - καὶ Ἰαρασία καὶ Ἐριὰ καὶ Ζεχρί, υἱοὶ Ἱεροάμ.

Α Παραλ. 8,27 - ο Ιαρασία, ο Εριά και ο Ζεχρί.

Α Παραλ. 8,28 - οὗτοι ἄρχοντες πατριῶν κατὰ γενέσεις αὐτῶν ἄρχοντες· οὗτοι κατῴκησαν ἐν Ἱερουσαλήμ·

Α Παραλ. 8,28 - Ολοι αυτοί ήσαν αρχηγοί πατριαρχικών οίκων, άρχοντες κατά τας γενεαλογίας αυτών. Αυτοί είχαν κατοικήσει εις την Ιερουσαλήμ.

Α Παραλ. 8,29 - καὶ ἐν Γαβαὼν κατῴκησε πατὴρ Γαβαών, καὶ ὄνομα γυναικὶ αὐτοῦ Μααχά.

Α Παραλ. 8,29 - Εις την Γαβαών είχε κατοικήσει ο πατήρ Γαβαών. Το όνομα της γυναικός του ήτο Μααχά.

Α Παραλ. 8,30 - καὶ ὁ υἱὸς αὐτῆς ὁ πρωτότοκος Ἀβαδὼν καὶ Σοὺρ καὶ Κὶς καὶ Βαὰλ καὶ Νὴρ καὶ Ναδὰβ

Α Παραλ. 8,30 - Ο πρωτότοκος υιός της ωνομάζετο Αβαδών και οι άλλοι ήσαν ο Σούρ, ο Κις, ο Βαάλ, ο Νηρ, ο Ναδάβ,

Α Παραλ. 8,31 - καὶ Γεδοὺρ καὶ ἀδελφὸς αὐτοῦ καὶ Ζακχοὺρ καὶ Μακελώθ·

Α Παραλ. 8,31 - ο Γεδούρ, ο αδελφός αυτού, ο Ζακχούρ και ο Μακελώθ.

Α Παραλ. 8,32 - καὶ Μακελὼθ ἐγέννησε τὸν Σαμαά· καὶ γὰρ οὗτοι κατέναντι τῶν ἀδελφῶν αὐτῶν κατῴκησαν ἐν Ἱερουσαλὴμ μετὰ τῶν ἀδελφῶν αὐτῶν.

Α Παραλ. 8,32 - Ο Μακελώθ εγέννησεν υιόν τον Σαμαά. Αυτοί μαζή με άλλους αδελφούς των εγκατεστάθησαν απέναντι εις την Ιερουσαλήμ πλησίον των αδελφών των

Α Παραλ. 8,33 - καὶ Νὴρ ἐγέννησε τὸν Κίς, καὶ Κὶς ἐγέννησε τὸν Σαούλ, καὶ Σαοὺλ ἐγέννησε τὸν Ἰωνάθαν καὶ τὸν Μελχισουὲ καὶ τὸν Ἀμιναδὰβ καὶ τὸν Ἀσαβάλ.

Α Παραλ. 8,33 - Ο Νηρ απέκτησε τον Κις, ο Κις απέκτησε τον Σαούλ, ο Σαούλ απέκτησε τον Ιωνάθαν, τον Μελχισουέ, τον Αμιναδάβ, τον Αβασάλ.

Α Παραλ. 8,34 - καὶ υἱὸς Ἰωνάθαν Μεριβαάλ. καὶ ὁ Μεριβαὰλ ἐγέννησε τὸν Μιχά.

Α Παραλ. 8,34 - Υιός του Ιωνάθαν ήτο ο Μεριβαάλ, ο δε Μεριβαάλ εγέννησε τον Μιχά.

Α Παραλ. 8,35 - καὶ υἱοὶ Μιχά· Φίθων καὶ Μελὰχ καὶ Θαρὰχ καὶ Ἀχάζ.

Α Παραλ. 8,35 - Οι υιοί του Μιχά ήσαν ο Φιθων, ο Μελάχ, ο Θαράχ, ο Αχάζ.

Α Παραλ. 8,36 - καὶ Ἀχὰζ ἐγέννησε τὸν Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησε τὸν Σαλαιμὰθ καὶ τὸν Ἀσμὼθ καὶ τὸν Ζαμβρί, καὶ Ζαμβρὶ ἐγέννησε τὸν Μαισά,

Α Παραλ. 8,36 - Και ο Αχάζ απέκτησεν υιόν τον Ιαδά, ο Ιαδά απέκτησεν υιόν τον Σαλαιμάθ, τον Ασμώθ και τον Ζαμβρί. Ο Ζαμβρί απέκτησεν υιόν τον Μαισά.

Α Παραλ. 8,37 - καὶ Μαισὰ ἐγέννησε τὸν Βαανά· Ῥαφαΐα υἱὸς αὐτοῦ, Ἐλασὰ υἱὸς αὐτοῦ, Ἐσὴλ υἱὸς αὐτοῦ.

Α Παραλ. 8,37 - Ο Μαισά απέκτησεν υιόν τον Βαανά, ο Βαανά απέκτησεν υιόν τον Ραφαΐα, ο Ραφαΐα τον Ελασά, ο Ελασά απέκτησεν υιόν τον Εσήλ.

Α Παραλ. 8,38 - καὶ τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐζρικὰμ πρωτότοκος αὐτοῦ καὶ Ἰσμαὴλ καὶ Σαραΐα καὶ Ἀβδία καὶ Ἀνὰν καὶ Ἀσά· πάντες οὗτοι υἱοὶ Ἐσήλ.

Α Παραλ. 8,38 - Ο Εσήλ είχεν εξ υιούς. Τα ονόματά των είναι αυτά· Πρωτότοκος είναι ο Εζρικάμ, κατόπιν ο Ισμαήλ, ο Σαραΐα, ο Αβδία, ο Ανάν και ο Ασά. Ολοι αυτοί είναι παιδιά του Εσήλ.

Α Παραλ. 8,39 - καὶ υἱοὶ Ἀσήλ ἀδελφοῦ αὐτοῦ· Αἰλὰμ πρωτότοκος αὐτοῦ καὶ Ἰὰς ὁ δεύτερος καὶ Ἐλιφαλὲτ ὁ τρίτος.

Α Παραλ. 8,39 - Οι υιοί του Ασήλ, του αδελφού αυτού, είναι· Πρωτότοκός του ο Αιλάμ, ο δεύτερος ο Ιάς, τρίτος ο Ελιφαλέτ.

Α Παραλ. 8,40 - καὶ ἦσαν υἱοὶ Αἰλὰμ ἰσχυροὶ ἄνδρες δυνάμει, τείνοντες τόξον καὶ πληθύνοντες υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν, ἑκατὸν πεντήκοντα. πάντες οὗτοι ἐξ υἱῶν Βενιαμίν.

Α Παραλ. 8,40 - Οι υιοί του Αιλάμ ήσαν άνδρες γενναίοι, οι οποίοι εχειρίζοντο με επιδεξιότητα το τόξον, είχον δε αποκτήσει πολλούς υιούς και εγγόνους, εν όλω εκατόν πεντήκοντα. Ολοι αυτοί ανήκον εις την φυλήν του Βενιαμίν.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 9

Α Παραλ. 9,1 - Καὶ πᾶς Ἰσραὴλ ὁ συλλοχισμὸς αὐτῶν, καὶ οὗτοι καταγεγραμμένοι ἐν βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα μετὰ τῶν ἀποικισθέντων εἰς Βαβυλῶνα ἐν ταῖς ἀνομίαις αὐτῶν,

Α Παραλ. 9,1 - Ολοι αυτοί οι Ισραηλίται είχαν καταγραφή κατά γενεαλογίας και ήσαν γραμμένοι στο βιβλίον των βασιλέων του Ισραήλ και του Ιούδα, μαζή με όσους είχαν μεταφερθή αιχμάλωτοι εις την Βαβυλώνα εξ αιτίας των παρανομιών των.

Α Παραλ. 9,2 - καὶ οἱ κατοικοῦντες πρότερον ἐν ταῖς κατασχέσεσιν αὐτῶν ἐν ταῖς πόλεσιν Ἰσραήλ, οἱ ἱερεῖς, οἱ Λευῖται καὶ οἱ δεδομένοι.

Α Παραλ. 9,2 - Οι πρώτοι κάτοικοι, οι οποίοι εγκατεστάθησαν εις τας παραχωρηθείσας προς αυτούς πόλεις μεταξύ του ισραηλιτικού λαού, ήσαν οι ιερείς, οι Λευίται και οι άλλοι υπηρέται του ναού.

Α Παραλ. 9,3 - καὶ ἐν Ἱερουσαλὴμ κατῴκησαν ἀπὸ τῶν υἱῶν Ἰούδα καὶ ἀπὸ τῶν υἱῶν Βενιαμὶν καὶ ἀπὸ τῶν υἱῶν Ἐφραὶμ καὶ Μανασσῆ·

Α Παραλ. 9,3 - Εις την Ιερουσαλήμ κατώκησαν εκ της φυλής του Ιούδα, εκ της φυλής του Βενιαμίν, από τας φυλάς Εφραίμ και Μανασσή οι εξής·

Α Παραλ. 9,4 - Γνωθὶ καὶ υἱὸς Ἀμμιούδ, υἱοῦ Ἀμρί, υἱοῦ υἱῶν Φαρὲς υἱοῦ Ἰούδα.

Α Παραλ. 9,4 - Ο Γνωθί υιός του Αμμιούδ, υιού του Αμρί, ο οποίος ήτο υιός των απογόνων του Φαρές, ο δε Φαρές ήτο υιός του Ιούδα.

Α Παραλ. 9,5 - καὶ ἐκ τῶν Σηλωνί· Ἀσαΐα πρωτότοκος αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ.

Α Παραλ. 9,5 - Από τους υιούς του Σηλωνί κατώκησαν ο πρωτότοκος υιός του ο Ασαΐα και τα παιδιά αυτού.

Α Παραλ. 9,6 - ἐκ τῶν υἱῶν Ζαρά· Ἰεὴλ καὶ ἀδελφοὶ αὐτῶν, ἑξακόσιοι καὶ ἐνενήκοντα.

Α Παραλ. 9,6 - Από τους υιούς του Ζαρά κατώκησαν ο Ιεήλ και οι απόγονοι αυτού, εν όλω εξακόσιοι ενενήκοντα.

Α Παραλ. 9,7 - καὶ ἐκ τῶν υἱῶν Βενιαμίν· Σαλὼ υἱὸς Μοσολλὰμ υἱοῦ Ὠδουΐα υἱοῦ Ἀσινοῦ

Α Παραλ. 9,7 - Από τους υιούς του Βενιαμίν κατώκησαν ο Σαλώ, ο υιός του Μοσολλάμ, ο οποίος ήτο υιός του Ωδουΐα, υιού του Ασινού.

Α Παραλ. 9,8 - καὶ Ἰεμναὰ υἱὸς Ἱεροβοὰμ καὶ Ἠλώ· οὗτοι υἱοὶ Ὀζὶ υἱοῦ Μαχίρ· καὶ Μασσαλὴμ υἱὸς Σαφατία υἱοῦ Ῥαγουὴλ υἱοῦ Ἰεμναΐ

Α Παραλ. 9,8 - Ο Ιεμναά, ο υιός του Ιεροβοάμ, και ο Ηλώ· αυτοί είναι οι υιοί του Οζί, υιού του Μαχίρ, υιού του Μασσαλήμ, υιού του Σαφατία, ο οποίος ήτο υιός του Ραγουήλ, υιού του Ιεμναΐ.

Α Παραλ. 9,9 - καὶ ἀδελφοὶ αὐτῶν κατὰ γενέσεις αὐτῶν, ἐννακόσιοι πεντηκονταέξ, πάντες οἱ ἄνδρες ἄρχοντες πατριῶν κατ᾿ οἴκους πατριῶν αὐτῶν.

Α Παραλ. 9,9 - Μαζή των εγκατεστάθησαν και οι αδελφοί αυτών κατά τας οικογενείας των, εν όλω εννεακόσιοι πεντήκοντα εξ. Ολοι αυτοί οι άνδρες ήσαν αρχηγοί των πατριαρχικών οικογενειών.

Α Παραλ. 9,10 - καὶ ἀπὸ τῶν ἱερέων· Ἰωδαὲ καὶ Ἰωαρὶμ καὶ Ἰαχὶν

Α Παραλ. 9,10 - Από δε τους ιερείς κατώκησαν ο Ιωδαέ, ο Ιωαρίμ, ο Ισχίν,

Α Παραλ. 9,11 - καὶ Ἀζαρία υἱὸς Χελκία υἱοῦ Μοσολλὰμ υἱοῦ Σαδὼκ υἱοῦ Μαραϊὼθ υἱοῦ Ἀχιτὼβ ἡγούμενος οἴκου τοῦ Θεοῦ

Α Παραλ. 9,11 - ο Αζαρία υιός του Χελκία, υιού του Μοσσολλάμ, υιού του Σαδώκ, υιού του Μαραϊώθ, υιού του Αχιτώβ, ο οποίος ήτο άρχων στον ναόν του Θεού.

Α Παραλ. 9,12 - καὶ Ἀδαΐα υἱὸς Ἰραὰμ υἱοῦ Φασχὼρ υἱοῦ Μελχία καὶ Μαασαία υἱὸς Ἀδιὴλ υἱοῦ Ἐζιρὰ υἱοῦ Μοσολλὰμ υἱοῦ Μασελμὼθ υἱοῦ Ἐμμὴρ

Α Παραλ. 9,12 - Και ο Αδαΐα ο υιός του Ιραάμ, υιού του Φασχώρ, υιού του Μελχία και ο Μαασαία υιός του Αδιήλ, υιού του Εζιρά, υιού του Μοσολλάμ, υιού του Μασελμώθ, υιού του Εμμήρ.

Α Παραλ. 9,13 - καὶ ἀδελφοὶ αὐτῶν ἄρχοντες οἴκων πατριῶν αὐτῶν χίλιοι καὶ ἑπτακόσιοι καὶ ἑξήκοντα, ἰσχυροὶ δυνάμει εἰς ἐργασίαν λειτουργίας οἴκου τοῦ Θεοῦ.

Α Παραλ. 9,13 - Οι αδελφοί αυτών ήσαν αρχηγοί των πατριαρχικών οικογενειών, ανήρχοντο εις χιλίους επτακοσίους εξήκοντα, ήσαν ικανοί και δυνατοί άνδρες δια τας εργασίας εις εξυπηρέτησιν του ναού του Θεού.

Α Παραλ. 9,14 - καὶ ἐκ τῶν Λευιτῶν· Σαμαΐα υἱὸς Ἀσὼβ υἱοῦ Ἐζρικὰμ υἱοῦ Ἀσαβία ἐκ τῶν υἱῶν Μεραρί,

Α Παραλ. 9,14 - Από τους Λευίτας ήσαν· ο Σαμαΐα υιός του Ασώβ, υιού του Εζρικάμ, υιού του Ασαβία από τους απογόνους του Μεραρί,

Α Παραλ. 9,15 - καὶ Βακβακὰρ καὶ Ἀρὴς καὶ Γαλαὰλ καὶ Ματθανίας υἱὸς Μιχὰ υἱοῦ Ζεχρὶ υἱοῦ Ἀσὰφ

Α Παραλ. 9,15 - ο Βακβακάρ, ο Αρής, ο Γαλαάλ και ο Ματθανίας υιός του Μιχά υιού του Ζεχρί απογόνου του Ασάφ.

Α Παραλ. 9,16 - καὶ Ἀβδία υἱὸς Σαμία υἱοῦ Γαλαὰλ υἱοῦ Ἰδιθοῦν καὶ Βαραχία υἱὸς Ὀσσὰ υἱοῦ Ἑλκανά, ὁ κατοικῶν ἐν ταῖς κώμαις Νετωφατί.

Α Παραλ. 9,16 - Ο Αβδία υιός του Σαμία, υιού του Γαλαάλ, υιού του Ιδιθούν, ο Βαραχία υιός του Οσσά, υιού του Ελκανά, ο οποίος κατοικούσεν εις τας κωμοπόλεις Νετωφατί.

Α Παραλ. 9,17 - οἱ πυλωροί· Σαλώμ, Ἀκούμ, Τελμὼν καὶ Αἱμὰν καὶ ἀδελφοὶ αὐτῶν, Σαλὼμ ὁ ἄρχων·

Α Παραλ. 9,17 - Οι θυρωροί δε του ναού ήσαν ο Σαλώμ, ο Ακούμ, ο Τελμών, ο Αιμάν και οι αδελφοί αυτών. Ο Σαλώμ ήτο αρχηγός μεταξύ αυτών.

Α Παραλ. 9,18 - καὶ ἕως ταύτης ἐν τῇ πύλῃ τοῦ βασιλέως κατ᾿ ἀνατολάς· αὗται αἱ πύλαι τῶν παρεμβολῶν υἱῶν Λευί.

Α Παραλ. 9,18 - Αυτός ήτο αρχηγός της βασιλικής πύλης του ναού, η οποία έκειτο προς ανατολάς μέχρι της εποχής που εγράφοντο αυτά. Αυτοί ήσαν οι θυρωροί της κατασκηνώσεως των ανδρών της φυλής Λευι.

Α Παραλ. 9,19 - καὶ Σαλὼμ υἱὸς Κωρὴ υἱοῦ Ἀβιασὰφ υἱοῦ Κορέ. καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς οἶκον πατρὸς αὐτοῦ, οἱ Κορῖται, ἐπὶ τῶν ἔργων τῆς λειτουργίας φυλάσσοντες τὰς φυλακὰς τῆς σκηνῆς, καὶ πατέρες αὐτῶν ἐπὶ τῆς παρεμβολῆς Κυρίου φυλάσσοντες τὴν εἴσοδον.

Α Παραλ. 9,19 - Και ο Σαλώμ υιός του Κωρή, υιού του Αβιασάφ, υιοί του Κορέ, και οι αδελφοί του από την οικογένειαν του πατρός του οι Κορίται, είχον αναλάβει το έργον να φρουρούν τας θύρας της Σκηνής. Οι δε πατέρες αυτών είχον αναλάβει να φρουρούν την είσοδον του στρατοπέδου των Ισραηλιτών.

Α Παραλ. 9,20 - καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ ἡγούμενος ἦν ἐπ᾿ αὐτῶν ἔμπροσθεν Κυρίου, καὶ οὗτοι μετ᾿ αὐτοῦ.

Α Παραλ. 9,20 - Ο Φινεές, ο υιός του Ελεάζαρ, ήτο αρχηγός αυτών ενώπιον του Κυρίου και αυτοί ήσαν υπό τας διαταγάς του.

Α Παραλ. 9,21 - Ζαχαρίας υἱὸς Μασαλαμὶ πυλωρὸς τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

Α Παραλ. 9,21 - Ο Ζαχαρίας, ο υιός του Μασαλαμί, ήτο θυρωρός εις την θύραν της Σκηνής του Μαρτυρίου.

Α Παραλ. 9,22 - πάντες οἱ ἐκλεκτοὶ ἐπὶ τῆς πύλης ἐν ταῖς πύλαις διακόσιοι καὶ δεκαδύο· οὗτοι ἐν ταῖς αὐλαῖς αὐτῶν, ὁ καταλοχισμὸς αὐτῶν· τούτους ἔστησε Δαυὶδ καὶ Σαμουὴλ ὁ βλέπων τῇ πίστει αὐτῶν.

Α Παραλ. 9,22 - Ολοι αυτοί οι άνδρες, οι οποίοι είχαν εκλεγή ως θυρωροί εις τας διαφόρους πύλας, ανήρχοντο εις διακοσίους δώδεκα. Ησαν δε εγγεγραμμένοι κατά τας γενεαλογίας αυτών εις τας πόλεις των. Αυτούς δια την πίστιν και ευσυνειδησίαν των ώρισεν ο Δαυίδ και ο προφήτης Σαμουήλ εις τας υπηρεσίας αυτάς.

Α Παραλ. 9,23 - καὶ οὗτοι καὶ οἱ υἱοὶ αὐτῶν ἐπὶ τῶν πυλῶν ἐν οἴκῳ Κυρίου καὶ ἐν οἴκῳ τῆς σκηνῆς τοῦ φυλάσσειν.

Α Παραλ. 9,23 - Αυτοί και τα τέκνα των ετοποθέτηθησαν ως φρουροί εις τας πύλας του ναού του Κυρίου, όπως ήσαν άλλοτε και επί της Σκηνής του Μαρτυρίου.

Α Παραλ. 9,24 - κατὰ τοὺς τέσσαρας ἀνέμους ἦσαν αἱ πύλαι, κατὰ ἀνατολάς, θάλασσαν, βοῤῥᾶν, νότον.

Α Παραλ. 9,24 - Εις τα τέσσαρα σημεία του ορίζοντος ευρίσκοντο αι πύλαι, άρα και οι θυρωροί, δηλαδή προς ανατολάς, προς δυσμάς, προς βορράν και προς νότον.

Α Παραλ. 9,25 - καὶ ἀδελφοὶ αὐτῶν ἐν ταῖς αὐλαῖς αὐτῶν τοῦ εἰσπορεύεσθαι κατὰ ἑπτὰ ἡμέρας ἀπὸ καιροῦ εἰς καιρὸν μετὰ τούτων.

Α Παραλ. 9,25 - Οι αδελφοί αυτών, οι οποίοι έμεναν εις τα χωρία των, είχαν την υποχρέωσιν και το δικαίωμα να έρχονται από καιρού εις καιρόν επί επτά ημέρας πλησίον εκείνων.

Α Παραλ. 9,26 - ὅτι ἐν πίστει εἰσὶ τέσσαρες δυνατοὶ τῶν πυλῶν. καὶ οἱ Λευῖται ἦσαν ἐπὶ τῶν παστοφορίων, καὶ ἐπὶ τῶν θησαυρῶν οἴκου τοῦ Θεοῦ παρεμβάλλουσιν,

Α Παραλ. 9,26 - Διότι τέσσαρες ήσαν οι αρχηγοί των θυρωρών, στους οποίους είχον εμπιστευθή την υπηρεσίαν αυτήν. Οι δε Λευίται είχον την επίβλεψιν των δωματίων του ναού και των θησαυροφυλακίων του ναού του Θεού. Δι' αυτό και έμεναν κοντά στον ναόν.

Α Παραλ. 9,27 - ὅτι ἐπ᾿ αὐτοὺς ἡ φυλακή, καὶ οὗτοι ἐπὶ τῶν κλειδῶν τὸ πρωΐ πρωΐ ἀνοίγειν τὰς θύρας τοῦ ἱεροῦ.

Α Παραλ. 9,27 - Διότι εις αυτούς είχεν ανατεθή αυτή η φύλαξις και εις αυτούς είχον δοθή τα κλειδιά, δια να ανοίγουν κάθε πρωϊ τας θύρας του ιερού.

Α Παραλ. 9,28 - καὶ ἐξ αὐτῶν ἐπὶ τὰ σκεύη τῆς λειτουργίας, ὅτι ἐν ἀριθμῷ εἰσοίσουσι καὶ ἐν ἀριθμῷ ἐξοίσουσι.

Α Παραλ. 9,28 - Μερικοί από αυτούς ήσαν επιτετραμμένοι δια την επίβλεψιν των ιερών σκευών της υπηρεσίας του ναού, τα οποία εισήγον και εξήγον, αφού προηγουμένως τα αριθμούσαν πάντοτε.

Α Παραλ. 9,29 - καὶ ἐξ αὐτῶν καθεσταμένοι ἐπὶ τὰ σκεύη καὶ ἐπὶ πάντα σκεύη τὰ ἅγια καὶ ἐπὶ τῆς σεμιδάλεως, τοῦ οἴνου, τοῦ ἐλαίου, τοῦ λιβανωτοῦ καὶ τῶν ἀρωμάτων.

Α Παραλ. 9,29 - Αλλοι από αυτούς είχαν αναλάβει την επίβλεψιν επί όλων των άλλων ιερών σκευών του θυσιαστηρίου, όπως επίσης και επί της σεμιγδάλεως, του οίνου, του λιβανωτού και των αρωμάτων.

Α Παραλ. 9,30 - καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων ἦσαν μυρεψοὶ τοῦ μύρου καὶ εἰς τὰ ἀρώματα.

Α Παραλ. 9,30 - Από τους υιούς των ιερέων υπήρχον τεχνίται ικανοί, οι οποίοι κατεσκεύαζαν μύρα και αρώματα.

Α Παραλ. 9,31 - καὶ Ματταθίας ἐκ τῶν Λευιτῶν (οὗτος ὁ πρωτότοκος τῷ Σαλὼμ τῷ Κορίτῃ) ἐν τῇ πίστει ἐπὶ τὰ ἔργα τῆς θυσίας τοῦ τηγάνου τοῦ μεγάλου ἱερέως.

Α Παραλ. 9,31 - Ενας από τους Λευίτας, ο Ματταθίας (πρωτότοκος υιός του Σαλώμ του Κορίτου) είχεν ως καθήκον να φροντίζη δια τας θυσίας, τας οποίας ο μέγας αρχιερεύς προσέφερε δια του τηγάνου.

Α Παραλ. 9,32 - καὶ Βαναΐας ὁ Κααθίτης ἐκ τῶν ἀδελφῶν αὐτῶν ἐπὶ τῶν ἄρτων τῆς προθέσεως τοῦ ἑτοιμάσαι σάββατον κατὰ σάββατον.

Α Παραλ. 9,32 - Ο Βαναΐας ο Κααθίτης, ένας από τους αδελφούς αυτών, είχεν επωμισθή την φροντίδα να ετοιμάζη τους άρτους της προθέσεως κατά παν Σαββατον.

Α Παραλ. 9,33 - καὶ οὗτοι ψαλτῳδοὶ ἄρχοντες τῶν πατριῶν τῶν Λευιτῶν, διατεταγμέναι ἐφημερίαι, ὅτι ἡμέρα καὶ νὺξ ἐπ᾿ αὐτοῖς ἐν τοῖς ἔργοις.

Α Παραλ. 9,33 - Αυτοί ήσαν, που έψαλλαν τη συνοδεία μουσικών οργάνων, οι αρχηγοί των πατριαρχικών οικογενειών των Λευϊτών, οι τακτοποιημένοι κατά τάξεις, ώστε ημέραν και νύκτα να είναι εις τα έργα των.

Α Παραλ. 9,34 - οὗτοι ἄρχοντες τῶν πατριῶν τῶν Λευιτῶν κατὰ γενέσεις αὐτῶν ἄρχοντες· οὗτοι κατῴκησαν ἐν Ἱερουσαλήμ.

Α Παραλ. 9,34 - Αυτοί είναι οι αρχηγοί των πατριαρχικών οίκων των Λευϊτών, οι αρχηγοί κατά τας οικογενείας αυτών. Αυτοί είχαν κατοικήσει εις την Ιερουσαλήμ.

Α Παραλ. 9,35 - καὶ ἐν Γαβαὼν κατῴκησε πατὴρ Γαβαὼν Ἰεήλ, καὶ ὄνομα γυναικὸς αὐτοῦ Μααχά.

Α Παραλ. 9,35 - Εις την Γαβαών είχεν εγκατασταθή ο πατήρ Γαβαών, ο Ιεήλ. Η σύζυγός του ωνομάζετο Μααχά.

Α Παραλ. 9,36 - καὶ υἱὸς αὐτοῦ ὁ πρωτότοκος Ἀβαδὼν καὶ Σοὺρ καὶ Κὶς καὶ Βαὰλ καὶ Νὴρ καὶ Ναδὰβ

Α Παραλ. 9,36 - Πρωτότοκος υιός του ήτο ο Αβαδών, έπειτα δε ήσαν ο Σούρ, ο Κις, ο Βαάλ, ο Νηρ, ο Ναδάβ,

Α Παραλ. 9,37 - καὶ Γεδοὺρ καὶ ἀδελφὸς καὶ Ζακχοὺρ καὶ Μακελώθ.

Α Παραλ. 9,37 - ο Γεδούρ και ο αδελφός, ο Ζακχούρ και ο Μακελώθ.

Α Παραλ. 9,38 - καὶ Μακελὼθ ἐγέννησε τὸν Σαμαά. καὶ οὗτοι ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν κατῴκησαν ἐν Ἱερουσαλὴμ ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν.

Α Παραλ. 9,38 - Ο Μακελώθ απέκτησεν υιόν τον Σαμαά. Αυτοί εγκατεστάθησαν εν μέσω των αδελφών των εις την Ιερουσαλήμ, εν μέσω των αδελφών των.

Α Παραλ. 9,39 - καὶ Νὴρ ἐγέννησε τὸν Κίς, καὶ Κὶς ἐγέννησε τὸν Σαούλ, καὶ Σαοὺλ ἐγέννησε τὸν Ἰωνάθαν καὶ τὸν Μελχισουὲ καὶ τὸν Ἀμιναδὰβ καὶ τὸν Ἀσαβάλ.

Α Παραλ. 9,39 - Ο Νηρ απέκτησεν υιόν τον Κις, ο Κις απέκτησεν υιόν τον Σαούλ, ο Σαούλ απέκτησε τον Ιωνάθαν, τον Μελχισουέ, τον Αμιναδάβ και τον Ασαβάλ.

Α Παραλ. 9,40 - καὶ υἱὸς Ἰωνάθαν Μεριβαάλ· καὶ Μεριβαὰλ ἐγέννησε τὸν Μιχά.

Α Παραλ. 9,40 - Υιός του Ιωνάθαν ήτο Μεριβαάλ. ο Μεριβαάλ απέκτησεν υιόν τον Μιχά.

Α Παραλ. 9,41 - καὶ υἱοὶ Μιχά· Φιθὼν καὶ Μαλὰχ καὶ Θαράχ.

Α Παραλ. 9,41 - Υιοί δε του Μιχά ήσαν ο Φιθών, ο Μαλάχ και ο Θαράχ.

Α Παραλ. 9,42 - καὶ Ἀχὰζ ἐγέννησε τὸν Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησε τὸν Γαλεμὲθ καὶ τὸν Γαζμὼθ καὶ τὸν Ζαμβρί, καὶ Ζαμβρὶ ἐγέννησε τὸν Μασά,

Α Παραλ. 9,42 - Ο Αχάζ απέκτησεν υιόν τον Ιαδά, ο Ιαδά απέκτησεν υιόν τον Γαλεμέθ, τον Γαζμώθ και τον Ζαμβρί. Ο Ζαμβρί απέκτησε τον Μασά.

Α Παραλ. 9,43 - καὶ Μασὰ ἐγέννησε τὸν Βαανά, Ῥαφαΐα υἱὸς αὐτοῦ, Ἐλασὰ υἱὸς αὐτοῦ, Ἐσὴλ υἱὸς αὐτοῦ.

Α Παραλ. 9,43 - Ο Μασά απέκτησεν υιόν τον Βαανά, του Βαανά υιός ήτο ο Ραφαΐα, του Ραφαΐα υιός ήτο ο Ελασά και του Ελασά υιός ήτο ο Εσήλ.

Α Παραλ. 9,44 - καὶ τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐζρικὰμ πρωτότοκος αὐτοῦ καὶ Ἰσμαὴλ καὶ Σαραΐα καὶ Ἀβδία καὶ Ἀνὰν καὶ Ἀσά. οὗτοι υἱοὶ Ἐσήλ.

Α Παραλ. 9,44 - Ο Εσήλ απέκτησεν εξ υιούς, οι οποίοι ωνομάζοντο· Ο πρωτότοκος του Εζρικάμ, έπειτα από αυτόν ο Ισμαήλ, ο Σαραΐα, ο Αβδία, ο Ανάν και ο Ασά. Αυτοί είναι οι υιοί του Εσήλ.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 10

Α Παραλ. 10,1 - Καὶ ἀλλόφυλοι ἐπολέμησαν πρὸς τὸν Ἰσραήλ, καὶ ἔφυγον ἀπὸ προσώπου ἀλλοφύλων, καὶ ἔπεσον τραυματίαι ἐν ὄρει Γελβουέ.

Α Παραλ. 10,1 - Οι Φιλισταίοι επολέμησαν εναντίον του ισραηλιτικού λαού. Οι δε Ισραηλίται ενικήθησαν και ετράπησαν εις φυγήν εμπρός από τους Φιλισταίους. Εις δε το όρος Γελβουέ έπεσαν πολλοί Ισραηλίται νεκροί.

Α Παραλ. 10,2 - καὶ κατεδίωξαν οἱ ἀλλόφυλοι ὀπίσω Σαοὺλ καὶ ὀπίσω τῶν υἱῶν αὐτοῦ, καὶ ἐπάταξαν ἀλλόφυλοι τὸν Ἰωνάθαν καὶ τὸν Ἀμιναδὰβ καὶ τὸν Μελχισουὲ υἱοὺς Σαούλ.

Α Παραλ. 10,2 - Οι Φιλισταίοι κατεδίωξαν τον φεύγοντα Σαούλ και τους υιούς του. Εφόνευσαν δε τον Ιωνάθαν, τον Αμιναδάβ, και τον Μελχισουέ, υιούς του Σαούλ.

Α Παραλ. 10,3 - καὶ ἐβαρύνθη ὁ πόλεμος ἐπὶ Σαούλ, καὶ εὗρον αὐτὸν οἱ τοξόται ἐν τόξοις καὶ πόνοις, καὶ ἐπόνεσεν ἀπὸ τῶν τόξων.

Α Παραλ. 10,3 - Ο δε πόλεμος έγινεν έτσι πάρα πολύ σκληρός και βαρύς εναντίον του Σαούλ. Οι εκ των Φιλισταίων, ικανοί στον χειρισμόν του τόξου, ευρήκαν τον Σαούλ και τον ετόξευσαν. Ο Σαούλ επληγώθη θανασίμως και ησθάνθη πόνον από τας πληγάς αυτάς.

Α Παραλ. 10,4 - καὶ εἶπε Σαοὺλ τῷ αἴροντι τὰ σκεύη αὐτοῦ· σπάσαι τὴν ῥομφαίαν σου καὶ ἐκκέντησόν με ἐν αὐτῇ, μὴ ἔλθωσιν οἱ ἀπερίτμητοι οὗτοι καὶ ἐμπαίξωσί μοι. καὶ οὐκ ἐβούλετο ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι ἐφοβεῖτο σφόδρα· καὶ ἔλαβε Σαοὺλ τὴν ῥομφαίαν καὶ ἐπέπεσεν ἐπ᾽ αὐτήν.

Α Παραλ. 10,4 - Είπε δε τότε ο Σαούλ στον δούλον του, ο οποίος του μετέφερε τα όπλα· “ανάσυρε την ρομφαίαν σου και θανάτωσέ με με αυτήν, δια να μη έλθουν αυτοί οι απερίτμητοι και με εμπαίξουν και με εξευτελίσουν”. Ο βαστάζων όμως τα όπλα του Σαούλ δεν ηθέλησε να εκτελέση αυτήν την εντολήν, διότι εφοβείτο να φονεύση τον χριστόν Κυρίου. Ο Σαούλ επήρε τότε την ρομφαίαν, έπεσεν επάνω εις αυτήν και εθανατώθη.

Α Παραλ. 10,5 - καὶ εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὅτι ἀπέθανε Σαούλ, καὶ ἔπεσε καί γε αὐτὸς ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ καὶ ἀπέθανε.

Α Παραλ. 10,5 - Ο δούλος, που μετέφερε τα όπλα του κυρίου του, όταν είδεν ότι ο Σαούλ απέθανεν έπεσε και αυτός επάνω εις την ρομφαίαν και εθανατώθη.

Α Παραλ. 10,6 - καὶ ἀπέθανε Σαοὺλ καὶ τρεῖς υἱοὶ αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ πᾶς ὁ οἶκος αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἀπέθανε.

Α Παραλ. 10,6 - Ετσι απέθανεν ο Σαούλ και τα τρία του παιδιά κατά την ημέραν εκείνην. Τοτε δε εθανατώθη και όλη η οικογένεια του Σαούλ.

Α Παραλ. 10,7 - καὶ εἶδε πᾶς ἀνὴρ Ἰσραὴλ ὁ ἐν τῷ αὐλῶνι ὅτι ἔφυγεν Ἰσραὴλ καὶ ὅτι ἀπέθανε Σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ κατέλιπον τὰς πόλεις αὐτῶν καὶ ἔφυγον· καὶ ἦλθον οἱ ἀλλόφυλοι καὶ κατῴκησαν ἐν αὐταῖς.

Α Παραλ. 10,7 - Ολοι οι Ισραηλίται, οι οποίοι ευρίσκοντο εις την πεδιάδα, όταν είδαν ότι ο ισραηλιτικός στρατός ετράπη εις φυγήν και ότι ο Σαούλ με τους τρεις υιούς του εφονεύθησαν, εγκατέλειψαν τας πόλεις των και ετράπησαν εις φυγήν. Ηλθον κατόπιν οι Φιλισταίοι και εγκατεστάθησαν μέσα εις αυτάς.

Α Παραλ. 10,8 - καὶ ἐγένετο τῇ ἑπομένῃ καὶ ἦλθον ἀλλόφυλοι τοῦ σκυλεύειν τοὺς τραυματίας καὶ εὗρον τὸν Σαοὺλ καὶ τοὺς υἱοὺς αὐτοῦ πεπτωκότας ἐν τῷ ὄρει Γελβουέ.

Α Παραλ. 10,8 - Την επομένην ημέραν της νίκης των ήλθαν οι Φιλισταίοι, δια να λαφυραγωγήσουν τους νεκρούς. Ευρήκαν δε τον Σαούλ και τους υιούς του νεκρούς στο όρος Γελβουέ.

Α Παραλ. 10,9 - καὶ ἐξέδυσαν αὐτὸν καὶ ἔλαβον τὴν κεφαλὴν αὐτοῦ καὶ τὰ σκεύη αὐτοῦ καὶ ἀπέστειλαν εἰς γῆν ἀλλοφύλων κύκλῳ τοῦ εὐαγγελίσασθαι τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ·

Α Παραλ. 10,9 - Τον εγύμνωσαν από τα βασιλικά του ενδύματα, επήραν το κεφάλι του και τα όπλα του, και τα έστειλαν όλα αυτά, δια να τα περιφέρουν εις την χώραν των και να διακηρύξουν το χαρμόσυνον άγγελμα της νίκης των εις τα είδωλά των και στον λαόν των.

Α Παραλ. 10,10 - καὶ ἔθηκαν τὰ σκεύη αὐτῶν ἐν οἴκῳ θεοῦ αὐτῶν καὶ τὴν κεφαλὴν αὐτοῦ ἔθηκαν ἐν οἴκῳ Δαγών.

Α Παραλ. 10,10 - Τα όπλα του Σαούλ και των υιών του τα έθεσαν οι Φιλισταίοι στον ναόν των, την δε κεφαλήν του Σαούλ στον ναόν του Θεού των Δαγών.

Α Παραλ. 10,11 - καὶ ἤκουσαν πάντες οἱ κατοικοῦντες Γαλαὰδ ἅπαντα, ἃ ἐποίησαν οἱ ἀλλόφυλοι τῷ Σαοὺλ καὶ υἱῷ Ἰσραήλ.

Α Παραλ. 10,11 - Ολοι οι κάτοικοι της Γαλαάδ ήκουσαν αυτά, που έγιναν εις βάρος του Σαούλ και των Ισραηλιτών.

Α Παραλ. 10,12 - καὶ ἠγέρθησαν ἐκ Γαλαὰδ πᾶς ἀνὴρ δυνατὸς καὶ ἔλαβον τὸ σῶμα Σαοὺλ καὶ τὸ σῶμα τῶν υἱῶν αὐτοῦ καὶ ἤνεγκαν αὐτὰ εἰς Ἰαβὶς καὶ ἔθαψαν τὰ ὀστᾶ αὐτῶν ὑπὸ τὴν δρῦν ἐν Ἰαβὶς καὶ ἐνήστευσαν ἑπτὰ ἡμέρας.

Α Παραλ. 10,12 - Τοτε όλοι οι γενναίοι άνδρες της Γαλαάδ εσηκώθησαν επήγαν και επήραν το σώμα του Σαούλ και τα σώματα των υιών του, τα οποία και μετέφεραν εις την πόλιν των, την Ιαβίς. Τα οστά αυτών τα έθαψαν εις την Ιαβίς υπό την δρυν και εις ένδειξιν πένθους ενήστευσαν επί επτά ημέρας.

Α Παραλ. 10,13 - καὶ ἀπέθανε Σαοὺλ ἐν ταῖς ἀνομίαις αὐτοῦ, αἷς ἠνόμησε τῷ Θεῷ κατὰ τὸν λόγον Κυρίου, διότι οὐκ ἐφύλαξεν· ὅτι ἐπηρώτησε Σαοὺλ ἐν τῷ ἐγγαστριμύθῳ τοῦ ζητῆσαι, καὶ ἀπεκρίνατο αὐτῷ Σαμουὴλ ὁ προφήτης·

Α Παραλ. 10,13 - Κατ' αυτόν τον τρόπον απέθανεν ο Σαούλ εξ αιτίας των παρανομιών του, τας οποίας διέπραξεν ενώπιον του Θεού, διότι παρέβη τον λόγον του Κυρίου και δεν εφύλαξε τον Νομον του. Μια από τας παρανομίας του ήτο και το ότι επήγε να συμβουλευθή την μάγισσαν, δια να μάθη το μέλλον του, και επήρε απόκρισιν από τον προφήτην Σαμουήλ.

Α Παραλ. 10,14 - καὶ οὐκ ἐζήτησε Κύριον, καὶ ἀπέκτεινεν αὐτὸν καὶ ἐπέστρεψε τὴν βασιλείαν τῷ Δαυὶδ υἱῷ Ἰεσσαί.

Α Παραλ. 10,14 - Δεν συνεβουλεύθη τον Κυριον και ο Κυριος παρεχώρησε τον τραγικόν αυτόν θάνατον στον Σαούλ και έδωσε την βασιλείαν του Ισραηλιτικού λαού στον Δαυίδ, τον υιόν του Ιεσσαί.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 11

Α Παραλ. 11,1 - Καὶ ἦλθε πᾶς Ἰσραὴλ πρὸς Δαυὶδ ἐν Χεβρὼν λέγοντες· ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς·

Α Παραλ. 11,1 - Ηλθεν όλος ο ισραηλιτικός λαός στον Δαυίδ, εις την πόλιν Χεβρών, και του είπον· "ιδού, ημείς είμεθα οστά σου και σάρκες σου. Ανήκομεν εις την αυτήν φυλήν.

Α Παραλ. 11,2 - καὶ ἐχθὲς καὶ τρίτην ὄντος Σαοὺλ βασιλέως, σὺ ἦσθα ὁ ἐξάγων καὶ εἰσάγων τὸν Ἰσραήλ, καὶ εἶπεν Ἰσραὴλ Κύριός σοι· σὺ ποιμανεῖς τὸν λαόν μου τὸν Ἰσραήλ, καὶ σὺ ἔσῃ εἰς ἡγούμενον ἐπὶ Ἰσραήλ.

Α Παραλ. 11,2 - Και προηγουμένως, όταν βασιλεύς ήτο ο Σαούλ, συ κυρίως ήσο ο διοικών τον ισραηλιτικόν λαόν, ο δε Κυριος του ισραηλιτικού λαού, ο Θεός, εις σε είπεν ότι θα κυβερνήσης ως καλός ποιμήν τον λαόν μου τον ισραηλιτικόν και συ θα είσαι ο αρχηγός του λαού αυτού".

Α Παραλ. 11,3 - καὶ ἦλθον πάντες πρεσβύτεροι Ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς Χεβρών, καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς Δαυὶδ διαθήκην ἐν Χεβρὼν ἔναντι Κυρίου, καὶ ἔχρισαν τὸν Δαυὶδ εἰς βασιλέα ἐπὶ Ἰσραὴλ κατὰ τὸν λόγον Κυρίου, διὰ χειρὸς Σαμουήλ.

Α Παραλ. 11,3 - Ετσι ήλθον όλοι οι πρεσβύτεροι του ισραηλιτικού λαού προς τον βασιλέα εις την Χεβρών. Ο δε βασιλεύς Δαυίδ συνήψεν επίσημον συμφωνίαν με αυτούς ενώπιον του Κυρίου εις την πόλιν εκείνην, την Χεβρών. Οι επίσημοι του ισραηλιτικού λαού έχρισαν βασιλέα τον Δαυίδ, σύμφωνα με τον λόγον, τον οποίον ο Κυριος είχε προαναγγείλει δια του προφήτου Σαμουήλ.

Α Παραλ. 11,4 - Καὶ ἐπορεύθη ὁ βασιλεὺς καὶ ἄνδρες αὐτοῦ εἰς Ἱερουσαλὴμ (αὕτη Ἰεβούς), καὶ ἐκεῖ οἱ Ἰεβουσαῖοι οἱ κατοικοῦντες τὴν γῆν εἶπον τῷ Δαυίδ·

Α Παραλ. 11,4 - Ο βασιλεύς Δαυίδ επορεύθη μαζή με τους άνδρας του εις την Ιερουσαλήμ (Ιεβούς, όπως ωνομάζετο παλαιότερα). Οι κάτοικοι όμως της χώρας αυτής οι Ιεβουσαίοι του είπαν·

Α Παραλ. 11,5 - οὐκ εἰσελεύσῃ ὧδε. καὶ προκατελάβετο τὴν περιοχὴν Σιὼν (αὕτη ἡ πόλις Δαυίδ).

Α Παραλ. 11,5 - "Δεν θα εισέλθης εδώ". Ο Δαυίδ όμως κατέλαβε τον οχυρόν τόπον, την Σιών (αύτη από εδώ και πέρα λέγεται πόλις Δαυίδ).

Α Παραλ. 11,6 - καὶ εἶπε Δαυίδ· πᾶς τύπτων Ἰεβουσαῖον ἐν πρώτοις καὶ ἔσται εἰς ἄρχοντα καὶ εἰς στρατηγόν· καὶ ἀνέβη ἐπ᾿ αὐτὴν ἐν πρώτοις Ἰωὰβ υἱὸς Σαρουΐα καὶ ἐγένετο εἰς ἄρχοντα.

Α Παραλ. 11,6 - Και είπεν ο Δαυίδ προς τους άνδρας του· "εκείνος ο οποίος πρώτος θα φονεύση ένα Ιεβουσαίον, θα γίνη αρχηγός και στρατηγός". Πρώτος, ο οποίος ανέβη στον ωχυρωμένον αυτόν τόπον, ήτο ο Ιωάβ ο υιός της Σαρουΐας και εφόνευσεν ένα Ιεβουσαίον. Ετσι δε ανεκηρύχθη αρχηγός.

Α Παραλ. 11,7 - καὶ ἐκάθισε Δαυὶδ ἐν τῇ περιοχῇ· διὰ τοῦτο ἐκάλεσεν αὐτὴν Πόλιν Δαυίδ·

Α Παραλ. 11,7 - Ο Δαυίδ εγκατεστάθη εις την ωχυρωμένην εκείνην περιοχήν. Δια τούτο και ωνόμασεν αυτήν "Πολιν Δαυίδ".

Α Παραλ. 11,8 - καὶ ᾠκοδόμησε τὴν πόλιν κύκλῳ· καὶ ἐπολέμησε καὶ ἔλαβε τὴν πόλιν.

Α Παραλ. 11,8 - Ο Δαυίδ αφού επολέμησε και κατέλαβε την πόλιν αυτήν, την ανοικοδόμησε και ωχύρωσε τα γύρω αυτής μέρη.

Α Παραλ. 11,9 - καὶ ἐπορεύετο Δαυὶδ πορευόμενος καὶ μεγαλυνόμενος, καὶ Κύριος παντοκράτωρ μετ᾿ αὐτοῦ.

Α Παραλ. 11,9 - Ο Δαυίδ, όσον παρήρχετο ο χρόνος, εμεγάλωνεν εις δύναμιν, διότι Κυριος ο παντοκράτωρ ήτο μαζή του.

Α Παραλ. 11,10 - Καὶ οὗτοι οἱ ἄρχοντες τῶν δυνατῶν, οἳ ἦσαν τῷ Δαυίδ, οἱ κατισχύοντες μετ᾿ αὐτοῦ ἐν τῇ βασιλείᾳ αὐτοῦ μετὰ παντὸς Ἰσραὴλ τοῦ βασιλεῦσαι αὐτὸν κατὰ τὸν λόγον Κυρίου ἐπὶ Ἰσραήλ·

Α Παραλ. 11,10 - Αυτοί δε είναι οι αρχηγοί των γενναίων ανδρών, που ήσαν εις την υπηρεσίαν του Δαυίδ και οι οποίοι τον εβοηθούσαν και τον ενίσχυαν μαζή με όλον τον ισραηλιτικόν λαόν εις την βασιλείαν του, ώστε να βασιλεύση στον λαόν σύμφωνα με τον λόγον, τον οποίον ο Κυριος είχε δώσει στον ισραηλιτικόν λαόν.

Α Παραλ. 11,11 - καὶ οὗτος ὁ ἀριθμὸς τῶν δυνατῶν τοῦ Δαυίδ· Ἰεσεβάαλ υἱὸς Ἀχαμανὶ πρῶτος τῶν τριάκοντα· οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ

ἅπαξ ἐπὶ τριακοσίους τραυματίας ἐν καιρῷ ἑνί.

Α Παραλ. 11,11 - Αυτός δε είναι ο κατάλογος των ηρώων, που υπηρετούσαν τον Δαυίδ· ο Ιεσεβάαλ, υιός του Αχαμανί, ο αρχηγός των τριάκοντα. Αυτός ανέσυρε κάποτε την ρομφαίαν του και εις την περίστασιν εκείνην εφόνευσε τριακοσίους άνδρας.

Α Παραλ. 11,12 - καὶ μετ᾿ αὐτὸν Ἐλεάζαρ υἱὸς Δωδαΐ ὁ Ἀχωχί· οὗτος ἦν ἐν τοῖς τρισὶ δυνατοῖς.

Α Παραλ. 11,12 - Επειτα από αυτόν ήτο ο Ελεάζαρ, υιός του Δωδαΐ, ο οποίος κατήγετο από την Αχώχ. Αυτός ήτο ένας από τους τρεις γενναίους άνδρας.

Α Παραλ. 11,13 - οὗτος ἦν μετὰ Δαυὶδ ἐν Φασοδομίν, καὶ οἱ ἀλλόφυλοι συνήχθησαν ἐκεῖ εἰς πόλεμον, καὶ ἦν μερὶς τοῦ ἀγροῦ πλήρης κριθῶν, καὶ ὁ λαὸς ἔφυγεν ἀπὸ προσώπου ἀλλοφύλων·

Α Παραλ. 11,13 - Αυτός ευρίσκετο μαζή με τον Δαυίδ εις την Φασοδομίν. Οι Φιλισταίοι είχαν συγκεντρωθή εκεί, δια να πολεμήσουν. Εκεί υπήρχεν ένα τμήμα αγρού σπαρμένο με κριθάρι. Ο λαός κατά τον πόλεμον αυτόν εφοβήθη και ετράπη εις φυγήν ενώπιον των Φιλισταίων.

Α Παραλ. 11,14 - καὶ ἔστη ἐν μέσῳ τῆς μερίδος καὶ ἔσωσεν αὐτὴν καὶ ἐπάταξε τοὺς ἀλλοφύλους, καὶ ἐποίησε Κύριος σωτηρίαν μεγάλην.

Α Παραλ. 11,14 - Ο Ελεάζαρ όμως όρθιος και μόνος εν μέσω του αγρού αυτού έσωσεν αυτόν και εφόνευσε τους Φιλισταίους. Δι' αυτού δε ο Κυριος εχάρισε μεγάλην σωτηρίαν στον ισραηλιτικόν λαόν.

Α Παραλ. 11,15 - καὶ κατέβησαν τρεῖς ἐκ τῶν τριάκοντα ἀρχόντων εἰς τὴν πέτραν πρὸς Δαυὶδ εἰς τὸ σπήλαιον Ὀδολλάμ, καὶ παρεμβολὴ τῶν ἀλλοφύλων ἐν τῇ κοιλάδι τῶν γιγάντων.

Α Παραλ. 11,15 - Τρεις από τους γενναίους αυτούς άρχοντας κατέβηκαν προς τον Δαυίδ, στον βράχον κοντά στο σπήλαιον Οδολλάμ. Εκεί ευρίσκετο το στρατόπεδον των Φιλισταίων εις την κοιλάδα των γιγάντων.

Α Παραλ. 11,16 - καὶ Δαυὶδ τότε ἐν τῇ περιοχῇ, καὶ τὸ σύστημα τῶν ἀλλοφύλων τότε ἐν Βηθλεέμ.

Α Παραλ. 11,16 - Ο Δαυίδ ευρίσκετο τότε στον οχυρόν αυτόν τόπον, ενώ μία φρουρά των Φιλισταίων κατά την ιδίαν εποχήν ευρίσκετο εις την Βηθλεέμ.

Α Παραλ. 11,17 - καὶ ἐπεθύμησε Δαυὶδ καὶ εἶπε· τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου Βηθλεὲμ τοῦ ἐν τῇ πύλῃ;

Α Παραλ. 11,17 - Ο Δαυίδ ήσθάνθη μίαν ζωηράν επιθυμίαν και είπε· “ποιός τάχα θα μου φέρη να πιώ νερό από το πηγάδι, που ευρίσκεται εις την πύλην της Βηθλεέμ;”

Α Παραλ. 11,18 - καὶ διέῤῥηξαν οἱ τρεῖς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεέμ, ὃς ἦν ἐν

τῇ πύλῃ, καὶ ἔλαβον καὶ ἦλθον πρὸς Δαυίδ, καὶ οὐκ ἠθέλησε Δαυὶδ τοῦ πιεῖν αὐτὸ καὶ ἔσπεισεν αὐτὸ τῷ Κυρίῳ καὶ εἶπεν·

Α Παραλ. 11,18 - Οι τρεις αυτοί γενναίοι άνδρες διέσχισαν το στρατόπεδον των Φιλισταίων, επήραν ύδωρ από το φρέαρ, που ευρίσκετο εις την πύλην της Βηθλεέμ, και το έφεραν προς τον Δαυίδ. Αλλά ο Δαυίδ δεν ηθέλησε κατά κανένα τρόπον να το πίη, το έχυσεν ως σπονδήν στον Κυριον και είπεν·

Α Παραλ. 11,19 - ἵλεώς μου ὁ Θεὸς τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο, εἰ αἷμα ἀνδρῶν τούτων πίομαι ἐν ψυχαῖς αὐτῶν; ὅτι ἐν ψυχαῖς αὐτῶν ἤνεγκαν αὐτό· καὶ οὐκ ἐβούλετο πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί.

Α Παραλ. 11,19 - “Ο Θεός να με ελεήση, ώστε να μη διαπράξω αυτό το πράγμα. Πως είναι δυνατόν να πίω νερό, εφ' όσον ηντλήθη από τους άνδρας αυτούς εκτεθέντας εις θανάσιμον κίνδυνον να χύσουν το αίμα των και να χάσουν την ζωήν των; Αυτοί το έφεραν με άμεσον τον κίνδυνον να χάσουν την ζωήν των”. Δεν ηθέλησε, λοιπόν, ο Δαυίδ να πίη το νερό αυτό. Αυτά δε έπραξαν οι τρεις γενναίοι εκείνοι άνδρες.

Α Παραλ. 11,20 - καὶ Ἀβεσαὰ ἀδελφὸς Ἰωάβ, οὗτος ἦν ἄρχων τῶν τριῶν, οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας ἐν καιρῷ ἑνί, καὶ οὗτος ἦν ὀνομαστὸς ἐν τοῖς τρισίν,

Α Παραλ. 11,20 - Ο Αβεσαά, ο αδελφός του Ιωάβ, ήτα αρχηγός των τριών γενναίων ανδρών. Αυτός είχεν ανασύρει την ρομφαίαν του και εφόνευσε τριακοσίους άνδρας κατά τον αυτόν καιρόν. Αυτός ήτο ο πλέον ονομαστός μεταξύ των τριών αυτών ηρώων.

Α Παραλ. 11,21 - ἀπὸ τῶν τριῶν ὑπὲρ τοὺς δύο ἔνδοξος, καὶ ἦν αὐτοῖς εἰς ἄρχοντα καὶ ἕως τῶν τριῶν οὐκ ἤρχετο.

Α Παραλ. 11,21 - Ητο περισσότερον ένδοξος από τους δύο άλλους, ήτο αρχηγός των, δεν ήτο όμως ίσος προς τους τρεις μαζή.

Α Παραλ. 11,22 - καὶ Βαναίας υἱὸς Ἰωδαὲ υἱὸς ἀνδρὸς δυνατοῦ, πολλὰ ἔργα αὐτοῦ ὑπὲρ Καβασαήλ· οὗτος ἐπάταξε τοὺς δύο ἀριὴλ Μωὰβ καὶ οὗτος κατέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν τῷ λάκκῳ ἐν ἡμέρᾳ χιόνος·

Α Παραλ. 11,22 - Ο Βαναίας, ο υιός του Ιωδαέ, ήτο και αυτός ανήρ γενναίος και κατώρθωσε πολλά αξιόλογα έργα εις υπεράσπισιν της πόλεως Καβασαήλ. Αυτός είχε φονεύσει δύο Μωαβίτας ισχυρούς. Αλλοτε είχε κατεβή και εφόνευσε ένα λέοντα, που ευρίσκετο εις λάκκον, κάποιον ημέραν, που είχε πέσει χιόνι.

Α Παραλ. 11,23 - καὶ οὗτος ἐπάταξε τὸν ἄνδρα τὸν Αἰγύπτιον, ἄνδρα ὁρατὸν πεντάπηχυν, καὶ ἐν χειρὶ τοῦ Αἰγυπτίου δόρυ ὡς ἀντίον ὑφαινόντων, καὶ κατέβη ἐπ᾿ αὐτὸν Βαναίας ἐν ῥάβδῳ καὶ ἀφείλετο ἐκ τῆς χειρὸς τοῦ Αἰγυπτίου τὸ δόρυ καὶ ἀπέκτεινεν αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ.

Α Παραλ. 11,23 - Αυτός επίσης εφόνευσε ένα γιγαντόσωμον Αιγύπτιον, ύψους πέντε πήχεων. Αυτός ο Αιγύπτιος είχεν στο χέρι του ένα δόρυ, ωσάν το αντί των υφαντών. Ο Βαναίας επέπεσεν εναντίον του με την ράβδον του, ήρπασεν από τα χέρια του Αιγυπτίου το δόρυ και τον εφόνευσε με το ίδιο αυτό δόρυ.

Α Παραλ. 11,24 - ταῦτα ἐποίησε Βαναίας υἱὸς Ἰωδαέ, καὶ τούτῳ ὄνομα ἐν τοῖς τρισὶ τοῖς δυνατοῖς·

Α Παραλ. 11,24 - Αυτά τα κατορθώματα έκαμεν ο Βαναίας, ο υιός του Ιωδαέ. Αυτός έβγαλεν όνομα μεταξύ των τριών γενναίων.

Α Παραλ. 11,25 - ὑπὲρ τοὺς τριάκοντα ἦν ἔνδοξος οὗτος καὶ πρὸς τοὺς τρεῖς οὐκ ἤρχετο· καὶ κατέστησεν αὐτὸν Δαυὶδ ἐπὶ τὴν πατριὰν αὐτοῦ.

Α Παραλ. 11,25 - Εγινεν ενδοξότερος μεταξύ των τριάκοντα, αλλά δεν έφθασε τους τρεις. Αυτόν ο Δαυίδ τον κατέστησεν αρχηγόν της σωματοφυλακής του.

Α Παραλ. 11 ,26 - καὶ δυνατοὶ τῶν δυνάμεων· Ἀσαὴλ ἀδελφὸς Ἰωάβ, Ἐλεανὰν υἱὸς Δωδωὲ ἐκ Βηθλεέμ,

Α Παραλ. 11,26 - Οι γενναίοι άνδρες του στρατού του Δαυίδ ήσαν επίσης και οι εξής· ο Ασαήλ αδελφός του Ιωάβ, ο Ελεανάν υιός του Δωδωέ από την Βηθλεέμ.

Α Παραλ. 11,27 - Σαμμὼθ ὁ Ἀρωρί, Χελλὴς ὁ Φελωνί,

Α Παραλ. 11,27 - Ο Σαμμώθ, ο οποίος κατήγετο από την Αρώρ, ο Χελλής ο οποίος κατήγετο από την Φελών,

Α Παραλ. 11,28 - Ὠρὰ υἱὸς Ἐκκὶς ὁ Θεκωί, Ἀβιέζερ ὁ Ἀναθωθί,

Α Παραλ. 11,28 - Ο Ωρά ο υιός του Εκκίς που κατήγετο από την Θεκωί, ο Αβιέζερ που κατήγετο από την Αναθώθ,

Α Παραλ. 11,29 - Σοβοχαὶ ὁ Ἀσωθί, Ἠλὶ ὁ Ἀχωνί,

Α Παραλ. 11,29 - ο Σοβοχαί ο οποίος κατήγετο από την Ασώθ, ο Ηλί ο οποίος κατήγετο από την Αχών,

Α Παραλ. 11,30 - Μοοραΐ ὁ Νετωφαθί, Χολὸδ υἱὸς Νοοζὰ ὁ Νετωφαθί,

Α Παραλ. 11,30 - ο Μοοραί ο καταγόμενος από την Νετωφάθ, ο Χολόδ υιός του Νοοζά, που κατήγετο από την Νετωφάθ,

Α Παραλ. 11,31 - Αἰρὶ υἱὸς Ῥεβιὲ ἐκ βουνοῦ Βενιαμίν, Βαναίας ὁ Φαραθωνί,

Α Παραλ. 11,31 - ο Αιρί υιός του Ρεβιέ καταγόμενος από την Γαβαά, η οποία ανήκεν εις την φυλήν του Βενιαμίν, ο Βαναίας ο οποίος κατήγετο από την Φαραθών,

Α Παραλ. 11,32 - Οὐρὶ ἐκ Ναχαλὶ Γάας, Ἀβιὴλ ὁ Γαραβαιθί,

Α Παραλ. 11,32 - ο Ουρί που κατήγετο από την Ναχάλ, ο Γαας, ο Αβιήλ ο καταγόμενος από την Γαραβαίθ,

Α Παραλ. 11,33 - Ἀζμὼθ ὁ Βαρωμί, Ἐλιαβὰ ὁ Σαλαβωνί,

Α Παραλ. 11,33 - ο Αζμώθ ο καταγόμενος από την Βαρώμ, ο Ελιαβά ο καταγόμενος από την Σαλαβών,

Α Παραλ. 11,34 - υἱὸς Ἀσὰμ τοῦ Γιζωνίτου, Ἰωνάθαν υἱὸς Σωλὰ ὁ Ἀραρί,

Α Παραλ. 11,34 - ο υιός του Ασάμ του Γιζωνίτου, ο Ιωνάθαν ο υιός του Σωλά ο καταγόμενος από την Αράρ,

Α Παραλ. 11,35 - Ἀχὶμ υἱὸς Ἀχὰρ ὁ Ἀραρί, Ἐλφὰτ υἱὸς Θυροφὰρ

Α Παραλ. 11,35 - ο Αχίμ ο υιός του Αχάρ ο καταγόμενος από την Αράρ, ο Ελφάτ ο υιός του Θυροφάρ,

Α Παραλ. 11,36 - ὁ Μεχωραθρί, Ἀχία ὁ Φελλωνί,

Α Παραλ. 11,36 - ο καταγόμενος από την Μεχωράθρ, ο Αχία ο καταγόμενος από την Φελλών,

Α Παραλ. 11,37 - Ἠσερὲ ὁ Χαρμαδαΐ, Νααραὶ υἱὸς Ἀζοβαί,

Α Παραλ. 11,37 - ο Ησερέ ο καταγόμενος από την Χαρμαδά, ο Νααραί ο υιός του Αζοβαί,

Α Παραλ. 11,38 - Ἰωὴλ υἱὸς Νάθαν, Μεβαὰλ υἱὸς Ἀγαρί,

Α Παραλ. 11,38 - ο Ιωήλ ο υιός του Ναθαν, ο Μεβαάλ ο υιός του Αγάρ,

Α Παραλ. 11,39 - Σελὴ ὁ Ἀμμωνί, Ναχὼρ ὁ Βηρωθί, αἴρων σκεύη Ἰωὰβ υἱῷ Σαρουΐα,

Α Παραλ. 11,39 - ο Σελή ο οποίος κατήγετο από την Αμμών, ο Ναχώρ ο καταγόμενος από την Βηρώθ, ο βαστάζων τα όπλα του Ιωάβ, υιού της Σαρουΐας,

Α Παραλ. 11,40 - Ἰρὰ ὁ Ἰεθρί, Γαρὴβ ὁ Ἰεθρί,

Α Παραλ. 11,40 - ο Ιρά ο καταγόμενος από την Ιεθρί, ο Γαρήβ ο καταγόμενος επίσης από την Ιεθρί,

Α Παραλ. 11,41 - Οὐρία ὁ Χεττί, Ζαβὲτ υἱὸς Ἀχαϊά,

Α Παραλ. 11,41 - ο Ουρίας ο Χετταίος, ο Ζαβέτ ο υιός του Αχαϊά,

Α Παραλ. 11,42 - Ἀδινὰ υἱὸς Σαιζὰ τοῦ Ῥουβὴν ἄρχων, καὶ ἐπ᾿ αὐτῷ τριάκοντα.

Α Παραλ. 11,42 - ο Αδινά ο υιός του Σαιζά, ο οποίος ήτο αρχηγός της φυλής του Ρουβήν, και τριάκοντα άλλοι μαζή με αυτόν.

Α Παραλ. 11,43 - Ἀνὰν υἱὸς Μοωχά, καὶ Ἰωσαφὰτ ὁ Ματθανί,

Α Παραλ. 11,43 - Ο Ανάν ο υιός του Μοωχά, ο Ιωσαφάτ ο καταγόμενος από την Ματθάν,

Α Παραλ. 11,44 - Ὀζία ὁ Ἀσταρωθί, Σαμαθὰ καὶ Ἰειὴλ υἱοὶ Χωθὰμ τοῦ Ἀραρί,

Α Παραλ. 11,44 - ο Οζία ο καταγόμενος από την Ασταρώθ, ο Σαμαθά και ο Ιειήλ, υιοί του Χωθάμ, του καταγομένου από την Αράρ,

Α Παραλ. 11,45 - Ἰεδιὴλ υἱὸς Σαμερὶ καὶ Ἰωζαὲ ὁ ἀδελφὸς αὐτοῦ ὁ Θωσαΐ,

Α Παραλ. 11,45 - ο Ιεδιήλ υιός του Σαμερί και ο Ιωζαέ ο αδελφός αυτού, καταγόμενος από την Θωσά,

Α Παραλ. 11,46 - Ἐλιὴλ ὁ Μαωΐ καὶ Ἰαριβί, καὶ Ἰωσία υἱὸς αὐτοῦ, Ἐλλαὰμ καὶ Ἰεθαμὰ ὁ Μωαβίτης,

Α Παραλ. 11,46 - ο Ελιήλ ο καταγόμενος από την Μαω, ο Ιαριβί και ο Ιωσία ο υιός αυτού, ο Ελλαάμ και ο Ιεθαμά ο Μωαβίτης,

Α Παραλ. 11,47 - Δαλιὴλ καὶ Ὠβὴδ καὶ Ἰεσσιὴλ ὁ Μεσωβία.

Α Παραλ. 11,47 - ο Δαλιήλ, ο Ωβήδ και ο Ιεσσιήλ ο οποίος κατήγετο από την Μεσωβία.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 12

Α Παραλ. 12,1 - Καὶ οὗτοι οἱ ἐλθόντες πρὸς Δαυὶδ εἰς Σικελάγ, ἔτι συνεχομένου ἀπὸ προσώπου Σαοὺλ υἱοῦ Κίς, καὶ οὗτοι ἐν τοῖς δυνατοῖς βοηθοῦντες ἐν πολέμῳ

Α Παραλ. 12,1 - Οι δε άνδρες, οι οποίοι είχον ελθει προς τον Δαυίδ εις την πόλιν Σικελάγ, όταν αυτός ήτο καταδιωκόμενος σκληρώς από τον Σαούλ, τον υιόν του Κις, και δεν είχεν ελευθερίαν κινήσεως, ήσαν άνδρες γενναίοι και είχαν ελθει να τον βοηθήσουν κατά τον πόλεμον.

Α Παραλ. 12,2 - καὶ τόξῳ ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν καὶ σφενδονῆται ἐν λίθοις καὶ τόξοις· ἐκ τῶν ἀδελφῶν Σαοὺλ ἐκ Βενιαμίν·

Α Παραλ. 12,2 - Είχαν την ικανότητα να χειρίζωνται το τόξον και με την δεξιάν και με την αριστεράν χείρα των, ήσαν περίφημοι επίσης στον χειρισμόν της σφενδόνης ρίπτοντες έτσι και λίθους και τόξα. Αυτοί ήσαν από τους συγγενείς του Σαούλ, καταγόμενοι από την φυλήν του Βενιαμίν.

Α Παραλ. 12,3 - ὁ ἄρχων Ἀχιέζερ καὶ Ἰωὰς υἱὸς Ἀσμὰ τοῦ Γαβαθίτου καὶ Ἰωὴλ καὶ Ἰωφαλὴτ υἱοὶ Ἀσμὼθ καὶ Βερχία καὶ Ἰηοὺλ ὁ Ἀναθωθὶ

Α Παραλ. 12,3 - Δηλαδή ο άρχων Αχιέζερ και ο Ιωάς υιός του Ασμά του καταγομένου από την Γαβάθ, ο Ιωήλ και ο Ιωφαλήτ υιοί του Ασμώθ, ο Βερχία και ο Ιηούλ ο καταγόμενος από την Αναθώθ,

Α Παραλ. 12,4 - καὶ Σαμαΐας ὁ Γαβαωνίτης δυνατὸς ἐν τοῖς τριάκοντα καὶ ἐπὶ τῶν τριάκοντα

Α Παραλ. 12,4 - ο Σαμαΐας ο καταγόμενος από την Γαβαών, ένας από τους τριάκοντα γενναίους άνδρας και αρχηγός αυτών των τριάκοντα.

Α Παραλ. 12,5 - Ἱερεμία καὶ Ἰεζιὴλ καὶ Ἰωανὰν καὶ Ἰωζαβὰθ ὁ Γαδαραθιίμ,

Α Παραλ. 12,5 - Ο Ιερεμία, ο Ιεζιήλ, ο Ιωανάν, ο Ιωζαβάθ, ο οποίος κατήγετο από τα Γαδαρα,

Α Παραλ. 12,6 - Ἀζαΐ καὶ Ἰαριμοὺθ καὶ Βααλιὰ καὶ Σαμαραΐα καὶ Σαφατίας ὁ Χαραιφιήλ,

Α Παραλ. 12,6 - ο Αζαΐ ο Ιαριμούθ, ο Βααλιά, ο Σαμαραΐα, ο Σαφατίας, ο Χαραιφιήλ,

Α Παραλ. 12,7 - Ἠλκανὰ καὶ Ἰησουνὶ καὶ Ὀζριὴλ καὶ Ἰωζαρὰ καὶ Σοβοκὰμ καὶ οἱ Κορῖται

Α Παραλ. 12,7 - ο Ηλκανά, ο Ιησουνί, ο Οζριήλ, ο Ιωζαρά, ο Σοδοκάμ και οι Κορίται,

Α Παραλ. 12,8 - καὶ Ἰελία καὶ Ζαβαδία υἱοὶ Ἰραὰμ καὶ οἱ τοῦ Γεδώρ.

Α Παραλ. 12,8 - ο Ιελία, ο Ζαβαδία, υιοί του Ιραάμ, και οι άνδρες οι καταγόμενοι από την Γεδώρ.

Α Παραλ. 12,9 - καὶ ἀπὸ τοῦ Γαδδὶ ἐχωρίσθησαν πρὸς Δαυὶδ ἀπὸ τῆς ἐρήμου ἰσχυροὶ δυνατοὶ ἄνδρες παρατάξεως πολέμου αἴροντες θυρεοὺς καὶ δόρατα, καὶ πρόσωπον λέοντος τὰ πρόσωπα αὐτῶν, καὶ κοῦφοι ὡς δορκάδες ἐπὶ τῶν ὀρέων τῷ τάχει·

Α Παραλ. 12,9 - Από την φυλήν του Γαδ απεχωρίσθησαν από τον Σαούλ και ήλθαν προς τον Δαυίδ, εις την έρημον, όπου αυτός ευρίσκετο, γενναίοι και δυνατοί άνδρες ικανοί εις πολεμικάς επιχειρήσεις, φέροντες ασπίδας και δόρατα. Τα πρόσωπα των ανδρών αυτών ήσαν άγρια και υπερήφανα ωσάν των λεόντων, το δε πόδια των ταχέα, όπως είναι τα πόδια της δορκάδος εις τα όρη.

Α Παραλ. 12,10 - Ἀζὲρ ὁ ἄρχων, Ἀβδία ὁ δεύτερος, Ἐλιὰβ ὁ τρίτος,

Α Παραλ. 12,10 - Αυτοί ήσαν ο Αζέρ ο άρχων, δεύτερος ο Αβδίας, τρίτος ο Ελιάβ,

Α Παραλ. 12,11 - Μασμανὰ ὁ τέταρτος, Ἱερμιὰ ὁ πέμπτος,

Α Παραλ. 12,11 - τέταρτος ο Μασμανά, πέμπτος ο Ιερμιά,

Α Παραλ. 12,12 - Ἰεθὶ ὁ ἕκτος, Ἐλιὰβ ὁ ἕβδομος,

Α Παραλ. 12,12 - έκτος ο Ιεθί, έβδομος ο Ελιάβ,

Α Παραλ. 12,13 - Ἰωανὰν ὁ ὄγδοος, Ἐλιαζὲρ ὁ ἔνατος,

Α Παραλ. 12,13 - όγδοος ο Ιωανάν, ένατος ο Ελιαζέρ

Α Παραλ. 12,14 - Ἱερμιὰ ὁ δέκατος, Μελχαβαναὶ ὁ ἑνδέκατος.

Α Παραλ. 12,14 - δέκατος ο Ιερμιά, ενδέκατος ο Μελχαβαναί.

Α Παραλ. 12,15 - οὗτοι ἐκ τῶν υἱῶν Γὰδ ἄρχοντες τῆς στρατιᾶς, εἷς τοῖς ἑκατὸν μικρὸς καὶ μέγας τοῖς χιλίοις.

Α Παραλ. 12,15 - Αυτοί όλοι, καταγόμενοι από την φυλήν του Γαδ, ήσαν γενναίοι άνδρες, άρχοντες στον στρατόν του Δαυίδ. Τοσον γενναίοι, ώστε ένας από αυτούς, ο μικρότερος, ισοδυναμούσε με εκατόν και ο μεγαλύτερος από αυτούς ήτο εις θέσιν να αντιμετωπίση χιλίους.

Α Παραλ. 12,16 - οὗτοι οἱ διαβάντες τὸν Ἰορδάνην ἐν τῷ μηνὶ τῷ πρώτῳ, καὶ οὗτος πεπληρωκὼς ἐπὶ πᾶσαν κρηπῖδα αὐτοῦ, καὶ ἐξεδίωξαν πάντας τοὺς κατοικοῦντας αὐλῶνας ἀπὸ ἀνατολῶν ἕως δυσμῶν.

Α Παραλ. 12,16 - Αυτοί είναι εκείνοι, οι οποίοι είχον διαβή τον Ιορδάνην ποταμόν κατά τον πρώτον μήνα του έτους, όταν αυτός ήτο γεμάτος από νερά

εις όλην αυτού την κοίτην, και εξεδίωξαν τους κατοίκους, που ευρίσκοντο εις τας κοιλάδας του ποταμού αυτού από ανατολών έως δυσμών.

Α Παραλ. 12,17 - καὶ ἦλθον ἀπὸ τῶν υἱῶν Βενιαμὶν καὶ Ἰούδα εἰς βοήθειαν τοῦ Δαυίδ,

Α Παραλ. 12,17 - Από δε την φυλήν του Βενιαμίν και από την φυλήν του Ιούδα ήλθαν εις βοήθειαν του Δαυίδ άλλοι άνδρες.

Α Παραλ. 12,18 - καὶ Δαυὶδ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῶν καὶ εἶπεν αὐτοῖς· εἰ εἰς εἰρήνην ἥκατε πρός με, εἴη μοι καρδία καθ᾽ ἑαυτὴν ἐφ᾽ ὑμᾶς· καὶ εἰ τοῦ παραδοῦναί με τοῖς ἐχθροῖς μου οὐκ ἐν ἀληθείᾳ χειρός, ἴδοι ὁ Θεὸς τῶν πατέρων ὑμῶν καὶ ἐλέγξαιτο.

Α Παραλ. 12,18 - Ο Δαυίδ εξήλθε να τους προυπαντήση και τους ηρώτησε· "εάν έχετε έλθει με ειρηνικόν σκοπόν προς εμέ, η καρδιά μου θα είναι μαζή σας. Εάν όμως έχετε έλθει, δια να με παραδώσετε δολίως εις τα χέρια των εχθρών μου, ας ίδη ο Θεός των πατέρων σας την δολιότητα σας και ας σας τιμωρήση".

Α Παραλ. 12,19 - καὶ πνεῦμα ἐνέδυσε τὸν Ἀμασαὶ ἄρχοντα τῶν τριάκοντα, καὶ εἶπε· πορεύου καὶ ὁ λαός σου Δαυὶδ υἱὸς Ἰεσσαί· εἰρήνη εἰρήνη σοι, καὶ εἰρήνη τοῖς βοηθοῖς σου, ὅτι ἐβοήθησέ σοι ὁ Θεὸς σου. καὶ προσεδέξατο αὐτοὺς Δαυὶδ καὶ κατέστησεν αὐτοὺς ἄρχοντας τῶν δυνάμεων.

Α Παραλ. 12,19 - Πνεύμα του Θεού ενέπλησε τον Αμασαί, αρχηγόν των τριάκοντα γενναίων, ο οποίος και είπε· "Δαυίδ, υιέ του Ιεσσαί, βάδιζε ήσυχος τον δρόμον σου, συ και ο λαός σου. Ειρήνη υπάρχει εις σε και ειρήνη εις εκείνους, οι οποίοι έρχονται ως βοηθοί σου, διότι ο Θεός σέ εβοήθησε". Ο Δαυίδ εδέχθη αυτούς και τους διώρισεν αρχηγούς των στρατιωτικών του δυνάμεων.

Α Παραλ. 12,20 - καὶ ἀπὸ Μανασσῆ προσεχώρησαν πρὸς Δαυὶδ ἐν τῷ ἐλθεῖν τοὺς ἀλλοφύλους ἐπὶ Σαοὺλ εἰς πόλεμον· καὶ οὐκ ἐβοήθησεν αὐτοῖς, ὅτι ἐν βουλῇ ἐγένετο παρὰ τῶν στρατηγῶν τῶν ἀλλοφύλων λεγόντων· ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων ἐπιστρέψει πρὸς κύριον αὐτοῦ Σαούλ·

Α Παραλ. 12,20 - Από την φυλήν του Μανασσή προσεχώρησαν άλλοι άνδρες προς τον Δαυίδ, όταν οι Φιλισταίοι είχον εκστρατεύσει εναντίον του Σαούλ. Ο δε Δαυίδ δεν εβοήθησε τους Φιλισταίους, διότι οι στρατηγοί των Φιλισταίων δεν του είχαν εμπιστοσύνην και είπαν· "υποπτευόμεθα, μήπως ο Δαυίδ με τας κεφαλάς των ανδρών μας λιποτακτήση προς τον κύριόν του τον Σαούλ".

Α Παραλ. 12,21 - ἐν τῷ πορευθῆναι τὸν Δαυὶδ εἰς Σικελὰγ προσεχώρησαν αὐτῷ ἀπὸ Μανασσῆ Ἐδνὰ καὶ Ἰωζαβὰθ καὶ Ῥωδιὴλ καὶ

Μιχαὴλ καὶ Ἰωσαβαὶθ καὶ Ἐλιμοὺθ καὶ Σεμαθί, ἀρχηγοὶ χιλιάδων εἰσὶ τοῦ Μανασσῆ.

Α Παραλ. 12,21 - Οταν ο Δαυίδ μετέβη εις την Σικελάγ, προσεχώρησαν εις την δύναμίν του αυτοί οι άνδρες οι καταγόμενοι από την φυλήν του Μανασσή· ο Εδνά, ο Ιωζαβάθ, ο Ρωδιήλ, ο Μιχαήλ, ο Ιωσαβαίθ, ο Ελιμούθ και ο Σεμαθί. Ολοι αυτοί ήσαν χιλίαρχοι από την φυλήν του Μανασσή.

Α Παραλ. 12,22 - καὶ αὐτοὶ συνεμάχησαν τῷ Δαυὶδ ἐπὶ τὸν γεδδούρ, ὅτι δυνατοὶ ἰσχύος πάντες καὶ ἦσαν ἡγούμενοι ἐν τῇ στρατιᾷ ἐν τῇ δυνάμει·

Α Παραλ. 12,22 - Αυτοί εβοήθησαν τον Δαυίδ εναντίον των επιδρομέων Γεδδούρ. Ησαν δε όλοι γενναίοι άνδρες και έγιναν στρατηγοί στον στρατόν του Δαυίδ.

Α Παραλ. 12,23 - ὅτι ἡμέραν ἐξ ἡμέρας ἤρχοντο πρὸς Δαυὶδ εἰς δύναμιν μεγάλην ὡς δύναμις τοῦ Θεοῦ.

Α Παραλ. 12,23 - Ετσι δε ο στρατός του Δαυίδ ημέραν με την ημέραν ηύξανεν εις δύναμιν, ώστε έγινε μεγάλη στρατιωτική δύναμις, ωσάν δύναμις στρατού του Θεού.

Α Παραλ. 12,24 - καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων τῆς στρατιᾶς, οἱ ἐλθόντες πρὸς Δαυὶδ εἰς Χεβρὼν τοῦ ἀποστρέψαι τὴν βασιλείαν Σαοὺλ πρὸς αὐτὸν κατὰ τὸν λόγον Κυρίου.

Α Παραλ. 12,24 - Αυτά δε είναι τα ονόματα των αρχηγών του στρατού, οι οποίοι είχον έλθει προς τον Δαυίδ εις την Χεβρών, δια να μεταβιβάσουν την βασιλείαν του Σαούλ προς αυτόν, σύμφωνα με το παράγγελμα του Κυρίου·

Α Παραλ. 12,25 - υἱοὶ Ἰούδα θυρεοφόροι καὶ δορατοφόροι ἓξ χιλιάδες καὶ ὀκτακόσιοι δυνατοὶ παρατάξεως.

Α Παραλ. 12,25 - Από την φυλήν του Ιούδα ήσαν εξ χιλιάδες οκτακόσιοι γενναίοι και ικανοί περί τον πόλεμον άνδρες, φέροντες ασπίδας και δόρατα.

Α Παραλ. 12,26 - τῶν υἱῶν Συμεὼν δυνατοὶ ἰσχύος εἰς παράταξιν ἑπτὰ χιλιάδες καὶ ἑκατόν.

Α Παραλ. 12,26 - Από την φυλήν του Συμεών ήσαν άνδρες γενναίοι και ικανοί στον πόλεμον επτά χιλιάδες εκατόν.

Α Παραλ. 12,27 - τῶν υἱῶν Λευὶ τετρακισχίλιοι καὶ ἑξακόσιοι.

Α Παραλ. 12,27 - Από την φυλήν του Λευί τέσσαρες χιλιάδες εξακόσιοι.

Α Παραλ. 12,28 - καὶ Ἰωδαὲ ὁ ἡγούμενος τῷ Ἀαρὼν καὶ μετ᾿ αὐτοῦ τρεῖς χιλιάδες καὶ ἑπτακόσιοι.

Α Παραλ. 12,28 - Ο Ιωδαέ, ο αρχηγός εις την οικογένειαν του Ααρών, ήλθε και μαζή με αυτόν ήλθον τρεις χιλιάδες επτακόσιοι άνδρες.

Α Παραλ. 12,29 - καὶ Σαδὼκ νέος δυνατὸς ἰσχύϊ καὶ τῆς πατρικῆς οἰκίας αὐτοῦ ἄρχοντες εἰκοσιδύο.

Α Παραλ. 12,29 - Ηλθεν επίσης ο νεαρός Σαδώκ, γενναίος ανήρ, και από την πατρικήν του οικίαν είκοσι δύο αρχηγοί.

Α Παραλ. 12,30 - καὶ τῶν υἱῶν Βενιαμὶν τῶν ἀδελφῶν Σαοὺλ τρεῖς χιλιάδες· καὶ ἔτι τὸ πλεῖστον αὐτῶν ἀπεσκόπει τὴν φυλακὴν οἴκου Σαούλ.

Α Παραλ. 12,30 - Από την φυλήν Βενιαμίν, οι οποίοι ήσαν ομόφυλοι του Σαούλ, ήλθον τρεις χιλιάδες, διότι η μεγαλυτέρα μερίς της φυλής αυτής υπηρετούσε ακόμη ως φρουρά στον βασιλικόν οίκον του Σαούλ.

Α Παραλ. 12,31 - καὶ ἀπὸ υἱῶν Ἐφραὶμ εἴκοσι χιλιάδες καὶ ὀκτακόσιοι, δυνατοὶ ἰσχύϊ, ἄνδρες ὀνομαστοὶ κατ᾿ οἴκους πατριῶν αὐτῶν.

Α Παραλ. 12,31 - Από την φυλήν Εφραίμ ήλθαν είκοσι χιλιάδες οκτακόσιοι δυνατοί άνδρες, οι οποίοι εξελέγησαν από τας πατριαρχικάς οικογενείας.

Α Παραλ. 12,32 - καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ δεκαοκτὼ χιλιάδες, οἳ ὠνομάσθησαν ἐν ὀνόματι τοῦ βασιλεῦσαι τὸν Δαυίδ.

Α Παραλ. 12,32 - Και από την ημίσειαν φυλήν του Μανασσή ήλθαν δεκαοκτώ χιλιάδες οι οποίοι ονομαστί είχον ορισθή, δια να βοηθήσουν τον βασιλέα Δαυίδ εις την εγκατάστασίν του.

Α Παραλ. 12,33 - καὶ ἀπὸ τῶν υἱῶν Ἰσσάχαρ γινώσκοντες σύνεσιν εἰς τοὺς καιρούς, γινώσκοντες τί ποιήσαι Ἰσραὴλ εἰς τὰς ἀρχὰς αὐτῶν, διακόσιοι, καὶ πάντες ἀδελφοὶ αὐτῶν μετ᾿ αὐτῶν.

Α Παραλ. 12,33 - Από την φυλήν του Ισσάχαρ ήλθαν άνδρες, οι οποίοι είχαν την ικανότητα να γνωρίζουν τους καιρούς, όπως επίσης να γνωρίζουν τι έπρεπε να πράττη ο ισραηλιτικός λαός κατά τας διαφόρους αυτού περιστάσεις. Διακόσιοι αρχηγοί και όλοι οι συγγενείς των υπό τας διαταγάς αυτών.

Α Παραλ. 12,34 - καὶ ἀπὸ Ζαβουλὼν ἐκπορευόμενοι εἰς παράταξιν πολέμου ἐν πᾶσι σκεύεσι πολεμικοῖς πεντήκοντα χιλιάδες βοηθῆσαι τῷ Δαυὶδ οὐ χεροκένως.

Α Παραλ. 12,34 - Από την φυλήν Ζαβουλών ήλθον άνδρες συνηθισμένοι να εξέρχονται εις πολεμικάς επιχειρήσεις, ωπλισμένοι με όλα τα πολεμικά όπλα, εν όλω πεντήκοντα χιλιάδες, δια να βοηθήσουν τον Δαυίδ. Δεν ήλθαν δέ με αδειανά τα χέρια, αλλά φέροντες δώρα.

Α Παραλ. 12,35 - καὶ ἀπὸ Νεφθαλὶ ἄρχοντες χίλιοι καὶ μετ᾿ αὐτῶν ἐν θυρεοῖς καὶ δόρασι τριακονταεπτὰ χιλιάδες.

Α Παραλ. 12,35 - Από την φυλήν του Νεφθαλί ήλθαν χίλιοι αρχηγοί και μαζή με αυτούς τριάκοντα επτά χιλιάδες άνδρες, οι οποίοι έφεραν ασπίδας μεγάλας και δόρατα.

Α Παραλ. 12,36 - καὶ ἀπὸ τῶν Δανιτῶν παρατασσόμενοι εἰς πόλεμον εἰκοσιοκτὼ χιλιάδες καὶ ὀκτακόσιοι.

Α Παραλ. 12,36 - Από την φυλήν του Δαν ήλθαν άνδρες ικανοί στον πόλεμον εικοσιοκτώ χιλιάδες οκτακόσιοι.

Α Παραλ. 12,37 - καὶ ἀπὸ τοῦ Ἀσὴρ ἐκπορευόμενοι βοηθῆσαι εἰς πόλεμον τεσσαράκοντα χιλιάδες.

Α Παραλ. 12,37 - Από την φυλήν Ασήρ ήλθαν να βοηθήσουν τον Δαυίδ τεσσαράκοντα χιλιάδες άνδρες, ικανοί να εξέλθουν εις πόλεμον.

Α Παραλ. 12,38 - καὶ ἐκ πέραν τοῦ Ἰορδάνου ἀπὸ Ῥουβὴν καὶ Γαδδὶ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ ἐν πᾶσι σκεύεσι πολεμικοῖς ἑκατὸν εἴκοσι χιλιάδες.

Α Παραλ. 12,38 - Από τους Ισραηλίτας, οι οποίοι ήσαν πέραν από τον Ιορδάνην, από τας φυλάς δηλαδή του Ρουβήν, Γαδ και το ήμισυ της φυλής του Μανασσή, ήλθαν εκατόν είκοσι χιλιάδες, ωπλισμένοι με όλα τα πολεμικά όπλα.

Α Παραλ. 12,39 - πάντες οὗτοι ἄνδρες πολεμισταὶ παρατασσόμενοι παράταξιν ἐν ψυχῇ εἰρηνικῇ καὶ ἦλθον εἰς Χεβρὼν τοῦ βασιλεῦσαι τὸν Δαυὶδ ἐπὶ πάντα Ἰσραήλ· καὶ ὁ κατάλοιπος Ἰσραὴλ ψυχὴ μία τοῦ βασιλεῦσαι τὸν Δαυίδ.

Α Παραλ. 12,39 - Ολοι αυτοί οι άνδρες ήσαν πολεμισταί ικανοί εις πολεμικάς επιχειρήσεις και ήλθον με χαράν ψυχής εις την Χεβρών, δια να εγκαταστήσουν τον Δαυίδ βασιλέα επί όλου του ισραηλιτικού λαού. Αλλά και ο υπόλοιπος ισραηλιτικός λαός είχε το ίδιο φρόνημα και την αυτήν διάθεσιν να ανακηρυχθή ο Δαυίδ βασιλεύς.

Α Παραλ. 12,40 - καὶ ἦσαν ἐκεῖ ἡμέρας τρεῖς ἐσθίοντες καὶ πίνοντες, ὅτι ἡτοίμασαν οἱ ἀδελφοὶ αὐτῶν.

Α Παραλ. 12,40 - Ολοι αυτοί ήσαν εκεί επί τρεις ημέρας τρώγοντες και πίνοντες, διότι οι αδελφοί των οι Ιουδαίοι ητοίμασαν δι' αυτούς πλουσίας τραπέζας.

Α Παραλ. 12,41 - καὶ οἱ ὁμοροῦντες αὐτοῖς ἕως Ἰσσάχαρ καὶ Ζαβουλὼν καὶ Νεφθαλὶ ἔφερον αὐτοῖς ἐπὶ τῶν καμήλων καὶ τῶν ὄνων καὶ τῶν ἡμιόνων καὶ ἐπὶ τῶν μόσχων βρώματα, ἄλευρα, παλάθας, σταφίδας, οἶνον καὶ ἔλαιον, μόσχους καὶ πρόβατα εἰς πλῆθος, ὅτι εὐφροσύνη ἐν Ἰσραήλ.

Α Παραλ. 12,41 - Αλλά και οι Ισραηλίται, οι γείτονες προς τους Ιουδαίους μέχρι της φυλής Ισσάχαρ, Ζαβουλών και Νεφθαλί, έφεραν δια την συγκέντρωσιν αυτήν επάνω εις καμήλους, εις όνους, εις ημιόνους και εις βόϊδια τρόφιμα, δηλαδή άλευρα, σύκα, σταφίδες, οίνον και έλαιον. Εφεραν δε και πολλά μοσχάρια και πολλά πρόβατα, διότι θα εγίνετο μεγάλη χαρμόσυνος εορτή στον ισραηλιτικόν λαόν.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 13

Α Παραλ. 13,1 - Καὶ ἐβουλεύσατο Δαυὶδ μετὰ τῶν χιλιάρχων καὶ τῶν ἑκατοντάρχων, παντὶ ἡγουμένῳ,

Α Παραλ. 13,1 - Ο Δαυίδ έκαμε σύσκεψιν με τους χιλιάρχους και τους εκατοντάρχους του στρατού του και με όλους τους άλλους άρχοντας.

Α Παραλ. 13,2 - καὶ εἶπε Δαυὶδ τῇ πάσῃ ἐκκλησίᾳ Ἰσραήλ· εἰ ἐφ᾿ ὑμῖν ἀγαθὸν καὶ παρὰ Κυρίου τοῦ Θεοῦ ἡμῶν εὐοδωθῇ, ἀποστείλωμεν πρὸς τοὺς ἀδελφοὺς ἡμῶν τοὺς ὑπολελειμμένους ἐν πάσῃ γῇ Ἰσραήλ, καὶ μετ᾿ αὐτῶν οἱ ἱερεῖς οἱ Λευῖται ἐν πόλεσι κατασχέσεως αὐτῶν, καὶ συναχθήσονται πρὸς ἡμᾶς,

Α Παραλ. 13,2 - Εκάλεσε κατόπιν τους αντιπροσώπους όλου του ισραηλιτικού λαού και είπε προς αυτούς· “εάν και σστο ευρίσκετε καλόν, ευοδωθή δε και εκ μέρους του Κυρίου του Θεού ημών, πρέπει να αποστείλωμεν προς τους άλλους αδελφούς μας, που ευρίσκονται εις όλην την χώραν του Ισραήλ, μαζή με τους οποίους είναι οι ιερείς και οι Λευίται, οι οποίοι μένουν εις τας πόλεις, που έχουν δοθή δια κλήρου εις αυτούς, και να τους παραγγείλωμεν να συγκεντρωθούν πλησίον μας,

Α Παραλ. 13,3 - καὶ μετενέγκωμεν τὴν κιβωτὸν τοῦ Θεοῦ ἡμῶν πρὸς ἡμᾶς· ὅτι οὐκ ἐζήτησαν αὐτὴν ἀφ᾿ ἡμερῶν Σαούλ.

Α Παραλ. 13,3 - δια να μεταφέρωμεν την κιβωτόν του Θεού μας κοντά μας εις την Ιερουσαλήμ. Διότι περί αυτής δεν έγινε καμμία φροντίς από της εποχής του Σαούλ”.

Α Παραλ. 13,4 - καὶ εἶπε πᾶσα ἡ ἐκκλησία τοῦ ποιῆσαι οὕτως, ὅτι εὐθὴς ὁ λόγος ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ.

Α Παραλ. 13,4 - Ολη η συγκέντρωσις είπε, “να γίνη έτσι”, διότι εφάνη ενώπιον όλου του λαού καλή αυτή η πρότασις.

Α Παραλ. 13,5 - καὶ ἐξεκκλησίασε Δαυὶδ τὸν πάντα Ἰσραὴλ ἀπὸ ὁρίων Αἰγύπτου καὶ ἕως εἰσόδου Ἡμὰθ τοῦ εἰσενέγκαι τὴν κιβωτὸν τοῦ Θεοῦ ἐκ πόλεως Ἰαρίμ.

Α Παραλ. 13,5 - Κατόπιν ο Δαυίδ συνεκέντρωσεν όλον τον ισραηλιτικόν λαόν από τα σύνορα της Αιγύπτου έως τας εισόδους της Ημάθ, δια να μεταφέρουν την Κιβωτόν του Θεού εις την Ιερουσαλήμ από την πόλιν Ιαρίμ.

Α Παραλ. 13,6 - καὶ ἀνήγαγεν αὐτὴν Δαυίδ, καὶ πᾶς Ἰσραὴλ ἀνέβη εἰς πόλιν Δαυίδ, ἣ ἦν τοῦ Ἰούδα, τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ Θεοῦ Κυρίου καθημένου ἐπὶ Χερουβίμ, οὗ ἐπεκλήθη ὄνομα αὐτοῦ.

Α Παραλ. 13,6 - Πράγματι ο Δαυίδ και όλος ο ισραηλιτικός λαός ανέβησαν εις την πόλιν Δαυίδ, η οποία ανήκεν εις την φυλήν του Ιούδα, δια να μεταφέρουν εκεί την Κιβωτόν Κυρίου του Θεού, του καθημένου επί των Χερουβίμ, Κιβωτόν η οποία ήτο αφιερωμένη στο Ονομα αυτού.

Α Παραλ. 13,7 - καὶ ἐπέθηκαν τὴν κιβωτὸν τοῦ Θεοῦ ἐφ᾿ ἅμαξαν καινὴν ἐξ οἴκου Ἀμαναδάβ, καὶ Ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἦγον τὴν ἅμαξαν.

Α Παραλ. 13,7 - Παρέλαβον, λοιπόν, αυτήν από τον οίκον του Αμιναδάβ και ετοποθέτησαν την Κιβωτόν του Θεού εις άμαξαν καινουργή. Ο Οζά και οι

αδελφοί του ωδηγούσαν αυτήν την άμαξαν.

Α Παραλ. 13,8 - καὶ Δαυὶδ καὶ πᾶς Ἰσραὴλ παίζοντες ἐναντίον τοῦ Θεοῦ ἐν πάσῃ δυνάμει καὶ ἐν ψαλτῳδοῖς καὶ ἐν κινύραις καὶ ἐν νάβλαις, ἐν τυμπάνοις, καὶ ἐν κυμβάλοις καὶ ἐν σάλπιγξι.

Α Παραλ. 13,8 - Ο Δαυίδ και όλος ο ισραηλιτικός λαός ευφραινόμενος εχόρευεν εμπρός εις την Κιβωτόν με όλην των την δύναμιν, άδοντες και παίζοντες μουσικά όργανα, κινύρας, νάβλας, τύμπανα και σαλπίζοντες με σάλπιγγας.

Α Παραλ. 13,9 - καὶ ἦλθοσαν ἕως τῆς ἅλωνος, καὶ ἐξέτεινεν Ὀζὰ τὴν χεῖρα αὐτοῦ τοῦ κατασχεῖν τὴν κιβωτόν, ὅτι ἐξέκλινεν αὐτὴν ὁ μόσχος.

Α Παραλ. 13,9 - Εφθασαν εις κάποιο αλώνι, οπότε ο Οζά άπλωσε το χέρι του να κρατήση την Κιβωτόν της Διαθήκης, διότι ο βους που έφερε την άμαξαν, παρεπάτησε και η Κιβωτός έγειρε με κίνδυνον να πέση.

Α Παραλ. 13,10 - καὶ ἐθυμώθη Κύριος ὀργῇ ἐπὶ Ὀζὰ καὶ ἐπάταξεν αὐτὸν ἐκεῖ διὰ τὸ ἐκτεῖναι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτόν, καὶ ἀπέθανεν ἐκεῖ ἀπέναντι τοῦ Θεοῦ.

Α Παραλ. 13,10 - Ο Κυριος εθύμωσε με μεγάλην οργήν εναντίον του Οζά και εθανάτωσεν αυτόν εκεί, διότι αυτός άπλωσε το χέρι του και ήγγισε την Κιβωτόν. Ετσι απέθανεν ο Οζά στο μέρος αυτό απέναντι από την Κιβωτόν του Θεού.

Α Παραλ. 13,11 - καὶ ἠθύμησε Δαυίδ, ὅτι διέκοψε Κύριος διακοπὴν ἐν Ὀζά, καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον Διακοπὴ Ὀζὰ ἕως τῆς ἡμέρας ταύτης.

Α Παραλ. 13,11 - Ο Δαυίδ κατελήφθη από λύπην, διότι ο Κυριος με τέτοιο κτύπημα εθανάτωσε τον Οζά, εκάλεσε δε το όνομα του τόπου εκείνου “Διακοπή Οζά”, και έτσι ονομάζεται αυτός ο τόπος μέχρι της ημέρας αυτής.

Α Παραλ. 13,12 - καὶ ἐφοβήθη Δαυὶδ τὸν Θεὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων· πῶς εἰσοίσω τὴν κιβωτὸν τοῦ Θεοῦ πρὸς ἐμαυτόν;

Α Παραλ. 13,12 - Ο Δαυίδ εφοβήθη πολύ τον Θεόν κατά την ημέραν εκείνην και είπε· “Πως θα τολμήσω να μεταφέρω την Κιβωτόν του Θεού κοντά μου;”

Α Παραλ. 13,13 - καὶ οὐκ ἀπέστρεψε Δαυὶδ τὴν κιβωτὸν πρὸς ἑαυτὸν εἰς πόλιν Δαυίδ, καὶ ἐξέκλινεν αὐτὴν εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθθαίου.

Α Παραλ. 13,13 - Ο Δαυίδ εξ αιτίας αυτού του φόβου δεν μετέφερε την Κιβωτόν του Θεού πλησίον του εις την πόλιν Δαυίδ, την Ιερουσαλήμ. Είπεν όμως και μετέφεραν αυτήν στον οίκον του Αβεδδαρά του Γεθθαίου.

Α Παραλ. 13,14 - καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ Θεοῦ ἐν οἴκῳ Ἀβεδδαρὰ τρεῖς μῆνας· καὶ εὐλόγησεν ὁ Θεὸς Ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ.

Α Παραλ. 13,14 - Ετσι δε η Κιβωτός του Θεού παρέτεινε στον οίκον Αβεδδαρά επί τρεις μήνας. Ο δε Θεός ηυλόγησε πλουσίως τον Αβεδδαρά και όλα τα υπάρχοντά του.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 14

Α Παραλ. 14,1 - Καὶ ἀπέστειλε Χιρὰμ βασιλεὺς Τύρου ἀγγέλους πρὸς Δαυὶδ καὶ ξύλα κέδρινα καὶ οἰκοδόμους καὶ τέκτονας ξύλων τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον.

Α Παραλ. 14,1 - Ο βασιλεύς της Τυρου, ο Χιράμ, έστειλε προς τον Δαυίδ ανθρώπους, οι οποίοι έφεραν προς αυτόν ξύλα κέδρινα, κτίστας και ξυλουργούς, δια να οικοδομήσουν τον βασιλικόν του οίκον.

Α Παραλ. 14,2 - καὶ ἔγνω Δαυὶδ ὅτι ἡτοίμασεν αὐτὸν Κύριος εἰς βασιλέα ἐπὶ Ἰσραήλ, ὅτι ηὐξήθη εἰς ὕψος ἡ βασιλεία αὐτοῦ διὰ τὸν λαὸν αὐτοῦ Ἰσραήλ.

Α Παραλ. 14,2 - Ο Δαυίδ είχε πλέον κατανοήσει και πεισθή, ότι ο Κυριος ετακτοποίησε και εστερέωσε την βασιλείαν του επί του ισραηλιτικού λαού, διότι η βασιλεία του αυτή υψώθη και εμεγάλωσε προς χάριν του ισραηλιτικού λαού.

Α Παραλ. 14,3 - Καὶ ἔλαβε Δαυὶδ ἔτι γυναῖκας ἐν Ἱερουσαλήμ, καὶ ἐτέχθησαν Δαυὶδ ἔτι υἱοὶ καὶ θυγατέρες.

Α Παραλ. 14,3 - Ο Δαυίδ επήρεν ακόμη και άλλας γυναίκας εις την Ιερουσαλήμ ως συζύγους του και δι' αυτών απέκτησε και άλλους υιούς και θυγατέρας.

Α Παραλ. 14,4 - καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν τῶν τεχθέντων, οἳ ἦσαν αὐτῷ ἐν Ἱερουσαλήμ· Σαμαά, Σωβάβ, Νάθαν καὶ Σαλωμὼν

Α Παραλ. 14,4 - Τα δε ονόματα των υιών αυτών, που απέκτησε και έμεναν κοντά του εις την Ιερουσαλήμ, ήσαν τα εξής· Ο Σαμαά, ο Σωβάβ, ο Ναθαν, ο Σολομών,

Α Παραλ. 14,5 - καὶ Ἰβαὰρ καὶ Ἐλισαὲ καὶ Ἐλιφαλὲτ

Α Παραλ. 14,5 - ο Ιβαάρ, ο Ελισαέ, ο Ελιφαλέτ,

Α Παραλ. 14,6 - καὶ Ναγὲθ καὶ Ναφὰγ καὶ Ἰαφιὲ

Α Παραλ. 14,6 - ο Ναγέθ, ο Ναφάγ, ο Ιαφιέ,

Α Παραλ. 14,7 - καὶ Ἐλισαμαὲ καὶ Ἐλιαδὲ καὶ Ἐλιφαλέτ.

Α Παραλ. 14,7 - ο Ελισαμαέ, ο Ελιαδέ και ο Ελιφαλέτ.

Α Παραλ. 14,8 - Καὶ ἤκουσαν ἀλλόφυλοι ὅτι ἐχρίσθη Δαυὶδ βασιλεὺς ἐπὶ πάντα Ἰσραήλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητῆσαι τὸν Δαυίδ· καὶ ἤκουσε Δαυὶδ καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς.

Α Παραλ. 14,8 - Οι Φιλισταίοι ήκουσαν ότι ο Δαυίδ εχρίσθη βασιλεύς επί όλου του ισραηλιτικού λαού και εξεστράτευσαν όλοι οι αλλόφυλοι, δια να αναζητήσουν και θανατώσουν τον Δαυίδ. Επληροφορήθη ο Δαυίδ το γεγονός και εξήλθε, δια να τους αντιμετωπίση.

Α Παραλ. 14,9 - καὶ ἀλλόφυλοι ἦλθον καὶ συνέπεσον ἐν τῇ κοιλάδι τῶν γιγάντων.

Α Παραλ. 14,9 - Οι Φιλισταίοι ήλθον και εστρατοπέδευσαν εις την Κοιλάδα των Γιγάντων.

Α Παραλ. 14,10 - καὶ ἐπηρώτησε Δαυὶδ διὰ τοῦ Θεοῦ λέγων· εἰ ἀναβῶ ἐπὶ τοὺς ἀλλοφύλους καὶ δώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπεν αὐτῷ Κύριος· ἀνάβηθι, καὶ δώσω αὐτοὺς εἰς τὰς χεῖράς σου.

Α Παραλ. 14,10 - Ο Δαυίδ ηρώτησε τον Θεόν λέγων· "εάν εκστρατεύσω εναντίον των Φιλισταίων, θα τους παραδώσης εις τα χέρια μου;" Ο δε Κυριος απήντησεν εις αυτόν· "κάμε την εκστρατείαν και εγώ θα παραδώσω αυτούς εις τα χέρια σου".

Α Παραλ. 14,11 - καὶ ἀνέβη εἰς Βαὰλ Φαρασὶν καὶ ἐπάταξεν αὐτοὺς ἐκεῖ Δαυίδ· καὶ εἶπε Δαυίδ· διέκοψεν ὁ Θεὸς τοὺς ἐχθρούς μου ἐν χειρί μου ὡς διακοπὴν ὕδατος· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Διακοπὴ Φαρασίν.

Α Παραλ. 14,11 - Ανέβη ο Δαυίδ μετά του στρατού εις την τοποθεσίαν Βαάλ Φαρασίν και εκεί αυτός εκτύπησε και κατέβαλε τους εχθρούς του. Ο Δαυίδ είπε τότε· "ο Θεός ανεχαίτισεν αυτούς, όπως το πρόχωμα αναχαιτίζη την ροήν του ύδατος" δια τούτο δε εκάλεσε το όνομα του τόπου εκείνου "Διακοπή Φαρασίν".

Α Παραλ. 14,12 - καὶ ἐγκατέλιπον ἐκεῖ τοὺς θεοὺς αὐτῶν οἱ ἀλλόφυλοι, καὶ εἶπε Δαυὶδ κατακαῦσαι αὐτοὺς ἐν πυρί.

Α Παραλ. 14,12 - Οι Φιλισταίοι φεύγοντες αφήκαν στο πεδίον της μάχης τα αγάλματα των θεών των. Ο Δαυίδ διέταξε να παραδώσουν αυτά στο πυρ και να τα κατακαύσουν.

Α Παραλ. 14,13 - καὶ προσέθεντο ἔτι ἀλλόφυλοι καὶ συνέπεσαν ἔτι ἐν τῇ κοιλάδι τῶν γιγάντων.

Α Παραλ. 14,13 - Και πάλιν όμως οι Φιλισταίοι ώρμησαν και κατέλαβαν την Κοιλάδα των Γιγάντων.

Α Παραλ. 14,14 - καὶ ἠρώτησε Δαυὶδ ἔτι ἐν Θεῷ, καὶ εἶπεν αὐτῷ ὁ Θεός· οὐ πορεύσῃ ὀπίσω αὐτῶν, ἀποστρέφου ἀπ᾿ αὐτῶν καὶ παρέσῃ αὐτοῖς πλησίον τῶν ἀπίων·

Α Παραλ. 14,14 - Ο Δαυίδ ηρώτησε πάλιν τον Θεόν, αν πρέπει να πολεμήση εναντίον εκείνων και ο Θεός του είπε· "δεν θα εξέλθης εις πόλεμον εναντίον των, αλλά να απομακρυνθής από αυτούς. Θα βαδίζης όμως πλησίον των ανάμεσα εις τας απιδέας, ώστε να τους παρακολουθής.

Α Παραλ. 14,15 - καὶ ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν φωνὴν τοῦ συσσεισμοῦ τῶν ἄκρων τῶν ἀπίων, τότε εἰσελεύσῃ εἰς τὸν πόλεμον, ὅτι ἐξῆλθεν ὁ Θεὸς ἔμπροσθέν σου τοῦ πατάξαι τὴν παρεμβολὴν τῶν ἀλλοφύλων.

Α Παραλ. 14,15 - Οταν δε ακούσης θόρυβον αναταραχής εις τας κορυφάς των απιδεών, τότε θα εισέλθης στον πόλεμον, διότι αυτό σημαίνει ότι έμπροσθέν σου προπορεύεται, ο Θεός, δια να κτυπήση το στρατόπεδον των αλλοφύλων.

Α Παραλ. 14,16 - καὶ ἐποίησε καθὼς ἐνετείλατο αὐτῷ ὁ Θεός, καὶ ἐπάταξε τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἀπὸ Γαβαὼν ἕως Γαζηρά.

Α Παραλ. 14,16 - Ο Δαυίδ έκαμεν όπως τον διέταξεν ο Θεός, εκτύπησε και κατεδίωξε τον στρατόν των Φιλισταίων από την Γαβαών μέχρι της πόλεως Γαζηρά.

Α Παραλ. 14,17 - καὶ ἐγένετο ὄνομα Δαυὶδ ἐν πάσῃ τῇ γῇ, καὶ Κύριος ἔδωκε τὸν φόβον αὐτοῦ ἐπὶ πάντα τὰ ἔθνη.

Α Παραλ. 14,17 - Ετσι δε το όνομα του Δαυίδ έγινε γνωστόν και ένδοξον εις όλην την χώραν. Ο δε Κυριος κατέστησεν αυτόν φοβερόν εις όλα τα έθνη.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 15

Α Παραλ. 15,1 - Καὶ ἐποίησεν αὐτῷ οἰκίας ἐν πόλει Δαυίδ, καὶ ἡτοίμασε τὸν τόπον τῇ κιβωτῷ τοῦ Θεοῦ καὶ ἐποίησεν αὐτῇ σκηνήν.

Α Παραλ. 15,1 - Ο Δαυίδ κατεσκεύασε δια τον εαυτόν του οικίας εις την πόλιν Δαυίδ, την Σιών, προπαρασκεύασε δε τον τόπον δια την Κιβωτόν του Θεού και κατεσκεύασε δι' αυτήν Σκηνήν.

Α Παραλ. 15,2 - τότε εἶπε Δαυίδ· οὐκ ἔστιν ἆραι τὴν κιβωτὸν τοῦ Θεοῦ, ἀλλ᾿ ἢ τοὺς Λευίτας, ὅτι αὐτοὺς ἐξελέξατο Κύριος αἴρειν τὴν κιβωτὸν Κυρίου καὶ λειτουργεῖν αὐτῷ ἕως αἰῶνος.

Α Παραλ. 15,2 - Είπε τότε ο Δαυίδ· “δεν επιτρέπεται παρά του Θεού να μεταφέρουν την Κιβωτόν του Κυρίου άλλοι, ειμή μόνον οι Λευίται, διότι αυτούς έχει εκλέξει ο Κυριος να μεταφέρουν την Κιβωτόν του Κυρίου και να υπηρετούν αυτόν πάντοτε”.

Α Παραλ. 15,3 - καὶ ἐξεκκλησίασε Δαυὶδ τον πάντα Ἰσραὴλ ἐν Ἱερουσαλὴμ τοῦ ἀνενέγκαι τὴν κιβωτὸν Κυρίου εἰς τὸν τόπον, ὃν ἡτοίμασεν αὐτῇ.

Α Παραλ. 15,3 - Ο Δαυίδ συνεκέντρωσεν όλον τον ισραηλιτικόν λαόν εις την Ιερουσαλήμ, δια να μεταφέρουν την Κιβωτόν του Κυρίου στον τόπον, τον οποίον είχε προετοιμάσει δι' αυτήν.

Α Παραλ. 15,4 - καὶ συνήγαγε Δαυὶδ τοὺς υἱοὺς Ἀαρὼν τοὺς Λευίτας.

Α Παραλ. 15,4 - Συνεκέντρωσε τους απογόνους του Ααρών, ιερείς και Λευίτας.

Α Παραλ. 15,5 - τῶν υἱῶν Καάθ· Οὐριὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἑκατὸν εἴκοσι.

Α Παραλ. 15,5 - Από τους απογόνους του Καάθ εκάλεσε τον Ουριήλ, άρχοντα εις την πατριαρχικήν του οικογένειαν και τους συγγενείς αυτού εν όλω εκατόν είκοσι.

Α Παραλ. 15,6 - τῶν υἱῶν Μεραρί· Ἀσαΐα ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, διακόσιοι εἴκοσι.

Α Παραλ. 15,6 - Από τους υιούς Μεραρί εκάλεσε τον Ασαΐα, ο οποίος ήτο αρχηγός, και τους συγγενείς αυτού διακοσίους είκοσιν εν όλω.

Α Παραλ. 15,7 - τῶν υἱῶν Γηρσάμ· Ἰωὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἑκατὸν τριάκοντα.

Α Παραλ. 15,7 - Από τους απογόνους του Γηρσάμ εκάλεσε τον Ιωήλ, ο οποίος ήτο επίσης αρχηγός, και τους συγγενείς αυτού εν όλω εκατόν τριάκοντα.

Α Παραλ. 15,8 - τῶν υἱῶν Ἐλισαφάν· Σεμεΐ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, διακόσιοι.

Α Παραλ. 15,8 - Από τους υιούς Ελισαφάν εκάλεσε τον Σεμεΐ, τον αρχηγόν, και τους αδελφούς αυτού διακοσίους εν όλω.

Α Παραλ. 15,9 - τῶν υἱῶν Χεβρών· Ἐλιὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ὀγδοήκοντα.

Α Παραλ. 15,9 - Από τους απογόνους του Χεβρών εκάλεσε τον Ελιήλ, τον αρχηγόν, και τους συγγενείς αυτού εν όλω ογδοήκοντα.

Α Παραλ. 15,10 - τῶν υἱῶν Ὀζιήλ· Ἀμιναδὰβ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἑκατὸν δεκαδύο.

Α Παραλ. 15,10 - Από τους υιούς Οζιήλ εκάλεσε τον Αμιναδάδ, τον αρχηγόν, και τους αδελφούς αυτού εκατόν δώδεκα εν όλω.

Α Παραλ. 15,11 - καὶ ἐκάλεσε Δαυὶδ τὸν Σαδὼκ καὶ Ἀβιάθαρ, τοὺς ἱερεῖς, καὶ τοὺς Λευίτας, τὸν Οὐριήλ, Ἀσαΐαν καὶ Ἰωὴλ καὶ Σαμαίαν καὶ Ἐλιὴλ καὶ Ἀμιναδάβ,

Α Παραλ. 15,11 - Ο Δαυίδ προσεκάλεσεν επίσης και τους αρχιερείς Σαδώκ και Αβιάθαρ, όπως επίσης και τους Λευίτας Ουριήλ, Ασαΐαν, Ιωήλ, Σαμαίαν, Ελιήλ, Αμιναδάβ,

Α Παραλ. 15,12 - καὶ εἶπεν αὐτοῖς· ὑμεῖς ἄρχοντες πατριῶν τῶν Λευιτῶν, ἁγνίσθητε ὑμεῖς καὶ οἱ ἀδελφοὶ ὑμῶν καὶ ἀνοίσετε τὴν κιβωτὸν τοῦ Θεοῦ Ἰσραήλ, οὗ ἡτοίμασα αὐτῇ·

Α Παραλ. 15,12 - και είπε προς αυτούς· “σεις είσθε οι αρχηγοί των πατριαρχικών οικογενειών των Λευϊτών. Αγνισθήτε σεις και οι συγγενείς σας, διότι θα μεταφέρετε την Κιβωτόν του Θεού του Ισραήλ στον τόπον, τον οποίον εγώ έχω ετοιμάσει δι' αυτήν.

Α Παραλ. 15,13 - ὅτι οὐκ ἐν τῷ πρότερον ὑμᾶς εἶναι διέκοψεν ὁ Θεὸς ἡμῶν ἐν ἡμῖν, ὅτι οὐκ ἐξεζητήσαμεν ἐν κρίματι.

Α Παραλ. 15,13 - Γνωρίζετε δε ότι, επειδή σεις δεν μετεφέρατε κατά την προηγουμένην φοράν την Κιβωτόν, έστειλε τιμωρίαν ο Θεός εναντίον μας, διότι δεν εφροντίσαμεν δια την μεταφοράν της Κιβωτού σύμφωνα με τον νόμον του”.

Α Παραλ. 15,14 - καὶ ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται τοῦ ἀνενέγκαι τὴν κιβωτὸν Θεοῦ Ἰσραήλ.

Α Παραλ. 15,14 - Οι ιερείς και οι Λευίται εκαθαρίσθησαν, δια να μεταφέρουν την Κιβωτόν της Διαθήκης του Θεού του Ισραήλ.

Α Παραλ. 15,15 - καὶ ἔλαβον οἱ υἱοὶ τῶν Λευιτῶν τὴν κιβωτὸν τοῦ Θεοῦ, ὡς ἐνετείλατο Μωυσῆς ἐν λόγῳ Θεοῦ κατὰ τὴν γραφήν, ἐν ἀναφορεῦσιν ἐπ᾿ αὐτούς.

Α Παραλ. 15,15 - Αυτοί οι Λευίται επήραν πράγματι την Κιβωτόν του Θεού, σύμφωνα με όσα είχε διατάξει ο Μωϋσής, όπως περιέχονται στον γραπτόν λόγον του Κυρίου, με αναφορείς επάνω στους ωμούς των.

Α Παραλ. 15,16 - καὶ εἶπε Δαυὶδ τοῖς ἄρχουσι τῶν Λευιτῶν· στήσατε τοὺς ἀδελφοὺς αὐτῶν τοὺς ψαλτῳδοὺς ἐν ὀργάνοις, νάβλαις, κινύραις καὶ κυμβάλοις τοῦ φωνῆσαι εἰς ὕψος ἐν φωνῇ εὐφροσύνης.

Α Παραλ. 15,16 - Ο Δαυίδ είπεν στους αρχηγούς των Λευιτών· “τακτοποιήσατε τους αδελφούς σας ψαλτωδούς, οι οποίοι θα ψάλλουν δυνατά ύμνους χαρμοσύνους, τη συνοδεία μουσικών οργάνων, με νάβλας, με κινυράς και με κύμβαλα”.

Α Παραλ. 15,17 - καὶ ἔστησαν οἱ Λευῖται τὸν Αἱμὰν υἱὸν Ἰωήλ· ἐκ τῶν ἀδελφῶν αὐτοῦ Ἀσὰφ υἱὸς Βαραχία. καὶ ἐκ τῶν υἱῶν Μεραρὶ ἀδελφῶν αὐτοῦ Αἰθὰν υἱὸς Κισαίου.

Α Παραλ. 15,17 - Οι Λευίται ώρισαν τον Αιμάν, τον υιόν του Ιωήλ, εκ δε των αδελφών του τον Ασάφ, τον υιόν του Βαραχία. Από δε τους απογόνους του Μεραρί εξεχώρισαν από τους αδελφούς του τον Αιθάν, τον υιόν του Κισαίου.

Α Παραλ. 15,18 - καὶ μετ᾿ αὐτῶν οἱ ἀδελφοὶ αὐτῶν οἱ δεύτεροι Ζαχαρίας καὶ Ὀζιὴλ καὶ Σεμιραμὼθ καὶ Ἰεϊὴλ καὶ Ἐλιωὴλ καὶ Ἐλιὰβ καὶ Βαναία καὶ Μαασαΐα καὶ Ματταθία καὶ Ἐλιφαλία καὶ Μακενία καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ καὶ Ὀζίας, οἱ πυλωροί.

Α Παραλ. 15,18 - Μαζή δέ με αυτούς ήσαν οι αδελφοί των της δευτέρας σειράς βοηθοί, δηλαδή ο Ζαχαρίας, ο Οζιήλ, ο Σεμιραμώθ, ο Ιεϊήλ, ο Ελιωήλ, ο Ελιάβ, ο Βαναία, ο Μαασαΐα, ο Ματταθία, ο Ελιφαλία, ο Μακενία, ο Αβδεδόμ, ο Ιεϊήλ και ο Οζίας, οι θυρωροί.

Α Παραλ. 15,19 - καὶ οἱ ψαλτῳδοί, Αἱμάν, Ἀσὰφ καὶ Αἰθὰν ἐν κυμβάλοις χαλκοῖς τοῦ ἀκουσθῆναι ποιῆσαι·

Α Παραλ. 15,19 - Οι ψαλτωδοί, ο Αιμάν, ο Ασάφ και ο Αιθάν, είχαν κύμβαλα χάλκινα, τα οποία τα εκτυπούσαν, ώστε να ακούωνται πολύ.

Α Παραλ. 15,20 - Ζαχαρίας καὶ Ὀζιήλ, Σεμιραμώθ, Ἰεϊήλ, Ὠνί, Ἐλιάβ, Μασαίας, Βαναίας ἐν νάβλαις ἐπὶ ἀλαιμώθ.

Α Παραλ. 15,20 - Ο δε Ζαχαρίας, ο Οζιήλ, ο Σεμιραμώθ, ο Ιεϊήλ, ο Ωνί, ο Ελιάβ, ο Μασαίας και ο Βαναίας, είχαν κιθάρας ενηρμονισμένας εις υψηλούς τόνους.

Α Παραλ. 15,21 - καὶ Ματταθίας καὶ Ἐλιφαλίας καὶ Μακενίας καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ καὶ Ὀζίας ἐν κινύραις ἀμασενὶθ τοῦ ἐνισχῦσαι.

Α Παραλ. 15,21 - Ο Ματταθίας, ο Ελιφαλίας, ο Μακενίας, ο Αβδεδόμ, ο Ιεϊήλ και ο Οζίας είχαν άρπας ενηρμονισμένας εις χαμηλούς τόνους, δια να συνοδεύουν τα μουσικά μέλη.

Α Παραλ. 15,22 - καὶ Χωνενία ἄρχων τῶν Λευιτῶν ἄρχων τῶν ᾠδῶν, ὅτι συνετὸς ἦν.

Α Παραλ. 15,22 - Ο Χωνενία, ο αρχηγός των Λευϊτών, ήτο και αρχηγός αυτών των ψαλτών, επειδή ήτο άνθρωπος έμπειρος και ικανός.

Α Παραλ. 15,23 - καὶ Βαραχία καὶ Ἐλκανὰ πυλωροὶ τῆς κιβωτοῦ.

Α Παραλ. 15,23 - Ο Βαραχία και ο Ελκανά ήσαν οι φύλακες της Κιβωτού.

Α Παραλ. 15,24 - καὶ Σοβνία καὶ Ἰωσαφὰτ καὶ Ναθαναὴλ καὶ Ἀμασαΐ καὶ Ζαχαρία καὶ Βαναΐ καὶ Ἐλιέζερ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἔμπροσθεν τῆς κιβωτοῦ τοῦ Θεοῦ. καὶ Ἀβδεδὸμ καὶ Ἰεΐα πυλωροὶ τῆς κιβωτοῦ τοῦ Θεοῦ.

Α Παραλ. 15,24 - Ο Σοβνία, ο Ιωσαφάτ, ο Ναθαναήλ, ο Αμασαΐ, ο Ζαχαρίας, ο Βαναΐ και ο Ελιέζερ, οι ιερείς, αυτοί εσάλπιζαν με τας σάλπιγγας εμπρός από την Κιβωτόν του Θεού. Ο Αβδεδόμ και ο Ιεΐα ήσαν οι φύλακες της Κιβωτού του Θεού.

Α Παραλ. 15,25 - καὶ ἦν Δαυὶδ καὶ οἱ πρεσβύτεροι Ἰσραὴλ καὶ οἱ χιλίαρχοι οἱ πορευόμενοι τοῦ ἀναγαγεῖν τὴν κιβωτὸν τῆς διαθήκης ἐξ οἴκου Ἀβδεδὸμ ἐν εὐφροσύνῃ.

Α Παραλ. 15,25 - Εις την χαρμόσυνον αυτήν πομπήν μετείχον επίσης ο Δαυΐδ, οι πρεσβύτεροι του Ισραηλιτικού λαού και οι χιλίαρχοι του στρατού. Ολοι αυτοί επορεύοντο, δια να μεταφέρουν με μεγάλην χαράν την Κιβωτόν της Διαθήκης από τον οίκον του Αβδεδόμ.

Α Παραλ. 15,26 - καὶ ἐγένετο ἐν τῷ κατισχῦσαι τὸν Θεὸν τοὺς Λευίτας αἴροντας τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου καὶ ἔθυσαν ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς.

Α Παραλ. 15,26 - Οταν δε ο Θεός ενίσχυσε και ηξίωσε τους Λευίτας να πάρουν στους ώμους των την Κιβωτόν της Διαθήκης του Κυρίου, πριν ξεκινήσουν, προσέφεραν θυσίαν επτά μόσχους και επτά κριούς.

Α Παραλ. 15,27 - καὶ Δαυὶδ περιεζωσμένος ἐν στολῇ βυσσίνῃ καὶ πάντες οἱ Λευῖται αἴροντες τὴν κιβωτὸν διαθήκης Κυρίου καὶ οἱ ψαλτῳδοὶ καὶ Χωνενίας ὁ ἄρχων τῶν ᾠδῶν τῶν ᾀδόντων, καὶ ἐπὶ Δαυὶδ στολὴ βυσσίνη.

Α Παραλ. 15,27 - Ο Δαυίδ κατά την πομπήν αυτήν εφορούσε στολήν λινήν. Ομοίαν προ την στολήν αυτήν του Δαυίδ είχαν και όλοι οι Λευίται οι μεταφέροντες την Κιβωτόν της Διαθήκης, όπως επίσης και οι ψάλται και ο Χωνενίας, ο οποίος ήτο αρχηγός των ψαλλόντων τους ύμνους.

Α Παραλ. 15,28 - καὶ πᾶς Ἰσραὴλ ἀνάγοντες τὴν κιβωτὸν διαθήκης Κυρίου ἐν σημασίᾳ καὶ ἐν φωνῇ σωφὲρ καὶ ἐν σάλπιγξι καὶ ἐν κυμβάλοις, ἀναφωνοῦντες ἐν νάβλαις καὶ ἐν κινύραις.

Α Παραλ. 15,28 - Ολος δε ο ισραηλιτικός λαός με αλαλαγμούς χαράς συμμετείχεν εις την πομπήν της μεταφοράς της Κιβωτού της Διαθήκης του Κυρίου, υπό τους ήχους των σαλπίγγων και των κυμβάλων, παίζοντες δυνατά άρπας και κιθάρας.

Α Παραλ. 15,29 - καὶ ἐγένετο ἡ κιβωτὸς διαθήκης Κυρίου καὶ ἦλθεν ἕως πόλεως Δαυίδ, καὶ Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ παρέκυψε διὰ τῆς θυρίδος καὶ εἶδε τὸν βασιλέα Δαυὶδ ὀρχούμενον καὶ παίζοντα, καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ ψυχῇ αὐτῆς.

Α Παραλ. 15,29 - Οταν δε η Κιβωτός της Διαθήκης έφθασεν εις την πόλιν του Δαυίδ, η σύζυγος του Δαυίδ η Μελχόλ, θυγάτηρ του Σαούλ έσκυψεν από το παράθυρόν της και είδε τον βασιλέα να χορεύη και να πηδά με χαράν, απεδοκίμασε αυτήν του την πράξιν εσωτερικώς και τον κατεφρόνησε.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 16

Α Παραλ. 16,1 - Καὶ εἰσήνεγκαν τὴν κιβωτὸν τοῦ Θεοῦ καὶ ἀπηρείσαντο αὐτὴν ἐν μέσῳ τῆς σκηνῆς, ἣς ἔπηξεν αὐτῇ Δαυίδ, καὶ προσήνεγκαν ὁλοκαυτώματα καὶ σωτηρίου ἐναντίον τοῦ Θεοῦ.

Α Παραλ. 16,1 - Εφεραν, λοιπόν, εντός της πόλεως την Κιβωτόν του Θεού και την ετοποθέτησαν μέσα εις την Σκηνήν, την οποίαν είχε κατασκευάσει δι' αυτήν ο Δαυίδ. Οι δε Ισραηλίται προσέφεραν θυσίας ολοκαυτωμάτων και θυσίας ειρηνικάς ενώπιον του Θεού.

Α Παραλ. 16,2 - καὶ συνετέλεσε Δαυὶδ ἀναφέρων ὁλοκαυτώματα καὶ σωτηρίου καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόματι Κυρίου.

Α Παραλ. 16,2 - Ο Δαυίδ, αφού ετελείωσε και αυτός την προσφοράν ολοκαυτωμάτων και των ειρηνικών θυσιών, ηυλόγησε τον λαόν εν ονόματι του Κυρίου.

Α Παραλ. 16,3 - καὶ διεμέρισε παντὶ ἀνδρὶ Ἰσραὴλ ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικός, τῷ ἀνδρὶ ἄρτον ἕνα ἀρτοκοπικὸν καὶ ἀμορίτην.

Α Παραλ. 16,3 - Επειτα δε εμοίρασεν εις όλους τους Ισραηλίτας, εις άνδρας και γυναίκας, στον καθένα από αυτούς, ένα άρτον αρτοποιείου και ένα γλύκισμα από σταφίδας.

Α Παραλ. 16,4 - καὶ ἔταξε κατὰ πρόσωπον τῆς κιβωτοῦ διαθήκης Κυρίου ἐκ τῶν Λευιτῶν λειτουργοῦντας ἀναφωνοῦντας καὶ ἐξομολογεῖσθαι καὶ αἰνεῖν Κύριον τὸν Θεὸν Ἰσραήλ·

Α Παραλ. 16,4 - Εταξε δε ο Δαυίδ ενώπιον της Διαθήκης του Θεού μερικούς άνδρας από τους Λευίτας, δια να υπηρετούν εις την Σκηνήν ψάλλοντες, αινούντες και δοξολογούντες Κυριον τον Θεόν του Ισραήλ.

Α Παραλ. 16,5 - Ἀσὰφ ὁ ἡγούμενος, καὶ δευτερεύων αὐτῷ Ζαχαρίας, Ἰεϊήλ, Σεμιραμώθ, Ἰεϊήλ, Ματταθίας, Ἐλιὰβ καὶ Βαναίας, καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ ἐν ὀργάνοις, νάβλαις, κινύραις, καὶ Ἀσὰφ ἐν κυμβάλοις ἀναφωνῶν.

Α Παραλ. 16,5 - Αυτοί δε ήσαν ο Ασάφ ο αρχηγός, ο Ζαχαρίας κατόπιν από αυτόν, έπειτα δε ο Ιεϊήλ, ο Σεμιραμώθ, ο Ιεϊήλ, ο Ματταθίας, ο Ελιάβ, ο Βαναΐας, ο Αβδεδόμ και ο Ιεϊήλ, οι οποίοι έπαιζαν μουσικά όργανα, άρπας και κιθάρας, ενώ ο Ασάφ έπληττε τα κύμβαλα να αντηχούν ζωηρώς.

Α Παραλ. 16,6 - καὶ Βαναίας καὶ Ὀζιὴλ οἱ ἱερεῖς ἐν ταῖς σάλπιγξι διαπαντὸς ἐναντίον τῆς κιβωτοῦ τῆς διαθήκης τοῦ Θεοῦ.

Α Παραλ. 16,6 - Ο Βαναίας και ο Οζιήλ, οι ιερείς, είχον ως έργον των να σαλπίζουν με τας σάλπιγγας πάντοτε ενώπιον της Κιβωτού της Διαθήκης του Θεού.

Α Παραλ. 16,7 - Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τότε ἔταξε Δαυὶδ ἐν ἀρχῇ τοῦ αἰνεῖν τὸν Κύριον ἐν χειρὶ Ἀσὰφ καὶ τῶν ἀδελφῶν αὐτοῦ.

Α Παραλ. 16,7 - Ο Δαυίδ κατά την ημέραν εκείνην, παρέδωσε δια πρώτην φοράν εις τα χέρια του Ασάφ και των αδελφών αυτού ωδήν, δια να υμνήσουν τον Κυριον.

Α Παραλ. 16,8 - ᾨΔΗ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ἐπικαλεῖσθε αὐτὸν ἐν ὀνόματι αὐτοῦ, γνωρίσατε ἐν λαοῖς τὰ ἐπιτηδεύματα αὐτοῦ.

Α Παραλ. 16,8 - Η ΩΔΗ είναι αυτή· “Δοξολογήσατε τον Κυριον, επικαλεσθήτε το όνομα αυτού, καταστήσατε γνωστά στους λαούς τα μεγάλα και θαυμαστά αυτού έργα.

Α Παραλ. 16,9 - ᾄσατε αὐτῷ καὶ ὑμνήσατε αὐτῷ, διηγήσασθε πᾶσι τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε Κύριος.

Α Παραλ. 16,9 - Ψαλατε και υμνήσατε αυτόν. Διηγηθήτε εις όλους τα θαυμάσια αυτού, τα οποία ο Κυριος έκαμε.

Α Παραλ. 16,10 - αἰνεῖτε ἐν ὀνόματι ἁγίῳ αὐτοῦ, εὐφρανθήσεται καρδία ζητοῦσα τὴν εὐδοκίαν αὐτοῦ.

Α Παραλ. 16,10 - Υμνείτε το άγιον Ονομά του, ας ευφρανθή κάθε καρδιά, η οποία ζητεί με πίστιν την ευλογίαν του Θεού.

Α Παραλ. 16,11 - ζητήσατε τὸν Κύριον καὶ ἰσχύσατε, ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.

Α Παραλ. 16,11 - Ζητήσατε τον Κυριον και αποκτήσατε δι' αυτού δύναμιν, ζητήσατε συνεχώς και ακαταπαύστως το πρόσωπον αυτού.

Α Παραλ. 16,12 - μνημονεύετε τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε, τέρατα καὶ κρίματα τοῦ στόματος αὐτοῦ.

Α Παραλ. 16,12 - Να ενθυμήσθε πάντοτε όλα τα θαυμαστά αυτού έργα, τα οποία έκαμε, τα μεγάλα θαύματα και τας υψηλάς νομοθεσίας και εντολάς, αι οποίαι εξήλθον από το στόμα του.

Α Παραλ. 16,13 - σπέρμα Ἰσραὴλ παῖδες αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

Α Παραλ. 16,13 - Σεις, οι απόγονοι του Ισραήλ, δούλοι του Θεού, παιδιά του Ιακώβ, εκλεκτοί του Θεού.

Α Παραλ. 16,14 - αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

Α Παραλ. 16,14 - Αυτός ο Κυριος είναι ο Θεός μας. Αι κρίσεις και αι αποφάσστου εκτείνονται εις όλην την γην.

Α Παραλ. 16,15 - μνημονεύων εἰς αἰῶνα διαθήκης αὐτοῦ, λόγον αὐτοῦ, ὃν ἐνετείλατο εἰς χιλίας γενεάς,

Α Παραλ. 16,15 - Να ενθυμήσθε πάντοτε την Διαθήκην του, τον λόγον του, τον οποίον είπε και ο οποίος θα παραμείνη εις γενεάς γενεών·

Α Παραλ. 16,16 - ὃν διέθετο τῷ Ἀβραὰμ καὶ τὸν ὅρκον αὐτοῦ τῷ Ἰσαάκ·

Α Παραλ. 16,16 - τον λόγον, τον οποίον, ως διαθήκην, συνήψε προς τον Αβραάμ και τον όρκον, τον οποίον έδωσεν στον Ισαάκ.

Α Παραλ. 16,17 - ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, τῷ Ἰσραὴλ διαθήκην αἰώνιον

Α Παραλ. 16,17 - Ενθυμηθήτε την εντολήν, την οποίαν έδωσεν στον Ιακώβ, την αιωνίαν διαθήκην την οποίαν συνήψε με τον Ισραήλ

Α Παραλ. 16,18 - λέγων· σοὶ δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν.

Α Παραλ. 16,18 - λέγων· “εις σε θα δώσω την χώραν Χαναάν ως μερίδιον της κληρονομίας σας”.

Α Παραλ. 16,19 - ἐν τῷ γενέσθαι αὐτοὺς ὀλιγοστοὺς ἀριθμῷ ὡς ἐσμικρύνθησαν καὶ παρῴκησαν ἐν αὐτῇ.

Α Παραλ. 16,19 - Και είπεν αυτά, όταν οι εκλεκτοί του ήσαν ολίγοι κατά τον αριθμόν και ασήμαντοι και οι οποίοι ως πάροικοι και ως ξένοι κατοικούσαν εις την χώραν αυτήν.

Α Παραλ. 16,20 - καὶ ἐπορεύθησαν ἀπὸ ἔθνους εἰς ἔθνος καὶ ἀπὸ βασιλείας εἰς λαὸν ἕτερον.

Α Παραλ. 16,20 - Μετέβησαν από έθνους εις έθνος και από την μίαν βασιλείαν εις άλλους λαούς.

Α Παραλ. 16,21 - οὐκ ἀφῆκεν ἄνδρα τοῦ δυναστεῦσαι αὐτοὺς καὶ ἤλεγξε περὶ αὐτῶν βασιλεῖς·

Α Παραλ. 16,21 - Ο Θεός δεν αφήκε κανένα να τους καταδυναστεύση, ετιμώρησε δε προς χάριν αυτών βασιλείς, οι οποίοι ηθέλησαν το κακόν των.

Α Παραλ. 16,22 - μὴ ἅψησθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Α Παραλ. 16,22 - “Μη εγγίζετε τους αγίους μου και μη κάνετε τίποτε το κακόν στους προφήτας μου”.

Α Παραλ. 16,23 - ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ, ἀναγγείλατε ἐξ ἡμέρας εἰς ἡμέραν σωτηρίαν αὐτοῦ.

Α Παραλ. 16,23 - Ψαλατε προς τον Κυριον όλοι οι κάτοικοι της γης. Αναγγείλατε από ημέρας εις ημέραν την σωτηρίαν, την οποίαν αυτός προσφέρει.

Α Παραλ. 16,24 - ἐξηγεῖσθε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

Α Παραλ. 16,24 - Διηγηθήτε και παραστήσατε εις όλα τα έθνη την δόξαν αυτού, εις όλους τους λαούς τα θαυμαστά αυτού έργα.

Α Παραλ. 16,25 - ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς.

Α Παραλ. 16,25 - Διότι ο Κυριος είναι μέγας και άξιος να υμνολογήται με όλην μας την δύναμιν. Είναι φοβερός εναντίον όλων των ψευδών θεών.

Α Παραλ. 16,26 - ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν εἴδωλα, καὶ ὁ Θεὸς ἡμῶν οὐρανοὺς ἐποίησε.

Α Παραλ. 16,26 - Διότι όλοι οι θεοί των εθνών είναι άψυχα και ψευδή είδωλα, ο δε Θεός ημών είναι ο δημιουργός των ουρανών.

Α Παραλ. 16,27 - δόξα καὶ ἔπαινος κατὰ πρόσωπον αὐτοῦ, ἰσχὺς καὶ καύχημα ἐν τόπῳ αὐτοῦ.

Α Παραλ. 16,27 - Δοξα και έπαινος πάντοτε υπάρχει ενώπιόν του. Δυναμις και καύχημα στον τόπον του, στον ιερόν δηλαδή ναόν του.

Α Παραλ. 16,28 - δότε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, δότε τῷ Κυρίῳ δόξαν καὶ ἰσχύν·

Α Παραλ. 16,28 - Αποδώσατε στον Κυριον όλαι αι πατριαρχικαί οικογένειαι των εθνών, αποδώσατε στον Κυριον δόξαν, αναγνωρίσατε την παντοδυναμίαν αυτού.

Α Παραλ. 16,29 - δότε τῷ Κυρίῳ δόξαν ὀνόματος αὐτοῦ, λάβετε δῶρα καὶ ἐνέγκατε κατὰ πρόσωπον αὐτοῦ καὶ προσκυνήσατε Κυρίῳ ἐν αὐλαῖς ἁγίαις αὐτοῦ.

Α Παραλ. 16,29 - Δώστε δόξαν στον Κυριον, στο όνομα το υπερύμνητον αυτού. Παρετε δώρα και φέρετέ τα ενώπιόν του και προσκυνήσατε τον Κυριον εις τας αγίας αυλάς της Σκηνής του Μαρτυρίου του.

Α Παραλ. 16,30 - φοβηθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ, κατορθωθήτω ἡ γῆ καὶ μὴ σαλευθήτω·

Α Παραλ. 16,30 - Ας συγκλονισθή από φόβον ολόκληρος η οικουμένη ενώπιόν του. Δια της θείας παντοδυναμίας του ας διορθωθή η γη, ώστε να μη κληνισθή στον αιώνα.

Α Παραλ. 16,31 - εὐφρανθήτω ὁ οὐρανὸς καὶ ἀγαλλιάσθω ἡ γῆ, καὶ εἰπάτωσαν ἐν τοῖς ἔθνεσι· Κύριος βασιλεύων.

Α Παραλ. 16,31 - Ο ουρανός ας ευφρανθή και η γη ας αγαλλιασθή. Διαλαλήσατε δε μεταξύ όλων των εθνών· Ο Κυριος είναι ο μόνος βασιλεύς !

Α Παραλ. 16,32 - βομβήσει ἡ θάλασσα σὺν τῷ πληρώματι καὶ ξύλον ἀγροῦ καὶ πάντα τὰ ἐν αὐτῷ·

Α Παραλ. 16,32 - Θα βοήση η θάλασσα μαζή με όλα όσα υπάρχουν εις αυτήν. Θα ευφρανθούν τα δένδρα των πεδιάδων και όλα όσα υπάρχουν εις αυτάς.

Α Παραλ. 16,33 - τότε εὐφρανθήσεται τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου, ὅτι ἦλθε κρῖναι τὴν γῆν.

Α Παραλ. 16,33 - Τοτε θα ευφρανθούν τα δένδρα του δάσους ενώπιον του Κυρίου, διότι αυτός ήλθε να κρίνη την γην.

Α Παραλ. 16,34 - ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Α Παραλ. 16,34 - Δοξολογήσατε τον Κυριον, διότι τούτο είναι αγαθόν. Δοξολογήσατε αυτόν, διότι το έλεός του είναι αιώνιον.

Α Παραλ. 16,35 - καὶ εἴπατε· σῶσον ἡμᾶς, ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, καὶ ἄθροισον ἡμᾶς, καὶ ἐξελοῦ ἡμᾶς ἐκ τῶν ἐθνῶν τοῦ αἰνεῖν τὸ ὄνομα τὸ ἅγιόν σου καὶ καυχᾶσθαι ἐν ταῖς αἰνέσεσί σου.

Α Παραλ. 16,35 - Είπατε· “Σώσον ημάς, συ ο οποίος είσαι Θεός σωτήρ μας. Βγάλε μας από τα έθνη, όπου είχαμεν διασπαρή, συγκέντρωσέ μας, δια να δοξολογούμεν το άγιόν σου όνομα και να καυχώμεθα με τας δοξολογίας, που θα σου αναπέμπωμεν.

Α Παραλ. 16,36 - εὐλογημένος Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος· καὶ ἐρεῖ πᾶς ὁ λαός· ἀμήν. καὶ ᾔνεσαν τῷ Κυρίῳ.

Α Παραλ. 16,36 - Ας είναι δοξασμένος Κυριος ο Θεός του ισραηλιτικού λαού εις όλους τους αιώνας των αιώνων !” Και όλος ο λαός απήντησεν· “Αμήν”. Ετσι εδοξολόγησαν κατά την ημέραν εκείνην τον Κυριον.

Α Παραλ. 16,37 - Καὶ κατέλιπον ἐκεῖ ἔναντι τῆς κιβωτοῦ διαθήκης Κυρίου τὸν Ἀσὰφ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ τοῦ λειτουργεῖν ἐναντίον τῆς κιβωτοῦ διαπαντὸς τὸ τῆς ἡμέρας εἰς ἡμέραν.

Α Παραλ. 16,37 - Αφήκαν έπειτα ενώπιον της Κιβωτού της Διαθήκης του Κυρίου, τον Ασάφ και τους αδελφούς του, δια να υπηρετούν συνεχώς ενώπιον της Κιβωτού και να εκτελούν τα δι' έκαστην ημέραν καθωρισμένα έργα.

Α Παραλ. 16,38 - καὶ Ἀβδεδὸμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἑξήκοντα καὶ ὀκτώ, καὶ Ἀβδεδὸμ υἱὸς Ἰδιθοὺν καὶ Ὀσσὰ εἰς πυλωρούς.

Α Παραλ. 16,38 - Τον Αβδεδόμ, υιόν του Ιδιθούν, και τους αδελφούς αυτού εξήκοντά οκτώ εν όλω και τον Οσσά, τους θυρωρούς.

Α Παραλ. 16,39 - καὶ τὸν Σαδὼκ τὸν ἱερέα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς ἱερεῖς ἐναντίον τῆς σκηνῆς Κυρίου ἐν Βαμὰ τῇ ἐν Γαβαὼν

Α Παραλ. 16,39 - Τον Σαδώκ εγκατέστησεν ο Δαυίδ ως αρχιερέα, τους δε αδελφούς του ως ιερείς ενώπιον της Σκηνής του Μαρτυρίου, η οποία ευρίσκετο εις την τοποθεσίαν Βαμά, πλησίον της πόλεως Γαβαών.

Α Παραλ. 16,40 - τοῦ ἀναφέρειν ὁλοκαυτώματα τῷ Κυρίῳ ἐπὶ τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων διαπαντὸς τὸ πρωΐ καὶ τὸ ἑσπέρας καὶ κατὰ πάντα τὰ γεγραμμένα ἐν νόμῳ Κυρίου ὅσα ἐνετείλατο ἐφ᾿ υἱοῖς Ἰσραὴλ ἐν χειρὶ Μωυσῆ τοῦ θεράποντος τοῦ Θεοῦ·

Α Παραλ. 16,40 - Εργον αυτών ήτο να προσφέρουν τα ολοκαυτώματα στον Κυριον επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων, πάντοτε, πρωΐαν και εσπέραν, σύμφωνα με εκείνα τα οποία ήσαν γραμμένα στον Νομον του Κυρίου, σύμφωνα με τας εντολάς, τας οποίας ο Θεός δια του δούλου αυτού του Μωϋσέως είχε δώσει προς τους υιούς του Ισραήλ.

Α Παραλ. 16,41 - καὶ μετ᾿ αὐτοῦ Αἱμὰν καὶ Ἰδιθοὺν καὶ οἱ λοιποὶ ἐκλεγέντες ἐπ᾿ ὀνόματος τοῦ αἰνεῖν τὸν Κύριον, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,

Α Παραλ. 16,41 - Μαζή με τον αρχιερέα υπηρετούσαν ο Αιμάν και ο Ιδιθούν και όσοι άλλοι ονομαστί είχον εκλεγή, οι οποίοι ωρίσθησαν να δοξολογούν τον Κυριον, διότι το έλεος αυτού είναι αιώνιον·

Α Παραλ. 16,42 - καὶ μετ᾿ αὐτῶν σάλπιγγες καὶ κύμβαλα τοῦ ἀναφωνεῖν καὶ ὄργανα τῶν ᾠδῶν τοῦ Θεοῦ, οἱ δὲ υἱοὶ Ἰδιθοὺν εἰς τὴν πύλην.

Α Παραλ. 16,42 - να τον δοξολογούν με σάλπιγγας και κύμβαλα, τα οποία θα αντηχούσαν ζωηρώς και με όργανα. Οι δε υιοί του Ιδιθούν είχαν διορισθη ως θυρωροί εις την πύλην.

Α Παραλ. 16,43 - καὶ ἐπορεύθη πᾶς ὁ λαὸς ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐπέστρεψε Δαυὶδ τοῦ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ.

Α Παραλ. 16,43 - Επειτα από αυτήν την εορτήν όλος ο λαός διελύθη και επορεύθη ο καθένας στον οίκον του. Και ο Δαυίδ επέστρεψε, δια να ευλογήση τον οίκον αυτού.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 17

Α Παραλ. 17,1 - Καὶ ἐγένετο ὡς κατῴκησε Δαυὶδ ἐν οἴκῳ αὐτοῦ, καὶ εἶπε Δαυὶδ πρὸς Νάθαν τὸν προφήτην· ἰδοὺ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ,

καὶ ἡ κιβωτὸς διαθήκης Κυρίου ὑποκάτω δέῤῥεων.
Α Παραλ. 17,1 - Οταν ο Δαυίδ εγκατεστάθη στον οίκον του, είπε προς τον Ναθαν τον προφήτην· “ιδού, εγώ κατοικώ εις πολυτελή οίκον από ξύλα κέδρου καμωμένον, ενώ η Κιβωτός του Κυρίου στεγάζεται κάτω από τα δέρματα της Σκηνής του Μαρτυρίου”.
Α Παραλ. 17,2 - καὶ εἶπε Νάθαν πρὸς Δαυίδ· πᾶν τὸ ἐν τῇ ψυχῇ σου ποίει, ὅτι Θεὸς μετὰ σοῦ.
Α Παραλ. 17,2 - Ο Ναθαν απήντησε προς αυτόν· “κάθε τι που η ψυχή σου ποθεί, κάμε το, διότι ο Θεός είναι μαζή σου”.
Α Παραλ. 17,3 - καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ἐγένετο λόγος Κυρίου πρὸς Νάθαν·
Α Παραλ. 17,3 - Κατά την νύκτα όμως εκείνην ωμίλησεν ο Κυριος προς τον Ναθαν και του είπε·
Α Παραλ. 17,4 - πορεύου καὶ εἰπὸν πρὸς Δαυὶδ τὸν δοῦλόν μου· οὕτως εἶπε Κύριος· οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με ἐν αὐτῷ·
Α Παραλ. 17,4 - “πήγαινε και ειπέ στον δούλον μου, τον Δαυίδ· Αυτά λέγει ο Κυριος· δεν θα οικοδομήσης συ τον ναόν μου, δια να κατοικήσω εγώ εις αυτόν,
Α Παραλ. 17,5 - ὅτι οὐ κατῴκησα ἐν οἴκῳ ἀπὸ τῆς ἡμέρας, ἧς ἀνήγαγον τὸν Ἰσραήλ, ἕως τῆς ἡμέρας ταύτης καὶ ἤμην ἐν σκηνῇ καὶ ἐν καλύμματι
Α Παραλ. 17,5 - διότι δεν κατώκησα εις κτισμένον ναόν από την ημέραν, κατά την οποίαν έβγαλα ελευθέρους τους Ισραηλίτας από την Αίγυπτον έως την ημέραν αυτήν, αλλά έμεινα πάντοτε εις την σκηνήν, υπό τα καλύμματα,
Α Παραλ. 17,6 - ἐν πᾶσιν, οἷς διῆλθον ἐν παντὶ Ἰσραήλ· εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν τοῦ Ἰσραήλ, οἷς ἐνετειλάμην τοῦ ποιμαίνειν τὸν λαόν μου λέγων, ὅτι οὐκ ᾠκοδομήσατέ μοι οἶκον κέδρινον.
Α Παραλ. 17,6 - όλας τας ημέρας, κατά τας οποίας συνεπορευόμην με τον ισραηλιτικόν λαόν. Αλλωστε ποτέ δεν είπα εις καμιιίαν φυλήν του ισραηλιτικού λαού, την οποίαν εξέλεγα ως αρχηγόν του λαού μου· διατί δεν μου οικοδομήσατε ναόν κέδρινον;
Α Παραλ. 17,7 - καὶ νῦν οὕτως ἐρεῖς τῷ δούλῳ μου Δαυίδ· τάδε λέγει Κύριος παντοκράτωρ· ἐγὼ ἔλαβόν σε ἐκ τῆς μάνδρας ἐξόπισθεν τῶν ποιμνίων τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ·
Α Παραλ. 17,7 - Και τώρα έτσι θα είπης προς τον δούλον μου, τον Δαυίδ· αυτά λέγει Κυριος ο παντοκράτωρ· Εγώ σε επήρα από την μάνδραν των προβάτων σου, πίσω από τα πρόβατά σου, και σε ανέδειξα βασιλέα στον λαόν μου τον ισραηλιτικόν.
Α Παραλ. 17,8 - καὶ ἤμην μετὰ σοῦ ἐν πᾶσιν, οἷς ἐπορεύθης, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου καὶ ἐποίησά σοι ὄνομα κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς γῆς.

Α Παραλ. 17,8 - Ημην πάντοτε μαζή σου εις όλους τους δρόμους, στους οποίους επορεύθης και εξολόθρευσα όλους τους εχθρούς σου από εμπρός σου και έκαμα το όνομά σου ένδοξον, όπως ένα από τα μεγάλα ονόματα των μεγάλων ανδρών της οικουμένης.

Α Παραλ. 17,9 - καὶ θήσομαι τόπον τῷ λαῷ μου Ἰσραὴλ καὶ καταφυτεύσω αὐτόν, καὶ κατασκηνώσει καθ᾿ ἑαυτὸν καὶ οὐ μεριμνήσει ἔτι, καὶ οὐ προσθήσει υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀπ᾿ ἀρχῆς

Α Παραλ. 17,9 - Θα ορίσω εγώ τόπον δια τον λαόν μου τον ισραηλιτικόν και θα εγκαταστήσω αυτόν εκεί και θα κατοικήση μόνος και ελεύθερος και δεν θα βασανίζεται από μερίμνας, ούτε και θα τολμήση κανείς άδικος άνθρωπος να τον εξευτελίση και τον τυραννήση, όπως έγινεν άλλοτε κατά τας ημέρας των Κριτών·

Α Παραλ. 17,10 - καὶ ἀφ᾿ ἡμερῶν, ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ, καὶ ἐταπείνωσα πάντας τοὺς ἐχθρούς σου, καὶ αὐξήσω σε, καὶ οἶκον οἰκοδομήσει σοι Κύριος.

Α Παραλ. 17,10 - τότε, που εγώ ώρισα Κριτάς στον ισραηλιτικόν του λαόν. Εταπείνωσα δε και όλους τους ιδικούς σου εχθρούς. Εγώ θα σε αυξήσω και θα σε δοξάσω και εγώ ο Κυριος θα οικοδομήσω προς χάριν σου κάποιον άλλον οίκον.

Α Παραλ. 17,11 - καὶ ἔσται ὅταν πληρωθῶσιν ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ·

Α Παραλ. 17,11 - Οταν δε συμπληρωθούν πλέον αι ημέραι της ζωής σου, θα κοιμηθής, όπως και οι πατέρες σου. Εγώ δε θα αναδείξω έπειτα από σε ένα απόγονόν σου, ο οποίος θα προέρχεται από σέ. Θα ετοιμάσω δι' αυτόν στερεάν και ακλόνητον την βασιλείαν του.

Α Παραλ. 17,12 - αὐτὸς οἰκοδομήσει μοι οἶκον, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως αἰῶνος.

Α Παραλ. 17,12 - Αυτός θα οικοδομήση προς τιμήν μου τον ναόν και εγώ θα ανορθώσω τον θρόνον αυτού ακατάλυτον στους αιώνας των αιώνων.

Α Παραλ. 17,13 - ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν· καὶ τὸ ἔλεός μου οὐκ ἀποστήσω ἀπ᾿ αὐτοῦ ὡς ἀπέστησα ἀπὸ τῶν ὄντων ἔμπροσθέν σου.

Α Παραλ. 17,13 - Εγώ θα είμαι προς αυτόν πατήρ και αυτός θα είναι δι' εμέ υιός. Δεν θα απομακρύνω από αυτόν το έλεός μου, όπως το απεμάκρυνα από μερικούς άλλους, οι οποίοι υπήρξαν ενωρίτερον από σέ.

Α Παραλ. 17,14 - καὶ πιστώσω αὐτὸν ἐν οἴκῳ μου καὶ ἐν βασιλείᾳ αὐτοῦ ἕως αἰῶνος, καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος ἕως αἰῶνος.

Α Παραλ. 17,14 - Θα αναδείξω αυτόν αξιόπιστον και στερεόν πάντοτε στον οίκόν μου· η βασιλεία του θα μένη αιωνία και ο θρόνος του θα είναι ανωρθωμένος και ένδοξος στους αιώνας των αιώνων”.

Α Παραλ. 17,15 - κατὰ πάντας τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύτην, οὕτως ἐλάλησε Νάθαν πρὸς Δαυίδ.

Α Παραλ. 17,15 - Ο Ναθαν είπεν όλους αυτούς τους λόγους, όλην αυτήν την προφητικήν όρασιν, που είδε· έτσι ωμίλησε προς τον Δαυίδ ο Ναθαν.

Α Παραλ. 17,16 - καὶ ἦλθεν ὁ βασιλεὺς Δαυὶδ καὶ ἐκάθισεν ἀπέναντι Κυρίου καὶ εἶπε· τίς εἰμι ἐγὼ Κύριε ὁ Θεός, καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με ἕως αἰῶνος;

Α Παραλ. 17,16 - Ο βασιλεύς Δαυίδ ήλθεν, εκάθησε με ευλάβειαν απέναντι της Σκηνής του Μαρτυρίου και προσευχήθη προς τον Κυριον λέγων· "Ποιός είμαι εγώ, Κυριε και Θεέ μου, και ποιά είναι η οικογένειά μου, ώστε συ να με αγαπήσης με τέτοιαν παντοτεινήν αγάπην;

Α Παραλ. 17,17 - καὶ ἐσμικρύνθη ταῦτα ἐνώπιόν σου, ὁ Θεός, καὶ ἐλάλησας ἐπὶ τὸν οἶκον τοῦ παιδός σου ἐκ μακρῶν καὶ ἐπεῖδές με ὡς ὅρασις τοῦ ἀνθρώπου καὶ ὕψωσάς με, Κύριε ὁ Θεός.

Α Παραλ. 17,17 - Και ως εάν όλα αυτά είναι μικρά ενώπιον της αγάπης σου, Κυριε και Θεέ μου, ωμίλησες και έπραξες αγαθά εις την οικογένειαν του δούλου σου από μακρού χρόνου και επέβλεψες προς εμέ, ως εάν είμαι κανένας μέγας ανήρ και με ανέδειξες, Κυριε και Θεέ μου.

Α Παραλ. 17,18 - τί προσθήσει ἔτι Δαυὶδ πρός σε τοῦ δοξάσαι; καὶ σὺ τὸν δοῦλόν σου οἶδας.

Α Παραλ. 17,18 - Τι ήμπορω εγώ ο Δαυίδ να προσθέσω εις την ιδικήν σου δόξαν; Συ γνωρίζεις πόσον μικρός είμαι εγώ ο δούλος σου.

Α Παραλ. 17,19 - καὶ κατὰ τὴν καρδίαν σου ἐποίησας τὴν πᾶσαν μεγαλωσύνην.

Α Παραλ. 17,19 - Αλλά δια την αγαθότητα της καρδίας σου έδειξες όλην αυτήν την καλωσύνην σου προς εμέ.

Α Παραλ. 17,20 - Κύριε, οὐκ ἔστιν ὅμοιός σοι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ κατὰ πάντα, ὅσα ἠκούσαμεν ἐν ὠσὶν ἡμῶν.

Α Παραλ. 17,20 - Κυριε, δεν υπάρχει άλλος Θεός όμοιός σου, δεν υπάρχει κανείς άλλος Θεός πλην από σέ, όπως μαρτυρούν όλα τα θαυμαστά σου έργα, όσα ηκούσαμεν με τα ίδια μας τα αυτιά.

Α Παραλ. 17,21 - καὶ οὐκ ἔστιν ὡς ὁ λαός σου Ἰσραὴλ ἔθνος ἔτι ἐπὶ τῆς γῆς, ὡς ὡδήγησεν αὐτὸν ὁ Θεὸς τοῦ λυτρώσασθαι λαὸν ἑαυτῷ, τοῦ θέσθαι ἑαυτῷ ὄνομα μέγα καὶ ἐπιφανές, τοῦ ἐκβαλεῖν ἀπὸ προσώπου λαοῦ σου, οὓς ἐλυτρώσω ἐξ Αἰγύπτου, ἔθνη.

Α Παραλ. 17,21 - Και δεν υπάρχει άλλος λαός ούτε άλλο έθνος επί της γης, όπως ο λαός σου ο ισραηλιτικός, τον οποίον συ έβγαλες από την Αίγυπτον, τον έσωσες από την δουλείαν, ώστε να τον κάμης λαόν ιδικόν σου. Εδωσες εις αυτόν όνομα μέγα και περιφανές. Εδιωξες τα ειδωλολατρικά

έθνη εμπρός από τον λαόν σου, τον οποίον συ ελεύθερον έβγαλες από την Αίγυπτον.

Α Παραλ. 17,22 - καὶ ἔδωκας τὸν λαόν σου Ἰσραὴλ σεαυτῷ λαὸν ἕως αἰῶνος, καὶ σύ, Κύριε, ἐγενήθης αὐτοῖς εἰς Θεόν.

Α Παραλ. 17,22 - Εκαμες τον ισραηλιτικόν λαόν ιδικόν σου λαόν στους αιώνας των αιώνων. Και συ έγινες εις αυτούς τους Ισραηλίτας ο πραγματικός Θεός και προστάτης.

Α Παραλ. 17,23 - καὶ νῦν, Κύριε, ὁ λόγος σου, ὃν ἐλάλησας πρὸς τὸν παῖδά σου καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ, πιστωθήτω ἕως αἰῶνος. καὶ ποίησον καθὼς ἐλάλησας,

Α Παραλ. 17,23 - Και τώρα, Κυριε, ο λόγος σου, τον οποίον είπες προς εμέ τον δούλον σου σχετικώς με την οικογένειάν μου, ας αποδειχθή αληθινός στους αιώνας των αιώνων. Καμε, όπως είπες.

Α Παραλ. 17,24 - καὶ πιστωθήτω καὶ μεγαλυνθήτω τὸ ὄνομά σου ἕως αἰῶνος λεγόντων· Κύριε Κύριε, παντοκράτωρ Θεὸς Ἰσραήλ, καὶ ὁ οἶκος Δαυὶδ παιδός σου ἀνωρθωμένος ἐναντίον σου.

Α Παραλ. 17,24 - Ας στερεωθή λοιπόν, και ας δοξασθή το όνομά σου στους αιώνας, δια να λέγη ο καθένας· Κυριε Κυριε, συ είσαι ο παντοκράτωρ Θεός του Ισραήλ, δε οικογένεια του δούλου σου, του Δαυίδ, θα μένη ορθία πάντοτε ενώπιόν σου.

Α Παραλ. 17,25 - ὅτι σὺ Κύριος ὁ Θεός μου ἤνοιξας τὸ οὖς τοῦ παιδός σου τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον· διὰ τοῦτο εὗρεν ὁ παῖς σου τοῦ προσεύξασθαι κατὰ πρόσωπόν σου.

Α Παραλ. 17,25 - Διότι συ, ο Κυριος και ο Θεός μου, ήνοιξας τα αυτιά εμού του δούλου σου, δια να ανοικοδομήσω τον ναόν σου. Δια τούτο ο δούλός σου ευρήκε το θάρρος να παρουσιασθή ενώπιόν σου και να σε παρακαλέση.

Α Παραλ. 17,26 - καὶ νῦν, Κύριε, σὺ εἶ αὐτὸς Θεὸς καὶ ἐλάλησας ἐπὶ τὸν δοῦλόν σου τὰ ἀγαθὰ ταῦτα·

Α Παραλ. 17,26 - Και τώρα, Κυριε, συ είσαι ο αυτός και ο αναλλοίωτος Θεός, ο οποίος είπες εις εμέ τον δούλον σου τα αγαθά αυτά.

Α Παραλ. 17,27 - καὶ νῦν ἦρξαι τοῦ εὐλογῆσαι τὸν οἶκον τοῦ παιδός σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐναντίον σου· ὅτι σύ, Κύριε, εὐλόγησας, καὶ εὐλόγησον εἰς τὸν αἰῶνα.

Α Παραλ. 17,27 - Συ έχεις κάμει αρχήν να ευλογής τον οίκον εμού του δούλου σου, δια να μένη αυτός αιώνιος ενώπιόν σου. Και θα μείνη αιώνιος, διότι συ, Κυριε, τον ηυλόγησες. Ευλόγησον τον οίκόν μου εις αιώνας αιώνων”.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 18

Α Παραλ. 18,1 - Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπάταξε Δαυὶδ τοὺς ἀλλοφύλους καὶ ἐτροπώσατο αὐτοὺς καὶ ἔλαβε τὴν Γὲθ καὶ τὰς κώμας αὐτῆς ἐκ χειρὸς ἀλλοφύλων.

Α Παραλ. 18,1 - Μετά ταύτα ο Δαυίδ εκτύπησε τους Φιλισταίους, κατετρόπωσεν αυτούς και επήρε την πόλιν Γεθ και τας γύρω από αυτήν κώμας από τα χέρια των αλλοφύλων.

Α Παραλ. 18,2 - καὶ ἐπάταξε τὴν Μωάβ, καὶ ἦσαν Μωὰβ παῖδες τῷ Δαυὶδ φέροντες δῶρα.

Α Παραλ. 18,2 - Επειτα ο Δαυίδ εκτύπησε την χώραν των Μωαβιτών και υπέταξεν αυτήν, οι δε Μωαβίται έγιναν δούλοι, φόρου υποτελείς, στον Δαυίδ.

Α Παραλ. 18,3 - καὶ ἐπάταξε Δαυὶδ τὸν Ἀδρααζὰρ βασιλέα Σουβὰ Ἡμάθ, πορευομένου αὐτοῦ ἐπιστῆσαι χεῖρα αὐτοῦ ἐπὶ ποταμὸν Εὐφράτην.

Α Παραλ. 18,3 - Ακολούθως ο Δαυίδ επολέμησε τον Αδρααζάρ τον βασιλέα Σουβά εις Ημάθ, καθ' ον χρόνον μετέβαινε, δια να εγκαταστήση την εξουσίαν του μέχρι και του ποταμού Ευφράτου.

Α Παραλ. 18,4 - καὶ προκατελάβετο Δαυὶδ αὐτῶν χίλια ἅρματα καὶ ἑπτὰ χιλιάδας ἵππων καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν· καὶ παρέλυσε Δαυὶδ πάντα τὰ ἅρματα καὶ ὑπελίπετο ἐξ αὐτῶν ἑκατὸν ἅρματα.

Α Παραλ. 18,4 - Ο Δαυίδ εκυρίευσε κατά την μάχην χίλια άρματα, επτά χιλιάδας ίππους και είκοσι χιλιάδας πεζούς. Ηχρήστευσε δε ο Δαυίδ όλα τα άρματα και αφήκε δια τον εαυτόν του εκατόν μόνον.

Α Παραλ. 18,5 - καὶ ἦλθε Σύρος ἐκ Δαμασκοῦ βοηθῆσαι Ἀδρααζὰρ βασιλεῖ Σουβά, καὶ ἐπάταξε Δαυὶδ ἐν τῷ Σύρῳ εἴκοσι καὶ δύο χιλιάδας ἀνδρῶν.

Α Παραλ. 18,5 - Οι Συροι από την Δαμασκόν ήλθαν να βοηθήσουν τον Αδρααζάρ βασιλέα Σουβά. Ο Δαυίδ επετέθη εναντίον των Συρων και κατενίκησεν είκοσι δύο χιλιάδας άνδρας από αυτούς.

Α Παραλ. 18,6 - καὶ ἔθετο Δαυὶδ φρουρὰν ἐν Συρίᾳ τῇ κατὰ Δαμασκόν, καὶ ἦσαν τῷ Δαυὶδ εἰς παῖδας φέροντας δῶρα, καὶ ἔσωζε Κύριος Δαυὶδ ἐν πᾶσιν, οἷς ἐπορεύετο.

Α Παραλ. 18,6 - Ο Δαυίδ ετοποθέτησεν ιδικήν του φρουράν στο συριακόν έθνος της Δαμασκού, οι δε Συροι έγιναν δούλοι, φόρου υποτελείς, στον Δαυίδ. Ο δε Κυριος εβοηθούσε και περιφρουρούσε τον Δαυίδ εις όλα τα έργα του και όπου αυτός επορεύετο.

Α Παραλ. 18,7 - καὶ ἔλαβε Δαυὶδ τοὺς κλοιοὺς τοὺς χρυσοῦς, οἳ ἦσαν ἐπὶ τοὺς παῖδας Ἀδρααζάρ, καὶ ἤνεγκεν αὐτοὺς εἰς Ἱερουσαλήμ.

Α Παραλ. 18,7 - Επήρεν ο Δαυίδ τα χρυσά περιλαίμια, τα οποία έφεραν οι στρατιώται του Αδρααζάρ, και τα μετέφερεν εις την Ιερουσαλήμ.

Α Παραλ. 18,8 - καὶ ἐκ τῆς μεταβηχὰς καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τῶν Ἀδρααζὰρ ἔλαβε Δαυὶδ χαλκὸν πολὺν σφόδρα· ἐξ αὐτοῦ ἐποίησε Σαλωμὼν τὴν θάλασσαν τὴν χαλκῆν καὶ τοὺς στύλους καὶ τὰ σκεύη τὰ χαλκᾶ.

Α Παραλ. 18,8 - Από δε την πόλιν Μεταβηχάς και από άλλας ευημερούσας πόλστου Αδρααζάρ, επήρεν ο Δαυίδ τεραστίας ποσότητας χαλκού. Από αυτόν τον χαλκόν κατεσκεύασεν αργότερα ο Σολομών την θάλασσαν την χαλκίνην, τους στύλους και τα χάλκινα σκεύη του ιερού ναού.

Α Παραλ. 18,9 - καὶ ἤκουσε Θωὰ βασιλεὺς Ἡμὰθ ὅτι ἐπάταξε Δαυὶδ τὴν πᾶσαν δύναμιν Ἀδρααζὰρ βασιλέως Σουβά,

Α Παραλ. 18,9 - Ο βασιλεύς της Ημάθ, ο Θωα, επληροφορήθη, ότι ο Δαυίδ κατενίκησεν όλην την δύναμιν του 'Αδρααζαρ βασιλέως Σουβά.

Α Παραλ. 18,10 - καὶ ἀπέστειλε τὸν Ἀδουρὰμ υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα Δαυὶδ τοῦ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην καὶ τοῦ εὐλογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησε τὸν Ἀδρααζὰρ καὶ ἐπάταξεν αὐτόν, ὅτι ἀνὴρ πολέμιος Θωὰ ἦν τῷ Ἀδρααζάρ.

Α Παραλ. 18,10 - Απέστειλε, λοιπόν, τον υιόν του τον Αδουράμ προς τον βασιλέα Δαυίδ, δια να του ζητήση να έχουν ειρηνικάς σχέσεις μεταξύ των και να τον συγχαρή δια τον πόλεμον και την νίκην, την οποίαν κατώρθωσεν εναντίον του Αδρααζάρ. Τούτο δέ, διότι ο Αδρααζάρ ήτο εχθρός του Θωα.

Α Παραλ. 18,11 - καὶ πάντα τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ, καὶ ταῦτα ἡγίασεν ὁ βασιλεὺς Δαυὶδ τῷ Κυρίῳ μετὰ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου, οὗ ἔλαβεν ἐκ πάντων τῶν ἐθνῶν, ἐξ Ἰδουμαίας καὶ Μωὰβ καὶ ἐξ υἱῶν Ἀμμὼν καὶ ἐκ τῶν ἀλλοφύλων καὶ ἐξ Ἀμαλήκ.

Α Παραλ. 18,11 - Ολα τα χρυσά, τα αργυρά και τα χάλκινα σκεύη τα αφιέρωσεν ο Δαυίδ στον Κυριον μαζή με το αργύριον και το χρυσίον, το οποίον εκυρίευσεν από όλα τα έθνη, από τους Ιδουμαίους, τους Μωαβίτας, τους Αμμωνίτας, τους Φιλισταίους και τους Αμαληκίτας.

Α Παραλ. 18,12 - καὶ Ἀβεσσὰ υἱὸς Σαρουΐας ἐπάταξε τὴν Ἰδουμαίαν ἐν κοιλάδι τῶν ἁλῶν, ὀκτωκαίδεκα χιλιάδας.

Α Παραλ. 18,12 - Ο Αβεσσά, υιός της Σαρουΐας επετέθη και ενίκησε τους Ιδουμαίους εις την κοιλάδα της Νεκράς Θαλάσσης, εν όλω δεκαοκτώ χιλιάδας.

Α Παραλ. 18,13 - καὶ ἔθετο ἐν τῇ κοιλάδι φρουράς· καὶ ἦσαν πάντες οἱ Ἰδουμαῖοι παῖδες Δαυίδ. καὶ ἔσωζε Κύριος τὸν Δαυὶδ ἐν πᾶσιν, οἷς ἐπορεύετο.

Α Παραλ. 18,13 - Εις αυτήν την κοιλάδα έθεσε φρουράς Ισραηλιτών. Ολοι δε οι Ιδουμαίοι έγιναν δούλοι στον Δαυίδ. Ο δε Κυριος εβοηθούσε και περιέσωζε τον Δαυίδ εις όλα τα έργα του και όπου αυτός επορεύετο.

Α Παραλ. 18,14 - καὶ ἐβασίλευσε Δαυὶδ ἐπὶ πάντα Ἰσραὴλ καὶ ἦν ποιῶν κρίμα καὶ δικαιοσύνην τῷ παντὶ λαῷ αὐτοῦ.

Α Παραλ. 18,14 - Ο Δαυίδ έγινε βασιλεύς επί όλου του ισραηλιτικού λαού. Παντοτε δε έκρινε δικαίως και απένειμε δικαιοσύνην εις όλον τον λαόν του.

Α Παραλ. 18,15 - καὶ Ἰωὰβ υἱὸς Σαρουΐας ἐπὶ τῆς στρατιᾶς καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺδ ὑπομνηματογράφος

Α Παραλ. 18,15 - Ο Ιωάβ, ο υιός της Σαρουΐας, ήτο αρχιστράτηγος του στρατού του. Ο Ιωσαφάτ, ο υιός του Αχιλούδ, ήτο ο αρχειοφύλαξ.

Α Παραλ. 18,16 - καὶ Σαδὼκ υἱὸς Ἀχιτὼβ καὶ Ἀχιμέλεχ υἱὸς Ἀβιάθαρ ἱερεῖς καὶ Σουσὰ γραμματεὺς

Α Παραλ. 18,16 - Ο Σαδώκ, ο υιός του Αχιτώβ, και ο Αχιμέλεχ ο υιός του Αβιάθαρ, ήσαν αρχιερείς, ο δε Σουσά γραμματεύς.

Α Παραλ. 18,17 - καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τοῦ Χερεθθὶ καὶ ἐπὶ τοῦ Φελεθθὶ καὶ υἱοὶ Δαυὶδ οἱ πρῶτοι διάδοχοι τοῦ βασιλέως.

Α Παραλ. 18,17 - Ο Βαναίας, ο υιός του Ιωδαέ, ήτο αρχηγός των σωματοφυλάκων του Δαυίδ των Χερεθθί και Φελεθθί, οι δε υιοί του Δαυίδ ήσαν οι ανώτεροι μεταξύ των αρχόντων εις την υπηρεσίαν του βασιλέως.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 19

Α Παραλ. 19,1 - Καὶ ἐγένετο μετὰ ταῦτα ἀπέθανε Ναὰς βασιλεὺς υἱῶν Ἀμμών, καὶ ἐβασίλευσεν Ἀνὰν υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Α Παραλ. 19,1 - Επειτα από αυτά απέθανεν ο Ναάς, ο βασιλεύς των Αμμωνιτών, και αντ' αυτού ανήλθεν στον βασιλικόν θρόνον ο υιός του, ο Ανάν.

Α Παραλ. 19,2 - καὶ εἶπε Δαυίδ· ποιήσω ἔλεος μετὰ Ἀνὰν υἱοῦ Ναάς, ὡς ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ᾿ ἐμοῦ ἔλεος· καὶ ἀπέστειλεν ἀγγέλους Δαυὶδ τοῦ παρακαλέσαι αὐτὸν περὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἦλθον παῖδες Δαυὶδ εἰς γῆν υἱῶν Ἀμμὼν πρὸς Ἀνὰν τοῦ παρακαλέσαι αὐτόν.

Α Παραλ. 19,2 - Είπε τότε ο Δαυίδ· “ας δείξω καλωσύνην προς τον Ανάν, τον υιόν του Ναάς, όπως έδειξε καλωσύνην και ο πατήρ του προς εμέ”. Εστειλε, λοιπόν, ο Δαυίδ αγγελιαφόρους να παρηγορήσουν αυτόν δια τον θάνατον του πατρός του. Οι άνδρες του Δαυίδ ήλθον εις την χώραν των Αμμωνιτών, παρουσιάσθησαν ενώπιον του Ανάν, δια να τον παρηγορήσουν.

Α Παραλ. 19,3 - καὶ εἶπον ἄρχοντες υἱῶν Ἀμμὼν πρὸς Ἀνάν· μὴ δοξάζων Δαυὶδ τὸν πατέρα σου ἐναντίον σου ἀπέστειλέ σοι παρακαλοῦντας; οὐχὶ ὅπως ἐξερευνήσωσι τὴν πόλιν καὶ τοῦ κατασκοπῆσαι τὴν γῆν ἦλθον παῖδες αὐτοῦ πρός σε;

Α Παραλ. 19,3 - Αλλά οι άρχοντες των Αμμωνιτών είπαν προς τον Ανάν· “μήπως, τυχόν, και φαντάζεσαι ότι ο Δαυίδ, δια να τιμήση την μνήμην του πατρός σου, έστειλε προς σε τους άνδρας του να σε παρηγορήσουν; Οχι !

Τους έστειλε, δια να εξερευνήσουν την πόλιν και να κατασκοπεύσουν την χώραν μας. Δι' αυτό ήλθαν οι άνδρες του προς σέ”.

Α Παραλ. 19,4 - καὶ ἔλαβεν Ἀνὰν τοὺς παῖδας Δαυὶδ καὶ ἐξύρησεν αὐτοὺς καὶ ἀφεῖλε τῶν μανδυῶν αὐτῶν τὸ ἥμισυ ἕως τῆς ἀναβολῆς καὶ ἀπέστειλεν αὐτούς.

Α Παραλ. 19,4 - Ο Ανάν παρασυρθείς από τας εισηγήσεις αυτάς, συνέλαβε τους απεσταλμένους του Δαυίδ, τους εξύρισε, έκοψε από τους μανδύας αυτών το ήμισυ από την μέσην και κάτω και έτσι γελοιοποιημένους τους απέπεμψε.

Α Παραλ. 19,5 - καὶ ἦλθον ἀπαγγεῖλαι τῷ Δαυὶδ περὶ τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν εἰς ἀπάντησιν αὐτοῖς, ὅτι ἦσαν ἠτιμωμένοι σφόδρα. καὶ εἶπεν ὁ βασιλεύς· καθίσατε ἐν Ἱεριχὼ ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν καὶ ἀνακάμψατε.

Α Παραλ. 19,5 - Καποιοι άνθρωποι ήλθαν προς τον Δαυίδ και του ανήγγειλαν, όσα συνέβησαν στους απεσταλμένους του. Ο Δαυίδ έστειλεν ανθρώπους του προς συνάντησιν εκείνων, επειδή εκείνοι είχαν καταληφθή από μεγάλην εντροπήν δια τον εξευτελισμόν, τον οποίον υπέστησαν. Ο βασιλεύς, λοιπόν, τους παρήγγειλε· “παραμείνατε εις την Ιεριχώ, έως ότου αυξηθούν τα γένεια σας, και κατόπιν επιστρέψατε εδώ”.

Α Παραλ. 19,6 - καὶ εἶδον οἱ υἱοὶ Ἀμμὼν ὅτι ᾐσχύνθη λαὸς Δαυίδ, καὶ ἀπέστειλεν Ἀνὰν καὶ υἱοὶ Ἀμμὼν χίλια τάλαντα ἀργυρίου τοῦ μισθώσασθαι ἑαυτοῖς ἐκ Συρίας Μεσοποταμίας καὶ ἐκ Συρίας Μοοχὰ καὶ παρὰ Σωβὰ ἅρματα καὶ ἱππεῖς.

Α Παραλ. 19,6 - Οι Αμμωνίται είδαν ότι ο λαός του Δαυίδ προσεβλήθη με την πράξιν των εκείνην και, επειδή εφοβήθησαν πόλεμον, έστειλεν ο Ανάν και οι Αμμωνίται χίλια τάλαντα αργυρίου, δια να καταρτίσουν μισθοφορικόν στρατόν εκ πολεμικών αρμάτων και ιππέων δια τον εαυτόν των από την Συρίαν της Μεσοποταμίας, από την Συρίαν Μοοχά και από το βασίλειον Σωβά.

Α Παραλ. 19,7 - καὶ ἐμισθώσαντο ἑαυτοῖς δύο καὶ τριάκοντα χιλιάδας ἁρμάτων καὶ τὸν βασιλέα Μοοχὰ καὶ τὸν λαὸν αὐτοῦ καὶ ἦλθον καὶ παρενέβαλον κατέναντι Μαιδαβά, καὶ οἱ υἱοὶ Ἀμμὼν συνήχθησαν ἐκ τῶν πόλεων αὐτῶν καὶ ἦλθον εἰς τὸ πολεμῆσαι.

Α Παραλ. 19,7 - Συνεκρότησαν πράγματι μισθοφορικόν στρατόν και τριάκοντα δύο χιλιάδας πολεμικά άρματα· επήραν εις την υπηρεσίαν των τον βασιλέα της Μοοχά και τον λαόν του. Ολοι αυτοί ήλθαν και εστρατοπέδευσαν απέναντι της Μαιδαβά. Εκεί δε συνεκεντρώθησαν και οι Αμμωνίται από τας πόλεις των, οι οποίοι ήλθαν, δια να πολεμήσουν εναντίον του Δαυίδ.

Α Παραλ. 19,8 - καὶ ἤκουσε Δαυὶδ καὶ ἀπέστειλε τὸν Ἰωὰβ καὶ πᾶσαν τὴν στρατιὰν τῶν δυνατῶν.

Α Παραλ. 19,8 - Ο Δαυίδ επληροφορήθη τα γεγονότα αυτά και έστειλε τον αρχιστράτηγον Ιωάβ και όλον τον εκλεκτόν αυτού στρατόν.

Α Παραλ. 19,9 - καὶ ἐξῆλθον οἱ υἱοὶ Ἀμμὼν καὶ παρατάσσονται εἰς πόλεμον παρὰ τὸν πυλῶνα τῆς πόλεως, καὶ οἱ βασιλεῖς οἱ ἐλθόντες παρενέβαλον καθ᾿ ἑαυτοὺς ἐν τῷ πεδίῳ.

Α Παραλ. 19,9 - Οι Αμμωνίται εβγήκαν και παρετάχθησαν εις πόλεμον πλησίον της πύλης της πόλεώς των. Οι δε σύμμαχοί των, που είχον έλθει να τους βοηθήσουν, εστρατοπέδευσαν μόνοι των εις την πεδιάδα.

Α Παραλ. 19,10 - καὶ εἶδεν Ἰωὰβ ὅτι γεγόνασιν ἀντιπρόσωποι τοῦ πολεμεῖν πρὸς αὐτὸν κατὰ πρόσωπον καὶ ἐξόπισθεν, καὶ ἐξελέξατο ἐκ παντὸς νεανίου ἐξ Ἰσραήλ, καὶ παρετάξαντο ἐναντίον τοῦ Σύρου·

Α Παραλ. 19,10 - Ο Ιωάβ, όταν είδεν ότι οι εχθροί παρετάχθησαν να πολεμήσουν αυτόν κατά μέτωπον και εκ των όπισθεν, εδιάλεξε από όλον τον ισραηλιτικόν στρατόν τους ανδρείους νέους, μαζή με τους οποίους παρετάχθη εναντίον των συριακών στρατευμάτων.

Α Παραλ. 19,11 - καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ Ἀβεσσὰ ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξεναντίας υἱῶν Ἀμμών.

Α Παραλ. 19,11 - Τον δε υπόλοιπον στρατόν έθεσεν υπό την διοίκησιν του αδελφού του, του Αβεσσά, ο οποίος και παρετάχθη απέναντι των Αμμωνιτών.

Α Παραλ. 19,12 - καὶ εἶπεν· ἐὰν κρατήσῃ ὑπὲρ ἐμὲ ὁ Σύρος, καὶ ἔσῃ μοι εἰς σωτηρίαν, καὶ ἐὰν οἱ υἱοὶ Ἀμμὼν κρατήσωσιν ὑπὲρ σέ, καὶ σώσω σε·

Α Παραλ. 19,12 - Είπε δε ο Ιωάβ προς τον Αβεσσά· “εάν οι Συροι υπερισχύσουν εναντίον μου, θα έλθης συ εις βοήθειάν μου δια να με σώσης ! Εάν δε οι Αμμωνίται υπερισχύσουν εναντίον σου, εγώ θα σε σώσω.

Α Παραλ. 19,13 - ἀνδρίζου καὶ ἐνισχύσωμεν περὶ τοῦ λαοῦ ἡμῶν καὶ περὶ τῶν πόλεων τοῦ Θεοῦ ἡμῶν, καὶ Κύριος τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ ποιήσει.

Α Παραλ. 19,13 - Να φανής ανδρείος και ας πολεμήσωμεν με γενναιότητα υπέρ του λαού μας και υπέρ των πόλεων του Θεού μας. Ο δε Κυριος είθε να πράξη ο,τι κρίνει καλόν ενώπιόν του.

Α Παραλ. 19,14 - καὶ παρετάξατο Ἰωὰβ καὶ ὁ λαὸς ὁ μετ᾿ αὐτοῦ κατέναντι Σύρων εἰς πόλεμον, καὶ ἔφυγον ἀπ᾿ αὐτῶν.

Α Παραλ. 19,14 - Ο Ιωάβ Και ο στρατός, τον οποίον αυτός εξέλεξε, παρετάχθησαν απέναντι των Συρων και επολέμησαν εναντίον των. Οι Συροι κατενικήθησαν και ετράπησαν εις φυγήν.

Α Παραλ. 19,15 - καὶ οἱ υἱοὶ Ἀμμὼν εἶδον ὅτι ἔφυγον οἱ Σύροι, καὶ ἔφυγον καὶ αὐτοὶ ἀπὸ προσώπου Ἀβεσσὰ καὶ ἀπὸ προσώπου Ἰωὰβ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἦλθον εἰς τὴν πόλιν. καὶ ἦλθεν Ἰωὰβ εἰς Ἱερουσαλήμ.

Α Παραλ. 19,15 - Οι Αμμωνίται, όταν είδαν ότι οι Συροι είχαν τροπή εις φυγήν, επανικοβλήθησαν και αυτοί, ετράπησαν εις φυγήν μακράν από τον Αβεσσά, μακράν από τον Ιωάβ, τον αδελφόν αυτού, και εισήλθον εις την πόλιν των. Ο δε Ιωάβ επέστρεψεν εις την Ιερουσαλήμ.

Α Παραλ. 19,16 - καὶ εἶδεν ὁ Σύρος ὅτι ἐτροπώσατο αὐτὸν Ἰσραήλ, καὶ ἀπέστειλεν ἀγγέλους, καὶ ἐξήγαγον τὸν Σύρον ἐκ τοῦ πέραν τοῦ ποταμοῦ, καὶ Σωφὰ ἀρχιστράτηγος δυνάμεως Ἀδρααζὰρ ἔμπροσθεν αὐτῶν.

Α Παραλ. 19,16 - Οταν οι Συροι είδαν ότι κατετροπώθησαν από τους Ισραηλίτας, έστειλαν αγγελιαφόρους και έφεραν πλησίον των τους άλλους Συρους, που κατοικούσαν πέραν από τον Ευφράτην ποταμόν. Ο Σωφά δε ο αρχιστράτηγος του στρατού του Αδρααζάρ ήτο αρχηγός εκείνων.

Α Παραλ. 19,17 - καὶ ἀπηγγέλη τῷ Δαυίδ, καὶ συνήγαγε τὸν πάντα Ἰσραὴλ καὶ διέβη τὸν Ἰορδάνην καὶ ἦλθεν ἐπ᾿ αὐτοὺς καὶ παρετάξατο ἐπ᾿ αὐτούς, καὶ παρατάσσεται Σύρος ἐξεναντίας Δαυὶδ εἰς πόλεμον καὶ ἐπολέμησαν αὐτόν,

Α Παραλ. 19,17 - Ανηγγέλθη στον Δαυίδ το γεγονός αυτό και αυτός συνεκέντρωσεν όλον τον ισραηλιτικόν στρατόν, επέρασε τον Ιορδάνην, ήλθε πλησίον των Συρων και αντιπαρετάχθη εις πόλεμον εναντίον των. Απέναντι από τον Δαυίδ είχαν παραταχθή οι Συροι προς πόλεμον, οι οποίοι και επετέθησαν εναντίον του.

Α Παραλ. 19,18 - καὶ ἔφυγε Σύρος ἀπὸ προσώπου Ἰσραήλ, καὶ ἀπέκτεινε Δαυὶδ ἀπὸ τοῦ Σύρου ἑπτὰ χιλιάδας ἁρμάτων καὶ τεσσαράκοντα χιλιάδας πεζῶν καὶ τὸν Σωφὰ ἀρχιστράτηγον δυνάμεως ἀπέκτεινε.

Α Παραλ. 19,18 - Κατά την μάχην οι Συροι ηττήθησαν και πανικόβλητοι ετράπησαν εις φυγήν εμπρός από τον ισραηλιτικόν στρατόν. Ο στρατός του Δαυίδ εφόνευσε κατά την μάχην εκείνην επτά χιλιάδας Συρους από τους επιβαίνοντας εις τα πολεμικά άρματα και τεσσαράκοντα χιλιάδας πεζούς. Εφόνευσε δε και αυτόν τον αρχιστράτηγον, τον Σωφά.

Α Παραλ. 19,19 - καὶ εἶδον παῖδες Ἀδρααζὰρ ὅτι ἐπταίκασιν ἀπὸ προσώπου Ἰσραήλ, καὶ διέθεντο μετὰ Δαυὶδ καὶ ἐδούλευσαν αὐτῷ· καὶ οὐκ ἠθέλησε Σύρος τοῦ βοηθῆσαι τοῖς υἱοῖς Ἀμμὼν ἔτι.

Α Παραλ. 19,19 - Οι άνδρες του Αδρααζάρ, όταν είδον ότι είχον κατατροπωθή από τους Ισραηλίτας, έκαμαν συνθήκην με τον Δαυίδ και έγιναν δούλοι του. Εκτοτε οι Συροι δεν ηθέλησαν κατ' ουδένα τρόπον να έλθουν εις βοήθειαν των Αμμωνιτών.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 20

Α Παραλ. 20,1 - Καὶ ἐγένετο ἐν τῷ ἐπιόντι ἔτει ἐν τῇ ἐξόδῳ τῶν βασιλέων καὶ ἤγαγεν Ἰωὰβ πᾶσαν τὴν δύναμιν τῆς στρατιᾶς, καὶ ἔφθειραν

τὴν χώραν υἱῶν Ἀμμών· καὶ ἦλθε καὶ περιεκάθισε τὴν Ῥαββά· καὶ Δαυὶδ ἐκάθισεν ἐν Ἱερουσαλήμ· καὶ ἐπάταξεν Ἰωὰβ τὴν Ῥαββὰ καὶ κατέσκαψεν αὐτήν.

Α Παραλ. 20,1 - Κατά το επόμενον έτος, όταν οι βασιλείς εξέρχωνται εις πόλεμον, ο Ιωάβ ωδήγησεν όλον τον στρατόν του Ισραήλ και κατέστρεψε την χώραν των Αμμωνιτών. Ηλθε δε έπειτα και επολιόρκησε την Ραββά. Ο δε Δαυίδ παρέμεινεν εις την Ιερουσαλήμ. Ο Ιωάβ εκτύπησε και κατέλαβε την Ραββά και την κατέστρεψε.

Α Παραλ. 20,2 - καὶ ἔλαβε Δαυὶδ τὸν στέφανον Μολχὸμ τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ εὑρέθη ὁ σταθμὸς αὐτοῦ τάλαντον χρυσίου, καὶ ἐν αὐτῷ λίθος τίμιος, καὶ ἦν ἐπὶ τὴν κεφαλὴν Δαυίδ· καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκε πολλὰ σφόδρα.

Α Παραλ. 20,2 - Ο Δαυίδ επήρε τον στέφανον από την κεφαλήν του Μολχόμ του βασιλέως των Αμμωνιτών. Εζυγίσθη δε αυτός ο στέφανος και ευρέθη ότι είχε βάρος ενός χρυσού ταλάντου. Επάνω στον στέφανον αυτόν υπήρχον πολύτιμοι λίθοι. Ο Δαυίδ έθεσεν αυτόν επί της ιδικής του κεφαλής. Από δε την πόλιν έβγαλεν αυτός πάρα πολλά λάφυρα.

Α Παραλ. 20,3 - καὶ τὸν λαὸν τὸν ἐν αὐτῇ ἐξήγαγε καὶ διέπρισε πρίοσι καὶ ἐν σκεπάρνοις σιδηροῖς καὶ ἐν διασχίζουσι· καὶ οὕτως ἐποίησε Δαυὶδ τοῖς πᾶσιν υἱοῖς Ἀμμών. καὶ ἀνέστρεψε Δαυὶδ καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς Ἱερουσαλήμ.

Α Παραλ. 20,3 - Ολους δε τους Αμμωνίτας, οι οποίοι ευρίσκοντο εις την πόλιν, διέταξεν ο Δαυίδ και τους έβγαλαν από την πόλιν και τους εξετέλεσαν όλους με πριόνια, με σιδηρά σκεπάρνια και με άλλα κοπτερά εργαλεία· το ίδιο έκαμε ο Δαυίδ και εις όλους τους Αμμωνίτας. Επειτα από αυτά ο Δαυίδ και όλος ο στρατός του επέστρεψαν εις την Ιερουσαλήμ.

Α Παραλ. 20,4 - καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γαζὲρ μετὰ τῶν ἀλλοφύλων. τότε ἐπάταξε Σοβοχαὶ ὁ Οὐσαθὶ τὸν Σαφοὺ ἀπὸ τῶν υἱῶν τῶν γιγάντων, καὶ ἐταπείνωσεν αὐτόν.

Α Παραλ. 20,4 - Κατόπιν από αυτά έγινε πόλεμος εις την πόλιν Γαζέρ εναντίον των Φιλισταίων. Κατά τον πόλεμον αυτόν ο Σοβοχαί, ο υιός του Ουσαθί, εφόνευσε τον Σαφού, ένα από τους απογόνους των γιγάντων και έτσι τον εξηυτέλισε.

Α Παραλ. 20,5 - καὶ ἐγένετο ἔτι πόλεμος μετὰ τῶν ἀλλοφύλων. καὶ ἐπάταξεν Ἐλλανὰν υἱὸς Ἰαΐρ τὸν Λαχμὶ ἀδελφὸν Γολιὰθ τοῦ Γεθθαίου, καὶ ξύλον δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων.

Α Παραλ. 20,5 - Εγινε πάλιν πόλεμος εναντίον των Φιλισταίων. Κατά τον πόλεμον αυτόν ο Ελλανάν, ο υιός του Ιαΐρ, εφόνευσε τον Λαχμί τον αδελφόν του Γολιάθ, που κατήγετο από την Γέθ. Το ξύλον του δόρατος αυτού ήτο τόσον μεγάλο, όσον το αντί των υφαντών.

Α Παραλ. 20,6 - καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γέθ, καὶ ἦν ἀνὴρ ὑπερμεγέθης, καὶ δάκτυλοι αὐτοῦ ἓξ καὶ ἕξ, εἰκοσιτέσσαρες, καὶ οὗτος ἦν ἀπόγονος γιγάντων.

Α Παραλ. 20,6 - Εγινε πάλιν πόλεμος εις την Γέθ. Εκεί υπήρχεν ένας Φιλισταίος, ανήρ υπερμεγέθης. Τα δάκτυλά του ήσαν εξ στο κάθε χέρι του και στο κάθε πόδι του. Είχεν εν όλω εικοσιτέσσερα δάκτυλα και αυτός ήτο απόγονος των γιγάντων.

Α Παραλ. 20,7 - καὶ ὠνείδισε τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτὸν Ἰωνάθαν υἱὸς Σαμαὰ ἀδελφοῦ Δαυίδ.

Α Παραλ. 20,7 - Αυτός εχλεύαζε τον ισραηλιτικόν λαόν, αλλά ο Ιωνάθαν, ο υιός του Σαμαά αδελφού του Δαυίδ, εφόνευσε τον γίγαντα αυτόν.

Α Παραλ. 20,8 - οὗτοι ἐγένοντο Ῥαφὰ ἐν Γέθ· πάντες ἦσαν τέσσαρες γίγαντες, καὶ ἔπεσον ἐν χειρὶ Δαυὶδ καὶ ἐν χειρὶ παίδων αὐτοῦ.

Α Παραλ. 20,8 - Οι φονευθέντες αυτοί είχαν γεννηθή από γίγαντας εις την Γέθ. Ολοι δε τότε οι γίγαντες ήσαν τέσσαρες. Αυτοί εξωντώθησαν από το χέρι του Δαυίδ και από τα χέρια των ανδρών του.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 21

Α Παραλ. 21,1 - Καὶ ἔστη διάβολος ἐν τῷ Ἰσραὴλ καὶ ἐπέσεισε τὸν Δαυὶδ τοῦ ἀριθμῆσαι τὸν Ἰσραήλ.

Α Παραλ. 21,1 - Ο διάβολος όμως εισεχώρησεν στον ισραηλιτικόν λαόν και παρεκίνησε τον Δαυίδ να κάμη αρίθμησιν του λαού.

Α Παραλ. 21,2 - καὶ εἶπεν ὁ βασιλεὺς Δαυὶδ πρὸς Ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως· πορεύθητε, ἀριθμήσατε τὸν Ἰσραὴλ ἀπὸ Βηρσαβεὲ καὶ ἕως Δὰν καὶ ἐνέγκατε πρός με, καὶ γνώσομαι τὸν ἀριθμὸν αὐτῶν.

Α Παραλ. 21,2 - Είπε τότε ο βασιλεύς Δαυίδ προς τον αρχιστράτηγον, τον Ιωάβ, και προς τους άλλους αρχηγούς του στρατού· “πηγαίνετε και κάμετε αρίθμησιν του ισραηλιτικού λαού, από της Βηρσαβεέ μέχρι της Δαν. Φέρετέ μου το αποτέλεσμα της καταγραφής αυτής, δια να μάθω τον αριθμόν όλων των Ισραηλιτών”.

Α Παραλ. 21,3 - καὶ εἶπεν Ἰωάβ· προσθείη Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, ὡς αὐτοὶ ἑκατονταπλασίως, καὶ οἱ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως βλέποντες· πάντες τῷ κυρίῳ μου παῖδες· ἱνατί ζητεῖ κύριός μου τοῦτο; ἵνα μὴ γένηται εἰς ἁμαρτίαν τῷ Ἰσραήλ.

Α Παραλ. 21,3 - Ο Ιωάβ είπε προς τον βασιλέα· “είθε Κυριος ο Θεός να αυξήση τον ισραηλιτικόν λαόν, να τον κάμη εκατονταπλάσιον από ο,τι είναι σήμερα. Τα δε μάτια του βασιλέως μας είθε να ίδουν αυτήν την αύξησιν. Ολοι

ημείς είμεθα δούλοι στον κύριόν μου και θα τον υπακούσωμεν. Αλλά διατί ο κύριός μου ζητεί αυτήν την αρίθμησιν; Εγώ φρονώ ότι δεν πρέπει να γίνη, δια να μη αποβή εις αμαρτίαν και τιμωρίαν του ισραηλιτικού λαού".

Α Παραλ. 21,4 - τὸ δὲ ῥῆμα τοῦ βασιλέως ἴσχυσεν ἐπὶ Ἰωάβ, καὶ ἐξῆλθεν Ἰωὰβ καὶ διῆλθεν ἐν παντὶ Ἰσραὴλ καὶ ἦλθεν εἰς Ἱερουσαλήμ.

Α Παραλ. 21,4 - Ο λόγος όμως του βασιλέως υπερίσχυσεν υπέρ την πρότασιν του Ιωάβ. Ο δε Ιωάβ υπακούων εξήλθεν από το βασιλικόν ανάκτορον, επέρασεν από όλον τον ισραηλιτικόν λαόν, τον ηρίθμησε και επέστρεψε κατόπιν εις την Ιερουσαλήμ.

Α Παραλ. 21,5 - καὶ ἔδωκεν Ἰωὰβ τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ τῷ Δαυίδ, καὶ ἦν πᾶς Ἰσραὴλ χίλιαι χιλιάδες καὶ ἑκατὸν χιλιάδες ἀνδρῶν ἐσπασμένων μάχαιραν καὶ υἱοὶ Ἰούδα τετρακόσιαι καὶ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν ἐσπασμένων μάχαιραν.

Α Παραλ. 21,5 - Ο Ιωάβ παρέδωκε τον αριθμόν της καταγραφής στον Δαυίδ. Ευρέθη ότι όλοι οι Ισραηλίται άνδρες ήσαν ένα εκατομμύριον εκατόν χιλιάδες, ικανοί να χειρίζωνται την μάχαιραν. Από δε την φυλήν του Ιούδα ήσαν τετρακόσιοι εβδομήκοντα χιλιάδες άνδρες, επίσης ικανοί να χειρίζωνται την μάχαιραν.

Α Παραλ. 21,6 - καὶ τὸν Λευὶ καὶ τὸν Βενιαμὶν οὐκ ἠρίθμησεν ἐν μέσῳ αὐτῶν, ὅτι κατίσχυσε λόγος τοῦ βασιλέως τὸν Ἰωάβ.

Α Παραλ. 21,6 - Τους Λευίτας όμως και τους άνδρας της φυλής Βενιαμίν δεν κατέγραψε μεταξύ των άλλων φυλών ο Ιωάβ, διότι ο βασιλεύς του είχε δώσει σχετικήν διαταγήν.

Α Παραλ. 21,7 - καὶ πονηρὸν ἐναντίον τοῦ Θεοῦ περὶ τοῦ πράγματος τούτου, καὶ ἐπάταξε τὸν Ἰσραήλ.

Α Παραλ. 21,7 - Η αρίθμησις όμως αυτή εφάνη ως πράξις κακή ενώπιον του Θεού, ο οποίος και δια τούτο εκτύπησε τον ισραηλιτικόν λαόν.

Α Παραλ. 21,8 - καὶ εἶπε Δαυὶδ πρὸς τὸν Θεόν· ἡμάρτηκα σφόδρα, ὅτι ἐποίησα τὸ πρᾶγμα τοῦτο· καὶ νῦν περίελε δὴ τὴν κακίαν παιδός σου, ὅτι ἐματαιώθην σφόδρα.

Α Παραλ. 21,8 - Ο Δαυίδ είπε τότε προς τον Θεόν· "ημάρτησα πάρα πολύ, διότι έκαμα την πράξιν αυτήν. Και τώρα σε παρακαλώ απάλειψε και σβήσε αυτήν την κακίαν του δούλου σου, διότι ενήργησα κατά ένα πολύ ανόητον και ματαιόδοξον τρόπον".

Α Παραλ. 21,9 - καὶ ἐλάλησε Κύριος πρὸς Γὰδ τὸν ὁρῶντα λέγων·

Α Παραλ. 21,9 - Ωμίλησεν ο Κυριος προς τον Γαδ τον προφήτην, και του είπε·

Α Παραλ. 21,10 - πορεύου καὶ λάλησον πρὸς Δαυὶδ λέγων· οὕτω λέγει Κύριος· τρία αἱρῶ ἐγὼ ἐπὶ σέ, ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω σοι.

Α Παραλ. 21,10 - "πήγαινε στον Δαυίδ και είπε προς αυτόν· Αυτά λέγει ο Κυριος· τρεις τιμωρίας εγώ κρατώ εις τα χέρια μου εναντίον σου. Εκλεξε δια

τον εαυτόν σου μίαν από αυτάς και εγώ αυτήν θα στείλω”.

Α Παραλ. 21,11 - καὶ ἦλθε Γὰδ πρὸς Δαυὶδ καὶ εἶπεν αὐτῷ· οὕτως λέγει Κύριος· ἔκλεξαι σεαυτῷ

Α Παραλ. 21,11 - Ο Γαδ ήλθε προς τον Δαυίδ και του είπε· “αυτά λέγει ο Κυριος. Διάλεξε δια τον εαυτόν σου

Α Παραλ. 21,12 - ἢ τρία ἔτη λιμοῦ, ἢ τρεῖς μῆνας φεύγειν σε ἐκ προσώπου ἐχθρῶν σου καὶ μάχαιραν ἐχθρῶν σου τοῦ ἐξολοθρεῦσαι, ἢ τρεῖς ἡμέρας ῥομφαίαν Κυρίου καὶ θάνατον ἐν τῇ γῇ καὶ ἄγγελος Κυρίου ἐξολοθρεύων ἐν πάσῃ κληρονομίᾳ Ἰσραήλ· καὶ νῦν ἰδὲ τί ἀποκριθῶ τῷ ἀποστείλαντί με λόγον.

Α Παραλ. 21,12 - η τρία έτη πείνας η τρεις μήνες φυγήν προ των εχθρών σου, οι οποίοι με τας μαχαίρας των θα εξολοθρεύουν τον λαόν, η τρεις ημέρας θα ίδης την ρομφαίαν του Κυρίου επί του λαού, θανατικό εις την χώραν σου, διότι άγγελος Κυρίου θα εξολοθρεύη ανθρώπους από τον λαόν του Ισραήλ. Και τώρα σκέψου και είπέ μου, ποίαν απάντησιν θα δώσω στον Θεόν, ο οποίος με έστειλεν”.

Α Παραλ. 21,13 - καὶ εἶπε Δαυὶδ πρὸς Γάδ· στενά μοι καὶ τὰ τρία σφόδρα· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα, καὶ εἰς χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω.

Α Παραλ. 21,13 - Ο Δαυίδ απήντησε προς τον Γαδ· “μεγάλη και κατάπικρος η στενοχωρία μου και δια τα τρία αυτά. Προτιμώ όμως να παραδοθώ εις τα χέρια του Κυρίου μου, διότι το έλεός του είναι μέγα και να μη πέσω εις τα χέρια των ανθρώπων”.

Α Παραλ. 21,14 - καὶ ἔδωκε Κύριος θάνατον ἐν Ἰσραήλ, καὶ ἔπεσον ἐξ Ἰσραὴλ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν.

Α Παραλ. 21,14 - Ετσι ο Κυριος έστειλε θάνατον εναντίον των Ισραηλιτών και απεθαναν από τον λαόν του Ισραήλ εβδομήκοντα χιλιάδες άνδρες.

Α Παραλ. 21,15 - καὶ ἀπέστειλεν ὁ Θεὸς ἄγγελον εἰς Ἱερουσαλὴμ τοῦ ἐξολοθρεῦσαι αὐτήν. καὶ ὡς ἐξωλόθρευσεν, εἶδε Κύριος καὶ μετεμελήθη ἐπὶ τῇ κακίᾳ καὶ εἶπε τῷ ἀγγέλῳ τῷ ἐξολοθρεύοντι· ἱκανούσθω σοι, ἄνες τὴν χεῖρά σου· καὶ ὁ ἄγγελος Κυρίου ἑστὼς ἐν τῷ ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου.

Α Παραλ. 21,15 - Εν συνεχεία ο Θεός έστειλε τον ελοθρευτήν άγγελον εις την Ιερουσαλήμ, δια να εξολοθρεύση και αυτήν. Οταν δε ο άγγελος εσκόρπισεν εναντίον της τον όλεθρον, ο Κυριος ελυπήθη και μετεμελήθη δια την καταστροφήν αυτήν και είπεν στον εξολοθρευτήν άγγελον· “φθάνει έως εδώ. Απόσυρε τώρα το χέρι σου”. Κατά την στιγμήν εκείνην ο άγγελος του Κυρίου ευρίσκετο στο αλώνι του Ορνά του Ιεβουσαίου.

Α Παραλ. 21,16 - καὶ ἐπῇρε Δαυὶδ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε τὸν ἄγγελον Κυρίου ἑστῶτα ἀνὰ μέσον τῆς γῆς καὶ τοῦ οὐρανοῦ, καὶ ἡ ῥομφαία αὐτοῦ ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ ἐκτεταμένη ἐπὶ Ἱερουσαλήμ·

καὶ ἔπεσε Δαυὶδ καὶ οἱ πρεσβύτεροι περιβεβλημένοι ἐν σάκκοις ἐπὶ πρόσωπον αὐτῶν.

Α Παραλ. 21,16 - Ο Δαυίδ εσήκωσε τα μάτια του και είδε τον εξολοθρευτήν άγγελον, να ίσταται μεταξύ ουρανού και γης. Η ρομφαία του ήτο ανεσπασμένη εις τα χέρια του και απλωμένη εναντίον της Ιερουσαλήμ. Τοτε ο Δαυίδ και οι πρεσβύτεροι του ισραηλιτικού λαού, φορούντες τα σάκκινα ενδύματα της μετανοίας των, έπεσαν κάτω με το πρόσωπον αυτών εις την γην.

Α Παραλ. 21,17 - καὶ εἶπε Δαυὶδ πρὸς τὸν Θεόν· οὐκ ἐγὼ εἶπα τοῦ ἀριθμῆσαι ἐν τῷ λαῷ; καὶ ἐγώ εἰμι ὁ ἁμαρτών, κακοποιῶν ἐκακοποίησα, καὶ ταῦτα τὰ πρόβατα τί ἐποίησαν; Κύριε ὁ Θεός, γενηθήτω ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου καὶ μὴ ἐν τῷ λαῷ σου εἰς ἀπώλειαν, Κύριε.

Α Παραλ. 21,17 - Είπεν ο Δαυίδ προς τον Θεόν· "εγώ δεν είμαι εκείνος, που διέταξα να γίνη αυτή η αρίθμησις του λαού; Εγώ είμαι ο διαπράξας την αμαρτίαν αυτήν, ο παρασυρθείς εις την μεγάλην αυτήν κακίαν. Αυτά τα πρόβατα, οι άνδρες του Ισοαηλ, τι κακόν έκαμαν; Ω Κυριε και Θεέ μου, ας πέση η τιμωρός δεξιά σου εναντίον μου και εναντίον του πατρικού μου οίκου και όχι εις καταστροφήν εναντίον του λαού σου, Κυριε".

Α Παραλ. 21,18 - καὶ ἄγγελος Κυρίου εἶπε τῷ Γὰδ τοῦ εἰπεῖν πρὸς Δαυίδ, ἵνα ἀναβῇ τοῦ στῆσαι θυσιαστήριον Κυρίῳ ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου.

Α Παραλ. 21,18 - Ο άγγελος του Κυρίου είπε προς τον Γαδ, να διατάξη τον Δαυίδ να ανεβή στο αλώνι του Ορνά του Ιεβουσαίου και εκεί να κατασκευάση θυσιαοτήριον δια τον Κυριον.

Α Παραλ. 21,19 - καὶ ἀνέβη Δαυὶδ κατὰ τὸν λόγον Γάδ, ὃν ἐλάλησεν ἐν ὀνόματι Κυρίου.

Α Παραλ. 21,19 - Αμέσως ο Δαυίδ σύμφωνα με την εντολήν αυτήν του Γαδ, την οποίαν του είχε δώσει εν ονόματι του Κυρίου, ανέβη στο αλώνι του Ορνά.

Α Παραλ. 21,20 - καὶ ἐπέστρεψεν Ὀρνὰ καὶ εἶδε τὸν βασιλέα καὶ τέσσαρας υἱοὺς αὐτοῦ μετ᾽ αὐτοῦ μεθαχαβίν· καὶ Ὀρνὰ ἦν ἁλοῶν πυρούς.

Α Παραλ. 21,20 - Ο Ορνά εγύρισε τα μάτια του και είδε τον βασιλέα να έρχεται. Τον είδαν και οι τέσσαρες υιοί του, που ήσαν μαζή του, και εκρύβησαν. Ο Ορνά κατά την ημέραν εκείνην αλώνιζε σιτάρι στο αλώνι του.

Α Παραλ. 21,21 - καὶ ἦλθε Δαυὶδ πρὸς Ὀρνά, καὶ Ὀρνὰ ἐξῆλθεν ἐκ τῆς ἅλω καὶ προσεκύνησε τῷ Δαυὶδ τῷ προσώπῳ ἐπὶ τὴν γῆν.

Α Παραλ. 21,21 - Ο Δαυίδ ήλθε προς τον Ορνά, ο Ορνά εξήλθεν από το αλώνι του, έσκυψε το πρόσωπόν του εις την γην και επροσκύνησε τον Δαυίδ.

Α Παραλ. 21,22 - καὶ εἶπε Δαυὶδ πρὸς Ὀρνά· δός μοι τὸν τόπον σου τῆς ἅλω, καὶ οἰκοδομήσω ἐπ᾿ αὐτῷ θυσιαστήριον τῷ Κυρίῳ· ἐν ἀργυρίῳ ἀξίῳ δός μοι αὐτόν, καὶ παύσεται ἡ πληγὴ ἐκ τοῦ λαοῦ.

Α Παραλ. 21,22 - Είπεν ο Δαυίδ προς τον Ορνά· “δος μου τον τόπον αυτόν του αλωνιού σου, διότι εγώ θα οικοδομήσω επάνω εις αυτό θυσιαστήριον προς τιμήν του Κυρίου. Δος μου αυτόν τον τόπον και εγώ θα καταβάλω όσον αργύριον αξίζει. Ετσι δε θα καταπαύση το θανατικό του ισραηλιτικού λαού”.

Α Παραλ. 21,23 - καὶ εἶπεν Ὀρνὰ πρὸς Δαυίδ· λαβὲ σεαυτῷ, καὶ ποιησάτω ὁ κύριός μου ὁ βασιλεὺς τὸ ἀγαθὸν ἐναντίον ἑαυτοῦ· ἰδὲ δέδωκα τοὺς μόσχους εἰς ὁλοκαύτωσιν καὶ τὸ ἄροτρον εἰς ξύλα καὶ τὸν σῖτον εἰς θυσίαν, τὰ πάντα δέδωκα.

Α Παραλ. 21,23 - Ο Ορνά απήντησε προς τον Δαυίδ· “πάρε ιδικόν σου τον τόπον αυτόν, και ο κύριός μου ο βασιλεύς ας χρησιμοποιήση αυτόν, όπως αυτός νομίζει καλόν. Ιδού σου δίδω και τα βόϊδια μου, δια να τα προσφέρης θυσίαν ολοκαυτώματος. Το άροτρον ως ξύλα δια την πυράν του θυσιαστηρίου και τον σίτον του αλωνιού μου ως αναίμακτον θυσίαν προς τον Κυριον. Ολα σου τα δίδω δωρεάν”.

Α Παραλ. 21,24 - καὶ εἶπεν ὁ βασιλεὺς Δαυὶδ τῷ Ὀρνά· οὐχί, ὅτι ἀγοράζων ἀγοράσω ἐν ἀργυρίῳ ἀξίῳ, ὅτι οὐ μὴ λάβω ἅ ἐστί σοι Κυρίῳ τοῦ ἀνανέγκαι ὁλοκαύτωσιν δωρεὰν Κυρίῳ.

Α Παραλ. 21,24 - Ο βασιλεύς Δαυίδ απήντησεν στον Ορνά· “δεν δέχομαι την δωρεάν. Επιμένω να αγοράσω τον τόπον αυτόν και θα καταβάλω την αξίαν του εις αργύριον. Δεν θα δεχθώ αυτά, που ανήκουν εις σέ, δια να τα προσφέρω δωρεάν ολοκαύτωμα προς τον Κυριον”.

Α Παραλ. 21,25 - καὶ ἔδωκε Δαυὶδ τῷ Ὀρνὰ ἐν τῷ τόπῳ αὐτοῦ σίκλους χρυσίου ὁλκῆς ἑξακοσίους.

Α Παραλ. 21,25 - Ο Δαυίδ επέμενε και έδωσεν στον Ορνά δια τον τόπον αυτόν εξακοσίους χρυσούς σίκλους ζυγισμένους.

Α Παραλ. 21,26 - καὶ ᾠκοδόμησεν ἐκεῖ Δαυὶδ θυσιαστήριον Κυρίῳ καὶ ἀνήνεγκεν ὁλοκαυτώματα καὶ σωτηρίου· καὶ ἐβόησε πρὸς Κύριον, καὶ ἐπήκουσεν αὐτῷ ἐν πυρὶ ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως καὶ κατηνάλωσε τὴν ὁλοκαύτωσιν.

Α Παραλ. 21,26 - Οικοδόμησεν εκεί ο Δαυίδ θυσιαστήριον προς τιμήν του Κυρίου και προσέφερε θυσίαν ολοκαυτωμάτων και θυσίας σωτηρίου, και εβόησε με θερμήν την πίστιν προς τον Κυριον. Ο δε Κυριος ήκουσε την προσευχήν αυτού και έστειλεν από τον ουρανόν πυρ επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων και έκαυσε τα ολοκαυτώματα αυτά.

Α Παραλ. 21,27 - καὶ εἶπε Κύριος πρὸς τὸν ἄγγελον, καὶ κατέθηκε τὴν ῥομφαίαν εἰς τὸν κολεὸν αὐτῆς.

Α Παραλ. 21,27 - Διέταξε κατόπιν ο Κυριος τον εξοθρευτήν άγγελον και επανέθεσε την ρομφαίαν του εις την θήκην της.

Α Παραλ. 21,28 - ἐν τῷ καιρῷ ἐκείνῳ ἐν τῷ ἰδεῖν τὸν Δαυὶδ ὅτι ἐπήκουσεν αὐτῷ Κύριος ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου, καὶ ἐθυσίασεν ἐκεῖ.

Α Παραλ. 21,28 - Κατά τον καιρόν εκείνον, όταν ο Δαυίδ είδεν ότι ο Κυριος ήκουσε την προσευχήν του στο αλώνι του Ορνά του Ιεβουσαίου, προσέφερεν εκεί και άλλας θυσίας.

Α Παραλ. 21,29 - καὶ σκηνὴ Κυρίου, ἣν ἐποίησε Μωυσῆς ἐν τῇ ἐρήμῳ, καὶ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων ἐν τῷ καιρῷ ἐκείνῳ ἐν Βαμὰ ἐν Γαβαών·

Α Παραλ. 21,29 - Κατά την εποχήν εκείνην η Σκηνή του Κυρίου, την οποίαν είχε κατασκευάσει ο Μωυσής εις την έρημον, όπως και το θυσιαστήριον των ολοκαυτωμάτων, ευρίσκοντο εις ένα υψωμα της πόλεως Γαβαών.

Α Παραλ. 21,30 - καὶ οὐκ ἐδύνατο Δαυὶδ τοῦ πορευθῆναι ἔμπροσθεν αὐτοῦ τοῦ ζητῆσαι τὸν Θεόν, ὅτι οὐ κατέσπευσεν ἀπὸ προσώπου τῆς ῥομφαίας ἀγγέλου Κυρίου.

Α Παραλ. 21,30 - Ο Δαυίδ δεν ημπορούσε να μεταβή στο μέρος τούτο, όπου ευρίσκετο η Σκηνή, δια να ζητήση με θυσίας το έλεος του Κυρίου, διότι εφοβείτο την απειλητικήν ρομφαίαν του Θεού.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 22

Α Παραλ. 22,1 - Καὶ εἶπε Δαυίδ· οὗτός ἐστιν ὁ οἶκος Κυρίου τοῦ Θεοῦ καὶ τοῦτο τὸ θυσιαστήριον εἰς ὁλοκαύτωσιν τῷ Ἰσραήλ.

Α Παραλ. 22,1 - Επειτα από τα γεγονότα αυτά ο Δαυίδ είπεν· “αυτός είναι ο τόπος στο αλώνι του Ορνά, όπου θα ανοικοδομηθή ο οίκος του Θεού, και εδώ θα είναι το θυσιαστήριον των ολοκαυτωμάτων δια τον ισραηλιτικόν λαόν”.

Α Παραλ. 22,2 - καὶ εἶπε Δαυὶδ συναγαγεῖν πάντας τοὺς προσηλύτους τοὺς ἐν γῇ Ἰσραὴλ καὶ κατέστησε λατόμους λατομῆσαι λίθους ξυστοὺς τοῦ οἰκοδομῆσαι οἶκον τῷ Θεῷ.

Α Παραλ. 22,2 - Ο Δαυίδ διέταξε να συγκεντρωθούν όλοι οι ξένοι, που ευρίσκοντο εις την ισραηλιτικήν χώραν. Ωρισε δε αυτούς ως λατόμους, δια να λαξεύσουν τους λίθους, να τους κάμουν λαξευτούς, ώστε να οικοδομήσουν με αυτούς τον ναόν του Θεού.

Α Παραλ. 22,3 - καὶ σίδηρον πολὺν εἰς τοὺς ἥλους τῶν θυρωμάτων καὶ τῶν πυλῶν καὶ τοὺς στροφεῖς ἡτοίμασε Δαυὶδ καὶ χαλκὸν εἰς πλῆθος, οὐκ ἦν σταθμός·

Α Παραλ. 22,3 - Ο Δαυίδ συνεκέντρωσε και ετοίμασεν επίσης πολύν σίδηρον δια καρφιά των θυροφύλλων και των θυρών και δια τους στρόφιγγας των θυρών. Συνεκέντρωσεν επίσης και ανυπολόγιστον πλήθος χαλκού.

Α Παραλ. 22,4 - καὶ ξύλα κέδρινα, οὐκ ἦν ἀριθμός, ὅτι ἐφέροσαν οἱ Σιδώνιοι καὶ οἱ Τύριοι ξύλα κέδρινα εἰς πλῆθος τῷ Δαυίδ.

Α Παραλ. 22,4 - Ετοίμασε ξύλα από κέδρον τόσα, ώστε ήτο αδύνατον να αριθμηθούν. Ησαν δε αυτά τόσον πολλά, διότι οι Σιδώνιοι και οι Τυριοι έφεραν στον Δαβίδ πολλά κέδρινα ξύλα από τα πλούσια δάση των περιοχών των.

Α Παραλ. 22,5 - καὶ εἶπε Δαυίδ· Σαλωμὼν ὁ υἱός μου παιδάριον ἁπαλόν, καὶ ὁ οἶκος τοῦ οἰκοδομῆσαι τῷ Κυρίῳ εἰς μεγαλωσύνην ἄνω, εἰς ὄνομα καὶ εἰς δόξαν εἰς πᾶσαν τὴν γῆν ἑτοιμάσω αὐτῷ· καὶ ἡτοίμασε Δαυὶδ εἰς πλῆθος ἔμπροσθεν τῆς τελευτῆς αὐτοῦ.

Α Παραλ. 22,5 - Ο Δαυίδ είπεν· “ο υιός μου ο Σολομών είναι μικρό και τρυφερό παιδί, ο δε Ναός, τον οποίον θα ανοικοδομήση προς δόξαν του Κυρίου, θα είναι εξαιρετικά μεγαλοπρεπής. Δια τον Ναόν αυτόν, εξ αιτίας του οποίου θα αποκτήση αυτός όνομα, και δόξαν εις όλην την γην, θα ετοιμάσω εγώ πλούσια τα υλικά”. Πράγματι ο Δαυίδ ητοίμασε πλήθος υλικών δια τον Ναόν, πριν αποθάνη.

Α Παραλ. 22,6 - καὶ ἐκάλεσε Σαλωμὼν τὸν υἱὸν αὐτοῦ καὶ ἐνετείλατο αὐτῷ τοῦ οἰκοδομῆσαι τὸν οἶκον τῷ Κυρίῳ Θεῷ Ἰσραήλ.

Α Παραλ. 22,6 - Ο Δαυίδ εκάλεσε τον υιόν του τον Σολομώντα και του έδωσε την εντολήν να οικοδομήση αυτός τον Ναόν Κυρίου του Θεού του Ισραηλιτικού λαού.

Α Παραλ. 22,7 - καὶ εἶπε Δαυὶδ Σαλωμών· τέκνον, ἐμοὶ ἐγένετο ἐπὶ ψυχῇ τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ.

Α Παραλ. 22,7 - Και είπεν ο Δαυίδ προς τον Σολομώντα· “τέκνον, εις την καρδίαν μου εγενήθη σφόδρα η επιθυμία μου, να οικοδομήσω Ναόν προς δόξαν του ονόματος Κυρίου του Θεού.

Α Παραλ. 22,8 - καὶ ἐγένετό μοι λόγος Κυρίου λέγων· αἷμα εἰς πλῆθος ἐξέχεας καὶ πολέμους μεγάλους ἐποίησας· οὐκ οἰκοδομήσεις οἶκον τῷ ὀνόματί μου, ὅτι αἵματα πολλὰ ἐξέχεας ἐπὶ τὴν γῆν ἐναντίον μου.

Α Παραλ. 22,8 - Ο Κυριος όμως ωμίλησε προς εμέ και μου είπε· Συ έχυσες αίμα ανθρώπων και έκαμες μεγάλους πολέμους. Επειδή, λοιπόν, πολλά αίματα έχυσες εις την γην ενώπιόν μου, δεν θα ανοικοδομήσης συ τον Ναόν εις δόξαν του Ονόματός μου.

Α Παραλ. 22,9 - ἰδοὺ υἱὸς τίκτεταί σοι, οὗτος ἔσται ἀνὴρ ἀναπαύσεως, καὶ ἀναπαύσω αὐτὸν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κυκλόθεν, ὅτι

Σαλωμὼν ὄνομα αὐτῷ, καὶ εἰρήνην καὶ ἡσυχίαν δώσω ἐπὶ Ἰσραὴλ ἐν ταῖς ἡμέραις αὐτοῦ.

Α Παραλ. 22,9 - Ιδού όμως ότι θα γεννηθή από σένα υιός. Αυτός θα είναι ειρηνικός, εγώ δε θα καταστήσω αυτόν και την ζωήν του ειρηνικήν και απερίσπαστον από όλους τους κύκλω αυτού εχθρούς του, διότι και το όνομά του είναι Σολομών, ειρήνην δε και ησυχίαν θα δώσω εγώ στον Ισραηλιτικον λαόν καθ' όλον το διάστημα της ζωής αυτού.

Α Παραλ. 22,10 - οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, καὶ οὗτος ἔσται μοι εἰς υἱὸν κἀγὼ αὐτῷ εἰς πατέρα, καὶ ἀνορθώσω θρόνον βασιλείας αὐτοῦ ἐν Ἰσραὴλ ἕως αἰῶνος.

Α Παραλ. 22,10 - Αυτός θα ανοικοδομήση Ναόν εις δόξαν του Ονόματός μου· αυτός θα είναι εις εμέ υιός και εγώ θα είμαι δι' αυτόν πατήρ. Εγώ αιώνιον θα ανορθώσω και θα στερεώσω τον θρόνον του στον ισραηλιτικόν λαόν.

Α Παραλ. 22,11 - καὶ νῦν, υἱέ μου, ἔσται μετὰ σοῦ Κύριος, καὶ εὐοδώσει, καὶ οἰκοδομήσεις οἶκον τῷ Κυρίῳ Θεῷ σου, ὡς ἐλάλησε περὶ σοῦ.

Α Παραλ. 22,11 - Και τώρα, παιδί μου, ο Κυριος θα είναι πάντοτε μαζή σου. Θα ευλογήση και θα κατευοδώση όλας τας προσπαθείας σου και συ θα ανοικοδομήσης Ναόν εις δόξαν Κυρίου του Θεού σου, όπως ο Θεός μίλησε εις εμέ περί σου.

Α Παραλ. 22,12 - ἀλλ᾿ ἢ δῴη σοι σοφίαν καὶ σύνεσιν Κύριος καὶ κατισχύσαι σε ἐπὶ Ἰσραὴλ καὶ τοῦ φυλάσσεσθαι καὶ τοῦ ποιεῖν τὸν νόμον Κυρίου τοῦ Θεοῦ σου.

Α Παραλ. 22,12 - Αλλ' εύχομαι να σου δώση ο Κυριος σοφίαν και σύνεσιν, να σε βοηθήση, ώστε να αναδειχθής ισχυρός ηγέτης του ισραηλιτικού λαού, προσέχων και συ να τηρής και να εφαρμόζης τον νόμον Κυρίου του Θεού σου.

Α Παραλ. 22,13 - τότε εὐοδώσει, ἐὰν φυλάξῃς τοῦ ποιεῖν τὰ προστάγματα καὶ τὰ κρίματα, ἃ ἐνετείλατο Κύριος τῷ Μωυσῇ ἐπὶ Ἰσραήλ· ἀνδρίζου καὶ ἴσχυε, μὴ φοβοῦ μηδὲ πτοηθῇς.

Α Παραλ. 22,13 - Τοτε θα κατευοδωθής εις την ζωήν σου, εάν προσέξης και προσπαθής να τηρής όλα τα προστάγματα και όλας τας εντολάς, τας οποίας δια μέσου του Μωϋσέως έδωσεν ο Κυριος προς τον ισραηλιτικόν λαόν. Να είσαι, λοιπόν, ανδρείος και θαρραλέος· μη φοβηθής ούτε να πτοηθής ποτέ.

Α Παραλ. 22,14 - καὶ ἰδοὺ ἐγὼ κατὰ τὴν πτωχείαν μου ἡτοίμασα εἰς οἶκον Κυρίου χρυσίου ταλάντων ἑκατὸν χιλιάδας καὶ ἀργυρίου ταλάντων χιλίας χιλιάδας καὶ χαλκὸν καὶ σίδηρον, οὗ οὐκ ἔστι σταθμός, ὅτι εἰς πλῆθός ἐστι· καὶ ξύλα καὶ λίθους ἡτοίμασα, καὶ πρὸς ταῦτα πρόσθες.

Α Παραλ. 22,14 - Ιδού εγώ με όλας τας πτωχάς μου δυνάμεις προητοίμασα, όσα θα χρειασθούν δια τον οίκον του Κυρίου· εκατόν χιλιάδες τάλαντα χρυσίου, ένα εκατομμύριον τάλαντα αργυρίου, χαλκόν και σίδηρον αναρίθμητον, διότι είναι πάρα πολύ το πλήθος. Πρόσθεσε εις αυτά τα ξύλα και τους λίθους, τους οποίους έχω ετοιμάσει.

Α Παραλ. 22,15 - καὶ μετὰ σοῦ εἰς πλῆθος ποιούντων ἔργα, τεχνῖται καὶ οἰκοδόμοι λίθων καὶ τέκτονες ξύλων καὶ πᾶς σοφὸς ἐν παντὶ ἔργῳ,

Α Παραλ. 22,15 - Υπάρχουν επίσης μαζή σου και εις την υπηρεσίαν σου πλήθος από εργάτας, από τεχνίτας και οικοδόμους και ξυλουργούς, όπως και κάθε ικανός προς παν έργον εξυπηρετικόν του Ναού.

Α Παραλ. 22,16 - ἐν χρυσίῳ καὶ ἀργυρίῳ, ἐν χαλκῷ καὶ ἐν σιδήρῳ οὐκ ἔστιν ἀριθμός. ἀνάστηθι καὶ ποίει, καὶ Κύριος μετὰ σοῦ.

Α Παραλ. 22,16 - Ο δε χρυσός, ο άργυρος, ο χαλκός και ο σίδηρος είναι τόσον πολύς, ώστε δεν είναι εύκολον να αριθμηθή. Εμπρός, λοιπόν, προχώρει στο έργον σου και ο Κυριος θα είναι μαζή σου”.

Α Παραλ. 22,17 - καὶ ἐνετείλατο Δαυὶδ τοῖς πᾶσιν ἄρχουσιν Ἰσραὴλ ἀντιλαβέσθαι τῷ Σαλωμὼν υἱῷ αὐτοῦ·

Α Παραλ. 22,17 - Εν συνεχεία διέταξεν ο Δαυίδ και όλους τους άρχοντας του ισραηλιτικού λαού να βοηθήσουν τον υιόν του τον Σολομώντα στο έργον τούτο. Είπε δε προς αυτούς·

Α Παραλ. 22,18 - οὐχὶ Κύριος μεθ᾿ ὑμῶν; καὶ ἀνέπαυσεν ὑμᾶς κυκλόθεν, ὅτι ἔδωκεν ἐν χερσὶν ὑμῶν τοὺς κατοικοῦντας τὴν γῆν, καὶ ὑπετάγη ἡ γῆ ἐναντίον Κυρίου καὶ ἐναντίον λαοῦ αὐτοῦ.

Α Παραλ. 22,18 - “δεν είναι ο Κυριος μαζή σας; Ασφαλώς είναι, διότι σας έχει αναπαύσει και απαλλάξει από τους γύρω εχθρούς σας, αφού παρέδωκεν εις τα χέρια σας τους κατοίκους των γύρω περιοχών και τοιουτοτρόπως η χώρα έχει υποταχθή ενώπιον του Κυρίου και ενώπιον του λαού αυτού.

Α Παραλ. 22,19 - νῦν δότε καρδίας ὑμῶν καὶ ψυχὰς ὑμῶν τοῦ ζητῆσαι τῷ Κυρίῳ Θεῷ ὑμῶν καὶ ἐγέρθητε καὶ οἰκοδομήσατε ἁγίασμα τῷ Θεῷ ὑμῶν τοῦ εἰσενέγκαι τὴν κιβωτὸν διαθήκης Κυρίου καὶ σκεύη τὰ ἅγια τοῦ Θεοῦ εἰς οἶκον τὸν οἰκοδομούμενον τῷ ὀνόματι Κυρίου.

Α Παραλ. 22,19 - Και τώρα διαθέσατε και σεις τας καρδίας σας και τας ψυχάς σας ευλαβώς, δια να αναζητήσουν Κυριον τον Θεόν σας και ευαρεστήσουν εις αυτόν. Ετοιμασθήτε και ανοικοδομήσατε τον ναόν του Θεού σας, ώστε να μεταφερθή η Κιβωτός της Διαθήκης του Κυρίου και τα άγια σκεύη του Θεού στον ιερόν Ναόν, ο οποίος θα ανοικοδομηθή εις δόξαν και τιμήν του Κυρίου.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 23

Α Παραλ. 23,1 - Καὶ Δαυὶδ πρεσβύτης καὶ πλήρης ἡμερῶν καὶ ἐβασίλευσε Σαλωμὼν τὸν υἱὸν αὐτοῦ ἀντ᾿ αὐτοῦ ἐπὶ Ἰσραήλ.

Α Παραλ. 23,1 - Ο Δαυίδ, γέρων πλέον και πλήρης ημερών, ανεκήρυξεν ως διάδοχόν του και βασιλέα του ισραηλιτικού λαού τον υιόν του, τον Σολομώντα.

Α Παραλ. 23,2 - καὶ συνήγαγε τοὺς πάντας ἄρχοντας Ἰσραὴλ καὶ τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας.

Α Παραλ. 23,2 - Συνήθροισε δε όλους τους άρχοντας του Ισραήλ και όλους τους ιερείς και τους Λευίτας.

Α Παραλ. 23,3 - καὶ ἠρίθμησαν οἱ Λευῖται ἀπὸ τριακονταετοῦς καὶ ἐπάνω, καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφαλὴν αὐτῶν εἰς ἄνδρας τριάκοντα καὶ ὀκτὼ χιλιάδας.

Α Παραλ. 23,3 - Εγινεν αρίθμησις των Λευιτών από τριάκοντα ετών και άνω, και ανήλθεν ο αριθμός αυτών εις τριάκοντα οκτώ χιλιάδας.

Α Παραλ. 23,4 - ἀπὸ τῶν ἐργοδιωκτῶν ἐπὶ τὰ ἔργα οἴκου Κυρίου εἰκοσιτέσσαρες χιλιάδες καὶ γραμματεῖς καὶ κριταὶ ἑξακισχίλιοι

Α Παραλ. 23,4 - Από αυτούς οι επιβλέποντες εις τα έργα της ανοικοδομήσεως του οίκου του Κυρίου ήσαν εικοσιτέσσαρες χιλιάδες, οι δε γραμματείς και οι δικασταί ήσαν εξ χιλιάδες.

Α Παραλ. 23,5 - καὶ τέσσαρες χιλιάδες πυλωροὶ καὶ τέσσαρες χιλιάδες αἰνοῦντες τῷ Κυρίῳ ἐν ὀργάνοις, οἷς ἐποίησε τοῦ αἰνεῖν τῷ Κυρίῳ.

Α Παραλ. 23,5 - Τέσσαρες χιλιάδες ήσαν θυρωροί και άλλαι τέσσαρες χιλιάδες ήσαν οι ψάλλοντες εις δόξαν του Κυρίου μουσικοί, οι οποίοι έπαιζαν όργανα, που είχε κατασκευάσει ο Δαυίδ, δια να υμνήται ο Κυριος.

Α Παραλ. 23,6 - καὶ διεῖλεν αὐτοὺς Δαυὶδ ἐφημερίας τοῖς υἱοῖς Λευί, τῷ Γεδσών, Καὰθ καὶ Μεραρί.

Α Παραλ. 23,6 - Διήρεσεν ο Δαυίδ τους Λευίτας εις τάξεις κατά τον αριθμόν των πατριών των υιών του Λευι, του Γεδσών, του Καάθ και του Μεραρί.

Α Παραλ. 23,7 - καὶ τῷ Γεδσών· Ἐδὰν καὶ Σεμεΐ.

Α Παραλ. 23,7 - Εις τον Γεδσών υπήρχαν οι ιερείς Εδάν και Σεμεΐ.

Α Παραλ. 23,8 - υἱοὶ τῷ Ἐδάν· ἄρχων Ἰεϊὴλ καὶ Ζηθὰν καὶ Ἰωήλ, τρεῖς.

Α Παραλ. 23,8 - Υιοί του Εδάν ήσαν ο άρχων Ιεϊήλ, ο Ζηθάν και ο Ιωήλ, εν όλω τρεις.

Α Παραλ. 23,9 - υἱοὶ Σεμεΐ· Σαλωμίθ, Ἰεϊὴλ καὶ Δάν, τρεῖς. οὗτοι ἄρχοντες πατριῶν τῶν Ἐδάν.

Α Παραλ. 23,9 - Υιοί του Σεμεΐ ήσαν ο Σαλωμίθ, ο Ιεϊήλ και ο Δαν, τρεις εν όλω. Αυτοί ήσαν αρχηγοί των πατριαρχικών οικογενειών του Εδάν.

Α Παραλ. 23,10 - καὶ τοῖς υἱοῖς Σεμεΐ· Ἰὲθ καὶ Ζιζὰ καὶ Ἰωὰς καὶ Βεριά· οὗτοι υἱοὶ Σεμεΐ τέσσαρες.

Α Παραλ. 23,10 - Μεταξύ των υιών του Σεμεΐ κατατάσσονται και ο Ιέθ, ο Ζιζά, ο Ιωάς και ο Βεριά. Αυτοί είναι απόγονοι επίσης του Σεμεΐ τέσσαρες εν όλω.

Α Παραλ. 23,11 - καὶ ἦν Ἰὲθ ὁ ἄρχων καὶ Ζιζὰ ὁ δεύτερος· καὶ Ἰωὰς καὶ Βεριὰ οὐκ ἐπλήθυναν υἱοὺς καὶ ἐγένοντο εἰς οἶκον πατριᾶς εἰς ἐπίσκεψιν μίαν.

Α Παραλ. 23,11 - Ο Ιέθ ήτο αρχηγός, ο Ζιζά ο δεύτερος αρχηγός, ο δε Ιωάς και Βεριά δεν απέκτησαν υιούς, αλλά συναπετέλεσαν με τους άλλους ένα πατριαρχικόν οίκον, μίαν τάξιν.

Α Παραλ. 23,12 - υἱοὶ Καάθ· Ἀμβράμ, Ἰσαάρ, Χεβρών, Ὀζιήλ, τέσσαρες.

Α Παραλ. 23,12 - Υιοί του Καάθ ήσαν ο Αμβράμ, ο Ισαάρ, ο Χεδρών, ο Οζιήλ, τέσσαρες εν όλω.

Α Παραλ. 23,13 - υἱοὶ Ἀμβράμ, Ἀαρὼν καὶ Μωυσῆς. καὶ διεστάλη Ἀαρὼν τοῦ ἁγιασθῆναι ἅγια ἁγίων, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἕως αἰῶνος, τοῦ θυμιᾶν ἐναντίον τοῦ Κυρίου, λειτουργεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἕως αἰῶνος.

Α Παραλ. 23,13 - Υιοί του Αμβράμ ήσαν ο Ααρών και ο Μωϋσής. Ο Ααρών είχε ξεχωρισθή και ορισθή από τον Θεόν, να προσφέρη θυσίας εις τα Αγια των Αγίων αυτός και οι απόγονοί του πάντοτε· να προσφέρουν θυμίαμα ενώπιον της Σκηνής του Μαρτυρίου, να υπηρετούν μέσα εις αυτήν και να εύχωνται επί τω ονόματι του Θεού πάντοτε.

Α Παραλ. 23,14 - καὶ Μωυσῆς ἄνθρωπος τοῦ Θεοῦ, υἱοὶ αὐτοῦ ἐκλήθησαν εἰς φυλὴν τοῦ Λευί.

Α Παραλ. 23,14 - Ο Μωϋσής, ο άνθρωπος αυτός του Θεού, είχεν υιούς, οι οποίοι κατετάχθησαν εις την φυλήν Λευι, όχι ως ιερείς αλλ' ως απλοί Λευίται.

Α Παραλ. 23,15 - υἱοὶ Μωυσῆ· Γηρσὰμ καὶ Ἐλιέζερ.

Α Παραλ. 23,15 - Υιοί του Μωϋσέως ήσαν ο Γηρσάμ και ο Ελιέζερ.

Α Παραλ. 23,16 - υἱοὶ Γηρσάμ· Σουβαὴλ ὁ ἄρχων.

Α Παραλ. 23,16 - Υιός του Γηρσάμ ήτο ο Σουβαήλ, ο αρχηγός.

Α Παραλ. 23,17 - καὶ ἦσαν υἱοὶ τῷ Ἐλιέζερ· Ῥαβιὰ ὁ ἄρχων· καὶ οὐκ ἦσαν τῷ Ἐλιέζερ υἱοὶ ἕτεροι. καὶ υἱοὶ Ῥαβιὰ ηὐξήθησαν εἰς ὕψος.

Α Παραλ. 23,17 - Ο Ελιέζερ είχεν ένα μόνον υιόν, τον άρχοντα Ραβιά. Δεν υπήρχον άλλα παιδιά στον Ελιέζερ. Οι υιοί του Ραβιά ηυξήθησαν πάρα πολύ.

Α Παραλ. 23,18 - υἱοὶ Ἰσαάρ· Σαλωμὼθ ὁ ἄρχων.

Α Παραλ. 23,18 - Υιός του Ισαάρ ήτο εις, ο άρχων Σαλωμώθ.

Α Παραλ. 23,19 - υἱοὶ Χεβρών· Ἱεριὰ ὁ ἄρχων, Ἀμαδιὰ ὁ δεύτερος, Ἱεζιὴλ ὁ τρίτος, Ἰεκεμίας ὁ τέταρτος.
Α Παραλ. 23,19 - Υιοί του Χεβρών ίσον ο άρχων Ιεριά, ο δευτερεύων Αμαδιά, ο τρίτος κατά σειράν Ιεζιήλ, ο τέταρτος Ιεκεμίας.
Α Παραλ. 23,20 - υἱοὶ Ὀζιήλ· Μιχὰ ὁ ἄρχων καὶ Ἰσιὰ ὁ δεύτερος.
Α Παραλ. 23,20 - Υιοί του Οζιήλ ήσαν ο άρχων Μιχά και ο μετ' αυτόν δεύτερος Ισιά.
Α Παραλ. 23,21 - υἱοὶ Μεραρί· Μοολὶ καὶ Μουσί. υἱοὶ Μοολί· Ἐλεάζαρ καὶ Κίς.
Α Παραλ. 23,21 - Υιοί του Μεραρί ήσαν ο Μοολί και ο Μουσί. Υιοί δε του Μοολί ήσαν ο Ελεάζαρ και ο Κις.
Α Παραλ. 23,22 - καὶ ἀπέθανεν Ἐλεάζαρ, καὶ οὐκ ἦσαν αὐτῷ υἱοί, ἀλλ᾿ ἢ θυγατέρες, καὶ ἔλαβον αὐτὰς υἱοὶ Κὶς ἀδελφοὶ αὐτῶν.
Α Παραλ. 23,22 - Οταν δε απέθανεν ο Ελεάζαρ δεν είχεν άρρενα τέκνα. Είχε μόνον θυγατέρας. Αυτάς επήραν ως συζύγους οι υιοί του Κις, οι εξάδελφοί των.
Α Παραλ. 23,23 - υἱοὶ Μουσί· Μοολὶ καὶ Ἐδὲρ καὶ Ἰαριμώθ, τρεῖς.
Α Παραλ. 23,23 - Οι υιοί του Μουσί ήσαν ο Μοολί, ο Εδέρ και ο Ιαριμώθ, τρεις εν όλω.
Α Παραλ. 23,24 - οὗτοι υἱοὶ Λευὶ κατ᾿ οἴκους πατριῶν αὐτῶν, ἄρχοντες τῶν πατριῶν αὐτῶν κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, κατὰ τὸν ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, ποιοῦντες τὰ ἔργα λειτουργίας οἴκου Κυρίου ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω.
Α Παραλ. 23,24 - Αυτοί είναι οι απόγονοι του Λευι, οι οποίοι απετέλεσαν πατριαρχικάς οικογενείας, άρχοντες των πατριαρχικών αυτών οικογενειών, σύμφωνα με την υπό του Δαυίδ γενομένην ταξινόμησίν των, κατά τον αριθμόν των ονομάτων αυτών. Αυτοί, λοιπόν, από ηλικίας είκοσιν ετών και άνω ωρίσθησαν να εκτελούν έργα εις υπηρεσίαν του ναού του Κυρίου.
Α Παραλ. 23,25 - ὅτι εἶπε Δαυίδ· κατέπαυσε Κύριος ὁ Θεὸς Ἰσραὴλ τῷ λαῷ αὐτοῦ καὶ κατεσκήνωσεν ἐν Ἱερουσαλὴμ ἕως αἰῶνος.
Α Παραλ. 23,25 - Διότι είπεν ο Δαυίδ· “ο Κυριος ο Θεός του Ισραήλ έδωκεν ανάπαυσιν στον λαόν του και εγκατέστησεν αυτόν μόνιμον κάτοικον εις την Ιερουσαλήμ δια παντός”.
Α Παραλ. 23,26 - καὶ οἱ Λευῖται οὐκ ἦσαν αἴροντες τὴν σκηνὴν καὶ τὰ πάντα σκεύη αὐτῆς εἰς τὴν λειτουργίαν αὐτῆς·
Α Παραλ. 23,26 - Αυτοί δε οι Λευίται δεν θα είχαν πλέον την υποχρέωσιν να μεταφέρουν την Σκηνήν του Μαρτυρίου και τα δια την υπηρεσίαν αυτής ιερά σκεύη, αφού είχεν ήδη γίνει μόνιμος εγκατάστασις εις Ιερουσαλήμ.
Α Παραλ. 23,27 - ὅτι ἐν τοῖς λόγοις Δαυὶδ τοῖς ἐσχάτοις ἐστὶν ὁ ἀριθμὸς υἱῶν Λευὶ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω·

Α Παραλ. 23,27 - Η αρίθμησις δε και ο καθορισμός της ηλικίας των Λευιτών από εικοσαετούς και άνω έγινε κατόπιν τελευταίας εντολής του Δαυίδ.

Α Παραλ. 23,28 - ὅτι ἔστησεν αὐτοὺς ἐπὶ χειρὶ Ἀαρὼν τοῦ λειτουργεῖν ἐν οἴκῳ Κυρίου ἐπὶ τὰς αὐλὰς καὶ ἐπὶ τὰ παστοφόρια καὶ ἐπὶ τὸν καθαρισμὸν τῶν πάντων ἁγίων καὶ ἐπὶ τὰ ἔργα λειτουργίας οἴκου τοῦ Θεοῦ

Α Παραλ. 23,28 - Ο Δαυίδ έθεσεν αυτούς υπό την διεύθυνσιν των απογόνων του Ααρών, δια να υπηρετούν στον ναόν του Κυρίου, δηλαδή εις τας αυλάς αυτού του ναού, εις τα διάφορα διαμερίσματα, να επιβλέπουν τον καθαρισμόν όλων των ιερών σκευών, να βοηθούν εις τα έργα, τα οποία αναφέρονται προς εξυπηρέτησιν του ναού του Θεού.

Α Παραλ. 23,29 - καὶ εἰς τοὺς ἄρτους τῆς προθέσεως καὶ εἰς τὴν σεμίδαλιν τῆς θυσίας καὶ εἰς τὰ λάγανα τὰ ἄζυμα καὶ εἰς τήγανον καὶ εἰς τὴν πεφυραμένην καὶ εἰς πᾶν μέτρον

Α Παραλ. 23,29 - Να βοηθούν τους ιερείς εις την κατασκευήν των άρτων της προθέσεως, εις την προσφοράν της θυσίας της σεμιδάλεως, εις τα λαγάνα και τα άζυμα, εις τας θυσίας, που ητοιμάζοντο με το τηγάνι, εις τας προσφοράς τας αναμεμιγμένας με έλαιον, όπως επίσης δια κάθε μέτρον βάρους και μέτρον μήκους.

Α Παραλ. 23,30 - καὶ τοῦ στῆναι πρωΐ τοῦ αἰνεῖν καὶ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ οὕτω τὸ ἑσπέρας

Α Παραλ. 23,30 - Αυτοί είχαν επίσης ως υπηρεσίαν των να ίστανται το πρωϊ, δια να ψάλλουν ύμνους και ευχαριστίας προς τον Κυριον, όπως επίσης και κατά την εσπέραν.

Α Παραλ. 23,31 - καὶ ἐπὶ πάντων τῶν ἀναφερομένων ὁλοκαυτωμάτων τῷ Κυρίῳ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις καὶ ἐν ταῖς ἑορταῖς, κατὰ ἀριθμόν, κατὰ τὴν κρίσιν ἐπ᾿ αὐτοῖς διαπαντὸς τῷ Κυρίῳ.

Α Παραλ. 23,31 - Είχον ακόμη καθήκον να βοηθούν τους ιερείς εις όλα τα προσφερόμενα προς τον Κυριον ολοκαυτώματα κατά τα Σαββατα, κατά την πρώτην εκάστου μηνός και γενικώς εις όλας τας εορτάς αναλόγως του αριθμού των θυσιών, που ο Νομος επέβαλλε να προσφέρωνται αυταί δια παντός προς τον Κυριον.

Α Παραλ. 23,32 - καὶ φυλάξουσι τὰς φυλακὰς σκηνῆς τοῦ μαρτυρίου καὶ τὴν φυλακὴν τοῦ ἁγίου καὶ τὰς φυλακὰς υἱῶν Ἀαρὼν ἀδελφῶν αὐτῶν τοῦ λειτουργεῖν ἐν οἴκῳ Κυρίου.

Α Παραλ. 23,32 - Ακόμη δε είχαν την υποχρέωσιν να φροντίζουν δια την Σκηνήν του Μαρτυρίου, δια τον άγιον τόπον, δια τους υιούς του Ααρών και τους αδελφούς αυτών να τους βοηθούν κατά τας υπηρεσίας των στον ναόν του Κυρίου.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 24

Α Παραλ. 24,1 - Καὶ τοῖς υἱοῖς Ἀαρὼν διαιρέσεις· Ναδὰβ καὶ Ἀβιοὺδ καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ.

Α Παραλ. 24,1 - Οι υιοί του Ααρών είχον διαιρεθή εις τέσσαρας τάξεις κατά τον αριθμόν των υιών του, του Ναδάβ, του Αβιούδ, του Ελεάζαρ και του Ιθάμαρ.

Α Παραλ. 24,2 - καὶ ἀπέθανε Ναδὰβ καὶ Ἀβιοὺδ ἐναντίον τοῦ πατρὸς αὐτῶν, καὶ υἱοὶ οὐκ ἦσαν αὐτοῖς· καὶ ἱεράτευσεν Ἐλεάζαρ καὶ Ἰθάμαρ υἱοὶ Ἀαρών.

Α Παραλ. 24,2 - Ο Ναδάβ και ο Αβιούδ απέθανον, ενώ ακόμη εζούσεν ο πατέρας των. Αυτοί δεν είχον αποκτήσει υιούς, και η ιερατεία περιήλθεν στους δύο άλλους υιούς του Ααρών, τον Ελεάζαρ και τον Ιθάμαρ.

Α Παραλ. 24,3 - καὶ διεῖλεν αὐτοὺς Δαυὶδ καὶ Σαδὼκ ἐκ τῶν υἱῶν Ἐλεάζαρ καὶ Ἀχιμέλεχ ἐκ τῶν υἱῶν Ἰθάμαρ κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, κατὰ τὴν λειτουργίαν αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν.

Α Παραλ. 24,3 - Ετσι δε ο Δαυίδ βοηθούμενος και από τον Σαδώκ, εκ των απογόνων του Ελεάζαρ, και από τον Αχιμέλεχ, εκ των απογόνων του Ιθάμαρ, διήρεσεν αυτούς εις τάξεις αναλόγως της υπηρεσίας των και των οικογενειών, εις τας οποίας αυτοί ανήκον.

Α Παραλ. 24,4 - καὶ εὑρέθησαν οἱ υἱοὶ Ἐλεάζαρ πλείους εἰς ἄρχοντας τῶν δυνατῶν παρὰ τοὺς υἱοὺς Ἰθάμαρ, καὶ διεῖλεν αὐτούς, τοῖς υἱοῖς Ἐλεάζαρ ἄρχοντας εἰς οἴκους πατριῶν ἑκκαίδεκα, καὶ τοῖς υἱοῖς Ἰθάμαρ κατ᾿ οἴκους πατριῶν ὀκτώ.

Α Παραλ. 24,4 - Κατά δε την γενομένην αρίθμησιν ευρέθησαν μεταξύ των υιών του Ελεάζαρ περισσότεροι οι άρχοντες παρά μεταξύ των υιών του Ιθάμαρ. Διήρεσε δε αυτούς ο Δαυίδ και ώρισε δια τους απογόνους του Ελεάζαρ δεκαέξ αρχηγούς οικογενειών, και δια τους απογόνους του Ιθάμαρ οκτώ πατριαρχικάς οικογενείας.

Α Παραλ. 24,5 - καὶ διεῖλεν αὐτοὺς κατὰ κλήρους τούτους πρὸς τούτους, ὅτι ἦσαν ἄρχοντες τῶν ἁγίων καὶ ἄρχοντες Κυρίου ἐν τοῖς υἱοῖς Ἐλεάζαρ καὶ ἐν τοῖς υἱοῖς Ἰθάμαρ.

Α Παραλ. 24,5 - Διήρεσε κατόπιν αυτούς με κλήρους, τους οποίους έθεσε και δια τους μεν και δια τους δέ, διότι αυτοί, οι καταγόμενοι από τας δύο πατριαρχικάς οικογενείας, ήσαν αρχηγοί του θυσιαστηρίου και γενικώς άρχοντες στον οίκον του Κυρίου, τόσον μεταξύ των υιών του Ελεάζαρ, όσον επίσης και μεταξύ των υιών του Ιθάμαρ.

Α Παραλ. 24,6 - καὶ ἔγραψεν αὐτοὺς Σαμαΐας υἱὸς Ναθαναὴλ ὁ γραμματεὺς ἐκ τοῦ Λευὶ κατέναντι τοῦ βασιλέως καὶ τῶν ἀρχόντων καὶ Σαδὼκ ὁ ἱερεὺς καὶ Ἀχιμέλεχ υἱὸς Ἀβιάθαρ καὶ ἄρχοντες τῶν πατριῶν τῶν

ἱερέων καὶ τῶν Λευιτῶν, οἴκου πατριᾶς εἷς εἷς τῷ Ἐλεάζαρ καὶ εἷς εἷς τῷ Ἰθάμαρ.

Α Παραλ. 24,6 - Κατέγραψε δε αυτούς ο Σαμαΐας, υιός του Ναθαναήλ ο γραμματεύς από τους απογόνους του Λευι, ενώπιον του βασιλέως και ενώπιον των άλλων αρχόντων, ενώπιον του Σαδώκ του αρχιερέως και του Αχιμέλεχ του υιού του Αβιάθαρ, ενώπιον των αρχηγών των ιερατικών οικογενειών και των Λευιτικών επίσης οικογενειών. Κατά την κλήρωσιν ελαμβάνετο μία οικογένεια εκ του Ελεάζαρ και μία οικογένεια εκ του Ιθάμαρ και ούτω καθεξής.

Α Παραλ. 24,7 - καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος τῷ Ἰωαρίμ, τῷ Ἰεδίᾳ ὁ δεύτερος,

Α Παραλ. 24,7 - Κατά την κλήρωσιν, ο πρώτος κλήρος έπεσεν στον Ιωαρίμ, ο δεύτερος στον Ιεδία,

Α Παραλ. 24,8 - τῷ Χαρὶβ ὁ τρίτος, τῷ Σεωρὶμ ὁ τέταρτος,

Α Παραλ. 24,8 - ο τρίτος στον Χαρίβ, ο τέταρτος στον Σεωρίμ,

Α Παραλ. 24,9 - τῷ Μελχίᾳ ὁ πέμπτος, τῷ Μεϊαμὶν ὁ ἕκτος,

Α Παραλ. 24,9 - ο πέμπτος στον Μελχία, ο έκτος στον Μεϊαμίν,

Α Παραλ. 24,10 - τῷ Κὼς ὁ ἕβδομος, τῷ Ἀβίᾳ ὁ ὄγδοος,

Α Παραλ. 24,10 - ο έβδομος στον Κως, ο όγδοος στον Αβίαν,

Α Παραλ. 24,11 - τῷ Ἰησοῦ ὁ ἔνατος, τῷ Σεχενίᾳ ὁ δέκατος,

Α Παραλ. 24,11 - ο ένατος στον Ιησούν, ο δέκατος στον Σεχενίαν,

Α Παραλ. 24,12 - τῷ Ἐλιαβὶ ὁ ἑνδέκατος, τῷ Ἰακὶμ ὁ δωδέκατος,

Α Παραλ. 24,12 - ο ενδέκατος στον Ελισβί, ο δωδέκατος στον Ιακίμ,

Α Παραλ. 24,13 - τῷ Ὀπφᾷ ὁ τρισκαιδέκατος, τῷ Ἰεσβαὰλ ὁ τεσσαρεσκαιδέκατος,

Α Παραλ. 24,13 - ο δέκατος τρίτος στον Οπφάν, ο δέκατος τέταρτος στον Ιεσβαάλ,

Α Παραλ. 24,14 - τῷ Βελγᾷ ὁ πεντεκαιδέκατος, τῷ Ἐμμὴρ ὁ ἑκκαιδέκατος,

Α Παραλ. 24,14 - ο δέκατος πέμπτος στον Βελγάν, ο δέκατος έκτος στον Εμμήρ,

Α Παραλ. 24,15 - τῷ Χηζὶν ὁ ἑπτακαιδέκατος, τῷ Ἀφεσὴ ὁ ὀκτωκαιδέκατος,

Α Παραλ. 24,15 - ο δέκατος έβδομος στον Χηζίν, ο δέκατος όγδοος στον Αφεσή.

Α Παραλ. 24,16 - τῷ Φεταίᾳ ὁ ἐννεακαιδέκατος, τῷ Ἐζεκὴλ ὁ εἰκοστός,

Α Παραλ. 24,16 - ο δέκατος ένατος στον Φεταίαν, ο εικοστός στον Εζεκήλ,

Α Παραλ. 24,17 - τῷ Ἀχὶμ ὁ εἷς καὶ εἰκοστός, τῷ Γαμοὺλ ὁ δεύτερος καὶ εἰκοστός,

Α Παραλ. 24,17 - ο εικοστός πρώτος στον Αχίμ, ο εικοστός δεύτερος στον Γαμούλ,

Α Παραλ. 24,18 - τῷ Ἀδαλλαὶ ὁ τρίτος καὶ εἰκοστός, τῷ Μαασαὶ ὁ τέταρτος καὶ εἰκοστός.

Α Παραλ. 24,18 - ο εικοστός τρίτος στον Αδαλλαί, ο εικοστός τέταρτος στον Μαασαί.

Α Παραλ. 24,19 - αὕτη ἡ ἐπίσκεψις αὐτῶν κατὰ τὴν λειτουργίαν αὐτῶν τοῦ εἰσπορεύεσθαι εἰς οἶκον Κυρίου κατὰ τὴν κρίσιν αὐτῶν διὰ χειρὸς Ἀαρὼν πατρὸς αὐτῶν, ὡς ἐνετείλατο Κύριος ὁ Θεὸς Ἰσραήλ.

Α Παραλ. 24,19 - Αυταί ήσαν αι ιερατικαί τάξεις αναλόγως της υπηρεσίας των προς τον Κυριον, δια να εισέρχονται οι ιερείς αυτοί στον ναόν του Κυρίου, σύμφωνα με όσα δια μέσου του Ααρών του προγόνου αυτών είχε διατάξει Κυριος ο Θεός του ισραηλιτικού λαού.

Α Παραλ. 24,20 - Καὶ τοῖς υἱοῖς Λευὶ τοῖς καταλοίποις· τοῖς υἱοῖς Ἀμβρὰμ Σωβαήλ· τοῖς υἱοῖς Σωβαὴλ Ἰεδία.

Α Παραλ. 24,20 - Οι δε αρχηγοί από τους υπολοίπους Λευίτας ήσαν από τους υιούς του Αμβράμ ο Σωβαήλ, από τους υιούς του Σωβαήλ ο Ιεδία.

Α Παραλ. 24,21 - τῷ Ῥααβίᾳ ὁ ἄρχων Ἰεσίας,

Α Παραλ. 24,21 - Από τον Ρααβία προήλθεν ο άρχων Ιεσίας.

Α Παραλ. 24,22 - καὶ τῷ Ἰσααρὶ Σαλωμώθ· τοῖς υἱοῖς Σαλωμὼθ Ἰάθ.

Α Παραλ. 24,22 - Από τον Ισααρί ο Σαλωμώθ. Από τους υιούς του Σαλωμώθ ο Ιάθ.

Α Παραλ. 24,23 - υἱοὶ Ἰεδιοῦ· Ἀμαδία ὁ δεύτερος, Ἰαζιὴλ ὁ τρίτος, Ἰεκμοὰμ ὁ τέταρτος.

Α Παραλ. 24,23 - Υιοί του Ιεδιού ήσαν ο δευτερεύων Αμαδίας, ο τριτεύων Ιαζιήλ και ο τεταρτεύων Ιεκμοάμ.

Α Παραλ. 24,24 - τοῖς υἱοῖς Ὀζιὴλ Μιχά· υἱοὶ Μιχὰ Σαμήρ.

Α Παραλ. 24,24 - Μεταξύ των υιών του Οζιήλ ήτο ο Μιχά, υιός δε του Μιχά ήτο ένας, ο Σαμήρ.

Α Παραλ. 24,25 - ἀδελφὸς Μιχὰ Ἰσία· υἱὸς Ἰσία Ζαχαρία.

Α Παραλ. 24,25 - Αδελφός του Μιχά ήτο ο Ισίας, υιός δε του Ισία ήτο ο Ζαχαρίας.

Α Παραλ. 24,26 - υἱοὶ Μεραρὶ Μοολὶ καὶ Μουσί. υἱοὶ Ὀζία υἱοὶ Βοννί.

Α Παραλ. 24,26 - Υιοί του Μεραρί ήσαν ο Μοολί και ο Μουσί, υιοί του Οζία ήσαν οι υιοί του Βοννί.

Α Παραλ. 24,27 - υἱοὶ Μεραρὶ τῷ Ὀζίᾳ, υἱοὶ αὐτοῦ Ἰσοὰμ καὶ Σακχοὺρ καὶ Ἀβαΐ,

Α Παραλ. 24,27 - Οι υιοί του Μεραρί από τον υιόν του τον Οζίαν ήσαν ο Ισοάμ, ο Σακχούρ και ο Αβαΐ.

Α Παραλ. 24,28 - τῷ Μοολὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ· καὶ ἀπέθανεν Ἐλεάζαρ καὶ οὐκ ἦσαν αὐτῷ υἱοί.
Α Παραλ. 24,28 - Υιοί του Μοολί ήσαν ο Ελεάζαρ και ο Ιθάμαρ. Ο Ελεάζαρ απέθανε, χωρίς να αφήση υιούς.
Α Παραλ. 24,29 - τῷ Κίς· υἱοὶ τοῦ Κὶς Ἱεραμεήλ.
Α Παραλ. 24,29 - Υιός του Κις ήτο ένας, ο Ιεραμεήλ.
Α Παραλ. 24,30 - καὶ υἱοὶ τοῦ Μουσὶ Μοολὶ καὶ Ἐδὲρ καὶ Ἰαριμώθ. οὗτοι υἱοὶ τῶν Λευιτῶν κατ᾿ οἴκους πατριῶν αὐτῶν.
Α Παραλ. 24,30 - Οι υιοί του Μούσι ήσαν ο Μοολί, ο Εδέρ και ο Ιαριμώθ. Αυτοί όλοι ήσαν Λευίται κατανεμημένοι εις πατριαρχικάς οικογενείας.
Α Παραλ. 24,31 - καὶ ἔλαβον καὶ αὐτοὶ κλήρους καθὼς οἱ ἀδελφοὶ αὐτῶν υἱοὶ Ἀαρὼν ἐναντίον τοῦ βασιλέως καὶ Σαδὼκ καὶ Ἀχιμέλεχ καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῶν ἱερέων καὶ τῶν Λευιτῶν, πατριάρχαι ἀραὰβ καθὼς οἱ ἀδελφοὶ αὐτοῦ οἱ νεώτεροι.
Α Παραλ. 24,31 - Και αυτοί, όπως και οι ανήκοντες εις την ιδίαν με αυτούς φυλήν ιερείς οι απόγονοι του Ααρών, επήραν κλήρους ενώπιον του βασιλέως, ενώπιον του Σαδώκ και του Αχιμέλεχ, ενώπιον των αρχηγών των οικογενειών, των ιερέων και των Λευϊτών, αι αρχαιότεραι οικογενειαι, όπως και αι νεώτεροι, με τα ίδια δικαιώματα.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 25

Α Παραλ. 25,1 - Καὶ ἔστησε Δαυὶδ ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τῆς δυνάμεως εἰς τὰ ἔργα τοὺς υἱοὺς Ἀσὰφ καὶ Αἱμὰν καὶ Ἰδιθοὺν τοὺς ἀποφθεγγομένους ἐν κινύραις καὶ ἐν νάβλαις καὶ ἐν κυμβάλοις. καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφαλὴν αὐτῶν ἐργαζομένων ἐν τοῖς ἔργοις αὐτῶν.
Α Παραλ. 25,1 - Ο βασιλεύς Δαυίδ και οι στρατιωτικοί του άρχοντες εγκατέστησαν τους υιούς του Ασάφ, του Αιμάν και του Ιδιθούν στο να ψάλλουν με την βοήθειαν μουσικών οργάνων, κινυράς, νάβλας και κυμβάλων. Ο αριθμός και τα ονόματα αυτών, που είχαν καθορισθή δι' αυτά τα έργα, είναι τα εξής·
Α Παραλ. 25,2 - υἱοὶ Ἀσάφ, Σακχοὺρ Ἰωσὴφ καὶ Ναθανίας καὶ Ἐραήλ, υἱοὶ Ἀσὰφ ἐχόμενοι τοῦ βασιλέως.
Α Παραλ. 25,2 - Από τους απογόνους του Ασάφ ο Ζακχούρ, ο Ιωσήφ, ο Ναθανίας και ο Εραήλ. Αυτοί όλοι ήσαν απόγονοι του Ασάφ διωρισμένοι από τον βασιλέα.
Α Παραλ. 25,3 - τῷ Ἰδιθοὺν υἱοὶ Ἰδιθούν· Γοδολίας καὶ Σουρὶ καὶ Ἰσέας καὶ Σεμεΐ καὶ Ἀσαβίας καὶ Ματταθίας, ἓξ μετὰ τὸν πατέρα αὐτῶν Ἰδιθούν, ἐν κινύρᾳ ἀνακρουόμενοι ἐξομολόγησιν καὶ αἴνεσιν τῷ Κυρίῳ.

Α Παραλ. 25,3 - Εις τον Ιδιθούν· Υιοί αυτού του Ιδιθούν ήσαν ο Γοδολίας, ο Σουρί, ο Ισέας, ο Σεμεΐ, ο Ασαβίας και ο Ματταθίας, εξ μετά τον πατέρα των τον Ιδιθούν. Αυτοί ανακρούοντες την κινύραν προσέφεραν ευχαριστίαν και δοξολογίαν προς τον Κυριον.

Α Παραλ. 25,4 - τῷ Αἱμὰν υἱοὶ Αἱμάν· Βουκίας καὶ Ματθανίας καὶ Ὀζιὴλ καὶ Σουβαὴλ καὶ Ἰεριμὼθ καὶ Ἀνανίας καὶ Ἀνὰν καὶ Ἑλιαθὰ καὶ Γοδολλαθὶ καὶ Ῥωμετθιέζερ καὶ Ἰεσβασακὰ καὶ Μαλλιθὶ καὶ Ὠθηρὶ καὶ Μεαζώθ·

Α Παραλ. 25,4 - Εις τον Αιμάν· Υιοί του Αιμάν ήσαν ο Βουκίας, ο Ματθανίας, ο Οζιήλ, ο Σουβαήλ, ο Ιεριμώθ, ο Ανανίας, ο Ανάν, ο Ελιαθά, ο Γοδολλαθί, ο Ρωμετθιέζερ, ο Ιεσβασακά, ο Μαλλιθί, ο Ωθηρί και ο Μεαζώθ.

Α Παραλ. 25,5 - πάντες οὗτοι υἱοὶ τῷ Αἱμὰν τῷ ἀνακρουομένῳ τῷ βασιλεῖ ἐν λόγοις Θεοῦ ὑψῶσαι κέρας. καὶ ἔδωκεν ὁ Θεὸς τῷ Αἱμὰν υἱοὺς τεσσαρεσκαίδεκα, καὶ θυγατέρας τρεῖς.

Α Παραλ. 25,5 - Αυτοί όλοι ήσαν υιοί του Αιμάν, ο οποίος έπαιζεν ενώπιον του βασιλέως ωδάς του Θεού με όργανα, δια να υμνή την παντοδυναμίαν του. Ο δε Θεός έδωκεν στον Αιμάν δεκατέσσαρας υιούς και τρεις θυγατέρας.

Α Παραλ. 25,6 - πάντες οὗτοι μετὰ τοῦ πατρὸς αὐτῶν ὑμνῳδοῦντες ἐν οἴκῳ Θεοῦ, ἐν κυμβάλοις καὶ νάβλαις καὶ ἐν κινύραις εἰς τὴν δουλείαν οἴκου τοῦ Θεοῦ, ἐχόμενα τοῦ βασιλέως καὶ Ἀσάφ, καὶ Ἰδιθοὺν καὶ Αἱμάν.

Α Παραλ. 25,6 - Ολοι αυτοί οι Λευίται υπό την διεύθυνσιν του πατρός των είχον ως έργον των να υμνούν και να δοξάζουν τον Θεόν στον ναόν με κύμβαλα, με νάβλας και με κινύρας, κατά διαταγήν του βασιλέως και υπό την διεύθυνσιν του Ασάφ, του Ιδιθούν και του Αιμάν.

Α Παραλ. 25,7 - καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν μετὰ τοὺς ἀδελφοὺς αὐτῶν, δεδιδαγμένοι ᾄδειν Κυρίῳ, πᾶς συνιών, διακόσιοι ὀγδοήκοντα καὶ ὀκτώ.

Α Παραλ. 25,7 - Ο αριθμός αυτών μαζή με τους αδελφούς των, οι οποίοι είχον διδαχθή να ψάλλουν προς τον Κυριον, όλοι αυτοί οι ικανοί δια τους ψαλμούς ήσαν εν όλω διακόσιοι ογδοήκοντα οκτώ.

Α Παραλ. 25,8 - καὶ ἔβαλον καὶ αὐτοὶ κλήρους ἐφημεριῶν κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν, τελείων καὶ μανθανόντων.

Α Παραλ. 25,8 - Εβαλαν και αυτοί κλήρον των τάξεών των, μικροί και μεγάλοι, τόσον οι διδάσκαλοι όσον και οι μαθητευόμενοι.

Α Παραλ. 25,9 - καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος υἱῶν αὐτοῦ καὶ ἀδελφῶν αὐτοῦ τῷ Ἀσὰφ τῷ Ἰωσὴφ Γοδολίας· ὁ δεύτερος Ἡνεία, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,9 - Ο πρώτος κλήρος εβγήκε δια τους υιούς και τους αδελφούς του Ασάφ, εκληρώθη δε ο Ιωσήφ ο Γοδολίας. Ο δεύτερος κλήρος έπεσεν στον Ηνείαν. Αυτός, οι υιοί και οι αδελφοί αυτού ήσαν δώδεκα.

Α Παραλ. 25,10 - ὁ τρίτος Ζακχούρ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,10 - Ο τρίτος κλήρος έπεσεν στον Ζακχούρ. Αυτός, οι υιοί αυτού και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,11 - ὁ τέταρτος Ἰεσρί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,11 - Ο τέταρτος έπεσεν στον Ιεσρί. Αυτός, οι υιοί και οι αδελφοί αυτού ήσαν δώδεκα.

Α Παραλ. 25,12 - ὁ πέμπτος Ναθανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,12 - Ο πέμπτος στον Ναθανίαν. Αυτός, οι υιοί και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,13 - ὁ ἕκτος Βουκίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,13 - Ο έκτος κλήρος έπεσεν στον Βουκίαν. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,14 - ὁ ἕβδομος Ἰσεριήλ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,14 - Ο έβδομος κλήρος έπεσεν στον Ισεριήλ. Αυτός, οι υιοί και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,15 - ὁ ὄγδοος Ἰωσία, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,15 - Ο όγδοος έπεσεν στον Ιωσίαν. Αυτός, οι υιοί και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,16 - ὁ ἔνατος Ματθανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,16 - Ο ένατος κλήρος έπεσεν στον Ματθανίαν. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,17 - ὁ δέκατος Σεμεΐα, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,17 - Ο δέκατος έπεσεν στον Σεμεΐα. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,18 - ὁ ἑνδέκατος Ἀσριήλ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,18 - Ο ενδέκατος έπεσεν στον Ασριήλ. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,19 - ὁ δωδέκατος Ἀσαβία, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,19 - Ο δωδέκατος έπεσεν στον Ασαβίαν. Αυτός, οι υιοί και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,20 - ὁ τρισκαιδέκατος Σουβαήλ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,20 - Ο δέκατος τρίτος έπεσεν στον Σουβαήλ. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,21 - ὁ τεσσαρεσκαιδέκατος Ματταθίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,21 - Ο δέκατος τέταρτος κλήρος έπεσεν στον Ματταθίαν. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,22 - ὁ πεντεκαιδέκατος Ἰεριμώθ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,22 - Ο δέκατος πέμπτος κλήρος έπεσεν στον Ιεριμώθ. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,23 - ὁ ἑκκαιδέκατος Ἀνανία, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,23 - Ο δέκατος έκτος κλήρος έπεσεν στον Ανανίαν. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,24 - ὁ ἑπτακαιδέκατος Ἰεσβασακά, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,24 - Ο δέκατος έβδομος έπεσεν στον Ιεσβασακά. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,25 - ὁ ὀκτωκαιδέκατος Ἀνανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,25 - Ο δέκατος όγδοος έπεσεν στον Ανανίαν. Αυτός, οι αδελφοί του και οι υιοί του ήσαν δώδεκα.
Α Παραλ. 25,26 - ὁ ἐννεακαιδέκατος Μαλλιθί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,26 - Ο δέκατος ένατος έπεσεν στον Μαλλιθί. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,27 - ὁ εἰκοστὸς Ἑλιαθά, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,27 - Ο εικοστός έπεσεν στον Ελιαθά. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,28 - ὁ εἰκοστὸς πρῶτος Ὠθηρί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,28 - Ο εικοστός πρώτος έπεσεν στον Ωθηρί. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.
Α Παραλ. 25,29 - ὁ εἰκοστὸς δεύτερος Γοδολλαθί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·
Α Παραλ. 25,29 - Ο εικοστός δεύτερος έπεσεν στον Γοδολλαθί. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,30 - ὁ εἰκοστὸς τρίτος Μεαζώθ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο·

Α Παραλ. 25,30 - Ο εικοστός τρίτος έπεσεν στον Μεαζώθ. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.

Α Παραλ. 25,31 - ὁ εἰκοστὸς τέταρτος Ῥωμετθιέζερ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαδύο.

Α Παραλ. 25,31 - Και ο εικοστός τέταρτος κλήρος έπεσεν στον Ρωμετθιέζερ. Αυτός, οι υιοί του και οι αδελφοί του ήσαν δώδεκα.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 26

Α Παραλ. 26,1 - Εἰς διαιρέσεις τῶν πυλῶν· υἱοὶ Κορεΐμ Μοσελλεμία υἱὸς Κωρὴ ἐκ τῶν υἱῶν Ἀσάφ.

Α Παραλ. 26,1 - Αι δε τάξεις των θυρωρών ήσαν πρώτον μεν από τους Κορεΐτας ο Μοσελλεμία, υιός του Κωρή, από τους απογόνους του Ασάφ.

Α Παραλ. 26,2 - καὶ τῷ Μοσελλεμίᾳ υἱοί· Ζαχαρίας ὁ πρωτότοκος, Ἰαδιὴλ ὁ δεύτερος, Ζαβαδία ὁ τρίτος, Ἰεθνουὴλ ὁ τέταρτος,

Α Παραλ. 26,2 - Υιοί του Μοσελλεμία ήσαν πρωτότοκος αυτού ο Ζαχαρίας, δευτερότοκος ο Ιαδιήλ, τρίτος ο Ζαβαδία, τέταρτος ο Ιεθνουήλ,

Α Παραλ. 26,3 - Ἰωλὰμ ὁ πέμπτος, Ἰωνάθαν ὁ ἕκτος, Ἐλιωναΐ ὁ ἕβδομος, Ἀβδεδὸμ ὁ ὄγδοος.

Α Παραλ. 26,3 - πέμπτος ο Ιωλάμ, έκτος ο Ιωνάθαν, έβδομος ο Ελιωναΐ και όγδοος ο Αβδεδόμ.

Α Παραλ. 26,4 - καὶ τῷ Ἀβδεδὸμ υἱοί· Σαμαίας ὁ πρωτότοκος, Ἰωζαβὰθ ὁ δεύτερος, Ἰωὰθ ὁ τρίτος, Σαχὰρ ὁ τέταρτος, Ναθαναὴλ ὁ πέμπτος,

Α Παραλ. 26,4 - Υιοί δε του Αβδεδόμ ήσαν πρωτότοκος ο Σαμαίας, δευτερότοκος ο Ιωζαβάθ, τρίτος ο Ιωάθ, τέταρτος ο Σαχάρ, πέμπτος ο Ναναθαήλ,

Α Παραλ. 26,5 - Ἀμιὴλ ὁ ἕκτος, Ἰσσάχαρ ὁ ἕβδομος, Φελαθὶ ὁ ὄγδοος, ὅτι εὐλόγησεν αὐτὸν ὁ Θεός.

Α Παραλ. 26,5 - έκτος ο Αμιήλ, έβδομος ο Ισσάχαρ και όγδοος ο Φελαθί. Ο Αβδεδόμ είχε τους πολλούς αυτούς υιούς, διότι τον είχεν ευλογήσει, ο Θεός.

Α Παραλ. 26,6 - καὶ τῷ Σαμαίᾳ υἱῷ αὐτοῦ ἐτέχθησαν υἱοὶ τοῦ πρωτοτόκου Ῥωσαὶ εἰς τὸν οἶκον τὸν πατρικὸν αὐτοῦ, ὅτι δυνατοὶ ἦσαν.

Α Παραλ. 26,6 - Εις τον Σαμαίαν, τον υιόν του Αβδεδόμ, εγεννήθησαν δια του πρωτοτόκου υιού του του Ρωσαί απόγονοι, οι οποίοι ανεδείχθησαν αρχηγοί στον πατρικόν των οίκον, διότι ήσαν ικανοί και γενναίοι.

Α Παραλ. 26,7 - υἱοὶ Σαμαΐ· Ὀθνὶ καὶ Ῥαφαὴλ καὶ Ὠβὴδ καὶ Ἐλζαβὰθ καὶ Ἀχιούδ, υἱοὶ δυνατοί, Ἑλιοῦ καὶ Σαβαχία καὶ Ἰσβακώμ.
Α Παραλ. 26,7 - Υιοί αυτού του Σαμαί ήσαν ο Οθνί, ο Ραφαήλ, ο Ωβήδ, ο Ελζαβάθ και ο Αχιούδ, άνδρες ικανοί και γενναίοι, ο Ελιού, ο Σαβοχία και ο Ισβακώμ.
Α Παραλ. 26,8 - πάντες ἀπὸ τῶν υἱῶν Ἀβδεδόμ, αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν ποιοῦντες δυνατῶς ἐν τῇ ἐργασίᾳ, οἱ πάντες ἑξήκοντα δύο τῷ Ἀβδεδόμ.
Α Παραλ. 26,8 - Ολοι αυτοί ήσαν οι υιοί του Αβδεδόμ. Αυτοί, οι υιοί αυτών και οι αδελφοί των, ήσαν άνδρες γενναίοι και ικανοί εις τας διαφόρους αυτών εργασίας. Ολοι όσοι προήλθον από τον Αβδεδόμ ανήρχοντο εις εξήκοντα δύο.
Α Παραλ. 26,9 - καὶ τῷ Μοσελλεμίᾳ υἱοὶ καὶ ἀδελφοὶ δεκακαιοκτὼ δυνατοί.
Α Παραλ. 26,9 - Ο Μοσελλεμία είχεν υιούς και αδελφούς γενναίους δεκαοκτώ εν όλω.
Α Παραλ. 26,10 - καὶ τῷ Ὠσᾷ τῶν υἱῶν Μεραρὶ υἱοὶ φυλάσσοντες τὴν ἀρχήν, ὅτι οὐκ ἦν πρωτότοκος, καὶ ἐποίησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ ἄρχοντα τῆς διαιρέσεως τῆς δευτέρας.
Α Παραλ. 26,10 - Ο εκ των υιών του Μεραρί Οσά απέκτησεν υιούς, οι οποίοι είχον αναλάβει την αρχηγίαν, αν και ο Οσά δεν ήτο πρωτότοκος. Δια τούτο ο πατήρ του κατέστησεν αυτόν δευτέρας τάξεως αρχηγόν.
Α Παραλ. 26,11 - Χελκίας ὁ δεύτερος, Ταβλαὶ ὁ τρίτος, Ζαχαρίας ὁ τέταρτος· πάντες οὗτοι υἱοὶ καὶ ἀδελφοὶ τῷ Ὀσᾷ τρισκαίδεκα.
Α Παραλ. 26,11 - Μεταξύ των υιών τούτων δεύτερος ήτο ο Χελκίας, τρίτος ο Ταβλαί, τέταρτος ο Ζαχαρίας. Ολοι αυτοί υιοί και αδελφοί του Οσά ήσαν εν όλω δεκατρείς.
Α Παραλ. 26,12 - τούτοις αἱ διαιρέσεις τῶν πυλῶν τοῖς ἄρχουσι τῶν δυνατῶν, ἐφημερίαι καθὼς οἱ ἀδελφοὶ αὐτῶν λειτουργεῖν ἐν οἴκῳ Κυρίου.
Α Παραλ. 26,12 - Αυταί ήσαν αι κατηγορίαι των θυρωρών και των αρχόντων στους δυνατούς, οι οποίοι εκ παραλλήλου με τους αδελφούς των είχον αναλάβει, όπως και οι αδελφοί των οι Λευίται, να προσφέρουν τας υπηρεσίας των στον ναόν του Κυρίου.
Α Παραλ. 26,13 - καὶ ἔβαλον κλήρους κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγα κατ᾽ οἴκους πατριῶν αὐτῶν εἰς πυλῶνα καὶ πυλῶνα.
Α Παραλ. 26,13 - Εβαλαν κλήρους δια κάθε πύλην του ναού εις μικρούς και εις μεγάλους κατά τας οικογενείας αυτών.
Α Παραλ. 26,14 - καὶ ἔπεσεν ὁ κλῆρος τῶν πρὸς ἀνατολὰς τῷ Σελεμίᾳ καὶ Ζαχαρίᾳ· υἱοὶ Ἰωὰς τῷ Μελχίᾳ ἔβαλον κλήρους, καὶ ἐξῆλθεν ὁ κλῆρος Βοῤῥᾶ·

Α Παραλ. 26,14 - Ο κλήρος δια την φύλαξιν της θύρας της προς ανατολάς έπεσεν εις τον Σελεμίαν και Ζαχαρίαν. Οι υιοί του Ιωάς έρριψαν κλήρους δια τον Μελχίαν και εξήλθεν ο κλήρος δια την φύλαξιν της βορείας πύλης.

Α Παραλ. 26,15 - τῷ Ἀβδεδὸμ Νότον κατέναντι οἴκου ἐσεφίν.

Α Παραλ. 26,15 - Εις τον Αβδεδόμ έπεσεν ο κλήρος να φυλάττη την νοτίαν πύλην, η οποία ευρίσκετο απέναντι του οίκου των συγκεντρώσεων.

Α Παραλ. 26,16 - εἰς δεύτερον· τῷ Ὀσᾷ πρὸς δυσμαῖς μετὰ τὴν πύλην παστοφορίου τῆς ἀναβάσεως· φυλακὴ κατέναντι φυλακῆς.

Α Παραλ. 26,16 - Εγινε πάλιν κλήρωσις δια τον Οσά και έτυχεν εις αυτόν η δυτική πύλη πλησίον της θύρας του δωματίου επί του ανηφορικού δρόμου. Καθε φρουρά ήτο απέναντι της άλλης φρουράς.

Α Παραλ. 26,17 - πρὸς ἀνατολὰς ἓξ τὴν ἡμέραν, βοῤῥᾶ τῆς ἡμέρας τέσσαρες, νότον τῆς ἡμέρας τέσσαρες, καὶ εἰς τὸν ἐσεφὶν δύο·

Α Παραλ. 26,17 - Προς ανατολάς ήσαν εξ Λευίται την ημέραν, προς βορράν τέσσαρες την ημέραν, προς νότον τέσσερες εκάστην ημέραν και στον οίκον των συγκεντρώσεων δύο.

Α Παραλ. 26,18 - εἰς διαδεχομένους καὶ πρὸς δυσμαῖς τέσσαρες, καὶ εἰς τὴν τρίβον δύο διαδεχομένους.

Α Παραλ. 26,18 - Προς τα συνεχόμενα παραρτήματα εις δυσμάς ήσαν τέσσαρες παρά την δημοσίαν οδόν της αναβάσεως και δύο εις την οδόν των συνεχομένων δωματίων.

Α Παραλ. 26,19 - αὗται αἱ διαιρέσεις τῶν πυλωρῶν τοῖς υἱοῖς τοῦ Κορέ, καὶ τοῖς υἱοῖς Μεραρί.

Α Παραλ. 26,19 - Αυταί ήσαν αι τάξεις των θυρωρών, οι οποίοι θυρωροί ήσαν απόγονοι του Κορέ και του Μεραρί.

Α Παραλ. 26,20 - Καὶ οἱ Λευῖται ἀδελφοὶ αὐτῶν ἐπὶ τῶν θησαυρῶν οἴκου Κυρίου καὶ ἐπὶ τῶν θησαυρῶν τῶν καθηγιασμένων·

Α Παραλ. 26,20 - Οι Λευίται, οι ανήκοντες εις την αυτήν με τους προηγουμένους φυλήν, είχον ως καθήκον την επίβλεψιν και φύλαξιν των θησαυρών του ναού του Κυρίου και των καθηγιασμένων ιερών αντικειμένων.

Α Παραλ. 26,21 - υἱοὶ Λαδὰν οὗτοι, υἱοὶ τῷ Γηρσωνὶ τῷ Λαδάν, ἄρχοντες πατριῶν τῷ Λαδὰν τῷ Γηρσωνὶ Ἰεϊήλ.

Α Παραλ. 26,21 - Μεταξύ των υιών του Λαδάν, των απογόνων του Γηρσών, οι οποίοι προήλθον από τον Λαδάν, αρχηγόν των πατριαρχικών οικογενειών του Λαδάν του Γηρσωνίτου ήτο ο Ιεϊήλ.

Α Παραλ. 26,22 - υἱοὶ Ἰεϊὴλ Ζεθὸμ καὶ Ἰωὴλ οἱ ἀδελφοὶ ἐπὶ τῶν θησαυρῶν οἴκου Κυρίου.

Α Παραλ. 26,22 - Οι υιοί του Ιεϊήλ, ο Ζεθόμ και Ιωήλ, οι αδελφοί, είχον ως καθήκον την επίβλεψιν και περιφρούρησιν της περιουσίας του ναού του Κυρίου.

Α Παραλ. 26,23 - τῷ Ἀμβρὰμ καὶ Ἰσάαρ, Χεβρὼν καὶ Ὀζιήλ·

Α Παραλ. 26,23 - Μεταξύ των απογόνων του Αμβράμ και του Ισάαρ και του Χεβρών και του Οζιήλ,

Α Παραλ. 26,24 - καὶ Σουβαὴλ ὁ τοῦ Γηρσὰμ τοῦ Μωυσῆ ἡγούμενος ἐπὶ τῶν θησαυρῶν.

Α Παραλ. 26,24 - ο Σαβουήλ, ο υιός του Γηρσάμ, υιού του Μωϋσέως, ήτο ο υπεύθυνος δια την φύλαξιν του θησαυροφυλακίου του ναού.

Α Παραλ. 26,25 - καὶ τῷ ἀδελφῷ αὐτοῦ Ἐλιέζερ Ῥαβίας υἱὸς καὶ Ἰωσίας καὶ Ἰωρὰμ καὶ Ζεχρὶ καὶ Σαλωμώθ.

Α Παραλ. 26,25 - Μεταξύ των αδελφών αυτού, που προήλθον από τον Ελιέζερ, του οποίου υιός υπήρξεν ο Ραβίας, υιός του Ραβία υπήρξεν ο Ιωσίας του οποίου υιός υπήρξεν ο Ιωράμ, του οποίου Ιωράμ υιός υπήρξεν ο Ζεχρί και ο Σαλωμώθ.

Α Παραλ. 26,26 - αὐτὸς Σαλωμὼθ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπὶ πάντων τῶν θησαυρῶν τῶν ἁγίων, οὓς ἡγίασε Δαυὶδ ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τῶν πατριῶν, χιλίαρχοι καὶ ἑκατόνταρχοι καὶ ἀρχηγοὶ τῆς δυνάμεως,

Α Παραλ. 26,26 - Αυτός ο Σαλωμώθ και οι αδελφοί του είχον αναλάβει ως καθήκον την επίβλεψιν όλων των θησαυρών και των καθηγιασμένων αντικειμένων, που ο βασιλεύς Δαυΐδ είχε καθιερώσει στον ναόν, όπως επίσης και εις όσα είχαν αφιερώσει οι άρχοντες των πατριαρχικών οικογενειών, οι χιλίαρχοι, οι εκατόνταρχοι και οι άλλοι αρχηγοί του στρατού.

Α Παραλ. 26,27 - ἃ ἔλαβεν ἐκ πόλεων καὶ ἐκ τῶν λαφύρων καὶ ἡγίασεν ἀπ᾿ αὐτῶν τοῦ μὴ καθυστερῆσαι τὴν οἰκοδομὴν τοῦ οἴκου τοῦ Θεοῦ,

Α Παραλ. 26,27 - Αυτά τα προς τον ναόν αφιερώματά των τα είχαν αυτοί πάρει ως λάφυρα από τας κατακτηθείσας πόλεις. Αφιέρωσαν δε αυτά στον ναόν, δια να μη καθυστερήση η ανοικοδόμησις του οίκου του Θεού.

Α Παραλ. 26,28 - καὶ ἐπὶ πάντων τῶν ἁγίων τοῦ Θεοῦ Σαμουὴλ τοῦ προφήτου καὶ Σαοὺλ τοῦ Κὶς καὶ Ἀβεννὴρ τοῦ Νὴρ καὶ Ἰωὰβ τοῦ Σαρουΐα· πᾶν ὃ ἡγίασαν, διὰ χειρὸς Σαλωμὼθ καὶ τῶν ἀδελφῶν αὐτοῦ.

Α Παραλ. 26,28 - Μεταξύ δε όλων αυτών των ιερών αφιερωμάτων υπήρχον και τα αφιερώματα του Σαμουήλ, προφήτου του Θεού, του Σαούλ υιού του Κις, του Αβεννήρ υιού του Νηρ, του Ιωάβ υιού της Σαρουΐας. Ολα αυτά, τα οποία είχον αφιερώσει, ευρίσκοντο υπό την εποπτείαν και φύλαξιν του Σαλωμώθ και των αδελφών του.

Α Παραλ. 26,29 - Τῷ Ἰσσααρὶ Χωνενία καὶ υἱοὶ τῆς ἐργασίας τῆς ἔξω ἐπὶ τὸν Ἰσραὴλ τοῦ γραμματεύειν καὶ διακρίνειν.

Α Παραλ. 26,29 - Εκ των Ισσααριτών ο Χωνενία και οι υιοί του είχον αναλάβει την εξωτερικήν εργασία επί του ισραηλιτικού λαού και ειδικώτερον ως γραμματείς και ως δικασταί.

Α Παραλ. 26,30 - τῷ Χεβρωνὶ Ἀσαβίας καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ δυνατοί, χίλιοι καὶ ἑπτακόσιοι ἐπὶ τῆς ἐπισκέψεως τοῦ Ἰσραήλ, πέραν τοῦ Ἰορδάνου πρὸς δυσμαῖς, εἰς πᾶσαν λειτουργίαν Κυρίου καὶ ἐργασίαν τοῦ βασιλέως.

Α Παραλ. 26,30 - Μεταξύ των Χεβρωνιτών ο Ασαβίας και οι αδελφοί του, άνδρες ικανοί και γενναίοι, χίλιοι επτακόσιοι τον αριθμόν είχον αναλάβει την εποπτείαν του ισραηλιτικού λαού του ευρισκομένου προς δυσμάς πέραν από τον Ιορδάνην, δι' όλας τας υποθέσστου ναού και δια την υπηρεσίαν του βασιλέως.

Α Παραλ. 26,31 - τοῦ Χεβρωνί· Ἰωρίας ὁ ἄρχων τῶν Χεβρωνὶ κατὰ γενέσεις αὐτῶν κατὰ πατριάς· ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ ἐπεσκέπησαν, καὶ εὑρέθη ἀνὴρ δυνατὸς ἐν αὐτοῖς ἐν Ἰαζὴρ τῆς Γαλααδίτιδος,

Α Παραλ. 26,31 - Των Χεβρωνιτών αυτών ο Ιωρίας ήτο αρχηγός κατά τας γενεαλογίας των και τας πατριαρχικάς των οικογενείας. Κατά το τεσσαρακοστόν έτος της βασιλείας του Δαυίδ έγινεν επιθεώρησις αυτών και ευρέθη ότι μεταξύ των ανδρών των κατοικούντων εις την πόλιν Ιαζήρ της χώρας Γολαάδ υπήρχον γενναίοι άνδρες.

Α Παραλ. 26,32 - καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ δυνατοί, δισχίλιοι ἑπτακόσιοι οἱ ἄρχοντες τῶν πατριῶν· καὶ κατέστησεν αὐτοὺς Δαυὶδ ὁ βασιλεὺς ἐπὶ τοῦ Ῥουβηνὶ καὶ Γαδδὶ καὶ ἡμίσους φυλῆς Μανασσῆ εἰς πᾶν πρόσταγμα Κυρίου καὶ λόγον βασιλέως.

Α Παραλ. 26,32 - Οι αδελφοί του, δύο χιλιάδες επτακόσιοι, ήσαν γενναίοι και ικανοί άνδρες άρχοντες των πατριαρχικών οικογενειών. Αυτούς εγκατέστησεν ο βασιλεύς Δαυίδ ως αρχηγούς των Ισραηλιτών των φυλών Ρουβήν και Γαδ και της ημισείας φυλής του Μανασσή δι' όλας τας υποθέσστου Κυρίου και του βασιλέως.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 27

Α Παραλ. 27,1 - Καὶ υἱοὶ Ἰσραὴλ κατὰ ἀρθιμὸν αὐτῶν, ἄρχοντες τῶν πατριῶν, χιλίαρχοι καὶ ἑκατόνταρχοι καὶ γραμματεῖς οἱ λειτουργοῦντες τῷ βασιλεῖ καὶ εἰς πᾶν λόγον τοῦ βασιλέως κατὰ διαιρέσεις, εἰς πᾶν λόγον τοῦ εἰσπορευομένου καὶ ἐκπορευμένου μῆνα ἐκ μηνός, εἰς πάντας τοὺς μῆνας τοῦ ἐνιαυτοῦ, διαίρεσις μία εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,1 - Οι Ισραηλίται κατά τον αριθμόν αυτών, οι αρχηγοί οικογενειών, οι χιλίαρχοι και οι εκατόνταρχοι και οι γραμματείς, οι οποίοι υπηρετούσαν τον βασιλέα, εις κάθε υπόθεσιν κατά τα τμήματα των στρατιωτικών μονάδων, αι οποίαι εισήρχοντο και εξήρχοντο από μηνός εις

μήνα καθ' όλους τους μήνας του έτους, ήσαν εικοσιτέσσαρες χιλιάδες δια κάθε στρατιωτικόν σώμα.

Α Παραλ. 27,2 - καὶ ἐπὶ τῆς διαιρέσεως τῆς πρώτης τοῦ μηνὸς τοῦ πρώτου, Ἰσβοὰζ ὁ τοῦ Ζαβδιήλ, ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,2 - Αρχηγός της πρώτης στρατιωτικής μονάδος δια τον πρώτον μήνα του έτους ήτο ο Ισβοάζ, υιός του Ζαβδιήλ. Η στρατιωτική αυτή μονάς περιελάμβανεν εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,3 - ἀπὸ τῶν υἱῶν Φαρὲς ἄρχων πάντων τῶν ἀρχόντων τῆς δυνάμεως τοῦ μηνὸς τοῦ πρώτου.

Α Παραλ. 27,3 - Ο Ισβοάζ, ο οποίος κατήγετο από τους υιούς Φαρές, ήτο αρχηγός όλων των αρχηγών του σώματος του στρατού του πρώτου μηνός.

Α Παραλ. 27,4 - καὶ ἐπὶ τῆς διαιρέσεως τοῦ μηνὸς τοῦ δευτέρου Δωδία ὁ ἐκ Χώκ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ καὶ Μακελλὼθ ὁ ἡγούμενος, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες, ἄρχοντες δυνάμεως.

Α Παραλ. 27,4 - Της στρατιωτικής μονάδος του δευτέρου μηνός του έτους επικεφαλής ήτο ο Δωδία, ο οποίος κατήγετο από την Χωκ. Μεταξύ δε των άλλων αρχηγών αυτής ήτο και ο Μακελλώθ. Και αυτή η στρατιωτική μονάς περιελάμβανεν εικοσιτέσσαρας χιλιάδας άνδρας και τους αρχηγούς αυτής.

Α Παραλ. 27,5 - ὁ τρίτος τὸν μῆνα τὸν τρίτον Βαναίας ὁ τοῦ Ἰωδαὲ ὁ ἱερεὺς ὁ ἄρχων, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες·

Α Παραλ. 27,5 - Ο αρχηγός του τρίτου σώματος στρατού δια τον τρίτον μήνα του έτους ήτο ο Βαναίας, υιός του αρχιερέως Ιωδαέ. Και αυτή η στρατιωτική μονάς περιελάμβανε εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,6 - αὐτὸς Βαναίας ὁ δυνατώτερος τῶν τριάκοντα καὶ ἐπὶ τῶν τριάκοντα, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ Ζαβὰδ ὁ υἱὸς αὐτοῦ.

Α Παραλ. 27,6 - Αυτός ο Βαναίας ήτο ο γενναιότερος και ικανώτερος από τους τριάκοντα ήρωας και αρχηγός αυτών των τριάκοντα. Εις την στρατιωτικήν αυτήν μονάδα ένας εκ των άλλων αρχηγών ήτο και ο υιός του, ο Ζαβάδ.

Α Παραλ. 27,7 - ὁ τέταρτος εἰς τὸν μῆνα τὸν τέταρτον Ἀσαὴλ ὁ ἀδελφὸς Ἰωὰβ καὶ Ζαβαδίας υἱὸς αὐτοῦ, καὶ οἱ ἀδελφοί, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,7 - Ο τέταρτος αρχηγός κατά τον τέταρτον μήνα του έτους ήτο ο Ασαήλ, ο αδελφός του Ιωάβ. Επειτα δε από αυτόν ο Ζαβαδίας, ο υιός του και οι αδελφοί του. Και το στρατιωτικόν τούτο σώμα απηρτίζετο από εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,8 - ὁ πέμπτος τῷ μηνὶ τῷ πέμπτῳ ὁ ἡγούμενος Σαμαὼθ ὁ Ἰεσραέ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,8 - Ο πέμπτος αρχηγός του στρατιωτικού σώματος του πέμπτου μηνός του έτους ήτο ο Σαμαώθ, υιός του Ιεσραέ. Και αυτό το

στρατιωτικόν σώμα απηρτίζετο από εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,9 - ὁ ἕκτος τῷ μηνὶ τῷ ἕκτῳ Ὀδουΐας ὁ τοῦ Ἐκκῆς ὁ Θεκωΐτης, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,9 - Ο έκτος αρχηγός της στρατιωτικής μονάδος του έκτου μηνός του έτους ήτο ο Οδουΐας, υιός του Εκκής, ο οποίος κατήγετο από την Θεκωέ. Και το στρατιωτικόν τούτο τμήμα απετελείτο από εικοσιτέσσαρας χιλιάδας.

Α Παραλ. 27,10 - ὁ ἕβδομος τῷ μηνὶ τῷ ἑβδόμῳ Χελλὴς ὁ ἐκ Φαλλοὺς ἀπὸ τῶν υἱῶν Ἐφραίμ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,10 - Ο έβδομος αρχηγός της στρατιωτικής μονάδος του εβδόμου μηνός του έτους ήτο ο Χελλής, ο καταγόμενος εκ Φαλλούς, απόγονος της φυλής του Εφραίμ. Και της στρατιωτικής αυτής μονάδος υπήρχον εικοσιτέσσαρες χιλιάδες άνδρες.

Α Παραλ. 27,11 - ὁ ὄγδοος τῷ μηνὶ τῷ ὀγδόῳ Σοβοχαΐ ὁ Οὐσαθὶ τῷ Ζαραΐ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,11 - Ο σωματάρχης του ογδόου στρατιωτικού σώματος δια τον όγδοον μήνα του έτους ήτο ο Σοβοχαΐ, ο καταγόμενος από την Ουσάθ, από την οικογένειαν του Ζαραΐ. Και αυτό το στρατιωτικόν σώμα απηρτίζετο από εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,12 - ὁ ἔνατος τῷ μηνὶ τῷ ἐνάτῳ Ἀβιέζερ ὁ ἐξ Ἀναθὼθ ὁ ἐκ γῆς Βενιαμίν, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ εἴκοσι χιλιάδες.

Α Παραλ. 27,12 - Ο ένατος αρχηγός δια τον ένατον μήνα του έτους ήτο ο Αβιέζερ, ο οποίος κατήγετο από την Αναθώθ πόλιν της χώρας του Βενιαμίν. Και το στρατιωτικόν τούτο σώμα απετελείτο από εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,13 - ὁ δέκατος τῷ μηνὶ τῷ δεκάτῳ Μεηρὰ ὁ ἐκ Νετωφαθὶ τῷ Ζαραΐ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,13 - Ο δέκατος αρχηγός δια το στρατιωτικόν σώμα του δεκάτου μηνός του έτους ήτο ο Μεηρά, ο οποίος κατήγετο από την Νετωφάθ εκ της οικογενείας του Ζαραΐ. Και το στρατιωτικόν τούτο σώμα απηρτίζετο από εικοσιτέσσαρας χιλιάδας.

Α Παραλ. 27,14 - ὁ ἑνδέκατος τῷ μηνὶ τῷ ἑνδεκάτῳ Βαναίας ὁ ἐκ Φαραθὼν ἐκ τῶν υἱῶν Ἐφραίμ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες.

Α Παραλ. 27,14 - Ο ενδέκατος αρχηγός της στρατιωτικής μονάδος, δια τον ενδέκατον μήνα του έτους, ήτο ο Βαναίας ο καταγόμενος εκ Φαραθών και ανήκων εις την φυλήν του Εφραίμ. Και το στρατιωτικόν τούτο τμήμα απετελείτο από εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,15 - ὁ δωδέκατος εἰς τὸν μῆνα τὸν δωδέκατον Χολδία ὁ ἐκ Νετωφαθὶ τῷ Γοθονιήλ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες

χιλιάδες.

Α Παραλ. 27,15 - Τέλος ο δωδέκατος αρχηγός του στρατιωτικού τμήματος δια τον δωδέκατον μήνα του έτους ήτο ο Χολδία, ο καταγόμενος από την Νετωφάθ εκ της οικογενείας του Γοθονιήλ. Και η στρατιωτική αυτή μονάς απηρτίζετο επίσης από εικοσιτέσσαρας χιλιάδας άνδρας.

Α Παραλ. 27,16 - Καὶ ἐπὶ τῶν φυλῶν Ἰσραήλ· τῷ Ῥουβὴν ἡγούμενος Ἐλιέζερ ὁ τοῦ Ζεχρί, τῷ Συμεὼν Σαφατίας ὁ τοῦ Μααχά,

Α Παραλ. 27,16 - Αρχηγοί των ισραηλιτικών φυλών ήσαν οι εξής· Εις την φυλήν του Ρουβήν αρχηγός ήτο ο Ελιέζερ υιός του Ζεχρί, εις την φυλήν του Συμεών αρχηγός ήτο ο Σαφατίας υιός του Μααχά.

Α Παραλ. 27,17 - τῷ Λευὶ Ἀσαβίας ὁ τοῦ Καμουήλ, τῷ Ἀαρὼν Σαδώκ,

Α Παραλ. 27,17 - Εις την φυλήν του Λευί αρχηγός ήτο ο Αβασίας, ο υιός του Καμουήλ. Εις την πατριαρχικήν οικογένειαν του Ααρών αρχηγός ήτο ο αρχιερεύς Σαδώκ.

Α Παραλ. 27,18 - τῷ Ἰούδᾳ Ἐλιὰβ τῶν ἀδελφῶν Δαυίδ, τῷ Ἰσσάχαρ Ἀμβρὶ ὁ τοῦ Μιχαήλ,

Α Παραλ. 27,18 - Εις την φυλήν του Ιούδα αρχηγός ήτο ο Ελιάβ, ένας από τους αδελφούς του Δαυίδ. Εις την φυλήν του Ισσάχαρ αρχηγός ήτο ο Αμβρί, υιός του Μιχαήλ.

Α Παραλ. 27,19 - τῷ Ζαβουλὼν Σαμαΐας ὁ τοῦ Ἀβδίου, τῷ Νεφθαλὶ Ἰεριμὼθ ὁ τοῦ Ὀζιήλ,

Α Παραλ. 27,19 - Εις την φυλήν του Ζσβουλών αρχηγός ήτο ο Σαμαΐας, υιός του Αβδίου. Εις την φυλήν του Νεφθαλί αρχηγός ήτο ο Ιεριμώθ, ο υιός του Οζιήλ.

Α Παραλ. 27,20 - τῷ Ἐφραὶμ Ὡσὴ ὁ τοῦ Ὀζίου, τῷ ἡμίσει φυλῆς Μανασσῆ Ἰωὴλ υἱὸς Φαδαΐα,

Α Παραλ. 27,20 - Εις την φυλήν του Εφραίμ ήτο ο Ωσή, υιός του Οζίου. Εις την ημίσειαν φυλήν του Μανασσή, την εντεύθεν του Ιορδάνου αρχηγός ήτο ο Ιωήλ, υιός του Φαδαΐα.

Α Παραλ. 27,21 - τῷ ἡμίσει φυλῆς Μανασσῆ τῷ ἐν γῇ Γαλαὰδ Ἰαδαΐ ὁ τοῦ Ζαδαίου, τοῖς υἱοῖς Βενιαμὶν Ἰασιὴλ ὁ τοῦ Ἀβεννήρ,

Α Παραλ. 27,21 - Εις δε το έτερον ήμισυ της φυλής του Μανασσή πέραν του Ιορδάνου εις την περιοχήν Γαλαάδ αρχηγός ήτο ο Ιαδαΐ̀, υιός του Ζαδαίου. Εις την φυλήν του Βενιαμίν αρχηγός ήτο ο Ιασιήλ, υιός του Αβεννήρ.

Α Παραλ. 27,22 - τῷ Δὰν Ἀζαριὴλ ὁ τοῦ Ἰρωάβ. οὗτοι πατριάρχαι τῶν φυλῶν Ἰσραήλ.

Α Παραλ. 27,22 - Εις την φυλήν του Δαν αρχηγός ήτο ο Αζαριήλ, υιός του Ιρωάβ. Αυτοί ήσαν οι αρχηγοί των φυλών του ισραηλιτικού λαού.

Α Παραλ. 27,23 - καὶ οὐκ ἔλαβε Δαυὶδ τὸν ἀριθμὸν αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ κάτω, ὅτι εἶπε Κύριος πληθῦναι τὸν Ἰσραὴλ ὡς τοὺς

ἀστέρας τοῦ οὐρανοῦ.

Α Παραλ. 27,23 - Ο Δαυίδ δεν έκαμεν αρίθμησιν των Ισραηλιτών, οι οποίοι ήσαν ηλικίας είκοσιν ετών και κάτω, διότι ο Κυριος του είχεν υποσχεθή ότι θα επλήθυνε πολύ τους Ισραηλίτας και θα έκαμνε αυτούς τόσους, όσα είναι τα άστρα του ουρανού.

Α Παραλ. 27,24 - καὶ Ἰωὰβ ὁ τοῦ Σαρουΐα ἤρξατο ἀριθμεῖν ἐν τῷ λαῷ καὶ οὐ συνετέλεσε, καὶ ἐγένετο ἐν τούτοις ὀργὴ ἐπὶ Ἰσραήλ, καὶ οὐ κατεχωρίσθη ὁ ἀριθμὸς ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῦ βασιλέως Δαυίδ.

Α Παραλ. 27,24 - Ο Ιωάβ, υιός της Σαρουΐα, αδελφής του Δαυίδ, ήρχισε να κάμνη αρίθμησιν του ισραηλιτικού λαού, άλλα δεν ετελείωσεν αυτήν, διότι εξέσπασεν εναντίον των Ισραηλιτών η οργή του Κυρίου. Δια τούτο και δεν κατεγράφη στο βιβλίον των χρονικών του βασιλέως Δαυίδ το αποτέλεσμα αυτής της αριθμήσεως.

Α Παραλ. 27,25 - Καὶ ἐπὶ τῶν θησαυρῶν τοῦ βασιλέως Ἀσμὼθ ὁ τοῦ Ὀδιήλ, καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν ἀγρῷ καὶ ἐν ταῖς κώμαις καὶ ἐν τοῖς ἐποικίοις καὶ ἐν τοῖς πύργοις Ἰωνάθαν ὁ τοῦ Ὀζίου.

Α Παραλ. 27,25 - Ο Ασμώθ, υιός του Οδιήλ, είχε διορισθή επόπτης και φύλαξ των θησαυρών του βασιλέως Δαυίδ, που υπήρχον εις την Ιερουσαλήμ. Ο Ιωνάθαν, ο υιός του Οζίου, είχε διορισθή επόπτης και φύλαξ των θησαυρών του βασιλέως, οι οποίοι ευρίσκοντο στους αγρούς, εις τας κωμοπόλεις, εις τας αγροτικάς κατοικίας και στους πύργους.

Α Παραλ. 27,26 - καὶ ἐπὶ τῶν γεωργούντων τὴν γῆν τῶν ἐργαζομένων Ἐσδρὶ ὁ τοῦ Χελούβ,

Α Παραλ. 27,26 - Ο Εσδρί, υιός του Χελούβ, ήτο επόπτης των εργατών, οι οποίοι ειργάζοντο και εκαλλιεργούσαν τους βασιλικούς αγρούς.

Α Παραλ. 27,27 - καὶ ἐπὶ τῶν χωρίων Σεμεΐ ὁ ἐκ Ῥαήλ, καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν τοῖς χωρίοις τοῦ οἴνου Ζαβδὶ ὁ τοῦ Σεφνί,

Α Παραλ. 27,27 - Ο Σεμεΐ, ο οποίος κατήγετο από την Ραήλ, ήτο επόπτης επί των βασιλικών χωρίων. Ο Ζαβδί, υιός του Σεφνί, ήτο επόπτης στους αμπελώνας, οι οποίοι έδιδαν τον οίνον του βασιλέως.

Α Παραλ. 27,28 - καὶ ἐπὶ τῶν ἐλαιώνων καὶ ἐπὶ τῶν συκαμίνων τῶν ἐν τῇ πεδινῇ Βαλλανὰν ὁ Γεδωρίτης, ἐπὶ δὲ τῶν θησαυρῶν τοῦ ἐλαίου Ἰωάς,

Α Παραλ. 27,28 - Ο Βαλλανάν, ο καταγόμενος από την Γεδώρ, ήτο επόπτης στους ελαιώνας και τας συκομορέας του βασιλέως, που ευρίσκοντο εις την πεδινήν περιοχήν. Ο δε Ιωάς ήτο επόπτης επί της εσοδείας του ελαίου.

Α Παραλ. 27,29 - καὶ ἐπὶ τῶν βοῶν τῶν νομάδων τῶν ἐν τῷ Σαρὼν Σατραΐ ὁ Σαρωνίτης, καὶ ἐπὶ τῶν βοῶν τῶν ἐν τοῖς αὐλῶσι Σωφὰτ ὁ τοῦ Ἀδλί,

Α Παραλ. 27,29 - Ο Σατραΐ, που κατήγετο από την Σαρών, ήτο επόπτης εις τας αγέλας των βοών του βασιλέως που έβοσκαν εις την πεδιάδα Σαρών.

Ο δε Σωφάτ υιός του Αδλί ήτο επόπτης εις τας αγέλας βοών που έβοσκαν εις τας κοιλάδας.

Α Παραλ. 27,30 - ἐπὶ δὲ τῶν καμήλων Ἀβίας ὁ Ἰσμαηλίτης, ἐπὶ δὲ τῶν ὄνων Ἰαδίας ὁ ἐκ Μεραθών,

Α Παραλ. 27,30 - Εις τας καμήλους επόπτης ήτο ο Αβίας ο Ισμαηλίτης. Εις δε τας όνους του βασιλέως επόπτης ήτο ο Ιαδίας ο καταγόμενος από την Μεραθών.

Α Παραλ. 27,31 - καὶ ἐπὶ τῶν προβάτων Ἰαζὶζ ὁ Ἀγαρίτης. πάντες οὗτοι προστάται ὑπαρχόντων Δαυὶδ τοῦ βασιλέως.

Α Παραλ. 27,31 - Εις τας αγέλας των βασιλικών προβάτων επόπτης ήτο ο Ιαζίζ, ο Αγαρηνός. Ολοι αυτοί ήσαν επόπται και φρουροί της περιουσίας Δαυίδ.

Α Παραλ. 27,32 - καὶ Ἰωνάθαν ὁ πατράδελφος Δαυὶδ σύμβουλος, ἄνθρωπος συνετὸς καὶ γραμματεὺς αὐτός, καὶ Ἰεὴλ ὁ τοῦ Ἀχαμὶ μετὰ τῶν υἱῶν τοῦ βασιλέως,

Α Παραλ. 27,32 - Ο Ιωνάθαν, αδελφός του πατρός του Δαυίδ, ήτο ο σύμβουλός του. Αυτός ήτο άνθρωπος συνετός και μορφωμένος. Ο Ιεήλ, υιός του Αχαμί, ήτο μεταξύ των υιών του βασιλέως Δαυίδ.

Α Παραλ. 27,33 - καὶ Ἀχιτόφελ σύμβουλος τοῦ βασιλέως, καὶ Χουσὶ ὁ πρῶτος φίλος τοῦ βασιλέως,

Α Παραλ. 27,33 - Ο Αχιτόφελ ήτο επίσης σύμβουλος του βασιλέως, ενώ ο Χουσί ήτο πρώτος φίλος του βασιλέως.

Α Παραλ. 27,34 - καὶ μετὰ τοῦτον Ἀχιτόφελ ἐχόμενος Ἰωδαὲ ὁ τοῦ Βαναίου καὶ Ἀβιάθαρ· καὶ Ἰωὰβ ἀρχιστράτητος τοῦ βασιλέως.

Α Παραλ. 27,34 - Επειτα από τον Αχιτόφελ στενά συνδεδεμένοι με τον βασιλέα Δαυίδ ήσαν ο Ιωδαέ, υιός του Βαναία, ο αρχιερεύς Αβιάθαρ και ο Ιωάβ, ο αρχιστράτηγος του βασιλέως.

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 28

Α Παραλ. 28,1 - Καὶ ἐξεκκλησίασε Δαυὶδ πάντας τοὺς ἄρχοντας Ἰσραήλ, ἄρχοντας τῶν κριτῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν ἐφημεριῶν τῶν περὶ τὸ σῶμα τοῦ βασιλέως καὶ ἄρχοντας τῶν χιλιάδων καὶ τῶν ἑκατοντάδων καὶ τοὺς γαζοφύλακας καὶ τοὺς ἐπὶ τῶν ὑπαρχόντων αὐτοῦ καὶ πάσης τῆς κτήσεως τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ σὺν τοῖς εὐνούχοις καὶ τοὺς δυνάστας καὶ τοὺς μαχητὰς τῆς στρατιᾶς ἐν Ἱερουσαλήμ.

Α Παραλ. 28,1 - Ο Δαυίδ συνεκάλεσεν εις την Ιερουσαλήμ όλους τους άρχοντας του ισραηλιτικού λαού, τους αρχηγούς δηλαδή των φυλών, τους διοικητάς των στρατιωτικών μονάδων, αι οποίαι υπηρετούσαν τον βασιλέα,

τους χιλιάρχους, τους εκατοντάρχους, τους θησαυροφύλακας, τους επόπτας της βασιλικής του περιουσίας και όλων των υπαρχόντων του, τους υιούς του μαζή με τους αυλικούς, τους στρατηγούς και γενικώς όλους τους αξιωματούχους και εμπειροπολέμους του στρατεύματος.

Α Παραλ. 28,2 - καὶ ἔστη Δαυὶδ ἐν μέσῳ τῆς ἐκκλησίας καὶ εἶπεν· ἀκούσατέ μου, ἀδελφοί μου καὶ λαός μου. ἐμοὶ ἐγένετο ἐπὶ καρδίαν οἰκοδομῆσαι οἶκον ἀναπαύσεως τῆς κιβωτοῦ διαθήκης Κυρίου καὶ στάσιν ποδῶν Κυρίου ἡμῶν, καὶ ἡτοίμασα τὰ εἰς τὴν κατασκήνωσιν ἐπιτήδεια·

Α Παραλ. 28,2 - Ο Δαυίδ εστάθη στο μέσον αυτής της συγκεντρώσεως και είπε· “αδελφοί μου και λαός μου, ακούσατέ με. Εγώ επεθύμησα με την καρδίαν μου και επήρα την απόφασιν να οικοδομήσω δια την Κιβωτόν της Διαθήκης του Κυρίου οίκον αναπαύσεως και υποπόδιον δια τους πόδας του. Προητοίμασα, λοιπόν, όλα, όσα θα εχρειάζοντο δια την ανοικοδόμησιν αυτήν.

Α Παραλ. 28,3 - καὶ ὁ Θεὸς εἶπεν· οὐκ οἰκοδομήσεις ἐμοὶ οἶκον τοῦ ἐπονομάσαι τὸ ὄνομά μου ἐπ᾿ αὐτῷ, ὅτι ἄνθρωπος πολεμιστὴς εἶ σὺ καὶ αἷμα ἐξέχεας.

Α Παραλ. 28,3 - Ο Θεός όμως μου είπε· Δεν θα οικοδομήσης συ ναόν, αφιερωμένον στο Ονομά μου, διότι είσαι άνθρωπος των πολέμων και έχεις χύσει ανθρώπινον αίμα.

Α Παραλ. 28,4 - καὶ ἐξελέξατο Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐν ἐμοὶ ἀπὸ παντὸς οἴκου πατρός μου εἶναι βασιλέα ἐπὶ Ἰσραὴλ εἰς τὸν αἰῶνα· καὶ ἐν Ἰούδᾳ ᾑρέτικε τὸ βασίλειον καὶ ἐξ οἴκου Ἰούδα τὸν οἶκον τοῦ πατρός μου, καὶ ἐν τοῖς υἱοῖς τοῦ πατρός μου ἐν ἐμοὶ ἠθέλησε τοῦ γενέσθαι με εἰς βασιλέα ἐπὶ παντὶ Ἰσραήλ.

Α Παραλ. 28,4 - Κυριος ο Θεός του Ισραήλ εξέλεξεν εμέ από όλους τους άλλους αδελφούς του πατρικού μου οίκου, δια να είμαι βασιλεύς ισόβιος του ισραηλιτικού λαού. Την φυλήν του Ιούδα εξέλεξεν από όλας τας φυλάς του Ισραήλ, δια να έχη την βασιλείαν. Από την φυλήν του Ιούδα εξέλεξε τον πατρικόν μου οίκον και από τους υιούς του πατρός μου, τους αδελφούς μου, εμέ εξέλεξε να γίνω βασιλεύς επί όλου του ισραηλιτικού λαού.

Α Παραλ. 28,5 - καὶ ἀπὸ πάντων τῶν υἱῶν μου (ὅτι πολλοὺς υἱοὺς ἔδωκέ μοι Κύριος) ἐξελέξατο ἐν Σαλωμὼν τῷ υἱῷ μου καθίσαι αὐτὸν ἐπὶ θρόνου βασιλείας Κυρίου ἐπὶ τὸν Ἰσραήλ·

Α Παραλ. 28,5 - Από όλους δε τους υιούς μου (πολλούς υιούς έδωσεν εις εμέ ο Κυριος) εξέλεξε τον υιόν μου τον Σολομώντα, δια να καθίση στον θρόνον της βασιλείας του Κυρίου, δια να γίνη βασιλεύς του ισραηλιτικού λαού.

Α Παραλ. 28,6 - καὶ εἶπέ μοι ὁ Θεός· Σαλωμὼν ὁ υἱός σου οἰκοδομήσει τὸν οἶκόν μου καὶ τὴν αὐλήν μου, ὅτι ᾑρέτικα ἐν αὐτῷ εἶναί μου υἱόν, κἀγὼ

ἔσομαι αὐτῷ εἰς πατέρα

Α Παραλ. 28,6 - Ο Θεός μου είπεν· Ο Σολομών ο υιός σου αυτός θα ανοικοδομήση τον ναόν μου και την αυλήν μου εις ταν ναόν αυτόν, διότι εγώ εξέλεξα αυτόν να είναι υιός μου και εγώ θα είμαι δι' αυτόν πατήρ.

Α Παραλ. 28,7 - καὶ κατορθώσω τὴν βασιλείαν αὐτοῦ ἕως αἰῶνος, ἐὰν ἰσχύσῃ τοῦ φυλάξασθαι τὰς ἐντολάς μου καὶ τὰ κρίματά μου ὡς ἡ ἡμέρα αὕτη.

Α Παραλ. 28,7 - Θα στερεώσω και θα ανορθώσω την βασιλείαν του εις αιώνας αιώνων, εάν, όπως σήμερον, πάρη την απόφασιν και φυλάξη τας εντολάς μου και τα δικαιώματά μου στο μέλλον.

Α Παραλ. 28,8 - καὶ νῦν κατὰ πρόσωπον πάσης ἐκκλησίας Κυρίου καὶ ἐν ὠσὶ Θεοῦ ἡμῶν φυλάξασθε καὶ ζητήσατε πάσας τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἵνα κληρονομήσητε τὴν γῆν τὴν ἀγαθὴν καὶ κατακληρονομήσητε τοῖς υἱοῖς ὑμῶν μεθ᾿ ὑμᾶς ἕως αἰῶνος.

Α Παραλ. 28,8 - Και τώρα εμπρός εις ολόκληρον αυτήν την συγκέντρωσιν του Κυρίου και ενώπιον του Θεού μας, ο οποίος μας ακούει, σας λέγω· Φροντίσατε να ζητήσετε, να μάθετε και να φυλάξετε όλας τας εντολάς Κυρίου του Θεού μας, δια να κρατήσετε ως κληρονομίαν παντοτεινήν την εύφορον και ωραίαν αυτήν χώραν και να παραδώσετε αυτήν στους απογόνους σας εις αιώνας αιώνων.

Α Παραλ. 28,9 - καὶ νῦν, Σαλωμὼν υἱέ μου, γνῶθι τὸν Θεὸν τῶν πατέρων σου καὶ δούλευε αὐτῷ ἐν καρδίᾳ τελείᾳ καὶ ψυχῇ θελούσῃ, ὅτι πάσας καρδίας ἐτάζει Κύριος καὶ πᾶν ἐνθύμημα γινώσκει· ἐὰν ζητήσῃς αὐτόν, εὑρεθήσεταί σοι, καὶ ἐὰν καταλείψῃς αὐτόν, καταλείψει σε εἰς τέλος.

Α Παραλ. 28,9 - Και τώρα, υιέ μου Σολομών, φρόντισε να γνωρίσης τον Θεόν των πατέρων σου. Αυτόν να υπηρετής με όλην σου την καρδίαν, και με ψυχήν αφωσιωμένην, διότι ο Κυριος ερευνά και κατανοεί κάθε καρδίαν και γνωρίζει κάθε σκέψιν και απόφασίν μας. Εάν ζητήσης αυτόν, θα ευρεθή κοντά σου. Εάν όμως τον εγκαταλείψης, θα σε εγκαταλείψη και αυτός δια παντός.

Α Παραλ. 28,10 - ἰδὲ νῦν ὅτι Κύριος ᾑρέτικέ σε οἰκοδομῆσαι αὐτῷ οἶκον εἰς ἁγίασμα· ἴσχυε καὶ ποίει.

Α Παραλ. 28,10 - Ιδού, λοιπόν ότι ο Κυριος σε εξέλεξε, δια να οικοδομήσης προς τιμήν και λατρείαν του τον ναόν, ο οποίος θα είναι το αγίασμά του. Παρε λοιπόν θάρρος και προχώρησε αποφασιστικά στο έργον”.

Α Παραλ. 28,11 - καὶ ἔδωκε Δαυὶδ Σαλωμὼν τῷ υἱῷ αὐτοῦ τὸ παράδειγμα τοῦ ναοῦ καὶ τῶν οἴκων αὐτοῦ καὶ τῶν ζακχῶν αὐτοῦ καὶ τῶν ὑπερῴων καὶ τῶν ἀποθηκῶν τῶν ἐσωτέρων καὶ τοῦ οἴκου τοῦ ἐξιλασμοῦ.

Α Παραλ. 28,11 - Επειτα έδωκεν ο Δαυίδ στον Σολομώντα το σχέδιον του ναού και των γύρω από αυτόν κτιρίων, των θησαυροφυλακίων, των υπερώων, των εσωτερικών αιθουσών, όπως και του οίκου του εξιλαστηρίου, δηλαδή του χώρου, όπου θα είναι τα Αγια των Αγίων.

Α Παραλ. 28,12 - καὶ τὸ παράδειγμα, ὃ εἶχεν ἐν πνεύματι αὐτοῦ, τῶν αὐλῶν οἴκου Κυρίου καὶ πάντων τῶν παστοφορίων τῶν κύκλῳ τῶν εἰς τὰς ἀποθήκας οἴκου Κυρίου καὶ τῶν ἀποθηκῶν τῶν ἁγίων καὶ τῶν καταλυμάτων

Α Παραλ. 28,12 - Εδωκεν στον Σολομώντα το σχέδιον, το οποίον είχεν στον νουν του και το οποίον ανεφέρετο εις τας αυλάς του ναού του Κυρίου εις όλα τα γύρω δωμάτια τα προοριζόμενα ως θησαυροφυλάκια δια τα Αγια και τα Αγια των Αγίων και δια τα καταλύματα,

Α Παραλ. 28,13 - καὶ τῶν ἐφημεριῶν τῶν ἱερέων καὶ τῶν Λευιτῶν εἰς πᾶσαν ἐργασίαν λειτουργίας οἴκου Κυρίου καὶ τῶν ἀποθηκῶν τῶν λειτουργησίμων σκευῶν τῆς λατρείας οἴκου Κυρίου,

Α Παραλ. 28,13 - που προωρίζοντο δια τους ιερείς και Λευίτας, οι οποίοι θα εξετέλουν κάθε υπηρεσίαν στον οίκον του Κυρίου, δι' όλα τα ιερά σκεύη, τα οποία τα εχρησιμοποιούντο εις την λατρείαν του ναού του Κυρίου.

Α Παραλ. 28,14 - καὶ τὸν σταθμὸν τῆς ὁλκῆς αὐτῶν τῶν τε χρυσῶν καὶ ἀργυρῶν,

Α Παραλ. 28,14 - Εδωκεν επίσης όλον το βάρος του χρυσού και του αργυρού, που απητείτο δια τα χρυσά και αργυρά αντικείμενα του ναού.

Α Παραλ. 28,15 - λυχνιῶν τὴν ὁλκὴν ἔδωκεν αὐτῷ καὶ τῶν λύχνων.

Α Παραλ. 28,15 - Εδωκεν επίσης το βάρος του μετάλλου, που εχρειάζετο δια τας λυχνίας και τους λύχνους.

Α Παραλ. 28,16 - ἔδωκεν αὐτῷ ὁμοίως τὸν σταθμὸν τῶν τραπεζῶν τῆς προθέσεως, ἑκάστης τραπέζης χρυσῆς καὶ ὡσαύτως τῶν ἀργυρῶν,

Α Παραλ. 28,16 - Εδωκεν επίσης στον Σολομώντα το βάρος των διαφόρων τραπεζών, όπως και της τραπέζης της προθέσεως. Εκάστη τράπεζα ήτο χρυσή, επίσης έδωκε και το βάρος των αργυρών τραπεζών.

Α Παραλ. 28,17 - καὶ τῶν κρεαγρῶν καὶ σπονδείων καὶ τῶν φιαλῶν τῶν χρυσῶν καὶ τὸν σταθμὸν τῶν χρυσῶν καὶ ἀργυρῶν, καὶ θυΐσκων κεφφουρὲ ἑκάστου σταθμοῦ.

Α Παραλ. 28,17 - Εδωκε το απαιτούμενον μέταλλον δια τας περόνας, τα σπονδεία, τας χρυσάς φιάλας το βάρος των χρυσών αυτών αντικειμένων, όπως και το βάρος του κάθε θυμιατηρίου.

Α Παραλ. 28,18 - καὶ τὸν τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων ἐκ χρυσίου δοκίμου σταθμὸν ὑπέδειξεν αὐτῷ καὶ τὸ παράδειγμα τοῦ ἅρματος τῶν Χερουβὶμ τῶν διαπεπετασμένων ταῖς πτέρυξι καὶ σκιαζόντων ἐπὶ τῆς κιβωτοῦ διαθήκης Κυρίου.

Α Παραλ. 28,18 - Εδωκε το βάρος του από χρυσόν καθαρόν θυσιαστηρίου των θυμιαμάτων, όπως επίσης και τον τύπον του άρματος των Χερουβίμ τα οποία είχον ανοικτάς τας πτέρυγάς των και εσκίαζον άνω από την Κιβωτόν της Διαθήκης του Κυρίου.

Α Παραλ. 28,19 - πάντα ἐν γραφῇ χειρὸς Κυρίου ἔδωκε Δαυὶδ Σαλωμὼν κατὰ τὴν περιγενηθεῖσαν αὐτῷ σύνεσιν τῆς κατεργασίας τοῦ παραδείγματος.

Α Παραλ. 28,19 - Ολα αυτά, όπως είχαν παραδοθή γραπτώς και ιδιοχείρως από τον Κυριον στον Δαυίδ, έτσι ο Δαυίδ τα παρέδωσεν στον Σολομώντα. Τα παρέδωσε σύμφωνα με την δοθείσαν εις αυτόν σύνεσιν δια τα σχέδια και την κατεργασίαν των ιερών αυτών αντικειμένων.

Α Παραλ. 28,20 - καὶ εἶπε Δαυὶδ Σαλωμὼν τῷ υἱῷ αὐτοῦ· ἴσχυε καὶ ἀνδρίζου καὶ ποίει, μὴ φοβοῦ μηδὲ πτοηθῇς, ὅτι Κύριος ὁ Θεός μου μετὰ σοῦ, οὐ ἀνήσει σε καὶ οὐ μή σε ἐγκαταλίπῃ ἕως τοῦ συντελέσαι σε πᾶσαν ἐργασίαν λειτουργίας οἴκου Κυρίου. καὶ ἰδοὺ τὸ παράδειγμα τοῦ ναοῦ καὶ τοῦ οἴκου αὐτοῦ καὶ ζακχὼ αὐτοῦ καὶ τὰ ὑπερῷα καὶ τὰς ἀποθήκας τὰς ἐσωτέρας καὶ τὸν οἶκον τοῦ ἱλασμοῦ καὶ τὸ παράδειγμα οἴκου Κυρίου.

Α Παραλ. 28,20 - Είπεν έπειτα ο Δαυίδ στον υιόν του τον Σολομώντα· "πάρε δύναμιν και θάρρος και προχώρει στο έργον σου. Μη φοβηθής και μη πτοηθής τίποτε, διότι Κυριος ο Θεός μου είναι μαζή σου. Δεν θα σε αφήση και δεν θα σε εγκαταλείψη, έως ότου αποπερατώσης όλην την εργασίαν την αναφερομένην εις την υπηρεσίαν του ναού του Κυρίου. Ιδού, έδωκα εις σε το υπόδειγμα του ναού, του οίκου αυτού, με τα θησαυροφυλάκιά του, με τα υπερώα δωμάτια, τας εσωτερικάς αποθήκας, τον χώρον όπου θα είναι τα Αγια των Αγίων, σύμφωνα με το υπόδειγμα του ναού του Κυρίου.

Α Παραλ. 28,21 - καὶ ἰδοὺ αἱ ἐφημερίαι τῶν ἱερέων καὶ τῶν Λευιτῶν εἰς πᾶσαν λειτουργίαν οἴκου Κυρίου καὶ μετὰ σοῦ ἐν πάσῃ πραγματείᾳ καὶ πᾶς πρόθυμος ἐν σοφίᾳ κατὰ πᾶσαν τέχνην καὶ οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς εἰς πάντας τοὺς λόγους σου.

Α Παραλ. 28,21 - Ιδού, μαζή σου θα είναι αι τάξεις των ιερέων και των Λευϊτών δια κάθε εργασίαν αναφερομένην στον ναόν. Εις κάθε έργον μαζή σου επίσης θα είναι όλοι οι σοφοί και ικανοί δια κάθε τέχνην άνθρωποι. Οι αρχηγοί και όλος ο λαός θα είναι πρόθυμοι εις κάθε εντολήν, που θα τους δώσης".

Α ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 29

Α Παραλ. 29,1 - Καὶ εἶπε Δαυὶδ ὁ βασιλεὺς πάσῃ τῇ ἐκκλησίᾳ· Σαλωμὼν ὁ υἱός μου, εἰς ὃν ᾑρέτικεν ἐν αὐτῷ Κύριος, νέος καὶ ἁπαλός, καὶ τὸ ἔργον μέγα, ὅτι οὐκ ἀνθρώπῳ, ἀλλ᾽ ἢ Κυρίῳ Θεῷ.

Α Παραλ. 29,1 - Ο βασιλεύς Δαυίδ είπε προς όλην την συγκέντρωσιν του ισραηλιτικού λαού· “ο υιός μου ο Σολομών, τον οποίον ο Κυριος εξέλεξεν αυτόν μόνον μεταξύ όλων των υιών μου, είναι νέος και άπειρος. Το δε έργον της ανοικοδομήσεως του ναού είναι μέγα και δύσκολον. Διότι ο οίκος αυτός δεν προορίζεται δι' άνθρωπον, αλλά θα είναι αφιερωμένος στον Κυριον και Θεόν ημών.

Α Παραλ. 29,2 - κατὰ πᾶσαν τὴν δύναμιν ἡτοίμακα εἰς οἶκον Θεοῦ μου χρυσίον, ἀργύριον, χαλκόν, σίδηρον, ξύλα, λίθους σοόμ, καὶ πληρώσεως λίθους πολυτελεῖς καὶ ποικίλους καὶ πάντα λίθον τίμιον καὶ Πάριον πολύν.

Α Παραλ. 29,2 - Εγώ με όλην μου την δύναμιν έχω ετοιμάσει δια τον ναόν του Θεού μου χρυσόν, άργυρον, χαλκόν, σίδηρον, ξύλα, ονυχίτας λίθους, λίθους κοινούς δια την συμπλήρωσιν, λίθους πολυτίμους ποικίλων χρωμάτων και κάθε άλλον πολύτιμον λίθον, όπως επίσης και πολύ λευκόν μάρμαρον (εκ της νήσου Παρου).

Α Παραλ. 29,3 - καὶ ἔτι ἐν τῷ εὐδοκῆσαί με ἐν οἴκῳ Θεοῦ μου ἔστι μοι ὃ περιπεποίημαι χρυσίον καὶ ἀργύριον, καὶ ἰδοὺ δέδωκα εἰς οἶκον Θεοῦ μου εἰς ὕψος, ἐκτὸς ὧν ἡτοίμακα εἰς τὸν οἶκον τῶν ἁγίων,

Α Παραλ. 29,3 - Υπάρχει εις εμέ, ως ιδιωτική μου περιουσία, χρυσός και άργυρος, τα οποία εν τη μεγάλη μου επιθυμία και αφοσιώσει δια τον οίκον του Κυρίου προσφέρω δια την μεγαλοπρέπειαν του ναού του Θεού μου, έκτος βέβαια εκείνων, τα οποία έχω ετοιμάσει δια τον ναόν του Κυρίου.

Α Παραλ. 29,4 - τρισχίλια τάλαντα χρυσίου τοῦ ἐκ Σουφὶρ καὶ ἑπτακισχίλια τάλαντα ἀργυρίου δοκίμου ἐξαλειφῆναι ἐν αὐτοῖς τοὺς τοίχους τοῦ ἱεροῦ,

Α Παραλ. 29,4 - Διδω τρεις χιλιάδας χρυσά τάλαντα από το χρυσίον Σουφίρ, επτά χιλιάδας αργυρά τάλαντα από εκλεκτόν καθαρόν άργυρον δια την επένδυσιν των εσωτερικών τοίχων του ιερού.

Α Παραλ. 29,5 - εἰς τὸ χρυσίον τῷ χρυσίῳ καὶ εἰς τὸ ἀργύριον τῷ ἀργυρίῳ, καὶ εἰς πᾶν ἔργον διὰ χειρὸς τῶν τεχνιτῶν. καὶ τίς ὁ προθυμούμενος πληρῶσαι τὰς χεῖρας αὐτοῦ σήμερον Κυρίῳ;

Α Παραλ. 29,5 - Διδω τον χρυσόν δια τα εκ χρυσού αντικείμενα. Διδω τον άργυρον, δια να κατασκευασθούν όλα τα εξ αργύρου αντικείμενα και όλα τα έργα, τα οποία θα κατασκευάσουν χέρια τεχνιτών. Ποιός λοιπόν, από σας θα προθυμοποιηθή να ανοίξη το χέρι του και να προσφέρη σήμερον δια τον ναόν του Κυρίου;”

Α Παραλ. 29,6 - καὶ προεθυμήθησαν ἄρχοντες πατριῶν καὶ οἱ ἄρχοντες τῶν υἱῶν Ἰσραήλ, καὶ οἱ χιλίαρχοι καὶ οἱ ἑκατόνταρχοι, καὶ οἱ προστάται τῶν ἔργων καὶ οἱ οἰκοδόμοι τοῦ βασιλέως

Α Παραλ. 29,6 - Επροθυμοποίηθησαν οι αρχηγοί των πατριαρχικών οικογενειών, οι άρχοντες των φυλών, οι χιλίαρχοι, οι εκατόνταρχοι, οι επιστάται των έργων και οι οικοδόμοι του βασιλέως.

Α Παραλ. 29,7 - καὶ ἔδωκαν εἰς τὰ ἔργα τοῦ οἴκου Κυρίου χρυσίου τάλαντα πεντακισχίλια καὶ χρυσοῦς μυρίους καὶ ἀργυρίου ταλάντων δέκα χιλιάδας καὶ χαλκοῦ τάλαντα μύρια ὀκτακισχίλια καὶ σιδήρου ταλάντων χιλιάδας ἑκατόν.

Α Παραλ. 29,7 - Προσέφεραν προθύμως δια τα έργα του ναού του Κυρίου πέντε χιλιάδας χρυσά τάλαντα, δέκα χιλιάδας χρυσά νομίσματα, δέκα χιλιάδας αργυρά τάλαντα, δεκακτώ χιλιάδας τάλαντα χαλκού και εκατόν χιλιάδας τάλαντα σιδήρου.

Α Παραλ. 29,8 - καὶ οἷς εὑρέθη παρ᾿ αὐτοῖς λίθος, ἔδωκαν εἰς τὰς ἀποθήκας οἴκου Κυρίου διὰ χειρὸς Ἰεϊὴλ τοῦ Γεδσωνί.

Α Παραλ. 29,8 - Εκείνοι, οι οποίοι ε*χον υπό την κατοχήν των πολυτίμους λίθους, έδωκαν αυτούς δια το θησαυροφυλάκιον του ναού του Κυρίου, το οποίον ευρίσκετο υπό την εποπτείαν του Ιεϊήλ του Γεθσωνίτου.

Α Παραλ. 29,9 - καὶ εὐφράνθη ὁ λαὸς ὑπὲρ τοῦ προθυμηθῆναι, ὅτι ἐν καρδίᾳ πλήρει προεθυμήθησαν τῷ Κυρίῳ, καὶ Δαυὶδ ὁ βασιλεὺς εὐφράνθη μεγάλως.

Α Παραλ. 29,9 - Ο λαός ηυφράνθη δια την ολοπρόθυμον αυτήν προσφοράν, διότι με όλην των την καρδίαν τα αφιέρωσαν στον Κυριον. Και ο βασιλεύς Δαυίδ ηυφράνθη επίσης πάρα πολύ.

Α Παραλ. 29,10 - καὶ εὐλόγησεν ὁ βασιλεὺς Δαυὶδ τὸν Κύριον ἐνώπιον τῆς ἐκκλησίας λέγων· εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς Ἰσραήλ, ὁ πατὴρ ἡμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος.

Α Παραλ. 29,10 - Τοτε δε ο βασιλεύς Δαυίδ εδόξασε τον Θεόν ενώπιον όλης της συγκεντρώσεως λέγων· “δοξασμένος είσαι, Κυριε, ο Θεός του ισραηλιτικού λαού, ο πατήρ ημών από αιώνων έως αιώνας των αιώνων.

Α Παραλ. 29,11 - σοί, Κύριε, ἡ μεγαλωσύνη καὶ ἡ δύναμις καὶ τὸ καύχημα καὶ ἡ νίκη καὶ ἡ ἰσχύς, ὅτι σὺ πάντων τῶν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς δεσπόζεις, ἀπὸ προσώπου σου ταράσσεται πᾶς βασιλεὺς καὶ ἔθνος.

Α Παραλ. 29,11 - Εις σέ, Κυριε, υπάρχει πάντοτε η μεγαλωσύνη, η δύναμις, η δόξα, η νίκη, η ισχύς, διότι συ είσαι ο απόλυτος Κυριος όλων όσα υπάρχουν στον ουρανόν και εις την γην. Ενώπιόν σου τρέμει και συγκλονίζεται κάθε βασιλεύς και έθνος.

Α Παραλ. 29,12 - παρὰ σοῦ ὁ πλοῦτος καὶ ἡ δόξα, σὺ πάντων ἄρχεις, Κύριε, ὁ ἄρχων πάσης ἀρχῆς, καὶ ἐν χειρί σου ἰσχὺς καὶ δυναστεία, καὶ ἐν χειρί σου, παντοκράτωρ, μεγαλῦναι καὶ κατισχῦσαι τὰ πάντα.

Α Παραλ. 29,12 - Από σε προέρχεται ο πλούτος και η δόξα. Συ, Κυριε, είσαι ο άρχων των πάντων, ο άρχων των αρχόντων και εις τα χέρια σου, Κυριε παντοκράτωρ, υπάρχει η ισχύς και η δύναμις, και εις τα χέρια σου εναπόκειται να κάμης τα πάντα μεγάλα και ισχυρά.

Α Παραλ. 29,13 - καὶ νῦν, Κύριε, ἐξομολογούμεθά σοι καὶ αἰνοῦμεν τὸ ὄνομα τῆς καυχήσεώς σου.

Α Παραλ. 29,13 - Και τώρα, Κυριε, δοξολογούμεν και υμνολογούμεν το πανένδοξον όνομά σου.

Α Παραλ. 29,14 - καὶ τίς εἰμι ἐγὼ καὶ τίς ὁ λαός μου, ὅτι ἰσχύσαμεν προθυμηθῆναί σοι κατὰ ταῦτα; ὅτι σὰ τὰ πάντα, καὶ ἐκ τῶν σῶν δεδώκαμέν σοι.

Α Παραλ. 29,14 - Ποιός δε είμαι εγώ και ποιός είναι ο λαός μου, που ηξιώθημεν να προσφέρωμεν προθύμως τας δωρεάς αυτάς; Ιδικά σου είναι τα πάντα, και από τα ιδικά σου προσφέρομεν εις σε τα δώρα μας.

Α Παραλ. 29,15 - ὅτι πάροικοί ἐσμεν ἐναντίον σου καὶ παροικοῦντες ὡς πάντες οἱ πατέρες ἡμῶν· ὡς σκιὰ αἱ ἡμέραι ἡμῶν ἐπὶ γῆς, καὶ οὐκ ἔστιν ὑπομονή.

Α Παραλ. 29,15 - Ημείς είμεθα παρεπίδημοι ενώπιόν σου και παρεπίδημοι επάνω εις την γην, όπως ήσαν και όλοι οι πατέρες μας. Σαν σκια φεύγουν αι ημέραι μας εις την γην και δεν υπάρχει μονιμότης επάνω εις αυτήν.

Α Παραλ. 29,16 - Κύριε ὁ Θεὸς ἡμῶν, πρὸς πᾶν τὸ πλῆθος τοῦτο, ὃ ἡτοίμακα οἰκοδομηθῆναι οἶκον τῷ ὀνόματι τῷ ἁγίῳ σου, ἐκ χειρός σού ἐστι, καὶ σοὶ τὰ πάντα.

Α Παραλ. 29,16 - Κυριε ο Θεός ημών, όλαι αυταί αι πλούσιαι προσφοραί, τας οποίας εγώ έχω ετοιμάσει δια να οικοδομηθή ο ναός προς τιμήν του αγίου σου Ονόματος, προέρχονται από τα χέρια σου και εις σε ανήκουν όλα.

Α Παραλ. 29,17 - καὶ ἔγνων, Κύριε, ὅτι σὺ εἶ ὁ ἐτάζων καρδίας καὶ δικαιοσύνην ἀγαπᾷς· ἐν ἁπλότητι καρδίας προεθυμήθην ταῦτα πάντα, καὶ νῦν τὸν λαόν σου τὸν εὑρεθέντα ὧδε εἶδον ἐν εὐφροσύνῃ προθυμηθέντα σοι.

Α Παραλ. 29,17 - Εγώ, Κυριε, εγνώρισα και κατενόησα ότι συ είσαι εκείνος, που εξετάζεις τας καρδίας των ανθρώπων και αγαπάς την δικαιοσύνην. Εγώ με απλότητα καρδίας επροθυμοποιήθην να προσφέρω όλα αυτά δια το έργον σου. Αλλά είδα και τον λαόν σου, ο οποίος τώρα ευρίσκεται εδώ συγκεντρωμένος, με μεγάλην προθυμίαν και ευφροσύνην να προσφέρη εις σε τα δώρα του.

Α Παραλ. 29,18 - Κύριε ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραήλ, τῶν πατέρων ἡμῶν, φύλαξον ταῦτα ἐν διανοίᾳ καρδίας λαοῦ σου εἰς τὸν αἰῶνα καὶ κατεύθυνον τὰς καρδίας αὐτῶν πρός σε.

Α Παραλ. 29,18 - Κυριε, ο Θεός του Αβραάμ και του Ισαάκ και του Ιακώβ, των προπατόρων ημών, διατήρησε στον αιώνα τα ευσεβή αυτά αισθήματα εις τας καρδίας του λαού σου και κατεύθυνε τας καρδίας αυτών προς σέ.

Α Παραλ. 29,19 - καὶ Σαλωμὼν τῷ υἱῷ μου δὸς καρδίαν ἀγαθὴν ποιεῖν τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου καὶ τὰ προστάγματά σου καὶ τοῦ ἐπὶ τέλους ἀγαγεῖν τὴν κατασκευὴν τοῦ οἴκου σου.

Α Παραλ. 29,19 - Και στον Σολομώντα, τον υιόν μου, δώσε αγαθήν καρδίαν, δια να τηρή τας εντολάς σου, τα μαρτύριά σου και τα προστάγματά σου και να φέρη έτσι εις πέρας την κατασκευήν του ναού σου”.

Α Παραλ. 29,20 - καὶ εἶπε Δαυὶδ πάσῃ τῇ ἐκκλησίᾳ· εὐλογήσατε Κύριον τὸν Θεὸν ἡμῶν· καὶ εὐλόγησε πᾶσα ἡ ἐκκλησία Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτῶν, καὶ κάμψαντες τὰ γόνατα προσεκύνησαν τῷ Κυρίῳ, καὶ τῷ βασιλεῖ.

Α Παραλ. 29,20 - Απηυθύνθη τότε ο Δαυίδ και είπε προς όλην την συγκέντρωσιν των Ισραηλιτών· “δοξολογήσατε τον Κυριον μας και Θεόν μας”. Ολόκληρος η συγκέντρωσις ευλόγησε Κυριον τον Θεόν των πατέρων των και κλίναντες τα γόνατά των προσεκύνησαν τον Κυριον και τον βασιλέα.

Α Παραλ. 29,21 - καὶ ἔθυσε Δαυὶδ τῷ Κυρίῳ θυσίας καὶ ἀνήνεγκεν ὁλοκαυτώματα τῷ Θεῷ τῇ ἐπαύριον τῆς πρώτης ἡμέρας μόσχους χιλίους, κριοὺς χιλίους, ἄρνας χιλίους καὶ τὰς σπονδὰς αὐτῶν καὶ θυσίας εἰς πλῆθος παντὶ τῷ Ἰσραήλ.

Α Παραλ. 29,21 - Την επομένην της ημέρας αυτής προσέφερεν ο Δαυίδ θυσίας στον Κυριον. Προσέφερεν ως ολοκαυτώματα χιλίους μόσχους, χιλίους κριούς, χιλίους αμνούς, σπονδάς οίνου και πολυαρίθμους άλλας θυσίας δι' όλον τον ισραηλιτικόν λαόν.

Α Παραλ. 29,22 - καὶ ἔφαγον καὶ ἔπιον ἐναντίον τοῦ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετὰ χαρᾶς καὶ ἐβασίλευσαν ἐκ δευτέρου τὸν Σαλωμὼν υἱὸν Δαυὶδ καὶ ἔχρισαν αὐτὸν τῷ Κυρίῳ εἰς βασιλέα καὶ Σαδὼκ εἰς ἱερωσύνην.

Α Παραλ. 29,22 - Οι δε Ισραηλίται έφαγον και έπιον ενώπιον του Κυρίου κατά την ημέραν εκείνην με μεγάλην χαράν. Τοτε δια δευτέραν φοράν ανεκήρυξαν τον Σολομώντα, τον υιόν του Δαυίδ, ως βασιλέα και έχρισαν αυτόν ως βασιλέα εις δόξαν του Κυρίου. Εχρισαν δε και τον Σαδώκ ως αρχιερέα.

Α Παραλ. 29,23 - καὶ ἐκάθισε Σαλωμὼν ἐπὶ θρόνου Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ εὐδοκήθη, καὶ ὑπήκουσαν αὐτοῦ πᾶς Ἰσραήλ·

Α Παραλ. 29,23 - Εκάθισεν ο Σολομών στον θρόνον του πατρός του του Δαυίδ και ευδοκίμησεν ως βασιλεύς. Ολοι δε οι Ισραηλίται υπήκουσαν εις αυτόν.

Α Παραλ. 29,24 - οἱ ἄρχοντες καὶ οἱ δυνάσται καὶ πάντες υἱοὶ Δαυὶδ τοῦ βασιλέως τοῦ πατρὸς αὐτοῦ ὑπετάγησαν αὐτῷ.

Α Παραλ. 29,24 - Υπήκουσαν όλοι οι αρχηγοί, όλοι οι επ' εξουσίαις, όλοι οι άλλοι υιοί του βασιλέως Δαυίδ του πατρός του.

Α Παραλ. 29,25 - καὶ ἐμεγάλυνε Κύριος τὸν Σαλωμὼν ἐπάνωθεν παντὸς Ἰσραὴλ καὶ ἔδωκεν αὐτῷ δόξαν βασιλέως, ὃ οὐκ ἐγένετο ἐπὶ παντὸς βασιλέως ἔμπροσθεν αὐτοῦ.

Α Παραλ. 29,25 - Ο Κυριος ανέδειξε μέγαν και ένδοξον τον Σολομώντα άρχοντα εις όλον τον ισραηλιτικόν λαόν και έδωκεν εις αυτόν τέτοιαν βασιλικήν δόξαν, ομοία της οποίας δεν υπήρχε προ αυτού εις κανένα βασιλέα.

Α Παραλ. 29,26 - καὶ Δαυὶδ υἱὸς Ἰεσσαὶ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ

Α Παραλ. 29,26 - Ο Δαυίδ, ο υιός του Ιεσσαί, εβασίλευσεν επί του ισραηλιτικού λαού

Α Παραλ. 29,27 - ἔτη τεσσαράκοντα, ἐν Χεβρὼν ἔτη ἑπτὰ καὶ ἐν Ἱερουσαλὴμ ἔτη τριακοντατρία.

Α Παραλ. 29,27 - τεσσαράκοντα έτη· επτά έτη εις την Χεβρών και τριάκοντα τρία έτη εις την Ιερουσαλήμ.

Α Παραλ. 29,28 - καὶ ἐτελεύτησεν ἐν γήρᾳ καλῷ, πλήρης ἡμερῶν, πλούτῳ καὶ δόξῃ, καὶ ἐβασίλευσε Σαλωμὼν υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Α Παραλ. 29,28 - Απέθανε δε εις ένα ευτυχισμένον γήρας πλήρης ημερών, γεμάτος πλούτη και δόξαν. Αντί δε αυτού έγινε βασιλεύς ο Σολομών, ο υιός του.

Α Παραλ. 29,29 - οἱ δὲ λοιποὶ λόγοι τοῦ βασιλέως Δαυίδ, οἱ πρότεροι καὶ οἱ ὕστεροι, γεγραμμένοι εἰσὶν ἐν λόγοις Σαμουὴλ τοῦ βλέποντος καὶ ἐπὶ λόγων Νάθαν τοῦ προφήτου καὶ ἐπὶ λόγων Γὰδ τοῦ βλέποντος

Α Παραλ. 29,29 - Ολα τα άλλα έργα του βασιλέως Δαυίδ, προηγούμενα και επόμενα, είναι γραμμένα στο βιβλίον του Σαμουήλ του προφήτου, στο βιβλίον Ναθαν του προφήτου και στο βιβλίον Γαδ του προφήτου.

Α Παραλ. 29,30 - περὶ πάσης τῆς βασιλείας αὐτοῦ καὶ τῆς δυναστείας αὐτοῦ, καὶ οἱ καιροί, οἳ ἐγένοντο ἐπ᾿ αὐτῷ, καὶ ἐπὶ τὸν Ἰσραὴλ καὶ ἐπὶ πάσας βασιλείας τῆς γῆς.

Α Παραλ. 29,30 - Εκεί είναι γραμμένα τα περί όλης της βασιλείας του Δαυίδ, περί των κατορθωμάτων του, όπως επίσης και περί των διαφόρων περιστάσεων και συνθηκών, υπό τας οποίας έζητεν αυτός και ο ισραηλιτικός λαός και όλαι αι βασιλείαι των άλλων χωρών, με τας οποίας ήλθεν εις κάποιον σχέσιν ο Δαυίδ.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β' (Χρονικών Β')

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 1

Β Παραλ. 1,1 - Καὶ ἐνίσχυσε Σαλωμὼν υἱὸς Δαυὶδ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, καὶ Κύριος ὁ Θεὸς αὐτοῦ μετ᾿ αὐτοῦ καὶ ἐμεγάλυνεν αὐτὸν εἰς ὕψος.
Β Παραλ. 1,1 - Ο Σολομών, ο υιός του Δαυίδ, ενισχύθη και εστερεώθη εις την βασιλείαν του. Κυριος δε ο Θεός ήτο μαζή του, ο οποίος και τον εξύψωσε μεγάλως.
Β Παραλ. 1,2 - καὶ εἶπε Σαλωμὼν πρὸς πάντα Ἰσραήλ, τοῖς χιλιάρχοις καὶ τοῖς ἑκατοντάρχοις καὶ τοῖς κριταῖς καὶ πᾶσι τοῖς ἄρχουσιν ἐναντίον Ἰσραὴλ τοῖς ἄρχουσι τῶν πατριῶν.
Β Παραλ. 1,2 - Ο Σολομών έδωσε τότε διαταγήν εις όλους τους Ισραηλίτας, στους χιλιάρχους, τους εκατοντάρχους, τους δικαστάς και εις όλους τους άλλους άρχοντας του ισραηλιτικού λαού και τους αρχηγούς των οικογενειών, να συγκεντρωθούν στο ύψωμα Γαβαών.
Β Παραλ. 1,3 - καὶ ἐπορεύθη Σαλωμὼν καὶ πᾶσα ἡ ἐκκλησία εἰς τὴν ὑψηλὴν τὴν ἐν Γαβαών, οὗ ἐκεῖ ἦν ἡ σκηνὴ τοῦ μαρτυρίου τοῦ Θεοῦ, ἣν ἐποίησε Μωυσῆς παῖς Κυρίου ἐν τῇ ἐρήμῳ·
Β Παραλ. 1,3 - Εκεί μετέβη ο Σολομών, όπως και όλοι οι συγκεντρωθέντες, στο ύψωμα πλησίον της Γαβαών, όπου ευρίσκετο η Σκηνή του Μαρτυρίου του Θεού, την οποίαν είχε κατασκευάσει εις την έρημον ο Μωϋσής, ο δούλος του Θεού.
Β Παραλ. 1,4 - ἀλλὰ κιβωτὸν τοῦ Θεοῦ ἀνήνεγκε Δαυὶδ ἐκ πόλεως Καριαθιαρίμ, ὅτι ἡτοίμασεν αὐτῇ Δαυίδ, ὅτι ἔπηξεν αὐτῇ σκηνὴν ἐν Ἱερουσαλήμ.
Β Παραλ. 1,4 - Την Κιβωτόν όμως του Μαρτυρίου του Θεού είχε μεταφέρει ο Δαυίδ από την πόλιν Καριαθιαρίμ εις την Ιερουσαλήμ εις θέσιν, όπου είχε προηγουμένως ετοιμάσει, διότι εκεί είχε στήσει Σκηνήν δι' αυτήν.
Β Παραλ. 1,5 - καὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν, ὃ ἐποίησε Βεσελεὴλ υἱὸς Οὐρίου, υἱοῦ Ὤρ, ἐκεῖ ἦν ἔναντι τῆς σκηνῆς Κυρίου, καὶ ἐξεζήτησεν αὐτὸ Σαλωμὼν καὶ ἡ ἐκκλησία,
Β Παραλ. 1,5 - Το δε χάλκινον θυσιαστήριον, το οποίον είχε κατασκευάσει ο Βεσελεήλ ο υιός του Ουρίου υιού του Ωρ, ευρίσκετο εκεί εις την Γαβαών απέναντι από την Σκηνήν του Μαρτυρίου. Προς το θυσιαστήριον αυτό επορεύθησαν ο Σολομών και όλη η συγκέντρωσις, δια να προσφέρουν επάνω εις αυτό θυσίαν.
Β Παραλ. 1,6 - καὶ ἤνεγκε Σαλωμὼν ἐκεῖ ἐπὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ἐνώπιον Κυρίου τὸ ἐν τῇ σκηνῇ καὶ ἤνεγκεν ἐπ᾿ αὐτῷ ὁλοκαύτωσιν χιλίαν.

Β Παραλ. 1,6 - Ο Σολομών προσέφερε πράγματι στο χαλκούν αυτό θυσιαστήριον των ολοκαυτωμάτων, που ευρίσκετο ενώπιον του Κυρίου εκεί εις την Σκηνήν, προσέφερεν επάνω εις αυτό χίλια ζώα ως ολοκαυτώματα.

Β Παραλ. 1,7 - ἐν τῇ νυκτὶ ἐκείνῃ ὤφθη Θεὸς τῷ Σαλωμὼν καὶ εἶπεν αὐτῷ· αἴτησαι τί σοι δῶ.

Β Παραλ. 1,7 - Την επομένην νύκτα παρουσιάσθη ο Θεός στον Σολομώντα και του είπε· "ζήτησέ μου, τι θέλεις να σου δώσω".

Β Παραλ. 1,8 - καὶ εἶπε Σαλωμὼν πρὸς τὸν Θεόν· σὺ ἐποίησας μετὰ Δαυὶδ τοῦ πατρός μου ἔλεος μέγα καί ἐβασίλευσάς με ἀντ᾿ αὐτοῦ·

Β Παραλ. 1,8 - Ο Σολομών απήντησε προς τον Θεόν· "Συ έδειξες προς τον πατέρα μου, τον Δαυίδ, την μεγάλην σου αγαθότητα και καλωσύνην και ώρισες να βασιλεύσω εγώ, αντί εκείνου.

Β Παραλ. 1,9 - καὶ νῦν, Κύριε ὁ Θεός, πιστωθήτω δὴ τὸ ὄνομά σου ἐπὶ Δαυὶδ τὸν πατέρα μου, ὅτι σὺ ἐβασίλευσάς με ἐπὶ λαὸν πολύν, ὡς ὁ χοῦς τῆς γῆς·

Β Παραλ. 1,9 - Και τώρα, Κυριε ο Θεός, ας εκπληρωθή η κατά πάντα αξιόπιστος υπόσχεσίς σου προς τον Δαυίδ, τον πατέρα μου, διότι συ με ανέδειξες βασιλέα εις λαόν τόσον πολυάριθμον, όσος είναι ο κονιορτός της γης.

Β Παραλ. 1,10 - νῦν σοφίαν καὶ σύνεσιν δός μοι, καὶ ἐξελεύσομαι ἐνώπιον τοῦ λαοῦ τούτου καὶ εἰσελεύσομαι, ὅτι τίς κρινεῖ τὸν λαόν σου τὸν μέγαν τοῦτον;

Β Παραλ. 1,10 - Δος μου, λοιπόν, σε παρακαλώ σοφίαν και σύνεσιν, δια να αναστρέφομαι συνετώς εν μέσω του λαού αυτού και να τον κυβερνώ όπως πρέπει, διότι ποιός άνθρωπος, χωρίς την ιδικήν σου βοήθειαν, ημπορεί να κυβερνά ορθώς τον πρλυάριθμον αυτόν λαόν σου;"

Β Παραλ. 1,11 - καὶ εἶπεν ὁ Θεὸς πρὸς Σαλωμών· ἀνθ᾿ ὧν ἐγένετο τοῦτο ἐν τῇ καρδίᾳ σου καὶ οὐκ ᾐτήσω πλοῦτον χρημάτων οὐδὲ δόξαν οὐδὲ τὴν ψυχὴν τῶν ὑπεναντίων καὶ ἡμέρας πολλὰς οὐκ ᾐτήσω, καὶ ᾔτησας σεαυτῷ σοφίαν καὶ σύνεσιν, ὅπως κρίνῃς τὸν λαόν μου, ἐφ᾿ ὃν ἐβασίλευσά σε ἐπ᾿ αὐτόν,

Β Παραλ. 1,11 - Ο Θεός απήντησε προς τον Σολομώντα· "επειδή τέτοια συνετή και αξιέπαινος επιθυμία εγενήθη εις την καρδίαν σου και δεν εζήτησες πλούτη χρημάτων ούτε δόξαν, ούτε την ζωήν των εχθρών σου, ούτε μακροζωΐαν ιδικήν σου δεν εζήτησες, αλλά εζήτησες δια τον εαυτόν σου σοφίαν και σύνεσιν με τον σκοπόν να κυβερνάς και να κατευθύνης τον λαόν μου, επάνω στον οποίον εγώ σε κατέστησα βασιλέα,

Β Παραλ. 1,12 - τὴν σοφίαν καὶ τὴν σύνεσιν δίδωμί σοι καὶ πλοῦτον καὶ χρήματα καὶ δόξαν δώσω σοι, ὡς οὐκ ἐγενήθη ὅμοιός σοι ἐν τοῖς βασιλεῦσι τοῖς ἔμπροσθέν σου, καὶ μετὰ σὲ οὐκ ἔσται οὕτως.

Β Παραλ. 1,12 - δίδω εις σε αυτήν την σοφίαν και την σύνεσιν. Επί πλέον θα σου δώσω και πλούτη και χρήματα και δόξαν, τόσα πολλά, όσα κανείς ποτέ βασιλεύς προηγουμένως από σε δεν ανεδείχθη όμοιός σου, ούτε και έπειτα από σε θα αναδειχθή άλλος όμοιος προς σέ”.

Β Παραλ. 1,13 - καὶ ἦλθε Σαλωμὼν ἐκ βαμὰ τῆς ἐν Γαβαὼν εἰς Ἱερουσαλὴμ πρὸ προσώπου τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ ἐβασίλευσεν ἐπὶ Ἰσραήλ.

Β Παραλ. 1,13 - Επειτα ο Σολομών επέστρεψεν από το υψωμα εκείνο της Γαβαών εις την Ιερουσαλήμ εμπρός εις την Σκηνήν του Μαρτυρίου και έγινεν ο βασιλεύς στον ισραηλιτικόν λαόν.

Β Παραλ. 1,14 - Καὶ συνήγαγε Σαλωμὼν ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένοντο αὐτῷ χίλια καὶ τετρακόσια ἅρματα καὶ δώδεκα χιλιάδες ἱππέων· καὶ κατέλιπεν αὐτὰ ἐν πόλεσι τῶν ἁρμάτων, καὶ ὁ λαὸς μετὰ τοῦ βασιλέως ἐν Ἱερουσαλήμ.

Β Παραλ. 1,14 - Ο Σολομών συνεκέντρωσε πολεμικά άρματα και ιππείς, ώστε έφθασε να έχη χίλια τετρακόσια άρματα και δώδεκα χιλιάδες ιππείς. Αφήκε δε αυτά εις ειδικσς πόλεις, εις τας πόλεις των πολεμικών αρμάτων, ενώ ο στρατός ευρίσκετο μαζή με τον βασιλέα εις την Ιερουσαλήμ.

Β Παραλ. 1,15 - καὶ ἔθηκεν ὁ βασιλεὺς τὸ ἀργύριον καὶ τὸ χρυσίον ἐν Ἱερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ἐν τῇ Ἰουδαίᾳ ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος.

Β Παραλ. 1,15 - Απέκτησε δε ο βασιλεύς τόσον πολύ αργύριον και χρυσίον εις την Ιερουσαλήμ, ωσάν τους λίθους, και τόσας πολλάς κέδρους εις όλην την Ιουδαίαν, ωσάν τις συκαμινιές που υπάρχουν πολυάριθμοι εις την πεδιάδα.

Β Παραλ. 1,16 - καὶ ἡ ἔξοδος τῶν ἵππων Σαλωμὼν ἐξ Αἰγύπτου, καὶ ἡ τιμὴ τῶν ἐμπόρων τοῦ βασιλέως· ἐμπορεύεσθαι ἠγόραζον.

Β Παραλ. 1,16 - Επί πλέον ο Σολομών έκαμνε διαμετακομιστικόν εμπόριον ίππων από την Αίγυπτον πους άλλας χώρας. Οι έμποροι του βασιλέως επλήρωναν αυτούς και τους μετεπώλουν έπειτα εις άλλας αγοράς.

Β Παραλ. 1,17 - καὶ ἀνέβαινον καὶ ἐξῆγον ἐξ Αἰγύπτου ἅρμα ἓν ἑξακοσίων ἀργυρίου καὶ ἵππον πεντήκοντα καὶ ἑκατὸν ἀργυρίου· καὶ οὕτω πᾶσι τοῖς βασιλεῦσι τῶν Χετταίων καὶ τοῖς βασιλεῦσι Συρίας ἐν χερσὶν αὐτῶν ἔφερον.

Β Παραλ. 1,17 - Οι έμποροι ήρχοντο και εξήγον από την Αίγυπτον άρματα και ίππους και επωλούσαν ένα πολεμικόν άρμα αντί εξακοσίων αργυρών σίκλων, ένα δε ίππον αντί εκατόν πενήντα αργυρών σίκλων. Από δε την Ιουδαίαν οι έμποροι αυτοί μεταπωλούσαν αυτά εις όλους τους βασιλείς των Χετταίων και τους βασιλείς της Συρίας.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 2

Β Παραλ. 2,1 - Καὶ εἶπε Σαλωμὼν τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ.

Β Παραλ. 2,1 - Ο Σολομών απεφάσισε και είπε τότε να ανοικοδομήση ναόν στο όνομα του Κυρίου, όπως επίσης και το βασιλικόν του ανάκτορον.

Β Παραλ. 2,2 - καὶ συνήγαγε Σαλωμὼν ἑβδομήκοντα χιλιάδας ἀνδρῶν νωτοφόρων καὶ ὀγδοήκοντα χιλιάδας λατόμων ἐν τῷ ὄρει, καὶ οἱ ἐπιστάται ἐπ᾿ αὐτῶν τρισχίλιοι ἑξακόσιοι.

Β Παραλ. 2,2 - Προς τον σκοπόν αυτόν ο Σολομών συνήθροισεν εβδομήκοντα χιλιάδες αχθοφόρους και ογδοήκοντα χιλιάδες λατόμους, οι οποίοι θα έκοπταν λίθους στο όρος. Επιστάτας επάνω εις αυτούς ώρισεν τρεις χιλιάδας εξακοσίους άνδρας.

Β Παραλ. 2,3 - καὶ ἀπέστειλε Σαλωμὼν πρὸς Χιρὰμ βασιλέα Τύρου λέγων· ὡς ἐποίησας μετὰ Δαυὶδ τοῦ πατρός μου καὶ ἀπέστειλας αὐτῷ κέδρους τοῦ οἰκοδομῆσαι ἑαυτῷ οἶκον κατοικῆσαι ἐν αὐτῷ,

Β Παραλ. 2,3 - Εστειλε δε ο Σολομών ανθρώπους του προς τον Χιράμ, τον βασιλέα της Τυρου, δια να του είπουν· "όπως εξυπηρέτησες τον πατέρα μου τον Δαυίδ και έστειλες προς αυτόν ξύλα κέδρινα, δια να ανοικοδομήση την κατοικίαν του και να κατοικήση εις αυτήν, έτσι κάμε τώρα και με εμέ.

Β Παραλ. 2,4 - καὶ ἰδοὺ ἐγὼ ὁ υἱὸς αὐτοῦ οἰκοδομῶ οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ μου ἁγιάσαι αὐτὸν αὐτῷ τοῦ θυμιᾶν ἀπέναντι αὐτοῦ θυμίαμα καὶ πρόθεσιν διὰ παντὸς καὶ τοῦ ἀναφέρειν ὁλοκαυτώματα διὰ παντὸς τὸ πρωΐ καὶ τὸ δείλης καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις καὶ ἐν ταῖς ἑορταῖς τοῦ Κυρίου Θεοῦ ἡμῶν· εἰς τὸν αἰῶνα τοῦτο ἐπὶ τὸν Ἰσραήλ.

Β Παραλ. 2,4 - Ιδού εγώ, ο υιός του Δαυίδ, θα ανοικοδομήσω ναόν στο όνομα Κυρίου του Θεού μου, θα αφιερώσω τούτον εις αυτόν, ώστε να του προσφέρεται θυμίαμα και να παρατίθενται πάντοτε οι άρτοι της προθέσεως εις την τράπεζαν. Να προσφέρουν διαρκώς εις αυτόν θυσίας ολοκαυτωμάτων, πρωί και εσπέρας, όπως επίσης κατά τα σάββατα, κατά την πρώτην εκάστου μηνός και κατά τας άλλας εορτάς Κυρίου του Θεού μας. Αυτό είναι αιωνίως επιβεβλημένον καθήκον στον ισραηλιτικόν λαόν.

Β Παραλ. 2,5 - καὶ ὁ οἶκος, ὃν ἐγὼ οἰκοδομῶ μέγας, ὅτι μέγας Κύριος ὁ Θεὸς ἡμῶν παρὰ πάντας τοὺς θεούς.

Β Παραλ. 2,5 - Ο ναός δέ, τον οποίον εγώ θα ανοικοδομήσω, θα είναι πολύ μεγάλος, διότι Κυριος ο Θεός ημών είναι ο απολύτως μέγας υπέρ πάντας τους άλλους θεούς.

Β Παραλ. 2,6 - καὶ τίς ἰσχύσει οἰκοδομῆσαι αὐτῷ οἶκον; ὅτι ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐ φέρουσι τὴν δόξαν αὐτοῦ. καὶ τίς ἐγὼ οἰκοδομῶν αὐτῷ οἶκον; ὅτι ἀλλ᾿ ἢ τοῦ θυμιᾶν κατέναντι αὐτοῦ.

Β Παραλ. 2,6 - Και ποιός άνθρωπος θα ημπορέση ποτέ να ανοικοδομήση ναόν αντάξιον αυτού; Διότι ο ουρανός ο ένας και οι ουρανοί των ουρανών δεν ημπορούν να βαστάσουν την δόξαν του. Ποιός λοιπόν είμαι εγώ, ο οποίος θα τολμήσω να ανοικοδομήσω οίκον προς τιμήν του; Ο ναός αυτός κτίζεται μόνον και μόνον, δια να προσφέρεται ενώπιόν του θυμίαμα.

Β Παραλ. 2,7 - καὶ νῦν ἀπόστειλόν μοι ἄνδρα σοφὸν καὶ εἰδότα τοῦ ποιῆσαι ἐν τῷ χρυσίῳ καὶ ἐν τῷ ἀργυρίῳ καὶ ἐν τῷ χαλκῷ καὶ ἐν τῷ σιδήρῳ καὶ ἐν τῇ πορφύρᾳ καὶ ἐν τῷ κοκκίνῳ καὶ ἐν τῇ ὑακίνθῳ καὶ ἐπιστάμενον γλύψαι γλυφὴν μετὰ τῶν σοφῶν τῶν μετ᾽ ἐμοῦ ἐν Ἰούδᾳ καὶ ἐν Ἱερουσαλήμ, ἃ ἡτοίμασε Δαυὶδ ὁ πατήρ μου.

Β Παραλ. 2,7 - Και τώρα, λοιπόν, σε παρακαλώ στείλε μου άνδρα σοφόν, γνωρίζοντα να κατεργάζεται τον χρυσόν, τον άργυρον, τον χαλκόν, τον σίδηρον και τα υφάσματα τα πορφυρά, τα βαθέως ερυθρά και τα κυανά.

Β Παραλ. 2,8 - καὶ ἀπόστειλόν μοι ξύλα κέδρινα καὶ ἀρκεύθινα καὶ πεύκινα ἐκ τοῦ Λιβάνου, ὅτι ἐγὼ οἶδα ὡς οἱ δοῦλοί σου οἴδασι κόπτειν ξύλα ἐκ τοῦ Λιβάνου· καὶ ἰδοὺ οἱ παῖδές σου μετὰ τῶν παίδων μου

Β Παραλ. 2,8 - Στείλε μου άνδρα, που να γνωρίζη την τέχνην του γλύπτου, δια να συνεργασθή με άλλους τεχνίτας ιδικούς μου, που ευρίσκονται εις την Ιερουσαλήμ και την Ιουδαίαν, δια να κατεργασθούν τα ύλικά, τα οποία προητοίμασεν ο πατήρ μου. Στείλε μου επίσης ξυλείαν κέδρων, αγριοκυπαρίσσων και πεύκων από το όρος Λιβανον, διότι γνωρίζω πόσον ικανοί, είναι οι δούλοι σου να κόπτουν τέτοια ξύλα από τον Λιβανον. Οι δούλοι σου δε θα συνεργασθούν προς τούτο με τους ιδικούς μου δούλους.

Β Παραλ. 2,9 - πορεύσονται ἑτοιμάσαι μοι ξύλα εἰς πλῆθος, ὅτι ὁ οἶκος, ὃν ἐγὼ οἰκοδομῶ μέγας καὶ ἔνδοξος.

Β Παραλ. 2,9 - Μαζή θα πάνε και οι μεν και οι δέ, δια να προετοιμάσουν πολυάριθμα τέτοια ξύλα, διότι ο ναός, τον οποίον θα ανοικοδομήσω, θα είναι μέγας και ένδοξος.

Β Παραλ. 2,10 - καὶ ἰδοὺ τοῖς ἐργαζομένοις τοῖς κόπτουσι ξύλα εἰς βρώματα δέδωκα σῖτον εἰς δόματα τοῖς παισί σου κόρων πυροῦ εἴκοσι χιλιάδας καὶ κριθῶν κόρων εἴκοσι χιλιάδας καὶ οἴνου μέτρων εἴκοσι χιλιάδας καὶ ἐλαίου μέτρων εἴκοσι χιλιάδας.

Β Παραλ. 2,10 - Εγώ δε θα δώσω στους εργάτας τους άνδρας σου, οι οποίοι θα κόπτουν αυτά τα ξύλα, ως αμοιβήν των είδη προς διατροφήν, τέσσαρα και πλέον εκατομμύρια κιλά σίτου, τέσσαρα και πλέον εκατομμύρια κιλά κριθής, εκατόν τριαντατέσσαρας χιλιάδας και πλέον κιλά οίνου, εκατόν τριαντατέσσαρας χιλιάδας και πλέον κιλά λάδι".

Β Παραλ. 2,11 - καὶ εἶπε Χιρὰμ βασιλεὺς Τύρου ἐν γραφῇ καὶ ἀπέστειλε πρὸς Σαλωμὼν λέγων· ἐν τῷ ἀγαπῆσαι Κύριον τὸν λαὸν αὐτοῦ ἔδωκέ σε

ἐπ᾽ αὐτοὺς βασιλέα.

Β Παραλ. 2,11 - Ο βασιλεύς της Τυρου ο Χιράμ απήντησε με επιστολήν προς τον Σολομώντα, την οποίαν του έστειλε με ανθρώπους του και του έλεγεν· "επειδή ο Κυριος ηγάπησε τον λαόν του, δια τούτο έδωκε σε ως βασιλέα εις αυτόν τον λαόν".

Β Παραλ. 2,12 - καὶ εἶπε Χιράμ· εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, ὃς ἔδωκε τῷ Δαυὶδ τῷ βασιλεῖ υἱὸν σοφὸν καὶ ἐπιστάμενον ἐπιστήμην καὶ σύνεσιν, ὃς οἰκοδομήσει οἶκον τῷ Κυρίῳ καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ.

Β Παραλ. 2,12 - Και προσέθεσεν ακόμη ο Χιράμ· "ας είναι ευλογητός Κυριος ο Θεός του Ισραήλ, ο οποίος εδημιούργησε τον ουρανόν και την γην, διότι αυτός έδωκεν στον βασιλέα Δαυίδ υιόν σοφόν, ο οποίος είναι κάτοχος επιστήμης και σοφίας, και αυτός θα ανοικοδομήση ναόν προς τιμήν του Κυρίου, και βασιλικόν ανάκτορον δια τον εαυτόν του.

Β Παραλ. 2,13 - καὶ νῦν ἀπέστειλά σοι ἄνδρα σοφὸν καὶ εἰδότα σύνεσιν Χιρὰμ τὸν πατέρα μου

Β Παραλ. 2,13 - Και τώρα έστειλα προς σε ένα άνδρα σοφόν και συνετόν, τον Χιράμ, τον οποίον έχω ωσάν τον πατέρα μου.

Β Παραλ. 2 ,14 - (ἡ μήτηρ αὐτοῦ ἀπὸ θυγατέρων Δάν, καὶ ὁ πατὴρ αὐτοῦ ἀνὴρ Τύριος) εἰδότα ποιῆσαι ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ καὶ ἐν χαλκῷ καὶ ἐν σιδήρῳ καὶ ἐν λίθοις καὶ ξύλοις καὶ ὑφαίνειν ἐν τῇ πορφύρᾳ καὶ ἐν τῇ ὑακίνθῳ καὶ ἐν τῇ βύσσῳ καὶ ἐν τῷ κοκκίνῳ καὶ γλύψαι γλυφὰς καὶ διανοεῖσθαι πᾶσαν διανόησιν, ὅσα ἂν δῷς αὐτῷ, μετὰ τῶν σοφῶν σου καὶ σοφῶν Δαυὶδ κυρίου μου πατρός σου.

Β Παραλ. 2,14 - (Η μητέρα αυτού κατάγεται από την ισραηλιτικήν φυλήν του Δαν, ο δε πατέρας του είναι πολίτης της Τυρου)· αυτός λοιπόν, γνωρίζει να κατεργάζεται τον χρυσόν, τον άργυρον, τον χαλκόν, τον σίδηρον, τους λίθους και τα ξύλα. Γνωρίζει επίσης να υφαίνη υφάσματα πορφυρά, κυανά, βαθέως ερυθρά. Γνωρίζει την τέχνην του γλύπτου και ημπορεί να επινοή διάφορα σχέδια, γενικώς να φέρη εις πέρας κάθε τι, που θα του αναθέσης, μαζή με τους ιδικούς σου σοφούς τεχνίτας και τους σοφούς τεχνίτας του πατρός σου και κυρίου μου, του Δαυίδ.

Β Παραλ. 2,15 - καὶ νῦν τὸν σῖτον καὶ τὴν κριθὴν καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον, ἃ εἶπεν ὁ κύριός μου, ἀποστειλάτω τοῖς παισὶν αὐτοῦ.

Β Παραλ. 2,15 - Ως προς δε τον σίτον, το κριθάρι, το έλαιον και τον οίνον, τα οποία συ ώρισες ως αμοιβήν των, συ ο κύριός μου ας τα αποστείλης στους δούλους του εδώ.

Β Παραλ. 2,16 - καὶ ἡμεῖς κόψομεν ξύλα ἐκ τοῦ Λιβάνου κατὰ πᾶσαν τὴν χρείαν σου καὶ ἄξομεν αὐτὰ σχεδίαις ἐπὶ θάλασσαν Ἰόππης, καὶ σὺ ἄξεις αὐτὰ εἰς Ἱερουσαλήμ.

Β Παραλ. 2,16 - Ημείς δε θα κόψωμεν από το όρος Λιβανον όσα ξύλα χρειασθής και θα φέρωμεν με σχεδίας δια της Μεσογείου Θαλάσσης έως εις την Ιόππην. Από εκεί δε συ θα τα μεταφέρης εις την Ιερουσαλήμ”.

Β Παραλ. 2,17 - καὶ συνήγαγε Σαλωμὼν πάντας τοὺς ἄνδρας τοὺς προσηλύτους τοὺς ἐν γῇ Ἰσραὴλ μετὰ τὸν ἀριθμόν, ὃν ἠρίθμησεν αὐτοὺς Δαυὶδ ὁ πατὴρ αὐτοῦ, καὶ εὑρέθησαν ἑκατὸν πεντήκοντα χιλιάδες καὶ τρισχίλιοι ἑξακόσιοι.

Β Παραλ. 2,17 - Ο Σολομών συνεκέντρωσεν όλους τους ξένους άνδρας, οι οποίοι ευρίσκοντο εις την χώραν του Ισραήλ και οι οποίοι κατά την αρίθμησιν, που είχε κάμει ο πατήρ του ο Δαυίδ, ευρέθη ότι ήσαν εκατόν πενήντα τρεις χιλιάδες εξακόσιοι.

Β Παραλ. 2,18 - καὶ ἐποίησεν ἐξ αὐτῶν ἑβδομήκοντα χιλιάδας νωτοφόρων καὶ ὀγδοήκοντα χιλιάδας λατόμων καὶ τρισχιλίους ἑξακοσίους ἐργοδιώκτας ἐπὶ τὸν λαόν.

Β Παραλ. 2,18 - Από αυτούς εξεχώρισε εβδομήντα χιλιάδας ως αχθοφόρους, ογδοήκοντα χιλιάδας ως λατόμους και τρεις χιλιάδας εξακοσίους ως επιστάτας του εργαζομένου αυτού λαού.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 3

Β Παραλ. 3,1 - Καὶ ἤρξατο Σαλωμὼν τοῦ οἰκοδομεῖν τὸν οἶκον Κυρίου ἐν Ἱερουσαλὴμ ἐν ὄρει τοῦ Ἀμωρία, οὗ ὤφθη Κύριος τῷ Δαυὶδ πατρὶ αὐτοῦ, ἐν τῷ τόπῳ, ᾧ ἡτοίμασε Δαυὶδ ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου.

Β Παραλ. 3,1 - Ο Σολομών ήρχισε να ανοικοδομή εις την Ιερουσαλήμ τον ναόν του Κυρίου, επάνω στο όρος Αμωρία, εκεί όπου είχε παρουσιασθή ο Κυριος προς τον πατέρα του τον Δαυίδ, και συγκεκριμένως στον τύπον, τον οποίον είχε προετοιμάσει ο Δαυίδ στο αλώνι του Ορνά του Ιεβουσαίου.

Β Παραλ. 3,2 - καὶ ἤρξατο οἰκοδομῆσαι ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῷ ἔτει τῷ τετάρτῳ τῆς βασιλείας αὐτοῦ.

Β Παραλ. 3,2 - Ηρχισε να ανοικοδομή αυτόν τον ναόν κατά τον δεύτερον μήνα του τετάρτου έτους της βασιλείας του.

Β Παραλ. 3,3 - καὶ ταῦτα ἤρξατο Σαλωμὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦ Θεοῦ· μῆκος πήχεων ἡ διαμέτρησις ἡ πρώτη πήχεων ἑξήκοντα καὶ εὗρος πήχεων εἴκοσι.

Β Παραλ. 3,3 - Ως εξής ήρχισεν ο Σολομών να ανοικοδομή τον ναόν του Θεού. Το μήκος του ναού κατά το παλαιόν μέτρον ήτο εξήκοντα εβραϊκοί πήχεις, το δε πλάτος είκοσι πήχεις.

Β Παραλ. 3,4 - καὶ αἰλὰμ κατὰ πρόσωπον τοῦ οἴκου, μῆκος ἐπὶ πρόσωπον πλάτους τοῦ οἴκου πήχεων εἴκοσι καὶ ὕψος πήχεων ἑκατὸν

εἴκοσι· καὶ κατεχρύσωσεν αὐτὸν ἔσωθεν χρυσίῳ καθαρῷ.

Β Παραλ. 3,4 - Ο πρόναος, ο οποίος ευρίσκετο έμπροσθεν του ναού, είχε πλάτος ίσον προς το πλάτος του ναού, είκοσι δηλαδή εβραϊκούς πήχεις. Είχε δε ύψος εκατόν είκοσιν εβραϊκούς πήχεις. Αυτόν ο Σολομών τον εχρύσωσεν εσωτερικώς με καθαρόν χρυσόν.

Β Παραλ. 3,5 - καὶ τὸν οἶκον τὸν μέγαν ἐξύλωσε ξύλοις κεδρίνοις καὶ κατεχρύσωσε χρυσίῳ καθαρῷ καὶ ἔγλυψεν ἐπ᾿ αὐτοῦ φοίνικας καὶ χαλαστά.

Β Παραλ. 3,5 - Τον κυρίως ναόν ενέδυσεν εσωτερικώς με ξύλα κέδρινα και τον εχρύσωσε με καθαρόν χρυσόν. Κατεσκεύασεν επάνω εις αυτόν αναγλύφους μορφάς φοινίκων και μερικάς άλλας κρεμαστάς παραστάσεις.

Β Παραλ. 3,6 - καὶ ἐκόσμησε τὸν οἶκον λίθοις τιμίοις εἰς δόξαν καὶ ἐχρύσωσε χρυσίῳ χρυσίου τοῦ ἐκ Φαρουΐμ

Β Παραλ. 3,6 - Προς μεγαλυτέραν δε λαμπρότητα διεκόσμησε τον ναόν αυτόν εσωτερικώς με πολυτίμους λίθους και τον εχρύσωσε με καθαρόν χρυσόν, ο οποίος προήρχετο από την Φαρουΐμ.

Β Παραλ. 3,7 - καὶ ἐχρύσωσε τὸν οἶκον καὶ τοὺς τοίχους αὐτοῦ καὶ τοὺς πυλῶνας καὶ τὰ ὀροφώματα καὶ τὰ θυρώματα χρυσίῳ καὶ ἔγλυψε Χερουβὶμ ἐπὶ τῶν τοίχων.

Β Παραλ. 3,7 - Και ενέδυσε με χρυσόν αυτόν τον ναόν, τους τοίχους του, τας θύρας, την οροφήν και τα παράθυρα. Εκαμε ανάγλυφα Χερουβίμ επάνω στους τοίχους.

Β Παραλ. 3,8 - καὶ ἐποίησε τὸν οἶκον τοῦ ἁγίου τῶν ἁγίων, μῆκος αὐτοῦ ἐπὶ πρόσωπον πλάτους τοῦ οἴκου πήχεων εἴκοσι καὶ τὸ εὖρος πήχεων εἴκοσι, καὶ ἐχρύσωσεν αὐτὸν χρυσίῳ καθαρῷ εἰς Χερουβὶμ εἰς τάλαντα ἑξακόσια.

Β Παραλ. 3,8 - Κατεσκεύασεν επίσης τα Αγια των Αγίων του ναού. Το μήκος αυτών ήτο όσον το πλάτος του ναού, δηλαδή είκοσι πήχεις και το πλάτος ήτο επίσης είκοσι πήχεις. Ενέδυσε δε εσωτερικώς τον χώρον αυτόν με καθαρόν χρυσόν και με Χερουβίμ αξίας εξακοσίων ταλάντων.

Β Παραλ. 3,9 - καὶ ὁλκὴ τῶν ἥλων, ὁλκὴ τοῦ ἑνὸς πεντήκοντα σίκλοι χρυσίου. καὶ τὸ ὑπερῷον ἐχρύσωσε χρυσίῳ.

Β Παραλ. 3,9 - Το βάρος των χρυσών καρφιών, καθενός από αυτά, ήτο πεντήκοντα σίκλοι χρυσοί. Με χρυσόν επίσης ενέδυσεν εσωτερικώς και το άνω μέρος.

Β Παραλ. 3,10 - καὶ ἐποίησεν ἐν τῷ οἴκῳ τῷ ἁγίῳ τῶν ἁγίων Χερουβὶμ δύο, ἔργον ἐκ ξύλων καὶ ἐχρύσωσεν αὐτὰ χρυσίῳ.

Β Παραλ. 3,10 - Εις το εσωτερικόν του ναού, το οποίον ωνομάζετο Αγια Αγίων, κατεσκεύασε δύο Χερουβίμ από ξύλον και εχρύσωσεν αυτά με καθαρόν χρυσόν.

Β Παραλ. 3,11 - καὶ αἱ πτέρυγες τῶν Χερουβὶμ τὸ μῆκος πήχεων εἴκοσι, καὶ ἡ πτέρυξ ἡ μία πήχεων πέντε ἁπτομένη τοῦ τοίχου τοῦ οἴκου, καὶ ἡ πτέρυξ ἡ ἑτέρα πήχεων πέντε ἁπτομένη τῆς πτέρυγος τοῦ Χεροὺβ τοῦ ἑτέρου·

Β Παραλ. 3,11 - Αι πτέρυγες των δύο αυτών Χερουβίμ είχον μαζή μήκος είκοσι πήχεις, η μία πτέριξ είχε μήκος πέντε εβραϊκούς πήχεις και ήγγιζε τον τοίχον του ναού τούτου. Η άλλη πτέρυξ του ιδίου χερουβίμ είχεν επίσης πέντε πήχεις μήκος και ήγγιζε την πτέρυγα του άλλου χερουβίμ.

Β Παραλ. 3,13 - καὶ αἱ πτέρυγες τῶν Χερουβὶμ τούτων διαπεπετασμέναι πήχεων εἴκοσι· καὶ αὐτὰ ἑστηκόκα ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ τὰ πρόσωπα αὐτῶν εἰς τὸν οἶκον.

Β Παραλ. 3,13 - Αι πτέρυγες των δύο αυτών χερουβίμ ανοικταί είχον μήκος είκοσι πήχεις. Αυτά ίσταντο όρθια στους πόδας των, τα δε πρόσωπα των ήσαν εστραμένα προς το τμήμα του ναού, το οποίον ωνομάζετο Αγια.

Β Παραλ. 3,14 - καὶ ἐποίησε τὸ καταπέτασμα ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου καὶ βύσσου καὶ ὕφανεν ἐν αὐτῷ Χερουβίμ.

Β Παραλ. 3,14 - Κατεσκεύασεν επίσης ο Σολομών παραπέτασμα από λινόν ύφασμα χρώματος κυανού, πορφυρού και βαθέος ερυθρού. Επάνω δε εις αυτό είχε κεντήσει μορφάς Χερουβίμ.

Β Παραλ. 3,15 - καὶ ἐποίησεν ἔμπροσθεν τοῦ οἴκου στύλους δύο, πήχεων τριακονταπέντε τὸ ὕψος καὶ τὰς κεφαλὰς αὐτῶν πήχεων πέντε.

Β Παραλ. 3,15 - Εις το έμπροσθεν μέρος του ναού κατεσκεύασε δύο στύλους ύψους τριάκοντα πέντε πήχεων. Τα δε κιονόκρανα, τα επάνω εις αυτούς, είχον ύψος πέντε πήχεις.

Β Παραλ. 3,16 - καὶ ἐποίησε σερσερὼθ ἐν τῷ δαβὶρ καὶ ἔδωκεν ἐπὶ τῶν κεφαλῶν τῶν στύλων. καὶ ἐποίησε ῥοΐσκους ἑκατὸν καὶ ἐποίησε ῥοΐσκους ἐπὶ τῶν χαλαστῶν.

Β Παραλ. 3,16 - Κατεσκεύασεν επίσης γιρλάντες με αλυσίδες, όπως είχε κάμει και στον ναόν, τας οποίας ετοποθέτησεν εις τας κεφαλάς των στύλων. Εκαμες επίσης εκατόν ομοιώματα μικρών καρπών ροδιάς, τα οποία, ετοποθέτησεν εις τας κρεμαστάς αυτάς αλυσίδας.

Β Παραλ. 3,17 - καὶ ἔστησε τοὺς στύλους κατὰ πρόσωπον τοῦ ναοῦ, ἕνα ἐκ δεξιῶν καὶ τὸν ἕνα ἐξ εὐωνύμων, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ ἐκ δεξιῶν Κατόρθωσις καὶ τὸ ὄνομα τοῦ ἐξ ἀριστερῶν Ἰσχύς.

Β Παραλ. 3,17 - Εστησεν αυτούς τους στύλους εμπρός στον ναόν, ένα εκ δεξιών και ένα εξ αριστερών. Εκείνον τον οποίον ετοποθέτησεν εκ δεξιών, ωνόμασε Κατόρθωσις, τον άλλον δε που ετοποθέτησε εξ αριστερών, ωνόμασεν Ισχύς.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 4

Β Παραλ. 4,1 - Καὶ ἐποίησε θυσιαστήριον χαλκοῦν, εἴκοσι πήχεων τὸ μῆκος καὶ εἴκοσι πήχεων τὸ εὖρος καὶ δέκα πήχεων τὸ ὕψος.

Β Παραλ. 4,1 - Κατεσκεύασεν επίσης ο Σολομών το χαλκούν θυσιαστήριον των ολοκαυτωμάτων, του οποίου το μεν μήκος ήτο είκοσι εβραϊκοί πήχεις, το πλάτος επίσης είκοσι πήχεις, το δε ύψος δέκα πήχεις.

Β Παραλ. 4,2 - καὶ ἐποίησε τὴν θάλασσαν χυτήν, δέκα πήχεων τὴν διαμέτρησιν, στρογγύλην κυκλόθεν, καὶ πέντε πήχεων τὸ ὕψος καὶ τὸ κύκλωμα τριάκοντα πήχεων.

Β Παραλ. 4,2 - Κατασκεύασε την χαλκίνην χυτήν θάλασσαν, της οποίας η διάμετρος ήτο δέκα πήχεις. Αυτή ήτο στογγύλη γύρω-γύρω. Το ύψος της ήτο πέντε πήχεις και η περιφέρειά της τριάκοντα πήχεις.

Β Παραλ. 4,3 - καὶ ὁμοίωμα μόσχων ὑποκάτω αὐτῆς, κύκλῳ κυκλοῦσιν αὐτήν, δέκα πήχεις περιέχουσι τὸν λουτῆρα κυκλόθεν. δύο γένη ἐχώνευσαν τοὺς μόσχους ἐν τῇ χωνεύσει αὐτῶν,

Β Παραλ. 4,3 - Κατω από αυτήν ήσαν ανάγλυφοι μορφαί μόσχων, που ολόγυρα την υπεβάσταζαν. Καθε δέκα πήχεις οι χάλκινοι αυτοί μόσχοι υποβάσταζαν την θάλασσαν, τον λουτήρα αυτόν, ολόγυρα. Αυτοί ευρίσκοντο εις δύο σειράς χυτοί μαζή με τον λουτήρα, ώστε να αποτελούν ένα σώμα.

Β Παραλ. 4,4 - ᾗ ἐποίησαν αὐτούς, δώδεκα μόσχους, οἱ τρεῖς βλέποντες βοῤῥᾶν καὶ οἱ τρεῖς δυσμὰς καὶ οἱ τρεῖς νότον καὶ οἱ τρεῖς κατ᾿ ἀνατολάς, καὶ ἡ θάλασσα ἐπ᾿ αὐτῶν ἄνω, ἦσαν τὰ ὀπίσθια αὐτῶν ἔσω.

Β Παραλ. 4,4 - Οι μόσχοι αυτοί ήσαν εν όλω δώδεκα. Οι τρεις έβλεπαν προς βορράν, οι τρεις προς δυσμάς, οι τρεις προς νότον και οι τρεις προς ανατολάς, η δε θάλασσα εστηρίζετο επάνω εις αυτούς. Οι οπίσω πόδες των μόσχων αυτών ήσαν γυρισμένοι προς το εσωτερικόν μέρος.

Β Παραλ. 4,5 - καὶ τὸ πάχος αὐτῆς παλαιστής, καὶ τὸ χεῖλος αὐτῆς ὡς χεῖλος ποτηρίου, διαγεγλυμμένα βλαστοὺς κρίνου, χωροῦσαν μετρητὰς τρισχιλίους· καὶ ἐξετέλεσε.

Β Παραλ. 4,5 - Το πάχος του λουτήρος αυτού ήτο μία παλάμη, το δε χείλος του, ωσάν χείλος ποτηρίου, ήτο κσμημένον με αναγλύφους βλαστούς ανθισμένων κρίνων. Αυτός ο λουτήρ εχωρούσεν είκοσι και πλέον χιλιάδες κιλά ύδατος. Και αυτόν ο Σολομών τον κατεσκεύασε τέλειον.

Β Παραλ. 4,6 - καὶ ἐποίησε λουτῆρας δέκα καὶ ἔθηκε τοὺς πέντε ἐκ δεξιῶν καὶ τοὺς πέντε ἐξ ἀριστερῶν τοῦ πλύνειν ἐν αὐτοῖς τὰ ἔργα τῶν ὁλοκαυτωμάτων καὶ ἀποκλύζειν ἐν αὐτοῖς· καὶ ἡ θάλασσα εἰς τὸ νίπτεσθαι τοὺς ἱερεῖς ἐν αὐτῇ.

Β Παραλ. 4,6 - Ο Σολομών κατεσκεύασεν επίσης άλλους δέκα μικροτέρους λουτήρας, τους οποίους ετοποθέτησε πέντε εις τα δεξιά και

πέντε εις τα αριστερά της αυλής του ναού, δια να πλύνουν εντός αυτών τα ζώα, που προσεφέροντο προς ολοκαύτωσιν. Εντός αυτών έπλυναν και τα αλλά προς θυσίαν προσφερόμενα. Ο μέγας όμως λουτήρ, η χαλκίνη θάλασσα, ήτο, δια να νίπτωνται εις αυτήν οι ιερείς μόνον.

Β Παραλ. 4,7 - καὶ ἐποίησε τὰς λυχνίας τὰς χρυσᾶς δέκα κατὰ τὸ κρίμα αὐτῶν καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν καὶ πέντε ἐξ ἀριστερῶν.

Β Παραλ. 4,7 - Ο Σολομών κατεσκεύασεν επίσης δέκα χρυσάς λυχνίας σύμφωνα με την εντολήν του Θεού. Ετοποθέτησε δε αυτάς εις τα Αγια του ναού, πέντε εκ δεξιών και πέντε εξ αριστερών.

Β Παραλ. 4,8 - καὶ ἐποίησε τραπέζας δέκα καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν καὶ πέντε ἐξ εὐωνύμων, καὶ ἐποίησε φιάλας χρυσᾶς ἑκατόν.

Β Παραλ. 4,8 - Κατεσκεύασεν ακόμη δέκα τραπέζας, πέντε από αυτάς ετσποθέτησεν εις τα δεξιά και πέντε, εις τα αριστερά των Αγίων. Κατεσκεύασεν ακόμη και εκατόν χρυσά κύπελλα (δια τας σπονδάς του οίνου).

Β Παραλ. 4,9 - καὶ ἐποίησε τὴν αὐλὴν τῶν ἱερέων καὶ τὴν αὐλὴν τὴν μεγάλην καὶ θύρας τῇ αὐλῇ καὶ θυρώματα αὐτῶν κατακεχαλκωμένα χαλκῷ·

Β Παραλ. 4,9 - Κατεσκεύασε την εσωτερικήν αυλήν δια τους ιερείς και την μεγάλην εξωτερικήν αυλήν και τας θύρας αυτών των αυλών. Τα δε θυρόφυλλο των θυρών τα ενέδυσε με χαλκόν.

Β Παραλ. 4,10 - καὶ τὴν θάλασσαν ἔθηκεν ἀπὸ γωνίας τοῦ οἴκου ἐκ δεξιῶν ὡς πρὸς ἀνατολὰς κατέναντι.

Β Παραλ. 4,10 - Ετοποθέτησε τον μεγάλον λουτήρα, την θάλασσαν, εις μίαν γωνίαν της αυλής προς τα δεξιά στο ανατολικόν μέρος απέναντι από τον ναόν.

Β Παραλ. 4,11 - καὶ ἐποίησε Χιρὰμ τὰς κρεάγρας καὶ τὰ πυρεῖα καὶ τὴν ἐσχάραν τοῦ θυσιαστηρίου καὶ πάντα τὰ σκεύη αὐτοῦ. καὶ συνετέλεσε Χιρὰμ ποιῆσαι πᾶσαν τὴν ἐργασίαν, ἣν ἐποίησε Σαλωμὼν τῷ βασιλεῖ ἐν οἴκῳ τοῦ Θεοῦ,

Β Παραλ. 4,11 - Ο Χιράμ κατεσκεύασε τας περόνας, το πυρεία, την εσχάραν του θυσιαστηρίου και όλα τα άλλα σκεύη αυτού. Ετσι δε ο Χιράμ ετελείωσεν όλον το έργον δια τον βασιλέα Σολομώντα στον οίκον του Θεού.

Β Παραλ. 4,12 - στύλους δύο καὶ ἐπ᾿ αὐτῶν γωλὰθ τῇ χωθαρὲθ ἐπὶ τῶν κεφαλῶν τῶν στύλων δύο καὶ δίκτυα δύο συγκαλύψαι τὰς κεφαλὰς τῶν χωθαρέθ, ἅ ἐστιν ἐπὶ τῶν κεφαλῶν τῶν στύλων,

Β Παραλ. 4,12 - Εκαμε τους δύο στύλους, τα δύο σφαιροειδή κιονόκρανα, τα οποία ήσαν εις την κορυφήν των στύλων, τα δύο δικτυωτά που εκάλυπταν τας δύο σφαίρας των κιονοκράνων, το οποία ευρίσκοντο εις την κορυφήν των στύλων.

Β Παραλ. 4,13 - καὶ κώδωνας χρυσοῦς τετρακοσίους εἰς τὰ δύο δίκτυα καὶ δύο γένη ῥοΐσκων ἐν τῷ δικτύῳ τῷ ἑνὶ τοῦ συγκαλύψαι τὰς δύο γωλὰθ τῶν χωθαρέθ, ἅ ἐστιν ἐπάνω τῶν στύλων.

Β Παραλ. 4,13 - Κατεσκεύασεν επίσης τετρακοσίους μικρούς κωδωνίσκους, τους οποίους ετοποθέτησεν εις τα δύο αυτά δίκτυα. Επίσης και δύο σειράς από ομοιώματα καρπών ροδιάς επάνω εις κάθε δίκτυον, δια να καλύπτουν τα δύο αυτά επιστύλια των κιονοκράνων, που ευρίσκοντο στο άνω μέρος των στύλων.

Β Παραλ. 4,14 - καὶ τὰς μεχωνὼθ ἐποίησε δέκα, καὶ τοὺς λουτῆρας ἐποίησεν ἐπὶ τῶν μεχωνὼθ

Β Παραλ. 4,14 - Κατεσκεύασεν επίσης βάθρα και επάνω εις τα βάθρα αυτά ετοποθετησε δέκα λουτήρες.

Β Παραλ. 4,15 - καὶ τὴν θάλασσαν μίαν καὶ τοὺς μόσχους τοὺς δώδεκα ὑποκάτω αὐτῆς

Β Παραλ. 4,15 - Κατεσκεύασε την θάλασσαν, τον μεγάλον λουτήρα, και τους κάτω από αυτήν δώδεκα χαλκίνους μόσχους.

Β Παραλ. 4,16 - καὶ τοὺς ποδιστῆρας καὶ τοὺς ἀναλημπτῆρας καὶ τοὺς λέβητας καὶ τὰς κρεάγρας καὶ πάντα τὰ σκεύη αὐτῶν, ἃ ἐποίησε Χιράμ, καὶ ἀνήνεγκε τῷ βασιλεῖ Σαλωμὼν ἐν οἴκῳ Κυρίου χαλκοῦ καθαροῦ.

Β Παραλ. 4,16 - Κατεσκεύασεν ακόμη τα τρίποδα, τα φτυάρια, τους λέβητας, τας κρεάγρας και όλα τα άλλα σκεύη αυτών· τα κατασκεύασεν ο Χιράμ από καθαρόν χαλκόν και τα προσέφερεν στον βασιλέα Σολομώντα δια τον ναόν του Κυρίου.

Β Παραλ. 4,17 - ἐν τῷ περιχώρῳ τοῦ Ἰορδάνου ἐχώνευσεν αὐτὰ ὁ βασιλεὺς ἐν τῷ πάχει τῆς γῆς ἐν οἴκῳ Σοκχὼθ καὶ ἀνὰ μέσον Σαρηδαθά.

Β Παραλ. 4,17 - Εχυσεν αυτά ο βασιλεύς εις τα περίχωρα του ποταμού Ιορδάνου εις έδαφος αργιλώδες, εις εργαστήριον που ευρίσκετο μεταξύ Σοκχώθ και Σαρηδαθά.

Β Παραλ. 4,18 - καὶ ἐποίησε Σαλωμὼν πάντα τὰ σκεύη ταῦτα εἰς πλῆθος σφόδρα, ὅτι οὐκ ἐξέλιπεν ὁλκὴ τοῦ χαλκοῦ.

Β Παραλ. 4,18 - Ο Σολομών κατεσκεύασεν όλα αυτά τα σκεύη εις πολύ μεγάλον αριθμόν, διότι ήσαν ανεξάντλητοι αι ποσότητες του χαλκού.

Β Παραλ. 4,19 - καὶ ἐποίησε Σαλωμὼν πάντα τὰ σκεύη οἴκου Κυρίου καὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν καὶ τὰς τραπέζας (καὶ ἐπ᾽ αὐτῶν ἄρτοι προθέσεως)

Β Παραλ. 4,19 - Εκαμεν ακόμη και τα άλλα σκεύη του ναού του Κυρίου, δηλαδή το χρυσούν θυσιαστήριον των θυμιαμάτων, τας τραπέζας (επάνω εις τας οποίας θα ετοποθετούντο οι άρτοι της προθέσεως).

Β Παραλ. 4,20 - καὶ τὰς λυχνίας καὶ τοὺς λύχνους τοῦ φωτὸς κατὰ τὸ κρίμα καὶ κατὰ πρόσωπον τοῦ δαβὶρ χρυσίου καθαροῦ

Β Παραλ. 4,20 - Τας λυχνίας και τους λύχνους από καθαρόν χρυσόν, δια να φωτίζουν εμπρός εις τα Αγια των Αγίων σύμφωνα με την εντολήν του Θεού.

Β Παραλ. 4,21 - καὶ λαβίδες αὐτῶν καὶ οἱ λύχνοι αὐτῶν καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας καὶ τὰ πυρεῖα χρυσίου καθαροῦ,

Β Παραλ. 4,21 - Κατεσκεύασεν επίσης από καθαρόν χρυσόν τας λαβίδας, τους λύχνους, τας φιάλας, τα θυμιατήρια και τα πυροδοχεία.

Β Παραλ. 4,22 - καὶ ἡ θύρα τοῦ οἴκου ἡ ἐσωτέρα εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ τὰς θύρας τοῦ οἴκου τοῦ ναοῦ χρυσᾶς.

Β Παραλ. 4,22 - Από καθαρόν χρυσόν κατεσκεύασε την εσωτερικήν θύραν του ναού, η οποία ωδηγούσε εις τα Αγια των Αγίων. Από καθαρόν επίσης χρυσόν κατεσκεύασε και τας θύρας, αι οποίαι ωδηγούσαν εις τα Αγια.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 5

Β Παραλ. 5,1 - Καὶ συνετελέσθη πᾶσα ἡ ἐργασία, ἣν ἐποίησε Σαλωμὼν ἐν οἴκῳ Κυρίου. καὶ εἰσήνεγκε Σαλωμὼν τὰ ἅγια Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη καὶ ἔδωκεν εἰς θησαυρὸν οἴκου Κυρίου.

Β Παραλ. 5,1 - Ετσι δε ετελείωσεν όλον το έργον, το οποίον ο Σολομών έκαμε δια τον ναόν του Κυρίου. Ο Σολομών προσέφερεν ο,τι είχεν αφιερώσει ο πατήρ του ο Δαυίδ δια τον ναόν, δηλαδή τον άργυρον, τον χρυσόν και τα σκεύη, και παρέδωκεν όλα αυτά εις τα θησαυροφυλάκια του ναού του Κυρίου.

Β Παραλ. 5,2 - τότε ἐξεκκλησίασε Σαλωμὼν πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ καὶ πάντας τοὺς ἄρχοντας τῶν φυλῶν τοὺς ἡγουμένους πατριῶν υἱῶν Ἰσραὴλ εἰς Ἱερουσαλὴμ τοῦ ἀνενέγκαι κιβωτὸν διαθήκης Κυρίου ἐκ πόλεως Δαυὶδ (αὕτη Σιών)·

Β Παραλ. 5,2 - Τοτε ο Σολομών συνεκάλεσεν εις την Ιερουσαλήμ όλους τους αρχηγούς των φυλών, τους αρχηγούς των πατριαρχικών οικογενειών του ισραηλιτικού λαού, δια να αναβιβάσουν με πομπήν την Κιβωτόν της Διαθήκης του Κυρίου από την πόλιν Δαυίδ (αυτή είναι η Σιών).

Β Παραλ. 5,3 - καὶ ἐξεκκλησιάσθησαν πρὸς τὸν βασιλέα πᾶς Ἰσραὴλ ἐν τῇ ἑορτῇ (οὗτος ὁ μὴν ἕβδομος)

Β Παραλ. 5,3 - Πράγματι συνεκεντρώθησαν όλοι οι Ισραηλίται πλησίον του βασιλέως κατά την εορτήν της Σκηνοπηγίας (η οποία ετελείτο κατά τον έβδομον μήνα).

Β Παραλ. 5,4 - καὶ ἦλθον πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ καὶ ἔλαβον πάντες οἱ Λευῖται τὴν κιβωτὸν

Β Παραλ. 5,4 - Ηλθαν, λοιπόν, όλοι οι πρεσβύτεροι του ισραηλιτικού λαού εις την Ιερουσαλήμ· και οι Λευίται επήραν εις τα χέρια των την Κιβωτόν,

Β Παραλ. 5,5 - καὶ ἀνήνεγκαν τὴν κιβωτὸν καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ πάντα τὰ σκεύη τὰ ἅγια ἐν τῇ σκηνῇ, καὶ ἀνήνεγκαν αὐτὴν οἱ ἱερεῖς καὶ οἱ Λευῖται.

Β Παραλ. 5,5 - την Σκηνήν του Μαρτυρίου, όπως επίσης και όλα τα καθιερωμένα σκεύη που υπήρχον εις την Σκηνήν. Την Κιβωτόν ανεβίβασαν οι ιερείς, τα δε άλλα καθιερωμένα σκεύη τα ανεβίβασαν οι Λευίται.

Β Παραλ. 5,6 - καὶ ὁ βασιλεὺς Σαλωμὼν καὶ πᾶσα συναγωγὴ Ἰσραὴλ καὶ οἱ φοβούμενοι καὶ οἱ ἐπισυνηγμένοι αὐτῶν ἔμπροσθεν τῆς κιβωτοῦ θύοντες μόσχους καὶ πρόβατα, οἳ οὐκ ἀριθμηθήσονται καὶ οἳ οὐ λογισθήσονται ἀπὸ τοῦ πλήθους.

Β Παραλ. 5,6 - Ο βασιλεύς Σολομών και όλη η συγκέντρωσις των Ισραηλιτών και οι φοβούμενοι τον Κυριον, και όλοι οι συναχθέντες εμπρός εις την Κιβωτόν εθυσίαζον μόσχους και πρόβατα, τα οποία δια το πολύ αυτών πλήθος δεν ήτο δυνατόν να αριθμηθούν.

Β Παραλ. 5,7 - καὶ εἰσήνεγκαν οἱ ἱερεῖς τὴν κιβωτὸν διαθήκης Κυρίου εἰς τὸν τόπον αὐτῆς, εἰς τὸ δαβὶρ τοῦ οἴκου εἰς τὰ ἅγια τῶν ἁγίων, ὑποκάτω τῶν πτερύγων τῶν Χερουβίμ.

Β Παραλ. 5,7 - Οι ιερείς έφεραν την Κιβωτόν της Διαθήκης του Κυρίου στον προωρισμένον δι' αυτήν τόπον, στο δαβίρ του ναού, δηλαδή εις τα Αγια των Αγίων και την ετοποθέτησαν κάτω από τας πτέρυγας των Χερουβίμ.

Β Παραλ. 5,8 - καὶ ἦν τὰ Χερουβὶμ διαπεπετακότα τὰς πτέρυγας αὐτῶν ἐπὶ τὸν τόπον τῆς κιβωτοῦ, καὶ συνεκάλυπτε τὰ Χερουβὶμ ἐπὶ τὴν κιβωτὸν καὶ ἐπὶ τοὺς ἀναφορεῖς αὐτῆς ἐπάνωθεν·

Β Παραλ. 5,8 - Τα Χερουβίμ είχαν ανοικτάς τας πτέρυγάς των επάνω από την θέσιν της Κιβωτού και αυτά εκάλυπτον την Κιβωτόν και τους αναφορείς αυτής.

Β Παραλ. 5,9 - καὶ ὑπερεῖχον οἱ ἀναφορεῖς, καὶ ἐβλέποντο αἱ κεφαλαὶ τῶν ἀναφορέων ἐκ τῶν ἁγίων εἰς πρόσωπον τοῦ δαβίρ, οὐκ ἐβλέποντο ἔξω· καὶ ἦσαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης.

Β Παραλ. 5,9 - Αυτοί οι αναφορείς ήσαν αρκετά μακροί, ώστε εφαίνοντο τα άκρα των από τα Αγια έμπροσθεν του δαβίρ, αλλ' όχι όμως και από το εξωτερικόν. Η Κιβωτός και όλα αυτά ευρίσκοντο εκεί έως αυτήν την ημέραν.

Β Παραλ. 5,10 - οὐκ ἦν ἐν τῇ κιβωτῷ πλὴν δύο πλάκες, ἃς ἔθηκε Μωυσῆς ἐν Χωρήβ, ἃ διέθετο Κύριος μετὰ τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ ἐξελθεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου.

Β Παραλ. 5,10 - Μέσα εις την Κιβωτόν δεν υπήρχον παρά αι δύο πλάκες, τας οποίας είχε τοποθετήσει ο Μωϋσής, όταν ευρίσκετο στο όρος Χωρήβ,

τότε που ο Κυριος συνήψε την διαθήκην του με τον ισραηλιτικόν λαόν, μετά την έξοδον αυτών από την Αίγυπτον.

Β Παραλ. 5,11 - καὶ ἐγένετο ἐν τῷ ἐξελθεῖν τοὺς ἱερεῖς ἐκ τῶν ἁγίων -ὅτι πάντες οἱ ἱερεῖς οἱ εὑρεθέντες ἡγιάσθησαν, οὐκ ἦσαν διατεταγμένοι κατ᾿ ἐφημερίαν,

Β Παραλ. 5,11 - Οι ιερείς εξήλθον από τον κυρίως ναόν από τα Αγια, όπου είχον εισέλθει και αγιασθή όλοι οι παρευρεθέντες ιερείς ανεξαρτήτως της ιερατικής τάξεως, εις την οποίαν ανήκον.

Β Παραλ. 5,12 - καὶ οἱ Λευῖται οἱ ψαλτῳδοὶ πάντες τοῖς υἱοῖς Ἀσάφ, τῷ Αἰμάν, τῷ Ἰδιθοὺν καὶ τοῖς υἱοῖς αὐτῶν καὶ τοῖς ἀδελφοῖς αὐτῶν, τῶν ἐνδεδυμένων στολὰς βυσσίνας, ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν κινύραις, ἑστηκότες κατέναντι τοῦ θυσιαστηρίου καὶ μετ᾿ αὐτῶν ἱερεῖς ἑκατὸν εἴκοσι σαλπίζοντες ταῖς σάλπιγξι·

Β Παραλ. 5,12 - Ολοι οι Λευίται, οι οποίοι ήσαν ψάλται απόγονοι του Ασάφ, του Αιμάν, του Ιδιθούν, οι υιοί αυτών και οι αδελφοί των, ενδεδυμένοι βυσσίνους στολάς, κρατούντες εις τα χέρια των κύμβαλα, νάβλας, κινύρας, ευρίσκοντο όρθιοι ενώπιον του θυσιαστηρίου και μαζή με αυτούς ήσαν εκατόν ιερείς, οι οποίοι εσάλπιζαν με τας ιεράς σάλπχγγας.

Β Παραλ. 5,13 - καὶ ἐγένετο μία φωνὴ ἐν τῷ σαλπίζειν καὶ ἐν τῷ ψαλτῳδεῖν καὶ ἐν τῷ ἀναφωνεῖν φωνῇ μιᾷ τοῦ ἐξομολογεῖσθαι καὶ αἰνεῖν τῷ Κυρίῳ- καὶ ὕψωσαν φωνὴν ἐν σάλπιγξι καὶ ἐν κυμβάλοις καὶ ἐν ὀργάνοις τῶν ᾠδῶν καὶ ἔλεγον· ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ὁ οἶκος ἐνεπλήσθη νεφέλης δόξης Κυρίου,

Β Παραλ. 5,13 - Καθώς δε αι σάλπιγγες αντήχησαν, και εκείνοι οι οποίοι έψαλλον, με μίαν φωνήν εδοξολογούσαν και υμνούσαν τον Κυριον. Υψωσαν τας φωνάς των με τους ήχους των σαλπίγγων και με τα κύμδαλα και με τα όργανα των οδών και έλεγαν· “δοξολογήσατε τον Κυριον, διότι είναι αγαθός και το έλεός του μένει στον αιώνα”. Κατά την στιγμήν εκείνην ο ναός εγέμισεν από ολόλαμπρον νεφέλην της δόξης του Κυρίου.

Β Παραλ. 5,14 - καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς τοῦ στῆναι λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἐνέπλησε δόξα Κυρίου τὸν οἶκον τοῦ Θεοῦ.

Β Παραλ. 5,14 - Οι δε ιερείς ήτο αδύνατον να σταθούν εκεί, δια να εκτελέσουν την υπηρεσίαν των από το φως της νεφέλης, διότι η δόξα του Κυρίου εγέμισε τον ναόν του Θεού.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 6

Β Παραλ. 6,1 - Τότε εἶπε Σαλωμών· Κύριος εἶπε τοῦ κατασκηνῶσαι ἐν γνόφῳ·

Β Παραλ. 6,1 - Τοτε είπεν ο Σολομών· “ο Κυριος απεφάσισε να κατοικήση μέσα εις την σκοτεινήν νεφέλην.

Β Παραλ. 6,2 - καὶ ἐγὼ ᾠκοδόμηκα οἶκον τῷ ὀνόματί σου ἅγιόν σοι καὶ ἕτοιμον τοῦ κατασκηνῶσαι εἰς τοὺς αἰῶνας.

Β Παραλ. 6,2 - Εγώ όμως, Κυριε, οικοδόμησα τον ναόν αυτόν στο Ονομά σου, αφιερωμένον εις σέ, έτοιμον δια να κατοικήσης εις αυτόν στους αιώνας των αιώνων”.

Β Παραλ. 6,3 - καὶ ἐπέστρεψεν ὁ βασιλεὺς τὸ πρόσωπον αὐτοῦ καὶ εὐλόγησε τὴν πᾶσαν ἐκκλησίαν Ἰσραήλ, καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραὴλ παρειστήκει.

Β Παραλ. 6,3 - Ο βασιλεύς Σολομών εγύρισε το πρόσωπόν του προς τον λαόν και ευλόγησεν όλην την συνάθροισιν των Ισραηλιτών. Ολοι δε οι Ισραηλίται ίσταντο όρθιοι με ευλάβειαν.

Β Παραλ. 6,4 - καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὡς ἐλάλησεν ἐν στόματι αὐτοῦ πρὸς Δαυὶδ τὸν πατέρα μου καὶ ἐν χερσὶν αὐτοῦ ἐπλήρωσε λέγων·

Β Παραλ. 6,4 - Ο Σολομών εδοξολόγησε τότε τον Θεόν και είπε· “δοξασμένος ας είναι Κυριος ο Θεός του ισραηλιτικού λαού, διότι αυτός ο ίδιος υπεσχέθη προς τον πατέρα μου τον Δαυίδ και με τα παντοδύναμα χέρια του εξετέλεσεν ο,τι τότε είχεν υποσχεθή.

Β Παραλ. 6,5 - ἀπὸ τῆς ἡμέρας, ἧς ἀνήγαγον τὸν λαόν μου ἐκ γῆς Αἰγύπτου, οὐκ ἐξελεξάμην ἐν πόλει ἀπὸ πασῶν φυλῶν Ἰσραὴλ τοῦ οἰκοδομῆσαι οἶκον τοῦ εἶναι τό ὄνομά μου ἐκεῖ καὶ οὐκ ἐξελεξάμην ἀνδρὶ τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ·

Β Παραλ. 6,5 - Αυτός είχεν είπει· Από την ημέραν, κατά την οποίαν έβγαλα ελεύθερον τον λαόν μου από την χώραν της Αιγύπτου, καμμίαν άλλην πόλιν από όλας τας φυλάς του ισραηλιτικού λαού δεν εξέλεξα, δια να οικοδομήσω εκεί ναόν προς τιμήν του Ονόματός μου, ει μη μόνον την Ιερουσαλήμ. Και κανένα άλλον άνδρα δεν εξέλεξα ως βασιλέα επί του Ισραηλιτικού λαού. Πλην του Δαυίδ.

Β Παραλ. 6,6 - καὶ ἐξελεξάμην τὴν Ἱερουσαλὴμ γενέσθαι τὸ ὄνομά μου ἐκεῖ καὶ ἐξελεξάμην ἐν Δαυὶδ τοῦ εἶναι ἐπὶ τὸν λαόν μου Ἰσραήλ.

Β Παραλ. 6,6 - Εγώ εξέλεξα την Ιερουσαλήμ, δια να δοξάζεται εκεί το Ονομά μου, και εγώ εξέλεξα τον Δαυίδ, δια να είναι βασιλεύς στον λαόν μου τον ισραηλιτικόν.

Β Παραλ. 6,7 - καὶ ἐγένετο ἐπὶ καρδίαν Δαυὶδ τοῦ πατρός μου τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραήλ,

Β Παραλ. 6,7 - Εις την καρδίαν δε του Δαυίδ του πατρός μου εγενήθη η επιθυμία και ο πόθος να ανοικοδομήση ναόν εν τω ονόματι Κυρίου του Θεού του Ισραήλ.

Β Παραλ. 6,8 - καὶ εἶπε Κύριος πρὸς Δαυὶδ πατέρα μου· διότι ἐγένετο ἐπὶ καρδίαν σου τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματί μου, καλῶς ἐποίησας, ὅτι ἐγένετο ἐπὶ τὴν καρδίαν σου·

Β Παραλ. 6,8 - Αλλά ο Κυριος είπε προς τον Δαυίδ, τον πατέρα μου· Η επιθυμία, που εγενήθη εις την καρδίαν σου να οικοδομήσης ναόν εις δόξαν του ονόματός μου, καλή επιθυμία είναι και καλώς αυτή εγέμισε την καρδίαν σου.

Β Παραλ. 6,9 - πλὴν σὺ οὐκ οἰκοδομήσεις τὸν οἶκον, ὅτι ὁ υἱός σου, ὃς ἐξελεύσεται ἐκ τῆς ὀσφύος σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀνόματί μου.

Β Παραλ. 6,9 - Πλην όμως συ δεν θα ανοικοδομήσης τον ναόν αυτόν, άλλα ο υιός σου, ο οποίος θα εξέλθη από τα σπλάγχνα σου, αυτός θα ανοικοδομήση τον ναόν τον αφιερωμένον στο Ονομά μου.

Β Παραλ. 6,10 - καὶ ἀνέστησε Κύριος τὸν λόγον τοῦτον, ὃν ἐλάλησε, καὶ ἐγενήθην ἀντὶ Δαυὶδ τοῦ πατρός μου καὶ ἐκάθισα ἐπὶ τὸν θρόνον Ἰσραήλ, καθὼς ἐλάλησε Κύριος, καὶ ᾠκοδόμησα τὸν οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραὴλ

Β Παραλ. 6,10 - Ο Κυριος εξεπλήρωσε την υπόσχεσίν του αυτήν, την οποίαν ρητώς είχεν είπει, και ιδού ότι εγώ διεδέχθην τον πατέρα μου, τον Δαυίδ, και εκάθισα στον βασιλικόν θρόνον του ισραηλιτικού λαού, όπως είχεν υποσχεθή ο Κυριος. Και ανοικοδόμησα τον ναόν προς δόξαν του ονόματος Κυρίου του Θεού του ισραηλιτικού λαού.

Β Παραλ. 6,11 - καὶ ἔθηκα ἐκεῖ τὴν κιβωτόν, ἐν ᾗ ἐκεῖ διαθήκη Κυρίου, ἣν διέθετο τῷ Ἰσραήλ.

Β Παραλ. 6,11 - Εκεί έθεσα την Κιβωτόν του Μαρτυρίου, μέσα εις την οποίαν υπάρχει η Διαθήκη του Κυρίου, την οποίαν αυτός συνήψε με τον ισραηλιτικόν λαόν”.

Β Παραλ. 6,12 - Καὶ ἔστη κατέναντι τοῦ θυσιαστηρίου Κυρίου ἔναντι πάσης ἐκκλησίας Ἰσραὴλ καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ·

Β Παραλ. 6,12 - Εστάθη ο Σολομών όρθιος ενώπιον του θυσιαστηρίου των ολοκαυτωμάτων και ενώπιον όλης της συγκεντρώσεως του ισραηλιτικού λαού και ύψωσε τας χείρας αυτού στον ουρανόν, δια να προσευχηθή προς τον Κυριον.

Β Παραλ. 6,13 - ὅτι ἐποίησε Σαλωμὼν βάσιν χαλκῆν καὶ ἔθηκεν αὐτὴν ἐν μέσῳ τῆς αὐλῆς τοῦ ἱεροῦ, πέντε πήχεων τὸ μῆκος αὐτῆς καὶ πέντε πήχεων τὸ εὖρος αὐτῆς καὶ τριῶν πήχεων τὸ ὕψος αὐτῆς, καὶ ἔστη ἐπ᾽

αὐτῆς καὶ ἔπεσεν ἐπὶ τὰ γόνατα ἔναντι πάσης ἐκκλησίας Ἰσραὴλ καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν

Β Παραλ. 6,13 - Είχεν ήδη κατασκευάσει ο Σολομών χάλκινον βάθρον, το οποίον έθεσεν στο μέσον της αυλής του ναού, το μήκος του βάθρου αυτού ήτο πέντε πήχεις, το πλάτος του επίσης πέντε πήχεις, το δε ύψος του ήτο τρεις πήχεις. Ανέβη και εστάθη ο Σολομών επάνω στο βάθρον αυτό, έπειτα έπεσεν εις τα γόνατα ενώπιον της συγκεντρώσεως ολοκλήρου του ισραηλιτικού λαού, ύψωσε τας χείρας του προς τον ουρανόν και είπε·

Β Παραλ. 6,14 - καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσραήλ, οὐκ ἔστιν ὅμοιός σοι Θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, φυλάσσων τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς παισί σου τοῖς πορευομένοις ἐναντίον σου ἐν ὅλῃ καρδίᾳ.

Β Παραλ. 6,14 - “Κυριε, Θεέ του ισραηλιτικού λαού, δεν υπάρχει στον ουρανόν και εις την γην άλλος Θεός όμοιος προς σέ, ο οποίος εκπληρώνεις τας υποσχέσεις σου και παρέχστο έλεός σου στους δούλους σου, οι οποίοι πορεύονται ενώπιόν σου με όλην την ειλικρίνειαν της καρδίας των.

Β Παραλ. 6,15 - ἃ ἐφύλαξας τῷ παιδί σου Δαυὶδ τῷ πατρί μου, ἃ ἐλάλησας αὐτῷ λέγων, καὶ ἐλάλησας ἐν στόματί σου καὶ ἐν χερσί σου ἐπλήρωσας ὡς ἡ ἡμέρα αὕτη.

Β Παραλ. 6,15 - Συ επραγματοποίησες στον δούλον σου, τον πατέρα μου Δαυίδ, εκείνα, τα οποία είχες είπει εις αυτόν περί του ναού όσα με το ίδιο σου το στόμα του υπεσχέθης επραγματοποίησες δια της παντοδυνάμου χειρός σου, όπως μαρτυρεί η σημερινή ημέρα.

Β Παραλ. 6,16 - καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραήλ, φύλαξον τῷ παιδί σου τῷ Δαυὶδ τῷ πατρί μου ἃ ἐλάλησας αὐτῷ λέγων· οὐκ ἐκλείψει σοι ἀνὴρ ἀπὸ προσώπου μου καθήμενος ἐπὶ θρόνου Ἰσραήλ, πλὴν ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν τοῦ πορεύεσθαι ἐν τῷ νόμῳ μου, ὡς ἐπορεύθης ἐναντίον μου.

Β Παραλ. 6,16 - Και τώρα, Κυριε, Θεέ του Ισραήλ, εκπλήρωσε και όσά άλλα υπεσχέθης στον δούλον σου, τον πατέρα μου Δαυίδ, όταν εις αυτόν έλεγες· Δεν θα παύση να υπάρχη ενώπιόν μου βασιλεύς επί του ισραηλιτικού θρόνου απόγονός σου, υπό την προϋπόθεσιν ότι οι απόγονοί σου θα προσέξουν και θα φυλάξουν τον δρόμον των, ώστε να πορεύωνται σύμφωνα με τον νόμον μου, όπως επορεύθης συ ενώπιόν μου.

Β Παραλ. 6,17 - καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραήλ, πιστωθήτω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δαυίδ,

Β Παραλ. 6,17 - Και τώρα Κυριε, Θεέ του Ισραηλιτικού λαού, ας αποδειχθή πιστός και αληθινός ο λόγος σου και ας πραγματοποιηθή αυτό, το οποίον υπεσχέθης στον δούλον σου τον Δαυίδ.

Β Παραλ. 6,18 - ὅτι εἰ ἀληθῶς κατοικήσει Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς; εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, καὶ τίς ὁ

οἶκος οὗτος, ὃν ᾠκοδόμησα;

Β Παραλ. 6,18 - Αλλά πως είναι δυνατόν να κατοικήση ο Θεός μαζή με τους ανθρώπους επί της γης; Εάν το στερέωμα και ο ουρανός του ουρανού δεν είναι αρκετοί να βαστάσουν το μεγαλείον σου, τι είναι ο οίκος αυτός, τον οποίον εγώ έχω ανοικοδομήσει;

Β Παραλ. 6,19 - καὶ ἐπιβλέψῃ ἐπὶ τὴν προσευχὴν παιδός σου καὶ ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεός, τοῦ ἐπακοῦσαι τῆς δεήσεως καὶ τῆς προσευχῆς, ἧς ὁ παῖς σου προσεύχεται ἐναντίον σου σήμερον,

Β Παραλ. 6,19 - Αλλά, συ Κυριε και Θεέ μου, θα συγκαταβής να επιβλέψης εις την προσευχήν του δούλου σου, να ακούσης την δέησίν μου και την προσευχήν μου, την οποίαν ο δούλος σου απευθύνει ενώπιόν σου σήμερον.

Β Παραλ. 6,20 - τοῦ εἶναι ὀφθαλμούς σου ἀνεῳγμένους ἐπὶ τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτὸς εἰς τὸν τόπον τοῦτον, ὃν εἶπας ἐπικληθῆναι τὸ ὄνομά σου ἐκεῖ, τοῦ ἀκοῦσαι τῆς προσευχῆς, ἧς προσεύχεται ὁ παῖς σου εἰς τὸν τόπον τοῦτον.

Β Παραλ. 6,20 - Σε ικετεύω να είναι ανοικτοί οι οφθαλμοί σου ημέραν και νύκτα στον ναόν και τον τόπον τούτον, όπου συ ώρισες να επικαλούνται το Ονομά σου οι άνθρωποι. Ας είναι ανοικτοί οι οφθαλμοί σου και τα ώτα σου, δια να ακούης την προσευχήν, την οποίαν σου απευθύνω εγώ ο δούλος σου στον τόπον αυτόν.

Β Παραλ. 6,21 - καὶ ἀκούσῃ τῆς δεήσεως τοῦ παιδός σου καὶ τοῦ λαοῦ σου Ἰσραήλ, ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐκ τοῦ οὐρανοῦ καὶ ἀκούσῃ καὶ ἵλεως ἔσῃ.

Β Παραλ. 6,21 - Θα ακούσης, Κυριε, τας δεήσεις εμού του δούλου σου και του ισραηλιτικού λαού, τας οποίας θα απευθύνουν προς σε στον τόπον τούτον. Ναι, Κυριε, θα ακούσης από τον τόπον της ουρανίου κατοικίας σου τας προσευχάς, θα τας δεχθής και θα γίνης σπλαγχνικός στους προσευχομένους προς σέ.

Β Παραλ. 6,22 - ἐὰν ἁμάρτῃ ἀνὴρ τῷ πλησίον αὐτοῦ καὶ λάβῃ ἐπ᾿ αὐτὸν ἀρὰν τοῦ ἀρᾶσθαι αὐτόν, καὶ ἔλθῃ καὶ ἀράσηται κατέναντι τοῦ θυσιαστηρίου ἐν τῷ οἴκῳ τούτῳ,

Β Παραλ. 6,22 - Εάν κανείς αδικήση τον πλησίον του και πάρη επάνω του όρκον και έλθη αυτός και ορκισθή ενώπιον του θυσιαστηρίου των ολοκαυτωμάτων στον ναόν τούτον,

Β Παραλ. 6,23 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ποιήσεις καὶ κρινεῖς τοὺς δούλους σου τοῦ ἀποδοῦναι τῷ ἀνόμῳ καὶ ἀποδοῦναι ὁδοὺς αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ τοῦ δικαιῶσαι δίκαιον, τοῦ ἀποδοῦναι αὐτῷ κατὰ τὴν δικαιοσύνην αὐτοῦ.

Β Παραλ. 6,23 - συ θα ακούσης από τον ουρανόν και θα κάμης την κρίσιν σου μεταξύ των δούλων σου, ώστε εάν ο αδικήσας ορκισθή ψευδώς, να τιμωρήσης τον άνομον και να ρίψης επάνω στο κεφάλι του την αδικίαν, που διέπραξεν, έτσι δε θα αποδείξης αθώον τον δίκαιον και θα αποδώσης εις αυτόν ανάλογα με την δικαιοσύνην του.

Β Παραλ. 6,24 - καὶ ἐὰν θραυσθῇ ὁ λαός σου Ἰσραὴλ κατέναντι τοῦ ἐχθροῦ, ἐὰν ἁμάρτωσί σοι, καὶ ἐπιστρέψωσι καὶ ἐξομολογήσωνται τῷ ὀνόματί σου καὶ προσεύξωνται καὶ δεηθῶσιν ἐναντίον σου ἐν τῷ οἴκῳ τούτῳ,

Β Παραλ. 6,24 - Εάν συντριβούν και αιχμαλωτισθούν από τον εχθρόν των οι Ισραηλίται, διότι ημάρτησαν ενώπιόν σου, έπειτα όμως επιστρέψουν εν μετάνοια προς σε και δοξάσουν το Ονομά σου και προσευχηθούν και δεηθούν ενώπιόν σου στρεφόμενοι προς τον ναόν τούτον,

Β Παραλ. 6,25 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις λαοῦ σου Ἰσραὴλ καὶ ἀποστρέψεις αὐτοὺς εἰς τὴν γῆν, ἣν ἔδωκας αὐτοῖς καὶ τοῖς πατράσιν αὐτῶν.

Β Παραλ. 6,25 - συ θα ακούσης από τον ουρανόν την προσευχήν των, θα γίνης ίλεως εις τας αμαρτίας του ισραηλιτικού λαού, θα ελευθερώσης και θα επιστρέψης αυτούς από την αιχμαλωσίαν εις την χώραν αυτήν, την οποίαν συ έχεις δώσει εις αυτούς και στους προγόνους των.

Β Παραλ. 6,26 - ἐν τῷ συσχεθῆναι τὸν οὐρανὸν καὶ μὴ γενέσθαι ὑετόν, ὅτι ἁμαρτήσονταί σοι, καὶ προσεύξονται εἰς τὸν τόπον τοῦτον καὶ αἰνέσουσι τὸ ὄνομά σου καὶ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ἐπιστρέψουσιν, ὅτι ταπεινώσεις αὐτούς,

Β Παραλ. 6,26 - Οταν δε κλείση ο ουρανός και δεν πέση βροχή εις την γην, διότι θα έχουν αμαρτήσει απέναντί σου οι δούλοι σου, προσευχηθούν όμως στον τόπον τούτον και δοξάσουν το Ονομά σου και μετανοήσουν από τας αμαρτίας των εξ αιτίας της θλίψεως, που τους απέστειλες,

Β Παραλ. 6,27 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τῶν παίδων σου καὶ τοῦ λαοῦ σου Ἰσραήλ, ὅτι δηλώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγαθήν, ἐν ᾗ πορεύσονται ἐν αὐτῇ, καὶ δώσεις ὑετὸν ἐπὶ τὴν γῆν σου, ἣν ἔδωκας τῷ λαῷ σου εἰς κληρονομίαν.

Β Παραλ. 6,27 - συ πάλιν θα ακούσης από τον ουρανόν την προσευχήν των, θα είσαι ίλεως δια τας αμαρτίας των δούλων σου και όλου του ισραηλιτικού λαού, θα δείξης εις αυτούς την ευθείαν οδόν, που πρέπει να βαδίσουν, και θα στείλης βροχήν εις την γην σου, την οποίαν συ έδωκες εις τον λαόν σου ως κληρονομίαν.

Β Παραλ. 6,28 - λιμὸς ἐὰν γένηται ἐπὶ τῆς γῆς, θάνατος ἐὰν γένηται, ἀνεμοφθορία καὶ ἴκτερος, ἀκρὶς καὶ βροῦχος ἐὰν γένηται, καὶ ἐὰν θλίψῃ

αὐτὸν ὁ ἐχθρὸς κατέναντι τῶν πόλεων αὐτῶν, κατὰ πᾶσαν πληγὴν καὶ πάντα πόνον,

Β Παραλ. 6,28 - Εάν πέση πείνα εις την χώραν αυτήν, εάν συμβή θανατηφόρος επιδημία, ελονοσία και ίκτερος, εάν επιπέση ακρίδα και βρούχος, εάν εχθρός καταθλίψη τον λαόν σου πολιορκών τας πόλστου, εάν οιαδήποτε πληγή και θλίψις εκσπάση εναντίον του,

Β Παραλ. 6,29 - καὶ πᾶσα προσευχὴ καὶ πᾶσα δέησις, ἣ ἐὰν γένηται παντὶ ἀνθρώπῳ καὶ παντὶ λαῷ σου Ἰσραήλ, ἐὰν γνῷ ἄνθρωπος τὴν ἁφὴν αὐτοῦ καὶ τὴν μαλακίαν αὐτοῦ καὶ διαπετάσῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν οἶκον τοῦτον,

Β Παραλ. 6,29 - Τοτε δε αναπεμφθή προς σε κάθε προσευχή και κάθε δέησις από ενός εκάστου ανθρώπου και από όλον μαζή τον ισραηλιτικόν σου λαόν, όταν οι άνθρωποι αυτοί συναισθανθούν την θλίψιν των και την ασθένειάν των, και υψώσουν τας χείρας των προς σε στον ναόν τούτον,

Β Παραλ. 6,30 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ἱλάσῃ καὶ δώσεις ἀνδρὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ, ὡς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ, ὅτι μόνος γινώσκεις τὴν καρδίαν υἱῶν ἀνθρώπων,

Β Παραλ. 6,30 - συ από τον ουρανόν, από το τέλειον αυτό κατοικητήριόν σου, θα ακούσης την προσευχήν των και θα γίνης ίλεως προς αυτούς. Θα δώσης στον καθένα από αυτούς κατά τας επιθυμίας των, όταν κατανοήσης την καρδίαν των συ, ο οποίος μόνος γνωρίζεις τας καρδίας των υιών των ανθρώπων.

Β Παραλ. 6,31 - ὅπως φοβῶνται πάσας ὁδούς σου πάσας τὰς ἡμέρας, ἃς αὐτοὶ ζῶσιν ἐπὶ πρόσωπον τῆς γῆς, ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν.

Β Παραλ. 6,31 - Αυτό δέ, δια να σέβωνται οι άνθρωποι όλας τας οδούς σου, καθ' όλας τας ημέρας, κατά τας οποίας αυτοί θα ζουν επάνω εις την γην, την οποίαν συ έδωσες στους πατέρας ημών.

Β Παραλ. 6,32 - καὶ πᾶς ἀλλότριος, ὃς οὐκ ἐκ τοῦ λαοῦ σου Ἰσραήλ ἐστιν αὐτὸς καὶ ἔλθῃ ἐκ γῆς μακρόθεν διὰ τὸ ὄνομά σου τὸ μέγα καὶ τὴν χεῖρά σου τὴν κραταιὰν καὶ τὸν βραχίονά σου τὸν ὑψηλὸν καὶ ἔλθωσι καὶ προσεύξωνται εἰς τὸν τόπον τοῦτον,

Β Παραλ. 6,32 - Και κάθε ξένος, ο οποίος δεν προέρχεται από τον ισραηλιτικόν λαόν, ήλθεν όμως από μακρυνήν χώραν εδώ, διότι έχει πληροφορηθή θαυμαστά γεγονότα δια το μέγα Ονομά σου, δια το παντοδύναμον και ένδοξον χέρι σου, εάν και αυτός έλθη και προσευχηθήήστον τόπον τούτον,

Β Παραλ. 6,33 - καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ποιήσεις κατὰ πάντα, ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλότριος, ὅπως γνῶσι πάντες οἱ λαοὶ τῆς γῆς τὸ ὄνομά σου καὶ τοῦ

φοβεῖσθαί σε ὡς ὁ λαός σου Ἰσραὴλ καὶ τοῦ γνῶναι ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὸν οἶκον τοῦτον, ὃν ᾠκοδόμησα.

Β Παραλ. 6,33 - συ από τον ουρανόν, από το τέλειον κατοικητήριόν σου, θα ακούσης την προσευχήν του και θα εκπληρώσης όλα όσα ζητήση από σε ο ξένος αυτός. Και τούτο, δια να μάθουν όλοι οι λαοί της γης το Ονομά σου και να σε σέβωνται, όπως σε σέβεται ο ισραηλιτικός λαός, δια να μάθουν ότι το Ονομά σου δοξάζεται και αυτό επικαλούνται στον οίκον τούτον, τον οποίον εγώ οικοδόμησα.

Β Παραλ. 6,34 - ἐὰν δὲ ἐξέλθῃ ὁ λαός σου εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ ἐν ὁδῷ, ᾗ ἀποστελεῖς αὐτούς, καὶ προσεύξωνται πρός σε κατὰ τὴν ὁδὸν τῆς πόλεως ταύτης, ἣν ἐξελέξω ἐν αὐτῇ, καὶ οἴκου, οὗ ᾠκοδόμηκα τῷ ὀνόματί σου,

Β Παραλ. 6,34 - Εάν ο λαός σου εξέλθη εις πόλεμον εναντίον των εχθρών του κατά διαταγήν σου και στον δρόμον, στον οποίον θα στείλης αυτούς, προσευχηθούν προς σε εστραμμένοι προς την πόλιν αυτήν, εντός της οποίας εξέλεξες συ να μένης, και προς τον ναόν αυτόν, τον οποίον οικοδόμησα και αφιέρωσα στο Ονομά σου,

Β Παραλ. 6,35 - καὶ ἀκούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς προσευχῆς αὐτῶν καὶ τῆς δεήσεως αὐτῶν καὶ ποιήσεις τὸ δικαίωμα αὐτῶν.

Β Παραλ. 6,35 - συ θα ακούσης από τον ουρανόν την προσευχήν και την δέησιν αυτών και θα αποδώσης εις αυτούς το δίκαιον.

Β Παραλ. 6,36 - ὅτι ἁμαρτήσονταί σοι (ὅτι οὐκ ἔσται ἄνθρωπος, ὃς οὐχ ἁμαρτήσεται) καὶ πατάξεις αὐτοὺς καὶ παραδώσεις αὐτοὺς κατὰ πρόσωπον ἐχθρῶν καὶ αἰχμαλωτεύσουσιν αὐτοὺς οἱ αἰχμαλωτεύοντες αὐτοὺς εἰς γῆν ἐχθρῶν εἰς γῆν μακρὰν ἢ ἐγγὺς

Β Παραλ. 6,36 - Εάν αμαρτήσουν απέναντί σου, (διότι δεν θα υπάρξη άνθρωπος, που δεν θα αμαρτήση) και τιμωρήσης αυτούς και τους παραδώσης εις τα χέρια των εχθρών των, οι δε εχθροί των τους αιχμαλωτίσουν και τους μεταφέρουν εις εχθρικήν χώραν πλησίον η μακράν,

Β Παραλ. 6,37 - καὶ ἐπιστρέψωσι καρδίαν αὐτῶν ἐν τῇ γῇ αὐτῶν, οὗ μετήχθησαν ἐκεῖ, καί γε ἐπιστρέψωσι καὶ δεηθῶσί σου ἐν τῇ αἰχμαλωσίᾳ αὐτῶν λέγοντες· ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν,

Β Παραλ. 6,37 - εάν αυτοί επιστρέψουν με ειλικρινή καρδίαν προς σε εκεί εις την εχθρικήν χώραν, όπου θα έχουν μεταφερθή, εάν επιστρέψουν εν μετανοία και εις την περίοδον της αιχμαλωσίας των αυτής προσευχηθούν προς σε λέγοντες· ημαρτήσαμεν, ηνομήσαμεν, ηδικήσαμεν·

Β Παραλ. 6,38 - καὶ ἐπιστρέψωσι πρός σε ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν ἐν γῇ αἰχμαλωτευσάντων αὐτοὺς καὶ προσεύξωνται ὁδὸν γῆς αὐτῶν, ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν, καὶ τῆς πόλεως, ἧς ἐξελέξω, καὶ τοῦ οἴκου, οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου,

Β Παραλ. 6,38 - εάν αυτοί επιστρέψουν προς σε με όλην των την καρδίαν και με όλην των την ψυχήν εις την χώραν των εχθρών, που τους έχουν αιχμαλωτίσει, και προσευχηθούν εστραμμένοι προς την κατεύθυνσιν της χώρας των, την οποίαν συ έδωκες στους πατέρας των, προς την κατεύθυνσιν της πόλεως, την οποίαν συ εδιάλεξες, και του οίκου, τον οποίον εγώ οικοδόμησα εις δόξαν του Ονόματός σου,

Β Παραλ. 6,39 - καὶ ἀκούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου τῆς προσευχῆς αὐτῶν καὶ τῆς δεήσεως αὐτῶν καὶ ποιήσεις κρίματα καὶ ἵλεως ἔσῃ τῷ λαῷ τῷ ἁμαρτῶντί σοι.

Β Παραλ. 6,39 - συ θα ακούσης από τον ουρανόν, από το τέλειον κατοικητήριόν σου, την προσευχήν και την δέησιν αυτών, θα αποδώσης το δίκαιόν των και θα δειχθής σπλαγχνικός στον λαόν αυτόν, ο οποίος ημάρτησεν απέναντί σου.

Β Παραλ. 6,40 - καὶ νῦν, Κύριε, ἔστωσαν δὴ οἱ ὀφθαλμοί σου ἀνεῳγμένοι καὶ τὰ ὦτά σου ἐπήκοα ἐπὶ τὴν δέησιν τοῦ τόπου τούτου.

Β Παραλ. 6,40 - Και τώρα, Κυριε, ας είναι ανοικτοί οι οφθαλμοί σου και τα ώτά σου πρόθυμα να ακούσουν κάθε δέησιν, η οποία θα αναπέμπεται προς σε από τον τόπον τούτον.

Β Παραλ. 6,41 - καὶ νῦν ἀνάστηθι, Κύριε ὁ Θεός, εἰς τὴν κατάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τῆς ἰσχύος σου. οἱ ἱερεῖς σου, Κύριε ὁ Θεός, ἐνδύσαιντο σωτηρίαν, καὶ οἱ υἱοί σου εὐφρανθήτωσαν ἐν ἀγαθοῖς.

Β Παραλ. 6,41 - Και τώρα, Κυριε και Θεέ, σήκω και όλα στον τύπον αυτόν της αναπαύσεώς σου, συ και η Κιβωτός της δυνάμεώς σου. Οι ιερείς σου, Κυριε και Θεέ, ας ενδυθούν σωτηρίαν και τα τέκνα σου, οι ευλαβείς άνθρωποι, ας ευφρανθούν με τα αγαθά, τα οποία συ δίδεις.

Β Παραλ. 6,42 - Κύριε ὁ Θεός, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου, μνήσθητι τὰ ἐλέη Δαυὶδ τοῦ δούλου σου.

Β Παραλ. 6,42 - Κυριε ο Θεός μου, μη αποστρέψης το πρόσωπόν σου από εμέ, τον οποίον συ έχρισες βασιλέα και ενθυμήσου τα ελέη, τα όποία προς τον δούλον σου τον Δαυίδ έδωσες”.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 7

Β Παραλ. 7,1 - Καὶ ὡς συνετέλεσε Σαλωμὼν προσευχόμενος, καὶ τὸ πῦρ κατέβη ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας, καὶ δόξα Κυρίου ἔπλησε τὸν οἶκον.

Β Παραλ. 7,1 - Οταν ο Σολομών ετελείωσε την προσευχήν του, πυρ κατέβηκε από τον ουρανόν και κατέφαγε τας θυσίας των ολοκαυτωμάτων και τας άλλας θυσίας. Θεία δε λάμψις εγέμισε τον ναόν του Κυρίου.

Β Παραλ. 7,2 - καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς εἰσελθεῖν εἰς τὸν οἶκον Κυρίου ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτι ἔπλησε δόξα Κυρίου τὸν οἶκον.

Β Παραλ. 7,2 - Οι ιερείς δεν ημπορούσαν να εισέλθουν στον ναόν του Κυρίου κατά το χρονικόν εκείνο διάστημα, διότι θεία λάμψις είχε γεμίσει τον ναόν του Κυρίου.

Β Παραλ. 7,3 - καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ ἑώρων καταβαῖνον τὸ πῦρ, καὶ ἡ δόξα Κυρίου ἐπὶ τὸν οἶκον, καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐπὶ τὸ λιθόστρωτον καὶ προσεκύνησαν καὶ ᾖνουν τῷ Κυρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Β Παραλ. 7,3 - Ολοι οι Ισραηλίται έβλεπον το πυρ να κατεβαίνη από τον ουρανόν και την θείαν λάμψιν, η οποία εγέμισε τον ναόν. Επεσαν δε κατά γης με το πρόσωπον αυτών στο λιθόστρωτον δάπεδον, προσεκύνησαν τον Θεόν και υμνούσαν αυτόν λέγοντες· “ότι είναι αγαθός, ότι το έλεός του παραμένει στους αιώνας των αιώνων”.

Β Παραλ. 7,4 - καὶ ὁ βασιλεὺς καὶ πᾶς ὁ λαὸς θύοντες θύματα ἔναντι Κυρίου.

Β Παραλ. 7,4 - Ο βασιλεύς και όλος ο λαός προσέφερον θυσίας ενώπιον του Κυρίου.

Β Παραλ. 7,5 - καὶ ἐθυσίασεν ὁ βασιλεὺς Σαλωμὼν τὴν θυσίαν μόσχων εἴκοσι καὶ δύο χιλιάδας καὶ βοσκημάτων ἑκατὸν καὶ εἴκοσι χιλιάδας, καὶ ἐνεκαίνισε τὸν οἶκον τοῦ Θεοῦ ὁ βασιλεὺς καὶ πᾶς ὁ λαός.

Β Παραλ. 7,5 - Ο βασιλεύς Σολομών προσέψερεν ως θυσίαν εικοσιδύο χιλιάδας μόσχους και εκατόν είκοσι χιλιάδας πρόβατα. Με αυτόν τον τρόπον ο βασιλεύς και όλος ο λαός έκαμαν τα εγκαίνια του ναού του Θεού.

Β Παραλ. 7,6 - καὶ οἱ ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν ἑστηκότες, καὶ οἱ Λευῖται ἐν ὀργάνοις ᾠδῶν Κυρίου τοῦ Δαυὶδ τοῦ βασιλέως τοῦ ἐξομολογεῖσθαι ἔναντι Κυρίου, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ἐν ὕμνοις Δαυὶδ διὰ χειρὸς αὐτῶν, καὶ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἐναντίον αὐτῶν, καὶ πᾶς Ἰσραὴλ ἑστηκώς.

Β Παραλ. 7,6 - Οι ιερείς εστέκοντο όρθιοι εις τας θέσεις των και οι Λευίται με τα ιερά μουσικά των όργανα, δια να υμνούν με αυτά τον Κυριον λέγοντες, ότι στον αιώνα το έλεος αυτού. Επίσης εδοξολογούσαν τον Κυριον με άσματα, τα οποία ο Δαυίδ ιδιοχείρως είχε γράψει, και οι ιερείς εσάλπιζαν με τας ιεράς σάλπιγγας ενώπιον αυτών και όλοι οι Ισραηλίται ίσταντο όρθιοι.

Β Παραλ. 7,7 - καὶ ἡγίασε Σαλωμὼν τὸ μέσον τῆς αὐλῆς τῆς ἐν οἴκῳ Κυρίου, ὅτι ἐποίησεν ἐκεῖ τὰ ὁλοκαυτώματα καὶ τὰ στέατα τῶν σωτηρίων, ὅτι τὸ θυσιαστήριον τὸ χαλκοῦν, ὃ ἐποίησε Σαλωμών, οὐκ ἐξεποίει δέξασθαι τὰ ὁλοκαυτώματα καὶ τὰ μαναὰ καὶ τὰ στέατα.

Β Παραλ. 7,7 - Ο Σολομών ηγίασε την αυλήν, που ευρίσκετο στον ναόν του Κυρίου, διότι εκεί επί του νέου θυσιαστηρίου προσέφερε τα

ολοκαυτώματα και τα λίπη των θυσιών του σωτηρίου, επειδή το άλλο το χαλκούν θυσιαστήριον, το οποίον είχε κατασκευάσει ο Σολομών, δεν ήτο αρκετόν να δέχεται όλα τα ολοκαυτώματα και τα δώρα και τα λίπη των ειρηνικών θυσιών.

Β Παραλ. 7,8 - καὶ ἐποίησε Σαλωμὼν τὴν ἑορτὴν ἐν τῷ καιρῷ ἐκείνῳ ἑπτὰ ἡμέρας καὶ πᾶς Ἰσραὴλ μετ᾿ αὐτοῦ, ἐκκλησία μεγάλη σφόδρα ἀπὸ εἰσόδου Αἱμὰθ καὶ ἕως χειμάῤῥου Αἰγύπτου.

Β Παραλ. 7,8 - Κατά τον καιρόν εκείνον ετέλεσεν ο Σολομών την εορτήν αυτήν των εγκαινίων επί επτά ημέρας. Μαζή δε με αυτόν ήσαν όλοι οι Ισραηλίται, συγκέντρωσις πολύ μεγάλη, διότι είχον έλθει Ισραηλίται από την είσοδον της χώρας Αιμάθ έως τον χείμαρρον της Αιγύπτου.

Β Παραλ. 7,9 - καὶ ἐποίησεν ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον, ὅτι ἐγκαινισμὸν τοῦ θυσιαστηρίου ἐποίησεν ἑπτὰ ἡμέρας ἑορτήν.

Β Παραλ. 7,9 - Κατά την ογδόην ημέραν εώρτασεν ο Σολομών την λήξιν της εορτής. Επί επτά ημέρας ετέλεσε την εορτήν των εγκαινίων του θυσιαστηρίου.

Β Παραλ. 7,10 - καὶ ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τοῦ μηνὸς τοῦ ἑβδόμου ἀπέστειλε τὸν λαὸν εἰς τὰ σκηνώματα αὐτῶν εὐφραινομένους καὶ ἀγαθῇ καρδίᾳ ἐπὶ τοῖς ἀγαθοῖς, οἷς ἐποίησε Κύριος τῷ Δαυίδ, καὶ τῷ Σαλωμῶντι καὶ τῷ Ἰσραὴλ λαῷ αὐτοῦ.

Β Παραλ. 7,10 - Κατά την εικοστήν τρίτην ημέραν του εβδόμου μηνός αφήκεν ο Σολομών τους Ισραηλίτας να επιστρέψουν χαρούμενοι εις τας οικίας των δια τας ευεργεσίας, τας οποίας ο Κυριος έκαμεν στον Δαυίδ, στον Σολομώντα και στον ισραηλιτικόν λαόν.

Β Παραλ. 7,11 - Καὶ συνετέλεσε Σαλωμὼν τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως· καὶ πάντα, ὅσα ἠθέλησεν ἐν τῇ ψυχῇ Σαλωμὼν τοῦ ποιῆσαι ἐν οἴκῳ Κυρίου καὶ ἐν οἴκῳ αὐτοῦ, εὐωδώθη.

Β Παραλ. 7,11 - Εφερεν εις πέρας ο Σολομών τον ναόν του Κυρίου και το βασιλικόν του ανάκτορον. Επραγματοποίησεν επιτυχώς όλα όσα εσκέφθη και επεθύμησε να κάμη στον οίκον του Θεού και στον ιδικόν του οίκον.

Β Παραλ. 7,12 - καὶ ὤφθη Κύριος τῷ Σαλωμὼν τὴν νύκτα καὶ εἶπεν αὐτῷ· ἤκουσα τῆς προσευχῆς σου καὶ ἐξελεξάμην ἐν τῷ τόπῳ τούτῳ ἐμαυτῷ εἰς οἶκον θυσίας.

Β Παραλ. 7,12 - Ο Κυριος παρουσιάσθη στον Σολομώντα την επομένην νύκτα και του είπε· “ήκουσα την προσευχήν σου και εξέλεξα τον τόπον αυτόν, δια να είναι ναός μου, στον οποίον θα προσφέρετε τας θυσίας σας.

Β Παραλ. 7,13 - ἐὰν συσχῶ τὸν οὐρανὸν καὶ μὴ γένηται ὑετός, καὶ ἐὰν ἐντείλωμαι τῇ ἀκρίδι καταφαγεῖν τὸ ξύλον, καὶ ἐὰν ἀποστείλω θάνατον ἐν τῷ λαῷ μου,

Β Παραλ. 7,13 - Εάν κλείσω τον ουρανόν και δεν πέση βροχή, εάν διατάξω τας ακρίδας να καταφάγουν τα δένδρα, εάν στείλω θάνατον στον λαόν μου,

Β Παραλ. 7,14 - καὶ ἐὰν ἐντραπῇ ὁ λαός μου ἐφ᾿ οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾿ αὐτούς, καὶ προσεύξωνται καὶ ζητήσωσι τὸ πρόσωπόν μου καὶ ἀποστρέψωσιν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ ἐγὼ εἰσακούσομαι ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσομαι ταῖς ἁμαρτίαις αὐτῶν καὶ ἰάσομαι τὴν γῆν αὐτῶν.

Β Παραλ. 7,14 - στον οποίον έχει δοθή ως όνομα το Ονομά μου και συναισθανθή το σφάλμα του και μετανοήση, εάν προσευχηθούν τότε οι Ισραηλίται προς εμέ και ζητήσουν το πρόσωπόν μου και απομακρυνθούν από τας πονηράς αυτών οδούς, εγώ από τον ουρανόν θα ακούσω τας προσευχάς των, θα γίνω ίλεως εις τας αμαρτίας των και θα απαλλαξω την χώραν των από τας θλίψεις των.

Β Παραλ. 7,15 - καὶ νῦν οἱ ὀφθαλμοί μου ἔσονται ἀνεῳγμένοι καὶ τὰ ὦτά μου ἐπήκοα τῇ προσευχῇ τοῦ τόπου τούτου.

Β Παραλ. 7,15 - Τωρα οι οφθαλμοί μου θα είναι ανοικτοί και τα ώτα μου προσεκτικά εις την προσευχήν, η οποία θα αναπέμπεται προς εμέ από τον τόπον αυτόν.

Β Παραλ. 7,16 - καὶ νῦν ἐξελεξάμην καὶ ἡγίακα τὸν οἶκον τοῦτον τοῦ εἶναι ὄνομά μου ἐκεῖ ἕως αἰῶνος, καὶ ἔσονται οἱ ὀφθαλμοί μου καὶ ἡ καρδία μου ἐκεῖ πάσας τὰς ἡμέρας.

Β Παραλ. 7,16 - Εξέλεξα και ηγίασα τον ναόν αυτόν, δια να είναι και να αναφέρεται εκεί αιωνίως το Ονομά μου. Οι οφθαλμοί μου και η καρδία μου θα είναι εκεί όλας τας ημέρας.

Β Παραλ. 7,17 - καὶ σὺ ἐὰν πορευθῇς ἐναντίον μου ὡς Δαυὶδ ὁ πατήρ σου καὶ ποιήσεις κατὰ πάντα, ἃ ἐνετειλάμην σοι, καὶ τὰ προστάγματά μου καὶ τὰ κρίματά μου φυλάξῃ,

Β Παραλ. 7,17 - Και συ, εάν πορευθής και ζήσης ενώπιόν μου, όπως ο πατήρ σου ο Δαυίδ, και εκτελέσης όλα όσα εγώ σε έχω διατάξει και φυλάξης τα προστάγματά μου και τας εντολάς μου,

Β Παραλ. 7,18 - καὶ ἀναστήσω τὸν θρόνον τῆς βασιλείας σου, ὡς διεθέμην Δαυὶδ τῷ πατρί σου λέγων· οὐκ ἐξαρθήσεταί σοι ἡγούμενος ἀνὴρ ἐν Ἰσραήλ.

Β Παραλ. 7,18 - εγώ θα ανορθώσω και θα στερεώσω τον βασιλικόν σου θρόνον, όπως υπεσχέθην στον πατέρα σου Δαυίδ λέγων· Ποτέ δεν θα λείψη βασιλεύς επί του ισραηλιτικού λαού εκ των απογόνων σου.

Β Παραλ. 7,19 - καὶ ἐὰν ἀποστρέψητε ὑμεῖς καὶ ἐγκαταλίπητε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου, ἃς ἔδωκα ἐναντίον ὑμῶν, καὶ πορευθῆτε καὶ λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς,

Β Παραλ. 7,19 - Εάν όμως σεις στραφήτε προς άλλους δρόμους και εγκαταλείψετε τα προστάγματά μου και τας εντολάς μου, τας οποίας έδωκα ενώπιόν σας, και πορευθήτε και λατρεύσετε άλλους θεούς και προσκυνήσετε αυτούς,

Β Παραλ. 7,20 - καὶ ἐξαρῶ ὑμᾶς ἀπὸ τῆς γῆς, ἧς ἔδωκα αὐτοῖς, καὶ τὸν οἶκον τοῦτον, ὃν ἡγίασα τῷ ὀνόματί μου, ἀποστρέψω ἐκ προσώπου μου καὶ δώσω αὐτὸν εἰς παραβολὴν καὶ εἰς διήγημα ἐν πᾶσι τοῖς ἔθνεσι.

Β Παραλ. 7,20 - εγώ θα σας ξερριζώσω από την χώραν αυτήν, την οποίαν έδωκα στους πατέρας σας, και τον ναόν αυτόν, τον οποίον ηγίασα δια τον εαυτόν μου, θα απορρίψω από το πρόσωπόν μου και θα καταστήσω αυτόν παροιμίαν και θλιβεράν διήγησιν μεταξύ όλων των ειδωλολατρικών εθνών.

Β Παραλ. 7,21 - καὶ ὁ οἶκος οὗτος ὁ ὑψηλός, πᾶς ὁ διαπορευόμενος αὐτὸν ἐκστήσεται καὶ ἐρεῖ· χάριν τίνος ἐποίησε Κύριος τῇ γῇ ταύτῃ καὶ τῷ οἴκῳ τούτῳ;

Β Παραλ. 7,21 - Ο μεγαλοπρεπής αυτός ναός θα καταστροφή και καθένας, που θα διέρχεται και θα βλέπη αυτόν, θα μένη έκπληκτος και θα ερωτά· Δια ποίαν αιτίαν επέφερεν ο Κυριος εις την γην αυτήν και στον ναόν τούτον την καταστροφήν;

Β Παραλ. 7,22 - καὶ ἐροῦσι· διότι ἐγκατέλιπον Κύριον τὸν Θεόν τῶν πατέρων αὐτῶν τὸν ἐξαγαγόντα αὐτοὺς ἐκ γῆς Αἰγύπτου καὶ ἀντελάβοντο θεῶν ἑτέρων καὶ προσεκύνησαν αὐτοῖς καὶ ἐδούλευσαν αὐτοῖς, διὰ τοῦτο ἐπήγαγεν ἐπ᾽ αὐτούς πᾶσαν τὴν κακίαν ταύτην.

Β Παραλ. 7,22 - Και θα απαντούν· Διότι αυτοί εγκατέλιπον Κυριον τον Θεόν των πατέρων των, ο οποίος τους έβγαλεν ελευθέρους από την χώραν της Αιγύπτου, και προσεκολλήθησαν εις άλλους ειδωλολατρικούς θεούς και προσεκύνησαν αυτούς και υπεδουλώθησαν εις αυτούς, δια τούτο επέφερεν ο Θεός όλην αυτήν την συμφοράν εναντίον των.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 8

Β Παραλ. 8,1 - Καὶ ἐγένετο μετὰ εἴκοσιν ἔτη, ἐν οἷς ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον αὐτοῦ,

Β Παραλ. 8,1 - Μετά παρέλευσιν είκοσιν ετών, κατά τα οποία ο Σολομών οικοδόμησε τον ναόν του Κυρίου και το ιδικόν του ανάκτορον,

Β Παραλ. 8,2 - καὶ τὰς πόλεις, ἃς ἔδωκε Χιρὰμ τῷ Σαλωμών, ᾠκοδόμησεν αὐτὰς Σαλωμών καὶ κατῴκισεν ἐκεῖ τοὺς υἱοὺς Ἰσραήλ.

Β Παραλ. 8,2 - ωχύρωοεν ο Σολομών τας πόλεις, τας οποίας έδωκεν εις αυτόν ο Χιράμ, και εγκατέστησεν εκεί τους Ισραηλίτας.

Β Παραλ. 8,3 - καὶ ἦλθε Σαλωμὼν εἰς Βαισωβὰ καὶ κατίσχυσεν αὐτήν.

Β Παραλ. 8,3 - Ο Σολομών επήλθεν εναντίον της Βαισωβά και την εκυρίευσε.

Β Παραλ. 8,4 - καὶ ᾠκοδόμησε τὴν Θοεδμὸρ ἐν τῇ ἐρήμῳ καὶ πάσας τὰς πόλεις τὰς ὀχυράς, ἃς ᾠκοδόμησεν ἐν Ἡμάθ.

Β Παραλ. 8,4 - Ανοικοδόμησε την Θοεδμόρ εις την έρημον και όλας τα οχυράς πόλεις, τας οποίας έκτισεν εις την περιοχήν Ημάθ.

Β Παραλ. 8,5 - καὶ ᾠκοδόμησε τὴν Βαιθωρὼν τὴν ἄνω καὶ τὴν Βαιθωρὼν τὴν κάτω, πόλεις ὀχυράς, τείχη, πύλαι καὶ μοχλοί,

Β Παραλ. 8,5 - Οικοδόμησε την άνω Βαιθωρών και την κάτω Βαιθωρών, πόλεις οχυράς, με τείχη και θύρας και μοχλούς.

Β Παραλ. 8,6 - καὶ τὴν Βααλὰθ καὶ πάσας τὰς πόλεις τὰς ὀχυράς, αἳ ἦσαν τῷ Σαλωμών, καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων καὶ τὰς πόλεις τῶν ἱππέων καὶ ὅσα ἐπεθύμησε Σαλωμὼν κατὰ τὴν ἐπιθυμίαν τοῦ οἰκοδομῆσαι ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ Λιβάνῳ καὶ ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ.

Β Παραλ. 8,6 - Επίσης την Βααλάθ και όλας τας άλλας οχυράς πόλεις, αι οποίαι ανήκον εις αυτόν. Επίσης έκτισεν οχυράς όλας τας πόλεις, όπου ευρίσκοντο τα πολεμικά του άρματα, και τας πόλστου ιππικού του. Γενικώς ο Σολομών έφερεν εις πέρας όλα όσά επεθύμησε να ανοικοδομήση εις την Ιερουσαλήμ, στον Λιβανον και καθ' όλην την έκτασιν του βασιλείου του.

Β Παραλ. 8,7 - πᾶς ὁ λαὸς ὁ καταλειφθεὶς ἀπὸ τοῦ Χετταίου καὶ τοῦ Ἀμοῤῥαίου καὶ τοῦ Φερεζαίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου, οἳ οὐκ εἰσὶν ἐκ τοῦ Ἰσραήλ,

Β Παραλ. 8,7 - Ολον δε τον λαόν, ο οποίος απέμεινεν από τους Χετταίους, τους Αμορραίους, τους Φερεζαίους, τους Ευαίους και τους Ιεβουσαίους, που δεν ήσαν Ισραηλίται,

Β Παραλ. 8,8 - ἀλλ᾿ ἦσαν ἐκ τῶν υἱῶν αὐτῶν τῶν καταλειφθέντων μετ᾿ αὐτοὺς ἐν τῇ γῇ, οὓς οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἀνήγαγεν αὐτοὺς Σαλωμὼν εἰς φόρον ἕως τῆς ἡμέρας ταύτης.

Β Παραλ. 8,8 - αλλ' ήσαν απόγονοι των υπολειφθέντων λαών της Παλαιστίνης, τους οποίους οι Ισραηλίται δεν εξωλόθρευσαν, ο Σολομών τους κατέστησε φόρου υποτελείς μέχρι της ημέρας αυτής.

Β Παραλ. 8,9 - καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ οὐκ ἔδωκε Σαλωμὼν εἰς παῖδας τῇ βασιλείᾳ αὐτοῦ, ὅτι αὐτοὶ ἄνδρες πολεμισταὶ καὶ ἄρχοντες καὶ δυνατοὶ καὶ ἄρχοντες ἁρμάτων καὶ ἱππέων.

Β Παραλ. 8,9 - Από τους Ισραηλίτας κανένα δεν έκαμεν ο Σολομών δούλον δια τα έργα του καθ' όλην την έκτασιν της βασιλείας του, διότι οι Ισραηλίται ήσαν οι πολεμισταί, οι άρχοντες οι ισχυροί, οι διοικηταί των πολεμικών αρμάτων του και του ιππικού του.

Β Παραλ. 8,10 - καὶ οὗτοι ἄρχοντες τῶν προστατῶν βασιλέως Σαλωμών· πεντήκοντα καὶ διακόσιοι ἐργοδιωκτοῦντες ἐν τῷ λαῷ.

Β Παραλ. 8,10 - Από αυτούς αρχηγοί της φρουράς, τους οποίους είχεν ο βασιλεύς Σολομών, ήσαν διακόσιοι πεντήκοντα, που είχαν ως καθήκον να εποπτεύουν επί του λαού δια την εκτέλεσιν έργων.

Β Παραλ. 8,11 - Καὶ τὴν θυγατέρα Φαραὼ ἀνήγαγε Σαλωμὼν ἐκ πόλεως Δαυὶδ εἰς τὸν οἶκον, ὃν ᾠκοδόμησεν αὐτῇ, ὅτι εἶπεν· οὐ κατοικήσει ἡ γυνή μου ἐν πόλει Δαυὶδ τοῦ βασιλέως Ἰσραήλ, ὅτι ἅγιός ἐστιν οὗ εἰσῆλθεν ἐκεῖ κιβωτὸς Κυρίου.

Β Παραλ. 8,11 - Ο Σολομών μετέφερε την σύζυγόν του, θυγατέρα του Φαραώ, από την πόλιν Δαυίδ στο ανάκτορον, το οποίον έκτισεν δι' αυτήν, διότι είχεν είπει· “η σύζυγός μου δεν επιτρέπεται να παραμένη εις την πόλιν του Δαυίδ, του βασιλέως του ισραηλιτικού λαού, διότι ο τόπος εκείνος είναι άγιος, επειδή εις αυτόν εισήλθεν η Κιβωτός του Κυρίου”.

Β Παραλ. 8,12 - Τότε ἀνήνεγκε Σαλωμὼν ὁλοκαυτώματα τῷ Κυρίῳ ἐπὶ τὸ θυσιαστήριον, ὃ ᾠκοδόμησε Κυρίῳ ἀπέναντι τοῦ ναοῦ,

Β Παραλ. 8,12 - Τοτε ο Σολομών προσέφερε προς τον Κυριον ολοκαυτώματα επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων, το οποίον αυτός είχεν οικοδομήσει προς τιμήν του Κυρίου απέναντι του ναού.

Β Παραλ. 8,13 - κατὰ τὸν λόγον ἡμέρας ἐν ἡμέρᾳ τοῦ ἀναφέρειν κατὰ τὰς ἐντολὰς Μωυσῆ ἐν τοῖς σαββάτοις καὶ ἐν τοῖς μησὶ καὶ ἐν ταῖς ἑορταῖς τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ, ἐν τῇ ἑορτῇ τῶν ἀζύμων καὶ ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων καὶ ἐν τῇ ἑορτῇ τῶν σκηνῶν.

Β Παραλ. 8,13 - Καθε ημέραν προσέφερε θυσίας, σύμφωνα με όσα είχε διατάξει ο Μωυσής να προσφέρωνται, όπως επίσης και κατά τα Σαββατα, την πρώτην εκάστου μηνός, κατά τας τρεις μεγάλας εορτάς του έτους, δηλαδή κατά το Πασχα, κατά την Πεντηκοστήν και κατά την εορτήν της Σκηνοπηγίας.

Β Παραλ. 8,14 - καὶ ἔστησε κατὰ τὴν κρίσιν Δαυὶδ τοῦ πατρὸς αὐτοῦ τὰς διαιρέσεις τῶν ἱερέων, κατὰ τὰς λειτουργίας αὐτῶν, καὶ οἱ Λευῖται ἐπὶ τὰς φυλακὰς αὐτῶν τοῦ αἰνεῖν καὶ λειτουργεῖν κατέναντι τῶν ἱερέων κατὰ τὸν λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ, καὶ οἱ πυλωροὶ κατὰ τὰς διαιρέσεις αὐτῶν εἰς πύλην καὶ πύλην, ὅτι οὕτως ἐντολαὶ Δαυὶδ ἀνθρώπου τοῦ Θεοῦ.

Β Παραλ. 8,14 - Καθώρισεν επίσης ο Σολομών, όπως είχε διατάξει ο πατήρ του ο Δαυίδ, και τας τάξεις των ιερέων και τας υπηρεσίας αυτών, τους Λευίτας εις τας υπηρεσίας των να υμνούν τον Θεόν και να υπηρετούν ενώπιον των ιερέων εκάστην ημέραν, όπως ο Νομος ώριζε. Καθώρισεν επίσης και τους θυρωρούς κατά τάξεις δια κάθε πύλην. Αυτά δε όλα έγιναν έτσι, διότι τέτοιες εντολές είχε δώσει ο Δαυίδ ο άνθρωπος του Θεού.

Β Παραλ. 8,15 - οὐ παρῆλθον τὰς ἐντολὰς τοῦ βασιλέως περὶ τῶν ἱερέων καὶ τῶν Λευιτῶν εἰς πάντα λόγον καὶ εἰς τοὺς θησαυρούς.

Β Παραλ. 8,15 - Δεν παρέβησαν τας εντολάς του βασιλέως εις ο,τι ανεφέρετο στους ιερείς, και τους Λευίτας και εις ο,τι απέβλεπεν εις την περιφρούρησιν των θησαυρών του ναού.

Β Παραλ. 8,16 - καὶ ἡτοιμάσθη πᾶσα ἡ ἐργασία, ἀφ᾿ ἧς ἡμέρας ἐθεμελιώθη, ἕως οὗ ἐτελείωσε Σαλωμὼν τὸν οἶκον Κυρίου.

Β Παραλ. 8,16 - Ετσι ετακτοποιήθη και ήλθεν εις πέρας κάθε εργασία από την ημέραν, κατά την οποίαν ο Σολομών εθεμελίωσε τον ναόν του Κυρίου, μέχρις ότου τον απεπεράτωσε.

Β Παραλ. 8,17 - Τότε ᾤχετο Σαλωμὼν εἰς Γασιὼν Γαβὲρ καὶ εἰς τὴν Αἰλὰθ τὴν παραθαλασσίαν ἐν γῇ Ἰδουμαίᾳ.

Β Παραλ. 8,17 - Τοτε ο Σολομών ανεχώρησεν εις την Γασιών Γαβέρ και εις την Αιλάθ, πόλεις παρά την θάλασσαν εις την χώραν της Ιδουμαίας.

Β Παραλ. 8,18 - καὶ ἀπέστειλε Χιρὰμ ἐν χειρὶ παίδων αὐτοῦ πλοῖα καὶ παῖδας εἰδότας θάλασσαν, καὶ ᾤχοντο μετὰ τῶν παίδων Σαλωμὼν εἰς Σωφιρὰ καὶ ἔλαβον ἐκεῖθεν τετρακόσια καὶ πεντήκοντα τάλαντα χρυσίου καὶ ἦλθον πρὸς τὸν βασιλέα Σαλωμών.

Β Παραλ. 8,18 - Ο Χιράμ έστειλεν στον Σολομώντα δια των ανθρώπων του πλοία και δούλους, οι οποίοι εγνώριζαν την θάλασσαν και την ναυτικήν τέχνην. Αυτοί μαζή με τους ανθρώπους του Σολομώντος μετέβησαν εις Σωφιρά· από εκεί επήραν τετρακόσια πεντήκοντα χρυσά τάλαντα και επανήλθαν στον βασιλέα τον Σολομώντα.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 9

Β Παραλ. 9,1 - Καὶ βασίλισσα Σαβὰ ἤκουσε τὸ ὄνομα Σαλωμὼν καὶ ἦλθε τοῦ πειράσαι Σαλωμὼν ἐν αἰνίγμασιν εἰς Ἱερουσαλὴμ ἐν δυνάμει βαρείᾳ σφόδρα καὶ κάμηλοι αἴρουσαι ἀρώματα εἰς πλῆθος καὶ χρυσίον καὶ λίθον τίμιον καὶ ἦλθε πρὸς Σαλωμὼν καὶ ἐλάλησε πρὸς αὐτὸν πάντα, ὅσα ἦν ἐν τῇ ψυχῇ αὐτῆς.

Β Παραλ. 9,1 - Οταν η βασίλισσα Σαβά ήκουσε την φήμην του Σολομώντος, ήλθεν εις την Ιερουσαλήμ, δια να δοκιμάση αυτόν με δυσκόλους και γριφώδεις ερωτήσεις, συνοδευομένη από πολύ μεγάλην ακολουθίαν, με καμήλους, που έφεραν αρώματα, άφθονον χρυσόν και πολυτίμους λίθους. Οταν δε ήλθεν εις την Ιερουσαλήμ υπέβαλε προς αυτόν όλα τα ερωτήματα, τα οποία είχεν στον νουν της.

Β Παραλ. 9,2 - καὶ ἀνήγγειλεν αὐτῇ Σαλωμὼν πάντας τοὺς λόγους αὐτῆς καὶ οὐ παρῆλθε λόγος ἀπὸ Σαλωμών, ὃν οὐκ ἀπήγγειλεν αὐτῇ.

Β Παραλ. 9,2 - Ο Σολομών απήντησεν εις όλα αυτής τα ερωτήματα. Δεν αντιπαρήλθε κανένα από τα ερωτήματά της, στο οποίον να μη έδωσε προς αυτήν απάντησιν.

Β Παραλ. 9,3 - καὶ εἶδε βασίλισσα Σαβὰ τὴν σοφίαν Σαλωμὼν καὶ τὸν οἶκον, ὃν ᾠκοδόμησε,

Β Παραλ. 9,3 - Οταν η βασίλισσα Σαβά είδε την σοφίαν του Σολομώντος και το ανάκτορον, το οποίον αυτός είχεν οικοδομήσει,

Β Παραλ. 9,4 - καὶ τὰ βρώματα τῶν τραπεζῶν καὶ καθέδραν παίδων αὐτοῦ καὶ στάσιν λειτουργῶν αὐτοῦ καὶ ἱματισμὸν αὐτῶν καὶ οἰνοχόους αὐτοῦ καὶ στολισμὸν αὐτῶν καὶ τὰ ὁλοκαυτώματα, ἃ ἀνέφερεν ἐν οἴκῳ Κυρίου, καὶ ἐξ ἑαυτῆς ἐγένετο.

Β Παραλ. 9,4 - τα φαγητά των τραπεζών του, την θέσιν των δούλων του, τας υπηρεσίας που είχον αναλάβει οι υπηρέται του, και τας στολάς αυτών, τους οινοχόους και τας στολάς των, και τα ολοκαυτώματα, τα οποία προσέφερεν ο Σολομών στον ναόν του Κυρίου, έμεινε κατάπληκτος

Β Παραλ. 9,5 - καὶ εἶπε πρὸς τὸν βασιλέα· ἀληθινὸς ὁ λόγος, ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τῶν λόγων σου καὶ περὶ τῆς σοφίας σου,

Β Παραλ. 9,5 - και είπε προς τον βασιλέα Σολομώντα· “αληθινά ήσαν όσά ήκουσα εις την χώραν μου δια τα έργα σου και δια την σοφίαν σου.

Β Παραλ. 9,6 - καὶ οὐκ ἐπίστευσα τοῖς λόγοις, ἕως οὗ ἦλθον καὶ εἶδον οἱ ὀφθαλμοί μου, καὶ ἰδοὺ οὐκ ἀπηγγέλη μοι ἥμισυ τοῦ πλήθους τῆς σοφίας σου, προσέθηκας ἐπὶ τὴν ἀκοήν, ἣν ἤκουσα.

Β Παραλ. 9,6 - Αλλά δεν είχα πιστεύσει εις την φήμην αυτήν, έως ότου ήλθα και είδα με τα ίδια μου τα μάτια. Και ιδού, ότι δεν μου είχαν αναγγείλει ούτε το ήμισυ από την μεγάλην σου σοφίαν. Συ έχεις υπερβή την φήμην, την οποίαν ήκουσα.

Β Παραλ. 9,7 - μακάριοι οἱ ἄνδρες σου, μακάριοι οἱ παῖδες οὗτοι οἱ παρεστηκότες σοι διαπαντὸς καὶ ἀκούοντες τὴν σοφίαν σου·

Β Παραλ. 9,7 - Ευτυχείς είναι οι άνθρωποί σου, ευτυχείς είναι οι υπηρέται σου, οι οποίοι παρίστανται κοντά σου πάντοτε και ακούουν την σοφίαν σου.

Β Παραλ. 9,8 - ἔστω Κύριος ὁ Θεός σου εὐλογημένος, ὃς ἠθέλησεν ἐν σοὶ τοῦ δοῦναί σε ἐπὶ θρόνον αὐτοῦ εἰς βασιλέα Κυρίῳ Θεῷ σου· ἐν τῷ ἀγαπῆσαι Κύριον τὸν Θεόν σου τὸν Ἰσραὴλ τοῦ στῆσαι αὐτὸν εἰς αἰῶνα καὶ ἔδωκέ σε ἐπ᾿ αὐτοὺς εἰς βασιλέα τοῦ ποιῆσαι κρίμα καὶ δικαιοσύνην.

Β Παραλ. 9,8 - Ευλογημένος ας είναι Κυριος ο Θεός σου, ο οποίος ηυδόκησεν εις σέ, ώστε να σε εγκαταστήση στον θρόνον αυτόν βασιλέα προς τιμήν Κυρίου του Θεού σου. Τούτο δέ, διότι Κυριος ο Θεός σου ηγάπησε τον ισραηλιτικόν λαόν, τον οποίον ηυδόκησε να στερεώση στον αιώνα και κατέστησε σε βασιλέα στους Ισραηλίτας, δια να κυβερνάς αυτούς με ευθυκρισίαν και δικαιοσύνην”.

Β Παραλ. 9,9 - καὶ ἔδωκε τῷ βασιλεῖ ἑκατὸν εἴκοσι τάλαντα χρυσίου καὶ ἀρώματα εἰς πλῆθος πολὺ καὶ λίθον τίμιον· καὶ οὐκ ἦν κατὰ τὰ ἀρώματα ἐκεῖνα, ἃ ἔδωκε βασίλισσα Σαβὰ τῷ βασιλεῖ Σαλωμών.

Β Παραλ. 9,9 - Εδωκεν η βασίλισσα της Σαβά εκατόν είκοσι τάλαντα χρυσού, πολύ πλήθος αρωμάτων και πολυτίμους λίθους. Ωσάν δε τα αρώματα, τα οποία έδωσεν η βασίλισσα Σαβά στον βασιλέα Σολομώντα, δεν υπήρχον άλλα καλύτερα.

Β Παραλ. 9,10 - (καὶ οἱ παῖδες Σαλωμὼν καὶ οἱ παῖδες Χιρὰμ ἔφερον χρυσίον τῷ Σαλωμὼν ἐκ Σουφὶρ καὶ ξύλα πεύκινα καὶ λίθον τίμιον·

Β Παραλ. 9,10 - (Οι δούλοι του Σολομώντος και οι δούλοι του Χιράμ έφεραν χρυσίον στον Σολομώντα από την Σουφίρ, όπως επίσης και ξύλα εκ πεύκης και πολυτίμους λίθους.

Β Παραλ. 9,11 - καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πεύκινα ἀναβάσεις τῷ οἴκῳ Κυρίου καὶ τῷ οἴκῳ τοῦ βασιλέως καὶ κιθάρας καὶ νάβλας τοῖς ᾠδοῖς, καὶ οὐκ ὤφθησαν τοιαῦτα ἔμπροσθεν ἐν γῇ Ἰούδα).

Β Παραλ. 9,11 - Ο δε βασιλεύς Σολομών κατεσκεύασε με τα ξύλα αυτά κλίμακας στον ναόν του Κυρίου και στο ανάκτορόν του, όπως επίσης μουσικά όργανα, κιθάρας και νάβλας δια τους υμνωδούς. Τέτοια ωραία πράγματα δεν είχον φανή προηγουμένως εις την χώραν της Ιουδαίας).

Β Παραλ. 9,12 - καὶ ὁ βασιλεὺς Σαλωμὼν ἔδωκε τῇ βασιλίσσῃ Σαβὰ πάντα τὰ θελήματα αὐτῆς, ἃ ᾔτησεν, ἐκτὸς πάντων, ὧν ἤνεγκε τῷ βασιλεῖ Σαλωμών· καὶ ἀπέστρεψεν εἰς τὴν γῆν αὐτῆς.

Β Παραλ. 9,12 - Τοτε ο βασιλεύς Σολομών έδωσεν εις την βασίλισσαν Σαβά ο,τι αυτή ηθέλησε και ο,τι εζήτησε. Πολύ περισσότερα και ανώτερα από εκείνα, τα οποία αυτή είχε φέρει στον βασιλέα Σολομώντα. Η βασίλισσα ύστερα από αυτά επέστρεψεν εις την χώραν της.

Β Παραλ. 9,13 - Καὶ ἦν ὁ σταθμὸς τοῦ χρυσίου τοῦ ἐνεχθέντος τῷ Σαλωμὼν ἐν ἐνιαυτῷ ἑνὶ ἑξακόσια ἑξηκονταὲξ τάλαντα χρυσίου,

Β Παραλ. 9,13 - Το βάρος του χρυσίου, το οποίον εφέρετο κάθε έτος στον Σολομώντα, ήτο εξακόσια εξήντα εξ τάλαντα,

Β Παραλ. 9,14 - πλὴν τῶν ἀνδρῶν τῶν ὑποτεταγμένων καὶ τῶν ἐμπορευομένων, ὧν ἔφερον, καὶ πάντων τῶν βασιλέων τῆς Ἀραβίας καὶ σατραπῶν τῆς γῆς, πάντες ἔφερον χρυσίον καὶ ἀργύριον τῷ βασιλεῖ Σαλωμών.

Β Παραλ. 9,14 - εκτός εκείνων τα οποία οι υποτελείς εις αυτόν λαοί και οι εμπορευόμενοι του έφεραν, εκτός του χρυσίου και του αργυρίου, το οποίον όλοι οι βασιλείς της Αραβίας και διοικηταί διαφόρων χωρών έφερον στον βασιλέα Σολομώντα.

Β Παραλ. 9,15 - καὶ ἐποίησεν ὁ βασιλεὺς Σαλωμὼν διακοσίους θυρεοὺς χρυσοῦς ἐλατούς, ἑξακόσιοι χρυσοῖ καθαροὶ ἐπῆσαν ἐπὶ τὸν ἕνα θυρεόν·

Β Παραλ. 9,15 - Ο βασιλεύς Σολομών κατεσκεύασε διακοσίας μεγάλας ασπίδας εκ χρυσού σφυρηλατημένας. Καθε μία από αυτάς είχε βάρος εξακοσίων σίκλων καθαρού χρυσού.

Β Παραλ. 9,16 - καὶ τριακοσίας ἀσπίδας ἐλατὰς χρυσᾶς, τριακοσίων χρυσῶν ἀνεφέρετο ἐπὶ τὴν ἀσπίδα ἑκάστην· καὶ ἔδωκεν αὐτὰς ὁ βασιλεὺς ἐν οἴκῳ δρυμοῦ τοῦ Λιβάνου.

Β Παραλ. 9,16 - Επίσης κατεσκεύασε τριακοσίας σφυρηλατημένας χρυσάς ασπίδας. Καθε μία από τας ασπίδας αυτάς είχε βάρος τριακοσίων χρυσών σίκλων. Ο βασιλεύς εθεσεν αυτάς εις ένα κτίριον, το οποίον ωνομάζετο “δάσος του Λιβάνου”.

Β Παραλ. 9,17 - καὶ ἐποίησεν ὁ βασιλεὺς θρόνον ἐλεφαντίνων ὀδόντων μέγαν καὶ κατεχρύσωσεν αὐτὸν χρυσίῳ δοκίμῳ·

Β Παραλ. 9,17 - Κατεσκεύασεν ακόμη ο βασιλεύς μεγαλοπρεπή θρόνον με ελεφαντοστούν. Αυτόν δε τον εχρύσωσε με πολύτιμον χρυσίον.

Β Παραλ. 9,18 - καὶ ἓξ ἀναβαθμοὶ τῷ θρόνῳ ἐνδεδεμένοι χρυσίῳ καὶ ἀγκῶνες ἔνθεν καὶ ἔνθεν ἐπὶ τοῦ θρόνου τῆς καθέδρας, καὶ δύο λέοντες ἑστηκότες παρὰ τοὺς ἀγκῶνας,

Β Παραλ. 9,18 - Ο θρόνος αυτός είχεν εξ σκαλοπάτια, τα οποία επίσης είχον επενδυθή με χρυσίον. Από το ένα μέρος και από το άλλο του βασιλικού αυτού θρόνου, παρά τους αγκώνας, υπήρχον δύο όρθιοι λέοντες.

Β Παραλ. 9,19 - καὶ δώδεκα λέοντες ἑστηκότες ἐκεῖ ἐπὶ τῶν ἓξ ἀναβαθμῶν ἔνθεν καὶ ἔνθεν· οὐκ ἐγενήθη οὕτως ἐν πάσῃ τῇ βασιλείᾳ.

Β Παραλ. 9,19 - Και άλλοι δώδεκα λέοντες όρθιοι ευρίσκοντο από το ένα και από το άλλο μέρος των εξ βαθμίδων. Τέτοια πράγματα δεν είχαν γίνει εις καμμίαν βασιλείαν.

Β Παραλ. 9,20 - καὶ πάντα τὰ σκεύη τοῦ βασιλέως Σαλωμὼν χρυσίου, καὶ πάντα τὰ σκεύη οἴκου δρυμοῦ τοῦ Λιβάνου χρυσίῳ κατειλημμένα, οὐκ ἦν ἀργύριον λογιζόμενον ἐν ἡμέραις Σαλωμὼν εἰς οὐθέν·

Β Παραλ. 9,20 - Ολα τα οικιακά σκεύη του βασιλέως Σολομώντος ήσαν από χρυσόν. Ολα τα σκεύη του οικοδομήματος, το οποίον ωνομάζετο “δάσος του Λιβάνου”, ήσαν επιχρυσωμένα. Ο δε άργυρος κατά τας ημέρας του Σολομώντος δεν ελογαριάζετο εις τίποτε.

Β Παραλ. 9,21 - ὅτι ναῦς τῷ βασιλεῖ ἐπορεύετο εἰς Θαρσεῖς μετὰ τῶν παίδων Χιράμ, ἅπαξ διὰ τριῶν ἐτῶν ἤρχετο πλοῖα ἐκ Θαρσεῖς τῷ βασιλεῖ γέμοντα χρυσίου καὶ ἀργυρίου καὶ ὀδόντων ἐλεφαντίνων καὶ πιθήκων.

Β Παραλ. 9,21 - Διότι ο βασιλεύς είχε πλοία, τα οποία έπλεον εις Θαρσείς μαζή με τους δούλους του Χιράμ. Καθε τρία έτη τα πλοία ήρχοντο από Θαρσείς προς τον βασιλέα γεμάτα από χρυσόν, από άργυρον, από ελεφαντόδοντας και πιθήκους.

Β Παραλ. 9,22 - καὶ ἐμεγαλύνθη Σαλωμὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς καὶ πλούτῳ καὶ σοφίᾳ.

Β Παραλ. 9,22 - Ο Σολομών ανεδείχθη ο ενδοξότερος βασιλεύς από όλους τους βασιλείς ως προς τον πλούτον και την σοφίαν.

Β Παραλ. 9,23 - καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον Σαλωμὼν ἀκοῦσαι τῆς σοφίας αὐτοῦ, ἧς ἔδωκεν ὁ Θεὸς ἐν καρδίᾳ αὐτοῦ.

Β Παραλ. 9,23 - Ολοι δε οι βασιλείς της γης επιζητούσαν να ίδουν τον Σολομώντα, δια να ακούσουν την σοφίαν του, την οποίαν ο Θεός είχε δώσει εις την διάνοιάν του.

Β Παραλ. 9,24 - καὶ αὐτοὶ ἔφερον ἕκαστος τὰ δῶρα αὐτοῦ, σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ καὶ ἱματισμόν, στακτὴν καὶ ἡδύσματα, ἵππους καὶ ἡμιόνους, τὸ κατ᾿ ἐνιαυτὸν ἐνιαυτόν.

Β Παραλ. 9,24 - Ο καθένας από αυτούς έφερε προς αυτόν δώρα κάθε έτος, σκεύη αργυρά και σκεύη χρυσά, πολυτελή ενδύματα, αρωματικήν στακτήν και άλλα αρώματα, ίππους και ημιόνους.

Β Παραλ. 9,25 - καὶ ἦσαν τῷ Σαλωμὼν τέσσαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιάδες ἱππέων, καὶ ἔθετο αὐτοὺς ἐν πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ βασιλέως ἐν Ἱερουσαλήμ.

Β Παραλ. 9,25 - Ο Σολομών είχε τέσσαρας χιλιάδας φορβάδας δια τα πολεμικά του άρματα, δώδεκα χιλιάδας ιππείς, τους οποίους είχε τοποθετήσει εις τας πόλεις των πολεμικών αρμάτων πλησίον του βασιλέως εις την Ιερουσαλήμ.

Β Παραλ. 9,26 - καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου.

Β Παραλ. 9,26 - Ο Σολομών ήτο άρχων επί όλων των βασιλέων ανατολικώς από του ποταμού του Ευφράτου, δυτικώς δε έως την γην των Φιλισταίων και προς νότον έως εις τα σύνορα της Αιγύπτου.

Β Παραλ. 9,27 - καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν Ἱερουσαλὴμ ὡς λίθους καὶ τὰς κέδρους ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος.

Β Παραλ. 9,27 - Ο βασιλεύς κατέστησε τον χρυσόν και τον άργυρον τόσον συνήθη και άφθονον εις την Ιερουσαλήμ, όπως είναι οι λίθοι. Τας δε κέδρους του λιβάνου τόσας πολλάς, όσον πολλαί είναι αι συκομορέαι εις την πεδιάδα.

Β Παραλ. 9,28 - καὶ ἡ ἔξοδος τῶν ἵππων ἐξ Αἰγύπτου τῷ Σαλωμὼν καὶ ἐκ πάσης τῆς γῆς.

Β Παραλ. 9,28 - Ιπποι δε προσεκομίζοντο στον Σολομώντα από την Αίγυπτον και από όλας τας άλλας χώρας.

Β Παραλ. 9,29 - Καὶ οἱ κατάλοιποι λόγοι Σαλωμὼν οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ οὗτοι γεγραμμένοι ἐπὶ τῶν λόγων Νάθαν τοῦ προφήτου καὶ ἐπὶ τῶν λόγων Ἀχιὰ τοῦ Σηλωνίτου καὶ ἐν ταῖς ὁράσεσιν Ἰωὴλ τοῦ ὁρῶντος περὶ Ἱεροβοὰμ υἱοῦ Ναβάτ.

Β Παραλ. 9,29 - Τα υπόλοιπα έργα του Σολομώντος, τα πρώτα και τα τελευταία, ιδού είναι γραμμένα στο βιβλίον του προφήτου Ναθαν, στο βιβλίον

του προφήτου Αχιά, ο οποίος κατήγετο από την Σηλώ, εις τας προφητείας του Ιωήλ του προφήτου, ο οποίος είχε προφητεύσει δια τον Ιεροβοάμ τον υιόν του Ναβάτ.

Β Παραλ. 9,30 - καὶ ἐβασίλευσε Σαλωμὼν ἐπὶ πάντα Ἰσραὴλ τεσσαράκοντα ἔτη.

Β Παραλ. 9,30 - Ο Σολομών εβασίλευσεν επί όλου του ισραηλιτικού λαού επί τεσσαράκοντα έτη.

Β Παραλ. 9,31 - καὶ ἐκοιμήθη Σαλωμών, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐβασίλευσε Ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 9,31 - Εκριμήθη δε ο Σολομών και έθαψαν αυτόν εις την πόλιν του πατρός του Δαυίδ. Αντί δε αυτού έγινε βασιλεύς ο υιός του, ο Ροβοάμ.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 10

Β Παραλ. 10,1 - Καὶ ἦλθε Ῥοβοὰμ εἰς Συχέμ, ὅτι εἰς Συχὲμ ἤρχετο πᾶς Ἰσραὴλ βασιλεῦσαι αὐτόν.

Β Παραλ. 10,1 - Ο Ροβοάμ μετέβη εις την Συχέμ, διότι εις την Συχέμ θα ήρχοντο και όλοι οι Ισραηλίται να τον ανακηρύξουν βασιλέα.

Β Παραλ. 10,2 - καὶ ἐγένετο ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβάτ -καὶ αὐτὸς ἐν Αἰγύπτῳ, ὡς ἔφυγεν ἀπὸ προσώπου Σαλωμὼν τοῦ βασιλέως καὶ κατῴκησεν Ἱεροβοὰμ ἐν Αἰγύπτῳ- καὶ ἀπέστρεψεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου.

Β Παραλ. 10,2 - Το γεγονός αυτό επληροφορήθη ο Ιεροβοάμ, ο υιός του Ναβάτ- αυτός ο Ιεροβοάμ ευρίσκετο εις την Αίγυπτον, φεύγων από το πρόσωπον του Σολομώντος, εκεί εις την Αίγυπτον είχεν εγκατασταθή- Οταν δε έμαθε τον θάνατον του Σολομώντος επέστρεψεν από την Αίγυπτον εις την πατρίδα του.

Β Παραλ. 10,3 - καὶ ἀπέστειλαν καὶ ἐκάλεσαν αὐτόν, καὶ ἦλθεν Ἱεροβοὰμ καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραὴλ πρὸς Ῥοβοὰμ λέγοντες·

Β Παραλ. 10,3 - Οι Ισραηλίται έστειλαν ανθρώπους και τον προσεκάλεσαν. Ο Ιεροβοάμ και όλη η συγκέντρωσις των Ισραηλιτών ήλθον εις την Συχέμ και ειπόν προς τον Ροβοάμ·

Β Παραλ. 10,4 - ὁ πατήρ σου ἐσκλήρυνε τὸν ζυγὸν ἡμῶν, καὶ νῦν ἄφες ἀπὸ τῆς δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς καὶ ἀπὸ τοῦ ζυγοῦ αὐτοῦ τοῦ βαρέος, οὗ ἔδωκεν ἐφ᾿ ἡμᾶς, καὶ δουλεύσομέν σοι.

Β Παραλ. 10,4 - “ο πατήρ σου είχε καταστήσει σκληρόν και βαρύν τον ζυγόν της φορολογίας του εις ημάς. Αλάφρωσε συ τώρα την σκληράν αυτήν δουλείαν του πατρός σου, κάμε ελαφρότερον τον βαρύν ζυγόν, τον οποίον επέβαλεν εις ημάς. Ημείς δε θα είμεθα δούλοι εις σέ”.

Β Παραλ. 10,5 - καὶ εἶπεν αὐτοῖς· πορεύεσθε ἕως τριῶν ἡμερῶν καὶ ἔρχεσθε πρός με· καὶ ἀπῆλθεν ὁ λαός.

Β Παραλ. 10,5 - Ο βασιλεύς είπεν εις αυτούς· “πηγαίνετε και ύστερα από τρεις ημέρας ελάτε πάλιν εις εμέ”. Ο λαός απήλθεν.

Β Παραλ. 10,6 - καὶ συνήγαγεν ὁ βασιλεὺς Ῥοβοὰμ τοὺς πρεσβυτέρους τοὺς ἑστηκότας ἐναντίον τοῦ Σαλωμὼν τοῦ πατρὸς αὐτοῦ ἐν τῷ ζῆν αὐτὸν λέγων· πῶς ὑμεῖς βουλεύεσθε τοῦ ἀποκριθῆναι τῷ λαῷ τούτῳ λόγον;

Β Παραλ. 10,6 - Ο βασιλεύς Ροβοάμ συνεκάλεσε τους γεροντοτέρους συμβούλους, οι οποίοι ήσαν άλλοτε πλησίον του πατρός του του Σολομώντος, όταν αυτός εζούσε, και τους ηρώτησε· “τι και πως με συμβουλεύετε σεις, να απαντήσω εις την παράκλησιν αυτήν του λαού τούτου;”

Β Παραλ. 10,7 - καὶ ἐλάλησαν αὐτῷ λέγοντες· ἐὰν ἐν τῇ σήμερον γένῃ εἰς ἀγαθὸν τῷ λαῷ τούτῳ καὶ εὐδοκήσῃς καὶ λαλήσῃς αὐτοῖς λόγους ἀγαθούς, καὶ ἔσονταί σοι παῖδες πάσας τὰς ἡμέρας.

Β Παραλ. 10,7 - Εκείνοι ωμίλησαν προς αυτόν και του είπαν· “εάν σήμερον δειχθής συ επιεικής εις αυτόν τον λαόν και θελήσης να ομιλήσης προς αυτούς λόγια αγαθά και ευπρόσδεκτα, αυτοί θα γίνουν δούλοι σου όλας τας ημέρας της ζωής σου”.

Β Παραλ. 10,8 - καὶ κατέλιπε τὴν βουλὴν τῶν πρεσβυτέρων, οἳ συνεβουλεύσαντο αὐτῷ, καὶ συνεβουλεύσατο μετὰ τῶν παιδαρίων τῶν συνεκτραφέντων μετ᾿ αὐτοῦ τῶν ἑστηκότων ἐναντίον αὐτοῦ.

Β Παραλ. 10,8 - Ο βασιλεύς όμως απέρριψε την συμβουλήν των πρεσβυτέρων, οι οποίοι έτσι τον είχαν συμβουλεύσει, και εζήτησε την γνώμην νεαρών συνομηλίκων του, μαζή με τους οποίους είχεν ανατραφή και οι οποίοι ευρίσκοντο κοντά του συνεχώς ως σύντροφοί του.

Β Παραλ. 10,9 - καὶ εἶπεν αὐτοῖς· τί ὑμεῖς βουλεύεσθε καὶ ἀποκριθήσομαι λόγον τῷ λαῷ τούτῳ, οἳ ἐλάλησαν πρός με λέγοντες· ἄνες ἀπὸ τοῦ ζυγοῦ, οὗ ἔδωκεν ὁ πατήρ σου ἐφ᾿ ἡμᾶς;

Β Παραλ. 10,9 - Ο Ροβοάμ τους ηρώτησε· “τι και σεις με συμβουλεύετε να αποκριθώ εις την πρότασιν του λαού τούτου, των ανθρώπων, οι οποίοι μου ωμίλησαν και είπαν· Καμε ελαφρότερον τον ζυγόν της φορολογίας, τον οποίον επέβαλεν ο πατήρ σου εις ημάς;”

Β Παραλ. 10,10 - καὶ ἐλάλησαν αὐτῷ τὰ παιδάρια τὰ ἐκτραφέντα μετ᾿ αὐτοῦ λέγοντες· οὕτως λαλήσεις τῷ λαῷ τῷ λαλήσαντι πρός σε λέγων· ὁ πατήρ σου ἐβάρυνε τὸν ζυγὸν ἡμῶν καὶ σὺ ἄφες ἀφ᾿ ἡμῶν, οὕτως ἐρεῖς· ὁ μικρὸς δάκτυλός μου παχύτερος τῆς ὀσφύος τοῦ πατρός μου·

Β Παραλ. 10,10 - Οι νεαροί, οι οποίοι είχον ανατραφή μαζή με αυτόν, του είπαν· “ιδού, πως θα απαντήσης εις αυτόν τον λαόν, ο οποίος ωμίλησε προς σε και σου είπεν· Ο πατήρ σου είχεν επιβάλει επάνω μας βαρύν ζυγόν, συ όμως αλάφρωσε τον ζυγόν αυτόν από ημάς. Ιδού πως θα απαντήσης· Το μικρότερο δάκτυλον της χειρός μου είναι χονδρότερο και ισχυρότερο από την μέσην του πατρός μου.

Β Παραλ. 10,11 - καὶ νῦν ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ζυγῷ βαρεῖ, κἀγὼ προσθήσω ἐπὶ τὸν ζυγὸν ἡμῶν, ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι κἀγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις.

Β Παραλ. 10,11 - Και τώρα ακούσατε· ο πατέρας μου σας επέβαλε βαρύν ζυγόν, εγώ θα προσθέσω και θα κάμω ακόμη βαρύτερον αυτόν τον ζυγόν. Ο πατέρας μου σας ετιμωρούσε με απλά μαστίγια, εγώ θα σας τιμωρώ με μάστιγας, που θα έχουν αγκάθια σαν το κεντρί του σκορπιού".

Β Παραλ. 10,12 - καὶ ἦλθεν Ἱεροβοὰμ καὶ πᾶς ὁ λαὸς πρὸς Ῥοβοὰμ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὡς ἐλάλησεν ὁ βασιλεὺς λέγων· ἐπιστρέψατε πρός με ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ.

Β Παραλ. 10,12 - Κατά την τρίτην ημέραν ο Ιεροβοάμ και όλος ο άλλος ισραηλιτικός λαός ήλθον προς τον Ροβοάμ, όπως ο βασιλεύς είχε δώσει εντολήν εις αυτούς λέγων· "επανέλθετε προς εμέ την τρίτην ημέραν".

Β Παραλ. 10,13 - καὶ ἀπεκρίθη ὁ βασιλεὺς σκληρά, καὶ ἐγκατέλιπεν ὁ βασιλεὺς Ῥοβοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων

Β Παραλ. 10,13 - Ο βασιλεύς Ροβοάμ, ο οποίος είχεν απορρίψει την καλήν συμβουλήν των γεροντότερων, απεκρίθη προς αυτούς με σκληρότητα.

Β Παραλ. 10,14 - καὶ ἐλάλησε πρὸς αὐτοὺς κατὰ τὴν βουλὴν τῶν νεωτέρων λέγων· ὁ πατήρ μου ἐβάρυνε τὸν ζυγὸν ὑμῶν καὶ ἐγὼ προσθήσω ἐπ᾿ αὐτόν, ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι καὶ ἐγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις.

Β Παραλ. 10,14 - Απήντησε προς αυτούς σύμφωνα με την συμβουλήν των νεαρών συντρόφων του και τους είπεν· "ο πατήρ μου σας επέβαλε βαρύν ζυγόν, εγώ θα προσθέσω και θα κάμω ακόμη βαρύτερον τον ζυγόν αυτόν. Ο πατέρας μου σας επαίδευσε με μαστίγια, εγώ θα σας τιμωρώ με αγκαθωτά μαστίγια".

Β Παραλ. 10,15 - καὶ οὐκ ἤκουσεν ὁ βασιλεὺς τοῦ λαοῦ, ὅτι ἦν μεταστροφὴ παρὰ τοῦ Θεοῦ λέγων· ἀνέστησε Κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησεν ἐν χειρὶ Ἀχιὰ τοῦ Σηλωνίτου περὶ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ

Β Παραλ. 10,15 - Ετσι δε ο βασιλεύς Ροβοάμ δεν άκουσε την παράκλησιν του λαού του· αυτό ήτο παραχώρησις Θεού, ώστε ο Κυριος να πραγματοποιήση τον λόγον, τον οποίον είχεν είπει δια μέσου Αχιά του Σηλωνίτου περί του Ιεροβοάμ, του υιού του Ναβάτ,

Β Παραλ. 10,16 - καὶ παντὸς Ἰσραήλ, ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς αὐτῶν. καὶ ἀπεκρίθη ὁ λαὸς πρὸς τὸν βασιλέα λέγων· τίς ἡμῶν ἡ μερὶς ἐν Δαυὶδ καὶ κληρονομία ἐν υἱῷ Ἰεσσαί; εἰς τὰ σκηνώματά σου, Ἰσραήλ· νῦν βλέπε τὸν οἶκόν σου, Δαυίδ. καὶ ἐπορεύθη πᾶς Ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ·

Β Παραλ. 10,16 - και περί όλου του ισραηλιτικού λαού. Ιδού διατί ήλθαν έτσι τα πράγματα, ώστε να μη ακούση ο βασιλεύς αυτούς. Τοτε ο λαός

απήντησε προς τον βασιλέα και είπαν μεταξύ των· “ποία σχέσις υπάρχει μεταξύ ημών και του Δαυίδ; Εχομεν καμμίαν κληρονομίαν ημείς στον Δαυίδ, τον υιόν του Ιεσσαί; Λοιπόν, Ισραηλίται, ας επιστρέψωμεν ο καθένας στον οίκον του. Και τώρα συ, γενεά του Δαυίδ, κύτταξε το σπίτι σου”. Ολος ο ισραηλιτικός λαός επέστρεψεν εις τας πόλεις του.

Β Παραλ. 10,17 - καὶ ἄνδρες Ἰσραὴλ καὶ οἱ κατοικοῦντες ἐν πόλεσιν Ἰούδα καὶ ἐβασίλευσεν ἐπ᾿ αὐτῶν Ῥοβοάμ.

Β Παραλ. 10,17 - Ετσι δε ο Ροβοάμ εβασίλευσε μόνον στους Ισραηλίτας εκείνους, οι οποίοι κατοικούσαν εις τας πόλεις της φυλής του Ιούδα.

Β Παραλ. 10,18 - καὶ ἀπέστειλεν ἐπ᾿ αὐτοὺς Ῥοβοὰμ ὁ βασιλεὺς τὸν Ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου, καὶ ἐλιθοβόλησαν αὐτὸν οἱ υἱοὶ Ἰσραὴλ λίθοις καὶ ἀπέθανε. καὶ ὁ βασιλεὺς Ῥοβοὰμ ἔσπευσε τοῦ ἀναβῆναι εἰς τὸ ἅρμα τοῦ φυγεῖν εἰς Ἱερουσαλήμ.

Β Παραλ. 10,18 - Ο Ροβοάμ, ο βασιλεύς, έστειλε προς τους αποστατήσαντας από αυτόν Ισραηλίτας τον Αδωνιράμ, επόπτην επί της αναγκαστικής εργασίας. Αυτόν όμως οι Ισραηλίται τον ελιθοβόλησαν και τον εφόνευσαν. Ο ίδιος δε ο βασιλεύς Ροβοάμ μόλις διέφυγε τον κίνδυνον, διότι έσπευσε και ανέβηκε στο πολεμικόν του άρμα και έφυγε προς την Ιερουσαλήμ.

Β Παραλ. 10,19 - καὶ ἠθέτησεν Ἰσραὴλ ἐν τῷ οἴκῳ Δαυὶδ ἕως τῆς ἡμέρας ταύτης.

Β Παραλ. 10,19 - Ετσι οι Ισραηλίται απεστάτησαν από την οικογένειαν του Δαυίδ έως την ημέραν αυτήν.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 11

Β Παραλ. 11,1 - Καὶ ἦλθε Ῥοβοὰμ εἰς Ἱερουσαλὴμ καὶ ἐξεκκλησίασε τὸν Ἰούδαν καὶ Βενιαμὶν ἑκατὸν ὀγδοήκοντα χιλιάδας νεανίσκων ποιούντων πόλεμον, καὶ ἐπολέμει πρὸς Ἰσραὴλ τοῦ ἐπιστρέψαι τὴν βασιλείαν τῷ Ῥοβοάμ.

Β Παραλ. 11,1 - Οταν ο Ροβοάμ ήλθεν εις την Ιερουσαλήμ, συνεκέντρωσεν όλους, όσοι ηδύναντο να λάβουν μέρος στον πόλεμον, νέους κατά την ηλικίαν, από την φυλήν του Ιούδα και του Βενιαμίν, εκατόν ογδοήκοντα χιλιάδας εν όλω. Με αυτούς ανέλαβε πόλεμον εναντίον των Ισραηλιτών, δια να τους επαναφέρη και τους υποτάξη εις την βασιλείαν του.

Β Παραλ. 11,2 - καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμαίαν ἄνθρωπον τοῦ Θεοῦ λέγων·

Β Παραλ. 11,2 - Λογος όμως του Κυρίου έγινε προς τον άνθρωπον του Θεού, τον προφήτην Σαμαίαν, και είπε προς αυτόν·

Β Παραλ. 11,3 - εἰπὸν πρὸς Ῥοβοὰμ τὸν τοῦ Σαλωμὼν καὶ πάντα Ἰούδαν καὶ Βενιαμὶν λέγων·

Β Παραλ. 11,3 - “ειπέ στον Ροβοάμ τον υιόν του Σολομώντος και προς όλην την φυλήν Ιούδα και την φυλήν Βενιαμίν τα εξής·

Β Παραλ. 11,4 - τάδε λέγει Κύριος· οὐκ ἀναβήσεσθε καὶ οὐ πολεμήσεσθε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν· ἀποστρέφετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ᾿ ἐμοῦ ἐγένετο τὸ ῥῆμα τοῦτο. καὶ ἐπήκουσαν τοῦ λόγου Κυρίου καὶ ἀπεστράφησαν τοῦ μὴ πορευθῆναι ἐπὶ Ἱεροβοάμ.

Β Παραλ. 11,4 - Αυτά διατάσσει ο Κυριος. Δεν θα εκστρατεύσετε και δεν θα πολεμήσετε τους αδελφούς σας τους Ισραηλίτας. Αλλά ο καθένας από σας ας επιστρέψη στον οίκον του, διότι κατόπιν ιδικής μου παραχωρήσεως επραγματοποιήθη το γεγονός αυτό, ο χωρισμός δηλαδή των Ισραηλιτών από σας. Εκείνοι υπήκουσαν στον λόγον του Κυρίου και απέφυγαν έτσι να εκστρατεύσουν εναντίον του Ιεροβοάμ.

Β Παραλ. 11,5 - καὶ κατῴκησε Ῥοβοὰμ εἰς Ἱερουσαλὴμ καὶ ᾠκοδόμησε πόλεις τειχήρεις ἐν τῇ Ἰουδαίᾳ.

Β Παραλ. 11,5 - Ο Ροβοάμ εγκατεστάθη εις την Ιερουσαλήμ και οικοδόμησεν οχυράς πόλεις εις την Ιουδαίαν.

Β Παραλ. 11,6 - καὶ ᾠκοδόμησε τὴν Βηθλεὲμ καὶ Αἰτὰν καὶ Θεκωὲ

Β Παραλ. 11,6 - Ωχύρωσε την Βηθλεέμ, την Αιτάν, την Θεκωέ,

Β Παραλ. 11,7 - καὶ Βαιθσουρὰ καὶ τὴν Σοχὼθ καὶ τὴν Ὀδολλὰμ

Β Παραλ. 11,7 - την Βαιθσουρά, την Σοχώθ, την Οδολλάμ,

Β Παραλ. 11,8 - καὶ τὴν Γὲθ καὶ τὴν Μαρισὰν καὶ τὴν Ζὶφ

Β Παραλ. 11,8 - την Γέθ, την Μαρισάν, την Ζιφ,

Β Παραλ. 11,9 - καὶ τὴν Ἀδωραὶμ καὶ Λαχίς, καὶ τὴν Ἀζηκὰ

Β Παραλ. 11,9 - την Αδωραίμ, την Λαχίς, την Αζηκά,

Β Παραλ. 11,10 - καὶ τὴν Σαραὰ καὶ τὴν Αἰλὼμ καὶ τὴν Χεβρών, ἥ ἐστι τοῦ Ἰούδα καὶ Βενιαμίν, πόλεις τειχήρεις.

Β Παραλ. 11,10 - την Σαραά, την Αιλώμ και την Χεβρών, πόλεις οχυράς, αι οποίαι ευρίσκοντο στο βασίλειον της φυλής Ιούδα και Βενιαμίν.

Β Παραλ. 11,11 - καὶ ὠχύρωσεν αὐτὰς τείχεσι καὶ ἔδωκεν ἐν αὐταῖς ἡγουμένους καὶ παραθέσεις βρωμάτων, ἔλαιον καὶ οἶνον,

Β Παραλ. 11,11 - Αφού ωχύρωσεν αυτάς με τείχη, εγκατέστησεν εις αυτάς αρχηγούς και τας εφωδίασε με παρακαταθήκας τροφίμων, ελαίου και οίνου.

Β Παραλ. 11,12 - κατὰ πόλιν καὶ κατὰ πόλιν θυρεοὺς καὶ δόρατα, καὶ κατίσχυσεν αὐτὰς εἰς πλῆθος σφόδρα· καὶ ἦσαν αὐτῷ Ἰούδα καὶ Βενιαμίν.

Β Παραλ. 11,12 - Καθε μίαν από τας πόλεις αυτάς εφωδίασε με ασπίδας και δόρατα. Ετσι δε τας κατέστησε πάρα πολύ ισχυράς. Αι φυλαί του Ιούδα και του Βενιαμίν ανήκον στον βασιλέα τον Ροβοάμ.

Β Παραλ. 11,13 - καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, οἳ ἦσαν ἐν παντὶ Ἰσραὴλ συνήχθησαν πρὸς αὐτὸν ἐκ πάντων τῶν ὁρίων·

Β Παραλ. 11,13 - Οι ιερείς και οι Λευίται, οι οποίοι ήσαν εγκατεστημένοι μεταξύ όλων των Ισραηλιτών, ήλθον από τας περιοχάς των και συνεκεντρώθησαν προς τον βασιλέα Ροβοάμ.

Β Παραλ. 11,14 - ὅτι ἐγκατέλιπον οἱ Λευῖται τὰ σκηνώματα τῆς κατασχέσεως αὐτῶν καὶ ἐπορεύθησαν πρὸς Ἰούδα εἰς Ἱερουσαλήμ, ὅτι ἐξέβαλεν αὐτοὺς Ἱεροβοὰμ καὶ οἱ υἱοὶ αὐτοῦ μὴ λειτουργεῖν Κυρίῳ

Β Παραλ. 11,14 - Τούτο δε έγινε, διότι οι Λευίται εγκατέλειψαν τας πόλεις, αι οποίαι τους είχον δοθή ως ιδιοκτησία των και αι οποίαι ευρίσκοντο εις την περιοχήν του βασιλείου του Ισραήλ, και ήλθον εις την φυλήν Ιούδα εις Ιερουσαλήμ, διότι ο Ιεροβοάμ και οι υιοί του είχαν απαγορεύσει εις αυτούς να λατρεύουν τον Κυριον.

Β Παραλ. 11,15 - καὶ κατέστησεν ἑαυτῷ ἱερεῖς τῶν ὑψηλῶν καὶ τοῖς εἰδώλοις καὶ τοῖς ματαίοις καὶ τοῖς μόσχοις, ἃ ἐποίησεν Ἱεροβοάμ,

Β Παραλ. 11,15 - Ο Ιεροβοάμ εξέλεξε δια τον εαυτόν του ιερείς, που δεν ανήκαν εις την φυλήν Λευι, και τους εγκατέστησεν στους υψηλούς ειδωλολατρικούς τόπους, εις τα ψευδή είδωλα και στους ειδωλολατρικούς μόσχους, τους οποίους ο ίδιος ο Ιεροβοάμ είχε κατασκευάσει.

Β Παραλ. 11,16 - καὶ ἐξέβαλεν αὐτοὺς ἀπὸ φυλῶν Ἰσραήλ, οἳ ἔδωκαν καρδίαν αὐτῶν τοῦ ζητῆσαι Κύριον Θεὸν Ἰσραὴλ καὶ ἦλθον εἰς Ἱερουσαλὴμ θῦσαι Κυρίῳ Θεῷ τῶν πατέρων αὐτῶν

Β Παραλ. 11,16 - Εδίωξε δε από τας ισραηλιτικάς φυλάς όλους εκείνους, οι οποίοι είχαν δώσει την καρδίαν των εις την λατρείαν Κυρίου του Θεού του ισραηλιτικού λαού. Δια τούτο και οι Λευίται αυτοί ήλθον εις την Ιερουσαλήμ, να προσφέρουν θυσίας εις Κυριον τον Θεόν των πατέρων των.

Β Παραλ. 11,17 - καὶ κατίσχυσαν τὴν βασιλείαν Ἰούδα καὶ κατίσχυσαν Ῥοβοὰμ τὸν τοῦ Σαλωμὼν εἰς ἔτη τρία, ὅτι ἐπορεύθη ἐν ταῖς ὁδοῖς Δαυὶδ καὶ Σαλωμὼν ἔτη τρία.

Β Παραλ. 11,17 - Ετσι δε αυτοί με την παρουσίαν των ενίσχυσαν την βασιλείαν της φυλής του Ιούδα, ενίσχυσαν και τον Ροβοάμ τον υιόν του Σολομώντος επί τρία έτη, διότι επί τρία έτη ο Ροβοάμ επορεύετο τον δρόμον, που ηκολούθησεν ο πάππος του ο Δαυίδ και ο πατήρ του ο Σολομών.

Β Παραλ. 11,18 - καὶ ἔλαβεν ἑαυτῷ Ῥοβοὰμ γυναῖκα τὴν Μολλὰθ θυγατέρα Ἱεριμοὺθ υἱοῦ Δαυὶδ καὶ Ἀβιγαίαν θυγατέρα Ἑλιὰβ τοῦ Ἰεσσαί,

Β Παραλ. 11,18 - Ο Ροβοάμ επήρεν ως σύζυγόν του την Μολλάθ θυγατέρα του Ιεριμούθ, υιού του Δαυίδ, και την Αβιγαίαν θυγατέρα του Ελιάβ, υιού του Ιεσσαί.

Β Παραλ. 11,19 - καὶ ἔτεκεν αὐτῷ υἱοὺς τὸν Ἰαοὺς καὶ τὸν Σαμαρίαν καὶ τὸν Ζαάμ.

Β Παραλ. 11,19 - Αυτή εγέννησεν εις αυτόν υιούς τον Ιαούς, τον Σαμαρίαν και τον Ζαάμ.

Β Παραλ. 11,20 - καὶ μετὰ ταῦτα ἔλαβεν ἑαυτῷ τὴν Μααχὰ θυγατέρα Ἀβεσσαλώμ, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀβιὰ καὶ τὸν Ἰετθὶ καὶ τὸν Ζηζὰ καὶ τὸν Σαλημώθ.

Β Παραλ. 11,20 - Μετά ταύτα ο Ροβοάμ επήρεν ως σύζυγόν του την Μααχά, θυγατέρα του Αβεσσαλώμ. Αυτή του εγέννησε τον Αβιά, τον Ιετθί, τον Ζηζά και τον Σαλημώθ.

Β Παραλ. 11,21 - καὶ ἠγάπησε Ῥοβοὰμ τὴν Μααχὰ θυγατέρα Ἀβεσσαλὼμ ὑπὲρ πάσας τὰς γυναῖκας αὐτοῦ καὶ τὰς παλλακὰς αὐτοῦ, ὅτι γυναῖκας δεκαοκτὼ εἶχε καὶ παλλακὰς τριάκοντα· καὶ ἐγέννησεν υἱοὺς εἴκοσι καὶ ὀκτὼ καὶ θυγατέρας ἑξήκοντα.

Β Παραλ. 11,21 - Ο Ροβοάμ ηγάπησε την σύζυγόν του Μααχά, την θυγατέρα του Αβεσσαλώμ, περισσότερον από όλας τας άλλας συζύγους και παλλακάς του. Είχε δε δεκαοκτώ γυναίκας και τριάκοντα παλλακάς. Από αυτάς απέκτησεν εικοσιοκτώ υιούς και εξήκοντα θυγατέρας.

Β Παραλ. 11,22 - καὶ κατέστησεν εἰς ἄρχοντα Ἀβιὰ τὸν τῆς Μααχὰ εἰς ἡγούμενον ἐν τοῖς ἀδελφοῖς αὐτοῦ, ὅτι βασιλεῦσαι διενοεῖτο αὐτόν·

Β Παραλ. 11,22 - Ο Ροβοάμ ανέδειξεν άρχοντα τον Αβιά, τον υιόν της Μααχά, αρχηγόν μεταξύ των αδελφών του, διότι είχε κατά νουν να τον ανακηρύξη διάδοχόν του εις την βασιλείαν.

Β Παραλ. 11,23 - καὶ ηὐξήθη παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ ἐν πᾶσι τοῖς ὁρίοις Ἰούδα καὶ Βενιαμὶν καὶ ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς καὶ ἔδωκεν αὐταῖς τροφὰς πλῆθος πολὺ καὶ ᾐτήσατο πλῆθος γυναικῶν.

Β Παραλ. 11,23 - Αυτός ο Αβιά ανεδείχθη περισσότερον από όλους τους άλλους υιούς του Ροβοάμ, οι οποίοι ευρίσκοντο διεσκορπισμένοι καθ' όλα τα όρια της φυλής Ιούδα και Βενιαμίν μέσα εις οχυράς πόλεις. Ο Αβιά εφωδίασεν αυτάς τας οχυράς πόλεις με πολλά τρόφιμα. Εζήτησε δε και έλαβε δια τον εαυτόν του πολυαρίθμους γυναίκας.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 12

Β Παραλ. 12,1 - Καὶ ἐγένετο ὡς ἡτοιμάσθη ἡ βασιλεία Ῥοβοὰμ καὶ ὡς κατεκρατήθη, ἐγκατέλιπε τὰς ἐντολὰς Κυρίου καὶ πᾶς Ἰσραὴλ μετ᾿ αὐτοῦ.

Β Παραλ. 12,1 - Οταν η βασιλεία του Ροβοάμ εστερεώθη και εστερεώθη και αυτός έγινε ισχυρός, εγκατέλειψε τας εντολάς του Κυρίου και μαζή με αυτόν όλος ο Ιουδαϊκός λαός.

Β Παραλ. 12,2 - καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ πέμπτῳ τῆς βασιλείας Ῥοβοὰμ ἀνέβη Σουσακὶμ βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλήμ, ὅτι ἥμαρτον ἐναντίον Κυρίου,

Β Παραλ. 12,2 - Ακριβώς δε διότι οι Ιουδαίοι ημάρτησαν ενώπιον του Κυρίου, κατά το πέμπτον έτος της βασιλείας του Ροβοάμ ο Σουσακίμ, ο βασιλεύς της Αιγύπτου, επήλθεν εναντίον της Ιερουσαλήμ

Β Παραλ. 12,3 - ἐν χιλίοις καὶ διακοσίοις ἅρμασι καὶ ἑξήκοντα χιλιάσιν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τοῦ πλήθους τοῦ ἐλθόντος μετ᾿ αὐτοῦ ἐξ Αἰγύπτου, Λίβυες, Τρωγοδύται καὶ Αἰθίοπες.

Β Παραλ. 12,3 - με χίλια διακόσια πολεμικά άρματα και εξήντα χιλιάδες ιππείς. Αναρίθμητοι δε ήσαν αυτοί, που είχαν ακολουθήσει τον Σουσακίμ από την Αίγυπτον, Λιβυες, Τρωγλοδύται και Αιθίοπες.

Β Παραλ. 12,4 - καὶ κατεκράτησαν τῶν πόλεων τῶν ὀχυρῶν, αἳ ἦσαν ἐν Ἰούδᾳ, καὶ ἦλθον εἰς Ἱερουσαλήμ.

Β Παραλ. 12,4 - Ολοι αυτοί υπερίσχυσαν και εκυρίευσαν τας οχυράς πόλεις, αι οποίαι ανήκον εις την Ιουδαίαν, και έφθασαν έως εις την Ιερουσαλήμ.

Β Παραλ. 12,5 - καὶ Σαμαίας ὁ προφήτης ἦλθε πρὸς Ῥοβοὰμ καὶ πρὸς τοὺς ἄρχοντας Ἰούδα τοὺς συναχθέντας εἰς Ἱερουσαλὴμ ἀπὸ προσώπου Σουσακὶμ καὶ εἶπεν αὐτοῖς· οὕτως εἶπε Κύριος· ὑμεῖς ἐγκατελίπετέ με, καὶ ἐγὼ ἐγκαταλείψω ὑμᾶς ἐν χειρὶ Σουσακίμ.

Β Παραλ. 12,5 - Ο προφήτης Σαμαίας παρουσιάσθη ενώπιον του Ροβοάμ και των αρχόντων του βασιλείου Ιούδα, οι οποίοι φεύγοντες από τον Σουσακίμ είχαν συγκεντρωθή εις την Ιερουσαλήμ, και τους είπεν· “αυτά είπεν ο Κυριος· Σεις με εγκατελείψατε και εγώ θα σας εγκαταλείψω εις τα χέρια του Σουσακίμ”.

Β Παραλ. 12,6 - καὶ ᾐσχύνθησαν οἱ ἄρχοντες Ἰσραὴλ καὶ ὁ βασιλεὺς καὶ εἶπαν· δίκαιος ὁ Κύριος.

Β Παραλ. 12,6 - Οι άρχοντες του Ισραήλ και ο βασιλεύς κατελήφθησαν από εντροπήν και από το αίσθημα της ενοχής και είπαν εν μετανοία· “δίκαιος είναι ο Κυριος”.

Β Παραλ. 12,7 - καὶ ἐν τῷ ἰδεῖν Κύριον ὅτι ἐνετράπησαν, καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμαίαν λέγων· ἐνετράπησαν, οὐ καταφθερῶ αὐτούς· καὶ δώσω αὐτοὺς ὡς μικρὸν εἰς σωτηρίαν, καὶ οὐ μὴ στάξῃ ὁ θυμός μου ἐν Ἱερουσαλήμ,

Β Παραλ. 12,7 - Ο Κυριος, όταν είδεν ότι αυτοί εταπεινώθησαν ενώπιόν του, είπε προς τον Σαμαίαν και τα εξής· “αυτοί συνετρίβησαν και εταπεινώθησαν, δεν θα καταστρέψω αυτούς. Επί ολίγον χρονικόν διάστημα θα δώσω εις αυτούς την σωτηρίαν των και ο θυμός μου δεν θα εκσπάση εναντίον της Ιερουσαλήμ.

Β Παραλ. 12,8 - ὅτι ἔσονται εἰς παῖδας καὶ γνώσονται τὴν δουλείαν μου καὶ τὴν δουλείαν τῆς βασιλείας τῆς γῆς.

Β Παραλ. 12,8 - Θα υποταχθούν όμως και θα γίνουν δούλοι στον Σουσακίμ, δια να μάθουν ποία διαφορά υπάρχει μεταξύ της ιδικής μου δουλείας και της δουλείας των βασιλέων της γης".

Β Παραλ. 12,9 - καὶ ἀνέβη Σουσακὶμ βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλὴμ καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ Κυρίου καὶ τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ τοῦ βασιλέως, τὰ πάντα ἔλαβε· καὶ ἔλαβε τοὺς θυρεοὺς τοὺς χρυσοῦς, οὓς ἐποίησε Σαλωμών,

Β Παραλ. 12,9 - Ο Σουσακίμ ο βασιλεύς της Αιγύπτου εισήλθε νικητής εις την Ιερουσαλήμ, επήρεν όλους τους θησαυρούς, οι οποίοι υπήρχον στον ναόν του Κυρίου, και τους θησαυρούς που υπήρχον εις τα ανάκτορα του βασιλέως. Τα επήρεν όλα. Επήρεν επίσης τας χρυσάς μεγάλας ασπίδας, τας οποίας είχε κατασκευάσει ο Σολομών.

Β Παραλ. 12,10 - καὶ ἐποίησεν ὁ βασιλεὺς Ῥοβοὰμ θυρεοὺς χαλκοῦς ἀντ᾿ αὐτῶν. καὶ κατέστησεν ἐπ᾿ αὐτὸν Σουσακὶμ ἄρχοντας παρατρεχόντων, τοὺς φυλάσσοντας τὸν πυλῶνα τοῦ βασιλέως.

Β Παραλ. 12,10 - Ο δε βασιλεύς Ροβοάμ αντί των χρυσών ασπίδων κατεσκεύασε χαλκίνας ασπίδας. Ο Σουσακίμ εγκατέστησε κοντά στον Ροβοάμ άρχοντας της σωματοφυλακής του, οι οποίοι εφύλασσαν την πύλην των βασιλικών ανακτόρων.

Β Παραλ. 12,11 - καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν τὸν βασιλέα εἰς οἶκον Κυρίου, εἰσεπορεύοντο οἱ φυλάσσοντες καὶ οἱ παρατρέχοντες καὶ οἱ ἐπιστρέφοντες εἰς ἀπάντησιν τῶν παρατρεχόντων.

Β Παραλ. 12,11 - Καθε δε φοράν, που ο βασιλεύς επρόκειτο να εισέλθη από το ανακτορόν του στον ναόν του Κυρίου, τον συνώδευεν εμπρός και οπίσω η βασιλική φρουρά, η οποία ηνούτο με την οπισθοφυλακήν.

Β Παραλ. 12,12 - καὶ ἐν τῷ ἐντραπῆναι αὐτὸν ἀπεστράφη ἀπ᾿ αὐτοῦ ὀργὴ Κυρίου καὶ οὐκ εἰς καταφθορὰν εἰς τέλος· καὶ γὰρ ἐν Ἰούδᾳ ἦσαν λόγοι ἀγαθοί.

Β Παραλ. 12,12 - Χαρις εις την ταπείνωσιν αυτήν του Ροβοάμ απετράπη η οργή του Κυρίου από αυτόν και δεν ετιμωρήθη με τελείαν καταστροφήν. Τούτο έγινεν ακόμη, διότι συνέβησαν στο βασίλειον του Ιούδα και μερικά αγαθά γεγονότα.

Β Παραλ. 12,13 - Καὶ κατίσχυσεν ὁ βασιλεὺς Ῥοβοὰμ ἐν Ἱερουσαλὴμ καὶ ἐβασίλευσε. καὶ τεσσαράκοντα καὶ ἑνὸς ἐτῶν Ῥοβοὰμ ἐν τῷ βασιλεῦσαι αὐτὸν καὶ ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, ἐν τῇ πόλει, ᾗ ἐξελέξατο Κύριος ἐπονομάσαι τό ὄνομα αὐτοῦ ἐκεῖ ἐκ πασῶν φυλῶν υἱῶν Ἰσραήλ· καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ Νοομμὰ ἡ Ἀμανῖτις.

Β Παραλ. 12,13 - Ο βασιλεύς Ροβοάμ εστερεώθη εις την Ιερουσαλήμ και εβασίλευσεν εκεί. Οταν ανήλθεν στον βασιλικόν θρόνον, ήτο ηλικίας τεσσαράκοντα και ενός ετών. Εβασίλευσεν εις την Ιερουσαλήμ επί δέκα επτά

έτη εις την πόλιν αυτήν, την οποίαν από όλας τας πόλεις των άλλων φυλών του ισραηλιτικού λαού είχεν εκλέξει ο Κυριος, δια να λατρεύεται και να υμνήται εκεί το Ονομά του. Το όνομα της μητρός του Ροβοάμ ήτο Νοομμά η οποία κατήγετο από τους Αμμωνίτας.

Β Παραλ. 12,14 - καὶ ἐποίησε τὸ πονηρόν, ὅτι οὐ κατεύθυνε τὴν καρδίαν αὐτοῦ ἐκζητῆσαι τὸν Κύριον.

Β Παραλ. 12,14 - Και ο Ροβοάμ διέπραξε το πονηρόν της ειδωλολατρείας και έτσι δεν κατηύθυνε την καρδίαν του προς τον Κυριον, δια να λατρεύση αυτόν.

Β Παραλ. 12,15 - καὶ λόγοι Ῥοβοὰμ οἱ πρῶτοι καὶ ἔσχατοι οὐκ ἰδοὺ γεγραμμένοι ἐν τοῖς λόγοις Σαμαία τοῦ προφήτου καὶ Ἀδδὼ τοῦ ὁρῶντος καὶ πράξεις αὐτοῦ; καὶ ἐπολέμησε Ῥοβοὰμ τὸν Ἱεροβοὰμ πάσας τὰς ἡμέρας.

Β Παραλ. 12,15 - Αι πρώται και αι τελευταίαι πράξστου Ροβοάμ έχουν καταχωρηθή εις τα γραπτά του προφήτου Σαμαίου και του προφήτου Αδδώ· όλαι αι πράξεις αυτού. Ο Ροβοάμ ευρίσκετο εις εμπόλεμον κατάστασιν εναντίον του Ιεροβοάμ όλας τας ημέρας της ζωής του.

Β Παραλ. 12,16 - καὶ ἀπέθανε Ῥοβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἀβιὰ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 12,16 - Ο Ροβοάμ απέθανε και ετάφη μαζή με τους προγόνους του εις την πόλιν Δαυΐδ, εις την Ιερουσαλήμ. Αντί δε αυτού έγινε βασιλεύς ο υιός του, ο Αβιά.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 13

Β Παραλ. 13,1 - Ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἱεροβοὰμ ἐβασίλευσεν Ἀβιὰ ἐπὶ Ἰούδαν·

Β Παραλ. 13,1 - Ο Αβιά έγινε βασιλεύς στο βασίλειον του Ιούδα κατά το δέκατον όγδοον έτος της βασιλείας του Ιεροβοάμ.

Β Παραλ. 13,2 - τρία ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Μααχὰ θυγάτηρ Οὐριὴλ ἀπὸ Γαβαών. καὶ πόλεμος ἦν ἀνὰ μέσον Ἀβιὰ καὶ ἀνὰ μέσον Ἱεροβοάμ.

Β Παραλ. 13,2 - Τρία έτη εβασίλευσεν εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Μααχά, ήτο θυγάτηρ του Ουριήλ του καταγομένου από την πόλιν Γαβαών. Μεταξύ δε του Αβιά και του Ιεροβοάμ υπήρχε πόλεμος.

Β Παραλ. 13,3 - καὶ παρετάξατο Ἀβιὰ ἐν δυνάμει πολεμισταῖς δυνάμεως τετρακοσίαις χιλιάσιν ἀνδρῶν δυνατῶν, καὶ Ἱεροβοὰμ παρετάξατο πρὸς αὐτὸν πόλεμον ἐν ὀκτακοσίαις χιλιάσι, δυνατοὶ πολεμισταὶ δυνάμεως.

Β Παραλ. 13,3 - Ο Αβιά παρετάχθη εις μάχην εναντίον του Ιεροβοάμ με στρατόν τετρακοσίων χιλιάδων εμπειροπολέμων ανδρών. Αλλά και ο

Ιεροβοάμ παρετάχθη εναντίον του προς μάχην με οκτακοσίας χιλιάδας γενναίων πολεμικών ανδρών.

Β Παραλ. 13,4 - καὶ ἀνέστη Ἀβιὰ ἀπὸ τοῦ ὄρους Σομόρων, ὅ ἐστιν ἐν τῷ ὄρει Ἐφραίμ, καὶ εἶπεν· ἀκούσατε Ἱεροβοὰμ καὶ πᾶς Ἰσραήλ·

Β Παραλ. 13,4 - Από το όρος Σομόρων, το οποίον ευρίσκεται εις την ορεινήν χώραν της φυλής του Εφραίμ, ο Αβιά εσηκώθη και είπε προς τους εχθρούς του τους Ισραηλίτας· “ακούσατέ με, Ιεροβοάμ και σεις οι Ισραηλίται.

Β Παραλ. 13,5 - οὐχ ὑμῖν γνῶναι ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ ἔδωκε βασιλέα ἐπὶ τὸν Ἰσραὴλ εἰς τὸν αἰῶνα τῷ Δαυὶδ καὶ τοῖς υἱοῖς αὐτοῦ διαθήκῃ ἁλός;

Β Παραλ. 13,5 - Δεν γνωρίζετε σεις ότι Κυριος ο Θεός του Ισραήλ έδωσε την βασιλείαν επί όλου του ισραηλιτικού λαού δια παντός στον Δαυίδ και τους υιούς του και τούτο με διαθήκην άλατος, δηλαδή ακατάλυτον;

Β Παραλ. 13,6 - καὶ ἀνέστη Ἱεροβοὰμ ὁ τοῦ Ναβὰτ ὁ παῖς Σαλωμὼν τοῦ Δαυὶδ καὶ ἀπέστη ἀπὸ τοῦ κυρίου αὐτοῦ.

Β Παραλ. 13,6 - Και όμως ο Ιεροβοάμ, ο υιός του Ναβάτ ο δούλος αυτός του Σολομώντος του υιού του Δαυίδ, απεστάτησεν από τον κύριόν του.

Β Παραλ. 13,7 - καὶ συνήχθησαν πρὸς αὐτὸν ἄνδρες λοιμοὶ υἱοὶ παράνομοι, καὶ ἀντέστη πρὸς Ῥοβοὰμ τὸν τοῦ Σαλωμών, καὶ Ῥοβοὰμ ἦν νεώτερος καὶ δειλὸς τῇ καρδίᾳ καὶ οὐκ ἀντέστη κατὰ πρόσωπον αὐτοῦ.

Β Παραλ. 13,7 - Γυρω δε από αυτόν συνεκεντρώθησαν άνδρες διεφθαρμένοι και παράνομοι. Μαζή δε με αυτούς αντιστάθηκε εναντίον του Ροβοάμ του υιού του Σολομώντος. Ο Ροβοάμ τότε ήτο μικρός εις την ηλικίαν και δειλός εις την καρδίαν. Δι' αυτό δε και δεν ημπόρεσε να αντισταθή εναντίον του Ιεροβοάμ.

Β Παραλ. 13,8 - καὶ νῦν ὑμεῖς λέγετε ἀντιστῆναι κατὰ πρόσωπον βασιλείας Κυρίου διὰ χειρὸς υἱῶν Δαυίδ· καὶ ὑμεῖς πλῆθος πολὺ καὶ μεθ᾽ ὑμῶν μόσχοι χρυσοῖ, οὓς ἐποίησεν ὑμῖν Ἱεροβοὰμ εἰς θεούς.

Β Παραλ. 13,8 - Και τώρα σεις επήρατε την απόφασιν να αντισταθήτε εναντίον της βασιλείας του Κυρίου, η οποία ευρίσκεται εις τα χέρια των υιών του Δαυίδ. Είσθε, βέβαια, πολυάριθμοι και μαζή σας έχετε τους χρυσούς ειδωλολατρικούς μόσχους, τους οποίους κατεσκεύασε και παρέδωσεν εις σας ο Ιεροβοάμ ως θεούς.

Β Παραλ. 13,9 - ἦ οὐκ ἐξεβάλετε τοὺς ἱερεῖς Κυρίου τοὺς υἱοὺς Ἀαρὼν καὶ τοὺς Λευίτας καὶ ἐποιήσατε ἑαυτοῖς ἱερεῖς ἐκ τοῦ λαοῦ τῆς γῆς πάσης; ὁ προσπορευόμενος πληρῶσαι τὰς χεῖρας ἐν μόσχῳ ἐκ βοῶν καὶ κριοῖς ἑπτὰ καὶ ἐγίνετο εἰς ἱερέα τῷ μὴ ὄντι θεῷ.

Β Παραλ. 13,9 - Αλήθεια, σεις δεν εδιώξατε τους αληθινούς ιερείς του Κυρίου, τους απογόνους του Ααρών, και τους Λευίτας και εκάματε δια τον εαυτόν σας ιερείς, προερχομένους από οποιονδήποτε λαόν όλης της χώρας;

Καθένας, ο οποίος ήρχετο να αφιερώση τον εαυτόν του φέρων εις τα χέρια του μόσχον και επτά κριούς, εγίνετο ιερεύς εις θεόν μη πραγματικόν.

Β Παραλ. 13,10 - καὶ ἡμεῖς Κύριον τὸν Θεὸν ἡμῶν οὐκ ἐγκατελίπομεν, καὶ οἱ ἱερεῖς αὐτοῦ λειτουργοῦσι τῷ Κυρίῳ οἱ υἱοὶ Ἀαρὼν καὶ οἱ Λευῖται, καὶ ἐν ταῖς ἐφημερίαις αὐτῶν·

Β Παραλ. 13,10 - Ημείς όμως δεν εγκαταλείψαμεν Κυριον τον Θεόν μας και οι αληθινοί ιερείς, οι απόγονοι δηλαδή του Ααρών, υπηρετούν εδώ τον Κυριον μαζή με τους Λευίτας, τακτοποιημένοι εις τας ιερατικάς αυτών τάξεις.

Β Παραλ. 13,11 - θυμιῶσι τῷ Κυρίῳ ὁλοκαύτωμα πρωΐ καὶ δείλης καὶ θυμίαμα συνθέσεως καὶ προθέσεις ἄρτων ἐπὶ τῆς τραπέζης τῆς καθαρᾶς, καὶ ἡ λυχνία ἡ χρυσῆ καὶ οἱ λύχνοι τῆς καύσεως ἀνάψαι δείλης, ὅτι φυλάσσομεν τὰς φυλακὰς Κυρίου τοῦ Θεοῦ τῶν πατέρων ἡμῶν, καὶ ὑμεῖς ἐγκατελίπετε αὐτόν.

Β Παραλ. 13,11 - Αυτοί προσφέρουν θυμίαμα στον Κυριον, όπως επίσης και το καθιερωμένον δια κάθε πρωΐαν και εσπέραν ολοκαύτωμα· προσφέρουν και το ευώδες θυμίαμα το σύνθετον από πολλά αρώματα. Αυτοί θέτουν τους άρτους της προθέσεως επάνω εις την καθαράν τράπεζαν, ανάπτουν κάθε απόγευμα τους λύχνους της χρυσής λυχνίας. Και ταύτα, διότι ημείς τηρούμεν τας εντολάς Κυρίου του Θεού των πατέρων μας, ενώ σστον έχετε εγκαταλείψει.

Β Παραλ. 13,12 - καὶ ἰδοὺ μεθ᾿ ἡμῶν ἐν ἀρχῇ Κύριος καὶ οἱ ἱερεῖς αὐτοῦ καὶ αἱ σάλπιγγες τῆς σημασίας τοῦ σημαίνειν ἐφ᾿ ἡμᾶς. οἱ υἱοὶ τοῦ Ἰσραὴλ μὴ πολεμήσητε πρὸς Κύριον Θεὸν τῶν πατέρων ἡμῶν, ὅτι οὐκ εὐοδώσεται ὑμῖν.

Β Παραλ. 13,12 - Ιδού, ιδικός μας αρχηγός και μαζή με ημάς είναι ο Κυριος και οι ιερείς του, όπως και αι ιεραί σάλπιγγες, δια να σαλπίζουν δι' ημάς τα ιερά σαλπίσματά των. Παιδιά του ισραηλιτικού λαού, μη πολεμήτε Κυριον τον Θεόν των πατέρων σας, διότι δεν θα ευοδωθή ο πόλεμός σας εναντίον μας".

Β Παραλ. 13,13 - καὶ Ἱεροβοὰμ ἀπέστρεψε τὸ ἔνεδρον ἐλθεῖν αὐτῷ ἐκ τῶν ὄπισθεν· καὶ ἐγένετο ἔμπροσθεν Ἰούδα, καὶ τὸ ἔνεδρον ἐκ τῶν ὄπισθεν.

Β Παραλ. 13,13 - Ο Ιεροβοάμ δεν συνεκινήθη από αυτά, αλλά έστησε την ενέδραν του οπίσω από τους Ιουδαίους. Ετσι δε υπήρχε στρατός του Ιεροβοάμ εμπρός από τον στρατόν των Ιουδαίων και πίσω από αυτούς ήτο η ενέδρα.

Β Παραλ. 13,14 - καὶ ἀπέστρεψεν Ἰούδας, καὶ ἰδοὺ αὐτοῖς ὁ πόλεμος ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν ὄπισθεν, καὶ ἐβόησαν πρὸς Κύριον, καὶ οἱ ἱερεῖς ἐσάλπισαν ταῖς σάλπιγξι·

Β Παραλ. 13,14 - Ο στρατός των Ιουδαίων εστράφη οπίσω και ιδού είδεν αίφνης, ότι ο πόλεμος εναντίον αυτών ήτο και έμπροσθεν και όπισθεν, με κραυγήν δε μεγάλην εζήτησαν τον Κυριον προς βοήθειαν, οι δε ιερείς εσάλπισαν με τας ιεράς σάλπιγγας.

Β Παραλ. 13,15 - καὶ ἐβόησαν ἄνδρες Ἰούδα καὶ ἐγένετο ἐν τῷ βοᾶν ἄνδρας Ἰούδα καὶ Κύριος ἐπάταξε τὸν Ἱεροβοὰμ καὶ τὸν Ἰσραὴλ ἐναντίον Ἀβιὰ καὶ Ἰούδα.

Β Παραλ. 13,15 - Ο στρατός των Ιουδαίων εβόησε με μεγάλην κραυγήν, ο δε Κυριος εκτύπησε τον Ιεροβοάμ και τον ισραηλιτικόν λαόν εμπρός στον Αβιά και στον ιουδαϊκόν λαόν.

Β Παραλ. 13,16 - καὶ ἔφυγον οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ προσώπου Ἰούδα, καὶ παρέδωκεν αὐτοὺς Κύριος εἰς τὰς χεῖρας αὐτῶν.

Β Παραλ. 13,16 - Οι Ισραηλίται ετράπησαν εις φυγήν ενώπιον των Ιουδαίων και παρέδωκεν αυτούς ο Κυριος εις τα χέρια των Ιουδαίων.

Β Παραλ. 13,17 - καὶ ἐπάταξεν ἐν αὐτοῖς Ἀβιὰ καὶ ὁ λαὸς αὐτοῦ πληγὴν μεγάλην, καὶ ἔπεσον τραυματίαι ἀπὸ Ἰσραὴλ πεντακόσιαι χιλιάδες ἄνδρες δυνατοί.

Β Παραλ. 13,17 - Ο Αβιά και ο στρατός του εκτύπησαν και επέφεραν μεγάλην καταστροφήν, ώστε έπεσαν στο πεδίον της μάχης νεκροί πεντακόσιαι χιλιάδες εμπειροπόλεμοι άνδρες.

Β Παραλ. 13,18 - καὶ ἐταπεινώθησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ κατίσχυσαν οἱ υἱοὶ Ἰούδα, ὅτι ἤλπισαν ἐπὶ Κύριον Θεὸν τῶν πατέρων αὐτῶν.

Β Παραλ. 13,18 - Οι Ισραηλίται εταπεινώθησαν κατά την ημέραν εκείνην, οι δε Ιουδαίοι υπερίσχυσαν και τους ενίκησαν, διότι είχαν στηρίξει τας ελπίδας των εις Κυριον τον Θεόν των πατέρων των.

Β Παραλ. 13,19 - καὶ κατεδίωξεν Ἀβιὰ ὀπίσω Ἱεροβοὰμ καὶ προκατελάβετο παρ᾿ αὐτοῦ πόλεις, τὴν Βαιθὴλ καὶ τὰς κώμας αὐτῆς καὶ τὴν Ἰσανὰ καὶ τὰς κώμας αὐτῆς καὶ τὴν Ἐφρὼν καὶ τὰς κώμας αὐτῆς.

Β Παραλ. 13,19 - Ο Αβιά κατεδίωξε τον Ιεροβοάμ και κατέλαβε τας πόλεις αυτού, την Βαιθήλ και τας περί αυτήν κώμας, την Ισανά και τας περί αυτήν κώμας, Εφρών και τας περί αυτήν κώμας.

Β Παραλ. 13,20 - καὶ οὐκ ἔσχεν ἰσχὺν Ἱεροβοὰμ ἔτι πάσας τὰς ἡμέρας Ἀβιά, καὶ ἐπάταξεν αὐτὸν Κύριος, καὶ ἐτελεύτησε.

Β Παραλ. 13,20 - Καθ' όλας δε τας ημέρας που έζησεν ο Αβιά, ο Ιεροβοάμ ουδέποτε απέκτησε πλέον την δύναμίν του, ο δε Κυριος εκτύπησεν αυτόν και τον εθανάτωσε.

Β Παραλ. 13,21 - καὶ κατίσχυσεν Ἀβιὰ καὶ ἔλαβεν ἑαυτῷ γυναῖκας δεκατέσσαρας καὶ ἐγέννησεν υἱοὺς εἰκοσιδύο καὶ ἑκκαίδεκα θυγατέρας.

Β Παραλ. 13,21 - Ο Αβιά όμως έγινεν ισχυρός, αυτός επήρεν ως συζύγους δεκατέσσερας γυναίκας, εγέννησε δε είκοσι δυό υιούς και δεκαέξ θυγατέρας.

Β Παραλ. 13,22 - καὶ οἱ λοιποὶ λόγοι Ἀβιὰ καὶ αἱ πράξεις αὐτοῦ καὶ οἱ λόγοι αὐτοῦ γεγραμμένοι ἐπὶ βιβλίῳ τοῦ προφήτου Ἀδδώ.

Β Παραλ. 13,22 - Αι άλλαι πράξστου Αβιά, αι ενεργειαί του και οι λόγοι του, είναι γραμμένα στο βιβλίον του προφήτου Αδδώ.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 14

Β Παραλ. 14,1 - Καὶ ἀπέθανεν Ἀβιὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἀσὰ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ. ἐν ταῖς ἡμέραις Ἀσὰ ἡσύχασεν ἡ γῆ Ἰούδα δέκα ἔτη,

Β Παραλ. 14,1 - Ο Αβιά απέθανε και έθαψαν αυτόν με τους προπάτοράς του εις την πόλιν του Δαυίδ, την Ιερουσαλήμ. Αντί δε αυτού έγινε βασιλεύς ο υιός του, ο Ασά. Κατά την εποχήν του Ασά το βασίλειον του Ιούδα έμενεν ήσυχον επί δέκα έτη.

Β Παραλ. 14,2 - καὶ ἐποίησε τὸ καλὸν καὶ τὸ εὐθὲς ἐνώπιον Κυρίου τοῦ Θεοῦ αὐτοῦ.

Β Παραλ. 14,2 - Αυτός έπραξε το ορθόν και ευάρεστον ενώπιον Κυρίου του Θεού του.

Β Παραλ. 14,3 - καὶ ἀπέστησε τὰ θυσιαστήρια τῶν ἀλλοτρίων καὶ τὰ ὑψηλὰ καὶ συνέτριψε τὰς στήλας καὶ ἐξέκοψε τὰ ἄλση

Β Παραλ. 14,3 - Αυτός απεμάκρυνε τα θυσιαστήρια των ξένων θεών, απηγόρευσε τους υψηλούς ειδωλολατρικούς τόπους, συνέτριψε τας ειδωλολατρικάς στήλας και κατέκαψε τα άλση των ειδώλων.

Β Παραλ. 14,4 - καὶ εἶπε τῷ Ἰούδᾳ ἐκζητῆσαι τὸν Κύριον Θεὸν τῶν πατέρων αὐτῶν καὶ ποιῆσαι τόν νόμον καὶ τὰς ἐντολάς.

Β Παραλ. 14,4 - Διέταξεν επίσης τους Ιουδαίους να λατρεύουν Κυριον τον Θεόν των πατέρων των και να εφαρμόζουν τον Νομον αυτού και τας εντολάς του.

Β Παραλ. 14,5 - καὶ ἀπέστησεν ἀπὸ πασῶν πόλεων Ἰούδα τὰ θυσιαστήρια καὶ τὰ εἴδωλα, καὶ εἰρήνευσε

Β Παραλ. 14,5 - Απεμάκρυνεν από όλας τας πόλστου βασιλείου του Ιούδα τα θυσιαστήρια και τα είδωλα. Ετσι δε το βασίλειον του Ιούδα είχε περίοδον ειρήνης.

Β Παραλ. 14,6 - πόλεις τειχήρεις ἐν γῇ Ἰούδα, ὅτι εἰρήνευσεν ἡ γῆ· καὶ οὐκ ἦν αὐτῷ πόλεμος ἐν τοῖς ἔτεσι τούτοις, ὅτι κατέπαυσε Κύριος αὐτῷ.

Β Παραλ. 14,6 - Εκτισε περιτειχισμένας οχυράς πόλεις εις την περιοχήν της φυλής του Ιούδα, διότι η χώρα ευρίσκετο εις ειρηνικήν περίοδον. Δεν

υπήρχε πόλεμος κατά τα έτη αυτά, διότι ο Κυριος είχεν αναπαύσει αυτόν από τους πολέμους.

Β Παραλ. 14,7 - καὶ εἶπε τῷ Ἰούδᾳ· οἰκοδομήσωμεν τὰς πόλεις ταύτας καὶ ποιήσωμεν τείχη καὶ πύργους καὶ πύλας καὶ μοχλούς, ἐν ᾧ τῆς γῆς κυριεύσομεν, ὅτι καθὼς ἐξεζητήσαμεν Κύριον τὸν Θεὸν ἡμῶν, ἐξεζήτησεν ἡμᾶς καὶ κατέπαυσεν ἡμᾶς κυκλόθεν καὶ εὐώδωσεν ἡμῖν.

Β Παραλ. 14,7 - Είπεν ο Ασά στους Ιουδαίους· “ας ανοικοδομήσωμεν αυτάς τας πόλεις, ας τας περιβάλωμεν με τείχη και επάνω εις τα τείχη ας κτίσωμεν πύργους, ας θέσωμεν πύλας και μοχλούς, εφ' όσον η χώρα ευρίσκεται υπό την κυριαρχίαν μας, διότι, όπως ημείς εζητήσαμεν και ελατρεύσαμεν Κυριον τον Θεόν μας, έτσι και ο Θεός ενδιεφέρθη δι' ημάς και μας ανέπαυσεν από τους κύκλω εχθρούς μας και κατευώδωσε τα έργα μας.

Β Παραλ. 14,8 - καὶ ἐγένετο δύναμις τῷ Ἀσὰ ὁπλοφόρων αἰρόντων θυρεοὺς καὶ δόρατα ἐν γῇ Ἰούδα τριακόσιαι χιλιάδες καὶ ἐν γῇ Βενιαμὶν πελτασταὶ καὶ τοξόται διακόσιαι καὶ ὀγδοήκοντα χιλιάδες, πάντες οὗτοι πολεμισταὶ δυνάμεως.

Β Παραλ. 14,8 - Απέκτησε δε ο Ασά στρατιωτικήν δύναμιν ενόπλων ανδρών, που έφεραν μεγάλας ασπίδας και δόρατα από την φυλήν του Ιούδα τριακοσίας χιλιάδας· από δε την φυλήν του Βενιαμίν διακοσίας ογδοήκοντα χιλιάδας τοξότας και στρατιώτας, που έφεραν μικράς ασπίδας. Ολοι αυτοί ήσαν ισχυροί και έμπειροι δια τον πόλεμον.

Β Παραλ. 14,9 - καὶ ἐξῆλθεν ἐπ᾿ αὐτοὺς Ζαρὲ ὁ Αἰθίοψ ἐν δυνάμει ἐν χιλίαις χιλιάσι καὶ ἅρμασι τριακοσίοις, καὶ ἦλθεν ἕως Μαρισά.

Β Παραλ. 14,9 - Εναντίον όμως αυτών εξεστράτευσεν από την Αιθιοπίαν ο Ζαρέ με στρατόν ένα εκατομμύριον και με τριακόσια πολεμικά άρματα. Αυτός έφθασεν έως την Μαρισά.

Β Παραλ. 14,10 - καὶ ἐξῆλθεν Ἀσὰ εἰς συνάντησιν αὐτῷ καὶ παρετάξατο πόλεμον ἐν τῇ φάραγγι κατὰ βοῤῥᾶν Μαρισά.

Β Παραλ. 14,10 - Ο Ασά εξήλθεν εναντίον του εις πόλεμον και παρετάχθη δια την μάχην εις την κοιλάδα, η οποία ευρίσκετο προς βορράν της Μαρισά.

Β Παραλ. 14,11 - καὶ ἐβόησεν Ἀσὰ πρὸς Κύριον Θεὸν αὐτοῦ καὶ εἶπε· Κύριε, οὐκ ἀδυνατεῖ παρὰ σοὶ σώζειν ἐν πολλοῖς καὶ ἐν ὀλίγοις· κατίσχυσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἐπὶ σοὶ πεποίθαμεν καὶ ἐπὶ τῷ ὀνόματί σου ἤλθομεν ἐπὶ τὸ πλῆθος τὸ πολὺ τοῦτο· Κύριε ὁ Θεὸς ἡμῶν, μὴ κατισχυσάτω πρός σε ἄνθρωπος.

Β Παραλ. 14,11 - Ο Ασά εβόησε προς Κυριον τον Θεόν του και είπε· “Κυριε, δεν είναι εις σε αδύνατον να μας σώσης με πολλούς και με ολίγους άνδρας μας. Ενίσχυσέ μας και τώρα, Κυριε ο Θεός ημών, διότι εις σε έχομεν στηρίξει τας ελπίδας μας και εν ονόματί σου ήλθομεν να αντιπαραταχθώμεν

στο μέγα τούτο πλήθος των ανδρών. Κυριε, ο Θεός ημών, ας μη υπερισχύση ενώπιόν σου αυτός ο άνθρωπος”.

Β Παραλ. 14,12 - καὶ ἐπάταξε Κύριος τοὺς Αἰθίοπας ἐναντίον Ἰούδα, καὶ ἔφυγον Αἰθίοπες·

Β Παραλ. 14,12 - Ο Κυριος εκτύπησε και κατετρόπωσε τους Αιθίοπας ενώπιον του Ιούδα, ώστε οι Αιθίοπες ετράπησαν εις φυγήν.

Β Παραλ. 14,13 - καὶ κατεδίωξεν αὐτοὺς Ἀσὰ καὶ ὁ λαὸς αὐτοῦ ἕως Γεδώρ, καὶ ἔπεσον Αἰθίοπες ὥστε μὴ εἶναι ἐν αὐτοῖς περιποίησιν, ὅτι συνετρίβησαν ἐνώπιον Κυρίου καὶ ἐναντίον τῆς δυνάμεως αὐτοῦ, καὶ ἐσκύλευσαν σκῦλα πολλά.

Β Παραλ. 14,13 - Ο Ασά τους κατεδίωξε μαζή με τον στρατόν του έως την Γεδώρ. Επεσαν δε τόσοι πολλοί από τους Αιθίοπας, ώστε δεν κατώρθωσαν πλέον να αναλάβουν δύναμιν, διότι συνετρίβησαν ενώπιον του Κυρίου και ενώπιον του στρατού του. Ο Ασά και ο στρατός του επήραν πολλά λάφυρα από τους νικηθέντας εχθρούς.

Β Παραλ. 14,14 - καὶ ἐξέκοψαν τὰς κώμας αὐτῶν κύκλῳ Γεδώρ, ὅτι ἐγενήθη ἔκστασις Κυρίου ἐπ᾿ αὐτούς, καὶ ἐσκύλευσαν πάσας τὰς πόλεις αὐτῶν, ὅτι πολλὰ σκῦλα ἐγενήθη αὐτοῖς·

Β Παραλ. 14,14 - Οι Ιουδαίοι εν συνεχεία κατέλαβον τας κώμας, που υπήρχον γύρω από την Γεδώρ, διότι κατάπληξις εκ μέρους του Κυρίου έπεσεν εις τας πόλεις αυτάς. Ετσι οι Ιουδαίοι ελεηλάτησαν όλας αυτάς τας πόλεις, διότι υπήρχον πολλά λάφυρα εις αυτάς.

Β Παραλ. 14,15 - καί γε σκηνὰς κτήσεων, τοὺς Ἀλιμαζονεῖς, ἐξέκοψαν καὶ ἔλαβον πρόβατα πολλὰ καὶ καμήλους καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλήμ.

Β Παραλ. 14,15 - Κατέλαβον πολλά ποιμνιοστάσια, κατέβαλον τους Αλιμαζονείς, εξέκοψαν και παρέλαβον πολλά πρόβατα και καμήλους και επέστρεψαν εις την Ιερουσαλήμ.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 15

Β Παραλ. 15,1 - Καὶ Ἀζαρίας υἱὸς Ὠδήδ, ἐγένετο ἐπ᾿ αὐτὸν πνεῦμα Κυρίου,

Β Παραλ. 15,1 - Πνεύμα Κυρίου ήλθε κατά τον καιρόν εκείνον στον Αζαρίαν, τον υιόν του Ωδήδ.

Β Παραλ. 15,2 - καὶ ἐξῆλθεν εἰς ἀπάντησιν Ἀσὰ καὶ παντὶ Ἰούδᾳ καὶ Βενιαμὶν καὶ εἶπεν· ἀκούσατέ μου, Ἀσὰ καὶ πᾶς Ἰούδα καὶ Βενιαμίν. Κύριος μεθ᾿ ὑμῶν ἐν τῷ εἶναι ὑμᾶς μετ᾿ αὐτοῦ, καὶ ἐὰν ἐκζητήσητε αὐτόν, εὑρεθήσεται ὑμῖν, καὶ ἐὰν ἐγκαταλίπητε αὐτόν, ἐγκαταλείψει ὑμᾶς.

Β Παραλ. 15,2 - Εξήλθεν αυτός να προϋπαντήση τον Ασά και όλους τους άνδρας της φυλής του Ιούδα και του Βενιαμίν και είπεν· “ακούσατέ με, Ασά

και όλοι οι Ιουδαίοι και οι της φυλής Βενιαμίν. Ο Κυριος είναι μαζή σας, διότι και σεις είσθε μαζή με αυτόν. Εάν σεις εξακολουθήσετε να καταφεύγετε προς αυτόν και να τον λατρεύετε, και αυτός θα ευρίσκεται μαζή σας. Εάν όμως σστον εγκαταλείψετε, και αυτός θα σας εγκαταλείψη.

Β Παραλ. 15,3 - καὶ ἡμέραι πολλαὶ τῷ Ἰσραὴλ ἐν οὐ θεῷ ἀληθινῷ καὶ οὐχ ἱερέως ὑποδεικνύοντος καὶ ἐν οὐ νόμῳ·

Β Παραλ. 15,3 - Επί πολύ όμως χρονικόν διάστημα Οι Ισραηλίται θα είναι χωρίς τον αληθινόν Θεόν, χωρίς ιερέα να τους διδάσκη, χωρίς Νομον.

Β Παραλ. 15,4 - καὶ ἐπιστρέψει αὐτοὺς ἐπὶ Κύριον Θεὸν Ἰσραήλ, καὶ εὑρεθήσεται αὐτοῖς.

Β Παραλ. 15,4 - Η θλίψις όμως θα επαναφέρη αυτούς προς Κυριον τον Θεόν του Ισραήλ και ο Κυριος θα ευρεθή πάλιν μαζή τους.

Β Παραλ. 15,5 - καὶ ἐν ἐκείνῳ τῷ καιρῷ οὐκ ἔστιν εἰρήνη τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ, ὅτι ἔκστασις Κυρίου ἐπὶ πάντας τοὺς κατοικοῦντας τὰς χώρας.

Β Παραλ. 15,5 - Κατά τον καιρόν όμως εκείνον δεν θα υπάρχη ειρήνη και ασφάλεια εις καθένα, που θα περιοδεύη ανά την χώραν αυτήν, διότι κάποιος θείος τρόμος θα επιπέση εις όλους τους κατοίκους των χωρών αυτών.

Β Παραλ. 15,6 - καὶ πολεμήσει ἔθνος πρὸς ἔθνος καὶ πόλις πρὸς πόλιν, ὅτι ὁ Θεὸς ἐξέστησεν αὐτοὺς ἐν πάσῃ θλίψει.

Β Παραλ. 15,6 - Το ένα έθνος θα πολεμή εναντίον του άλλου έθνους και η μία πόλις εναντίον της άλλης πόλεως, διότι ο Θεός θα τους έχη κτυπήσει με θλίψεις κάθε είδους.

Β Παραλ. 15,7 - καὶ ὑμεῖς ἰσχύσατε, καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν, ὅτι ἔστι μισθὸς τῇ ἐργασίᾳ ὑμῶν.

Β Παραλ. 15,7 - Σεις όμως να φανήτε γενναίοι και αι χείρες σας ας μη παραλύσουν, διότι εις την εργασίαν σας θα δοθή η πρέπουσα αμοιβή".

Β Παραλ. 15,8 - καὶ ἐν τῷ ἀκοῦσαι τοὺς λόγους τούτους καὶ τὴν προφητείαν Ἀδὰδ τοῦ προφήτου καὶ κατίσχυσε καὶ ἐξέβαλε τὰ βδελύγματα ἀπὸ πάσης τῆς γῆς Ἰούδα καὶ Βενιαμὶν καὶ ἀπὸ τῶν πόλεων, ὧν κατέσχεν Ἱεροβοὰμ ἐν ὄρει Ἐφραίμ, καὶ ἐνεκαίνισε τὸ θυσιαστήριον Κυρίου, ὃ ἦν ἔμπροσθεν τοῦ ναοῦ Κυρίου.

Β Παραλ. 15,8 - Οταν οι Ιουδαίοι, και μάλιστα ο Ασά, ήκουσε τους λόγους αυτούς και την προφητείαν του προφήτου Αδάδ, ενισχύθη ακόμη περισσότερον και εξεδίωξε τα βδελυρά ειδωλολατρικά αγάλματα από όλην την χώραν της φυλής Ιούδα και Βενιαμίν και από τας πόλεις, τας οποίας είχε προηγουμένως καταλάβει ο Ιεροβοάμ εις την ορεινήν περιοχήν της φυλής του Εφραίμ. Επεσκεύασε δε και ενεκαινίασε το θυσιαστήριον του Κυρίου, το οποίον ευρίσκετο εμπρός του ναού του Κυρίου εις την Ιερουσαλήμ.

Β Παραλ. 15,9 - καὶ ἐξεκκλησίασε τὸν Ἰούδαν καὶ Βενιαμὶν καὶ τοὺς προσηλύτους τοὺς παροικοῦντας μετ᾿ αὐτοῦ ἀπὸ Ἐφραὶμ καὶ ἀπὸ Μανασσῆ καὶ ἀπὸ Συμεών, ὅτι προσετέθησαν πρὸς αὐτὸν πολλοὶ τοῦ Ἰσραὴλ ἐν τῷ ἰδεῖν αὐτούς, ὅτι Κύριος ὁ Θεὸς αὐτοῦ μετ᾿ αὐτοῦ.

Β Παραλ. 15,9 - Συνεκέντρωσεν όλους τους άνδρας της φυλής Ιούδα και της φυλής Βενιαμίν, όπως επίσης και τους ξένους, οι οποίοι παρεπιδημούσαν με αυτούς, από τας φυλάς Εφραίμ, Μανασσή και Συμεών, διότι πολλοί είχαν προστεθή προς αυτόν, όταν αυτοί είδαν ότι Κυριος ο Θεός ήτο μαζή του.

Β Παραλ. 15,10 - καὶ συνήχθησαν εἰς Ἱερουσαλὴμ ἐν τῷ μηνὶ τῷ τρίτῳ ἐν τῷ ἔτει τῷ πεντεκαιδεκάτῳ τῆς βασιλείας Ἀσά.

Β Παραλ. 15,10 - Αυτοί συνεκεντρώθησαν εις την Ιερουσαλήμ κατά τον τρίτον μήνα του δεκάτου πέμπτου έτους της βασιλείας του Ασά.

Β Παραλ. 15,11 - καὶ ἔθυσε τῷ Κυρίῳ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ τῶν σκύλων, ὧν ἤνεγκαν, μόσχους ἑπτακοσίους καὶ πρόβατα ἑπτακισχίλια.

Β Παραλ. 15,11 - Ο Ασά προσέφερε θυσίαν προς τον Κυριον κατά την ημέραν εκείνην, από τα λάφυρα, τα οποία είχαν φέρει εις την Ιερουσαλήμ, επτακοσίους μόσχους και επτά χιλιάδες πρόβατα.

Β Παραλ. 15,12 - καὶ διῆλθεν ἐν διαθήκῃ ζητῆσαι Κύριον Θεὸν τῶν πατέρων αὐτῶν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτῶν·

Β Παραλ. 15,12 - Ανέλαβε την υποχρέωσιν δια διαθήκης να καταφεύγουν οι Ιουδαίοι προς Κυριον τον Θεόν των πατέρων των και να λατρεύουν αυτόν με όλην των την καρδίαν και με όλην των την ψυχήν.

Β Παραλ. 15,13 - καὶ πᾶς, ὃς ἐὰν μὴ ἐκζητήσῃ τὸν Κύριον Θεὸν τοῦ Ἰσραήλ, ἀποθανεῖται ἀπὸ νεωτέρου ἕως πρεσβυτέρου, ἀπὸ ἀνδρὸς ἕως γυναικός.

Β Παραλ. 15,13 - Καθε δε Ιουδαίος, ο οποίος δεν θα ελάτρευε Κυριον τον Θεόν του ισραηλιτικού λαού, θα εφονεύετο, από τον νεώτερον έως τον μεγαλύτερον, από άνδρα έως γυναίκα.

Β Παραλ. 15,14 - καὶ ὤμοσαν ἐν Κυρίῳ ἐν φωνῇ μεγάλῃ καὶ ἐν σάλπιγξι καὶ ἐν κερατίναις.

Β Παραλ. 15,14 - Ολοι ωρκίσθησαν στον Κυριον με φωνήν μεγάλην, καθ' ον χρόνον ηχούσαν αι ιεραί κεράτιναι σάλπιγγες.

Β Παραλ. 15,15 - καὶ ηὐφράνθησαν πᾶς Ἰούδα περὶ τοῦ ὅρκου, ὅτι ἐξ ὅλης τῆς ψυχῆς ὤμοσαν καὶ ἐν πάσῃ θελήσει ἐζήτησαν αὐτόν, καὶ εὑρέθη αὐτοῖς καὶ κατέπαυσε Κύριος αὐτοῖς κυκλόθεν.

Β Παραλ. 15,15 - Ολοι οι Ιουδαίοι ευφράνθησαν δια τον όρκον, που είχαν δώσει, διότι ωρκίσθησαν με όλην των την ψυχήν και με όλην την θέλησίν των να λατρεύουν τον Θεόν. Ο δε Κυριος ήλθε βοηθός εις αυτούς, τους ανέπαυσε και τους περιεφρούρησεν από τους γύρω εχθρούς.

Β Παραλ. 15,16 - καὶ τὴν Μααχὰ τὴν μητέρα αὐτοῦ μετέστησε τοῦ μὴ εἶναι τῇ Ἀστάρτῃ λειτουργοῦσαν καὶ κατέκοψε τὸ εἴδωλον καὶ κατέκαυσεν ἐν χειμάῤῥῳ Κέδρων.

Β Παραλ. 15,16 - Ο Ασά και αυτήν ακόμη την μητέρα του την Μααχά καθήρεσεν από το αξίωμα της βασιλομήτορος και την εξετόπισε, δια να μη είναι πλέον λειτουργός εις την θεάν Αστάρτην. Το δε είδωλον αυτό της θεάς το κατέκοψε και το κατέκαυσεν στον χείμαρρον των Κέδρων.

Β Παραλ. 15,17 - πλὴν τὰ ὑψηλὰ οὐκ ἀπέστησαν, ἔτι ὑπῆρχεν ἐν τῷ Ἰσραήλ· ἀλλ᾽ ἡ καρδία Ἀσὰ ἐγένετο πλήρης πάσας τὰς ἡμέρας αὐτοῦ.

Β Παραλ. 15,17 - Αλλά τους υψηλούς λατρευτικούς τόπους δεν τους κατήργησαν οι Ιουδαίοι και έτσι αυτοί υπήρχον ακόμη εν μέσω του ισραηλιτικού λαού. Η καρδιά όμως του Ασά εδόθη εξ ολοκλήρου προς τον Θεόν όλας τας ημέρας της ζωής του.

Β Παραλ. 15,18 - καὶ εἰσήνεγκε τὰ ἅγια Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ τὰ ἅγια οἴκου τοῦ Θεοῦ, ἀργύριον καὶ χρυσίον καὶ σκεύη.

Β Παραλ. 15,18 - Ο Ασά ετοποθέτησεν στον ναόν όλα τα αφιερώματα του προπάτορός του Δαυίδ και τα αφιερώματα γενικώς τα προοριζόμενα δια τον ναόν του Θεού, αργύριον και χρυσίον και ιερά σκεύη.

Β Παραλ. 15,19 - καὶ πόλεμος οὐκ ἦν μετ᾽ αὐτοῦ ἕως τοῦ πέμπτου καὶ τριακοστοῦ ἔτους τῆς βασιλείας Ἀσά.

Β Παραλ. 15,19 - Πολεμος εναντίον του Ασά δεν έγινε μέχρι του τριακοστού πέμπτου έτους της βασιλείας του.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 16

Β Παραλ. 16,1 - Καὶ ἐν τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει τῆς βασιλείας Ἀσὰ ἀνέβη βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰούδαν καὶ ᾠκοδόμησε τὴν Ῥαμὰ τοῦ μὴ δοῦναι ἔξοδον καὶ εἴσοδον τῷ Ἀσὰ βασιλεῖ Ἰούδα.

Β Παραλ. 16,1 - Κατά το τριακοστόν όγδοον έτος της βασιλείας του Ασά, ο Βαασά, βασιλεύς του βασιλείου του Ισραήλ, εξεστράτευσεν εναντίον του βασιλείου του Ιούδα και ωχύρωσε την Ραμά, δια να μη παρέχη στον Ασά, τον βασιλέα των Ιουδαίων, ελευθερίαν να εισέρχεται και να εξέρχεται εις την χώραν του.

Β Παραλ. 16,2 - καὶ ἔλαβεν Ἀσὰ ἀργύριον καὶ χρυσίον ἐκ θησαυρῶν οἴκου Κυρίου καὶ οἴκου τοῦ βασιλέως καὶ ἀπέστειλε πρὸς τὸν υἱὸν τοῦ Ἄδερ βασιλέως Συρίας τὸν κατοικοῦντα ἐν Δαμασκῷ λέγων·

Β Παραλ. 16,2 - Ο Ασά επήρεν αργύριον και χρυσίον από τους θησαυρούς του ναού του Κυρίου και από το βασιλικόν θησαυροφυλάκιον και έστειλεν αυτά με απεσταλμένους του προς τον υιόν του Αδερ, βασιλέα της Συρίας, ο οποίος κατοικούσεν εις την Δαμασκόν και του παρήγγειλε·

Β Παραλ. 16,3 - διάθου διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ καὶ ἀνὰ μέσον τοῦ πατρός μου καὶ ἀνὰ μέσον τοῦ πατρός σου· ἰδοὺ ἀπέσταλκά σοι χρυσίον καὶ ἀργύριον, δεῦρο καὶ διασκέδασον ἀπ᾿ ἐμοῦ τὸν Βαασὰ βασιλέα Ἰσραὴλ καὶ ἀπελθέτω ἀπ᾿ ἐμοῦ.

Β Παραλ. 16,3 - "κλείσε συμφωνίαν φιλίας μεταξύ εμού και σου, ομοίαν προς εκείνην που υπήρχε μεταξύ του πατρός μου και του πατρός σου. Ιδού εγώ σου έχω αποστείλει χρυσίον και αργύριον. Ελα και διασκόρπισε μακράν από εμέ τον Βαασά, βασιλέα των Ισραηλιτών, δια να απέλθη αυτός από την περιοχήν μου".

Β Παραλ. 16,4 - καὶ ἤκουσεν υἱὸς Ἄδερ τοῦ βασιλέως Ἀσὰ καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῆς δυνάμεως αὐτοῦ ἐπὶ τὰς πόλεις Ἰσραὴλ καὶ ἐπάταξε τὴν Ἀϊὼν καὶ τὴν Δὰν καὶ τὴν Ἀβελμαΐν καὶ πάσας τὰς περιχώρους Νεφθαλί.

Β Παραλ. 16,4 - Ο υιός του Αδερ, ο βασιλεύς της Συρίας εδέχθη την πρότασιν του Ασά και έστειλε τους αρχηγούς με τον στρατόν του εναντίον των πόλεων του βασιλείου του Ισραήλ και εκτύπησε τας πόλεις, την Αϊών, την Δαν και την Αβελαΐν και όλην την χώραν της φυλής του Νεφθαλί.

Β Παραλ. 16,5 - καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι Βαασὰ ἀπέλιπε τοῦ μηκέτι οἰκοδομεῖν τὴν Ῥαμὰ καὶ κατέπαυσε τὸ ἔργον αὐτοῦ.

Β Παραλ. 16,5 - Οταν ο Βαασά επληροφορήθη τούτο, εσταμάτησε πλέον να οχυρώνη την Ραμά και διέκοψε την εργασίαν του αυτήν.

Β Παραλ. 16,6 - καὶ Ἀσὰ βασιλεὺς ἔλαβε πάντα τὸν Ἰούδαν καὶ ἔλαβε τοὺς λίθους τῆς Ῥαμὰ καὶ τὰ ξύλα αὐτῆς, ἃ ᾠκοδόμησε Βαασά, καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς τὴν Γαβαὲ καὶ τὴν Μασφά.

Β Παραλ. 16,6 - Ο βασιλεύς Ασά επήρε τότε μαζή του όλους τους Ιουδαίους, ήλθεν εις την Ραμά, επήρε τους λίθους και τα ξύλα με τα οποία ωχύρωνεν ο Βαασά την Ραμά, και με αυτά ωχύρωσεν αυτός την Γαβαέ και την Μασφά.

Β Παραλ. 16,7 - καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἦλθεν Ἀνανὶ ὁ προφήτης πρὸς Ἀσὰ βασιλέα Ἰούδα καὶ εἶπεν αὐτῷ· ἐν τῷ πεποιθέναι σε ἐπὶ βασιλέα Συρίας καὶ μὴ πεποιθέναι σε ἐπὶ Κύριον Θεόν σου, διὰ τοῦτο ἐσώθη ἡ δύναμις Συρίας ἀπὸ τῆς χειρός σου.

Β Παραλ. 16,7 - Κατά την εποχήν εκείνην ήλθεν προς τον Ασά, τον βασιλέα της φυλής Ιούδα, ο Ανανί ο προφήτης και του είπε· "επειδή συ εστήριξες την πεποίθησίν σου στον βασιλέα της Συρίας και δεν εστηρίχθης εις Κυριον τον Θεόν σου, δια τούτο διέφυγεν από τα χέρια σου ο στρατός της Συρίας και εσώθη.

Β Παραλ. 16,8 - οὐχ οἱ Αἰθίοπες καὶ Λίβυες ἦσαν εἰς δύναμιν πολλὴν εἰς θάρσος, εἰς ἱππεῖς εἰς πλῆθος σφόδρα; καὶ ἐν τῷ πεποιθέναι σε ἐπὶ Κύριον παρέδωκεν εἰς χεῖράς σου;

Β Παραλ. 16,8 - Οι Αιθίοπες και οι Λιβυες δεν ήσαν περισσότεροι και ορμητικότεροι; Δεν είχαν αυτοί και πολυάριθμον ιππικόν; Και όμως, επειδή είχες στηρίξει την πεποίθησίν σου στον Κυριον, ο Κυριος παρέδωκεν αυτούς εις τα χέρια σου.

Β Παραλ. 16,9 - ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπιβλέπουσιν ἐν πάσῃ τῇ γῇ κατισχῦσαι ἐν πάσῃ καρδίᾳ πλήρει πρὸς αὐτόν. ἠγνόηκας ἐπὶ τούτῳ· ἀπὸ τοῦ νῦν ἔσται μετὰ σοῦ πόλεμος.

Β Παραλ. 16,9 - Διότι οι οφθαλμοί του Κυρίου επιβλέπουν εις όλην την οικουμένην, δια να στηρίζουν και να ενισχύουν εκείνους, οι οποίοι έχουν εξ ολοκλήρου αφωσιωμένην την καρδίαν των προς αυτόν. Συ όμως ηγνόησες αυτόν. Από τώρα και στο μέλλον θα γίνεται πόλεμος εναντίον σου”.

Β Παραλ. 16,10 - καὶ ἐθυμώθη Ἀσὰ τῷ προφήτῃ καὶ παρέθετο αὐτὸν εἰς φυλακήν, ὅτι ὠργίσθη ἐπὶ τούτῳ· καὶ ἐλυμήνατο Ἀσὰ ἐν τῷ λαῷ ἐν τῷ καιρῷ ἐκείνῳ.

Β Παραλ. 16,10 - Ο Ασά εθύμωσεν εναντίον του προφήτου και έρριψεν αυτόν εις την φυλακήν, διότι ωργίσθη δια τα λόγια του. Επί πλέον έλαβε κατά τον καιρόν εκείνον και σκληρά μέτρα εναντίον μερικών εκ του λαού του.

Β Παραλ. 16,11 - Καὶ ἰδοὺ οἱ λόγοι Ἀσὰ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι γεγραμμένοι ἐν βιβλίῳ βασιλέων Ἰούδα καὶ Ἰσραήλ.

Β Παραλ. 16,11 - Ιδού, τα αλλά έργα του Ασά τα πρώτα και τα τελευταία, είναι γραμμένα στο βιβλίον των βασιλέων του Ιούδα και του Ισραήλ.

Β Παραλ. 16,12 - καὶ ἐμαλακίσθη Ἀσὰ ἐν τῷ ἔτει τῷ ἐνάτῳ καὶ τριακοστῷ τῆς βασιλείας αὐτοῦ τοὺς πόδας, ἕως σφόδρα ἐμαλακίσθη· καὶ ἐν τῇ μαλακίᾳ αὐτοῦ οὐκ ἐζήτησε τὸν Κύριον, ἀλλὰ τοὺς ἰατρούς.

Β Παραλ. 16,12 - Ο Ασά κατά το τριακοστόν ένατον έτος της βασιλείας του, ησθένησε στους πόδας του και υπέφερε πάρα πολύ. Κατά την ασθένειάν του αυτήν δεν εζήτησε την βοήθειαν του Κυρίου, αλλά κατέφυγεν στους ιατρούς.

Β Παραλ. 16,13 - καὶ ἐκοιμήθη Ἀσὰ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτελεύτησεν ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ,

Β Παραλ. 16,13 - Ο Ασά απέθανε και ετάφη μαζή με τους πατέρας του. Απέθανε δε κατά το τεσσαρακοστόν έτος της βασιλείας του.

Β Παραλ. 16,14 - καὶ ἔθαψαν αὐτὸν ἐν τῷ μνήματι, ᾧ ὤρυξεν ἑαυτῷ ἐν πόλει Δαυίδ, καὶ ἐκοίμησαν αὐτὸν ἐπὶ τῆς κλίνης καὶ ἔπλησαν ἀρωμάτων καὶ γένη μύρων μυρεψῶν καὶ ἐποίησαν αὐτῷ ἐκφορὰν μεγάλην ἕως σφόδρα.

Β Παραλ. 16,14 - Εθαψαν αυτόν εις μνημείον, το οποίον ο ίδιος δια τον εαυτόν του είχεν ανοίξει εις την πόλιν του Δαυίδ. Τον ετοποθέτησαν στο νεκροκράββατον, που είχαν γεμίσει με αρώματα και διάφορα άλλα είδη μύρων, τα οποία κατασκευάζουν οι μυροποιοί. Εκαμαν έτσι εις αυτόν πολύ μεγάλην και επίσημον κηδείαν.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 17

Β Παραλ. 17,1 - Καὶ ἐβασίλευσεν Ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ, καὶ κατίσχυσεν Ἰωσαφὰτ ἐπὶ τὸν Ἰσραήλ.

Β Παραλ. 17,1 - Αντί του Ασά έγινε βασιλεύς ο υιός του, ο Ιωσαφάτ. Ο Ιωσαφάτ υπερίσχυσε πολεμικώς κατά του βασιλείου των Ισραηλιτών.

Β Παραλ. 17,2 - καὶ ἔδωκε δύναμιν ἐν πάσαις ταῖς πόλεσιν Ἰούδα ταῖς ὀχυραῖς καὶ κατέστησεν ἡγουμένους ἐν πάσαις ταῖς πόλεσιν Ἰούδα καὶ ἐν πόλεσιν Ἐφραίμ, ἃς προκατελάβετο Ἀσὰ ὁ πατὴρ αὐτοῦ.

Β Παραλ. 17,2 - Εστειλε στρατιωτικήν δύναμιν εις όλας τας οχυράς πόλστου βασιλείου Ιούδα και κατέστησεν αρχηγούς εις όλας τας πόλστου βασιλείου τούτου και εις τας πόλεις της φυλής του Εφραίμ, τας οποίας προηγουμένως είχε καταλάβει ο Ασά, ο πατήρ του.

Β Παραλ. 17,3 - καὶ ἐγένετο Κύριος μετὰ Ἰωσαφάτ, ὅτι ἐπορεύθη ἐν ὁδοῖς τοῦ πατρὸς αὐτοῦ ταῖς πρώταις καὶ οὐκ ἐξεζήτησε τὰ εἴδωλα,

Β Παραλ. 17,3 - Ο Κυριος ήτο μαζή με τον Ιωσαφάτ, διότι αυτός επορεύθη στους δρόμους, τους οποίους κατ' αρχάς είχε βαδίσει και ο πατήρ του και δεν εξέκλινε εις την λατρείαν των ειδώλων,

Β Παραλ. 17,4 - ἀλλὰ Κύριον τὸν Θεὸν τοῦ πατρὸς αὐτοῦ ἐξεζήτησε καὶ ἐν ταῖς ἐντολαῖς τοῦ πατρὸς αὐτοῦ ἐπορεύθη, καὶ οὐχ ὡς τὰ ἔργα τοῦ Ἰσραήλ.

Β Παραλ. 17,4 - αλλά ελάτρευσε Κυριον τον Θεόν του πατρός του και επορεύθη εις τας εντολάς του πατρός του, τα δε έργα του δεν ήσαν ωσάν τα έργα των αποστατημένων Ισραηλιτών.

Β Παραλ. 17,5 - καὶ κατεύθυνε Κύριος τὴν βασιλείαν ἐν χειρὶ αὐτοῦ, καὶ ἔδωκε πᾶς Ἰούδα δῶρα τῷ Ἰωσαφάτ, καὶ ἐγένετο αὐτῷ πλοῦτος καὶ δόξα πολλή.

Β Παραλ. 17,5 - Ο Κυριος κατηύθυνε την βασιλείαν αυτού υπό την χείρα του. Καθε δε ανήρ από το βασίλειον του Ιούδα προσέφερε δώρα στον Ιωσαφάτ και έτσι αυτός απέκτησε πλούτον και δόξαν πολλήν.

Β Παραλ. 17,6 - καὶ ὑψώθη ἡ καρδία αὐτοῦ ἐν ὁδῷ Κυρίου, καὶ ἔτι ἐξῇρε τὰ ὑψηλὰ καὶ τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα.

Β Παραλ. 17,6 - Η καρδία αυτού υψώθη και προώδευσεν στον δρόμον Κυρίου, κατέστρεψεν όλους τους υψηλούς ειδωλολατρικούς τόπους και τα ειδωλολατρικά σύμβολα της Αστάρτης από όλην την χώραν του βασιλείου του Ιούδα.

Β Παραλ. 17,7 - καὶ ἐν τῷ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἀπέστειλε τοὺς ἡγουμένους αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν δυνατῶν, τὸν Ἀβδίαν καὶ Ζαχαρίαν

καὶ Ναθαναὴλ καὶ Μιχαίαν, τοῦ διδάσκειν ἐν πόλεσιν Ἰούδα·

Β Παραλ. 17,7 - Κατά το τρίτον έτος της βασιλείας του απέστειλε τους αρχηγούς του και τους υιούς των ισχυρών, τον Αβδίαν, τον Ζαχαρίαν, τον Ναθαναήλ και τον Μιχαίαν, δια να διδάσκουν εις τας πόλστου Ιούδα τον Νομον του Θεού.

Β Παραλ. 17,8 - καὶ μετ᾿ αὐτῶν οἱ Λευῖται Σαμαίας καὶ Ναθανίας καὶ Ζαβδίας καὶ Ἀσιὴλ καὶ Σεμιραμὼθ καὶ Ἰωνάθαν καὶ Ἀδωνίας καὶ Τωβίας, οἱ Λευῖται, καὶ μετ᾿ αὐτῶν Ἐλισαμὰ καὶ Ἰωρὰμ οἱ ἱερεῖς,

Β Παραλ. 17,8 - Μαζή με αυτούς, ως βοηθοί των, ήσαν οι Λευίται ο Σαμαίας, ο Ναθανίας, ο Ζαβδίας, ο Ασιήλ, ο Σεμιραμώθ, ο Ιωνάθαν, ο Αδωνίας και ο Τωβίας. Αυτοί ήσαν Λευίται. Μαζή με αυτούς ήσαν και οι ιερείς, ο Ελισαμά και ο Ιωράμ.

Β Παραλ. 17,9 - καὶ ἐδίδασκον ἐν Ἰούδᾳ, καὶ μετ᾿ αὐτῶν βίβλος νόμου Κυρίου, καὶ διῆλθον ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐδίδασκον τὸν λαόν.

Β Παραλ. 17,9 - Αυτοί είχον μαζή των το βιβλίον του Νομου και εδίδασκον ανά την Ιουδαίαν. Διήλθον όλας τας πόλστου Ιούδα και εδίδασκον τον λαόν.

Β Παραλ. 17,10 - καὶ ἐγένετο ἔκστασις Κυρίου ἐπὶ πάσαις ταῖς βασιλείαις τῆς γῆς κύκλῳ Ἰούδα, καὶ οὐκ ἐπολέμουν πρὸς Ἰωσαφάτ·

Β Παραλ. 17,10 - Φοβος δε από Θεού κατέλαβεν όλας τας βασιλείας, αι οποίαι υπήρχον γύρω από την χώραν του βασιλείου του Ιούδα, και δεν ετόλμησαν να πολεμήσουν εναντίον του Ιωσαφάτ.

Β Παραλ. 17,11 - καὶ ἀπὸ τῶν ἀλλοφύλων ἔφερον τῷ Ἰωσαφὰτ δῶρα καὶ ἀργύριον καὶ δόματα, καὶ οἱ Ἄραβες ἔφερον αὐτῷ κριοὺς προβάτων ἑπτακισχιλίους ἑπτακοσίους.

Β Παραλ. 17,11 - Μαλιστα δε μερικοί από τους Φιλισταίους προσέφεραν στον Ιωσαφάτ δώρα, αργύριον και άλλας δωρεάς. Οι δε Αραβες έφεραν προς αυτόν από τα ποίμνιά των επτά χιλιάδας επτακοσίους κριούς.

Β Παραλ. 17,12 - καὶ ἦν Ἰωσαφὰτ πορευόμενος μείζων ἕως εἰς ὕψος καὶ ᾠκοδόμησεν ἐν τῇ Ἰουδαίᾳ οἰκήσεις καὶ πόλεις ὀχυράς.

Β Παραλ. 17,12 - Ετσι δε ο Ιωσαφάτ εδοξάζετο και ανυψώνετο ολονέν και περισσότερον. Εκτισεν εις την Ιουδαίαν συνοικισμούς και πόλεις οχυράς.

Β Παραλ. 17,13 - καὶ ἔργα πολλὰ ἐγένετο αὐτῷ ἐν τῇ Ἰουδαίᾳ καὶ ἄνδρες πολεμισταὶ δυνατοὶ ἰσχύοντες ἐν Ἱερουσαλήμ.

Β Παραλ. 17,13 - Εκαμε και πολλά άλλα έργα εις την Ιουδαίαν, άνδρες δε δυνατοί και έμπειροι περί τον πόλεμον ήσαν πλησίον του εις την Ιερουσαλήμ.

Β Παραλ. 17,14 - καὶ οὗτος ὁ ἀριθμὸς αὐτῶν κατ᾿ οἴκους πατριῶν αὐτῶν· καὶ τῷ Ἰούδᾳ χιλίαρχοι, Ἔδνας ὁ ἄρχων καὶ μετ᾿ αὐτοῦ υἱοὶ δυνατοὶ δυνάμεως τριακόσιαι χιλιάδες·

Β Παραλ. 17,14 - Αυτός δε είναι ο αριθμός των στρατιωτών κατά τας φυλάς, εις τας οποίας ανήκον. Εις την φυλήν του Ιούδα υπήρχον χιλίαρχοι. Ο Εδνας ήτο ο αρχηγός και μαζή με αυτόν ισχυροί άνδρες ανερχόμενοι εις τριακοσίας χιλιάδας.

Β Παραλ. 17,15 - καὶ μετ᾿ αὐτὸν Ἰωανὰν ὁ ἡγούμενος καὶ μετ᾿ αὐτοῦ διακόσιαι ὀγδοήκοντα χιλιάδες·

Β Παραλ. 17,15 - Επειτα από αυτόν αρχηγός ήτο ο Ιωανάν· μαζή του ήσαν διακόσιαι ογδοήκοντα χιλιάδες.

Β Παραλ. 17,16 - καὶ μετ᾿ αὐτὸν Ἀμασίας ὁ τοῦ Ζαρί, ὁ προθυμούμενος τῷ Κυρίῳ, καὶ μετ᾿ αὐτοῦ διακόσιαι χιλιάδες δυνατοὶ δυνάμεως.

Β Παραλ. 17,16 - Και έπειτα από αυτόν ήτο ο Αμασίας, ο υιός του Ζαρί, ο οποίος αυτοπροαιρέτως είχεν αφιερωθή στον Κυριον. Μαζή του ήσαν διακόσιαι χιλιάδες ισχυροί άνδρες του στρατού.

Β Παραλ. 17,17 - καὶ ἐκ τοῦ Βενιαμὶν δυνατὸς δυνάμεως Ἐλιαδὰ καὶ μετ᾿ αὐτοῦ τοξόται καὶ πελτασταὶ διακόσιαι χιλιάδες.

Β Παραλ. 17,17 - Από την φυλήν του Βενιαμίν ισχυρός ανήρ ήτο ο Ελιαδά και μαζή με αυτόν ήσαν τοξόται και άλλοι, φέροντες ελαφράς ασπίδας, διακόσιαι χιλιάδες.

Β Παραλ. 17,18 - καὶ μετ᾿ αὐτὸν Ἰωζαβὰδ καὶ μετ᾿ αὐτοῦ ἑκατὸν ὀγδοήκοντα χιλιάδες δυνατοὶ πολέμου.

Β Παραλ. 17,18 - Επειτα από αυτόν ήτο ο Ιωζαβάδ και μαζή με αυτόν ήσαν εκατόν ογδοήκοντα χιλιάδες άνδρες ισχυροί στον πόλεμον.

Β Παραλ. 17,19 - οὗτοι οἱ λειτουργοῦντες τῷ βασιλεῖ, ἐκτὸς ὧν ἔδωκεν ὁ βασιλεὺς ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς ἐν πάσῃ τῇ Ἰουδαίᾳ.

Β Παραλ. 17,19 - Αυτοί ήσαν εκείνοι, που υπηρετούσαν τον βασιλέα, εκτός εκείνων που ο βασιλεύς είχε στείλει εις διαφόρους οχυράς πόλεις καθ' όλην την περιοχήν της Ιουδαίας.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 18

Β Παραλ. 18,1 - Καὶ ἐγενήθη τῷ Ἰωσαφὰτ ἔτι πλοῦτος καὶ δόξα πολλή, καὶ ἐπεγαμβρεύσατο ἐν οἴκῳ Ἀχαάβ.

Β Παραλ. 18,1 - Ο Ιωσαφάτ απέκτησεν ακόμη περισσότερον πλούτον και πάρα πολλήν δόξαν και συνεδέθη δια γάμου με τον οίκον του Αχαάβ.

Β Παραλ. 18,2 - καὶ κατέβη διὰ τέλους ἐτῶν πρὸς Ἀχαὰβ εἰς Σαμάρειαν· καὶ ἔθυσεν αὐτῷ Ἀχαὰβ πρόβατα καὶ μόσχους πολλοὺς καὶ τῷ λαῷ τῷ μετ᾿ αὐτοῦ καὶ ἠγάπα αὐτὸν τοῦ συναναβῆναι μετ᾿ αὐτοῦ εἰς Ῥαμὼθ τῆς Γαλααδίτιδος.

Β Παραλ. 18,2 - Επειτα από μερικά έτη ο Ιωσαφάτ κατέβηκε προς τον Αχαάβ εις την Σαμάρειαν. Ο δε Αχαάβ έσφαξε προς χάριν αυτού και της

συνοδείας του πρόβατα και πολλούς μόσχους. Του επρότεινε δε να εκστρατεύση μαζή του εναντίον της Ραμώθ, η οποία ευρίσκετο εις την χώραν Γαλαάδ.

Β Παραλ. 18,3 - καὶ εἶπεν Ἀχαὰβ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα· εἰ πορεύσῃ μετ᾿ ἐμοῦ εἰς Ῥαμὼθ τῆς Γαλααδίτιδος; καὶ εἶπεν αὐτῷ· ὡς ἐγώ, οὕτω καὶ σύ· ὡς ὁ λαός σου καὶ ὁ λαός μου μετὰ σοῦ εἰς πόλεμον.

Β Παραλ. 18,3 - Ο Αχαάβ, ο βασιλεύς του ισραηλιτικού λαού, είπε προς τον Ιωσαφάτ, τον βασιλέα του 'Ιουδα· “έρχεσαι να εκστρατεύσης μαζή μου εναντίον της Ραμώθ, η οποία ευρίσκεται εις την χώραν της Γαλαάδ;” Ο Ιωσαφάτ του απήντησε· “όπως είμαι εγώ, έτσι είσαι και συ. Οπως είναι ο λαός σου, έτσι είναι και ο λαός μου μαζή σου προς πόλεμον”.

Β Παραλ. 18,4 - καὶ εἶπεν Ἰωσαφὰτ πρὸς βασιλέα Ἰσραήλ· ζήτησον δὴ σήμερον τὸν Κύριον.

Β Παραλ. 18,4 - Προσεθεσεν όμως ακόμη ο Ιωσαφάτ στον βασιλέα του Ισραήλ· “Ζητησε όμως, σε παρακαλώ, σήμερον, δια να γνωρίσωμεν τι λέγει ο Θεός επί του σημείου αυτού”.

Β Παραλ. 18,5 - καὶ συνήγαγεν ὁ βασιλεὺς Ἰσραὴλ τοὺς προφήτας τετρακοσίους ἄνδρας καὶ εἶπεν αὐτοῖς· εἰ πορευθῶ εἰς Ῥαμὼθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπίσχω; καὶ εἶπαν· ἀνάβαινε, καὶ δώσει ὁ Θεὸς εἰς τὰς χεῖρας τοῦ βασιλέως.

Β Παραλ. 18,5 - Ο βασιλεύς του Ισραήλ συνεκέντρωσε τετρακοσίους άνδρας προφήτας και τους ηρώτησε· “να εκστρατεύσω εναντίον της Ραμώθ εις την χώραν Γαλαάδ η να απόσχω;” Οι προφήται του απήντησαν· “να εκστρατεύσης και θα δώση ο Θεός εις τα χέρια σου, του βασιλέως, αυτήν την πόλιν”.

Β Παραλ. 18,6 - καὶ εἶπεν Ἰωσαφάτ· οὐκ ἔστιν ὧδε προφήτης τοῦ Κυρίου ἔτι καὶ ἐπιζητήσομεν παρ᾿ αὐτοῦ;

Β Παραλ. 18,6 - Ο Ιωσαφάτ ηρώτησε πάλιν· “δεν υπάρχει εδώ άλλος προφήτης του Κυρίου, δια να ζητήσωμεν και από αυτόν να μάθωμεν την γνώμην του Θεού;”

Β Παραλ. 18,7 - καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ· ἔτι ἀνὴρ εἷς τοῦ ζητῆσαι τὸν Κύριον δι᾿ αὐτοῦ, καὶ ἐγὼ ἐμίσησα αὐτόν, ὅτι οὐκ ἔστι προφητεύων περὶ ἐμοῦ εἰς ἀγαθά, ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ εἰς κακά, οὗτος Μιχαίας υἱὸς Ἰεμβλά. καὶ εἶπεν Ἰωσαφάτ· μὴ λαλείτω ὁ βασιλεὺς οὕτως·

Β Παραλ. 18,7 - Ο βασιλεύς του βασιλείου των Ισραηλιτών είπε προς τον Ιωσαφάτ· “υπάρχει ακόμη κάποιος, δια να ζητήσωμεν μεσώ αυτού την γνώμην του Κυρίου. Εγώ όμως εμίσησα αυτόν, διότι ποτέ δεν προφητεύει καλά και ευχάριστα δι' εμέ, αλλά όλας τας ημέρας αυτού ομιλεί κακά εναντίον

μου. Αυτός είναι ο Μιχαίας, ο υιός του Ιεμβλά”. Ο Ιωσαφάτ είπεν στον Αχαάβ· “ας μη ομιλή έτσι ο βασιλεύς”.

Β Παραλ. 18,8 - καὶ ἐκάλεσεν ὁ βασιλεὺς εὐνοῦχον ἕνα καὶ εἶπε· τάχος Μιχαίαν υἱὸν Ἰεμβλά.

Β Παραλ. 18,8 - Ο βασιλεύς των Ισραηλιτών εκάλεσεν ένα από τους αυλικούς του και του είπε· “πήγαινε γρήγορα και φέρε εδώ τον Μιχαίαν, τον υιόν του Ιεμβλά”.

Β Παραλ. 18,9 - καὶ βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα καθήμενοι ἕκαστος ἐπὶ θρόνου αὐτοῦ καὶ ἐνδεδυμένοι στολάς, καθήμενοι ἐν τῷ εὐρυχώρῳ θύρας πύλης Σαμαρείας, καὶ πάντες οἱ προφῆται ἐπροφήτευον ἐναντίον αὐτῶν.

Β Παραλ. 18,9 - Ο βασιλεύς του Ισραήλ ο Αχαάβ και ο βασιλεύς του Ιούδα ο Ιωσαφάτ εκάθηντο ο καθένας επί του θρόνου του φορούντες τας βασιλικάς στολάς των. Εκάθηντο δε εις την πλατείαν προ της πύλης της Σαμαρείας. Ενώπιόν των ήσαν όλοι οι προφήται, οι οποίοι και προεφήτευον ευνοϊκά δια την έκβασιν του πολέμου.

Β Παραλ. 18,10 - καὶ ἐποίησεν ἑαυτῷ Σεδεκίας υἱὸς Χαναὰν κέρατα σιδηρᾶ καὶ εἶπε· τάδε λέγει Κύριος· ἐν τούτοις κερατιεῖς τὴν Συρίαν ἕως ἂν συντελεσθῇ.

Β Παραλ. 18,10 - Ενας μάλιστα από τους προφήτας, ο Σεδεκίας ο υιός του Χαναάν, κατεσκεύασε και έθεσεν στο κεφάλι του κέρατα σιδηρά και είπε· “αυτά λέγει ο Κυριος· Με τέτοια δύναμιν, σαν με σιδηρά κέρατα, θα κτυπήσης την Συρίαν, μέχρις ότου καταστραφή εντελώς”.

Β Παραλ. 18,11 - καὶ πάντες οἱ προφῆται ἐπροφήτευον οὕτω λέγοντες· ἀνάβαινε εἰς Ῥαμὼθ Γαλαὰδ καὶ εὐοδωθήσῃ, καὶ δώσει Κύριος εἰς χεῖρας τοῦ βασιλέως.

Β Παραλ. 18,11 - Και όλοι οι άλλοι οι προφήται παρόμοια επροφήτευαν λέγοντες· “κάμε εκστρατείαν εναντίον της πόλεως Ραμώθ εις την χώραν Γαλαάδ και αι ενέργειαί σου θα ευοδωθούν. Ο Κυριος θα παραδώση εις τα χέρια του βασιλέως την πόλιν αυτήν”.

Β Παραλ. 18,12 - καὶ ὁ ἄγγελος ὁ πορευθεὶς τοῦ καλέσαι τὸν Μιχαίαν ἐλάλησεν αὐτῷ λέγων· ἰδοὺ ἐλάλησαν οἱ προφῆται ἐν στόματι ἑνὶ ἀγαθὰ περὶ τοῦ βασιλέως, καὶ ἔστωσαν δὴ οἱ λόγοι σου ὡς ἑνὸς αὐτῶν, καὶ λαλήσεις ἀγαθά.

Β Παραλ. 18,12 - Ο αγγελιαφόρος, ο οποίος είχε μεταβή δια να καλέση τον Μιχαίαν, του είπε τα εξής· “ιδού οι άλλοι προφήται ωμίλησαν με ένα στόμα αγαθάς προαγγελίας δια τον βασιλέα. Ας είναι λοιπόν, και οι ιδικοί σου λόγοι, όπως ενός από αυτούς· να ομιλήσης δηλαδή ευχάριστα πράγματα δια τον βασιλέα”.

Β Παραλ. 18,13 - καὶ εἶπε Μιχαίας· ζῇ Κύριος, ὅτι ὃ ἐὰν εἴπῃ ὁ Θεὸς πρός με, αὐτὸ λαλήσω.
Β Παραλ. 18,13 - Ο Μιχαίας απήντησεν· "ορκίζομαι στον ζώντα Κυριον, ότι εγώ θα ομιλήσω εκείνο, το οποίον ο Θεός θα μου είπη".
Β Παραλ. 18,14 - καὶ ἦλθε πρὸς τόν βασιλέα, καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Μιχαία, εἰ πορευθῶ εἰς Ῥαμὼθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπίσχω; καὶ εἶπεν· ἀνάβαινε καὶ εὐοδώσεις, καὶ δοθήσονται εἰς χεῖρας ὑμῶν.
Β Παραλ. 18,14 - Ηλθεν ο Μιχαίας προς τον βασιλέα, ο δε βασιλεύς τον ηρώτησε· "Μιχαία, να εκστρατεύσω εναντίον της Ραμώθ εις την χώραν Γαλαάδ η να απόσχω;" Ο Μιχαίας ειρωνικώς απήντησε· "να εκστρατεύσης ! Θα ευοδωθή η εκστρατεία σου και οι εχθροί θα παραδοθούν εις τα χέρια σας" !
Β Παραλ. 18,15 - καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ποσάκις ὁρκίζω σε ἵνα μὴ λαλήσῃς πρός με πλὴν τὴν ἀλήθειαν ἐν ὀνόματι Κυρίου;
Β Παραλ. 18,15 - Ο βασιλεύς Αχαάβ του είπεν· "πόσες φορές σε έχω εξορκίσει να πης εις εμέ εν ονόματι του Κυρίου μόνον την αλήθειαν;"
Β Παραλ. 18,16 - καὶ εἶπεν· εἶδον τὸν Ἰσραὴλ διεσπαρμένους ἐν τοῖς ὄρεσιν ὡς πρόβατα, οἷς οὐκ ἔστι ποιμήν, καὶ εἶπε Κύριος· οὐκ ἔχουσιν ἡγούμενον οὗτοι, ἀναστρεφέτωσαν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν εἰρήνῃ.
Β Παραλ. 18,16 - Ο Μιχαίας απήντησεν· "είδα εις ένα όραμα τους Ισραηλίτας διεσκορπισμένους εις τα όρη ωσάν πρόβατα, εις τα οποία δεν υπάρχει ποιμήν, και ο Κυριος μου είπε· Δεν έχουν αυτοί αρχηγόν· ας επιστρέψη ο καθένας ειρηνικώς στο σπίτι του".
Β Παραλ. 18,17 - καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ· οὐκ εἶπόν σοι, ὅτι οὐ προφητεύει περὶ ἐμοῦ ἀγαθά, ἀλλ᾿ ἢ κακά;
Β Παραλ. 18,17 - Ο βασιλεύς του Ισραήλ, ο Αχαάβ, είπε τότε προς τον Ιωσαφάτ· "δεν σου είπα ότι αυτός δεν προφητεύει ποτέ δι' εμέ ευχάριστα πράγματα, παρά μόνον δυσάρεστα;"
Β Παραλ. 18,18 - καὶ εἶπεν· οὐχ οὕτως· ἀκούσατε λόγον Κυρίου· εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα δύναμις τοῦ οὐρανοῦ παρειστήκει ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν αὐτοῦ.
Β Παραλ. 18,18 - Ο Μιχαίας ωμίλησε πάλιν και είπε· "το ζήτημα δεν είναι αν εγώ προφητεύω ευχάριστα η δυσάρεστα δια σέ. Ακούσατε, λοιπόν, τον λόγον του Κυρίου. Εγώ είδα εις όραμα τον Κυριον να κάθεται επάνω στον θρόνον του. Και όλη η δύναμις του ουρανού παρίστατο όρθια εκ δεξιών και εξ αριστερών του.
Β Παραλ. 18,19 - καὶ εἶπε Κύριος· τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα Ἰσραὴλ καὶ ἀναβήσεται καὶ πεσεῖται ἐν Ῥαμὼθ Γαλαάδ; καὶ οὗτος εἶπεν οὕτως, καὶ οὗτος εἶπεν οὕτως.

Β Παραλ. 18,19 - Ο Κυριος τότε ηρώτησε· Ποίος και με ποίον τρόπον θα εξαπατήση τον Αχαάβ, βασιλέα του Ισραήλ, δια να εκστρατεύση εναντίον της Ραμώθ εις την περιοχήν Γαλαάδ και να φονευθή; Ενας έλεγε τούτο και άλλος έλεγε το άλλο.

Β Παραλ. 18,20 - καὶ ἐξῆλθε τὸ πνεῦμα καὶ ἔστη ἐνώπιον Κυρίου καὶ εἶπεν· ἐγὼ ἀπατήσω αὐτόν. καὶ εἶπε Κύριος· ἐν τίνι;

Β Παραλ. 18,20 - Τοτε ένα πνεύμα εξήλθεν, εστάθη ενώπιον του Κυρίου και είπεν· εγώ θα εξαπατήσω τον Αχαάβ. Ο Κυριος το ηρώτησε· “με ποιόν τρόπον;”

Β Παραλ. 18,21 - καὶ εἶπεν· ἐξελεύσομαι καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ. καὶ εἶπεν· ἀπατήσεις καὶ δυνήσῃ, ἔξελθε καὶ ποίησον οὕτω.

Β Παραλ. 18,21 - Το πνεύμα απήντησε. “Θα εξέλθω από εδώ και θα μεταβώ εκεί και θα είμαι πνεύμα ψεύδους, που θα ομιλώ με το στόμα όλων αυτών των ψευδοπροφητών του”. Ο Κυριος απήντησεν· “Ετσι πράγματι θα τον εξαπατήσης και ημπορείς να πραγματοποίησης την απάτην. Πηγαινε και κάμε, όπως είπες”.

Β Παραλ. 18,22 - καὶ νῦν ἰδοὺ ἔδωκε Κύριος πνεῦμα ψευδὲς ἐν στόματι τῶν προφητῶν σου τούτων, καὶ Κύριος ἐλάλησεν ἐπὶ σὲ κακά.

Β Παραλ. 18,22 - Ιδού λοιπόν ότι ο Κυριος παρεχώρησε πνεύμα ψεύδους στο στόμα αυτών των προφητών σου. Ο Κυριος, λοιπόν, ήτο εκείνος, ο οποίος ωμίλησε δυσάρεστα εναντίον σου και όχι εγώ”.

Β Παραλ. 18,23 - καὶ ἤγγισε Σεδεκίας υἱὸς Χαναὰν καὶ ἐπάταξε τὸν Μιχαίαν ἐπὶ τὴν σιαγόνα καὶ εἶπεν αὐτῷ· ποίᾳ τῇ ὁδῷ παρῆλθε πνεῦμα Κυρίου παρ᾿ ἐμοῦ τοῦ λαλῆσαι πρός σε;

Β Παραλ. 18,23 - Ο Σεδεκίας, ο υιός του Χαναάν, επλησίασε και εκτύπησε τον Μιχαίαν εις την σιαγόνα και του είπε· “Δια ποίας οδού το πνεύμα του Θεού έφυγεν από εμέ, δια να ομιλήση εις σέ;”

Β Παραλ. 18,24 - καὶ εἶπε Μιχαίας· ἰδοὺ ὄψῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ᾗ εἰσελεύσῃ ταμιεῖον ἐκ ταμιείου τοῦ κατακρυβῆναι.

Β Παραλ. 18,24 - Ο Μιχαίας του απήντησεν· “ιδού θα το ίδης κατά την ημέραν εκείνην, κατά την οποίαν ο βασιλεύς και ο στρατός του θα νικηθή, συ δε θα εισέρχεσαι από δωμάτιον εις δωμάτιον, δια να κρυφθής”.

Β Παραλ. 18,25 - καὶ εἶπε βασιλεὺς Ἰσραήλ· λάβετε τὸν Μιχαίαν καὶ ἀποστρέψατε πρὸς Ἐμὴρ ἄρχοντα τῆς πόλεως καὶ πρὸς Ἰωὰς ἄρχοντα υἱὸν τοῦ βασιλέως

Β Παραλ. 18,25 - Ωργισμένος ο βασιλεύς του Ισραήλ είπε· “πάρετε τον Μιχαίαν και παραδώσατέ τον στον Εμήρ, τον κυβερνήτην της πόλεως και προς τον υιόν μου, τον Ιωάς τον άρχοντα.

Β Παραλ. 18,26 - καὶ ἐρεῖτε· οὕτως εἶπεν ὁ βασιλεύς· ἀπόθεσθε τοῦτον εἰς οἶκον φυλακῆς, καὶ ἐσθιέτω ἄρτον θλίψεως καὶ ὕδωρ θλίψεως ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ.

Β Παραλ. 18,26 - Θα πήτε δε εις αυτούς· αυτά διέταξεν ο βασιλεύς· Ριψατε αυτόν τον άνθρωπον εις την φυλακήν. Δια να τον τιμωρήσετε, δώσατέ του ολίγον μόνον άρτον και ολίγον ύδωρ, έως ότου επιστρέψω νικητής από τον πόλεμον".

Β Παραλ. 18,27 - καὶ εἶπε Μιχαίας· ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς ἐν εἰρήνῃ, οὐκ ἐλάλησε Κύριος ἐν ἐμοί· ἀκούσατε λαοὶ πάντες.

Β Παραλ. 18,27 - Ο Μιχαίας είπε· "εάν όντως συ επιστρέψης νικητής από τον πόλεμον, τότε δεν ωμίλησεν εις εμέ ο Κυριος. Ακούσατέ το όλοι σεις οι άνθρωποι, που είσθε εδώ".

Β Παραλ. 18,28 - Καὶ ἀνέβη βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα εἰς Ῥαμὼθ Γαλαάδ.

Β Παραλ. 18,28 - Ο βασιλεύς του βασιλείου του Ισραήλ, ο Αχαάβ, και ο Ιωσαφάτ, ο βασιλεύς του Ιούδα, εξεστράτευσαν εναντίον της Ραμώθ εις την χώραν Γαλαάδ.

Β Παραλ. 18,29 - καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ· κατακάλυψόν με καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι τὸν ἱματισμόν μου· καὶ συνεκαλύψατο βασιλεὺς Ἰσραὴλ καὶ εἰσῆλθεν εἰς τὸν πόλεμον.

Β Παραλ. 18,29 - Πριν αρχίση η μάχη είπεν ο βασιλεύς του Ισραήλ Αχαάβ προς τον Ιωσαφάτ· "βοήθησέ με να μεταμφιεσθώ και να λάβω κατόπιν μέρος στον πόλεμον. Φορεσε, λοιπόν, συ τα βασιλικά μου ενδύματα". Ετσι ο βασιλεύς του Ισραήλ Αχαάβ ήλλαξε την στολήν του και μετημφιεσμένος εισήλθεν στον πόλεμον.

Β Παραλ. 18,30 - καὶ βασιλεὺς Συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων τοῖς μετ᾽ αὐτοῦ λέγων· μὴ πολεμεῖτε τὸν μικρὸν καὶ τὸν μέγαν, ἀλλ᾽ ἢ τὸν βασιλέα Ἰσραὴλ μόνον.

Β Παραλ. 18,30 - Ο βασιλεύς της Συρίας έδωσεν εντολήν στους διοικητάς των πολεμικών του αρμάτων, που ήσαν μαζή του, και τους είπε· "μη πολεμήσετε εναντίον κανενός άλλου μικρού η μεγάλου, αλλά μόνον να στραφήτε εναντίον του βασιλέως των Ισραηλιτών".

Β Παραλ. 18,31 - καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν Ἰωσαφάτ, καὶ αὐτοὶ εἶπαν· βασιλεὺς Ἰσραήλ ἐστι, καὶ ἐκύκλωσαν αὐτὸν τοῦ πολεμεῖν· καὶ ἐβόησεν Ἰωσαφάτ, καὶ Κύριος ἔσωσεν αὐτόν, καὶ ἀπέστρεψεν αὐτοὺς ὁ Θεὸς ἀπ᾽ αὐτοῦ.

Β Παραλ. 18,31 - Οταν οι αρχηγοί των πολεμικών αρμάτων είδαν τον Ιωσαφάτ, είπαν· "αυτός είναι ο βασιλεύς των Ισραηλιτών". Τον περιεκύκλωσαν, δια να επιτεθούν εναντίον του. Ο Ιωσαφάτ εκραύγασε προς

τον Κυριον και ο Κυριος απεμάκρυνεν από αυτόν εκείνους, που τον είχαν περικυκλώσει και τον έσωσεν.

Β Παραλ. 18,32 - καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων ὅτι οὐκ ἦν βασιλεὺς Ἰσραήλ, καὶ ἀπέστρεψαν ἀπ᾿ αὐτοῦ.

Β Παραλ. 18,32 - Οταν είδον οι αρχηγοί των συριακών αρμάτων, ότι δεν είναι αυτός ο βασιλεύς του Ισραήλ, απεμακρύνθησαν από αυτόν.

Β Παραλ. 18,33 - καὶ ἀνὴρ ἔτεινε τόξον εὐστόχως καὶ ἐπάταξε τὸν βασιλέα Ἰσραὴλ ἀνὰ μέσον τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ θώρακος. καὶ εἶπε τῷ ἡνιόχῳ· ἐπίστρεφε τὴν χεῖρά σου καὶ ἐξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι ἐπόνεσα.

Β Παραλ. 18,33 - Ενας από τους στρατιώτας ετέντωσεν ευστόχως το τόξον του και εκτύπησε τον Αχαάβ, τον βασιλέα των Ισραηλιτών, ανάμεσα στον πνεύμονα και τον θώρακα. Ο βασιλεύς του Ισραήλ, ο Αχαάβ, είπεν στον ηνίοχόν του· "στρέψε με το χέρι σου προς τα οπίσω το άρμα και βγάλε με από το πεδίον της μάχης, διότι επληγώθηκα βαρειά".

Β Παραλ. 18,34 - καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ὁ βασιλεὺς Ἰσραὴλ ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος ἐξεναντίας Συρίας ἕως ἑσπέρας καὶ ἀπέθανε δύνοντος τοῦ ἡλίου.

Β Παραλ. 18,34 - Εν τω μεταξύ κατά την ημέραν εκείνην η μάχη είχε γίνει πολύ αγρία. Ο βασιλεύς του Ισραήλ ο Αχαάβ ήτο όρθιος επάνω στο άρμα του απέναντι του στρατού της Συρίας μέχρι της εσπέρας, οπότε κατά την δύσιν του ηλίου απέθανε.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 19

Β Παραλ. 19,1 - Καὶ ἐπέστρεψεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα εἰς τὸν οἶκον αὐτοῦ εἰς Ἱερουσαλήμ.

Β Παραλ. 19,1 - Ο Ιωσαφάτ, ο βασιλεύς του βασιλείου Ιούδα, επέστρεψεν στον οίκον του εις την Ιερουσαλήμ.

Β Παραλ. 19,2 - καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ Ἰοὺ ὁ τοῦ Ἀνανὶ ὁ προφήτης καὶ εἶπεν αὐτῷ· βασιλεῦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ ὑπὸ Κυρίου φιλιάζεις; διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ παρὰ Κυρίου·

Β Παραλ. 19,2 - Εις προϋπάντησίν του εξήλθεν ο Ιού, ο προφήτης, ο υιός του Ανανί, και του είπε· "βασιλεύ Ιωσαφάτ, διότι συ βοηθείς τον αμαρτωλόν και είσαι φίλος με εκείνον, τον οποίον ο Κυριος μισεί; Δια την πράξιν σου αυτήν επήλθεν οργή Κυρίου εναντίον σου.

Β Παραλ. 19,3 - ὅτι ἀλλ᾿ ἢ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί, ὅτι ἐξῇρας τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα καὶ κατηύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν Κύριον.

Β Παραλ. 19,3 - Επειδή όμως έχεις κάμνει και μερικάς αγαθάς πράξεις, που κατέστρεψες τα ειδωλολατρικά άλση από όλην την χώραν του Ιούδα και εγύρισες την καρδίαν σου να εκζητή και λατρεύη τον Κυριον, δια τούτο θα μετριασθή η τιμωρία σου από τον Κυριον”.

Β Παραλ. 19,4 - καὶ κατῴκησεν Ἰωσαφὰτ ἐν Ἱερουσαλὴμ καὶ πάλιν ἐξῆλθεν εἰς τὸν λαὸν ἀπὸ Βηρσαβεὲ ἕως ὄρους Ἐφραὶμ καὶ ἐπέστρεψεν αὐτοὺς ἐπὶ Κύριον Θεὸν τῶν πατέρων αὐτῶν.

Β Παραλ. 19,4 - Ο Ιωσαφάτ εγκατεστάθη εις την Ιερουσαλήμ. Εβγήκε πάλιν από την πρωτεύουσαν και επεσκέφθη τον λαόν του από την Βηρσαβεέ έως εις την ορεινήν περιοχήν Εφραίμ και ωδήγησεν αυτούς στον Κυριον και Θεόν των πατέρων των.

Β Παραλ. 19,5 - καὶ κατέστησε τοὺς κριτὰς ἐν πάσαις ταῖς πόλεσιν Ἰούδα ταῖς ὀχυραῖς ἐν πόλει καὶ πόλει

Β Παραλ. 19,5 - Εγκατέστησε δικαστάς εις όλας τας οχυράς πόλστου Ιούδα και εις κάθε άλλην πόλιν.

Β Παραλ. 19,6 - καὶ εἶπε τοῖς κριταῖς· ἴδετε τί ὑμεῖς ποιεῖτε, ὅτι οὐκ ἀνθρώπῳ ὑμεῖς κρίνετε, ἀλλ᾿ ἢ τῷ Κυρίῳ, καὶ μεθ᾿ ὑμῶν λόγοι τῆς κρίσεως·

Β Παραλ. 19,6 - Ο Ιωσαφάτ είπεν στους δικαστάς· “προσέχετε, τι θα κάνετε, διότι δεν θα κρίνετε δια τον άνθρωπον κατά την γνώμην των ανθρώπων, αλλά δια τον Κυριον και ενώπιον του Κυρίου. Μαζή σας είναι οι νόμοι, επί τη βάσει των οποίων θα δικάζετε.

Β Παραλ. 19,7 - καὶ νῦν γενέσθω φόβος Κυρίου ἐφ᾿ ὑμᾶς, καὶ φυλάσσετε καὶ ποιήσατε, ὅτι οὐκ ἔστι μετὰ Κυρίου Θεοῦ ἡμῶν ἀδικία, οὐδὲ θαυμάσαι πρόσωπον οὐδὲ λαβεῖν δῶρα.

Β Παραλ. 19,7 - Ο φόβος του Κυρίου ας είναι μαζή σας. Προσέξετε να εφαρμόσετε τον νόμον του Κυρίου· κρίνατε με δικαιοσύνην, διότι δεν υπάρχει αδικία εις Κυριον τον Θεόν. Μη λαμβάνετε υπ' όψει πρόσωπα ως προσωπολήπται και μη παίρνετε δώρα κατά τας δίκας”.

Β Παραλ. 19,8 - καί γε ἐν Ἱερουσαλὴμ κατέστησεν Ἰωσαφὰτ τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τῶν πατριαρχῶν Ἰσραὴλ εἰς κρίσιν Κυρίου, καὶ κρίνειν τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ.

Β Παραλ. 19,8 - Και εις την Ιερουσαλήμ εγκατέστησεν επίσης ο Ιωσαφάτ δικαστήριον από τους ιερείς, τους Λευίτας και τους αρχηγούς του λαού, δια να κρίνουν σύμφωνα με την δικαιοσύνην του Κυρίου και να δικάζουν τους κατοίκους της Ιερουσαλήμ.

Β Παραλ. 19,9 - καὶ ἐνετείλατο πρὸς αὐτοὺς λέγων· οὕτω ποιήσετε ἐν φόβῳ Κυρίου, ἐν ἀληθείᾳ καὶ ἐν πλήρει καρδίᾳ·

Β Παραλ. 19,9 - Διέταξε δε αυτούς και τους είπε· “έτσι θα ενεργήτε. Με φόβον Κυρίου, με αλήθειαν και με ακεραιότητα καρδίας.

Β Παραλ. 19,10 - πᾶς ἀνὴρ κρίσιν τὴν ἐλθοῦσαν ἐφ᾿ ὑμᾶς τῶν ἀδελφῶν ὑμῶν τῶν κατοικούντων ἐν ταῖς πόλεσιν αὐτῶν ἀνὰ μέσον αἷμα αἵματος καὶ ἀνὰ μέσον τοῦ προστάγματος καὶ ἐντολῆς καὶ δικαιώματα καὶ κρίματα καὶ διαστελεῖσθε αὐτοῖς, καὶ οὐχ ἁμαρτήσονται τῷ Κυρίῳ, καὶ οὐκ ἔσται ὀργὴ ἐφ᾿ ὑμᾶς καὶ ἐπὶ τοὺς ἀδελφοὺς ὑμῶν· οὕτω ποιήσετε καὶ οὐχ ἁμαρτήσεσθε.

Β Παραλ. 19,10 - Οιαδήποτε υπόθεσις προς κρίσιν, που θα έρχεται ενώπιόν σας εκ μέρους των ομοεθνών σας, οι οποίοι κατοικούν εις τας πόλεις των, και πρόκειται να διακρίνετε μεταξύ εκουσίου και ακουσίου φόνου, μεταξύ διαφόρων νομικών διατάξεων, προστάγματος, εντολής, δικαιώματος και κρίματος, σεις θα τα διαφωτίζετε εις αυτούς και θα κρίνετε δικαίως. Ετσι δε δεν θα εκσπάση η οργή του Κυρίου εναντίον σας και εναντίον των αδελφών σας. Ετσι θα ενεργήτε κατά τας δίκας και δεν θα αμαρτήσετε.

Β Παραλ. 19,11 - καὶ ἰδοὺ Ἁμαρίας ὁ ἱερεὺς ἡγούμενος ἐφ᾿ ὑμᾶς εἰς πάντα λόγον Κυρίου καὶ Ζαβδίας υἱὸς Ἰσμαὴλ ὁ ἡγούμενος εἰς οἶκον Ἰούδα πρὸς πάντα λόγον βασιλέως καὶ οἱ γραμματεῖς καὶ οἱ Λευῖται πρὸ προσώπου ὑμῶν· ἰσχύσατε καὶ ποιήσατε, καὶ ἔσται Κύριος μετὰ τοῦ ἀγαθοῦ.

Β Παραλ. 19,11 - Ιδού, αρχηγός εις σας δια κάθε ζήτημα, που αφορά τον Κυριον, θα είναι ο ιερεύς Αμαρίας. Ο δε Ζαβδίας, υιός του Ισμαήλ, θα είναι αρχηγός του οίκου Ιούδα δια κάθε υπόθεσιν αναφερομένην στον βασιλέα. Ως βοηθοί σας θα είναι οι γραμματείς και οι Λευίται. Προχωρήσατε, λοιπόν, με θάρρος και δύναμιν στο έργον σας και ο Κυριος θα είναι πάντοτε μαζή με εκείνον, που πράττει το καλόν”.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 20

Β Παραλ. 20,1 - Καὶ μετὰ ταῦτα ἦλθον οἱ υἱοὶ Μωάβ, καὶ υἱοὶ Ἀμμὼν καὶ μετ᾿ αὐτῶν ἐκ τῶν Μιναίων πρὸς Ἰωσαφὰτ εἰς πόλεμον.

Β Παραλ. 20,1 - Επειτα από τα γεγονότα αυτά οι Μωαβίται και οι Αμμωνίται, μαζή δε με αυτούς και οι Μιναίοι, εξεστράτευσαν να πολεμήσουν εναντίον του Ιωσαφάτ.

Β Παραλ. 20,2 - καὶ ἦλθον καὶ ὑπέδειξαν τῷ Ἰωσαφὰτ λέγοντες· ἥκει ἐπὶ σὲ πλῆθος πολὺ ἐκ πέραν τῆς θαλάσσης ἀπὸ Συρίας, καὶ ἰδού εἰσιν ἐν Ἀσασὰν Θαμὰρ (αὕτη ἐστὶν Ἐγγαδί).

Β Παραλ. 20,2 - Αγγελιαφόροι δε ήλθον και επληροφορήσαν τον Ιωσαφάτ λέγοντες· “έχει έλθει εναντίον σου πολύ πλήθος στρατού από την Συρίαν, την πέραν της Νεκράς Θαλάσσης. Ιδού, αυτοί ευρίσκονται εις Ασασάν Θαμάρ (αυτή δε η περιοχή είναι η Εγγαδί)”.

Β Παραλ. 20,3 - καὶ ἐφοβήθη καὶ ἔδωκεν Ἰωσαφὰτ πρόσωπον αὐτοῦ ἐκζητῆσαι τὸν Κύριον καὶ ἐκήρυξε νηστείαν ἐν παντὶ Ἰούδᾳ.

Β Παραλ. 20,3 - Ο Ιωσαφάτ εφοβήθη, έστρεψε το πρόσωπον του προς τον Κυριον, δια να ζητήση βοήθειαν από αυτόν και εκήρυξε νηστείαν εις όλους τους Ιουδαίους.

Β Παραλ. 20,4 - καὶ συνήχθη Ἰούδας ἐκζητῆσαι τὸν Κύριον, καὶ ἀπὸ πασῶν τῶν πόλεων Ἰούδα ἦλθον ζητῆσαι τὸν Κύριον.

Β Παραλ. 20,4 - Ολοι οι Ιουδαίοι συνεκεντρώθησαν, δια να ζητήσουν με θερμήν προσευχήν βοήθειαν από τον Κυριον. Από όλας τας πόλστου Ιούδα ήλθαν αυτοί, δια να παρακαλέσουν θερμώς τον Κυριον.

Β Παραλ. 20,5 - καὶ ἀνέστη Ἰωσαφὰτ ἐν ἐκκλησίᾳ Ἰούδα ἐν Ἱερουσαλὴμ ἐν οἴκῳ Κυρίου κατὰ πρόσωπον τῆς αὐλῆς τῆς καινῆς

Β Παραλ. 20,5 - Ο Ιωσαφάτ εσηκώθη όρθιος ανάμεσα εις την συγκέντρωσιν στον ναόν, εμπρός εις την νέαν αυλήν, και είπε·

Β Παραλ. 20,6 - καὶ εἶπε· Κύριε ὁ Θεὸς τῶν πατέρων μου, οὐχὶ σὺ εἶ Θεὸς ἐν οὐρανῷ ἄνω καὶ σὺ κυριεύεις πασῶν τῶν βασιλειῶν τῶν ἐθνῶν καὶ ἐν τῇ χειρί σου ἰσχὺς δυναστείας καὶ οὐκ ἔστι πρός σε ἀντιστῆναι;

Β Παραλ. 20,6 - “Κυριε και Θεέ των πατέρων μου, συ δεν εξουσιάζεις εις όλας τας βασιλείας των εθνών και στο παντοδύναμόν σου χέρι δεν υπάρχει η δύναμις της κυριαρχίας, εις την οποίαν κανείς δεν ημπορεί να αντισταθή;

Β Παραλ. 20,7 - οὐχὶ σὺ ὁ Κύριος ὁ ἐξολοθρεύσας τοὺς κατοικοῦντας τὴν γῆν ταύτην ἀπὸ προσώπου τοῦ λαοῦ σου Ἰσραὴλ καὶ ἔδωκας αὐτὴν σπέρματι Ἀβραὰμ τῷ ἠγαπημένῳ σου εἰς τὸν αἰῶνα;

Β Παραλ. 20,7 - Συ δεν είσαι ο Κυριος, ο οποίος εξωλόθρευσες τους κατοίκους αυτής της χώρας εμπρός στον ισραηλιτικόν σου λαόν και την παρέδωκες ως αιώνιον κτήμα στους απογόνους του ηγαπημένου σου Αβραάμ;

Β Παραλ. 20,8 - καὶ κατῴκησαν ἐν αὐτῇ καὶ ᾠκοδόμησαν ἐν αὐτῇ ἁγίασμα τῷ ὀνόματί σου λέγοντες·

Β Παραλ. 20,8 - Αυτοί υπό την προστασίαν σου και την ευλογίαν σου εγκατεστάθησαν εις την χώραν αυτήν, οικοδόμησαν τον άγιον ναόν επί τω Ονόματί σου και είπαν·

Β Παραλ. 20,9 - ἐὰν ἐπέλθῃ ἐφ᾿ ἡμᾶς κακά, ῥομφαία, κρίσις, θάνατος, λιμός, στησόμεθα ἐναντίον τοῦ οἴκου τούτου καὶ ἐναντίον σου, ὅτι τὸ ὄνομά σου ἐπὶ τῷ οἴκῳ τούτῳ, καὶ βοησόμεθα πρὸς σὲ ἀπὸ τῆς θλίψεως, καὶ ἀκούσῃ καὶ σώσεις.

Β Παραλ. 20,9 - Εάν επέλθουν εναντίον μας συμφοραί, πόλεμος, τιμωρία, επιδημία θανατηφόρος, πείνα, θα παρουσιασθώμεν ενώπιον του ναού τούτου, δηλαδή ενώπιόν σου, διότι το Ονομά σου λατρεύεται στον

οίκον αυτόν, θα βοήσωμεν προς σε ταλαιπωρούμενοι από αυτήν την θλίψιν μας, και συ θα μας ακούσης.

Β Παραλ. 20,10 - καὶ νῦν ἰδοὺ οἱ υἱοὶ Ἀμμὼν καὶ Μωὰβ καὶ ὄρος Σηείρ, εἰς οὓς οὐκ ἔδωκας τῷ Ἰσραὴλ διελθεῖν δι᾿ αὐτῶν, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου, ὅτι ἐξέκλιναν ἀπ᾿ αὐτῶν καὶ οὐκ ἐξωλόθρευσαν αὐτούς.

Β Παραλ. 20,10 - Και τώρα ιδού, οι Αμμωνίται, οι Μωαβίται και οι κάτοικοι του όρους Σηείρ, οι Ιδουμαίοι, δια μέσου της χώρας των οποίων δεν επέτρεψες στους Ισραηλίτας να περάσουν, όταν έβγαιναν από την Αίγυπτον, άλλα παρέκαμψαν από αυτούς και δεν τους κατέστρεψαν,

Β Παραλ. 20,11 - καὶ νῦν ἰδοὺ αὐτοὶ ἐπιχειροῦσιν ἐφ᾿ ἡμᾶς ἐξελθεῖν ἐκβαλεῖν ἡμᾶς ἀπὸ τῆς κληρονομίας ἡμῶν, ἧς ἔδωκας ἡμῖν.

Β Παραλ. 20,11 - Ιδού αυτοί έχουν εκστρατεύσει εναντίον μας και επιχειρούν να μας διώξουν από την κληρονομίαν μας, την οποίαν συ μας έχεις δώσει.

Β Παραλ. 20,12 - Κύριε ὁ Θεὸς ἡμῶν, οὐ κρινεῖς ἐν αὐτοῖς; ὅτι οὐκ ἔστιν ἡμῖν ἰσχὺς τοῦ ἀντιστῆναι πρὸς τὸ πλῆθος τὸ πολὺ τοῦτο τὸ ἐλθὸν ἐφ᾿ ἡμᾶς, καὶ οὐκ οἴδαμεν τί ποιήσωμεν αὐτοῖς, ἀλλ᾿ ἢ ἐπὶ σοὶ οἱ ὀφθαλμοὶ ἡμῶν.

Β Παραλ. 20,12 - Κυριε, ο Θεός ημών, δεν θα κρίνης και δεν θα τιμωρήσης αυτούς; Καταφεύγομεν προς σέ, διότι ημείς δεν έχομεν την απαιτουμένην δύναμιν να αντισταθώμεν στο μέγα αυτό πλήθος, το οποίον επήλθεν εναντίον μας, και δεν γνωρίζομεν, τι να κάμωμεν εις αυτούς. Αλλά οι οφθαλμοί μας έχουν στραφή ικετευτικοί προς σε».

Β Παραλ. 20,13 - καὶ πᾶς Ἰούδας ἑστηκὼς ἔναντι Κυρίου, καὶ τὰ παιδία αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν.

Β Παραλ. 20,13 - Ολοι οι Ιουδαίοι ήσαν όρθιοι ενώπιον του Κυρίου, μαζή των δε ήσαν τα παιδιά και αι γυναίκες των.

Β Παραλ. 20,14 - καὶ τῷ Ὀζιὴλ τῷ τοῦ Ζαχαρίου τῶν υἱῶν Βαναίου τῶν υἱῶν Ἐλεϊὴλ τοῦ Ματθανίου τοῦ Λευίτου ἀπὸ τῶν υἱῶν Ἀσάφ, ἐγένετο ἐπ᾿ αὐτὸν πνεῦμα Κυρίου ἐν τῇ ἐκκλησίᾳ

Β Παραλ. 20,14 - Κατά την συγκέντρωσιν εκείνην ήλθε Πνεύμα Κυρίου στον Οζιήλ, τον υιόν του Ζαχαρίου, από τους υιούς του Βαναίου, ενός εκ των απογόνων του Ελεϊήλ υιού του Λευίτου Ματθανίου εκ των απογόνων του Ασάφ.

Β Παραλ. 20,15 - καὶ εἶπεν· ἀκούσατε πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ καὶ ὁ βασιλεὺς Ἰωσαφάτ· τάδε λέγει Κύριος ὑμῖν αὐτοῖς· μὴ φοβεῖσθε μηδὲ πτοηθῆτε ἀπὸ προσώπου τοῦ ὄχλου τοῦ πολλοῦ τούτου, ὅτι οὐχ ὑμῖν ἐστιν ἡ παράταξις, ἀλλ᾿ ἢ τῷ Θεῷ.

Β Παραλ. 20,15 - Αυτός είπεν· “ακούσατε όλοι οι Ιουδαίοι, που κατοικείτε την Ιερουσαλήμ· ας ακούση και ο βασιλεύς Ιωσαφάτ. Αυτά λέγει ο Κυριος

προς σας τους ιδίους· Μη φοβείσθε και μη τρομοκρατείσθε από τον πολύν αυτόν όχλον, που επήλθεν εναντίον σας, διότι η μάχη δεν είναι ιδική σας αλλά του Θεού.

Β Παραλ. 20,16 - αὔριον κατάβητε ἐπ᾿ αὐτούς· ἰδοὺ ἀναβαίνουσι κατὰ τὴν ἀνάβασιν Ἀσάς, καὶ εὑρήσετε αὐτοὺς ἐπ᾿ ἄκρου ποταμοῦ τῆς ἐρήμου Ἰεριήλ.

Β Παραλ. 20,16 - Αύριον να επέλθετε εναντίον αυτών. Ιδού αυτοί θα ανεβαίνουν τον ανήφορον του λόφου Ασάς, και θα τους εύρετε στο άκρον του ποταμού εις την έρημον Ιεριήλ.

Β Παραλ. 20,17 - οὐχ ὑμῖν ἐστι πολεμῆσαι· ταῦτα σύνετε καὶ ἴδετε τὴν σωτηρίαν Κυρίου μεθ᾿ ὑμῶν, Ἰούδα καὶ Ἱερουσαλήμ· μὴ φοβηθῆτε μηδὲ πτοηθῆτε αὔριον ἐξελθεῖν εἰς ἀπάντησιν αὐτοῖς, καὶ Κύριος μεθ᾿ ὑμῶν.

Β Παραλ. 20,17 - Δεν είναι ιδικόν σας έργον να πολεμήσετε εναντίον των. Αυτά κατανοήσατέ τα καλά, Ιουδαίοι και κάτοικοι της Ιερουσαλήμ, και προσέξατε ότι η σωτηρία σας θα προέλθη από τον Κυριον. Μη φοβηθήτε και μη πτοηθήτε. Αύριον να εξέλθετε εις συνάντησιν αυτών και ο Κυριος θα είναι μαζή σας”.

Β Παραλ. 20,18 - καὶ κύψας Ἰωσαφὰτ ἐπὶ πρόσωπον αὐτοῦ καὶ πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἔπεσαν ἔναντι Κυρίου προσκυνῆσαι Κυρίῳ.

Β Παραλ. 20,18 - Ο Ιωσαφάτ έσκυψε το πρόσωπον αυτού και προσεκύνησε και όλοι οι Ιουδαίοι και οι κάτοικοι της Ιερουσαλήμ έπεσαν κατά γης ενώπιον του Κυρίου, να προσκυνήσουν αυτόν.

Β Παραλ. 20,19 - καὶ ἀνέστησαν οἱ Λευῖται ἀπὸ τῶν υἱῶν Καὰθ καὶ ἀπὸ τῶν υἱῶν Κορὲ αἰνεῖν Κυρίῳ Θεῷ Ἰσραὴλ ἐν φωνῇ μεγάλῃ εἰς ὕψος.

Β Παραλ. 20,19 - Οι Λευίται, οι προερχόμενοι από τους απογόνους του Καάθ και από τους απογόνους του Κορέ, εσηκώθησαν, δια να υμνήσουν Κυριον τον Θεόν του Ισραήλ με πολύ δυνατήν φωνήν.

Β Παραλ. 20,20 - Καὶ ὤρθρισαν πρωΐ καὶ ἐξῆλθον εἰς τὴν ἔρημον Θεκωέ, καὶ ἐν τῷ ἐξελθεῖν αὐτοὺς ἔστη Ἰωσαφὰτ καὶ ἐβόησε καὶ εἶπεν· ἀκούσατέ μου Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ· ἐμπιστεύσατε ἐν Κυρίῳ Θεῷ ἡμῶν, καὶ ἐμπιστευθήσεσθε· ἐμπιστεύσατε ἐν προφήτῃ αὐτοῦ, καὶ εὐοδωθήσεσθε.

Β Παραλ. 20,20 - Την επομένην, λίαν πρωϊ, εσηκώθησαν οι Ιουδαίοι και εξήλθον εις την έρημον Θεκωέ. Οταν αυτοί ανεχώρησαν, ο Ιωσαφάτ εστάθη όρθιος, εφώναξε και είπεν· “ακούσατέ με, Ιουδαίοι και οι άλλοι κάτοικοι της Ιερουσαλήμ. Εμπιστευθήτε τον εαυτόν σαν στον προφήτην αυτού και θα ευοδωθούν αι προσπάθειαί σας”.

Β Παραλ. 20,21 - καὶ ἐβουλεύσατο μετὰ τοῦ λαοῦ καὶ ἔστησε ψαλτῳδοὺς καὶ αἰνοῦντας ἐξομολογεῖσθαι καὶ αἰνεῖν τὰ ἅγια ἐν τῷ ἐξελθεῖν

ἔμπροσθεν τῆς δυνάμεως, καὶ ἔλεγον· ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Β Παραλ. 20,21 - Κατόπιν συνεσκέφθη με τον λαόν και ώρισεν, όπως οι ψαλτωδοί και οι άλλοι μουσικοί υμνούν και δοξολογούν τον Θεόν και τα άγια αυτού, προπορευόμενοι εμπρός από τον στρατόν. Αυτοί λοιπόν έψαλλον· “Αινείτε τον Κυριον, διότι είναι αγαθός και το έλεός του υπάρχει στους αιώνας των αιώνων”.

Β Παραλ. 20,22 - καὶ ἐν τῷ ἄρξασθαι αὐτοὺς τῆς αἰνέσεως καὶ τῆς ἐξομολογήσεως ἔδωκε Κύριος πολεμεῖν τοὺς υἱοὺς Ἀμμὼν ἐπὶ Μωὰβ καὶ ὄρος Σηεὶρ τοὺς ἐξελθόντας ἐπὶ Ἰούδαν, καὶ ἐτροπώθησαν.

Β Παραλ. 20,22 - Οταν οι ψάλται αυτοί ήρχισαν να υμνούν και να δοξολογούν τον Θεόν, ο Κυριος έδωκεν, ώστε οι Αμμωνίται να μάχωνται εναντίον Μωαβιτών και των Ιδουμαίων, που είχαν έλθει από το όρος Σηείρ. Ολοι δε αυτοί είχαν εξέλθει εις πόλεμον εναντίον των Ιουδαίων. Ετσι δε οι εχθροί εξωντώθησαν πολεμούντες ο ένας τον άλλον.

Β Παραλ. 20,23 - καὶ ἀνέστησαν οἱ υἱοὶ Ἀμμὼν καὶ Μωὰβ ἐπὶ τοὺς κατοικοῦντας ὄρος Σηεὶρ ἐξολοθρεῦσαι καὶ ἐκτρῖψαι αὐτούς· καὶ ὡς συνετέλεσαν τοὺς κατοικοῦντας Σηείρ, ἀνέστησαν εἰς ἀλλήλους τοῦ ἐξολοθρευθῆναι.

Β Παραλ. 20,23 - Πράγματι εσηκώθηκαν οι Αμμωνίται και οι Μωαβίται εναντίον των κατοίκων του όρους Σηείρ, των Ιδουμαίων, δια να τους εξολοθρεύσουν και τους συντρίψουν. Οταν δε οι Αμμωνίται και οι Μωαβίται εξώντωσαν τους Ιδουμαίους του όρους Σηείρ, εστράφησαν τότε εναντίον αλλήλων και εξωντώθησαν αναμεταξύ των.

Β Παραλ. 20,24 - καὶ Ἰούδας ἦλθεν ἐπὶ τὴν σκοπιὰν τῆς ἐρήμου καὶ ἐπέβλεψε καὶ εἶδε τὸ πλῆθος, καὶ ἰδοὺ πάντες νεκροὶ πεπτωκότες ἐπὶ τῆς γῆς, οὐκ ἦν σωζόμενος.

Β Παραλ. 20,24 - Οταν οι Ιουδαίοι ανέβηκαν εις κάποιο υψηλόν μέρος της ερήμου και παρετήρησαν προς το πλήθος των εχθρών των, είδον αίφνης ότι όλοι ήσαν νεκροί, πεσμένοι στο χώμα και κανείς από αυτούς δεν είχε διαφύγει.

Β Παραλ. 20,25 - καὶ ἐξῆλθεν Ἰωσαφὰτ καὶ ὁ λαὸς αὐτοῦ σκυλεῦσαι τὰ σκῦλα αὐτῶν καὶ εὗρον κτήνη πολλὰ καὶ ἀποσκευὴν καὶ σκῦλα καὶ σκεύη ἐπιθυμητὰ καὶ ἐσκύλευσαν ἐν αὐτοῖς. καὶ ἐγένοντο ἡμέραι τρεῖς σκυλευόντων αὐτῶν τὰ σκῦλα, ὅτι πολλὰ ἦν.

Β Παραλ. 20,25 - Ο Ιωσαφάτ και ο λαός του μετέβησαν, δια να πάρουν τα λάφυρα των εχθρών των. Εκεί ευρήκαν πολλά ζώα, όπως επίσης και πολύτιμα σκεύη, τα οποία και ελαφυραγώγησαν. Επί τρεις κατά συνέχειαν ημέρας έπαιρναν τα λάφυρα των εχθρών των, διότι αυτά ήσαν πολλά.

Β Παραλ. 20,26 - καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐπισυνήχθησαν εἰς τὸν αὐλῶνα τῆς εὐλογίας, ἐκεῖ γὰρ ηὐλόγησαν τὸν Κύριον· διὰ τοῦτο ἐκάλεσαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Κοιλὰς εὐλογίας ἕως τῆς ἡμέρας ταύτης.

Β Παραλ. 20,26 - Κατά την τετάρτην ημέραν συνεκεντρώθησαν εις μίαν κοιλάδα, η οποία ωνομάσθη “Κοίλας ευλογίας”, διότι εκεί ευλόγησαν και εδοξολόγησαν τον Κυριον. Δια τούτο εκάλεσαν τον τόπον εκείνον “Κοιλάδα ευλογίας” και η ονομασία αυτή παρέμεινεν έως την ημέραν αυτήν.

Β Παραλ. 20,27 - καὶ ἐπέστρεψε πᾶς ἀνὴρ Ἰούδα εἰς Ἱερουσαλὴμ καὶ Ἰωσαφὰτ ἡγούμενος αὐτῶν ἐν εὐφροσύνῃ μεγάλῃ, ὅτι εὔφρανεν αὐτοὺς Κύριος ἀπὸ τῶν ἐχθρῶν αὐτῶν,

Β Παραλ. 20,27 - Με επικεφαλής τον Ιωσαφάτ όλοι οι άνδρες του Ιούδα επανήλθαν εις την Ιερουσαλήμ με μεγάλην χαράν, διότι ο Κυριος τους ηύφρανε απαλλάξας αυτούς από τους εχθρούς των.

Β Παραλ. 20,28 - καὶ εἰσῆλθον εἰς Ἱερουσαλὴμ ἐν νάβλαις καὶ κινύραις καὶ ἐν σάλπιγξιν εἰς οἶκον Κυρίου.

Β Παραλ. 20,28 - Εισήλθον εις την Ιερουσαλήμ και στον ναόν του Κυρίου, παίζοντες τα μουσικά των όργανα, νάβλας και κινύρας, και σαλπίζοντες με τας ιεράς των σάλπιγγας.

Β Παραλ. 20,29 - καὶ ἐγένετο ἔκστασις Κυρίου ἐπὶ πάσας τὰς βασιλείας τῆς γῆς ἐν τῷ ἀκοῦσαι αὐτοὺς ὅτι Κύριος ἐπολέμησε πρὸς τοὺς ὑπεναντίους Ἰσραήλ.

Β Παραλ. 20,29 - Εκ μέρους του Θεού τρόμος έπεσεν στους κατοίκους των άλλων βασιλειών της γης, όταν επληροφορήθησαν ότι αυτός ο ίδιος ο Κυριος επολέμησεν εναντίον των εχθρών του ισραηλιτικού λαού.

Β Παραλ. 20,30 - καὶ εἰρήνευσεν ἡ βασιλεία Ἰωσαφάτ, καὶ κατέπαυσεν αὐτῷ ὁ Θεὸς αὐτοῦ κυκλόθεν.

Β Παραλ. 20,30 - Ετσι ειρήνευσεν η βασιλεία του Ιωσαφάτ, διότι ο Κυριος τον ανέπαυσε και τον περιεφρούρησε από τους γύρω από αυτόν εχθρούς.

Β Παραλ. 20,31 - Καὶ ἐβασίλευσεν Ἰωσαφὰτ ἐπὶ τὸν Ἰούδαν, ὢν ἐτῶν τριακονταπέντε ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ εἴκοσι καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀζουβὰ θυγάτηρ Σαλί.

Β Παραλ. 20,31 - Ο Ιωσαφάτ εβασίλευσεν στο βασίλειον του Ιούδα. Οταν ανήλθεν στον βασιλικόν θρόνον ήτο ηλικίας τριάκοντα πέντε ετών. Εβασίλευσε με πρωτεύουσαν την Ιερουσαλήμ επί είκοσι πέντε έτη. Το όνομα της μητρός του ήτο Αζουβά, η οποία ήτο θυγάτηρ του Σαλί.

Β Παραλ. 20,32 - καὶ ἐπορεύθη ἐν ταῖς ὁδοῖς τοῦ πατρὸς αὐτοῦ Ἀσὰ καὶ οὐκ ἐξέκλινε τοῦ ποιῆσαι τὸ εὐθὲς ἐνώπιον Κυρίου·

Β Παραλ. 20,32 - Αυτός εβάδιζε τον δρόμον του ευσεβούς πατρός του Ασά και δεν παρεξέκλινεν από του να πράττη το ορθόν και ευάρεστον ενώπιον του Κυρίου.

Β Παραλ. 20,33 - ἀλλὰ τὰ ὑψηλὰ ἔτι ὑπῆρχε, καὶ ἔτι ὁ λαὸς οὐ κατεύθυνε τὴν καρδίαν αὐτῶν πρὸς Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτῶν.

Β Παραλ. 20,33 - Οι υψηλοί όμως ειδωλολατρικοί τόποι υπήρχον ακόμη, διότι ο ιουδαϊκός λαός δεν είχε κατευθύνει πλήρως την καρδίαν του προς Κυριον τον Θεόν των πατέρων του.

Β Παραλ. 20,34 - καὶ οἱ λοιποὶ λόγοι Ἰωσαφὰτ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ γεγραμμένοι ἐν λόγοις Ἰοὺ τοῦ Ἀνανί, ὃς κατέγραψε βιβλίον βασιλέων Ἰσραήλ.

Β Παραλ. 20,34 - Τα υπόλοιπα έργα του Ιωσαφάτ, τα πρώτα και τα τελευταία, είναι γραμμένα στο βιβλίον του Ιού, υιού του Ανανί, ο οποίος κατέγραψε το βιβλίον των βασιλέων του Ισραήλ.

Β Παραλ. 20,35 - Καὶ μετὰ ταῦτα ἐκοινώνησεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα πρὸς Ὀχοζίαν βασιλέα Ἰσραήλ (καὶ οὗτος ἠνόμησεν)

Β Παραλ. 20,35 - Επειτα από αυτά ο Ιωσαφάτ, ο βασιλεύς του Ιούδα, ήλθεν εις στενήν επικοινωνίαν με τον βασιλέα του ισραηλιτικού λαού τον Οχοζίαν, (ο οποίος είχε παρανομήσει ενώπιον του Κυρίου).

Β Παραλ. 20,36 - ἐν τῷ ποιῆσαι καὶ πορευθῆναι πρὸς αὐτὸν τοῦ ποιῆσαι πλοῖα τοῦ πορευθῆναι εἰς Θαρσεῖς καὶ ἐποίησε πλοῖα ἐν Γασιὼν Γαβέρ.

Β Παραλ. 20,36 - Συνεδέθη δε ο Ιωσαφάτ με αυτόν, δια να κατασκευάση πλοία, τα οποία θα έπλεαν εις Θαρσείς. Πράγματι δε κατεσκεύασεν αυτά τα πλοία εις Γασιών Γαβέρ.

Β Παραλ. 20,37 - καὶ ἐπροφήτευσεν Ἐλιέζερ ὁ τοῦ Δωδία ἀπὸ Μαρισῆς ἐπὶ Ἰωσαφὰτ λέγων· ὡς ἐφιλίασας τῷ Ὀχοζίᾳ, ἔθραυσε Κύριος τὸ ἔργον σου, καὶ συνετρίβη τὰ πλοῖά σου. καὶ οὐκ ἐδυνάσθη πορευθῆναι εἰς Θαρσεῖς.

Β Παραλ. 20,37 - Τοτε ο Ελιέζερ, ο υιός του Δωδία, από την Μαρισήν προεφήτευσεν εναντίον του Ιωσαφάτ και είπεν· “επειδή συνήψες φιλίαν με τον Οχοζίαν, ο Κυριος θα καταστρέψη το έργον σου”. Και πράγματι τα πλοία αυτού κατεστράφησαν και δεν κατώρθωσαν να πλεύσουν εις Θαρσείς.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 21

Β Παραλ. 21,1 - Καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 21,1 - Εκοιμήθη ο Ιωσαφάτ και ετάφη μαζή με τους πατέρας του εις την πόλιν Δαυίδ, εις Ιερουσαλήμ. Αντί δε αυτού έγινε βασιλεύς ο υιός

του ο Ιωράμ.

Β Παραλ. 21,2 - καὶ αὐτῷ ἀδελφοὶ υἱοὶ Ἰωσαφὰτ ἕξ, Ἀζαρίας καὶ Ἰεϊὴλ καὶ Ζαχαρίας καὶ Ἀζαρίας καὶ Μιχαὴλ καὶ Σαφατίας· πάντες οὗτοι υἱοὶ Ἰωσαφὰτ βασιλέως Ἰούδα.

Β Παραλ. 21,2 - Ο Ιωράμ είχεν άλλους εξ αδελφούς, υιούς του πατρός του Ιωσαφάτ, τον Αζαρίαν, τον Ιεϊήλ, τον Ζαχαρίαν, τον Αζαρίαν, τον Μιχαήλ και τον Σαφατίαν. Ολοι αυτοί ήσαν υιοί του Ιωσαφάτ, βασιλέως του βασιλείου του Ιούδα.

Β Παραλ. 21,3 - καὶ ἔδωκεν αὐτοῖς ὁ πατὴρ αὐτῶν δόματα πολλά, ἀργύριον καὶ χρυσίον καὶ ὅπλα μετὰ τῶν πόλεων τετειχισμένων ἐν Ἰούδᾳ· καὶ τὴν βασιλείαν ἔδωκε τῷ Ἰωράμ, ὅτι οὗτος ὁ πρωτότοκος.

Β Παραλ. 21,3 - Ο πατήρ των ο Ιωσαφάτ έδωκεν εις όλους αυτούς πολλά δώρα, άργυρον και χρυσόν και όπλα και οχυράς πόλεις εις την Ιουδαίαν. Αλλά την βασιλείαν την έδωκεν στον Ιωράμ, διότι αυτός ήτο ο πρωτότοκος.

Β Παραλ. 21,4 - καὶ ἀνέστη Ἰωρὰμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ καὶ ἐκραταιώθη καὶ ἀπέκτεινε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἐν ῥομφαίᾳ καὶ ἀπὸ τῶν ἀρχόντων Ἰσραήλ.

Β Παραλ. 21,4 - Οταν όμως ο Ιωράμ ανέλαβε την βασιλείαν του πατρός του και εστερεώθη εις αυτήν, διέταξε και εφόνευσαν με ρομφαίαν όλους τους αδελφούς του και μερικούς άλλους από τους αρχηγούς του Ισραήλ.

Β Παραλ. 21,5 - ὄντος αὐτοῦ τριάκοντα καὶ δύο ἐτῶν, κατέστη Ἰωρὰμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Β Παραλ. 21,5 - Ο Ιωράμ, όταν ανήλθεν στον βασιλικόν θρόνον, ήτο ηλικίας τριάκοντα δύο ετών. Επί οκτώ έτη εβασίλευσεν αυτός εις την Ιερουσαλήμ.

Β Παραλ. 21,6 - καὶ ἐπορεύθη ἐν ὁδῷ βασιλέων Ἰσραήλ, ὡς ἐποίησεν οἶκος Ἀχαάβ, ὅτι θυγάτηρ Ἀχαὰβ ἦν αὐτοῦ γυνή, καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου.

Β Παραλ. 21,6 - Αυτός επορεύθη τον δρόμον της ασεβείας των βασιλέων του Ισραήλ. Εφέρθη και έζησεν, όπως η οικογένεια του Αχαάβ, διότι η σύζυγός του ήτο θυγάτηρ του Αχαάβ. Ετσι δε εξέκλινεν εις την ειδωλολατρείαν και έπραξε το πονηρόν ενώπιον του Κυρίου.

Β Παραλ. 21,7 - καὶ οὐκ ἐβούλετο Κύριος ἐξολοθρεῦσαι τὸν οἶκον Δαυὶδ διὰ τὴν διαθήκην, ἣν διέθετο τῷ Δαυίδ, καὶ ὡς εἶπεν αὐτῷ δοῦναι αὐτῷ λύχνον καὶ τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας.

Β Παραλ. 21,7 - Ο Κυριος όμως δεν ηθέλησε να τον τιμωρήση, δια να μη εξολοθρεύση την γενεάν του Δαυίδ, επειδή είχε δώσει υπόσχεσιν και συνήψε διαθήκην με τον Δαυίδ, στον οποίον και είχεν υποσχεθή, ότι θα αφήση αναμμένον τον λύχνον του, δηλαδή, θα έδιδε διάδοχον πάντοτε επί του θρόνου του από τους απογόνους του.

Β Παραλ. 21,8 - ἐν ταῖς ἡμέραις ἐκείναις ἀπέστη Ἐδὼμ ἀπὸ τοῦ Ἰούδα καὶ ἐβασίλευσαν ἐφ᾿ ἑαυτοὺς βασιλέα.

Β Παραλ. 21,8 - Κατά τας ημέρας εκείνας οι Ιδουμαίοι απεστάτησαν από τους Ιουδαίους και ανεκήρυξαν ιδικόν των βασιλέα.

Β Παραλ. 21,9 - καὶ ᾤχετο Ἰωρὰμ μετὰ τῶν ἀρχόντων καὶ πᾶσα ἡ ἵππος μετ᾿ αὐτοῦ· καὶ ἐγένετο καὶ ἠγέρθη νυκτὸς καὶ ἐπάταξεν Ἐδὼμ τὸν κυκλοῦντα αὐτὸν καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων, καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν.

Β Παραλ. 21,9 - Ο Ιωράμ, μαζή με τους αρχηγούς του στρατού του και με όλον το ιππικόν του, επήλθεν εναντίον των. Εσηκώθη την νύκτα ο Ιωράμ και προσέβαλε τους Ιδουμαίους. Αλλά οι Ιδουμαίοι περιεκύκλωσαν αυτόν και τους αρχηγούς των πολεμικών του αρμάτων και έτσι ο στρατός του ηναγκάσθη να τροπή εις φυγήν, οι δε άνδρες του διελύθησαν και ήλθον εις τας πόλεις των.

Β Παραλ. 21,10 - καὶ ἀπέστη ἀπὸ Ἰούδα Ἐδὼμ ἕως τῆς ἡμέρας ταύτης· τότε ἀπέστη Λομνὰ ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ χειρὸς αὐτοῦ, ὅτι ἐγκατέλιπε Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτοῦ·

Β Παραλ. 21,10 - Τοτε οι Ιδουμαίοι απεσπάσθησαν οριστικώς από τον ιουδαϊκόν ζυγόν και έμειναν ελεύθεροι μέχρι της ημέρας αυτής. Κατά την εποχήν αυτήν απεστάτησε και η Λομνά από την κυριαρχίαν του Ιωράμ, διότι ο Ιωράμ και ο λαός του εγκατέλιπαν Κυριον τον Θεόν των πατέρων των.

Β Παραλ. 21,11 - καὶ γὰρ αὐτὸς ἐποίησεν ὑψηλὰ ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐξεπόρνευσε τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ καὶ ἀπεπλάνησε τὸν Ἰούδαν.

Β Παραλ. 21,11 - Και διότι ακόμη αυτός κατεσκεύασεν υψηλούς ειδωλολατρικούς τόπους εις τας πόλστου βασιλείου του Ιούδα, ωδήγησε τους κατοίκους της Ιερουσαλήμ εις την φαυλότητα και απεπλάνησεν όλους τους Ιουδαίους προς την ειδωλολατρείαν.

Β Παραλ. 21,12 - καὶ ἦλθεν αὐτῷ ἐν γραφῇ παρὰ Ἠλιοὺ τοῦ προφήτου λέγων· τάδε λέγει Κύριος Θεὸς Δαυὶδ τοῦ πατρός σου· ἀνθ᾿ ὧν οὐκ ἐπορεύθης ἐν ὁδῷ Ἰωσαφὰτ τοῦ πατρός σου καὶ ἐν ὁδοῖς Ἀσὰ βασιλέως Ἰούδα

Β Παραλ. 21,12 - Τοτε εκ μέρους του προφήτου Ηλιού έφθασε προς αυτόν γραπτή προφητεία, η οποία έλεγεν· “αυτά λέγει Κυριος ο Θεός του Δαυίδ του προπάτορός σου· Επειδή συ δεν εβάδισες τον δρόμον της ευσεβείας του πατρός σου Ιωσαφάτ, όπως επίσης και τους ευσεβείς δρόμους του βασιλέως των Ιουδαίων Ασά,

Β Παραλ. 21,13 - καὶ ἐπορεύθης ἐν ὁδοῖς βασιλέων Ἰσραὴλ καὶ ἐξεπόρνευσας τὸν Ἰούδαν καὶ τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ, ὡς

ἐξεπόρνευσεν οἶκος Ἀχαάβ, καὶ τοὺς ἀδελφούς σου υἱοὺς τοῦ πατρός σου τοὺς ἀγαθοὺς ὑπὲρ σὲ ἀπέκτεινας,

Β Παραλ. 21,13 - αλλά αντιθέτως επορεύθης τους δρόμους της ασεβείας των βασιλέων του Ισραήλ και εξώθησες προς την ειδωλολατρείαν τους Ιουδαίους και τους κατοίκους της Ιερουσαλήμ, όπως έκαμε και ο οίκος του Αχαάβ, και επειδή εφόνευσες τους αδελφούς σου, τους υιούς του πατρός σου, οι οποίοι ήσαν καλύτεροι από σέ,

Β Παραλ. 21,14 - ἰδοὺ Κύριος πατάξει σε πληγὴν μεγάλην ἐν τῷ λαῷ σου καὶ ἐν τοῖς υἱοῖς σου καὶ ἐν γυναιξί σου καὶ ἐν πάσῃ τῇ ἀποσκευῇ σου.

Β Παραλ. 21,14 - ιδού ο Κυριος θα στείλη εναντίον σου μεγάλην συμφοράν, όπως και εναντίον του λαού σου και εναντίον των υιών σου και των γυναικών σου και εναντίον όλων, όσα σου ανήκουν.

Β Παραλ. 21,15 - καὶ σὺ ἐν μαλακίᾳ πονηρᾷ, ἐν νόσῳ κοιλίας, ἕως οὗ ἐξέλθῃ ἡ κοιλία σου μετὰ τῆς μαλακίας ἐξ ἡμερῶν εἰς ἡμέρας.

Β Παραλ. 21,15 - Και συ ο ίδιος θα προσβληθής από σκληράν και οδυνηράν ασθένειαν, ασθένειαν της κοιλίας, ώστε τα έντερά σου θα εξέρχωνται εξ αιτίας της νόσου αυτής από την κοιλίαν σου από ημέρας εις ημέραν".

Β Παραλ. 21,16 - καὶ ἐπήγειρε Κύριος ἐπὶ Ἰωρὰμ τοὺς ἀλλοφύλους καὶ τοὺς Ἄραβας καὶ τοὺς ὁμόρους τῶν Αἰθιόπων,

Β Παραλ. 21,16 - Ο Κυριος εξήγειρεν εναντίον του Ιωράμ τους Φιλισταίους, τους Αραβας και τους γείτονας των Αιθιόπων.

Β Παραλ. 21,17 - καὶ ἀνέβησαν ἐπὶ Ἰούδαν καὶ κατεδυνάστευον καὶ ἀπέστρεψαν πᾶσαν τὴν ἀποσκευήν, ἣν εὗρον ἐν οἴκῳ τοῦ βασιλέως, καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ οὐ κατελείφθη αὐτῷ υἱός, ἀλλ᾿ ἢ Ὀχοζίας ὁ μικρότατος τῶν υἱῶν αὐτοῦ.

Β Παραλ. 21,17 - Αυτοί επήλθον εναντίον της Ιουδαίας, διεσπάρησαν μέσα εις αυτήν, την ελεηλάτουν και επήραν όλα τα πλούτη, τα οποία ευρήκαν στο βασιλικόν ανάκτορον. Επί πλέον συνέλαβαν τους υιούς του βασιλέως και τας θυγατέρας και δεν απέμεινεν εις αυτόν παρά ένας, ο μικρότερος από προς υιούς του, ο Οχοζίας.

Παραλ. 21,18 - καὶ μετὰ ταῦτα πάντα ἐπάταξεν αὐτὸν Κύριος εἰς τὴν κοιλίαν μαλακίαν, ᾗ οὐκ ἔστιν ἰατρεία.

Β Παραλ. 21,18 - Επειτα από όλα αυτά ο Κυριος εκτύπησε τον Ιωρέμ με νόσον της κοιλίας, η οποία ήτο αθεράπευτος.

Β Παραλ. 21,19 - καὶ ἐγένετο ἐξ ἡμερῶν εἰς ἡμέρας, καὶ ὡς ἦλθε καιρὸς τῶν ἡμερῶν ἡμέρας δύο, ἐξῆλθεν ἡ κοιλία αὐτοῦ μετὰ τῆς νόσου, καὶ ἀπέθανεν ἐν μαλακίᾳ πονηρᾷ. καὶ οὐκ ἐποίησεν ὁ λαὸς αὐτοῦ ἐκφορὰν καθὼς ἐκφορὰν πατέρων αὐτοῦ.

Β Παραλ. 21,19 - Καθώς δε επερνούσαν αι ημέραι, κατά το τέλος των ημερών του δευτέρου έτους, εβγήκαν εξ αιτίας της νόσου του τα έντερά του από την κοιλίαν του και έτσι αυτός απέθανεν από την οδυνηράν αυτήν νόσον. Ο ιουδαϊκός λαός δεν τον εκήδευσεν, όπως εκήδευσε τους προπάτοράς του.

Β Παραλ. 21,20 - ἦν τριάκοντα καὶ δύο ἐτῶν, ὅτε ἐβασίλευσε, καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ἐπορεύθη οὐκ ἐν ἐπαίνῳ καὶ ἐτάφη ἐν πόλει Δαυὶδ καὶ οὐκ ἐν τάφοις τῶν βασιλέων.

Β Παραλ. 21,20 - Ο Ιωράμ ήτο τριάκοντα δύο ετών, όταν ανεκηρύχθη βασιλεύς. Εβασίλευσεν επί οκτώ έτη εις την Ιερουσαλήμ. Απέθανε χωρίς κανείς να είπη έπαινον τινα δι' αυτόν και ετάφη εις την πόλιν Δαυίδ, όχι όμως στους τάφους των βασιλέων.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 22

Β Παραλ. 22,1 - Καὶ ἐβασίλευσαν οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ τὸν Ὀχοζίαν υἱὸν αὐτοῦ τὸν μικρὸν ἀντ᾿ αὐτοῦ, ὅτι πάντας τοὺς πρεσβυτέρους ἀπέκτεινε τὸ ἐπελθὸν ἐπ᾿ αὐτοὺς ληστήριον, οἱ Ἄραβες καὶ οἱ Ἀλιμοζονεῖς· καὶ ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἰωρὰμ βασιλέως Ἰούδα.

Β Παραλ. 22,1 - Οι κάτοικοι της Ιερουσαλήμ ανεκήρυξαν ως βασιλέα των αντί του Ιωράμ τον μικρότερον υιόν του τον Οχοζίαν, διότι τους μεγαλυτέρους αδελφούς του Οχοζία είχον φονεύσει οι επιδραμόντες εναντίον της Ιουδαίας λησταί, Αραβες και Αλιμοζονείς. Ετσι ο Οχοζίας, ο υιός του Ιωράμ, έγινε βασιλεύς του βασιλείου του Ιούδα.

Β Παραλ. 22,2 - ὢν ἐτῶν εἴκοσιν Ὀχοζίας ἐβασίλευσε καὶ ἐνιαυτὸν ἕνα ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Γοθολία θυγάτηρ Ἀμβρί.

Β Παραλ. 22,2 - Είκοσι ετών ήτο ο Οχοζίας, όταν ανήλθεν στον βασιλικόν θρόνον. Επί ένα έτος εβασίλευσεν εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Γοθολία και ήτο εγγονή του Αμβρί.

Β Παραλ. 22,3 - καὶ οὗτος ἐπορεύθη ἐν ὁδῷ οἴκου Ἀχαάβ, ὅτι μήτηρ αὐτοῦ ἦν σύμβουλος τοῦ ἁμαρτάνειν·

Β Παραλ. 22,3 - Και αυτός ο Οχοζίας επορεύθη τον ασεβή δρόμον του οίκου Αχαάβ, διότι η ασεβής μητέρα του ήτο κακή σύμβουλός του, που τον παρώτρυνε προς την αμαρτίαν.

Β Παραλ. 22,4 - καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου ὡς οἶκος Ἀχαάβ, ὅτι αὐτοὶ ἦσαν αὐτῷ σύμβουλοι μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, τοῦ ἐξολοθρεῦσαι αὐτόν,

Β Παραλ. 22,4 - Επραξε το πονηρόν ενώπιον του Κυρίου, όπως και ο οίκος του Αχαάβ. Εξέκλινε δε προς την ειδωλολατρείαν, διότι μετά τον

θάνατον του πατρός του είχεν ως συμβούλους του ανθρώπους του Αχαάβ, οι οποίοι ειργάζοντο δια την καταστροφήν του.

Β Παραλ. 22,5 - καὶ ἐν ταῖς βουλαῖς αὐτῶν ἐπορεύθη καὶ ἐπορεύθη μετὰ Ἰωρὰμ υἱοῦ Ἀχαὰβ βασιλέως Ἰσραὴλ εἰς πόλεμον ἐπὶ Ἀζαὴλ βασιλέα Συρίας εἰς Ῥαμὼθ Γαλαάδ· καὶ ἐπάταξαν οἱ τοξόται τὸν Ἰωράμ.

Β Παραλ. 22,5 - Τας συμβουλάς των ανθρώπων αυτών ηκολούθησε και εξεστράτευσε μαζή με τον Ιωράμ, υιόν του Αχαάβ βασιλέως των Ισραηλιτών, εναντίον του Αζαήλ, βασιλέως της Συρίας, και εναντίον της πόλεως Ραμώθ της χώρας Γαλαάδ. Συροι όμως τοξόται εκτύπησαν αυτόν και τον επλήγωσαν.

Β Παραλ. 22,6 - καὶ ἐπέστρεψεν Ἰωρὰμ τοῦ ἰατρευθῆναι εἰς Ἰεζράελ ἀπὸ τῶν πληγῶν, ὧν ἐπάταξαν αὐτὸν οἱ Σύροι ἐν Ῥαμὼθ ἐν τῷ πολεμεῖν αὐτὸν πρὸς Ἀζαὴλ βασιλέα Συρίας· καὶ Ὀχοζίας υἱὸς Ἰωρὰμ βασιλεὺς Ἰούδα κατέβη θεάσασθαι τὸν Ἰωρὰμ υἱὸν Ἀχαὰβ εἰς Ἰεζράελ, ὅτι ἠῤῥώστει.

Β Παραλ. 22,6 - Ο Ιωράμ επανήλθεν εις Ιεζράελ, δια να θεραπευθή από τας πληγάς, που του είχαν προξενήσει οι Συροι εις την Ραμώθ, όταν αυτός επολεμούσε εναντίον του βασιλέως της Συρίας του Αζαήλ. Ο Οχοζίας, ο υιός του Ιωράμ βασιλεύς του βασιλείου Ιούδα, ήλθε να επισκεφθή τον Ιωράμ, υιόν του Αχαάβ, εις την Ιεζράελ, όπου αυτός έμενεν ασθενής.

Β Παραλ. 22,7 - καὶ παρὰ τοῦ Θεοῦ ἐγένετο καταστροφὴ Ὀχοζίᾳ ἐλθεῖν πρὸς Ἰωράμ· καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐξῆλθε μετ᾿ αὐτοῦ Ἰωρὰμ πρὸς Ἰοὺ υἱὸν Ναμεσσεΐ χριστὸν Κυρίου εἰς τὸν οἶκον Ἀχαάβ.

Β Παραλ. 22,7 - Κατά παραχώρησιν Θεού μετέβη ο Οχοζίας προς καταστροφήν του εις επίσκεψιν του Ιωράμ, διότι όταν αυτός έφθασεν εκεί, εβγήκε μαζή με τον Ιωράμ, δια να μεταβούν εις συνάντησιν Ιού, του υιού του Ναμεσσεΐ, ο οποίος πάλιν ήρχετο προς αυτούς. Ο Ιού είχε χρισθή από τον προφήτην του Κυρίου (τον Ηλιού), δια να καταστρέψη τον οίκον Αχαάβ.

Β Παραλ. 22,8 - καὶ ἐγένετο ὡς ἐξεδίκησεν Ἰοὺ τὸν οἶκον Ἀχαάβ, καὶ εὗρε τοὺς ἄρχοντας Ἰούδα καὶ τοὺς ἀδελφοὺς Ὀχοζίου λειτουργοῦντας τῷ Ὀχοζίᾳ καὶ ἀπέκτεινεν αὐτούς.

Β Παραλ. 22,8 - Οταν ο Ιού ετιμωρούσε εκ μέρους του Θεού τον οίκον του Αχαάβ, συνήντησε τους άρχοντας του Ιούδα και τους υιούς του αδελφού του Οχοζίου, οι οποίοι υπηρετούσαν τον Οχοζίαν και τους εφόνευσε.

Β Παραλ. 22,9 - καὶ εἶπε τοῦ ζητῆσαι τὸν Ὀχοζίαν, καὶ κατέλαβον αὐτὸν ἰατρευόμενον ἐν Σαμαρείᾳ καὶ ἤγαγον αὐτὸν πρὸς Ἰού, καὶ ἀπέκτεινεν αὐτὸν καὶ ἔθαψαν αὐτόν, ὅτι εἶπαν· υἱὸς Ἰωσαφάτ ἐστιν, ὃς ἐζήτησε τὸν Κύριον ἐν ὅλῃ τῇ καρδίᾳ αὐτοῦ. καὶ οὐκ ἦν ἐν οἴκῳ Ὀχοζίᾳ κατισχῦσαι δύναμιν περὶ τῆς βασιλείας.

Β Παραλ. 22,9 - Απεφάσισε δε να αναζητήση και τον Οχοζίαν. Οι άνθρωποί του ευρήκαν αυτόν να νοσηλεύεται εις την Σαμάρειαν. Τον

συνέλαβαν και τον ωδήγησαν προς τον Ιού, ο οποίος και τον εφόνευσε. Οι Ιουδαίοι όμως τον έθαψαν, διότι είπον· “αυτός είναι υιός του Ιωσαφάτ, ο οποίος με όλην του την καρδίαν ελάτρευσε τον Κυριον”. Από δε την οικογένειαν του Οχοζίου δεν υπήρχε κανένας άνδρας με επαρκή δύναμιν, δια να αναλάβη την βασιλείαν.

Β Παραλ. 22,10 - Καὶ Γοθολία ἡ μήτηρ Ὀχοζίου εἶδεν ὅτι τέθνηκεν ὁ υἱὸς αὐτῆς καὶ ἠγέρθη καὶ ἀπώλεσε πᾶν τὸ σπέρμα τῆς βασιλείας ἐν οἴκῳ Ἰούδα.

Β Παραλ. 22,10 - Η Γοθολία, η μήτηρ του Οχοζίου, όταν επληροφορήθη ότι εφονεύθη ο υιός της, εσηκώθη και εφόνευσεν όλους τους απογόνους του βασιλικού οίκου του Ιούδα.

Β Παραλ. 22,11 - καὶ ἔλαβεν Ἰωσαβὲθ θυγάτηρ τοῦ βασιλέως τὸν Ἰωὰς υἱὸν Ὀχοζίου καὶ ἔκλεψεν αὐτὸν ἐκ μέσου υἱῶν τοῦ βασιλέως τῶν θανατουμένων καὶ ἔδωκεν αὐτὸν καὶ τὴν τροφὸν αὐτοῦ εἰς ταμιεῖον τῶν κλινῶν· καὶ ἔκρυψεν αὐτὸν Ἰωσαβὲθ θυγάτηρ τοῦ βασιλέως Ἰωράμ, ἀδελφὴ Ὀχοζίου, γυνὴ Ἰωδαὲ τοῦ ἱερέως, καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώπου τῆς Γοθολίας, καὶ οὐκ ἀπέκτεινεν αὐτόν.

Β Παραλ. 22,11 - Η Ιωσαβέθ όμως, κόρη του βασιλέως, επήρε τον Ιωάς, υιόν του Οχοζίου, κρυφά ανάμεσα από τα άλλα παιδιά του βασιλέως, όταν εκείνοι εθανατώνοντο από την Γοθολίαν, και έθεσεν αυτόν και την τροφόν του εις ένα απόκρυφον κοιτώνα. Εκεί η Ιωσαβέθ, η θυγάτηρ του βασιλέως Ιωράμ, η οποία ήτο αδελφή του Οχοζίου, σύζυγος του αρχιερέως Ιωδαέ, τον έκρυψεν από το πρόσωπον της Γοθολίας. Ετσι δε η Γοθολία δεν εθανάτωσε και αυτόν.

Β Παραλ. 22,12 - καὶ ἦν μετ᾿ αὐτοῦ ἐν οἴκῳ τοῦ Θεοῦ κατακεκρυμμένος ἓξ ἔτη, καὶ Γοθολία ἐβασίλευσεν ἐπὶ τῆς γῆς.

Β Παραλ. 22,12 - Ο Ιωάς έμεινε κρυμμένος στον ναόν του Θεού επί εξ έτη. Η δε Γοθολία εβασίλευσε κατά τα έτη αυτά εις την Ιουδαίαν.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 23

Β Παραλ. 23,1 - Καὶ ἐν τῷ ἔτει τῷ ὀγδόῳ ἐκραταίωσεν Ἰωδαὲ καὶ ἔλαβε τοὺς ἑκατοντάρχους, τὸν Ἀζαρίαν υἱὸν Ἰωρὰμ καὶ τὸν Ἰσμαὴλ υἱὸν Ἰωανὰν καὶ τὸν Ἀζαρίαν υἱὸν Ὠβὴδ καὶ τὸν Μαασαίαν υἱὸν Ἀδαΐα καὶ τὸν Ἐλισαφὰν υἱὸν Ζαχαρίου, μεθ᾿ ἑαυτοῦ εἰς οἶκον Κυρίου.

Β Παραλ. 23,1 - Κατά το όγδοον έτος ο αρχιερεύς Ιωδαέ αναθαρρήσας εκάλεσε τους εκατοντάρχους, τον Αζαρίαν, υιόν του Ιωράμ, τον Ισμαήλ υιόν του Ιωανάν, τον Αζαρίαν υιόν του Ωβήδ, τον Μαασαίαν υιόν του Αδαΐα και τον Ελισαφάν υιόν του Ζαχαρίου, και ήλθε μαζή με αυτούς στον ναόν του Κυρίου.

Β Παραλ. 23,2 - καὶ ἐκύκλωσαν τὸν Ἰούδαν καὶ συνήγαγον τοὺς Λευίτας ἐκ πασῶν τῶν πόλεων Ἰούδα καὶ ἄρχοντας πατριῶν τοῦ Ἰσραήλ, καὶ ἦλθον εἰς Ἱερουσαλήμ.

Β Παραλ. 23,2 - Από εκεί διεσπάρησαν αυτοί κύκλω ανά την χώραν του βασιλείου Ιούδα, συνεκέντρωσαν τους Λευίτας από όλας τας πόλστου Ιούδα και τους αρχηγούς των φυλών του Ισραήλ και ήλθον με αυτούς εις την Ιερουσαλήμ.

Β Παραλ. 23,3 - καὶ διέθεντο πᾶσα ἡ ἐκκλησία Ἰούδα διαθήκην ἐν οἴκῳ τοῦ Θεοῦ μετὰ τοῦ βασιλέως, καὶ ἔδειξεν αὐτοῖς τὸν υἱὸν τοῦ βασιλέως καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ὁ υἱὸς τοῦ βασιλέως βασιλευσάτω, καθὼς ἐλάλησε Κύριος ἐπὶ τὸν οἶκον Δαυίδ.

Β Παραλ. 23,3 - Ολη αυτή η συγκέντρωσις υπέγραψε συμφωνίαν στον ναόν του Θεού με τον εκεί ευρισκόμενον νεαρόν βασιλέα. Ο Ιωδαέ έδειξεν εις αυτούς τον Ιωάς, τον υιόν του βασιλέως, και τους είπεν· “Ιδού ο νόμιμος υιός του βασιλέως. Αυτός πρέπει να βασιλεύση, όπως ο Θεός ώρισε δια τον οίκον του Δαυίδ.

Β Παραλ. 23,4 - νῦν ὁ λόγος οὗτος, ὃν ποιήσετε· τὸ τρίτον ἐξ ὑμῶν εἰσπορευέσθωσαν τὸ σάββατον, τῶν ἱερέων καὶ τῶν Λευιτῶν, καὶ εἰς τὰς πύλας τῶν εἰσόδων,

Β Παραλ. 23,4 - Θα σας είπω δε τώρα, τι προς τον σκοπόν αυτόν πρέπει να κάμετε. Το εν τρίτον από σας τους ιερείς και τους Λευίτας, οι οποίοι θα εισέλθετε κατά το Σαββατον εις την υπηρεσίαν του ναού, θα καταλάβετε τας πύλας των είσοδων προς τον ναόν.

Β Παραλ. 23,5 - καὶ τὸ τρίτον ἐν οἴκῳ τοῦ βασιλέως, καὶ τὸ τρίτον ἐν τῇ πύλῃ τῇ μέσῃ, καὶ πᾶς ὁ λαὸς ἐν αὐλαῖς οἴκου Κυρίου.

Β Παραλ. 23,5 - Το άλλο εν τρίτον θα ευρίσκεται στο βασιλικόν ανάκτορον και το τελευταίον τρίτον θα ευρίσκεται εις την μέσην πύλην. Ολος δε ο άλλος λαός θα ευρίσκεται εις τας αυλάς του ναού του Κυρίου.

Β Παραλ. 23,6 - καὶ μὴ εἰσελθέτω εἰς οἶκον Κυρίου ἐὰν μὴ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ λειτουργοῦντες τῶν Λευιτῶν· αὐτοὶ εἰσελεύσονται, ὅτι ἅγιοί εἰσι, καὶ πᾶς ὁ λαὸς φυλασσέτω φυλακὰς Κυρίου.

Β Παραλ. 23,6 - Εις τον ναόν του Κυρίου δεν θα εισέλθη κανείς άλλος, ειμή μόνον οι ιερείς και οι Λευίται και εκείνοι από τους Λευίτας, οι οποίοι θα έχουν υπηρεσίαν στον ναόν. Αυτοί θα εισέλθουν, διότι είναι καθιερωμένοι και άξιοι να εισέλθουν. Ολος ο άλλος λαός θα τηρήση την εντολήν του Κυρίου και βα μείνη έξω από τον ιερόν χώρον.

Β Παραλ. 23,7 - καὶ κυκλώσουσιν οἱ Λευῖται τὸν βασιλέα κύκλῳ, ἀνδρὸς σκεῦος σκεῦος ἐν χειρὶ αὐτοῦ, καὶ ὁ εἰσπορευόμενος εἰς τὸν οἶκον ἀποθανεῖται· καὶ ἔσονται μετὰ τοῦ βασιλέως ἐκπορευομένου καὶ εἰσπορευομένου αὐτοῦ.

Β Παραλ. 23,7 - Οι ωρισμένοι αυτοί Λευίται θα περιβάλλουν προστατευτικώς τον βασιλέα κρατούντες ο καθένας εις τα χέρια του το όπλον του. Οιοσδήποτε άλλος τολμήση να εισέλθη στον ναόν, θα φονευθή. Αυτοί θα είναι μαζή με τον βασιλέα και θα ακολουθούν αυτόν, όπου εκείνος εισέρχεται και εξέρχεται”.

Β Παραλ. 23,8 - καὶ ἐποίησαν οἱ Λευῖται καὶ πᾶς Ἰούδα κατὰ πάντα, ὅσα ἐνετείλατο αὐτοῖς Ἰωδαὲ ὁ ἱερεύς, καὶ ἔλαβον ἕκαστος τοὺς ἄνδρας αὐτοῦ ἀπ᾿ ἀρχῆς τοῦ σαββάτου ἕως ἐξόδου τοῦ σαββάτου, ὅτι οὐ κατέλυσεν Ἰωδαὲ ὁ ἱερεὺς τὰς ἐφημερίας.

Β Παραλ. 23,8 - Οι Λευίται και όλοι οι Ιουδαίοι έκαμαν ακριβώς, όπως τους είχε διατάξει ο αρχιερεύς ο Ιωδαέ. Επήρεν ο καθένας από αυτούς τους άνδρας του, οι οποίοι θα ανελάμβαναν υπηρεσίαν στον ναόν κατά το Σαββατον, όπως επίσης και εκείνους των οποίων η υπηρεσία έληγε και θα εξήρχοντο. Ο αρχιερεύς Ιωδαέ δεν επέτρεψεν εις καμμίαν από τας ιερατικάς τάξεις, που έληγεν η υπηρεσία της, να φύγη από τον ναόν και διαλυθή.

Β Παραλ. 23,9 - καὶ ἔδωκεν Ἰωδαὲ τὰς μαχαίρας καὶ τοὺς θυρεοὺς καὶ τὰ ὅπλα, ἃ ἦν τοῦ βασιλέως Δαυίδ, ἐν οἴκῳ τοῦ Θεοῦ.

Β Παραλ. 23,9 - Ο ίδιος ο αρχιερεύς παρέδωκεν εις αυτούς τας μαχαίρας, τας μεγάλας ασπίδας και τα όπλα, τα οποία ανήκον στον βασιλέα Δαυίδ και ήσαν αποτεθειμένα στον ναόν του Θεού.

Β Παραλ. 23,10 - καὶ ἔστησε τὸν λαὸν πάντα, ἕκαστον ἐν τοῖς ὅπλοις αὐτοῦ, ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως τῆς ὠμίας τῆς ἀριστερᾶς τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα κύκλῳ.

Β Παραλ. 23,10 - Ετοποθέτησεν όλον τον λαόν, καθένα ωπλισμένον με το όπλον του, από την δεξιάν πλευράν του ναού μέχρι την αριστεράν πλευράν αυτού πλησίον στο θυσιαστήριον των ολοκαυτωμάτων και στον ναόν εις τρόπον, ώστε να περιβάλλουν τον βασιλέα κύκλω.

Β Παραλ. 23,11 - καὶ ἐξήγαγε τὸν υἱὸν τοῦ βασιλέως καὶ ἔδωκεν ἐπ᾿ αὐτὸν τὸ βασίλειον καὶ τὰ μαρτύρια, καὶ ἐβασίλευσαν καὶ ἔχρισαν αὐτὸν Ἰωδαὲ ὁ ἱερεὺς καὶ οἱ υἱοὶ αὐτοῦ καὶ εἶπαν· ζήτω ὁ βασιλεύς.

Β Παραλ. 23,11 - Τοτε ο Ιωδαέ έβγαλεν από τον ναόν τον Ιωάς, τον υιόν του βασιλέως, έθεσεν επάνω εις αυτόν το βασιλικόν διάδημα, έδωσεν εις τα χέρια του τον Νομον και αφού ο αρχιερεύς Ιωδαέ και οι υιοί του τον έχρισαν, τον ανεκήρυξαν βασιλέα και εκραύγασαν· “ζήτω ο βασιλεύς”.

Β Παραλ. 23,12 - καὶ ἤκουσε Γοθολία τὴν φωνὴν τοῦ λαοῦ τρεχόντων καὶ ἐξομολογουμένων καὶ αἰνούντων τὸν βασιλέα καὶ εἰσῆλθε πρὸς τὸν βασιλέα εἰς οἶκον Κυρίου.

Β Παραλ. 23,12 - Οταν η Γοθολία ήκουσε τας φωνάς των ανθρώπων αυτών, οι οποίοι έτρεχαν και εφώναζαν δοξάζοντες και αινούντες τον βασιλέα, εισήλθε και αυτή στον ιερόν χώρον του ναού του Κυρίου, όπου ευρίσκετο ο βασιλεύς.

Β Παραλ. 23,13 - καὶ εἶδε καὶ ἰδοὺ ὁ βασιλεὺς ἐπὶ τῆς στάσεως αὐτοῦ, καὶ ἐπὶ τῆς εἰσόδου οἱ ἄρχοντες καὶ αἱ σάλπιγγες καὶ οἱ ἄρχοντες περὶ τὸν βασιλέα, καὶ πᾶς ὁ λαὸς τῆς γῆς ηὐφράνθη καὶ ἐσάλπισαν ταῖς σάλπιγξι καὶ οἱ ᾄδοντες ἐν τοῖς ὀργάνοις ᾠδοὶ καί ὑμνοῦντες αἶνον· καὶ διέῤῥηξε Γοθολία τὴν στολὴν αὐτῆς καὶ ἐβόησεν· ἐπιτιθέμενοι ἐπιτίθεσθε.

Β Παραλ. 23,13 - Παρετήρησε και αίφνης είδε τον βασιλέα επί ενός βάθρου παρά την είσοδον της αυλής του ναού. Πλησίον αυτού και περί αυτόν ήσαν οι άρχοντες, οι σαλπιγκταί, όλοι οι άρχοντες γύρω από τον βασιλέα και όλος ο λαός της χώρας, οι οποίοι και έχαιραν. Οι σαλπιγκταί εσάλπιζαν με τας σάλπιγγας αυτών, οι ψάλται με τα μουσικά των όργανα ανέπεμπαν αίνους και ωδάς. Η Γοθολία, όταν είδεν όλα αυτά, έσχισε την βασιλικήν της στολήν και εφώναξε· “σεις, λοιπόν, συνωμοτήσατε και επιτίθεσθε εναντίον μου”.

Β Παραλ. 23,14 - καὶ ἐξῆλθεν Ἰωδαὲ ὁ ἱερεύς, καὶ ἐνετείλατο Ἰωδαὲ ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις καὶ τοῖς ἀρχηγοῖς τῆς δυνάμεως καὶ εἶπεν αὐτοῖς· ἐκβάλετε αὐτὴν ἐκτὸς τοῦ οἴκου καὶ εἰσέλθατε ὀπίσω αὐτῆς, καὶ ἀποθανέτω μαχαίρᾳ· ὅτι εἶπεν ὁ ἱερεύς· μὴ ἀποθανέτω ἐν οἴκῳ Κυρίου.

Β Παραλ. 23,14 - Ο αρχιερεύς Ιωδαέ εβγήκεν από εκεί, όπου ευρίσκετο. Διέταξε τους εκατοντάρχους και τους άλλους αρχηγούς της στρατιωτικής δυνάμεως και τους είπε· “διώξτε αυτήν έξω από τον ναόν, ακολουθήσατέ την και ας εκτελεσθή δια μαχαίρας”. Τούτο δε έγινε, διότι ο αρχιερεύς είχεν είπει· “δεν πρέπει να φονευθή αυτή εντός του ιερού χώρου”.

Β Παραλ. 23,15 - καὶ ἔδωκαν αὐτῇ ἄνεσιν καὶ διῆλθε διὰ τῆς πύλης τῶν ἱππέων τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἐθανάτωσαν αὐτὴν ἐκεῖ.

Β Παραλ. 23,15 - Εδωσαν εις αυτήν δίοδον, αυτή δε εξήλθε δια της θύρας των ιππέων του βασιλικού ανακτόρου. Εκεί δε και την εθανάτωσαν.

Β Παραλ. 23,16 - καὶ διέθετο Ἰωδαὲ διαθήκην ἀνὰ μέσον αὐτοῦ καὶ τοῦ λαοῦ καὶ τοῦ βασιλέως εἶναι λαὸν τῷ Κυρίῳ.

Β Παραλ. 23,16 - Ο αρχιερεύς Ιωδαέ έκλεισε συμφωνίαν μεταξύ αυτού, του λαού και του βασιλέως, να είναι όλοι λαός του Κυρίου.

Β Παραλ. 23,17 - καὶ εἰσῆλθε πᾶς ὁ λαὸς τῆς γῆς εἰς οἶκον Βάαλ καὶ κατέσπασαν αὐτὸν καὶ τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰ εἴδωλα αὐτοῦ ἐλέπτυναν καὶ τὸν Ματθὰν ἱερέα Βάαλ ἐθανάτωσαν ἐναντίον τῶν θυσιαστηρίων αὐτοῦ.

Β Παραλ. 23,17 - Κατόπιν ο λαός των Ιουδαίων εισώρμησεν στον ναόν του Βααλ και κατέστρεψεν αυτόν και τα θυσιαστήριά του. Τα είδωλα αυτού εκονιορτοποίησε και εφόνευσαν τον ιερέα του Βααλ, τον Ματθάν ενώπιον των θυσιαστηρίων αυτού.

Β Παραλ. 23,18 - καὶ ἐνεχείρισεν Ἰωδαὲ ὁ ἱερεὺς τὰ ἔργα οἴκου Κυρίου διὰ χειρὸς ἱερέων καὶ Λευιτῶν καὶ ἀνέστησε τὰς ἐφημερίας τῶν ἱερέων καὶ

τῶν Λευιτῶν, ἃς διέστειλε Δαυὶδ ἐπὶ τὸν οἶκον Κυρίου καὶ ἀνενέγκαι ὁλοκαυτώματα Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Μωυσῆ, ἐν εὐφροσύνῃ καὶ ἐν ᾠδαῖς διὰ χειρὸς Δαυίδ.

Β Παραλ. 23,18 - Ο αρχιερεύς Ιωδαέ ενεπιστεύθη τα έργα του ναού του Κυρίου εις την εποπτείαν των ιερέων και των Λευιτών. Αποκατέστησε τας τάξεις των ιερέων και των Λευιτών, όπως είχεν ορίσει ο Δαυίδ, στον ναόν του Κυρίου, δια να προσφέρουν τα ολοκαυτώματα στον Κυριον σύμφωνα με όσα είναι γραμμένα στον Νομον του Μωϋσέως. Αυτό έγινε με χαράν και με άσματα, όπως άλλωστε και ο Δαυίδ είχε δώσει εντολήν.

Β Παραλ. 23,19 - καὶ ἔστησαν οἱ πυλωροὶ ἐπὶ τὰς πύλας οἴκου Κυρίου, καὶ οὐκ εἰσελεύσεται ἀκάθαρτος εἰς πᾶν πρᾶγμα.

Β Παραλ. 23,19 - Ετοποθετήθησαν οι θυρωροί εις τας πύλας του ναού του Κυρίου, δια να μη εισέρχεται εκεί δι' οιονδήποτε λόγον κανένας νομικώς ακάθαρτος.

Β Παραλ. 23,20 - καὶ ἔλαβε τοὺς πατριάρχας καὶ τοὺς δυνατοὺς καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ καὶ πάντα τὸν λαὸν τῆς γῆς καὶ ἐπεβίβασαν τὸν βασιλέα εἰς οἶκον Κυρίου, καὶ εἰσῆλθε διὰ τῆς πύλης τῆς ἐσωτέρας εἰς τὸν οἶκον τοῦ βασιλέως, καὶ ἐκάθισαν τὸν βασιλέα ἐπὶ τοῦ θρόνου τῆς βασιλείας.

Β Παραλ. 23,20 - Ο Ιωδαέ επήρε μαζή του τους αρχηγούς των φυλών, τους επ' εξουσίαις και τους άρχοντας του λαού και όλον τον ιουδαϊκόν λαόν και έφεραν εν πομπή τον βασιλέα στον ναόν του Κυρίου. Από εκεί αυτός εισήλθε δια της εσωτερικής πύλης στο βασιλικόν ανάκτορον. Ενεθρόνισαν εκεί τον βασιλέα επί του βασιλικού θρόνου.

Β Παραλ. 23,21 - καὶ ηὐφράνθη πᾶς ὁ λαὸς τῆς γῆς, καὶ ἡ πόλις ἡσύχασε, καὶ τὴν Γοθολίαν ἐθανάτωσαν μαχαίρᾳ.

Β Παραλ. 23,21 - Με όλα αυτά τα γεγονότα ηυφράνθη όλος ο ιουδαϊκός λαός της χώρας, η δε πόλις Ιερουσαλήμ ησύχασε. Την Γοθολίαν είχον ήδη θανατώσει δια μαχαίρας.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 24

Β Παραλ. 24,1 - Ὢν ἐτῶν ἑπτὰ Ἰωὰς ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τεσσαράκοντα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Σαβιὰ ἐκ Βηρσαβεέ.

Β Παραλ. 24,1 - Επτά ετών ήτο ο Ιωάς, όταν ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί τεσσαράκοντα έτη. Η μητέρα του ωνομάζετο Σαβιά και κατήγετο από την Βηρσαβέε.

Β Παραλ. 24,2 - καὶ ἐποίησεν Ἰωὰς τὸ εὐθὲς ἐνώπιον Κυρίου πάσας τὰς ἡμέρας Ἰωδαὲ τοῦ ἱερέως.

Β Παραλ. 24,2 - Ο Ιωάς έπραξε το ορθόν και ευάρεστον ενώπιον του Κυρίου, εφ' όσον χρόνον εζούσε ο αρχιερεύς Ιωδαέ.

Β Παραλ. 24,3 - καὶ ἔλαβεν Ἰωδαέ δύο γυναῖκας ἑαυτῷ, καὶ ἐγέννησαν υἱοὺς καὶ θυγατέρας.

Β Παραλ. 24,3 - Ο Ιωδαέ επήρε δια τον Ιωάς δύο συζύγους, αι οποίαι εγέννησαν εις αυτόν υιούς και θυγατέρας.

Β Παραλ. 24,4 - καὶ ἐγένετο μετά ταῦτα καί ἐγένετο ἐπὶ καρδίαν Ἰωὰς ἐπισκευάσαι τὸν οἶκον Κυρίου.

Β Παραλ. 24,4 - Επειτα από αυτά τα γεγονότα επεθύμησεν ο Ιωάς, να επισκευάση τον ναόν του Κυρίου.

Β Παραλ. 24,5 - καὶ συνήγαγε τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας καὶ εἶπεν αὐτοῖς· ἐξέλθατε εἰς τὰς πόλεις Ἰούδα καὶ συναγάγετε ἀπὸ παντὸς Ἰσραὴλ ἀργύριον κατισχῦσαι τὸν οἶκον Κυρίου ἐνιαυτὸν κατ᾿ ἐνιαυτὸν καὶ σπεύσατε λαλῆσαι· καὶ οὐκ ἔσπευσαν οἱ Λευῖται.

Β Παραλ. 24,5 - Δια τον σκοπόν αυτόν συνεκέντρωσε τους ιερείς και τους Λευίτας και τους είπεν· “εβγάτε εις τας πόλστου βασιλείου του Ιούδα και δι' εράνου συγκεντρώσατε κάθε χρόνον αργύριον, δια να επισκευάσετε τον ναόν του Κυρίου. Σπεύσατε να αναγγείλετε αυτό στους Ισραηλίτας”. Οι Λευίται όμως και οι ιερείς δεν έδειξαν προθυμίαν να εκτελέσουν την εντολήν.

Β Παραλ. 24,6 - καὶ ἐκάλεσεν ὁ βασιλεὺς Ἰωὰς τὸν Ἰωδαέ τὸν ἄρχοντα καὶ εἶπεν αὐτῷ· διατί οὐκ ἐπεσκέψω περὶ τῶν Λευιτῶν τοῦ εἰσενέγκαι ἀπὸ Ἰούδα καὶ Ἱερουσαλὴμ τὸ κεκριμένον ὑπὸ Μωυσῆ ἀνθρώπου τοῦ Θεοῦ, ὅτι ἐξεκκλησίασε τὸν Ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου;

Β Παραλ. 24,6 - Ο βασιλεύς Ιωάς εκάλεσε τον αρχιερέα Ιωδαέ και του είπε· “διατί δεν επέβλεψες στους Λευίτας, ώστε να εισπράξουν αυτοί από το βασίλειον του Ιούδα και από την Ιερουσαλήμ τον φόρον, τον ορισθέντα στους Ισραηλίτας από τον Μωϋσήν, τον άνθρωπον αυτόν του Θεού, τον οποίον φόρον αυτός ώρισεν, όταν συνεκέντρωσε τον ισραηλιτικόν λαόν ενώπιον της Σκηνής του Μαρτυρίου;

Β Παραλ. 24,7 - ὅτι Γοθολία ἦν ἡ ἄνομος, καὶ οἱ υἱοὶ αὐτῆς κατέσπασαν τὸν οἶκον τοῦ Θεοῦ· καὶ γὰρ τὰ ἅγια οἴκου Κυρίου ἐποίησαν ταῖς Βααλίμ.

Β Παραλ. 24,7 - Διότι, όπως γνωρίζετε, η παράνομος Γοθολία και τα παιδιά της επέφεραν μεγάλας καταστροφάς στον οίκον του Θεού, και αυτά τα ιερά μέρη του ναού του Κυρίου τα μετέβαλαν εις τόπον λατρείας των αγαλμάτων του Βααλ”.

Β Παραλ. 24,8 - καὶ εἶπεν ὁ βασιλεύς· γενηθήτω γλωσσόκομον καὶ τεθήτω ἐν πύλῃ οἴκου Κυρίου ἔξω·

Β Παραλ. 24,8 - Ο βασιλεύς τότε διέταξεν· “ας κατασκευασθή ένα χρηματοκιβώτιον και ας τοποθετηθή έξω από τον ναόν του Κυρίου, παρά την πύλην.

Β Παραλ. 24,9 - καὶ κηρυξάτωσαν ἐν Ἰούδᾳ καὶ ἐν Ἱερουσαλὴμ εἰσενέγκαι Κυρίῳ, καθὼς εἶπε Μωυσῆς παῖς τοῦ Θεοῦ ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ.

Β Παραλ. 24,9 - Κηρυκες δε ας διαλαλήσουν εις όλην την Ιουδαίαν και την Ιερουσαλήμ να προσφέρη ο,τι ο καθένας είναι υποχρεωμένος στον Κυριον, τον φόρον τον οποίον διέταξεν ο Μωϋσής, ο δούλος αυτός του Θεού, προς τους Ισραηλίτας, όταν αυτοί ευρίσκοντο εις την έρημον”.

Β Παραλ. 24,10 - καὶ ἔδωκαν πάντες ἄρχοντες καὶ πᾶς ὁ λαὸς καὶ εἰσέφερον καὶ ἐνέβαλλον εἰς τὸ γλωσσόκομον, ἕως οὗ ἐπληρώθη,

Β Παραλ. 24,10 - Ολοι οι άρχοντες και όλος ο λαός έδωκαν τας εισφοράς των, τας οποίας και έρριπταν εις αυτό το κιβώτιον, έως ότου εγέμισεν.

Β Παραλ. 24,11 - καὶ ἐγένετο ὡς εἰσέφερον τὸ γλωσσόκομον πρὸς τοὺς προστάτας τοῦ βασιλέως διὰ χειρὸς τῶν Λευιτῶν καὶ ὡς εἶδον ὅτι ἐπλεόνασε τὸ ἀργύριον, καὶ ἦλθεν ὁ γραμματεὺς τοῦ βασιλέως καὶ ὁ προστάτης τοῦ ἱερέως τοῦ μεγάλου καὶ ἐξεκένωσαν τὸ γλωσσόκομον καὶ κατέστησαν εἰς τὸν τόπον αὐτοῦ· οὕτως ἐποίουν ἡμέραν ἐξ ἡμέρας καὶ συνήγαγον ἀργύριον πολύ.

Β Παραλ. 24,11 - Οταν δε το κιβώτιον αυτό μετεφέρθη δια των χειρών των Λευιτών στους βασιλικούς επόπτας, είδον αυτοί ότι υπήρχεν εντός του κιβωτίου πολύ, πάρα πολύ αργύριον. Ο γραμματεύς του βασιλέως και ο αντιπρόσωπος του αρχιερέως ήλθον, εξεκένωσαν το κιβώτιον αυτό και το ετοποθέτησαν πάλιν στον τόπον του. Αυτό έκαναν κάθε φοράν, που το κιβώτιον εγέμιζεν με αργυρά νομίσματα. Με τον τρόπον αυτόν συνεκέντρωσαν πολύ αργύριον.

Β Παραλ. 24,12 - καὶ ἔδωκεν αὐτὸ ὁ βασιλεὺς καὶ Ἰωδαὲ ὁ ἱερεὺς τοῖς ποιοῦσι τὰ ἔργα εἰς ἐργασίαν οἴκου Κυρίου, καὶ ἐμισθοῦντο λατόμους καὶ τέκτονας ἐπισκευάσαι τὸν οἶκον Κυρίου καὶ χαλκεῖς σιδήρου καὶ χαλκοῦ ἐπισκευάσαι τὸν οἶκον Κυρίου.

Β Παραλ. 24,12 - Ο βασιλεύς Ιωάς και ο Ιωδαέ ο αρχιερεύς έδωκαν αυτό το αργύριον εις εκείνους, οι οποίοι θα ανελάμβαναν τα έργα της επισκευής του ναού του Κυρίου. Αυτοί δε εμίσθωσαν λατόμους και κτίστας, δια να επισκευάσουν τον ναόν του Κυρίου όπως επίσης και σιδηρουργούς, δια να κατεργασθούν τον σίδηρον και τον χαλκόν προς επισκευήν του ναού του Κυρίου.

Β Παραλ. 24,13 - καὶ ἐποίουν οἱ ποιοῦντες τὰ ἔργα, καὶ ἀνέβη μῆκος τῶν ἔργων ἐν χερσὶν αὐτῶν καὶ ἀνέστησαν τὸν οἶκον Κυρίου ἐπὶ τὴν στάσιν αὐτοῦ καὶ ἐνίσχυσαν.

Β Παραλ. 24,13 - Ετσι οι εργάται ειργάζοντο εντατικά και το έργον της ανακαινίσεως επροχωρούσε εις τα χέρια των, μέχρις ότου αποκατέστησαν τον ναόν του Θεού σύμφωνα με το σχέδιόν του και τον εστερέωσαν.

Β Παραλ. 24,14 - καὶ ὡς συνετέλεσαν, ἤνεγκαν πρὸς τὸν βασιλέα καὶ πρὸς Ἰωδαὲ τὸ κατάλοιπον τοῦ ἀργυρίου, καὶ ἐποίησαν σκεύη εἰς οἶκον Κυρίου, σκεύη λειτουργικὰ ὁλοκαυτωμάτων καὶ θυΐσκας χρυσᾶς καὶ ἀργυρᾶς· καὶ ἀνήνεγκαν ὁλοκαυτώσεις ἐν οἴκῳ Κυρίου διαπαντὸς πάσας τὰς ἡμέρας Ἰωδαέ.

Β Παραλ. 24,14 - Οταν δε ετελείωσαν το έργον των, έφεραν στον βασιλέα Ιωάς και τον αρχιερέα Ιωδαέ το υπόλοιπον αργύριον και κατεσκεύασαν με αυτό ιερά σκεύη δια τον ναόν του Κυρίου. Σκεύη δια την προσφοράν των ολοκαυτωμάτων, όπως επίσης και θυμιατήρια μικρά, αργυρά και χρυσά. Εκτοτε δε προσέφεραν ολοκαυτώματα στον ναόν του Κυρίου καθ' όλας τας ημέρας, κατά τας οποίας εζούσεν ο αρχιερεύς Ιωδαέ.

Β Παραλ. 24,15 - Καὶ ἐγήρασεν Ἰωδαὲ πλήρης ἡμερῶν καὶ ἐτελεύτησεν ὢν ἑκατὸν καὶ τριάκοντα ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν·

Β Παραλ. 24,15 - Ο Ιωδαέ, πλήρης ημερών, εγήρασε και απέθανε. Οταν απέθανεν, ήτο ηλικίας εκατόν τριάκοντα ετών.

Β Παραλ. 24,16 - καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαυὶδ μετὰ τῶν βασιλέων, ὅτι ἐποίησεν ἀγαθωσύνην μετὰ Ἰσραὴλ καὶ μετὰ τοῦ Θεοῦ καὶ τοῦ οἴκου αὐτοῦ.

Β Παραλ. 24,16 - Τον έθαψαν εις την πόλιν Δαυίδ, εις την Ιερουσαλήμ, μαζή με τους βασιλείς, διότι είχε κάμει πολλά καλά έργα στον ισραηλιτικόν λαόν, στον Θεόν και στον ναόν του Θεού.

Β Παραλ. 24,17 - καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰωδαὲ εἰσῆλθον οἱ ἄρχοντες Ἰούδα καὶ προσεκύνησαν τὸν βασιλέα· τότε ἐπήκουσεν αὐτοῖς ὁ βασιλεύς.

Β Παραλ. 24,17 - Μετά τον θάνατον του Ιωδαέ ασεβείς άρχοντες παρουσιάσθησαν πρας τον βασιλέα Ιωάς και τον προσεκύνησαν. Αυτός τους εδέχθη και τους ήκουσε με προσοχήν.

Β Παραλ. 24,18 - καὶ ἐγκατέλιπον τὸν οἶκον Κυρίου Θεοῦ τῶν πατέρων αὐτῶν καὶ ἐδούλευον ταῖς Ἀστάρταις καὶ τοῖς εἰδώλοις· καὶ ἐγένετο ὀργὴ ἐπὶ Ἰούδαν καὶ ἐπὶ Ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ταύτῃ.

Β Παραλ. 24,18 - Αυτοί είχαν εγκαταλείψει τον ναόν του Κυρίου, του Θεού των πατέρων των, και ελάτρευαν τα είδωλα της Αστάρτης και διάφορα είδωλα άλλων θεών. Δια τούτο εξέσπασεν οργή Κυρίου εναντίον του λαού των Ιουδαίων και της Ιερουσαλήμ κατά την ημέραν εκείνην.

Β Παραλ. 24,19 - καὶ ἀπέστειλε πρὸς αὐτοὺς προφήτας ἐπιστρέψαι πρὸς Κύριον, καὶ οὐκ ἤκουσαν· καὶ διεμαρτύρατο αὐτοῖς, καὶ οὐχ ὑπήκουσαν.

Β Παραλ. 24,19 - Ο Θεός έστειλεν εις αυτούς προφήτας, δια να επιστρέψουν προς τον Κυριον. Εκείνοι όμως δεν υπήκουσαν. Ο Θεός διεμαρτυρήθη εναντίον των, άλλα και πάλιν αυτοί δεν υπήκουσαν.

Β Παραλ. 24,20 - καὶ πνεῦμα Θεοῦ ἐνέδυσε τὸν Ἀζαρίαν τὸν τοῦ Ἰωδαὲ τὸν ἱερέα καὶ ἀνέστη ἐπάνω τοῦ λαοῦ καὶ εἶπε· τάδε λέγει Κύριος· τί παραπορεύεσθε τὰς ἐντολὰς Κυρίου; καὶ οὐκ εὐοδωθήσεσθε, ὅτι ἐγκατελίπετε τὸν Κύριον, καὶ ἐγκαταλείψει ὑμᾶς.

Β Παραλ. 24,20 - Τοτε Πνεύμα Θεού ενεδυνάμωσε τον Αζαρίαν τον αρχιερέα, υιόν του Ιωδαέ, ο οποίος εσηκώθη ενώπιον του λαού και είπε· “αυτά λέγει ο Κυριος· Διατί παραβαίνετε τας εντολάς του Κυρίου; Δεν θα ευοδωθούν τα έργα σας και δεν θα ευημερήσετε, διότι έχετε εγκαταλείψει τον Κυριον και ο Κυριος θα σας εγκαταλείψη”.

Β Παραλ. 24,21 - καὶ ἐπέθεντο αὐτῷ καὶ ἐλιθοβόλησαν αὐτὸν δι᾿ ἐντολῆς Ἰωὰς τοῦ βασιλέως ἐν αὐλῇ οἴκου Κυρίου.

Β Παραλ. 24,21 - Αυτοί όμως επετέθησαν εναντίον του Αζαρίου και τον εφόνευσαν με λιθοβολισμόν, κατόπιν εντολής του βασιλέως Ιωάς, μέσα εις την αυλήν του ναού του Θεού.

Β Παραλ. 24,22 - καὶ οὐκ ἐμνήσθη Ἰωὰς τοῦ ἐλέους, οὗ ἐποίησεν Ἰωδαὲ ὁ πατὴρ αὐτοῦ μετ᾿ αὐτοῦ, καὶ ἐθανάτωσε τὸν υἱὸν αὐτοῦ. καὶ ὡς ἀπέθνησκεν, εἶπεν· ἴδοι Κύριος καὶ κρινάτω.

Β Παραλ. 24,22 - Ο βασιλεύς Ιωάς ελησμόνησε το καλόν, που είχε κάμει εις αυτόν ο Ιωδαέ, ο πατήρ του φονευθέντος, και αυτός ανταποδίδων κακόν αντί καλού εθανάτωσε τον υιόν εκείνου. Ο Αζαριας, όταν απέθνησκεν είπεν· “ας ίδη ο Κυριος την αδικίαν αυτήν και ας κρίνη”.

Β Παραλ. 24,23 - καὶ ἐγένετο μετὰ τὴν συντέλειαν τοῦ ἐνιαυτοῦ ἀνέβη ἐπ᾿ αὐτὸν δύναμις Συρίας καὶ ἦλθεν ἐπὶ Ἰούδαν καὶ ἐπὶ Ἱερουσαλὴμ καὶ κατέφθειραν πάντας τοὺς ἄρχοντας τοῦ λαοῦ ἐν τῷ λαῷ καὶ πάντα τά σκῦλα αὐτῶν ἀπέστειλαν τῷ βασιλεῖ Δαμασκοῦ·

Β Παραλ. 24,23 - Οταν ετελείωσε το έτος αυτό, εξεστράτευσεν εναντίον του Ιωάς ο στρατός της Συρίας. Αυτοί επήλθον ενάντιον της Ιουδαίας και της Ιερουσαλήμ και κατέκοψαν ανάμεσα στον λαόν όλους τους αρχηγούς του λαού. Επήραν λάφυρα και έστειλαν όλα τα λάφυρά των στον βασιλέα της Δαμασκού.

Β Παραλ. 24,24 - ὅτι ἐν ὀλίγοις ἀνδράσι παρεγένετο δύναμις Συρίας, καὶ ὁ Θεὸς παρέδωκεν εἰς τὰς χεῖρας αὐτῶν δύναμιν πολλὴν σφόδρα, ὅτι ἐγκατέλιπον Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτῶν· καὶ μετὰ Ἰωὰς ἐποίησε κρίματα.

Β Παραλ. 24,24 - Ο στρατός των Συρων, ο οποίος είχεν έλθει, ήτο ολιγάριθμος. Ο Θεός όμως παρέδωκεν εις τας χείρας αυτών την πολύ μεγάλην στρατιωτικήν δύναμιν των Ιουδαίων, διότι αυτοί είχον εγκαταλείψει Κυριον τον Θεόν των πατέρων των. Ετσι ο Θεός δια του στρατού των Συρων ετιμώρησε τας παρανομίας του Ιωάς.

Β Παραλ. 24,25 - καὶ μετὰ τὸ ἀπελθεῖν αὐτοὺς ἀπ᾿ αὐτοῦ, ἐν τῷ ἐγκαταλιπεῖν αὐτὸν ἐν μαλακίαις μεγάλαις καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ ἐν αἵμασιν υἱοῦ Ἰωδαέ τοῦ ἱερέως καὶ ἐθανάτωσαν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ, καὶ ἀπέθανε· καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαυὶδ καὶ οὐκ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν βασιλέων.

Β Παραλ. 24,25 - Οταν αυτοί απεμακρύνθησαν, αφήκαν τον Ιωάς με πολλάς και μεγάλας ασθενείας. Οι δούλοι του έκαμαν τότε συνωμοσίαν, επετέθησαν ενάντίον του και τον εφόνευσαν επάνω εις την κλίνην του, τιμωρούντες έτσι το αθώον αίμα του υιού του αρχιερέως Ιωδαέ. Κατ' αυτόν τον τρόπον απέθανεν ο Ιωάς. Οι Ιουδαίοι τον έθαψαν εις την πόλιν Δαυίδ εις την Ιερουσαλήμ, όχι όμως στον τάφον των βασιλέων.

Β Παραλ. 24,26 - καὶ οἱ ἐπιθέμενοι ἐπ᾿ αὐτὸν Ζαβὲδ ὁ τοῦ Σαμαὰθ ὁ Ἀμμανίτης καὶ Ἰωζαβὲδ ὁ τοῦ Σομαρὼθ ὁ Μωαβίτης

Β Παραλ. 24,26 - Οι επιτεθέντες και φονεύσαντες τον Ιωάς δούλοι του ήσαν ο Ζαβέδ υιός του Σαμαάθ ο Αμμανίτης, και ο Ιωζαβέδ υιός του Σομαρώθ ο Μωαβίτης

Β Παραλ. 24,27 - καὶ οἱ υἱοὶ αὐτοῦ πάντες, καὶ προσῆλθον αὐτῷ οἱ πέντε. καὶ τὰ λοιπὰ ἰδοὺ γεγραμμένα ἐπὶ τὴν γραφὴν τῶν βασιλέων· καὶ ἐβασίλευσεν Ἀμασίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 24,27 - με όλα τα παιδιά του, μάλιστα δε πέντε από αυτούς ήλθον μαζή του. Τα υπόλοιπα από τα έργα του Ιωάς είναι γραμμένα εις τα απομνημονεύματα του βιβλίου των βασιλέων. Αντί του Ιωάς ανεκηρύχθη βασιλεύς ο υιός του, ο Αμασίας.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 25

Β Παραλ. 25,1 - ῍Ων εἴκοσι καὶ πέντε ἐτῶν ἐβασίλευσεν Ἀμασίας καὶ εἰκοσιεννέα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰωαδὲν ἀπὸ Ἱερουσαλήμ.

Β Παραλ. 25,1 - Εικοσιπέντε ετών ήτο ο Αμασίας, όταν έγινε βασιλεύς. Εβασίλευσεν εις την Ιερουσαλήμ επί είκοσι εννέα έτη. Η μητέρα του ωνομάζετο Ιωαδέν και κατήγετο από την Ιερουσαλήμ.

Β Παραλ. 25,2 - καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου, ἀλλ᾿ οὐκ ἐν καρδίᾳ πλήρει.

Β Παραλ. 25,2 - Αυτός έπραξε το ορθόν και ευάρεστον ενώπιον του Κυρίου, όχι όμως με όλην του την καρδίαν.

Β Παραλ. 25,3 - καὶ ἐγένετο ὡς κατέστη ἡ βασιλεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐθανάτωσε τοὺς παῖδας αὐτοῦ τοὺς φονεύσαντας τὸν βασιλέα πατέρα αὐτοῦ·

Β Παραλ. 25,3 - Οταν περιήλθεν εις τα χέρια του η βασιλεία, εφόνευσε τους δούλους του, οι οποίοι είχαν θανατώσει τον βασιλέα πατέρα του.

Β Παραλ. 25,4 - καὶ τοὺς υἱοὺς αὐτῶν οὐκ ἀπέκτεινε κατὰ τὴν διαθήκην τοῦ νόμου Κυρίου, καθὼς γέγραπται, ὡς ἐνετείλατο Κύριος λέγων· οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ οἱ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ἀλλ᾿ ἣ ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανοῦνται.

Β Παραλ. 25,4 - Τους υιούς όμως των φονέων δεν εθανάτωσε σύμφωνα με τον Νομον του Κυρίου, όπου ρητώς αναγράφεται και ο Κυριος είπε· “δεν θα αποθνήσκουν οι πατέρες ένεκα των παιδιών των ούτε τα τέκνα θα θανατώνωνται ένεκα των πατέρων των. Αλλά ο καθένας θα θανατώνεται δια την ιδικήν του αμαρτίαν”.

Β Παραλ. 25,5 - καὶ συνήγαγεν Ἀμασίας τὸν οἶκον Ἰούδα καὶ ἀνέστησεν αὐτοὺς κατ᾿ οἴκους πατριῶν αὐτῶν εἰς χιλιάρχους καὶ ἑκατοντάρχους ἐν παντὶ Ἰούδᾳ καὶ Ἱερουσαλήμ· καὶ ἠρίθμησεν αὐτοὺς ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω καὶ εὗρεν αὐτοὺς τριακοσίας χιλιάδας ἐξελθεῖν εἰς πόλεμον δυνατοὺς κρατοῦντας δόρυ καὶ θυρεόν.

Β Παραλ. 25,5 - Ο Αμασίας συνεκέντρωσε τους άνδρας της φυλής του Ιούδα και τους κατέταξε κατά τους πατριαρχικούς οίκους των εις όλην την Ιουδαίαν και την Ιερουσαλήμ, ορίσας δι' αυτούς χιλιάρχους και εκατοντάρχους. Εκαμε δε και αρίθμησιν αυτών από είκοσι ετών και άνω και ευρήκεν, ότι ήσαν τριακόσιοι χιλιάδες, ικανοί να εξέλθουν εις πόλεμον και να κρατούν δόρυ και μεγάλην ασπίδα.

Β Παραλ. 25,6 - καὶ ἐμισθώσατο ἀπὸ Ἰσραὴλ ἑκατὸν χιλιάδας δυνατοὺς ἰσχύϊ ἑκατὸν ταλάντων ἀργυρίου.

Β Παραλ. 25,6 - Επήρε δε από το βασίλειον του Ισραήλ εκατόν χιλιάδας μισθοφόρους δυνατούς αντί εκατόν ταλάντων αργυρίου.

Β Παραλ. 25,7 - καὶ ἄνθρωπος τοῦ Θεοῦ ἦλθε πρὸς αὐτὸν λέγων· βασιλεῦ, οὐ πορεύσεται μετὰ σοῦ δύναμις Ἰσραήλ, ὅτι οὐκ ἔστι Κύριος μετά Ἰσραήλ, πάντων τῶν υἱῶν Ἐφραίμ.

Β Παραλ. 25,7 - Ενας άνθρωπος του Θεού ήλθε τότε προς τον Αμασίαν και του είπε· “βασιλεύ, δεν πρέπει να πορευθή μαζή σου εις εκστρατείαν ο στρατός αυτός από τον ισραηλιτικόν λαόν, διότι ο Κυριος δεν είναι μαζή με τον λαόν αυτόν, με αυτούς τους απογόνους της φυλής του Εφραίμ.

Β Παραλ. 25,8 - ὅτι ἐὰν ὑπολάβῃς κατισχῦσαι ἐν τούτοις, καὶ τροπώσεταί σε Κύριος ἐναντίον τῶν ἐχθρῶν, ὅτι ἐστὶ παρὰ Κυρίου καὶ ἰσχῦσαι καὶ τροπώσασθαι.

Β Παραλ. 25,8 - Διότι εάν φαντασθής δη με αυτούς θα υπερισχύσης, σου καθιστώ γνωστόν ότι ο Κυριος θα φέρη έτσι τα πράγματα, ώστε να νικηθής ενώπιον των εχθρών σου. Σκέψου ότι μόνον δια του Κυρίου θα ημπορέσης να νικήσης και να κατατροπώσης τους εχθρούς σου”.

Β Παραλ. 25,9 - καὶ εἶπεν Ἀμασίας τῷ ἀνθρώπῳ τοῦ Θεοῦ· καὶ τί ποιήσω τὰ ἑκατὸν τάλαντα, ἃ ἔδωκα τῇ δυνάμει Ἰσραήλ; καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ Θεοῦ· ἔστι τῷ Κυρίῳ δοῦναί σοι πλεῖστα τούτων.

Β Παραλ. 25,9 - Ο Αμασίας είπε τότε στον άνθρωπον του Θεού· "και τι θα γίνη με τα εκατόν τάλαντα, τα οποία έδωκα στον μισθοφορικόν αυτόν στρατόν του Ισραήλ;" Ο άνθρωπος του Θεού του απήντησεν· "στον Κυριον και Θεόν είναι δυνατόν να σου δώση περισσότερα τάλαντα, από εκείνα που συ έδωσες".

Β Παραλ. 25,10 - καὶ διεχώρισεν Ἀμασίας τῇ δυνάμει τῇ ἐλθούσῃ πρὸς αὐτὸν ἀπὸ Ἐφραὶμ ἀπελθεῖν εἰς τὸν τόπον αὐτῶν, καὶ ἐθυμώθησαν σφόδρα ἐπὶ Ἰούδαν καὶ ἐπέστρεψαν εἰς τὸν τόπον αὐτῶν ἐν ὀργῇ θυμοῦ.

Β Παραλ. 25,10 - Ο Αμασίας εξεχώρισε τους στρατιώτας αυτούς τους μισθοφόρους, οι οποίοι είχον έλθει προς αυτόν από την φυλήν Εφραίμ, και τους διέταξε να επανέλθουν εις την χώραν των. Εκείνοι ωργίσθησαν πάρα πολύ εναντίον του βασιλείου του Ιούδα και επέστρεψαν στον τόπον των πλήρεις οργής.

Β Παραλ. 25,11 - καὶ Ἀμασίας κατίσχυσε καὶ παρέλαβε τὸν λαὸν αὐτοῦ καὶ ἐπορεύθη εἰς τὴν κοιλάδα τῶν ἁλῶν καὶ ἐπάταξεν ἐκεῖ τοὺς υἱοὺς Σηεὶρ δέκα χιλιάδας·

Β Παραλ. 25,11 - Ο Αμασίας όμως, ενθαρρυνθείς από τα λόγια του ανθρώπου του Θεού, επήρε τον στρατόν του και εβάδισε προς την κοιλάδα των Αλών. Εκεί δε κατετρόπωσε δέκα χιλιάδας Ιδουμαίους, οι οποίοι κατοικούσαν στο όρος Σηείρ.

Β Παραλ. 25,12 - καὶ δέκα χιλιάδας ἐζώγρησαν οἱ υἱοὶ Ἰούδα καὶ ἔφερον αὐτοὺς ἐπὶ τὸ ἄκρον τοῦ κρημνοῦ καὶ κατεκρήμνιζον αὐτοὺς ἀπὸ τοῦ ἄκρου τοῦ κρημνοῦ, καὶ πάντες διεῤῥήγνυντο.

Β Παραλ. 25,12 - Αλλας δέκα χιλιάδας Ιδουμαίων συνέλαβαν οι Ιουδαίοι ζώντας, τους οποίους έφεραν εις την άκραν ενός κρημνού. Από το χείλος αυτού του κρημνού τους κατεκρήμνισαν· και εκείνοι όλοι συνετρίβοντο.

Β Παραλ. 25,13 - καὶ οἱ υἱοὶ τῆς δυνάμεως, οὓς ἀπέστρεψεν Ἀμασίας τοῦ μὴ πορευθῆναι μετ᾿ αὐτοῦ εἰς πόλεμον, καὶ ἐπέθεντο ἐπὶ τὰς πόλεις Ἰούδα ἀπὸ Σαμαρείας ἕως Βαιθωρὼν καὶ ἐπάταξαν ἐν αὐτοῖς τρεῖς χιλιάδας καὶ ἐσκύλευσαν σκῦλα πολλά.

Β Παραλ. 25,13 - Οι μισθοφόροι όμως στρατιώται των Ισραηλιτών, στους οποίους ο Αμασίας δεν επέτρεψε να εκστρατεύσουν μαζή με αυτόν στον πόλεμον, επετέθησαν εναντίον των πόλεων του βασιλείου του Ιούδα, από την Σαμάρειαν έως την πόλιν Βαιθωρών. Εφόνευσαν τρεις χιλιάδες από τους Ιουδαίους και επήραν πολλά λάφυρα.

Β Παραλ. 25,14 - καὶ ἐγένετο μετὰ τὸ ἐλθεῖν Ἀμασίαν πατάξαντα τὴν Ἰδουμαίαν καὶ ἤνεγκε πρὸς αὐτοὺς τοὺς θεοὺς υἱῶν Σηεὶρ καὶ ἔστησεν

αὐτοὺς ἑαυτῷ εἰς θεοὺς καὶ ἐναντίον αὐτῶν προσεκύνει καὶ αὐτὸς αὐτοῖς ἔθυε.

Β Παραλ. 25,14 - Αλλά όταν ο Αμασίας επέστρεψεν από την εκστρατείαν, κατά την οποίαν είχε νικήσει την Ιδουμαίαν, έφερε μαζή του τους θεούς του όρους Σηείρ και έστησεν αυτούς, δια να είναι ιδικοί του θεοί. Τους προοεκύνησε και προσέφερεν ο ίδιος θυσίας εις αυτούς.

Β Παραλ. 25,15 - καὶ ἐγένετο ὀργὴ Κυρίου ἐπὶ Ἀμασίαν, καὶ ἀπέστειλεν αὐτῷ προφήτην καὶ εἶπεν αὐτῷ· τί ἐζήτησας τοὺς Θεοὺς τοῦ λαοῦ, οἳ οὐκ ἐξείλοντο τὸν λαὸν ἑαυτῶν ἐκ χειρός σου;

Β Παραλ. 25,15 - Εξέσπασεν όμως εναντίον του Αμασία η οργή του Κυρίου, ο οποίος και έστειλε προς αυτόν ένα προφήτην και του είπε· “διατί συ ελάτρευσες τους θεούς του ειδωλολατρικού εκείνου λαού, οι οποίοι δεν ημπόρεσαν να βγάλουν και να σώσουν τον λαόν των από τα χέρια σου;”

Β Παραλ. 25,16 - καὶ ἐγένετο ἐν τῷ λαλῆσαι αὐτῷ πρὸς αὐτὸν καὶ εἶπεν αὐτῷ· μὴ σύμβουλον τοῦ βασιλέως δέδωκά σε; πρόσεχε ἵνα μὴ μαστιγωθῇς. καὶ ἐσιώπησεν ὁ προφήτης καὶ εἶπεν, ὅτι γινώσκω ὅτι ἐβούλετο ἐπὶ σοὶ τοῦ καταφθεῖραί σε, ὅτι ἐποίησας τοῦτο καὶ οὐκ ἐπήκουσας τῆς συμβουλίας μου.

Β Παραλ. 25,16 - Οταν ο προφήτης είπεν αυτά προς εκείνον, ο Αμασίας απήντησε· “μήπως και σε διώρισαν σύμβουλον εμού του βασιλέως; Πρόσεχε, μήπως σε τιμωρήσω με μαστίγωσιν”. Ο προφήτης απεσύρθη, εσιώπησε και είπεν από μέσα του· “γνωρίζω ότι ο Κυριος ηθέλησε να σε καταστρέψη. Δια τούτο και έκαμες την πράξιν αυτήν και δεν εδέχθης την συμβουλήν μου”.

Β Παραλ. 25,17 - καὶ ἐβουλεύσατο Ἀμασίας ὁ βασιλεὺς Ἰούδα καὶ ἀπέστειλε πρὸς Ἰωὰς υἱὸν Ἰωάχαζ υἱοῦ Ἰηοὺ βασιλέα Ἰσραὴλ λέγων· δεῦρο καὶ ὀφθῶμεν προσώποις.

Β Παραλ. 25,17 - Ο Αμασίας ο βασιλεύς του βασιλείου του Ιούδα εσκέφθη και έστειλεν απεσταλμένον του προς τον βασιλέα του Ισραήλ τον Ιωάς υιόν του Ιωάχαζ υιού του Ιηού, και του είπε· “έλα να λογαριασθώμεν εις την μάχην”.

Β Παραλ. 25,18 - καὶ ἀπέστειλεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ πρὸς Ἀμασίαν βασιλέα Ἰούδα λέγων· ὁ ἀχοὺχ ὁ ἐν τῷ Λιβάνῳ ἀπέστειλε πρὸς τὴν κέδρον τὴν ἐν τῷ Λιβάνῳ λέγων· δὸς τὴν θυγατέρα σου τῷ υἱῷ μου εἰς γυναῖκα. καὶ ἰδοὺ ἐλεύσεται τά θηρία τοῦ ἀγροῦ τὰ ἐν τῷ Λιβάνῳ· καὶ ἦλθον τὰ θηρία καὶ κατεπάτησαν τὸν ἀχούχ.

Β Παραλ. 25,18 - Ο Ιωάς ο βασιλεύς του Ισραήλ έστειλε προς τον Αμασίαν τον βασιλέα του Ιούδα ανθρώπους του, οι οποίοι και του είπαν· “η άκανθα, η οποία ευρίσκεται στο όρος Λιβανον, έστειλε προς την κέδρον προξενητήν και της είπε· Δώσε την θυγατέρα σου σύζυγον στο παιδί μου.

Αλλ' αίφνης τα θηρία, τα οποία ευρίσκοντο εις την περιοχήν του Λιβάνου, ήλθον και κατεπάτησαν την άκανθαν.

Β Παραλ. 25,19 - εἶπας· ἰδοὺ ἐπάταξα τὴν Ἰδουμαίαν καὶ ἐπαίρει σε ἡ καρδία σου ἡ βαρεῖα· νῦν κάθισον ἐν οἴκῳ σου καὶ ἱνατί συμβάλλεις ἐν κακίᾳ καὶ πεσῇ σὺ καὶ Ἰούδας μετὰ σοῦ;

Β Παραλ. 25,19 - Συ είπες, συνέχισεν ο Ιωάς, ιδού υπέταξα την Ιδουμαίαν. Η καρδία σου αλαζονεύθηκε και έγινεν υπερήφανος. Τωρα, λοιπόν, σε συμβουλεύω κάθησε ήσυχος στο σπίτι σου. Διατί προκαλείς επάνω σου την δυστυχίαν, ώστε να πέσης συ και το βασίλειον του Ιούδα μαζή σου;”

Β Παραλ. 25,20 - καὶ οὐκ ἤκουσεν Ἀμασίας, ὅτι παρὰ Κυρίου ἐγένετο τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖρας, ὅτι ἐξεζήτησε τοὺς θεοὺς τῶν Ἰδουμαίων.

Β Παραλ. 25,20 - Δεν τα ήκουσεν αυτά ο Αμασίας. Αυτό έγινε κατά παραχώρησιν Θεού, δια να τον παραδώση ο Θεός εις τα χέρια των εχθρών του, επειδή αυτός κατέφυγε και ελάτρευσε τους θεούς των Ιδουμαίων.

Β Παραλ. 25,21 - καὶ ἀνέβη Ἰωὰς βασιλεὺς Ἰσραήλ, καὶ ὤφθησαν ἀλλήλοις αὐτὸς καὶ Ἀμασίας βασιλεὺς Ἰούδα ἐν Βαιθσαμύς, ἥ ἐστι τοῦ Ἰούδα.

Β Παραλ. 25,21 - Ιωάς ο βασιλεύς του Ισραήλ εξεστράτευσεν εναντίον του Αμασίου. Ηλθον αντιμέτωποι μεταξύ των ο Ιωάς και ο Αμασίας, ο βασιλεύς του Ιούδα, εις την Βαιθσαμύς, πόλιν που ευρίσκεται εις την χώραν του Ιούδα.

Β Παραλ. 25,22 - καὶ ἐτροπώθη Ἰούδας κατὰ πρόσωπον Ἰσραήλ, καὶ ἔφυγεν ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ.

Β Παραλ. 25,22 - Οι Ιουδαίοι κατετροπώθησαν από τους Ισραηλίτας και έφυγαν ο καθένας εις την πόλιν του.

Β Παραλ. 25,23 - καὶ τὸν Ἀμασίαν βασιλέα Ἰούδα τὸν τοῦ Ἰωὰς υἱοῦ Ἰωάχαζ κατέλαβεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ ἐν Βαιθσαμὺς καὶ εἰσήγαγεν αὐτὸν εἰς Ἱερουσαλὴμ καὶ κατέσπασεν ἀπὸ τοῦ τείχους Ἱερουσαλήμ, ἀπὸ πύλης Ἐφραὶμ ἕως πύλης γωνίας τετρακοσίους πήχεις·

Β Παραλ. 25,23 - Τον δε Αμασίαν, τον βασιλέα των Ιουδαίων υιόν του Ιωάς υιού του Ιωάχαζ, συνέλαβεν ο Ιωάς ο βασιλεύς του Ισραήλ αιχμάλωτον εις την Βαιθσαμύς και τον ωδήγησεν εις την Ιερουσαλήμ. Εκεί διέταξεν ο Ιωάς και κατεδάφισαν το τείχος της Ιερουσαλήμ από την πύλην Εφραίμ μέχρι της πύλης της γωνίας εις μήκος τετρακοσίων πήχεων.

Β Παραλ. 25,24 - καὶ πᾶν τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ πάντα τὰ σκεύη τὰ εὑρεθέντα ἐν οἴκῳ Κυρίου καὶ παρὰ τῷ Ἀβδεδὸμ καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ τοὺς υἱοὺς τῶν συμμίξεων καὶ ἐπέστρεψεν εἰς Σαμάρειαν.

Β Παραλ. 25,24 - Επήρε δε όλον το χρυσίον και το αργύριον και όλα τα ιερά σκεύη, τα οποία ευρέθησαν στον ναόν του Κυρίου, όπως επίσης και όσα ήσαν υπό την φύλαξιν του Αβδεδόμ, και τους θησαυρούς του βασιλικού ανακτόρου και ομήρους. Φέρων όλα αυτά επέστρεψεν ο Ιωάς εις την Σαμάρειαν.

Β Παραλ. 25,25 - καὶ ἔζησεν Ἀμασίας ὁ τοῦ Ἰωὰς βασιλεὺς Ἰούδα μετὰ τὸ ἀποθανεῖν Ἰωὰς τὸν τοῦ Ἰωάχαζ βασιλέα Ἰσραὴλ ἔτη δεκαπέντε.

Β Παραλ. 25,25 - Ο Αμασίας, ο υιός του Ιωάς ο βασιλεύς του Ιούδα, έζησεν έπειτα από τον θάνατον του Ιωάς, του υιού του Ιωάχαζ του βασιλέως του Ισραήλ, δεκαπέντε έτη.

Β Παραλ. 25,26 - καὶ οἱ λοιποὶ λόγοι Ἀμασίου οἱ πρῶτοι καὶ οἱ ἔσχατοι οὐκ ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ;

Β Παραλ. 25,26 - Τα υπόλοιπα έργα του Αμασίου, τα πρώτα και τα τελευταία, δεν είναι γραμμένα στο βιβλίον των βασιλέων του Ιούδα και του Ισραήλ;

Β Παραλ. 25,27 - καὶ ἐν τῷ καιρῷ, ᾧ ἀπέστη Ἀμασίας ἀπὸ Κυρίου, καὶ ἐπέθεντο αὐτῷ ἐπίθεσιν, καὶ ἔφυγεν ἀπὸ Ἱερουσαλὴμ εἰς Λαχίς· καὶ ἀπέστειλαν κατόπισθεν αὐτοῦ εἰς Λαχὶς καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ.

Β Παραλ. 25,27 - Κατά τον καιρόν εκείνον, κατά τον οποίον ο Αμασίας είχεν αποστατήσει από τον Κυριον, μερικοί άνδρες έκαμαν συνωμοσίαν εναντίον του. Αυτός δια να σωθή, έφυγεν από την Ιερουσαλήμ και ήλθεν εις την Λαχίς. Οι συνωμόται έστειλαν όπισθεν από αυτόν άνδρας εις την Λαχίς, οι οποίοι και τον εθανάτωσαν εκεί.

Β Παραλ. 25,28 - καὶ ἀνέλαβον αὐτὸν ἐπὶ τῶν ἵππων καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαυίδ.

Β Παραλ. 25,28 - Το νεκρόν σώμα του το εφορτωσαν επάνω εις ίππον, το μετέφεραν εις την Ιερουσαλήμ και το έθαψαν μαζή με τους πατέρας του εις την πόλιν Δαυίδ.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 26

Β Παραλ. 26,1 - Καὶ ἔλαβε πᾶς ὁ λαὸς τῆς γῆς τὸν Ὀζίαν, καὶ αὐτὸς υἱὸς ἑκκαίδεκα ἐτῶν, καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ Ἀμασίου.

Β Παραλ. 26,1 - Ολος ο ιουδαϊκός λαός επήρε και ανεκήρυξε βασιλέα τον Οζίαν. Ο Οζίας ήτο δεκαέξ ετών, όταν ανεκηρύχθη βασιλεύς αντί του πατρός του Αμασίου.

Β Παραλ. 26,2 - αὐτὸς ᾠκοδόμησε τὴν Αἰλάθ, αὐτὸς ἐπέστρεψεν αὐτὴν τῷ Ἰούδᾳ μετὰ τὸ κοιμηθῆναι τὸν βασιλέα μετὰ τῶν πατέρων αὐτοῦ.

Β Παραλ. 26,2 - Αυτός, μετά τον θάνατον του βασιλέως πατρός του και τον ενταφιασμόν του στον τάφον των προπατόρων του, ανοικοδόμησε την Αιλάθ και επανέδωκεν αυτήν στο βασίλειον του Ιούδα.

Β Παραλ. 26,3 - υἱὸς ἑκκαίδεκα ἐτῶν ἐβασίλευσεν Ὀζίας καὶ πεντήκοντα καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰεχελία ἀπὸ Ἱερουσαλήμ.

Β Παραλ. 26,3 - Δεκαέξ ετών ήτο, όταν έγινε βασιλεύς ο Οζίας. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί πεντήκοντα δύο έτη. Η μητέρα του ωνομάζετο Ιεχελία και κατήγετο από την Ιερουσαλήμ.

Β Παραλ. 26,4 - καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου κατὰ πάντα, ὅσα ἐποίησεν Ἀμασίας ὁ πατὴρ αὐτοῦ.

Β Παραλ. 26,4 - Αυτός έπραξε το ορθόν και ευάρεστον ενώπιον του Κυρίου κατά πάντα, όπως είχε πράξει και ο πατήρ του ο Αμασίας.

Β Παραλ. 26,5 - καὶ ἦν ἐκζητῶν τὸν Κύριον ἐν ταῖς ἡμέραις Ζαχαρίου τοῦ συνιόντος ἐν φόβῳ Κυρίου· καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ ἐζήτησε τὸν Κύριον, καὶ εὐώδωσεν αὐτῷ Κύριος.

Β Παραλ. 26,5 - Αυτός ελάτρευε τον Κυριον καθ' όλον το διάστημα της ζωής του Ζαχαρίου, ανθρώπου ο οποίος κατενόει και εδίδασκεν εν φόβω Κυρίου. Κατά τας ημέρας, λοιπόν, του Ζαχαρίου ο Οζίας ελάτρευε τον Κυριον, ο δε Κυριος τον κατευώδωνεν εις όλα.

Β Παραλ. 26,6 - καὶ ἐξῆλθε καὶ ἐπολέμησε πρὸς τοὺς ἀλλοφύλους καὶ κατέσπασε τὰ τείχη Γὲθ καὶ τὰ τείχη Ἰαβνὴ καὶ τὰ τείχη Ἀζώτου καὶ ᾠκοδόμησε πόλεις Ἀζώτου καὶ ἐν τοῖς ἀλλοφύλοις.

Β Παραλ. 26,6 - Ο Οζίας εξεστράτευσε και επολέμησεν εναντίον των Φιλισταίων, τους ενίκησε και εκρήμνισε τα τα τείχη της πόλεως Γέθ, τα τείχη της πόλεως Ιαβνή, τα τείχη της Αζώτου, και οικοδόμησε πόλεις εις την περιοχήν της Αζώτου μεταξύ των Φιλισταίων.

Β Παραλ. 26,7 - καὶ κατίσχυσεν αὐτὸν Κύριος ἐπὶ τοὺς ἀλλοφύλους καὶ ἐπὶ τοὺς Ἄραβας τοὺς κατοικοῦντας ἐπὶ τῆς πέτρας καὶ ἐπὶ τοὺς Μιναίους.

Β Παραλ. 26,7 - Ο Κυριος ενεδυνάμωσεν αυτόν εναντίον των Φιλισταίων, εναντίον των Αράβων, οι οποίοι κατοικούσαν εις την Πέτραν, και εναντίον των Μιναίων.

Β Παραλ. 26,8 - καὶ ἔδωκαν οἱ Μιναῖοι δῶρα τῷ Ὀζίᾳ, καὶ ἦν τὸ ὄνομα αὐτοῦ ἕως εἰσόδου Αἰγύπτου, ὅτι κατίσχυσεν ἕως ἄνω.

Β Παραλ. 26,8 - Οι Μιναίοι προσέφεραν δώρα στον Οζίαν. Η φήμη του κατέστη γνωστή έως εις τας χώρας, αι οποίαι ευρίσκοντο εις την είσοδον της Αιγύπτου. Απέκτησε δε τέτοιαν μεγάλην ψήμην, διότι είχε γίνει πολύ ισχυρός.

Β Παραλ. 26,9 - καὶ ᾠκοδόμησεν Ὀζίας πύργους ἐν Ἱερουσαλὴμ καὶ ἐπὶ τὴν πύλην τῆς γωνίας καὶ ἐπὶ τὴν πύλην τῆς φάραγγος καὶ ἐπὶ τῶν γωνιῶν καὶ κατίσχυσε.

Β Παραλ. 26,9 - Ο Οζίας οικοδόμησε πύργους εις την Ιερουσαλήμ, εις την πύλην μιας γωνίας του τείχους, εις την πύλην της φάραγγος και εις τας άλλας γωνίας του τείχους, τους οποίους πύργους και ωχύρωσεν.

Β Παραλ. 26,10 - καὶ ᾠκοδόμησε πύργους ἐν τῇ ἐρήμῳ καὶ ἐλατόμησε λάκκους πολλούς, ὅτι κτήνη πολλὰ ὑπῆρχεν αὐτῷ ἐν Σεφηλᾷ καὶ ἐν τῇ πεδινῇ καὶ ἀμπελουργοὶ ἐν τῇ ὀρεινῇ καὶ ἐν τῷ Καρμήλῳ, ὅτι γεωργὸς ἦν.

Β Παραλ. 26,10 - Οικοδόμησεν επίσης πύργους εις την έρημον και ελατόμησε πολλάς δεξαμενάς, δια να συλλέγεται το ύδωρ, επειδή είχε πολλά κτήνη εις την Σεφηλάν και εις την πεδινήν, όπως επίσης και αμπελουργούς εις την ορεινήν περιοχήν και στο Καρμηλον και ταύτα, διότι αγαπούσε την γεωργίαν.

Β Παραλ. 26,11 - καὶ ἐγένετο τῷ Ὀζίᾳ δύναμις ποιοῦσα πόλεμον καὶ ἐκπορευομένη εἰς παράταξιν εἰς πόλεμον καὶ εἰσπορευομένη εἰς παράταξιν εἰς ἀριθμόν, καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν διὰ χειρὸς Ἰεϊὴλ τοῦ γραμματέως καὶ Μαασίου τοῦ κριτοῦ, διὰ χειρὸς Ἀνανίου τοῦ διαδόχου τοῦ βασιλέως.

Β Παραλ. 26,11 - Ο Οζίας είχε συγκροτήσει στρατιωτικήν εμπειροπόλεμον δύναμιν, η οποία ελάμβανε μέρος εις τας πολεμικάς εκστρατείας, συγκροτημένη εις στρατιωτικά τμήματα σύμφωνα με την αρίθμησιν, την οποίαν είχε κάμει ο Ιεϊήλ ο γραμματεύς, και ο Μαασίας ο δικαστής, και ο Ανανίας ένας από τους στρατηγούς του βασιλέως.

Β Παραλ. 26,12 - πᾶς ὁ ἀριθμὸς τῶν πατριαρχῶν τῶν δυνατῶν εἰς πόλεμον δισχίλιοι ἑξακόσιοι,

Β Παραλ. 26,12 - Ολος ο αριθμός των αρχηγών του στρατού, οι οποίοι ελάμβανον μέρος στον πόλεμον, ήσαν δύο χιλιάδες εξακόσιοι.

Β Παραλ. 26,13 - καὶ μετ᾽ αὐτῶν δύναμις πολεμικὴ τριακόσιαι χιλιάδες καὶ ἑπτακισχίλιοι καί πεντακόσιοι· οὗτοι οἱ ποιοῦντες πόλεμον ἐν δυνάμει ἰσχύος βοηθῆσαι τῷ βασιλεῖ ἐπὶ τοὺς ὑπεναντίους.

Β Παραλ. 26,13 - Είχον αυτοί υπό την διοίκησίν των πολεμικήν δύναμιν τριακοσίων επτά χιλιάδων πεντακοσίων ανδρών. Αυτοί ήσαν που διηύθυναν τον πόλεμον, δια να βοηθούν τον βασιλέα εναντίον των εχθρών.

Β Παραλ. 26,14 - καὶ ἡτοίμασεν αὐτοῖς Ὀζίας πάσῃ τῇ δυνάμει θυρεοὺς καὶ δόρατα καὶ περικεφαλαίας καὶ θώρακας καὶ τόξα καὶ σφενδόνας εἰς λίθους.

Β Παραλ. 26,14 - Ο Οζίας κατεσκεύασε και έδωσεν εις όλον αυτόν τον στρατόν μεγάλας ασπίδας και δόρατα, περικεφαλαίας και θώρακας, τόξα και σφενδόνας δια λίθους.

Β Παραλ. 26,15 - καὶ ἐποίησεν ἐν Ἱερουσαλὴμ μηχανὰς μεμηχανευμένας λογιστοῦ τοῦ εἶναι ἐπὶ τῶν πύργων καὶ ἐπὶ τῶν γωνιῶν βάλλειν βέλεσι καὶ λίθοις μεγάλοις· καὶ ἠκούσθη ἡ κατασκευὴ αὐτῶν ἕως πόῤῥω, ὅτι ἐθαυμαστώθη τοῦ βοηθῆναι, ἕως οὗ κατίσχυσε.

Β Παραλ. 26,15 - Ο Οζίας κατεσκεύασεν επίσης εις την Ιερουσαλήμ πολεμικάς μηχανάς, τας οποίας εφεύρε κάποιος μηχανικός, ώστε αυταί τοποθετούμενοι εις τας γωνίας του τείχους και στους πύργους να εκτοξεύουν βέλη και μεγάλους λίθους. Η φήμη δε δια τας επινοηθείσας αυτάς πολεμικάς μηχανάς έφθασε πολύ μακράν. Είναι δε γεγονός ότι ο Οζίας κατά θαυμαστόν τρόπον εβοηθήθη από τον Θεόν, ώστε να καταστή ισχυρός.

Β Παραλ. 26,16 - Καὶ ὡς κατίσχυσεν, ὑψώθη ἡ καρδία αὐτοῦ τοῦ καταφθεῖραι, καὶ ἠδίκησεν ἐν Κυρίῳ Θεῷ αὐτοῦ καὶ εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων.

Β Παραλ. 26,16 - Οταν όμως αυτός απέκτησεν αυτήν την ισχύν υπερηφανεύθη η καρδία του, ώστε να οδηγήση αυτόν εις καταστροφήν. Ημάρτησεν ενώπιον Κυρίου του Θεού, διότι, χωρίς να έχει ιερατικόν αξίωμα, εισήλθε παρανόμως στον ναόν του Θεού, δια να προσφέρη θυμίαμα στο θυσιαστήριον των θυμιαμάτων.

Β Παραλ. 26,17 - καὶ εἰσῆλθεν ὀπίσω αὐτοῦ Ἀζαρίας ὁ ἱερεὺς καὶ μετ᾿ αὐτοῦ ἱερεῖς τοῦ Κυρίου ὀγδοήκοντα υἱοὶ δυνατοὶ

Β Παραλ. 26,17 - Οπίσω από αυτόν ακολουθούσεν ο αρχιερεύς Αζαρίας και μαζή με τον αρχιερέα εκατόν ογδοήκοντα ιερείς του Κυρίου, άνδρες δυνατοί.

Β Παραλ. 26,18 - καὶ ἔστησαν ἐπὶ Ὀζίαν τὸν βασιλέα καὶ εἶπαν αὐτῷ· οὐ σοί, Ὀζία, θυμιάσαι τῷ Κυρίῳ, ἀλλ᾿ ἢ τοῖς ἱερεῦσιν υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις θυμιάσαι· ἔξελθε ἐκ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ Κυρίου, καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ Κυρίου Θεοῦ.

Β Παραλ. 26,18 - Αυτοί αντεστάθησαν στον βασιλέα Οζίαν και του είπαν· “δεν είναι ιδικόν σου καθήκον ούτε και δικαίωμά σου, Οζία, να προσφέρης θυμίαμα στον ναόν του Κυρίου. Αυτό είναι καθήκον και δικαίωμα των ιερέων, των απογόνων του Ααρών, οι οποίοι είναι καθιερωμένοι, δια να προσφέρουν το θυμίαμα. Εβγα, λοιπόν, από τον ναόν, διότι συ έχεις πλέον αποστατήσει από τον Κυριον. Αυτή δε η πράξις, την οποίαν επιχειρείς να κάμης, κάθε άλλο παρά δόξαν παρά Θεού θα σου δώση”.

Β Παραλ. 26,19 - καὶ ἐθυμώθη Ὀζίας, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὸ θυμιατήριον τοῦ θυμιάσαι ἐν τῷ ναῷ, καὶ ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς τοὺς ἱερεῖς καὶ ἡ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ ἐναντίον τῶν ἱερέων ἐν οἴκῳ Κυρίου ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων.

Β Παραλ. 26,19 - Ο Οζίας ωργίσθη, καθ' ον χρόνον εκρατούσεν στο χέρι του το θυμιατήριον, δια να θυμιάση τον ναόν. Την ώραν ακριβώς, κατά την οποίαν αυτός είχεν οργισθή εναντίον των ιερέων, εφάνηκε λέπρα στο μέτωπόν του εκεί εμπρός στους ιερείς, στον ναόν του Κυρίου, πλησίον στο θυσιαστήριον των θυμιαμάτων.

Β Παραλ. 26,20 - καὶ ἐπέστρεψε πρὸς αὐτὸν Ἀζαρίας ὁ ἱερεὺς ὁ πρῶτος καὶ οἱ ἱερεῖς, καὶ ἰδοὺ αὐτὸς λεπρὸς ἐν τῷ μετώπῳ· καὶ κατέσπευσαν

αὐτὸν ἐκεῖθεν, καὶ γὰρ αὐτὸς ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν Κύριος.

Β Παραλ. 26,20 - Ο αρχιερεύς Αζαρίας και οι άλλοι ιερείς εστράφησαν προς αυτόν και ιδού είδον αίφνης, ότι αυτός ήτο λεπρός στο μέτωπόν του. Τον εξεδίωξαν αμέσως από εκεί και αυτός ο ίδιος έσπευσε να εξέλθη, διότι ο Κυριος τον είχε τιμωρήσει.

Β Παραλ. 26,21 - καὶ Ὀζίας ὁ βασιλεὺς ἦν λεπρὸς ἕως ἡμέρας τῆς τελευτῆς αὐτοῦ, καὶ ἐν οἴκῳ ἀφφουσὼθ ἐκάθητο λεπρός, ὅτι ἀπεσχίσθη ἀπὸ οἴκου Κυρίου· καὶ Ἰωάθαμ ὁ υἱὸς αὐτοῦ ἐπὶ τῆς βασιλείας αὐτοῦ κρίνων τὸν λαὸν τῆς γῆς.

Β Παραλ. 26,21 - Ετσι δε ο Οζίας έγινε και έμεινε λεπρός έως την ημέραν του θανάτου του και κατοικούσεν εις κάποιαν απομονωμένην οικίαν, διότι ήτο λεπρός και είχε πλέον αποκοπή από τον ναόν του Κυρίου. Ο δε υιός του ο Ιωάθαμ ανέλαβε τα του οίκου του βασιλέως και εκυβερνούσε αυτός τον λαόν της χώρας.

Β Παραλ. 26,22 - καὶ οἱ λοιποὶ λόγοι Ὀζίου οἱ πρῶτοι καὶ οἱ ἔσχατοι γεγραμμένοι ὑπὸ Ἰεσσίου τοῦ προφήτου.

Β Παραλ. 26,22 - Τα υπόλοιπα έργα του Οζίου, τα πρώτα και τα τελευταία, έχουν γραφή από τον προφήτην Ιεσσίαν.

Β Παραλ. 26,23 - καὶ ἐκοιμήθη Ὀζίας μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ πεδίῳ τῆς ταφῆς τῶν βασιλέων, ὅτι εἶπαν ὅτι λεπρός ἐστι. καὶ ἐβασίλευσεν Ἰωάθαμ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 26,23 - Ο Οζίας απέθανε και ενεταφιάσθη με τους προπάτορας αυτού εις την πεδιάδα, όπου εθάπτοντο οι βασιλείς. Δεν ενεταφιάσθη όμως στον τάφον των βασιλέων, διότι είπαν ότι αυτός είναι λεπρός. Αντί δε αυτού ανεκηρύχθη βασιλεύς ο υιός του Ιωάθαμ.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 27

Β Παραλ. 27,1 - Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν Ἰωάθαμ ἐν τῷ βασιλεῦσαι αὐτὸν καὶ ἑκκαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἱερουσὰ θυγάτηρ Σαδώκ.

Β Παραλ. 27,1 - Εικοσιπέντε ετών ήτο ο Ιωάθαμ, όταν ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσεν επί δεκαέξ έτη εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Ιερουσά και ήτο θυγάτηρ του Σαδώκ.

Β Παραλ. 27,2 - καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου κατὰ πάντα, ἃ ἐποίησεν Ὀζίας ὁ πατὴρ αὐτοῦ, ἀλλ᾿ οὐκ εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου, καὶ ἔτι ὁ λαὸς κατεφθείρετο.

Β Παραλ. 27,2 - Αυτός έπραξε το ορθόν και ευάρεστον ενώπιον του Κυρίου, ακριβώς όπως είχε πράξει και ο πατήρ του ο Οζίας. Αλλά δεν εισήλθε βεβαίως παρανόμως στον ναόν του Κυρίου. Ο λαός όμως διεφθείρετο ολοέν και περισσότερον ένεκα της ασεβείας.

Β Παραλ. 27,3 - αὐτὸς ᾠκοδόμησε τὴν πύλην οἴκου Κυρίου τὴν ὑψηλὴν καὶ ἐν τείχει τοῦ Ὀφλὰ ᾠκοδόμησε πολλά· καὶ πόλεις ᾠκοδόμησεν

Β Παραλ. 27,3 - Αυτός έκτισε την άνω πύλην του ναού του Κυρίου, έκαμε πολλάς συμπληρώσεις στο τείχος του Οφλά και έκτισεν επίσης πόλεις.

Β Παραλ. 27,4 - ἐν ὄρει Ἰούδα καὶ ἐν τοῖς δρυμοῖς καὶ οἰκήσεις καὶ πύργους.

Β Παραλ. 27,4 - Εις την ορεινήν Ιουδαίαν και εις τα δάση έκτισεν επίσης οικήματα και πύργους.

Β Παραλ. 27,5 - αὐτὸς ἐμαχέσατο πρὸς βασιλέα υἱῶν Ἀμμὼν καὶ κατίσχυσεν ἐπ᾿ αὐτόν· καὶ ἐδίδουν αὐτῷ οἱ υἱοὶ Ἀμμὼν καὶ κατ᾿ ἐνιαυτὸν ἑκατὸν τάλαντα ἀργυρίου καὶ δέκα χιλιάδας κόρων πυροῦ καὶ κριθῶν δέκα χιλιάδας· ταῦτα ἔφερεν αὐτῷ βασιλεὺς υἱῶν Ἀμμὼν κατ᾿ ἐνιαυτὸν ἐν τῷ πρώτῳ ἔτει καὶ ἐν τῷ δευτέρῳ καὶ τῷ τρίτῳ.

Β Παραλ. 27,5 - Αυτός επολέμησεν εναντίον του βασιλέως των Αμμωνιτών, τον οποίον και κατενίκησεν. Οι δε Αμμωνίται υπεχρεώθησαν να καταβάλλουν εις αυτόν κάθε έτος εκατόν αργυρά τάλαντα, δέκα χιλιάδες κύρους σίτου και δέκα χιλιάδες κόρους κριθής. Αυτά κατέβαλλεν ο βασιλεύς των Αμμωνιτών κάθε έτος μόνον κατά το πρώτον και δεύτερον και τρίτον έτος τα κατέβαλεν.

Β Παραλ. 27,6 - καὶ κατίσχυσεν Ἰωάθαμ, ὅτι ἡτοίμασε τὰς ὁδοὺς αὐτοῦ ἐναντίον Κυρίου Θεοῦ αὐτοῦ.

Β Παραλ. 27,6 - Ετσι ο ' Ιωάθαμ έγινεν ισχυρός, διότι κατηύθυνε τας οδούς του ενώπιον Κυρίου του Θεού του.

Β Παραλ. 27,7 - καὶ οἱ λοιποὶ λόγοι Ἰωάθαμ καὶ ὁ πόλεμος καὶ αἱ πράξεις αὐτοῦ ἰδοὺ γεγραμμέναι ἐπὶ βιβλίῳ βασιλέων Ἰούδα καὶ Ἰσραήλ.

Β Παραλ. 27,7 - Τα υπόλοιπα έργα του Ιωάθαμ, όλοι οι πόλεμοί του και αι άλλαι του πράξεις ιδού, είναι γραμμένα στο βιβλίον των βασιλέων Ιούδα και Ισραήλ.

Β Παραλ. 27,9 - καὶ ἐκοιμήθη Ἰωάθαμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει Δαυίδ, καὶ ἐβασίλευσεν Ἄχαζ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 27,9 - Ο Ιωάθαμ απέθανε και ετάφη με τους προπάτοράς του εις την πόλιν Δαυίδ, την Ιερουσαλήμ. Αντί δε αυτού εβασίλευσεν ο υιός του Αχαζ.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 28

Β Παραλ. 28,1 - Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν Ἄχαζ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἑκκαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου, ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ.

Β Παραλ. 28,1 - Ο Αχαζ ήτο εικοσιπέντε ετών, όταν ανήλθεν στον βασιλικόν θρόνον· εβασίλευσεν εις την Ιερουσαλήμ επί δεκαέξ έτη. Δεν έπραξεν όμως το ευάρεστον ενώπιον Κυρίου, όπως είχε πράξει ο προπάτωρ αυτού Δαυίδ.

Β Παραλ. 28,2 - καὶ ἐπορεύθη κατὰ τὰς ὁδοὺς βασιλέων Ἰσραήλ· καὶ γὰρ γλυπτὰ ἐποίησε

Β Παραλ. 28,2 - Αυτός εβάδισε τους αμαρτωλούς και ασεβείς δρόμους των βασιλέων του Ισραήλ, αφού και αγάλματα ακόμη κατεσκεύασε

Β Παραλ. 28,3 - τοῖς εἰδώλοις αὐτῶν καὶ ἔθυεν ἐν Βενεννὸμ καὶ διῆγε τὰ τέκνα αὐτοῦ διὰ πυρὸς κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν, ὧν ἐξωλόθρευσε Κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ,

Β Παραλ. 28,3 - δια τα είδωλα των θεών των και προσέφερε θυσίας εις Βενεννόμ. Διέταξε και επερνούσαν τα παιδιά του επάνω από το εξαγνιστικόν, τάχα, πυρ, σύμφωνα με τας αποκρουστικάς συνηθείας των ειδωλολατρικών εθνών, τα οποία έθνη ο Κυριος είχε καταστρέψει ενώπιον των Ισραηλιτών.

Β Παραλ. 28,4 - καὶ ἐθυμία ἐπὶ τῶν ὑψηλῶν καὶ ἐπὶ τῶν δωμάτων καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους.

Β Παραλ. 28,4 - Αυτός προσέφερεν επίσης θυμίαμα στους υψηλούς ειδωλολατρικούς τόπους, εις τα ηλιακωτά των οικιών και κάτω από κάθε άλσος της ειδωλολατρείας.

Β Παραλ. 28,5 - καὶ παρέδωκεν αὐτὸν Κύριος ὁ Θεὸς αὐτοῦ διὰ χειρὸς βασιλέως Συρίας, καὶ ἐπάταξεν ἐν αὐτῷ καὶ ᾐχμαλώτευσεν ἐξ αὐτῶν αἰχμαλωσίαν πολλὴν καὶ ἤγαγεν εἰς Δαμασκόν· καὶ γὰρ εἰς χεῖρας βασιλέως Ἰσραὴλ παρέδωκεν αὐτόν, καὶ ἐπάταξεν ἐν αὐτῷ πληγὴν μεγάλην.

Β Παραλ. 28,5 - Δια τούτο Κυριος ο Θεός τον παρέδωκεν εις τα χέρια του βασιλέως της Συρίας, ο οποίος τον ενίκησεν, επήρε πολλούς άνδρας αιχμαλώτους από τους Ιουδαίους και τους έφερεν εις την Δαμασκόν. Επίσης τον παρέδωκεν ο Θεός εις τα χέρια του βασιλέως των Ισραηλιτών, ο οποίος και επροξένησε πολύ μεγάλην συμφοράν εις αυτόν.

Β Παραλ. 28,6 - καὶ ἀπέκτεινε Φακεὲ ὁ τοῦ Ῥομελία βασιλεὺς Ἰσραὴλ ἐν Ἰούδᾳ ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν εἴκοσι χιλιάδας ἀνδρῶν δυνατῶν ἰσχύϊ ἐν τῷ καταλιπεῖν αὐτοὺς Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτῶν.

Β Παραλ. 28,6 - Δηλαδή ο Φακεέ, ο υιός του Ρομελία βασιλεύς του Ισραήλ, εις μίαν και μόνην ημέραν εφόνευσεν εκατόν είκοσι χιλιάδας πολεμιστάς άνδρας από τους Ιουδαίους, διότι και αυτοί είχαν εγκαταλείψει Κυριον τον Θεόν των πατέρων των.

Β Παραλ. 28,7 - καὶ ἀπέκτεινε Ζεχρὶ ὁ δυνατὸς τοῦ Ἐφραὶμ τὸν Μαασὰ τὸν υἱὸν τοῦ βασιλέως καὶ τὸν Ἐζρικὰν ἡγούμενον τοῦ οἴκου αὐτοῦ καὶ τὸν Ἑλκανὰ τὸν διάδοχον τοῦ βασιλέως.

Β Παραλ. 28,7 - Εξ άλλου ο Ζεχρί, ο ισχυρός πολεμιστής από την φυλήν του Εφραίμ, εφόνευσε τον Μαασά τον υιόν του βασιλέως, τον Εζρικάν αρχηγόν του βασιλικού οίκου, και τον Ελκανά πρώτον άρχοντα του βασιλέως έπειτα από αυτόν.

Β Παραλ. 28,8 - καὶ ᾐχμαλώτισαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἀδελφῶν αὐτῶν τριακοσίας χιλιάδας, γυναῖκας καὶ υἱοὺς καὶ θυγατέρας, καὶ σκῦλα πολλὰ ἐσκύλευσαν ἐξ αὐτῶν καὶ ἤνεγκαν τὰ σκῦλα εἰς Σαμάρειαν.

Β Παραλ. 28,8 - Οι Ισραηλίται ηχμαλώτισαν από τους αδελφούς των τους Ιουδαίους τριακοσίας χιλιάδας, γυναίκας, υιούς και θυγατέρας, επήραν πολλά λάφυρα από αυτούς και έφεραν αιχμαλώτους και λάφυρα εις Σαμάρειαν.

Β Παραλ. 28,9 - καὶ ἐκεῖ ἦν ὁ προφήτης τοῦ Κυρίου, Ὠδὴδ ὄνομα αὐτῷ, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν τῆς δυνάμεως τῶν ἐρχομένων εἰς Σαμάρειαν καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ὀργὴ Κυρίου Θεοῦ τῶν πατέρων ὑμῶν ἐπὶ Ἰούδαν, καὶ παρέδωκεν αὐτοὺς εἰς τὰς χεῖρας ὑμῶν, καὶ ἀπεκτείνατε ἐν αὐτοῖς ἐν ὀργῇ· καὶ ἕως τῶν οὐρανῶν ἔφθακε.

Β Παραλ. 28,9 - Εις την Σαμάρειαν υπήρχεν ένας προφήτης του Κυρίου, ο οποίος ωνομάζετο Ωδήδ. Αυτός εξήλθε να προϋπαντήση τον στρατόν των Ισραηλιτών, όταν αυτοί επέστρεφαν εις την Σαμάρειαν. Οταν τους συνήντησε τους είπεν· “ιδού η οργή Κυρίου του Θεού των πατέρων μας εξέσπασεν εναντίον του βασιλείου των Ιουδαίων και ο Θεός παρέδωκεν αυτούς εις τα χέρια σας. Αλλά σεις όλους τους εξωντώσατε με τοιαύτην μανίαν, ώστε η άδικος και αγρία συμπεριφορά σας έφθασε έως στον ουρανόν.

Β Παραλ. 28,10 - καὶ νῦν υἱοὺς Ἰούδα καὶ Ἱερουσαλὴμ ὑμεῖς λέγετε κατακτήσασθαι εἰς δούλους καὶ δούλας· οὐκ ἰδού εἰμι μεθ᾿ ὑμῶν μαρτυρῆσαι Κυρίῳ Θεῷ ὑμῶν;

Β Παραλ. 28,10 - Και επί πλέον σεις τώρα σκέπτεσθε και έχετε αποφασίσει να κρατήσετε ως δούλους τους άνδρας και ως δούλας σας τας γυναίκας του βασιλείου του Ιούδα. Αλλά ιδού εγώ δεν ευρίσκομαι σήμερον μαζή σας, δια να διαμαρτυρηθώ ενώπιον Κυρίου του Θεού σας δια την πράξιν σας αυτήν;

Β Παραλ. 28,11 - καὶ νῦν ἀκούσατέ μου καὶ ἀποστρέψατε τὴν αἰχμαλωσίαν, ἣν ᾐχμαλωτεύσατε τῶν ἀδελφῶν ὑμῶν, ὅτι ὀργὴ θυμοῦ Κυρίου ἐφ᾿ ὑμῖν.

Β Παραλ. 28,11 - Τωρα όμώς ακούσατε αυτά, τα οποία σας λέγω· Τους αδελφούς σας, τους οποίους έχετε συλλάβει αιχμαλώτους, αφήσατέ τους

ελευθέρους να επιστρέψουν εις την πατρίδα των, διότι άλλως η οργή Κυρίου του Θεού θα εκσπάση εναντίον σας”.

Β Παραλ. 28,12 - καὶ ἀνέστησαν ἄρχοντες ἀπὸ τῶν υἱῶν Ἐφραίμ, Οὐδείας ὁ τοῦ Ἰωανοῦ καὶ Βαραχίας ὁ τοῦ Μωσολαμὼθ καὶ Ἐζεκίας ὁ τοῦ Σελλὴμ καὶ Ἀμασίας ὁ τοῦ Ἐλδαΐ, ἐπὶ τοὺς ἐρχομένους ἀπὸ τοῦ πολέμου,

Β Παραλ. 28,12 - Αλλά και μερικοί από τους αρχηγούς της φυλής του Εφραίμ, ο Ουδείας υιός του Ιωανού, ο Βαραχίας υιός του Μωσολαμώθ, ο Εζεκίας υιός του Σελλήμ και ο Αμασίας ο υιός του Ελδαΐ εξηγέρθησαν εναντίον εκείνων, οι οποίοι επανήρχοντο από τον πόλεμον

Β Παραλ. 28,13 - καὶ εἶπαν αὐτοῖς· οὐ μὴ εἰσαγάγητε τὴν αἰχμαλωσίαν ὧδε πρὸς ἡμᾶς, ὅτι εἰς τὸ ἁμαρτάνειν τῷ Κυρίῳ ἐφ᾿ ἡμᾶς ὑμεῖς λέγετε, προσθεῖναι ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐπὶ τὴν ἄγνοιαν ἡμῶν, ὅτι πολλὴ ἡ ἁμαρτία ἡμῶν καὶ ὀργὴ θυμοῦ Κυρίου ἐπὶ τὸν Ἰσραήλ.

Β Παραλ. 28,13 - και είπαν προς αυτούς· “κατ' ουδένα τρόπον θα εισαγάγετε τους αιχμαλώτους εδώ εις την πόλιν, διότι αυτό που σκέπτεσθε να πράξετε, θα θεωρηθή και ως αμαρτία ιδική μας ενώπιον του Κυρίου, όπως και σστο αντιλαμβάνεσθε, και θα προστεθή και αυτή η αμαρτία εις τας αμαρτίας μας και εις τα εξ αγνοίας σφάλματά μας. Δεν πρέπει, λοιπόν, να γίνη αυτό, διότι είναι αμαρτία μεγάλη και η φοβερά οργή του Κυρίου θα εκσπάση εναντίον του ισραηλιτικού λαού”.

Β Παραλ. 28,14 - καὶ ἀφῆκαν οἱ πολεμισταὶ τὴν αἰχμαλωσίαν καὶ τὰ σκῦλα ἐναντίον τῶν ἀρχόντων καὶ πάσης τῆς ἐκκλησίας.

Β Παραλ. 28,14 - Οι Ισραηλίται στρατιώται επείσθησαν εις αυτά και έτσι αφήκαν εκεί ενώπιον των αρχόντων και όλης της συγκεντρώσεως των Ισραηλιτών ελευθέρους τους αιχμαλώτους και επέστρεψαν εις αυτούς τα λάφυρα, που είχαν πάρει.

Β Παραλ. 28,15 - καὶ ἀνέστησαν ἄνδρες, οἳ ἐπεκλήθησαν ἐν ὀνόματι, καὶ ἀντελάβοντο τῆς αἰχμαλωσίας καὶ πάντας τοὺς γυμνοὺς περιέβαλον ἀπὸ τῶν σκύλων καὶ ἐνέδυσαν αὐτοὺς καὶ ὑπέδυσαν αὐτοὺς καὶ ἔδωκαν φαγεῖν καὶ ἀλείψασθαι καὶ ἀντελάβοντο καὶ ἐν ὑποζυγίοις παντὸς ἀσθενοῦντος καὶ κατέστησαν αὐτοὺς εἰς Ἱεριχὼ πόλιν Φοινίκων πρὸς τοὺς ἀδελφοὺς αὐτῶν, καὶ ἐπέστρεψαν εἰς Σαμάρειαν.

Β Παραλ. 28,15 - Οι άνδρες, οι οποίοι είχαν αναφερθή με τα ονόματά των, εσηκώθηκαν, επήραν τους αιχμαλώτους, έδωσαν στους γυμνούς από αυτούς ενδύματα από τα λάφυρα να ενδυθούν και στους ανυποδήτους υποδήματα να φορέσουν, τους έδωκαν τροφήν να φάγουν και έλαιον δια να αλειφθούν, επεβίβασαν κάθε ασθενή εις τα ζώα και τους ωδήγησαν εις την Ιεριχώ, την πόλιν των φοινίκων, στους αδελφούς των. Κατόπιν δε επέστρεψαν εις την Σαμάρειαν.

Β Παραλ. 28,16 - Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ πρὸς βασιλέα Ἀσσοὺρ βοηθῆσαι αὐτῷ καὶ ἐν τούτῳ,

Β Παραλ. 28,16 - Κατά την εποχήν εκείνην ο βασιλεύς Αχαζ έστειλε πρεσβείαν προς τον βασιλέα των Ασσυρίων ζητών από αυτόν να τον βοηθήση εις προκειμένην ανάγκην.

Β Παραλ. 28,17 - ὅτι οἱ Ἰδουμαῖοι ἐπέθεντο καὶ ἐπάταξαν ἐν Ἰούδᾳ καὶ ᾐχμαλώτισαν αἰχμαλωσίαν

Β Παραλ. 28,17 - Διότι οι Ιδουμαίοι είχαν επιτεθή εναντίον της Ιουδαίας, την εκτύπησαν και συνέλαβαν πολλούς αιχμαλώτους.

Β Παραλ. 28,18 - καὶ οἱ ἀλλόφυλοι ἐπέθεντο ἐπὶ τὰς πόλεις τῆς πεδινῆς καὶ ἀπὸ λιβὸς τοῦ Ἰούδα καὶ ἔλαβον τὴν Βαιθσαμὺς καὶ τὴν Ἀϊλὼν καὶ τὴν Γαδηρὼθ καὶ τὴν Σωχὼ καὶ τὰς κώμας αὐτῆς καὶ τὴν Θαμνὰ καὶ τὰς κώμας αὐτῆς καὶ τὴν Γαμζὼ καὶ τὰς κώμας αὐτῆς καὶ κατῴκησαν ἐκεῖ·

Β Παραλ. 28,18 - Αλλά και οι Φιλισταίοι επετέθησαν εναντίον των πόλεων της πεδινής χώρας των Ιουδαίων προς δυσμάς και κατέλαβαν την Βαιθσαμύς, την Αϊλών, την Γαδηρώθ και την Σωχώ και τας γύρω από αυτήν κώμας, όπως επίσης και την Θαμνά και τας γύρω από αυτήν κώμας και την Γαμζώ και τας γύρω από αυτήν κώμας και εγκατεστάθησαν εις αυτάς.

Β Παραλ. 28,19 - ὅτι ἐταπείνωσε Κύριος τὸν Ἰούδαν διὰ Ἄχαζ βασιλέα Ἰούδα, ὅτι ἀπέστη ἀποστάσει ἀπὸ Κυρίου.

Β Παραλ. 28,19 - Τούτο δε έγινε, διότι ο Κυριος ετιμώρησε το βασίλειον των Ιουδαίων εξ αιτίας Αχαζ του βασιλέως αυτών, διότι αυτός είχεν αποστατήσει από τον Κυριον.

Β Παραλ. 28,20 - καὶ ἦλθεν ἐπ᾿ αὐτὸν Θαγλαθφελλασὰρ βασιλεὺς Ἀσσοὺρ καὶ ἐπάταξεν αὐτόν.

Β Παραλ. 28,20 - Ο βασιλεύς όμως των Ασσυρίων, ο Θαγλαθφελλασάρ, αντί να βοηθήση τον Αχαζ, επετέθη εναντίον του και τον εκτύπησε.

Β Παραλ. 28,21 - καὶ ἔλαβεν Ἄχαζ τὰ ἐν οἴκῳ Κυρίου καὶ τὰ ἐν οἴκῳ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων καὶ ἔδωκε τῷ βασιλεῖ Ἀσσοὺρ καὶ οὐκ εἰς βοήθειαν αὐτῷ ἦν,

Β Παραλ. 28,21 - Τοτε ο Αχαζ επήρε τους θησαυρούς από τον ναόν του Κυρίου, από τα βασιλικά του ανάκτορα και από τους άρχοντας και τα έδωσεν ως φόρον στον βασιλέα των Ασσυρίων, πράγμα όμως το οποίον δεν εβοήθησεν αυτόν εις τίποτε,

Β Παραλ. 28,22 - ἀλλ᾿ ἢ τῷ θλιβῆναι αὐτόν. καὶ προσέθηκε τοῦ ἀποστῆναι ἀπὸ Κυρίου. καὶ εἶπεν ὁ βασιλεὺς Ἄχαζ·

Β Παραλ. 28,22 - άλλα επεδείνωσε μάλλον την συμφοράν. Ο δε Αχαζ αντί να μετανοήση, επροχώρησε πολύ περισσότερον εις την αποστασίαν του από τον Κυριον. Είπε δε τότε και απεφάσισε·

Β Παραλ. 28,23 - ἐκζητήσω τοὺς θεοὺς Δαμασκοῦ τοὺς τύπτοντάς με· καὶ εἶπεν ὅτι θεοὶ βασιλέως Συρίας αὐτοὶ κατισχύσουσιν αὐτούς, αὐτοῖς τοίνυν θύσω, καὶ ἀντιλήψονταί μου. καὶ αὐτοὶ ἐγένοντο αὐτῷ εἰς σκῶλον καὶ παντὶ Ἰσραήλ.

Β Παραλ. 28,23 - "θα λατρεύσω τους ειδωλικούς θεούς της Δαμασκού, οι οποίοι και με κατενίκησαν". Απεφάσισε δε τούτο, διότι ενόμισεν ότι οι θεοί του βασιλέως της Συρίας, αυτοί ενίσχυσαν τους Συρους εναντίον του. "Λοιπόν, είπε, θα προσφέρω θυσίας εις αυτούς και αυτοί θα με βοηθήσουν". Η πράξις όμως αυτή του Αχαζ έγινεν αιτία νέων συμφορών εις αυτόν και εις όλον τον ισραηλιτικόν λαόν.

Β Παραλ. 28,24 - καὶ ἀπέστησεν Ἄχαζ τὰ σκεύη οἴκου Κυρίου καὶ κατέκοψεν αὐτὰ καὶ ἔκλεισε τὰς θύρας οἴκου Κυρίου καὶ ἐποίησεν ἑαυτῷ θυσιαστήρια ἐν πάσῃ γωνίᾳ ἐν Ἱερουσαλήμ·

Β Παραλ. 28,24 - Εν τούτοις ο Αχαζ επήρε τα ιερά σκεύη του ναού του Κυρίου, τα κατεκομμάτιασε, έκλεισε τας θύρας του ναού του Κυρίου και κατεσκεύασε δια τον εαυτόν του ειδωλολατρικά θυσιαστήρια εις όλας τας γωνίας των οδών της Ιερουσαλήμ.

Β Παραλ. 28,25 - καὶ ἐν πάσῃ πόλει καὶ πόλει ἐν Ἰούδᾳ ἐποίησεν ὑψηλὰ θυμιᾶν θεοῖς ἀλλοτρίοις, καὶ παρώργισαν Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτῶν.

Β Παραλ. 28,25 - Επίσης εις όλας τας πόλστου βασιλείου του Ιούδα κατεσκεύασεν υψηλούς ειδωλολατρικούς τόπους, δια να προσφέρεται εκεί θυμίαμα στους ξένους θεούς. Ετσι όμως αυτός και ο ιουδαϊκός λαός εξώργισαν εναντίον των Κυριον τον Θεόν των πατέρων των.

Β Παραλ. 28,26 - καὶ οἱ λοιποὶ λόγοι αὐτοῦ καὶ αἱ πράξεις αὐτοῦ αἱ πρῶται καὶ ἔσχαται ἰδοὺ γεγραμμέναι ἐπὶ βιβλίῳ βασιλέων Ἰούδα καὶ Ἰσραήλ.

Β Παραλ. 28,26 - Τα υπόλοιπα έργα αυτού και όλαι αι πράξστου, αι πρώται και αι τελευταίαι, είναι γραμμέναι στο βιβλίον των βασιλέων Ιούδα και Ισραήλ.

Β Παραλ. 28,27 - καὶ ἐκοιμήθη Ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει Δαυίδ, ὅτι οὐκ εἰσήνεγκαν αὐτὸν εἰς τοὺς τάφους τῶν βασιλέων Ἰσραήλ· καὶ ἐβασίλευσεν Ἐζεκίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 28,27 - Ο Αχαζ απέθανε και ετάφη μαζή με τους προπάτοράς του εις την Ιερουσαλήμ. Δεν έφεραν όμως αυτόν να ενταφιασθή στους τάφους των βασιλέων του Ισραήλ. Αντί δε αυτού έγινεν βασιλεύς ο υιός του Εζεκίας.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 29

Β Παραλ. 29,1 - Καὶ Ἐζεκίας ἐβασίλευσεν ὢν εἴκοσι καὶ πέντε ἐτῶν καὶ εἴκοσιν ἐννέα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀββὰ θυγάτηρ Ζαχαρίου.

Β Παραλ. 29,1 - Οταν ο Εζεκίας ανήλθεν στον βασιλικόν θρόνον, ήτο ηλικίας εικοσιπέντε ετών. Εβασίλευσεν εις την Ιερουσαλήμ επί είκοσι εννέα έτη. Η μητέρα του ωνομάζετο Αββά, ήτο δε θυγάτηρ του Ζαχαρίου.

Β Παραλ. 29,2 - καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου κατὰ πάντα, ὅσα ἐποίησε Δαυὶδ ὁ πατὴρ αὐτοῦ.

Β Παραλ. 29,2 - Αυτός έπραξε το ορθόν και ευάρεστον ενώπιον του Κυρίου, καθ' όλα όσα είχε πράξει και ο προπάτωρ αυτού Δαυίδ.

Β Παραλ. 29,3 - καὶ ἐγένετο ὡς ἔστη ἐπὶ τῆς βασιλείας αὐτοῦ, ἐν τῷ μηνὶ τῷ πρώτῳ ἀνέῳξε τὰς θύρας οἴκου Κυρίου καὶ ἐπεσκεύασεν αὐτάς.

Β Παραλ. 29,3 - Οταν αυτός ανήλθεν στον βασιλικόν θρόνον, αμέσως από τον πρώτον μήνα της βασιλείας του ήνοιξε τας κλειστάς θύρας του ναού του Κυρίου και έκαμεν εις αυτάς επισκευάς.

Β Παραλ. 29,4 - καὶ εἰσήγαγε τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας καὶ κατέστησεν αὐτοὺς εἰς τὸ κλῖτος τὸ πρὸς ἀνατολὰς καὶ εἶπεν αὐτοῖς·

Β Παραλ. 29,4 - Διέταξε να μεταβούν στον ναόν του Κυρίου οι ιερείς και οι Λευίται, τους οποίους συνεκέντρωσεν στο ανατολικόν κλίτος του ναού και τους είπε·

Β Παραλ. 29,5 - ἀκούσατε, οἱ Λευῖται, νῦν ἁγνίσθητε καὶ ἁγνίσατε τὸν οἶκον Κυρίου Θεοῦ τῶν πατέρων ὑμῶν καὶ ἐκβάλετε τὴν ἀκαθαρσίαν ἐκ τῶν ἁγίων·

Β Παραλ. 29,5 - “σεις, οι Λευίται, ακούσατέ με. Αμέσως αγνισθήτε οι ίδιοι, αγνίσατε τον οίκον Κυρίου του Θεού των πατέρων ημών και βγάλτε κάθε μολυσμόν από τους ιερούς τόπους.

Β Παραλ. 29,6 - ὅτι ἀπέστησαν οἱ πατέρες ἡμῶν καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον Κυρίου Θεοῦ ἡμῶν καὶ ἐγκατέλιπαν αὐτὸν καὶ ἀπέστρεψαν τὸ πρόσωπον αὐτῶν ἀπὸ τῆς σκηνῆς Κυρίου καὶ ἔδωκαν αὐχένα

Β Παραλ. 29,6 - Διότι, δυστυχώς, οι πατέρες μας απεστάτησαν από τον Θεόν, έπραξαν το πονηρόν ενώπιον Κυρίου του Θεού μας, εγκατέλειψαν αυτόν, απέστρεψαν το πρόσωπόν των από την Σκηνήν του Μαρτυρίου, έστρεψαν με περιφρόνησιν τις πλάτες των στον Θεόν.

Β Παραλ. 29,7 - καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ ναοῦ καὶ ἔσβεσαν τοὺς λύχνους καὶ θυμίαμα οὐκ ἐθυμίασαν καὶ ὁλοκαυτώματα οὐ προσήνεγκαν ἐν τῷ ἁγίῳ Θεῷ Ἰσραήλ.

Β Παραλ. 29,7 - Αυτοί απέκλεισαν τας θύρας του ναού, έσβησαν τους λύχνους, με θυμίαμα δεν εθυμίασαν, και ολοκαυτώματα δεν προσέφεραν στον άγιον Θεόν του Ισραήλ.

Β Παραλ. 29,8 - καὶ ὠργίσθη ὀργῇ Κύριος ἐπὶ τὸν Ἰούδαν καὶ τὴν Ἱερουσαλὴμ καὶ ἔδωκεν αὐτοὺς εἰς ἔκστασιν καὶ εἰς ἀφανισμὸν καὶ εἰς συρισμόν, ὡς ὑμεῖς ὁρᾶτε τοῖς ὀφθαλμοῖς ὑμῶν.

Β Παραλ. 29,8 - Δια τούτο με μεγάλην οργήν ωργίσθη ο Κυριος εναντίον των Ιουδαίων και της Ιερουσαλήμ, έδωκεν εις αυτούς φόβον, τους παρέδωκεν στον όλεθρον και στον εμπαιγμόν, όπως σεις με τα ίδια σας τα μάτια βλέπετε.

Β Παραλ. 29,9 - καὶ ἰδοὺ πεπλήγασιν οἱ πατέρες ὑμῶν ἐν μαχαίρᾳ, καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ αἱ γυναῖκες ὑμῶν ἐν αἰχμαλωσίᾳ ἐν γῇ οὐκ αὐτῶν, ὃ καὶ νῦν ἐστιν.

Β Παραλ. 29,9 - Διότι ιδού, οι πατέρες σας έχουν θανατωθή με μάχαιραν, οι υιοί σας και αι θυγατέρες σας και αι γυναίκες σας Εχουν οδηγηθή αιχμάλωτοι εις ξένην χώραν. Και μέχρι της ημέρας αυτής είναι αιχμάλωτοι.

Β Παραλ. 29,10 - ἐπὶ τούτοις νῦν ἐστιν ἐπὶ καρδίας διαθέσθαι διαθήκην Κυρίου Θεοῦ Ἰσραήλ, καὶ ἀποστρέψει τὴν ὀργὴν τοῦ θυμοῦ αὐτοῦ ἀφ᾿ ἡμῶν.

Β Παραλ. 29,10 - Δι' όλα αυτά έχω πόθον και απόφασιν εις την καρδίαν μου να συνάψωμεν συμφωνίαν με Κυριον τον Θεόν του Ισραήλ, ώστε να αποσύρη την οργήν του θυμού του από ημάς.

Β Παραλ. 29,11 - καὶ νῦν μὴ διαλίπητε, ὅτι ἐν ὑμῖν ᾑρέτικε Κύριος στῆναι ἐναντίον αὐτοῦ λειτουργεῖν καὶ εἶναι αὐτῷ λειτουργοῦντας καὶ θυμιῶντας.

Β Παραλ. 29,11 - Και λοιπόν, μη παραμελήσετε τίποτε από ο,τι πρέπει να κάμετε, διότι από σας εξέλεξεν ο Κυριος άνδρας να ευρίσκωνται ενώπιον του, να υπηρετούν αυτόν στον ναόν και να του προσφέρουν την θυσίαν του θυμιάματος”.

Β Παραλ. 29,12 - καὶ ἀνέστησαν οἱ Λευῖται, Μαὰθ ὁ τοῦ Ἀμασὶ καὶ Ἰωὴλ ὁ τοῦ Ἀζαρίου ἐκ τῶν υἱῶν Καὰθ καὶ ἐκ τῶν υἱῶν Μεραρὶ Κὶς ὁ τοῦ Ἀβδὶ καὶ Ἀζαρίας ὁ τοῦ Ἰαλλελήλ, καὶ ἀπὸ τῶν υἱῶν Γεδσωνὶ Ἰωδαὰδ ὁ τοῦ Ζεμμὰθ καὶ Ἰωαδὰμ ὁ τοῦ Ἰωαχά,

Β Παραλ. 29,12 - Τοτε ηγέρθησαν από τους Λευίτας ο Μαάθ υιός του Αμασί, Ιωήλ ο υιός του Αζαρίου, απόγονοι του Καάθ, και από τους απογόνους του Μεραρί ο Κις υιός του Αβδί, ο Αζαρίας υιός του Ιαλλελήλ και από τους απογόνους του Γεδσωνί ο Ιωδαάδ υιός του Ζεμμάθ, και Ιωαδάμ ο υιός του Ιωαχά.

Β Παραλ. 29,13 - καὶ τῶν υἱῶν Ἐλισαφὰν Ζαμβρὶ καὶ Ἰεϊήλ, καὶ τῶν υἱῶν Ἀσὰφ Ζαχαρίας καὶ Ματθανίας,

Β Παραλ. 29,13 - Επίσης ηγέρθησαν από τους απογόνους του Ελισαφάν ο Ζαμβρί και ο Ιεϊήλ, από τους απογόνους του Ασάφ ο Ζαχαρίας και ο Ματθανίας,

Β Παραλ. 29,14 - καὶ τῶν υἱῶν Αἱμὰν Ἰεϊὴλ καὶ Σεμεΐ, καὶ τῶν υἱῶν Ἰδιθοὺν Σαμαίας καὶ Ὀζιήλ,

Β Παραλ. 29,14 - από τους απογόνους του Αιμάν ο Ιεϊήλ και ο Σεμεΐ, από δε τους απογόνους του Ιδιθούν ο Σαμαίας και ο Οζιήλ.

Β Παραλ. 29,15 - καὶ συνήγαγον τοὺς ἀδελφοὺς αὐτῶν καὶ ἡγνίσθησαν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως διὰ προστάγματος Κυρίου καθαρίσαι τὸν οἶκον Κυρίου.

Β Παραλ. 29,15 - Αυτοί συνεκέντρωσαν τους αδελφούς των τους Λευίτας και αφού εκαθαρίσθησαν σύμφωνα με τας διατάξστου Νομου, ήλθον κατά την εντολήν του βασιλέως, ώστε σύμφωνα με τον Νομον του Κυρίου να καθαρίσουν τον οίκον του Κυρίου από τα ειδωλολατρικά μιάσματα.

Β Παραλ. 29,16 - καὶ εἰσῆλθον οἱ ἱερεῖς ἔσω εἰς τὸν οἶκον Κυρίου ἁγνίσαι καὶ ἐξέβαλον πᾶσαν τὴν ἀκαθαρσίαν τὴν εὑρεθεῖσαν ἐν τῷ οἴκῳ Κυρίου καὶ εἰς τὴν αὐλὴν οἴκου Κυρίου, καὶ ἐδέξαντο οἱ Λευῖται ἐκβαλεῖν εἰς τὸν χειμάῤῥουν Κέδρων ἔξω.

Β Παραλ. 29,16 - Οι ιερείς εισήλθον στο εσωτερικόν του ναού να τον εξαγνίσουν και έβγαλαν από αυτόν κάθε ειδωλολατρικόν μολυσμόν και ακαθαρσίαν, που είχεν ευρεθή στον ναόν του Κυρίου και εις την αυλήν του οίκου του Κυρίου. Αυτάς τας ακαθαρσίας οι Λευίται τας έρριψαν έξω στον χείμαρρον των Κέδρων.

Β Παραλ. 29,17 - καὶ ἤρξαντο τῇ ἡμέρᾳ τῇ πρώτῃ νουμηνίᾳ τοῦ πρώτου μηνὸς ἁγνίσαι καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ τοῦ μηνὸς εἰσῆλθαν εἰς τὸν ναὸν Κυρίου καὶ ἥγνισαν τὸν οἶκον Κυρίου ἐν ἡμέραις ὀκτὼ καὶ τῇ ἡμέρᾳ τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου συνετέλεσαν.

Β Παραλ. 29,17 - Ο καθαρισμός ιερέων και Λευιτών ήρχισε την πρώτην ημέραν του πρώτου μηνός. Κατά δε την ογδόην ημέραν του ιδίου μηνός εισήλθον στον ναόν του Κυρίου. Επί οκτώ ημέρας εκαθάρισαν και εξήγνισαν τον ναόν του Κυρίου. Κατά την δεκάτην τρίτην του πρώτου μηνός έφεραν εις πέρας τον καθαρισμόν.

Β Παραλ. 29,18 - καὶ εἰσῆλθαν ἔσω πρὸς Ἐζεκίαν τὸν βασιλέα καὶ εἶπαν· ἡγνίσαμεν πάντα τὰ ἐν οἴκῳ Κυρίου, τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως καὶ τὰ σκεύη αὐτοῦ καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ τὰ σκεύη αὐτῆς·

Β Παραλ. 29,18 - Επειτα παρουσιάσθησαν αυτοί προς τον βασιλέα τον Εζεκίαν, εις τα ανάκτορα, και του είπαν· “ημείς εξηγνίσαμεν όλα όσα υπάρχουν στον οίκον του Κυρίου, το θυσιαστήριον των ολοκαυτωμάτων και τα ιερά αυτού σκεύη, την τράπεζαν της προθέσεως και τα ιερά της σκεύη.

Β Παραλ. 29,19 - καὶ πάντα τὰ σκεύη, ἃ ἐμίανεν ὁ βασιλεὺς Ἄχαζ ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐν τῇ ἀποστασίᾳ αὐτοῦ, ἡτοιμάκαμεν καὶ ἡγνίκαμεν, ἰδού ἐστιν ἐναντίον τοῦ θυσιαστηρίου Κυρίου.

Β Παραλ. 29,19 - Εκαθαρίσαμεν όλα τα ιερά σκεύη, τα οποία κατά το διάστημα της βασιλείας του ο αποστατήσας βασιλεύς Αχαζ είχε μολύνει. Εκαθαρίσαμεν και ητοιμάσαμεν αυτά και ιδού ευρίσκονται καθαρά και αγνά ενώπιον του θυσιαστηρίου του Κυρίου”.

Β Παραλ. 29,20 - καὶ ὤρθρισεν Ἐζεκίας ὁ βασιλεὺς καὶ συνήγαγε τοὺς ἄρχοντας τῆς πόλεως καὶ ἀνέβη εἰς οἶκον Κυρίου

Β Παραλ. 29,20 - Ο βασιλεύς Εζεκίας εσηκώθη λίαν πρωϊ, συνεκέντρωσε τους άρχοντας της πόλεως, ανέβη στον ναόν του Κυρίου

Β Παραλ. 29,21 - καὶ ἀνήνεγκε μόσχους ἑπτά, κριοὺς ἑπτά, ἀμνοὺς ἑπτά, χιμάρους αἰγῶν ἑπτὰ περὶ ἁμαρτίας, περὶ τῆς βασιλείας καὶ περὶ τῶν ἁγίων καὶ περὶ Ἰσραὴλ καὶ εἶπε τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἱερεῦσιν ἀναβαίνειν ἐπὶ τὸ θυσιαστήριον Κυρίου.

Β Παραλ. 29,21 - και προσέφερεν ως θυσίαν επτά μόσχους, επτά κριούς, επτά αμνούς και επτά τράγους θυσίαν δια τας αμαρτίας του βασιλικού οίκου, δια τας αμαρτίας των λειτουργών του ναού και γενικώς του ισραηλιτικού λαού. Ο βασιλεύς είπε τότε στους ιερείς, τους απογόνους του Ααρών, να ανεβούν στο θυσιαστήριον των ολοκαυτωμάτων του Κυρίου και να προσφέρουν τας θυσίας αυτάς.

Β Παραλ. 29,22 - καὶ ἔθυσαν τοὺς μόσχους, καὶ ἐδέξαντο οἱ ἱερεῖς τὸ αἷμα καὶ προσέχεαν ἐπὶ τὸ θυσιαστήριον· καὶ ἔθυσαν τοὺς κριούς, καὶ προσέχεαν τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον· καὶ ἔθυσαν τοὺς ἀμνούς, καὶ περιέχεον τὸ αἷμα τῷ θυσιαστηρίῳ·

Β Παραλ. 29,22 - Εθυσίασαν τους μόσχους, και οι ιερείς επήραν το αίμα αυτών και το έχυσαν γύρω από το θυσιαστήριον των ολοκαυτωμάτων. Εθυσίασαν κατόπιν τους κριούς, και οι ιερείς επήραν και έχυσαν το αίμα των κριών γύρω από το θυσιαστήριον των ολοκαυτωμάτων. Εθυσίασαν έπειτα τους αμνούς, οι δε ιερείς έχυσαν το αίμα αυτών γύρω από το θυσιαστήριον των ολοκαυτωμάτων.

Β Παραλ. 29,23 - καὶ προσήγαγον τοὺς χιμάρους τοὺς περὶ ἁμαρτίας ἐναντίον τοῦ βασιλέως καὶ τῆς ἐκκλησίας, καὶ ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπ᾿ αὐτούς,

Β Παραλ. 29,23 - Κατόπιν έφεραν τους τράγους, οι οποίοι θα προσεφέροντο θυσία δια τας αμαρτίας ενώπιον του βασιλέως και των συγκεντρωθέντων Ισραηλιτών. Ο βασιλεύς και οι εκπρόσωποι του λαού έθεσαν τα χέρια των επάνω στους τράγους αυτούς.

Β Παραλ. 29,24 - καὶ ἔθυσαν αὐτοὺς οἱ ἱερεῖς καί ἐξιλάσαντο τὸ αἷμα αὐτῶν πρὸς τὸ θυσιαστήριον καὶ ἐξιλάσαντο περὶ παντὸς Ἰσραήλ, ὅτι εἶπεν ὁ βασιλεύς, περὶ παντὸς Ἰσραὴλ ἡ ὁλοκαύτωσις καὶ τὰ περὶ ἁμαρτίας.

Β Παραλ. 29,24 - Οι ιερείς έσφαξαν αυτούς και με το αίμα των, το οποίον έχυσαν στο θυσιαστήριον, εξιλέωσαν τον Θεόν δι' ολόκληρον τον

ισραηλιτικόν λαόν, διότι ο βασιλεύς είχε διατάξει να προσφερθούν αυτά τα ολοκαυτώματα δια τας αμαρτίας ολοκλήρου του ισραηλιτικού λαού.

Β Παραλ. 29,25 - καὶ ἔστησε τοὺς Λευίτας ἐν οἴκῳ Κυρίου ἐν κυμβάλοις καί ἐν νάβλαις καὶ ἐν κινύραις κατὰ τὴν ἐντολὴν Δαυὶδ τοῦ βασιλέως καὶ Γὰδ τοῦ ὁρῶντος τῷ βασιλεῖ καὶ Νάθαν τοῦ προφήτου, ὅτι διὰ ἐντολῆς Κυρίου τὸ πρόσταγμα ἐν χειρὶ τῶν προφητῶν.

Β Παραλ. 29,25 - Ο βασιλεύς εtακτοποίησε τους Λευίτας στον ναόν του Κυρίου με κύμβαλα, με νάβλας, με κινύρας, όπως είχε διατάξει ο βασιλεύς Δαυίδ και ο προφήτης Γαδ στον βασιλέα Δαυίδ και ο προφήτης Ναθαν. Η τακτοποίησις αυτή των Λευιτών έγινε σύμφωνα με την εντολήν του Κυρίου, η οποία εδόθη με πρόσταγμα δια μέσου των προφητών.

Β Παραλ. 29,26 - καὶ ἔστησαν οἱ Λευῖται ἐν ὀργάνοις Δαυὶδ καὶ οἱ ἱερεῖς ταῖς σάλπιγξι.

Β Παραλ. 29,26 - Ετσι οι Λευίται επήραν τας θέσεις των με τα μουσικά όργανα του Δαυίδ. Οι δε ιερείς είχαν εις τα χέρια των τας ιεράς σάλπιγγας.

Β Παραλ. 29,27 - καὶ εἶπεν Ἐζεκίας ἀνενέγκαι τὴν ὁλοκαύτωσιν ἐπὶ τὸ θυσιαστήριον· καὶ ἐν τῷ ἄρξασθαι ἀναφέρειν τὴν ὁλοκαύτωσιν ἤρξαντο ᾄδειν Κυρίῳ, καὶ σάλπιγγες πρὸς τὰ ὄργανα Δαυὶδ βασιλέως Ἰσραήλ.

Β Παραλ. 29,27 - Ο Εζεκίας είπε να προσφέρουν τα ολοκαυτώματα στο θυσιαστήριον και κατά την στιγμήν, που ήρχισεν η προσφορά των ολοκαυτωμάτων, ήρχισαν επίσης να ψάλλουν οι ψάλται προς δόξαν του Κυρίου και αι σάλπιγγες να ηχούν συνοδευόμεναι με τα μουσικά όργανα του Δαυίδ του βασιλέως του ισραηλιτικού λαού.

Β Παραλ. 29,28 - καὶ πᾶσα ἡ ἐκκλησία προσεκύνει, καὶ οἱ ψαλτῳδοὶ ᾄδοντες, καὶ σάλπιγγες σαλπίζουσαι, ἕως οὗ συνετελέσθη ἡ ὁλοκαύτωσις.

Β Παραλ. 29,28 - Ολοι δε τότε οι εκεί συγκεντρωθέντες προσεκύνησαν τον Θεόν, οι ψάλται έψαλλον, αι σάλπιγγες εσάλπιζον, έως ότου ετελείωσεν η πρόσφορα των ολοκαυτωμάτων.

Β Παραλ. 29,29 - καὶ ὡς συνετέλεσαν ἀναφέροντες, ἔκαμψεν ὁ βασιλεὺς καὶ πάντες οἱ εὑρεθέντες καὶ προσεκύνησαν.

Β Παραλ. 29,29 - Οταν αυτοί, που προσέφεραν τα ολοκαυτώματα, ετελείωσαν την προσφοράν των, ο βασιλεύς και όλοι όσοι ευρέθησαν εκεί έκαμψαν τα γόνατα και προσεκύνησαν τον Θεόν.

Β Παραλ. 29,30 - καὶ εἶπεν Ἐζεκίας ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τοῖς Λευίταις ὑμνεῖν τὸν Κύριον ἐν λόγοις Δαυὶδ καὶ Ἀσὰφ τοῦ προφήτου· καὶ ὕμνουν ἐν εὐφροσύνῃ καὶ ἔπεσον καὶ προσεκύνησαν.

Β Παραλ. 29,30 - Τοτε ο βασιλεύς Εζεκίας και οι άρχοντες, που ήσαν μαζή του, είπαν στους Λευίτας να υμνούν τον Κυριον με τους ψαλμούς του Δαυίδ και του προφήτου Ασάφ. Αυτοί πράγματι υμνολογούσαν τον Θεόν με χαράν και αγαλλίασιν και έπεσαν και προσεκύνησαν αυτόν.

Β Παραλ. 29,31 - καὶ ἀπεκρίθη Ἐζεκίας καὶ εἶπε· νῦν ἐπληρώσατε τὰς χεῖρας ὑμῶν Κυρίῳ, προσαγάγετε καί φέρετε θυσίας αἰνέσεως εἰς οἶκον Κυρίου· καὶ ἀνήνεγκεν ἡ ἐκκλησία θυσίας καὶ αἰνέσεις εἰς οἶκον Κυρίου καὶ πᾶς πρόθυμος τῇ καρδίᾳ ὁλοκαυτώσεις.

Β Παραλ. 29,31 - Ο Εζεκίας ωμίλησε τότε και είπε· "τώρα με τα ίδια σας τα χέρια έχετε εκπληρώσει το καθήκον σας απέναντι του Κυρίου. Πλησιάστε και φέρτε θυσίας δοξολογίας στον ναόν του Κυρίου". Η συγκέντρωσις προσέφερε πράγματι θυσίας και δοξολογίας στον Κυριον. Και καθένας ο οποίος είχεν ευλαβή και πρόθυμον την κοιρδίαν, προσέφερεν ολοκαυτώματα.

Β Παραλ. 29,32 - καὶ ἐγένετο ὁ ἀριθμὸς τῆς ὁλοκαυτώσεως, ἧς ἀνήνεγκεν ἡ ἐκκλησία, μόσχοι ἑβδομήκοντα, κριοὶ ἑκατόν, ἀμνοὶ διακόσιοι· εἰς ὁλοκαύτωσιν Κυρίῳ πάντα ταῦτα.

Β Παραλ. 29,32 - Ο αριθμός δε των ολοκαυτωμάτων, τα οποία προσέφεραν οι εκεί συγκεντρωθέντες, ήσαν εβδομήκοντα μόσχοι, εκατόν κριοι και διακόσιοι αμνοί. Ολα αυτά προς ολοκαύτωσιν δια τον Κυριον.

Β Παραλ. 29,33 - καὶ οἱ ἡγιασμένοι μόσχοι ἑξακόσιοι, πρόβατα τρισχίλια.

Β Παραλ. 29,33 - Εκτός δε αυτών ήσαν προωρισμένοι προς θυσίαν δια τον Θεόν εξακόσιοι μόσχοι και τρεις χιλιάδες πρόβατα.

Β Παραλ. 29,34 - ἀλλ᾿ ἢ οἱ ἱερεῖς ἦσαν ὀλίγοι καὶ οὐκ ἠδύναντο ἐκδεῖραι τὴν ὁλοκαύτωσιν, καὶ ἀντελάβοντο αὐτῶν οἱ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται, ἕως οὗ συνετελέσθη τὸ ἔργον καὶ ἕως οὗ ἡγνίσθησαν οἱ ἱερεῖς, ὅτι οἱ Λευῖται προθύμως ἥγνισαν παρὰ τοὺς ἱερεῖς.

Β Παραλ. 29,34 - Οι ιερείς όμως ήσαν ολίγοι και δεν ημπορούσαν να γδέρνουν όλα αυτά τα ολοκαυτώματα, δια τούτο και τους εβοηθούσαν οι αδελφοί των οι Λευίται, έως ότου ετελείωσεν ολόκληρος η εργασία των, και μέχρις ότου ηγνίσθησαν και εκαθαρίσθησαν κατά τον Νομον και άλλοι ιερείς. Παντως οι Λευίται εφάνησαν προθυμότεροι στον εξαγνισμόν των, παρά οι ιερείς.

Β Παραλ. 29,35 - καὶ ἡ ὁλοκαύτωσις πολλὴ ἐν τοῖς στέασι τῆς τελειώσεως τοῦ σωτηρίου καὶ τῶν σπονδῶν τῆς ὁλοκαυτώσεως· καὶ κατωρθώθη τὸ ἔργον ἐν οἴκῳ Κυρίου.

Β Παραλ. 29,35 - Υπήρχον πολλά ολοκαυτώματα εκ παραλλήλου προς τας ειρηνικάς θυσίας, κατά τας οποίας εκαίοντο τα λίπη, και εγίνοντο πολλαί σπονδαί οίνου μαζή με τα ολοκαυτώματα. Ετσι δε επραγματοποιήθη και αποκατεστάθη η υπηρεσία στον ναόν του Κυρίου.

Β Παραλ. 29,36 - καὶ ηὐφράνθη Ἐζεκίας καὶ πᾶς ὁ λαὸς διὰ τὸ ἡτοιμακέναι τὸν Θεὸν τῷ λαῷ, ὅτι ἐξάπινα ἐγένετο ὁ λόγος.

Β Παραλ. 29,36 - Ο Εζεκίας και όλος ο λαός ηυφράνθησαν, διότι ετακτοποιήθη η λατρεία του Θεού στον ναόν και διότι όλον αυτό το έργον της

τακτοποιήσεως και αποκαταστάσεως έγινε τόσον σύντομα.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 30

Β Παραλ. 30,1 - Καὶ ἀπέστειλεν Ἐζεκίας ἐπὶ πάντα Ἰσραὴλ καὶ Ἰούδα καὶ ἐπιστολὰς ἔγραψαν ἐπὶ τὸν Ἐφραὶμ καὶ Μανασσῆ ἐλθεῖν εἰς οἶκον Κυρίου εἰς Ἱερουσαλὴμ ποιῆσαι τὸ φασὲκ τῷ Κυρίῳ Θεῷ Ἰσραήλ.

Β Παραλ. 30,1 - Ο Εζεκίας έστειλεν αγγελιαφόρος εις όλους τους ανθρώπους του βασιλείου του Ισραήλ και του βασιλείου του Ιούδα, έγραψε δε και επιστολάς προς τας φυλάς Εφραίμ και Μανασσή και προσεκάλεσεν όλους να ελθουν στον ναόν του Κυρίου εις την Ιερουσαλήμ, να εορτάσουν ομού το Πασχα προς τιμήν του Κυρίου του Θεού του Ισραήλ.

Β Παραλ. 30,2 - καὶ ἐβουλεύσατο ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες καὶ πᾶσα ἡ ἐκκλησία ἐν Ἱερουσαλὴμ ποιῆσαι τὸ φασὲκ τῷ μηνὶ τῷ δευτέρῳ·

Β Παραλ. 30,2 - Ο βασιλεύς, οι άρχοντές του και όλοι όσοι είχαν συγκεντρωθή εις την Ιερουσαλήμ, συνεσκέφθησαν και απεφάσισαν να εορτάσουν το Πασχα κατά τον δεύτερον μήνα.

Β Παραλ. 30,3 - οὐ γὰρ ἠδυνάσθησαν ποιῆσαι αὐτὸ ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτι οἱ ἱερεῖς οὐχ ἡγνίσθησαν ἱκανοί, καὶ ὁ λαὸς οὐ συνήχθη εἰς Ἱερουσαλήμ.

Β Παραλ. 30,3 - Τούτο δέ, διότι δεν ημπόρεσαν να εορτάσουν αυτό κατά τον καθωρισμένον από τον Νομον πρώτον μήνα του έτους, επειδή πολλοί ιερείς δεν είχαν ακόμη αγνισθή και ο λαός δεν είχε συγκεντρωθή εις την Ιερουσαλήμ.

Β Παραλ. 30,4 - καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ ἐναντίον τῆς ἐκκλησίας.

Β Παραλ. 30,4 - Αυτή η απόφασις εφάνη αρεστή στον βασιλέα και εις όλην την συγκέντρωσιν.

Β Παραλ. 30,5 - καὶ ἔστησαν λόγον διελθεῖν κήρυγμα ἐν παντὶ Ἰσραὴλ ἀπὸ Βηρσαβεὲ ἕως Δάν, ἐλθόντας ποιῆσαι τὸ φασὲκ Κυρίῳ Θεῷ Ἰσραὴλ εἰς Ἱερουσαλήμ, ὅτι πλῆθος οὐκ ἐποίησε κατά τὴν γραφήν.

Β Παραλ. 30,5 - Ετσι, λοιπόν, επήραν απόφασιν να στείλουν μήνυμα εις όλον τον ισραηλιτικόν λαόν, από την νοτιωτέραν πόλιν την Βηρσαβεέ μέχρι της βορειοτέρας περιοχής της Δαν. Με το μήνυμα αυτό εκαλούσαν αυτούς να έλθουν να εορτάσουν το Πασχα προς τιμήν Κυρίου του Θεού του Ισραήλ εις την Ιερουσαλήμ, διότι πολύ πλήθος λαού δεν είχεν εορτάσει το Πασχα, όπως ο Νομος ώριζεν.

Β Παραλ. 30,6 - καὶ ἐπορεύθησαν οἱ τρέχοντες σὺν ταῖς ἐπιστολαῖς παρὰ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων εἰς πάντα Ἰσραὴλ καὶ Ἰούδαν κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως λέγοντες· οἱ υἱοὶ Ἰσραὴλ ἐπιστρέψατε πρὸς

Κύριον Θεὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραήλ, καὶ ἐπιστρέψει τοὺς ἀνασεσωσμένους τοὺς καταλειφθέντας ἀπὸ χειρὸς βασιλέως Ἀσσούρ·

Β Παραλ. 30,6 - Οι αγγελιαφόροι έτρεξαν έχοντες μαζή των τας επιστολάς του βασιλέως και των αρχόντων προς όλους τους Ισραηλίτας και τους Ιουδαίους, να αναγγείλουν την εντολήν του βασιλέως και να πουν· “Ισραηλίται, επιστρέψατε εν μετανοία προς Κυριον τον Θεόν του Αβραάμ, του Ισαάκ και του Ιακώβ, και ο Θεός θα επαναφέρη ελευθέρους όσους απέμειναν εις την ζωήν και ευρίσκονται αιχμάλωτοι υπό την εξουσίαν του βασιλέως των Ασσυρίων.

Β Παραλ. 30,7 - καὶ μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν καὶ οἱ ἀδελφοὶ ὑμῶν, οἳ ἀπέστησαν ἀπὸ Κυρίου Θεοῦ πατέρων αὐτῶν, καὶ παρέδωκεν αὐτοὺς εἰς ἐρήμωσιν, καθὼς ὑμεῖς ὁρᾶτε.

Β Παραλ. 30,7 - Μη γίνετε και σεις όμοιοι με τους πατέρας σας και τους αδελφούς σας, οι οποίοι απεστάτησαν από Κυριον τον Θεόν των πατέρων των, ο δε Θεός παρέδωσεν αυτούς εις καταστροφήν, όπως και σεις βλέπετε με τα ίδια σας τα μάτια.

Β Παραλ. 30,8 - καὶ νῦν μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς οἱ πατέρες ὑμῶν· δότε δόξαν Κυρίῳ τῷ Θεῷ καὶ εἰσέλθετε εἰς τὸ ἁγίασμα αὐτοῦ, ὃ ἡγίασεν εἰς τὸν αἰῶνα, καὶ δουλεύσατε τῷ Κυρίῳ Θεῷ ὑμῶν, καὶ ἀποστρέψει ἀφ᾿ ὑμῶν θυμὸν ὀργῆς.

Β Παραλ. 30,8 - Τωρα, λοιπόν, μη θελήσετε να σκληρύνετε και σεις τας καρδίας σας παρακούοντες τας εντολάς του Κυρίου, όπως τας εσκλήρυναν οι πατέρες σας. Δοξάσατε Κυριον τον Θεόν σας, ελάτε στον άγιον αυτού ναόν, τον οποίον καθιέρωσε και ηγίασε, δια να μένη εις αιώνας των αιώνων. Υποταχθήτε στον Κυριον και συμμορφωθήτε με το θέλημά του. Τοτε δε ο Θεός θα αποσύρη από σας και θα διαλύση την βαρείαν οργήν του.

Β Παραλ. 30,9 - ὅτι ἐν τῷ ἐπιστρέφειν ὑμᾶς πρὸς Κύριον οἱ ἀδελφοὶ ὑμῶν καὶ τὰ τέκνα ὑμῶν ἔσονται ἐν οἰκτιρμοῖς ἔναντι πάντων τῶν αἰχμαλωτισάντων αὐτούς, καὶ ἀποστρέψει εἰς τὴν γῆν ταύτην, ὅτι ἐλεήμων καὶ οἰκτίρμων Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀφ᾿ ὑμῶν, ἐάν ἐπιστρέψωμεν πρὸς αὐτόν.

Β Παραλ. 30,9 - Εάν σεις εν μετανοία επιστρέψετε προς τον Κυριον μας, οι αδελφοί σας και τα τέκνα σας θα βρουν καλωσύνην και κατανόησιν απέναντι εκείνων, οι οποίοι τους έχουν αιχμαλωτίσει, ο δε Θεός θα τους επαναφέρη ελευθέρους εις την χώραν αυτήν, διότι ο Κυριος και Θεός ημών είναι ελεήμων και οικτίρμων. Και στο μέλλον, εάν ημείς επιστρέψωμεν και μείνωμεν πιστοί εις αυτόν, δεν θα αποστρέψη το πρόσωπόν του από σας”.

Β Παραλ. 30,10 - καὶ ἦσαν οἱ τρέχοντες διαπορευόμενοι πόλιν ἐκ πόλεως ἐν τῷ ὄρει Ἐφραὶμ καὶ Μανασσῆ καὶ ἕως Ζαβουλών, καὶ ἐγένοντο ὡς καταγελῶντες αὐτῶν καὶ καταμωκώμενοι·

Β Παραλ. 30,10 - Οι αγγελιαφόροι διέτρεχον την μίαν πάλιν κατόπιν της άλλης εις την ορεινήν χώραν των φυλών Εφραίμ και Μανασσή, μέχρι και της φυλής του Ζαβουλών. Οι του βασιλείου όμως του Ισραήλ ενέπαιζον και εχλεύαζον αυτούς.

Β Παραλ. 30,11 - ἀλλὰ ἄνθρωποι Ἀσὴρ καὶ ἀπὸ Μανασσῆ καὶ ἀπὸ Ζαβουλὼν ἐνετράπησαν καὶ ἦλθον εἰς Ἱερουσαλὴμ καὶ εἰς Ἰούδα.

Β Παραλ. 30,11 - Αλλά οι άνθρωποι των φυλών Ασήρ, Μανασσή και Ζαβουλών τους ήκουσαν με συναίσθησιν, εδέχθησαν την πρόσκλησιν και ήλθον εις την Ιερουσαλήμ στο βασίλειον του Ιούδα.

Β Παραλ. 30,12 - καὶ ἐγένετο χεὶρ Κυρίου δοῦναι αὐτοῖς καρδίαν μίαν ἐλθεῖν τοῦ ποιῆσαι κατὰ τὰ προστάγματα τοῦ βασιλέως καὶ τῶν ἀρχόντων ἐν λόγῳ Κυρίου,

Β Παραλ. 30,12 - Ο Κυριος έβαλε το χέρι του και έκαμε την καρδιά των μίαν, ώστε ομοφώνως να έλθουν και να εορτάσουν το Πασχα σύμφωνα με την εντολήν του βασιλέως και των αρχόντων του Ιουδαϊκού λαού και σύμφωνα με τον λόγον του Κυρίου.

Β Παραλ. 30,13 - καὶ συνήχθησαν εἰς Ἱερουσαλὴμ λαὸς πολὺς τοῦ ποιῆσαι τὴν ἑορτὴν τῶν ἀζύμων ἐν τῷ μηνὶ τῷ δευτέρῳ, ἐκκλησία πολλὴ σφόδρα.

Β Παραλ. 30,13 - Ετσι πολυάριθμος λαός συνεκεντρώθη εις την Ιερουσαλήμ, δια να εορτάσουν την εορτήν των αζύμων, το Πασχα, κατά τον δεύτερον μήνα. Η συγκέντρωσις αυτή υπήρξε πολυάριθμος.

Β Παραλ. 30,14 - καὶ ἀνέστησαν καὶ καθεῖλαν τὰ θυσιαστήρια τὰ ἐν Ἱερουσαλήμ καὶ πάντα, ἐν οἷς ἐθυμίων τοῖς ψευδέσι, κατέσπασαν καὶ ἔῤῥιψαν εἰς τὸν χειμάῤῥουν Κέδρων.

Β Παραλ. 30,14 - Αυτοί εσηκώθηκαν και εκρήμνισαν τα ξένα θυσιαστήρια των ειδωλικών θεών, που υπήρχον εις την Ιερουσαλήμ, και όλα τα θυσιαστήρια, εις τα οποία προσέφεραν θυμίαμα προς τους ψευδείς θεούς, τα εθρυμμάτισαν και τα έρριψαν στον χείμαρρον των Κέδρων.

Β Παραλ. 30,15 - καὶ ἔθυσαν τὸ φασὲκ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦ δευτέρου· καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἐνετράπησαν καὶ ἡγνίσθησαν καὶ εἰσήνεγκαν ὁλοκαυτώματα ἐν οἴκῳ Κυρίου.

Β Παραλ. 30,15 - Κατόπιν προσέφεραν την θυσίαν δια το Πασχα κατά την δεκάτην τετάρτην ημέραν του δευτέρου μηνός. Οι ιερείς και οι Λευίται συνησθάνθησαν την ενοχήν των, εκαθαρίσθησαν και εξηγνίσθησαν, όπως διέτασσεν ο Νομος, και προσέφεραν ολοκαυτώματα στον ναόν του Κυρίου.

Β Παραλ. 30,16 - καὶ ἔστησαν ἐπὶ τὴν στάσιν αὐτῶν κατὰ τὸ κρίμα αὐτῶν, κατὰ τὴν ἐντολὴν Μωυσῆ ἀνθρώπου τοῦ Θεοῦ, καὶ οἱ ἱερεῖς ἐδέχοντο τὰ αἵματα ἐκ χειρὸς τῶν Λευιτῶν·

Β Παραλ. 30,16 - Οι Λευίται επήραν την καθωρισμένην δι' αυτούς θέσιν, σύμφωνα με την εντολήν την οποίαν είχε δώσει ο Μωϋσής, ο άνθρωπος του

Θεού. Οι δε ιερείς έπαιρναν τα αίματα των θυσιών από τα χέρια των Λευιτών.

Β Παραλ. 30,17 - ὅτι πλῆθος τῆς ἐκκλησίας οὐχ ἡγνίσθη, καὶ οἱ Λευῖται ἦσαν τοῦ θύειν τὸ φασὲκ παντὶ τῷ μὴ δυναμένῳ ἁγνισθῆναι τῷ Κυρίῳ.

Β Παραλ. 30,17 - Επειδή όμως όλον το συγκεντρωθέν εκεί πλήθος δεν επρόλαβε να εξαγνισθή σύμφωνα με τον Νομον, οι Λευίται ήσαν υποχρεωμένοι να σφάζουν τα ζώα της πασχαλινής θυσίας και δι' όλους αυτούς, οι οποίοι δεν ήσαν καθαροί ενώπιον του Κυρίου.

Β Παραλ. 30,18 - ὅτι τὸ πλεῖστον τοῦ λαοῦ ἀπὸ Ἐφραὶμ καὶ Μανασσῆ καὶ Ἰσσάχαρ καὶ Ζαβουλὼν οὐχ ἡγνίσθησαν, ἀλλ᾿ ἔφαγον τὸ φασὲκ παρὰ τὴν γραφήν. καὶ προσηύξατο Ἐζεκίας περὶ αὐτῶν λέγων· Κύριος ἀγαθὸς ἐξιλασάσθω

Β Παραλ. 30,18 - Το μεγαλύτερον μέρος του λαού από τας φυλάς Εφραίμ, Μανασσή, Ισσάχαρ και Ζαβουλών δεν ήσαν νομικώς καθαροί, αλλά έφαγον το Πασχα, παρά την περί καθαρισμού γραπτήν εντολήν του Κυρίου. Ο Εζεκίας όμως προσηυχήθη δι' αυτούς προς τον Κυριον και είπε· “Κυριε, σαν αγαθός που είσαι, συγχώρησε

Β Παραλ. 30,19 - ὑπὲρ πάσης καρδίας κατευθυνούσης ἐκζητῆσαι Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτῶν καὶ οὐ κατὰ τὴν ἁγνείαν τῶν ἁγίων.

Β Παραλ. 30,19 - όλους αυτούς, οι οποίοι κατηύθυναν την καρδίαν των να λατρεύσουν σέ, τον Κυριον τον Θεόν των πατέρων των, έστω και αν δεν είναι καθαροί, όπως απαιτεί η αγιότης του ναού σου”.

Β Παραλ. 30,20 - καὶ ἐπήκουσε Κύριος τῷ Ἐζεκίᾳ καὶ ἰάσατο τὸν λαόν.

Β Παραλ. 30,20 - Ο Κυριος ήκουσε την προσευχήν του Εζεκίου και εσυγχώρησε τον λαόν αυτόν, που δεν επρόλαβε να εξαγνισθή.

Β Παραλ. 30,21 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν Ἱερουσαλὴμ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ μεγάλῃ καὶ καθυμνοῦντες τῷ Κυρίῳ ἡμέραν καθ᾿ ἡμέραν καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἐν ὀργάνοις τῷ Κυρίῳ.

Β Παραλ. 30,21 - Οι Ισραηλίται, οι οποίοι είχαν ευρεθή εις την Ιερουσαλήμ, εώρτασαν το Πασχα, την λεγομένην εορτήν των αζύμων, επί επτά ημέρας με μεγάλην χαράν δοξολογούντες τον Κυριον κάθε ημέραν, ενώ οι ιερείς και οι Λευίται υμνολογούσαν τον Κυριον με τα μουσικά των όργανα.

Β Παραλ. 30,22 - καὶ ἐλάλησεν Ἐζεκίας ἐπὶ πᾶσαν καρδίαν τῶν Λευιτῶν καὶ τῶν συνιόντων σύνεσιν ἀγαθὴν τῷ Κυρίῳ· καὶ συνετέλεσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας θύοντες θυσίαν σωτηρίου καὶ ἐξομολογούμενοι τῷ Κυρίῳ Θεῷ τῶν πατέρων αὐτῶν.

Β Παραλ. 30,22 - Ο Εζεκίας ωμίλησε κατά τρόπον, που συνεκίνησε τας καρδίας των Λευιτών και μάλιστα τας καρδίας εκείνων που έδειξαν μεγάλην κατανόησιν και αγαθήν διάθεσιν, δια να υπηρετήσουν τον Κυριον. Ετσι

ετελείωσε το Πασχα, η εορτή των αζύμων, κατά την οποίαν επί επτά ημέρας προσέφεραν θυσίας σωτηρίου και υμνολογούσαν Κυριον τον Θεόν των πατέρων των.

Β Παραλ. 30,23 - καὶ ἐβουλεύσατο ἡ ἐκκλησία ἅμα ποιῆσαι ἑπτὰ ἡμέρας ἄλλας· καὶ ἐποίησαν ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ.

Β Παραλ. 30,23 - Ολοι οι συγκεντρωθέντες συνεσκέφθησαν και απεφάσισαν ομοφώνως να εορτάσουν το Πασχα άλλας επτά ημέρας. Και πράγματι εώρτασαν με μεγάλην χαράν επτά ακόμη ημέρας.

Β Παραλ. 30,24 - ὅτι Ἐζεκίας ἀπήρξατο τῷ Ἰούδᾳ τῇ ἐκκλησίᾳ χιλίους μόσχους καὶ ἑπτακισχίλια πρόβατα, καὶ οἱ ἄρχοντες ἀπήρξαντο τῷ λαῷ μόσχους χιλίους καὶ πρόβατα δέκα χιλιάδας, καὶ τὰ ἅγια τῶν ἱερέων εἰς πλῆθος.

Β Παραλ. 30,24 - Ο Εζεκίας, ο βασιλεύς του Ιούδα, προσέφερεν εις την συγκέντρωσιν αυτήν χιλίους μόσχους και επτά χιλιάδας πρόβατα. Ομως και οι άρχοντες προσέφεραν δια τον λαόν χιλίους μόσχους και δέκα χιλιάδες πρόβατα. Εξ άλλου επραγματοποιήθη και ο καθαρισμός κατά τον Νομον εις πλήθος άλλο ιερέων.

Β Παραλ. 30,25 - καὶ ηὐφράνθη πᾶσα ἡ ἐκκλησία, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πᾶσα ἡ ἐκκλησία Ἰούδα καὶ οἱ εὑρεθέντες ἐξ Ἱερουσαλὴμ καὶ οἱ προσήλυτοι οἱ ἐλθόντες ἀπὸ γῆς Ἰσραὴλ καὶ οἱ κατοικοῦντες Ἰούδα.

Β Παραλ. 30,25 - Ετσι όλοι οι εκεί συγκεντρωθέντες ηυφράνθησαν, οι ιερείς και οι Λευίται, οι συγκεντρωθέντες Ιουδαίοι, όσοι ευρέθησαν κάτοικοι της Ιερουσαλήμ, οι ξένοι οι οποίοι είχαν έλθει από την χώραν του βασιλείου του Ισραήλ, και όλοι οι κάτοικοι της Ιουδαίας.

Β Παραλ. 30,26 - καὶ ἐγένετο εὐφροσύνη μεγάλη ἐν Ἱερουσαλήμ· ἀπὸ ἡμερῶν Σαλωμὼν υἱοῦ Δαυὶδ βασιλέως Ἰσραὴλ οὐκ ἐγένετο τοιαύτη ἑορτὴ ἐν Ἱερουσαλήμ.

Β Παραλ. 30,26 - Εγινε μεγάλη χαρά και αγαλλίασις εις την Ιερουσαλήμ· από την εποχήν του Σολομώντος του υιού του Δαυίδ, βασιλέως του ισραηλιτικού λαού, δεν έγινεν άλλη εορτή εις την Ιερουσαλήμ τόσον λαμπρά, όπως αυτή.

Β Παραλ. 30,27 - καὶ ἀνέστησαν οἱ ἱερεῖς οἱ Λευῖται καὶ εὐλόγησαν τὸν λαόν· καὶ ἐπηκούσθη ἡ φωνὴ αὐτῶν, καὶ ἦλθεν ἡ προσευχὴ αὐτῶν εἰς τὸ κατοικητήριον τὸ ἅγιον αὐτοῦ εἰς τὸν οὐρανόν.

Β Παραλ. 30,27 - Μετά ταύτα οι ιερείς οι Λευίται εσηκώθηκαν και ευλόγησαν τον λαόν. Η φωνή των εισηκούσθη, η προσευχή των δηλαδή έφθασεν στο άγιον κατοικητήριον του Θεού στον ουρανόν.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 31

Β Παραλ. 31,1 - Καὶ ὡς συνετελέσθη πάντα ταῦτα, ἐξῆλθε πᾶς Ἰσραὴλ οἱ εὑρεθέντες ἐν πόλεσιν Ἰούδα καὶ συνέτριψαν τὰς στήλας καὶ ἔκοψαν τά ἄλση καὶ κατέσπασαν τὰ ὑψηλὰ καὶ τοὺς βωμοὺς ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Βενιαμίν, καὶ ἐξ Ἐφραὶμ καὶ ἀπὸ Μανασσῆ ἕως εἰς τέλος, καὶ ἐπέστρεψαν πᾶς Ἰσραὴλ ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ εἰς τὰς πόλεις αὐτῶν.

Β Παραλ. 31,1 - Οταν ετελείωσαν όλαι αι χαρμόσυνοι αυταί εορταί του Πασχα, πάντες οι Ισραηλίται, οι οποίοι ευρέθησαν εις την Ιερουσαλήμ, εξήλθον και διεσκορπίσθησαν ανά τας πόλστου Ιούδα και συνέτριψαν τας ειδωλολατρικάς στήλας, κατέκοψαν τα ειδωλολατρικά άλση και κατέρριψαν τους υψηλούς ειδωλολατρικούς τόπους και τους βωμούς από την χώραν της Ιουδαίας και από την χώραν της φυλής του Βενιαμίν και από τας περιοχάς των φυλών Εφραίμ και Μανασσή, έως ότου τα κατέστρεψαν τελείως. Επειτα όλοι οι Ισραηλίται επέστρεψαν ο καθένας από αυτούς εις τας πόλεις των και τας κατοικίας των.

Β Παραλ. 31,2 - καὶ ἔταξεν Ἐζεκίας τὰς ἐφημερίας τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τὰς ἐφημερίας ἑκάστου κατὰ τὴν ἑαυτοῦ λειτουργίαν τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις εἰς τὴν ὁλοκαύτωσιν καὶ εἰς τὴν θυσίαν τοῦ σωτηρίου καὶ αἰνεῖν καὶ ἐξομολογεῖσθαι καὶ λειτουργεῖν ἐν ταῖς πύλαις ἐν ταῖς αὐλαῖς οἴκου Κυρίου.

Β Παραλ. 31,2 - Ο βασιλεύς Εζεκίας οργάνωσε τας τάξεις των ιερέων και των Λευιτών ώστε ο καθένας από τους ιερείς και τους Λευίτας να έχη την υπηρεσίαν του, όταν θα προσεφέροντο τα ολοκαυτώματα και αι ειρηνικαί θυσίαι, να δοξολογή, να υμνή τον Κυριον και να υπηρετή ως θυρωρός εις τας αυλάς του Κυρίου.

Β Παραλ. 31,3 - καὶ μερὶς τοῦ βασιλέως ἐκ τῶν ὑπαρχόντων αὐτοῦ εἰς τὰς ὁλοκαυτώσεις τὴν πρωϊνὴν καὶ τὴν δειλινὴν καὶ ὁλοκαυτώσεις εἰς τὰ σάββατα καὶ εἰς τὰς νουμηνίας καὶ εἰς τὰς ἑορτὰς τὰς γεγραμμένας ἐν τῷ νόμῳ Κυρίου.

Β Παραλ. 31,3 - Ο βασιλεύς παρεχώρησε από τα υπάρχοντα αυτού ένα μέρος δια την προσφοράν των ολοκαυτωμάτων κατά την πρωΐαν και το εσπέρας, όπως επίσης και δια τα ολοκαυτώματα των Σαββάτων, εκάστης πρώτης του μηνός και των εορτών, όπως αύται ήσαν γραμμέναι στον Νομον του Κυρίου.

Β Παραλ. 31,4 - καὶ εἶπαν τῷ λαῷ τοῖς κατοικοῦσιν ἐν Ἱερουσαλὴμ δοῦναι τὴν μερίδα τῶν ἱερέων καὶ τῶν Λευιτῶν, ὅπως κατισχύσωσιν ἐν τῇ λειτουργίᾳ οἴκου Κυρίου.

Β Παραλ. 31,4 - Εδόθησαν επίσης εντολαί στους ανθρώπους, οι οποίοι κατοικούσαν εις την Ιερουσαλήμ, να δίδουν την καθωρισμένην μερίδα στους

ιερείς και τους Λευίτας, δια να αφιερωθούν αυτοί απερίσπαστοι εις την υπηρεσίαν των στον ναόν του Κυρίου.

Β Παραλ. 31,5 - καὶ ὡς προσέταξε τὸν λόγον, ἐπλεόνασεν Ἰσραὴλ ἀπαρχὴν σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ μέλιτος καὶ πᾶν γέννημα ἀγροῦ, καὶ ἐπιδέκατα πάντα εἰς πλῆθος ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ καὶ Ἰούδα.

Β Παραλ. 31,5 - Αμέσως μόλις εκοινοποιήθη η διαταγή αυτή, οι Ισραηλίται προσέφεραν στον ναόν αφθόνους τας απαρχάς του σίτου, του οίνου, του ελαίου και του μέλιτος και όλων των άλλων γεωργικών προϊόντων. Ακόμη δε οι Ισραηλίται και οι Ιουδαίοι προσέφεραν δια το ιερατείον εν αφθονία το δέκατον από όλα τα προϊόντα.

Β Παραλ. 31,6 - καὶ οἱ κατοικοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα καὶ αὐτοὶ ἤνεγκαν ἐπιδέκατα μόσχων καὶ προβάτων καὶ ἐπιδέκατα αἰγῶν καὶ ἡγίασαν τῷ Κυρίῳ Θεῷ αὐτῶν καὶ εἰσήνεγκαν καὶ ἔθηκαν σωροὺς σωρούς·

Β Παραλ. 31,6 - Οσοι δε κατοικούσαν εις πόλστου Ιούδα και αυτοί προσέφεραν τα δέκατα από τους μόσχους, από τα πρόβατα, από τας αίγας των, τα οποία δέκατα αφιέρωσαν εις Κυριον τον Θεόν των. Τα προσέφεραν και τα ετοποθέτησαν στον ναόν ενώπιον του Κυρίου κατά ομάδας ομάδας.

Β Παραλ. 31,7 - ἐν τῷ μηνὶ τῷ τρίτῳ ἤρξαντο οἱ σωροὶ θεμελιοῦσθαι, καὶ ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ συνετελέσθησαν.

Β Παραλ. 31,7 - Κατά τον τρίτον μήνα ήρχισε να γίνεται η συγκέντρωσις και ταξινόμησις όλων των αφιερωμάτων και κατά τον έβδομον μήνα ετελείωσεν.

Β Παραλ. 31,8 - καὶ ἦλθεν Ἐζεκίας καὶ οἱ ἄρχοντες καὶ εἶδον τοὺς σωροὺς καὶ ηὐλόγησαν τὸν Κύριον καὶ τὸν λαὸν αὐτοῦ Ἰσραήλ.

Β Παραλ. 31,8 - Ο Εζεκίας και οι άρχοντες των Ιουδαίων ήλθον και είδαν το πλήθος των διαφόρων αφιερωμάτων, εδόξασαν τον Κυριον και ευλόγησαν τον λαόν του, τον ισραηλιτικόν.

Β Παραλ. 31,9 - καὶ ἐπυνθάνετο Ἐζεκίας τῶν ἱερέων καὶ τῶν Λευιτῶν ὑπὲρ τῶν σωρῶν,

Β Παραλ. 31,9 - Ο Εζεκίας εζήτησε να μάθη από τους ιερείς και τους Λευίτας σχετικώς με τα πλήθη αυτά των προσφορών.

Β Παραλ. 31,10 - καὶ εἶπε πρὸς αὐτὸν Ἀζαρίας ὁ ἱερεὺς ὁ ἄρχων εἰς οἶκον Σαδὼκ καὶ εἶπεν· ἐξ οὗ ἦρκται ἡ ἀπαρχὴ φέρεσθαι εἰς οἶκον Κυρίου, ἐφάγομεν καὶ ἐπίομεν καὶ κατελίπομεν ἕως εἰς πλῆθος, ὅτι Κύριος ηὐλόγησε τὸν λαὸν αὐτοῦ, καὶ κατελίπομεν ἐπὶ τὸ πλῆθος τοῦτο.

Β Παραλ. 31,10 - Ο αρχιερεύς Αζαρίας, ο οποίος ήτο ο άρχων εις την οικογένειαν του Σαδώκ, απήντησε και είπε προς αυτόν· “από τότε που έγινεν η αρχή να προσφέρωνται αυταί αι απαρχαί στον ναόν του Κυρίου, εφάγομεν και επίομεν και εχορτάσαμεν και αφήσαμεν πολύ πλήθος περισσευμάτων, διότι ο Κυριος ηυλόγησε τον λαόν αυτού, ώστε να αφήσωμεν το πλήθος αυτό των περισσευμάτων”.

Β Παραλ. 31,11 - καὶ εἶπεν Ἐζεκίας ἔτι ἑτοιμάσαι παστοφόρια εἰς οἶκον Κυρίου, καὶ ἡτοίμασαν.

Β Παραλ. 31,11 - Ο Εζεκίας διέταξε να κατασκευάσουν δωμάτια πλησίον του ναού του Κυρίου, τα υποία πράγματι κατεσκεύασαν και ετακτοποίησαν.

Β Παραλ. 31,12 - καὶ ἤνεγκαν ἐκεῖ τὰς ἀπαρχὰς καὶ τὰ ἐπιδέκατα ἐν πίστει, καὶ ἐπ᾿ αὐτῶν ἐπιστάτης Χωνενίας ὁ Λευίτης, καὶ Σεμεΐ ὁ ἀδελφὸς αὐτοῦ διαδεχόμενος,

Β Παραλ. 31,12 - Εκεί μετέφεραν όλα όσα είχαν περισσεύσει από τας απαρχάς και από το δέκατον των προϊόντων. Επόπτης δε επάνω εις αυτά και υπεύθυνος ωρίσθη ο Λευίτης Χωνενίας και ως αντικαταστάτης αυτού ο αδελφός του ο Σεμεΐ.

Β Παραλ. 31,13 - καὶ Ἰεϊὴλ καὶ Ὀζαζίας καὶ Ναὲθ καὶ Ἀσαὴλ καὶ Ἱεριμὼθ καὶ Ἰωζαβὰδ καὶ Ἐλιὴλ καὶ Σαμαχία καὶ Μαὰθ καὶ Βαναΐας καὶ οἱ υἱοὶ αὐτοῦ καθεσταμένοι διὰ Χωνενίου καὶ Σεμεΐ τοῦ ἀδελφοῦ αὐτοῦ, καθὼς προσέταξεν Ἐζεκίας ὁ βασιλεὺς καὶ Ἀζαρίας ὁ ἡγούμενος οἴκου Κυρίου.

Β Παραλ. 31,13 - Ο δε Ιεϊήλ, ο Οζαζίας, ο Ναέθ, ο Ασαήλ, ο Ιεριμώθ, ο Ιωζαβάδ, ο Ελιήλ, ο Σαμαχίας, ο Μαάθ, ο Βαναΐας και οι υιοί αυτού είχαν διορισθή ως επόπται υπό την επίβλεψιν του Χωνενίου και του αδελφού του Σεμεΐ, όπως ακριβώς είχε διατάξει ο βασιλεύς Εζεκίας και ο αρχιερεύς Αζαρίας, ο οποίος ήτο και ο γενικός αρχηγός στον ναόν του Κυρίου.

Β Παραλ. 31,14 - καὶ Κωρὴ ὁ τοῦ Ἰεμνὰ ὁ Λευίτης ὁ πυλωρὸς κατὰ ἀνατολὰς ἐπὶ τῶν δομάτων δοῦναι τὰς ἀπαρχὰς Κυρίου καὶ τὰ ἅγια τῶν ἁγίων

Β Παραλ. 31,14 - Ο Κωρή, ο υιός του Ιεμνά ο Λευίτης, ήτο θυρωρός εις τας ανατολικάς αιθούσας του ναού και είχεν αναλάβει να κατανέμη τας προσφερομένας απαρχάς και τας άλλας αγιωτάτας προσφοράς.

Β Παραλ. 31,15 - διὰ χειρὸς Ὀδὸμ καὶ Βενιαμὶν καὶ Ἰησοῦς καὶ Σεμεΐ καὶ Ἀμαρίας, καὶ Σεχονίας διὰ χειρὸς τῶν ἱερέων ἐν πίστει δοῦναι τοῖς ἀδελφοῖς αὐτῶν κατὰ τὰς ἐφημερίας, κατὰ τὸν μέγαν καὶ τὸν μικρόν,

Β Παραλ. 31,15 - Αυτά δε τα διένεμε δια μέσου των βοηθών του, του Οδόμ, του Βενιαμίν, του Ιησού, του Σεμεΐ, του Αμαρία και του Σεχονία, οι οποίοι είχον αυτό το έργον να διανέμουν στους αδελφούς των τας προσφοράς δικαίως, κατά τας τάξεις αυτών, εις μεγάλους και εις μικρούς,

Β Παραλ. 31,16 - ἐκτὸς τῆς ἐπιγονῆς τῶν ἀρσενικῶν ἀπὸ τριετοῦς καὶ ἐπάνω, παντὶ τῷ εἰσπορευομένῳ εἰς οἶκον Κυρίου, εἰς λόγον ἡμερῶν εἰς ἡμέραν, εἰς λειτουργίαν ἐφημερίαις διατάξεως αὐτῶν.

Β Παραλ. 31,16 - όπως επίσης και δια τα άνω των τριών ετών άρρενα τέκνα όλων των ιερέων, οι οποίοι εισήρχοντο στον ναόν του Κυρίου δια τας υπηρεσίας εκάστης ημέρας, δια να προσφέρουν τας υπηρεσίας των, όπως ήτο καθωρισμένον δια την τάξιν των.

Β Παραλ. 31,17 - οὗτος ὁ καταλοχισμὸς τῶν ἱερέων κατ᾿ οἴκους πατριῶν, καὶ οἱ Λευῖται ἐν ταῖς ἐφημερίαις αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω ἐν διατάξει,

Β Παραλ. 31,17 - Αυτός ο κατάλογος των ιερέων είχε συνταχθή σύμφωνα με τας πατριαρχικάς οικογενείας. Οι Λευίται είχον και αυτοί εγγραφή εις καταλόγους από εικοσαετούς και άνω, δια να μετέχουν εις την διανομήν αυτήν κατά την τάξιν των.

Β Παραλ. 31,18 - ἐν καταλοχίαις, ἐν πάσῃ ἐπιγονῇ υἱῶν αὐτῶν καὶ θυγατέρων αὐτῶν είς πᾶν πλῆθος, ὅτι ἐν πίστει ἥγνισαν τὸ ἅγιον

Β Παραλ. 31,18 - Απεφασίσθη να εγγραφούν όλα τα τέκνα των, οι υιοί των και αι θυγατέρες των εν τω συνόλω, διότι αυτοί είχαν αφιερώσει εαυτούς πιστώς εις τα άγια.

Β Παραλ. 31,19 - τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἱερατεύουσι, καὶ οἱ ἀπὸ τῶν πόλεων αὐτῶν ἐν πάσῃ πόλει καὶ πόλει ἄνδρες, οἳ ὠνομάσθησαν ἐν ὀνόματι, δοῦναι μερίδα παντὶ ἀρσενικῷ ἐν τοῖς ἱερεῦσι καὶ παντὶ καταριθμουμένῳ ἐν τοῖς Λευίταις.

Β Παραλ. 31,19 - Δια δε τους υιούς του Ααρών, τους ιερείς, οι οποίοι ευρίσκοντο εις τας αγροτικάς περιοχάς γύρω από τας πόλεις των, εις κάθε πόλιν υπήρχον άνδρες, οι οποίοι ονομαστί είχαν ορισθή, να δίδουν μερίδας εις όλα τα άρρενα παιδιά των ιερέων και εις όλους τους Λευίτας τους εγγεγραμμένους στους καταλόγους.

Β Παραλ. 31,20 - καὶ ἐποίησεν οὕτως Ἐζεκίας ἐν παντὶ Ἰούδᾳ καὶ ἐποίησε τὸ καλὸν καὶ τὸ εὐθὲς ἐναντίον τοῦ Κυρίου Θεοῦ αὐτοῦ.

Β Παραλ. 31,20 - Ετσι έκαμεν ο Εζεκίας καθ' όλην την Ιουδαίαν, έπραξε δηλαδή το καλόν και ευάρεστον ενώπιον Κυρίου του Θεού του.

Β Παραλ. 31,21 - καὶ ἐν παντὶ ἔργῳ, ᾧ ἤρξατο ἐν ἐργασίᾳ ἐν οἴκῳ Κυρίου, καὶ ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προστάγμασιν ἐξεζήτησε τὸν Θεὸν αὐτοῦ ἐξ ὅλης ψυχῆς αὐτοῦ καὶ ἐποίησε καὶ εὐωδώθη.

Β Παραλ. 31,21 - Γενικώς κάθε έργον, το οποίον ανέλαβε να εκτελέση στον ναόν του Κυρίου, το έπραξε σύμφωνα με τον Νομον και τας εντολάς του Θεού, τον οποίον με όλην του την ψυχήν ελάτρευε. Κατ' αυτόν τον τρόπον ενήργησεν ο Εζεκίας και ευωδώθη εις την ζωήν του.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 32

Β Παραλ. 32,1 - Καὶ μετὰ τοὺς λόγους τούτους καὶ τὴν ἀλήθειαν ταύτην ἦλθε Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων καὶ ἦλθεν ἐπὶ Ἰούδαν καὶ παρενέβαλεν ἐπὶ τὰς πόλεις τὰς τειχήρεις καὶ εἶπε προκαταλαβέσθαι αὐτάς.

Β Παραλ. 32,1 - Επειτα από τα γεγονότα αυτά, τας συμφώνους προς το θέλημα του Θεού πράξεις αυτάς του Εζεκίου, ο Σενναχηρίμ ο βασιλεύς των Ασσυρίων εξεστράτευσεν εναντίον της Ιουδαίας, επολιόρκησε τας οχυράς πόλεις και έδωσε διαταγήν να τας καταλάβουν.

Β Παραλ. 32,2 - καὶ εἶδεν Ἐζεκίας ὅτι ἥκει Σενναχηρὶμ καὶ τὸ πρόσωπον αὐτοῦ τοῦ πολεμῆσαι ἐπὶ Ἱερουσαλήμ,

Β Παραλ. 32,2 - Οταν ο Εζεκίας είδεν ότι είχεν έλθει ο Σενναχηρίμ με τον σκοπόν να πολεμήση κατά της Ιερουσαλήμ,

Β Παραλ. 32,3 - καὶ ἐβουλεύσατο μετὰ τῶν πρεσβυτέρων αὐτοῦ καὶ τῶν δυνατῶν ἐμφράξαι τὰ ὕδατα τῶν πηγῶν, ἃ ἦν ἔξω τῆς πόλεως, καὶ συνεπίσχυσαν αὐτῷ.

Β Παραλ. 32,3 - συνεσκέφθη και απεφάσισε με τους πρεσβυτέρους της πόλεως και τους άλλους γενναίους άνδρας να κλείσουν τας πηγάς των υδάτων, που ήσαν έξω από την πόλιν της Ιερουσαλήμ. Οι πρεσβύτεροι και οι άλλοι τον ενεθάρρυναν στο έργον αυτό.

Β Παραλ. 32,4 - καὶ συνήγαγε λαὸν πολὺν καὶ ἐνέφραξε τὰ ὕδατα τῶν πηγῶν καὶ τὸν ποταμὸν τὸν διορίζοντα διὰ τῆς πόλεως λέγων· μὴ ἔλθῃ βασιλεὺς Ἀσσοὺρ καὶ εὕρῃ ὕδωρ πολὺ καὶ κατισχύσῃ.

Β Παραλ. 32,4 - Ο βασιλεύς συνεκέντρωσε πολύν λαόν και έφραξε τας πηγάς των υδάτων και το ποτάμι, που έρρεε πλησίον της πόλεως, λέγων· "αυτό γίνεται, δια να μη εύρη πολύ ύδωρ, όταν έλθη ο βασιλεύς των Ασσυρίων και μας νικήση".

Β Παραλ. 32,5 - καὶ κατίσχυσεν Ἐζεκίας καὶ ᾠκοδόμησε πᾶν τὸ τεῖχος τὸ κατεσκαμμένον καὶ πύργους καὶ ἔξω προτείχισμα ἄλλο καὶ κατίσχυσε τὸ ἀνάλημμα τῆς πόλεως Δαυὶδ καὶ κατεσκεύασεν ὅπλα πολλά.

Β Παραλ. 32,5 - Ο Εζεκίας έλαβε θάρρος ανοικοδόμησεν όλον το τείχος της Ιερουσαλήμ, όπου αυτό είχε καταστροφή, και τους πύργους αυτού, έκτισεν άλλο τείχος έξω από την πόλιν και ενίσχυσε το φρούριον της πόλεως Δαυίδ. Επί πλέον δε κατεσκεύασε και πολλά όπλα.

Β Παραλ. 32,6 - καὶ ἔθετο ἄρχοντας τοῦ πολέμου ἐπὶ τὸν λαόν, καὶ συνήχθησαν πρὸς αὐτὸν ἐπὶ τὴν πλατεῖαν τῆς πύλης τῆς φάραγγος, καὶ ἐλάλησεν ἐπὶ καρδίαν αὐτῶν λέγων·

Β Παραλ. 32,6 - Ωρισε στρατιωτικούς αρχηγούς επί του στρατού, οι οποίοι και συνεκεντρώθησαν κοντά εις αυτόν εις την πλατείαν της πύλης της φάραγγος. Προς αυτούς ωμίλησεν εις τας καρδίας των ο βασιλεύς και είπε·

Β Παραλ. 32,7 - ἰσχύσατε καὶ ἀνδρίζεσθε καὶ μὴ φοβηθῆτε, μηδὲ πτοηθῆτε ἀπὸ προσώπου βασιλέως Ἀσσοὺρ καὶ ἀπὸ προσώπου παντὸς τοῦ ἔθνους τοῦ μετ᾿ αὐτοῦ, ὅτι μεθ᾿ ἡμῶν πλείονες ἢ μετ᾿ αὐτοῦ·

Β Παραλ. 32,7 - "έχετε θάρρος, φανήτε ανδρείοι, μη φοβηθήτε και μη πτοηθήτε εξ αιτίας του βασιλέως των Ασσυρίων και εξ αιτίας όλου του λαού,

που ευρίσκεται μαζή του, διότι εκείνοι που είναι μαζή μας, είναι περισσότεροι, από εκείνους που είναι μαζή του.

Β Παραλ. 32,8 - μετ᾿ αὐτοῦ βραχίονες σάρκινοι, μεθ᾿ ἡμῶν δὲ Κύριος ὁ Θεὸς ἡμῶν τοῦ σῴζειν καὶ τοῦ πολεμεῖν τὸν πόλεμον ἡμῶν. καὶ κατεθάρσησεν ὁ λαὸς ἐπὶ τοῖς λόγοις Ἐζεκίου βασιλέως Ἰούδα.

Β Παραλ. 32,8 - Με τον βασιλέα των Ασσυρίων είναι βραχίονες σάρκινοι, ενώ μαζή μας είναι Κυριος ο Θεός μας, ο οποίος είναι ικανός να μας σώζη από κινδύνους, να αναλαμβάνη και οδηγή εις νίκην τον πόλεμάν μας". Ο λαός επήρε θάρρος από τα λόγια αυτά του Εζεκίου βασιλέως των Ιουδαίων.

Β Παραλ. 32,9 - καὶ μετὰ ταῦτα ἀπέστειλε Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων τοὺς παῖδας ἑαυτοῦ ἐπὶ Ἱερουσαλήμ, καὶ αὐτὸς ἐπὶ Λαχὶς καὶ πᾶσα ἡ στρατιὰ μετ᾿ αὐτοῦ, καὶ ἀπέστειλε πρὸς Ἐζεκίαν βασιλέα Ἰούδα καὶ πρὸς πάντα Ἰούδα τὸν ἐν Ἱερουσαλὴμ λέγων·

Β Παραλ. 32,9 - Μετά ταύτα ο Σενναχηρίμ, ο βασιλεύς των Ασσυρίων, απέστειλε μερικούς δούλους του εναντίον της Ιερουσαλήμ, αυτός δε και μαζή με αυτόν όλος ο στρατός του παρέμειναν εις την Λαχίς. Εστειλε δε τους άνδρας αυτούς προς τον Εζεκίαν και προς όλους τους Ιουδαίους, οι οποίοι ευρίσκοντο εις την Ιερουσαλήμ, και τους είπε·

Β Παραλ. 32,10 - οὕτως λέγει Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων· ἐπὶ τί ὑμεῖς πεποίθατε καὶ καθήσεσθε ἐν τῇ περιοχῇ ἐν Ἱερουσαλήμ;

Β Παραλ. 32,10 - "Αυτά λέγει ο Σενναχηρίμ ο βασιλεύς των Ασσυρίων. Που σεις στηρίζετε την πεποίθησίν σας και μένετε περικυκλωμένοι μέσα εις την Ιερουσαλήμ;

Β Παραλ. 32,11 - οὐχὶ Ἐζεκίας ἀπατᾷ ὑμᾶς τοῦ παραδοῦναι ὑμᾶς εἰς θάνατον καὶ εἰς λιμὸν καὶ εἰς δίψαν λέγων· Κύριος ὁ Θεὸς ἡμῶν σώσει ἡμᾶς ἐκ χειρὸς βασιλέως Ἀσσούρ;

Β Παραλ. 32,11 - Ο Εζεκίας δεν είναι εκείνος, ο οποίος σας εξαπατά δια να σας παραδώση εις βέβαιον θάνατον, εις την πείναν και την δίψαν λέγων ότι, τάχα, Κυριος ο Θεός μας θα μας σώση από τα χέρια των Ασσυρίων;

Β Παραλ. 32,12 - οὐχ οὗτός ἐστιν Ἐζεκίας, ὃς περιεῖλε τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰ ὑψηλὰ αὐτοῦ καὶ εἶπε τῷ Ἰούδᾳ καὶ τοῖς κατοικοῦσιν ἐν Ἱερουσαλὴμ λέγων· κατέναντι τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε καὶ ἐπ᾿ αὐτῷ θυμιάσατε;

Β Παραλ. 32,12 - Αυτός ο Εζεκίας δεν είναι εκείνος που κατέστρεψε τα θυσιαστήρια του ειδωλικού θεού και τους υψηλούς ειδωλολατρικούς τόπους και είπεν εις όλους τους Ιουδαίους και ειδικότερα στους κατοίκους της Ιερουσαλήμ ότι μόνον ενώπιον του θυσιαστηρίου αυτού, που υπάρχει στον ναόν, θα προσκυνήτε και επάνω εις αυτό θα προσφέρετε το θυμίαμα;

Β Παραλ. 32,13 - οὐ γνώσεσθε ὅ,τι ἐποίησα ἐγὼ καὶ οἱ πατέρες μου πᾶσι τοῖς λαοῖς τῶν χωρῶν; μὴ δυνάμενοι ἠδύναντο θεοὶ τῶν ἐθνῶν

πάσης τῆς γῆς σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου;

Β Παραλ. 32,13 - Δεν έχετε μάθει όσα εγώ και οι προκάτοχοί μου βασιλείς έχομεν κάμει εις όλους τους λαούς των γύρω χωρών; Μηπως, τάχα και ημπόρεσαν καθόλου οι θεοί των άλλων εθνών όλης της γης να σώσουν τους λαούς των από το χέρια μου;

Β Παραλ. 32,14 - τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν ἐθνῶν τούτων, οὓς ἐξωλόθρευσαν οἱ πατέρες μου; μὴ ἐδύναντο σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου, ὅτι δυνήσεται ὁ Θεὸς ὑμῶν σῶσαι ὑμᾶς ἐκ χειρός μου;

Β Παραλ. 32,14 - Μεταξύ όλων των άλλων θεών, που λατρεύουν τα έθνη αυτά, τα οποία οι προκάτοχοί μου κατέστρεψαν, ποίος θεός υπήρξε που ημπόρεσε να σώση τον λαόν του από τα χέρια μου, ώστε να πιστεύσετε και σεις ότι ημπορεί ο Θεός σας να σας σώση από τα χέρια μου;

Β Παραλ. 32,15 - νῦν οὖν μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας καὶ μὴ πεποιθέναι ὑμᾶς ποιείτω κατὰ ταῦτα, καὶ μὴ πιστεύετε αὐτῷ· ὅτι οὐ μὴ δύνηται ὁ Θεὸς παντὸς ἔθνους καὶ βασιλείας τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ ἐκ χειρός μου καὶ ἐκ χειρὸς πατέρων μου, ὅτι ὁ Θεὸς ὑμῶν οὐ μὴ σώσει ὑμᾶς ἐκ χειρός μου.

Β Παραλ. 32,15 - Τωρα, λοιπόν, ας μη σας εξαπατά ο Εζεκίας και ας μη σας παρασύρη να έχετε πεποίθησιν εις αυτά και να πράξετε, όπως αυτός σας λέγει. Μη τον πιστεύετε, διότι δεν θα ημπορέση κανένας θεός, οιουδήποτε έθνους και οιασδήποτε βασιλείας να σώση τον λαόν του από τα χέρια μου, όπως δεν τον έσωσεν από τα χέρια των πατέρων μου. Επαναλαμβάνω, ότι ο Θεός σας δεν θα σας σώση από το χέρι μου”.

Β Παραλ. 32,16 - καὶ ἔτι ἐλάλησαν οἱ παῖδες αὐτοῦ ἐπὶ τὸν Κύριον Θεὸν καὶ ἐπὶ Ἐζεκίαν παῖδα αὐτοῦ.

Β Παραλ. 32,16 - Είπαν ακόμη περισσότερα οι δούλοι του Σενναχηρίμ εναντίον Κυρίου του Θεού και εναντίον του Εζεκίου του δούλου του.

Β Παραλ. 32,17 - καὶ βιβλίον ἔγραψεν ὀνειδίζειν τὸν Κύριον Θεὸν Ἰσραὴλ καὶ εἶπε περὶ αὐτοῦ λέγων· ὡς οἱ θεοὶ τῶν ἐθνῶν τῆς γῆς οὐκ ἐξείλαντο λαοὺς αὐτῶν ἐκ χειρός μου, οὕτως οὐ μὴ ἐξέληται ὁ Θεὸς Ἐζεκίου λαὸν αὐτοῦ ἐκ χειρός μου,

Β Παραλ. 32,17 - Εγραψε δε ο βασιλεύς Σενναχηρίμ επιστολήν, δια να υβρίση Κυριον τον Θεόν του Ισραήλ λέγων εναντίον του Θεού· “όπως οι θεοί των άλλων εθνών της γης δεν έσωσαν τους λαούς των από τα χέρια μου, κατά παρόμοιον τρόπον και ο Θεός του Εζεκίου δεν θα σώση τον λαόν του από τα χέρια μου”.

Β Παραλ. 32,18 - καὶ ἐβόησε φωνῇ μεγάλῃ Ἰουδαϊστὶ ἐπὶ τὸν λαὸν Ἱερουσαλὴμ τὸν ἐπὶ τοῦ τείχους, τοῦ φοβῆσαι αὐτοὺς καὶ κατασπάσαι, ὅπως προκαταλάβωνται τὴν πόλιν.

Β Παραλ. 32,18 - Ενας δε από τους δούλους του Σενναχηρίμ εκραύγασε με μεγάλην φωνήν εις την γλώσσαν την ιουδαϊκήν προς τον λαόν της

Ιερουσαλήμ, που ευρίσκετο επάνω στο τείχος, δια να εκφοβίση και καταπτοήση αυτούς και ημπορέσουν έτσι οι Ασσύριοι να καταλάβουν την πόλιν.

Β Παραλ. 32,19 - καὶ ἐλάλησεν ἐπὶ Θεὸν Ἱερουσαλήμ, ὡς καὶ ἐπὶ θεοὺς λαῶν τῆς γῆς, ἔργα χειρῶν ἀνθρώπων.

Β Παραλ. 32,19 - Αυτός ο δούλος του Σενναχηρίμ ωμίλησεν εναντίον του Θεού της Ιερουσαλήμ, όπως θα ωμιλούσε και εναντίον των ειδωλολατρικών θεών των λαών της γης, οι οποίοι ήσαν έργα χειρών ανθρώπων.

Β Παραλ. 32,20 - καὶ προσηύξατο Ἐζεκίας ὁ βασιλεὺς καὶ Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης περὶ τούτων καὶ ἐβόησαν εἰς τὸν οὐρανόν.

Β Παραλ. 32,20 - Ο Εζεκίας και ο προφήτης Ησαΐας ο υιός του Αμώς ακούσαντες τους υβριστικούς αυτούς λόγους προσηυχήθησαν προς τον Θεόν, η δε κραυγή των ανέβηκεν έως στον ουρανόν.

Β Παραλ. 32,21 - καὶ ἀπέστειλε Κύριος ἄγγελον, καὶ ἐξέτριψε πάντα δυνατὸν πολεμιστὴν καὶ ἄρχοντα καὶ στρατηγὸν ἐν τῇ παρεμβολῇ βασιλέως Ἀσσούρ, καὶ ἀπέστρεψε μετὰ αἰσχύνης προσώπου εἰς τὴν γῆν ἑαυτοῦ. καὶ ἦλθεν εἰς οἶκον Θεοῦ αὐτοῦ, καὶ τῶν ἐξελθόντων ἐκ κοιλίας αὐτοῦ κατέβαλον αὐτὸν ἐν ῥομφαίᾳ.

Β Παραλ. 32,21 - Ο δε Κυριος έστειλεν άγγελον από τον ουρανόν, ο οποίος εξεπάστρεψε κάθε γενναίον πολεμιστήν και άρχοντα και στρατηγόν στο στρατόπεδον του βασιλέως της Ασσυρίας. Ετσι δε ο βασιλεύς αυτός κατεντροπιασμένος ανεχώρησε και επανήλθεν εις την πατρίδα του. Οταν έφθασεν εκεί, εισήλθεν στον ναόν του θεού του. Μερικοί όμως από τους υιούς του τον εφόνευσαν δια ρομφαίας.

Β Παραλ. 32,22 - καὶ ἔσωσε Κύριος τὸν Ἐζεκίαν καὶ τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ ἐκ χειρὸς Σενναχηρὶμ βασιλέως Ἀσσοὺρ καὶ ἐκ χειρὸς πάντων καὶ κατέπαυσεν αὐτοὺς κυκλόθεν.

Β Παραλ. 32,22 - Ετσι δε ο Κυριος έσωσε τον Εζεκίαν και όλους τους κατοίκους της Ιερουσαλήμ από τα χέρια του Σενναχηρίμ, του βασιλέως των Ασσυρίων, και από τα χέρια όλων των άλλων εχθρών. Ανέπαυσε και περιεφρούρησε τον Εζεκίαν και τους κατοίκους της Ιερουσαλήμ από τους κύκλω εχθρούς των.

Β Παραλ. 32,23 - καὶ πολλοὶ ἔφερον δῶρα τῷ Κυρίῳ εἰς Ἱερουσαλὴμ καὶ δόματα τῷ Ἐζεκίᾳ βασιλεῖ Ἰούδα, καὶ ὑπερήρθη κατ᾿ ὀφθαλμοὺς πάντων τῶν ἐθνῶν μετὰ ταῦτα.

Β Παραλ. 32,23 - Πολλοί προσέφεραν αφιερώματα προς τον Κυριον εις την Ιερουσαλήμ και δώρα στον Εζεκίαν βασιλέα των Ιουδαίων. Ο δε Εζεκίας έπειτα από αυτά εξυψώθη εις τα μάτια όλων των εθνών.

Β Παραλ. 32,24 - Ἐν ταῖς ἡμέραις ἐκείναις ἠῤῥώστησεν Ἐζεκίας ἕως θανάτου· καὶ προσηύξατο πρὸς Κύριον, καὶ ἐπήκουσεν αὐτῷ, καὶ σημεῖον

ἔδωκεν αὐτῷ.

Β Παραλ. 32,24 - Κατά τας ημέρας εκείνας αρρώστησεν ο Εζεκίας μέχρι θανάτου, προσηυχήθη όμως προς τον Κυριον, ο δε Κυριος ήκουσε την προσευχήν του και του έδωσε κάποιον σημείον εις θαυματουργικήν θεραπείαν του.

Β Παραλ. 32,25 - καὶ οὐ κατὰ τὸ ἀνταπόδομα, ὃ ἔδωκεν αὐτῷ ἀνταπέδωκεν Ἐζεκίας, ἀλλὰ ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ ἐγένετο ἐπ᾽ αὐτὸν ὀργὴ καὶ ἐπὶ Ἰούδαν καὶ Ἱερουσαλήμ.

Β Παραλ. 32,25 - Ο Εζεκίας όμως δεν απέδωσε προς τον Κυριον ανάλογον ευγνωμοσύνην προς την δωρεάν, που έλαβε, διότι η καρδία του υπερηφανεύθη. Δι' αυτό και εξέσπασεν εναντίον αυτού και εναντίον των Ιουδαίων των κατοίκων της Ιερουσαλήμ η οργή του Κυρίου.

Β Παραλ. 32,26 - καὶ ἐταπεινώθη Ἐζεκίας ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ αὐτὸς καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ, καὶ οὐκ ἐπῆλθεν ἐπ᾽ αὐτοὺς ὀργὴ Κυρίου ἐν ταῖς ἡμέραις Ἐζεκίου.

Β Παραλ. 32,26 - Αλλά ο Εζεκίας εταπεινώθη από την υπερηφάνειαν της καρδίας του, αυτός και οι κάτοικοι της Ιερουσαλήμ. Ετσι δε δεν επήλθεν εναντίον των η οργή του Κυρίου κατά τας ημέρας του Εζεκίου.

Β Παραλ. 32,27 - καὶ ἐγένετο τῷ Ἐζεκίᾳ πλοῦτος καὶ δόξα πολλὴ σφόδρα, καὶ θησαυροὺς ἐποίησεν αὐτῷ ἀργυρίου καὶ χρυσίου καὶ τοῦ λίθου τοῦ τιμίου καὶ εἰς τὰ ἀρώματα καὶ ὁπλοθήκας καὶ εἰς σκεύη ἐπιθυμητὰ

Β Παραλ. 32,27 - Ο Εζεκίας απέκτησε πολύν πλούτον και πολύ μεγάλην δόξαν. Εθησαύρισεν άργυρον, χρυσόν, πολυτίμους λίθους, αρώματα, οπλοθήκας και άλλα πολύτιμα αντικείμενα.

Β Παραλ. 32,28 - καὶ πόλεις εἰς τὰ γεννήματα τοῦ σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ κώμας καὶ φάτνας παντὸς κτήνους καὶ μάνδρας εἰς τὰ ποίμνια

Β Παραλ. 32,28 - Ωρισε πόλεις δια την συγκέντρωσιν των προϊόντων του σίτου, του οίνου, και του ελαίου. Εκτισε κώμας, όπως επίσης φάτνας δια τα κτήνη και μάνδρας δια τα ποίμνια.

Β Παραλ. 32,29 - καὶ πόλεις, ἃς ᾠκοδόμησεν αὐτῷ, καὶ ἀποσκευὴν προβάτων καὶ βοῶν εἰς πλῆθος, ὅτι ἔδωκεν αὐτῷ Κύριος ἀποσκευὴν πολλὴν σφόδρα.

Β Παραλ. 32,29 - Ανοικοδόμησε πόλεις και απέκτησε πολλά πρόβατα και πλήθος βοών, διότι ο Κυριος του έδωκε πάρα πολλά πλούτη.

Β Παραλ. 32,30 - αὐτὸς Ἐζεκίας ἐνέφραξε τὴν ἔξοδον τοῦ ὕδατος Γιὼν τὸ ἄνω καὶ κατηύθυνεν αὐτὰ κάτω πρὸς λίβα τῆς πόλεως Δαυίδ· καὶ εὐωδώθη Ἐζεκίας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Β Παραλ. 32,30 - Ο Εζεκίας ήτο εκείνος, που έκλεισε τας άνω πηγάς της Γιών και κατηύθυνε τα ύδατα κατ' ευθείαν κάτω προς την νοτίαν πλευράν της

πόλεως του Δαυίδ. Ο Εζεκίας ευδοκιμούσεν εις όλα τα έργα του.

Β Παραλ. 32,31 - καὶ οὕτως τοῖς πρεσβευταῖς τῶν ἀρχόντων ἀπὸ Βαβυλῶνος τοῖς ἀποσταλεῖσι πρὸς αὐτὸν πυθέσθαι παρ᾿ αὐτοῦ τό τέρας, ὃ ἐγένετο ἐπὶ τῆς γῆς, ἐγκατέλιπεν αὐτὸν Κύριος τοῦ πειράσαι αὐτόν, εἰδέναι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ.

Β Παραλ. 32,31 - Εις την περίπτωσιν όμως των απεσταλμένων εκ μέρους των αρχόντων της Βαβυλώνος, οι οποίοι είχαν αποσταλή εις αυτόν, δια να τον ερωτήσουν περί του θαύματος, που έγινεν εις την χώραν του, ο Θεός τον εγκατέλειψε, δια να τον δοκιμάση, ώστε να γίνουν γνωστά όλα όσα υπήρχον εις την καρδίαν του.

Β Παραλ. 32,32 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἐζεκίου καὶ τὸ ἔλεος αὐτοῦ ἰδοὺ γέγραπται ἐν τῇ προφητείᾳ Ἡσαΐου υἱοῦ Ἀμὼς τοῦ προφήτου καὶ ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ.

Β Παραλ. 32,32 - Τα υπόλοιπα έργα του Εζεκίου και αι καλαί αυτού πράξεις είναι γραμμένοι εις την προφητείαν του προφήτου Ησαΐου, υιού του Αμώς, και στο βιβλίον των βασιλέων Ιούδα και Ισραήλ.

Β Παραλ. 32,33 - καὶ ἐκοιμήθη Ἐζεκίας μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν ἀναβάσει τάφων υἱῶν Δαυίδ, καὶ δόξαν καὶ τιμὴν ἔδωκαν αὐτῷ ἐν τῷ θανάτῳ αὐτοῦ πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ· καὶ ἐβασίλευσε Μανασσῆς υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 32,33 - Ο Εζεκίας εκοιμήθη και ετάφη με τους προπάτοράς του εις ένα ύψωμα των τάφων των απογόνων του Δαυίδ. Ολοι δε οι Ιουδαίοι και οι κάτοικοι της Ιερουσαλήμ απέδωσαν εις αυτόν δόξαν και τιμήν κατά τον θάνατόν του. Αντί δε αυτού έγινε βασιλεύς ο υιός του ο Μανασσής.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 33

Β Παραλ. 33,1 - Ὢν δεκαδύο ἐτῶν Μανασσῆς ἐν τῷ βασιλεῦσαι αὐτὸν καὶ πεντηκονταπέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Β Παραλ. 33,1 - Ο Μανασσής ανήλθεν στον βασιλικόν θρόνον, όταν ήτο δώδεκα ετών. Εβασίλευσε δε εις την Ιερουσαλήμ επί πεντήκοντα πέντε έτι.

Β Παραλ. 33,2 - καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου ἀπὸ πάντων τῶν βδελυγμάτων τῶν ἐθνῶν, οὓς ἐξωλόθρευσε Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ.

Β Παραλ. 33,2 - Εξέκλινεν όμως από τον δρόμον του Θεού και διέπραξε τας πονηράς πράξεις της ειδωλολατρείας ενώπιον του Κυρίου. Κατεσκεύασεν αγάλματα όλων των βδελυρών θεοτήτων, που είχαν τα άλλα έθνη, τα οποία ο Κυριος εξωλόθρευσεν εμπρός από τους Ισραηλίτας.

Β Παραλ. 33,3 - καὶ ἐπέστρεψε καὶ ᾠκοδόμησε τὰ ὑψηλά, ἃ κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἔστησε στήλας τοῖς Βααλὶμ καὶ ἐποίησεν ἄλση καὶ προσεκύνησε πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν αὐτοῖς.

Β Παραλ. 33,3 - Εκτισε πάλιν τους υψηλούς τόπους, τους οποίους ο πατήρ του ο Εζεκίας είχε κατεδαφίσει, έστησε ειδωλολατρικάς στήλας εις τα είδωλα του Βαάλ, καθιέρωσεν άλση προς τιμήν της Αστάρτης, προσεκύνησεν όλην την στρατιάν των αστέρων του ουρανού και έγινε δούλος εις τα είδωλα.

Β Παραλ. 33,4 - καὶ ᾠκοδόμησε θυσιαστήρια ἐν οἴκῳ Κυρίου, οὗ εἶπε Κύριος· ἐν Ἱερουσαλὴμ ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα.

Β Παραλ. 33,4 - Ανοικοδόμησε μάλιστα και ειδωλολατρικά θυσιαστήρια εντός του ναού του Κυρίου στον τόπον, δια τον οποίον ο Κυριος είχεν είπει· “εις την Ιερουσαλήμ θα είναι και θα ακούεται αιωνίως το Ονομά μου”.

Β Παραλ. 33,5 - καὶ ᾠκοδόμησε θυσιαστήρια πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου Κυρίου.

Β Παραλ. 33,5 - Ανοικοδόμησε θυσιαστήρια εις τας δύο αυλάς του ναού του Κυρίου προς τιμήν όλης της στρατιάς των αστέρων του ουρανού.

Β Παραλ. 33,6 - καὶ αὐτὸς διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν Γεβενεννὸμ καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο καὶ ἐφαρμακεύετο καὶ ἐποίησεν ἐγγαστριμύθους καὶ ἐπᾳοιδούς· καὶ ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐναντίον Κυρίου τοῦ παροργίσαι αὐτόν.

Β Παραλ. 33,6 - Επέρασεν ο ίδιος τα παιδιά του με το εξαγνιστικόν, τάχα, πυρ, όπως εσυνήθιζαν οι ειδωλολάτραι εις την Γεβενεννόμ, εσυμβουλεύετο τους μάντεις, τους οιωνοσκόπους, τους μάγους, ανέδειξεν ανθρώπους που ωμιλούσαν με την κοιλίαν, και άλλους οι οποίοι έψαλλον μαγικά άσματα. Ετσι δε διέπραξε πλήθος πονηρά έργα της ειδωλολατρείας, ώστε να εξοργίση εναντίον του τον Θεόν.

Β Παραλ. 33,7 - καὶ ἔθηκε τὸ γλυπτὸν καὶ τὸ χωνευτόν, εἰκόνα ἣν ἐποίησεν, ἐν οἴκῳ Θεοῦ, οὗ εἶπε Θεὸς πρὸς Δαυὶδ καὶ πρὸς Σαλωμὼν υἱὸν αὐτοῦ· ἐν τῷ οἴκῳ τούτῳ καὶ Ἱερουσαλήμ, ἣν ἐξελεξάμην ἐκ πασῶν φυλῶν Ἰσραήλ, θήσω τὸ ὄνομά μου εἰς τὸν αἰῶνα·

Β Παραλ. 33,7 - Κατεσκεύασεν ένα γλυπτόν άγαλμα και ένα άλλο χυτόν και τα ετοποθέτησεν στον ναόν του Θεού, εκεί όπου ο Θεός είπε προς τον Δαυίδ και προς τον υιόν του τον Σολομώντα, ότι “στον ναόν αυτόν και εις την πόλιν αυτήν την Ιερουσαλήμ, την οποίαν εγώ εξέλεξα από όλας τας φυλάς του ισραηλιτικού λαού, θα θέσω το Ονομά μου, δια να είναι και να ακούεται στους αιώνας.

Β Παραλ. 33,8 - καὶ οὐ προσθήσω σαλεῦσαι τὸν πόδα Ἰσραὴλ ἀπὸ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν, πλὴν ἐὰν φυλάσσωνται τοῦ ποιῆσαι

πάντα, ἃ ἐνετειλάμην αὐτοῖς, κατὰ πάντα τὸν νόμον καὶ τὰ προστάγματα καὶ τὰ κρίματα ἐν χειρὶ Μωϋσῆ.

Β Παραλ. 33,8 - Δεν θα αφήσω πλέον να σαλευθή το πόδι του ισραηλιτικού μου λαού από την χώραν αυτήν, την οποίαν έδωκα στους πατέρας των, υπό τον όρόν όμως να προσέξουν αυτοί να εφαρμόζουν όλα όσα τους έχω διατάξει σύμφωνα με τον Νομον και με τα προστάγματα και τας θείας αποφάσεις, που έχουν δοθή δια του Μωϋσέως”.

Β Παραλ. 33,9 - καὶ ἐπλάνησε Μανασσῆς τὸν Ἰούδαν καὶ τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ τοῦ ποιῆσαι τὸ πονηρὸν ὑπὲρ πάντα τὰ ἔθνη, ἃ ἐξῇρε Κύριος ἀπὸ προσώπου υἱῶν Ἰσραήλ.

Β Παραλ. 33,9 - Ο Μανασσής όχι μόνον εξέκλινεν ο ίδιος εις την ειδωλολατρείαν, αλλά παρεπλάνησε και τους Ιουδαίους γενικώς και τους κατοίκους της Ιερουσαλήμ, ώστε και αυτοί να υποπέσουν στο μεγάλον κακόν της ειδωλολατρείας, και μάλιστα περισσότερον από όλα τα αλλά έθνη, τα οποία είχεν αποδιώξει ο Κυριος από το πρόσωπον των Ισραηλιτών.

Β Παραλ. 33,10 - καὶ ἐλάλησε Κύριος ἐπὶ Μανασσῆ καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ οὐκ ἐπήκουσαν.

Β Παραλ. 33,10 - Ωμίλησεν ο Κυριος στον Μανασσήν και στον λαόν αυτού και τους συνέστησε να μετανοήσουν. Εκείνοι όμως δεν υπήκουσαν εις την προτροπήν του Κυρίου.

Β Παραλ. 33,11 - καὶ ἤγαγε Κύριος ἐπ᾿ αὐτοὺς τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσούρ, καὶ κατέλαβον τὸν Μανασσῆ ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ ἤγαγον εἰς Βαβυλῶνα.

Β Παραλ. 33,11 - Δια τούτο ο Κυριος έφερεν εναντίον αυτών τους στρατηγούς του στρατού του βασιλέως της Ασσυρίας, οι οποίοι και συνέλαβον τον Μανασσήν, τον έδεσαν και δεμένον με χειροπέδας τον έφεραν εις την Βαβυλώνα.

Β Παραλ. 33,12 - καὶ ὡς ἐθλίβη, ἐζήτησε τὸ πρόσωπον Θεοῦ τοῦ Κυρίου αὐτοῦ καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου Θεοῦ πατέρων αὐτοῦ.

Β Παραλ. 33,12 - Ο Μανασσής επειδή κατεβαρύνθη πολύ από την θλίψιν, ικέτευσε Κυριον τον Θεόν, εταπεινώθη πάρα πολύ ενώπιον του Θεού των πατέρων του

Β Παραλ. 33,13 - καὶ προσηύξατο πρὸς αὐτόν, καὶ ἐπήκουσεν αὐτοῦ· καὶ ἐπήκουσε τῆς βοῆς αὐτοῦ καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ· καὶ ἔγνω Μανασσῆς, ὅτι Κύριος αὐτός ἐστι Θεός.

Β Παραλ. 33,13 - και προσευχήθη προς τον Θεόν. Ο δε Θεός ήκουσε την θερμήν προσευχήν του, τον απηλευθέρωσε και τον επανέφερεν εις την Ιερουσαλήμ στον βασιλικόν του θρόνον. Ο Μανασσής έμαθε τότε καλά, ότι ο Κυριος αυτός είναι ο αληθινός Θεός.

Β Παραλ. 33,14 - καὶ μετὰ ταῦτα ᾠκοδόμησε τεῖχος ἔξω τῆς πόλεως Δαυὶδ ἀπὸ λιβὸς κατὰ Γιὼν ἐν τῷ χειμάῤῥῳ καὶ κατὰ τὴν εἴσοδον τὴν διὰ τῆς πύλης τῆς ἰχθυϊκῆς ἐκπορευομένων τὴν πύλην τὴν κυκλόθεν καὶ εἰς Ὀφλὰ καὶ ὕψωσε σφόδρα. καὶ κατέστησεν ἄρχοντας τῆς δυνάμεως ἐν πάσαις ταῖς πόλεσι ταῖς τειχήρεσιν ἐν Ἰούδᾳ

Β Παραλ. 33,14 - Μετά ταύτα ο Μανασσής οικοδόμησε το έξω από την πόλιν Δαυίδ τείχος προς δυσμάς πλησίον της πηγής Γιών και του χειμάρρου Κέδρων μέχρι της εισόδου της πύλης των ιχθύων, ώστε αυτό περιέκλεισε την έξοδον της πύλης, την Οφλά. Υψωσε αυτό εις μέγα ύψος, εγκατέστησε δε διοικητάς του στρατού εις όλας τας οχυράς πόλεις της Ιουδαίας.

Β Παραλ. 33,15 - καὶ περιεῖλε τοὺς θεοὺς τοὺς ἀλλοτρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου Κυρίου καὶ πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου Κυρίου καὶ ἐν Ἱερουσαλὴμ καὶ ἔξωθεν τῆς πόλεως.

Β Παραλ. 33,15 - Εξέβαλε τα αγάλματα των ξένων θεών και το γλυπτόν άγαλμα από τον ναόν του Κυρίου. Επίσης εκρήμνισεν όλα τα θυσιαστήρια, τα οποία είχεν οικοδομήσει στο όρος του ναού του Κυρίου εν Ιερουσαλήμ και έξω από την πόλιν.

Β Παραλ. 33,16 - καὶ κατώρθωσε τὸ θυσιαστήριον Κυρίου καὶ ἐθυσίασεν ἐπ᾿ αὐτὸ θυσίαν σωτηρίου καὶ αἰνέσεως καὶ εἶπε τῷ Ἰούδᾳ τοῦ δουλεύειν Κυρίῳ Θεῷ Ἰσραήλ·

Β Παραλ. 33,16 - Ανώρθωσε το θυσιαστήριον των ολοκαυτωμάτων του Κυρίου και επάνω εις αυτό προσέφερε θυσίας σωτηρίου και αινέσεως και προέτρεψεν εντόνως τους Ιουδαίους να λατρεύουν Κυριον τον Θεόν του Ισραήλ.

Β Παραλ. 33,17 - πλὴν ἔτι ὁ λαὸς ἐπὶ τῶν ὑψηλῶν ἐθυσίαζε, πλὴν Κύριος ὁ Θεὸς αὐτῶν.

Β Παραλ. 33,17 - Παρ' όλα όμως αυτά ο λαός εξακολουθούσε να προσφέρη θυσίας στους υψηλούς ειδωλολατρικούς τόπους. Εν τούτοις ο Κυριος ο Θεός ήτο μαζή των.

Β Παραλ. 33,18 - καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσῆ καὶ ἡ προσευχὴ αὐτοῦ ἡ πρὸς τὸν Θεὸν καὶ λόγοι τῶν ὁρώντων τῶν λαλούντων πρὸς αὐτὸν ἐπ᾿ ὀνόματι Θεοῦ Ἰσραὴλ

Β Παραλ. 33,18 - Τα υπόλοιπα έργα του Μανασσή, όπως η προσευχή του προς τον Θεόν, και οι λόγοι των προφητών, οι οποίοι του ωμιλούσαν εν ονόματι του Θεού του Ισραήλ,

Β Παραλ. 33,19 - ἰδοὺ ἐπὶ λόγων προσευχῆς αὐτοῦ, ὡς καὶ ἐπήκουσεν αὐτοῦ, καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ καὶ ἀποστάσεις αὐτοῦ καὶ οἱ τόποι, ἐφ᾿ οἷς ᾠκοδόμησεν ἐν αὐτοῖς τὰ ὑψηλὰ καὶ ἔστησεν ἐκεῖ ἄλση καὶ γλυπτά, πρὸ τοῦ ἐπιστρέψαι, ἰδοὺ γέγραπται ἐπὶ τῶν λόγων τῶν ὁρώντων.

Β Παραλ. 33,19 - η εις τα λόγια της προσευχής του απάντησις του Θεού, πως δηλαδή εισήκουσεν ο Θεός αυτόν, αι αμαρτίαι του, αι αποστασίαι του και τα μέρη εις τα οποία αυτός είχεν ανοικοδομήσει τους υψηλούς ειδωλολατρικούς τόπους, τα αγάλματα της Αστάρτης και τα άλλα γλυπτά αγάλματα, τα οποία είχε τοποθετήσει και ελάτρευεν ως θεούς πριν μετανοήση, είναι όλα αυτά γραμμένα εις τα βιβλία των προφητών.

Β Παραλ. 33,20 - καὶ ἐκοιμήθη Μανασσῆς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν παραδείσῳ οἴκου αὐτοῦ· καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἀμὼν υἱὸς αὐτοῦ.

Β Παραλ. 33,20 - Ο Μανασσής απέθανε και τον έθαψαν με τους πατέρας του εις ένα κήπον του οίκου του. Αντί δε αυτού εβασίλευσεν ο υιός του Αμών.

Β Παραλ. 33,21 - Ὢν ἐτῶν εἴκοσι καὶ δύο Ἀμὼν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Β Παραλ. 33,21 - Οταν ο Αμών ανήλθεν στον βασιλικόν θρόνον ήτο είκοσι δύο ετών. Εβασίλευσε δε επί δύο έτη εις την Ιερουσαλήμ.

Β Παραλ. 33,22 - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, ὡς ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ, καὶ πᾶσι τοῖς εἰδώλοις, οἷς ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ, ἔθυεν Ἀμὼν καὶ ἐδούλευσεν αὐτοῖς.

Β Παραλ. 33,22 - Διέπραξε και αυτός το μέγα αμάρτημα της ειδωλολατρείας, όπως και ο πατήρ του ο Μανασσής, εθυσίαζεν εις αυτά και τα υπηρετούσε δουλικώς.

Β Παραλ. 33,23 - καὶ οὐκ ἐταπεινώθη ἐναντίον Κυρίου, ὡς ἐταπεινώθη Μανασσῆς ὁ πατὴρ αὐτοῦ, ὅτι υἱὸς αὐτοῦ Ἀμὼν ἐπλήθυνε πλημμέλειαν.

Β Παραλ. 33,23 - Αλλά δεν εταπεινώθη ενώπιον του Κυρίου, όπως είχε ταπεινωθή και μετενόησε ο Μανασσής ο πατήρ του. Εξ αντιθέτου ο υιός του Μανασσή ο Αμών διέπραξε πλήθος ανομιών.

Β Παραλ. 33,24 - καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ καὶ ἐπάταξαν αὐτὸν ἐν οἴκῳ αὐτοῦ.

Β Παραλ. 33,24 - Οι δούλοι του όμως έκαμαν συνωμοσίαν εναντίον του και τον εφόνευσαν μέσα στον οίκον του.

Β Παραλ. 33,25 - καὶ ἐπάταξεν ὁ λαὸς τῆς γῆς τοὺς ἐπιθεμένους ἐπὶ τὸν βασιλέα Ἀμών, καὶ ἐβασίλευσεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωσίαν υἱὸν αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 33,25 - Αλλ' ο λαός της χώρας εθανάτωσε τους συνωμοτήσαντας εναντίον του βασιλέως Αμών, ανεβίβασε δε στον βασιλικόν θρόνον αντ' αυτού τον υιόν του Ιωσίαν.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 34

Β Παραλ. 34,1 - Ὢν ὀκτὼ ἐτῶν Ἰωσίας ἐν τῷ βασιλεῦσαι αὐτὸν καὶ τριάκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Β Παραλ. 34,1 - Οταν ο Ιωσίας ανήλθεν στον βασιλικόν θρόνον, ήτο οκτώ ετών· εβασίλευσε δε εις την Ιερουσαλήμ επί τριάκοντα και εν έτη.

Β Παραλ. 34,2 - καὶ ἐποίησε τὸ εὐθὲς ἐναντίον Κυρίου καὶ ἐπορεύθη ἐν ὁδοῖς Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ οὐκ ἐξέκλινε δεξιὰ καὶ ἀριστερά.

Β Παραλ. 34,2 - Αυτός έπραξε το ορθόν και ευάρεστον ενώπιον του Κυρίου, εβάδισεν εις τας οδούς της ευσεβείας του προπάτορός του Δαυίδ, δεν εξέκλινεν ούτε δεξιά ούτε αριστερά.

Β Παραλ. 34,3 - καὶ ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ -καὶ αὐτὸς ἔτι παιδάριον- ἤρξατο τοῦ ζητῆσαι Κύριον τὸν Θεὸν Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐν τῷ δωδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἤρξατο τοῦ καθαρίσαι τὸν Ἰούδαν καὶ τὴν Ἱερουσαλὴμ ἀπὸ τῶν ὑψηλῶν καὶ τῶν ἄλσεων καὶ ἀπὸ τῶν περιβωμίων καὶ ἀπὸ τῶν χωνευτῶν.

Β Παραλ. 34,3 - Κατά το όγδοον έτος της βασιλείας του, όταν ακόμη ήτο νεαρός, ήρχισε να λατρεύη εν επιγνώσει Κυριον τον Θεόν του προπάτορός του Δαυίδ. Κατά δε το δωδέκατον έτος της βασιλείας του άρχισε να καθαρίζη την χώραν της Ιουδαίας και την πόλιν της Ιερουσαλήμ από τους υψηλούς ειδωλολατρικούς τόπους, από τα άλση της Αστάρτης, από τους βωμούς και από τα χυτά αγάλματα.

Β Παραλ. 34,4 - καὶ κατέσπασε τὰ κατὰ πρόσωπον αὐτοῦ θυσιαστήρια τῶν Βααλὶμ καὶ τὰ ὑψηλὰ τὰ ἐπ᾿ αὐτῶν καὶ ἔκοψε τὰ ἄλση καὶ τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ συνέτριψε καὶ ἐλέπτυνε καὶ ἔῤῥιψεν ἐπὶ πρόσωπον τῶν μνημάτων τῶν θυσιαζόντων αὐτοῖς

Β Παραλ. 34,4 - Διέταξε και εκρήμνισαν έμπροσθέν του τα θυσιαστήρια του Βααλ, τους υψηλούς ειδωλολατρικούς τόπους, κατέκοψε τα αγάλματα της Αστάρτης, τα δε γλυπτά και χωνευτά αγάλματα συνέτριψε, τα έκαμε μικρά κομμάτια και τα συντρίμματά των τα έρριψεν επάνω εις τα μνήματα εκείνων, οι οποίοι, όταν εζούσαν, εθυσίαζαν εις αυτά.

Β Παραλ. 34,5 - καὶ ὀστᾶ ἱερέων κατέκαυσεν ἐπὶ τὰ θυσιαστήρια· καὶ ἐκαθάρισε τὸν Ἰούδαν καὶ τὴν Ἱερουσαλήμ.

Β Παραλ. 34,5 - Ο Ιωσίας κατέκαυσε τα οστά των ιερέων επάνω εις τα ειδωλολατρικά αυτά θυσιαστήρια και εκαθάρισεν έτσι από τον μολυσμόν της ειδωλολατρείας την χώραν της Ιουδαίας και την πόλιν Ιερουσαλήμ,

Β Παραλ. 34,6 - καὶ ἐν πόλεσι Μανασσῆ καὶ Ἐφραὶμ καὶ Συμεὼν καὶ Νεφθαλὶ καὶ τοῖς τόποις αὐτῶν κύκλῳ

Β Παραλ. 34,6 - καθώς επίσης και τας πόλεις των φυλών Μανασσή, Εφραίμ, Συμεών και Νεφθαλί και τας γύρω από αυτάς περιοχάς,

Β Παραλ. 34,7 - καὶ κατέσπασε τὰ θυσιαστήρια καὶ τὰ ἄλση, καὶ εἴδωλα κατέκοψε λεπτὰ καὶ πάντα τὰ ὑψηλὰ ἔκοψεν ἀπὸ πάσης τῆς γῆς Ἰσραήλ,

καὶ ἀπέστρεψεν εἰς Ἱερουσαλήμ.

Β Παραλ. 34,7 - εθρυμμάτισε τα ειδωλολατρικά θυσιαστήρια, τα δε αγάλματα της Αστάρτης συνέτριψεν εις λεπτά τεμάχια. Ολους τους υψηλούς ειδωλολατρικούς τόπους κατέστρεψε καθ' όλην την έκτασιν της ιουδαϊκής χώρας. Επειτα δε από αυτά επέστρεψεν εις την Ιερουσαλήμ.

Β Παραλ. 34,8 - Καὶ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ τῆς βασιλείας αὐτοῦ τοῦ καθαρίσαι τὴν γῆν καὶ τὸν οἶκον ἀπέστειλε τὸν Σαφὰν υἱὸν Ἐσελία καὶ τὸν Μαασὰ ἄρχοντα τῆς πόλεως καὶ τὸν Ἰουὰχ υἱὸν Ἰωάχαζ τὸν ὑπομνηματογράφον αὐτοῦ κραταιῶσαι τὸν οἶκον Κυρίου τοῦ Θεοῦ αὐτοῦ.

Β Παραλ. 34,8 - Κατά το δέκατον όγδοον έτος της βασιλείας του, αφού ήδη είχε καθαρίσει την χώραν και τον ναόν του Θεού από τον μολυσμόν της ειδωλολατρείας, απέστειλεν ο Ιωσίας τον Σαφάν ο υιόν του Εσελία, τον Μαασά τον άρχοντα της πόλεως Ιερουσαλήμ, τον υιόν του Ιωάχαζ Ιουάχ, τον αρχειοφύλακά του, δια να συσκεφθούν περί της επιδιορθώσεως του ναού Κυρίου του Θεού του.

Β Παραλ. 34,9 - καὶ ἦλθον πρὸς Χελκίαν τὸν ἱερέα τὸν μέγαν καὶ ἔδωκαν τὸ ἀργύριον τὸ εἰσενεχθὲν εἰς οἶκον Θεοῦ, ὃ συνήγαγον οἱ Λευῖται φυλάσσοντες τὴν πύλην ἐκ χειρὸς Μανασσῆ καὶ Ἐφραὶμ καὶ τῶν ἀρχόντων καὶ ἀπὸ παντὸς καταλοίπου ἐν Ἰσραὴλ καὶ υἱῶν Ἰούδα καὶ Βενιαμὶν καὶ οἰκούντων ἐν Ἱερουσαλήμ,

Β Παραλ. 34,9 - Ηλθαν, λοιπόν, προς τον αρχιερέα Χελκίαν και παρέδωσαν τα χρήματα, τα οποία είχαν προσφερθή εις τυν ναόν του Θεού και τα οποία είχαν συγκεντρώσει οι Λευίται οι θυρωροί. Αυτά τα χρήματα είχαν προσφερθή από τας φυλάς Μανασσή και Εφραίμ και από τους αρχηγούς όλων των άλλων Ισραηλιτών, των ανδρών της φυλής Ιούδα και του Βενιαμίν και των κατοίκων της Ιερουσαλήμ

Β Παραλ. 34,10 - καὶ ἔδωκαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα οἱ καθεσταμένοι ἐν οἴκῳ Κυρίου καὶ ἔδωκαν αὐτὸ ποιοῦσι τὰ ἔργα, οἳ ἐποίουν ἐν οἴκῳ Κυρίου, ἐπισκευάσαι καὶ κατισχῦσαι τὸν οἶκον.

Β Παραλ. 34,10 - Αυτό το χρήμα το παρέδωσαν εις τα χέρια των εργολάβων, οι οποίοι ήσαν υπεύθυνοι δια την συντήρησιν του οίκου του Κυρίου. Αυτοί δε οι εργολάβοι έδιδαν τα χρήματα στους εργάτας, οι οποίοι θα ανελάμβαναν να εργασθούν στον ναόν του Κυρίου δια την επιδιόρθωσιν και ενίσχυσιν αυτού.

Β Παραλ. 34,11 - καὶ ἔδωκαν τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις ἀγοράσαι λίθους τετραπέδους καὶ ξύλα εἰς δοκοὺς στεγάσαι τοὺς οἴκους, οὓς ἐξωλόθρευσαν βασιλεῖς Ἰούδα·

Β Παραλ. 34,11 - Αυτοί έδωσαν χρήματα στους ξυλουργούς και τους κτίστας να αγοράσουν λίθους πελεκημένους και ξύλα ως δοκούς, δια να στεγάσουν τα διαμερίσματα εκείνα του ναού, τα οποία οι ασεβείς βασιλείς του Ιούδα είχαν καταστρέψει.

Β Παραλ. 34,12 - καὶ οἱ ἄνδρες ἐν πίστει ἐπὶ τῶν ἔργων, καὶ ἐπ᾿ αὐτῶν ἐπίσκοποι Ἰὲθ καὶ Ἀβδίας οἱ Λευῖται ἐξ υἱῶν Μεραρὶ καὶ Ζαχαρίας καὶ Μοσολλὰμ ἐκ τῶν υἱῶν Καὰθ ἐπισκοπεῖν καὶ πᾶς Λευίτης καὶ πᾶς συνιὼν ἐν ὀργάνοις ᾠδῶν.

Β Παραλ. 34,12 - Οι εργάται αυτοί ειργάσθησαν πιστώς εις την εργασίαν των. Επόπται δε εις αυτούς ήσαν οι Λευίται Ιέθ και Αβδίας από τους απογόνους του Μεραρί ο Ζαχαρίας και ο Μοσολλάμ από τους απογόνους του Καάθ. Αυτοί επέβλεπον τας εργασίας, μαζή δε με αυτούς και κάθε Λευίτης, μάλιστα δε εκείνοι οι οποίοι εγνώριζαν και ημπορούσαν να παίζουν μουσικά όργανα.

Β Παραλ. 34,13 - καὶ ἐπὶ τῶν νωτοφόρων καὶ ἐπὶ πάντων τῶν ποιούντων τὰ ἔργα ἐργασίᾳ καὶ ἐργασίᾳ, καὶ ἀπὸ τῶν Λευιτῶν γραμματεῖς καὶ κριταὶ καὶ πυλωροί.

Β Παραλ. 34,13 - Αυτοί επίσης επέβλεπαν τους αχθοφόρους και διηύθυνον γενικώς όλους εκείνους, οι οποίοι ειργάζοντο εις τας διαφόρους εργασίας. Μεταξύ δε αυτών υπήρχον ακόμη και Λευίται γραμματείς, κριταί και θυρωροί.

Β Παραλ. 34,14 - καὶ ἐν τῷ ἐκφέρειν αὐτοὺς τὸ ἀργύριον τὸ εἰσοδιασθὲν εἰς οἶκον Κυρίου εὗρε Χελκίας ὁ ἱερεὺς βιβλίον νόμου Κυρίου διὰ χειρὸς Μωυσῆ.

Β Παραλ. 34,14 - Οταν αυτοί μετέφεραν στον ναόν του Κυρίου το εισπραχθέν αργύριον, ο αρχιερεύς Χελκίας εύρε τότε το βιβλίον του Νομου του Κυρίου, το οποίον είχε γραφή από το χέρι του Μωϋσέως.

Β Παραλ. 34,15 - καὶ ἀπεκρίθη Χελκίας καὶ εἶπε πρὸς Σαφὰν τὸν γραμματέα· βιβλίον νόμου εὗρον ἐν οἴκῳ Κυρίου· καὶ ἔδωκε Χελκίας τὸ βιβλίον τῷ Σαφάν.

Β Παραλ. 34,15 - Ο Χελκίας ωμίλησε προς τον γραμματέα Σαφάν σχετικώς και του είπε· “ευρήκα το βιβλίον του Νομου στον ναόν του Κυρίου”. Ο Χελκίας παρέδωσε το βιβλίον αυτό στον Σαφάν.

Β Παραλ. 34,16 - καὶ εἰσήνεγκε Σαφὰν τὸ βιβλίον πρὸς τὸν βασιλέα καὶ ἀπέδωκεν ἔτι τῷ βασιλεῖ λόγον· πᾶν τὸ δοθὲν ἀργύριον ἐν χειρὶ τῶν παίδων σου τῶν ποιούντων τὸ ἔργον,

Β Παραλ. 34,16 - Ο Σαφάν έφερε το βιβλίον αυτό προς τον βασιλέα και συγχρόνως έδωσεν εις αυτόν λογαριασμόν δια το αργύριον του ναού και είπεν· “όλον το χρήμα, το οποίον ευρέθη, εδόθη στους δούλους σου, οι οποίοι έχουν αναλάβει να κάμουν το έργον της επιδιορθώσεως του ναού.

Β Παραλ. 34,17 - καὶ ἐχώνευσαν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου καὶ ἔδωκαν ἐπὶ χεῖρα τῶν ἐπισκόπων καὶ ἐπὶ χεῖρα τῶν ποιούντων τὴν ἐργασίαν.

Β Παραλ. 34,17 - Ηριθμήθη, δηλαδή, το κατατεθέν αργύριον στον ναόν και το παρέδωκαν εις τα χέρια των εποπτών. Εκείνοι πάλιν παρέδωκαν αυτό εις εκείνους, που ανέλαβαν την εκτέλεσιν της εργασίας στον ναόν”.

Β Παραλ. 34,18 - καὶ ἀπήγγειλε Σαφὰν ὁ γραμματεὺς τῷ βασιλεῖ λόγον λέγων· βιβλίον δέδωκέ μοι Χελκίας ὁ ἱερεύς· καὶ ἀνέγνω αὐτὸ Σαφὰν ἐναντίον τοῦ βασιλέως.

Β Παραλ. 34,18 - Ο γραμματεύς Σαφάν κατέστησε συγχρόνως γνωστόν στον βασιλέα και περί του βιβλίου και είπε· “ο αρχιερεύς ο Χελκίας μου έδωκε βιβλίον”. Ο Σαφάν ανέγνωσε το βιβλίον αυτό ενώπιον του βασιλέως.

Β Παραλ. 34,19 - καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τοῦ νόμου, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ.

Β Παραλ. 34,19 - Οταν ο βασιλεύς ήκουσε τους λόγους του Νομου, έσχισε τα ενδύματά του.

Β Παραλ. 34,20 - καὶ ἐνετείλατο βασιλεὺς τῷ Χελκίᾳ καὶ τῷ Ἀχικὰμ υἱῷ Σαφὰν καὶ τῷ Ἀβδὼν υἱῷ Μιχαία καὶ τῷ Σαφὰν τῷ γραμματεῖ καὶ τῷ Ἀσαΐᾳ παιδὶ τοῦ βασιλέως λέγων·

Β Παραλ. 34,20 - Ο βασιλεύς έδωσε τότε εντολήν στον Χελκίαν και τον Αχικάμ, υιόν του Σαφάν, τον Αβδών υιόν του Μιχαία, τον Σαφάν τον γραμματέα, και τον Ασαΐα τον δούλον του και τους είπε·

Β Παραλ. 34,21 - πορεύθητε ζητήσατε τὸν Κύριον περὶ ἐμοῦ καὶ περὶ παντὸς τοῦ καταλειφθέντος ἐν Ἰσραὴλ καὶ Ἰούδᾳ περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρεθέντος, ὅτι μέγας ὁ θυμὸς Κυρίου ἐκκέκαυται ἐν ἡμῖν, διότι οὐκ εἰσήκουσαν οἱ πατέρες ἡμῶν τῶν λόγων Κυρίου τοῦ ποιῆσαι κατὰ πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.

Β Παραλ. 34,21 - “πηγαίνετε και ζητήσετε να μάθετε από τον Κυριον, ποίαν σχέσιν έχουν τα λόγια του βιβλίου αυτού δι' εμέ και δι' όλους τους απομείναντας Ισραηλίτας και Ιουδαίους, διότι από αυτό φαίνεται, ότι έχει ανάψει μεγάλος ο θυμός του Κυρίου εναντίον μας, επειδή οι πατέρες μας δεν υπήκουσαν και δεν συνεμορφώθησαν προς τα λόγια του Κυρίου, δια να εφαρμόσουν όλας τας εντολάς, που είναι γραμμέναι στο βιβλίον τούτο.

Β Παραλ. 34,22 - καὶ ἐπορεύθη Χελκίας καὶ οἷς εἶπεν ὁ βασιλεὺς πρὸς Ὄλδαν τὴν προφῆτιν γυναῖκα Σελλὴμ υἱοῦ Θεκωὲ υἱοῦ Ἀρὰς φυλάσσουσαν τὰς ἐντολάς -καὶ αὕτη κατῴκει ἐν Ἱερουσαλὴμ ἐν μασαναί- καὶ ἐλάλησαν αὐτῇ κατὰ ταῦτα.

Β Παραλ. 34,22 - Ο Χελκίας επήγε μαζή με εκείνους, τους οποίους ώρισεν ο βασιλεύς, προς την Ολδαν την προφήτιδα, σύζυγον του Σελλήμ υιού του Θεκωέ του υιού του Αράς, η οποία εφοβείτο τον Κυριον και ετήρει τας εντολάς του. -Αυτή η Ολδα κατοικούσεν εις την Ιερουσαλήμ εις την δευτέραν συνοικίαν. -Οι απεσταλμένοι της είπαν, όσα διετάχθησαν από τον βασιλέα.

Β Παραλ. 34,23 - καὶ εἶπεν αὐτοῖς· οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραήλ· εἴπατε τῷ ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρός με.

Β Παραλ. 34,23 - Η Ολδα απήντησεν εις αυτούς· "ειπέτε στον άνδρα, ο οποίος σας έστειλε προς εμέ,

Β Παραλ. 34,24 - οὕτω λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακά, τοὺς πάντας λόγους τοὺς γεγραμμένους ἐν τῷ βιβλίῳ τῷ ἀνεγνωσμένῳ ἐναντίον τοῦ βασιλέως Ἰούδα,

Β Παραλ. 34,24 - αυτά λέγει ο Κυριος· Ιδού, εγώ επιφέρω συμφοράς στον τόπον τούτον, σύμφωνα με τους λόγους, που είναι γραμμένοι στο βιβλίον, το οποίον ανεγνώσθη ενώπιον του βασιλέως των Ιουδαίων.

Β Παραλ. 34,25 - ἀνθ᾿ ὧν ἐγκατέλιπόν με καὶ ἐθυμίασαν θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με ἐν πᾶσι τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν· καὶ ἐξεκαύθη ὁ θυμός μου ἐν τῷ τόπῳ τούτῳ καὶ οὐ σβεσθήσεται.

Β Παραλ. 34,25 - Θα εξαποστείλω δε τας συμφοράς αυτάς, επειδή οι Ιουδαίοι με εγκατέλιπαν και προσέφεραν θυμίαμα εις ξένους ειδωλολατρικούς θεούς, ώστε να με παροργίσουν με όλα τα έργα των χειρών των. Ο θυμός μου άναψε εναντίον του τόπου τούτου και δεν θα σβήση.

Β Παραλ. 34,26 - καὶ ἐπὶ βασιλέα Ἰούδα τὸν ἀποστείλαντα ὑμᾶς τοῦ ζητῆσαι τὸν Κύριον οὕτως ἐρεῖτε αὐτῷ· οὕτω λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· τοὺς λόγους, οὓς ἤκουσας,

Β Παραλ. 34,26 - Ειδικώτερον στον βασιλέα του Ιούδα, ο οποίος σας έστειλε να ζητήσετε και να μάθετε παρά του Κυρίου το θέλημά του, θα πήτε εις αυτόν τα εξής· Αυτά λέγει Κυριος ο Θεός του Ισραήλ ως προς τους λόγους, που ήκουσες και οι οποίοι προαναγγέλλουν τιμωρίας.

Β Παραλ. 34,27 - καὶ ἐνετράπη ἡ καρδία σου καὶ ἐταπεινώθης ἀπὸ προσώπου μου ἐν τῷ ἀκοῦσαί σε τοὺς λόγους μου ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτὸν καὶ ἐταπεινώθης ἐναντίον μου καὶ διέῤῥηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας κατεναντίον μου, καὶ ἐγὼ ἤκουσα, φησὶ Κύριος·

Β Παραλ. 34,27 - Επειδή η καρδία σου μετενόησε και εταπεινώθης ενώπιόν μου, μόλις ήκουσες τους απειλητικούς τούτους λόγους εναντίον του τόπου αυτού και εναντίον εκείνων που τον κατοικούν, και μετενόησες ενώπιόν μου και έσχισες τα ενδύματά σου από λύπην και έκλαυσες συντετριμμένος ενώπιόν μου, εγώ σε ήκουσα, λέγει ο Κυριος.

Β Παραλ. 34,28 - ἰδοὺ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ προστεθήσῃ πρὸς τὰ μνήματά σου ἐν εἰρήνῃ, καὶ οὐκ ὄψονται οἱ ὀφθαλμοί σου ἐν πᾶσι τοῖς κακοῖς, οἷς ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτόν. καὶ ἀπέδωκαν τῷ βασιλεῖ λόγον,

Β Παραλ. 34,28 - Ιδού, εγώ θα σε αφήσω να αποθάνης εν ειρήνη και να προστεθής στους πατέρας σου. Θα προστεθής εις τα μνήματα των

προπατόρων σου αποθνήσκων εν ειρήνη και έτσι τα μάτια σου δεν θα ίδουν καμμίαν από τας συμφοράς, τας οποίας εγώ θα εξαποστείλω εναντίον του τόπου τούτου και εναντίον εκείνων, που κατοικούν εις αυτόν”. Οι απεσταλμένοι μετέφεραν την απάντησιν αυτήν προς τον βασιλέα.

Β Παραλ. 34,29 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ συνήγαγε τοὺς πρεσβυτέρους Ἰούδα καὶ Ἱερουσαλήμ.

Β Παραλ. 34,29 - Απέστειλεν ο βασιλεύς αγγελιαφόρους και συνεκέντρωσε τους πρεσβυτέρους της Ιουδαίας και της πόλεως Ιερουσαλήμ.

Β Παραλ. 34,30 - καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον Κυρίου καὶ πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου· καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας λόγους βιβλίου τῆς διαθήκης τοὺς εὑρεθέντας ἐν οἴκῳ Κυρίου.

Β Παραλ. 34,30 - Ανέβηκεν ο βασιλεύς στον ναόν του Κυρίου και μαζή με αυτόν ανέβηκαν όλοι οι Ιουδαίοι, οι κάτοικοι της Ιερουσαλήμ, οι ιερείς και οι Λευίται και όλος ο λαός από τον μικρότερον έως τον μεγαλύτερον. Εκεί ο βασιλεύς ανέγνωσεν εις επήκοον αυτών όλους τους λόγους του βιβλίου της διαθήκης, οι οποίοι ευρέθησαν στον ναόν του Κυρίου.

Β Παραλ. 34,31 - καὶ ἔστη ὁ βασιλεὺς ἐπὶ τὸν στῦλον καὶ διέθετο διαθήκην ἐναντίον Κυρίου τοῦ πορευθῆναι ἐνώπιον Κυρίου τοῦ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ μαρτύρια καὶ προστάγματα αὐτοῦ ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ ψυχῇ, ὥστε ποιεῖν τοὺς λόγους τῆς διαθήκης τοὺς γεγραμμένους ἐπὶ τῷ βιβλίῳ τούτῳ.

Β Παραλ. 34,31 - Επειτα ο βασιλεύς εστάθη όρθιος εις υψηλόν βάθρον και έκαμε διαθήκην ενώπιον του Κυρίου και έδωσε την υπόσχεσιν, ότι οι Ιουδαίοι θα πορευθούν ενώπιον του Κυρίου φυλάσσοντες τας εντολάς αυτού, τα μαρτύριά του και τα προστάγματά του με όλην των την καρδίαν και με όλην των την ψυχήν. Θα εφαρμόζουν τας εντολάς της διαθήκης, αι οποίαι είναι γραμμέναι στο βιβλίον τούτο.

Β Παραλ. 34,32 - καὶ ἔστησε πάντας τοὺς εὑρεθέντας ἐν Ἱερουσαλὴμ καὶ Βενιαμίν, καὶ ἐποίησαν οἱ κατοικοῦντες Ἱερουσαλὴμ διαθήκην ἐν οἴκῳ Κυρίου Θεοῦ πατέρων αὐτῶν.

Β Παραλ. 34,32 - Επειτα υπεχρέωσεν όλους, όσοι ευρέθησαν εις την Ιερουσαλήμ, όπως και της φυλής Βενιαμίν, να μείνουν πιστοί εις την διαθήκην αυτήν του Κυρίου. Οι κάτοικοι της Ιερουσαλήμ συνεμορφώθησαν και έπραξαν σύμφωνα με την διαθήκην του Θεού, του Θεού των πατέρων των.

Β Παραλ. 34,33 - καὶ περιεῖλεν Ἰωσίας τὰ πάντα βδελύγματα ἐκ πάσης τῆς γῆς, ἣ ἦν υἱῶν Ἰσραήλ, καὶ ἐποίησε πάντας τοὺς εὑρεθέντας ἐν Ἱερουσαλὴμ καὶ ἐν Ἰσραὴλ τοῦ δουλεύειν Κυρίῳ Θεῷ αὐτῶν πάσας τὰς ἡμέρας αὐτοῦ· οὐκ ἐξέκλινεν ἀπὸ ὄπισθεν Κυρίου Θεοῦ πατέρων αὐτοῦ.

Β Παραλ. 34,33 - Επειτα ο Ιωσίας έβγαλεν όλα τα βδελυρά είδωλα από όλην την χώραν, η οποία ανήκεν στους Ισραηλίτας, και υπεχρέωσε καθ' όλας τας ημέρας της ζωής του όλους, όσοι ευρέθησαν εις την Ιερουσαλήμ και εις την χώραν του Ισραήλ, να γίνουν και να μείνουν όλας τας ημέρας της ζωής των δούλοι Κυρίου του Θεού των. Ο ίδιος δε δεν παρεξέκλινε καθόλου από την ευθείαν οδόν, αλλά ηκολούθησε τον Κυριον και Θεόν των πατέρων του.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 35

Β Παραλ. 35,1 - Καὶ ἐποίησεν Ἰωσίας τὸ φασὲκ τῷ Κυρίῳ Θεῷ αὐτοῦ, καὶ ἔθυσε τὸ φασὲκ τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου.
Β Παραλ. 35,1 - Ο Ιωσίας εόρτασε το Πασχα προς δόξαν Κυρίου του Θεού αυτού. Προσέφερεν ως θυσίαν τον πασχάλιον αμνόν κατά την δεκάτην τετάρτην ημέραν του πρώτου μηνός.
Β Παραλ. 35,2 - καὶ ἔστησε τοὺς ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν καὶ κατίσχυσεν αὐτοὺς εἰς τὰ ἔργα οἴκου Κυρίου.
Β Παραλ. 35,2 - Διώρισε τους ιερείς εις τας υπηρεσίας των και τους ανεθάρυννε να εκτελούν τας εργασίας των στον ναόν του Κυρίου.
Β Παραλ. 35,3 - καὶ εἶπε τοῖς Λευίταις τοῖς δυνατοῖς ἐν παντὶ Ἰσραὴλ τοῦ ἁγιασθῆναι αὐτοὺς τῷ Κυρίῳ, καὶ ἔθηκαν τὴν κιβωτὸν τὴν ἁγίαν εἰς τὸν οἶκον, ὃν ᾠκοδόμησε Σαλωμὼν υἱὸς Δαυὶδ τοῦ βασιλέως Ἰσραήλ. καὶ εἶπεν ὁ βασιλεύς· οὐκ ἔστιν ὑμῖν ἐπ᾿ ὤμων ἆραι οὐδέν· νῦν οὖν λειτουργήσατε τῷ Κυρίῳ Θεῷ ὑμῶν καὶ τῷ λαῷ αὐτοῦ Ἰσραὴλ
Β Παραλ. 35,3 - Εις δε τους Λευίτας, οι οποίοι είχον ως καθήκον να διδάσκουν όλον τον ισραηλιτικόν λαόν και ήσαν αφιερωμένοι στον Κυριον, είπε και έθεσαν την Ιεράν Κιβωτόν στον ναόν, τον οποίον οικοδόμησεν ο Σολομών ο υιός του Δαυίδ του βασιλέως του ισραηλιτικού λαού. Και προσέθεσεν ο βασιλεύς. “Δεν υπάρχει πλέον ανάγκη να σηκώνετε τίποτε επάνω στους ώμους σας. Από τώρα και στο εξής θα προσφέρετε τας άλλας υπηρεσίας εις Κυριον τον Θεόν σας και στον λαόν αυτού τον ισραηλιτικόν.
Β Παραλ. 35,4 - καὶ ἑτοιμάσθητε κατ᾿ οἴκους πατριῶν ὑμῶν καὶ κατὰ τὰς ἐφημερίας ὑμῶν κατὰ τὴν γραφὴν Δαυὶδ βασιλέως Ἰσραὴλ καὶ διὰ χειρὸς Σαλωμὼν υἱοῦ αὐτοῦ
Β Παραλ. 35,4 - Τακτοποιηθήτε κατά τους πατριαρχικούς σας οίκους και κατά τας τάξεις σύμφωνα με την ταξινόμησίν σας, την οποίαν γραπτώς παρέδωκεν ο Δαυίδ ο βασιλεύς του Ισραήλ και η οποία παρεδόθη μέχρις ημών δια του υιού του του Σολομώντος.
Β Παραλ. 35,5 - καὶ στῆτε ἐν τῷ οἴκῳ κατὰ τὰς διαιρέσεις οἴκων πατριῶν ὑμῶν τοῖς ἀδελφοῖς ὑμῶν υἱοῖς τοῦ λαοῦ, καὶ μερὶς οἴκου πατριᾶς τοῖς Λευίταις,

Β Παραλ. 35,5 - Να είσθε, λοιπόν, πάντοτε έτοιμοι προς υπηρεσίαν στον ναόν του Κυρίου, σύμφωνα με τας τάξεις των πατριαρχικών σας οίκων μεταξύ των αδελφών σας του ισραηλιτικού λαού. Θα υπάρχη λοιπόν, δια τους Λευίτας μία κατανομή σύμφωνα με τους οίκους των πατριαρχικών οικογενειών των.

Β Παραλ. 35,6 - καὶ θύσατε τὸ φασὲκ καὶ ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν τοῦ ποιῆσαι κατὰ τὸν λόγον Κυρίου διὰ χειρὸς Μωυσῆ.

Β Παραλ. 35,6 - Βοηθήσατε, λοιπόν, εις την θυσίαν του Πασχα και ετοιμάσατε αυτήν δια τους αδελφούς σας σύμφωνα με την εντολήν του Κυρίου, που εδόθη δια μέσου του Μωϋσέως”.

Β Παραλ. 35,7 - καὶ ἀπήρξατο Ἰωσίας τοῖς υἱοῖς τοῦ λαοῦ πρόβατα καὶ ἀμνοὺς καὶ ἐρίφους ἀπὸ τῶν τέκνων τῶν αἰγῶν, πάντα εἰς τὸ φασέκ, καὶ πάντας τοὺς εὑρεθέντας εἰς ἀριθμὸν τριάκοντα χιλιάδας καὶ μόσχων τρεῖς χιλιάδας· ταῦτα ἀπὸ τῆς ὑπάρξεως τοῦ βασιλέως.

Β Παραλ. 35,7 - Ο βασιλεύς Ιωσίας έκαμεν αρχήν και έδωσεν στον λαόν πρόβατα, αμνούς, ερίφια αιγών· έδωσεν όλα αυτά δια το Πασχα και δι' όλους εκείνους, οι οποίοι ευρέθησαν εκεί. Ο αριθμός των προβάτων, που προσεφέρθησαν, ανήλθεν εις τριάκοντα χιλιάδας, των δε μόσχων εις τρεις χιλιάδας. Ολα δε αυτά προήρχοντο από την ιδιαιτέραν περιουσίαν του βασιλέως.

Β Παραλ. 35,8 - καὶ οἱ ἄρχοντες αὐτοῦ ἀπήρξαντο τῷ λαῷ καὶ τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις· ἔδωκε δὲ Χελκίας καὶ Ζαχαρίας καὶ Ἰειὴλ οἱ ἄρχοντες τοῖς ἱερεῦσιν οἴκου Θεοῦ καὶ ἔδωκεν εἰς τὸ φασὲκ πρόβατα καὶ ἀμνοὺς καὶ ἐρίφους δισχίλια ἑξακόσια καὶ μόσχους τριακοσίους.

Β Παραλ. 35,8 - Και οι άρχοντες του βασιλέως προσέφεραν στον λαόν, στους ιερείς και στους Λευίτας ζώα προς θυσίας. Ο Χελκίας, ο Ζαχαρίας, ο Ιειήλ, οι αρχηγοί, έδωκαν στους ιερείς του ναού του Θεού δια το Πασχα δύο χιλιάδας εξακόσια πρόβατα, αμνούς και ερίφια και τριακοσίους μόσχους.

Β Παραλ. 35,9 - καὶ Χωνενίας καὶ Βαναίας καὶ Σαμαίας καὶ Ναθαναὴλ ἀδελφὸς αὐτοῦ καὶ Ἀσαβίας καὶ Ἰειὴλ καὶ Ἰωζαβὰδ ἄρχοντες τῶν Λευιτῶν ἀπήρξαντο τοῖς Λευίταις εἰς τὸ φασὲκ πρόβατα πεντακισχίλια καὶ μόσχους πεντακοσίους.

Β Παραλ. 35,9 - Ο Χωνενίας, ο Βαναίας, ο Σαμαίας και ο αδελφός του ο Ναθαναήλ, ο Ασαβίας, ο Ιειήλ, ο Ιωζαβάδ, οι αρχηγοί των Λευιτών έδωκαν προθύμως προς τους Λευίτας δια το Πασχα πέντε χιλιάδας πρόβατα και πεντακοσίους μόσχους.

Β Παραλ. 35,10 - καὶ κατωρθώθη ἡ λειτουργία, καὶ ἔστησαν οἱ ἱερεῖς ἐπὶ τὴν στάσιν αὐτῶν καὶ οἱ Λευῖται ἐπὶ τὰς διαιρέσεις αὐτῶν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως

Β Παραλ. 35,10 - Ετσι δε εντακτοποιήθη η όλη υπηρεσία. Οι ιερείς ίσταντο εις τας θέσεις των, οι Λευίται εις τας τάξεις των, σύμφωνα με την εντολήν του

βασιλέως.

Β Παραλ. 35,11 - καὶ ἔθυσαν τὸ φασέκ, καὶ προσέχεαν οἱ ἱερεῖς τὸ αἷμα ἐκ χειρὸς αὐτῶν, καὶ οἱ Λευῖται ἐξέδειραν.

Β Παραλ. 35,11 - Οι Λευίται εθυσίαζαν τας πασχαλινάς θυσίας, οι δε ιερείς ελάμβαναν τα αίμα των θυσιών από τα χέρια των Λευιτών και έχυναν αυτό στο θυσιαστήριον. Οι Λευίται είχαν αναλάβει επί πλέον το έργον της εκδοράς των θυσιαζομένων ζώων.

Β Παραλ. 35,12 - καὶ ἡτοίμασαν τὴν ὁλοκαύτωσιν παραδοῦναι αὐτοῖς κατὰ τὴν διαίρεσιν κατ᾿ οἴκους πατριῶν τοῖς υἱοῖς τοῦ λαοῦ τοῦ προσάγειν τῷ Κυρίῳ, ὡς γέγραπται ἐν βίβλῳ Μωυσῆ, καὶ οὕτως εἰς τὸ πρωΐ.

Β Παραλ. 35,12 - Ετακτοποίησαν τα τεμάχια τα προοριζόμενα προς ολοκαύτωσιν, δια να παραδώσουν αυτά εις τας τάξεις των οικογενειών των ανθρώπων του λαού, να προσφέρουν αυτά προς τον Κυριον, όπως είναι γραμμένον στο βιβλίον του Μωϋσέως. Το ίδιο έκαμε και δια την θυσίαν της επομένης ημέρας.

Β Παραλ. 35,13 - καὶ ὤπτησαν τὸ φασὲκ ἐν πυρὶ κατὰ τὴν κρίσιν καὶ τὰ ἅγια ὕψησαν ἐν τοῖς χαλκείοις καὶ ἐν τοῖς λέβησι· καὶ εὐωδώθη, καὶ ἔδραμον πρὸς πάντας τοὺς υἱοὺς τοῦ λαοῦ.

Β Παραλ. 35,13 - Εψησαν ταν πασχάλιον αμνόν στο πυρ, όπως διέτασσεν ο Νομος, τας δε άλλας ιεράς θυσίας έβρασαν εις τα χάλκινα δοχεία και τους λέβητας. Το έργον των κατευωδώθη. Κατόπιν έσπευσαν να διανείμουν αυτά εις όλους τους ανθρώπους του λαού.

Β Παραλ. 35,14 - καὶ μετὰ τὸ ἑτοιμάσαι αὐτοῖς καὶ τοῖς ἱερεῦσιν, ὅτι οἱ ἱερεῖς ἐν τῷ ἀναφέρειν τὰ ὁλοκαυτώματα καὶ τὰ στέατα ἕως νυκτός, καὶ οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς καὶ τοῖς ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών.

Β Παραλ. 35,14 - Κατόπιν ητοίμασαν το Πασχα δι' αυτούς και δια τους ιερείς. Ητοίμασαν δε αυτοί τα Πασχα και δια τους ιερείς, επειδή οι ιερείς ήσαν απησχολημένοι να προσφέρουν τα ολοκαυτώματα και τα λιπαρά μέρη των ζώων έως την νύκτα. Δι' αυτό οι Λευίται ητοίμασαν το Πασχα και δια τον εαυτόν των και δια τους αδελφούς των τους ιερείς, τους απογόνους του Ααρών.

Β Παραλ. 35,15 - καὶ οἱ ψαλτῳδοὶ υἱοὶ Ἀσὰφ ἐπὶ τῆς στάσεως αὐτῶν κατὰ τὰς ἐντολὰς Δαυὶδ καὶ Ἀσὰφ καὶ Αἱμὰν καὶ Ἰδιθὼμ οἱ προφῆται τοῦ βασιλέως καὶ οἱ ἄρχοντες καὶ οἱ πυλωροὶ πύλης καὶ πύλης, οὐκ ἦν αὐτοῖς κινεῖσθαι ἀπὸ τῆς λειτουργίας τῶν ἁγίων, ὅτι ἀδελφοὶ αὐτῶν οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς.

Β Παραλ. 35,15 - Οι ψάλται οι απόγονοι του Ασάφ ευρίσκοντο και αυτοί εις τας θέσεις των σύμφωνά με τας εντολάς, που είχε δώσει ο Δαυίδ, ο Ασάφ, ο Αιμάν και ο Ιδιθώμ, οι προφήται αυτοί του βασιλέως και οι άρχοντες αυτού. Επίσης εις τας θέσεις των ευρίσκοντο και οι θυρωροί των διαφόρων πυλών, διότι εις αυτούς δεν ήτο επιτετραμμένον να μετακινηθούν από τας

θέσεις των, από την υπηρεσίαν δηλαδή των ιερών χώρων. Δι' αυτό και οι αδελφοί των, οι Λευίται, ητοίμασαν και δι' αυτούς το Πασχα.

Β Παραλ. 35,16 - καὶ κατωρθώθη καὶ ἡτοιμάσθη πᾶσα ἡ λειτουργία Κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοῦ ποιῆσαι τὸ φασὲκ καὶ ἐνεγκεῖν τὰ ὁλοκαυτώματα ἐπὶ τὸ θυσιαστήριον Κυρίου κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως Ἰωσίου.

Β Παραλ. 35,16 - Ετσι επετεύχθη και ητοιμάσθη όλη η λειτουργία της υπηρεσίας του Κυρίου κατά την ημέραν εκείνην, ώστε να εορτασθή το Πασχα, να προσφερθούν τα ολοκαυτώματα στο θυσιαστήριον του Κυρίου σύμφωνα με την εντολήν του βασιλέως Ιωσίου.

Β Παραλ. 35,17 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες τὸ φασὲκ ἐν τῷ καιρῷ ἐκείνῳ καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας.

Β Παραλ. 35,17 - Οι Ισραηλίται, οι οποίοι ευρέθησαν εκεί, εώρτασαν το Πασχα κατά τον καιρόν εκείνον και την εορτήν των αζύμων επί επτά ημέρας.

Β Παραλ. 35,18 - καὶ οὐκ ἐγένετο φασὲκ ὅμοιον αὐτῷ ἐν Ἰσραὴλ ἀπὸ ἡμερῶν Σαμουὴλ τοῦ προφήτου καὶ παντὸς βασιλέως Ἰσραὴλ οὐκ ἐποίησαν τὸ φασέκ, ὃ ἐποίησεν Ἰωσίας καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πᾶς Ἰούδα καὶ Ἰσραὴλ ὁ εὑρεθεὶς καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ τῷ Κυρίῳ.

Β Παραλ. 35,18 - Ομοιον Πασχα προς αυτό δεν είχεν εορτασθή μεταξύ των Ισραηλιτών από τας ημέρας του προφήτου Σαμουήλ. Κανείς βασιλεύς του Ισραήλ δεν εώρτασε τόσον λαμπρόν Πασχα, όμοιον προς εκείνο που εώρτασεν ο βασιλεύς Ιωσίας, οι ιερείς, οι Λευίται, όλοι οι Ιουδαίοι και οι Ισραηλίται, που ήσαν εκεί παρόντες, μαζή με τους κατοίκους της Ιερουσαλήμ.

Β Παραλ. 35,19 - τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἰωσίου ἐποιήθη τὸ φασὲκ τοῦτο.

Β Παραλ. 35,19 - Αυτό το Πασχα έγινε κατά το δέκατον όγδοον έτος της βασιλείας του Ιωσίου.

Β Παραλ. 35,19α - καὶ τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας καὶ τὰ θεραφὶν καὶ τὰ εἴδωλα καὶ τὰ καρησίμ, ἃ ἦν ἐν γῇ Ἰούδα καὶ ἐν Ἱερουσαλὴμ ἐνεπύρισεν ὁ βασιλεὺς Ἰωσίας, ἵνα στήσῃ τοὺς λόγους τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου, οὗ εὗρε Χελκίας ὁ ἱερεὺς ἐν τῷ οἴκῳ Κυρίου.

Β Παραλ. 35,19^{α} - Ο βασιλεύς Ιωσίας παρέδωσεν στο πυρ τους εγγαστριμύθους, τους μάγους, τα ειδωλολατρικά αγαλμάτια, τα είδωλα και τα άλλα βδελυρά σύμβολα της ειδωλολατρικής θρησκείας, τα οποία υπήρχον εις την χώραν της Ιουδαίας και εις την πόλιν Ιερουσαλήμ, δια να εφαρμόση έτσι τας εντολάς του Νομου, που ήσαν γραμμέναι στο βιβλίον, το οποίον είχεν ανεύρει ο Χελκίας ο αρχιερεύς στον ναόν του Κυρίου.

Β Παραλ. 35,19β - ὅμοιος αὐτῷ οὐκ ἐγενήθη ἔμπροσθεν αὐτοῦ, ὃς ἐπέστρεψε πρὸς Κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ αὐτοῦ κατὰ πάντα τὸν νόμον Μωυσῆ, καὶ μετ᾿ αὐτὸν οὐκ ἀνέστη ὅμοιος αὐτῷ·

Β Παραλ. 35,19β - Βασιλεύς όμοιος προς τον Ιωσίαν δεν υπήρξε ποτέ προ αυτού, ο οποίος να είχε δώσει προς τον Κυριον όλην του την καρδίαν και όλην του την ψυχήν και όλην του την δύναμιν, δια να ζήση σύμφωνα με όλα όσα υπήρχον στον Νομον του Μωϋσέως. Αλλά και έπειτα από αυτόν δεν παρουσιάσθη όμοιος προς αυτόν βασιλεύς.

Β Παραλ. 35,19γ - πλὴν οὐκ ἀπεστράφη Κύριος ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ τοῦ μεγάλου, οὗ ὠργίσθη θυμῷ Κύριος ἐν τῷ Ἰούδᾳ, ἐπὶ πάντα τὰ παροργίσματα αὐτοῦ, ἃ παρώργισε Μανασσῆς.

Β Παραλ. 35,19γ - Ο Κυριος όμως δεν απέστρεψεν την φοβεράν και μεγάλην αυτού οργήν εναντίον του Ιούδα και εναντίον όλων των εξοργιστικών ειδωλολατρικών πράξεων, με τας οποίας ο Μανασσής προηγουμένως είχε παροργίσει τον Θεόν.

Β Παραλ. 35,19δ - καὶ εἶπε Κύριος· καί γε τὸν Ἰούδαν ἀποστήσω ἀπὸ προσώπου μου, καθὼς ἀπέστησα τὸν Ἰσραήλ, καὶ ἀπωσάμην τὴν πόλιν, ἣν ἐξελεξάμην τὴν Ἱερουσαλήμ, καὶ τὸν οἶκον ὃν εἶπα· ἔσται τὸ ὄνομά μου ἐκεῖ.

Β Παραλ. 35,19δ - Δια τούτο ο Κυριος είπε· “και από αυτούς ακόμη τους Ιουδαίους θα αποσύρω την προστασίαν μου, όπως την απέσυρα από τον άλλον ισραηλιτικόν λαόν και θα απωθήσω μακράν από εμέ την Ιερουσαλήμ, την πόλιν, την οποίαν εγώ εξέλεξα και τον ναόν, δια τον οποίον εγώ είχα είπει· Εκεί θα υμνήται το Ονομά μου”.

Β Παραλ. 35,20 - Καὶ ἀνέβη φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου ἐπὶ τὸν βασιλέα Ἀσσυρίων ἐπὶ τὸν ποταμὸν Εὐφράτην, καὶ ἐπορεύθη βασιλεὺς Ἰωσίας εἰς συνάντησιν αὐτῷ.

Β Παραλ. 35,20 - Ετσι και έγινε. Ο Φαραώ Νεχαώ, βασιλεύς της Αιγύπτου εξεστράτευσεν εναντίον των Ασσυρίων παρά τον ποταμόν τον Ευφράτην. Ο βασιλεύς Ιωσίας εξήλθε, δια να πολεμήση εναντίον του.

Β Παραλ. 35,21 - καὶ ἀπέστειλε πρὸς αὐτὸν ἀγγέλους λέγων· τί ἐμοὶ καὶ σοί, βασιλεῦ Ἰούδα; οὐκ ἐπὶ σὲ ἥκω σήμερον πόλεμον πολεμῆσαι, καὶ ὁ Θεὸς εἶπε τοῦ κατασπεῦσαί με· πρόσεχε ἀπὸ τοῦ Θεοῦ τοῦ μετ᾿ ἐμοῦ μὴ καταφθείρῃ σε.

Β Παραλ. 35,21 - Ο Φαραώ απέστειλεν αγγελιαφόρους προς τον Ιωσίαν και του είπα· “τι διαφοράς έχομεν ημείς μεταξύ μας, βασιλέα του Ιούδα; Εγώ δεν έχω έλθει σήμερον να πολεμήσω εναντίον σου, διότι ο Θεός με διέταξε να σπεύσω εναντίον άλλων. Παψε λοιπόν να εξοργίζης τον θεόν μου, δια να μη σε εξολοθρεύση”.

Β Παραλ. 35,22 - καὶ οὐκ ἀπέστρεψεν Ἰωσίας τὸ πρόσωπον αὐτοῦ ἀπ᾿ αὐτοῦ, ἀλλ᾿ ἢ πολεμεῖν αὐτὸν ἐκραταιώθη καὶ οὐκ ἤκουσε τῶν λόγων Νεχαὼ διά στόματος Θεοῦ καὶ ἦλθε τοῦ πολεμῆσαι ἐν τῷ πεδίῳ Μαγεδδώ.

Β Παραλ. 35,22 - Ο Ιωσίας όμως δεν ηθέλησε να αποχωρήση από τον βασιλέα της Αιγύπτου, αλλά ώρμησε να πολεμήση εναντίον του. Δεν ήκουσε τα λόγια του Νεχαώ, που ήσαν λόγια του Θεού, και ήλθε να πολεμήση εναντίον του Νεχαώ, εις την πεδιάδα Μαγεδδώ.

Β Παραλ. 35,23 - καὶ ἐτόξευσαν οἱ τοξόται ἐπὶ βασιλέα Ἰωσίαν· καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν αὐτοῦ· ἐξαγάγετέ με, ὅτι ἐπόνεσα σφόδρα.

Β Παραλ. 35,23 - Οι τοξόται του Φαραώ έρριψαν τα τόξα των εναντίον του βασιλέως Ιωσία και τον επλήγωσαν. Ο βασιλεύς είπεν στους δούλους του· "βγάλτε με μακράν από την μάχην, διότι επληγώθηκα βαρειά".

Β Παραλ. 35,24 - καὶ ἐξήγαγον αὐτὸν οἱ παῖδες αὐτοῦ ἀπὸ τοῦ ἅρματος καὶ ἀνεβίβασαν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δευτεραῖον, ὃ ἦν αὐτῷ, καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσαλήμ· καὶ ἀπέθανε καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ. καὶ πᾶς Ἰούδα καὶ Ἱερουσαλὴμ ἐπένθησαν ἐπὶ Ἰωσίαν,

Β Παραλ. 35,24 - Οι δούλοι του τον κατέβασαν από το πολεμικόν του άρμα και τον ανεβίβασαν εις δεύτερον άρμα αναπαυτικώτερον, το οποίον ανήκεν εις αυτόν, και έτσι τον έφεραν εις την Ιερουσαλήμ. Ο Ιωσίας απέθανε και ετάφη μαζή με τους προπάτοράς του. Ολοι οι Ιουδαίοι, μάλιστα δε οι κάτοικοι της Ιερουσαλήμ, επένθησαν δια τον θάνατον του Ιωσίου.

Β Παραλ. 35,25 - καὶ ἐθρήνησεν Ἱερεμίας ἐπὶ Ἰωσίαν, καὶ εἶπαν πάντες οἱ ἄρχοντες καὶ αἱ ἄρχουσαι θρῆνον ἐπὶ Ἰωσίαν ἕως τῆς σήμερον· καὶ ἔδωκαν αὐτὸν εἰς πρόσταγμα ἐπὶ Ἰσραήλ, καὶ ἰδοὺ γέγραπται ἐπὶ τῶν θρήνων.

Β Παραλ. 35,25 - Ωδάς θρήνων συνέθεσεν ο προφήτης Ιερεμίας δια τον Ιωσίαν. Ολοι δε οι ψαλτωδοί, άνδρες και γυναίκες, συνέθεσαν και αυτοί θρήνους δια ταν Ιωσίαν, οι οποίοι υπάρχουν μέχρι σήμερον. Οι θρήνοι δε αυτοί δια τον Ιωσίαν επεβλήθησαν και εψάλλοντο από όλον τον ισραηλιτικόν λαόν. Ιδού, αυτοί οι θρήνοι έχουν γραφή στο βιβλίον των θρήνων.

Β Παραλ. 35,26 - καὶ ἦσαν οἱ λοιποὶ λόγοι Ἰωσίου καὶ ἡ ἐλπὶς αὐτοῦ γεγραμμένα ἐν νόμῳ Κυρίου·

Β Παραλ. 35,26 - Τα υπόλοιπα έργα του Ιωσίου και αι άλλαι αυτού πράξεις, όπως και η έλπίς του εις όλα όσα ήσαν γραμμένα στον Νομον του Κυρίου,

Β Παραλ. 35,27 - καὶ οἱ λόγοι αὐτοῦ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίῳ βασιλέων Ἰσραὴλ καὶ Ἰούδα.

Β Παραλ. 35,27 - τα έργα αυτού, τα πρώτα και τα τελευταία, ιδού, είναι γραμμένα στο βιβλίον των βασιλέων του Ισραήλ και του Ιούδα.

Β ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ 36

Β Παραλ. 36,1 - Καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωάχαζ υἱὸν Ἰωσίου καὶ ἔχρισαν αὐτόν, καὶ κατέστησαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ εἰς βασιλέα ἐπὶ Ἰερουσαλήμ.

Β Παραλ. 36,1 - Ο ιουδαϊκός λαός επήρε τον Ιωάχαζ υιόν του Ιωσίου, τον έχρισαν βασιλέα και εγκατέστησαν αυτόν ως βασιλέα αντί του πατρός του εις την Ιερουσαλήμ.

Β Παραλ. 36,2 - υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν Ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ,

Β Παραλ. 36,2 - Ο Ιωάχαζ, όταν ανήλθεν στον βασιλικόν θρόνον, ήτο είκοσι τριών ετών. Τρεις μήνας εβασίλευσεν εις την Ιερουσαλήμ.

Β Παραλ. 36,2α - καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἀμιτὰλ θυγάτηρ Ἱερεμίου ἐκ Λοβενά.

Β Παραλ. 36,2α - Η μητέρα του ωνομάζετο Αμιτάλ, ήτο δε θυγάτηρ του Ιερεμίου, ο οποίος κατήγετο από την Λοβενά.

Β Παραλ. 36,2β - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου κατὰ πάντα, ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ.

Β Παραλ. 36,2β - Ο Ιωαχάζ διέπραξε το μεγάλο αμάρτημα της ειδωλολατρείας, όπως ακριβώς είχαν πράξει οι προπάτορές του.

Β Παραλ. 36,2γ - καὶ ἔδησεν αὐτὸν φαραὼ Νεχαὼ ἐν Δεβλαθὰ ἐν γῇ Αἱμάθ, τοῦ μὴ βασιλεύειν αὐτὸν ἐν Ἱερουσαλήμ,

Β Παραλ. 36,2γ - Ο Νεχαώ ο Φαραώ τον έδεσεν εις την πόλιν Δεβλαθά της χώρας Αιμάθ, δια να παύση πλέον να είναι βασιλεύς της Ιερουσαλήμ.

Β Παραλ. 36,3 - καὶ μετήγαγεν αὐτὸν ὁ βασιλεὺς εἰς Αἴγυπτον, καὶ ἐπέβαλε φόρον ἐπὶ τὴν γῆν ἑκατὸν τάλαντα ἀργυρίου καὶ τάλαντον χρυσίου.

Β Παραλ. 36,3 - Ο βασιλεύς Νεχαώ τον μετέφερε κατόπιν εις την Αίγυπτον και υπέβαλεν εις την χώραν του φόρον εκατόν τάλαντα αργυρίου και ένα τάλαντον χρυσίου.

Β Παραλ. 36,4 - καὶ κατέστησε φαραὼ Νεχαὼ τὸν Ἐλιακὶμ υἱὸν Ἰωσίου βασιλέα ἐπὶ Ἰούδα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ καὶ μετέστρεψε τὸ ὄνομα αὐτοῦ Ἰωακίμ· καὶ τὸν Ἰωάχαζ ἀδελφὸν αὐτοῦ ἔλαβε φαραὼ Νεχαώ, καὶ εἰσήγαγεν αὐτὸν εἰς Αἴγυπτον, καὶ ἀπέθανεν ἐκεῖ.

Β Παραλ. 36,4 - Ο Φαραώ Νεχαώ εγκατέστησεν ως βασιλέα επί της Ιουδαίας τον Ελιακίμ, υιόν του Ιωσίου, αντί του πατρός του Ιωσίου, το δε όνομά του το μετέβαλεν εις Ιωακίμ. Ο Φαραώ Νεχαώ επήρε τον αδελφόν του Ιωακίμ, τον Ιωάχαζ, και τον μετέφερεν εις την Αίγυπτον. Εκεί ο Ιωάχαζ απέθανεν.

Β Παραλ. 36,4α - καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκε τῷ φαραῷ· τότε ἤρξατο ἡ γῆ φορολογεῖσθαι τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόμα φαραώ, καὶ ἕκαστος κατὰ δύναμιν ἀπῄτει τὸ ἀργύριον καὶ τὸ χρυσίον παρὰ τοῦ λαοῦ τῆς γῆς δοῦναι φαραῷ Νεχαῷ.

Β Παραλ. 36,4[α] - Ο Ιωακίμ εδιδεν στον Φαραώ κάθε έτος το επιβληθέν ως φόρον αργύριον και χρυσίον. Δια την πληρωμήν του φόρου αυτού η χώρα της Ιουδαίας ήρχισε να φορολογήται, δια να δίδεται το ορισθέν από τον Φαραώ ποσόν. Από κάθε φορολογούμενον της Ιουδαίας εζητείτο το κατά δύναμιν αργύριον και χρυσίον, δια να συγκεντρώνεται έτσι και δίδεται το ορισθέν ποσόν στον Φαραώ Νεχαώ.

Β Παραλ. 36,5 - Ὢν εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακὶμ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ζεχωρὰ θυγάτηρ Νηρίου ἐκ Ῥαμά. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ.

Β Παραλ. 36,5 - Ο Ιωακίμ ανήλθεν στον βασιλικόν θρόνον, όταν ήτο είκοσι πέντε ετών. Εβασίλευσεν επί ένδεκα έτη εις την Ιερουσαλήμ. Η μητέρα του ωνομάζετο Ζεχωρά, ήτο δε θυγάτηρ του Νηρίου του καταγομένου από την Ραμά. Και αυτός διέπραξε το μεγάλο αμάρτημα της ειδωλολατρείας ενώπιον του Κυρίου και ηκολούθησεν όλα όσα είχαν κάμει και οι προπάτορές του.

Β Παραλ. 36,5α - ἐν ταῖς ἡμέραις αὐτοῦ ἦλθε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος εἰς τὴν γῆν, καὶ ἦν αὐτῷ δουλεύων τρία ἔτη καὶ ἀπέστη ἀπ᾿ αὐτοῦ.

Β Παραλ. 36,5[α] - Επί των ημερών του επήλθεν εναντίον της Ιουδαίας ο Ναβουχοδονόσορ ο βασιλεύς της Βαβυλώνος. Ο Ιωακίμ υπετάγη εις αυτόν επί τρία έτη. Επειτα δε απεστάτησεν από αυτόν.

Β Παραλ. 36,5β - καὶ ἀπέστειλε Κύριος ἐπ᾿ αὐτοὺς τοὺς Χαλδαίους καὶ λῃστήρια Σύρων καὶ λῃστήρια Μωαβιτῶν καὶ υἱῶν Ἀμμὼν καὶ τῆς Σαμαρείας, καὶ ἀπέστησαν μετὰ τὸν λόγον τοῦτον κατὰ τὸν λόγον Κυρίου ἐν χειρὶ τῶν παίδων αὐτοῦ τῶν προφητῶν.

Β Παραλ. 36,5β - Κατόπιν ο Κυριος εξαπέστειλεν εναντίον του Ιωακίμ τους Χαλδαίους, ληστρικά σώματα Συρων και ληστρικά σώματα Μωαβιτών, Αμμωνιτών και Σαμαρειτών. Αυτοί επέδραμον εναντίον της Ιουδαίας, δια να τιμωρηθούν οι κάτοικοί της σύμφωνα με τον λόγον, τον οποίον ο Κυριος είχεν είπει δια μέσου των δούλων του των προφητών.

Β Παραλ. 36,5γ - πλὴν θυμὸς Κυρίου ἦν ἐπὶ Ἰούδαν τοῦ ἀποστῆναι αὐτὸν ἀπὸ προσώπου αὐτοῦ διὰ τὰς ἁμαρτίας Μανασσῆ ἐν πᾶσιν, οἷς ἐποίησε,

Β Παραλ. 36,5γ - Ο θυμός του Κυρίου ήτο τόσος εναντίον των Ιουδαίων, ώστε να απομακρύνη αυτούς από την προστασίαν του εξ αιτίας όλων των

αμαρτιών, τας οποίας ο Μανασσής είχε διαπράξει.

Β Παραλ. 36,5δ - καὶ ἐν αἵματι ἀθῴῳ, ᾧ ἐξέχεεν Ἰωακὶμ καὶ ἔπλησε τὴν Ἱερουσαλὴμ αἵματος ἀθῴου, καὶ οὐκ ἠθέλησε Κύριος ἐξολοθρεῦσαι αὐτούς.

Β Παραλ. 36,5δ - Και ειδικώτερον εξ αιτίας του αθώου αίματος, το οποίον έχυσεν ο Ιωακίμ και το οποίον ήτο τόσον πολύ, ώστε με αυτό το αθώον αίμα επλημμύρισεν η Ιερουσαλήμ. Ο Κυριος δεν ηθέλησε να αποστείλη τιμωρίαν τότε, που διεπράττοντο αυτά, διότι ο Μανασσής είχεν εν τω μεταξύ μετανοήσει.

Β Παραλ. 36,6 - καὶ ἀνέβη ἐπ᾿ αὐτὸν Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος καὶ ἔδησεν αὐτὸν ἐν χαλκαῖς πέδαις καὶ ἀπήγαγεν αὐτὸν εἰς Βαβυλῶνα.

Β Παραλ. 36,6 - Ο Ναβουχοδονόσορ ο βασιλεύς της Βαβυλώνος επήλθεν εναντίον του αποστατήσαντος Ιωακίμ, τον συνέλαβε, τον έδεσε με χαλκίνας χειροιπέδας και τον ωδήγησεν εις την Βαβυλώνα.

Β Παραλ. 36,7 - καὶ μέρος τῶν σκευῶν οἴκου Κυρίου ἀπήνεγκεν εἰς Βαβυλῶνα καὶ ἔθηκεν αὐτὰ ἐν τῷ ναῷ αὐτοῦ ἐν Βαβυλῶνι.

Β Παραλ. 36,7 - Ενα μέρος από τα ιερά σκεύη του ναού του Κυρίου επήρεν ο βασιλεύς της Βαβυλώνος και τα έφερεν εις την Βαβυλώνα. Τα ετοποθέτησεν στον εν Βαβυλώνι ιδιαίτερον ναόν του.

Β Παραλ. 36,8 - καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωακὶμ καὶ πάντα, ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; καὶ ἐκοιμήθη Ἰωακὶμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν Γανοζὰ μετά τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν Ἰεχονίας υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Β Παραλ. 36,8 - Τα υπόλοιπα από τα έργα του Ιωακίμ, όλα όσα έκαμε, δεν είναι γραμμένα στο βιβλίον των ημερών των έργων των βασιλέων του Ιούδα; Ο Ιωακίμ εκοιμήθη, όπως και οι προπάτορές του, και ενεταφιάσθη εις Γανοζά με τους προπάτορας αυτού. ' Αντί δε αυτού έγινε βασιλεύς ο υιός του ο Ιεχονίας.

Β Παραλ. 36,9 - Ὀκτὼ ἐτῶν Ἰεχονίας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τρίμηνον καὶ δέκα ἡμέρας ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου.

Β Παραλ. 36,9 - Ο Ιεχονίας ήτο οχτώ ετών, όταν ανήλθεν στον βασιλικόν θρόνον. Εβασίλευσεν αυτός εις την Ιερουσαλήμ επί τρεις μήνας και δέκα ημέρας και διέπραξε το αμάρτημα της ειδωλολατρείας ενώπιον του Κυρίου.

Β Παραλ. 36,10 - καὶ ἐπιστρέφοντος τοῦ ἐνιαυτοῦ ἀπέστειλεν ὁ βασιλεὺς Ναβουχοδονόσορ καὶ εἰσήνεγκεν αὐτὸν εἰς Βαβυλῶνα μετὰ τῶν σκευῶν τῶν ἐπιθυμητῶν οἴκου Κυρίου καὶ ἐβασίλευσε Σεδεκίαν ἀδελφὸν τοῦ πατρὸς αὐτοῦ ἐπὶ Ἰούδαν καὶ Ἱερουσαλήμ.

Β Παραλ. 36,10 - Κατά την αρχήν του νέου έτους απέστειλεν ο βασιλεύς Ναβουχοδονόσορ στρατιώτας και μετέφερε τον Ιεχονίαν εις την Βαβυλώνα

με τα πολύτιμα ιερά σκεύη του ναού του Κυρίου. Ο Ναβουχοδονόσορ εγκατέστησεν ως βασιλέα εις την Ιουδαίαν και εις την πόλιν Ιερουσαλήμ τον Σεδεκίαν, αδελφόν του πατρός του Ιεχονίου.

Β Παραλ. 36,11 - Ἐτῶν εἴκοσιν υἱὸς καὶ ἑνὸς ἔτους Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Β Παραλ. 36,11 - Ο Σεδεκίας όταν ανήλθεν στον βασιλικόν θρόνον ήτο είκοσι και ενός ετών. Εβασίλευσεν αυτός εις την Ιερουσαλήμ επί ένδεκα έτη.

Β Παραλ. 36,12 - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου Θεοῦ αὐτοῦ, οὐκ ἐνετράπη ἀπὸ προσώπου Ἱερεμίου τοῦ προφήτου καὶ ἐκ στόματος Κυρίου

Β Παραλ. 36,12 - Και αυτός διέπραξε το μεγάλο αμάρτημα της ειδωλολατρείας ενώπιον Κυρίου του Θεού αυτού και δεν μετενόησεν ενώπιον του Ιερεμίου του προφήτου, ο οποίος ωμιλούσε προς αυτόν εν ονόματι του Κυρίου.

Β Παραλ. 36,13 - ἐν τῷ τὰ πρὸς τὸν βασιλέα Ναβουχοδονόσορ ἀθετῆσαι, ἃ ὥρκισεν αὐτὸν κατὰ τοῦ Θεοῦ καὶ ἐσκλήρυνε τὸν τράχηλον αὐτοῦ καὶ τὴν καρδίαν αὐτοῦ κατίσχυσε τοῦ μὴ ἐπιστρέψαι πρὸς Κύριον Θεὸν Ἰσραήλ.

Β Παραλ. 36,13 - Επανεστάτησε δε εναντίον του βασιλέως Ναβουχοδονόσορος, ο οποίος τον είχεν υποχρεώσει να του ορκισθή πίστιν, εν ονόματι του Θεού, εγωϊστής καθώς ήτο, εσκλήρυνε τον τράχηλόν του, έκαμε σκληράν την καρδίαν του, ώστε να μη επιστρέψη προς τον Κυριον τον Θεόν του Ισραήλ.

Β Παραλ. 36,14 - καὶ πάντες οἱ ἔνδοξοι Ἰούδα καὶ οἱ ἱερεῖς καὶ ὁ λαὸς τῆς γῆς ἐπλήθυναν τοῦ ἀθετῆσαι ἀθετήματα βδελυγμάτων ἐθνῶν καὶ ἐμίαναν τὸν οἶκον Κυρίου τὸν ἐν Ἱερουσαλήμ.

Β Παραλ. 36,14 - Αλλά και όλοι οι επίσημοι Ιουδαίοι κατά τας ημέρας εκείνας και οι ιερείς και ο λαός επλήθυναν τας αμαρτίας αυτών, ελάτρευσαν τα βδελυρά είδωλα των εθνών και εμόλυναν τον ναόν του Κυρίου, που υπήρχεν εις την Ιερουσαλήμ.

Β Παραλ. 36,15 - καὶ ἐξαπέστειλε Κύριος ὁ Θεὸς τῶν πατέρων αὐτῶν ἐν χειρὶ τῶν προφητῶν αὐτοῦ ὀρθρίζων καὶ ἀποστέλλων τοὺς ἀγγέλους αὐτοῦ, ὅτι ἦν φειδόμενος τοῦ λαοῦ αὐτοῦ καὶ τοῦ ἁγιάσματος αὐτοῦ·

Β Παραλ. 36,15 - Παρ' όλα όμως αυτά Κυριος ο Θεός των πατέρων των απέστελλε συνεχώς και εγκαίρως δια μέσου των προφητών αυτού τας προτροπάς του προς μετάνοιαν, διότι ελυπείτο τον λαόν του και τον άγιον και ιερόν αυτού ναόν.

Β Παραλ. 36,16 - καὶ ἦσαν μυκτηρίζοντες τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐξουθενοῦντες τοὺς λόγους αὐτοῦ καὶ ἐμπαίζοντες ἐν τοῖς προφήταις αὐτοῦ, ἕως ἀνέβη ὁ θυμὸς Κυρίου ἐν τῷ λαῷ αὐτοῦ, ἕως οὐκ ἦν ἴαμα.

Β Παραλ. 36,16 - Εκείνοι όμως περιγελούσαν τους αγγελιαφόρους, ειρωνεύοντο και ενέπαιζον τους προφήτας του, έως ότου άναψεν ο θυμός του Κυρίου εναντίον του λαού αυτού, ώστε να μη υπάρχον πλέον τρόπος θεραπείας δι' αυτούς.

Β Παραλ. 36,17 - καὶ ἤγαγεν ἐπ᾿ αὐτοὺς βασιλέα Χαλδαίων, καὶ ἀπέκτεινε τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ ἐν οἴκῳ ἁγιάσματος αὐτοῦ καὶ οὐκ ἐφείσατο τοῦ Σεδεκίου καὶ τὰς παρθένους αὐτῶν οὐκ ἠλέησε καὶ τοὺς πρεσβυτέρους αὐτῶν ἀπήγαγον· τὰ πάντα παρέδωκεν ἐν χερσίν αὐτῶν.

Β Παραλ. 36,17 - Τοτε έφερεν εναντίον αυτών τον βασιλέα των Χαλδαίων, ο οποίος εφόνευσε τους νεαρούς Ιουδαίους δια της ρομφαίας μέσα στον άγιον ναόν και δεν ελυπήθη ούτε αυτόν τον Σεδεκίαν. Δεν αισθάνθη κανένα οίκτον ούτε απέναντι των παρθένων και των, γερόντων, τους οποίους ωδήγησεν αιχμαλώτους. Ο Θεός είχε παραδώσει τα πάντα εις τα χέρια των Χαλδαίων.

Β Παραλ. 36,18 - καὶ πάντα τὰ σκεύη οἴκου τοῦ Θεοῦ τά μεγάλα καὶ τὰ μικρὰ καὶ τοὺς θησαυροὺς οἴκου Κυρίου καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως καὶ τῶν μεγιστάνων, πάντα εἰσήνεγκεν εἰς Βαβυλῶνα.

Β Παραλ. 36,18 - Ο Ναβουχοδονόσορ ελεηλάτησε και μετέφερεν εις την Βαβυλώνα όλα τα ιερά σκεύη, τα μικρά και τα μεγάλα, και όλους τους θησαυρούς του ναού του Κυρίου και όλους τους θησαυρούς του βασιλέως και των μεγιστάνων του.

Β Παραλ. 36,19 - καὶ ἐνέπρησε τὸν οἶκον Κυρίου καὶ κατέσκαψε τὸ τεῖχος Ἱερουσαλὴμ καὶ τὰς βάρεις αὐτῆς ἐνέπρησεν ἐν πυρὶ καὶ πᾶν σκεῦος ὡραῖον εἰς ἀφανισμόν.

Β Παραλ. 36,19 - Παρέδωκεν στο πυρ τον ναόν του Κυρίου, εκρήμνισε και ανέσκαψε το τείχος της Ιερουσαλήμ, και τα βασιλικά της ανάκτορα παρέδωκεν στο πυρ. Καθε πολύτιμον και ωραίον αντικείμενον παρέδωκεν εις καταστροφήν και αφανισμόν.

Β Παραλ. 36,20 - καὶ ἀπῴκισε τοὺς καταλοίπους εἰς Βαβυλῶνα, καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως βασιλείας Μήδων

Β Παραλ. 36,20 - Οσους διέφυγον την σφαγήν Ιουδαίους μετέφερεν εις την Βαβυλώνα ο Ναβουχοδονόσορ. Αυτοί εχρησιμευαν ως δούλοι του, δούλοι των απογόνων του μέχρι και της βασιλείας των Μηδων.

Β Παραλ. 36,21 - τοῦ πληρωθῆναι λόγον Κυρίου διὰ στόματος Ἱερεμίου ἕως τοῦ προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς σαββατίσαι· πάσας τὰς ἡμέρας ἐρημώσεως αὐτῆς ἐσαββάτισεν εἰς συμπλήρωσιν ἐτῶν ἑβδομήκοντα.

Β Παραλ. 36,21 - Αυτό δε όλον έγινε, δια να εκπληρωθή ο λόγος του Κυρίου, τον οποίον είχεν εκφράσει δια του στόματος του Ιερεμίου λέγων· “η

εξορία αυτή θα διαρκέση, έως ότου η χώρα συμπληρώσει τας ημέρας της αργίας των σαββάτων, κατά τα οποία οι κάτοικοί της παραβαίνοντες τον Νομον του Μωϋσέως ειργάζοντο”. Ετσι ίόλα τα έτη, που διαρκούσεν η ερήμωσις της χώρας, η γη ανεπαύθη από τας εργασίας, ώστε συνεπληρώθησαν εβδομήκοντα έτη.

Β Παραλ. 36,22 - Ἔτους πρώτου Κύρου βασιλέως Περσῶν, μετὰ τὸ πληρωθῆναι ῥῆμα Κυρίου διὰ στόματος Ἱερεμίου, ἐξήγειρε Κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν καὶ παρήγγειλε κηρύξαι ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ λέγων·

Β Παραλ. 36,22 - Κατά δε το πρώτον έτος της βασιλείας του Κυρου βασιλέως των Περσών, αφού συνεπληρώθησαν πλέον τα έτη της ερημώσεως σύμφωνα με τον λόγον του Κυρίου, που είχεν είπει δια του προφήτου Ιερεμίου, ο Κυριος διέθεσεν ευμενώς το πνεύμα Κυρου του βασιλέως των Περσών δια την αποκατάστασιν των Ιουδαίων. Διέταξε τότε ο Κύρος να κηρυχθούν εις όλην αυτού την βασιλείαν γραπτώς τα εξής·

Β Παραλ. 36,23 - τάδε λέγει Κῦρος βασιλεὺς Περσῶν πάσαις ταῖς βασιλείαις τῆς γῆς· ἔδωκέ μοι Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν Ἱερουσαλὴμ ἐν τῇ Ἰουδαίᾳ. τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ; ἔσται Θεὸς αὐτοῦ μετ᾿ αὐτοῦ, καὶ ἀναβήτω.

Β Παραλ. 36,23 - “Αυτά λέγει ο Κύρος ο βασιλεύς των Περσών εις όλας τας βασιλείας της γης. Ο Κυριος ο Θεός του ουρανού μου έδωκεν αυτάς τας βασιλείας της γης και με διέταξε να ανοικοδομήσω εις την πόλιν της Ιερουσαλήμ και εις την χώραν της Ιουδαίας ναόν προς δόξαν αυτού. Ποιός λοιπόν από σας είναι από τον λαόν αυτόν των Ιουδαίων; Είναι ελεύθερος να επανέλθη εις την πατρίδα του”.

ΕΣΔΡΑΣ Α'

Α ΕΣΔΡΑΣ 1

Α Εσδ. 1,1 - Καὶ ἤγαγεν Ἰωσίας τὸ πάσχα ἐν Ἱερουσαλὴμ τῷ Κυρίῳ αὐτοῦ καὶ ἔθυσε τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου

Α Εσδ. 1,1 - Μετά τον καθαρισμόν του ναού από τον μολυσμόν της ειδωλολατρείας και την επισκευήν του και μετά την εύρεσιν του βιβλίου του νόμου, ο Ιωσίας εώρτασε το Πασχα του Κυρίου του εις την Ιερουσαλήμ και εθυσίασε τον πασχάλιον αμνόν την δεκάτην τετάρτην ημέραν του πρώτου ιουδαϊκού μηνός.

Α Εσδ. 1,2 - στήσας τοὺς ἱερεῖς κατ᾿ ἐφημερίας ἐστολισμένους ἐν τῷ ἱερῷ τοῦ Κυρίου.

Α Εσδ. 1,2 - Εγκατέστησε τους ιερείς σύμφωνα με τας τάξεις αυτών, στολισμένους με τα ιερατικά των άμφια στον ναόν του Κυρίου.

Α Εσδ. 1,3 - καὶ εἶπε τοῖς Λευίταις, ἱεροδούλοις τοῦ Ἰσραήλ, ἁγιάσαι ἑαυτοὺς τῷ Κυρίῳ ἐν τῇ θέσει τῆς ἁγίας κιβωτοῦ τοῦ Κυρίου ἐν τῷ οἴκῳ, ᾧ ᾠκοδόμησε Σαλωμὼν ὁ τοῦ Δαυὶδ ὁ βασιλεύς·

Α Εσδ. 1,3 - Διέταξε τους Λευίτας, οι οποίοι είχαν ταχθή εις την υπηρεσίαν του ναού υπέρ του Ισραηλιτικού λαού, να εξαγνισθούν σύμφωνα με τον νόμον του Κυρίου και να προσφέρουν τας θυσίας εκεί, όπου υπάρχει η Κιβωτός του Κυρίου, δηλαδή στον ναόν, τον οποίον είχεν ανοικοδομήσει ο Σολομών ο βασιλεύς, ο υιός του Δαυίδ.

Α Εσδ. 1,4 - οὐκ ἔσται ὑμῖν ἆραι ἐπ᾿ ὤμων αὐτήν· καὶ νῦν λατρεύετε τῷ Κυρίῳ Θεῷ ὑμῶν καὶ θεραπεύετε τὸ ἔθνος αὐτοῦ Ἰσραὴλ καὶ ἑτοιμάσατε κατὰ τὰς πατριὰς καὶ τὰς φυλὰς ὑμῶν κατὰ τὴν γραφὴν Δαυὶδ βασιλέως Ἰσραὴλ καὶ κατὰ τὴν μεγαλειότητα Σαλωμὼν τοῦ υἱοῦ αὐτοῦ.

Α Εσδ. 1,4 - Είπε δε προς αυτούς· “δεν θα έχετε πλέον την υποχρέωσιν να φέρετε επί των ώμων σας αυτήν την Κιβωτόν. Και τώρα προσφέρατε τα της λατρείας εις Κυριον τον Θεόν σας, εξυπηρετήσατε τον ισραηλιτικόν λαόν του και ετοιμάσατε την θυσίαν των πασχαλινών αμνών κατά τας φυλάς και τας οικογενείας σας σύμφωνα με την εντολήν του Δαυίδ, βασιλέως του Ισραήλ, και σύμφωνα με την καθορισθείσαν μεγαλοπρέπειαν υπό του υιού αυτού, του Σολομώντος.

Α Εσδ. 1,5 - καὶ στάντες ἐν τῷ ἁγίῳ κατὰ τὴν μεριδαρχίαν τὴν πατρικὴν ὑμῶν τῶν Λευιτῶν, τῶν ἔμπροσθεν τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραήλ,

Α Εσδ. 1,5 - Σταθήτε, λοιπόν, στον ναόν του Κυρίου εις την θέσιν σας σύμφωνα με την διαίρεσιν των πατριαρχικών σας οικογενειών, σεις οι Λευίται, οι οποίοι έχετε εκλεγή από τον Θεόν να ίστασθε κατά την διάρκειαν της λατρείας εμπρός από τους άλλους αδελφούς σας τους Ισραηλίτας.

Α Εσδ. 1,6 - ἐν τάξει θύσατε τὸ πάσχα καὶ τὰς θυσίας ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν καὶ ποιήσατε τὸ πάσχα κατὰ τὸ πρόσταγμα τοῦ Κυρίου τὸ δοθὲν τῷ Μωυσῇ.

Α Εσδ. 1,6 - Προσφέρατε κατά την καθωρισμένην τάξιν τον πασχαλινόν αμνόν και ετοιμάσατε τα μερίδια των θυσιών δια τους αδελφούς σας και γενικώς εορτάσατε την εορτήν του Πασχα σύμφωνα με την εντολήν του Κυρίου, η οποία εδόθη στον Μωϋσέα".

Α Εσδ. 1,7 - καὶ ἐδωρήσατο Ἰωσίας τῷ λαῷ τῷ εὑρεθέντι ἀρνῶν καὶ ἐρίφων τριάκοντα χιλιάδας, μόσχους τρισχιλίους· ταῦτα ἐκ τῶν βασιλικῶν ἐδόθη κατ᾽ ἐπαγγελίαν τῷ λαῷ καὶ τοῖς ἱερεῦσι καὶ Λευίταις.

Α Εσδ. 1,7 - Κατόπιν ο Ιωσίας προσέφερε δια τον παρευρεθέντα κατά την εορτήν του Πασχα εκεί λαόν τριάκοντα χιλιάδας αμνούς και ερίφια και τρεις χιλιάδας μόσχους. Αυτά εδόθησαν κατά διαταγήν του βασιλέως από την βασιλικήν περιουσίαν στον λαόν, τους ιερείς και τους Λευίτας.

Α Εσδ. 1,8 - καὶ ἔδωκε Χελκίας καὶ Ζαχαρίας καὶ Ἡσκῆλος οἱ ἐπιστάται τοῦ ἱεροῦ τοῖς ἱερεῦσιν εἰς πάσχα πρόβατα δισχίλια ἑξακόσια, μόσχους τριακοσίους.

Α Εσδ. 1,8 - Επίσης οι προϊστάμενοι του ναού ο Χελκίας, ο Ζαχαρίας και ο Ησκήλος έδωκαν στους ιερείς δια το Πασχα δύο χιλιάδας εξακόσια πρόβατα και τριακοσίους μόσχους.

Α Εσδ. 1,9 - καὶ Ἰεχονίας καὶ Σαμαίας καὶ Ναθαναὴλ ὁ ἀδελφὸς καὶ Ἀσαβίας καὶ Ὀχιῆλος καὶ Ἰωρὰμ χιλίαρχοι ἔδωκαν τοῖς Λευίταις εἰς πάσχα πρόβατα πεντακιχίλια, μόσχους ἑπτακοσίους.

Α Εσδ. 1,9 - Ο Ιεχονίας, ο Σαμαίας, ο Ναθαναήλ ο αδελφός, ο Ασαβίας, ο Οχιήλος και ο Ιωράμ, οι χιλίαρχοι αρχηγοί έδωκαν στους Λευίτας δια το Πασχα πέντε χιλιάδες πρόβατα και επτακοσίους μόσχους.

Α Εσδ. 1,10 - καὶ ταῦτα τὰ γενόμενα· εὐπρεπῶς ἔστησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἔχοντες τὰ ἄζυμα κατὰ τὰς φυλὰς καὶ κατὰ τὰς μεριδαρχίας τῶν πατέρων ἔμπροσθεν τοῦ λαοῦ προσενεγκεῖν τῷ Κυρίῳ κατὰ τὰ γεγραμμένα ἐν βιβλίῳ Μωυσῆ, καὶ οὕτω τὸ πρωϊνόν.

Α Εσδ. 1,10 - Ως εξής δε εωρτάσθη το Πασχα· Οι ιερείς και οι Λευίται, οι έχοντες τα άζυμα, εστάθησαν ευπρεπώς με την στολήν των κατά τας φυλάς και τας ομάδας των προγόνων των έμπροσθεν του λαού, δια να προσφέρουν την θυσίαν σύμφωνα με όσα είναι γραμμένα στο βιβλίον του Μωϋσέως. Ετσι έκαμαν και κατά την πρωϊνήν θυσίαν.

Α Εσδ. 1,11 - καὶ ὤπτησαν τὸ πάσχα πυρὶ ὡς καθήκει, καὶ τὰς θυσίας ἥψησαν ἐν τοῖς χαλκείοις καὶ λέβησι μετ᾽ εὐωδίας καὶ ἀπήνεγκαν πᾶσι τοῖς ἐκ τοῦ λαοῦ.

Α Εσδ. 1,11 - Εψησαν τον πασχαλινόν αμνόν στο πυρ, όπως ο νόμος καθώριζε, τα δε κομμάτια των προσφερομένων θυσιών υπό τας ευωδίας των

θυμιαμάτων τα έβρασαν μέσα εις λέβητας και χαλκίνας χύτρας και έπειτα τα προσέφεραν εις όλον τον λαόν.

Α Εσδ. 1,12 - μετὰ δὲ ταῦτα ἡτοίμασαν ἑαυτοῖς τε καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών·

Α Εσδ. 1,12 - Κατόπιν από τας προσφερθείσας θυσίας ητοίμασαν το πασχαλινόν γεύμα δια τους εαυτούς των και δια τους ιερείς, τους αδελφούς των, οι οποίοι κατήγοντο από την οικογένειαν του Ααρών.

Α Εσδ. 1,13 - οἱ γὰρ ἱερεῖς ἀνέφερον τὰ στέατα ἕως ἀωρίας, καὶ οἱ Λευῖται ἡτοίμασαν ἑαυτοῖς καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών.

Α Εσδ. 1,13 - Ητοίμασαν δε οι Λευίται το πασχαλινόν γεύμα των δια τον εαυτόν των και δια τους ιερείς αδελφούς των, απογόνους της οικογενείας Ααρών, επειδή οι ιερείς ήσαν απησχολημένοι και προσέφερον εις θυσίαν τα λιπαρά μέρη των θυσιών μέχρι νυκτός.

Α Εσδ. 1,14 - καὶ οἱ ἱεροψάλται υἱοὶ Ἀσὰφ ἦσαν ἐπὶ τῆς τάξεως αὐτῶν, κατὰ τὰ ὑπὸ Δαυὶδ τεταγμένα καὶ Ἀσὰφ καὶ Ζαχαρίας καὶ Ἐδδινοῦς ὁ παρά τοῦ βασιλέως,

Α Εσδ. 1,14 - Και οι ιεροψάλται, οι απόγονοι του Ασάφ, ήσαν εις τας καθωρισμένας θέσεις των, όπως ο Δαυίδ είχε διατάξει, και ο Ασάφ και ο Ζαχαρίας και ο απεσταλμένος του βασιλέως Εδδινούς.

Α Εσδ. 1,15 - καὶ οἱ θυρωροὶ ἐφ᾿ ἑκάστου πυλῶνος· οὐκ ἔστι παραβῆναι ἕκαστον τὴν ἑαυτοῦ ἐφημερίαν, οἱ γὰρ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς.

Α Εσδ. 1,15 - Οι θυρωροί επίσης εστέκοντο εις κάθε πύλην. Κανείς από αυτούς δεν έλειψεν από την θέσιν του, διότι οι αδελφοί των, οι Λευίται, είχον ετοιμάσει και δι' αυτούς το πασχαλινόν γεύμα.

Α Εσδ. 1,16 - καὶ συνετελέσθη τὰ τῆς θυσίας τοῦ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἀχθῆναι τὸ πάσχα καὶ προσαχθῆναι τὰς θυσίας ἐπὶ τὸ τοῦ Κυρίου θυσιαστήριον κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως Ἰωσίου.

Α Εσδ. 1,16 - Ετσι δε κατά την ημέραν εκείνην ετελείωσαν κανονικώς και πλήρως αι υπηρεσίαι δια την θυσίαν προς τον Κυριον. Εωρτάσθη το Πασχα και αι θυσίαι στον ναόν του Κυρίου προσεφέρθησαν κανονικώς σύμφωνα με την διαταγήν του βασιλέως Ιωσίου.

Α Εσδ. 1,17 - καὶ ἠγάγοσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν τῷ καιρῷ τούτῳ τὸ πάσχα καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἡμέρας ἑπτά.

Α Εσδ. 1,17 - Οι Ισραηλίται, οι οποίοι σαν τότε παρόντες εις την Ιερουσαλήμ, εώρτασαν το Πασχα και την εορτήν των αζύμων επί επτά ημέρας.

Α Εσδ. 1,18 - καὶ οὐκ ἤχθη τὸ πάσχα τοιοῦτον ἐν τῷ Ἰσραὴλ ἀπὸ τῶν χρόνων Σαμουὴλ τοῦ προφήτου,

Α Εσδ. 1,18 - Τέτοιο Πασχα, από της εποχής του προφήτου Σαμουήλ και εντεύθεν, δεν είχεν εορτασθή στον ισραηλιτικόν λαόν.

Α Εσδ. 1,19 - καὶ πάντες οἱ βασιλεῖς τοῦ Ἰσραὴλ οὐκ ἠγάγοσαν πάσχα τοιοῦτον, οἷον ἤγαγεν Ἰωσίας καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ Ἰουδαῖοι καὶ πᾶς Ἰσραὴλ ὁ εὑρεθεὶς ἐν τῇ κατοικήσει αὐτῶν ἐν Ἱερουσαλήμ·

Α Εσδ. 1,19 - Ολοι οι βασιλείς του ισραηλιτικού λαού δεν εώρτασαν παρόμοιον Πασχα, ωσάν αυτό που εώρτασεν ο Ιωσίας, οι ιερείς, οι Λευίτα οι Ιουδαίοι και όλοι οι Ισραηλίται, οποίοι ήσαν παρόντες στον τόπον τι κατοικίας των, την Ιερουσαλήμ.

Α Εσδ. 1,20 - ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύοντος Ἰωσίου ἤχθη τὸ πάσχα τοῦτο.

Α Εσδ. 1,20 - Αυτό δε το Πασχα εωρτάσθη κατά το δέκατον όγδοον έτος της βασιλείας του Ιωσίου.

Α Εσδ. 1,21 - καὶ ὠρθώθη τὰ ἔργα Ἰωσίου ἐνώπιον τοῦ Κυρίου αὐτοῦ ἐν καρδίᾳ πλήρει εὐσεβείας.

Α Εσδ. 1,21 - Ετσι δε ευωδώθη ο Ιωσίας εις τα έργα του ενώπιον του Κυρίου δια την μεγάλην αυτού ευσέβειαν, που εγέμιζε καρδίαν του.

Α Εσδ. 1,22 - καὶ τὰ κατ᾿ αὐτὸν δέ ἀναγέγραπται ἐν τοῖς ἔμπροσθεν χρόνοις, περὶ τῶν ἡμαρτηκότων καὶ ἠσεβηκότων εἰς τὸν Κύριον παρὰ πᾶν ἔθνος καὶ βασιλείαν, καὶ ἃ ἐλύπησαν αὐτὸν ἐν αἰσθήσει, καὶ οἱ λόγοι τοῦ Κυρίου ἀνέστησαν ἐπὶ Ἰσραήλ.

Α Εσδ. 1,22 - Τα κατ' αυτόν είναι γραμμένα εις προγενεστέρους χρόνους, το πως δηλαδή ημάρτησαν οι Ισραηλίται ενώπιον του Κυρίου και παρεσύρθησαν ει την ασέβειαν περισσότερον από άλλον λαόν και βασίλειον, και πως ελύπησαν τον Κυριον παραβαίνοντες με πλήρη συνείδισιν τον θείον νόμον. Αλλά και πως λόγοι του Κυρίου, οι σχετικοί με τον Ισραηλιτικόν λαόν, επραγματοποιήθησαν.

Α Εσδ. 1,23 - Καὶ μετὰ πᾶσαν τὴν πρᾶξιν ταύτην Ἰωσίου συνέβη Φαραὼ βασιλέα Αἰγύπτου ἐλθόντα πόλεμον ἐγεῖραι ἐν Χαρκαμὺς ἐπὶ τοῦ Εὐφράτου, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῷ Ἰωσίας.

Α Εσδ. 1,23 - Επειτα από όλα αυτά τα γεγονότα ο Φαραώ, ο βασιλεύς της Αιγύπτου εξεστράτευσε, δια να πολεμήση την πόλιν Χαρκαμύς επί του Ευφράτου ποταμού. Ο Ιωσίας εξήλθε, δια να πολεμήση έναντι του.

Α Εσδ. 1,24 - καὶ διεπέμψατο πρὸς αὐτὸν βασιλεὺς Αἰγύπτου λέγων· τί ἐμοὶ καὶ σοί ἐστι, βασιλεῦ τῆς Ἰουδαίας;

Α Εσδ. 1,24 - Ο βασιλεύς όμως της Αιγύπτου έστειλε πρέσβεις προς τον Ιωσίαν και του είπε· “Τι διαφορά υπάρχει μεταξύ εμού και σου, βασιλεύ της Ιουδαίας;

Α Εσδ. 1,25 - οὐχὶ πρός σε ἐξαπέσταλμαι ὑπὸ Κυρίου τοῦ Θεοῦ· ἐπὶ γὰρ τοῦ Εὐφράτου ὁ πόλεμός μου ἐστί. καὶ νῦν Κύριος μετ᾿ ἐμοῦ ἐστι, καὶ

Κύριος μετ᾽ ἐμοῦ ἐπισπεύδων ἐστίν· ἀπόστηθι καὶ μὴ ἐναντιοῦ τῷ Κυρίῳ.

Α Εσδ. 1,25 - Εγώ δεν έχω αποσταλή από τον Κυριον και Θεόν εναντίον σου, αλλά ο πόλεμός μου γίνεται εναντίον των χωρών του Εφράτου. Ο Κυριος, λοιπόν, είναι μαζή μου. Ο Κυριος με ωθεί να σπεύσω στον πόλεμον αυτόν. Απομακρύνσου λοιπόν και μη εναντιώνεσαι στον Κυριον".

Α Εσδ. 1,26 - καὶ οὐκ ἀπέστρεψεν ἑαυτὸν Ἰωσίας ἐπὶ τὸ ἅρμα αὐτοῦ, ἀλλὰ πολεμεῖν αὐτὸν ἐπεχείρει, οὐ προσέχων ῥήμασιν Ἱερεμίου προφήτου ἐκ στόματος Κυρίου·

Α Εσδ. 1,26 - Ιωσίας όμως δεν επέστρεψε με το άρμα του εις την Ιερουσαλήμ, αλλά ήρχισε να πολεμή εναντίον του Φαραώ της Αιγύπτου και δεν έδωσε σημασίαν εις τα λόγια του προφήτου Ιερεμίου, τα οποία εξήλθον από το στόμα του Κυρίου.

Α Εσδ. 1,27 - ἀλλὰ συνεστήσατο πρὸς αὐτὸν πόλεμον ἐν τῷ πεδίῳ Μαγεδδώ, καὶ κατέβησαν οἱ ἄρχοντες πρὸς τὸν βασιλέα Ἰωσίαν.

Α Εσδ. 1,27 - Ο Ιωσίας αντιθέτως έκαμε πόλεμον εναντίον του Φαραώ εις την πεδιάδα Μαγεδδώ. Οι αρχηγοί του στρατεύματος του Φαραώ επετέθησαν εναντίον του βασιλέως Ιωσία τον οποίον και επλήγωσαν βαρέως.

Α Εσδ. 1,28 - καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν ἑαυτοῦ· ἀποστήσατέ με ἀπὸ τῆς μάχης, ἠσθένησα γὰρ λίαν. καὶ εὐθέως ἀπέστησαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἀπὸ τῆς παρατάξεως,

Α Εσδ. 1,28 - Ο βασιλεύς Ιωσίας διέταξε τους δούλους του και τους είπε· "«απομακρύνατέ με από το πεδίον της μάχης, διότι επληγώθηκα πολύ βαρειά". Αμέσως δε οι δούλοι του τον απεμάκρυναν από το πεδίον της μάχης.

Α Εσδ. 1,29 - καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα τὸ δευτέριον αὐτοῦ· καὶ ἀποκατασταθεὶς εἰς Ἱερουσαλήμ, μετήλλαξε τὸν βίον αὐτοῦ καὶ ἐτάφη ἐν τῷ πατρικῷ τάφῳ.

Α Εσδ. 1,29 - Ανέβη στο δεύτερον αυτού άρμα και ήλθεν εις την Ιερουσαλήμ, όπου και απέθανε. Ενεταφιάσθη στους τάφους των πατέρων του.

Α Εσδ. 1,30 - καὶ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ ἐπένθησαν τὸν Ἰωσίαν, καὶ ἐθρήνησεν Ἱερεμίας ὁ προφήτης ὑπὲρ Ἰωσίου, καὶ οἱ προκαθήμενοι σὺν γυναιξὶν ἐθρηνοῦσαν αὐτὸν ἕως τῆς ἡμέρας ταύτης· καὶ ἐξεδόθη τοῦτο γίνεσθαι ἀεὶ εἰς ἅπαν τὸ γένος Ἰσραήλ.

Α Εσδ. 1,30 - Εις ολόκληρον την Ιουδαίαν επένθησαν τον Ιωσίαν. Ο προφήτης Ιερεμίας συνέθεσε θρηνώδη ωδήν δια τον Ιωσίαν. Οι δε θρηνωδοί μαζή με τας θρηνωδούσας γυναίκας έψαλλον τους θρήνους αυτούς έως αυτήν την ημέραν. Εξεδόθη δε και σχετικόν διάταγμα να γίνεται πάντοτε εις όλον το ισραηλιτικόν γένος αυτή η θρηνωδία.

Α Εσδ. 1,31 - ταῦτα δὲ ἀναγέγραπται ἐν τῇ βίβλῳ τῶν ἱστορουμένων περὶ τῶν βασιλέων τῆς Ἰουδαίας· καὶ τὸ καθ᾿ ἓν πραχθὲν τῆς πράξεως Ἰωσίου καὶ τῆς δόξης αὐτοῦ καὶ τῆς συνέσεως αὐτοῦ ἐν τῷ νόμῳ Κυρίου, τά τε προπραχθέντα ὑπ᾿ αὐτοῦ καὶ τὰ νῦν, ἱστόρηται ἐν τῷ βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα.

Α Εσδ. 1,31 - Αυταί δε αι θρηνώδεις ωδαί είναι γραμμέναι στο βιβλίον της ιστορίας των βασιλέων του Ιούδα. Καθε μία από τας ενεργείας του Ιωσία και τας πράξεις αυτού, όπως και η δόξα του και η σύνεσίς του στον νόμον του Κυρίου, όλα όσα έχουν γίνει κατά τα προηγούμενα έτη και όσα έγιναν τελευταία, αναγράφονται στο βιβλίον των βασιλέων του Ισραήλ και του Ιούδα.

Α Εσδ. 1,32 - Καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους τὸν Ἰεχονίαν υἱὸν Ἰωσίου ἀνέδειξαν βασιλέα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ ὄντα ἐτῶν εἴκοσι τριῶν.

Α Εσδ. 1,32 - Επειτα από τα γεγονότα αυτά ο λαός της Ιουδαίας επήραν και ανέδειξαν βασιλέα τον υιόν του Ιωσίου, τον Ιεχονίαν, ο οποίος ήτο ηλικίας είκοσι τριών ετών, αντί του πατρός του, του Ιωσίου.

Α Εσδ. 1,33 - καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ καὶ Ἱερουσαλὴμ μῆνας τρεῖς. καὶ ἀπέστησεν αὐτὸν βασιλεὺς Αἰγύπτου τοῦ μὴ βασιλεύειν ἐν Ἱερουσαλὴμ

Α Εσδ. 1,33 - Αυτός έμεινε βασιλεύς στον Ισραηλιτικόν λαόν με πρωτεύουσαν την Ιερουσαλήμ επί τρεις μόνον μήνας. Διότι ο βασιλεύς της Αιγύπτου τον απεμάκρυνεν από την βασιλείαν του, ώστε να μη είναι πλέον αυτός βασιλεύς.

Α Εσδ. 1,34 - καὶ ἐζημίωσε τὸ ἔθνος ἀργυρίου ταλάντοις ἑκατὸν καὶ χρυσίου ταλάντῳ ἑνί.

Α Εσδ. 1,34 - Επέβαλε δε στο ιουδαϊκόν έθνος και αποζημίωσιν ιδικήν του, εκατόν αργυρά τάλαντα και ένα τάλαντον χρυσίου.

Α Εσδ. 1,35 - καὶ ἀνέδειξε βασιλεὺς Αἰγύπτου βασιλέα Ἰωακὶμ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ.

Α Εσδ. 1,35 - Ο βασιλεύς της Αιγύπτου ανέδειξε τότε βασιλέα της Ιουδαίας και της Ιερουσαλήμ τον αδελφόν του Ιεχονίου, τον Ιωακίμ.

Α Εσδ. 1,36 - καὶ ἔδησεν Ἰωακὶμ τοὺς μεγιστᾶνας, Ζαράκην δὲ τὸν ἀδελφὸν αὐτοῦ συλλαβὼν ἀνήγαγεν ἐξ Αἰγύπτου.

Α Εσδ. 1,36 - Ο Ιωακίμ έθεσεν εις δεσμά τους άρχοντας. Τον αδελφόν του όμως τον Ζαράκην τον επήρε μαζή του και τον έφερεν από την Αίγυπτον.

Α Εσδ. 1,37 - Ἐτῶν δὲ ἦν εἰκοσιπέντε Ἰωακίμ, ὅτε ἐβασίλευσε τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου.

Α Εσδ. 1,37 - Ο Ιωακίμ ήτο είκοσι πέντε ετών, όταν ανεκηρύχθη βασιλεύς της Ιουδαίας και της Ιερουσαλήμ, αλλά έπραξε το μέγα αμάρτημα της ειδωλολατρείας ενώπιον του Κυρίου.

Α Εσδ. 1,38 - μετ᾿ αὐτὸν δὲ ἀνέβη Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος καὶ δήσας αὐτὸν ἐν χαλκείῳ δεσμῷ καὶ ἀπήγαγεν εἰς Βαβυλῶνα.

Α Εσδ. 1,38 - Εναντίον αυτού επήλθεν ο βασιλεύς Ναβουχοδονόσορ και, αφού τον έδεσε με δεσμά χάλκινα, τον μετέφερεν αιχμάλωτον εις την Βαβυλώνα.

Α Εσδ. 1,39 - καὶ ἀπὸ τῶν ἱερῶν σκευῶν τοῦ Κυρίου λαβὼν Ναβουχοδονόσορ καὶ ἀπενέγκας ἀπηρείσατο ἐν τῷ ναῷ αὐτοῦ ἐν Βαβυλῶνι.

Α Εσδ. 1,39 - Ο Ναβουχοδονόσορ επήρε και άλλα ιερά σκεύη από τον ναόν του Κυρίου, τα έφερε μαζή του εις την Βαβυλώνα και τα ετοποθέτησεν στον ιδικόν του ναόν

Α Εσδ. 1,40 - τὰ δὲ ἱστορηθέντα περὶ αὐτοῦ καὶ τῆς ἀκαθαρσίας αὐτοῦ καὶ δυσσεβείας ἀναγέγραπται ἐν τῇ βίβλῳ τῶν χρόνων τῶν βασιλέων.

Α Εσδ. 1,40 - Τα όσα αμαρτήματα διεπράχθησαν από τον βασιλέα Ιωακίμ, αι βδελυραί και ασεβείς πράξστου, είναι γραμμένα στο βιβλίον των χρονικών των βασιλέων του Ιούδα.

Α Εσδ. 1,41 - Καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἰωακὶμ ὁ υἱὸς αὐτοῦ· ὅτε γὰρ ἀνεδείχθη, ἦν ἐτῶν ὀκτώ.

Α Εσδ. 1,41 - Αντί αυτού έγινε βασιλεύς ο υιός του, ο Ιωακίμ. Αυτός έγινε βασιλεύς, όταν ήτο οκτώ ετών.

Α Εσδ. 1,42 - βασιλεύει δὲ μῆνας τρεῖς καὶ ἡμέρας δέκα ἐν Ἱερουσαλὴμ καὶ ἐποίησε τὸ πονηρὸν ἔναντι Κυρίου.

Α Εσδ. 1,42 - Εβασίλευσεν επί τρεις μόνον μήνας και δέκα ημέρας εις την Ιερουσαλήμ. Επραξε και αυτός το μέγα αμάρτημα της ειδωλολατρείας ενώπιον του Κυρίου.

Α Εσδ. 1,43 - Καὶ μετ᾿ ἐνιαυτὸν ἀποστείλας Ναβουχοδονόσορ μετήγαγεν αὐτὸν εἰς Βαβυλῶνα ἅμα τοῖς ἱεροῖς σκεύεσι τοῦ Κυρίου

Α Εσδ. 1,43 - Μετά ένα έτος ο Ναβουχοδονόσορ έστειλεν ανθρώπους του και μετέφεραν αυτόν εις την Βαβυλώνα μαζή με τα υπόλοιπα ιερά σκεύη του ναού.

Α Εσδ. 1,44 - καὶ ἀνέδειξε Σεδεκίαν βασιλέα τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ ὄντα ἐτῶν εἴκοσιν ἑνός, βασιλεύει δὲ ἔτη ἕνδεκα,

Α Εσδ. 1,44 - Ανέδειξε δε βασιλέα της Ιερουσαλήμ, τον Σεδεκίαν, ο οποίος ήτο τότε ηλικίας είκοσι ενός ετών. Αυτός εβασίλευσεν επί ένδεκα έτη.

Α Εσδ. 1,45 - καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ οὐκ ἐνετράπη ἀπὸ τῶν ῥηθέντων λόγων ὑπὸ Ἱερεμίου τοῦ προφήτου ἐκ στόματος τοῦ Κυρίου.

Α Εσδ. 1,45 - Και αυτός διέπραξε το μέγα κακόν της ειδωλολατρείας ενώπιον του Κυρίου και δεν εκινήθη εις συναίσθησιν και μετάνοιαν από τα

λόγια του προφήτου Ιερεμίου, τα οποία λόγια είχον εξέλθει από το στόμα του Κυρίου.

Α Εσδ. 1,46 - καὶ ὁρκισθεὶς ἀπὸ τοῦ βασιλέως Ναβουχοδονόσορ τῷ ὀνόματι Κυρίου, ἐπιορκήσας ἀπέστη· καὶ σκληρύνας αὐτοῦ τὸν τράχηλον καὶ τὴν καρδίαν αὐτοῦ παρέβη τὰ νόμιμα Κυρίου Θεοῦ Ἰσραήλ.

Α Εσδ. 1,46 - Αν και είχεν ορκισθή στο όνομα του Κυρίου από τον Ναβουχοδονόσορα να μένη εις αυτόν υποτεταγμένος, παρέβη τον όρκον του και απεστάτησε. Το δε χειρότερον, εσκλήρυνε τον τράχηλον αυτού και την καρδίαν αυτού και παρέβη τας εντολάς Κυρίου του Θεού του ισραηλιτικού λαού.

Α Εσδ. 1,47 - καὶ οἱ ἡγούμενοι δὲ τοῦ λαοῦ καὶ τῶν ἱερέων πολλὰ ἠσέβησαν καὶ ὑπὲρ πάσας τὰς ἀκαθαρσίας πάντων τῶν ἐθνῶν καὶ ἐμίαναν τὸ ἱερὸν τοῦ Κυρίου τὸ ἁγιαζόμενον ἐν Ἱερουσαλήμ.

Α Εσδ. 1,47 - Αλλά και οι άρχοντες του λαού και οι αρχηγοί των ιερέων διέπραξαν πολλάς ασεβείας, περισσοτέρας από όλας τας βδελυρότητας όλων των εθνών και έτσι εμόλυναν το ιερόν του Κυρίου, τον άγιον ναόν της Ιερουσαλήμ.

Α Εσδ. 1,48 - καὶ ἀπέστειλεν ὁ Θεὸς τῶν πατέρων αὐτῶν διὰ τοῦ ἀγγέλου αὐτοῦ μετακαλέσαι αὐτούς, καθότι ἐφείδετο αὐτῶν καὶ τοῦ σκηνώματος αὐτοῦ.

Α Εσδ. 1,48 - Ο Θεός όμως των πατέρων των απέστειλε με τους αγγελιοφόρους του να τους ανακαλέση εις την πίστιν, διότι ελυπείτο και αυτούς και τον ιερόν ναόν του.

Α Εσδ. 1,49 - αὐτοὶ δὲ ἐμυκτήρισαν ἐν τοῖς ἀγγέλοις αὐτοῦ καὶ ᾗ ἡμέρᾳ ἐλάλησε Κύριος ἦσαν ἐκπαίζοντες τοὺς προφήτας αὐτοῦ, ἕως οὗ θυμωθέντα αὐτὸν ἐπὶ τῷ ἔθνει αὐτοῦ διὰ τὰ δυσσεβήματα προστάξαι ἀναβιβάσαι ἐπ᾽ αὐτοὺς τοὺς βασιλεῖς τῶν Χαλδαίων.

Α Εσδ. 1,49 - Αλλά αυτοί ενέπαιξαν τους απεσταλμένους του και κάθε φοράν, που ο Κυριος ωμιλούσε προς αυτούς δια των προφητών του, αυτοί ενέπαιζαν τους προφήτας, μέχρις ότου ο Θεός ωργίσθη εναντίον του έθνους των δια τας ασεβείας των και διέταξε να έλθουν εναντίον των οι βασιλείς των Χαλδαίων.

Α Εσδ. 1,50 - οὗτοι ἀπέκτειναν τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ περικύκλῳ τοῦ ἁγίου αὐτῶν ἱεροῦ καὶ οὐκ ἐφείσαντο νεανίσκου καὶ παρθένου καὶ πρεσβύτου καὶ νεωτέρου, ἀλλὰ πάντας παρέδωκαν εἰς τὰς χεῖρας αὐτῶν.

Α Εσδ. 1,50 - Και ήλθον οι Χαλδαίοι αυτοί και εφόνευσαν τους νεαρούς Ισραηλίτας με ρομφαίαν γύρω από τον ιερόν ναόν και δεν ελυπήθησαν ούτε νέον, ούτε παρθένον, ούτε γεροντότερον, ούτε ώριμον άνδρα, αλλά όλους τους παρέδωσαν εις την αγριότητα των χειρών των.

Α Εσδ. 1,51 - καὶ πάντα τὰ ἱερὰ σκεύη τοῦ Κυρίου τὰ μεγάλα καὶ τὰ μικρὰ καὶ τὰς κιβωτοὺς τοῦ Κυρίου καὶ τὰς βασιλικὰς ἀποθήκας ἀναλαβόντες ἀπήνεγκαν εἰς Βαβυλῶνα.

Α Εσδ. 1,51 - Οι Χαλδαίοι επήραν όλα τα ιερά σκεύη του ναού του Κυρίου, τα μεγάλα και τα μικρά, και τας Κιβωτούς του Κυρίου και τους θησαυρούς από τας βασιλικάς αποθήκας. Αυτά δε όλα τα μετέφεραν εις την Βαβυλώνα.

Α Εσδ. 1,52 - καὶ ἐνεπύρισαν τὸν οἶκον τοῦ Κυρίου καί ἔλυσαν τὰ τείχη Ἱερουσαλὴμ καὶ τοὺς πύργους αὐτῆς ἐνεπύρισαν ἐν πυρὶ

Α Εσδ. 1,52 - Επυρπόλησαν τον ναόν του Κυρίου, εκρήμνισαν τα τείχη της Ιερουσαλήμ, τους δε πύργους αυτής τους παρέδωσαν εις την φωτιάν.

Α Εσδ. 1,53 - καὶ συνετέλεσαν πάντα τὰ ἔνδοξα αὐτῆς ἀχρειῶσαι, καὶ τοὺς ἐπιλοίπους ἀπήγαγε μετὰ ῥομφαίας εἰς Βαβυλῶνα.

Α Εσδ. 1,53 - Επέφεραν ολοκληρωτικήν καταστροφήν πάντων. Κατέστρεψαν κάθε τι πολύτιμον και ωραίον, που υπήρχεν εις την πόλιν, όλους δε όσοι έμειναν τους έφεραν με συνοδείαν ρομφαίας εις την Βαβυλώνα.

Α Εσδ. 1,54 - καὶ ἦσαν παῖδες αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ μέχρι τοῦ βασιλεῦσαι Πέρσας εἰς ἀναπλήρωσιν ῥήματος τοῦ Κυρίου ἐν στόματι Ἱερεμίου·

Α Εσδ. 1,54 - Οι Ιουδαίοι ήσαν πλέον δούλοι στον Ναβουχοδονόσορα και στους διαδόχους αυτού, μέχρις ότου εβασίλευσαν οι Πέρσαι, δια να εκπληρωθή έτσι ο λόγος του Κυρίου, τον οποίον είχεν είπει δια του προφήτου Ιερεμίου.

Α Εσδ. 1,55 - ἕως τοῦ εὐδοκῆσαι τὴν γῆν τὰ σάββατα αὐτῆς, πάντα τὸν χρόνον τῆς ἐρημώσεως αὐτῆς, σαββατιεῖ εἰς συμπλήρωσιν ἐτῶν ἑβδομήκοντα.

Α Εσδ. 1,55 - Οι Ιουδαίοι, είπε, θα είναι αιχμάλωτοι, έως ότου η χώρα των συμπληρώση το χρονικόν διάστημα των παραβάσεων της αργίας του Σαββάτου. Θα ερημωθή και θα μείνη αργή η χώρα των, έως ότου συμπληρωθούν εβδομήντα έτη από το έτος της αιχμαλωσίας.

Α ΕΣΔΡΑΣ 2

Α Εσδ. 2,1 - Βασιλεύοντος Κύρου Περσῶν ἔτους πρώτου εἰς συντέλειαν ῥήματος Κυρίου ἐν στόματι Ἱερεμίου,

Α Εσδ. 2,1 - Κατά το πρώτον έτος της βασιλείας Κυρου, του βασιλέως των Περσών, εις εκπλήρωσιν του λόγου τον οποίον ο Κυριος είπε δια του προφήτου Ιερεμίου,

Α Εσδ. 2,2 - ἤγειρε Κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ ἐκήρυξεν ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ καὶ ἅμα διά γραπτῶν λέγων·

Α Εσδ. 2,2 - παρεκίνησεν ο Κυριος το πνεύμα του Κυρου, βασιλέως των Περσών, και αυτός έδωσεν εντολάς να διακηρύξουν εις όλον το βασίλειόν του γραπτώς και προφορικώς·

Α Εσδ. 2,3 - τάδε λέγει ὁ βασιλεὺς Περσῶν Κῦρος· ἐμὲ ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ Κύριος τοῦ Ἰσραήλ, Κύριος ὁ Ὕψιστος.

Α Εσδ. 2,3 - “Αυτά διατάσσει Κύρος ο βασιλεύς των Περσών· εμέ ανέδειξε βασιλέα όλης της οικουμένης ο Κυριος του ισραηλιτικού λαού, ο οποίος πράγματι είναι ο Κυριος και ο Υψιστος.

Α Εσδ. 2,4 - καὶ ἐσήμηνέ μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ἱερουσαλήμ, τῇ ἐν τῇ Ἰουδαίᾳ.

Α Εσδ. 2,4 - Αυτός δε διέταξε να ανοικοδομήσω προς χάριν του τον ναόν του εις την πόλιν Ιερουσαλήμ της ιουδαϊκής γης.

Α Εσδ. 2,5 - εἴ τις ἐστὶν οὖν ὑμῶν ἐκ τοῦ ἔθνους αὐτοῦ, ἔστω ὁ Κύριος αὐτοῦ μετ᾿ αὐτοῦ, καὶ ἀναβὰς εἰς τὴν Ἱερουσαλὴμ τὴν ἐν τῇ Ἰουδαίᾳ οἰκοδομείτω τὸν οἶκον τοῦ Κυρίου τοῦ Ἰσραήλ (οὗτος ὁ Κύριος ὁ κατασκηνώσας ἐν Ἱερουσαλήμ).

Α Εσδ. 2,5 - Ας είναι Κυριος ο Θεός με εκείνους από σας, που ανήκουν στο Ισραηλιτικόν έθνος· ας μεταβούν, λοιπόν, αυτοί εις την Ιερουσαλήμ της Ιουδαίας και ας βοηθήσουν να ανοικοδομηθή ο ναός του Κυρίου του ισραηλιτικού λαού (αυτός είναι ο Κυριος, ο οποίος έχει κατασκηνώσει εις την Ιερουσαλήμ).

Α Εσδ. 2,6 - ὅσοι οὖν κατὰ τοὺς τόπους οἰκοῦσι, βοηθείτωσαν αὐτῷ οἱ ἐν τῷ τόπῳ αὐτοῦ ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ, ἐν δόσεσι μεθ᾿ ἵππων καὶ κτηνῶν σὺν τοῖς ἄλλοις τοῖς κατ᾿ εὐχὰς προστεθειμένοις εἰς τὸ ἱερὸν τοῦ Κυρίου τὸ ἐν Ἱερουσαλήμ.

Α Εσδ. 2,6 - Ολοι δε όσοι κατοικούν στους αυτούς τόπους με τους Ισραηλίτας, τους επιθυμούντας να μεταβούν εις την Ιερουσαλήμ, ας βοηθήσουν τους Ισραηλίτας με χρυσόν και άργυρον, με προσφοράς ίππων και κτηνών και άλλων σκευών, τα οποία δια τάματος πρέπει να αφιερωθούν στον ναόν του Κυρίου εις την Ιερουσαλήμ”.

Α Εσδ. 2,7 - καὶ καταστήσαντες οἱ ἀρχίφυλοι τῶν πατριῶν τῆς Ἰούδα καὶ Βενιαμὶν φυλῆς καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πάντων, ὧν ἤγειρε Κύριος τὸ πνεῦμα ἀναβῆναι οἰκοδομῆσαι οἶκον τῷ Κυρίῳ τὸ ἐν Ἱερουσαλήμ,

Α Εσδ. 2,7 - Κατόπιν της διαταγής αυτής οι αρχηγοί των πατριαρχικών οικογενειών της φυλής Ιούδα και της φυλής Βενιαμίν, οι ιερείς και οι Λευίται, όπως και όλοι εκείνοι, των οποίων ο Κυριος εκίνησε την προθυμίαν να μεταβούν εις την Ιερουσαλήμ, απεφάσισαν πράγματι να μεταβούν, δια να ανοικοδομήσουν προς τιμήν του Κυρίου τον εν Ιερουσαλήμ ναόν.

Α Εσδ. 2,8 - καὶ οἱ περικύκλῳ αὐτῶν ἐβοήθησαν ἐν πᾶσιν ἐν ἀργυρίῳ καὶ χρυσίῳ, ἵπποις, κτήνεσι καὶ εὐχαῖς ὡς πλείσταις πολλῶν, ὧν ὁ νοῦς ἠγέρθη.

Α Εσδ. 2,8 - Ολοι δε όσοι κατοικούσαν γύρω από αυτούς και των οποίων η καρδία ευλαβώς συνεκινήθη, τους εβοήθησαν με ο,τι ημπορούσαν, δηλαδή με αργύριον, με χρυσόν, με ίππους, με κατοικίδια ζώα, με πολυάριθμα αφιερώματα.

Α Εσδ. 2,9 - καὶ ὁ βασιλεὺς Κῦρος ἐξήνεγκε τὰ ἱερὰ σκεύη τοῦ Κυρίου, ἃ μετήνεγκε Ναβουχοδονόσορ ἐξ Ἱερουσαλήμ, καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰδωλείῳ αὐτοῦ·

Α Εσδ. 2,9 - Ο δε βασιλεύς Κύρος έβγαλε τα ιερά σκεύη του ναού του Κυρίου, τα οποία είχε μεταφέρει ο Ναβουχοδονόσορ από την Ιερουσαλήμ και είχε τοποθετήσει αυτά στον ειδωλολατρικόν ναόν του·

Α Εσδ. 2,10 - ἐξενέγκας δὲ αὐτὰ Κῦρος ὁ βασιλεὺς Περσῶν παρέδωκεν αὐτὰ Μιθραδάτῃ τῷ ἑαυτοῦ γαζοφύλακι·

Α Εσδ. 2,10 - ο Κύρος ο βασιλεύς των Περσών, τα έβγαλε από τον ειδωλολατρικόν αυτόν ναόν, τα παρέδωκεν στον Μιθραδάτην, τον θησαυροφύλακά του

Α Εσδ. 2,11 - διά δὲ τούτου παρεδόθησαν Σαμανασσάρῳ προστάτῃ τῆς Ἰουδαίας.

Α Εσδ. 2,11 - δια δε του Μιθραδάτου παρεδόθησαν αυτά στον Σαμανάσσαρον, τον διοικητήν της Ιουδαίας.

Α Εσδ. 2,12 - ὁ δὲ τούτων ἀριθμὸς ἦν· σπονδεῖα χρυσᾶ χίλια, σπονδεῖα ἀργυρᾶ χίλια, θυΐσκαι ἀργυραῖ εἰκοσιεννέα, φιάλαι χρυσαῖ τριάκοντα, ἀργυραῖ δισχίλιαι τετρακόσιαι δέκα καὶ ἄλλα σκεύη χίλια.

Α Εσδ. 2,12 - Ο αριθμός δε των παραδοθέντων αυτών ιερών σκευών ήτο ο εξής· Χιλια χρυσά δοχεία, χίλια αργυρά δοχεία, εικοσιεννέα αργυρά μικρά θυμιατήρια, τριάκοντα χρυσαί φιάλαι, δύο χιλιάδες τετρακόσιοι δέκα αργυραί φιάλαι και χίλια άλλα ιερά σκεύη.

Α Εσδ. 2,13 - τὰ δὲ πάντα σκεύη διεκομίσθη, χρυσᾶ καὶ ἀργυρᾶ, πεντακισχίλια τετρακόσια ἑξηκονταεννέα·

Α Εσδ. 2,13 - Ολα δε τα σκεύη αυτά, το οποία μετεφέρθησαν, ήσαν πέντε χιλιάδες τετρακόσια εξήκοντα εννέα.

Α Εσδ. 2,14 - ἀνηνέχθη δὲ ὑπὸ Σαμανασσάρου ἅμα τοῖς ἐκ τῆς αἰχμαλωσίας ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ.

Α Εσδ. 2,14 - Αυτά μετεφέρθησαν από την Βαβυλώνα υπό του Σαμανασσάρου μαζή με τους έως τώρα αιχμαλώτους Ιουδαίους, οι οποίοι ελεύθεροι επέστρεφαν εις την Ιερουσαλήμ.

Α Εσδ. 2,15 - Ἐν δὲ τοῖς ἐπὶ Ἀρταξέρξου τῶν Περσῶν βασιλέως χρόνοις κατέγραψαν αὐτῷ κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ

Βήλεμος καὶ Μιθραδάτης καὶ Ταβέλλιος καὶ Ῥάθυμος καὶ Βεέλτεθμος καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι, οἰκοῦντες δὲ ἐν Σαμαρείᾳ καὶ τοῖς ἄλλοις τόποις, τὴν ὑπογεγραμμένην ἐπιστολήν·

Α Εσδ. 2,15 - Επί της βασιλείας όμως του Αρταξέρξου, του βασιλέως των Περσών, ο αντιπρόσωποί του εις την Ιερουσαλήμ, (Βηλεμος, ο Μιθραδάτης, ο Ταβέλλιος, ο Ράθυμος, ο Βεέλτεθμος, Σαμέλλιος ο γραμματεύς και οι υπόλοιποι σύμβουλοί των, οι οποίοι κατοικούσαν εις την Σαμάρειαν και εις τας άλλας χώρας, έγραψαν εναντίον των κατοίκων της Ιουδαίας και της Ιερουσαλήμ την κατωτέρω επιστολήν.

Α Εσδ. 2,16 - «Βασιλεῖ Ἀρταξέρξῃ κυρίῳ οἱ παῖδές σου Ῥάθυμος ὁ τὰ προσπίπτοντα καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν καὶ κριταὶ οἱ ἐν Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ·

Α Εσδ. 2,16 - “Προς τον βασιλέα Αρταξέρξην, τον κύριον ημών, ημείς οι δούλοι σου ο Ραθυμος ο χρονικογράφος, ο Σαμέλλιος ο γραμματεύς και οι λοιποί σύμβουλοί μας και δικασταί, οι οποίοι ευρισκόμεθά εις την Κοίλην Συρίαν και την Φοινίκην,

Α Εσδ. 2,17 - καὶ νῦν γνωστὸν ἔστω τῷ κυρίῳ βασιλεῖ, ὅτι οἱ Ἰουδαῖοι ἀναβάντες παρ᾿ ὑμῶν πρὸς ἡμᾶς ἐλθόντες εἰς Ἱερουσαλήμ, τὴν πόλιν τὴν ἀποστάτιν καὶ πονηρὰν οἰκοδομοῦσι, τάς τε ἀγορὰς αὐτῆς καὶ τὰ τείχη θεραπεύουσι καὶ ναὸν ὑποβάλλονται.

Α Εσδ. 2,17 - φέρομεν εις γνώσιν του κύριου μας και βασιλέως μας, ότι οι Ιουδαίοι που ήλθαν από σας προς ημάς εις την Ιερουσαλήμ, ανοικοδομούν την αποστάτιδα και ταραχοποιόν πόλιν των, όπως επίσης τας εμπορικάς αγοράς των, επιδιορθώνουν τα τείχη και θεμελιώνουν το ναόν των.

Α Εσδ. 2,18 - ἐὰν οὖν ἡ πόλις αὕτη οἰκοδομηθῇ καὶ τὰ τείχη συντελεσθῇ, φορολογίαν οὐ μὴ ὑπομείνωσι δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται. καὶ ἐπεὶ ἐνεργεῖται τὰ κατὰ τὸν ναόν, καλῶς ἔχειν ὑπολαμβάνομεν μὴ ὑπεριδεῖν τὸ τοιοῦτον, ἀλλὰ προσφωνῆσαι τῷ κυρίῳ βασιλεῖ, ὅπως, ἂν φαίνηταί σοι, ἐπισκεφθῇ ἐν τοῖς ἀπὸ τῶν πατέρων σου βιβλίοις·

Α Εσδ. 2,18 - Εάν όμως η πόλις αυτή ανοικοδομηθή και ολοκληρωθή η ανοικοδόμησις των τειχών, δεν θα ανεχθούν αυτοί να δίδουν φόρον, αλλά και θα επαναστατήσουν εναντίον των βασιλέων μας. Εφ' όσον δε αυτοί εργάζονται δια την ανοικοδόμησιν του ναού, εθεωρήσαμεν ότι είναι καλόν και πρέπον να μη παραβλέψωμεν αυτό το γεγονός, αλλά να το αναφέρωμεν στον κύριον και βασιλέα μας, ώστε, εάν φανή εις αυτόν αρεστόν, να ερευνήση δια την πόλιν αυτήν εις τα αρχεία των πατέρων του.

Α Εσδ. 2,19 - καὶ εὑρήσεις ἐν τοῖς ὑπομνηματισμοῖς γεγραμμένα περὶ τούτων καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη ἦν ἀποστάτις καὶ βασιλεῖς καὶ πόλεις

ἐνοχλοῦσα καὶ οἱ Ἰουδαῖοι ἀποστάται καὶ πολιορκίας συνιστάμενοι ἐν αὐτῇ ἔτι ἐξ αἰῶνος, δι᾿ ἣν αἰτίαν καὶ ἡ πόλις αὕτη ἠρημώθη.

Α Εσδ. 2,19 - Θα εύρης δε εις τα γραπτά αυτά υπομνήματα πληροφορίας δι' αυτά, που σου καθιστώμεν γνωστά, και θα μάθης ότι η πόλις αυτή, η Ιερουσαλήμ, υπήρξεν αποστάτις, παρείχε δε πολλά ζητήματα εις βασιλείς και πόλεις. Οι Ιουδαίοι είναι επαναστάται και ότι από αρχαιοτάτων χρόνων έγιναν κατά της πόλεως αυτής πολιορκίαι, εξ αιτίας των οποίων αυτή και έχει ερημωθή.

Α Εσδ. 2,20 - νῦν οὖν ὑποδεικνύομέν σοι, κύριε βασιλεῦ, ὅτι ἐὰν ἡ πόλις αὕτη οἰκοδομηθῇ καὶ τὰ ταύτης τείχη ἀνασταθῇ, κάθοδος οὐκ ἔτι σοι ἔσται εἰς Κοίλην Συρίαν καὶ Φοινίκην».

Α Εσδ. 2,20 - Τωρα λοιπόν, κύριε βασιλεύ, ευλαβώς σου υποδεικνύομεν ότι, εάν η πόλις αυτή ανοικοδομηθή και ολοκληρωθούν τα τείχη της, δεν θα ημπορής στο εξής να κατέλθης εις την Κοίλην Συρίαν και την Φοινίκην”.

Α Εσδ. 2,21 - τότε ἀντέγραψεν ὁ βασιλεὺς Ῥαθύμῳ τῷ γράφοντι τὰ προσπίπτοντα καὶ Βεελτέθμῳ καὶ Σαμελλίῳ γραμματεῖ καὶ τοῖς λοιποῖς τοῖς συντασσομένοις καὶ οἰκοῦσιν ἐν τῇ Σαμαρείᾳ καὶ Συρίᾳ καὶ Φοινίκῃ τὰ ὑπογεγραμμένα·

Α Εσδ. 2,21 - Τοτε ο βασιλεύς απήντησε γραπτώς στον Ραθυμον τον γραμματέα και χρονικογράφον, στον Βεέλτεθμον, στον γραμματέα Σαμέλλιον και στους άλλους συμβούλους, οι οποίοι κατοικούσαν εις την Συρίαν και εις την Φοινίκην τα εξής·

Α Εσδ. 2,22 - «Ἀνέγνων τὴν ἐπιστολήν, ἣν πεπόμφατε πρός με. ἐπέταξα οὖν ἐπισκέψασθαι, καὶ εὑρέθη ὅτι ἡ πόλις ἐκείνη ἐστὶν ἐξ αἰῶνος βασιλεῦσιν ἀντιπαρατάσσουσα

Α Εσδ. 2,22 - “Ανέγνωσα την επιστολήν, την οποίαν μου απεστείλατε, έδωσα διαταγήν να ερευνήσουν τα αρχεία και πράγματι ευρέθη, ότι αυτή η πόλις από αρχαιοτάτων χρόνων αντιπαρατάσσεται εναντίον των βασιλέων.

Α Εσδ. 2,23 - καὶ οἱ ἄνθρωποι ἀποστάσεις καὶ πολέμους ἐν αὐτῇ συντελοῦντες καὶ βασιλεῖς ἰσχυροὶ καὶ σκληροὶ ἦσαν ἐν Ἱερουσαλὴμ κυριεύοντες καὶ φορολογοῦντες Κοίλην Συρίαν καὶ Φοινίκην.

Α Εσδ. 2,23 - Οι κάτοικοί της από την πόλιν αυτήν έκαμαν επαναστάσεις και πολέμους. Οι εν Ιερουσαλήμ βασιλείς τους, ισχυροί και σκληροί, κατεκυρίευσαν την Κοίλην Συρίαν και την Φοινίκην και επέβαλλαν στους κατοίκους της φόρον υποτελείας.

Α Εσδ. 2,24 - νῦν οὖν ἐπέταξα ἀποκωλῦσαι τοὺς ἀνθρώπους ἐκείνους τοῦ οἰκοδομῆσαι τὴν πόλιν καὶ προνοηθῆναι ὅπως μηδὲν παρὰ ταῦτα γένηται καὶ μὴ προβῇ ἐπὶ πλεῖον τὰ τῆς κακίας εἰς τὸ βασιλεῖς ἐνοχλῆσαι».

Α Εσδ. 2,24 - Δι' αυτό λοιπόν και διέταξα να εμποδίσετε αυτούς τους ανθρώπους από την οχύρωσιν της πόλεως και να φροντίσετε να μη γίνη

τίποτε εναντίον της διαταγής αυτής, δια να μη προχωρήση περισσότερον το κακόν και δημιουργήσουν αυτοί ζητήματα στους βασιλείς”.

Α Εσδ. 2,25 - τότε ἀναγνωσθέντων τῶν παρὰ τοῦ βασιλέως Ἀρταξέρξου γραφέντων, Ῥάθυμος καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ οἱ τούτοις συντασσόμενοι ἀναζεύξαντες εἰς Ἱερουσαλὴμ κατὰ σπουδὴν μεθ᾿ ἵππου καὶ ὄχλου παρατάξεως, ἤρξαντο κωλύειν τοὺς οἰκοδομοῦντας. καὶ ἤργει ἡ οἰκοδομὴ τοῦ ἱεροῦ τοῦ ἐν Ἱερουσαλὴμ μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας Δαρείου τοῦ Περσῶν βασιλέως.

Α Εσδ. 2,25 - Οταν αυτά, τα οποία εγράφησαν από τον βασιλέα Αρταξέρξην, ανεγνώσθησαν, αμέσως ο Ραθυμος και ο γραμματεύς Σαμέλλιος και η άλλη ακολουθία αυτών μετέβησαν εσπευσμένως εις την Ιερουσαλήμ με ιππικόν και πεζικόν στρατόν και ήρχισαν να εμποδίζουν τους οικοδόμους από το έργον των. Ετσι δε η ανοικοδόμησις του ιερού ναού του εν Ιερουσαλήμ διεκόπη έως στο δεύτερον έτος της βασιλείας του Δαρείου βασιλέως των Περσών.

Α ΕΣΔΡΑΣ 3

Α Εσδ. 3,1 - Καὶ βασιλεὺς Δαρεῖος ἐποίησε δοχὴν μεγάλην πᾶσι τοῖς ὑπ᾿ αὐτὸν καὶ πᾶσι τοῖς οἰκογενέσιν αὐτοῦ καὶ πᾶσι τοῖς μεγιστᾶσι τῆς Μηδίας καὶ τῆς Περσίδος

Α Εσδ. 3,1 - Ο βασιλεύς Δαρείος παρέθεσε συμπόσιον μέγα εις όλους τους υπό την εξουσίαν του, στους δούλους του, που είχαν γεννηθή στον οίκον του, εις όλους τους αυλικούς και τους μεγιστάνας της Μηδίας και της Περσίας,

Α Εσδ. 3,2 - καὶ πᾶσι τοῖς σατράπαις καὶ στρατηγοῖς καὶ τοπάρχαις τοῖς ὑπ᾿ αὐτόν, ἀπὸ τῆς Ἰνδικῆς μέχρις Αἰθιοπίας ἐν ταῖς ἑκατὸν εἰκοσιεπτὰ σατραπείαις.

Α Εσδ. 3,2 - εις όλους τους σατράπας, τους στρατηγούς, τους διοικητάς διαφόρων περιοχών της βασιλείας του από των Ινδιών μέχρι της Αιθιοπίας εις εκατόν είκοσι επτά διοικητικάς περιφερείας.

Α Εσδ. 3,3 - καὶ ἐφάγοσαν καὶ ἐπίοσαν καὶ ἐμπλησθέντες ἀνέλυσαν. ὁ δὲ Δαρεῖος ὁ βασιλεὺς ἀνέλυσεν εἰς τὸν κοιτῶνα ἑαυτοῦ καὶ ἐκοιμήθη καὶ ἔξυπνος ἐγένετο.

Α Εσδ. 3,3 - Αυτοί έφαγον, έπιον και, όταν εχόρτασαν, απεσύρθησαν, δια να αναπαυθούν. Ο βασιλεύς Δαρείος απεσύρθη και αυτός στον κοιτώνα του, δια να κοιμηθή, αλλά έμεινε ξυπνητός.

Α Εσδ. 3,4 - τότε οἱ τρεῖς νεανίσκοι οἱ σωματοφύλακες οἱ φυλάσσοντες τὸ σῶμα τοῦ βασιλέως εἶπαν ἕτερος πρὸς τὸν ἕτερον·

Α Εσδ. 3,4 - Τοτε οι τρεις νεαροί σωματοφύλακες, οι οποίοι εφύλασσαν τον βασιλέα, είπαν ο ένας προς τον άλλον·

Α Εσδ. 3,5 - εἴπωμεν ἕκαστος ἡμῶν ἕνα λόγον, ὃς ὑπερισχύσει· καὶ οὗ ἐὰν φανῇ τὸ ῥῆμα αὐτοῦ σοφώτερον τοῦ ἑτέρου, δώσει αὐτῷ Δαρεῖος ὁ βασιλεὺς δωρεὰς μεγάλας καὶ ἐπινίκια μεγάλα

Α Εσδ. 3,5 - "ας πη ο καθένας από ημάς μίαν γνώμην, δια να ίδωμεν τίνος θα είναι η καλυτέρα. Εις εκείνον δέ, του οποίου η γνώμη θα είναι σοφωτέρα από την γνώμην των άλλων, ο βασιλεύς Δαρείος θα δώση μεγάλας δωρεάς και θα απονείμη μεγάλον έπαινον.

Α Εσδ. 3,6 - καὶ πορφύραν περιβαλέσθαι καὶ ἐν χρυσώμασι πίνειν καὶ ἐπὶ χρυσῷ καθεύδεν καὶ ἅρμα χρυσοχάλινον καὶ κίδαριν βυσσίνην καὶ μανιάκην περὶ τὸν τράχηλον,

Α Εσδ. 3,6 - Ο βασιλεύς θα εγκρίνη, ώστε αυτός να ενδυθή πορφύραν, να πίνη με χρυσά ποτήρια, να κοιμάται επάνω εις χρυσήν κλίνην, να έχη άρμα, του οποίου οι ίπποι θα φέρουν χρυσούς χαλινούς, να φορή κίδαριν εις την κεφαλήν του από βύσσον και περιδέραιον γύρω από τον τράχηλόν του.

Α Εσδ. 3,7 - καὶ δεύτερος καθιεῖται Δαρείου διὰ τὴν σοφίαν αὐτοῦ καὶ συγγενὴς Δαρείου κληθήσεται.

Α Εσδ. 3,7 - Αυτός θα έχη την δευτέραν μετά τον Δαρείον θέσιν ένεκα της σοφίας του και θα αναγνωρισθή συγγενής του Δαρείου".

Α Εσδ. 3,8 - καὶ τότε γράψαντες ἕκαστος τὸν ἑαυτοῦ λόγον ἐσφραγίσαντο καὶ ἔθηκαν ὑπὸ τὸ προσκεφάλαιον Δαρείου τοῦ βασιλέως καὶ εἶπαν·

Α Εσδ. 3,8 - Εγραψαν τότε ο καθένας από αυτούς την γνώμην του, την εσφράγισαν και έθεσαν αυτήν κάτω από το προσκεφάλαιον του βασιλέως και είπαν·

Α Εσδ. 3,9 - ὅταν ἐγερθῇ ὁ βασιλεύς, δώσουσιν αὐτῷ τὸ γράμμα, καὶ ὃν ἂν κρίνῃ ὁ βασιλεὺς καὶ οἱ τρεῖς μεγιστᾶνες τῆς Περσίδος ὅτι οὗ ὁ λόγος αὐτοῦ σοφώτερος, αὐτῷ δοθήσεται τὸ νῖκος καθὼς γέγραπται.

Α Εσδ. 3,9 - "όταν εξυπνήση ο βασιλεύς, θα δώσωμεν εις αυτόν τας γραπτάς αυτάς γνώμας μας και εις εκείνον, του οποίου η γραπτή γνώμη ήθελε προκριθή ως σοφωτέρα από τον βασιλέα και τους τρεις μεγιστάνας της Περσίας, θα δοθή η νίκη, όπως έχομεν γραπτώς συμφωνήσει".

Α Εσδ. 3,10 - ὁ εἷς ἔγραψεν, ὑπερισχύει ὁ οἶνος.

Α Εσδ. 3,10 - Ο ένας από αυτούς έγραψεν ότι το κρασί είναι το ισχυρότερον.

Α Εσδ. 3,11 - ὁ ἕτερος ἔγραψεν, ὑπερισχύει ὁ βασιλεύς.

Α Εσδ. 3,11 - Ο άλλος έγραψεν ισχυρότερος είναι ο βασιλεύς,

Α Εσδ. 3,12 - ὁ τρίτος ἔγραψεν, ὑπερισχύουσιν αἱ γυναῖκες, ὑπὲρ δὲ πάντα νικᾷ ἡ ἀλήθεια.

Α Εσδ. 3,12 - ο δε τρίτος έγραψεν, ισχυρότεροι από όλους είναι αι γυναίκες, αλλά υπεράνω από όλα νικά η αλήθεια.

Α Εσδ. 3,13 - καὶ ὅτε ἐξηγέρθη ὁ βασιλεύς, λαβόντες τὸ γράμμα ἔδωκαν αὐτῷ, καὶ ἀνέγνω.

Α Εσδ. 3,13 - Οταν ο βασιλεύς εσηκώθη, επήραν τα γραπτά αυτά κείμενα και τα έδωσαν στον βασιλέα, ο δε βασιλεύς τα ανέγνωσε.

Α Εσδ. 3,14 - καὶ ἐξαποστείλας ἐκάλεσε πάντας τοὺς μεγιστᾶνας τῆς Περσίδος καὶ τῆς Μηδείας καὶ τοὺς σατράπας καὶ στρατηγοὺς καὶ τοπάρχας καὶ ὑπάτους καὶ ἐκάθισεν ἐν τῷ χρηματιστηρίῳ, καὶ ἀνεγνώσθη τὸ γράμμα ἐνώπιον αὐτῶν.

Α Εσδ. 3,14 - Ο βασιλεύς έστειλε τότε αγγελιαφόρους και εκάλεσεν όλους τους μεγιστάνας της Περσίας και της Μηδίας, τους σατράπας, τους στρατηγούς, τους διοικητάς χωρών και τους άλλους ανωτάτους άρχοντας, τους ώρισε να καθίσουν εις την αίθουσαν του ανακτόρου του και ενώπιον αυτών ανεγνώσθησαν αι γραπταί γνώμαι.

Α Εσδ. 3,15 - καὶ εἶπε· καλέσατε τοὺς νεανίσκους, καὶ αὐτοὶ δηλώσουσι τοὺς λόγους ἑαυτῶν· καὶ ἐκλήθησαν καὶ εἰσήλθοσαν.

Α Εσδ. 3,15 - Κατόπιν διέταξεν ο βασιλεύς· “καλέσατε τους νεαρούς δούλους μου, δια να αποσαφηνίσουν εδώ τας γνώμας των”. Αυτοί εκλήθησαν και εισήλθον εις την αίθουσαν του ανακτόρου.

Α Εσδ. 3,16 - καὶ εἶπαν αὐτοῖς· ἀπαγγείλατε ἡμῖν περὶ τῶν γεγραμμένων.

Α Εσδ. 3,16 - Ο βασιλεύς και οι άρχοντες είπαν προς αυτούς· “αναλύσατέ μας αυτά, τα οποία έχετε γράψει”.

Α Εσδ. 3,17 - Καὶ ἤρξατο ὁ πρῶτος ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ οἴνου καὶ ἔφη οὕτως· ἄνδρες, πῶς ὑπερισχύει ὁ οἶνος; πάντας τοὺς ἀνθρώπους τοὺς πιόντας αὐτὸν πλανᾷ τὴν διάνοιαν·

Α Εσδ. 3,17 - Πρώτος ήρχισεν εκείνος, που είχε γράψει ότι ο οίνος είναι ο ισχυρότερος και είπεν ως εξής· “άνδρες, ερωτάτε πως ο οίνος είναι ο ισχυρότερος; Ακούσατε. Αυτός πλανά την σκέψιν όλων των ανθρώπων, οι οποίοι τον πίνουν.

Α Εσδ. 3,18 - τοῦ τε βασιλέως καὶ τοῦ ὀρφανοῦ ποιεῖ τὴν διάνοιαν μίαν, τήν τε τοῦ οἰκέτου καὶ τὴν τοῦ ἐλευθέρου, τήν τε τοῦ πένητος καὶ τὴν τοῦ πλουσίου.

Α Εσδ. 3,18 - Αυτός κάμνει την σκέψιν του βασιλέως και του ορφανού, του δούλου και του ελευθέρου ίσην, του πτωχού και του πλουσίου μίαν και την αυτήν.

Α Εσδ. 3,19 - καὶ πᾶσαν διάνοιαν μεταστρέφει εἰς εὐωχίαν καὶ εὐφροσύνην καὶ οὐ μέμνηται πᾶσαν λύπην καὶ πᾶν ὀφείλημα.

Α Εσδ. 3,19 - Καθε σκέψιν την μεταβάλλει εις χαράν και ευφροσύνην. Αυτός κάμνει τον άνθρωπον να μη ενθυμήται ούτε λύπην ούτε χρέος.

Α Εσδ. 3,20 - καὶ πάσας καρδίας ποιεῖ πλουσίας καὶ οὐ μέμνηται βασιλέα οὐδὲ σατράπην καὶ πάντα διὰ ταλάντων ποιεῖ λαλεῖν.

Α Εσδ. 3,20 - Καμνει τας καρδίας πλουσίας, ώστε αυτός, που πίνει οίνον, να μη λαμβάνη υπ' όψιν ούτε βασιλείς ούτε σατράπας. Και κάμνει τον καθένα να ομιλή περί πάντων κατά πλούσιον και γενναιόδωρον τρόπον.

Α Εσδ. 3,21 - καὶ οὐ μέμνηται, ὅταν πίνωσι, φιλιάζειν φίλοις καὶ ἀδελφοῖς, καὶ μετ᾿ οὐ πολὺ σπῶνται τὰς μαχαίρας·

Α Εσδ. 3,21 - Αυτός κάμνει φίλους και αδελφούς, όταν πίνουν οίνον, να μη ενθυμούνται την φιλίαν και την συγγένειάν των και έπειτα από ολίγον να ανασπούν τας μαχαίρας ο ενας εναντίον του άλλου.

Α Εσδ. 3,22 - καὶ ὅταν ἀπὸ τοῦ οἴνου ἐγερθῶσιν, οὐ μέμνηνται ἃ ἔπραξαν.

Α Εσδ. 3,22 - Και όταν συνέλθουν από την μέθην, δεν ενθυμούνται εκείνα που έπραξαν.

Α Εσδ. 3,23 - ὦ ἄνδρες, οὐχ ὑπερισχύει ὁ οἶνος, ὅτι οὕτως ἀναγκάζει ποιεῖν; καὶ ἐσίγησεν οὕτως εἴπας.

Α Εσδ. 3,23 - Ω άνδρες, δεν είναι ισχυρότερος ο οίνος, αφού αναγκάζει όλους μας να πράττωμεν τέτοια πράγματα;” Αυτά είπε και εσιώπησε.

Α ΕΣΔΡΑΣ 4

Α Εσδ. 4,1 - Καὶ ἤρξατο ὁ δεύτερος λαλεῖν, ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ βασιλέως·

Α Εσδ. 4,1 - Ηρχισεν έπειτα να ομιλή ο δεύτερος, εκείνος ο οποίος είχεν είπει περί της ισχύος του βασιλέως.

Α Εσδ. 4,2 - ὦ ἄνδρες, οὐχ ὑπερισχύουσιν οἱ ἄνθρωποι, τὴν γῆν καὶ τὴν θάλασσαν κατακρατοῦντες καὶ πάντα τὰ ἐν αὐτοῖς;

Α Εσδ. 4,2 - “Ω άνδρες, είπεν, οι άνθρωποι δεν υπερέχουν κατά την ισχύν, αφού είναι κύριοι της ξηράς και της θαλάσσης και όλων όσα υπάρχουν εις αυτάς;

Α Εσδ. 4,3 - ὁ δὲ βασιλεὺς ὑπερισχύει καὶ κυριεύει αὐτῶν καὶ δεσπόζει αὐτῶν, καὶ πᾶν ὃ ἐὰν εἴπῃ αὐτοῖς, ἐνακούουσιν.

Α Εσδ. 4,3 - Ο βασιλεύς όμως είναι ισχυρότερος από όλους τους ανθρώπους, είναι κύριος αυτών, εξουσιάζει επάνω εις αυτούς και παν ο,τι θα είπη εις αυτούς, εκείνοι τον υπακούουν.

Α Εσδ. 4,4 - ἐὰν εἴπῃ αὐτοῖς ποιῆσαι πόλεμον ἕτερος πρὸς τὸν ἕτερον, ποιοῦσιν· ἐὰν δὲ ἐξαποστείλῃ αὐτοὺς πρὸς τοὺς πολεμίους, βαδίζουσι καὶ κατεργάζονται τὰ ὄρη καὶ τὰ τείχη καὶ τοὺς πύργους,

Α Εσδ. 4,4 - Εάν ο βασιλεύς τους διατάξη να κάμουν πόλεμον ο ενας εναντίον του άλλου, οι άνθρωποι τον κάμνουν. Εάν ο βασιλεύς αποστείλη

τους στρατιώτας του εναντίον εχθρών, αυτοί βαδίζουν όπως διετάχθησαν και τα πάντα κάμνουν δια να καθυποτάξουν όρη, τείχη και πύργους.

Α Εσδ. 4,5 - φονεύουσι καὶ φονεύονται, καὶ τὸν λόγον τοῦ βασιλέως οὐ παραβαίνουσιν· ἐὰν δὲ νικήσωσι, τῷ βασιλεῖ κομίζουσι πάντα, καὶ ὅσα ἐὰν προνομεύσωσι καὶ τὰ ἄλλα πάντα.

Α Εσδ. 4,5 - Φονεύουν και φονεύονται και την διαταγήν του βασιλέως δεν παραβαίνουν. Εάν νικήσουν, στον βασιλέα φέρουν τα πάντα, όσα θα λαφυραγωγήσουν και όλα τα άλλα, χωρίς καμμίαν εξαίρεσιν.

Α Εσδ. 4,6 - καὶ ὅσοι οὐ στρατεύονται οὐδὲ πολεμοῦσιν, ἀλλὰ γεωργοῦσι τὴν γῆν, πάλιν ὅταν σπείρωσι, θερίσαντες ἀναφέρουσι τῷ βασιλεῖ· καὶ ἕτερος τὸν ἕτερον ἀναγκάζοντες ἀναφέρουσι τοὺς φόρους τῷ βασιλεῖ.

Α Εσδ. 4,6 - Οσοι δε από τους ανθρώπους δεν επιστρατεύονται και δεν λαμβάνουν μέρος στον πόλεμον, αλλά επιδίδονται εις την γεωργίαν, αυτοί, όταν σπείρουν και θερίσουν, προσφέρουν τα προϊόντα των στον βασιλέα. Και αναγκάζει ο ένας τον άλλον να πληρώνουν τους φόρους στον βασιλέα.

Α Εσδ. 4,7 - καὶ αὐτὸς εἷς μόνος ἐστίν· ἐὰν εἴπῃ ἀποκτεῖναι, ἀποκτέννουσιν· ἐὰν εἴπῃ ἀφεῖναι, ἀφιοῦσιν·

Α Εσδ. 4,7 - Αυτός είναι ο ένας και απόλυτος κύριος. Εάν διατάξη να εκτελέσουν κάποιον, τον εκτελούν. Εάν είπη να τον αφήσουν ελεύθερον, τον αφήνουν.

Α Εσδ. 4,8 - εἶπε πατάξαι, τύπτουσιν· εἶπεν ἐρημῶσαι, ἐρημοῦσιν· εἶπεν οἰκοδομῆσαι, οἰκοδομοῦσιν·

Α Εσδ. 4,8 - Εάν διατάξη ο βασιλεύς να κτυπήσουν κάποιον, τον κτυπούν. Είπε να ερημώσουν περιοχάς, και τας ερημώνουν. Είπε να ανοικοδομήσουν οικίας και πόλεις, και τας ανοικοδομούν.

Α Εσδ. 4,9 - εἶπεν ἐκκόψαι, ἐκκόπτουσιν· εἶπε φυτεῦσαι, φυτεύουσι.

Α Εσδ. 4,9 - Είπεν ο βασιλεύς να υλοτομήσουν περιοχάς και ξερριζώνουν τα πάντα. Είπεν ο βασιλεύς να κάμουν δενδροφυτεύσεις οι άνθρωποι και εκείνοι δενδροφυτεύουν.

Α Εσδ. 4,10 - καὶ πᾶς ὁ λαὸς αὐτοῦ καὶ αἱ δυνάμεις αὐτοῦ ἐνακούουσι. πρὸς δὲ τούτοις, αὐτὸς ἀνάκειται, ἐσθίει καὶ πίνει καὶ καθεύδει,

Α Εσδ. 4,10 - Ολος ο λαός του και αι στρατιωτικαί δυνάμεις υπακούουν εις αυτόν. Επί πάσι δε τούτοις, αυτός ανακλίνεται παρά την τράπεζαν του φαγητού, τρώγει και πίνει και κατόπιν κοιμάται,

Α Εσδ. 4,11 - αὐτοὶ δὲ τηροῦσι κύκλῳ περὶ αὐτὸν καὶ οὐ δύνανται ἕκαστος ἀπελθεῖν καὶ ποιεῖν τὰ ἔργα αὐτοῦ, οὐδὲ παρακούουσιν αὐτοῦ.

Α Εσδ. 4,11 - οι άνθρωποι κύκλω από αυτόν φρουρούν και δεν ημπορεί κανείς να απέλθη και να ασχοληθή με τα έργα του, ούτε και παρακούουν αυτόν εις τίποτε.

Α Εσδ. 4,12 - ὦ ἄνδρες, πῶς οὐχ ὑπερισχύει ὁ βασιλεύς, ὅτι οὕτως ἐπάκουστός ἐστι; καὶ ἐσίγησεν.

Α Εσδ. 4,12 - Ω άνδρες, πως ο βασιλεύς δεν υπερέχει από όλους κατά την ισχύν, αφού κατ' αυτόν τον τρόπον υπακούεται από όλους και εις όλα;” Επειτα από αυτά εσιώπησεν.

Α Εσδ. 4,13 - Ὁ δὲ τρίτος ὁ εἴπας περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας -οὗτός ἐστι Ζοροβάβελ- ἤρξατο λαλεῖν· ἄνδρες,

Α Εσδ. 4,13 - Ο δε τρίτος, ο οποίος εξέφρασε την γνώμην ότι αι γυναίκες και η αλήθεια υπερισχύουν- αυτός είναι ο Ζοροβάβελ- ηρχισε να ομιλή και να αναπτύσση την γνώμην του.

Α Εσδ. 4,14 - οὐ μέγας ὁ βασιλεὺς καὶ πολλοὶ οἱ ἄνθρωποι καὶ ὁ οἶνος ἰσχύει; τίς οὖν ὁ δεσπόζων αὐτῶν ἢ τίς ὁ κυριεύων αὐτῶν; οὐχ αἱ γυναῖκες;

Α Εσδ. 4,14 - “Ω άνδρες, είπε, πράγματι δεν είναι μέγας ο βασιλεύς και πολλοί οι άνθρωποι και δεν έχει όντως μεγάλην ισχύν ο οίνος; Ποίος όμως είναι εκείνος, ο οποίος επιβάλλεται επάνω εις αυτούς και ποιός είναι εκείνος, ο οποίος κυριαρχεί επάνω των; Δεν είναι αι γυναίκες;

Α Εσδ. 4,15 - αἱ γυναῖκες ἐγέννησαν τὸν βασιλέα καὶ πάντα τὸν λαόν, ὃς κυριεύει τῆς θαλάσσης καὶ τῆς γῆς·

Α Εσδ. 4,15 - Αι γυναίκες εγέννησαν τον βασιλέα και όλους τους λαούς, οι οποίοι κυριαρχούν εις την θάλασσαν και την ξηράν.

Α Εσδ. 4,16 - καὶ ἐξ αὐτῶν ἐγένοντο, καὶ αὗται ἐξέθρεψαν αὐτοὺς τοὺς φυτεύσαντας τοὺς ἀμπελῶνας, ἐξ ὧν ὁ οἶνος γίνεται.

Α Εσδ. 4,16 - Από αυτάς εγεννήθησαν οι βασιλείς και οι άλλοι άνθρωποι και αυταί ανέθρεψαν και εκείνους, που εφύτευσαν αμπελώνας, εκ των οποίων αμπελώνων παράγεται ο οίνος.

Α Εσδ. 4,17 - καὶ αὗται ποιοῦσι τὰς στολὰς τῶν ἀνθρώπων, καὶ αὗται ποιοῦσι δόξαν τοῖς ἀνθρώποις, καὶ οὐ δύνανται οἱ ἄνθρωποι χωρὶς τῶν γυναικῶν εἶναι.

Α Εσδ. 4,17 - Αυταί κατασκευάζουν τας στολάς των ανθρώπων και αυταί ενεργούν, δια να έχουν καλήν εμφάνισιν και δόξαν οι άνθρωποι, γενικώτερον δε δεν ημπορούν να υπάρξουν και να ζήσουν οι άνθρωποι χωρίς τας γυναίκας.

Α Εσδ. 4,18 - ἐὰν δὲ συναγάγωσι χρυσίον καὶ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον καὶ ἴδωσι γυναῖκα μίαν καλὴν τῷ εἴδει καὶ τῷ κάλλει,

Α Εσδ. 4,18 - Εάν δε οι άνδρες συγκεντρώσουν χρυσόν και άργυρον και κάθε άλλο ωραίον πράγμα, όταν ίδουν μίαν ευειδή γυναίκα και καλής σωματικής διαπλάσεως,

Α Εσδ. 4,19 - ταῦτα πάντα ἀφέντες, εἰς αὐτὴν ἐκκέχηναν καὶ χάσκοντες τὸ στόμα θεωροῦσιν αὐτήν, καὶ πάντες αὐτὴν αἱρετίζουσι μᾶλλον ἢ τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον.

Α Εσδ. 4,19 - αφήνουν όλα τα άλλα και την παρατηρούν χάσκοντες και με άνρικτον το στόμα. Και όλοι προτιμούν αυτήν μάλλον παρά τον χρυσόν και τον άργυρον και κάθε τι άλλο ωραίον πράγμα.

Α Εσδ. 4,20 - ἄνθρωπος τὸν ἑαυτοῦ πατέρα ἐγκαταλείπει, ὃς ἐξέθρεψεν αὐτόν, καὶ τὴν ἰδίαν χώραν καὶ πρὸς τὴν ἰδίαν γυναῖκα κολλᾶται

Α Εσδ. 4,20 - Καθε άνθρωπος εγκαταλείπει τον πατέρα του, αυτόν ο οποίος τον ανέθρεψε, εγκαταλείπει και την πατρίδα του και προσκολλάται προς την γυναίκα του.

Α Εσδ. 4,21 - καὶ μετὰ τῆς γυναικὸς ἀφίησι τὴν ψυχὴν καὶ οὔτε τὸν πατέρα μέμνηται οὔτε τὴν μητέρα οὔτε τὴν χώραν.

Α Εσδ. 4,21 - Προς χάριν της γυναικός του θυσιάζει την ζωήν του και δεν ενθυμείται ούτε τον πατέρα του, ούτε την μητέρα του, ούτε την πατρίδα του.

Α Εσδ. 4,22 - καὶ ἐντεῦθεν δεῖ ὑμᾶς γνῶναι ὅτι αἱ γυναῖκες κυριεύουσιν ὑμῶν· οὐχὶ πονεῖτε καὶ μοχθεῖτε, καὶ πάντα ταῖς γυναιξὶ δίδοτε καὶ φέρετε;

Α Εσδ. 4,22 - Από όλα αυτά, που σας είπα, είσθε υποχρεωμένοι και σεις να αναγνωρίσετε, ότι αι γυναίκες κυριαρχούν επάνω σας. Σεις οι ίδιοι δεν εργάζεσθε και δεν υποβάλλεσθε εις κόπους και ταλαιπωρίας, και όλας τας προσόδους σας δίδετε και φέρετε εις τας γυναίκας σας;

Α Εσδ. 4,23 - καὶ λαμβάνει ὁ ἄνθρωπος τὴν ῥομφαίαν αὐτοῦ καὶ ἐκπορεύεται ἐξοδεύειν καὶ λῃστεύειν καὶ κλέπτειν καὶ εἰς τὴν θάλασσαν πλεῖν καὶ ποταμούς·

Α Εσδ. 4,23 - Ο άνθρωπος παίρνει το ξίφος του, φεύγει από το σπίτι, εξέρχεται δια να ληστεύση και κλέψη, πλέει εις ποταμούς και θαλάσσας.

Α Εσδ. 4,24 - καὶ τὸν λέοντα θεωρεῖ καὶ ἐν σκότει βαδίζει, καὶ ὅταν κλέψῃ καὶ ἁρπάσῃ καὶ λωποδυτήσῃ, τῇ ἐρωμένῃ ἀποφέρει.

Α Εσδ. 4,24 - Κατά τας επιχειρήσστου αυτάς βλέπει τον λέοντα και τον καταφρονεί. Βαδίζει εις τα σκότη, δια να επιτύχη στο σκοτεινόν έργον του. ' Οταν δε κλέψη και αρπάση και λωποδυτήση, φέρει όλα αυτά εις την ερωμένην του.

Α Εσδ. 4,25 - καὶ πλεῖον ἀγαπᾷ ἄνθρωπος τὴν ἰδίαν γυναῖκα μᾶλλον ἢ τὸν πατέρα καὶ τὴν μητέρα·

Α Εσδ. 4,25 - Γενικώτερον οι άνδρες αγαπούν πολύ περισσότερον την γυναίκα των από τον πατέρα και την μητέρα των.

Α Εσδ. 4,26 - καὶ πολλοὶ ἀπενοήθησαν· ταῖς ἰδίαις διανοίαις διὰ τὰς γυναῖκας καὶ δοῦλοι ἐγένοντο δι᾿ αὐτάς,

Α Εσδ. 4,26 - Πολλοί άνδρες ετρελλάθηκαν και έχασαν τα λογικά των εξ αιτίας των γυναικών και έγιναν προς χάριν εκείνων δούλοι.

Α Εσδ. 4,27 - καὶ πολλοὶ ἀπώλοντο καὶ ἐσφάλησαν καὶ ἡμάρτοσαν διὰ τὰς γυναῖκας.

Α Εσδ. 4,27 - Πολλοί δε είναι εκείνοι, οι οποίοι κατεστράφησαν και περιέπεσαν εις σφάλματα και παρέβησαν το θέλημα του Θεού εξ αιτίας των γυναικών.

Α Εσδ. 4,28 - καὶ νῦν οὐ πιστεύετέ μοι; οὐχὶ μέγας ὁ βασιλεὺς τῇ ἐξουσίᾳ αὐτοῦ; οὐχὶ πᾶσαι αἱ χῶραι εὐλαβοῦνται ἅψασθαι αὐτοῦ;

Α Εσδ. 4,28 - Ακόμη εξακολουθείτε να μη πιστεύετε αυτά, που σας είπα; Ιδού ένα παράδειγμα. Δεν είναι μέγας ο βασιλεύς με την απεριόριστον εξουσίαν, που έχει; Οι κάτοικοι όλων των χωρών δεν φοβούνται και να εγγίσουν απλώς αυτόν;

Α Εσδ. 4,29 - ἐθεώρουν αὐτὸν καὶ Ἀπάμην τὴν θυγατέρα Βαρτάκου τοῦ θαυμαστοῦ, τὴν παλλακὴν τοῦ βασιλέως, καθημένην ἐν δεξιᾷ τοῦ βασιλέως

Α Εσδ. 4,29 - Και όμως έβλεπα τον βασιλέα αυτόν και την Απάμην, την θυγατέρα του αξιοθαυμάστου Βαρτάκου, η οποία είναι δευτέρας σειράς σύζυγος του βασιλέως, την έβλεπα να κάθεται δεξιά από τον βασιλέα,

Α Εσδ. 4,30 - καὶ ἀφαιροῦσαν τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως καὶ ἐπιτιθοῦσαν ἑαυτῇ καὶ ἐῤῥάπιζε τὸν βασιλέα τῇ ἀριστερᾷ·

Α Εσδ. 4,30 - να αφαιρή το βασιλικόν διάδημα από την κεφαλήν του βασιλέως και να το θέτη στο ιδικόν της κεφάλι και να ραπίζη τον βασιλέα με το αριστερό της χέρι.

Α Εσδ. 4,31 - καὶ πρὸς τούτοις ὁ βασιλεὺς χάσκων τὸ στόμα ἐθεώρει αὐτήν. καὶ ἐὰν προσγελάσῃ αὐτῷ, γελᾷ· ἐὰν δὲ πικρανθῇ ἐπ᾽ αὐτόν, κολακεύει αὐτήν, ὅπως διαλλαγῇ αὐτῷ.

Α Εσδ. 4,31 - Παρ όλα αυτά ο βασιλεύς την έβλεπε με ανοικτόν το στόμα. Εάν εκείνη εγελούσε, εγελούσε και ο βασιλεύς. Εάν εκείνη εφαίνετο πικραμμένη και στενοχωρημένη εναντίον του, ο βασιλεύς την εκολάκευε, δια να συμφιλιωθή προς αυτόν.

Α Εσδ. 4,32 - ὦ ἄνδρες, πῶς οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες, ὅτι οὕτως πράσσουσι;

Α Εσδ. 4,32 - Ω άνδρες, πως λοιπόν δεν είναι αι γυναίκες ισχυρότεραι από τους άνδρας, αφού αυταί τέτοια έργα κάνουν εις βάρος των ανδρών;”

Α Εσδ. 4,33 - καὶ τότε ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες ἔβλεπον εἷς τὸν ἕτερον. καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας.

Α Εσδ. 4,33 - Ο βασιλεύς και οι επίσημοι άνδρες του, όταν ήκουσαν όλα αυτά, παρατηρούσαν ο ένας τον άλλον με πολλήν έκπληξιν. Ο Ζοροβάβελ ήρχισε τότε, να αναπτύσση την γνώμην του περί της δυνάμεως, την οποίαν έχει η αλήθεια και είπε·

Α Εσδ. 4,34 - ἄνδρες, οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες; μεγάλη ἡ γῆ καὶ ὑψηλὸς ὁ οὐρανὸς καὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ.

Α Εσδ. 4,34 - “Ω άνδρες, ισχυραί δεν είναι αι γυναίκες; Βεβαίως· αλλά μεγάλη είναι η γη και υψηλός ο ουρανός και ταχύς ο ήλιος εις την διαδρομήν

του, διότι στρέφεται στον κύκλον του ουρανού και πάλιν επανέρχεται στον τόπον, από τον οποίον εξεκίνησε κατά το διάστημα μιας μόνον ημέρας.

Α Εσδ. 4,35 - οὐχὶ μέγας ὃς ταῦτα ποιεῖ; καὶ ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ πάντα.

Α Εσδ. 4,35 - Αλλά δεν είναι ασυγκρίτως πολύ μέγας αυτός, ο οποίος τα εδημιούργησεν; Η Αλήθεια, λοιπόν, είναι μεγάλη και πολύ ισχυροτέρα από όλα αυτά.

Α Εσδ. 4,36 - πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ πάντα τὰ ἔργα σείεται καὶ τρέμει, καὶ οὐκ ἔστι μετ᾿ αὐτῆς ἄδικον οὐδέν.

Α Εσδ. 4,36 - Ολόκληρος η γη την αλήθειαν προσκαλεί. Ο ουρανός αυτήν επαινεί και όλα τα δημιουργήματα συγκλονίζονται και τρέμουν ενώπιόν της· και δεν υπάρχει μαζή με την αλήθειαν, τίποτε απολύτως το άδικον.

Α Εσδ. 4,37 - ἄδικος ὁ οἶνος, ἄδικος ὁ βασιλεύς, ἄδικοι αἱ γυναῖκες, ἄδικοι πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων, καὶ ἄδικα πάντα τὰ ἔργα αὐτῶν τὰ τοιαῦτα· καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια, καὶ ἐν τῇ ἀδικίᾳ αὐτῶν ἀπολοῦνται.

Α Εσδ. 4,37 - Αδικος όμως είναι ο οίνος, άδικος είναι ο βασιλεύς, άδικοι είναι αι γυναίκες, άδικοι είναι όλοι οι υιοί των ανθρώπων, και άδικα όλα τα τοιαύτα έργα των. Και δεν υπάρχει εις αυτούς αλήθεια· Και εις τας αδικίας των αυτοί καταστρέφονται.

Α Εσδ. 4,38 - ἡ δὲ ἀλήθεια μένει καὶ ἰσχύει εἰς τὸν αἰῶνα καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Α Εσδ. 4,38 - Η αλήθεια όμως, (δηλαδή ο Θεός) μένει παντοτεινή. Εχει δύναμιν και κύρος αιώνιον. Ζη και κυριαρχεί στους αιώνας των αιώνων.

Α Εσδ. 4,39 - καὶ οὐκ ἔστι παρ᾿ αὐτὴν λαμβάνειν πρόσωπα, οὐδὲ διάφορα, ἀλλὰ τὰ δίκαια ποιεῖ ἀπὸ πάντων τῶν ἀδίκων καὶ πονηρῶν· καὶ πάντες εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς, καὶ οὐκ ἔστιν ἐν τῇ κρίσει αὐτῆς οὐδὲν ἄδικον.

Α Εσδ. 4,39 - Αυτή δεν λαμβάνει υπ' όψιν της πρόσωπα, ούτε κάνει διάκρισιν μεταξύ επισήμων και ανεπισήμων, ισχυρών και αδυνάτων. Αλλά πράττει πάντοτε το δίκαιον ενώπιον όλων, και ακόμη των αδίκων και πονηρών ανθρώπων. Ολοι δε επιδοκιμάζουν και ευχαριστούνται εις τα έργα της. Οταν αυτή κρίνη, δεν υπάρχει τίποτε το άδικον.

Α Εσδ. 4,40 - καὶ αὐτῇ ἡ ἰσχὺς καὶ τὸ βασίλειον καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλειότης τῶν πάντων αἰώνων. εὐλογητὸς ὁ Θεὸς τῆς ἀληθείας.

Α Εσδ. 4,40 - Εις αυτήν λοιπόν υπάρχει και ανήκει η ισχύς και η κυριότης και η εξουσία και η μεγαλειότης εις όλους τους αιώνας. Δοξασμένος ας είναι ο Θεός της αληθείας” !

Α Εσδ. 4,41 - καὶ ἐσιώπησε τοῦ λαλεῖν· καὶ πᾶς ὁ λαὸς τότε ἐφώνησε, καὶ τότε εἶπον· μεγάλη ἡ ἀλήθεια καὶ ὑπερισχύει.

Α Εσδ. 4,41 - Ο Ζοροβάβελ, αφού είπεν αυτά, έπαυσε πλέον να ομιλή. Ολοι τότε, όσοι ήσαν συγκεντρωμένοι, ανεφώνησαν και είπαν με ένα στόμα· “μεγάλη πράγματι είναι η αλήθεια και αυτή έχει ισχύν και δύναμιν ανωτέραν από όλους και από όλα”.

Α Εσδ. 4,42 - Τότε ὁ βασιλεὺς εἶπεν αὐτῷ· αἴτησαι ὃ θέλεις πλείω τῶν γεγραμμένων, καὶ δώσομέν σοι ὃν τρόπον εὑρέθης σοφώτερος, καὶ ἐχόμενός μου καθήσῃ, καὶ συγγενής μου κληθήσῃ.

Α Εσδ. 4,42 - Τοτε είπεν ο βασιλεύς προς τον Ζοροβάβελ· “ζήτησέ μου ο,τι θέλεις και περισσότερα ακόμη από εκείνα, που είναι γραμμένα εις την συμφωνίαν σας. Εγώ θα σου δώσω κάθε τι, που θα μου ζητήσης, διότι συ ανεδείχθης σοφότερος από όλους. Θα παρακάθεσαι πλησίον μου και θα ονομασθής συγγενής μου”.

Α Εσδ. 4,43 - τότε εἶπε τῷ βασιλεῖ· μνήσθητι τὴν εὐχήν, ἣν ηὔξω, οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ, ᾗ τὸ βασίλειόν σου παρέλαβες,

Α Εσδ. 4,43 - Τοτε ο Ζοροβάβελ είπεν στον βασιλέα· “ενθυμησου το τάμα, που έκαμες την ημέραν, κατά την οποίαν ανέλαβες την βασιλείαν σου, να ανοικοδομήσης, δηλαδή, την Ιερουσαλήμ.

Α Εσδ. 4,44 - καὶ πάντα τὰ σκεύη τὰ ληφθέντα ἐξ Ἱερουσαλὴμ καὶ ἐκπέμψαι, ἃ ἐχώρισε Κῦρος, ὅτε ηὔξατο ἐκκόψαι Βαβυλῶνα, καὶ ηὔξατο ἐξαποστεῖλαι ἐκεῖ.

Α Εσδ. 4,44 - Ενθυμήσου επίσης την υπόσχεσίν σου, ότι θα επιστρέψης όλα τα ιερά σκεύη, τα οποία έχουν αφαιρεθή από την Ιερουσαλήμ και τα οποία ο Κύρος, όταν επρόκειτο να κατακυριεύση την Βαβυλώνα, έκαμε τάμα, τα εξεχώρισε και έταξε να τα αποστείλη πάλιν εκεί εις την Ιερουσαλήμ.

Α Εσδ. 4,45 - καὶ σὺ ηὔξω οἰκοδομῆσαι τὸν ναόν, ὃν ἐνεπύρισαν οἱ Ἰδουμαῖοι, ὅτε ἠρημώθη ἡ Ἰουδαία ὑπὸ τῶν Χαλδαίων.

Α Εσδ. 4,45 - Συ δε έταξες να ανοικοδομήσης τον ναόν, τον οποίον επυρπόλησαν οι Ιδουμαίοι, όταν είχεν ερημωθή και καταστροφή η Ιουδαία από τους Χαλδαίους.

Α Εσδ. 4,46 - καὶ νῦν τοῦτό ἐστιν, ὅ σε ἀξιῶ, κύριε βασιλεῦ, καὶ ὃ αἰτοῦμαί σε, καὶ αὕτη ἐστὶν ἡ μεγαλωσύνη ἡ παρὰ σοῦ· δέομαι οὖν ἵνα ποιήσῃς τὴν εὐχήν, ἣν ηὔξω τῷ βασιλεῖ τοῦ οὐρανοῦ ποιῆσαι ἐκ στόματός σου.

Α Εσδ. 4,46 - Τωρα, λοιπόν, αυτή είναι η αξίωσις, την οποίαν έχω από σέ, κύριε βασιλεύ· αυτό είναι εκείνο το οποίον ζητώ από σε και αυτή είναι η μεγαλειώδης πράξις, την οποίαν συ ημπορείς να κάμης. Σε παρακαλώ, λοιπόν, να εκπληρώσης το τάξιμο, το οποίον με το ιδιο σου το στόμα έκαμες στον βασιλέα των ουρανών, προς τον Θεόν”.

Α Εσδ. 4,47 - τότε ἀναστὰς Δαρεῖος ὁ βασιλεὺς κατεφίλησεν αὐτὸν καὶ ἔγραψεν αὐτῷ τὰς ἐπιστολὰς πρὸς πάντας τοὺς οἰκονόμους καὶ τοπάρχας καὶ στρατηγοὺς καὶ σατράπας, ἵνα προπέμψωσιν αὐτὸν καὶ τοὺς μετ᾿ αὐτοῦ πάντας ἀναβαίνοντας οἰκοδομῆσαι τὴν Ἱερουσαλήμ.

Α Εσδ. 4,47 - Τοτε ο βασιλεύς Δαρείος εσηκώθη και τον κατεφίλησεν. Εγραψε δε αμέσως και έδωκεν εις αυτόν επιστολάς απευθυνομένας προς όλους τους υπαλλήλους, τους διοικητάς, τους στρατηγούς και τους σατράπας, να κατευοδώσουν ασφαλώς αυτόν και όλους, όσοι θα ανέβαιναν μαζή με αυτόν, δια να ανοικοδομήσουν την Ιερουσαλήμ.

Α Εσδ. 4,48 - καὶ πᾶσι τοῖς τοπάρχαις ἐν κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ καὶ τοῖς ἐν τῷ Λιβάνῳ ἔγραψεν ἐπιστολὰς μεταφέρειν ξύλα κέδρινα ἀπὸ τοῦ Λιβάνου εἰς Ἱερουσαλὴμ καὶ ὅπως οἰκοδομήσωσι μετ᾿ αὐτοῦ τὴν πόλιν.

Α Εσδ. 4,48 - Εις όλους δε τους διοικητάς της κοίλης Συρίας, της Φοινίκης και του Λιβάνου, έγραψεν ο βασιλεύς επιστολάς να συνεργήσουν, ώστε να μεταφερθούν ξύλα κέδρινα από τον Λιβανον εις την Ιερουσαλήμ, δια να βοηθήσουν τον Ζοροβάβελ εις την ανοικοδόμησιν της πόλεως.

Α Εσδ. 4,49 - καὶ ἔγραψε πᾶσι τοῖς Ἰουδαίοις τοῖς ἀναβαίνουσιν ἀπὸ τῆς βασιλείας εἰς τὴν Ἰουδαίαν ὑπὲρ τῆς ἐλευθερίας, πάντα δυνατὸν καὶ τοπάρχην καὶ σατράπην καὶ οἰκονόμον μὴ ἀπελεύσεσθαι ἐπὶ τὰς θύρας αὐτῶν,

Α Εσδ. 4,49 - Εγραψεν επίσης επιστολάς δι' όλους τους Ιουδαίους, οι οποίοι θα ανέβαιναν από το βασίλειόν του εις την Ιουδαίαν, να αφεθούν ελεύθεροι εις τας ενεργείας των, κανείς δε άρχων και διοικητής και σατράπης και υπάλληλος να μη έχη το δικαίωμα να πατήση το πόδι του εις την οικίαν των.

Α Εσδ. 4,50 - καὶ πᾶσαν τὴν χώραν, ἣν κρατοῦσιν, ἀφορολόγητον αὐτοῖς ὑπάρχειν, καὶ ἵνα οἱ Ἰδουμαῖοι ἀφίωσι τὰς κώμας, ἃς διακρατοῦσι τῶν Ἰουδαίων,

Α Εσδ. 4,50 - Εδωσεν επίσης διαταγήν, ώστε η χώρα, την οποίαν θα έχουν οι Ιουδαίοι, να είναι αφορολόγητος. Οι δε Ιδουμαίοι να αφήσουν ελευθέρας τας κώμας των Ιουδαίων, τας οποίας αυτοί είχον καταλάβει και εκρατούσαν.

Α Εσδ. 4,51 - καὶ εἰς τὴν οἰκοδομὴν τοῦ ἱεροῦ δοθῆναι κατ᾿ ἐνιαυτὸν τάλαντα εἴκοσι μέχρι τοῦ οἰκοδομηθῆναι,

Α Εσδ. 4,51 - Διέταξεν επίσης, να δίδωνται κάθε έτος είκοσι τάλαντα δια την ανοικοδόμησίν του ναού, μέχρις ότου αποπερατωθή.

Α Εσδ. 4,52 - καὶ ἐπὶ τὸ θυσιαστήριον ὁλοκαυτώματα καρποῦσθαι καθ᾿ ἡμέραν, καθὰ ἔχουσιν ἐντολὴν ἑπτακαίδεκα προσφέρειν, ἄλλα τάλαντα, δέκα κατ᾿ ἐνιαυτόν,

Α Εσδ. 4,52 - Επίσης να δίδωνται άλλα δέκα τάλαντα κάθε έτος δια τα δεκαεπτά καθημερινά ολοκαυτώματα, τα οποία προσεφέροντο στο θυσιαστήριον, όπως διέτασσεν ο Νομος.

Α Εσδ. 4,53 - καὶ πᾶσι τοῖς προσβαίνουσιν ἀπὸ τῆς Βαβυλωνίας κτίσαι τὴν πόλιν, ὑπάρχειν τὴν ἐλευθερίαν, αὐτοῖς τε καὶ τοῖς ἐκγόνοις αὐτῶν, καὶ πᾶσι τοῖς ἱερεῦσι τοῖς προσβαίνουσιν.

Α Εσδ. 4,53 - Επίσης όλοι οι Ιουδαίοι, οι οποίοι θα επέστρεφον από την Βαβυλώνα, δια να ανοικοδομήσουν την Ιερουσαλήμ, να είναι ελεύθεροι αυτοί και οι απόγονοί των. Το ίδιον έπρεπε να πραγματοποιηθή δι' όλους τους ιερείς, οι οποίοι θα ανεχώρουν από την Βαβυλώνα.

Α Εσδ. 4,54 - ἔγραψε δὲ καὶ τὴν χορηγίαν καὶ τὴν ἱερατικὴν στολήν, ἐν τίνι λατρεύουσιν ἐν αὐτῇ.

Α Εσδ. 4,54 - Εδωσε δε και έγγραφον εντολήν να παρέχωνται τα απαιτούμενα χρήματα δια την διατροφήν των ιερέων και δια τα ιερατικά των ενδύματα, με τα οποία αυτοί εκτελούσαν τα της λατρείας.

Α Εσδ. 4,55 - καὶ τοῖς Λευίταις ἔγραψε δοῦναι τὴν χορηγίαν ἕως τῆς ἡμέρας, ἧς ἐπιτελεσθῇ ὁ οἶκος καὶ Ἱερουσαλὴμ οἰκοδομηθῆναι,

Α Εσδ. 4,55 - Εδωσεν επίσης έγγραφον διαταγήν να χορηγήται η δαπάνη, η απαιτουμένη δια την διατροφήν των Λευϊτών, μέχρι της ημέρας, κατά την οποίαν θα αττοπερατωθή ο ναός και θα ανοικοδομηθή η Ιερουσαλήμ.

Α Εσδ. 4,56 - καὶ πᾶσι τοῖς φρουροῦσι τὴν πόλιν ἔγραψε δοῦναι αὐτοῖς κλήρους καὶ ὀψώνια.

Α Εσδ. 4,56 - Διέταξεν επίσης να δοθή κλήρος γης και μισθός εις χρήματα προς όλους τους φρουρούς της πόλεως της Ιερουσαλήμ.

Α Εσδ. 4,57 - καὶ ἐξαπέστειλε πάντα τὰ σκεύη, ἃ ἐχώρισε Κῦρος ἀπὸ Βαβυλῶνος· καὶ πάντα, ὅσα εἶπε Κῦρος ποιῆσαι, καὶ αὐτὸς ἐπέταξε ποιῆσαι καὶ ἐξαποστεῖλαι εἰς Ἱερουσαλήμ.

Α Εσδ. 4,57 - Επί δε τούτοις απέστειλεν όλα τα ιερά σκεύη, τα οποία είχε ξεχωρίσει ο Κύρος από τη Βαβυλώνα δια την Ιερουσαλήμ, όλα, όσα είχεν υποσχεθή να κάμη ο Κύρος, διέταξε να γίνουν και να αποσταλούν εις την Ιερουσαλήμ.

Α Εσδ. 4,58 - Καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ἱερουσαλὴμ εὐλόγησε τῷ βασιλεῖ τοῦ οὐρανοῦ λέγων·

Α Εσδ. 4,58 - Οταν ο νεαρός Ζοροβάβελ εβγήκεν από τα ανάκτορα, ύψωσε το πρόσωπόν του στον ουρανόν και με κατεύθυνσιν προς την Ιερουσαλήμ εδόξασε τον Βασιλέα του Ουρανού λέγων·

Α Εσδ. 4,59 - παρὰ σοῦ νίκη, καὶ παρὰ σοῦ ἡ σοφία, καὶ σὴ ἡ δόξα καὶ ἐγὼ σὸς οἰκέτης.

Α Εσδ. 4,59 - “Από σέ, Κυριε, προέρχεται κάθε νίκη. Από σε πηγάζει κάθε σοφία και εις σε ανήκει όλη η δόξα. Εγώ δε είμαι δούλος ιδικός σου.

Α Εσδ. 4,60 - εὐλογητὸς εἶ, ὃς ἔδωκάς μοι σοφίαν, καὶ σοὶ ὁμολογῶ, δέσποτα τῶν πατέρων.

Α Εσδ. 4,60 - Δοξασμένος λοιπόν είσαι συ, Κυριε, ο οποίος έδωσες εις εμέ αυτήν την σοφίαν. Δοξολογώ, Δέσποτα, σέ, Κυριε των πατέρων ημών".

Α Εσδ. 4,61 - καὶ ἔλαβε τὰς ἐπιστολὰς καὶ ἐξῆλθε καὶ ἦλθεν εἰς Βαβυλῶνα καὶ ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ πᾶσι.

Α Εσδ. 4,61 - Τοτε επήρεν ο Ζοροβάβελ τας επιστολάς, ανεχώρησεν αμέσως και μετέβη εις την Βαβυλώνα και ανήγγειλεν εις όλους τους εκεί αδελφούς του Ιουδαίους τα γεγονότα αυτά.

Α Εσδ. 4,62 - καὶ εὐλόγησαν τὸν Θεὸν τῶν πατέρων αὐτῶν, ὅτι ἔδωκεν αὐτοῖς ἄνεσιν καὶ ἄφεσιν

Α Εσδ. 4,62 - Εκείνοι εδοξολόγησαν και ηυχαρίστησαν τον Θεόν των πατέρων των, διότι έδωκεν εις αυτούς άνεσιν και ελευθερίαν

Α Εσδ. 4,63 - ἀναβῆναι καὶ οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὸ ἱερόν, οὗ ὠνομάσθη τὸ ὄνομα αὐτοῦ ἐπ᾿ αὐτῷ. καὶ ἐκωθωνίζοντο μετὰ μουσικῶν καὶ χαρᾶς ἡμέρας ἑπτά.

Α Εσδ. 4,63 - να επανέλθουν εις την πατρίδα των, δια να ανοικοδομήσουν την Ιερουσαλήμ και τον ναόν, ο οποίος είχεν απ' αρχής ανοικοδομηθή εις τιμήν και δόξαν του Ονόματός του. Γεμάτοι δε χαράν επανηγύριζαν το χαρμόσυνον γεγονός πίνοντες οίνον και διασκεδάζοντες με μουσικά όργανα επί μίαν εβδομάδα.

Α ΕΣΔΡΑΣ 5

Α Εσδ. 5,1 - Μετὰ δὲ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴκου πατριῶν κατὰ φυλὰς αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες καὶ οἱ παῖδες αὐτῶν καὶ αἱ παιδίσκαι καὶ τὰ κτήνη αὐτῶν.

Α Εσδ. 5,1 - Επειτα από τα γεγονότα αυτά όσοι απεφάσισαν να επανέλθουν εις την Ιουδαίαν, ετακτοποιήθησαν κατά φυλάς και κατά πατριάς με τους αρχηγούς αυτών. Μαζή δέ με αυτούς ηκολούθησαν αι γυναίκες των, οι υιοί των, αι θυγατέρες, οι δούλοι και αι δούλαι των, όπως επίσης και τα κτήνη των.

Α Εσδ. 5,2 - καὶ Δαρεῖος συναπέστειλε μετ᾿ αὐτῶν ἱππεῖς χιλίους ἕως τοῦ ἀποκαταστῆσαι αὐτούς εἰς Ἱερουσαλὴμ μετ᾿ εἰρήνης καὶ μετὰ μουσικῶν τυμπάνων καὶ αὐλῶν·

Α Εσδ. 5,2 - Ο δε Δαρείος έστειλε μαζή με αυτούς ως συνοδούς χιλίους ιππείς, δια να επαναφέρουν και αποκαταστήσουν αυτούς ασφαλείς εις την Ιερουσαλήμ, με μουσικά, τύμπανα και αυλούς.

Α Εσδ. 5,3 - καὶ πάντες οἱ ἀδελφοὶ αὐτῶν παίζοντες, καὶ ἐποίησεν αὐτοῖς συναναβῆναι μετ᾽ ἐκείνων.

Α Εσδ. 5,3 - Ολοι δε οι Ισραηλίται μετά χαράς μεγάλης επήραν τον δρόμον της επιστροφής εις Ιερουσαλήμ παίζοντες μουσικά όργανα. Ο δε Δαρείος απέστειλε μαζή με αυτούς ως συνοδούς τους ιππείς.

Α Εσδ. 5,4 - Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀναβαινόντων κατὰ πατριὰς αὐτῶν εἰς τὰς φυλὰς ἐπὶ τὴν μεριδαρχίαν αὐτῶν.

Α Εσδ. 5,4 - Αυτά δε είναι τα ονόματα των ανδρών, οι οποίοι επέστρεψαν έκαστος στο μερίδιον της κληρονομίας των κατά οικογενείας και κατά φυλάς.

Α Εσδ. 5,5 - οἱ ἱερεῖς υἱοὶ Φινεὲς υἱοῦ Ἀαρών· Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ τοῦ Σαραίου καὶ Ἰωακὶμ ὁ τοῦ Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ τοῦ οἴκου τοῦ Δαυίδ, ἐκ τῆς γενεᾶς Φαρές, φυλῆς δὲ Ἰούδα,

Α Εσδ. 5,5 - Οι ιερείς, οι απόγονοι δηλαδή του Φινεές υιού του Ααρών, ήσαν· Ο Ιησούς ο υιός του Ιωσιδέκ, υιού του Σαραίου και ο Ιωακείμ ο υιός του Ζοροβάβελ υιού του Σαλαθιήλ, ο οποίος κατήγετο από τον οίκον Δαυίδ, από την γενεάν του Φαρές και την φυλήν του Ιούδα.

Α Εσδ. 5,6 - ὃς ἐλάλησεν ἐπὶ Δαρείου τοῦ βασιλέως Περσῶν λόγους σοφοὺς ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ μηνὶ Νισὰν τοῦ πρώτου μηνός.

Α Εσδ. 5,6 - Ο Ζοροβάβελ είναι αυτός, που ωμίλησε και είπε τόσον σοφούς λόγους προς τον βασιλέα των Περσών, τον Δαρείον, κατά τον πρώτον μήνα, τυν Νισάν, του δευτέρου έτους της βασιλείας του Δαρείου.

Α Εσδ. 5,7 - εἰσὶ δὲ οὗτοι οἱ ἐκ τῆς Ἰουδαίας ἀναβάντες ἐκ τῆς αἰχμαλωσίας τῆς παροικίας, οὓς μετῴκισε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα

Α Εσδ. 5,7 - Αυτοί δε είναι οι Ιουδαίοι, που επέστρεψαν από τον τόπον της αιχμαλωσίας των και τους οποίους ο Ναβουχοδονόσορ, ο βασιλεύς της Βαβυλώνος, είχε προηγουμένως μεταφέρει και εγκαταστήσει εις την Βαβυλώνα.

Α Εσδ. 5,8 - καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλὴμ καὶ τὴν λοιπὴν Ἰουδαίαν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν, οἱ ἐλθόντες μετὰ Ζοροβάβελ καὶ Ἰησοῦ, Νεεμίου, Ζαραίου, Ῥησαίου, Ἐνηνέος, Μαρδοχαίου, Βεελσάρου, Ἀσφαράσου, Ῥεελίου, Ῥοΐμου, Βαανά, τῶν προηγουμένων αὐτῶν.

Α Εσδ. 5,8 - Επέστρεψαν εις την Ιερουσαλήμ και εις την άλλην Ιουδαίαν ο καθένας εις την πόλιν του μαζή με τον Ζοροβάβελ, τον Ιησούν, τον Νεεμίαν, τον Ζαραίον, τυν Ρησαίον, τον Ενηνέον, τον Μαρδοχαίον, τον Βεελσάρον, τον Ασφαράσον, τυν Ρεελίαν, τον Ροΐμον, τον Βαανά, οι οποίοι και ήσαν αρχηγοί των.

Α Εσδ. 5,9 - ἀριθμὸς τῶν ἀπὸ τοῦ ἔθνους καὶ οἱ προηγούμενοι αὐτῶν· υἱοὶ Φόρος δύο χιλιάδες καὶ ἑκατὸν ἑβδομηκονταδύο. υἱοὶ Σαφὰτ

τετρακόσιοι ἑβδομηκονταδύο.

Α Εσδ. 5,9 - Ο αριθμός αυτών των ανδρών του Ιουδαϊκού έθνους και των αρχηγών του ήτο ο εξής· Οι της γενεάς του Φορος ήσαν δύο χιλιάδες εκατόν εβδομήκοντα δύο. Οι της γενεάς του Σαφάτ ήσαν τετρακόσιοι εβδομήκοντα δυο.

Α Εσδ. 5,10 - υἱοὶ Ἀρὲς ἑπτακόσιοι πεντηκονταέξ.

Α Εσδ. 5,10 - Οι της γενεάς του Αρές ήσαν επτακόσιοι, πενήντα εξ.

Α Εσδ. 5,11 - υἱοὶ Φαὰθ Μωὰβ εἰς τοὺς υἱοὺς Ἰησοῦ καὶ Ἰωὰβ δισχίλιοι ὀκτακόσιοι δεκαδύο.

Α Εσδ. 5,11 - Οι της γενεάς του Φαάθ Μωάβ, δηλαδή οι απόγονοι του Ιησού και του Ιωάβ, ήσαν δύο χιλιάδες οκτακόσιοι δώδεκα.

Α Εσδ. 5,12 - υἱοὶ Ἠλὰμ χίλιοι διακόσιοι πεντηκοντατέσσαρες. υἱοὶ Ζαθουΐ ἐνακόσιοι ἑβδομηκονταπέντε. υἱοὶ Χορβὲ ἑπτακόσιοι πέντε. υἱοὶ Βανὶ ἑξακόσιοι τεσσαρακονταοκτώ.

Α Εσδ. 5,12 - Οι της γενεάς του Ηλάμ ήσαν χίλιοι διακόσιοι πενήντα τέσσαρες. Οι της γενεάς του Ζαθουΐ ήσαν ενεακόσιοι εβδομήντα πέντε. Οι της γενεάς του Χορβέ ήσαν επτακόσιοι πέντε. Οι της γενεάς του Βανί ήσαν εξακόσιοι τεσσαράκοντα οκτώ.

Α Εσδ. 5,13 - υἱοὶ Βηβαὶ ἑξακόσιοι τριακοντατρεῖς. υἱοὶ Ἀργαὶ χίλιοι τριακόσιοι εἰκοσιδύο.

Α Εσδ. 5,13 - Οι της γενεάς του Βηβαί ήσαν εξακόσιοι τριάκοντα τρεις. Οι της γενεάς του Αργαί ήσαν χίλιοι τριακόσιοι είκοσι δύο.

Α Εσδ. 5,14 - υἱοὶ Ἀδωνικὰν ἑξακόσιοι τριακονταεπτά. υἱοὶ Βαγοΐ δισχίλιοι ἑξακόσιοι ἕξ. υἱοὶ Ἀδινοὺ τετρακόσιοι πεντηκοντατέσσαρες.

Α Εσδ. 5,14 - Οι της γενεάς του Αδωνικάν ήσαν εξακόσιοι τριάκοντα επτά. Οι της γενεάς του Βαγοΐ ήσαν δύο χιλιάδες εξακόσιοι εξ. Οι της γενεάς του Αδινού τετρακόσιοι πενήντα τέσσαρες.

Α Εσδ. 5,15 - υἱοὶ Ἀτὴρ Ἐζεκίου ἐνενηκονταδύο. υἱοὶ Κιλὰν καὶ Ἀζηνὰν ἑξηκονταεπτά. υἱοὶ Ἀζαροὺ τετρακόσιοι τριακονταδύο.

Α Εσδ. 5,15 - Οι της γενεάς του Ατήρ του Εζεκίου ήσαν ενενήντα δυο. Οι της γενεάς του Κιλάν και Αζηνάν ήσαν εξήκοντα επτά. Οι της γενεάς του Αζαρού ήσαν τετρακόσιοι τριάκοντα δύο.

Α Εσδ. 5,16 - υἱοὶ Ἀννὶς ἑκατὸν εἷς. υἱοὶ Ἀρὸμ τριακονταδύο. υἱοὶ Βασαὶ τριακόσιοι εἰκοσιτρεῖς. υἱοὶ Ἀρσιφουρὶθ ἑκατὸν δύο.

Α Εσδ. 5,16 - Οι της γενεάς του Αννίς ήσαν εκατόν ένας. Οι άνθρωποι της γενεάς του Αρόμ ήσαν τριάντα δύο. Οι της γενεάς του Βασαί ήσαν τριακόσιοι είκοσι τρεις. Οι της γενεάς του Αρσιφουρίθ ήσαν εκατόν δύο.

Α Εσδ. 5,17 - υἱοὶ Βαιτηροὺς τρισχίλιοι πέντε. υἱοὶ ἐκ Βαιθλωμῶν ἑκατὸν εἰκοσιτρεῖς.

Α Εσδ. 5,17 - Οι άνδρες από την πόλιν Βαιτηρούς ήσαν τρεις χιλιάδες πέντε. Οι από την πόλιν Βαιθλωμών ήσαν εκατόν είκοσι τρεις.

Α Εσδ. 5,18 - οἱ ἐκ Νετωφὰς πεντηκονταπέντε. οἱ ἐξ Ἀναθὼθ ἑκατὸν πεντηκονταοκτώ. οἱ ἐκ Βαιθασμὼν τεσσαρακονταδύο.

Α Εσδ. 5,18 - Οι από την περιοχήν Νετωφάς ήσαν πενήντα πέντε· από την πόλιν Αναθώθ ήσαν εκατόν πενήντα οκτώ. Οι άνδρες από την Βαιθασμών ήσαν σαράντα δυο.

Α Εσδ. 5,19 - οἱ ἐκ Καριαθιρὶ εἰκοσιπέντε. οἱ ἐκ Καφείρας καὶ Βηρὼγ ἑπτακόσιοι τεσσαρακοντατρεῖς.

Α Εσδ. 5,19 - Οι άνδρες από την Καριαθιρί ήσαν είκοσι πέντε. Οι από την Καφείραν και την Βηρώγ ήσαν επτακόσιοι σαράντα τρεις.

Α Εσδ. 5,20 - οἱ Χαδιασαὶ καὶ Ἀμμίδιοι τετρακόσιοι εἰκοσιδύο. οἱ ἐκ Κιραμᾶς καὶ Γαββῆς ἑξακόσιοι εἴκοσιν εἷς.

Α Εσδ. 5,20 - Οι Χαδιασαί και Αμμίδιοι ήσαν τετρακόσιοι είκοσι δύο. Οι άνδρες εκ της Κιραμάς και της Γαββής ήσαν εξακόσιοι είκοσι ένας.

Α Εσδ. 5,21 - οἱ ἐκ Μακαλὼν ἑκατὸν εἰκοσιδύο. οἱ ἐκ Βετολίω πεντηκονταδύο. υἱοὶ Νιφὶς ἑκατὸν πεντηκονταέξ.

Α Εσδ. 5,21 - Οι άνδρες από την Μακαλών ήσαν εκατόν είκοσι δύο. Οι άνδρες εκ Βετολίω ήσαν πενήντα δύο. Οι άνδρες οι εκ του Νιφίς ήσαν εκατόν πενήντα εξ.

Α Εσδ. 5,22 - υἱοὶ Καλαμωλάλου καὶ Ὠνοὺς ἑπτακόσιοι εἰκοσιπέντε. υἱοὶ Ἱερεχοὺ διακόσιοι τεσαρακονταπέντε.

Α Εσδ. 5,22 - Οι άνδρες εκ Καλαμωλάλου και Ωνούς ήσαν επτακόσιοι είκοσι πέντε. Οι άνδρες Ιερεχού ήσαν διακόσιοι τεσσαράκοντα πέντε

Α Εσδ. 5,23 - υἱοὶ Σανάας τρισχίλιοι τριακόσιοι εἷς.

Α Εσδ. 5,23 - Οι άνδρες οι από την Σαναά ήσαν τρεις χιλιάδες τριακόσιοι ένας.

Α Εσδ. 5,24 - οἱ ἱερεῖς οἱ υἱοὶ Ἰεδδοὺ τοῦ Ἰησοῦ εἰς τοὺς υἱοὺς Σανασὶβ ὀκτακόσιοι ἑβδομήκονταδύο. υἱοὶ Ἐμμηροὺθ διακόσιοι πεντηκονταδύο.

Α Εσδ. 5,24 - Οι ιερείς οι εκ της γενεάς του Ιεδδού υιού του Ιησού δηλ. της φυλής του Σανασίβ ήσαν οκτακόσιοι εβδομήκοντα δύο. Εκ της γενεάς του Εμμηρούθ διακόσιοι πενήντα δύο.

Α Εσδ. 5,25 - υἱοὶ Φασσούρου χίλιοι τεσσαρακονταεπτά. υἱοὶ Χαρμὶ διακόσιοι δεκαεπτά.

Α Εσδ. 5,25 - Εκ της γενεάς του Φασσούρου χίλιοι σαράντα επτά. Εκ της γενεάς του Χαρμί διακόσιοι δέκα επτά.

Α Εσδ. 5,26 - οἱ Λευῖται οἱ υἱοὶ Ἰησοῦ καὶ Καδμιήλου καὶ Βάννου καὶ Σουδίου ἑβδομηκοντατέσσαρες.

Α Εσδ. 5,26 - Οι Λευίται ήσαν η γενεά του Ιησού δηλαδή του Καδοήλου, Βαννου και Σουδίου εβδομήντα τέσσαρες.

Α Εσδ. 5,27 - οἱ ἱεροψάλται υἱοὶ Ἀσὰφ ἑκατὸν εἰκοσιοκτώ.

Α Εσδ. 5,27 - Ιεροψάλται, οι απόγονοι του Ασάφ, ήσαν εκατόν είκοσι οκτώ.

Α Εσδ. 5,28 - οἱ θυρωροὶ υἱοὶ Σαλούμ, υἱοὶ Ἀτάρ, υἱοὶ Τολμάν, υἱοὶ Δακούβ, υἱοὶ Ἀτητά, υἱοὶ Τωβίς, πάντες ἑκατὸν τριακονταεννέα.

Α Εσδ. 5,28 - Οι θυρωροί ήσαν· η γενεά του Σαλούμ, η γενεά του Ατάρ, η γενεά του Τολμάν, η γενεά του Δακούβ, η γενεά του Ατητά, η γενεά του Τωβίς, όλοι ούτοι ήσαν εκατόν τριάντα εννέα.

Α Εσδ. 5,29 - οἱ ἱερόδουλοι, υἱοὶ Ἡσαῦ, υἱοὶ Ἀσιφά, υἱοὶ Ταβαώθ, υἱοὶ Κηράς, υἱοὶ Σουδά, υἱοὶ Φαλαίου, υἱοὶ Λαβανά, υἱοὶ Ἀγραβά,

Α Εσδ. 5,29 - Οι υπηρέται του ναού ήσαν· η γενεά του Ησαύ, γενεά του Ασιφά, η γενεά του Ταβαώθ, η γενεά του Κηράς, η γενεά του Σουδά, η γενεά του Φαλαίου, η γενεά Λαβανά, η γενεά Αγραβά.

Α Εσδ. 5,30 - υἱοὶ Ἀκούδ, υἱοὶ Οὐτά, υἱοὶ Κητάβ, υἱοὶ Ἀκκαβά, υἱοὶ Συβαΐ, υἱοὶ Ἀνάν, υἱοὶ Καθουά, υἱοὶ Γεδδούρ,

Α Εσδ. 5,30 - Η γενεά του Ακούδ, η γενεά του Ουτά, η γενεά του Κητάβ, η γενεά του 'Ακκαβα, η γενεά του Συβαΐ, η γενεά του Ανάν, η γενεά του Καθουά, η γενεά του Γεδδούρ,

Α Εσδ. 5,31 - υἱοὶ Ἰαΐρου, υἱοὶ Δαισάν, υἱοὶ Νοεβά, υἱοὶ Χασεβά, υἱοὶ Καζηρά, υἱοὶ Ὀζίου, υἱοὶ Φινοέ, υἱοὶ Ἀσαρά, υἱοὶ Βασθαΐ, υἱοὶ Ἀσσανά, υἱοὶ Μανί, υἱοὶ Ναφισί, υἱοὶ Ἀκούφ, υἱοὶ Ἀχιβά, υἱοὶ Ἀσούβ, υἱοὶ Φαρακέμ, υἱοὶ Βασαλέμ,

Α Εσδ. 5,31 - η γενεά του Ιαΐρου, η γενεά του Δαισάν, η γενεά του Νοεβά, η γενεά του Χασεβά, η γενεά του Καζηρά, η γενεά του Οζίου, η γενεά του Φινοέ, η γενεά του Ασαρά, η γενεά του Βασθαΐ, η γενεά του Ασσανά, η γενεά του Μανί, η γενεά του Ναφισί, η γενεά του Ακούφ, η γενεά του Αχιβά, η γενεά του 'Ασουβ, η γενεά του Φαρακέμ, η γενεά του Βασαλέμ,

Α Εσδ. 5,32 - υἱοὶ Μεεδδά, υἱοὶ Κουθά, υἱοὶ Χαρέα, υἱοὶ Βαρχουέ, υἱοὶ Σεράρ, υἱοὶ Θομοΐ, υἱοὶ Νασί, υἱοὶ Ἀτεφά.

Α Εσδ. 5,32 - η γενεά του Μεεδδά, η γενεά του Κουθά, η γενεά του Χαρέα, η γενεά του Βαρχουέ, η γενεά του Σεράρ, η γενεά του Θομοΐ, η γενεά του Νασί και η γενεά του Ατεφά.

Α Εσδ. 5,33 - υἱοὶ παίδων Σαλωμών, υἱοὶ Ἀσσαπφιώθ, υἱοὶ Φαριρά, υἱοὶ Ἰειηλί, υἱοὶ Λοζών, υἱοὶ Ἰσραήλ, υἱοὶ Σαφυΐ,

Α Εσδ. 5,33 - Οι απόγονοι των δούλων του Σολομώντος ήσαν η γενεά του Ασσαπφιώθ, η γενεά του Φαριρά, η γενεά του Ιειηλί, η γενεά του Λοζών, η γενεά του Ισραήλ, η γενεά του Σαφυί,

Α Εσδ. 5,34 - υἱοὶ Ἀγιά, υἱοὶ Φαχαρέθ, υἱοὶ Σαβιή, υἱοὶ Σαρωθί, υἱοὶ Μισαίας, υἱοὶ Τάς, υἱοὶ Ἀδδούς, υἱοὶ Σουβά, υἱοὶ Ἀφεῤῥά, υἱοὶ Βαρωδίς, υἱοὶ Σαφάγ, υἱοὶ Ἀλλών.

Α Εσδ. 5,34 - η γενεά του Αγιά, η γενεά του Φαχαρέθ, η γενεά του Σαβιή, η γενεά του Σαρωθί, η γενεά του Μισσαίας, η γενεά του Τας, η γενεά του Αδδούς, η γενεά του Σουβά, η γενεά του Αφερρά, η γενεά του Βαρωδίς, η γενεά του Σαφάγ, η γενεά του Αλλών.

Α Εσδ. 5,35 - πάντες οἱ ἱερόδουλοι καὶ οἱ υἱοὶ τῶν παίδων Σαλωμὼν τριακόσιοι ἑβδομηκονταδύο.

Α Εσδ. 5,35 - Ολοι οι υπηρέται του ναού και οι απόγονοι των δούλων του Σολομώντος ήσαν τριακόσιοι εβδομήκοντα δύο.

Α Εσδ. 5,36 - οὗτοι ἀναβάντες ἀπὸ Θερμελὲθ καὶ Θελερσάς, ἡγούμενος αὐτῶν Χαρααθαλὰν καὶ Ἀαλάρ.

Α Εσδ. 5,36 - Αυτοί ήσαν οι Ιουδαίοι, οι οποίοι επέστρεψαν εις την πατρίδα των από Θερμελέθ και Θελερσάς και των οποίων αρχηγοί ήσαν ο Χαρααθαλάν και ο Αaλάρ.

Α Εσδ. 5,37 - καὶ οὐκ ἠδύναντο ἀπαγγεῖλαι τὰς πατριὰς αὐτῶν καὶ γενεάς, ὡς ἐκ τοῦ Ἰσραήλ εἰσιν· υἱοὶ Δαλὰν τοῦ υἱοῦ τοῦ Βαενάν, υἱοὶ Νεκωδὰν ἑξακόσιοι πεντηκονταδύο.

Α Εσδ. 5,37 - Εκείνοι οι οποίοι δεν ημπόρεσαν να πιστοποιήσουν πειστικώς, ότι αι οικογένειαί των και η γενεά των ανήκουν εις την φυλήν του Ισραήλ ήσαν· η γενεά του Δαλάν, υιού του Βαενάν και η γενεά του Νεκωδάν εξακόσιοι πενήντα δύο.

Α Εσδ. 5,38 - καὶ ἐκ τῶν ἱερέων οἱ ἐμποιούμενοι ἱερωσύνης καὶ οὐχ εὑρέθησαν· υἱοὶ Ὀβδία, υἱοὶ Ἀκβώς, υἱοὶ Ἰαδδοὺ τοῦ λαβόντος Αὐγίαν γυναῖκα τῶν θυγατέρων Φαηζελδαίου, καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐτοῦ.

Α Εσδ. 5,38 - Επίσης από τους ιερείς, οι οποίοι παρουσιάσθησαν με την αξίωσιν να ιερατεύσουν αλλά δεν ημπόρεσαν να ευρεθούν στους ιερατικούς καταλόγους, ήσαν· η γενεά του Οβδία, η γενεά του Ακβώς, η γενεά του Ιαδδού, ο οποίος έλαβεν ως σύζυγόν του την Αυγίαν, μίαν από τας θυγατέρας του Φαηζελδαίου, και επήρε το όνομα αυτού.

Α Εσδ. 5,39 - καὶ τούτων ζητηθείσης τῆς γενικῆς γραφῆς ἐν τῷ καταλοχισμῷ καὶ μὴ εὑρεθείσης, ἐχωρίσθησαν τοῦ ἱερατεύειν.

Α Εσδ. 5,39 - Οταν ανεζητήθη εις τους φυλετικούς καταλόγους η γενεαλογική των καταγωγή και δεν ευρέθη, αυτοί απεκλείσθησαν από την ιερωσύνην.

Α Εσδ. 5,40 - καὶ εἶπεν αὐτοῖς Νεεμίας καὶ Ἀτθαρίας μὴ μετέχειν τῶν ἁγίων ἕως ἀναστῇ ἀρχιερεὺς ἐνδεδυμένος τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν.

Α Εσδ. 5,40 - Ο Νεεμίας δε και ο Ατθαρίας απηγόρευσαν εις αυτούς να μετέχουν εις τα άγια πράγματα, μέχρις ότου παρουσιασθή αρχιερεύς ενδεδυμένος τα ιερά διάσημα, την Δηλωσιν και την Αλήθειαν, ο οποίος και φωτιζόμενος από τον Θεόν θα απεφαίνετο δι' αυτούς.

Α Εσδ. 5,41 - οἱ δὲ πάντες Ἰσραὴλ ἦσαν ἀπὸ δωδεκαετοῦς καὶ ἐπάνω, χωρὶς παίδων καὶ παιδισκῶν, μυριάδες τέσσαρες δισχίλιοι τριακόσιοι

ἑξήκοντα· παῖδες τούτων καὶ παιδίσκαι ἑπτακισχίλιοι τριακόσιοι τριακονταεπτά· ψάλται καὶ ψαλτῳδοὶ διακόσιοι τεσσαρακονταπέντε·

Α Εσδ. 5,41 - Ολος δε ο αριθμός των Ισραηλιτών από δώδεκα ετών και άνω, χωρίς τους δούλους και τας δούλας, ήσαν σαρανταδύο χιλιάδες τριακόσιοι εξήντα. Οι δε δούλοι και αι δούλαι αυτών ήσαν επτά χιλιάδες τριακόσιοι τριάντα επτά. Οι ψάλται, που έπαιζαν μουσικά όργανα, και οι ψαλτωδοί ήσαν διακόσιοι σαράντα πέντε.

Α Εσδ. 5,42 - κάμηλοι τετρακόσιοι τριακονταπέντε καὶ ἵπποι ἑπτακισχίλιοι τριακονταέξ, ἡμίονοι διακόσιοι τεσσαρακονταπέντε, ὑποζύγια πεντακισχίλια πεντακόσια εἰκοσιπέντε.

Α Εσδ. 5,42 - Αι κάμηλοι όλων αυτών ήσαν τετρακόσιαι τριάντα πέντε, οι ίπποι των επτά χιλιάδες τριανταέξ, οι ημίονοι διακόσιοι σαράντα πέντε και οι όνοι των πέντε χιλιάδες πεντακόσιοι είκοσι πέντε.

Α Εσδ. 5,43 - καὶ ἐκ τῶν ἡγουμένων κατὰ τάς πατριὰς ἐν τῷ παραγίνεσθαι αὐτοὺς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, τὸ ἐν Ἱερουσαλήμ, ηὔξαντο ἐγεῖραι τὸν οἶκον ἐπὶ τοῦ τόπου αὐτοῦ κατὰ τὴν αὐτῶν δύναμιν

Α Εσδ. 5,43 - Μερικοί από τους αρχηγούς των οικογενειών, όταν έφθασαν στον ναόν του Θεού εις την Ιερουσαλήμ, έταξαν δια την ανοικοδόμησιν του ναού εις την προηγουμένην του θέσιν, ο καθένας ανάλογα με την δύναμίν των,

Α Εσδ. 5,44 - καὶ δοῦναι εἰς τὸ ἱερὸν γαζοφυλάκιον τῶν ἔργων χρυσίου μνᾶς χιλίας καὶ ἀργυρίου μνᾶς πεντακισχιλίας καὶ στολὰς ἱερατικὰς ἑκατόν.

Α Εσδ. 5,44 - να δώσουν στο ιερόν γαζοφυλάκιον του ναού δια τα έργα, που εμελλαν να γίνουν, χιλίας χρυσάς μνας και πέντε χιλιάδας αργυράς μνας και εκατόν ιερατικάς στολάς.

Α Εσδ. 5,45 - καὶ κατῳκίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ἐκ τοῦ λαοῦ αὐτοῦ ἐν Ἱερουσαλὴμ καὶ τῇ χώρᾳ, οἵ τε ἱεροψάλται καὶ οἱ θυρωροὶ καὶ πᾶς Ἰσραὴλ ἐν ταῖς κώμαις αὐτῶν.

Α Εσδ. 5,45 - Οι ιερείς και οι Λευίται και οι άλλοι Ισραηλίται από τον λαόν εγκατεστάθησαν εις την Ιερουσαλήμ και την περιοχήν της. Οι δε ιεροψάλται και οι θυρωροί και ο άλλος Ισραηλιτικός λαός εις τας κώμας των.

Α Εσδ. 5,46 - Ἐνστάντος δὲ τοῦ ἑβδόμου μηνὸς καὶ ὄντων τῶν υἱῶν Ἰσραὴλ ἑκάστου ἐν τοῖς ἰδίοις, συνήχθησαν ὁμοθυμαδὸν εἰς τὸ εὐρύχωρον τοῦ πρώτου πυλῶνος τοῦ πρὸς τῇ ἀνατολῇ.

Α Εσδ. 5,46 - Κατά δε τον έβδομον μήνα, όταν ο καθένας από τους Ισραηλίτας είχεν εγκατασταθή πλέον εις την ιδιοκτησίαν του, συνεκεντρώθησαν όλοι με μίαν ψυχήν εις μίαν ευρύχωρον περιοχήν της πλατείας, ενώπιον της πύλης του ναού, που ευρίσκεται προς τας ανατολάς.

Α Εσδ. 5,47 - καὶ καταστὰς Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ οἱ τούτου ἀδελφοὶ ἡτοίμασαν

τὸ θυσιαστήριον τοῦ Θεοῦ τοῦ Ἰσραὴλ

Α Εσδ. 5,47 - Τοτε ο αρχιερεύς και εθνάρχης ο Ιησούς, ο υιός του Ιωσεδέκ, και οι ιερείς της φυλής αυτού, όπως επίσης και ο Ζοροβάβελ, ο υιός του Σαλαθιήλ, και οι άνδρες της φυλής του ανέλαβαν και ετοίμασαν το θυσιαστήριον του Θεού του Ισραήλ,

Α Εσδ. 5,48 - προσενέγκαι ἐπ᾽ αὐτοῦ ὁλοκαυτώσεις ἀκολούθως τοῖς ἐν τῇ Μωυσέως βίβλῳ τοῦ ἀνθρώπου τοῦ Θεοῦ διηγορευμένοις.

Α Εσδ. 5,48 - δια να προσφέρουν εις αυτό ολοκαυτώματα, σύμφωνα με όσα ρητώς ορίζονται στο βιβλίον του Μωϋσέως, του ανθρώπου του Θεού.

Α Εσδ. 5,49 - καὶ ἐπισυνήχθησαν αὐτοῖς ἐκ τῶν ἄλλων ἐθνῶν τῆς γῆς, καὶ κατώρθωσαν τὸ θυσιαστήριον ἐπὶ τοῦ τόπου αὐτῶν, ὅτι ἐν ἔχθρᾳ ἦσαν αὐτοῖς. καὶ κατίσχυσαν αὐτοὺς πάντα τὰ ἔθνη τὰ ἐπὶ τῆς γῆς, καὶ ἀνέφερον θυσίας κατὰ τὸν καιρὸν καί ὁλοκαυτώματα Κυρίῳ τὸ πρωϊνὸν καὶ τὸ δειλινὸν

Α Εσδ. 5,49 - Τοτε όμως συνεκεντρώθησαν με εχθρικάς διαθέσεις εναντίον των Ισραηλιτών μερικοί από τους λαούς της γύρω περιοχής. Αλλά οι Ισραηλίται, παρά τας εχθρικάς διαθέσεις και πράξεις εκείνων, κατώρθωσαν να ανεγείρουν το θυσιαστήριον στον τόπον, επί του οποίου υπήρχε προηγουμένως. Και μολονότι όλα τα επί της χώρας εκείνης έθνη κατεπίεζαν εχθρικώς αυτούς, αυτοί προσέφεραν τας θυσίας στον ωρισμένον καιρόν και τα ολοκαυτώματά των στον Κυριον το πρωϊ και το απόγευμα.

Α Εσδ. 5,50 - καὶ ἠγάγοσαν τὴν τῆς σκηνοπηγίας ἑορτήν, ὡς ἐπιτέτακται ἐν τῷ νόμῳ, καὶ θυσίας καθ᾽ ἡμέραν, ὡς προσῆκον ἦν,

Α Εσδ. 5,50 - Εώρτασαν δε και την εορτήν της Σκηνοπηγίας, όπως έχει ορισθή στον νόμον του Μωϋσέως και καθημερινώς προσέφεραν τας θυσίας, όπως έπρεπε.

Α Εσδ. 5,51 - καὶ μετὰ ταῦτα προσφορὰς ἐνδελεχισμοῦ καὶ θυσίας σαββάτων καὶ νουμηνιῶν καὶ ἑορτῶν πασῶν ἡγιασμένων.

Α Εσδ. 5,51 - Βραδύτερρν δε προσέφεραν τας καθημερινάς θυσίας, όπως επίσης και τας θυσίας των Σαββάτων και της πρώτης εκάστου μηνός και θυσίας καθ' όλας τας άλλας ιεράς τελετάς.

Α Εσδ. 5,52 - καὶ ὅσοι ηὔξαντο εὐχὴν τῷ Θεῷ, ἀπὸ τῆς νουμηνίας τοῦ ἑβδόμου μηνὸς ἤρξαντο προσφέρειν θυσίας τῷ Θεῷ, καὶ ὁ ναὸς τοῦ Θεοῦ οὔπω ᾠκοδόμητο.

Α Εσδ. 5,52 - Οσοι δε είχαν κάμει διάφορα τάματα προς τον Θεόν, από την πρώτην ημέραν του εβδόμου μηνός ήρχισαν να προσφέρουν αυτάς τας θυσίας προς τον Θεόν επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων. Ο ναός όμως του Θεού δεν είχεν ακόμη ανοικοδομηθή.

Α Εσδ. 5,53 - καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τέκτοσι καὶ ποτὰ καὶ βρωτὰ καὶ χάρα τοῖς Σιδωνίοις καὶ Τυρίοις εἰς τὸ παράγειν αὐτοὺς ἐκ

τοῦ Λιβάνου ξύλα κέδρινα, διαφέρειν σχεδίας εἰς τὸν Ἰόπης λιμένα, κατὰ τὸ πρόσταγμα τὸ γραφὲν αὐτοῖς παρὰ Κύρου τοῦ Περσῶν βασιλέως.

Α Εσδ. 5,53 - Εδωσαν τότε χρήματα στους ξυλοκόπους, στους κτίστας, όπως επίσης τροφάς, ποτά και έλαιον στους κατοίκους της Σιδώνος και της Τυρου, δια να παρασκευάσουν αυτοί κέδρους από τον Λιβανον και να μεταφέρουν αυτάς με σχεδίας στον λιμένα της Ιόπης, σύμφωνα με την γραπτήν εντολήν, την οποίαν είχε δώσει ο Κύρος, ο βασιλεύς των Περσών,

Α Εσδ. 5,54 - καὶ τῷ δευτέρῳ ἔτει παραγενόμενος εἰς τὸ ἱερὸν τοῦ Θεοῦ εἰς Ἱερουσαλὴμ μηνὸς δευτέρου ἤρξατο Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτῶν καὶ οἱ ἱερεῖς οἱ Λευῖται καὶ πάντες οἱ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας εἰς Ἱερουσαλὴμ

Α Εσδ. 5,54 - Κατά το δεύτερον έτος της αφίξεώς των στον ιερόν χώρον του ναού του Θεού εις την Ιερουσαλήμ, τον δεύτερον μήνα, ο Ζοροβάβελ ο υιός του Σαλαθιήλ, και ο Ιησούς ο υιός του Ιωσεδέκ, και οι ομογενείς αυτών, όπως επίσης οι ιερείς, οι Λευίται και όλοι οι επανελθόντες από την αιχμαλωσίαν εις την Ιερουσαλήμ, ήρχισαν το έργον αυτών.

Α Εσδ. 5,55 - καὶ ἐθεμελίωσαν τὸν ναὸν τοῦ Θεοῦ τῇ νουμηνίᾳ τοῦ δευτέρου μηνός, τοῦ δευτέρου ἔτους, ἐν τῷ ἐλθεῖν εἰς τὴν Ἰουδαίαν καὶ Ἱερουσαλήμ.

Α Εσδ. 5,55 - Κατά την πρώτην ημέραν του δευτέρου μηνός του δευτέρου έτους μετά την έλευσίν των εις την Ιουδαίαν και την Ιερουσαλήμ, έθεσαν τον θεμέλιον λίθον δια τον ναόν του Κυρίου.

Α Εσδ. 5,56 - καὶ ἔστησαν τοὺς Λευίτας ἀπὸ εἰκοσαετοῦς ἐπὶ τῶν ἔργων τοῦ Κυρίου, καὶ ἔστη Ἰησοῦς καὶ οἱ υἱοὶ καὶ οἱ ἀδελφοὶ καὶ Καδμιὴλ ὁ ἀδελφὸς καὶ οἱ υἱοὶ Ἠμαδαβοῦν καὶ οἱ υἱοὶ Ἰωδὰ τοῦ Ἡλιαδοὺδ σὺν τοῖς υἱοῖς καὶ ἀδελφοῖς, πάντες οἱ Λευῖται, ὁμοθυμαδὸν ἐργοδιῶκται ποιοῦντες εἰς τὰ ἔργα ἐν τῷ οἴκῳ τοῦ Κυρίου. καὶ ᾠκοδόμησαν οἱ οἰκοδόμοι τὸν ναὸν τοῦ Κυρίου,

Α Εσδ. 5,56 - Οι Λευίται από της ηλικίας των είκοσι ετών και άνω ωρίσθησαν δια το έργον της ανοικοδομήσεως του ναού του Κυρίου. Ετσι ετοποθέτηθησαν ο Ιησούς με τους υιούς του και τους αδελφούς του και ο Καδμιήλ ο αδελφός πλησίον της γενεάς του Ημαδαβούν και η γενεά του Ιωδά του Ηλιαδούδ με τους υιούς και τους αδελφούς. Ολοι οι Λευίται με μίαν ψυχήν ανέλαβαν ως επιστάται των έργων του ναού του Κυρίου. Κατ' αυτόν τον τρύπον οι κτίσται ανοικοδόμησαν τον ναόν του Κυρίου.

Α Εσδ. 5,57 - καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι μετὰ μουσικῶν καὶ σαλπίγγων καὶ οἱ Λευῖται υἱοὶ Ἀσὰφ ἔχοντες τὰ κύμβαλα ὑμνοῦντες τῷ Κυρίῳ καὶ εὐλογοῦντες κατὰ Δαυὶδ βασιλέα τοῦ Ἰσραὴλ

Α Εσδ. 5,57 - Οι ιερείς ήσαν όρθιοι, στολισμένοι με τας ιερατικάς των στολάς, παίζοντες τα μουσικά όργανα και τας σάλπιγγας, οι δε Λευίται, οι

απόγονοι του Ασάφ, ήσαν επίσης εκεί παρόντες με τα κύμβαλά των υμνολογούντες τον Κυριον και δοξάζοντες αυτόν, όπως είχε διατάξει ο Δαυίδ ο βασιλεύς του Ισραήλ.

Α Εσδ. 5,58 - καὶ ἐφώνησαν δι᾿ ὕμνων εὐλογοῦντες τῷ Κυρίῳ, ὅτι ἡ χρηστότης αὐτοῦ καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἐν παντὶ Ἰσραήλ.

Α Εσδ. 5,58 - Μεγαλοφώνως δε εδοξολογούσαν τον Θεόν με ύμνους επαναλαμβάνοντες την επωδόν ότι η αγαθωσύνη και η δόξα αυτού είναι και θα είναι εις όλον τον ισραηλιτικόν λαόν εις όλους τους αιώνας.

Α Εσδ. 5,59 - καὶ πᾶς ὁ λαὸς ἐσάλπισαν καὶ ἐβόησαν φωνῇ μεγάλῃ ὑμνοῦντες τῷ Κυρίῳ ἐπὶ τῇ ἐγέρσει τοῦ οἴκου Κυρίου.

Α Εσδ. 5,59 - Καθ' ον δε χρόνον αι σάλπιγγες αντηχούσαν, όλοι οι Ισραηλίται με φωνήν μεγάλην υμνολογούσαν τον Θεόν δια την ανοικοδόμησιν του ναού του Κυρίου.

Α Εσδ. 5,60 - καὶ ἤλθοσαν ἐκ τῶν ἱερέων τῶν Λευιτῶν καὶ τῶν προκαθημένων κατὰ τὰς πατριὰς αὐτῶν οἱ πρεσβύτεροι οἱ ἑωρακότες τὸν πρὸ τούτου οἶκον πρὸς τὴν τούτου οἰκοδομὴν μετὰ κλαυθμοῦ καὶ κραυγῆς μεγάλης

Α Εσδ. 5,60 - Μεταξύ εκείνων, οι οποίοι είχαν έλθει, υπήρχον και από τους ιερείς και από τους Λευίτας και από τους αρχηγούς των πατριαρχικών φυλών και γεροντότεροι, οι οποίοι είχαν ίδει τον προηγούμενον ναόν του Κυρίου. Αυτοί ενθυμούμενοι την μεγαλοπρέπειαν εκείνου και συγκρίνοντες αυτόν προς την πτωχήν εμφάνισιν του σημερινού, ανελύθησαν εις κλαυθμούς και εξέβαλαν μεγάλας θρηνώδεις κραυγάς

Α Εσδ. 5,61 - καὶ πολλοὶ διὰ σαλπίγγων καὶ χαρᾶς μεγάλῃ τῇ φωνῇ,

Α Εσδ. 5,61 - την ώραν, κατά την οποίαν πολλαί σάλπιγγες εσάλπιζαν και η χαρά αντηχούσεν από όλους.

Α Εσδ. 5,62 - ὥστε τὸν λαὸν μὴ ἀκούειν τῶν σαλπίγγων διὰ τὸν κλαυθμὸν τοῦ λαοῦ· ὁ γὰρ ὄχλος ἦν ὁ σαλπίζων μεγάλως, ὥστε μακρόθεν ἀκούεσθαι.

Α Εσδ. 5,62 - Τοσον όμως ισχυρός και έντονος ήτο ο ολολυγμός και ο κλαυθμός των πρσεβυτέρων, ώστε ο λαός δεν ημπορούσε να ακούη καθαρά τα χαρμόσυνα σαλπίσματα, μολονότι εσάλπιζαν τόσον δυνατά, ώστε αυτά τα σαλπίσματα ηκούοντο από πολύ μακράν.

Α Εσδ. 5,63 - Καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν ἤλθοσαν ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων.

Α Εσδ. 5,63 - Οταν, λοιπόν, οι εχθροί της φυλής Ιούδα και της φυλής Βενιαμίν ήκουσαν αυτά, ήλθαν, δια να μάθουν τι σημαίνουν οι ήχοι αυτοί των σαλπίγγων.

Α Εσδ. 5,64 - καὶ ἐπέγνωσαν ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσι τὸν ναὸν τῷ Κυρίῳ Θεῷ Ἰσραήλ,

Α Εσδ. 5,64 - Και έμαθαν ότι οι Ιουδαίοι, που είχαν επανέλθει από την αιχμαλωσίαν, ανοικοδομούν τον ναόν Κυρίου του Θεού του Ισραήλ.

Α Εσδ. 5,65 - καὶ προσελθόντες ἐν τῷ Ζοροβάβελ καὶ Ἰησοῦ καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν λέγουσιν αὐτοῖς· συνοικοδομήσωμεν ὑμῖν·

Α Εσδ. 5,65 - Αυτοί λοιπόν επλησίασαν τον Ζοροβάβελ, τον Ιησούν και τους αρχηγούς των πατριαρχικών οίκων και είπαν προς αυτούς· “θα συνεργασθώμεν και ημείς μαζή σας δια την ανοικοδόμησιν του ναού,

Α Εσδ. 5,66 - ὁμοίως γὰρ ὑμῖν ἀκούομεν τοῦ Κυρίου ὑμῶν καὶ αὐτῷ ἐπιθύομεν ἀφ᾿ ἡμερῶν Ἀσβασαρὲθ βασιλέως Ἀσσυρίων, ὃς μετήγαγεν ἡμᾶς ἐνταῦθα.

Α Εσδ. 5,66 - διότι και ημείς όπως και σεις, υπακούομεν στον ίδιον Κυριον και προς αυτόν προσφέρομεν τας θυσίας μας, από της εποχής του Ασβασαρέθ του βασιλέως των Ασσυρίων, ο οποίος και μετέφερεν ημάς εδώ”.

Α Εσδ. 5,67 - καὶ εἶπεν αὐτοῖς Ζοροβάβελ καὶ Ἰησοῦς καὶ οἱ ἡγούμενοι τῶν πατριῶν τοῦ Ἰσραήλ· οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίῳ Θεῷ ἡμῶν·

Α Εσδ. 5,67 - Ο Ζοροβάβελ, ο Ιησούς και οι αρχηγοί των πατριών του Ισραήλ απήντησαν προς αυτούς· “δεν είναι ορθόν και σύμφωνον με το θέλημα του Θεού να ανοικοδομήσωμεν τον ναόν του Κυρίου του Θεού ημών, ημείς μαζή με σας.

Α Εσδ. 5,68 - ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραὴλ ἀκολούθως, οἷς προσέταξεν ἡμῖν Κῦρος ὁ βασιλεὺς Περσῶν.

Α Εσδ. 5,68 - Μονοι μας θα ανοικοδομήσωμεν τον ναόν προς τιμήν Κυρίου του Θεού του Ισραήλ, σύμφωνα άλλωστε με όσα μας διέταξεν ο Κύρος ο βασιλεύς των Περσών”.

Α Εσδ. 5,69 - τὰ δὲ ἔθνη τῆς γῆς ἐπικοιμώμενα τοῖς ἐν τῇ Ἰουδαίᾳ καὶ πολιορκοῦντες εἶργον τοῦ οἰκοδομεῖν.

Α Εσδ. 5,69 - Τοτε τα έθνη της περιοχής εκείνης κατεπίεζαν τους εις την Ιουδαίαν και Ιερουσαλήμ Ιουδαίους τους επολιορκούσαν και τους ημπόδιζαν από την ανοικοδόμησιν του ναού.

Α Εσδ. 5,70 - καὶ βουλὰς δημαγωγοῦντες καὶ συστάσεις ποιούμενοι ἀπεκώλυσαν τοῦ ἀποτελεσθῆναι τὴν οἰκοδομὴν πάντα τὸν χρόνον τῆς ζωῆς τοῦ βασιλέως Κύρου. καὶ εἴρχθησαν τῆς οἰκοδομῆς ἔτη δύο ἕως τῆς Δαρείου βασιλείας.

Α Εσδ. 5,70 - Ωργάνωσαν επί πλέον συγκεντρώσεις μεταξύ των λαών των και με δημαγωγίας τους παρεκίνησαν και έκαναν επιθέσεις εναντίον των Ιουδαίων, εις τρόπον ώστε παρημπόδισαν την ολοκλήρωσιν της οικοδομής του ναού καθ' όλον τον χρόνον της ζωής του βασιλέως Κυρου. Δυο κατά συνέχειαν έτη εμποδίσθησαν οι Ισραηλίται από την ανοικοδόμησιν του ναού, μέχρις ότου ανεκηρύχθη βασιλεύς ο Δαρείος.

Α ΕΣΔΡΑΣ 6

Α Εσδ. 6,1 - Ἐν δὲ τῷ δευτέρῳ ἔτει τῆς Δαρείου βασιλείας ἐπροφήτευσεν Ἀγγαῖος καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδὼ οἱ προφῆται ἐπὶ τοὺς Ἰουδαίους τοὺς ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ ἐπὶ τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραὴλ ἐπ᾿ αὐτούς.

Α Εσδ. 6,1 - Κατά το δεύτερον έτος της βασιλείας του Δαρείου, ενεφανίσθησαν προφήται ο Αγγαίος και ο Ζαχαρίας ο υιός του Αδδώ στους Ιουδαίους, οι οποίοι ευρίσκοντο εις την Ιερουσαλήμ και επροφήτευον επί τω ονόματι Κυρίου του Θεού του Ισραήλ.

Α Εσδ. 6,2 - τότε στὰς Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἤρξαντο οἰκοδομεῖν τὸν οἶκον τοῦ Κυρίου τὸν ἐν Ἱερουσαλήμ, συνόντων τῶν προφητῶν τοῦ Κυρίου βοηθούντων αὐτοῖς.

Α Εσδ. 6,2 - Τοτε ο Ζοροβάβελ ο υιός του Σαλαθιήλ, και ο Ιησούς ο υιός του Ιωσεδέκ, ήρχισαν με θάρρος και επιμονήν να ανοικοδομούν τον ναόν του Κυρίου εις την Ιερουσαλήμ παρόντων και των προφητών αυτών του Κυρίου, οι οποίοι και τους εβοηθούσαν.

Α Εσδ. 6,3 - ἐν αὐτῷ τῷ χρόνῳ παρῆν πρὸς αὐτοὺς Σισίννης ὁ ἔπαρχος Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνης καὶ οἱ συνεταῖροι καὶ εἶπαν αὐτοῖς·

Α Εσδ. 6,3 - Κατά τον καιρόν εκείνον ήλθαν προς τους Ιουδαίους της Ιερουσαλήμ ο Σισίννης, ο διοικητής της Συρίας και της Φοινίκης, ο Σαθραβουζάνης και οι σύντροφοί των και είπαν προς τους Ιουδαίους·

Α Εσδ. 6,4 - τίνος ὑμῖν συντάξαντος τὸν οἶκον τοῦτον οἰκοδομεῖτε, καὶ τὴν στέγην ταύτην καὶ τὰ ἄλλα πάντα ἐπιτελεῖτε; καὶ τίνες εἰσὶν οἰκοδόμοι οἱ ταῦτα ἐπιτελοῦντες;

Α Εσδ. 6,4 - “ποίος είναι εκείνος ο οποίος σας έδωσε την διαταγήν και την άδειαν να ανοικοδομήσετε τον ναόν τούτον, επάνω στον οποίον θέτετε αυτήν την στέγην, όπως επίσης και να εκτελήτε όλα τα άλλα έργα; Ποίοι είναι οι κτίσται, οι οποίοι εκτελούν την ανοικοδόμησιν αυτήν;”

Α Εσδ. 6,5 - καὶ ἔσχοσαν χάριν ἐπισκοπῆς γενομένης ἐπὶ τὴν αἰχμαλωσίαν παρὰ τοῦ Κυρίου οἱ πρεσβύτεροι τῶν Ἰουδαίων

Α Εσδ. 6,5 - Οι προϊστάμενοι των Ιουδαίων έδωσαν ικανοποιητικάς εξηγήσεις και απαντήσεις και ευρήκαν χάριν ενώπιον των αρχόντων εκείνων, διότι ο Κυριος είχεν επιβλέψει με ευμένειαν στους εκ της αιχμαλωσίας επανελθόντας.

Α Εσδ. 6,6 - καὶ οὐκ ἐκωλύθησαν τῆς οἰκοδομῆς, μέχρις οὗ ὑποσημανθῆναι Δαρείῳ περὶ αὐτῶν καὶ προσφωνηθῆναι.

Α Εσδ. 6,6 - Δια τούτο δε και δεν ημποδίσθησαν από την ανοικοδόμησιν, μέχρις ότου το γεγονός ανεφέρθη στον Δαρείον, από τον οποίον και ήλθεν η

σχετική απάντησις.

Α Εσδ. 6,7 - Ἀντίγραφον ἐπιστολῆς, ἧς ἔγραψε Δαρείῳ καὶ ἀπέστειλαν· «Σισίννης ὁ ἔπαρχος Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνης καὶ οἱ συνεταῖροι οἱ ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόνες βασιλεῖ Δαρείῳ χαίρειν.

Α Εσδ. 6,7 - Αντίγραφαν της επιστολής, την οποίαν έγραψον και έστειλαν προς τον Δαρείον, είναι το εξής· “ο Σισίννης ο διοικητής της Συρίας και της Φοινίκης και ο Σαθραβουζάνης και οι σύντροφοί των οι ηγεμόνες εις την Συρίαν και την Φοινίκην χαιρετίζουν ευλαβώς τον βασιλέα Δαρείον.

Α Εσδ. 6,8 - πάντα γνωστὰ ἔστω τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ, ὅτι παραγενόμενοι εἰς τὴν χώραν τῆς Ἰουδαίας καὶ ἐλθόντες εἰς Ἱερουσαλὴμ τὴν πόλιν κατελάβομεν τῆς αἰχμαλωσίας τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων ἐν Ἱερουσαλὴμ τῇ πόλει οἰκοδομοῦντας οἶκον τῷ Κυρίῳ μέγαν, καινὸν διὰ λίθων ξυστῶν πολυτελῶν, ξύλων τιθεμένων ἐν τοῖς τοίχοις,

Α Εσδ. 6,8 - Ας γίνουν όλα γνωστά στον κύριον ημών τον βασιλέα. Οτι δηλαδή ημείς μετέβημεν εις την χώραν της Ιουδαίας, ήλθομεν εις την πόλιν της Ιερουσαλήμ και εκεί ευρήκαμεν τους αρχηγούς των Ιουδαίων, που επανήλθαν από την αιχμαλωσίαν εις την Ιερουσαλήμ, να ανοικοδομούν μεγάλον και καινουργή ναόν στον Κυριον με λίθους πολυτελείς πελεκητούς και με ξύλα εντιθέμενα μέσα στους τοίχους.

Α Εσδ. 6,9 - καὶ τὰ ἔργα ἐκεῖνα ἐπὶ σπουδῆς γινόμενα καὶ εὐοδούμενον τὸ ἔργον ἐν ταῖς χερσὶν αὐτῶν καὶ ἐν πάσῃ δόξῃ, καὶ ἐπιμελείᾳ συντελούμενον.

Α Εσδ. 6,9 - Τα έργα της ανοικοδομησεως πραγματοποιούνται με μεγάλον ζήλον και δια τούτο κατευοδώνεται ολο το έργον, το οποίον ευρίσκεται εις τα χέρια αυτών και ολοκληρώνεται με κάθε λαμπρότητα και επιμέλειαν.

Α Εσδ. 6,10 - τότε ἐπυνθανόμεθα τῶν πρεσβυτέρων τούτων λέγοντες· τίνος ὑμῖν προστάξαντος οἰκοδομεῖτε τὸν οἶκον τοῦτον καὶ τὰ ἔργα ταῦτα θεμελιοῦτε;

Α Εσδ. 6,10 - Τοτε ζητήσαμεν πληροφορίας από τους αρχηγούς των και τους είπαμεν· Κατόπιν διαταγής και αδείας τίνος ανοικοδομείτε τον ναόν τούτον και θεμελιώνετε αυτά τα έργα;

Α Εσδ. 6,11 - ἐπερωτήσαμεν οὖν αὐτοὺς εἵνεκεν τοῦ γνωρίσαι σοι καὶ γράψαι σοι τοὺς ἀνθρώπους τοὺς ἀφηγουμένους καὶ τὴν ὀνοματογραφίαν ᾐτοῦμεν αὐτοὺς τῶν προκαθηγουμένων.

Α Εσδ. 6,11 - Τους ηρωτήσαμεν δέ, δια να γράψωμεν προς σε και σου καταστήσωμεν γνωστούς τους ανθρώπους, που έχουν την αρχηγίαν και την ευθύνην του έργου αυτού. Εζητήσαμεν, λοιπόν, από αυτούς τα ονόματα των αρχηγών των.

Α Εσδ. 6,12 - οἱ δὲ ἀπεκρίθησαν ἡμῖν λέγοντες· ἡμεῖς ἐσμεν παῖδες τοῦ Κυρίου τοῦ κτίσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν·

Α Εσδ. 6,12 - Εκείνοι μας απήντησαν και είπαν· Ημείς είμεθα δούλοι Κυρίου του Θεού, ο οποίος εδιμιούργησε τον ουρανόν και την γην.

Α Εσδ. 6,13 - καὶ ᾠκοδόμητο οἶκος ἔμπροσθεν ἐτῶν πλειόνων διὰ βασιλέως τοῦ Ἰσραὴλ μεγάλου καὶ ἰσχυροῦ καὶ ἐπετελέσθη.

Α Εσδ. 6,13 - Ο ναός αυτός είχεν οικοδομηθή προηγουμένως εδώ και πολλά χρόνια υπό ενός μεγάλου και ισχυρού βασιλέως των Ισραηλιτών και είχεν αποπερατωθή υπ'αυτού.

Α Εσδ. 6,14 - καὶ ἐπεὶ οἱ πατέρες ἡμῶν παραπικράναντες ἥμαρτον εἰς τὸν Κύριον τοῦ Ἰσραὴλ τὸν οὐράνιον, παρέδωκεν αὐτοὺς εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος βασιλέως τῶν Χαλδαίων·

Α Εσδ. 6,14 - Επειδή όμως οι πρόγονοί μας ημάρτησαν και παρώργισαν Κυριον τον Θεόν του ισραηλιτικού λαού, ο οποίος κατοικεί στον ουρανόν, παρέδωκεν αυτούς δούλους εις τα χέρια του Ναβουχοδονόσορός, ο οποίος, με πρωτεύουσαν την Βαβυλώνα, ήτο βασιλεύς των Χαλδαίων.

Α Εσδ. 6,15 - τόν τε οἶκον καθελόντες ἐνεπύρισαν καὶ τὸν λαὸν ἠχμαλώτευσαν εἰς Βαβυλῶνα.

Α Εσδ. 6,15 - Τοτε δε οι Χαλδαίοι εκείνοι κατεκρήμνισαν τον ναόν και τον παρέδωσαν στο πυρ, τον δε λαόν έφεραν αιχμάλωτον εις την Βαβυλώνα.

Α Εσδ. 6,16 - ἐν δὲ τῷ πρώτῳ ἔτει βασιλεύοντος Κύρου χώρας Βαβυλωνίας ἔγραψεν ὁ βασιλεὺς Κῦρος τὸν οἶκον τοῦτον οἰκοδομῆσαι·

Α Εσδ. 6,16 - Αλλά, όταν έγινεν βασιλεύς εις την χώραν της Βαβυλώνος Κύρος, κατά το πρώτον έτος της βασιλείας του έγραψε διαταγήν, δια της οποίας επέτρεπε να ανοικοδομηθή ο ναός ούτος.

Α Εσδ. 6,17 - καὶ τὰ ἱερὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ αὑτοῦ ναῷ, πάλιν ἐξήνεγκεν αὐτὰ Κῦρος ὁ βασιλεὺς ἐκ τοῦ ναοῦ τοῦ ἐν Βαβυλωνίᾳ, καὶ παρεδόθη Σαβανασσάρῳ Ζοροβάβελ τῷ ἐπάρχῳ,

Α Εσδ. 6,17 - Τα δε ιερά σκεύη και τα αργυρά, τα οποία ο Ναβουχοδονόσορ είχε μεταφέρει από τον ναόν της Ιερουσαλήμ και τα είχε τοποθετήσει στον ιδικόν του ναόν, ο βασιλεύς Κύρος τα επήρε πάλι από τον ναόν της Βαβυλώνος και τα παρέδωκεν στον Ζοροβάβελ, ο οποίος ήτο Σαβανάσσαρος, δηλαδή αρχηγός των Ιουδαίων.

Α Εσδ. 6,18 - καὶ ἐπετάγη αὐτῷ, καὶ ἀπήνεγκε πάντα τὰ σκεύη ταῦτα ἀποθεῖναι ἐν τῷ ναῷ τῷ ἐν Ἱερουσαλὴμ καὶ τὸν ναὸν τοῦ Κυρίου οἰκοδομηθῆναι ἐπὶ τοῦ τόπου.

Α Εσδ. 6,18 - Εδόθη δε εις αυτόν η διαταγή να επανέλθη. Αυτός, λοιπόν, επανέφερεν όλα αυτά τα ιερά σκεύη, δια να τα επανατοποθετήση στον ναόν

της Ιερουσαλήμ, αφού πρώτον ανοικοδομηθή ούτος στον τόπον, όπου υπήρχε προηγουμένως.

Α Εσδ. 6,19 - τότε ὁ Σαβανάσσαρος παραγενόμενος ἀνεβάλετο τοὺς θεμελίους τοῦ οἴκου Κυρίου τοῦ ἐν Ἱερουσαλήμ, καὶ ἀπ᾿ ἐκείνου μέχρι τοῦ νῦν οἰκοδομούμενος οὐκ ἔλαβε συντέλειαν.

Α Εσδ. 6,19 - Τοτε ο Σαβανάσσαρος, ο διοικητής των Ιουδαίων, ήλθε και έθεσε τα θεμέλια του ναού του Κυρίου εις την Ιερουσαλήμ. Και από την ημέραν εκείνην έως τώρα ανοικοδομείται αυτός ο ναός, αλλά ακόμη δεν έχει αποπερατωθή

Α Εσδ. 6,20 - νῦν οὖν εἰ κρίνεται, βασιλεῦ, ἐπισκεπήτω ἐν τοῖς βασιλικοῖς βιβλιοφυλακίοις τοῦ Κύρου·

Α Εσδ. 6,20 - Εάν λοιπόν, βασιλεύ, είναι της εγκρίσεώς σου, ας ερευνηθούν τα βασιλικά αρχεία του Κυρου.

Α Εσδ. 6,21 - καὶ ἐὰν εὑρίσκηται μετὰ τῆς γνώμης Κύρου τοῦ βασιλέως γενομένην τὴν οἰκοδομὴν τοῦ οἴκου Κυρίου τοῦ ἐν Ἱερουσαλὴμ καὶ κρίνηται τῷ κυρίῳ βασιλεῖ ἡμῶν, προσφωνησάτω ἡμῖν περὶ τούτων».

Α Εσδ. 6,21 - Εάν δε ευρεθή ότι η γενομένη ανοικοδόμησις του ναού του Κυρίου εις την Ιερουσαλήμ είναι, σύμφωνος με την γνώμην του βασιλέως Κυρου, έχει δε και την έγκρισιν του κυρίου και βασιλέως μας η εργασία αυτή, ας σταλή προς ημάς σχετική απάντησις επί του ζητήματος τούτου”.

Α Εσδ. 6,22 - Τότε ὁ βασιλεὺς Δαρεῖος προσέταξεν ἐπισκέψασθαι ἐν τοῖς βιβλιοφυλακίοις τοῖς κειμένοις ἐν Βαβυλῶνι, και εὑρέθη ἐν Ἐκβατάνοις τῇ βάρει τῇ ἐν Μηδίᾳ χώρᾳ τόμος εἷς, ἐν ᾧ ὑπομνημάτιστο τάδε·

Α Εσδ. 6,22 - Τοτε ο βασιλεύς Δαρείος έδωσε διαταγήν να ερευνηθούν τα αρχεία, τα οποία ευρίσκοντο εις την Βαβυλώνα. Εκεί, στον πύργον των Εκβατάνων εις την χώραν της Μηδίας, ευρέθη πράγματι ένας τόμος, στον οποίον είχον καταγραφή τα εξής·

Α Εσδ. 6,23 - «Ἔτους πρώτου βασιλεύοντος Κύρου βασιλεὺς Κῦρος προσέταξε τὸν οἶκον τοῦ Κυρίου τὸν ἐν Ἱερουσαλὴμ οἰκοδομῆσαι, ὅπου ἐπιθύουσι διὰ πυρὸς ἐνδελεχοῦς,

Α Εσδ. 6,23 - “Κατά το πρώτον έτος της βασιλείας του Κυρου ο βασιλεύς Κύρος έδωσε διαταγήν να ανοικοδομήσουν τον ναόν του Κυρίου τον εις την Ιερουσαλήμ, όπου οι ιερείς των Ιουδαίων θα προσφέρουν τας θυσίας των επί του παντοτεινού εκεί πυρός.

Α Εσδ. 6,24 - οὗ τὸ ὕψος πηχῶν ἑξήκοντα, πλάτος πηχῶν ἑξήκοντα, διὰ δόμων λιθίνων ξυστῶν τριῶν καὶ δόμου ξυλίνου ἐγχωρίου καινοῦ ἑνός, καὶ τὸ δαπάνημα δοθῆναι ἐκ τοῦ οἴκου Κύρου τοῦ βασιλέως,

Α Εσδ. 6,24 - Το ιερός του ναού τούτου θα είναι εξήκοντα εβραϊκοί πήχεις, το δε πλάτος θα είναι επίσης εξήκοντα πήχεις. Ο ναός θα κτισθή με τρεις σειράς πελεκητούς μεγάλους λίθους και με μίαν εσωτερικήν σειράν

εγχωρίου καινούργιου ξύλου. Η δαπάνη, που θα απαιτηθή, δίδεται από το βασιλικόν ταμείον του βασιλέως Κυρου.

Α Εσδ. 6,25 - καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου Κυρίου τά τε χρυσᾶ καὶ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ καὶ ἀπήνεγκεν εἰς Βαβυλῶνα, ἀποκατασταθῆναι εἰς τὸν οἶκον τὸν ἐν Ἱερουσαλήμ, οὗ ἦν κείμενα, ὅπως τεθῇ ἐκεῖ.

Α Εσδ. 6,25 - Επίσης και τα ιερά σκεύη του ναού του Κυρίου, χρυσά και αργυρά, τα οποία επήρεν ο Ναβουχοδονόσορ από τον ναόν της Ιερουσαλήμ και τα μετέφερεν εις την Βαβυλώνα, να αποκατασταθούν πάλιν στον ναόν της Ιερουσαλήμ, όπου προηγουμένως υπήρχον και να τοποθετηθούν εκεί”.

Α Εσδ. 6,26 - προσέταξε δὲ ἐπιμεληθῆναι Σισίννῃ ἐπάρχῳ Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνῃ καὶ τοῖς συνεταίροις καὶ τοῖς ἀποτεταγμένοις ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόσιν ἀπέχεσθαι τοῦ τόπου, ἐᾶσαι δὲ τὸν παῖδα Κυρίου Ζοροβάβελ, ἔπαρχον δὲ τῆς Ἰουδαίας, καὶ τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων τὸν οἶκον τοῦ Κυρίου ἐκεῖνον οἰκοδομεῖν ἐπὶ τοῦ τόπου.

Α Εσδ. 6,26 - Διέταξε, λοιπόν, ο Δαρείος τον Σισίννην διοικητήν της Συρίας και της Φοινίκης, τον Σαθραβουζάνην και τους συντρόφους αυτών, όπως επίσης και τους εις την Συρίαν και την Φοινίκην τοποθετημένους ηγεμόνας, να μη επέμβουν στον τόπον της Ιερουσαλήμ, αλλά να αφήσουν ελεύθερον τον Ζοροβάβελ, τον δούλον του Κυρίου, τον διοικητήν αυτόν της Ιουδαίας και τους πρεσβυτέρους εκ των Ιουδαίων να ανοικοδομήσουν εκείνον τον ναόν του Κυρίου στον τόπον, όπου υπήρχε προηγουμένως.

Α Εσδ. 6,27 - καὶ ἐγὼ δὲ ἐπέταξα ὁλοσχερῶς οἰκοδομῆσαι καὶ ἀτενίσαι, ἵνα συμποιῶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας μέχρι τοῦ ἐπιτελεσθῆναι τὸν οἶκον τοῦ Κυρίου·

Α Εσδ. 6,27 - Εγώ επίσης δίδω διαταγήν να αποπερατωθή τελείως ο ανοικοδομούμενος αυτός ναός, να προσέξουν δε όλοι και να φροντίσουν να βοηθήσουν τους Ιουδαίους, που επανήλθαν από την αιχμαλωσίαν, στο έργον των, μέχρις ότου αυτός ο ναός του Κυρίου έλθη εις πέρας.

Α Εσδ. 6,28 - καὶ ἀπὸ τῆς φορολογίας Κοίλης Συρίας καὶ Φοινίκης ἐπιμελῶς σύνταξιν δίδοσθαι τούτοις τοῖς ἀνθρώποις εἰς θυσίαν τῷ Κυρίῳ, Ζοροβάβελ ἐπάρχῳ, εἰς ταύρους καὶ κριοὺς καὶ ἄρνας,

Α Εσδ. 6,28 - Επίσης διατάσσω, όπως από τους εισπραττομένους φόρους εις την Κοίλην Συρίαν και την Φοινίκην δίδεται τακτικώς επιχορήγησις εις αυτούς τους ανθρώπους, στον διοικητήν Ζοροβάβελ, δια να προσφέρουν θυσίαν στον Κυριον ταύρους και κριους και αρνία.

Α Εσδ. 6,29 - ὁμοίως δὲ καὶ πυρὸν καὶ ἅλα καὶ οἶνον καὶ ἔλαιον ἐνδελεχῶς κατ᾿ ἐνιαυτόν, καθὼς ἂν οἱ ἱερεῖς οἱ ἐν Ἱερουσαλὴμ ὑπαγορεύσωσιν ἀναλίσκεσθαι καθ᾿ ἡμέραν ἀναμφισβητήτως,

Α Εσδ. 6,29 - Επίσης διατάσσω να δίδεται τακτικώς κάθε έτος σίτος, αλάτι, οίνος, έλαιον, χωρίς καμμίαν αντίρρησιν, τόσα, όσα θα είπουν οι ιερείς ότι χρειάζονται προς κατανάλωσιν κάθε ημέραν εις την Ιερουσαλήμ.

Α Εσδ. 6,30 - ὅπως προσφέρωνται σπονδαὶ τῷ Θεῷ τῷ ὑψίστῳ ὑπὲρ τοῦ βασιλέως καὶ τῶν παίδων καὶ προσεύχωνται περὶ τῆς αὐτῶν ζωῆς,

Α Εσδ. 6,30 - Αι επιχορηγήσεις αυταί θα γίνωνται, δια να προσφέρωνται θυσίαι προς τον Υψιστον Θεόν υπέρ του βασιλέως και των παίδων του και δια να προσεύχωνται οι ιερείς υπέρ της ζωής αυτών.

Α Εσδ. 6,31 - καὶ προστάξαι ἵνα ὅσοι ἐὰν παραβῶσί τι τῶν γεγραμμένων καὶ ἀκυρώσωσι, ληφθῆναι ξύλον ἐκ τῶν ἰδίων αὐτοῦ καὶ ἐπὶ τούτου κρεμασθῆναι καὶ τὰ ὑπάρχοντα αὐτοῦ εἶναι βασιλικά.

Α Εσδ. 6,31 - Να δοθή επίσης διαταγή, όπως καθένας ο οποίος θα παραβή η θα ακυρώση μίαν από τας εντολάς αυτάς, να κρεμασθή επάνω εις ένα ξύλον, το οποίον θα ληφθή από τα ανήκοντα στον οίκον του. Τα δε υπάρχοντά του να περιέρχωνται στο βασιλικόν ταμείον.

Α Εσδ. 6,32 - διὰ ταῦτα καὶ ὁ Κύριος, οὗ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἐκεῖ, ἀφανίσαι πάντα βασιλέα καὶ ἔθνος, ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ κωλῦσαι ἢ κακοποιῆσαι τὸν οἶκον Κυρίου ἐκεῖνον τὸν ἐν Ἱερουσαλήμ.

Α Εσδ. 6,32 - Δια τούτο δε και εύχομαι, όπως Κυριος ο Θεός, του οποίου το όνομα θα ακούεται και θα αναφέρεται εκεί, να εξαφανίση κάθε βασιλέα, κάθε έθνος, το οποίον θα απλώση το χέρι του να εμποδίση την ανοικοδόμησιν η να επιφέρη βλάβας στον ναόν εκείνον του Κυρίου, ο οποίος θα κτισθή εις την Ιερουσαλήμ.

Α Εσδ. 6,33 - ἐγὼ βασιλεὺς Δαρεῖος δεδογμάτικα ἐπιμελῶς κατὰ ταῦτα γίνεσθαι».

Α Εσδ. 6,33 - Εγώ ο βασιλεύς Δαρείος διέταξα αυτά. Απαιτώ δε να εφαρμοσθούν όλα αυτά με κάθε επιμέλειαν”.

Α ΕΣΔΡΑΣ 7

Α Εσδ. 7,1 - Τότε Σισίννης ἔπαρχος Κοίλης Συρίας καὶ Φοινίκης, καὶ Σαθραβουζάνης καὶ οἱ συνεταῖροι κατακολουθήσαντες τοῖς ὑπὸ τοῦ βασιλέως Δαρείου προσταγεῖσιν

Α Εσδ. 7,1 - Γοτε ο Σισίννης, ο διοικητής της Κοίλης Συρίας και της Φοινίκης, ο Σαθραβουζάνης και οι σύντροφοί των ακολουθήσαντες πιστώς τα υπό του βασιλέως διαταχθέντα,

Α Εσδ. 7,2 - ἐπεστάτουν τῶν ἱερῶν ἔργων ἐπιμελέστερον συνεργοῦντες τοῖς πρεσβυτέροις τῶν Ἰουδαίων καὶ ἱεροστάταις.

Α Εσδ. 7,2 - επιστατούσαν οι ίδιοι περισσότερον επιμελώς εις τα έργα του ναού και εβοηθούσαν τους πρεσβυτέρους των Ιουδαίων και τους

προϊσταμένους του ναού.

Α Εσδ. 7,3 - καὶ εὔοδα ἐγίνετο τὰ ἱερὰ ἔργα προφητευόντων Ἀγγαίου καὶ Ζαχαρίου τῶν προφητῶν.

Α Εσδ. 7,3 - Ετσι δε κατευωδώνοντο τα ιερά έργα, καθ' ον χρόνον οι προφήται Αγγαίος και Ζαχαρίας εδίδασκον το θέλημα του Θεού και προέλεγαν τα μέλλοντα.

Α Εσδ. 7,4 - καὶ συνετέλεσαν ταῦτα διὰ προστάγματος Κυρίου Θεοῦ Ἰσραήλ, καὶ μετὰ τῆς γνώμης τοῦ Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου βασιλέων Περσῶν

Α Εσδ. 7,4 - Ετσι δε ετελείωσαν και ωλοκληρώθησαν τα έργα της ανοικοδομήσεως του ναού σύμφωνα με την εντολήν Κυρίου του Θεού των Ισραηλιτών και κατόπιν αδείας του Κυρου, του Δαρείου και του Αρταξέρξου, βασιλέων των Περσών.

Α Εσδ. 7,5 - συνετελέσθη ὁ οἶκος ὁ ἅγιος ἕως τρίτης καὶ εἰκάδος μηνὸς Ἄδαρ τοῦ ἕκτου ἔτους βασιλέως Δαρείου.

Α Εσδ. 7,5 - Ετελείωσε και ωλοκληρώθη το έργον της οικοδομής του ιερού τούτου ναού την εικοστήν τρίτην του εβραϊκού μηνός Αδαρ κατά το έκτον έτος της βασιλείας του βασιλέως Δαρείου.

Α Εσδ. 7,6 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ λοιποὶ οἱ ἐκ τῆς αἰχμαλωσίας οἱ προστεθέντες ἀκολούθως τοῖς ἐν τῇ Μωυσέως βίβλῳ·

Α Εσδ. 7,6 - Τοτε δε οι Ισραηλίται, οι ιερείς και οι Λευίται, και όσοι από τους Ισραηλίτας είχαν επανέλθει από την αιχμαλωσίαν εις την Ιερουσαλήμ, έπραξαν όπως αναγράφει το βιβλίον του Μωϋσέως.

Α Εσδ. 7,7 - καὶ προσήνεγκαν εἰς τὸν ἐγκαινισμὸν τοῦ ἱεροῦ τοῦ Κυρίου ταύρους ἑκατόν, κριοὺς διακοσίους, ἄρνας τετρακοσίους,

Α Εσδ. 7,7 - Προσέφεραν, δηλαδή, κατά τα εγκαίνια του ναού του Κυρίου εκατόν ταύρους, διακοσίους κριους και τετρακόσια αρνιά.

Α Εσδ. 7,8 - χιμάρους ὑπὲρ ἁμαρτίας παντὸς τοῦ Ἰσραὴλ δώδεκα πρὸς ἀριθμόν, ἐκ τῶν φυλάρχων τοῦ Ἰσραὴλ δώδεκα.

Α Εσδ. 7,8 - Δια δε την εξιλέωσιν και εξάλειψιν των αμαρτιών όλου του ισραηλιτικού λαού εθυσίασαν δώδεκα τράγους, προσφερθέντας υπό των δώδεκα αρχηγών των φύλων του Ισραήλ.

Α Εσδ. 7,9 - καὶ ἔστησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται κατὰ φυλὰς ἐστολισμένοι ἐπὶ τῶν ἔργων Κυρίου Θεοῦ Ἰσραὴλ ἀκολούθως τῇ Μωυσέως βίβλῳ καὶ οἱ θυρωροὶ ἐφ᾿ ἑκάστου πυλῶνος.

Α Εσδ. 7,9 - Οι ιερείς δε και οι Λευίται ετακτοποιήθησαν και εστάθησαν στολισμένοι με τα ιερατικά των άμφια, σύμφωνα με τας διαιρέσεις αυτών και αναλόγως των υπηρεσιών, τας οποίας προσέφεραν εις Κυριον τον Θεόν του Ισραήλ ακολουθούντες και εφαρμόζοντες όσα ήσαν γραμμένα στο βιβλίον

του Μωϋσέως. Επίσης παρευρέθησαν και οι θυρωροί έκαστος εις την ιδικήν του πύλην.

Α Εσδ. 7,10 - καὶ ἠγάγοσαν οἱ υἱοὶ Ἰσραὴλ τῶν ἐκ τῆς αἰχμαλωσίας τὸ πάσχα ἐν τῇ τεσσαρεσκαιδεκάτη τοῦ πρώτου μηνός· ὅτι ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἅμα

Α Εσδ. 7,10 - Ετσι οι Ισραηλίται, οι οποίοι είχον επανέλθει από την αιχμαλωσίαν, εώρτασαν το Πασχα την δεκάτην τετάρτην του πρώτου μηνός, οι δε ιερείς και οι Λευίται μαζή είχαν προθύμως εξαγνισθή.

Α Εσδ. 7,11 - καὶ πάντες οἱ υἱοὶ τῆς αἰχμαλωσίας, ὅτι ἡγνίσθησαν, ὅτι οἱ Λευῖται ἅμα πάντες ἡγνίσθησαν.

Α Εσδ. 7,11 - Αλλά και όλοι οι άνδρες οι οποίοι είχαν επανέλθει από την αιχμαλωσίαν, δια να εορτάσουν το Πασχα, ηγνίσθησαν, διότι και οι Λευίται όλοι μαζή είχαν αγνισθή.

Α Εσδ. 7,12 - καὶ ἔθυσαν τὸ πάσχα πᾶσι τοῖς υἱοῖς τῆς αἰχμαλωσίας καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσι καὶ ἑαυτοῖς.

Α Εσδ. 7,12 - Οι δε Λευίται προσέφεραν θυσίαν τον πασχαλινόν αμνόν δι' όλους τους Ιουδαίους, οι οποίοι είχαν επανέλθει από την αιχμαλωσίαν, δια τους αδελφούς των τους ιερείς και δια τον εαυτόν των.

Α Εσδ. 7,13 - καὶ ἐφάγοσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐκ τῆς αἰχμαλωσίας, πάντες οἱ χωρισθέντες ἀπὸ τῶν βδελυγμάτων τῶν ἐθνῶν τῆς γῆς, ζητοῦντες τὸν Κύριον.

Α Εσδ. 7,13 - Από τον πασχάλιον δε αμνόν έφαγαν όχι μόνον οι Ισραηλίται, οι οποίοι είχαν επανέλθει από την αιχμαλωσίαν, αλλά και όλοι εκείνοι οι οποίοι απεχωρίσθησαν από τα ακάθαρτα και ασεβή έθιμα των εθνικών της χώρας, δια να λατρεύσουν τον Κυριον.

Α Εσδ. 7,14 - καὶ ἠγάγοσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας εὐφραινόμενοι ἔναντι Κυρίου,

Α Εσδ. 7,14 - Εώρτασαν την εορτήν των αζύμων, δηλαδή την εορτήν του Πασχα, επί επτά ημέρας ευφραινόμενοι ενώπιον του Κυρίου,

Α Εσδ. 7,15 - ὅτι μετέστρεψε τὴν βουλὴν τοῦ βασιλέως Ἀσσυρίων ἐπ᾿ αὐτοὺς κατισχῦσαι τὰς χεῖρας αὐτῶν ἐπὶ τὰ ἔργα Κυρίου Θεοῦ Ἰσραήλ.

Α Εσδ. 7,15 - διότι ο Κυριος μετέστρεψε την γνώμην και απόφασιν του βασιλέως των Ασσυρίων υπέρ των Ιουδαίων, ώστε να ενισχυθούν τα χέρια των εις τα έργα της ανοικοδομήσεως του ναού του Κυρίου, του Θεού των Ισραηλιτών.

Α ΕΣΔΡΑΣ 8

Α Εσδ. 8,1 - Καὶ μεταγενέστερος τούτων βασιλεύοντος Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως προσέβη Ἔσδρας Σαραίου, τοῦ Ἐζεχρίου, τοῦ Χελκίου

τοῦ Σαλήμου,

Α Εσδ. 8,1 - Επειτα από τα γεγονότα αυτά, μετά πάροδον δηλαδή μερικών δεκαετιών, όταν βασιλεύς των Περσών ήτο ο Αρταξέρξης, επανήλθεν από την αιχμαλωσίαν εις την πατρίδα του ο Εσδρας ο υιός του Σαραίου, υιού του Εζεχρίου, υιού του Χελκίου, υιοί του Σαλήμου,

Α Εσδ. 8,2 - τοῦ Σαδδούκου, τοῦ Ἀχιτώβ, τοῦ Ἀμαρίου, τοῦ Ὀζίου, τοῦ Βοκκά, τοῦ Ἀβισαΐ, τοῦ Φινεές, τοῦ Ἐλεάζαρ, τοῦ Ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου.

Α Εσδ. 8,2 - υιού του Σαδδούκου, υιού του Αχιτώβ, υιού του Αμαρίου, υιού του Οζίου, υιού του Βοκά, υιού του Αβισαΐ, υιού του Φινεές, υιού του Ελεάζαρ, υιού του Ααρών του πρώτου αρχιερέως.

Α Εσδ. 8,3 - οὗτος Ἔσδρας ἀνέβη ἐκ Βαβυλῶνος ὡς γραμματεὺς εὐφυὴς ὢν ἐν τῷ Μωυσέως νόμῳ τῷ ἐκδεδομένῳ ὑπὸ τοῦ Θεοῦ τοῦ Ἰσραήλ,

Α Εσδ. 8,3 - Αυτός ο Εσδρας επανήλθεν από την Βαβυλώνα εις την Ιερουσαλήμ και ήτο ευφυής γραμματεύς, βαθύς γνώστης του νόμου του Μωϋσέως, ο οποίος είχε δοθή από τον Θεόν στον ισραηλιτικόν λαόν.

Α Εσδ. 8,4 - καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεὺς δόξαν, εὑρόντος χάριν ἐνώπιον αὐτοῦ ἐπὶ πάντα τὰ ἀξιώματα αὐτοῦ.

Α Εσδ. 8,4 - Ο βασιλεύς ιδιαιτέρως τον εδόξασε, διότι αυτός ευρήκε χάριν ενώπιον του βασιλέως, ώστε ο βασιλεύς να εκπληρώση όλα τα αιτήματά του.

Α Εσδ. 8,5 - καὶ συνανέβησαν ἐκ τῶν υἱῶν Ἰσραὴλ καὶ τῶν ἱερέων καὶ Λευιτῶν καὶ ἱεροψαλτῶν καὶ θυρωρῶν καὶ ἱεροδούλων εἰς Ἱερουσαλὴμ

Α Εσδ. 8,5 - Μαζή δέ με αυτόν ανέβησαν συγχρόνως εις την Ιερουσαλήμ και άλλοι Ισραηλίται, ιερείς, Λευίται, ιεροψάλται, θυρωροί και υπηρέται του ναού.

Α Εσδ. 8,6 - ἔτους ἑβδόμου βασιλεύοντος Ἀρταξέρξου ἐν τῷ πέμπτῳ μηνὶ (οὗτος ἐνιαυτὸς ἕβδομος τῷ βασιλεῖ). ἐξελθόντες γὰρ ἐκ Βαβυλῶνος τῇ νουμηνίᾳ τοῦ πρώτου μηνὸς παρεγένοντο εἰς Ἱερουσαλὴμ κατὰ τὴν δοθεῖσαν αὐτοῖς εὐοδίαν παρὰ τοῦ Κυρίου ἐπ᾿ αὐτῷ·

Α Εσδ. 8,6 - Ανέβησαν δε αυτοί κατά το έβδομον έτος της βασιλείας του Αρταξέρξου, τον πέμπτον μήνα (αυτό είναι το έβδομον έτος της βασιλείας του Αρταξέρξου). Ανεχώρησαν από την Βαβυλώνα την πρώτην ημέραν του πρώτου μηνός και έφθασαν απροσκόπτως εις την Ιερουσαλήμ, διότι ο Κυριος, μέσω του Εσδρα, κατευώδωσε την πορείαν αυτών.

Α Εσδ. 8,7 - ὁ γὰρ Ἔσδρας πολλὴν ἐπιστήμην περιεῖχεν εἰς τὸ μηδὲν παραλιπεῖν τῶν ἐκ τοῦ νόμου Κυρίου καὶ ἐκ τῶν ἐντολῶν διδάξαι πάντα τὸν Ἰσραὴλ δικαιώματα καὶ κρίματα.

Α Εσδ. 8,7 - Ο δε Εσδρας κατείχεν εις βάθος και πλάτος μεγάλην γνώσιν της Αγίας Γραφής. Δεν ήθελε δε τίποτε να παραλείψη από τον Νομον και τας

εντολάς του Κυρίου, αλλά επιθυμούσε να διδάξη εις όλον τον ισραηλιτικόν λαόν τον Νομον και τας κρίσστου Κυρίου.

Α Εσδ. 8,8 - Προσπεσόντος δὲ τοῦ γραφέντος προστάγματος παρὰ Ἀρταξέρξου βασιλέως πρὸς Ἔσδραν τὸν ἱερέα καὶ ἀναγνώστην τοῦ νόμου Κυρίου, οὗ ἐστιν ἀντίγραφον τὸ ὑποκείμενον·

Α Εσδ. 8,8 - Από το υπογραφέν δε αυτό διάταγμα του βασιλέως Αρταξέρξου προς τον Εσδραν τον ιερέα και αναγνώστην του νόμου του Κυρίου, ευρέθη ένα αντίγραφον, το οποίον περιέχει τα εξής·

Α Εσδ. 8,9 - «Βασιλεὺς Ἀρταξέρξης Ἔδρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ νόμου Κυρίου χαίρειν.

Α Εσδ. 8,9 - “Ο βασιλεύς Αρταξέρξης χαιρετίζει τον Εσδραν, τον ιερέα και αναγνώστην του νόμου του Κυρίου.

Α Εσδ. 8,10 - καὶ τὰ φιλάνθρωπα ἐγὼ κρίνας προσέταξα τοὺς βουλομένους ἐκ τοῦ ἔθνους τῶν Ἰουδαίων αἱρετίζοντας καὶ τῶν ἱερέων καὶ τῶν Λευιτῶν, καὶ τῶνδε ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ, συμπορεύεσθαί σοι εἰς Ἱερουσαλήμ.

Α Εσδ. 8,10 - Επειδή εγώ τρέφω φιλάνθρωπα αισθήματα προς σας τους Ιουδαίους, διέταξα, όπως όσοι από το έθνος των Ιουδαίων, οι οποίοι ευρίσκονται στο βασίλειόν μου, επιθυμούν μαζή με τους ιερείς και τους Λευίτας να επανέλθουν εις την πατρίδα των, ας πορευθούν μαζή με σε εις την Ιερουσαλήμ.

Α Εσδ. 8,11 - ὅσοι οὖν ἐνθυμοῦνται, συνεξορμάσθωσαν καθάπερ δέδοκται ἐμοί τε καὶ τοῖς ἑπτὰ φίλοις συμβουλευταῖς,

Α Εσδ. 8,11 - Οσοι λοιπόν επιθυμούν ημπορούν να ξεκινήσουν μαζή σου, όπως εφάνη καλόν εις εμέ και στους επτά φίλους συμβούλους μου.

Α Εσδ. 8,12 - ὅπως ἐπισκέψωνται τὰ κατὰ τὴν Ἰουδαίαν καὶ Ἱερουσαλὴμ ἀκολούθως ᾧ ἔχει ἐν τῷ νόμῳ Κυρίου,

Α Εσδ. 8,12 - Αυτοί θα επιστρέψουν μαζή σου, δια να φροντίσουν δια τα πράγματα της Ιουδαίας και της Ιερουσαλήμ, σύμφωνα με όσα περιέχονται στον νόμον του Κυρίου.

Α Εσδ. 8,13 - καὶ ἀπενεγκεῖν δῶρα τῷ Κυρίῳ τοῦ Ἰσραήλ, ἃ ηὐξάμην ἐγώ τε καὶ οἱ φίλοι, εἰς Ἱερουσαλήμ, καὶ πᾶν χρυσίον καὶ ἀργύριον, ὃ ἐὰν εὑρεθῇ ἐν τῇ χώρᾳ τῆς Βαβυλωνίας, τῷ Κυρίῳ εἰς Ἱερουσαλὴμ σὺν τῷ δεδωρημένῳ ὑπὸ τοῦ ἔθνους εἰς τὸ ἱερὸν τοῦ Κυρίου Θεοῦ αὐτῶν τὸ ἐν Ἱερουσαλὴμ

Α Εσδ. 8,13 - Και θα μεταφέρουν, δια να προσφέρουν εκ μέρους μου, τα δώρα στον Κυριον τον Θεόν των Ισραηλιτών, τα οποία ετάξαμεν εγώ και οι φίλοι μου, όπως επίσης και κάθε χρυσίον και αργύριον, το οποίον ήθελεν εξευρεθή εις την χώραν της Βαβυλώνος, δια να προσφερθή στον Κυριον εις

την Ιερουσαλήμ, μαζή με εκείνο το οποίον ο λαός θα προσέφερε δια τον ιερόν ναόν της Ιερουσαλήμ.

Α Εσδ. 8,14 - συναχθῆναι, τό τε χρυσίον καὶ τὸ ἀργύριον εἰς ταύρους καὶ κριοὺς καὶ ἄρνας καὶ τὰ τούτοις ἀκόλουθα,

Α Εσδ. 8,14 - Αυτοί επίσης θα φροντίσουν, να συγκεντρώσουν το χρυσίον και το αργύριον, ώστε να αγοράσουν ταύρους και κριους και αρνιά και όσα αλλά χρειάζονται δια τας σχετικάς θυσίας,

Α Εσδ. 8,15 - ὥστε προσενεγκεῖν θυσίας τῷ Κυρίῳ ἐπὶ τὸ θυσιαστήριον τοῦ Κυρίου Θεοῦ αὐτῶν τὸ ἐν Ἱερουσαλήμ.

Α Εσδ. 8,15 - ώστε να ημπορέσουν να προσφέρουν θυσίας προς τον Κυριον επάνω στο θυσιαστήριον Κυρίου του Θεού των, εις την Ιερουσαλήμ.

Α Εσδ. 8,16 - καὶ πάντα, ὅσα ἐὰν βούλῃ μετὰ τῶν ἀδελφῶν σου ποιῆσαι χρυσίῳ καὶ ἀργυρίῳ, ἐπιτέλει κατὰ τὸ θέλημα τοῦ Θεοῦ σου,

Α Εσδ. 8,16 - Και όσα άλλα θέλεις μαζή με τους συμπατριώτας σου να προσφέρης χρυσόν και άργυρον, κάμε τα σύμφωνα με το θέλημα του Θεού σου.

Α Εσδ. 8,17 - καὶ τὰ ἱερὰ σκεύη τοῦ Κυρίου τὰ διδόμενά σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ Θεοῦ σου τοῦ ἐν Ἱερουσαλὴμ

Α Εσδ. 8,17 - Και τα ιερά σκεύη του ναού του Κυρίου, τα οποία θα σου δοθούν δια τας ανάγκας του εις την Ιερουσαλήμ ναού του Θεού σου, θα τα παραλάβης μαζή σου.

Α Εσδ. 8,18 - καὶ τὰ λοιπὰ ὅσα ἂν ὑποπίπτῃ σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ Θεοῦ σου δώσεις ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου.

Α Εσδ. 8,18 - Και όσα άλλα θα κρίνης απαραίτητα δια την ανάγκην του ναού του Θεού σου θα τα πάρης και θα τα προσφέρης από το βασιλικόν θησαυροφυλάκιον.

Α Εσδ. 8,19 - κἀγὼ ἰδοὺ Ἀρταξέρξης βασιλεὺς προσέταξας τοῖς γαζοφύλαξι Συρίας καὶ Φοινίκης, ἵνα ὅσα ἐὰν ἀποστείλῃ Ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου τοῦ Θεοῦ τοῦ Ὑψίστου, ἐπιμελῶς διδῶσιν ἕως ἀργυρίου ταλάντων ἑκατόν,

Α Εσδ. 8,19 - Εγώ δε ο ίδιος ο βασιλεύς Αρταξέρξης διέταξα τους θησαυροφύλακας της Συρίας και της Φοινίκης, όσα θα ζητήοη ο ιερεύς Εσδρας, ο αναγνώστης του νόμου του Θεού του Υψίστου να τα χορηγήσουν προθύμως μέχρι εκατόν τάλαντα αργυρίου.

Α Εσδ. 8,20 - ὁμοίως δὲ καὶ ἕως πυροῦ κόρων ἑκατὸν καὶ οἴνου μετρητῶν ἑκατὸν

Α Εσδ. 8,20 - Ομοίως δε να χορηγήσουν σίτον μέχρις εκατόν κόρους και οίνον μέχρις εκατόν μετρητάς·

Α Εσδ. 8,21 - καὶ ἄλλα ἐκ πλήθους· πάντα κατὰ τὸν τοῦ Θεοῦ νόμον ἐπιτελεσθήτω ἐπιμελῶς τῷ Θεῷ τῷ Ὑψίστῳ, ἕνεκεν τοῦ μὴ γενέσθαι ὀργὴν

εἰς τὴν βασιλείαν τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ.

Α Εσδ. 8,21 - και πολλά άλλα. Ολα δε πρέπει να εκτελεσθούν με επιμέλειαν σύμφωνα με τον νόμον του Θεού του Υψίστου, δια να μη πέση οργή του Θεού εναντίον του βασιλέως και των υιών αυτού.

Α Εσδ. 8,22 - καὶ ὑμῖν δὲ λέγεται ὅπως πᾶσι τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱεροδούλοις καὶ πραγματικοῖς τοῦ ἱεροῦ τούτου μηδὲ μία φορολογία μηδὲ ἄλλη ἐπιβουλὴ γίνηται, καὶ μηδένα ἔχειν ἐξουσίαν ἐπιβαλεῖν τι τούτοις.

Α Εσδ. 8,22 - Ακόμη δε διδώ εντολήν και καθιστώ γνωστόν εις σας, όπως εις όλους τους ιερείς, τους Λευίτας, τους ιεροψάλτας, τους θυρωρούς, τους υπηρέτας του ναού και το άλλο προσωπικόν που ασχολείται στο ιερόν τούτο, μη επιβληθή καμμία φορολογία, ούτε και καμμία άλλη ενόχλησις θα γίνεται εις αυτούς και κανείς δεν θα έχη την εξουσίαν να επιβάλη κάτι εις αυτούς.

Α Εσδ. 8,23 - καὶ σύ, Ἔσδρα, κατὰ τὴν σοφίαν τοῦ Θεοῦ ἀνάδειξον κριτὰς καὶ δικαστάς, ὅπως δικάζωσιν ἐν ὅλῃ Συρίᾳ καὶ Φοινίκῃ πάντας τοὺς ἐπισταμένους τὸν νόμον τοῦ Θεοῦ σου· καὶ τοὺς μή ἐπισταμένους διδάξεις.

Α Εσδ. 8,23 - Και συ, Εσδρα, σύμφωνα με την σοφίαν του Θεού, πρέπει να αναδείξης διοικητάς και δικαστάς, δια να δικάζουν τους Ιουδαίους εις όλην την Συρίαν και την Φοινίκην, εκείνους οι οποίοι γνωρίζουν τον νόμον του Θεού, εκείνους δε οι οποίοι δεν γνωρίζουν τον Νομον θα τους διδάξης.

Α Εσδ. 8,24 - καὶ πάντες, ὅσοι ἂν παραβαίνωσι τὸν νόμον τοῦ Θεοῦ σου καὶ τὸν βασιλικόν, ἐπιμελῶς κολασθήσονται, ἐάν τε καὶ θανάτῳ· ἐάν τε καὶ τιμωρίᾳ ἢ ἀργυρικῇ ζημίᾳ ἢ ἀπαγωγῇ».

Α Εσδ. 8,24 - Ολοι δε εκείνοι, οι οποίοι παραβαίνουν τον νόμον του Θεού σου η τον βασιλικόν νόμον, θα τιμωρούνται αυστηρώς η με θάνατον η με άλλην σχετικήν τιμωρίαν, με χρηματικόν, δηλαδή, πρόστιμον η με εξορίαν”.

Α Εσδ. 8,25 - Καὶ εἶπεν Ἔσδρας ὁ γραμματεύς· εὐλογητὸς μόνος Κύριος ὁ Θεὸς τῶν πατέρων μου ὁ δοὺς ταῦτα εἰς τὴν καρδίαν τοῦ βασιλέως, δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν Ἱερουσαλήμ,

Α Εσδ. 8,25 - Είπε τότε ο γραμματεύς Εσδρας· “ας είναι δοξασμένος ο μόνος Κυριος, ο Θεός των πατέρων μου, ο οποίος ενέβαλεν αυτά τα αισθήματα και αυτάς τας αποφάσεις εις την καρδίαν του βασιλέως, δια να δοξάση τον ναόν αυτού, που ευρίσκεται εις την Ιερουσαλήμ.

Α Εσδ. 8 ,26 - καὶ ἐμὲ ἐτίμησεν ἐναντίον τοῦ βασιλέως καὶ τῶν συμβουλευόντων καὶ πάντων τῶν φίλων καὶ μεγιστάνων αὐτοῦ.

Α Εσδ. 8,26 - Αλλά και εμέ εδόξασεν ο Θεός ενώπιον του βασιλέως και των συμβούλων του και όλων των φίλων και μεγιστάνων.

Α Εσδ. 8,27 - καὶ ἐγὼ εὐθαρσὴς ἐγενόμην κατὰ τὴν ἀντίληψιν Κυρίου τοῦ Θεοῦ μου καὶ συνήγαγον ἄνδρας ἐκ τοῦ Ἰσραὴλ ὥστε συναναβῆναί μοι.

Α Εσδ. 8,27 - Εγώ δε βλέπων ολοφάνερα την βοήθειαν αυτήν του Κυρίου επήρα θάρρος και συνεκέντρωσα ανθρώπους από τον Ισραηλιτικόν λαόν, δια να αναβούν μαζή με εμέ εις την Ιερουσαλήμ.

Α Εσδ. 8,28 - Καὶ οὗτοι οἱ προηγούμενοι κατὰ τὰς πατριὰς αὐτῶν καὶ τὰς μεριδαρχίας οἱ ἀναβάντες μετ᾿ ἐμοῦ ἐκ Βαβυλῶνος ἐν τῇ βασιλείᾳ Ἀρταξέρξου τοῦ βασιλέως·

Α Εσδ. 8,28 - Οι αρχηγοί δε του λαού κατά τας γενεάς και τας οικογενείας αυτών, οι οποίοι ανέβησαν μαζή με εμέ από την Βαβυλώνα εις την Ιερουσαλήμ επί της βασιλείας του βασιλέως Αρταξέρξου ήσαν οι εξής·

Α Εσδ. 8,29 - ἐκ τῶν υἱῶν Φινεές, Γηρσών· ἐκ τῶν υἱῶν Ἰαθαμάρου, Γαμαλιήλ· ἐκ τῶν υἱῶν Δαυίδ, Λαττοὺς ὁ Σεχενίου·

Α Εσδ. 8,29 - Από την γενεάν του Φινεές ο Γηρσών. Από την γενεάν του Ιαθαμάρου ο Γαμαλιήλ. Από την γενεάν του Δαυίδ ο Λαττούς, ο υιός του Σεχενίου.

Α Εσδ. 8,30 - ἐκ τῶν υἱῶν Φόρος, Ζαχαρίας καὶ μετ᾿ αὐτοῦ ἀπεγράφησαν ἄνδρες ἑκατὸν πεντήκοντα·

Α Εσδ. 8,30 - Από την γενεάν του Φορος ο Ζαχαρίας και άλλοι εκατόν πενήντα άνδρες, οι οποίοι κατεγράφησαν να επανέλθουν μαζή του.

Α Εσδ. 8,31 - ἐκ τῶν υἱῶν Φαὰθ Μωάβ, Ἐλιαωνίας Ζαραίου καὶ μετ᾿ αὐτοῦ ἄνδρες διακόσιοι·

Α Εσδ. 8,31 - Από την γενεάν του Φαάθ Μωάβ, ο Ελιαωνίας, υιός του Ζαραίου και οι μαζή με αυτόν διακόσιοι άνδρες.

Α Εσδ. 8,32 - ἐκ τῶν υἱῶν Ζαθόης, Σεχενίας Ἰεζήλου καὶ μετ᾿ αὐτοῦ ἄνδρες τριακόσιοι· ἐκ τῶν υἱῶν Ἀδίν, Ὠβὴθ Ἰωνάθου καὶ μετ᾿ αὐτοῦ ἄνδρες διακόσιοι πεντήκοντα·

Α Εσδ. 8,32 - Από την γενεάν του Ζαθόης ο Σεχενίας, ο υιός του Ιεζήλου, και μαζή με αυτόν άλλοι τριακόσιοι άνδρες. Από την γενεάν του Αδίν, ο Ωβήθ, υιός του Ιωνάθου, και μαζή με αυτόν διακόσιοι πενήντα άνδρες.

Α Εσδ. 8,33 - ἐκ τῶν υἱῶν Ἠλάμ, Ἰεσίας Γοθολίου καὶ μετ᾿ αὐτοῦ ἄνδρες ἑβδομήκοντα·

Α Εσδ. 8,33 - Από την γενεάν του Ηλάμ ο Ιεσίας υιός του Γοθολίου, και μαζή με αυτόν εβδομήκοντα άνδρες.

Α Εσδ. 8,34 - ἐκ τῶν υἱῶν Σαφατίου, Ζαραΐας Μιχαήλου καὶ μετ᾿ αὐτοῦ ἄνδρες ἑβδομήκοντα·

Α Εσδ. 8,34 - Από την γενεάν του Σαφατίου ο Ζαραΐας, υιός του Μιχαήλου, και μαζή με αυτόν εβδομήκοντα άνδρες.

Α Εσδ. 8,35 - ἐκ τῶν υἱῶν Ἰωάβ, Ἀβαδίας Ἰεζήλου καὶ μετ᾿ αὐτοῦ ἄνδρες διακόσιοι δεκαδύο·

Α Εσδ. 8,35 - Από την γενεάν του Ιωάβ ο Αβαδίας, υιός του Ιεζήλου, και μαζή με αυτόν άλλοι διακόσιοι δώδεκα άνδρες.

Α Εσδ. 8,36 - ἐκ τῶν υἱῶν Βανίας, Σαλιμὼθ Ἰωσαφίου καὶ μετ᾿ αὐτοῦ ἄνδρες ἑξήκοντα καὶ ἑκατόν·

Α Εσδ. 8,36 - Από την γενεάν του Βανία ο Σαλιμώθ, υιός του Ιωσαφίου, και μαζή με αυτόν εκατόν εξήκοντα άνδρες.

Α Εσδ. 8,37 - ἐκ τῶν υἱῶν Βαβί, Ζαχαρίας Βηβαΐ καὶ μετ᾿ αὐτοῦ ἄνδρες εἰκοσιοκτώ·

Α Εσδ. 8,37 - Από την γενεάν του Βαβί ο Ζαχαρίας, υιός του Βηβαΐ, και οι μαζή με αυτόν εικοσιοκτώ άνδρες.

Α Εσδ. 8,38 - ἐκ τῶν υἱῶν Ἀστάθ, Ἰωάννης Ἀκατὰν καὶ μετ᾿ αὐτοῦ ἄνδρες ἑκατὸν δέκα·

Α Εσδ. 8,38 - Από την γενεάν του Αστάθ ο Ιωάννης, υιός του Ακατάν, και μαζή με αυτόν εκατόν δέκα άνδρες.

Α Εσδ. 8,39 - ἐκ τῶν υἱῶν Ἀδωνικάμ, οἱ ἔσχατοι καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐλιφαλὰ τοῦ Γεουὴλ καὶ Σαμαίας καὶ μετ᾿ αὐτῶν ἄνδρες ἑβδομήκοντα·

Α Εσδ. 8,39 - Από την γενεάν του Αδωνικάμ οι τελευταίοι, των οποίων τα ονόματα είναι· Ελιφαλά υιός του Γεουήλ και Σαμαίας και μαζή με αυτούς εβδομήκοντα άνδρες.

Α Εσδ. 8,40 - ἐκ τῶν υἱῶν Βαγώ, Οὐθὶ ὁ τοῦ Ἰσταλκούρου καὶ μετ᾿ αὐτοῦ ἄνδρες ἑβδομήκοντα.

Α Εσδ. 8,40 - Από την γενεάν του Βαγώ ο Ουθί, υιός του Ισταλκούρου, και μαζή με αυτόν εβδομήκοντα άνδρες.

Α Εσδ. 8,41 - Καὶ συνήγαγον αὐτοὺς ἐπὶ τὸν λεγόμενον Θερὰν ποταμόν, καὶ παρενεβάλομεν ἡμέρας τρεῖς αὐτόθι, καὶ κατέμαθον αὐτούς.

Α Εσδ. 8,41 - Εγώ ο Εσδρας συνεκέντρωσα αυτούς εις ποταμόν τον λεγόμενον Θεράν. Εκεί κατεσκηνώσαμεν επί τρεις ημέρας, τους επεθεώρησα και τους εγνώρισα.

Α Εσδ. 8,42 - καὶ ἐκ τῶν ἱερέων καὶ ἐκ τῶν λευιτῶν οὐχ εὑρὼν ἐκεῖ

Α Εσδ. 8,42 - Επειδή όμως μεταξύ αυτών δεν ευρήκα αρκετούς από τους ιερείς και τους Λευίτας,

Α Εσδ. 8,43 - ἀπέστειλα πρὸς Ἐλεάζαρον καὶ Ἰδουῆλον καὶ Μαιὰ καὶ Μασμὰν καὶ Ἀλναθὰν καὶ Σαμαίαν καὶ Ἰώριβον, Νάθαν, Ἐννατάν, Ζαχαρίαν καὶ Μοσόλλαμον τοὺς ἡγουμένους καὶ ἐπιστήμονας

Α Εσδ. 8,43 - έστειλα προς τον Ελεάζαρον ανθρώπους, τον Ιδουήλον, τον Μαια, τον Μασμάν, τον Αλναθάν, τον Σαμαίαν, τον Ιώριβον, τον Ναθαν, τον Εννατάν, τον Ζαχαρίαν και τον Μοσόλλαμον, οι οποίοι ήσαν αρχηγοί και συνετοί, μορφωμένοι άνδρες.

Α Εσδ. 8,44 - καὶ εἶπα αὐτοῖς ἐλθεῖν πρὸς Λοδδαῖον τὸν ἡγούμενον τὸν ἐν τῷ τόπῳ τοῦ γαζοφυλακίου,

Α Εσδ. 8,44 - Τους έδωσα εντολήν να έλθουν να αναζητήσουν και να εύρουν τον Λοδδαίον, τον αρχηγόν, ο οποίος συνήθως ευρίσκετο εις την θέσιν του θησαυροφυλακίου.

Α Εσδ. 8,45 - ἐντειλάμενος αὐτοῖς διαλεχθῆναι Λοδδαίῳ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ τοῖς ἐν τῷ τόπῳ γαζοφύλαξιν ἀποστεῖλαι ἡμῖν τοὺς ἱερατεύσοντας ἐν τῷ οἴκῳ τοῦ Κυρίου ἡμῶν.

Α Εσδ. 8,45 - Εδωσα εντολήν εις αυτούς, όπως μαζή με τον Λοδδαίον και τους συντρόφους αυτού και τους εκεί αρχηγούς του θησαυροφυλακίου συνεννοηθούν, δια να αποστείλουν αυτοί προς ημάς ιερείς και Λευίτας, ώστε να υπηρετούν στον ναόν του Κυρίου και Θεού μας.

Α Εσδ. 8,46 - καὶ ἤγαγον ἡμῖν κατὰ τὴν κραταιὰν χεῖρα τοῦ Κυρίου ἡμῶν ἄνδρας ἐπιστήμονας τῶν υἱῶν Μοολὶ τοῦ Λευὶ τοῦ Ἰσραήλ, Ἀσεβηβίαν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς ἀδελφούς, ὄντας δέκα καὶ ὀκτώ,

Α Εσδ. 8,46 - Εκείνοι υπό την κραταιάν χείρα του Κυρίου ημών ωδήγησαν προς ημάς συνετούς και μορφωμένους άνδρας από την γενεάν του Μοολί, απογόνου του Λευι, υιού του Ιακώβ· Τον 'Ασεβηβιαν με τους υιούς και τους αδελφούς του, οι οποίοι ήσαν εν όλω δέκα οκτώ.

Α Εσδ. 8,47 - καὶ Ἀσεβίαν καὶ Ἄννουον καὶ Ὠσαίαν ἀδελφὸν ἐκ τῶν υἱῶν Χανουναίου καὶ οἱ υἱοὶ αὐτῶν, εἴκοσιν ἄνδρες·

Α Εσδ. 8,47 - Επίσης έφεραν προς ημάς τον Ασεβίαν, τον Αννουον και τον Ωσαίαν, αδελφόν από την γενεάν του Χανουναίου, μαζή με τους υιούς των, άνδρας εν όλω είκοσι.

Α Εσδ. 8,48 - καὶ ἐκ τῶν ἱεροδούλων, ὧν ἔδωκε Δαυίδ, καὶ οἱ ἡγούμενοι εἰς τὴν ἐργασίαν τῶν Λευιτῶν, ἱεροδούλους διακοσίους καὶ εἴκοσι· πάντων ἐσημάνθη ἡ ὀνοματογραφία.

Α Εσδ. 8,48 - Τέλος από τους υπηρέτας του ναού, τους οποίους είχε χαρίσει και αφιερώσει ο Δαυίδ και οι αρχηγοί εις την υπηρεσιαν των Λευιτών, άνδρας εν όλω διακοσίους είκοσι. Ολων δε αυτών τα ονόματα κατεγράφησαν.

Α Εσδ. 8,49 - καὶ εὐξάμην ἐκεῖ νηστείαν τοῖς νεανίσκοις ἔναντι Κυρίου ἡμῶν

Α Εσδ. 8,49 - Εκεί λοιπόν, ωσάν τάξιμον, εκήρυξα δια τους νέους νηστείαν και προσευχήν προς τον Κυριον,

Α Εσδ. 8,50 - ζητῆσαι παρ᾿ αὐτοῦ εὐοδίαν ἡμῖν τε καὶ τοῖς συνοῦσιν ἡμῖν τέκνοις ἡμῶν καὶ κτήνεσιν·

Α Εσδ. 8,50 - δια να ζητήσωμεν από τον Θεόν κατευόδιον δι' ημάς και δι' εκείνους, οι οποίοι θα ευρίσκωνται μαζή μας, δια τα τέκνα μας και τα κτήνη.

Α Εσδ. 8,51 - ἐνετράπην γὰρ αἰτῆσαι τὸν βασιλέα πεζούς τε καὶ ἱππεῖς καὶ προπομπὴν ἕνεκεν ἀσφαλείας τῆς πρὸς τοὺς ἐναντιουμένους ἡμῖν·

Α Εσδ. 8,51 - Τούτο δέ, διότι ησθάνθην εντροπήν να ζητήσω εκ μέρους του βασιλέως πεζούς και ιππείς προς συνοδείαν μας, δια να μας ασφαλίσουν από όσους τυχόν θα επετίθεντο εναντίον μας στον δρόμον μας.

Α Εσδ. 8,52 - εἴπαμεν γὰρ τῷ βασιλεῖ, ὅτι ἡ ἰσχὺς τοῦ Κυρίου ἡμῶν ἔσται μετά τῶν ἐπιζητούντων αὐτὸν εἰς πᾶσαν ἐπανόρθωσιν.

Α Εσδ. 8,52 - Είχομεν άλλωστε πει στον βασιλέα, ότι η προστατευτική δύναμις του Κυρίου μας θα είναι μαζή με όλους εκείνους, οι οποίοι τον επικαλούνται δια την πλήρη αποκατάστασίν των.

Α Εσδ. 8,53 - καὶ πάλιν ἐδεήθημεν τοῦ Κυρίου ἡμῶν πάντα ταῦτα καὶ ἐτύχομεν εὐϊλάτου.

Α Εσδ. 8,53 - Και πάλιν παρεκαλέσαμεν τον Κυριον ημών δι' όλα αυτά και η συνείδησις μας επληροφόρησεν, ότι ο Κυριος ευμενώς εδέχθη τα αιτήματά μας.

Α Εσδ. 8,54 - καὶ ἐχώρισα τῶν φυλάρχων τῶν ἱερέων ἄνδρας δεκαδύο, καὶ Ἐσερεβίαν καὶ Σαμίαν καὶ μετ᾿ αὐτῶν ἐκ τῶν ἀδελφῶν αὐτῶν ἄνδρας δώδεκα,

Α Εσδ. 8,54 - Κατόπιν εξεχώρισα από τους αρχηγούς των ιερέων δώδεκα άνδρας τον Εσερεβίαν και τον Σαμίαν και μαζή με αυτούς δώδεκα άλλους άνδρας από τους αδελφούς των.

Α Εσδ. 8,55 - καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου τοῦ Κυρίου ἡμῶν, ἃ ἐδωρήσατο ὁ βασιλεύς, καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ μεγιστᾶνες καὶ πᾶς Ἰσραήλ.

Α Εσδ. 8,55 - Εζύγισα και παρέδωκα εις αυτούς το αργύριον και το χρυσίον, τα ιερά σκεύη του ναού Κυρίου του Θεού ημών, τα οποία εδώρησεν ο βασιλεύς και οι σύμβουλοι αυτού και οι μεγιστάνες αυτού και όλος ο Ισραηλιτικός λαός.

Α Εσδ. 8,56 - καὶ στήσας παρέδωκα αὐτοῖς ἀργυρίου τάλαντα ἑξακόσια πεντήκοντα καὶ σκεύη ἀργυρᾶ ταλάντων ἑκατὸν καὶ χρυσίου τάλαντα ἑκατὸν καὶ χρυσώματα εἴκοσι καὶ σκεύη χάλκεα ἀπὸ χρηστοῦ χαλκοῦ στίλβοντα χρυσοειδῆ σκεύη δώδεκα.

Α Εσδ. 8,56 - Εζύγισα, λοιπόν, και παρέδωκα εις αυτούς εξακόσια πενήντα τάλαντα αργυρίου, αργυρά σκεύη αξίας εκατόν ταλάντων, εκατόν τάλαντα χρυσίου, είκοσι χρυσά ποτήρια, δώδεκα τεμάχια χάλκινα σκεύη από καθαρόν χαλκόν, τα οποία έλαμπαν όπως ο χρυσός.

Α Εσδ. 8,57 - καὶ εἶπα αὐτοῖς· καὶ ὑμεῖς ἅγιοί ἐστε τῷ Κυρίῳ καὶ τὰ σκεύη τὰ ἅγια, καὶ τὸ χρυσίον καὶ τὸ ἀργύριον εὐχὴ τῷ Κυρίῳ, Κυρίῳ τῶν πατέρων ἡμῶν·

Α Εσδ. 8,57 - Και είπα εις αυτούς· Οπως σεις είσθε άγιοι και αφιερωμένοι στον Κυριον, και τα άγια αυτά σκεύη, ο χρυσός και ο άργυρος, είναι άγια, αφιερωμένα και αυτά στον Κυριον, τον Κυριον των πατέρων ημών.

Α Εσδ. 8,58 - ἀγρυπνεῖτε καὶ φυλάσσετε ἕως τοῦ παραδοῦναι ὑμᾶς αὐτὰ τοῖς φυλάρχοις τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν τοῦ Ἰσραὴλ ἐν Ἱερουσαλήμ, ἐν τοῖς παστοφορίοις τοῦ οἴκου τοῦ Θεοῦ ἡμῶν.

Α Εσδ. 8,58 - Λοιπόν, αγρυπνήσατε και φυλάξατε αυτά, μέχρις ότου τα παραδώσετε στους αρχηγούς των ιερέων και των Λευιτών, στους αρχηγούς των πατριών του Ισραήλ εις την Ιερουσαλήμ, δια να κατατεθούν αυτά εις τα θησαυροφυλάκια του ναού του Θεού μας.

Α Εσδ. 8,59 - καὶ οἱ παραλαβόντες οἱ ἱερεῖς καὶ οἱ Λευῖται τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐν Ἱερουσαλὴμ εἰσήνεγκαν εἰς τὸ ἱερὸν τοῦ Κυρίου.

Α Εσδ. 8,59 - Οι ιερείς και οι Λευίται, οι οποίοι παρέλαβον το αργύριον και το χρυσίον και τα ιερά αυτά σκεύη, τα έφεραν πράγματι στον εν Ιερουσαλήμ ναόν του Κυρίου.

Α Εσδ. 8,60 - Καὶ ἀναζεύξαντες ἀπὸ τοῦ ποταμοῦ Θερὰ τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς ἕως εἰσήλθομεν εἰς Ἱερουσαλὴμ κατὰ τὴν κραταιὰν χεῖρα τοῦ Κυρίου ἡμῶν τὴν ἐφ᾿ ἡμῖν· καὶ ἐῤῥύσατο ἡμᾶς ἀπὸ τῆς εἰσόδου ἀπὸ παντὸς ἐχθροῦ, καὶ ἤλθομεν εἰς Ἱερουσαλήμ.

Α Εσδ. 8,60 - Την δωδεκάτην δε ημέραν του πρώτου μηνός εξεκινήσαμεν από τον ποταμόν Θερά και επροχωρήσαμεν, έως ότου ήλθομεν εις την Ιερουσαλήμ κάτω από την παντοδύναμον προστατευτικήν χείρα του Κυρίου και Θεού μας. Ο Κυριος μας εφύλαξε και μας εγλύτωσεν στον δρόμον μας από επιθέσεις παντός εχθρού, ώστε εφθάσαμεν ασφαλείς εις την Ιερουσαλήμ.

Α Εσδ. 8,61 - καὶ γενομένης αὐτόθι ἡμέρας τρίτης, τῇ ἡμέρᾳ τῇ τετάρτῃ σταθὲν τὸ ἀργύριον καὶ τὸ χρυσίον παρεδόθη ἐν τῷ οἴκῳ Κυρίου ἡμῶν Μαρμωθὶ Οὐρίᾳ ἱερεῖ

Α Εσδ. 8,61 - Οταν επέρασαν τρεις ημέραι, κατά την τετάρτην ημέραν εζυγίσθη το αργύριον και το χρυσίον, παρεδόθη δε δια τον ναόν του Κυρίου στον ιερέα Μαρμωθί, τον υιόν του Ουρίου.

Α Εσδ. 8,62 - καὶ μετ᾿ αὐτοῦ Ἐλεάζαρ ὁ τοῦ Φινεές, καὶ ἦσαν μετ᾿ αὐτοῦ Ἰωσαβδὸς Ἰησοῦ καὶ Μωὲθ Σαβάννου, οἱ Λευῖται- πρὸς ἀριθμὸν καὶ ὁλκὴν ἅπαντα, καὶ ἐγράφη πᾶσα ἡ ὁλκὴ αὐτῶν αὐτῇ τῇ ὥρᾳ.

Α Εσδ. 8,62 - Μαζή με αυτόν ήτο ο Ελεάζαρ, ο υιός του Φινεές, όπως επίσης μαζή του ήσαν ο Ιωσαβδός υιός του Ιησού, και ο Μωέθ υιός του Σαδάννου, οι Λευίται- εκεί έγινεν αρίθμησις και ζύγισις όλων των ιερών σκευών και κατεγράφη το βάρος ενός εκάστου από αυτά την ώραν εκείνην.

Α Εσδ. 8,63 - οἱ δὲ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας προσήνεγκαν θυσίας τῷ Θεῷ τοῦ Ἰσραὴλ Κυρίῳ, ταύρους δώδεκα ὑπὲρ παντὸς Ἰσραήλ,

κριοὺς ἐνενηκονταέξ, ἄρνας ἑβδομηκονταδύο, τράγους ὑπὲρ σωτηρίου δώδεκα· ἅπαντα θυσίαν τῷ Κυρίῳ.

Α Εσδ. 8,63 - Ολοι δε εκείνοι, οι οποίοι επανήλθαν από την αιχμαλωσίαν εις την Ιερουσαλήμ σώοι, προσέφεραν θυσίαν στον Κυριον τον Θεόν του Ισραήλ δώδεκα ταύρους δι' όλον το ισραηλιτικόν έθνος, ενενηνταέξ κριούς, εβδομηνταδύο αμνούς και δώδεκα τράγους ως θυσίαν υπέρ της σωτηρίας· όλα θυσίαν προς τον Κυριον.

Α Εσδ. 8,64 - καὶ ἀπέδωκαν τὰ προστάγματα τοῦ βασιλέως τοῖς βασιλικοῖς οἰκονόμοις καὶ τοῖς ἐπάρχοις Κοίλης Συρίας καὶ Φοινίκης, καὶ ἐδόξασαν τὸ ἔθνος καὶ τὸ ἱερὸν τοῦ Κυρίου.

Α Εσδ. 8,64 - Κατόπιν ο Εσδρας και οι περί αυτόν αρχηγοί των πατριών παρέδωσαν τας διαταγάς του βασιλέως στους βασιλικούς υπαλλήλους και στους διοικητάς της Κοίλης Συρίας και Φοινίκης και εδόξασαν το ιουδαϊκόν έθνος και τον ιερόν ναόν του Κυρίου.

Α Εσδ. 8,65 - Καὶ τούτων τελεσθέντων προσήλθοσάν μοι οἱ ἡγούμενοι λέγοντες·

Α Εσδ. 8,65 - Οταν έγιναν και ετελείωσαν όλα αυτά, προσήλθον εις εμέ οι αρχηγοί του λαού και μου είπαν·

Α Εσδ. 8,66 - οὐκ ἐχώρισαν τὸ ἔθνος τοῦ Ἰσραὴλ καὶ οἱ ἄρχοντες καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς καὶ τὰς ἀκαθαρσίας αὐτῶν, Χαναναίων καὶ Χετταίων καὶ Φερεζαίων καὶ Ἰεβουσαίων καὶ Μωαβιτῶν καὶ Αἰγυπτίων καὶ Ἰδουμαίων·

Α Εσδ. 8,66 - “ούτε το έθνος των Ισραηλιτών, ούτε οι άρχοντες, ούτε οι ιερείς και οι Λευίται εχωρίσθησαν αυτό τους ξένους λαούς της χώρας και από τα αμαρτωλά μιάσματα αυτών, από τους Χαναναίους, τους Χετταίους, τους Φερεζαίους, τους Ιεδουσαίους, τους Μωαβίτας, τους Αιγυπτίους και τους Ιδουμαίους.

Α Εσδ. 8,67 - συνῴκησαν γὰρ μετὰ τῶν θυγατέρων αὐτῶν καὶ αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν, καὶ ἐπεμίγη τὸ σπέρμα τὸ ἅγιον εἰς τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς, καὶ μετεῖχον οἱ προηγούμενοι καὶ οἱ μεγιστᾶνες τῆς ἀνομίας ταύτης ἀπὸ τῆς ἀρχῆς τοῦ πράγματος.

Α Εσδ. 8,67 - Διότι.ήλθον εις γάμον με τας θυγατέρας αυτών, με τας οποίας και συγκατώκησαν και αυτοί και τα παιδιά των και έτσι το άγιον σπέρμα του Ισραήλ, ανεμίχθη και εμολύνθη με τα ξένα έθνη της γης. Και αυτοί ακόμη οι αρχηγοί και οι επίσημοι άνδρες του Ισραήλ συμμετείχον εις την ανομίαν αυτήν εξ αρχής”.

Α Εσδ. 8,68 - καὶ ἅμα τῷ ἀκοῦσαί με ταῦτα διέῤῥηξα τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα καὶ κατέτιλα τοῦ τριχώματος τῆς κεφαλῆς καὶ τοῦ πώγωνος καὶ ἐκάθισα σύννους καὶ περίλυπος.

Α Εσδ. 8,68 - Μολις ήκουσα αυτά, έσχισα τα ιμάτιά μου και αυτήν την ιερατικήν μου στολήν, απέσπασα τας τρίχας της κεφαλής και του πώγωνός μου και εκάθισα σκεπτικός και περίλυπος.

Α Εσδ. 8,69 - καὶ ἐπισυνήχθησαν πρός με ὅσοι ποτὲ ἐπικινοῦντο ἐπὶ τῷ ῥήματι Κυρίου Θεοῦ τοῦ Ἰσραήλ, ἐμοῦ πενθοῦντος ἐπὶ τῇ ἀνομίᾳ, καὶ ἐκαθήμην περίλυπτος ἕως τῆς δειλινῆς θυσίας.

Α Εσδ. 8,69 - Ενῷ δε εγώ ήμην πενθών δια την αμαρτίαν αυτήν και εκαθήμην περίλυπος έως της απογευματινής θυσίας, συνεκεντρώθησαν προς εμέ όλοι εκείνοι, οι οποίοι ευλαβούντο το θέλημα Κυρίου του Θεού του Ισραήλ και εκινούντο εις εφαρμογήν του.

Α Εσδ. 8,70 - καὶ ἐξεγερθεὶς ἐκ τῆς νηστείας, διεῤῥηγμένα ἔχων τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα, κάμψας τὰ γόνατα καὶ ἐκτείνας τὰς χεῖρας πρὸς τὸν Κύριον ἔλεγον·

Α Εσδ. 8,70 - Οταν ηγέρθην από την νηστείαν και την συντριβήν αυτήν με σχισμένα τα ενδύματά μου και την ιεράν στολήν, έκαμψα τα γόνατά μου, ύψωσα τας χείρας μου προς τον Κυριον και είπα

Α Εσδ. 8,71 - Κύριε, ᾔσχυμμαι καὶ ἐντέτραμμαι κατὰ πρόσωπόν σου·

Α Εσδ. 8,71 - Κυριε, έχω καταληφθή από μεγάλην έντροπην ενώπιόν σου.

Α Εσδ. 8,72 - αἱ γὰρ ἁμαρτίαι ἡμῶν ἐπλεόνασαν ὑπὲρ τὰς κεφαλὰς ἡμῶν, αἱ δὲ ἄγνοιαι ἡμῶν ὑπερήνεγκαν ἕως τοῦ οὐρανοῦ

Α Εσδ. 8,72 - Διότι αι αμαρτίαι μας επληθύνθησαν και ηυξήθησαν υπέρ τας κεφαλάς μας, αι δε λόγω της αγνοίας μας παραβάσστου θείου σου θελήματος έφθασαν έως στον ουρανόν.

Α Εσδ. 8,73 - ἔτι ἀπὸ τῶν χρόνων τῶν πατέρων ἡμῶν, καί ἐσμεν ἐν μεγάλῃ ἁμαρτίᾳ ἕως τῆς ἡμέρας ταύτης.

Α Εσδ. 8,73 - Από τους χρόνους των πατέρων μας και εν συνεχεία μέχρι της ημέρας αυτής αμαρτάνομεν.

Α Εσδ. 8,74 - καὶ διά τὰς ἁμαρτίας ἡμῶν καὶ τῶν πατέρων ἡμῶν παρεδόθημεν σὺν τοῖς ἀδελφοῖς ἡμῶν καὶ σὺν τοῖς βασιλεῦσιν ἡμῶν καὶ σὺν τοῖς ἱερεῦσιν ἡμῶν τοῖς βασιλεῦσι τῆς γῆς εἰς ῥομφαίαν καὶ αἰχμαλωσίαν καὶ προνομὴν μετὰ αἰσχύνης μέχρι τῆς σήμερον ἡμέρας.

Α Εσδ. 8,74 - Εξ αιτίας των προσωπικών μας αμαρτιών και των αμαρτιών των πατέρων μας, παρεδόθη μεν μαζή με τους αδελφούς μας και τους βασιλείς μας και τους ιερείς ημών, εις την κυριαρχίαν των βασιλέων της γης. Αλλοι από ημάς εσφάγησαν με ρομφαίαν, άλλοι ωδηγήθησαν εις αιχμαλωσίαν, άλλοι υπέστησαν λεηλασίας, όλα με πολύν εξευτελισμόν μέχρι της σημερινής ημέρας.

Α Εσδ. 8,75 - καὶ νῦν κατὰ πόσον τι ἐγενήθη ἡμῖν ἔλεος παρὰ σοῦ, Κύριε, καταλειφθῆναι ἡμῖν ῥίζαν καὶ ὄνομα ἐν τῷ τόπῳ ἁγιάσματός σου

Α Εσδ. 8,75 - Και τώρα πόσον τάχα έλεός σου εδόθη από σε προς ημάς, Κυριε, ώστε να απομείνη κάποιον υπόλειμμα, κάποια ρίζα, κάποιο όνομά μας στον ιερόν τούτον τόπον του ναού σου

Α Εσδ. 8,76 - καὶ τοῦ ἀνακαλύψαι φωστῆρα ἡμῖν ἐν τῷ οἴκῳ Κυρίου τοῦ Θεοῦ ἡμῶν δοῦναι ἡμῖν τροφὴν ἐν τῷ καιρῷ τῆς δουλείας ἡμῶν; καὶ ἐν τῷ δουλεύειν ἡμᾶς οὐκ ἐγκατελείφθημεν ὑπὸ τοῦ Κυρίου ἡμῶν,

Α Εσδ. 8,76 - και να αναλάμψη φως εις ημάς στον οίκον Κυρίου του Θεού ημών, οδηγητικόν ωσάν φωτεινόν άστρον, και να μας δώση τροφήν κατά τον καιρόν της δουλείας μας; Δοξασμένον το όνομά σου, διότι και κατά τους χρόνους της δουλείας μας δεν εγκατελείφθημεν από τον Κυριον τον Θεόν μας.

Α Εσδ. 8,77 - ἀλλὰ ἐποίησεν ἡμᾶς ἐν χάριτι ἐνώπιον τῶν βασιλέων Περσῶν δοῦναι ἡμῖν τροφὴν

Α Εσδ. 8,77 - Αλλά έφερεν ετσι τα πράγματα, ώστε ημείς να εύρωμεν χάριν ενώπιον των βασιλέων των Περσών και να μας δίδουν αυτοί τροφάς.

Α Εσδ. 8,78 - καὶ δοξάσαι τὸ ἱερὸν τοῦ Κυρίου ἡμῶν καὶ ἐγεῖραι τὴν ἔρημον Σιών, δοῦναι ἡμῖν στερέωμα ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλήμ.

Α Εσδ. 8,78 - Εκαμεν ώστε να ευλαβηθούν και να τιμήσουν αυτοί τον ναόν του Κυρίου μας και να ευδοκήσουν, ώστε να ανοικοδομηθή η ερημωθείσα Σιών, δια να δοθή εις ημάς κάποια σταθερά και ασφαλής παραμονή εις την Ιουδαίαν και την Ιερουσαλήμ.

Α Εσδ. 8,79 - καὶ νῦν τί ἐροῦμεν, Κύριε, ἔχοντες ταῦτα; παρέβημεν γὰρ τὰ προστάγματά σου, ἃ ἔδωκας ἐν χειρὶ τῶν παίδων σου τῶν προφητῶν λέγων,

Α Εσδ. 8,79 - Και τώρα ημείς οι αμαρτωλοί και παραβάται τι θα είπωμεν, Κυριε, έχοντες αυτά υπ' όψιν; Διότι παρέβημεν τα προστάγματά σου, τα οποία δια μέσου των δούλων σου των προφητών παρέδωσες λέγων·

Α Εσδ. 8,80 - ὅτι ἡ γῆ, εἰς ἣν εἰσέρχεσθε κληρονομῆσαι, ἔστι γῆ μεμολυσμένη μολυσμῷ τῶν ἀλλογενῶν τῆς γῆς, καὶ τῆς ἀκαθαρσίας αὐτῶν ἐνέπλησαν αὐτήν.

Α Εσδ. 8,80 - Οτι η γη, εις την οποίαν εισέρχεσθε δια να την κατακτήσετε και κληρονομήσετε, είναι μολυσμένη από τας ηθικάς ακαθαρσίας των ξένων λαών της χώρας αυτής και αι ασχημίαι των την έχουν πλημμυρίσει.

Α Εσδ. 8,81 - καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ συνοικήσητε τοῖς υἱοῖς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν·

Α Εσδ. 8,81 - Και τώρα ακούσατέ με. Τας θυγατέρας σας να μη τας δώσετε ως συζύγους στους υιούς των ανδρών της χώρας αυτής και σεις να μη λάβετε τας θυγατέρας εκείνων ως συζύγους δια τα παιδιά σας.

Α Εσδ. 8,82 - καὶ οὐ ζητήσετε εἰρηνεῦσαι τὰ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον, ἵνα ἰσχύσαντες φάγητε τὰ ἀγαθὰ τῆς γῆς, καὶ κατακληρονομήσητε

τοῖς τέκνοις ὑμῶν ἕως αἰῶνος.

Α Εσδ. 8,82 - Καθ' όλον τον χρόνον της ζωής σας δεν θα επιζητήσετε να έχετε ειρήνην με αυτούς, διότι έτσι θα ημπορέσετε να απολαύσετε τα αγαθά της χώρας αυτής και να τα αφήνετε ως κληρονομίαν εις τα παιδιά σας εις όλους τους αιώνας.

Α Εσδ. 8,83 - καὶ τὰ συμβαίνοντα πάντα ἡμῖν γίνεται διὰ τὰ ἔργα ἡμῶν τὰ πονηρὰ καὶ τὰς μεγάλας ἁμαρτίας ἡμῶν. σὺ γάρ, Κύριε, ἐκούφισας τὰς ἁμαρτίας ἡμῶν καὶ

Α Εσδ. 8,83 - Αυτά είπες, Κυριε, δια τούτο και κάθε συμφορά, η οποία μας ευρίσκει, έρχεται ένεκα της κακής μας διαγωγής και των μεγάλων αμαρτιών μας. Και όμως συ, Κυριε, ο ελεήμων μας ανεκούφισες επανειλημμένως από τας αμαρτίας μας

Α Εσδ. 8,84 - ἔδωκας ἡμῖν τοιαύτην ῥίζαν· πάλιν ἀνεκάμψαμεν παραβῆναι τὸν νόμον σου εἰς τὸ ἐπιμιγῆναι τῇ ἀκαθαρσίᾳ τῶν ἐθνῶν τῆς γῆς.

Α Εσδ. 8,84 - και έδωσες εις ημάς αυτήν την εθνικήν ρίζαν. Ημείς όμως αδιόρθωτοι επανήλθομεν και πάλιν εις την παράβασιν του νόμου σου, διότι ανεμίχθημεν, δια των παρανόμων αυτών γάμων μας, με τους ακαθάρτους ειδωλολατρικούς λαούς αυτής της χώρας.

Α Εσδ. 8,85 - οὐχὶ ὠργίσθης ἡμῖν ἀπολέσαι ἡμᾶς ἕως τοῦ μὴ καταλιπεῖν ῥίζαν καὶ σπέρμα καὶ ὄνομα ἡμῶν;

Α Εσδ. 8,85 - Και όμως συ, Κυριε,δεν ωργίσθης, ώστε να μας εξολοθρεύσης εξ ολοκλήρου και να μη μείνη από ημάς ούτε ρίζα, ούτε σπέρμα, ούτε καν τα όνομά μας;

Α Εσδ. 8,86 - Κύριε τοῦ Ἰσραήλ, ἀληθινὸς εἶ· κατελείφθημεν γὰρ ῥίζα ἐν τῇ σήμερον.

Α Εσδ. 8,86 - Κυριε, Θεέ του Ισραήλ, συ είσαι αξιόπιστος και συνεπής εις τας υποσχέσεις σου. Δια τούτο και παρέμεινε μέχρι σήμερον κάποια ρίζα από ημάς.

Α Εσδ. 8,87 - ἰδοὺ νῦν ἐσμεν ἐνώπιόν σου ἐν ταῖς ἀνομίαις ἡμῶν· οὐ γάρ ἐστι στῆναι ἔτι ἔμπροσθέν σου ἐπὶ τούτοις.

Α Εσδ. 8,87 - Ιδού λοιπόν, Κυριε, είμεθα ενώπιόν σου με την συναίσθησιν των ανομιών μας. Δεν έχομεν το θάρρος να σταθώμεν όρθιοι ενώπιόν σου εξ αιτίας των ανομιών μας”.

Α Εσδ. 8,88 - Καὶ ὅτε προσευχόμενος Ἔσδρας ἀνθωμολογεῖτο κλαίων χαμαιπετὴς ἔμπροσθεν τοῦ ἱεροῦ, ἐπισυνήχθησαν πρὸς αὐτὸν ἀπὸ Ἱερουσαλὴμ ὄχλος πολὺς σφόδρα, ἄνδρες καὶ γυναῖκες καὶ νεανίαι· κλαυθμὸς γὰρ ἦν μέγας ἐν τῷ πλήθει.

Α Εσδ. 8,88 - Την ώραν κατά την οποίαν ο Εσδρας με δάκρυα στους οφθαλμούς και πρηνής ενώπιον του ναού, προσηύχετο και εξωμολογείτο

αυτά τα αμαρτήματα, συνεκεντρώθη ολόγυρα προς αυτόν πάρα πολύς λαός από την Ιερουσαλήμ, άνδρες, γυναίκες και νέοι. Ολον δε αυτό το πλήθος συναισθανόμενον την βαρείαν ενοχήν του απέναντι του Κυρίου ανελύθη εις πολύ μεγάλον κλαυθμόν.

Α Εσδ. 8,89 - καὶ φωνήσας Ἰεχονίας Ἰεήλου τῶν υἱῶν Ἰσραὴλ εἶπεν· Ἔσδρα, ἡμεῖς ἡμάρτομεν εἰς τὸν Κύριον καὶ συνῳκίσαμεν γυναῖκας ἀλλογενεῖς ἐκ τῶν ἐθνῶν τῆς γῆς. καὶ νῦν ἐστιν ἐπάνω πᾶς Ἰσραήλ·

Α Εσδ. 8,89 - Τοτε ο Ιεχονίας, υιός του Ιεήλου, από τους απογόνους του Ισραήλ, ανεφώνησε με μεγάλων φωνήν και είπεν· "Εσδρα, ημείς ημαρτήσαμεν ενώπιον του Κυρίου και ελάβαμεν ως συζύγους γυναίκας αλλογενείς από τα ειδωλολατρικά έθνη της γης. Αλλά τώρα όλος ο ισραηλιτικός λαός είναι έτοιμος να επανορθώση το σφάλμα του.

Α Εσδ. 8,90 - ἐν τούτῳ γινέσθω ἡμῖν ὁρκωμοσία πρὸς τὸν Κύριον, ἐκβαλεῖν πάσας τὰς γυναῖκας ἡμῶν τὰς ἐκ τῶν ἀλλογενῶν σὺν τοῖς τέκνοις αὐτῶν, ὡς ἐκρίθη σοι, καὶ ὅσοι πειθαρχοῦσι τῷ νόμῳ Κυρίου.

Α Εσδ. 8,90 - Δια τούτο ενόρκως θα υποσχεθώμεν ενώπιον του Κυρίου, να εκδιώξωμεν όλας τας γυναίκας, τας οποίας επήραμεν από τους ξένους λαούς, όπως επίσης και τα παιδιά τα οποία εγεννήθησαν από αυτάς, όπως συ θέλεις. Αυτό θα κάμουν όλοι οι Ισραηλίται, οι οποίοι υπακούουν στον νόμον του Κυρίου.

Α Εσδ. 8,91 - ἀναστὰς ἐπιτέλει· πρός σε γὰρ τὸ πρᾶγμα, καὶ ἡμεῖς μετὰ σοῦ ἰσχὺν ποιεῖν.

Α Εσδ. 8,91 - Σηκω λοιπόν και κάμε εκείνο το οποίον πρέπει, και ημείς είμεθα μαζή σου, δια να σε βοηθήσωμεν".

Α Εσδ. 8,92 - καὶ ἀναστὰς Ἔσδρας ὥρκισε τοὺς φυλάρχους τῶν ἱερέων καὶ Λευιτῶν παντὸς τοῦ Ἰσραὴλ ποιῆσαι κατὰ ταῦτα· καὶ ὤμοσαν.

Α Εσδ. 8,92 - Ο Εσδρας εσηκώθη και ώρκισε τους αρχηγούς των ιερέων, των Λευιτών και όλων των Ισραηλιτών να εφαρμόσουν όλα αυτά. Εκείνοι δε εδέχθησαν και ωρκίσθησαν.

Α ΕΣΔΡΑΣ 9

Α Εσδ. 9,1 - Καὶ ἀναστὰς Ἔδρας ἀπὸ τῆς αὐλῆς τοῦ ἱεροῦ ἐπορεύθη εἰς τὸ παστοφόριον Ἰωνὰν τοῦ Ἐλιασίβου,

Α Εσδ. 9,1 - Ο Εσδρας εσηκώθη και ανεχώρησεν από την αυλήν του ναού, μετέβη στο δωμάτιον του Ιωνάν, υιού του Ελιασίβου,

Α Εσδ. 9,2 - καὶ αὐλισθεὶς ἐκεῖ ἄρτου οὐκ ἐγεύσατο οὐδὲ ὕδωρ ἔπιε, πενθῶν ἐπὶ τῶν ἀνομιῶν τῶν μεγάλων τοῦ πλήθους.

Α Εσδ. 9,2 - και εκεί παρέμεινεν όλην την νύκτα. Αλλά ούτε άρτον έφαγε, ούτε νερό έπιε, διότι είχε καταληφθή από βαρύ πένθος δι' όλας τας μεγάλας

αυτάς ανομίας του λαού.

Α Εσδ. 9,3 - καὶ ἐγένετο κήρυγμα ἐν ὅλῃ τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ πᾶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας συναχθῆναι εἰς Ἱερουσαλήμ·

Α Εσδ. 9,3 - Με κήρυκας δε διελαλήθη καθ' όλην την Ιουδαίαν και Ιερουσαλήμ, εις όλους τους Ισραηλίτας, οι οποίοι είχαν επανέλθει εις την Ιερουσαλήμ από την αιχμαλωσίαν.

Α Εσδ. 9,4 - καὶ ὅσοι ἂν μὴ ἀπαντήσωσιν ἐν δυσὶν ἢ τρισὶν ἡμέραις κατὰ τὸ κρίμα τῶν προκαθημένων πρεσβυτέρων, ἀνιερωθήσονται τὰ κτήνη αὐτῶν, καὶ αὐτὸς ἀλλοτριωθήσεται ἀπὸ τοῦ πλήθους τῆς αἰχμαλωσίας.

Α Εσδ. 9,4 - "Οσοι δε αυτό τους Ισραηλίτας δεν θελήσουν να συμμορφωθούν εντός δύο η τριών ημερών προς την απόφασιν αυτήν των προϊσταμένων πρεσβυτέρων του λαού, θα χωρισθούν από τους άλλους Ισραηλίτας, που επανήλθον από την αιχμαλωσίας των, θα αναθεματισθούν δε και τα κτήνη των".

Α Εσδ. 9,5 - καὶ ἐπισυνήχθησαν πάντες οἱ ἐκ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν ἐν τρισὶν ἡμέραις εἰς Ἱερουσαλήμ (οὗτος ὁ μὴν ἔννατος τῇ εἰκάδι τοῦ μηνός),

Α Εσδ. 9,5 - Εξ αιτίας της διακηρύξεως αυτής όλοι οι καταγόμενοι από την φυλήν του Ιούδα και του Βενιαμίν, που είχαν επανέλθει από την αιχμαλωσίαν, συνεκεντρώθησαν εντός τριών ημερών εις την Ιερουσαλήμ (κατά τον ένατον μήνα, την εικοστήν ημέραν του μηνός αυτού).

Α Εσδ. 9,6 - καὶ συνεκάθισαν πᾶν τὸ πλῆθος ἐν τῷ εὐρυχώρῳ τοῦ ἱεροῦ τρέμοντες διὰ τὸν ἐνεστῶτα χειμῶνα.

Α Εσδ. 9,6 - Οταν δε ολόκληρον το πλήθος των Ισραηλιτών εκάθησαν στον ανοικτόν χώρον προ του ναού τρέμοντες λόγω του επικρατούντος χειμώνος,

Α Εσδ. 9,7 - καὶ ἀναστὰς Ἔσδρας εἶπεν αὐτοῖς· ὑμεῖς ἠνομήσατε καὶ συνῳκίσατε γυναιξὶν ἀλλογενέσι τοῦ προσθεῖναι ἁμαρτίας τῷ Ἰσραήλ·

Α Εσδ. 9,7 - ο Εσδρας εγερθείς είπε προς αυτούς· "σεις κατεπατήσατε τον νόμον του Θεού και ελάβατε ως συζύγους σας γυναίκας αλλοεθνείς και έτσι προσεθέσατε αμαρτίας εις τας αμαρτίας του Ισραήλ.

Α Εσδ. 9,8 - καὶ νῦν δότε ὁμολογίαν δόξαν τῷ Κυρίῳ Θεῷ τῶν πατέρων ἡμῶν

Α Εσδ. 9,8 - Και τώρα δώσατε ομολογίαν και υπόσχεσιν, η οποία θα είναι δόξα δια τον Κυριον τον Θεόν των πατέρων μας.

Α Εσδ. 9,9 - καὶ ποιήσατε τὸ θέλημα αὐτοῦ καὶ χωρίσθητε ἀπὸ τῶν ἐθνῶν τῆς γῆς καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλογενῶν.

Α Εσδ. 9,9 - Και εκτελέσατε το θέλημα αυτού, χωρισθήτε από τα έθνη της χώρας αυτής και από τας αλλοεθνείς γυναίκας σας".

Α Εσδ. 9,10 - καὶ ἐφώνησεν ἅπαν τὸ πλῆθος καὶ εἶπον μεγάλῃ τῇ φωνῇ· οὕτως ὡς εἴρηκας ποιήσομεν.

Α Εσδ. 9,10 - Ολόκληρον δε το πλήθος εκείνο εφώναξε με μεγάλην φωνήν και είπεν· "όπως είπες, έτσι και θα κάμωμεν".

Α Εσδ. 9,11 - ἀλλὰ τὸ πλῆθος πολὺ καὶ ὥρα χειμερινή, καὶ οὐκ ἰσχύομεν στῆναι αἴθριοι, καὶ τὸ ἔργον οὐκ ἔστιν ἡμῖν ἡμέρας μιᾶς οὐδὲ δύο· ἐπὶ πλεῖον γὰρ ἡμάρτομεν ἐν τούτοις.

Α Εσδ. 9,11 - Αλλά το πλήθος των συγκεντρωθέντων Ιουδαίων ήτο μεγάλο, η δε εποχή ήτο εποχή χειμώνος και είπαν· "δεν αντέχομεν να μένωμεν όρθιοι στο ύπαιθρον, διότι εκτός που ο καιρός είναι κακός, και το έργον της απομακρύνσεως των γυναικών δεν είναι ζήτημα μιας η δύο ημερών, δεδομένου ότι είμεθα πολυάριθμοι ημείς, οι οποίοι υπεπέσαμεν στο αμάρτημα αυτό.

Α Εσδ. 9,12 - στήτωσαν δὲ οἱ προηγούμενοι τοῦ πλήθους, καὶ πάντες οἱ ἐκ τῶν κατοικιῶν ἡμῶν ὅσοι ἔχουσι γυναῖκας ἀλλογενεῖς, παραγενηθήτωσαν λαβόντες χρόνον·

Α Εσδ. 9,12 - Ας έλθουν λοιπόν οι προϊστάμενοι του λαού και όλοι οι άνδρες από τας χώρας αυτάς, όσοι έχουν λάβει ξένας γυναίκας, ας έλθουν εις ωρισμένας προθεσμίας καθ' ομάδας.

Α Εσδ. 9,13 - ἑκάστου δὲ τόπου τοὺς πρεσβυτέρους καὶ τοὺς κριτὰς ἕως τοῦ λῦσαι τὴν ὀργὴν Κυρίου ἀφ᾿ ἡμῶν τοῦ πράγματος τούτου.

Α Εσδ. 9,13 - Οι άνδρες δε κάθε περιοχής ας συνοδεύονται από τους προϊσταμένους και τους δικαστάς εκάστου τόπου, μέχρις ότου αυτοί απομακρύνουν από ημάς την εξ αιτίας του ζητήματος τούτου οργήν του Κυρίου".

Α Εσδ. 9,14 - Ἰωνάθας Ἀζαήλου καὶ Ἐζεκίας Θεωκανοῦ ἐπεδέξαντο κατὰ ταῦτα, καὶ Μοσόλλαμος καὶ Λευὶς καὶ Σαββαταῖος συνεβράβευσαν αὐτοῖς.

Α Εσδ. 9,14 - Ο Ιωνάθας, ο υιός του Αζαήλου, και ο Εζεκίας υιός του Θεωκανού, ανέλαβαν αυτήν την υπόθεσιν. Ο δε Μοσόλλαμος, ο Λευίς και ο Σαββαταίος εβοηθούσαν αυτούς εις τας υποθέσεις αυτάς.

Α Εσδ. 9,15 - καὶ ἐποίησαν κατὰ πάντα ταῦτα οἱ ἐκ τῆς αἰχμαλωσίας.

Α Εσδ. 9,15 - Συνεμορφώθησαν δε και έπραξαν κατά πάντα, σύμφωνα προς τας αποφάσεις αυτάς όλοι οι επανελθόντες από την αιχμαλωσίαν.

Α Εσδ. 9,16 - καὶ ἐπελέξατο αὐτῷ Ἔσδρας ὁ ἱερεὺς ἄνδρας ἡγουμένους τῶν πατριῶν αὐτῶν πάντας κατ᾿ ὄνομα, καὶ συνεκλείσθησαν τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ δεκάτου ἐτάσαι τὸ πρᾶγμα.

Α Εσδ. 9,16 - Ο δε Εσδρας εξέλεξεν άνδρας από τους αρχηγούς των οικογενειών, τους οποίους ονομαστί εκάλεσε. Αυτοί δε κατά την πρώτην του δεκάτου μηνός συνεδρίασαν να εξετάσουν το θέμα αυτό.

Α Εσδ. 9,17 - καὶ ἤχθη ἐπὶ πέρας τὰ κατὰ τοὺς ἄνδρας τοὺς ἐπισυνέχοντας γυναῖκας ἀλλογενεῖς ἕως τῆς νουμηνίας τοῦ πρώτου μηνός.

Α Εσδ. 9,17 - Αυτό δε το ζήτημα των ανδρών, οι οποίοι είχον πάρει ξένας γυναίκας, εξεδικάζετο μέχρι της πρώτης ημέρας του πρώτου μηνός του επομένου έτους, οπότε και επερατώθη.

Α Εσδ. 9,18 - καὶ εὑρέθησαν τῶν ἱερέων οἱ ἐπισυναχθέντες ἀλλογενεῖς γυναῖκας ἔχοντες·

Α Εσδ. 9,18 - Από δε τους συγκεντρωθέντας ιερείς ευρέθησαν ότι είχαν ξένας γυναίκας οι εξής·

Α Εσδ. 9,19 - ἐκ τῶν υἱῶν Ἰησοῦ τοῦ Ἰωσεδὲκ καὶ τῶν ἀδελφῶν αὐτοῦ Μαθήλας καὶ Ἐλεάζαρος καὶ Ἰώριβος καὶ Ἰωαδάνος·

Α Εσδ. 9,19 - Από την γενεάν του Ιησού, υίού του Ιωσεδέκ και των ομογενών αυτού, οι εξής· Ο Μαθήλας, ο Ελεάζαρος, ο Ιώριβος, ο Ιωαδάνος.

Α Εσδ. 9,20 - καὶ ἐπέβαλον τὰς χεῖρας ἐκβαλεῖν τὰς γυναῖκας αὐτῶν, καὶ εἰς ἐξιλασμὸν κριοὺς ὑπὲρ τῆς ἀγνοίας αὐτῶν.

Α Εσδ. 9,20 - Αυτοί ήρπασαν με τα χέρια των τας γυναίκας των και τας απέπεμψαν και κατόπιν προσέφεραν εις εξιλέωσίν των, δια την αμαρτίαν των αυτήν, θυσίαν κριούς.

Α Εσδ. 9,21 - καὶ ἐκ τῶν υἱῶν Ἐμμήρ, Ἀνανίας καὶ Ζαβδαῖος καὶ Μάνης καὶ Σαμαῖος καὶ Ἱερεὴλ καὶ Ἀζαρίας·

Α Εσδ. 9,21 - Από την γενεάν του Εμμήρ, ευρέθησαν έχοντες ξένας γυναίκας ο 'Ανανιας, ο Ζαδδαίος, ο Μαννης, ο Σαμαίος, ο Ιερεήλ και ο Αζαρίας.

Α Εσδ. 9,22 - καὶ ἐκ τῶν υἱῶν Φαισούρ, Ἐλιωναΐς Μασσίας Ἰσμαῆλος καὶ Ναθαναῆλος καὶ Ὠκόδηλος καὶ Σαλόας·

Α Εσδ. 9,22 - Από την γενεάν του Φαισούρ ευρέθησαν να έχουν ξένας γυναίκας ο Ελιωναΐς, ο Μασσίας, ο Ισμαήλος, ο Ναθαναήλος, ο Ωκόδηλος και ο Σαλόας.

Α Εσδ. 9,23 - καὶ ἐκ τῶν Λευιτῶν, Ἰωζαβάδος καὶ Σεμεΐς καὶ Κώϊος (οὗτός ἐστι Καλιτάς) καὶ Παθαῖος καὶ Ἰούδας καὶ Ἰωνάς·

Α Εσδ. 9,23 - Από δε τους Λευίτας ευρέθησαν να έχουν αλλοεθνείς γυναίκας ο Ιωζαβάδος, ο Σεμεΐς, ο Κωϊος (αυτός είναι, ο Καλιτάς), ο Παθαίος, ο Ιούδας και ο Ιωνάς.

Α Εσδ. 9,24 - ἐκ τῶν ἱεροψαλτῶν, Ἐλιάσεβος, Βακχοῦρος·

Α Εσδ. 9,24 - Από τους ιεροψάλτας ευρέθησαν να έχουν αλλοεθνείς γυναίκας, ο Ελιάσεβος και ο Βακχούρος.

Α Εσδ. 9,25 - ἐκ τῶν θυρωρῶν, Σαλοῦμος καὶ Τολβάνης·

Α Εσδ. 9,25 - Αυτό τους θυρωρούς ο Σαλούμος και ο Τολβάνης.

Α Εσδ. 9 ,26 - ἐκ τοῦ Ἰσραὴλ ἐκ τῶν υἱῶν Φόρος, Ἱερμὰς καὶ Ἰεζίας καὶ Μελχίας καὶ Μαῆλος καὶ Ἐλεάζαρος καὶ Ἀσεβίας καὶ Βαναίας·

Α Εσδ. 9,26 - Από δε τον λαόν του Ισραήλ εκ της γενεάς του Φορος, ευρέθησαν να έχουν ξένας γυναίκας, ο Ιερμάς, ο Ιεζίας, ο Μελχίας, ο Μαήλος, ο Ελεάζαρος, ο Ασεβίας και ο Βαναίας.

Α Εσδ. 9,27 - ἐκ τῶν υἱῶν Ἠλά, Ματθανίας, Ζαχαρίας καὶ Ἰεζριῆλος καὶ Ἰωαβδίος καὶ Ἱερεμὼθ καὶ Ἀϊδίας·

Α Εσδ. 9,27 - Από την γενεάν του Ηλά, ο Ματθανίας, ο Ζαχαρίας, ο Ιεζριήλος, ο Ιωαβδίος, ο Ιερεμώθ και ο Αϊδίας.

Α Εσδ. 9,28 - καὶ ἐκ τῶν υἱῶν Ζαμώθ, Ἐλιαδάς, Ἐλιάσιμος, Ὀθονίας Ἰαριμὼθ καὶ Σάβαθος καὶ Ζεραλίας·

Α Εσδ. 9,28 - Αό την γενεάν του Ζαμώθ ο Ελιαδάς, ο Ελιάσιμος, ο Οθονίας, ο Ιαριμώθ, ο Σαβαθος και ο Ζεραλίας.

Α Εσδ. 9,29 - καὶ ἐκ τῶν υἱῶν Βηβαΐ, Ἰωάννης καὶ Ἀνανίας καὶ Ἰωζάβδος καὶ Ἀμαθίας·

Α Εσδ. 9,29 - Από την γενεάν Βηβαΐ, ο Ιωάννης, ο Ανανίας, ο Ιωζάβδος και ο Αμαθίας.

Α Εσδ. 9,30 - ἐκ τῶν υἱῶν Μανί, Ὠλαμός, Μαμοῦχος, Ἰεδαῖος, Ἰασοῦβος καὶ Ἰασαῆλος καὶ Ἱερεμώθ·

Α Εσδ. 9,30 - Από την γενεάν του Μανί, ο Ωλαμός, ο Μαμούχος, ο Ιεδαίος, ο Ιασούβος, ο Ιασαήλος και ο Ιερεμώθ.

Α Εσδ. 9,31 - καὶ ἐξ υἱῶν Ἀδδί, Νάαθος καὶ Μοοσίας, Λακκοῦνος καὶ Ναΐδος, Ματθανίας καὶ Σεσθήλ· καὶ Βαλνοῦος καὶ Μανασσίας·

Α Εσδ. 9,31 - Από την γενεάν του Αδδί, ο Νααθος, ο Μοοσίας, ο Λακκούνος, ο Ναΐδος, ο Ματθανίας, ο Σεσθήλ, ο Βαλνούος και ο Μανασσίας.

Α Εσδ. 9,32 - καὶ ἐκ τῶν υἱῶν Ἀνάν, Ἐλιωνὰς καὶ Ἀσαΐας καὶ Μελχίας καὶ Σαββαῖος καὶ Σίμων Χοσαμαῖος·

Α Εσδ. 9,32 - Από την γενεάν του Ανάν, ο Ελιωνάς, ο Ασαΐας, ο Μελχίας, ο Σαββαίος και Σιμων ο Χοσαμαίος.

Α Εσδ. 9,33 - καὶ ἐκ τῶν υἱῶν Ἀσόμ, Ἀλταναῖος καὶ Ματταθίας καὶ Σαβανναῖος καὶ Ἐλιφαλὰτ καὶ Μανασσῆς καὶ Σεμεΐ·

Α Εσδ. 9,33 - Από την γενεάν του Ασόμ, ο Αλταναίος, ο Ματταθίας, ο Σαβανναίος, ο Ελιφαλάτ, ο Μανασσής και ο Σεμεΐ.

Α Εσδ. 9,34 - καὶ ἐκ τῶν υἱῶν Βαανί, Ἱερεμίας, Μομδίος, Ἰσμαῆρος, Ἰουήλ, Μαβδαΐ καὶ Πεδίας καὶ Ἄνως, Ῥαβασίων καὶ Ἐνάσιβος καὶ Μαμνιτάναιμος, Ἐλίασις, Βαννούς, Ἐλιαλί, Σομεΐς, Σελεμίας, Ναθανίας· καὶ ἐκ τῶν υἱῶν Ἐζωρά, Σεσίς, Ἐσρήλ, Ἀζαῆλος, Σαματός, Ζαμβρί, Ἰώσηφος·

Α Εσδ. 9,34 - Από την γενεάν του Βαανί, ο Ιερεμίας, ο Μομδίος, ο Ισμαήρος ο Ιουήλ, ο Μαβδαΐ, ο Πεδίας, ο Ανως ο Ραβασίων, ο Ενάσιβος, ο Μαμνιτάναιμος, ο Ελιάσις, ο Βαννούς, ο Ελιαλί, ο Σομεΐς, ο Σελεμίας, ο Ναθανίας. Από την γενεάν του Εζωρά, ο Σεσίς, ο Εσρήλ, ο Αζαήλος, ο Σαματός, ο Ζαμβρί και ο Ιώσηφος.

Α Εσδ. 9,35 - καὶ ἐκ τῶν υἱῶν Ἐθμά, Μαζιτίας, Ζαβαδαίας, Ἠδαΐς, Ἰουήλ, Βαναίας.

Α Εσδ. 9,35 - Από την γενεάν του Εθμά, ο Μαζιτίας, ο Ζαβαδαίας, ο Ηδαΐς, ο Ιουήλ και ο Βαναίας.

Α Εσδ. 9,36 - πάντες οὗτοι συνῴκισαν γυναῖκας ἀλλογενεῖς, καὶ ἀπέλυσαν αὐτὰς σὺν τέκνοις.

Α Εσδ. 9,36 - Ολοι αυτοί είχαν λάδει ως συζύγους αλλοεθνείς γυναίκας, τας οποίας και απέπεμψαν μαζή με τα παιδιά των.

Α Εσδ. 9,37 - Καὶ κατῴκησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ἐκ τοῦ Ἰσραὴλ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῇ χώρᾳ τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν ταῖς κατοικίαις αὐτῶν.

Α Εσδ. 9,37 - Οι ιερείς, οι Λευίται και οι άλλοι από τον ισραηλιτικόν λαόν κατώκησαν εις την Ιερουσαλήμ και εις την υπόλοιπον χώραν της Ιουδαίας, ώστε κατά την πρώτην ημέραν του εβδόμου μηνός οι Ισραηλίται ευρίσκοντο πλέον εις τας κατοικίας των.

Α Εσδ. 9,38 - καὶ συνήχθη πᾶν τὸ πλῆθος ὁμοθυμαδὸν ἐπὶ τὸ εὐρύχωρον τοῦ πρὸς ἀνατολὰς τοῦ ἱεροῦ πυλῶνος

Α Εσδ. 9,38 - Τοτε συνεκεντρώθη όλον το πλήθος των Ισραηλιτών με μίαν ψυχήν εις ευρύχωρον και ανοικτόν χώρον, εμπρός εις την ανατολικήν ιεράν πύλην του ναού.

Α Εσδ. 9,39 - καὶ εἶπεν Ἔσδρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ· κόμισαι τὸν νόμον Μωυσῆ τὸν παραδοθέντα ὑπὸ Κυρίου Θεοῦ Ἰσραήλ.

Α Εσδ. 9,39 - Αυτό το πλήθος του λαού είπεν στον Εσδραν τον ιερέα και αναγνώστην του νόμου του Θεού· “φέρε και ανάγνωσε τον νόμον του Μωϋσέως, ο οποίος παρεδόθη υπό του Κυρίου του Θεού του Ισραήλ εις ημάς”.

Α Εσδ. 9,40 - καὶ ἐκόμισεν Ἔσδρας ὁ ἀρχιερεὺς τὸν νόμον παντὶ τῷ πλήθει ἀνθρώπου ἕως γυναικὸς καὶ πᾶσι τοῖς ἱερεῦσιν ἀκοῦσαι τοῦ νόμου νουμηνίᾳ τοῦ ἑβδόμου μηνός.

Α Εσδ. 9,40 - Ο αρχιερεύς Εσδρας έφερε πράγματι τον νόμον του Θεού εις όλον το πλήθος των ανθρώπων, ανδρών και γυναικών, εις όλους τους ιερείς, δια να ακούσουν τον Νομον τούτον κατά την πρώτην ημέραν του εβδόμου μηνός.

Α Εσδ. 9,41 - καὶ ἀνεγίνωσκεν ἐν τῷ πρὸ τοῦ ἱεροῦ πυλῶνος εὐρυχώρῳ, ἐξ ὄρθρου ἕως μέσης ἡμέρας, ἐνώπιον ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ἀπέδωκαν πᾶν τὸ πλῆθος τὸν νοῦν εἰς τὸν νόμον.

Α Εσδ. 9,41 - Ο Εσδρας ανεγίνωσκεν στον ευρύχωρον τόπον, που ευρίσκετο εμπρός εις την ιεράν πύλην του ναού, από πρωΐας μέχρι μεσημβρίας ενώπιον ανδρών και γυναικών. Ολος δε αυτός ο λαός προσήλωσε την διάνοιάν του εις την ακρόασιν του Νομου.

Α Εσδ. 9,42 - καὶ ἔστη Ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου ἐπὶ τοῦ ξυλίνου βήματος τοῦ κατασκευασθέντος,

Α Εσδ. 9,42 - Ο Εσδρας, ο ιερεύς και αναγνώστης του Νομου, ίστατο όρθιος επάνω εις ξύλινον βάθρον, το οποίον είχε κατασκευασθή και τοποθετηθή εκεί.

Α Εσδ. 9,43 - καὶ ἔστησαν παρ᾿ αὐτῷ Ματταθίας, Σαμμούς, Ἀνανίας, Ἀζαρίας, Οὐρίας, Ἐζεκίας, Βαάλσαμος ἐκ δεξιῶν,

Α Εσδ. 9,43 - Πλησίον δε και δεξιά του Εσδρα ίσταντο όρθιοι ο Ματταθίας, ο Σαμμους, ο Ανανίας, ο Αζαρίας, ο Ουρίας, ο Εζεκίας, και ο Βαάλσαμος.

Α Εσδ. 9,44 - καὶ ἐξ εὐωνύμων Φαλδαῖος καὶ Μισαήλ, Μελχίας, Λωθάσουβος, Ναβαρίας, Ζαχαρίας.

Α Εσδ. 9,44 - Εξ αριστερών δε αυτού ίσταντο ο Φαλδαίος, ο Μισαήλ, ο Μελχίας, ο Λωθάσουος, ο Ναβαρίας και ο Ζαχαρίας.

Α Εσδ. 9,45 - καὶ ἀναλαβὼν Ἔσδρας τὸ βιβλίον ἐνώπιον τοῦ πλήθους προεκάθητο ἐπιδόξως ἐνώπιον πάντων,

Α Εσδ. 9,45 - Εις την επίσημον αυτήν θέσιν προκαθήμενος ο Εσδρας ύψωσε το βιβλίον ενώπιον όλων.

Α Εσδ. 9,46 - καὶ ἐν τῷ λῦσαι τὸν νόμον πάντες ὀρθοὶ ἔστησαν. καὶ εὐλόγησεν Ἔσδρας τῷ Κυρίῳ Θεῷ Ὑψίστῳ Θεῷ Σαβαὼθ παντοκράτορι,

Α Εσδ. 9,46 - Ολοι δε εσηκώθησαν, αμέσως μόλις ηνοίχθη το βιβλίον του Νομου. Ο Εσδρας εδοξολογησε τον Κυριον, τον Υψιστον Θεόν, τον Παντοκράτορα, τον Κυριον των δυνάμεων του ουρανού και της γης.

Α Εσδ. 9,47 - καὶ ἐπεφώνησε πᾶν τὸ πλῆθος ἀμήν. καὶ ἄραντες ἄνω τὰς χεῖρας, προσπεσόντες ἐπὶ τὴν γῆν, προσεκύνησαν τῷ Κυρίῳ.

Α Εσδ. 9,47 - Μετά δε την δοξολογίαν αυτήν όλος ο παριστάμενος λαός ανεφώνησεν· Αμήν. Συγχρόνως δε ύψωσαν τας χείρας των προς τα άνω και έπειτα έπεσαν εις την γην και προσεκύνησαν τον Κυριον.

Α Εσδ. 9,48 - Ἰησοῦς καὶ Ἀννιοὺθ καὶ Σαραβίας καὶ Ἰαδινὸς καὶ Ἰάκουβος, Σαββαταῖος, Αὐταίας, Μαιάννας καὶ Καλίτας, Ἀζαρίας καὶ Ἰώζαβδος καὶ Ἀνανίας, Φαλίας, οἱ Λευῖται, ἐδίδασκον τὸν νόμον τοῦ Κυρίου καὶ πρὸς τὸ πλῆθος ἀνεγίνωσκον τὸν νόμον τοῦ Κυρίου, ἐμφυσιοῦντες ἅμα τὴν ἀνάγνωσιν.

Α Εσδ. 9,48 - Οι Λευίται, Ιησούς, Αννιούθ, Σαραβίας, Ιαδινός, Ιάκουβος, Σαββαταίος, Αυταίας, Μαιάννας, Καλίτας, Αζαρίας, Ιωάζαβδος, Ανανίας, και Φαλίας, εδίδασκαν και ανέλυαν τον νόμον του Κυρίου, αφού προηγουμένως ανεγίνωσκον τον Νομον ενώπιον του πλήθους. Προσεπάθουν δε να καταστήσουν σαφή και να εντυπώσουν στους ακροατάς των τα αναγινωσκόμενα.

Α Εσδ. 9,49 - καὶ εἶπεν Ἀτθαράτης Ἔσδρᾳ τῷ ἀρχιερεῖ καὶ ἀναγνώστῃ καὶ τοῖς Λευίταις τοῖς διδάσκουσι τὸ πλῆθος ἐπὶ πάντας·

Α Εσδ. 9,49 - Επειτα από την ανάγνωσιν ο Ατθαράτης είπεν στον Εσδραν τον αρχιερέα και αναγνώστην του Νομου, όπως επίσης και στους Λευίτας, οι οποίοι εδίδασκαν το πλήθος·

Α Εσδ. 9,50 - ἡ ἡμέρα αὕτη ἐστὶν ἁγία τῷ Κυρίῳ, καὶ πάντες ἔκλαιον ἐν τῷ ἀκοῦσαι τοῦ νόμου·

Α Εσδ. 9,50 - “η ημέρα αυτή είναι αγία, αφιερωμένη στον Κυριον”. Ολοι δε κατασυγκινημένοι έκλαιαν, καθώς ήκουαν την ανάγνωσιν και ανάλυσιν του Νομου.

Α Εσδ. 9,51 - βαδίσαντες οὖν φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα καὶ ἀποστείλατε ἀποστολὰς τοῖς μὴ ἔχουσιν,

Α Εσδ. 9,51 - Προσέθεσε δε ο Ατθαράτης και είπε· “πηγαίνετε λοιπόν τώρα να φάγετε πλούσια φαγητά και να πίετε ευχάριστα ποτά κατά την ευφρόσυνον αυτήν ημέραν. Αλλά στείλετε όμως και δώρα εις εκείνους, οι οποίοι είναι πτωχοί και δεν έχουν.

Α Εσδ. 9,52 - ἁγία γὰρ ἡ ἡμέρα τῷ Κυρίῳ· καὶ μὴ λυπεῖσθε, ὁ γὰρ Κύριος δοξάσει ὑμᾶς.

Α Εσδ. 9,52 - Επειδή δε η ημέρα αυτή είναι αγία αφιερωμένη στον Κυριον, μη λυπείσθε, διότι ο Κυριος θα σας ευλογήση και θα σας δοξάση”.

Α Εσδ. 9,53 - καὶ οἱ Λευῖται ἐκέλευον παντὶ τῷ δήμῳ λέγοντες· ἡ ἡμέρα αὕτη ἁγία, μὴ λυπεῖσθε.

Α Εσδ. 9,53 - Και οι Λευίται προέτρεπαν όλον τον λαόν λέγοντες· “μη λυπείσθε, διότι η ημέρα αυτή είναι αγία, είναι ημέρα χαράς”.

Α Εσδ. 9,54 - καὶ ᾤχοντο πάντες φαγεῖν καὶ πιεῖν καὶ εὐφραίνεσθαι καὶ δοῦναι ἀποστολὰς τοῖς μὴ ἔχουσι καὶ εὐφρανθῆναι μεγάλως,

Α Εσδ. 9,54 - Κατόπιν ανεχώρησαν όλοι, δια να φάγουν, να πίουν, να ευφρανθούν και να στείλουν δώρα στους πτωχούς, ώστε να ευφρανθή πάρα πολύ όλος ο Ισραηλιτικός λαός.

Α Εσδ. 9,55 - ὅτι γὰρ ἐνεφυσιώθησαν ἐν τοῖς ῥήμασιν, οἷς ἐδιδάχθησαν, καὶ ἐπισυνήχθησαν.

Α Εσδ. 9,55 - Αυτό δε εγινε, διότι ενεθουσιάσθησαν και ανεθάρρησαν με τους λόγους, τους οποίους αυτοί εδιδάχθησαν. Επειτα από αυτά συνεκεντρώθησαν και πάλιν.

ΕΣΔΡΑΣ Β'

Β ΕΣΔΡΑΣ 1

Β Εσδ. 1,1 - Καὶ ἐν τῷ πρώτῳ ἔτει Κύρου τοῦ Βασιλέως Περσῶν τοῦ τελεσθῆναι λόγον Κυρίου ἀπὸ στόματος Ἱερεμίου, ἐξήγειρε Κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ παρήγγειλε φωνὴν ἐν πάσῃ βασιλείᾳ αὐτοῦ καί γε ἐν γραπτῷ λέγων·

Β Εσδ. 1,1 - Κατά το πρώτον έτος της βασιλείας Κυρου του βασιλέως των Περσών, δια να εκπληρωθή ο λόγος, τον οποίον ο Κυριος δια του προφήτου Ιερεμίου προανήγγειλεν, εκίνησεν ο Κυριος εις συμπάθειαν την καρδίαν του Κυρου, του βασιλέως των Περσών, δια την επ'Ανοδον των Ισραηλιτν εις την Παλαιστίνην. Τοτε ο Κύρος έκαμε διακήρυξιν, την οποίαν δια κηρύκων προφορικώς διελάλησεν, αλλά και γραπτώς εξέθεσεν, εις όλον το βασίλειόν του λέγων·

Β Εσδ. 1,2 - οὕτως εἶπε Κῦρος βασιλεὺς Περσῶν· πάσας τὰς βασιλείας τῆς γῆς ἔδωκέ μοι Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐπεσκέψατο ἐπ᾿ ἐμὲ τοῦ οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν Ἱερουσαλὴμ τῇ ἐν τῇ Ἰουδαίᾳ.

Β Εσδ. 1,2 - “Αυτά διέταξε Κύρος, ο βασιλεύς των Περσών· Ο Κυριος, ο Θεός του ουρανού, ο οποίος μου εδωσεν όλας τας Βασιλείας της γης, ηυδόκησε και μου ανέθεσε να ανοικοδομήσω δι' αυτόν εις την πόλιν Ιερουσαλήμ ναόν. Αυτή δε η Ιερουσαλήμ ευρίσκεται εις την χώραν της Ιουδαίας.

Β Εσδ. 1,3 - τίς ἐν ὑμῖν ἀπὸ παντὸς τοῦ λαοῦ αὐτοῦ; καὶ ἔσται ὁ Θεὸς αὐτοῦ μετ᾿ αὐτοῦ, καὶ ἀναβήσεται εἰς Ἱερουσαλὴμ τὴν ἐν τῇ Ἰουδαίᾳ, καὶ οἰκοδομησάτω τὸν οἶκον Θεοῦ Ἰσραὴλ (αὐτὸς ὁ Θεὸς ὁ ἐν Ἱερουσαλήμ).

Β Εσδ. 1,3 - Ποιός από σας ανήκει στον λαόν του Θεού αυτού; Ας είναι ο Θεός μαζή του και ας μεταβή εις την πόλιν της Ιουδαίας, την Ιερουσαλήμ, δια να βοηθήση εις την ανοικοδόμησιν του ναού του Θεού του Ισραηλιτικού λαού (αυτός δε ο Θεός είναι Θεός της πόλεως Ιερουσαλήμ).

Β Εσδ. 1,4 - καὶ πᾶς ὁ καταλιπόμενος ἀπὸ πάντων τῶν τόπων, οὗ αὐτὸς παροικεῖ ἐκεῖ, καὶ λήψονται αὐτὸν ἄνδρες τοῦ τόπου αὐτοῦ ἐν ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἀποσκευῇ καὶ κτήνεσι μετὰ τοῦ ἑκουσίου εἰς οἶκον τοῦ Θεοῦ τοῦ ἐν Ἱερουσαλήμ.

Β Εσδ. 1,4 - Οσοι δε από τους Ιουδαίους θα απολειφθούν στο βασίλειόν μου, οπουδήποτε του κράτους μου και αν ευρίσκωνται, ας έλθουν οι άνθρωποι αυτοί βοηθοί δίδοντες στους αναχωρούντας αργύριον, χρυσίον, οικιακά σκεύη, κτήνη και οιανδήποτε άλλην εκουσίαν προσφοράν επιθυμούν να δώσουν δια τον ναόν του Θεού τον εις την Ιερουσαλήμ”.

Β Εσδ. 1,5 - καὶ ἀνέστησαν ἄρχοντες τῶν πατριῶν τῶν Ἰούδα καὶ Βενιαμὶν καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, πάντων ὧν ἐξήγειρεν ὁ Θεὸς τὸ

πνεῦμα αὐτῶν τοῦ ἀναβῆναι οἰκοδομῆσαι τὸν οἶκον Κυρίου τὸν ἐν Ἱερουσαλήμ.

Β Εσδ. 1,5 - Εσηκώθησαν τότε οι άρχοντες των οικογενειών της φυλής Ιούδα και της φυλής Βενιαμίν, ιερείς και Λευίται, και όλοι οι άλλοι των οποίων ο Θεός παρεκίνησε την καρδίαν, δια να μεταβούν και οικοδομήσουν τον ναόν του Κυρίου εις την Ιερουσαλήμ.

Β Εσδ. 1,6 - καὶ πάντες οἱ κυκλόθεν ἐνίσχυσαν ἐν χερσὶν αὐτῶν ἐν σκεύεσιν ἀργυρίου, ἐν χρυσῷ, ἐν ἀποσκευῇ καὶ ἐν κτήνεσι καὶ ἐν ξενίοις, πάρεξ τῶν ἑκουσίων.

Β Εσδ. 1,6 - Ολοι δε οι γύρω από αυτούς άνθρωποι τους ενίσχυσαν, παρέδωσαν εις τα χέρια αυτών σκεύη αργυρά, χρυσά, άλλα σκεύη, κτήνη και φιλοδωρήματα, εκτός των θεληματικών αφιερωμάτων των προς τον Θεόν.

Β Εσδ. 1,7 - καὶ ὁ βασιλεὺς Κῦρος ἐξήνεγκε τὰ σκεύη οἴκου Κυρίου, ἃ ἔλαβε Ναβουχοδονόσορ ἀπὸ Ἱερουσαλὴμ καὶ ἔδωκεν αὐτὰ ἐν οἴκῳ Θεοῦ αὐτοῦ·

Β Εσδ. 1,7 - Ο ίδιος δε ο βασιλεύς ο Κύρος εβγαλε τα ιερά σκεύη του ναού του Κυρίου, τα οποία ο Ναδουχοδονόσορ είχε συλήσει από την Ιερουσαλήμ και τα οποία είχεν αφιερώσει ο Ναβουχοδονόσορ στον ναόν του ιδικού του θεού.

Β Εσδ. 1,8 - καὶ ἐξήνεγκεν αὐτὰ Κῦρος ὁ βασιλεὺς Περσῶν ἐπὶ χεῖρα Μιθραδάτου Γασβαρηνοῦ, καὶ ἠρίθμησεν αὐτὰ τῷ Σασαβασὰρ τῷ ἄρχοντι τοῦ Ἰούδα.

Β Εσδ. 1,8 - Τα επήρεν ο Κύρος ο βασιλεύς των Περσών τα ιερά αυτά σκεύη και τα παρέδωκεν εις τα χέρια του Μιθραδάτου, του θησαυροφύλακος, ο οποίος πάλιν τα παρέδωσε κατ' αριθμόν ένα προς ένα στον Σασαβασάρ (δηλαδή τον Ζοροβάβελ), τον άρχοντα της φυλής του Ιούδα.

Β Εσδ. 1,9 - καὶ οὗτος ὁ ἀριθμὸς αὐτῶν· ψυκτῆρες χρυσοῖ τριάκοντα καὶ ψυκτῆρες ἀργυροῖ χίλιοι, παρηλλαγμένα ἐννέα καὶ εἴκοσι,

Β Εσδ. 1,9 - Ο αριθμός δε και το είδος των παραδοθέντων σκευών είναι· Δοχεία χρυσά τριάκοντα, δοχεία αργυρά χίλια, και άλλα εικοσιεννέα δευτέρας ποιότητος.

Β Εσδ. 1,10 - κεφουρῆς χρυσοῖ τριάκοντα καὶ ἀργυροῖ διπλοῖ τετρακόσια δέκα καὶ σκεύη ἕτερα χίλια.

Β Εσδ. 1,10 - Τριάκοντα χρυσά ποτήρια, τετρακόσια δέκα αργυρά δευτέρας ποιότητος, και χίλια άλλα σκεύη.

Β Εσδ. 1,11 - πάντα τὰ σκεύη τῷ χρυσῷ καὶ τῷ ἀργυρῷ πεντακισχίλια καὶ τετρακόσια, τὰ πάντα ἀναβαίνοντα μετὰ Σασαβασὰρ ἀπὸ τῆς ἀποικίας ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ.

Β Εσδ. 1,11 - Ολα δε τα ιερά αυτά σκεύη, χρυσά και αργυρά, ήσαν πέντε χιλιάδες τετρακόσια. Αυτά όλα τα μετέφερεν ο Σασαβασάρ (ήτοι ο

Ζοροβάβελ) μαζή με τους απελευθερωθέντας εκ της Βαβυλωνείου αιχμαλωσίας εις την Ιερουσαλήμ.

Β ΕΣΔΡΑΣ 2

Β Εσδ. 2,1 - Καὶ οὗτοι οἱ υἱοὶ τῆς χώρας οἱ ἀναβαίνοντες ἀπὸ τῆς αἰχμαλωσίας τῆς ἀποικίας, ἧς ἀπῴκισε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα, καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλὴμ καὶ Ἰούδα ἀνὴρ εἰς πόλιν αὐτοῦ,
Β Εσδ. 2,1 - Αυτοί δε είναι οι άνδρες των Ιουδαίων, οι οποίοι ανέβησαν από την βαβυλώνιον αιχμαλωσίαν, οπού ο βασιλεύς της Βαβυλώνος ο Ναδουχοδονόσορ τους είχε μεταφέρει και οι οποίοι επέστρεψαν εις την Ιερουσαλήμ και εις την άλλην χώραν της φυλής Ιούδα ο καθένας εις την πόλιν του.
Β Εσδ. 2,2 - οἳ ἦλθον μετὰ Ζοροβάβελ· Ἰησοῦς, Νεεμίας, Σαραΐας, Ῥεελίας, Μαρδοχαῖος, Βαλασάν, Μασφάρ, Βαγουαί, Ῥεούμ, Βαανά, ἀνδρῶν ἀριθμὸς λαοῦ Ἰσραήλ·
Β Εσδ. 2,2 - Εκείνοι οι οποίοι επανήλθον μαζή με τον Ζοροβάβελ ήσαν οι εξής· Ο Ιησούς, ο Νεεμίας, ο Σαραΐας, ο Ρεελίας, ο Μαρδοχαίος, ο Βαλασάν, ο Μασφάρ, ο Βαγουαί, ο Ρεούμ, ο Βαανά, και άλλοι άνδρες εκ του ισραηλιτικού λαού,
Β Εσδ. 2,3 - υἱοὶ Φαρὲς δισχίλιοι ἑκατὸν ἑβδομηκονταδύο·
Β Εσδ. 2,3 - δηλαδή οι απόγονοι του Φαρές δυο χιλιάδες εκατόν εβδομήκοντά δύο.
Β Εσδ. 2,4 - υἱοὶ Σαφατία τριακόσιοι ἑβδομηκονταπέντε·
Β Εσδ. 2,4 - Οι απόγονοι του Σαφατία τριακόσιοι εβδομήκοντα δύο.
Β Εσδ. 2,5 - υἱοὶ Ἄρες ἑπτακόσιοι ἑβδομηκονταπέντε·
Β Εσδ. 2,5 - Οι απόγονοι του Αρές επτακόσιοι εβδομήκοντα πέντε.
Β Εσδ. 2,6 - υἱοὶ Φαὰθ Μωὰβ τοῖς υἱοῖς Ἰησουὲ Ἰωὰβ δισχίλιοι ὀκτακόσιοι δεκαδύο·
Β Εσδ. 2,6 - Οι απόγονοι του Φαάθ Μωάβ απόγονοι των υιών αυτού Ιησουέ και Ιωάβ, δύο χιλιάδες οκτακόσιοι δώδεκα.
Β Εσδ. 2,7 - υἱοὶ Αἰλὰμ χίλιοι διακόσιοι πεντηκοντατέσσαρες·
Β Εσδ. 2,7 - Οι απόγονοι του Αιλάμ χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες.
Β Εσδ. 2,8 - υἱοὶ Ζατθουὰ ἐνακόσιοι τεσσαρακονταπέντε·
Β Εσδ. 2,8 - Οι απόγονοι του Ζατθουά εννεακόσιοι τεσσαράκοντα πέντε.
Β Εσδ. 2,9 - υἱοὶ Ζακχοὺ ἑπτακόσιοι ἑξήκοντα·
Β Εσδ. 2,9 - Οι απόγονοι του Ζακχού επτακόσιοι εξήκοντα.
Β Εσδ. 2,10 - υἱοὶ Βανουὶ ἑξακόσιοι τεσσαρακονταδύο·

Β Εσδ. 2,10 - Οι απόγονοι του Βανουί εξακόσιοι τεσσαράκοντα δύο.
Β Εσδ. 2,11 - υἱοὶ Βαβαΐ ἑξακόσιοι εἰκοσιτρεῖς·
Β Εσδ. 2,11 - Οι απόγονοι του Βαδαί εξακόσιοι είκοσι τρεις.
Β Εσδ. 2,12 - υἱοὶ Ἀσγὰδ χίλιοι διακόσιοι εἰκοσιδύο·
Β Εσδ. 2,12 - Οι απόγονοι του Ασγάδ χίλιοι διακόσιοι είκοσι δύο.
Β Εσδ. 2,13 - υἱοὶ Ἀδωνικὰμ ἑξακόσιοι ἑξηκονταέξ·
Β Εσδ. 2,13 - Οι απόγονοι του Αδωνικάμ εξακόσιοι εξήκοντα εξ.
Β Εσδ. 2,14 - υἱοὶ Βαγουὲ δισχίλιοι πεντηκονταέξ·
Β Εσδ. 2,14 - Οι απόγονοι του Βαγουέ δύο χιλιάδες πεντήκοντα εξ.
Β Εσδ. 2,15 - υἱοὶ Ἀδδὶν τετρακόσιοι πεντηκοντατέσσαρες·
Β Εσδ. 2,15 - Οι απόγονοι του Αδδίν τετρακόσιοι πεντήκοντα τέσσαρες.
Β Εσδ. 2,16 - υἱοὶ Ἀτὴρ τῷ Ἐζεκίᾳ ἐνενηκονταοκτώ·
Β Εσδ. 2,16 - Οι απόγονοι του Ατήρ από την οικογένειαν του Εζεκία ενενήκοντα οκτώ.
Β Εσδ. 2,17 - υἱοὶ Βασσοῦ τριακόσιοι εἰκοσιτρεῖς·
Β Εσδ. 2,17 - Οι απόγονοι του Βασσού τριακόσιοι είκοσι τρεις.
Β Εσδ. 2,18 - υἱοὶ Ἰωρὰ ἑκατὸν δεκαδύο·
Β Εσδ. 2,18 - Οι απόγονοι του Ιωρά εκατόν δώδεκα.
Β Εσδ. 2,19 - υἱοὶ Ἀσοὺμ διακόσιοι εἰκοσιτρεῖς·
Β Εσδ. 2,19 - Οι απόγονοι του Ασούμ διακόσιοι είκοσι τρεις.
Β Εσδ. 2,20 - υἱοὶ Γαβὲρ ἐνενηκονταπέντε·
Β Εσδ. 2,20 - Οι απόγονοι του Γαβέρ ενενήκοντα πέντε.
Β Εσδ. 2,21 - υἱοὶ Βεθλαὲμ ἑκατὸν εἰκοσιτρεῖς·
Β Εσδ. 2,21 - Οι απόγονοι του Βεθλαέμ εκατόν είκοσι τρεις.
Β Εσδ. 2,22 - υἱοὶ Νετωφὰ πεντηκονταέξ·
Β Εσδ. 2,22 - Οι απόγονοι του Νετωφά πεντήκοντα εξ.
Β Εσδ. 2,23 - υἱοὶ Ἀναθὼθ ἑκατὸν εἰκοσιοκτώ·
Β Εσδ. 2,23 - Οι απόγονοι του Αναθώθ εκατόν είκοσι οκτώ.
Β Εσδ. 2,24 - υἱοὶ Ἀζμὼθ τεσσαρακοντατρεῖς·
Β Εσδ. 2,24 - Οι απόγονοι του Αζμώθ τεσσαράκοντα τρεις.
Β Εσδ. 2,25 - υἱοὶ Καριαθιαρὶμ Χαφιρὰ καὶ Βηρὼθ ἑπτακόσιοι τεσσαρακοντατρεῖς·
Β Εσδ. 2,25 - Οι απόγονοι των κατοίκων των πόλεων Καριαθιαρίμ, Χαφιρά και Βηρώθ επτακόσιοι τεσσαράκοντα τρεις.
Β Εσδ. 2,26 - υἱοὶ τῆς Ῥαμὰ καὶ Γαβαὰ ἑξακόσιοι εἰκοσιεῖς·
Β Εσδ. 2,26 - Οι απόγονοι εκ των πόλεων Ραμά και Γαβαά εξακόσιοι είκοσι ένας.
Β Εσδ. 2,27 - ἄνδρες Μαχμὰς ἑκατὸν εἰκοσιδύο·
Β Εσδ. 2,27 - Ανδρες από την πόλιν Μαχμάς εκατόν είκοσι δύο.
Β Εσδ. 2,28 - ἄνδρες Βαιθὴλ καὶ Ἀϊὰ τετρακόσιοι εἰκοσιτρεῖς·

Β Εσδ. 2,28 - Ανδρες από την πόλιν Βαιθήλ και Αϊά τετρακόσιοι είκοσι τρεις.

Β Εσδ. 2,29 - υἱοὶ Ναβοὺ πεντηκονταδύο·

Β Εσδ. 2,29 - Οι απόγονοι του Ναβού πεντήκοντα δύο.

Β Εσδ. 2,30 - υἱοὶ Μαγεβὶς ἑκατὸν πεντηκονταέξ·

Β Εσδ. 2,30 - Οι απόγονοι του Μαγεβίς εκατόν πεντήκοντα εξ.

Β Εσδ. 2,31 - υἱοὶ Ἠλαμὰρ χίλιοι διακόσιοι πεντηκοντατέσσαρες·

Β Εσδ. 2,31 - Οι απόγονοι του Ηλαμάρ χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες.

Β Εσδ. 2,32 - υἱοὶ Ἠλὰμ τριακόσιοι εἴκοσιν·

Β Εσδ. 2,32 - Οι απόγονοι του Ηλάμ τριακόσιοι είκοσι.

Β Εσδ. 2,33 - υἱοὶ Λοδαδὶ καὶ Ὠνὼ ἑπτακόσιοι εἰκοσιπέντε·

Β Εσδ. 2,33 - Οι απόγονοι του Λοδαδί και Ωνώ επτακόσιοι είκοσι πέντε.

Β Εσδ. 2,34 - υἱοὶ Ἱεριχὼ τριακόσιοι τεσσαρακονταπέντε·

Β Εσδ. 2,34 - Οι εκ των κατοίκων της Ιεριχώ τριακόσιοι τεσσαράκοντα πέντε.

Β Εσδ. 2,35 - υἱοὶ Σεναὰ τρισχίλιοι ἑξακόσιοι τριάκοντα·

Β Εσδ. 2,35 - Οι απόγονοι του Σεναά τρεις χιλιάδες εξακόσιοι τριάκοντα.

Β Εσδ. 2,36 - καὶ οἱ ἱερεῖς υἱοὶ Ἰεδουὰ τῷ οἴκῳ Ἰησοῖ ἐνακόσιοι ἑβδομηκοντατρεῖς·

Β Εσδ. 2,36 - Από δε τους ιερείς ήσαν οι εξής· Οι απόγονοι του Ιεδουά από την οικογένειαν του Ιησού εννεακόσιοι εβδομήκοντα τρεις.

Β Εσδ. 2,37 - υἱοὶ Ἐμμὴρ χίλιοι πεντηκονταδύο·

Β Εσδ. 2,37 - Οι απόγονοι του Εμμήρ χίλιοι πεντήκοντα δύο.

Β Εσδ. 2,38 - υἱοὶ Φασσοὺρ χίλιοι διακόσιοι τεσσαρακονταεπτά·

Β Εσδ. 2,38 - Οι απόγονοι του Φασσούρ χίλιοι διακόσιοι τεσσαράκοντα επτά.

Β Εσδ. 2,39 - υἱοὶ Ἠρὲμ χίλιοι ἑπτά·

Β Εσδ. 2,39 - Οι απόγονοι του Ηρέμ χίλιοι επτά.

Β Εσδ. 2,40 - καὶ οἱ Λευῖται υἱοὶ Ἰησοῦ καὶ Καδμιὴλ τοῖς υἱοῖς Ὠδουΐα ἑβδομηκοντατέσσαρες·

Β Εσδ. 2,40 - Από δε το Λευίτας ήσαν οι κατωτέρω· Οι απόγονοι του Ιησού και του Καδμιήλ και εκ των απογόνων Ωδουΐα εβδομήκοντα τέσσαρες

Β Εσδ. 2,41 - οἱ ᾄδοντες υἱοὶ Ἀνασὰφ ἑκατὸν εἰκοσιοκτώ·

Β Εσδ. 2,41 - Από τους ψάλτας ήσαν, οι απόγονοι Ασάφ εκατόν είκοσι οκτώ.

Β Εσδ. 2,42 - υἱοὶ τῶν πυλωρῶν υἱοὶ Σελλούμ, υἱοὶ Ἀτήρ, υἱοὶ Τελμών, υἱοὶ Ἀκούβ, υἱοὶ Ἀτιτά, υἱοὶ Σωβαΐ, οἱ πάντες ἑκατὸν τριακονταεννέα·

Β Εσδ. 2,42 - Από τους θυρωρούς ήσαν, οι απόγονοι του Σελλούμ, οι απόγονοι του Ατήρ, οι απόγονοι των Τελμών, οι απόγονοι του Ακούβ, οι

απόγονοι του Ατιτά, οι απόγονοι του Σωβαΐ, όλοι αυτοί ήσαν εκατόν τριάκοντα εννέα.

Β Εσδ. 2,43 - οἱ Ναθινίμ, υἱοὶ Σουθία, υἱοὶ Ἀσουφά, υἱοὶ Ταβαώθ,

Β Εσδ. 2,43 - Οι Ναθινίμ, δηλαδή οι υπηρέται του ναού οι νεωκόροι, ήσαν· Οι απόγονοι του Σουθία, οι απόγονοι του Ασουφά, οι απόγονοι του Ταβαώθ,

Β Εσδ. 2,44 - υἱοὶ Κάδης, υἱοὶ Σιαά, υἱοὶ Φαδών,

Β Εσδ. 2,44 - Οι απόγονοι του Καδης, οι απόγονοι του Σιαα, οι απόγονοί του Φαδών,

Β Εσδ. 2,45 - υἱοὶ Λαβανώ, υἱοὶ Ἀγαβά, υἱοὶ Ἀκούβ,

Β Εσδ. 2,45 - Οι απόγονοι του Λαβανώ, οι απόγονοι του Αγαβά, οι απόγονοι του Ακούβ.

Β Εσδ. 2,46 - υἱοὶ Ἀγάβ, υἱοὶ Σελαμί, υἱοὶ Ἀνάν,

Β Εσδ. 2,46 - Οι απόγονοι του Αγάβ, οι απόγονοι του Σελαμί, οι απόγονοι του Ανάν.

Β Εσδ. 2,47 - υἱοὶ Γεδδήλ, υἱοὶ Γαάρ, υἱοὶ Ῥαϊά,

Β Εσδ. 2,47 - Οι απόγονοι του Γεδδήλ, οι απόγονοι του Γαάρ, οι απόγονοι τω Ραϊά,

Β Εσδ. 2,48 - υἱοὶ Ῥασών, υἱοὶ Νεκωδά, υἱοὶ Γαζέμ,

Β Εσδ. 2,48 - οι απόγονοι του Ρασών, οι απόγονοι του Νεκωδά, οι απόγονοι του Γαζέμ,

Β Εσδ. 2,49 - υἱοὶ Ἀζώ, υἱοὶ Φασή, υἱοὶ Βασί,

Β Εσδ. 2,49 - Οι απόγονοι του Αζώ, οι απόγονοι του Φασή, οι απόγονοι του Βασί,

Β Εσδ. 2,50 - υἱοὶ Ἀσενά, υἱοὶ Μοουνίμ, υἱοὶ Νεφουσίμ,

Β Εσδ. 2,50 - Οι απόγονοι του Ασενά, οι απόγονοι του Μοουνίμ, οι απόγονοι του Νεφουσίμ,

Β Εσδ. 2,51 - υἱοὶ Βακβούκ, υἱοὶ Ἀκουφά, υἱοὶ Ἀρούρ,

Β Εσδ. 2,51 - οι απόγονοι του Βακβούκ, οι απόγονοι του Ακουφά, οι απόγονοι του Αρούρ

Β Εσδ. 2,52 - υἱοὶ Βασαλώθ, υἱοὶ Μαουδά, υἱοὶ Ἀρσά,

Β Εσδ. 2,52 - οι απόγονοι του Βασαλώθ, οι απόγονοι του Μαουδά, οι απόγονοι του Αρσά,

Β Εσδ. 2,53 - υἱοὶ Βαρκός, υἱοὶ Σισάρα, υἱοὶ Θεμά,

Β Εσδ. 2,53 - οι απόγονοι του Βαρκός, οι απόγονοι του Σισάρα, οι απόγονοι του Θεμά,

Β Εσδ. 2,54 - υἱοὶ Νασθιέ, υἱοὶ Ἀτουφά,

Β Εσδ. 2,54 - οι απόγονοι του Νασθιέ και οι απόγονοι του Ατουφά.

Β Εσδ. 2,55 - υἱοὶ δούλων Σαλωμών, υἱοὶ Σωταΐ, υἱοὶ Σεφηρά, υἱοὶ Φαδουρά,

Β Εσδ. 2,55 - Απόγονοι δε των δούλων του Σολομώντος ήσαν οι απόγονοι του Σωταΐ, οι απόγονοι του Σεφηρά, απόγονοι του Φαδουρά,

Β Εσδ. 2,56 - υἱοὶ Ἰεηλά, υἱοὶ Δαρκών, υἱοὶ Γεδήλ,

Β Εσδ. 2,56 - οι απόγονοι του Ιεηλά, οι απόγονοι του Δαρκών, απόγονοι του Γεδήλ,

Β Εσδ. 2,57 - υἱοὶ Σαφατία, υἱοὶ Ἀτίλ, υἱοὶ Φαχεράθ, υἱοὶ Ἀσεβωείμ, υἱοὶ Ἡμεΐ·

Β Εσδ. 2,57 - οι απόγονοι του Σαφατία, οι απόγονοι του Ατίλ, οι απόγονοι του Φαχεράθ, οι απόγονοι του, Ασεβωείμ, οι απόγονοι του Ημεΐ.

Β Εσδ. 2,58 - πάντες οἱ Ναθανὶμ καὶ υἱοὶ Ἀβδησελμὰ τριακόσιοι ἐνενηκονταδύο.

Β Εσδ. 2,58 - Ολοι δε αυτοί οι υπηρέται του Ναού, νεωκόροι, και οι υιοί των δούλων του Σολομώντος ήσαν εν όλω τριακόσιοι ενενήκοντα δύο.

Β Εσδ. 2,59 - καὶ οὗτοι οἱ ἀναβάντες ἀπὸ Θελμελέχ, Θελαρησά, Χερούβ, Ἡδάν, Ἐμμήρ καὶ οὐκ ἐδυνάσθησαν τοῦ ἀναγγεῖλαι οἶκον πατριᾶς αὐτῶν καὶ σπέρμα αὐτῶν εἰ ἐξ Ἰσραήλ εἰσιν·

Β Εσδ. 2,59 - Οι άλλοι, οι οποίοι επανήλθαν εις τα Ιεροσόλυμα από Θελμαλέχ, Θελαρητά, Χερούδ, Ηδάν και Εμήρ και οι οποίοι δεν ημπόρεσαν να αποδείξουν εις ποίαν οικογένειαν ανήκουν εις ποίαν φυλήν και επομένως εάν κατήγοντο από τους Ισραηλίτας, ήσαν·

Β Εσδ. 2,60 - υἱοὶ Δαλαΐα, υἱοὶ Βουά, υἱοὶ Τωβίου, υἱοὶ Νεκωδά, ἑξακόσιοι πεντηκονταδύο·

Β Εσδ. 2,60 - Οι απόγονοι Δαλαΐα, οι απόγονοι του Βουα, οι απόγονοι του Τωβίου, οι απόγονοι του Νεκωδά, εν όλω εξακόσιοι πεντήκοντα δύο.

Β Εσδ. 2,61 - καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων υἱοὶ Λαβεία, υἱοὶ Ἀκκούς, υἱοὶ Βερζελλαΐ, ὃς ἔλαβεν ἀπὸ τῶν θυγατέρων Βερζελλαΐ τοῦ Γαλααδίτου γυναῖκα, καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐτῶν·

Β Εσδ. 2,61 - Από δε τους απόγονους των ιερέων ήσαν οι απόγονοι του Λαβεία, οι απόγονοι του Ακκούς και οι απόγονοι του Βερζελλαΐ. Αυτός είχε λάβει ως συζυγόν του μίαν από τας θυγατέρας τη Βερζελλαΐ, του καταγομένου από την Γαλαάδ, έλαβε δε και το όνομα του πατρός των γυναικών τούτων ονομασθείς και αυτός Βερζελλαΐ.

Β Εσδ. 2,62 - οὗτοι, ἐζήτησαν γραφὴν αὐτῶν οἱ μεθωεσίμ, καὶ οὐχ εὑρέθησαν, καὶ ἠγχιστεύθησαν ἀπὸ τῆς ἱερατείας·

Β Εσδ. 2,62 - Αυτοί ηρεύνησαν και ανεζήτησαν μέσα στους γραπτούς καταλόγους να ανεύρουν τους τίτλους της καταγωγής των, αλλά δεν ημπόρεσαν. Δι' αυτόν δε τον λόγον και απεκλείσθησαν από την ιερωσύνην.

Β Εσδ. 2,63 - καὶ εἶπεν Ἀθερσασθὰ αὐτοῖς τοῦ μὴ φαγεῖν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων ἕως ἀναστῇ ἱερεὺς τοῖς φωτίζουσι καὶ τοῖς τελείοις.

Β Εσδ. 2,63 - Ο δε αρχηγός των Ισραηλιτών (Ζοροβάβελ) απηγόρευσεν εις αυτούς, να τρώγουν από τας ηγιασμένας τροφάς του ναού, μέχρις ότου παρουσιασθή αρχιερεύς φέρων την Δηλωσιν και την Αλήθειαν, δια να αποφανθή περί αυτών.

Β Εσδ. 2,64 - πᾶσα δὲ ἡ ἐκκλησία ὁμοῦ ὡσεὶ τέσσαρες μυριάδες δισχίλιοι τριακόσιοι ἑξήκοντα,

Β Εσδ. 2,64 - Ολόκληρος δε η συγκέντρωσις αυτή των Ιουδαίων ανήλθεν εις τεσσαράκοντα δύο χιλιάδας τριακοσίους εξήκοντα,

Β Εσδ. 2,65 - χωρὶς δούλων αὐτῶν καὶ παιδισκῶν αὐτῶν, οὗτοι ἑπτακισχίλιοι τριακόσιοι τριακοντεπτά· καὶ οὗτοι ᾄδοντες καὶ ᾄδουσαι διακόσιοι·

Β Εσδ. 2,65 - χωρίς τους δούλους και τας δούλας, οι οποίοι ανήρχοντο εις επτά χιλιάδας τριακοσίους τριάκοντα επτά. Οι δε ψάλται και αι ψάλτριαι ανήρχοντο εις διακοσίους.

Β Εσδ. 2,66 - ἵπποι αὐτῶν ἑπτακόσιοι τριακονταέξ, ἡμίονοι αὐτῶν διακόσιοι τεσσαρακονταπέντε,

Β Εσδ. 2,66 - Οι ίπποι αυτών ήσαν επτακόσιοι τριάκοντα εξ, οι δε ημίονοι των διακόσιοι τεσσαράκοντα πέντε.

Β Εσδ. 2,67 - κάμηλοι αὐτῶν τετρακόσιοι τριακονταπέντε, ὄνοι αὐτῶν ἑξακισχίλιοι ἑπτακόσιοι εἴκοσι.

Β Εσδ. 2,67 - Αι κάμηλοί των ήσαν τετρακόσιοι τριάκοντα πέντε, οι όνοι των εξ χιλιάδες επτακόσιοι είκοσι.

Β Εσδ. 2,68 - καὶ ἀπὸ ἀρχόντων πατριῶν ἐν τῷ εἰσελθεῖν αὐτοὺς εἰς οἶκον Κυρίου τὸν ἐν Ἱερουσαλὴμ ἡκουσιάσαντο εἰς οἶκον τοῦ Θεοῦ τοῦ στῆσαι αὐτὸν ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ·

Β Εσδ. 2,68 - Πολλοί από τους αρχηγούς των οικογενειών, όταν εισήλθον στον εν Ιερουσαλήμ τόπον του ναού του Κυρίου, έδωκαν αυτοπροαιρέτως προς τον ναόν του Θεού προσφοράς, δια να ανοικοδομηθή και ετοιμασθή αυτός.

Β Εσδ. 2,69 - ὡς ἡ δύναμις αὐτῶν, ἔδωκαν εἰς θησαυρὸν τοῦ ἔργου χρυσίον καθαρόν, μναῖ ἓξ μυριάδες καὶ χίλιαι, καὶ ἀργυρίου μνᾶς πεντακισχιλίας, καὶ κόθωνοι τῶν ἱερέων ἑκατόν.

Β Εσδ. 2,69 - Εδωσαν αυτοί κατά την δύναμίν των στο θησαυροφυλάκιον του έργου χρυσόν καθαρόν εξήκοντα μίαν χιλιάδας μνας και πέντε χιλιάδας αργυράς μνας και εκατόν ιερατικά άμφια

Β Εσδ. 2,70 - καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ἀπὸ τοῦ λαοῦ καὶ οἱ ᾄδοντες καὶ οἱ πυλωροὶ καὶ οἱ Ναθινὶμ ἐν πόλεσιν αὐτῶν καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

Β Εσδ. 2,70 - Ετσι δε εγκατεστάθησαν οι ιερείς, οι Λευίται, οι άνθρωποι του λαού, οι ψάλται, οι θυρωροί, οι νεωκόροι του ναού εις τας πόλεις αυτών και γενικώς όλος ο ισραηλιτικός λαός ο καθένας εις την ιδικήν του πόλιν.

Β ΕΣΔΡΑΣ 3

Β Εσδ. 3,1 - Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος -καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν- καὶ συνήχθη ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς Ἱερουσαλήμ.

Β Εσδ. 3,1 - Εφθασεν ο έβοδμος μην, όταν πλέον οι Ισραηλίται όλοι είχον εγκατασταθή εις τας πόλεις των, και συνήχθη όλος ο λαός, ωσάν ένας άνθρωπος, εις την Ιερουσαλήμ.

Β Εσδ. 3,2 - καὶ ἀνέστη Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἱερεῖς καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον Θεοῦ Ἰσραὴλ τοῦ ἀνενέγκαι ἐπ᾿ αὐτὸ ὁλοκαυτώσεις κατὰ τὰ γεγραμμένα ἐν νόμῳ Μωυσῆ ἀνθρώπου τοῦ Θεοῦ.

Β Εσδ. 3,2 - Εκεί εσηκώθη ο Ιησούς, ο υιός του Ιωσεδέκ, οι αδελφοί αυτού ιερείς και ο Ζοροβάβελ υιός του Σαλαθιήλ μαζή με τους αδελφούς του και ανοικοδόμησαν το θυσιαστήριον των ολοκαυτωμάτων του Θεού του Ισραήλ, δια να προσφέρουν εις αυτό ολοκαυτώματα, σύμφωνα με τον νόμον του Μωϋσέως, του ανθρώπου του Θεού.

Β Εσδ. 3,3 - καὶ ἡτοίμασαν τὸ θυσιαστήριον ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ, ὅτι ἐν καταπλήξει ἐπ᾿ αὐτοὺς ἀπὸ τῶν λαῶν τῶν γαιῶν, καὶ ἀνέβη ἐπ᾿ αὐτὸ ὁλοκαύτωσις τῷ Κυρίῳ τὸ πρωῒ καὶ εἰς ἑσπέραν.

Β Εσδ. 3,3 - Ητοίμασαν το θυσιαστήριον τούτο όπως έπρεπε εις την πρώτην του θέσιν, διότι είχαν καταληφθή από μεγάλην ανησυχίαν εξ αιτίας των γειτονικών λαών. Εκεί δε προσέφερον τα ολοκαυτώματα προς τον Κυριον κάθε πρωΐαν και κάθε εσπέραν.

Β Εσδ. 3,4 - καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν σκηνῶν κατὰ τὸ γεγραμμένον καὶ ὁλοκαυτώσεις ἡμέραν ἐν ἡμέρᾳ ἐν ἀριθμῷ ὡς ἡ κρίσις, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ,

Β Εσδ. 3,4 - Εώρτασαν την εορτήν της Σκηνοπηγίας, όπως είναι γραμμένον στον Νομον, και προσέφεραν ολοκαυτώματα κάθε ημέραν εις αριθμόν, που ώριζεν ο Νομος δια την κάθε ημέραν.

Β Εσδ. 3,5 - καὶ μετὰ τοῦτο ὁλοκαυτώσεις ἐνδελεχισμοῦ καὶ εἰς τὰς νουμηνίας καὶ εἰς πάσας ἑορτὰς τῷ Κυρίῳ τὰς ἡγιασμένας καὶ παντὶ ἑκουσιαζομένῳ ἑκούσιον τῷ Κυρίῳ.

Β Εσδ. 3,5 - Επειτα από αυτό προσέφεραν στο θυσιαστήριον τούτο τα καθημερινά ολοκαυτώματα, τα ολοκαυτώματα δια την πρώτην ημέραν εκάστου μηνός και δι' όλας τας άλλας εορτάς τας καθιερωμένας δια τον Κυριον, όπως επίσης και τας προσφοράς, τας οποίας κάθε Ισραηλίτης αυτοπροαιρέτως προσέφερεν.

Β Εσδ. 3,6 - ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου ἤρξαντο ἀναφέρειν ὁλοκαυτώσεις τῷ Κυρίῳ καὶ ὁ οἶκος τοῦ Κυρίου οὐκ ἐθεμελιώθη.

Β Εσδ. 3,6 - Από την πρώτην ημέραν του εβδόμου μηνός ήρχισαν οι Ισραηλίται να προσφέρουν τακτικά επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων ολοκαυτώματα προς τον Κυριον. Αλλά ο ναός του Κυρίου δεν είχεν ακόμη θεμελιωθή.

Β Εσδ. 3,7 - καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τοῖς τέκτοσι καὶ βρώματα καὶ ποτὰ καὶ ἔλαιον τοῖς Σιδωνίοις καὶ τοῖς Τυρίοις ἐνέγκαι ξύλα κέδρινα ἀπὸ τοῦ Λιβάνου πρὸς θάλασσαν Ἰόππης κατ᾿ ἐπιχώρησιν Κύρου βασιλέως Περσῶν ἐπ᾿ αὐτούς.

Β Εσδ. 3,7 - Εδωκαν τότε χρήματα στους λατόμους και στους ξυλουργούς. Εδωσαν επίσης τρόφιμα, ποτά και λάδι στους κατοίκους Σιδώνος και Τυρου, δια να προμηθεύσουν εις αυτούς ξύλα κέδρινα από το όρος Λιβανον και να τα παραδώσουν στον λιμένα της Ιόππης, σύμφωνα με την εντολήν, την οποίαν είχον λάβει από τον Κύρον, τον βασιλέα των Περσών.

Β Εσδ. 3,8 - καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ τοῦ ἐλθεῖν αὐτοὺς εἰς οἶκον τοῦ Θεοῦ ἐν Ἱερουσαλήμ, ἐν μηνὶ τῷ δευτέρῳ, ἤρξατο Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ κατάλοιποι τῶν ἀδελφῶν αὐτῶν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πάντες οἱ ἐρχόμενοι ἀπὸ τῆς αἰχμαλωσίας εἰς Ἱερουσαλὴμ καὶ ἔστησαν τοὺς Λευίτας ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω ἐπὶ τοὺς ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ Κυρίου.

Β Εσδ. 3,8 - Κατά τον δεύτερον μήνα του δευτέρου έτους της ελεύσεώς των στον ναόν του Κυρίου της Ιερουσαλήμ ήρχισαν ο Ζοροβάβελ, ο υιός του Σαλαθιήλ, και ο Ιησούς ο υιός του Ιωσεδέκ, μαζή με τους άλλους αδελφούς των, οι ιερείς και οι Λευίται και όλοι όσοι είχον επανέλθει από την αιχμαλωσίαν εις την Ιερουσαλήμ ήρχισαν το έργον των και ώρισαν τους Λευίτας από είκοσι ετών και άνω ως επιστάτας εις εκείνους, οι οποίοι θα ανοικοδομούσαν τον ναόν του Κυρίου.

Β Εσδ. 3,9 - καὶ ἔστη Ἰησοῦς καὶ οἱ υἱοὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Καδμιὴλ καὶ οἱ υἱοὶ αὐτοῦ υἱοὶ Ἰούδα, ἐπὶ τοὺς ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ τοῦ Θεοῦ, υἱοὶ Ἠναδάδ, υἱοὶ αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται.

Β Εσδ. 3,9 - Ο Ιησούς, τα παιδιά του, όπως επίσης και οι αδελφοί του, ο Καδμιήλ με τους υιούς του, οι απόγονοι του Ιούδα, ανέλαβαν το καθήκον της εποπτείας των εις εκείνους, οι οποίοι θα ησχολούντο με την ανοικοδόμησιν του ναού του Κυρίου. Επίσης το αυτό έργον ανέλαβον οι απόγονοι του Ηναδάδ, με τους υιούς των και τους αδελφούς των. Ολοι δε αυτοί ήσαν Λευίται.

Β Εσδ. 3,10 - καὶ ἐθεμελίωσαν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου, καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι ἐν σάλπιγξι καὶ οἱ Λευῖται υἱοὶ Ἀσὰφ ἐν

κυμβάλοις τοῦ αἰνεῖν τὸν Κύριον ἐπὶ χεῖρας Δαυὶδ βασιλέως Ἰσραήλ.
Β Εσδ. 3,10 - Τοτε έθεσαν τα θεμέλια της ανοικοδομήσεως του οίκου του Κυρίου, καθ' ον χρόνον οι ιερείς στολισμένοι έστεκαν με τας σάλπιγγας εις τα χέρια των και οι Λευίται, οι απόγονοι του Ασάφ, με τα κύβδαλά των, δια να υμνούν τον Κυριον σύμφωνα με τας οδηγίας του Δαυίδ, βασιλέως του Ισραήλ.
Β Εσδ. 3,11 - καὶ ἀπεκρίθησαν ἐν αἴνῳ καὶ ἀνθομολογήσει τῷ Κυρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ ἐπὶ Ἰσραήλ. καὶ πᾶς ὁ λαὸς ἐσήμαινε φωνῇ μεγάλῃ αἰνεῖν τῷ Κυρίῳ ἐπὶ τῇ θεμελιώσει τοῦ οἴκου Κυρίου.
Β Εσδ. 3,11 - Ηρσισαν λοιπόν να υμνούν και δοξολογούν τον Κυριον επαναλαμβάνοντες την επωδόν· "ότι αγαθόν, ότι στον αιώνα το έλεος αυτού επί τον Ισραήλ". Ολόκληρος δε λαός ύψωσε φωνήν μεγάλην δοξολογών τον Κυριον δια την θεμελίωσιν του ναού του Κυρίου.
Β Εσδ. 3,12 - καὶ πολλοὶ ἀπὸ τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ ἄρχοντες τῶν πατριῶν οἱ πρεσβύτεροι, οἳ εἴδοσαν τὸν οἶκον τὸν πρῶτον ἐν θεμελιώσει αὐτοῦ, καὶ τοῦτον τὸν οἶκον ἐν ὀφθαλμοῖς αὐτῶν, ἔκλαιον φωνῇ μεγάλῃ· καὶ ὁ ὄχλος ἐν σημασίᾳ μετ᾿ εὐφροσύνης τοῦ ὑψῶσαι ᾠδήν·
Β Εσδ. 3,12 - Αλλά πολλοί από τους ιερείς και τους Λευίτας και τους αρχγούς των οικογενειών, οι οποίοι ήσαν μεγάλοι κατά την ηλικίαν και είχον ίδει τον πρώτον ναόν εις όλην αυτού την μεγαλοπρέπειαν, έβλεπον δε τούτον τον μικρόν ναόν σήμερον, έκλαιον με μεγάλην φωνήν. Ο άλλος όμως λαός, που απετελείτο από νεωτέρους, οι οποίοι δεν είχον ίδει τον προηγούμενον ναόν, εφώναζον με μεγάλην φωνήν και έψαλλον ύμνους δοξολογίας προς τον Κυριον.
Β Εσδ. 3,13 - καὶ οὐκ ἦν ὁ λαὸς ἐπιγινώσκων φωνὴν σημασίας τῆς εὐφροσύνης ἀπὸ τῆς φωνῆς τοῦ κλαυθμοῦ τοῦ λαοῦ, ὅτι ὁ λαὸς ἐκραύγασε φωνῇ μεγάλῃ, καὶ ἡ φωνὴ ἠκούετο ἕως ἀπὸ μακρόθεν.
Β Εσδ. 3,13 - Δεν ήτο δυνατόν να ξεχωρίση κανείς την φωνήν της χαράς των νεωτέρων από την φωνή του κλαυθμού των πρεσβυτέρων του λαού διότι ο λαός αυτός έκραζε πολύ δυνατά και ο ήχος του ηκούετο από μακράν.

Β ΕΣΔΡΑΣ 4

Β Εσδ. 4,1 - Καὶ ἤκουσαν οἱ θλίβοντες Ἰούδα καὶ Βενιαμίν, ὅτι υἱοὶ τῆς ἀποικίας οἰκοδομοῦσιν οἶκον τῷ Κυρίῳ Θεῷ Ἰσραήλ,
Β Εσδ. 4,1 - Οι εχθροί της φυλής του Ιούδα και της φυλής του Βενιαμίν επληροφορήθησαν ότι οι Ιουδαίοι, που είχον επανέλθει από την αιχμαλωσίαν, ανοικοδομούσαν τον ναόν του Κυρίου του Θεού του ισραηλιτικού λαού.

Β Εσδ. 4,2 - καὶ ἤγγισαν πρὸς Ζοροβάβελ καὶ πρὸς τοὺς ἄρχοντας τῶν πατριῶν καὶ εἶπον αὐτοῖς· οἰκοδομήσομεν μεθ᾿ ὑμῶν, ὅτι ὡς ὑμεῖς ἐκζητοῦμεν τῷ Θεῷ ἡμῶν. καὶ αὐτῷ ἡμεῖς θυσιάζομεν ἀπὸ ἡμερῶν Ἀσαραδδὼν βασιλέως Ἀσσοὺρ τοῦ ἐνέγκαντος ἡμᾶς ὧδε.

Β Εσδ. 4,2 - Ηλθαν, λοιπόν, προς τον Ζοροβάβελ και προς τους αρχηγούς των οικογενειών και είπαν προς αυτούς· "θα ανοικοδομήσωμεν και ημείς μαζη με σας, διότι και ημείς λατρεύομεν τον Θεόν μας, όπως και σεις, και εις αυτόν προσφέρομεν θυσίας από της εποχής του Ασραδδών, βασιλέως των Ασσυρίων, ο οποίος μας έφερεν εδώ".

Β Εσδ. 4,3 - καὶ εἶπε πρὸς αὐτοὺς Ζοροβάβελ καὶ Ἰησοῦς καὶ οἱ κατάλοιποι τῶν ἀρχόντων τῶν πατριῶν τοῦ Ἰσραήλ· οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι οἶκον τῷ Θεῷ ἡμῶν, ὅτι ἡμεῖς αὐτοὶ ἐπὶ τὸ αὐτὸ οἰκοδομήσομεν τῷ Κυρίῳ Θεῷ ἡμῶν, ὡς ἐνετείλατο ἡμῖν Κῦρος ὁ βασιλεὺς Περσῶν.

Β Εσδ. 4,3 - Ο Ζοροβάβελ, ο Ιησούς και οι άλλοι αρχηγοί των πατριών του ισραηλιτικού λαού, απήντησε προς αυτούς· "δεν είναι πρέπον και νοητόν να ανοικοδομήσωμεν ημείς μαζή με σας τον ναόν του Θεού μας, αλλά ημείς μόνοι θα ανοικοδομήσωμεν αυτόν προς τον Κυριον τον Θεόν μας, όπως άλλωστε μας διέταξε Κύρος ο βασιλεύς των Περσώνό

Β Εσδ. 4,4 - καὶ ἦν ὁ λαὸς τῆς γῆς ἐκλύων τὰς χεῖρας τοῦ λαοῦ Ἰούδα καὶ ἐνεπόδιζον αὐτοὺς οἰκοδομεῖν

Β Εσδ. 4,4 - Τοτε ο λαός εκείνης της χώρας παρενέβαλε διάφορα προσκόμματα εις την εργασίαν του ιουδαϊκού λαού και ημπόδιζεν αυτόν στο έργον της ανοικοδομήσεως.

Β Εσδ. 4,5 - καὶ μισθούμενοι ἐπ᾿ αὐτοὺς βουλευόμενοι τοῦ διασκεδάσαι βουλὴν αὐτῶν πάσας τὰς ἡμέρας Κύρου βασιλέως Περσῶν καὶ ἕως βασιλείας Δαρείου βασιλέως Περσῶν.

Β Εσδ. 4,5 - Επλήρωναν δε ιδικούς των ανθρώπους ως δολιοφθορείς, δια να ματαιώσουν την απόφασιν των Ιουδαίων προς ανοικοδόμησιν του ναού. Ετσι δε εφέρθησαν καθ' όλον το διάστημα της βασιλείας Κυρου, του βασιλέως των Περσών, μέχρι της βασιλείας του Δαρείου βασιλέως των Περσών.

Β Εσδ. 4,6 - Καὶ ἐν βασιλείᾳ Ἀσσουήρου, ἐν ἀρχῇ βασιλείας αὐτοῦ, ἔγραψαν ἐπιστολὴν ἐπὶ οἰκοῦντας Ἰούδα καὶ Ἱερουσαλήμ.

Β Εσδ. 4,6 - Οταν δε έγινε βασιλεύς ο Ξέρξης, αμέσως μόλις ανέλαβε την βασιλείαν του, έγραψαν αυτοί προς τον βασιλέα επιστολήν με κατηγορίας εναντίον των Ισραηλιτών, που κατοικούσαν την περιοχήν Ιούδα και την πόλιν Ιερουσαλήμ.

Β Εσδ. 4,7 - καὶ ἐν ἡμέραις Ἀρθασασθὰ ἔγραψεν ἐν εἰρήνῃ Μιθραδάτῃ Ταβεὴλ καὶ τοῖς λοιποῖς συνδούλοις. πρὸς Ἀρθασασθὰ βασιλέα Περσῶν

ἔγραψεν ὁ φορολόγος γραφὴν Συριστὶ καὶ ἡρμηνευμένην.

Β Εσδ. 4,7 - Κατά την περίοδον της βασιλείας του ο Αρταξέρξης έγραψεν επιστολήν προς τον Μιθραδάτην, τον Ταβεήλ, και τους άλλους συντρόφους των, με πνεύμα ειρήνης και καλωσύνης. Προς τον βασιλέα απήντησεν ο γραμματεύς αυτών δι' επιστολής γραμμένης εις την αραμαϊκήν γλώσσαν μεταφρασμένης εις την περσικήν.

Β Εσδ. 4,8 - Ῥαοὺμ βααλτὰμ καὶ Σαμψὰ ὁ γραμματεὺς ἔγραψαν ἐπιστολὴν μίαν κατὰ Ἱερουσαλὴμ τῷ Ἀρθασασθὰ βασιλεῖ.

Β Εσδ. 4,8 - Τοτε ο διοικητής Ραούμ και ο γραμματεύς Σαμψά έγραψαν προς τον Αρταξέρξην τον βασιλέα μίαν επιστολήν εναντίον της Ιερουσαλήμ.

Β Εσδ. 4,9 - τάδε ἔκρινε Ῥαοὺμ βααλτὰμ καὶ Σαμψὰ ὁ γραμματεὺς καὶ οἱ κατάλοιποι σύνδουλοι ἡμῶν, Δειναῖοι, Ἀφαρσαθαχαῖοι, Ταρφαλαῖοι, Ἀφασραῖοι, Ἀρχυαῖοι, Βαβυλώνιοι, Σουσαναχαῖοι, Δαυαῖοι

Β Εσδ. 4,9 - Αυτά έκριναν να θέσουν υπ' όψιν του βασιλέως ο Ραούμ ο διοικητής και ο Σαμψά ο γραμματεύς και οι άλλοι σύντροφοί μας, όπως επίσης και οι Δειναίοι και οι Αφαρσαθαχαίοι, οι Ταρφαλαίοι, οι Αφαρσαίοι, οι Αρχυαίοι, οι Βαβυλώνιοι, οι Σουσαναχαίοι, οι Δαυαίοι,

Β Εσδ. 4,10 - καὶ οἱ κατάλοιποι ἐθνῶν, ὧν ἀπώκισεν Ἀσσεναφὰρ ὁ μέγας καὶ ὁ τίμιος καὶ μετῴκισεν αὐτοὺς ἐν πόλεσι τῆς Σομόρων καὶ τὸ κατάλοιπον πέραν τοῦ ποταμοῦ·

Β Εσδ. 4,10 - και οι υπόλοιποι εθνικοί λαοί, τους οποίους ο μεγάλος και ένδοξος Ασσεναφάρ μετέφερε και εγκατέστησεν εις τας πόλεις της Σαμαρείας και εις την πέραν του Ευφράτου ποταμού περιοχήν.

Β Εσδ. 4,11 - αὕτη ἡ διαταγὴ τῆς ἐπιστολῆς ἧς ἀπέστειλαν πρὸς αὐτόν· «Πρὸς Ἀρθασασθὰ βασιλέα παῖδές σου ἄνδρες πέραν τοῦ ποταμοῦ.

Β Εσδ. 4,11 - Το δε περιεχόμενον αυτής της επιστολής, την οποίαν έστειλαν προς τον Αρταξέρξην, ήτο το εξής· “Προς τον Αρταξέρξην τον βασιλέα, ημείς οι δούλοι σου, οι οποίοι ευρισκόμεθα πέραν του ποταμού Ευφράτου, θέτομεν υπ' όψει σου τα εξής·

Β Εσδ. 4,12 - γνωστὸν ἔστω τῷ βασιλεῖ ὅτι οἱ Ἰουδαῖοι οἱ ἀναβάντες ἀπὸ σοῦ πρὸς ἡμᾶς ἤλθοσαν εἰς Ἱερουσαλὴμ τὴν πόλιν τὴν ἀποστάτιν καὶ πονηράν, ἣν οἰκοδομοῦσι, καὶ τὰ τείχη αὐτῆς κατηρτισμένα εἰσί, καὶ θεμελίους αὐτῆς ἀνύψωσαν.

Β Εσδ. 4,12 - Ας γίνη γνωστόν στον βασιλέα ότι οι Ιουδαίοι, οι οποίοι επανήλθον από την χώραν σου προς ημάς, ήλθον εις την Ιερουσαλήμ, την πόλιν την επαναστάτιδα και κακήν, και έχουν αρχίσει να την ανοικοδομούν. Τα υλικά δια την οικοδομήν του τείχους είναι έτοιμα και τα θεμέλια έχουν ίδη ανυψωθή.

Β Εσδ. 4,13 - νῦν οὖν γνωστὸν ἔστω τῷ βασιλεῖ, ὅτι ἐὰν ἡ πόλις ἐκείνη ἀνοικοδομηθῇ καὶ τὰ τείχη αὐτῆς καταρτισθῶσι, φόροι οὐκ ἔσονταί σοι

οὐδὲ δώσουσι· καὶ τοῦτο βασιλεῖς κακοποιεῖ·

Β Εσδ. 4,13 - Φέρομεν λοιπόν, εις γνώσιν του βασιλέως ότι, εάν η πόλις αυτή ανοικοδομηθή και τα τείχη αυτής ολοκληρωθούν, δεν θα δίδουν πλέον οι Ιουδαίοι φόρους στον βασιλέα, πράγμα το οποίον είναι γενικώς κακόν δια τους βασιλείς.

Β Εσδ. 4,14 - καὶ ἀσχημοσύνην βασιλέως οὐκ ἔξεστιν ἡμῖν ἰδεῖν· διὰ τοῦτο ἐπέμψαμεν καὶ ἐγνωρίσαμεν τῷ βασιλεῖ,

Β Εσδ. 4,14 - Επειδή δεν είναι δυνατόν να ανεχθώμεν την καταφρόνησιν αυτήν του βασιλέως, δια τούτο εστείλαμεν και κατεστήσαμεν γνωστόν τούτο στον βασιλέα,

Β Εσδ. 4,15 - ἵνα ἐπισκέψηται ἐν βίβλῳ ὑπομνηματισμοῦ τῶν πατέρων σου, καὶ εὑρήσεις καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη πόλις ἀποστάτις, κακοποιοῦσα βασιλεῖς καὶ χώρας, καὶ φυγαδεῖαι δούλων γίνονται ἐν μέσῳ αὐτῆς ἀπὸ ἡμερῶν αἰῶνος· διὰ ταῦτα ἡ πόλις αὕτη ἠρημώθη.

Β Εσδ. 4,15 - δια να ερευνήση εις τα αρχεία των προγόνων του, όπου θα εύρη στοιχεία και θα πεισθή ότι η πόλις εκείνη, η Ιερουσαλήμ, είναι αποστάτις. Ο έχει διαπράξει πολλά κακά εναντίον βασιλέων και εναντίον των χωρών των ότι είναι τόπος, όπου καταφεύγουν οι δραπετεύοντες δούλοι από αρχαιοτάτων χρόνων. Δια τας κακουργίας της, άλλωστε αυτάς έχει μεταβληθή η πόλις εις ερείπια.

Β Εσδ. 4,16 - γνωρίζομεν οὖν ἡμεῖς τῷ βασιλεῖ ὅτι ἂν ἡ πόλις ἐκείνη οἰκοδομηθῇ καὶ τὰ τείχη αὐτῆς καταρτισθῇ, οὐκ ἔστι σοι εἰρήνη».

Β Εσδ. 4,16 - Καθιστώμεν λοιπόν γνωστόν ημείς στον βασιλέα ότι, εάν αυτή η πόλις ανοικοδομηθή και τα τείχη της ολοκληρωθούν, δεν θα υπάρχη πλέον εις σε ειρήνη".

Β Εσδ. 4,17 - Καὶ ἀπέστειλεν ὁ βασιλεὺς πρὸς Ῥαοὺμ βααλτὰμ καὶ Σαμψὰ γραμματέα καὶ τοὺς καταλοίπους συνδούλους αὐτῶν τοὺς οἰκοῦντας ἐν Σαμαρείᾳ καὶ τοὺς καταλοίπους πέραν τοῦ ποταμοῦ εἰρήνην καὶ φησίν·

Β Εσδ. 4,17 - Κατόπιν της επιστολής αυτής έστειλεν ο βασιλεύς απάντησιν προς τον κυβερνήτην Ραουμ και τον γραμματέα Σαψά και τους άλλους συντρόφους των, οι οποίοι κατοικούσαν εις την Σαμάρειαν και τους υπολοίπους που ευρίσκοντο πέραν του ποταμού Ευφράτου, και μετά του ειρηνικούς χαιρετισμούς λέγει.

Β Εσδ. 4,18 - «ὁ φορολόγος, ὃν ἀπεστείλατε πρὸς ἡμᾶς, ἐκλήθη ἔμπροσθεν ἐμοῦ.

Β Εσδ. 4,18 - "Ο γραμματοκομιστής, τον οποίον μας επεστείλατε, εκλήθη ενώπιόν μου.

Β Εσδ. 4,19 - καὶ παρ᾿ ἐμοῦ ἐτέθη γνώμη καὶ ἐπεσκεψάμεθα καὶ εὕραμεν, ὅτι ἡ πόλις ἐκείνη ἀφ᾿ ἡμερῶν αἰῶνος ἐπὶ βασιλεῖς ἐπαίρεται, καὶ ἀποστάσεις καὶ φυγαδεῖαι γίνονται ἐν αὐτῇ·

Β Εσδ. 4,19 - Εγώ δε έδωκα διαταγήν να ερευνήσουν σχετικώς και ευρήκαμεν πράγματι ότι, η πόλις αυτή από αρχαιοτάτων χρόνων υπερηφανεύεται εναντίον βασιλέων και ότι είναι τόπος επαναστάσεων και καταφύγιον δραπετευόντων δούλων.

Β Εσδ. 4,20 - καὶ βασιλεῖς ἰσχυροὶ ἐγένοντο ἐν Ἱερουσαλὴμ καὶ ἐπικρατοῦντες ὅλης τῆς πέραν τοῦ ποταμοῦ, καὶ φόροι πλήρεις καὶ μέρος δίδονται αὐτοῖς·

Β Εσδ. 4,20 - Υπήρξαν εις την Ιερουσαλήμ και βασιλείς ισχυροί, οι οποίοι έγιναν κύριοι όλης της πέραν του ποταμού Ευφράτου χώρας. Εις αυτούς δε κατεβάλλοντο μεγάλοι φόροι, όπως επίσης και δικαίωμα διόδου δια μέσου των χωρών των.

Β Εσδ. 4,21 - καὶ νῦν θέτε γνώμην καταργῆσαι τοὺς ἄνδρας ἐκείνους, καὶ ἡ πόλις ἐκείνη οὐκ οἰκοδομηθήσεται ἔτι·

Β Εσδ. 4,21 - Τωρα, λοιπόν δώσατε διαταγήν να σταματήσουν οι άνδρες το έργον της ανοικοδομήσεως, δι να μη ανοικοδομηθή πλέον η πόλις αυτή.

Β Εσδ. 4,22 - ὅπως ἀπὸ τῆς γνώμης πεφυλαγμένοι ἦτε ἄνεσιν ποιῆσαι περὶ τούτου, μή ποτε πληθυνθῇ ἀφανισμὸς εἰς κακοποίησιν βασιλεῦσι».

Β Εσδ. 4,22 - Διατάσσω δε να μη αμελήσετε την εκτέλεσιν αυτής μου της διαταγής και τούτο δια να μη επαναληφθή και πληθυνθή όλεθρος εκ μέρους των Ιουδαίων εις μεγάλην βλάβην των βασιλέων".

Β Εσδ. 4,23 - Τότε ὁ φορολόγος τοῦ Ἀρθασασθὰ βασιλέως ἀνέγνω ἐνώπιον Ῥαοὺμ βααλτὰμ καὶ Σαμψὰ γραμματέως καὶ συνδούλων αὐτοῦ· καὶ ἐπορεύθησαν σπουδῇ εἰς Ἱερουσαλὴμ καὶ ἐν Ἰούδᾳ καὶ κατήργησαν αὐτοὺς ἐν ἵπποις καὶ δυνάμει.

Β Εσδ. 4,23 - Τοτε γραμματοκομιστής του βασιλέως Αρταξέρξου επέστρεψε και ανέγνωσεν ενώπιον του διοικητού Ραούμ και του γραμματέως Σαμψά και των συντρόφων των την επιστολήν αυτήν. Εκείνοι αμέσως μετέβησαν εις την Ιερουσαλήμ της Ιουδαίας και με ιππικόν και με άλλην στρατιωτικήν δύναμιν εσταμάτησαν τους εργάτας από τα έργα των.

Β Εσδ. 4,24 - τότε ἤργησε τὸ ἔργον οἴκου τοῦ Θεοῦ τὸ ἐν Ἱερουσαλὴμ καὶ ἦν ἀργοῦν ἕως δευτέρου ἔτους τῆς βασιλείας Δαρείου βασιλέως Περσῶν.

Β Εσδ. 4,24 - Τοτε διεκόπη το εργο της ανοικοδομήσεως του ναού του Θεού εις την Ιερουσαλήμ. Αυτή δε η διακοπή παρετάθη μέχρι του δευτέρου έτους της βασιλείας του Δαρείου, βασιλέως των Περσών.

Β ΕΣΔΡΑΣ 5

Β Εσδ. 5,1 - Καὶ ἐπροφήτευσεν Ἀγγαῖος ὁ προφήτης καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδὼ προφητείαν ἐπὶ τοὺς Ἰουδαίους τοὺς ἐν Ἰούδᾳ καὶ Ἱερουσαλὴμ ἐν

ὀνόματι Θεοῦ Ἰσραὴλ ἐπ᾿ αὐτούς.

Β Εσδ. 5,1 - Ο προφήτης Αγγαίος και ο προφήτης Ζαχαρίας, ο έγγονος του Αδδώ, εδίδασκον εν ονόματι Κυρίου του Θεού των Ισραηλιτών το θέλημα του Θεού και προέλεγαν τα μέλλοντα στους Ιουδαίους, οι οποίοι ευρίσκονται εις την Ιουδαίαν και την Ιερουσαλήμ.

Β Εσδ. 5,2 - τότε ἀνέστησαν Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς υἱὸς Ἰωσεδὲκ καὶ ἤρξαντο οἰκοδομῆσαι τὸν οἶκον τοῦ Θεοῦ τὸν ἐν Ἱερουσαλήμ, καὶ μετ᾿ αὐτῶν οἱ προφῆται τοῦ Θεοῦ βοηθοῦντες αὐτοῖς.

Β Εσδ. 5,2 - Τοτε εσηκώθησαν ο Ζοροβάβελ, ο υιός του Σαλαθιήλ, και ο Ιησούς ο υιός του Ιωσεδέκ, και ήρχισαν να ανοικοδομούν τον ναόν του Θεού εις Ιερουσαλήμ. Μαζή των δε ήσαν και οι δύο προμνημονευθέντες προφήται, οι οποίοι και τους ενίσχυον στο έργον των.

Β Εσδ. 5,3 - ἐν αὐτῷ τῷ καιρῷ ἦλθεν ἐπ᾿ αὐτοὺς Θανθαναΐ ἔπαρχος πέραν τοῦ ποταμοῦ καὶ Σαθαρβουζαναΐ καὶ οἱ σύνδουλοι αὐτῶν καὶ τοιάδε εἶπαν αὐτοῖς· τίς ἔθηκεν ὑμῖν γνώμην τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦτον καὶ τὴν χορηγίαν ταύτην καταρτίσασθαι;

Β Εσδ. 5,3 - Κατά την εποχήν εκείνην ο διοικητής της πέραν του ποταμού Ευφράτου χώρας, ο Θανθαναΐ, ήλθε προς τους Ιουδαίους μαζή με τον Σαθαρβουζαναί και τους συντρόφους των και είπον προς τους Ιουδαίους· “ποιός σας έδωσε την άδειαν να ανοικοδομήσετε αυτόν τον ναόν και το δικαίωμα να φέρετε αυτόν εις πέρας;”

Β Εσδ. 5,4 - τότε ταῦτα εἴποσαν αὐτοῖς· τίνα ἐστὶ τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν οἰκοδομούντων τὴν πόλιν ταύτην;

Β Εσδ. 5,4 - Ακόμη δε τους ηρώτησαν και ποία είναι τα ονόματα των ανδρών, οι οποίοι ανοικοδομούν την πόλιν αυτήν.

Β Εσδ. 5,5 - καὶ οἱ ὀφθαλμοὶ τοῦ Θεοῦ ἐπὶ τὴν αἰχμαλωσίαν Ἰούδα, καὶ οὐ κατήργησαν αὐτοὺς ἕως γνώμη τῷ Δαρείῳ ἀπηνέχθη· καὶ τότε ἀπεστάλη τῷ φορολόγῳ ὑπὲρ τούτου.

Β Εσδ. 5,5 - Οι Οφθαλμοί όμως του πανάγαθου Θεού έβλεπαν με ευμένειαν τους Ιουδαίους, που είχον επανέλθει από την αιχμαλωσίαν, ώστε ο διοικητής και οι άλλοι άρχοντες δεν τους εσταμάτησαν από το έργον των, μέχρις ότου εζητήθη και ήλθε γνώμη και απόφασις του Δαρείου. Απεστάλη δε η απάντησις δια του γραμματοκομιστού σχετικά με την υπόθεσιν αυτήν.

Β Εσδ. 5,6 - Διασάφησις ἐπιστολῆς, ἧς ἀπέστειλε Θανθαναΐ ὁ ἔπαρχος τοῦ πέραν τοῦ ποταμοῦ καὶ Σαθαρβουζαναΐ καὶ οἱ σύνδουλοι αὐτῶν Ἀφαρσαχαῖοι οἱ ἐν τῷ πέραν τοῦ ποταμοῦ Δαρείῳ τῷ βασιλεῖ·

Β Εσδ. 5,6 - Αυτό δε ήτο το περιεχόμενον της επιστολής, την οποίαν έστειλε προς τον Δαρείον, τον βασιλέα, ο Θανθαναΐ, ο διοικητής της πέραν του ποταμού Ευφράτου χώρας, μαζή με τον Σαθαρβουζαναί και τους συντρόφους των Αφαρσαχαίους, οι οποίοι και αυτοί ευρίσκοντο επίσης πέραν του ποταμού Ευφράτου·

Β Εσδ. 5,7 - ῥήμασι ἀπέστειλαν πρὸς αὐτόν, καὶ τάδε γέγραπται ἐν αὐτῷ· «Δαρείῳ τῷ βασιλεῖ εἰρήνη πᾶσα.

Β Εσδ. 5,7 - αυτά είναι κατά λέξιν όσα είχαν γραφή εις την επιστολήν, την οποίαν αυτοί απέστειλαν προς τον βασιλέα· "Εις τον Δαρείον τον βασιλέα ας είναι κάθε ειρήνη.

Β Εσδ. 5,8 - γνωστὸν ἔστω τῷ βασιλεῖ ὅτι ἐπορεύθημεν εἰς τὴν Ἰουδαίαν χώραν εἰς οἶκον τοῦ Θεοῦ τοῦ μεγάλου, καὶ αὐτὸς οἰκοδομεῖται λίθοις ἐκλεκτοῖς, καὶ ξύλα ἐντίθενται ἐν τοῖς τοίχοις, καὶ τὸ ἔργον ἐκεῖνο ἐπιδέξιον γίνεται καὶ εὐοδοῦται ἐν ταῖς χερσὶν αὐτῶν.

Β Εσδ. 5,8 - Φέρομεν εις γνώσιν του βασιλέως ότι μετέβημεν εις την χώραν της Ιουδαίας και στον ναόν του μεγάλου Θεού και διεπιστώσαμεν ότι ο ναός αυτός ανοικοδομείται με εκλεκτούς λίθους και με ξύλα, τα οποία τίθενται στο εσωτερικόν των τοίχων. Το έργον αυτό είναι πολύ επιδέξιον και προοδεύει συνεχώς και τελειοποιείται με τα χέρια αυτών.

Β Εσδ. 5,9 - τότε ἠρωτήσαμεν τοὺς πρεσβυτέρους ἐκείνους, καὶ οὕτως εἴπαμεν αὐτοῖς· τίς ἔθηκεν ὑμῖν γνώμην τὸν οἶκον τοῦτον οἰκοδομῆσαι καὶ τὴν χορηγίαν ταύτην καταρτίσασθαι;

Β Εσδ. 5,9 - Ηρωτήσαμεν τότε τους πρεσβύτερους κατά την ηλικίαν και τους είπαμεν τα εξής· Ποίος σας έδωσε την άδειαν να ανοικοδομήσετε τον ναόν τούτον και το δικαίωμα αυτό, ώστε να φέρετε εις πέρα το έργον;

Β Εσδ. 5,10 - καὶ τὰ ὀνόματα αὐτῶν ἠρωτήσαμεν αὐτοὺς γνωρίσαι σοι, ὥστε γράψαι σοι τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀρχόντων αὐτῶν.

Β Εσδ. 5,10 - Ηρωτήσαμεν ακόμη και τα ονόματα αυτών, δια να καταστήσωμεν αυτά εις σε γνωστά. Να σου τα παραδώσωμεν γραπτώς τα ονόματα των ανδρών, που είναι αρχηγοί των.

Β Εσδ. 5,11 - καὶ τοιοῦτο τὸ ῥῆμα ἀπεκρίθησαν ἡμῖν λέγοντες· ἡμεῖς ἐσμεν δοῦλοι τοῦ Θεοῦ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ οἰκοδομοῦμεν τὸν οἶκον, ὃς ἦν ᾠκοδομημένος πρὸ τούτου ἔτη πολλά, καὶ βασιλεὺς τοῦ Ἰσραὴλ μέγας ᾠκοδόμησεν αὐτὸν καὶ κατηρτίσατο αὐτὸν αὐτοῖς.

Β Εσδ. 5,11 - Ως εξής δε απήντησαν εις ημάς εκείνοι και είπον· Ημείς είμεθα δούλοι του Θεού του ουρανού και της γης και ανοικοδομούμεν τον ναόν αυτόν, ο οποίος είχε κτισθή προ πολλών ετών. Ενας δε μέγας βασιλεύς του ισραηλιτικού λαού είχε κτίσει αυτόν και τον έφερεν εις πέρας προς χάριν των Ισραηλιτών.

Β Εσδ. 5,12 - ἀφ᾿ ὅτε δὲ παρώργισαν οἱ πατέρες ἡμῶν τὸν Θεὸν τοῦ οὐρανοῦ, ἔδωκεν αὐτοὺς εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος τοῦ Χαλδαίου καὶ τὸν οἶκον τοῦτον κατέλυσε καὶ τὸν λαὸν ἀπῴκισεν εἰς Βαβυλῶνα.

Β Εσδ. 5,12 - Επειδή όμως οι πατέρες ημών παρώργισαν με τας αμαρτίας των τον Θεόν του ουρανού, δια τούτοι Θεός παρέδωκεν αυτούς

δούλους εις τη εξουσίαν του Ναβουχοδονόσορος, του Χαλδαίου βασιλέως της Βαδυλώνος, ο όποίος τον μεν ναόν τούτον κατέστρεψε, τον δε ισραηλιτικόν λαόν μετέφερεν αιχμάλωτον εις την Βαβυλώνα.

Β Εσδ. 5,13 - ἀλλ᾿ ἐν ἔτει πρώτῳ Κύρου τοῦ βασιλέως Κῦρος ὁ βασιλεὺς ἔθετο γνώμην τὸν οἶκον τοῦ Θεοῦ τοῦτον οἰκοδομηθῆναι.

Β Εσδ. 5,13 - Αλλά κατά το πρώτον έτος της βασιλείας Κυρου του βασιλέως αυτός ούτος ο βασιλεύς Κύρος εξέδωσε διαταγήν να ανοικοδομηθή ο ναός αυτός.

Β Εσδ. 5,14 - καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ Θεοῦ τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ Ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ καὶ ἀπήνεγκεν αὐτὰ εἰς τὸν ναὸν τοῦ βασιλέως, ἐξήνεγκεν αὐτὰ Κῦρος ὁ βασιλεὺς ἀπὸ τοῦ ναοῦ τοῦ βασιλέως καὶ ἔδωκε τῷ Σαβανασὰρ τῷ θησαυροφύλακι, τῷ ἐπὶ τοῦ θησαυροῦ

Β Εσδ. 5,14 - Και αυτά δε τα χρυσά κα αργυρά ιερά σκεύη του ναού, τα οποία ο Ναβουχοδονόσορ έβγαλε από τον ναόν τον εις την Ιερουσαλήμ και τα μετέφερεν στον ιδικόν του ναόν του βασιλέως εις την Βαβυλώνα, τα επήρεν ο βασιλεύς Κύρος από τον ναόν του βασιλέως τη Βαβυλώνος και τα παρέδωκεν στον Σαβανασάρ τον θησαυροφύλακα, τον άρχοντα δηλαδή των θησαυρών

Β Εσδ. 5,15 - καὶ εἶπεν αὐτῷ· πάντα τὰ σκεύη λάβε καὶ πορεύου, θὲς αὐτὰ ἐν τῷ οἴκῳ τῷ ἐν Ἱερουσαλὴμ εἰς τὸν τόπον αὐτῶν.

Β Εσδ. 5,15 - και ειπέ προς αυτόν· Παρε όλα αυτά τα ιερά σκεύη και πήγαινε να τα τοποθετήσης στον ναόν της Ιερουσαλήμ στον τόπον των.

Β Εσδ. 5,16 - τότε Σαβανασὰρ ἐκεῖνος ἦλθε καὶ ἔδωκε θεμελίους τοῦ οἴκου τοῦ Θεοῦ ἐν Ἱερουσαλήμ· καὶ ἀπὸ τότε ἕως τοῦ νῦν ᾠκοδομήθη καὶ οὐκ ἐτελέσθη.

Β Εσδ. 5,16 - Τοτε δε ο Σαβανασάρ εκείνος ήλθε πράγματι και έβαλε τα θεμέλια του ναού του Θεού εις την Ιερουσαλήμ. Και από τότε μέχρι σήμερον ανοικοδομείται ο ναός αυτός, αλλά ακόμη δεν έχει αποπερατωθή.

Β Εσδ. 5,17 - καὶ νῦν εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, ἐπισκεπήτω ἐν τῷ οἴκῳ τῆς γάζης τοῦ βασιλέως Βαβυλῶνος, ὅπως γνῷς ὅτι ἀπὸ βασιλέως Κύρου ἐτέθη γνώμη οἰκοδομῆσαι τὸν οἶκον τοῦ Θεοῦ ἐκεῖνον τὸν ἐν Ἱερουσαλήμ. καὶ γνοὺς ὁ βασιλεὺς περὶ τούτου πεμψάτω πρὸς ἡμᾶς».

Β Εσδ. 5,17 - Και τώρα εάν φανή αγαθόν στον βασιλέα, ας ερευνήση στον οίκον του βασιλικού θησαυροφυλακίου εις την Βαβυλώνα και ας μάθη, εάν πράγματι έχη εκδοθή από τον βασιλέα Κύρον διαταγή να ανοικοδομηθή ο ναός αυτός του Θεού εις την Ιερουσαλήμ. Ο δε βασιλεύς, αφού πληροφορηθή σχετικώς περί τούτου, ας στείλη και προς ημάς τη απόφασίν του δια το ζήτημα τούτο”.

Β ΕΣΔΡΑΣ 6

Β Εσδ. 6,1 - Τότε Δαρεῖος ὁ βασιλεὺς ἔθηκε γνώμην καὶ ἐπεσκέψατο ἐν ταῖς βιβλιοθήκαις, ὅπου ἡ γάζα κεῖται ἐν Βαβυλῶνι.
Β Εσδ. 6,1 - Τοτε ο βασιλεύς Δαρείος διέταξε και ηρεύνησαν τα αρχεία στο θησαυροφυλάκιόν του, το οποίον υπήρχεν εις την Βαβυλώνα.
Β Εσδ. 6,2 - καὶ εὑρέθη ἐν πόλει ἐν τῇ βάρει κεφαλὶς μία, καὶ τοῦτο ἦν γεγραμμένον ἐν αὐτῇ ὑπόμνημα·
Β Εσδ. 6,2 - Εις αυτά δε και ευρέθη πράγματι στον πύργον της πόλεως ένα αντίγραφον, στο οποίον ήτο γραμμένον ως υπόμνημα το εξής·
Β Εσδ. 6,3 - «Ἐν ἔτει πρώτῳ Κύρου βασιλέως Κῦρος ὁ βασιλεὺς ἔθηκε γνώμην περὶ οἴκου Θεοῦ τοῦ ἐν Ἱερουσαλήμ· οἶκος οἰκοδομηθήτω καὶ τόπος, οὗ θυσιάζουσι τὰ θυσιάσματα· καὶ ἔθηκεν ἔπαρμα ὕψος πήχεις ἑξήκοντα, πλάτος αὐτοῦ πήχεων ἑξήκοντα,
Β Εσδ. 6,3 - “Κατά το πρώτον έτος της βασιλείας Κυρου του βασιλέως, ο βασιλεύς Κύρος εξέδωκε διαταγήν περί του ναού του Θεού, ο οποίος ευρίσκετο εις την Ιερουσαλήμ. Ο ναός αυτός ας οικοδομηθή, όπως επίσης και ο τόπος, όπου προσφέρουν τας θυσίας των οι Εβραίοι Και ώρισε το ύψος του ναού εξήκοντα πήχεις και το πλάτος αυτού επίσης εξήκοντα πήχεις.
Β Εσδ. 6,4 - καὶ δόμοι λίθινοι κραταιοὶ τρεῖς, καὶ δόμος ξύλινος εἷς, καὶ ἡ δαπάνη ἐξ οἴκου τοῦ βασιλέως δοθήσεται·
Β Εσδ. 6,4 - Θα έχη τρεις σειράς λίθων και μίαν σειράν ξύλων, η δε δαπάνη θα καταβληθή από τον οίκον του βασιλέως.
Β Εσδ. 6,5 - καὶ τὰ σκεύη οἴκου τοῦ Θεοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ Ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ τοῦ οἴκου τοῦ ἐν Ἱερουσαλὴμ καὶ ἐκόμισεν εἰς Βαβυλῶνα, καὶ δοθήτω καὶ ἀπελθέτω εἰς τὸν ναὸν τὸν ἐν Ἱερουσαλὴμ ἐπὶ τόπου, οὗ ἐτέθη ἐν οἴκῳ τοῦ Θεοῦ.
Β Εσδ. 6,5 - Τα αργυρά και χρυσά ιερά σκεύη του ναού τούτου, τα οποία ο Ναβουχοδονόσορ έβγαλεν από τον ναόν τούτον της Ιερουσαλήμ και τα μετέφερεν εις την Βαβυλώνα, να αποδοθούν, δια να μεταφερθούν στον ναόν της Ιερουσαλήμ και να τοποθετηθούν στον ναόν τούτον του Θεού.
Β Εσδ. 6,6 - νῦν δώσετε, ἔπαρχοι πέραν τοῦ ποταμοῦ Σαθαρβουζαναΐ καὶ οἱ σύνδουλοι αὐτῶν Ἀφαρσαχαῖοι οἱ ἐν τῷ πέραν τοῦ ποταμοῦ, μακρὰν ὄντες ἐκεῖθεν
Β Εσδ. 6,6 - Και τώρα αφήσατε αυτούς ελευθέρους σεις οι διοικηταί, οι πέραν του ποταμού Ευφράτου, ο Σαθαρβουζαναί και οι σύντροφοί των, οι Αφαρσαχαίοι οι πέραν του ποταμού Ευφράτου ας απομακρυνθούν από εκεί.
Β Εσδ. 6,7 - νῦν ἄφετε τὸ ἔργον οἴκου τοῦ Θεοῦ· οἱ ἀφηγούμενοι τῶν Ἰουδαίων καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων οἶκον τοῦ Θεοῦ ἐκεῖνον

οἰκοδομείτωσαν ἐπὶ τοῦ τόπου αὐτοῦ.

Β Εσδ. 6,7 - Λοιπόν, αφήσατε να συνεχισθή το έργον της ανοικοδομήσεως του ναού του Θεού. Οι αρχηγοί των Ιουδαίων και οι πρεσβύτεροι αυτών ας ανοικοδομήσουν τον οίκον εκείνον του Θεού, στον τόπον, όπου ευρίσκετο προηγουμένως.

Β Εσδ. 6,8 - καὶ ἀπ᾿ ἐμοῦ γνώμη ἐτέθη, μὴ ποτέ τι ποιήσητε μετὰ τῶν πρεσβυτέρων τῶν Ἰουδαίων τοῦ οἰκοδομηθῆναι οἶκον τοῦ Θεοῦ ἐκεῖνον· καὶ ἀπὸ ὑπαρχόντων βασιλέως τῶν φόρων πέραν τοῦ ποταμοῦ ἐπιμελῶς δαπάνη ἔστω διδομένη τοῖς ἀνδράσιν ἐκείνοις τὸ μὴ καταργηθῆναι·

Β Εσδ. 6,8 - Εγώ εξέδωσα την διαταγήν αυτήν και προσέξατε, να μη πράξετε κάτι εναντίον των πρεσβυτέρων των Ιουδαίων και τους παρεμποδίσετε εις την ανοικοδόμησιν εκείνου του ναού του Θεού. Αλλά και από τα υπάρχοντα του βασιλέως, από τας προσόδους του που προέρχονται από τας πέραν του ποταμού Ευφράτου χώρας, να καταβάλλεται επιμελώς η δαπάνη στους άνδρας εκείνους, δια να μη ματαιωθή το έργον.

Β Εσδ. 6,9 - καὶ ὃ ἂν ὑστέρημα, καὶ υἱοὺς βοῶν καὶ κριῶν καὶ ἀμνοὺς εἰς ὁλοκαυτώσεις τῷ Θεῷ τοῦ οὐρανοῦ, πυρούς, ἅλας, οἶνον, ἔλαιον, κατὰ τὸ ῥῆμα ἱερέων τῶν ἐν Ἱερουσαλὴμ ἔστω διδόμενον αὐτοῖς ἡμέραν ἐν ἡμέρᾳ, ὃ ἐὰν αἰτήσωσιν,

Β Εσδ. 6,9 - Και ο,τι άλλο τους λείψη, μοσχάρια, κριοι, αμνοί, σίτος, αλάτι, οίνος, έλαιον δι' ολοκαυτώματα του Θεού του ουρανού, σύμφωνα με την εντολήν των ιερέων, που ευρίσκονται εις την Ιερουσαλήμ, θα χορηγήται εις αυτούς εκάστην ημέραν κάθε τι το οποίον θα ζητήσουν,

Β Εσδ. 6,10 - ἵνα ὦσιν εὐωδίας προσφέροντες τῷ Θεῷ τοῦ οὐρανοῦ καὶ προσεύχωνται εἰς ζωὴν τοῦ βασιλέως καὶ υἱῶν αὐτοῦ.

Β Εσδ. 6,10 - δια να προσφέρουν εκείνοι, ως ευώδεις αρεστάς θυσίας στον Θεόν του ουρανού και να προσεύχονται δια την ζωήν του βασιλέως και των υιών του.

Β Εσδ. 6,11 - καὶ ἀπ᾿ ἐμοῦ ἐτέθη γνώμη ὅτι πᾶς ἄνθρωπος, ὃς ἀλλάξει τὸ ῥῆμα τοῦτο, καθαιρεθήσεται ξύλον ἐκ τῆς οἰκίας αὐτοῦ καὶ ὠρθωμένος παγήσεται ἐπ᾿ αὐτοῦ, καὶ ὁ οἶκος αὐτοῦ τὸ κατ᾿ ἐμὲ ποιηθήσεται.

Β Εσδ. 6,11 - Εγώ εξέδωσα επίσης την διαταγήν ότι κάθε άνθρωπος, ο οποίος θα καταπατήση, τους λόγους μου αυτούς, θα σταυρωθή όρθιος επάνω εις ξύλον, το οποίον θα ληφθή από την οικίαν του και θα δημευθή υπέρ εμού του βασιλέως ο οίκος του,

Β Εσδ. 6,12 - καὶ ὁ Θεός, οὗ κατασκηνοῖ τὸ ὄνομα ἐκεῖ, καταστρέψει πάντα βασιλέα καὶ λαόν, ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἀλλάξαι ἢ ἀφανίσαι τὸν οἶκον τοῦ Θεοῦ τὸν ἐν Ἱερουσαλήμ. ἐγὼ Δαρεῖος ἔθηκα γνώμην· ἐπιμελῶς ἔσται».

Β Εσδ. 6,12 - Και ο Θεός, του οποίου το Ονομα εκεί κατοικεί, θα καταστρέψη κάθε βασιλέα και λαόν, ο οποίος θα απλώση το χέρι του να αλλάξη απλώς η, πολύ περισσότερον, να καταστρέψη εντελώς τον ναόν του Θεού, τον εις την Ιερουσαλήμ. Εγώ ο Δαρείος εξέδωσα την απόφασιν και διαταγήν αυτήν και πρέπει να εφαρμοσθή με επιμέλειαν".

Β Εσδ. 6,13 - Τότε Θανθαναΐ ὁ ἔπαρχος πέραν τοῦ ποταμοῦ, Σαθαρβουζαναΐ καὶ οἱ σύνδουλοι αὐτοῦ, πρὸς ὃ ἀπέστειλε Δαρεῖος ὁ βασιλεύς, οὕτως ἐποίησαν ἐπιμελῶς.

Β Εσδ. 6,13 - Τοτε ο Θανθαναί ο διοικητής των χωρών, που ευρίσκοντο πέραν του ποταμού Ευφράτου, ο Σαθαρβουζαναΐ και οι σύντροφοί των, έπραξαν με κάθε επιμέλειαν ο,τι περιελάμβανεν η διαταγή του βασιλέως, την οποίαν είχεν αποστείλει προς αυτούς ο βασιλεύς Δαρείος.

Β Εσδ. 6,14 - καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων ᾠκοδομοῦσαν καὶ οἱ Λευῖται ἐν προφητείᾳ Ἀγγαίου τοῦ προφήτου καὶ Ζαχαρίου υἱοῦ Ἀδδὼ καὶ ἀνῳκοδόμησαν καὶ κατηρτίσαντο ἀπὸ γνώμης Θεοῦ Ἰσραὴλ καὶ ἀπὸ γνώμης Κύρου καὶ Δαρείου καὶ Ἀρθασασθὰ βασιλέων Περσῶν.

Β Εσδ. 6,14 - Τοτε οι πρεσβύτεροι των Ιουδαίων και οι Λευίται ανοικοδομούσαν τον ναόν, ενισχυόμενοι και ενθουσιαζόμενοι με τα κηρύγματα του προφήτου Αγγαίου και του προφήτου Ζαχαρίου, υιού του Αδδώ. Ανοικοδόμησαν, λοιπόν, και απεπεράτωσαν τον ναόν, σύμφωνα με την εντολήν του Θεού του Ισραήλ και κατόπιν διαταγής των βασιλέων των Περσών Κυρου και Δαρείου και Αρταξέρξου.

Β Εσδ. 6,15 - καὶ ἐτέλεσαν τὸν οἶκον τοῦτον ἕως ἡμέρας τρίτης μηνὸς Ἀδάρ, ὅ ἐστιν ἔτος ἕκτον τῆς βασιλείας Δαρείου τοῦ βασιλέως.

Β Εσδ. 6,15 - Ετελείωσαν δε τον ναόν τούτον κατά την τρίτην ημέραν του μηνός Αδάρ, του έκτου έτους της βασιλείας του βασιλέως Δαρείου.

Β Εσδ. 6,16 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ κατάλοιποι υἱῶν ἀποικεσίας, ἐγκαίνια τοῦ οἴκου τοῦ Θεοῦ ἐν εὐφροσύνῃ.

Β Εσδ. 6,16 - Ο Ισραηλιτικός λαός, οι ιερείς, οι Λευίται και όλοι οι Ιουδαίοι, όσοι είχαν επανέλθει από την αιχμαλωσίαν, έκαμαν το εγκαίνια του ναού του Θεού με μεγάλη χαράν και ευφροσύνην.

Β Εσδ. 6,17 - καὶ προσήνεγκαν εἰς τὰ ἐγκαίνια τοῦ οἴκου τοῦ Θεοῦ μόσχους ἑκατόν, κριοὺς διακοσίους, ἀμνοὺς τετρακοσίους, χιμάρους αἰγῶν ὑπὲρ ἁμαρτίας ὑπὲρ παντὸς Ἰσραὴλ δώδεκα εἰς ἀριθμὸν φυλῶν Ἰσραήλ.

Β Εσδ. 6,17 - Κατά τα εγκαίνια δε του ναού του Θεού προσέφεραν ως θυσίας εκατόν μόσχους, διακοσίους κριούς, τετρακοσίους αμνούς και δώδεκα τράγους, ανάλογα με τον αριθμόν των δώδεκα φυλών του Ισραήλ, προς θυσίαν δια την εξιλέωσιν των αμαρτιών όλων των Ισραηλιτών.

Β Εσδ. 6,18 - καὶ ἔστησαν τοὺς ἱερεῖς ἐν διαιρέσεσιν αὐτῶν καὶ τοὺς Λευίτας ἐν μερισμοῖς αὐτῶν ἐπὶ δουλείᾳ Θεοῦ τοῦ ἐν Ἱερουσαλὴμ κατὰ τὴν

γραφὴν βίβλου Μωυσῆ.

Β Εσδ. 6,18 - Ωρισαν δε τους ιερείς σύμφωνα με τας ιερατικάς των τάξεις, όπως επίσης και τους Λευίτας κατά τα χωριστά αυτών τμήματα, δια να προσφέρουν τας υπηρεσίας των στον Θεόν εκ Ιερουσαλήμ, σύμφωνα με τον γραπτόν νόμον του Μωϋσέως.

Β Εσδ. 6,19 - Καὶ ἐποίησαν οἱ υἱοὶ τῆς ἀποικεσίας τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου.

Β Εσδ. 6,19 - Οι Ιουδαίοι που είχαν επανέλθει από την αιχμαλωσίαν, εώρτασαν το Πασχα την δεκάτην τετάρτην ημέραν του πρώτου μηνός.

Β Εσδ. 6,20 - ὅτι ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ Λευῖται, ἕως εἷς πάντες καθαροί, καὶ ἔσφαξαν τὸ πάσχα τοῖς πᾶσιν υἱοῖς τῆς ἀποικεσίας καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσι καὶ ἑαυτοῖς.

Β Εσδ. 6,20 - Διότι οι ιερείς και οι Λευίται ήσαν καθαροί, είχαν αγνισθή μέχρι και του τελευταίου. Οι Λευίται εθυσίασαν τον πασχάλιον αμνόν δι' όλους τους Ιουδαίους, που είχαν επιστρέψει από την αιχμαλωσίαν, δια τους αδελφούς των τους ιερείς και δια τον εαυτόν των.

Β Εσδ. 6,21 - καὶ ἔφαγον υἱοὶ Ἰσραὴλ τὸ πάσχα, οἱ ἀπὸ τῆς ἀποικεσίας καὶ πᾶς ὁ χωριζόμενος τῆς ἀκαθαρσίας ἐθνῶν τῆς γῆς πρὸς αὐτοὺς τοῦ ἐκζητῆσαι Κύριον Θεὸν Ἰσραήλ.

Β Εσδ. 6,21 - Εφαγον τότε τον πασχαλινόν αμνόν όχι μόνον οι Ισραηλίται, που είχον επανέλθει από την αιχμαλωσίαν, αλλά και όλοι εκείνοι οι οποίοι εχωρίσθησαν από τους μολυσμούς των εθνικών λαών της χώρας αυτής και είχαν ενωθή με τους ισραηλίτας, δια να προσεύχωνται και λατρεύουν Κυριον τον Θεόν του Ισραήλ.

Β Εσδ. 6,22 - καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ, ὅτι εὔφρανεν αὐτοὺς Κύριος καὶ ἐπέστρεψε καρδίαν βασιλέως Ἀσσοὺρ ἐπ᾿ αὐτοὺς κραταιῶσαι τὰς χεῖρας αὐτῶν ἐν ἔργοις οἴκου τοῦ Θεοῦ Ἰσραήλ.

Β Εσδ. 6,22 - Εώρτασαν με πολλήν χαράν την εορτήν των αζύμων επί επτά ημέρας, διότι τους εύφρανεν ο Κυριος, ο οποίος μετέστρεψεν ευμενώς την καρδίαν του βασιλέως των Περσών υπέρ αυτών και ενίσχυσε τα χέρια των στο έργον της ανοικοδομήσεως του ναού, οίκου του Θεού του ισραηλιτικού λαού.

Β ΕΣΔΡΑΣ 7

Β Εσδ. 7,1 - Καὶ μετὰ τὰ ῥήματα ταῦτα ἐν βασιλείᾳ Ἀρθασασθὰ βασιλέως Περσῶν ἀνέβη Ἔσδρας υἱὸς Σαραίου, υἱοῦ Ἀζαρίου, υἱοῦ Χελκία,

Β Εσδ. 7,1 - Επειτα από τα γεγονότα αυτά, επί της βασιλείας του Αρταξέρξου βασιλέως των Περσών ήλθεν εις την Ιερουσαλήμ ο Εσδρας, υιός

του Αζαρία, υιού του Χελκία,

Β Εσδ. 7,2 - υἱοῦ Σελούμ, υἱοῦ Σαδδούκ, υἱοῦ Ἀχιτώβ,

Β Εσδ. 7,2 - υιού του Σελούμ, υιού του Σαδδούκ, υιού του Αχιτώβ,

Β Εσδ. 7,3 - υἱοῦ Σαμαρία, υἱοῦ Ἐσριά, υἱοῦ Μαρεώθ,

Β Εσδ. 7,3 - υιού του Σαμαρία, υιού του Εσριά, υιού του Μαρεώθ,

Β Εσδ. 7,4 - υἱοῦ Ζαραΐα, υἱοῦ Ὀζίου, υἱοῦ Βοκκί,

Β Εσδ. 7,4 - υιού του Ζαραΐα, υιού του Οζίου υιού του Βοκκί,

Β Εσδ. 7,5 - υἱοῦ Ἀβισουέ, υἱοῦ Φινεές, υἱοῦ Ἐλεάζαρ, υἱοῦ Ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου·

Β Εσδ. 7,5 - υιού του Αβισουέ, υιού του Φινεές, υιού του Ελεάζαρ, υιού του Ααρών του πρώτου αρχιερέως των Ισραηλιτών.

Β Εσδ. 7,6 - αὐτὸς Ἔσδρας ἀνέβη ἐκ Βαβυλῶνος, καὶ αὐτὸς γραμματεὺς ταχὺς ἐν νόμῳ Μωυσῇ, ὃν ἔδωκε Κύριος ὁ Θεὸς Ἰσραήλ. καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεύς, ὅτι χεὶρ Κυρίου Θεοῦ αὐτοῦ ἐπ᾿ αὐτὸν ἐν πᾶσιν, οἷς ἐζήτει αὐτός.

Β Εσδ. 7,6 - Αυτός λοιπόν ο Εσδρας, σοφός και ικανός γραμματεύς στον νόμον του Μωϋσέως, τον οποίον ο Θεός του Ισραήλ είχε δώσει, επανήλθεν από την Βαβυλώνα εις την Ιερουσαλήμ. Επειδή δε το προστατευτικόν χέρι Κυρίου του Θεού ήτο μαζή του, ο βασιλεύς έδωσεν εις αυτόν ο,τι αυτός του εζήτησε.

Β Εσδ. 7,7 - καὶ ἀνέβησαν ἀπὸ τῶν υἱῶν Ἰσραὴλ καὶ ἀπὸ τῶν ἱερέων καὶ ἀπὸ τῶν Λευιτῶν καὶ οἱ ᾄδοντες καὶ οἱ πυλωροὶ καὶ οἱ Ναθινὶμ εἰς Ἱερουσαλὴμ ἐν ἔτει ἑβδόμῳ τῷ Ἀρθασασθὰ τῷ βασιλεῖ.

Β Εσδ. 7,7 - Τοτε δε και πολλοί άλλοι από τους Ισραηλίτας, από τους ιερείς, από τους Λευίτας, από τους ψάλτας, από τους θυρωρούς, από τους νεωκόρους, επανήλθαν εις την Ιερουσαλήμ κατά το έβδομον έτος της βασιλείας του βασιλέως Αρταξέρξου.

Β Εσδ. 7,8 - καὶ ἤλθοσαν εἰς Ἱερουσαλὴμ τῷ μηνὶ τῷ πέμπτῳ, τοῦτο τὸ ἔτος ἕβδομον τῷ βασιλεῖ·

Β Εσδ. 7,8 - Εφθασαν δε αυτοί εις την Ιερουσαλήμ κατά τον πέμπτον μήνα του εβδόμου έτους της βασιλείας του Αρταξέρξου.

Β Εσδ. 7,9 - ὅτι ἐν μιᾷ τοῦ μηνὸς τοῦ πρώτου αὐτὸς ἐθεμελίωσε τὴν ἀνάβασιν τὴν ἀπὸ Βαβυλῶνος, ἐν δὲ τῇ πρώτῃ τοῦ μηνὸς τοῦ πέμπτου ἤλθοσαν εἰς Ἱερουσαλήμ, ὅτι χεὶρ Θεοῦ αὐτοῦ ἦν ἀγαθὴ ἐπ᾿ αὐτόν.

Β Εσδ. 7,9 - Ο Εσδρας και οι ακολουθούντες αυτόν κατά την πρώτην ημέραν του πρώτου μηνός εξεκίνησαν από την Βαβυλώνα και ήλθαν εις την Ιερουσαλήμ κατά την πρώτην ημέραν του πέμπτου μηνός ασφαλείς, διότι το προστατευτικόν χέρι του Θεού ήτο μαζή με τον Εσδραν.

Β Εσδ. 7,10 - ὅτι Ἔσρας ἔδωκεν ἐν καρδίᾳ αὐτοῦ ζητῆσαι τὸν νόμον καὶ ποιεῖν καὶ διδάσκειν ἐν Ἰσραὴλ προστάγματα καὶ κρίματα.

Β Εσδ. 7,10 - Τούτο δέ, διότι ο Εσδρας είχεν αφοσιωθή με όλην του την καρδίαν εις την έρευναν και την μελέτην του Νομου, αφ' ενός μεν δια να τον εφαρμόζη αυτός, αφ' ετέρου δε δια να διδάσκη στον ισραηλιτικόν λαόν τας εντολάς και τας διαταγάς του Νομου αυτού.

Β Εσδ. 7,11 - Καὶ αὕτη ἡ διασάφησις τοῦ διατάγματος, οὗ ἔδωκεν Ἀρθασασθὰ τῷ Ἔσδρᾳ τῷ ἱερεῖ τῷ γραμματεῖ βιβλίου λόγων ἐντολῶν Κυρίου καὶ προσταγμάτων αὐτοῦ ἐπὶ τὸν Ἰσραήλ·

Β Εσδ. 7,11 - Αυτό δε είναι το περιεχόμενον της διαταγής, την οποίαν ο Αρταξέρξης έδωκεν στον Εσδραν, τον ιερέα και γραμματέα, τον βαθύν γνώστην του βιβλίου του Νομου, όπου περιέχονται οι λόγοι, αι εντολαί και τα προστάγματα του Κυρίου προς τον ισραηλιτικόν λαόν·

Β Εσδ. 7,12 - «Ἀρθασασθὰ βασιλεὺς βασιλέων Ἔσδρᾳ γραμματεῖ νόμου Κυρίου τοῦ Θεοῦ τοῦ οὐρανοῦ· τετέλεσθαι λόγος καὶ ἡ ἀπόκρισις.

Β Εσδ. 7,12 - “Εγώ ο Αρταξέρξης, ο βασιλεύς των βασιλέων, προς τον Εσδραν τον γραμματέα, τον βαθύν γνώστην του νόμου Κυρίου του Θεού του ουρανού. Θεωρείται τετελεσμένον πλέον γεγονός ο λόγος μου αυτός.

Β Εσδ. 7,13 - ἀπ᾿ ἐμοῦ ἐτέθη γνώμη ὅτι πᾶς ὁ ἑκουσιαζόμενος ἐν βασιλείᾳ μου ἀπὸ λαοῦ Ἰσραὴλ καὶ ἱερέων καὶ Λευιτῶν πορευθῆναι εἰς Ἱερουσαλήμ, μετὰ σοῦ πορευθῆναι.

Β Εσδ. 7,13 - Εγώ έδωσα διαταγήν, ώστε καθένας από τον ισραηλιτικόν λαόν, είτε λαϊκός είτε ιερεύς η Λευίτης είναι, ο οποίος ευρίσκεται στο βασίλειόν μου και επιθυμεί να μεταβή εις την Ιερουσαλήμ, ας έλθη μαζή σου.

Β Εσδ. 7,14 - ἀπὸ προσώπου τοῦ βασιλέως καὶ τῶν ἑπτὰ συμβούλων ἀπεστάλη ἐπισκέψασθαι ἐπὶ τὴν Ἰουδαίαν καὶ εἰς Ἱερουσαλὴμ νόμῳ Θεοῦ αὐτῶν τῷ ἐν χειρί σου

Β Εσδ. 7,14 - Εκ μέρους του βασιλέως και των επτά συμβούλων του απεστάλη διαταγή, να εποπτεύσης εις την Ιουδαίαν και εις την Ιερουσαλήμ, σύμφωνα με του Θεού τον νόμον, ο οποίος ευρίσκεται εις τα χέρια σου,

Β Εσδ. 7,15 - καὶ εἰς οἶκον Κυρίου ἀργύριον καὶ χρυσίον, ὃ ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι ἑκουσιάσθησαν τῷ Θεῷ τοῦ Ἰσραὴλ τῷ ἐν Ἱερουσαλὴμ κατασκηνοῦντι,

Β Εσδ. 7,15 - να φέρετε στον ναόν αυτόν του Κυρίου άργυρον και χρυσόν, τον οποίον ο βασιλεύς και οι επτά σύμβουλοί του προθύμως και αυτοπροαιρέτως αφιέρωσαν στον Θεόν του ισραηλιτικού λαού, του κατοικούντος εις την Ιερουσαλήμ.

Β Εσδ. 7,16 - καὶ πᾶν ἀργύριον καὶ χρυσίον, ὅ,τι ἐὰν εὕρῃς ἐν πάσῃ χώρᾳ Βαβυλῶνος μετὰ ἑκουσιασμοῦ τοῦ λαοῦ καὶ ἱερέων τῶν ἑκουσιαζομένων εἰς οἶκον Θεοῦ τὸν ἐν Ἱερουσαλήμ,

Β Εσδ. 7,16 - Επίσης να δεχθής και κάθε άργυρον και χρυσόν, τον οποίον θα εύρης εις όλην την επαρχίαν της Βαβυλώνος από τας

αυτοπροαιρέτους προσφοράς του λαού σου και των ιερέων, οι οποίοι θεληματικώς και προθύμως θα προσφέρουν αυτά στον ναόν του Κυρίου, εις την Ιερουσαλήμ.

Β Εσδ. 7,17 - καὶ πάντα προσπορευόμενον τοῦτον ἑτοίμως ἔνταξον ἐν βιβλίῳ τούτῳ, μόσχους, κριούς, ἀμνοὺς καὶ θυσίας αὐτῶν καὶ σπονδὰς αὐτῶν, καὶ προσοίσεις αὐτὰ ἐπὶ τοῦ θυσιαστηρίου τοῦ οἴκου τοῦ Θεοῦ ὑμῶν τοῦ ἐν Ἱερουσαλήμ.

Β Εσδ. 7,17 - Καθε τέτοιαν εισφοράν αμέσως θα την καταγράψης στο καθωρισμένον βιβλίον και να αγοράσης μόσχους, κριούς, αμνούς και ο,τι άλλο χρειάζεται δια τας αναιμάκτους θυσίας και σπονδάς και να προσφέρης αυτά στο θυσιαστήριον των ολοκαυτωμάτων του ναού του Θεού, του κατοικούντος εις την Ιερουσαλήμ.

Β Εσδ. 7,18 - καὶ εἴ τι ἐπὶ σὲ καὶ τοὺς ἀδελφούς σου ἀγαθυνθῇ ἐν καταλοίπῳ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου ποιῆσαι, ὡς ἀρεστὸν τῷ Θεῷ ὑμῶν ποιήσατε.

Β Εσδ. 7,18 - Με το υπόλοιπον δε αργύριον και χρυσίον κάμετε ο,τι συ και οι αδελφοί σου νομίζετε καλόν και όπως είναι αρεστόν στον Θεόν σας.

Β Εσδ. 7,19 - καὶ τὰ σκεύη τὰ διδόμενά σοι εἰς λειτουργίαν οἴκου Θεοῦ παράδος ἐνώπιον τοῦ Θεοῦ ἐν Ἱερουσαλήμ.

Β Εσδ. 7,19 - Και τα ιερά σκεύη, τα οποία παρεδόθησαν εις σέ, δια να χρησιμοποιηθούν στον ναόν του Θεού, παράδωσέ τα στον ναόν του Θεού, ενώπιον του Θεού, του εις την Ιερουσαλήμ.

Β Εσδ. 7,20 - καὶ κατάλοιπον χρείας οἴκου Θεοῦ σου, ὃ ἂν φανῇ σοι δοῦναι, δώσεις ἀπὸ οἴκων γάζης βασιλέως

Β Εσδ. 7,20 - Και ο,τι άλλο νομίζεις συ ότι θα χρειασθή, να δοθή στον ναόν του Θεού σου, θα το δώσης, αφού το πάρης από το θησαυροφυλάκιον του βασιλέως

Β Εσδ. 7,21 - καὶ ἀπ᾿ ἐμοῦ. ἐγὼ Ἀρθασασθὰ βασιλεὺς ἔθηκα γνώμην πάσαις ταῖς γάζαις ταῖς ἐν πέρᾳ τοῦ ποταμοῦ, ὅτι πᾶν, ὃ ἄν αἰτήσῃ ὑμᾶς Ἔδρας ὁ ἱερεὺς καὶ γραμματεὺς τοῦ Θεοῦ τοῦ οὐρανοῦ, ἑτοίμως γινέσθω,

Β Εσδ. 7,21 - και από εμέ προσωπικώς. Εγώ, ο βασιλεύς Αρταξέρξης, εξέδωσα αυτήν την διαταγήν προς όλους τους θησαυροφύλακάς μου, οι οποίοι ευρίσκονται εις τας πέραν του ποταμού Ευφράτου χώρας. Καθε τι, που θα ζητήση από σας ο ιερεύς Εσδρας, ο γραμματεύς αυτός και βαθύς γνώστης του νόμου του Θεού του ουρανού, να γίνη με ακρίβειαν.

Β Εσδ. 7,22 - ἕως ἀργυρίου ταλάντων ἑκατὸν καὶ ἕως πυροῦ κόρων ἑκατὸν καὶ ἕως οἴνου βατῶν ἑκατὸν καὶ ἕως ἐλαίου βατῶν ἑκατὸν καὶ ἅλας οὗ οὐκ ἔστι γραφή.

Β Εσδ. 7,22 - Να του δοθούν μέχρις εκατόν αργυρά τάλαντα, εκατόν κόροι σίτου, εκατόν βάτοι οίνου, εκατόν βάτοι ελαίου και αλάτι, όσον αυτός

θα θελήση.

Β Εσδ. 7,23 - πᾶν ὅ ἐστιν ἐν γνώμῃ Θεοῦ τοῦ οὐρανοῦ, γινέσθω. προσέχετε μή τις ἐπιχειρήσῃ εἰς τὸν οἶκον Θεοῦ τοῦ οὐρανοῦ, μή ποτε γένηται ὀργὴ ἐπὶ τὴν βασιλείαν τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ.

Β Εσδ. 7,23 - Καθε τι, το οποίον ήθελε διαταχθή από τον Θεόν του ουρανού, πρέπει να γίνη. Προσέχετε, μήπως κανένας από σας επιχειρήση να κάμη κάτι κακόν εναντίον του ναού του Θεού του ουρανού, δια να μη εκσπάση η οργή του Θεού εναντίον της βασιλείας, εμού του βασιλέως και των τέκνων μου.

Β Εσδ. 7,24 - καὶ ὑμῖν ἐγνώρισται ἐν πᾶσι τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις, ᾄδουσι, πυλωροῖς, Ναθινὶμ καὶ λειτουργοῖς οἴκου Θεοῦ τοῦτο, φόρος μὴ ἔστω σοι, οὐκ ἐξουσιάσεις καταδουλοῦσθαι αὐτούς.

Β Εσδ. 7,24 - Επί πλέον σας καθιστώ γνωστόν και τούτο, ότι όλοι οι ιερείς και οι Λευίται και οι ψάλται και οι θυρωροί και οι νεωκόροι και οι άλλοι υπηρέται του ναού είναι απηλλαγμένοι από κάθε φορολογίαν. Ούτε με κανένα άλλον τρόπον θα επιβαρύνετε και θα καταδουλώνετε αυτούς.

Β Εσδ. 7,25 - καὶ σύ, Ἔσδρα, ὡς ἡ σοφία τοῦ Θεοῦ ἐν χειρί σου, κατάστησον γραμματεῖς καὶ κριτάς, ἵνα ὦσι κρίνοντες παντὶ τῷ λαῷ ἐν πέρᾳ τοῦ ποταμοῦ πᾶσι τοῖς εἰδόσι νόμον τοῦ Θεοῦ σου, καὶ τῷ μὴ εἰδότι γνωριεῖτε.

Β Εσδ. 7,25 - Και συ, Εσδρα, όπως θα σε φωτίζη η πλούσια σοφία του Θεού, με την οποίαν είσαι προικισμένος, να διορίσης γραμματείς και δικαστάς, δια να δικάζουν όλον τον ισραηλιτικόν λαόν, ο οποίος ευρίσκεται πέραν από τον Ευφράτην ποταμόν και γνωρίζει τον νόμον του Θεού σου. Επί πλέον δε να φροντίσης, ώστε και εκείνοι που δεν γνωρίζουν τον νόμον του Θεού να τον μάθουν.

Β Εσδ. 7,26 - καὶ πᾶς, ὃς ἂν μὴ ᾖ ποιῶν νόμον τοῦ Θεοῦ καὶ νόμον τοῦ βασιλέως ἑτοίμως, τὸ κρίμα ἔσται γινόμενον ἐξ αὐτοῦ, ἐάν τε εἰς θάνατον ἐάν τε εἰς παιδείαν ἐάν τε εἰς ζημίαν τοῦ βίου ἐάν τε εἰς παράδοσιν».

Β Εσδ. 7,26 - Καθένας δέ, που δεν θα εκτέλεση τον νόμον του Θεού και τον νόμον του βασιλέως προθύμως, θα ανακριθή και θα καταδικασθή αμέσως η εις θάνατον η εις άλλην τιμωρίαν η εις χρηματικόν πρόστιμον, η εις φυλάκισιν”.

Β Εσδ. 7,27 - Εὐλογητὸς Κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὃς ἔδωκεν ἐν καρδίᾳ τοῦ βασιλέως οὕτως, τοῦ δοξάσαι τὸν οἶκον Κυρίου τὸν ἐν Ἱερουσαλήμ.

Β Εσδ. 7,27 - Ευλογημένος ας είναι Κυριος ο Θεός των πατέρων μας, ο οποίος ενέβαλεν εις την καρδίαν του βασιλέως τέτοια αισθήματα και τέτοιες ευμενείς διαθέσεις, δια να δοξασθή ο ναός του Κυρίου, ο εις την Ιερουσαλήμ.

Β Εσδ. 7,28 - καὶ ἐπ᾿ ἐμὲ ἔκλινεν ἔλεος ἐν ὀφθαλμοῖς τοῦ βασιλέως καὶ τῶν συμβούλων αὐτοῦ καὶ πάντων τῶν ἀρχόντων τοῦ βασιλέως τῶν ἐπῃρμένων. καὶ ἐγὼ ἐκραταιώθην ὡς χεὶρ Θεοῦ ἡ ἀγαθὴ ἐπ᾿ ἐμέ, καὶ συνῆξα ἀπὸ Ἰσραὴλ ἄρχοντας ἀναβῆναι μετ᾿ ἐμοῦ.

Β Εσδ. 7,28 - Δοξασμένος ας είναι ο Θεός, ο οποίος κατηύθυνε ευμενείς προς εμέ τους οφθαλμούς του βασιλέως και των συμβούλων του και όλων των αρχόντων του βασιλέως, που κατέχουν μεγάλα αξιώματα. Ετσι δε και εγώ ενισχύθην, διότι το αγαθόν και προστατευτικόν χέρι του Θεού ήτο επάνω μου. Συνεκέντρωσα, λοιπόν τότε τους αρχηγούς του ισραηλιτικού λαού, δια να επανέλθουν και αυτοί μαζή με εμέ εις την Ιερουσαλήμ.

Β ΕΣΔΡΑΣ 8

Β Εσδ. 8,1 - Καὶ οὗτοι οἱ ἄρχοντες πατριῶν αὐτῶν, οἱ ὁδηγοὶ ἀναβαίνοντες μετ᾿ ἐμοῦ ἐν βασιλείᾳ Ἀρθασασθὰ τοῦ βασιλέως Βαβυλῶνος·

Β Εσδ. 8,1 - Αυτοί δε είναι οι άρχοντες των οικογενειών, οι οδηγοί, οι οποίοι μαζή με εμέ επανήλθαν εις την Ιερουσαλήμ επί της βασιλείας του Αρταξέρξου βασιλέως της Βαβυλώνος.

Β Εσδ. 8,2 - ἀπὸ υἱῶν Φινεές, Γηρσών· ἀπὸ υἱῶν Ἰθάμαρ, Δανιήλ· ἀπὸ υἱῶν Δαυίδ, Ἀττούς·

Β Εσδ. 8,2 - Από τους απογόνους του Φινεές, ο Γηρσών· από του απογόνους του Ιθάμαρ ο Δανιήλ· από τους απογόνους του Δαυίδ ο Αττούς,

Β Εσδ. 8,3 - ἀπὸ υἱῶν Σαχανία καὶ ἀπὸ υἱῶν Φόρος, Ζαχαρίας καὶ μετ᾿ αὐτοῦ τὸ σύστρεμμα ἑκατὸν καὶ πεντήκοντα·

Β Εσδ. 8,3 - από την γενεάν του Σαχανία και από του απογόνους του Φορος, ήσαν ο Ζαχαρίας και οι μαζή με αυτόν, εν συνόλω εκατόν πεντήκοντα.

Β Εσδ. 8,4 - ἀπὸ υἱῶν Φαὰθ Μωάβ, Ἐλιανὰ υἱὸς Σαραΐα καὶ μετ᾿ αὐτοῦ διακόσιοι τὰ ἀρσενικά·

Β Εσδ. 8,4 - Από τους υιούς Φαάδ Μωάβ, ο Ελιανά υιός του Σαραΐα, και μαζή με αυτόν διακόσιοι άρρενες.

Β Εσδ. 8,5 - καὶ ἀπὸ υἱῶν Ζαθόης, Σεχενίας υἱὸς Ἀζιὴλ καὶ μετ᾿ αὐτοῦ τριακόσια τὰ ἀρσενικά·

Β Εσδ. 8,5 - Από τους απογόνους του Ζαθόης ήσαν Σεχενίας υιός του Αζιήλ και μαζή με αυτόν τριακόσιοι άρρενες.

Β Εσδ. 8,6 - καὶ ἀπὸ τῶν υἱῶν Ἀδίν, Ὠβὴθ υἱὸς Ἰωνάθαν καὶ μετ᾿ αὐτοῦ πεντήκοντα τὰ ἀρσενικά·

Β Εσδ. 8,6 - Από του απογόνους του Αδίν ήταν ο Ωβήθ ο υιός του Ιωνάθαν, και μαζή με αυτόν πεντήκοντά άρρενες.

Β Εσδ. 8,7 - καὶ ἀπὸ υἱῶν Ἠλάμ, Ἰεσία υἱὸς Ἀθελία καὶ μετ᾿ αὐτοῦ ἑβδομήκοντα τὰ ἀρσενικά·

Β Εσδ. 8,7 - Από τους απογόνους του Ηλάμ ήσαν ο Ιεσία υιός του Αθελία και ακόλουθοί του άρρενες εδδομήκοντα.

Β Εσδ. 8,8 - καὶ ἀπὸ υἱῶν Σαφατία, Ζαβαδίας υἱὸς Μιχαὴλ καὶ μετ᾿ αὐτοῦ ὀγδοήκοντα τὰ ἀρσενικά·

Β Εσδ. 8,8 - Από τους απογόνους του Σοφατία ήσαν ο Ζαδαδίας, υιός του Μιχαήλ και μαζή με αυτόν άρρενες ογδοήκοντα.

Β Εσδ. 8,9 - καὶ ἀπὸ υἱῶν Ἰωάβ, Ἀβαδία υἱὸς Ἰεϊὴλ καὶ μετ᾿ αὐτοῦ διακόσιοι δεκαοκτὼ τὰ ἀρσενικά·

Β Εσδ. 8,9 - Από τους απογόνους του Ιώαβ ήσαν ο Αβαδια υιός του Ιεϊήλ και μαζή με αυτόν διακόσιοι δέκα οκτώ άρενες.

Β Εσδ. 8,10 - καὶ ἀπὸ τῶν υἱῶν Βαανί, Σελιμοὺθ υἱὸς Ἰωσεφία καὶ μετ᾿ αὐτοῦ ἑκατὸν ἑξήκοντα τὰ ἀρσενικά·

Β Εσδ. 8,10 - Από τους απογόνους του Βανί ήσαν ο Σελιμούθ υιός του Ιωσεφία και μαζή με αυτόν άρρενες εκατόν εξήκοντα.

Β Εσδ. 8,11 - καὶ ἀπὸ υἱῶν Βαβί, Ζαχαρίας υἱὸς Βαβὶ καὶ μετ᾿ αὐτοῦ εἰκοσιοκτὼ τὰ ἀρσενικά·

Β Εσδ. 8,11 - Από τους απογόνους του Βαβί ήσαν ο Ζαχαρίας υιός του Βαωί και μαζή με αυτόν άρρενες είκοσι οκτώ.

Β Εσδ. 8,12 - καὶ ἀπὸ υἱῶν Ἀσγάδ, Ἰωανὰν υἱὸς Ἀκκατὰν καὶ μετ᾿ αὐτοῦ ἑκατὸν δέκα τὰ ἀρσενικά·

Β Εσδ. 8,12 - Από τους απογόνους του Ασγάδ ήσαν ο Ιωανάν υιός του Ακκατάν και μαζή με αυτόν άρρενες εκατόν δέκα.

Β Εσδ. 8,13 - καὶ ἀπὸ υἱῶν Ἀδωνικὰμ ἔσχατοι καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐλιφαλάτ, Ἰεὴλ καὶ Σαμαΐα καὶ μετ᾿ αὐτῶν ἑξήκοντα τὰ ἀρσενικά·

Β Εσδ. 8,13 - Από τους απογόνους του Αδωνικάμ ήσαν οι τελευταίοι και έφεραν τα ονόματα Ελιφαλάτ, Ιεήλ, Σαμαΐας και μαζή με αυτούς ήσαν εξήκοντα άρρενες.

Β Εσδ. 8,14 - καὶ ἀπὸ υἱῶν Βαγουαΐ, Οὐθαΐ καὶ Ζαβοὺδ καὶ μετ᾿ αὐτοῦ ἑβδομήκοντα τὰ ἀρσενικά.

Β Εσδ. 8,14 - Από τους απογόνους του Βαγουαΐ, ο Ουθαΐ, ο Ζαβούδ και μαζή με αυτούς εβδομήκοντα άρρενες.

Β Εσδ. 8,15 - Καὶ συνῆξα αὐτοὺς πρὸς τὸν ποταμὸν τὸν ἐρχόμενον πρὸς τὸν Εὐί, καὶ παρενεβάλομεν ἐκεῖ ἡμέρας τρεῖς. καὶ συνῆκα ἐν τῷ λαῷ καὶ ἐν τοῖς ἱερεῦσι, καὶ ἀπὸ υἱῶν Λευὶ οὐχ εὗρον ἐκεῖ.

Β Εσδ. 8,15 - Συνεκέντρωσα αυτούς πλησίον του ποταμού, ο οποίος χύνεται στον Ευι. Εκεί κατεσκηνώσαμεν επί τρεις ημέρας. Παρετήρησα όμως και αντελήφθην, ότι μεταξύ του λαού δεν ευρήκα εκεί αρκετούς από τους ιερείς και τους Λευίτας.

Β Εσδ. 8,16 - καὶ ἀπέστειλα τῷ Ἐλεάζαρ, τῷ Ἀριήλ, τῷ Σεμεΐᾳ καὶ τῷ Ἀλωνὰμ καὶ τῷ Ἰαρὶβ καὶ τῷ Ἐλνάθαμ καὶ τῷ Νάθαν καὶ τῷ Ζαχαρίᾳ καὶ τῷ Μεσολλὰμ καὶ τῷ Ἰωαρὶμ καὶ τῷ Ἐλνάθαν συνίοντας.

Β Εσδ. 8,16 - Τοτε έστειλα και προσεκάλεσα συνετούς ανθρώπους, τον Ελεάζαρ, τον Αριήλ, τον Σεμεΐαν, τον Αλωνάμ, τον Ιαρίβ, τον Ελνάθαμ, τον Ναθαν, τον Ζαχαρίαν, τον Μεσολλάμ, τον Ιωαρίμ και τον Ελνάθαν.

Β Εσδ. 8,17 - καὶ ἐξήνεγκα αὐτοὺς ἐπὶ ἄρχοντας ἐν ἀργυρίῳ τοῦ τόπου καὶ ἔθηκα ἐν στόματι αὐτῶν λόγους λαλῆσαι πρὸς τοὺς ἀδελφοὺς αὐτῶν τοὺς ναθινὶμ ἐν ἀργυρίῳ τοῦ τόπου τοῦ ἐνέγκαι ὑμῖν ᾄδοντας εἰς οἶκον Θεοῦ ἡμῶν.

Β Εσδ. 8,17 - Εφερα αυτούς και τους παρουσίασα στους άρχοντας, οι οποίοι ευρίσκοντο εις ένα τόπον που λέγεται “Αργύριον”, και τους ωδήγησα τι να είπουν προς τους αδελφούς των, τους υπηρέτας του ναού, οι οποίοι επίσης ευρίσκοντο στον ίδιον τόπον, που λέγεται “Αργύριον”, ώστε να φέρουν προς ημάς ψάλτας δια τον ναόν μας.

Β Εσδ. 8,18 - καὶ ἤλθοσαν ἡμῖν, ὡς χεὶρ Θεοῦ ἡμῶν ἀγαθὴ ἐφ᾿ ἡμᾶς, ἀνὴρ Σαχὼν ἀπὸ υἱῶν Μοολί, υἱοῦ Λευί, υἱοῦ Ἰσραήλ· καὶ ἀρχὴν ἦλθον οἱ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δεκαοκτώ·

Β Εσδ. 8,18 - Και, καθώς το προστατευτικόν αγαθοποιόν χέρι του Θεού ήτο μαζή μας, ήλθεν ανήρ ονόματι Σαχών, από τους απογόνους Μαολί, απογόνους του Λευι, υιού του Ιακώβ. Ο Σαχών ήλθεν επί κεφαλής των δέκα οκτώ υιών και αδελφών του.

Β Εσδ. 8,19 - καὶ τὸν Ἀσεβία καὶ τὸν Ἰσαΐα ἀπὸ τῶν υἱῶν Μεραρί, ἀδελφοὶ αὐτοῦ καὶ υἱοὶ αὐτοῦ εἴκοσι·

Β Εσδ. 8,19 - Ηλθεν επίσης και ο Ασεβία και μαζή με αυτόν ο Ισαΐα, από τους απογόνους του Μεραρί, οι αδελφοί του και οι υιοί του, είκοσι εν όλω.

Β Εσδ. 8,20 - καὶ ἀπὸ τῶν ναθινίμ, ὧν ἔδωκε Δαυὶδ καὶ οἱ ἄρχοντες εἰς δουλείαν τῶν Λευιτῶν, ναθινὶμ διακόσιοι εἴκοσι· πάντες συνήχθησαν ἐν ὀνόμασι.

Β Εσδ. 8,20 - Από τους υπηρέτας του ναού, τους οποίους κατ' αρχήν είχε δώσει ο Δαυίδ και οι αρχηγοί εις εξυπηρέτησα των Λευιτών δια τα έργα του ναού, διακόσιοι είκοσι υπηρέται. Ολοι αυτοί συνεκεντρώθησαν ονομαστικώς.

Β Εσδ. 8,21 - καὶ ἐκάλεσα ἐκεῖ νηστείαν ἐπὶ τὸν ποταμὸν Ἀουὲ τοῦ ταπεινωθῆναι ἐνώπιον τοῦ Θεοῦ ἡμῶν, ζητῆσαι παρ᾿ αὐτοῦ ὁδὸν εὐθεῖαν ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν καὶ πάσῃ τῇ κτίσει ἡμῶν.

Β Εσδ. 8,21 - Εκεί, πλησίον του ποταμού Αουέ, ώρισα νηστείαν, δια να ταπεινωθώμεν ενώπιον του Θεού μας και να παρακαλέσωμεν αυτόν να μας οδηγήση ασφαλείς στον δρόμον μας, ημάς, τα παιδιά μας και κάθε τι που ευρίσκετο υπό την κατοχήν μας.

Β Εσδ. 8,22 - ὅτι ᾐσχύνθην αἰτήσασθαι παρὰ τοῦ βασιλέως δύναμιν καὶ ἱππεῖς σῶσαι ἡμᾶς ἀπὸ ἐχθροῦ ἐν τῇ ὁδῷ, ὅτι εἴπαμεν τῷ βασιλεῖ λέγοντες· χεὶρ τοῦ Θεοῦ ἡμῶν ἐπὶ πάντας τοὺς ζητοῦντας αὐτὸν εἰς ἀγαθόν, καὶ κράτος αὐτοῦ καὶ θυμὸς αὐτοῦ ἐπὶ πάντας τοὺς ἐγκαταλείποντας αὐτόν.

Β Εσδ. 8,22 - Ησθάνθην δε εντροπήν να ζητήσω από τον βασιλέα στρατιωτικήν δύναμιν και ιππείς, δια να μας περιφρουρήσουν από ενδεχομένους εχθρούς στον δρόμον· τούτο δέ, επειδή είπαμεν και ετονίσαμεν στον βασιλέα, ότι το χέρι του Θεού μας προστατεύει προς το αγαθόν όλους εκείνους, οι οποίοι τον λατρεύουν, ενώ η δύναμίς του και η οργή του στρέφεται εναντίον όλων εκείνων, που τον εγκαταλείπουν και τον περιφρονούν.

Β Εσδ. 8,23 - καὶ ἐνηστεύσαμεν καὶ ἐζητήσαμεν παρὰ τοῦ Θεοῦ ἡμῶν περὶ τούτου, καὶ ἐπήκουσεν ἡμῖν.

Β Εσδ. 8,23 - Δια τούτο ενηστεύσαμεν και εζητήσαμεν από τον Θεόν μας την προστασίαν του. Αυτός δε ήκουσε την δέησίν μας.

Β Εσδ. 8,24 - καὶ διέστειλα ἀπὸ ἀρχόντων τῶν ἱερέων δώδεκα, τῷ Σαραΐα, τῷ Ἀσαβίᾳ καὶ μετ᾿ αὐτῶν ἀπὸ ἀδελφῶν αὐτῶν δέκα.

Β Εσδ. 8,24 - Από τους αρχηγούς των ιερέων, εδιάλεξα δώδεκα, δηλαδή τον Σαραΐαν, τον Ασαβίαν, και τους δέκα αδελφούς του, που ήσαν μαζή του.

Β Εσδ. 8,25 - καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἀπαρχῆς οἴκου Θεοῦ ἡμῶν, ἃ ὕψωσεν ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ καὶ πᾶς Ἰσραὴλ οἱ εὑρισκόμενοι.

Β Εσδ. 8,25 - Ενώπιόν των εζύγισα το αργύριον και το χρυσίον και παρέδωκα εις αυτούς τα ιερά σκεύη, ως απαρχήν προσφοράς προς τον ναόν του Θεού μας, τα οποία προσέφερεν ο βασιλεύς και οι σύμβουλοί του και άλλοι αξιωματικοί του, όπως επίσης και οι Ισραηλίται, οι οποίοι ευρίσκοντο εκεί.

Β Εσδ. 8,26 - καὶ ἔστησα ἐπὶ χεῖρας αὐτῶν ἀργυρίου τάλαντα ἑξακόσια πεντήκοντα καὶ σκεύη ἀργυρᾶ ἑκατὸν καὶ τάλαντα χρυσίου ἑκατὸν

Β Εσδ. 8,26 - Εζύγισα και παρέδωκα εις τα χέρια τους, εκτός αυτών, και εξακόσια πεντήκοντα τάλαντα αργυρίου, εκατόν αργυρά ιερά σκεύη, εκατόν τάλαντα χρυσού,

Β Εσδ. 8,27 - καὶ καφουρῆ χρυσοῖ εἴκοσι εἰς τὴν ὁδὸν χαμινὶμ χίλιοι καὶ σκεύη χαλκοῦ στίλβοντος ἀγαθοῦ διάφορα ἐπιθυμητὰ ἐν χρυσίῳ.

Β Εσδ. 8,27 - είκοσι ποτήρια χρυσά, αξίας χιλίων περίπου δραχμών, και διάφορα σκεύη από λαμποκοπούντα χαλκόν, πολύτιμα σχεδόν όπως και ο χρυσός.

Β Εσδ. 8,28 - καὶ εἶπα πρὸς αὐτούς· ὑμεῖς ἅγιοι τῷ Κυρίῳ, καὶ τὰ σκεύη ἅγια, καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἑκούσια τῷ Κυρίῳ Θεῷ πατέρων

ἡμῶν·

Β Εσδ. 8,28 - Και είπα προς αυτούς· “σεις είσθε αφιερωμένοι στον Κυριον και τα ιερά επίσης σκεύη είναι αφιερωμένα προς τον Κυριον, όπως και ο χρυσός και ο άργυρος είναι αυτοπροαίρετοι προσφοραί προς τον Κυριον τον Θεόν των πατέρων μας.

Β Εσδ. 8,29 - ἀγρυπνεῖτε καὶ τηρεῖτε ἕως στῆτε ἐνώπιον ἀρχόντων τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τῶν ἀρχόντων τῶν πατριῶν ἐν Ἱερουσαλὴμ εἰς σκηνὰς οἴκου Κυρίου.

Β Εσδ. 8,29 - Να είσθε λοιπόν άγρυπνοι και να τα προφυλάξετε, μέχρις ότου παρουσιασθήτε και τα παραδώσετε ενώπιον των αρχόντων του ναού των ιερέων και των Λευιτών και των αρχόντων, που υπάρχουν εις την Ιερουσαλήμ, και τοποθετηθούν εις τα κατάλληλα μέρη του ναού του Κυρίου”.

Β Εσδ. 8,30 - καὶ ἐδέξαντο οἱ ἱερεῖς καὶ οἱ Λευῖται σταθμὸν τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου καὶ τῶν σκευῶν ἐνεγκεῖν εἰς Ἱερουσαλὴμ εἰς οἶκον Θεοῦ ἡμῶν.

Β Εσδ. 8,30 - Οι ιερεί και οι Λευίται εζύγισαν και παρέλαβον τον χρυσόν και τον άργυρον, καθώς και τα ιερά σκεύη, δια να τα μεταφέρουν τον ναόν του Θεού μας, εις την Ιερουσαλήμ.

Β Εσδ. 8,31 - Καὶ ἐξῄραμεν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ἀουὲ ἐν τῇ δωδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου τοῦ ἐλθεῖν εἰς Ἱερουσαλήμ· καὶ χεὶρ Θεοῦ ἡμῶν ἦν ἐφ᾿ ἡμῖν, καὶ ἐῤῥύσατο ἡμᾶς ἀπὸ χειρὸς ἐχθροῦ καὶ πολεμίου ἐν τῇ ὁδῷ.

Β Εσδ. 8,31 - Εξεκινήσαμεν από τον ποταμόν Αουέ την δωδεκάτην ημέραν του πρώτο μηνός, δια να έλθωμεν εις τα Ιεροσόλυμα. Το προστατευτικό δε χέρι του Θεού ήτο επάνω μας και μας περιεφρούρησεν από τα χέρια των εχθρών και των πολεμίων καθ' όλην την διάρκειαν της πορείας μας.

Β Εσδ. 8,32 - καὶ ἤλθομεν εἰς Ἱερουσαλὴμ καὶ ἐκαθίσαμεν ἐκεῖ ἡμέρας τρεῖς.

Β Εσδ. 8,32 - Ετσι δε ήλθομεν εις την Ιερουσαλήμ και ανεπαύθημεν εκεί επί τρεις ημέρας.

Β Εσδ. 8,33 - καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐστήσαμεν τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἐν οἴκῳ Θεοῦ ἡμῶν ἐπὶ χεῖρα Μεριμὼθ υἱοῦ Οὐρία τοῦ ἱερέως -καὶ μετ᾿ αὐτοῦ Ἐλεάζαρ υἱὸς Φινεὲς καὶ μετ᾿ αὐτῶν Ἰωζαβὰδ υἱὸς Ἰησοῦ καὶ Νωαδία υἱὸς Βαναΐα, οἱ Λευῖται-

Β Εσδ. 8,33 - Κατά την τετάρτην ημέρα εζυγίσαμεν και παρεδώσαμεν το αργύριο και το χρυσίον, όπως επίσης και τα ιερά σκεύη που προωρίζοντο δια τον ναόν το Θεού μας, εις τα χέρια του Μεριμώθ, υιού του Ουρία του ιερέως- μαζή με αυτόν ήτο και ο Ελεάζαρ υιός του Φινεές, και μαζή με αυτούς ήσαν ο Ιωζαβάδ υιό του Ιησού, και ο Νωαδία υιός του Βαναΐ οι Λευίται

Β Εσδ. 8,34 - ἐν ἀριθμῷ καὶ ἐν σταθμῷ τὰ πάντα, καὶ ἐγράφη πᾶς ὁ σταθμός. ἐν τῷ καιρῷ ἐκείνῳ

Β Εσδ. 8,34 - Ολα δε αυτά εζυγίσθησαν και παρεδόθησαν και ηριθμήθησαν και κατεγράφη το βάρος των εις ειδικόν βιβλίον. Κατά τον καιρόν δε εκείνον

Β Εσδ. 8,35 - οἱ ἐλθόντες ἐκ τῆς αἰχμαλωσίας υἱοὶ τῆς παροικίας προσήνεγκαν ὁλοκαυτώσεις τῷ Θεῷ Ἰσραὴλ μόσχους δώδεκα περὶ παντὸς Ἰσραήλ, κριοὺς ἐνενηκονταέξ, ἀμνοὺς ἑβδομηκονταεπτά, χιμάρους περὶ ἁμαρτίας δώδεκα, τὰ πάντα ὁλοκαυτώματα τῷ Κυρίῳ.

Β Εσδ. 8,35 - οι Ισραηλίται, που είχαν επανέλθει από την αιχμαλωσίαν, προσέφεραν ολοκαυτώματα προς τον Θεόν του Ιασραήλ δώδεκα μόσχους δια τας αμαρτίας όλων των Ισραηλιτών, ενενήκοντα εξ κριούς, εβδομήκοντα επτά αρνία, δώδεκα τράγους, θυσίαν δια τας αμαρτίας των. Ολα αυτά ήσαν θυσίαι ολοκαυτωμάτων προς τον Κυριον.

Β Εσδ. 8,36 - καὶ ἔδωκαν τὸ νόμισμα τοῦ βασιλέως τοῖς διοικηταῖς τοῦ βασιλέως καὶ τοῖς ἐπάρχοις πέραν τοῦ ποταμοῦ, καὶ ἐδόξασαν τὸν λαὸν καὶ τὸν οἶκον τοῦ Θεοῦ.

Β Εσδ. 8,36 - Αυτοί παρέδωσαν επίσης το διάταγμα του βασιλέως στους διοικητάς και σατράπας του βασιλέως, οι οποίοι ευρίσκοντο πέραν από τον ποταμόν Ευφράπην. Αυτοί δε ετίμησαν και εξύψωσαν τον λαόν του Ισραήλ και τον ναόν του Θεού.

Β ΕΣΔΡΑΣ 9

Β Εσδ. 9,1 - Καὶ ὡς ἐτελέσθη ταῦτα, ἤγγισαν πρός με οἱ ἄρχοντες λέγοντες· οὐκ ἐχωρίσθη ὁ λαὸς Ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἀπὸ λαῶν τῶν γαιῶν ἐν μακρύμμασιν αὐτῶν, τῷ Χανανί, ὁ Ἐθί, ὁ Φερεζί, ὁ Ἰεβουσί, ὁ Ἀμμωνί, ὁ Μωαβὶ καὶ ὁ Μοσερὶ καὶ ὁ Ἀμορί,

Β Εσδ. 9,1 - Αφού ετελείωσαν όλα αυτά, με επλησίασαν οι άρχοντες και μου είπαν· "ο ισραηλιτικός λαός, όπως επίσης και οι ιερείς και οι Λευίται, δεν εχωρίσθησαν από τους λαούς των χωρών αυτών και ακολουθούν τα βδελυρά ειδωλολατρικά έθιμα των Χαναναίων, των Εθαίων, των Φερεζαίων, των Ιεβουσαίων, των Αμμωνιτών, των Μωαβιτών, των Μοσεραίων και των Αμορραίων, που απομακρύνουν από τον Θεόν.

Β Εσδ. 9,2 - ὅτι ἐλάβοσαν ἀπὸ θυγατέρων αὐτῶν ἑαυτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν, καὶ παρήχθη σπέρμα τὸ ἅγιον ἐν λαοῖς τῶν γαιῶν, καὶ χεὶρ τῶν ἀρχόντων ἐν τῇ ἀσυνθεσίᾳ ταύτῃ ἐν ἀρχῇ

Β Εσδ. 9,2 - Διότι, έλαβον ως συζύγους, δια τον εαυτόν των και δια τα παιδιά των, από τας θυγατέρας των ειδωλολατρικών λαών. Και έτσι ανεμίχθη

το άγιον σπέρμα των Ιουδαίων με τους λαούς των χωρών αυτών. Πρώτοι δε έκαμαν αρχήν εις την ασύνετον αυτήν πράξιν οι άρχοντές μας”.

Β Εσδ. 9,3 - καὶ ὡς ἤκουσα τὸν λόγον τοῦτον, διέῤῥηξα τὰ ἱμάτιά μου καὶ ἐπαλλόμην καὶ ἔτιλλον ἀπὸ τῶν τριχῶν τῆς κεφαλῆς μου καὶ ἀπὸ τοῦ πώγωνός μου καὶ ἐκαθήμην ἠρεμάζων.

Β Εσδ. 9,3 - Οταν ήκουσα τον λόγον αυτόν, έσχισα τα ενδύματά μου, έτρεμα ολόκληρος και αποσπούσα τρίχας από την κεφαλήν και τον πώγωνά μου και εκάθισα βαθύτατα λυπημένος και αμίλητος.

Β Εσδ. 9,4 - καὶ συνήχθησαν πρός με πᾶς ὁ διώκων λόγον Θεοῦ Ἰσραὴλ ἐπὶ ἀσυνθεσίᾳ τῆς ἀποικίας, κἀγὼ καθήμενος ἠρεμάζων ἕως τῆς θυσίας τῆς ἑσπερινῆς.

Β Εσδ. 9,4 - Κοντά μου δε συνεκεντρώθησαν και εκείνοι, οι οποίοι φροντίζουν δια την γνώσιν και την τήρησιν των εντολών του Κυρίου του Θεού του Ισραήλ, περίλυποι και αυτοί δια την παράβασιν αυτήν των Ιουδαίων, που είχαν επανέλθει από την αιχμαλωσίαν. Εγώ δε εξακολουθούσα να κάθωμαι αφίλητος και κατάπληκτος από την λύπην έως την εσπερινήν θυσίαν.

Β Εσδ. 9,5 - καὶ ἐν θυσίᾳ τῇ ἑσπερινῇ ἀνέστην ἀπὸ ταπεινώσεώς μου· καὶ ἐν τῷ διαῤῥῆξαί με τὰ ἱμάτιά μου καὶ ἐπαλλόμην καὶ κλίνω ἐπὶ τὰ γόνατά μου καὶ ἐκπετάζω τὰς χεῖράς μου πρὸς Κύριον τὸν Θεὸν

Β Εσδ. 9,5 - Κατά την εσπερινήν θυσίαν εσηκώθηκα από την κατάστασιν αυτήν της εντροπής και της οδύνης με σχισμένα τα ιμάτιά μου, έτρεμα ολόκληρος, έκλινα τα γόνατά μου και ύψωσα τα χέρια μου προς Κυριον τον Θεόν.

Β Εσδ. 9,6 - καὶ εἶπα· Κύριε, ᾐσχύνθην καὶ ἐνετράπην τοῦ ὑψῶσαι, Θεέ μου, τὸ πρόσωπόν μου πρός σε, ὅτι αἱ ἀνομίαι ἡμῶν ἐπληθύνθησαν ὑπὲρ κεφαλῆς ἡμῶν καὶ αἱ πλημμέλειαι ἡμῶν ἐμεγαλύνθησαν ἕως εἰς τὸν οὐρανόν.

Β Εσδ. 9,6 - Και είπα· “Κυριε, αισχύνην και εντροπήν ησθάνθην να υψώσω το πρόσωπόν μου προς σέ, ω Θεέ μου, διότι αι ανομίαι μας επληθύνθησαν τόσον πολύ, ώστε σαν θάλασσα μας επλημμύρισαν επάνω από τα κεφάλια μας, τα δε σφάλματά μας είναι τόσον μεγάλα, ώστε έφθασαν έως στον ουρανόν.

Β Εσδ. 9,7 - ἀπὸ ἡμερῶν πατέρων ἡμῶν ἐσμεν ἐν πλημμελείᾳ μεγάλῃ ἕως τῆς ἡμέρας ταύτης· καὶ ἐν ταῖς ἀνομίαις ἡμῶν παρεδόθημεν ἡμεῖς καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ υἱοὶ ἡμῶν ἐν χειρὶ βασιλέων τῶν ἐθνῶν ἐν ῥομφαίᾳ καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρπαγῇ καὶ ἐν αἰσχύνῃ προσώπου ἡμῶν ὡς ἡ ἡμέρα αὕτη.

Β Εσδ. 9,7 - Από της εποχής τι πατέρων μας μέχρι της ημέρας αυτής ευρισκόμεθα υπό την κυριαρχίαν μεγάλης αμαρτίας. Δια τας αμαρτίας μας δε αυτάς παρεδόθημεν ημείς και οι βασιλείς μας και τα παιδιά μας εις τα χέρια

των βασιλέων διαφόρων εθνών, άλλοι μεν δια να σφαγούν με ρομφαίαν, άλλοι δια να απαχθούν εις αιχμαλωσίαν, άλλοι δια να γίνουν θύματα λεηλασιών και γενικώς είμεθα εξευτελισμένοι και εξουθενωμένοι μέχρι της ημέρας αυτής.

Β Εσδ. 9,8 - καὶ νῦν ἐπιεικεύσατο ἡμῖν ὁ Θεὸς ἡμῶν τοῦ καταλιπεῖν ἡμᾶς εἰς σωτηρίαν καὶ δοῦναι ἡμῖν στήριγμα ἐν τόπῳ ἁγιάσματος αὐτοῦ τοῦ φωτίσαι ὀφθαλμοὺς ἡμῶν καὶ δοῦναι ζωοποίησιν μικρὰν ἐν τῇ δουλείᾳ ἡμῶν.

Β Εσδ. 9,8 - Τωρα όμως συ ο Θεός μας, έδειξες επιείκειαν προς ημάς και ηυδόκησες να διασωθή ένα υπόλοιπον από το έθνος μας, το οποίον αφήκες και έδωσες εις ημάς ως στήριγμα τι ιερών τούτων τόπων. Ωστε συ, ο Κυριος να φώτισης τους οφθαλμούς μας και να δώσης μίαν αναζωογόνησιν από την δουλείαν, εις την οποίαν ευρέθημεν.

Β Εσδ. 9,9 - ὅτι δοῦλοί ἐσμεν, καὶ ἐν τῇ δουλείᾳ ἡμῶν οὐκ ἐγκατέλιπεν ἡμᾶς Κύριος ὁ Θεὸς ἡμῶν καὶ ἔκλινεν ἐφ᾿ ἡμᾶς ἔλεος ἐνώπιον βασιλέων Περσῶν δοῦναι ἡμῖν ζωοποίησιν τοῦ ὑψῶσαι αὐτοὺς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν καὶ ἀναστῆσαι τὰ ἔρημα αὐτῆς καὶ τοῦ δοῦναι ἡμῖν φραγμὸν ἐν Ἰούδᾳ καὶ Ἱερουσαλήμ.

Β Εσδ. 9,9 - Εγίναμεν δούλοι, αλλά Κυριος ο Θεός μας δεν μας εγκατέλιπεν εις την δουλείαν αυτήν, διότι ενέβαλεν εις την καρδίαν των βασιλέων των Περσών ευσπλαγχνίαν προς ημάς, ώστε αυτοί να μας δώσουν κάποιον αναζωογόνησιν, να επιτρέψουν να ανεγερθή ο ναός του Θεού μας, κτισθούν αι ερημωθείσαι περιοχαί της χώρας μας και να δοθή έτσι εις ημάς περιτειχισμένος χώρος εις την Ιουδαίαν και εις την Ιερουσαλήμ.

Β Εσδ. 9,10 - τί εἴπωμεν, ὁ Θεὸς ἡμῶν, μετὰ τοῦτο; ὅτι ἐγκατελίπομεν ἐντολάς σου,

Β Εσδ. 9,10 - Και τώρα τι να είπωμεν, ω Θεέ μας, έπειτα από τας δωρεάς αυτάς;

Β Εσδ. 9,11 - ἃς ἔδωκας ἡμῖν ἐν χειρὶ δούλων σου τῶν προφητῶν λέγων· ἡ γῆ, εἰς ἣν εἰσπορεύεσθε κληρονομῆσαι αὐτήν, γῆ μετακινουμένη ἐστὶν ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν ἐν μακρύμμασιν αὐτῶν, ὧν ἔπλησαν αὐτὴν ἀπὸ στόματος ἐπὶ στόμα ἐν ἀκαθαρσίαις αὐτῶν·

Β Εσδ. 9,11 - Είμεθα κατεντροπιασμένοι ενώπιόν σου, διότι ημείς εγκατελείψεμεν τας εντολάς σου, τας οποίας μας έδωσες δια μέσου των δούλων σου των προφητών λέγων· Η γη, εις την οποίαν εισέρχεσθε δια να την κληρονομήσετε, είναι χώρα αναστατωμένη και μολυσμένη από τας μετακινήσεις διαφόρων ειδωλολατρικών θεών, μολυσμένη από τας βδελυράς των πράξεις που απομακρύνουν από σε τον Θεόν· και αι ακάθαρτοι αυταί πράξεις εγέμισαν από το ένα άκρον έως το άλλο την χώραν μας.

Β Εσδ. 9,12 - καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ δότε τοῖς υἱοῖς αὐτῶν καὶ ἀπὸ τῶν θυγατέρων αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν καὶ οὐκ ἐκζητήσετε εἰρήνην αὐτῶν καὶ ἀγαθὸν αὐτῶν ἕως αἰῶνος, ὅπως ἐνισχύσητε καὶ φάγητε τὰ ἀγαθὰ τῆς γῆς καὶ κληροδοτήσητε τοῖς υἱοῖς ὑμῶν ἕως αἰῶνος.

Β Εσδ. 9,12 - Δι' αυτό μη δίδετε τας θυγατέρας σας ως συζύγους εις τα παιδιά αυτών και από τας θυγατέρας αυτών μη λαμβάνετε σεις συζύγους δια τα παιδιά σας. Μη επιζητήσετε ειρηνικήν συμβίωσιν με αυτούς και κανέναι αγαθόν μη ζητήσετε ποτε από αυτούς· και τούτο, δια να μείνετε αμόλυντοι, ώστε να ενισχυθήτε από τον Θεόν και να φάγετε τα αγαθά της γης αυτής και να μεταδώσετε αυτά ως κληρονομίαν αιώνιον εις τα παιδιά σας.

Β Εσδ. 9,13 - καὶ μετὰ πᾶν τὸ ἐρχόμενον ἐφ᾿ ἡμᾶς ἐν ποιήμασιν ἡμῶν τοῖς πονηροῖς καὶ ἐν πλημμελείᾳ ἡμῶν τῇ μεγάλῃ· ὅτι οὐκ ἔστιν ὡς ὁ Θεὸς ἡμῶν, ὅτι ἐκούφισας ἡμῶν τὰς ἀνομίας, καὶ ἔδωκας ἡμῖν σωτηρίαν·

Β Εσδ. 9,13 - Παρ' όλα όμα τα δεινά, τα οποία μας ευρήκαν εξ αιτίας των αμαρτωλών μας έργων και της μεγάλης μας αμαρτίας της ειδωλολατρείας, αναγνωρίζομεν και ομολογούμεν ότι δεν υπάρχει άλλος Θεός ελεήμων, όπως ο Θεός μας. Διότι, Κυριε, συ μας συνεχώρησες τας ανομίας και μας έδωσες άνεσιν και σωτηρίαν.

Β Εσδ. 9,14 - ὅτι ἐπεστρέψαμεν διασκεδάσαι ἐντολάς σου καὶ ἐπιγαμβρεῦσαι τοῖς λαοῖς τῶν γαιῶν· μὴ παροξυνθῇς ἐν ἡμῖν ἕως συντελείας, τοῦ μὴ εἶναι ἐγκατάλειμμα καὶ διασῳζόμενον.

Β Εσδ. 9,14 - Ημείς εγυρίσαμεν από την αιχμαλωσίαν και κατεπατήσαμεν τας εντολάς σου, διότι ήλθομεν εις γάμου κοινωνίαν με τους ειδωλολατρικούς λαούς των περιοχών αυτών. Αλλά σε παρακαλούμεν μη οργισθής εναντίον μας, μη αποστείλης όλεθρον και αφανισμόν εναντίον μας, ώστε να μη απολειφθή και διασωθή κάποιο υπόλοιπον από το έθνος μας.

Β Εσδ. 9,15 - Κύριε ὁ Θεὸς Ἰσραήλ, δίκαιος σύ, ὅτι κατελείφθημεν διασῳζόμενοι ὡς ἡ ἡμέρα αὕτη. ἰδοὺ ἡμεῖς ἐναντίον σου ἐν πλημελείαις ἡμῶν, ὅτι οὐκ ἔστι στῆναι ἐνώπιόν σου ἐπὶ τούτῳ.

Β Εσδ. 9,15 - Κυριε, ο Θεός του Ισραήλ, είσαι δίκαιος, διότι επέτρεψες και απεμείναμεν εν τη ζωή διασωθέντες ημείς, υπόλοιπον από το έθνος μας, όπως μαρτυρεί η ημέρα η σημερινή. Ιδού ημείς, οι βαρυνόμενοι με τας αμαρτίας μας, ευρισκόμεθα ενώπιόν σου και δεν έχομεν το θάρρος, και δεν μας είναι δυνατόν εξ αιτίας των αμαρτιών μας να σταθώμεν εμπρός εις σέ”.

Β ΕΣΔΡΑΣ 10

Β Εσδ. 10,1 - Καὶ ὡς προσηύξατο Ἔσδρας καὶ ὡς ἐξηγόρευσε κλαίων καὶ προσευχόμενος ἐνώπιον οἴκου τοῦ Θεοῦ, συνήχθησαν πρὸς αὐτὸν ἀπὸ

Ἰσραὴλ ἐκκλησία πολλὴ σφόδρα, ἄνδρες καὶ γυναῖκες καὶ νεανίσκοι, ὅτι ἔκλαυσαν ὁ λαὸς καὶ ὕψωσε κλαίων.

Β Εσδ. 10,1 - Κατά την ώραν, κατά την οποίαν προσηύχετο ο Εσδρας και μετά δακρύων εξηγόρευσε τας αμαρτίας του λαού, προσηύχετο δε αυτός ενώπιον του ναού του Θεού, συνεκεντρώθη γύρω από αυτόν πολύ πλήθος Ισραηλιτών, άνδρες, γυναίκες και νέοι. Ολοι δε αυτοί έκλαιον με μεγάλην φωνήν.

Β Εσδ. 10,2 - καὶ ἀπεκρίθη Σεχενίας υἱὸς Ἰεὴλ ἀπὸ υἱῶν Ἠλάμ, καὶ εἶπε τῷ Ἔσδρᾳ· ἡμεῖς ἠσυνθετήσαμεν τῷ Θεῷ ἡμῶν καὶ ἐκαθίσαμεν γυναῖκας ἀλλοτρίας ἀπὸ τῶν λαῶν τῆς γῆς· καὶ νῦν ἐστιν ὑπομονὴ τῷ Ἰσραὴλ ἐπὶ τούτῳ.

Β Εσδ. 10,2 - Ο Σεχενίας, ο υιός του Ιεήλ από τους απογόνους του Ηλάμ, εσηκώθηκε και είπεν στον Εσδραν· “ημείς ημαρτήσαμεν ενώπιον του Θεού μας, διότι επήραμεν ως συζύγους και εγκατεστήσαμεν στους οίκους μας ξένας γυναίκας από τους ειδωλολατρικούς λαούς της χώρας αυτής. Αλλά τώρα υπάρχει κάποια ελπίς διορθώσεως των Ισραηλιτών δια την παρανομίαν των αυτήν.

Β Εσδ. 10,3 - καὶ νῦν διαθώμεθα διαθήκην τῷ Θεῷ ἡμῶν ἐκβαλεῖν πάσας τὰς γυναῖκας καὶ τὰ γενόμενα ἐξ αὐτῶν, ὡς ἂν βούλῃ· ἀνάστηθι, καὶ φοβέρισον αὐτοὺς ἐν ἐντολαῖς Θεοῦ ἡμῶν, καὶ ὡς ὁ νόμος γενηθήτω.

Β Εσδ. 10,3 - Ας κάμωμεν αυτήν την στιγμήν μίαν συμφωνίαν και ας δώσωμεν μίαν υπόσχεσιν προς τον Θεόν ημών, να εκδιώξωμεν όλας τας γυναίκας τας ειδωλολάτριδας και τα τέκνα που εγεννήθησαν από αυτάς, όπως και συ κρίνεις καλόν. Σηκω, λοιπόν, φοβέρισε τους παραβάτας με τας εντολάς του Θεού μας και ας γίνη, όπως ο νόμος του Θεού διατάσσει.

Β Εσδ. 10,4 - ἀνάστα, ὅτι ἐπὶ σὲ τὸ ῥῆμα, καὶ ἡμεῖς μετὰ σοῦ· κραταιοῦ καὶ ποίησον.

Β Εσδ. 10,4 - Σηκω, διότι το όλον ζήτημα ευρίσκεται πλέον εις τα χέρια σου. Ημείς δε είμεθα μαζή σου. Εχε θάρρος και εκτέλεσε το καθήκον σου”.

Β Εσδ. 10,5 - καὶ ἀνέστη Ἔσδρας καὶ ὥρκισε τοὺς ἄρχοντας, τοὺς ἱερεῖς καὶ Λευίτας καὶ πάντα Ἰσραὴλ τοῦ ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο· καὶ ὤμοσαν.

Β Εσδ. 10,5 - Ο Εσδρας εσηκωθηκε, ώρκισε τους άρχοντας, τους ιερείς και τους Λευίτας και όλον τον Ισραηλιτικόν λαόν, ότι θα εφαρμόσουν αυτά τα λόγια. Εκείνοι εδέχθησαν και ωρκίσθησαν δι' αυτό.

Β Εσδ. 10,6 - καὶ ἀνέστη Ἔσδρας ἀπὸ προσώπου οἴκου τοῦ Θεοῦ καὶ ἐπορεύθη εἰς γαζοφυλάκιον Ἰωανὰν υἱοῦ Ἐλισοὺβ καὶ ἐπορεύθη ἐκεῖ· ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ ἔπιεν, ὅτι ἐπένθει ἐπὶ τῇ ἀσυνθεσίᾳ τῆς ἀποικίας.

Β Εσδ. 10,6 - Επειτα από αυτά, εσηκώθη ο Εσδρας επρός από τον ναόν του Κυρίου και επήγεν στο δωμάτιον του Ιωανάν, υιού του Ελισούβ. Εισήλθεν εκεί αλλά ούτε άρτον έφαγε ούτε νερό έπιε, διότι ήτο πάρα πολύ λυπημένος δια την παράβασιν αυτήν των Ιουδαίων, οι οποίοι είχαν επανέλθει από την αιχμαλωσίαν.

Β Εσδ. 10,7 - καὶ παρήνεγκαν φωνὴν ἐν Ἰούδᾳ καὶ ἐν Ἱερουσαλὴμ πᾶσι τοῖς υἱοῖς τῆς ἀποικίας τοῦ συναθροισθῆναι εἰς Ἱερουαλήμ,

Β Εσδ. 10,7 - Οι άρχοντες εξέδωσαν προκήρυξιν προς όλους τους Ιουδαίους, οι οποίοι είχαν επανέλθει από την αιχμαλωσίαν και ευρίσκοντο εις την χώραν της Ιουδαίας και εις την πόλιν Ιερουσαλήμ, να συγκεντρωθούν εις την Ιερουσαλήμ. Και προσετίθετο εις την προκήρυξιν·

Β Εσδ. 10,8 - πᾶς, ὃς ἂν μὴ ἔλθῃ εἰς τρεῖς ἡμέρας, ὡς ἡ βουλὴ τῶν ἀρχόντων καὶ τῶν πρεσβυτέρων, ἀναθεματισθήσεται πᾶσα ἡ ὕπαρξις αὐτοῦ, καὶ αὐτὸς διασταλήσεται ἀπὸ ἐκκλησίας τῆς ἀποικίας.

Β Εσδ. 10,8 - “Θα αναθεματισθή όλη η περιουσία εκείνου του Ισραηλίτου, ο οποίος δεν θα ήρχετο εντός τριών ημερών εις την Ιερουσαλήμ, σύμφωνα με την απόφασιν των Ιουδαίων αρχόντων και πρεσβυτέρων. Και αυτός ο ίδιος θα γίνη αποσυνάγωγος από την κοινότητα των Ιουδαίων, που είχαν επανέλθει εκ της αιχμαλωσίας”.

Β Εσδ. 10,9 - Καὶ συνήχθησαν πάντες ἄνδρες Ἰούδα καὶ Βενιαμὶν εἰς Ἱερουσαλὴμ εἰς τὰς τρεῖς ἡμέρας, οὗτος ὁ μὴν ὁ ἔνατος· ἐν εἰκάδι τοῦ μηνὸς ἐκάθισε πᾶς ὁ λαὸς ἐν πλατείᾳ οἴκου τοῦ Θεοῦ ἀπὸ θορύβου αὐτῶν περὶ τοῦ ῥήματος καὶ ἀπὸ τοῦ χειμῶνος.

Β Εσδ. 10,9 - Πράγματι όλοι οι άνδρες από την φυλήν του Ιούδα και την φυλήν του Βενιαμίν ήλθαν εις την Ιερουσαλήμ εντός τριών ημερών. Αυτό έγινε κατά τον ένατον μήνα. Την εικοστήν του μηνός αυτού όλος ο λαός εξ αιτίας του ζητήματος τούτου συνεκεντρώθη εις ευρύχωρον ανοικτόν χώρον ενώπιον του ναού του Θεού. Και έτρεμαν από τον φόβον των και από το ψύχος του χειμώνος.

Β Εσδ. 10,10 - καὶ ἀνέστη Ἔσδρας ὁ ἱερεὺς καὶ εἶπε πρὸς αὐτούς· ὑμεῖς ἠσυνθετήκατε καὶ ἐκαθίσατε γυναῖκας ἀλλοτρίας τοῦ προσθεῖναι ἐπὶ πλημμέλειαν Ἰσραήλ·

Β Εσδ. 10,10 - Ο Εσδρας ο ιερεύς εσηκώθη και είπε προς αυτούς· “σεις έχετε παραβή την εντολήν του Θεού και επήρατε και εγκατεστήσατε εις τα σπίτια σας γυναίκας ξένας και έτσι προσθέσατε νέαν αμαρτίαν επί του ισραηλιτικού λαού.

Β Εσδ. 10,11 - καὶ νῦν δότε αἴνεσιν Κυρίῳ Θεῷ τῶν πατέρων ἡμῶν καὶ ποιήσατε τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ καὶ διαστάλητε ἀπὸ λαῶν τῆς γῆς καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλοτρίων.

Β Εσδ. 10,11 - Τωρα, λοιπόν, δοξάσατε με τα έργα σας Κυριον τον Θεόν των πατέρων μας, πράξατε το ευάρεστον ενώπιόν του και απομακρυνθήτε

από τους λαούς της χώρας αυτής και εκδιώξατε τας ξένας γυναίκας”.

Β Εσδ. 10,12 - καὶ ἀπεκρίθησαν πᾶσα ἡ ἐκκλησία καὶ εἶπαν· μέγα τοῦτο τὸ ῥῆμά σου ἐφ᾽ ἡμᾶς ποιῆσαι·

Β Εσδ. 10,12 - Ολη η συγκέντρωσις των Ιουδαίων απεκρίθησαν και είπαν· “αυτό το πράγμα είναι δύσκολον να τεθή άμεσως εις εφαρμογήν,

Β Εσδ. 10,13 - ἀλλὰ ὁ λαὸς πολύς, καὶ ὁ καιρὸς χειμερινός, καὶ οὐκ ἔστι δύναμις στῆναι ἔξω· καὶ τὸ ἔργον οὐκ εἰς ἡμέραν μίαν καὶ οὐκ εἰς δύο, ὅτι ἐπληθύναμεν τοῦ ἀδικῆσαι ἐν τῷ ῥήματι τούτῳ.

Β Εσδ. 10,13 - διότι ο λαός είναι πολύς, ο δε καιρός είναι χειμωνιάτικος και δεν είναι δυνατόν να ιστάμεθα έξω στο ύπαιθρον. Το δε έργον αυτό της καθάρσεως δεν είναι έργον μιας ημέρας η δύο ημερών, διότι οι ένοχοι της πράξεως αυτής είναι πάρα πολλοί.

Β Εσδ. 10,14 - στήτωσαν δὴ ἄρχοντες ἡμῶν πάσῃ τῇ ἐκκλησίᾳ καὶ πάντες οἱ ἐν πόλεσιν ἡμῶν, ὃς ἐκάθισε γυναῖκας ἀλλοτρίας, ἐλθέτωσαν εἰς καιροὺς ἀπὸ συνταγῶν καὶ μετ᾽ αὐτῶν πρεσβύτεροι πόλεως καὶ πόλεως καὶ κριταὶ τοῦ ἀποστρέψαι ὀργὴν θυμοῦ Θεοῦ ἡμῶν ἐξ ἡμῶν περὶ τοῦ ῥήματος τούτου.

Β Εσδ. 10,14 - Εξυπηρετικόν της υποθέσεως αυτής είναι να μείνουν εις την συγκέντρωσιν αυτήν άρχοντές μας. Ολοι δε εκείνοι, οι οποίοι ήλθαν από τας άλλας ιουδαϊκάς πόλεις και έχουν λάβει ξένας γυναίκας, ας έρχωνται εις ωρισμένας ημέρας μαζή με τους περσβυτέρους των πόλεών των και τους δικαστάς αυτών, δια να απομακρύνουν τας ξένας γυναίκας και έτσι να αποστρέψουν την μεγάλην οργήν του Θεού μας αυτό ημάς δια το γεγονός τούτο”.

Β Εσδ. 10,15 - πλὴν Ἰωνάθαν υἱὸς Ἀσαὴλ καὶ Ἰαζίας υἱὸς Θεκωὲ μετ᾽ ἐμοῦ περὶ τούτου, καὶ Μεσολλὰμ καὶ Σαββαθαΐ ὁ Λευίτης βοηθῶν αὐτοῖς.

Β Εσδ. 10,15 - Εκτός όμως από τον Ιωνάθαν, υιόν του Ασαήλ, και τον Ιαζίαν υιόν του Θεκωέ, δεν υπήρχεν άλλος μαζή μου, δια να βοηθήση εις την υπόθεσιν αυτήν. Ο δε Μεσολλάμ και ο Σαββαθαί ο Λευίτης τους εβοηθούσαν.

Β Εσδ. 10,16 - καὶ ἐποίησαν οὕτως υἱοὶ τῆς ἀποικίας. καὶ διεστάλησαν Ἔσδρας ὁ ἱερεὺς καὶ ἄνδρες ἄρχοντες πατριῶν τῷ οἴκῳ καὶ πάντες ἐν ὀνόμασιν, ὅτι ἐπέστρεψαν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ δεκάτου ἐκζητῆσαι τὸ ῥῆμα.

Β Εσδ. 10,16 - Ετσι έπραξαν οι Ιουδαίοι, οι οποίοι επανήλθαν από την αιχμαλωσίαν. Επελέγησαν ο Εσδρας ο ιερεύς, και οι άρχοντες των οικογενειών κατά πατριάς, όλοι ονομαστοί, και συνεκεντρώθησαν κατά την πρώτην ημέραν του δεκάτου μηνός να εξετάσουν την υπόθεσιν αυτήν.

Β Εσδ. 10,17 - καὶ ἐτέλεσαν ἐν πᾶσιν ἀνδράσιν, οἳ ἐκάθισαν γυναῖκας ἀλλοτρίας, ἕως ἡμέρας μιᾶς τοῦ μηνὸς τοῦ πρώτου.

Β Εσδ. 10,17 - Ετελείωσαν δε το έργον των δι' όλους τους άνδρας, που είχαν λάβει ξένας γυναίκας μέχρι της πρώτης ημέρας του πρώτου μηνός.

Β Εσδ. 10,18 - Καὶ εὑρέθησαν ἀπὸ υἱῶν τῶν ἱερέων, οἳ ἐκάθισαν γυναῖκας ἀλλοτρίας· ἀπὸ υἱῶν Ἰησοῦ υἱοῦ Ἰωσεδὲκ καὶ ἀδελφοὶ αὐτοῦ Μαασία καὶ Ἐλιέζερ καὶ Ἰαρὶβ καὶ Γαδαλία,

Β Εσδ. 10,18 - Από τους υιούς των ιερέων, εκείνοι που είχαν λάβει γυναίκας ξένας ως συζύγους, ευρέθησαν ότι ήσαν· Από τους απογόνους του Ιησού, υιού του Ιωσεδέκ και των συντρόφων αυτού, ο Μαασία, ο Ελιέζερ, ο Ιαρίβ και ο Γαδαλία.

Β Εσδ. 10,19 - καὶ ἔδωκαν χεῖρα αὐτῶν τοῦ ἐξενέγκαι γυναῖκας ἑαυτῶν καὶ πλημμελείας κριὸν ἐκ προβάτων περὶ πλημμελήσεως αὐτῶν·

Β Εσδ. 10,19 - Αυτοί άπλωσαν το χέρι και έδωσαν υπόσχεσιν να απομακρύνουν τας ξένας γυναίκας των. Εις εξιλέωσίν των προσέφεραν ένα κριον ο καθένας από το ποίμνιόν του.

Β Εσδ. 10,20 - καὶ ἀπὸ υἱῶν Ἐμμήρ, Ἀνανὶ καὶ Ζαβδία·

Β Εσδ. 10,20 - Από τους απογόνους του Εμμήρ, ο Ανανί και ο Ζαβδία.

Β Εσδ. 10,21 - καὶ ἀπὸ υἱῶν Ἠράμ, Μασαὴλ καὶ Ἐλία καὶ Σαμαΐα καὶ Ἰεὴλ καὶ Ὀζία·

Β Εσδ. 10,21 - Από τους απογόνους του Ηράμ, ο Μασαήλ, ο Ελία, ο Σαμαΐα, ο Ιεήλ και ο Οζία.

Β Εσδ. 10,22 - καὶ ἀπὸ υἱῶν Φασούρ, Ἐλιωναΐ, Μαασία καὶ Ἰσμαὴλ καὶ Ναθαναὴλ καὶ Ἰωζαβὰδ καὶ Ἠλασά·

Β Εσδ. 10,22 - Από τους απογόνους του Φασούρ, ο 'Ελιωναϊ, ο Μαασία, ο Ισμαήλ, ο Ναθαναήλ, ο Ιωζαβάδ και ο Ηλασά.

Β Εσδ. 10,23 - καὶ ἀπὸ τῶν Λευιτῶν, Ἰωζαβὰδ καὶ Σαμοὺ καὶ Κωλία (αὐτὸς Κωλίτας) καὶ Φεθεΐα καὶ Ἰόδομ καὶ Ἐλιέζερ·

Β Εσδ. 10,23 - Από τους Λευίτας ήσαν, ο Ιωζαβάδ, ο Σαμού, ο Κωλία (αυτός είναι ο Κωλίτας), ο Φεθεΐα, ο Ιόδομ και ο Ελιέζερ.

Β Εσδ. 10,24 - καὶ ἀπὸ τῶν ᾀδόντων, Ἐλισάβ· καὶ ἀπὸ τῶν πυλωρῶν, Σολμὴν καὶ Τελμὴν καὶ Ὠδούθ·

Β Εσδ. 10,24 - Από τους ψάλτας ήσαν, ο Ελισάβ. Από τους θυρωρούς ήσαν ο Σολμήν, ο Τελμήν και ο Ωδούθ.

Β Εσδ. 10,25 - καὶ ἀπὸ Ἰσραήλ· ἀπὸ υἱῶν Φόρος, Ῥαμία καὶ Ἀζία καὶ Μελχία καὶ Μεαμὶν καὶ Ἐλεάζαρ καὶ Ἀσαβία καὶ Βαναία·

Β Εσδ. 10,25 - Από τους άλλους Ισραηλίτας, από τους απογόνους του Φορος, ήσαν ο Ραμία, ο Αζία, ο Μελχία, ο Μεαμίν, ο Ελεάζαρ, ο Ασαβία και ο Βαναία.

Β Εσδ. 10 ,26 - καὶ ἀπὸ υἱῶν Ἠλάμ, Ματθανία καὶ Ζαχαρία καὶ Ἰαϊὴλ καὶ Ἀβδία και Ἰαριμὼθ καὶ Ἠλία·

Β Εσδ. 10,26 - Από τους απογόνους του Ηλάμ ήσαν ο Ματθανία, ο Ζαχαρία, ο Ιαϊήλ, ο Αβδία, ο Ιαριμώθ και ο Ηλία.

Β Εσδ. 10,27 - καὶ ἀπὸ υἱῶν Ζαθονά, Ἐλιωναΐ, Ἐλισούβ, Ματθαναΐ καὶ Ἀρμὼθ καὶ Ζαβὰδ καὶ Ὀζιζά·

Β Εσδ. 10,27 - Από τους απογόνους του Ζαθονά, ο Ελιωναΐ, ο Ελισούβ, ο Ματθαναΐ, ο Αρμώθ, ο Ζαβάδ και ο Οζιζά.

Β Εσδ. 10,28 - καὶ ἀπὸ υἱῶν Βαβεΐ, Ἰωανάν, Ἀνανία, καὶ Ζαβοὺ καὶ Θαλί·

Β Εσδ. 10,28 - Από τους απογόνους του Βαβεί ήσαν ο Ιωανάν, ο Ανανία, ο Ζαβού και ο Θαλί.

Β Εσδ. 10,29 - καὶ ἀπὸ υἱῶν Βανουΐ, Μοσολλάμ, Μαλούχ, Ἀδαΐας, Ἰασοὺβ καὶ Σαλουΐα καὶ Ῥημώθ·

Β Εσδ. 10,29 - Από τους απογόνους του Βανουί ήσαν ο Μοσολλάμ, ο Μολούχ, ο Αδαΐας, ο Ιασούβ, ο Σαλουΐα και ο Ρημώθ.

Β Εσδ. 10,30 - καὶ ἀπὸ υἱῶν Φαὰθ Μωάβ, Ἐδνὲ καὶ Χαλὴλ καὶ Βαναία Μαασία Ματθανία Βεσελεὴλ καὶ Βανουΐ καὶ Μανασσῆ·

Β Εσδ. 10,30 - Από τους απογόνους του Φαάθ Μωάβ ήσαν ο Εδνέ, ο Χαλήλ, ο Βαναία, ο Μαασία, ο Ματθανία, ο Βεσελεήλ, ο Βανουί και ο Μανασσής.

Β Εσδ. 10,31 - καὶ ἀπὸ υἱῶν Ἠράμ, Ἐλιέζερ, Ἰεσία, Μελχία, Σαμαΐας, Συμεών,

Β Εσδ. 10,31 - Από τους απογόνους του Ηράμ ήσαν ο Ελιέζερ, ο Ιεσία, ο Μελχία, ο Σαμαΐας, ο Συμεών,

Β Εσδ. 10,32 - Βενιαμίν, Βαλούχ, Σαμαρία·

Β Εσδ. 10,32 - ο Βενιαμίν, ο Βαλούχ, ο Σαμαρία.

Β Εσδ. 10,33 - καὶ ἀπὸ υἱῶν Ἀσήμ, Μετθανία, Ματθαθά, Ζαδάβ, Ἐλιφαλέτ, Ἱεραμί, Μανασσῆ, Σεμεΐ·

Β Εσδ. 10,33 - Από τους απογόνους του Ασήμ ήσαν Μετθανία, ο Ματθαθά, ο Ζαδάβ, ο Ελιφαλέτ, ο Ιεραμί, ο Μανασσή, ο Σεμεΐ

Β Εσδ. 10,34 - καὶ ἀπὸ υἱῶν Βανί, Μοοδία, Ἀμράμ, Οὐήλ,

Β Εσδ. 10,34 - Από τους απογόνους του Βανί ήσαν ο Μοοδία, ο Αμαράμ, ο Ουήλ,

Β Εσδ. 10,35 - Βαναία, Βαδαία, Χελκία,

Β Εσδ. 10,35 - ο Βαναία, ο Βαδαία, ο Χελκία,

Β Εσδ. 10,36 - Οὐουανία, Μαριμώθ, Ἐλιασίφ,

Β Εσδ. 10,36 - ο Ουοανία, ο Μαριμώθ, ο Ελιασίφ,

Β Εσδ. 10,37 - Ματθανία, Ματθαναΐ καὶ ἐποίησαν

Β Εσδ. 10,37 - ο Ματθανία και ο Ματθαναΐ.

Β Εσδ. 10,38 - οἱ υἱοὶ Βανουὶ καὶ οἱ υἱοὶ Σεμεΐ

Β Εσδ. 10,38 - Το ίδιον έπραξαν οι υιοί του Βανουΐ και οι υιοί τι Σεμεΐ.

Β Εσδ. 10,39 - καὶ Σελεμία καὶ Νάθαν καὶ Ἀδαΐα,

Β Εσδ. 10,39 - Και ο Σελεμία, ο Ναθαν, Αδαΐα,
Β Εσδ. 10,40 - Μαχαδναβού, Σεσεΐ, Σαριού,
Β Εσδ. 10,40 - ο Μαχαδναβού, ο Σεσεΐ, Σαριού,
Β Εσδ. 10,41 - Ἐζριὴλ καὶ Σελεμία καὶ Σαμαρία
Β Εσδ. 10,41 - ο Εζριήλ, ο Σελεμία, ο Σαμαρία,
Β Εσδ. 10,42 - καὶ Σελλούμ, Ἀμαρεία, Ἰωσήφ·
Β Εσδ. 10,42 - ο Σελλούμ, ο Αμαρεία, ο Ιωσήφ.
Β Εσδ. 10,43 - ἀπὸ υἱῶν Ναβού, Ἰαήλ, Ματθανίας, Ζαβάδ, Ζεββενάς, Ἰαδαὶ καὶ Ἰωὴλ καὶ Βαναία.
Β Εσδ. 10,43 - Από τους απογόνους του Ναβού ήσαν ο Ιαήλ, ο Ματθανίας, ο Ζαβάδ ο Ζεββενάς, ο Ιαδαί, ο Ιωήλ και ο Βαναία.
Β Εσδ. 10,44 - πάντες οὗτοι ἐλάβοσαν γυναῖκας ἀλλοτρίας καὶ ἐγέννησαν ἐξ αὐτῶν υἱούς.
Β Εσδ. 10,44 - Ολοι αυτοί είχαν λάβει γυναίκας ξένας αλλοεθνείς, με τας οποίας εγέννησαν και απέκτησαν υιούς.

ΝΕΕΜΙΑΣ

ΝΕΕΜΙΑΣ 1

Νεεμ. 1,1 - Λόγοι Νεεμία υἱοῦ Ἀχαλία, καὶ ἐγένετο ἐν μηνὶ Χασελεῦ ἔτους εἰκοστοῦ καὶ ἐγὼ ἤμην ἐν Σουσὰν ἀβιρά,

Νεεμ. 1,1 - Λογοι και έργα του Νεεμίου, υιού του Αχαλία. Κατά τον μήνα Χασελεύ και το εικοστόν έτος της βασιλείας του Αρταξέρξου ευρισκόμην εγώ εις τα Σούσα, στο ωχυρωμένον βασιλικόν ανάκτορον.

Νεεμ. 1,2 - καὶ ἦλθεν Ἀνανὶ εἷς ἀπὸ ἀδελφῶν μου, αὐτὸς καὶ ἄνδρες Ἰούδα, καὶ ἠρώτησα αὐτοὺς περὶ τῶν σωθέντων, οἳ κατελείφθησαν ἀπὸ τῆς αἰχμαλωσίας καὶ περὶ Ἱερουσαλήμ,

Νεεμ. 1,2 - Ηλθε τότε προς εμέ ο Ανανί, ένας από τους αδελφούς μου, μαζή δέ με αυτόν και μερικοί άλλοι άνδρες της φυλής Ιούδα, και τους ηρώτησα δια τους απομείναντας εκ της αιχμαλωσίας και τους επαναπατρισθέντας Ιουδαίους, καθώς και δια την Ιερουσαλήμ.

Νεεμ. 1,3 - καὶ εἴποσαν πρός με· οἱ καταλειπόμενοι οἱ καταλειφθέντες ἀπὸ τῆς αἰχμαλωσίας ἐκεῖ ἐν τῇ χώρᾳ ἐν πονηρίᾳ μεγάλῃ καὶ ἐν ὀνειδισμῷ, καὶ τείχη Ἱερουσαλὴμ καθῃρημένα, καὶ αἱ πύλαι αὐτῆς ἐνεπρήσθησαν ἐν πυρί.

Νεεμ. 1,3 - Εκείνοι μου απήντησαν· “οι απομείναντες και οι ελευθερωθέντες από την αιχμαλωσίαν ευρίσκονται τώρα εις την χώραν της Ιουδαίας υπό το κράτος μεγάλης θλίψεως και εξευτελισμού, διότι τα τείχη της Ιερουσαλήμ είναι κρημνισμένα, αι δε πύλαι αυτής έχουν κατακαή”.

Νεεμ. 1,4 - καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαί με τοὺς λόγους τούτους ἐκάθισα καὶ ἔκλαυσα καὶ ἐπένθησα ἡμέρας καὶ ἤμην νηστεύων καὶ προσευχόμενος ἐνώπιον τοῦ Θεοῦ τοῦ οὐρανοῦ

Νεεμ. 1,4 - Οταν εγώ ήκουσα τα λόγια αυτά, εκάθησα και έκλαυσα, επένθησα επί αρκετάς ημέρας, ενήστευσα και προσηυχόμην ενώπιον του Θεού του ουρανού.

Νεεμ. 1,5 - καὶ εἶπα· μὴ δή, Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ, ὁ ἰσχυρός, ὁ μέγας καὶ φοβερός, φυλάσσων τὴν διαθήκην καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ·

Νεεμ. 1,5 - Και είπα· Κυριε, συ ο οποίος είσαι ο Θεός του ουρανού, μη απόστρεψης το πρόσωπόν σου με οργήν από ημάς. Συ είσαι ο ισχυρός, ο μέγας, ο φοβερός, συ τηρείς την υπόσχεσίν σου και παρέχστο έλεός σου εις εκείνους, οι οποίοι σε αγαπούν και εφαρμόζουν τας εντολάς σου. Αλλά επίβλεψον με ευμένειαν προς ημάς.

Νεεμ. 1,6 - ἔστω δὴ τὸ οὖς σου προσέχον καὶ οἱ ὀφθαλμοί σου ἀνεῳγμένοι τοῦ ἀκοῦσαι προσευχὴν τοῦ δούλου σου, ἣν ἐγὼ προσεύχομαι

ἐνώπιόν σου σήμερον ἡμέραν καὶ νύκτα περὶ υἱῶν Ἰσραὴλ δούλων σου. καὶ ἐξαγορεύσω ἐπὶ ἁμαρτίαις υἱῶν Ἰσραήλ, ἃς ἡμάρτομέν σοι. καὶ ἐγὼ καὶ ὁ οἶκος πατρός μου ἡμάρτομεν·

Νεεμ. 1,6 - Ας είναι τα αυτιά σου προσεκτικά και οι οφθαλμοί σου ανοικτοί εις την προσευχήν, την οποίαν εγώ πάντοτε ενώπιόν σου απευθύνω ημέραν και νύκτα, δια τους δούλους σου τους Ισραηλίτας. Θα εξομολογηθώ τας αμαρτίας των Ισραηλιτών, τας οποίας όλοι διεπράξαμεν. Και εγώ προσωπικώς και ο οίκος του πατρός μου, ημαρτήσαμεν ενώπιόν σου.

Νεεμ. 1,7 - διαλύσει διελύσαμεν πρός σε· καὶ οὐκ ἐφυλάξαμεν τὰς ἐντολὰς καὶ τὰ προστάγματα καὶ τὰ κρίματα, ἃ ἐνετείλω τῷ Μωυσῇ παιδί σου.

Νεεμ. 1,7 - Με απεριγραπτον ασέβειαν εφέρθημεν προς σέ. Δεν ετηρήσαμεν τας εντολάς σου και τα προστάγματά σου και τους νόμους σου, όσα συ δια μέσου του Μωϋσέως, του δούλου σου, διέταξες.

Νεεμ. 1,8 - μνήσθητι δὴ τὸν λόγον, ὃν ἐνετείλω τῷ Μωυσῇ παιδί σου λέγων· ὑμεῖς ἐὰν ἀσυνθετήσητε, ἐγὼ διασκορπιῶ ὑμᾶς ἐν τοῖς λαοῖς·

Νεεμ. 1,8 - Ενθυμήσου, λοιπόν, Κυριε, τον λόγον, τον οποίον δια του δούλου σου του Μωϋσέως διέταξες λέγων· “εάν σεις παραβήτε τας εντολάς μου, εγώ θα σας διασκορπίσω ανάμεσα εις ξένους λαούς.

Νεεμ. 1,9 - καὶ ἐὰν ἐπιστρέψητε πρός με καὶ φυλάξητε τὰς ἐντολάς μου καὶ ποιήσητε αὐτάς, ἐὰν ᾖ ἡ διασπορὰ ὑμῶν ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξω αὐτοὺς καὶ εἰσάξω αὐτοὺς εἰς τὸν τόπον, ὃν ἐξελεξάμην κατασκηνῶσαι τὸ ὄνομά μου ἐκεῖ.

Νεεμ. 1,9 - Εάν όμως μετανοήσετε και επιστρέψετε προς εμέ και τηρήσετε τας εντολάς μου και εφαρμόσετε αυτάς, έστω και εάν ήσθε διασκορπισμένοι εις τα άκρα του ουρανού, εγώ και από εκεί θα σας συγκεντρώσω πάλιν και θα σας επαναφέρω στον τόπον, τον οποίον εξέλεξα να κατοική και να δοξάζεται εκεί το Ονομά μου.

Νεεμ. 1,10 - καὶ αὐτοὶ παῖδές σου καὶ λαός σου, οὓς ἐλυτρώσω ἐν τῇ δυνάμει σου τῇ μεγάλῃ καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ.

Νεεμ. 1,10 - Δούλοι σου και λαός σου είναι αυτοί, τους οποίους συ απηλευθέρωσες από την αιχμαλωσίαν με την παντοδυναμίαν σου και με την ακατανίκητον δεξιάν σου.

Νεεμ. 1,11 - μὴ δή, Κύριε· ἀλλὰ ἔστω τὸ οὖς σου προσέχον εἰς τὴν προσευχὴν τοῦ δούλου σου καὶ εἰς τὴν προσευχὴν παίδων σου τῶν θελόντων φοβεῖσθαι τὸ ὄνομά σου· καὶ εὐόδωσον δὴ τῷ παιδί σου σήμερον καὶ δὸς αὐτὸν εἰς οἰκτιρμοὺς ἐνώπιον τοῦ ἀνδρὸς τούτου. καὶ ἐγὼ ἤμην οἰνοχόος τῷ βασιλεῖ.

Νεεμ. 1,11 - Μη, λοιπόν, Κυριε, μας εγκατάλείψης τώρα. Αλλά ας είναι τα αυτιά σου προσεκτικά εις την προσευχήν εμού του δούλου σου και εις την

προσευχήν των δούλων σου των Ιουδαίων, οι οποίοι θέλουν να ευλαβούνται το Ονομά σου. Ευώδωσε, σε παρακαλώ, σήμερον εμέ τον δούλον σου και δώρισε εις εμέ την χάριν σου, ώστε να εύρω έλεος και ευμενή υποδοχήν ενώπιον του βασιλέως τούτου”. Τοτε ήμην εγώ αρχιοινοχόος του βασιλέως.

ΝΕΕΜΙΑΣ 2

Νεεμ. 2,1 - Καὶ ἐγένετο ἐν μηνὶ Νισὰν ἔτους εἰκοστοῦ Ἀρθασασθὰ βασιλεῖ καὶ ἦν ὁ οἶνος ἐνώπιον ἐμοῦ, καὶ ἔλαβον τὸν οἶνον καὶ ἔδωκα τῷ βασιλεῖ, καὶ οὐκ ἦν ἕτερος ἐνώπιον αὐτοῦ.

Νεεμ. 2,1 - Κατά τον μήνα Νισάν του εικοστού έτους της βασιλείας του Αρταξέρξου ευρίσκετο ενώπιόν μου ο οίνος, τον οποίον επρόκειτο να δώσω στον βασιλέα. Επήρα, λοιπόν, τον οίνον αυτόν και τον προσέφερα στον βασιλέα. Κανένας άλλος δεν ευρίσκετο την ώραν εκείνην ενώπιον του βασιλέως.

Νεεμ. 2,2 - καὶ εἶπέ μοι ὁ βασιλεύς· διατί τὸ πρόσωπόν σου πονηρὸν καὶ οὐκ εἶ μετριάζων; καὶ οὐκ ἔστι τοῦτο, εἰ μὴ πονηρία καρδίας. καὶ ἐφοβήθην πολὺ σφόδρα,

Νεεμ. 2,2 - Ο βασιλεύς με ηρώτησε· “διατί το πρόσωπόν σου είναι σκυθρωπόν και δεν είσαι ειρηνικός; Τούτο δεν είναι τίποτε άλλο παρά κάποια ταραχή εις την καρδίαν σου”. Από τον λόγον αυτόν του βασιλέως εφοβήθηκα πάρα πολύ.

Νεεμ. 2,3 - καὶ εἶπα τῷ βασιλεῖ· ὁ βασιλεὺς εἰς τὸν αἰῶνα ζήτω· διατί οὐ μὴ γένηται πονηρὸν τὸ πρόσωπόν μου, διότι ἡ πόλις, οἶκος μνημείων πατέρων μου, ἠρημώθη καὶ αἱ πύλαι αὐτῆς κατεβρώθησαν ἐν πυρί;

Νεεμ. 2,3 - Αλλά απήντησα στον βασιλέα· “ας ζήση χρόνους πολλούς ο βασιλεύς. Πως να μη είναι περίλυπον το πρόσωπόν μου, αφού η πόλις, όπου υπάρχουν οι τάφοι των προγόνων μου, είναι ερημωμένη και αι πύλαι της πόλεως αυτής έχουν καταφαγωθή από το πυρ;”

Νεεμ. 2,4 - καὶ εἶπέ μοι ὁ βασιλεύς· περὶ τίνος τοῦτο σὺ ζητεῖς; καὶ προσηυξάμην πρὸς τὸν Θεὸν τοῦ οὐρανοῦ

Νεεμ. 2,4 - Ο βασιλεύς με ηρώτησε· “τι είναι αυτό, το οποίον συ ζητείς;” Εγώ προσηυχήθην εσωτερικώς προς τον Θεόν του ουρανού

Νεεμ. 2,5 - καὶ εἶπα τῷ βασιλεῖ· εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, καὶ εἰ ἀγαθυνθήσεται ὁ παῖς σου ἐνώπιόν σου ὥστε πέμψαι αὐτὸν ἐν Ἰούδᾳ εἰς πόλιν μνημείων πατέρων μου, καὶ ἀνοικοδομήσω αὐτήν.

Νεεμ. 2,5 - και είπα στον βασιλέα· “εάν ο βασιλεύς το ευρίσκη καλόν και εάν εγώ ο δούλος σου απολαμβάνω την αγαθότητά σου και την ευμένειάν σου, ζητώ να με αποστείλης εις την Ιουδαίαν, εις την πόλιν Ιερουσαλήμ, όπου υπάρχουν οι τάφοι των προγόνων μου, δια να την ανοικοδομήσω”.

Νεεμ. 2,6 - καὶ εἶπέ μοι ὁ βασιλεὺς καὶ ἡ παλλακὴ ἡ καθημένη ἐχόμενα αὐτοῦ· ἕως πότε ἔσται ἡ πορεία σου καὶ πότε ἐπιστρέψεις; καὶ ἠγαθύνθη ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπέστειλέ με, καὶ ἔδωκα αὐτῷ ὅρον,

Νεεμ. 2,6 - Ο βασιλεύς, πλησίον του οποίου εκάθητο η δευτέρας σειράς σύζυγός του, με ηρώτησε· “πόσον θα διαρκέση η πορεία σου; Και πότε θα επιστρέψης;” Ο βασιλεύς έδειξεν ευμένειαν απέναντί μου, ενέκρινε το ταξίδιόν μου και μου έδωσε την άδειαν να αναχωρήσω. Εγώ δε ώρισα τον χρόνον της επανόδου μου.

Νεεμ. 2,7 - καὶ εἶπα τῷ βασιλεῖ· εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, δότω μοι ἐπιστολὰς πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ ὥστε παραγαγεῖν με, ἕως ἔλθω ἐπὶ Ἰούδαν,

Νεεμ. 2,7 - Και είπα στον βασιλέα· “εάν φαίνεται καλόν και αγαθόν στον βασιλέα, ας μου δώση συστατικάς επιστολάς προς τους πέραν του ποταμού Ευφράτου διοικητάς, ώστε να με αφήσουν να περάσω, έως ότου φθάσω εις την Ιουδαίαν.

Νεεμ. 2,8 - καὶ ἐπιστολὴν ἐπὶ Ἀσὰφ φύλακα τοῦ παραδείσου, ὅς ἐστι τῷ βασιλεῖ, ὥστε δοῦναί μοι ξύλα στεγάσαι τὰς πύλας καὶ εἰς τὸ τεῖχος τῆς πόλεως καὶ εἰς οἶκον, ὃν εἰσελεύσομαι εἰς αὐτόν. καὶ ἔδωκέ μοι ὁ βασιλεὺς ὡς χεὶρ Θεοῦ ἡ ἀγαθή.

Νεεμ. 2,8 - Και μίαν άλλην επιστολήν προς τον Ασάφ, τον φύλακα του δάσους, που ανήκει εις σε τον βασιλέα, ώστε να μου δώση ξύλα να στεγάσω τας πύλας του τείχους και δι' αυτό τούτο το τείχος της πόλεως και δια τον ιδικόν μου οίκον, στον οποίον θα εγκατασταθώ”. Ο βασιλεύς μου έδωσε τας επιστολάς αυτάς και τούτο, διότι το αγαθόν και προστατευτικόν χέρι του Θεού ήτο επάνω μου.

Νεεμ. 2,9 - καὶ ἦλθον πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ καὶ ἔδωκα αὐτοῖς τὰς ἐπιστολὰς τοῦ βασιλέως, καὶ ἀπέστειλε μετ᾿ ἐμοῦ ὁ βασιλεὺς ἀρχηγοὺς δυνάμεως καὶ ἱππεῖς.

Νεεμ. 2,9 - Ηλθα στους διοικητάς του βασιλέως, που ευρίσκοντο εις την πέραν του ποταμού Ευφράτου χώραν, και παρέδωκα προς αυτούς τας επιστολάς του βασιλέως. Ο δε βασιλεύς είχε στείλει μαζή μου στρατιωτικούς αρχηγούς και ιππείς.

Νεεμ. 2,10 - καὶ ἤκουσε Σαναβαλλὰτ ὁ Ἀρωνὶ καὶ Τωβία ὁ δοῦλος Ἀμμωνί, καὶ πονηρὸν αὐτοῖς ἐγένετο ὅτι ἥκει ὁ ἄνθρωπος ζητῆσαι ἀγαθὸν τοῖς υἱοῖς Ἰσραήλ.

Νεεμ. 2,10 - Οταν επληροφορήθη ο Σαναβαλλάτ, ο Αρωνίτης και ο Τωβίας ο δούλος του ο Αμμωνίτης αυτά, ότι δηλαδή ήλθεν άνθρωπος από την Περσίαν να βοηθήση τους Ισραηλίτας, τα εθεώρησαν πολύ κακά.

Νεεμ. 2,11 - Καὶ ἦλθον εἰς Ἱερουσαλὴμ καὶ ἤμην ἐκεῖ ἡμέρας τρεῖς.

Νεεμ. 2,11 - Εγώ ήλθα εις την Ιερουσαλήμ και ανεπαύθην εκεί τρεις ημέρας.

Νεεμ. 2,12 - καὶ ἀνέστην νυκτὸς ἐγὼ καὶ ἄνδρες ὀλίγοι μετ᾿ ἐμοῦ· καὶ οὐκ ἀπήγγειλα ἀνθρώπῳ τί ὁ Θεὸς δίδωσιν εἰς καρδίαν μου τοῦ ποιῆσαι μετὰ τοῦ Ἰσραήλ, καὶ κτῆνος οὐκ ἔστι μετ᾿ ἐμοῦ, εἰ μὴ τὸ κτῆνος, ᾧ ἐγὼ ἐπιβαίνω ἐπ᾿ αὐτῷ.

Νεεμ. 2,12 - Κατόπιν κατά την νύκτα εσηκώθηκα εγώ και ολίγοι άνδρες, οι οποίοι ήσαν μαζή μου. Δεν εγνωστοποίησα όμως εις κανένα άνθρωπον, ποίας αποφάσεις είχε θέσει ο Θεός εις την καρδίαν μου, δια να τας πραγματοποιήσω εις όφελος του ισραηλιτικού λαού. Κανένα άλλο μεταγωγικόν ζώον δεν είχα, πλην εκείνου στο οποίον εγώ επέβαινα.

Νεεμ. 2,13 - καὶ ἐξῆλθον ἐν πύλῃ τοῦ Γωληλὰ καὶ πρὸς στόμα πηγῆς τῶν συκῶν καὶ εἰς πύλην τῆς κοπρίας καὶ ἤμην συντρίβων ἐν τῷ τείχει Ἱερουσαλήμ, ὃ αὐτοὶ καθαιροῦσι καὶ πύλαι αὐτῆς κατεβρώθησαν πυρί.

Νεεμ. 2,13 - Εβγήκα, λοιπόν, από την πύλην του τείχους, η οποία ωνομάζετο Γωληλά και διηυθύνθην στο στόμιον της πηγής των συκιών προς την πύλην της κοπρίας. Εκεί παρέμεινα και παρατηρούσα το τείχος της Ιερουσαλήμ, το οποίον εκείνοι είχαν κρημνίσει και τας πύλας της, αι οποίαι είχαν καταφαγωθή από το πυρ.

Νεεμ. 2,14 - καὶ παρῆλθον ἐπὶ πύλην τοῦ Ἀΐν καὶ εἰς κολυμβήθραν τοῦ βασιλέως, καὶ οὐκ ἦν τόπος τῷ κτήνει παρελθεῖν ὑποκάτω μου.

Νεεμ. 2,14 - Ηλθα εις την πύλην Αῒν και εις την δεξαμένην του βασιλέως. Δεν υπήρχεν όμως δίοδος να πέραση το υποζύγιον, επί του οποίου εγώ επέβαινα.

Νεεμ. 2,15 - καὶ ἤμην ἀναβαίνων ἐν τῷ τείχει χειμάῤῥου νυκτὸς καὶ ἤμην συντρίβων ἐν τῷ τείχει, καὶ ἤμην ἐν πύλῃ τῆς φάραγγος καὶ ἐπέστρεψα.

Νεεμ. 2,15 - Από εκεί, εν καιρώ νυκτός, ανέβηκα στο τείχος, το οποίον ήτο πλησίον του χειμάρρου. Εκεί παρέμεινα και παρετήρουν το τείχος. Κατόπιν δια της πύλης της φάραγγος επέστρεψα εκεί, από όπου εξεκίνησα.

Νεεμ. 2,16 - τότε οἱ φυλάσσοντες οὐκ ἔγνωσαν τί ἐπορεύθην καὶ τί ἐγὼ ποιῶ, καὶ τοῖς Ἰουδαίοις καὶ τοῖς ἱερεῦσι καὶ τοῖς ἐντίμοις καὶ τοῖς στρατηγοῖς καὶ τοῖς καταλοίποις τοῖς ποιοῦσι τὰ ἔργα, ἕως τότε οὐκ ἀπήγγειλα.

Νεεμ. 2,16 - Οι φρουροί δεν κατώρθωσαν να μάθουν, που μετέβην και τι έκαμα. Μέχρι δε εκείνης της ώρας δεν είχα ανακοινώσει τίποτε στους Ιουδαίους, στους ιερείς, στους επισήμους, στους αρχηγούς, ούτε και στον υπόλοιπον λαόν, οι οποίοι ησχολούντο με τα έργα.

Νεεμ. 2,17 - καὶ εἶπα πρὸς αὐτούς· ὑμεῖς βλέπετε τὴν πονηρίαν ταύτην, ἐν ᾗ ἐσμεν ἐν αὐτῇ, πῶς Ἱερουσαλὴμ ἔρημος καὶ αἱ πύλαι αὐτῆς ἐδόθησαν

πυρί· δεῦτε καὶ διοικοδομήσωμεν τὸ τεῖχος Ἱερουσαλήμ, καὶ οὐκ ἐσόμεθα ἔτι ὄνειδος.

Νεεμ. 2,17 - Είπα μόνον εις αυτούς· “Βλέπετε σεις την θλιβεράν αυτήν κατάστασιν εις την οποίαν ευρισκόμεθα. Πως δηλαδή η Ιερουσαλήμ είναι ερημωμένη και αι πύλαι αυτής έχουν παραδοθή εις την φωτιάν. Εμπρός, λοιπόν, να ανοικοδομήσωμεν το τείχος της Ιερουσαλήμ, ώστε να μη είμεθα πλέον αντικείμενον εξευτελισμού και εμπαιγμού”.

Νεεμ. 2,18 - καὶ ἀπήγγειλα αὐτοῖς τὴν χεῖρα τοῦ Θεοῦ, ἥ ἐστιν ἀγαθὴ ἐπ᾿ ἐμέ, καὶ τοὺς λόγους τοῦ βασιλέως, οὓς εἶπέ μοι, καὶ εἶπα· ἀναστῶμεν καὶ οἰκοδομήσωμεν. καὶ ἐκραταιώθησαν αἱ χεῖρες αὐτῶν εἰς τὸ ἀγαθόν.

Νεεμ. 2,18 - Τοτε διηγήθην εις αυτούς ότι το προστατευτικόν χέρι του Θεού ευρίσκεται επάνω μου και τους ανέφερα τους λόγους του βασιλέως, αυτούς τους οποίους εκείνος μου είπε. Και τους είπα· “Ας οηκωθώμεν και ας ανοικοδομήσωμεν τα τείχη”. Επειτα από τα λόγιά μου αυτά ενεθαρρύνθησαν και ενισχύθησαν αυτοί στο καλόν τούτο έργον.

Νεεμ. 2,19 - καὶ ἤκουσε Σαναβαλλὰτ ὁ Ἀρωνὶ καὶ Τωβία ὁ δοῦλος ὁ Ἀμμωνὶ καὶ Γησὰμ ὁ Ἀραβὶ καὶ ἐξεγέλασαν ἡμᾶς καὶ ἦλθον ἐφ᾿ ἡμᾶς καὶ εἶπαν· τί τὸ ῥῆμα τοῦτο, ὃ ὑμεῖς ποιεῖτε; ᾖ ἐπὶ τὸν βασιλέα ὑμεῖς ἀποστατεῖτε;

Νεεμ. 2,19 - Οταν όμως επληροφρήθησαν τούτο ο Σαναδολλάτ ο Αρωνίτης και Τωβίας ο Αμμωνίτης ο δούλος και Γησάμ ο καταγόμενος από την Αραβίαν, μας ενέπαιξαν, ήλθον προς ημάς και μας είπαν· Τι είναι αυτό το οποίον σεις κάμνετε; Επαναστατείτε λοιπόν εναντίον του βασιλέως;

Νεεμ. 2,20 - καὶ ἐπέστρεψα αὐτοῖς λόγον καὶ εἶπα αὐτοῖς· ὁ Θεὸς τοῦ οὐρανοῦ, αὐτὸς εὐοδώσει ἡμῖν, καὶ ἡμεῖς δοῦλοι αὐτοῦ καθαροί, καὶ οἰκοδομήσομεν· καὶ ὑμῖν οὐκ ἔστι μερὶς καὶ δικαιοσύνη καὶ μνημόσυνον ἐν Ἱερουσαλήμ.

Νεεμ. 2,20 - Απήντησα προς αυτούς και τους είπα. Ο Θεός του ουρανού, αυτός θα κατευοδώση το έργον μας, διότι ημείς είμεθα οι αληθινοί και καθαροί δούλοι του και θα ανοικοδομήσωμεν την πόλιν μας. Σεις δεν έχετε κανένα μερίδιον εις αυτήν και κανένα δικαίωμα δια σας, άλλωστε, κανείς ποτέ λόγος δεν έγινεν εις την πόλιν της Ιερουσαλήμ.

ΝΕΕΜΙΑΣ 3

Νεεμ. 3,1 - Καὶ ἀνέστη Ἐλιασοὺβ ὁ ἱερεὺς ὁ μέγας καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ ᾠκοδόμησαν τὴν πύλην τὴν προβατικήν. αὐτοὶ ἡγίασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ ἕως πύργου τῶν ἑκατὸν ἡγίασαν ἕως πύργου Ἀναμεὴλ

Νεεμ. 3,1 - Εσηκώθη πρώτος ο αρχιερεύς Ελιασούβ και οι συγγενείς αυτού ιερείς και ανοικοδόμησαν την πύλην του τείχου την λεγομένην προβατικήν. Αυτοί έθεσα τας θύρας της και την καθιέρωσαν από του πύργου των εκατόν έως του πύργοι του Αναμεήλ.

Νεεμ. 3,2 - καὶ ἐπὶ χεῖρας ἀνδρῶν υἱῶν Ἱεριχὼ καὶ ἐπὶ χεῖρας υἱῶν Ζακχούρ, υἱοῦ Ἀμαρί.

Νεεμ. 3,2 - Πλησίον αυτών ειργάσθησαν δια την ανοικοδόμησιν του τείχου άνδρες εκ της πόλεως Ιεριχώ, πλησίον δε των ανδρών αυτών ειργάσθησαν κα τα παιδιά του Ζακχούρ, υιού του Αμαρί.

Νεεμ. 3,3 - καὶ τὴν πύλην τὴν ἰχθυηρὰν ᾠκοδόμησαν υἱοὶ Ἀσανά· αὐτοὶ ἐστέγασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς.

Νεεμ. 3,3 - Την πύλην του τείχους, η οποία ελέγετο ιχθυηρά, ανοικοδόμησαν οι υιοί του Ασανά. Οι ίδιοι την εστέγασαν, ετοποθέτησαν τας θύρας της και έθεσαν τα κλειδιά και τους μοχλούς της.

Νεεμ. 3,4 - καὶ ἐπὶ χεῖρα αὐτῶν κατέσχεν ἀπὸ Ῥαμὼθ υἱὸς Οὐρία, υἱοῦ Ἀκκώς. καὶ ἐπὶ χεῖρα αὐτῶν κατέσχε Μοσολλὰμ υἱὸς Βαραχίου υἱοῦ Μαζεβήλ, καὶ ἐπὶ χεῖρα αὐτῶν κατέσχε Σαδὼκ υἱὸς Βαανά.

Νεεμ. 3,4 - Πλησίον αυτών ειργάσθη ο Ραμώθ, υιός του Ουρία, υιού του Ακκώς. Πλησίον πάλιν αυτώ ειργάσθησαν ο Μοσολλάμ υιός του Βαραχίου, υιού του Μαζεβήλ. Και κοντά ει αυτούς ειργάσθη ο Σαδώκ, υιός του Βαανά.

Νεεμ. 3,5 - καὶ ἐπὶ χεῖρα αὐτῶν κατέσχοσαν οἱ Θεκωΐμ, καὶ ἀδωρηὲμ οὐκ εἰσήνεγκαν τράχηλον αὐτῶν εἰς δουλείαν αὐτῶν.

Νεεμ. 3,5 - Πλησίον αυτών ειργάσθησαν ο κάτοικοι της Θεκωέ. Οι αρχηγοί όμως αυτών δεν επροθυμοποιήθησαν να προσφέρουν την συνδρομήν των εις την εργασία αυτήν.

Νεεμ. 3,6 - καὶ τὴν πύλην Ἰασαναΐ ἐκράτησαν Ἰωϊδὰ υἱὸς Φασὲκ καὶ Μεσουλὰμ υἱὸς Βασωδία· αὐτοὶ ἐστέγασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς.

Νεεμ. 3,6 - Την πύλην του τείχους, η οποία ωνομάζετο Ιασαναΐ (δηλαδή παλαιά), επεσκεύασαν ο Ιωϊδάα υιός του Φασέκ, και ο Μεσουλάμ υιός του Βασωδία. Αυτοί τη εστέγασαν, ετοποθέτησαν τας θύρας της, τα κλειδιά της και τους μοχλούς της.

Νεεμ. 3,7 - καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησαν Μαλτίας ὁ Γαβαωνίτης καὶ Εὐάρων ὁ Μηρωνωθίτης, ἄνδρες τῆς Γαβαὼν καὶ τῆς Μασφὰ ἕως θρόνου τοῦ ἄρχοντος τοῦ πέραν τοῦ ποταμοῦ,

Νεεμ. 3,7 - Πλησίον αυτών ειργάσθησαν ο Μαλτίας, ο οποίος κατήγετο από την πόλιν Γαβαωων, ο Ευάρων που κατήγετο από την πόλιν Μηρωνώθ. Οι άνδρες της Γαβαών και της Μασφά ειργάσθησαν μέχρι του διοικητηρίου, όπου είχε την έδραν του ο πέραν του ποταμού Ευφράτου διοικητής.

Νεεμ. 3,8 - καὶ παρ᾿ αὐτὸν παρησφαλίσατο Ὀζιὴλ υἱὸς Ἀραχίου πυρωτῶν. καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησεν Ἀνανίας υἱὸς τοῦ Ῥωκεΐμ, καὶ κατέλιπον Ἱερουσαλὴμ ἕως τοῦ τείχους τοῦ πλατέος.

Νεεμ. 3,8 - Παραπλεύρως προς αυτόν ειργάσθη ο Οζιήλ ο υιός του Αραχίου, ένας από τους χρυσοχόους. Πλησίον αυτών ειργάσθη ο Ανανίας, ο υιός του Ρωκεΐμ. Αφήκαν όμως ένα μέρος της αρχαίας πόλεως Ιερουσαλήμ μέχρι του πλατέος τείχους.

Νεεμ. 3,9 - καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησε Ῥαφαΐα υἱὸς Σούρ, ἄρχων ἡμίσους περιχώρου Ἱερουσαλήμ.

Νεεμ. 3,9 - Πλησίον αυτών ειργάσθη ο Ραφαΐα υιός του Σούρ, αρχηγός της ημισείας περιοχής της Ιερουσαλήμ.

Νεεμ. 3,10 - καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησεν Ἰεδαΐα υἱὸς Ἐρωμὰφ καὶ κατέναντι οἰκίας αὐτοῦ. καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν Ἀττοὺθ υἱὸς Ἀσαβανία.

Νεεμ. 3,10 - Πλησίον αυτώ ειργάσθη ο Ιεδαΐα, υιός του Ερωμάφ, απέναντι της οικίας του. Πλησίον αυτού ειργάσθη ο Αττούθ, υιός του Ασαβανία.

Νεεμ. 3,11 - καὶ δεύτερος ἐκράτησε Μελχίας υἱὸς Ἠρὰμ καὶ Ἀσοὺβ υἱὸς Φαὰτ Μωὰβ καὶ ἕως πύργου τῶν θαννουρίμ.

Νεεμ. 3,11 - Επειτα δε από αυτόν δεύτερος ειργάσθη ο Μελχίας υιός του Ηράμ, και ο Ασούβ, ο υιός του Φαάτ Μωάβ. Αυτοί επεσκεύασαν άλλο μέρος του τείχους μέχρι, του πύργου των κλιβάνων.

Νεεμ. 3,12 - καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησε Σαλλοὺμ υἱὸς Ἀλλωῆς ἄρχων ἡμίσους περιχώρου Ἱερουσαλήμ, αὐτὸς καὶ αἱ θυγατέρες αὐτοῦ.

Νεεμ. 3,12 - Πλησίον δε αυτού ειργάσθη ο Σαλλούμ, ο υιός του Αλλωής, ο οποίος ήτο διοικητής της άλλης ημισείας περιοχής της Ιερουσαλήμ. Ειργάσθη δε αυτός μαζή με τας θυγατέρας του.

Νεεμ. 3,13 - τὴν πύλην τῆς φάραγγος ἐκράτησαν Ἀνοὺν καὶ οἱ κατοικοῦντες Ζανώ· αὐτοὶ ᾠκοδόμησαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς καὶ χιλίους πήχεις ἐν τῷ τείχει ἕως τῆς πύλης τῆς κοπρίας.

Νεεμ. 3,13 - Την πύλην του τείχους, η οποία ευρίσκετο πλησίον της φάραγγος επιδιόρθωσαν ο Ανούν και οι κάτοικοι της πόλεως Ζανώ. Αυτοί την ανοικοδόμησαν, έστησαν τας θύρας της και ετοποθέτησαν τα κλειδιά της και τους μοχλούς της. Αυτοί επιδιόρθωσαν έκτασιν τείχους χιλίων πήχεων μέχρι της πύλης του τείχους, η οποία ανομάζετο “πύλη κοπρίας”.

Νεεμ. 3,14 - καὶ τὴν πύλην τῆς κοπρίας ἐκράτησε Μελχία υἱὸς Ῥηχὰβ ἄρχων περιχώρου Βηθακχαρίμ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἐσκέπασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς.

Νεεμ. 3,14 - Αυτήν δε την πύλην της κοπρίας επιδιόρθωσε, μαζή με τους υιούς του, ο Μελχία ο υιός του Ρηχάβ διοικητής της περιοχής Βηθακχαρίμ, την εσκέπασεν, έστησε τας θύρας της, ετοποθέτησε τα κλειδιά και τους μοχλούς της.

Νεεμ. 3,15 - τὴν δὲ πύλην τῆς πηγῆς ἠσφαλίσατο Σαλωμὼν υἱὸς Χολεζὲ ἄρχων μέρους τῆς Μασφά· αὐτὸς ἐξῳκοδόμησεν αὐτὴν καὶ ἐστέγασεν αὐτὴν καὶ ἔστησε τὰς θύρας αὐτῆς καὶ μοχλοὺς αὐτῆς καὶ τὸ τεῖχος κολυμβήθρας τῶν κωδίων τῇ κουρᾷ τοῦ βασιλέως καὶ ἕως τῶν κλιμάκων τῶν καταβαινουσῶν ἀπὸ πόλεως Δαυίδ.

Νεεμ. 3,15 - Ο Σαλωμών, υιός του Χολεζέ, διοικητής της περιοχής Μασφά επιδιώρθωσε την πύλην του τείχους, η οποία ονομάζετο “πηγή”. Αυτός την ανοικοδόμησε, την εστέγασεν, ετοποθέτησε τας θύρας και τους μοχλούς της. Αυτός έκτισε το τείχος της δεξαμενής του τείχους του βασιλέως έως εις τα σκαλοπάτια, που κατέβαιναν από την πόλιν Δαυίδ.

Νεεμ. 3,16 - ὀπίσω αὐτοῦ ἐκράτησε Νεεμίας υἱὸς Ἀζαβοὺχ ἄρχων ἡμίσους περιχώρου Βηθσοὺρ ἕως κήπου τάφου Δαυὶδ καὶ ἕως τῆς κολυμβήθρας τῆς γεγονυίας καὶ ἕως Βηθαγγαρίμ.

Νεεμ. 3,16 - Πλησίον αυτού ο Νεεμίας, υιός του Αζαβούχ, διοικητής της ημισείας περιοχής Βηθσούρ επιδιόρθωσε το τείχος μέχρι της θέσεως απέναντι του κήπου του τάφου του Δαυίδ και μέχρι της δεξαμενής που εκτίσθη ήδη και μέχρι του οίκου των θαρραλέων πολεμιστών.

Νεεμ. 3,17 - ὀπίσω αὐτοῦ ἐκράτησαν οἱ Λευῖται, Ῥαοὺμ υἱὸς Βανί. ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν Ἀσαβία ἄρχων ἡμίσους περιχώρου Κεϊλὰ τῷ περιχώρῳ αὐτοῦ.

Νεεμ. 3,17 - Πλησίον δε αυτού ειργάσθησαν οι Λευίται και ο Ραούμ υιός του Βανί. Πλησίον αυτού ειργάσθη ο Ασαβία ο διοικητής της ημισείας περιοχής Κεϊλά εις την περιοχήν αυτήν.

Νεεμ. 3,18 - καὶ μετ᾿ αὐτὸν ἐκράτησαν ἀδελφοὶ αὐτῶν Βενεΐ υἱὸς Ἠναδὰδ ἄρχων ἡμίσους περιχώρου Κεϊλά.

Νεεμ. 3,18 - Πλησίον αυτού ειργάσθησαν οι αδελφοί του υπό την εποπτείαν του Βενεΐ, υιού του Ηναδάδ, διοικητού του δευτέρου ημίσεως της Κεϊλά.

Νεεμ. 3,19 - καὶ ἐκράτησαν ἐπὶ χεῖρα αὐτοῦ Ἀζοὺρ υἱὸς Ἰησοῦ, ἄρχων τοῦ Μασφαί, μέτρον δεύτερον πύργου ἀναβάσεως τῆς συναπτούσης τῆς γωνίας.

Νεεμ. 3,19 - Εν συνεχεία προς αυτόν ειργάσθη ο Αζούρ, υιός του Ιησού, ο διοικητής της Μασφαί. Αυτός επιδιόρθωσε το δεύτερον τμήμα του τείχους της “αναβάσεως” παρά το γωνιακόν αντιστήριγμα.

Νεεμ. 3,20 - μετ᾿ αὐτὸν ἐκράτησε Βαροὺχ υἱὸς Ζαβοῦ μέτρον δεύτερον ἀπὸ τῆς γωνίας ἕως θύρας Βηθελιασοὺβ τοῦ ἱερέως τοῦ μεγάλου.

Νεεμ. 3,20 - Επειτα από αυτόν ειργάσθη ο Βαρούχ ο υιός του Ζαβού εις άλλο τμήμα από του γωνιακού αντερείσματος, μέχρι της θύρας του οίκου Βηθελιασούβ του αρχιερέως.

Νεεμ. 3,21 - μετ᾿ αὐτὸν ἐκράτησε Μεραμὼθ υἱὸς Οὐρία, υἱοῦ Ἀκκώς, μέτρον δεύτερον ἀπὸ θύρας Βηθελιασοὺβ ἕως ἐκλείψεως Βηθελιασούβ.

Νεεμ. 3,21 - Πλησίον αυτού ειργάσθη ο Μεραμώθ, υιός του Ουρία, υιού του 'Ακκως, στο άλλο τμήμα από του οίκου Βηθελιασούβ μέχρι του άκρου της οικίας αυτού.

Νεεμ. 3,22 - καὶ μετ᾿ αὐτὸν ἐκράτησαν οἱ ἱερεῖς ἄνδρες Ἐκχεχάρ.

Νεεμ. 3,22 - Πλησίον του ειργάσθησαν οι ιερείς, οι οποίοι κατήγοντο από την Εκχεχάρ.

Νεεμ. 3,23 - καὶ μετ᾿ αὐτὸν ἐκράτησε Βενιαμὶν καὶ Ἀσοὺβ κατέναντι οἴκου αὐτῶν. καὶ μετ᾿ αὐτὸν ἐκράτησεν Ἀζαρίας υἱὸς Μαασίου, υἱοῦ Ἀνανία ἐχόμενα οἴκου αὐτοῦ.

Νεεμ. 3,23 - Πλησίον αυτού επίσης ειργάσθη ο Βενιαμίν και ο Ασούβ απέναντι από τας οικίας των. Εν συνεχεία ειργάσθη ο Αζαρίας, ο υιός του Μαασίου, υιού του Ανανία πλησίον του ιδικού του οίκου.

Νεεμ. 3,24 - καὶ μετ᾿ αὐτὸν ἐκράτησε Βανὶ υἱὸς Ἀδὰδ μέτρον δεύτερον ἀπὸ Βηθαζαρία ἕως τῆς γωνίας καὶ ἕως τῆς καμπῆς

Νεεμ. 3,24 - Πλησίον αυτού ειργάσθη ο Βανί, ο υιός του Αδάδ, και επιδιώρθωσε άλλο τμήμα του τείχους από την οικίαν του Αζαρίου μέχρι της γωνίας και μέχρι της στροφής.

Νεεμ. 3,25 - Φαλὰχ υἱοῦ Εὐζαΐ ἐξεναντίας τῆς γωνίας, καὶ ὁ πύργος ὁ ἐξέχων ἐκ τοῦ οἴκου τοῦ βασιλέως ὁ ἀνώτερος ὁ τῆς αὐλῆς τῆς φυλακῆς. καὶ μετ᾿ αὐτὸν Φαδαΐα υἱὸς Φόρος.

Νεεμ. 3,25 - Ο Φαλάχ, υιός του Ευζαΐ, επιδιώρθωσε το τείχος το απέναντι της γωνίας του υψηλού πύργου που εξέχει από τον βασιλικόν οίκον, τον ευρισκόμενον πλησίον της αυλής των λάκων. Εν συνεχεία από αυτόν ειργάση ο Φαδαΐα, υιός του Φορος.

Νεεμ. 3,26 - καὶ οἱ ναθινὶμ ἦσαν οἰκοῦντες ἐν τῷ Ὠφὰλ ἕως κήπου πύλης τοῦ ὕδατος εἰς ἀνατολάς, καὶ ὁ πύργος ὁ ἐξέχων.

Νεεμ. 3,26 - Οι υπηρέται του ναού κατοικούσαν στο Ωφάλ έως εις την τοποθεσίαν άνω του ύδατος προς ανατολάς και του εξέχοντος πύργου.

Νεεμ. 3,27 - καὶ μετ᾿ αὐτὸν ἐκράτησαν οἱ Θεκωΐμ μέτρον δεύτερον ἐξεναντίας τοῦ πύργου τοῦ μεγάλου τοῦ ἐξέχοντος καὶ ἕως τοῦ τείχους τοῦ Ὀφλά.

Νεεμ. 3,27 - Πλησίον αυτού ειργάσθησαν οι κάτοικοι της Θεκωέ και επιδιόρθωσαν άλλο τμήμα απέναντι του μεγάλου πύργου, οποίος και εξείχε μέχρι του τείχους του Οφλά.

Νεεμ. 3,28 - ἀνώτερον πύλης τῶν ἵππων ἐκράτησαν οἱ ἱερεῖς, ἀνὴρ ἐξεναντίας οἴκου ἑαυτοῦ.

Νεεμ. 3,28 - Υπεράνω από την πύλην, η οποία ωνομάζετο πύλη των ίππων, ειργάσθησαν οι ιερείς, ο καθένας απέναντι από την οικίαν του.

Νεεμ. 3,29 - καὶ μετ᾿ αὐτὸν ἐκράτησε Σαδδοὺκ υἱὸς Ἐμμὴρ ἐξεναντίας οἴκου ἑαυτοῦ. καὶ μετ᾿ αὐτὸν ἐκράτησε Σαμαΐα υἱὸς Σεχενία φύλαξ τῆς πύλης τῆς ἀνατολῆς.

Νεεμ. 3,29 - Πλησίον δε αυτών ειργάσθησαν ο Σαδδούκ, υιός του Εμμήρ έναντι της οικίας του. Πλησίον αυτού ειργάσθη ο Σαμαΐας, υιός του Σεχενία, ο θυρωρός της ανατολικής πύλης.

Νεεμ. 3,30 - μετ᾿ αὐτὸν ἐκράτησεν Ἀνανία υἱὸς Σελεμία καὶ Ἀνὼμ υἱὸς Σελέφ, ὁ ἕκτος, μέτρον δεύτερον. μετ᾿ αὐτὸν ἐκράτησε Μεσουλὰμ υἱὸς Βαραχία ἐξεναντίας γαζοφυλακίου αὐτοῦ.

Νεεμ. 3,30 - Πλησίον αυτού ειργάσθη ο Ανανίας, υιός του Σελεμία και ο Ανώμ ο έκτος υιός του Σιλέφ και επιδιόρθωσαν άλλο τμήμα του τείχους. Πλησίον αυτού ειργάσθη ο Μεσουλάμ, υιός του Βαραχίου, απέναντι της μεγάλης του αιθούσης.

Νεεμ. 3,31 - μετ᾿ αὐτὸν ἐκράτησε Μελχία υἱὸς τοῦ Σαρεφὶ ἕως Βηθαναθινὶμ καὶ οἱ ῥοπωπῶλαι ἀπέναντι πύλης τοῦ Μαφεκὰδ καὶ ἕως ἀναβάσεως τῆς καμπῆς.

Νεεμ. 3,31 - Πλησίον αυτού ειργάσθη ο Μελχία, υιός του Σαρεφί, και επιδιόρθωσε τμήμα του τείχους μέχρι της οικίας των υπηρετών και των μικροπωλητών, απέναντι της πύλης του Μαφεκάδ και μέχρι της ανωφερείας της καμπής.

Νεεμ. 3,32 - καὶ ἀνὰ μέσον τῆς πύλης τῆς προβατικῆς ἐκράτησαν οἱ χαλκεῖς καὶ οἱ ῥοπωπῶλαι.

Νεεμ. 3,32 - Ανάμεσα δε από την πύλην του τείχους, η οποία ωνομάζετο προβατική, ειργάσθησαν οι χαλκείς και οι μικρέμποροι.

Νεεμ. 3,33 - Καὶ ἐγένετο ἡνίκα ἤκουσε Σαναβαλλὰτ ὅτι ἡμεῖς οἰκοδομοῦμεν τὸ τεῖχος, καὶ πονηρὸν αὐτῷ ἐφάνη, καὶ ὠργίσθη ἐπὶ πολὺ καὶ ἐξεγέλα ἐπὶ τοῖς Ἰουδαίοις.

Νεεμ. 3,33 - Οταν ο Σαναβαλλάτ επληροφορήθη ότι ημείς ανοικοδομούμεν το τείχους του εφάνη αυτό πολύ κακόν, ωργίσθη πολύ και ενέπαιζεν ημάς τους Ιουδαίους.

Νεεμ. 3,34 - καὶ εἶπεν ἐνώπιον τῶν ἀδελφῶν αὐτοῦ· αὕτη ἡ δύναμις Σομόρων, ὅτι οἱ Ἰουδαῖοι οὗτοι οἰκοδομοῦσι τὴν ἑαυτῶν πόλιν; ἆρα θυσιάζουσιν; ἆρα δυνήσονται; καὶ σήμερον ἰάσονται τοὺς λίθους μετὰ τὸ χῶμα γενέσθαι γῆς καυθέντας;

Νεεμ. 3,34 - Ελεγε δε ενώπιον των αδελφών του, δηλαδή του στρατού της Σαμαρείας, ότί, “οι Ιουδαίοι αυτοί ανοικοδομούν την πόλιν των; Αρα

θέλουν να προσφερουν θυσίαν στον Θεόν των; Θα ημπορέσουν όμως να πράξουν κάτι τέτοιο; Θα αναζωογονήσουν τους λίθους, οι οποίοι έπειτα από την πυρκαϊάν έγιναν χώμα;”

Νεεμ. 3,35 - καὶ Τωβίας ὁ Ἀμμανίτης ἐχόμενα αὐτοῦ ἦλθε καὶ εἶπε πρὸς αὐτούς· μὴ θυσιάζουσιν ἢ φάγονται ἐπὶ τοῦ τόπου αὐτῶν; οὐχὶ ἀναβήσεται ἀλώπηξ καὶ καθελεῖ τὸ τεῖχος λίθων αὐτῶν;

Νεεμ. 3,35 - Ο Τωβίας ο Αμμανίτης, ο οποίος ήτο πλησίον του, ήλθε και είπε προς αυτόν και τους περί αυτόν· “μήπως θα ημπορέσουν να θυσιάσουν στο θυσιαστήριον ζώα και να φάγουν αυτά στον τόπον των; Είναι τόσον ασθενείς, ώστε μία και μόνη αλώπηξ είναι εις θέσιν να κρημνίση το τείχος των”. Ο Νεεμίας όταν επληροφορήθη αυτά κατέφυγεν εις προσευχήν και είπε προς τον Θεόν·

Νεεμ. 3,36 - ἄκουσον, ὁ Θεὸς ἡμῶν, ὅτι ἐγενήθημεν εἰς μυκτηρισμόν,

Νεεμ. 3,36 - “άκουσε συ ο Θεός ημών, την απειλήν αυτήν, διότι εγίναμεν περίγελως και χλευασμός αυτών.

Νεεμ. 3,37 - καὶ ἐπίστρεψον ὀνειδισμὸν αὐτῶν εἰς κεφαλὴν αὐτῶν καὶ δὸς αὐτοὺς εἰς μυκτηρισμὸν ἐν γῇ αἰχμαλωσίας καὶ μὴ καλύψῃς ἐπὶ ἀνομίαν.

Νεεμ. 3,37 - Στρέψε, Κυριε, τον περίγελών των εις την κεφαλήν των και παράδωσε αυτούς εις εμπαιγμόν, αιχμαλώτους εις την ξένην γην, μη τους συγχωρήσης αυτήν την παρανομίαν”.

ΝΕΕΜΙΑΣ 4

Νεεμ. 4,1 - Καὶ ἐγένετο ὡς ἤκουσε Σαναβαλλὰτ καὶ Τωβία καὶ οἱ Ἄραβες καὶ οἱ Ἀμμανῖται ὅτι ἀνέβη ἡ φυὴ τοῖς τείχεσιν Ἱερουσαλήμ, ὅτι ἤρξαντο αἱ διασφαγαὶ ἀναφράσσεσθαι, καὶ πονηρὸν αὐτοῖς ἐφάνη σφόδρα·

Νεεμ. 4,1 - Οταν επληροφορήθησαν ο Σαναβαλλάτ, ο Τωβίας, οι Αραβες και οι Αμμωνίται, ότι η επιδιόρθωσις και ανέγερσις των τειχών της Ιερουσαλήμ είχεν αρκετά προχωρήσει, και ότι αι ρωγμαί του τείχους είχαν φραγή, κατελήφθησαν υπό μανίας, διότι τους εφάνη το γεγονός αυτό πολύ κακόν και ανυπόφορον.

Νεεμ. 4,2 - καὶ συνήχθησαν πάντες ἐπὶ τὸ αὐτὸ ἐλθεῖν παρατάξασθαι ἐν Ἱερουσαλὴμ καὶ ποιῆσαι αὐτὴν ἀφανῆ.

Νεεμ. 4,2 - Συνησπίσθησαν, λοιπόν, όλοι και συνεκεντρώθησαν στο αυτό μέρος, δια να επέλθουν και αντιπαραταχθούν εναντίον της Ιερουσαλήμ με τον σκοπόν να την εξαφανίσουν εξ ολοκλήρου.

Νεεμ. 4,3 - καὶ προσηυξάμεθα πρὸς τὸν Θεὸν ἡμῶν καὶ ἐστήσαμεν προφύλακας ἐπ᾽ αὐτοὺς ἡμέρας καὶ νυκτὸς ἀπὸ προσώπου αὐτῶν.

Νεεμ. 4,3 - Τοτε ημείς προσηυχήθημεν προς τον Θεόν μας, συγχρόνως δε εγκατεστήσαμεν και φρουράν εναντίον αυτών ημέραν και νύκτα, δια να προφυλαχθώμεν από την επιδρομήν των.

Νεεμ. 4,4 - καὶ εἶπεν Ἰούδας· συνετρίβη ἡ ἰσχὺς τῶν ἐχθρῶν, καὶ ὁ χοῦς πολύς, καὶ ἡμεῖς οὐ δυνησόμεθα οἰκοδομεῖν ἐν τῷ τείχει.

Νεεμ. 4,4 - Οι Ιουδαίοι είπαν τότε. “Η δύναμις των εχθρών μας με τον συνασπισμόν των έγινε μεγάλη. Αφ' ετέρου τα ερείπια του τείχους είναι πολλά και δεν θα ημπορέσωμεν ημείς να συνεχίσωμεν το έργον της ανοικοδομήσεως στο τείχος”.

Νεεμ. 4,5 - καὶ εἶπαν οἱ θλίβοντες ἡμᾶς· οὐ γνώσονται καὶ οὐκ ὄψονται ἕως ὅτου ἔλθωμεν εἰς μέσον αὐτῶν καὶ φονεύσωμεν αὐτοὺς καὶ καταπαύσωμεν τὸ ἔργον.

Νεεμ. 4,5 - Οι εχθροί που μας καταστενοχωρούσαν είπαν μεταξύ των· “Δεν πρέπει να μάθουν τίποτε οι Ιουδαίοι. Δεν πρέπει να ίδουν κανένα από ημάς, μέχρις ότου να φθάσωμεν αιφνιδίως στο μέσον αυτών και τους φονεύσωμεν και έτσι σταματήσωμεν το έργον των”.

Νεεμ. 4,6 - καὶ ἐγένετο ὡς ἤλθοσαν οἱ Ἰουδαῖοι οἱ οἰκοῦντες ἐχόμενα αὐτῶν καὶ εἴποσαν ἡμῖν· ἀναβαίνουσιν ἐκ πάντων τῶν τόπων ἐφ᾿ ἡμᾶς.

Νεεμ. 4,6 - Τοτε οι Ιουδαίοι της υπαίθρου, οι οποίοι κατοικούσαν πλησίον στους εχθρούς ημών, ήλθαν και μας είπαν αυτά, ότι δηλαδή εκείνοι έρχονται εναντίον μας από όλα τα μέρη, δια να μας αιφνιδιάσουν.

Νεεμ. 4,7 - καὶ ἔστησα εἰς τὰ κατώτατα τοῦ τόπου κατόπισθεν τοῦ τείχους ἐν τοῖς σκεπεινοῖς καὶ ἔστησα τὸν λαὸν κατὰ δήμους μετὰ ῥομφαιῶν αὐτῶν, λόγχας αὐτῶν καὶ τόξα αὐτῶν.

Νεεμ. 4,7 - Αμέσως εγώ ετοποθέτησα εις τα κατώτερα μέρη, πίσω από το τείχος, εις μέρη σκεπασμένα και αθέατα, ανθρώπους κατά δήμους, οι οποίοι ήσαν ωπλισμένοι με μαχαίρας, λόγχας και τόξα.

Νεεμ. 4,8 - καὶ εἶδον καὶ ἀνέστην καὶ εἶπα πρὸς τοὺς ἐντίμους καὶ πρὸς τοὺς στρατηγοὺς καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ· μὴ φοβηθῆτε ἀπὸ προσώπου αὐτῶν· μνήσθητε τοῦ Θεοῦ ἡμῶν τοῦ μεγάλου καὶ φοβεροῦ καὶ παρατάξασθε περὶ τῶν ἀδελφῶν ὑμῶν, υἱῶν ὑμῶν, θυγατέρων ὑμῶν, γυναικῶν ὑμῶν καὶ οἴκων ὑμῶν.

Νεεμ. 4,8 - Επεθεώρησα έπειτα αυτούς, εσηκώθην δε και είπα στους αξιωματούχους άνδρας και στους στρατηγούς και στον υπόλοιπον λαόν· “Μη φοβηθήτε εμπρός από τους εχθρούς μας. Ενθυμηθήτε τον Θεόν μας, ο οποίος είναι, μεγάλος, τρομερός, και αντιπαραταχθήτε εναντίον των εχθρών μας υπέρ των αδελφών σας, υπέρ των υιών και.θυγατέρων σας, υπέρ των γυναικών σας και των οικιών σας”.

Νεεμ. 4,9 - καὶ ἐγένετο ἡνίκα ἤκουσαν οἱ ἐχθροὶ ἡμῶν ὅτι ἐγνώσθη ἡμῖν καὶ διεσκέδασεν ὁ Θεὸς τὴν βουλὴν αὐτῶν, καὶ ἐπεστρέψαμεν πάντες

ἡμεῖς εἰς τὸ τεῖχος, ἀνὴρ εἰς τὸ ἔργον αὐτοῦ.

Νεεμ. 4,9 - Οι εχθροί μας επληροφορήθησαν, ότι έγινεν εις ημάς γνωστή η επιβουλή των, όπως και ο τρόπος της επιθέσεώς των, και ο Θεός ενέπνευσεν εις αυτούς αποκαρδίωσιν και φόβον και διέλυσε την απόφασίν των. Και τότε ημείς επεστρέψαμεν όλοι εις τα τείχη, ο καθένας στο έργον του.

Νεεμ. 4,10 - καὶ ἐγένετο ἀπὸ τῆς ἡμέρας ἐκείνης ἥμισυ τῶν ἐκτετιναγμένων ἐποίουν τὸ ἔργον καὶ ἥμισυ αὐτῶν ἀντείχοντο, καὶ λόγχαι καὶ θυρεοὶ καὶ τόξα καὶ θώρακες καὶ οἱ ἄρχοντες ὀπίσω παντὸς οἴκου Ἰούδα

Νεεμ. 4,10 - Από την ημέραν δε εκείνην ενώ το ήμισυ των ανδρών ησχολείτο με την ανοικοδόμησιν των τειχών, το άλλο ήμισυ εκρατούσαν τας λόγχας, τας ασπίδας και τα τόξα και τους θώρακας έτοιμοι προς άμυναν. Οπισθεν δε και πλησίον αυτών ήσαν οι αρχηγοί της φυλής του Ιούδα.

Νεεμ. 4,11 - τῶν οἰκοδομούντων ἐν τῷ τείχει, καὶ οἱ αἴροντες ἐν τοῖς ἀρτῆρσιν ἐν ὅπλοις· ἐν μιᾷ χειρὶ ἐποίει αὐτοῦ τὸ ἔργον καὶ ἐν μιᾷ ἐκράτει τὴν βολίδα.

Νεεμ. 4,11 - Αλλά και μεταξύ εκείνων, οι οποίοι ανοικοδομούσαν τα τείχη, υπήρχον άνδρες, οι οποίοι έφεραν τα όπλα των κρεμασμένα στους ώμους των. Με το ένα χέρι ανοικοδομούσαν τα τείχη, με το άλλο δε χέρι εκρατούσαν το βέλος.

Νεεμ. 4,12 - καὶ οἱ οἰκοδόμοι ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐζωσμένος ἐπὶ τὴν ὀσφὺν αὐτοῦ καὶ ᾠκοδομοῦσαν καὶ ὁ σαλπίζων ἐν τῇ κερατίνῃ ἐχόμενα αὐτοῦ.

Νεεμ. 4,12 - Πολλοί δε από τους οικοδόμους έφεραν ο καθένας από αυτούς ζωσμένην γύρω από την μέσην του ρομφαίαν και συγχρόνως οικοδομούσαν. Πλησίον δε του Νεεμίου ευρίσκετο πάντοτε έτοιμος ο σαλπιγκτής με την κερατίνην σάλπιγγα.

Νεεμ. 4,13 - καὶ εἶπα πρὸς τοὺς ἐντίμους καὶ πρὸς τοὺς ἄρχοντας καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ· τὸ ἔργον πλατὺ καὶ πολύ, καὶ ἡμεῖς σκορπιζόμεθα ἐπὶ τοῦ τείχους μακρὰν ἀνὴρ ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ.

Νεεμ. 4,13 - Τοτε είπα προς τους αξιωματούχους, τους αρχηγούς και τους υπολοίπους άνδρας, του λαού· "Το έργον είναι μεγάλο. Εκτείνεται εις μεγάλην έκτασιν. Ημείς δε είμεθα διασκορπισμένοι επάνω στο τείχος, μακράν ο ενας από τον άλλον.

Νεεμ. 4,14 - ἐν τόπῳ, οὗ ἐὰν ἀκούσητε τὴν φωνὴν τῆς κερατίνης, ἐκεῖ συναχθήσεσθε πρὸς ἡμᾶς, καὶ ὁ Θεὸς ἡμῶν πολεμήσει περὶ ἡμῶν.

Νεεμ. 4,14 - Εις όποιο, λοιπόν, σημείον της περιοχής ακούσετε το σάλπισμα της κερατίνης σάλπιγγος, εκεί αμέσως θα συγκεντρωθήτε πλησίον μας, δια την απόκρουσιν των εχθρών, και ο Θεός θα πολεμήση υπέρ ημών".

Νεεμ. 4,15 - καὶ ἡμεῖς ποιοῦντες τὸ ἔργον, καὶ ἥμισυ αὐτῶν κρατοῦντες τὰς λόγχας ἀπὸ ἀναβάσεως τοῦ ὄρθρου ἕως ἐξόδου τῶν ἄστρων.

Νεεμ. 4,15 - Κατ' αυτόν τον τρόπον ημείς ειργαζόμεθα δια την ανοικοδόμησιν του τείχους. Το ήμισυ από ημάς εκρατούσε λόγχας έτοιμον δια πόλεμον από πολύ πρωϊ μέχρι το βράδυ που θα έβγαιναν τα άστρα.

Νεεμ. 4,16 - καὶ ἐν τῷ καιρῷ ἐκείνῳ εἶπα τῷ λαῷ· ἕκαστος μετὰ τοῦ νεανίσκου αὐτοῦ αὐλίσθητε ἐν μέσῳ Ἱερουσαλήμ, καὶ ἔστω ὑμῖν ἡ νὺξ προφυλακὴ καὶ ἡ ἡμέρα ἔργον.

Νεεμ. 4,16 - Κατά την εποχήν εκείνην είπα στον λαόν· "Ο καθένας από ημάς ας διανυκτερεύη με τον υπηρέτην του εντός της Ιερουσαλήμ, ώστε κατά την νύκτα να είναι φρουρός σας κατά δε την ημέραν ας επιδοθή στο έργον του".

Νεεμ. 4,17 - καὶ ἤμην ἐγὼ καὶ οἱ ἄνδρες τῆς προφυλακῆς ὀπίσω μου, καὶ οὐκ ἦν ἐξ ἡμῶν ἐκδιδυσκόμενος ἀνὴρ τά ἱμάτια αὐτοῦ.

Νεεμ. 4,17 - Εγώ και οι άνδρες της φρουράς, οι οποίοι ήσαν μαζή μου, ποτέ δεν εβγάλαμεν τα ενδύματά μας. Ευρισκόμεθα πάντοτε εις επιφυλακήν.

ΝΕΕΜΙΑΣ 5

Νεεμ. 5,1 - Καὶ ἡ κραυγὴ τοῦ λαοῦ καὶ γυναικῶν αὐτῶν μεγάλη πρὸς τοὺς ἀδελφοὺς αὐτῶν τοὺς Ἰουδαίους.

Νεεμ. 5,1 - Μεγάλη όμως κατακραυγή των ανδρών και των γυναικών ηγέρθη εναντίον μερικών εκ των αδελφών των των Ιουδαίων.

Νεεμ. 5,2 - καὶ ἦσάν τινες λέγοντες· ἐν υἱοῖς ἡμῶν καὶ ἐν θυγατράσιν ἡμῶν ἡμεῖς πολλοί· καὶ ληψόμεθα σῖτον καὶ φαγόμεθα καὶ ζησόμεθα.

Νεεμ. 5,2 - Μεταξύ αυτών ήσαν και μερικοί οι οποίοι έλεγαν· "Με τους υιούς και τας θυγατέρας μας ημείς είμεθα πολλοί εις εκάστην οικογένειαν. Εχομεν ανάγκην από ψωμί, δια να φάγωμεν και να ζήσωμεν".

Νεεμ. 5,3 - καὶ εἰσί τινες λέγοντες· ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν καὶ οἰκίαι ἡμῶν, ἡμεῖς διεγγυῶμεν, καὶ ληψόμεθα σῖτον καὶ φαγόμεθα.

Νεεμ. 5,3 - Υπήρξαν δε και μερικοί άλλοι οι οποίοι έλεγαν· "Είμεθα πρόθυμοι να υποθηκεύσωμεν τους αγρούς μας και τους αμπελώνας μας και τα σπίτια μας δια να λάβωμεν σίτον, να φάγωμεν και να ζήσωμεν".

Νεεμ. 5,4 - καὶ εἰσί τινες λέγοντες· ἐδανεισάμεθα ἀργύριον εἰς φόρους τοῦ βασιλέως, ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν καὶ οἰκίαι ἡμῶν·

Νεεμ. 5,4 - Και μερικοί έλεγαν· δια να καταβάλωμεν τον βασιλικόν φόρον εδανείσθημεν χρήματα με υποθήκην των αγρών μας, των αμπελώνων μας, των σπιτιών μας.

Νεεμ. 5,5 - καὶ νῦν ὡς σὰρξ ἀδελφῶν ἡμῶν σὰρξ ἡμῶν, ὡς υἱοὶ αὐτῶν υἱοὶ ἡμῶν. καὶ ἰδοὺ ἡμεῖς καταδυναστεύομεν τοὺς υἱοὺς ἡμῶν καὶ τὰς θυγατέρας ἡμῶν εἰς δούλους, καί εἰσιν ἀπὸ θυγατέρων ἡμῶν καταδυναστευόμεναι, καὶ οὐκ ἔστι δύναμις χειρῶν ἡμῶν, καὶ ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν τοῖς ἐντίμοις.

Νεεμ. 5,5 - Και τώρα έχομεν όλοι συγγένειαν αίματος μεταξύ μας. Η σαρξ των αδελφών μας, οι οποίοι σήμερον μας καταδυναστεύουν, είναι σαρξ ιδική μας· όπως επίσης τα παιδιά αυτών είναι και ιδικά μας παιδιά. Ιδού όμως ότι ημείς ένεκα των χρεών, που έχομεν συνάψει, παρεδώσαμεν εις αυτούς τα παιδιά μας δούλους και τας θυγατέρας μας ως δούλας. Δεν έχομεν δε την δύναμιν να τους απελευθερώσωμεν, διότι οι αγροί μας και τα αμπέλια μας ανήκουν στους πλουσίους δανειστάς μας”.

Νεεμ. 5,6 - καὶ ἐλυπήθην σφόδρα, καθὼς ἤκουσα τὴν κραυγὴν αὐτῶν καὶ τοὺς λόγους τούτους.

Νεεμ. 5,6 - Οταν ήκουσα την κραυγήν των και τους παραπονετικούς αυτούς λόγους των, ελυπήθην πάρα πολύ.

Νεεμ. 5,7 - καὶ ἐβουλεύσατο καρδία μου ἐπ᾿ ἐμέ, καὶ ἐμαχεσάμην πρὸς τοὺς ἐντίμους καὶ τοὺς ἄρχοντας καὶ εἶπα αὐτοῖς· ἀπαιτήσει ἀνὴρ τὸν ἀδελφὸν αὐτοῦ, ἃ ὑμεῖς ἀπαιτεῖτε. καὶ ἔδωκα ἐπ᾿ αὐτοὺς ἐκκλησίαν μεγάλην

Νεεμ. 5,7 - Αφού ενδομύχως ηρεύνησα και εμελέτησα το ζήτημά των, εφιλονείκησα και επετίμησα τους πλουσίους και τους ο έχοντας Ιουδαίους και είπα προς αυτούς· “σεις, λοιπόν, δανείζετε τους αδελφούς σας και απαιτείτε με σκληρότητα να σας πληρώνουν υπερόγκους τόκους;” Προς τακτοποίησιν δε του ζητήματος αυτού έκαμα μεγάλην συγκέντρωσιν από τους Ιουδαίους

Νεεμ. 5,8 - καὶ εἶπα αὐτοῖς· ἡμεῖς κεκτήμεθα τοὺς ἀδελφοὺς ἡμῶν τοὺς Ἰουδαίους τοὺς πωλουμένους τοῖς ἔθνεσιν ἐν ἑκουσίῳ ἡμῶν· καὶ ὑμεῖς πωλεῖτε τοὺς ἀδελφοὺς ὑμῶν καὶ παραδοθήσονται ἡμῖν; καὶ ἡσύχασαν καὶ οὐχ εὕροσαν λόγον.

Νεεμ. 5,8 - και είπα προς αυτούς· “Ημείς εξηγοράσαμεν και απελάβομεν ελευθέρους τους αδελφούς μας από τα έθνη, εις τα οποία είχον πωληθή και προσεφέραμεν ο καθένας το κατά δύναμιν δια την απελευθέρωσίν των. Και σεις τώρα πωλείτε τους αδελφούς σας, και αυτοί δια τα χρέη των θα παραδίδωνται ως δούλοι εις σας;” Οι Ιουδαίοι όταν ήκουσαν αυτά εσίγησον διότι δεν ευρήκαν λόγους να απαντήσουν.

Νεεμ. 5,9 - καὶ εἶπα· οὐκ ἀγαθὸς ὁ λόγος, ὃν ὑμεῖς ποιεῖτε· οὐχ οὕτως ἐν φόβῳ Θεοῦ ἡμῶν ἀπελεύσεσθε ἀπὸ ὀνειδισμοῦ τῶν ἐθνῶν τῶν ἐχθρῶν ἡμῶν.

Νεεμ. 5,9 - Εγώ προσέθεσα τότε· “Δεν είναι καθόλου καλή η πράξις αυτή, που σεις κάμνετε. Μαθετε ότι δεν υπάρχει άλλος τρόπος παρά μονάχα ο

φόβος του Θεού μας, δια να αποφύγετε τον χλευασμόν από τα ειδωλολατρικά έθνη και τους εχθρούς μας.

Νεεμ. 5,10 - καὶ οἱ ἀδελφοί μου καὶ οἱ γνωστοί μου καὶ ἐγὼ ἐθήκαμεν ἑαυτοῖς ἀργύριον καὶ σῖτον· ἐγκατελίπομεν δὴ τὴν ἀπαίτησιν ταύτην.

Νεεμ. 5,10 - Εγώ, οι αδελφοί μου, και οι γνωστοί μου εδώσαμεν δάνεια, χρήματα και σίτον στους αδελφούς μας. Παραιτούμεθα από κάθε απαίτησιν καταβολής του χρέους τούτου.

Νεεμ. 5,11 - ἐπιστρέψατε δὴ αὐτοῖς ὡς σήμερον ἀγροὺς αὐτῶν καὶ ἀμπελῶνας αὐτῶν καὶ ἐλαιῶνας αὐτῶν καὶ οἰκίας αὐτῶν· καὶ ἀπὸ τοῦ ἀργυρίου τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον ἐξενέγκατε αὐτοῖς.

Νεεμ. 5,11 - Αποδώσατε, λοιπόν, και σεις αμέσως τα χωράφια των, τα αμπέλια των, τα ληοστάσια των και τας οικίας των. Και από τα χρήματα, τιμήν του σίτου, του οίνου και του ελαίου, επιστρέψατε εις αυτούς ο,τι επήρατε ως τόκον”.

Νεεμ. 5,12 - καὶ εἶπαν· ἀποδώσομεν, καὶ παρ᾿ αὐτῶν οὐ ζητήσομεν, οὕτως ποιήσομεν καθὼς σὺ λέγεις· καὶ ἐκάλεσα τοὺς ἱερεῖς καὶ ὥρκισα αὐτοὺς ποιῆσαι ὡς τὸ ῥῆμα τοῦτο.

Νεεμ. 5,12 - Οι Ιουδαίοι απήντησαν· “Θα αποδώσωμεν όσα ελάβομεν από αυτούς και δεν θα ζητήσωμεν πλέον τίποτε από αυτά. Θα πράξωμεν, όπως συ μας λέγεις”. Εκάλεσα τότε τους ιερείς και τους ώρκισα να πράξουν σύμφωνα με την υπόσχεσιν αυτήν.

Νεεμ. 5,13 - καὶ τὴν ἀναβολήν μου ἐξετίναξα καὶ εἶπα· οὕτως ἐκτινάξαι ὁ Θεὸς πάντα ἄνδρα, ὃς οὐ στήσει τὸν λόγον τοῦτον, ἐκ τοῦ οἴκου αὐτοῦ καὶ ἐκ κόπου αὐτοῦ, καὶ ἔσται οὕτως ἐκτετιναγμένος καὶ κενός. καὶ εἶπε πᾶσα ἡ ἐκκλησία· ἀμήν, καὶ ᾔνεσαν τὸν Κύριον. καὶ ἐποίησεν ὁ λαὸς τὸ ῥῆμα τοῦτο.

Νεεμ. 5,13 - Ετίναξα τότε το επανωφόρι μου και είπα· “Ετσι κάθε άνδρα ο οποίος τυχόν θα παραβή την υπόσχεσίν του, έτσι ας τον εκτινάξη ο Θεός από το σπίτι του, από τον κόπον του και θα είναι έξω πεταμένος και άδειος”. Είπε δε ολόκληρος η συγκέντρωσις· Αμήν· και εδοξολόγησαν τον Κυριον και ο λαός έπραξε σύμφωνα με την υπόσχεσιν αυτήν.

Νεεμ. 5,14 - Ἀπὸ τῆς ἡμέρας, ἧς ἐνετείλατό μοι εἶναι εἰς ἄρχοντα αὐτῶν ἐν γῇ Ἰούδα, ἀπὸ ἔτους εἰκοστοῦ καὶ ἕως ἔτους τριακοστοῦ καὶ δευτέρου τῷ Ἀρθασασθὰ ἔτη δώδεκα, ἐγὼ καὶ οἱ ἀδελφοί μου βίαν αὐτῶν οὐκ ἔφαγον.

Νεεμ. 5,14 - Από της εποχής, κατά την οποίαν ο βασιλεύς μου ανέθεσε να είμαι άρχων των Ιουδαίων εις την χώραν των, δηλαδή από το εικοστόν έτος μέχρι το τριακοστόν δεύτερον έτος της βασιλείας του Αρταξέρξου, επί δώδεκα έτη, ούτε εγώ ούτε οι αδελφοί μου εφάγαμεν τροφήν προερχομένην από την εξουσίαν μας απέναντι των αδελφών μας.

Νεεμ. 5,15 - καὶ τὰς βίας τὰς πρώτας, ἃς πρὸ ἐμοῦ ἐβάρυναν ἐπ᾿ αὐτούς, καὶ ἐλάβοσαν παρ᾿ αὐτῶν ἐν ἄρτοις καὶ ἐν οἴνῳ ἔσχατον ἀργύριον, δίδραχμα τεσσαράκοντα, καὶ οἱ ἐκτετιναγμένοι αὐτῶν ἐξουσιάζονται ἐπὶ τὸν λαόν· κἀγὼ οὐκ ἐποίησα οὕτως ἀπὸ προσώπου φόβου Θεοῦ.

Νεεμ. 5,15 - Οι προηγούμενοι κυβερνήται ασκούσαν βίαν. Ελάμβαναν από αυτούς, ως ανταπόδοσιν, άρτους και οίνον, εκτός των τεσσαράκοντα αργυρών διδράχμων. Και αυτοί ακόμη οι υπηρέται των κατεδυνάστευαν τον λαόν. Εγώ όμως δεν έπραξα κατ' αυτόν τον τρόπον, διότι εφοβούμην τον Θεόν.

Νεεμ. 5,16 - καὶ ἐν ἔργῳ τοῦ τείχους τούτων οὐκ ἐκράτησα, ἀγρὸν οὐκ ἐκτησάμην, καὶ πάντες οἱ συνηγμένοι ἐκεῖ ἐπὶ τὸ ἔργον.

Νεεμ. 5,16 - Και στο έργον ακόμη της ανοικοδομήσεως των τειχών εγώ δεν απέσχον, αλλά έλαβον μέρος. Αγρούς δεν απέκτησα και όλοι οι ιδικοί μου άνθρωποι είχαν συγκεντρωθή εκεί στο έργον της ανοικοδομήσεως.

Νεεμ. 5,17 - καὶ οἱ Ἰουδαῖοι, ἑκατὸν καὶ πεντήκοντα ἄνδρες, καὶ ἐρχόμενοι πρὸς ἡμᾶς ἀπὸ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν ἐπὶ τράπεζάν μου.

Νεεμ. 5,17 - Επί πλέον εις εκατόν πεντήκοντα άνδρας Ιουδαίους, οι οποίοι ήρχοντο προς εμέ από τους εθνικούς λαούς που ήσαν γύρω μας, εγώ παρείχον πάντοτε φάγητον.

Νεεμ. 5,18 - καὶ ἦν γινόμενον εἰς ἡμέραν μίαν μόσχος εἷς καὶ πρόβατα ἓξ ἐκλεκτὰ καὶ χίμαρος ἐγίνοντό μοι καὶ ἀνὰ μέσον δέκα ἡμερῶν ἐν πᾶσιν οἶνος τῷ πλήθει· καὶ σὺν τούτοις ἄρτους τῆς βίας οὐκ ἐζήτησα, ὅτι βαρεῖα ἡ δουλεία ἐπὶ τὸν λαὸν τοῦτον.

Νεεμ. 5,18 - Καθε ημέραν δε παρέθετα προς φιλοξενίαν εις αυτούς ένα μόσχον, εξ εκλεκτά πρόβατα και ένα τράγον. Ανά δέκα δε ημέρας προσεφέρετο στο πλήθος οίνο άφθονος. Παρ' όλα δε αυτά δεν εζήτησα ως κυβερνήτης της χώρας να φάγω άρτον καταδυναστεύων με την εξουσίαν μου τον λαόν, διότι τα έργα ήσαν πολύ βαρειά δια τον λαόν αυτόν.

Νεεμ. 5,19 - μνήσθητί μου, ὁ Θεός, εἰς ἀγαθὸν πάντα ὅσα ἐποίησα τῷ λαῷ τούτῳ.

Νεεμ. 5,19 - Μνήσθητί μου, Κυριε ο Θεός, και απόδωσέ μου εις αγαθόν όλα όσα έκαμα δια τον λαόν τούτον.

ΝΕΕΜΙΑΣ 6

Νεεμ. 6,1 - Καὶ ἐγένετο καθὼς ἠκούσθη τῷ Σαναβαλλὰτ καὶ Τωβίᾳ καὶ τῷ Γησὰμ τῷ Ἀραβὶ καὶ τοῖς καταλοίποις ἐχθρῶν ἡμῶν ὅτι ᾠκοδόμησα τὸ

τεῖχος, καὶ οὐ κατελείφθη ἐν αὐτοῖς πνοή. ἕως τοῦ καιροῦ ἐκείνου θύρας οὐκ ἐπέστησα ἐν ταῖς πύλαις.

Νεεμ. 6,1 - Οταν επληροφορήθησαν ο Σαναβαλλάτ, ο Τωβιας, ο Γησάμ ο Αραψ, και οι υπόλοιποι εχθροί μας, ότι εγώ ανοικοδόμησα το τείχος, περιέπεσαν εις κατάπληξιν και στενοχωρίαν και τους εκόπη η αναπνοή. Μέχρι της εποχής εκείνη εγώ δεν είχα ακόμη τοποθετήσει τας θύρας εις τας πύλας του τείχους.

Νεεμ. 6,2 - καὶ ἀπέστειλε Σαναβαλλὰτ καὶ Γησὰμ πρός με λέγων· δεῦρο καὶ συναχθῶμεν ἐπὶ τὸ αὐτὸ ἐν ταῖς κώμαις ἐν πεδίῳ Ὠνώ· καὶ αὐτοὶ λογιζόμενοι ποιῆσαί μοι πονηρίαν.

Νεεμ. 6,2 - Ο Σοναβαλλάτ και ο Γησάμ απέστειλαν εις εμέ ανθρώπους των και μου είπαν· “Ελα να συναντηθώμεν εις μίαν από τα πόλεις της πεδιάδος Ωνώ”. Εκείνοι όμω είχαν δόλιον σκοπόν εναντίον μου.

Νεεμ. 6,3 - καὶ ἀπέστειλα ἐπ᾿ αὐτοὺς ἀγγέλους λέγων· ἔργον μέγα ἐγὼ ποιῶ καὶ οὐ δυνήσομαι καταβῆναι, μή ποτε καταπαύσῃ τὸ ἔργον· ὡς ἂν τελειώσω αὐτό, καταβήσομαι πρὸς ὑμᾶς.

Νεεμ. 6,3 - Εστειλα προς αυτούς ιδικούς μου αγγελιοφόρους και είπα· “Εγώ εκτελώ μέγα έργον και δεν είναι δυνατόν να κατεβώ εις την πεδιάδα, δια να μη διακοπή δια τη απουσίας μου το έργον. Οταν όμως φέρω αυτό εις πέρας, θα έλθω προς συνάντησίν σας”.

Νεεμ. 6,4 - καὶ ἀπέστειλαν πρός με ὡς τὸ ῥῆμα τοῦτο, καὶ ἀπέστειλα αὐτοῖς κατὰ ταῦτα.

Νεεμ. 6,4 - Εκείνοι επανέλαβον την ιδίαν πρότασιν και εγώ απήντησα προς αυτούς κατά τον ίδιον τρόπον.

Νεεμ. 6,5 - καὶ ἀπέστειλε πρός με Σαναβαλλὰτ τὸν παῖδα αὐτοῦ καὶ ἐπιστολὴν ἀνεῳγμένην ἐν χειρὶ αὐτοῦ.

Νεεμ. 6,5 - Ο Σαναβαλλάτ μου έστειλε μίαν επιστολήν ανοικτήν με ένα δούλον του, την οποίαν εκρατούσε στο χέρι του.

Νεεμ. 6,6 - καὶ ἦν γεγραμμένον ἐν αὐτῇ· «Ἐν ἔθνεσιν ἠκούσθη ὅτι σὺ καὶ οἱ Ἰουδαῖοι λογίζεσθε ἀποστατῆσαι, διὰ τοῦτο σὺ οἰκοδομεῖς τὸ τεῖχος, καὶ σὺ ἔσῃ αὐτοῖς εἰς βασιλέα·

Νεεμ. 6,6 - Εις την επιστολήν αυτήν ήσαν γραμμένα τα εξής· “Μεταξύ των λαών έχει διαδοθή ότι συ και οι άλλοι Ιουδαίοι σκέπτεσθε να αποστατήσετε από τον βασιλέα και δια τούτο συ ανοικοδομείς το τείχος, δια να γίνη εις αυτούς βασιλεύς.

Νεεμ. 6,7 - καὶ πρὸς τούτοις προφήτας ἔστησας σεαυτῷ, ἵνα καθίσῃς ἐν Ἱερουσαλὴμ εἰς βασιλέα ἐπὶ Ἰούδα· καὶ νῦν ἀπαγγελήσονται τῷ βασιλεῖ οἱ λόγοι οὗτοι· καὶ νῦν δεῦρο βουλευσώμεθα ἐπὶ τὸ αὐτό.

Νεεμ. 6,7 - Επί πλέον διεδόθη, ότι συ διώρισες προς εξυπηρέτησίν σου προφήτας, δια να προπαρασκευάσουν αυτοί τον λαόν και ενθρονισθής

βασιλεύς των Ιουδαίων εις την Ιερουσαλήμ. Τώρα θα αναφερθούν στον βασιλέα όλα αυτά τα πράγματα. Ελα λοιπόν εδώ δια να συσκεφθώμεν”.

Νεεμ. 6,8 - καὶ ἀπέστειλα πρὸς αὐτὸν λέγων· οὐκ ἐγενήθη ὡς οἱ λόγοι οὗτοι, ὡς σὺ λέγεις, ὅτι ἀπὸ καρδίας σου σὺ ψεύδῃ αὐτούς.

Νεεμ. 6,8 - Εγώ έστειλα τότε προς αυτόν άλλον αγγελιαφόρον και του είπα· “Τιποτε από όσα είπες δεν συνέβη. Αλλά συ ψεύδεσαι και πλάθεις εκ την πονηράν σου καρδίαν τας ψευδολογίας αυτάς.

Νεεμ. 6,9 - ὅτι πάντες φοβερίζουσιν ἡμᾶς λέγοντες· ἐκλυθήσονται αἱ χεῖρες αὐτῶν ἀπὸ τοῦ ἔργου τούτου, καὶ οὐ ποιηθήσεται· καὶ νῦν ἐκραταίωσα τὰς χεῖράς μου».

Νεεμ. 6,9 - Ολοι μας φοβερίζουν και θέλουν να μας τρομάξουν λέγοντες· Θα παραλύσουν τα χέρια των από το έργον των και δεν θα κατορθώσουν να το φέρουν εις πέρας. Εγώ όμως έδωκα θάρρος εις όλους δια το έργον αυτό, που επιτελείται, με τα χέρια μου”.

Νεεμ. 6,10 - Κἀγὼ εἰσῆλθον εἰς οἶκον Σεμεΐ υἱοῦ Δαλαΐα, υἱοῦ Μεταβεήλ -καὶ αὐτὸς συνεχόμενος- καὶ εἶπε· συναχθῶμεν εἰς οἶκον τοῦ Θεοῦ ἐν μέσῳ αὐτοῦ καὶ κλείσωμεν τὰς θύρας αὐτοῦ, ὅτι ἔρχονται νυκτὸς φονεῦσαί σε.

Νεεμ. 6,10 - Εγώ μετέβην στον οίκον του Σεμεΐ, υιού του Δαλαΐα, υιού του Μεταβεήλ- αυτός ήτο περιωρισμένος στον οίκον του- και μου είπε· “Ας μεταβώμεν στον ναόν του Θεού, ας εισέλθωμεν στο μέσον του ναού τούτου και ας κλείσωμεν τας θύρας του, διότι κατά το διάστημα της νυκτός μερικοί άνθρωποι θέλουν να σε φονεύσουν”.

Νεεμ. 6,11 - καὶ εἶπα· τίς ἐστιν ὁ ἀνήρ, ὃς εἰσελεύσεται εἰς τὸν οἶκον καὶ ζήσεται;

Νεεμ. 6,11 - Εγώ όμως είπα προς αυτόν· Ποιός είναι ο άνθρωπος εκείνος, ο οποίος θα εισελθη στον ναόν και θα ζήση;

Νεεμ. 6,12 - καὶ ἐπέγνων καὶ ἰδοὺ ὁ Θεὸς οὐκ ἀπέστειλεν αὐτόν, ὅτι ἡ προφητεία λόγος κατ᾽ ἐμοῦ, καὶ Τωβίας καὶ Σαναβαλλὰτ ἐμισθώσαντο

Νεεμ. 6,12 - Εκατάλαβα δε ότι δεν απέστειλεν ο Θεός αυτόν προς εμέ και ότι η προφητεία του αυτή είχε χαλκευθή εναντίον μου. Ο Τωβίας και ο Σαναδαλλάτ είχον δωροδοκήσει ανθρώπους

Νεεμ. 6,13 - ἐπ᾽ ἐμὲ ὄχλον, ὅπως φοβηθῶ καὶ ποιήσω οὕτως καὶ ἁμάρτω καὶ γένωμαι αὐτοῖς εἰς ὄνομα πονηρόν, ὅπως ὀνειδίσωσί με.

Νεεμ. 6,13 - από τον όχλον εναντίον μου, δια να φοβηθώ και ενεργήσω έτσι, ώστε να αμαρτήσω εισερχόμενος στον ναόν του Κυρίου, και να γίνη αυτό αφορμή εναντίον μου να δυσφημισθή το άνομά μου και να με ονειδίσουν οι άνθρωποι αυτοί.

Νεεμ. 6,14 - μνήσθητι, ὁ Θεός, Τωβίᾳ καὶ Σαναβαλλάτ, ὡς τὰ ποιήματα αὐτοῦ ταῦτα, καὶ τῷ Νωαδίᾳ τῷ προφήτῃ καὶ τοῖς καταλοίποις τῶν προφητῶν, οἳ ἦσαν φοβερίζοντές με.

Νεεμ. 6,14 - “Ενθυμήσου, Κυριε, και στείλε την πρέπουσαν τιμωρίαν στον Τωβίαν και στον Σαναβαλλάτ, σύμφωνα με τα πονηρά των έργα, και εναντίον του προφήτου Νωαδία και των άλλων προφητών, οι οποίοι με εφοβέρισαν κατ' αυτόν τον τρόπον”.

Νεεμ. 6,15 - Καὶ ἐτελέσθη τὸ τεῖχος πέμπτῃ καὶ εἰκάδι τοῦ Ἐλοὺλ μηνὸς εἰς πεντήκοντα καὶ δύο ἡμέρας.

Νεεμ. 6,15 - Το τείχος ωλοκληρώθη την 25ην του μηνός Ελούλ εις διάστημα πεντήκοντα δύο ημερών.

Νεεμ. 6,16 - καὶ ἐγένετο ἡνίκα ἤκουσαν πάντες οἱ ἐχθροὶ ἡμῶν, καὶ ἐφοβήθησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν, καὶ ἐπέπεσε φόβος σφόδρα ἐν ὀφθαλμοῖς αὐτῶν, καὶ ἔγνωσαν ὅτι παρὰ τοῦ Θεοῦ ἡμῶν ἐγενήθη τελειωθῆναι τὸ ἔργον τοῦτο.

Νεεμ. 6,16 - Οταν δε όλοι οι γύρω εχθροί μας ήκουσαν τούτο, εφοβήθησαν. Φοβος επέπεσεν εις όλους τους λαούς, οι οποίοι ήσαν γύρω μας, διότι είδον και εκατάλαβαν ότι με την βοήθειαν του Θεού απεπερατώθη το έργον τούτο.

Νεεμ. 6,17 - καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ἀπὸ πολλῶν ἐντίμων Ἰούδα ἐπιστολαὶ ἐπορεύοντο πρὸς Τωβίαν, καὶ αἱ Τωβία ἤρχοντο πρὸς αὐτούς,

Νεεμ. 6,17 - Κατά τας ημέρας εκείνας, εκ μέρους πολλών επισήμων Ιουδαίων, εστέλλοντο επιστολαί προς τον Τωβίαν και επιστολαί του Τωβία ήρχοντο προς αυτούς.

Νεεμ. 6,18 - ὅτι πολλοὶ ἐν Ἰούδᾳ ἔνορκοι ἦσαν αὐτῷ, ὅτι γαμβρὸς ἦν τοῦ Σεχενία υἱοῦ Ἠραέ, καὶ Ἰωνὰν υἱὸς αὐτοῦ ἔλαβε τὴν θυγατέρα Μεσουλὰμ υἱοῦ Βαραχία εἰς γυναῖκα.

Νεεμ. 6,18 - Εγίνετο δε αυτό, επειδή πολλοί από τους επισήμους Ιουδαίους είχον συνδεθή με όρκον προς τον Τωβίαν, διότι ο Τωβίας ήτο γαμβρός του Σεχενία, υιού του Ηραέ, και ο υιός του Ιωνάν είχε λάβει ως σύζυγον την θυγατέρα του Μεσουλάμ, υιού Βαραχία.

Νεεμ. 6,19 - καὶ τοὺς λόγους αὐτοῦ ἦσαν λέγοντες πρός με καὶ λόγους μου ἦσαν ἐκφέροντες αὐτῷ, καὶ ἐπιστολὰς ἀπέστειλε Τωβίας φοβερίσαι με.

Νεεμ. 6,19 - Τας προτάσεις, λοιπόν, και τους λόγους αυτούς τους ανέφεραν εις εμέ και τους ιδικούς μου λόγους εγνωστοποίησαν εις αυτόν. Ο Τωβίας απέστειλεν επιστολήν εις εμέ δια να με φοβερίση.

ΝΕΕΜΙΑΣ 7

Νεεμ. 7,1 - Καὶ ἐγένετο ἡνίκα ᾠκοδομήθη τὸ τεῖχος, καὶ ἔστησα τάς θύρας, καὶ ἐπεσκέπησαν οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες καὶ οἱ Λευῖται.

Νεεμ. 7,1 - Οταν ωλοκληρώθη η ανοικοδόμησις του τείχους και έστησα τας θύρας των πυλών, και είχον διορισθή οι θυρωροί και οι ψάλται και οι

Λευίται,

Νεεμ. 7,2 - καὶ ἐνετειλάμην τῷ Ἀνανίᾳ ἀδελφῷ μου καὶ τῷ Ἀνανίᾳ ἄρχοντι τῆς βιρὰ ἐν Ἱερουσαλήμ, ὅτι αὐτὸς ὡς ἀνὴρ ἀληθὴς καὶ φοβούμενος τὸν Θεὸν παρὰ πολλούς,

Νεεμ. 7,2 - έδωσα εντολήν στον αδελφόν μου τον Ανανίαν και στον Ανανίαν τον αρχηγόν της ακροπόλεως της Ιερουσαλήμ, διότι αυτός ήτο αξιόπιστος ανήρ και φοβούμενος τον Θεόν περισσότερον από πολλούς άλλους,

Νεεμ. 7,3 - καὶ εἶπα αὐτοῖς· οὐκ ἀνοιγήσονται πύλαι Ἱερουσαλὴμ ἕως ἅμα τῷ ἡλίῳ, καὶ ἔτι αὐτῶν γρηγορούντων κλειέσθωσαν αἱ θύραι καὶ σφηνούσθωσαν· καὶ στῆσον προφύλακας οἰκούντων ἐν Ἱερουσαλήμ, ἀνὴρ ἐν προφυλακῇ αὐτοῦ καὶ ἀνὴρ ἀπέναντι οἰκίας αὐτοῦ.

Νεεμ. 7,3 - και είπα προς αυτούς· "Δεν θα ανοίγωνται αι πύλαι του τείχους της Ιερουσαλήμ μέχρι της ανατολής του ηλίου. Κατά δε την εσπέραν, όταν ακόμη οι φύλακες θα φρουρούν αυτάς, αι θύραι θα κλείωνται και θα ασφαλίζωνται με σφήνας. Κατά την νύκτα θα τοποθετήτε φρουρούς, τους οποίους θα λαμβάνετε από τους κατοίκους της Ιερουσαλήμ. Ο καθένας από αυτούς θα έχη ωρισμένην θέσιν και μάλιστα απέναντι της οικίας του".

Νεεμ. 7,4 - Καὶ ἡ πόλις πλατεῖα καὶ μεγάλη, καὶ ὁ λαὸς ὀλίγος ἐν αὐτῇ, καὶ οὐκ ἦσαν οἰκίαι ᾠκοδομημέναι.

Νεεμ. 7,4 - Η πόλις Ιερουσαλήμ ήτο ευρεία και μεγάλη, αλλά ολίγος λαός υπήρχεν εις αυτήν. Δεν είχον δε ανοικοδομηθή και όλαι αι οικίιαι.

Νεεμ. 7,5 - καὶ ἔδωκεν ὁ Θεὸς εἰς τὴν καρδίαν μου καὶ συνῆξα τοὺς ἐντίμους καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν εἰς συνοδίας· καὶ εὗρον βιβλίον τῆς συνοδίας, οἳ ἀνέβησαν ἐν πρώτοις, καὶ εὗρον γεγραμμένον ἐν αὐτῷ.

Νεεμ. 7,5 - Τοτε ο Θεός με εφώτισε και συνεκέντρωσα τους επισήμους Ιουδαίους, τους αρχηγούς και τον υπόλοιπον λαόν, δια να τους απογράψω κατά τας γενεαλογίας των. Ευρήκα δε και βιβλίον, στο οποίον είχαν καταγραφή όλοι όσοι πρώτοι επανήλθαν από την αιχμαλωσίαν της Βαβυλώνος. Εις τον κατάλογον αυτόν ευρήκα γραμμένα·

Νεεμ. 7,6 - καὶ οὗτοι υἱοὶ τῆς χώρας οἱ ἀναβάντες ἀπὸ αἰχμαλωσίας τῆς ἀποικίας, ἧς ἀπῴκισε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ καὶ εἰς Ἰούδα ἀνὴρ εἰς τὴν πόλιν αὐτοῦ

Νεεμ. 7,6 - Αυτοί είναι οι Ιουδαίοι της Παλαιστίνης, οι οποίοι επανήλθαν από την αιχμαλωσίαν της Βαβυλώνας, όπου ο βασιλεύς της Βαβυλώνος Ναβουχοδονόσορ τους είχε μετοικήσει, και οι οποίοι επέστρεψαν ο καθένας εις την πόλιν του.

Νεεμ. 7,7 - μετὰ Ζοροβάβελ καὶ Ἰησοῦ καὶ Νεεμία Ἀζαρία καὶ Ῥεελμὰ Ναεμανί, Μαρδοχαῖος, Βαλσάν, Μασφαράθ, Ἔσδρα, Βογουΐα, Ἰναούμ, Βαανά, Μασφάρ, ἄνδρες λαοῦ Ἰσραήλ·

Νεεμ. 7,7 - Επανήλθον μαζή με τον Ζοροβάβελ, τον Ιησούν, τον Νεεμίαν, τον Αζαρίαν, τον Ρεελμά, Ναεμανί, τον Μαρδοχαίον, τον Βαλσάν, τον Μασφαράθ, τον Εσδραν, τον Βογουΐαν, τυν Ιανούμ, τον Βαανά και τον Μασφάρ. Οι άνδρες του λαού του Ισραήλ ήσαν·

Νεεμ. 7,8 - υἱοὶ Φόρος δισχίλιοι ἑκατὸν ἑβδομηκονταδύο·

Νεεμ. 7,8 - Οι απόγονοι του Φορος δύο χιλιάδες εκατόν εβδομήκοντα δύο.

Νεεμ. 7,9 - υἱοὶ Σαφατία τριακόσιοι ἑβδομηκονταδύο·

Νεεμ. 7,9 - Οι απόγονοι του Σαφατία τριακόσιοι εβδομήκοντα δύο.

Νεεμ. 7,10 - υἱοὶ Ἠρὰ ἑξακόσιοι πεντηκονταδύο·

Νεεμ. 7,10 - Οι απόγονοι του Ηράα εξακόσιοι πεντήκοντα δύο.

Νεεμ. 7,11 - υἱοὶ Φαὰθ Μωὰβ τοῖς υἱοῖς Ἰησοῦ καὶ Ἰωὰβ δισχίλιοι ἑξακόσιοι δεκαοκτώ·

Νεεμ. 7,11 - Οι απόγονοι του Φαάθ Μωάβ και οι απόγονοι του Ιησού και του Ιωάβ δύο χιλιάδες εξακόσιοι δέκα οκτώ.

Νεεμ. 7,12 - υἱοὶ Αἰλὰμ χίλιοι διακόσιοι πεντηκοντατέσσαρες·

Νεεμ. 7,12 - Οι απόγονοι του Αιλάμ χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες.

Νεεμ. 7,13 - υἱοὶ Ζαθουΐα ὀκτακόσιοι τεσσαρακονταπέντε·

Νεεμ. 7,13 - Οι απόγονοι του Ζαθουΐα οκτακόσιοι τεσσαράκοντα πέντε.

Νεεμ. 7,14 - υἱοὶ Ζακχοῦ ἑπτακόσιοι ἑξήκοντα·

Νεεμ. 7,14 - Οι απόγονοι του Ζακχού επτακόσιοι εξηκοντα.

Νεεμ. 7,15 - υἱοὶ Βανουΐ ἑξακόσιοι τεσσαρακονταοκτώ·

Νεεμ. 7,15 - Οι απόγονοι του Βανουί εξακόσιοι τεσσαράκοντα οκτώ.

Νεεμ. 7,16 - υἱοὶ Βηβὶ ἑξακόσιοι εἰκοσιοκτώ·

Νεεμ. 7,16 - Οι απόγονοι του Βηβί εξακόσιοι είκοσι οκτώ.

Νεεμ. 7,17 - υἱοὶ Ἀσγὰδ δισχίλιοι τριακόσιοι εἰκοσιδύο·

Νεεμ. 7,17 - Οι απόγονοι του Ασγάδ δύο χιλιάδες τριακόσιοι είκοσι δύο.

Νεεμ. 7,18 - υἱοὶ Ἀδωνικὰμ ἑξακόσιοι ἑξηκονταεπτά·

Νεεμ. 7,18 - Οι απόγονοι του Αδωνικάμ εξακόσιοι εξήκοντα επτά.

Νεεμ. 7,19 - υἱοὶ Βαγοΐ δισχίλιοι ἑξηκονταεπτά·

Νεεμ. 7,19 - Οι απόγονοι του Βαγοί δύο χιλιάδες εξήκοντα επτά.

Νεεμ. 7,20 - υἱοὶ Ἡδὶν ἑξακόσιοι πεντηκονταπέντε·

Νεεμ. 7,20 - Οι απόγονοι του Ηδίν εξακόσιοι πεντήκοντα πέντε.

Νεεμ. 7,21 - υἱοὶ Ἀτὴρ τῷ Ἐζεκίᾳ ἐνενηκονταοκτώ·

Νεεμ. 7,21 - Οι απόγονοι του Ατήρ, υιού του Εζεκίου, ενενήκοντα οκτώ.

Νεεμ. 7,22 - υἱοὶ Ἠσὰμ τριακόσιοι εἰκοσιοκτώ·

Νεεμ. 7,22 - Οι απόγονοι του Ησάμ τριακόσιοι είκοσι Οκτώ.

Νεεμ. 7,23 - υἱοὶ Βεσεΐ τριακόσιοι εἰκοσιτέσσαρες·

Νεεμ. 7,23 - Οι απόγονοι του Βεσεί τριακόσιοι είκοσι τέσσαρες.

Νεεμ. 7,24 - υἱοὶ Ἀρὶφ ἑκατὸν δώδεκα· υἱοὶ Ἀσὲν διακόσιοι εἰκοσιτρεῖς·

Νεεμ. 7,24 - Οι απόγονοι του Αρίφ εκατόν δώδεκα. Οι απόγονοι του Ασέν διακόσιοι είκοσι τρεις.

Νεεμ. 7,25 - υἱοὶ Γαβαὼν ἐνενηκονταπέντε·

Νεεμ. 7,25 - Οι απόγονοι του Γαβαών ενενήκοντα πέντε.

Νεεμ. 7,26 - υἱοὶ Βαιθαλὲμ ἑκατὸν εἰκοσιτρεῖς· υἱοὶ Ἀτωφὰ πεντηκονταέξ·

Νεεμ. 7,26 - Οι απόγονοι του Βαιθαλέμ εκατόν είκοσι τρεις. Οι απόγονοι του Ατωφά πεντήκοντα εξ.

Νεεμ. 7,27 - υἱοὶ Ἀναθὼθ ἑκατὸν εἰκοσιοκτώ·

Νεεμ. 7,27 - Οι κάτοικοι της Αναθώθ εκατόν είκοσι οκτώ.

Νεεμ. 7,28 - ἄνδρες Βηθασμὼθ τεσσαρακονταδύο·

Νεεμ. 7,28 - Οι κάτοικοι της Βηθασμώθ τεσσαράκοντα δύο.

Νεεμ. 7,29 - ἄνδρες Καριαθαρίμ, Καφιρὰ καὶ Βηρὼθ ἑπτακόσιοι τεσσαρακοντατρεῖς·

Νεεμ. 7,29 - Οι κάτοικοι της Καριαθαρίμ, της Καφιρά και της Βηρώθ επτακόσιοι τεσσαράκοντα τρεις.

Νεεμ. 7,30 - ἄνδρες Ἀραμὰ καὶ Γαβαὰ ἑξακόσιοι εἴκοσιν·

Νεεμ. 7,30 - Οι κάτοικοι της Αραμά και της Γαδαά εξακόσιοι είκοσι.

Νεεμ. 7,31 - ἄνδρες Μαχεμὰς ἑκατὸν εἰκοσιδύο·

Νεεμ. 7,31 - Οι κάτοικοι της Μαχεμάς εκατόν είκοσι δύο.

Νεεμ. 7,32 - ἄνδρες Βαιθὴλ καὶ Ἀΐ ἑκατὸν εἰκοσιτρεῖς·

Νεεμ. 7,32 - Οι κάτοικοι της Βαιθήλ και της Αΐ εκατόν είκοσι τρεις.

Νεεμ. 7,33 - ἄνδρες Ναβία ἑκατὸν πεντηκονταδύο·

Νεεμ. 7,33 - Οι κάτοικοι της Ναβία εκατόν πεντήκοντα δύο.

Νεεμ. 7,34 - ἄνδρες Ἠλαμαὰρ χίλιοι διακόσιοι πεντηκονταδύο·

Νεεμ. 7,34 - Οι κάτοικοι της Ηλαμαάρ χίλιοι διακόσιοι πεντήκοντα δύο.

Νεεμ. 7,35 - υἱοὶ Ἠρὰμ τριακόσιοι εἴκοσι·

Νεεμ. 7,35 - Οι κάτοικοι της Ηράμ τριακόσιοι είκοσι.

Νεεμ. 7,36 - υἱοὶ Ἰεριχὼ τριακόσιοι τεσσαρακονταπέντε·

Νεεμ. 7,36 - Οι κάτοικοι της Ιεριχώ τριακόσιοι τεσσαράκοντα πέντε.

Νεεμ. 7,37 - υἱοὶ Λοδαδὶδ καὶ Ὠνὼ ἑπτακόσιοι εἰκοσιεῖς·

Νεεμ. 7,37 - Οι κάτοικοι της Λοδαδίδ και Ωνώ επτακόσιοι είκοσι ένας.

Νεεμ. 7,38 - υἱοὶ Σανανὰ τρισχίλιοι ἐνακόσιοι τριάκοντα·

Νεεμ. 7,38 - Οι κάτοικοι της Σανανά τρεις χιλιάδες εννεακόσιοι τριάκοντα.

Νεεμ. 7,39 - οἱ ἱερεῖς, υἱοὶ Ἰωδαὲ εἰς οἶκον Ἰησοῦ ἐνακόσιοι ἑβδομηκοντατρεῖς·

Νεεμ. 7,39 - Από δε τους ιερείς ήσαν, από τους απογόνους του Ιωδαέ, της οικογενείας του Ιησού, ήσαν εννεακόσιοι εβδομήκοντα τρεις.

Νεεμ. 7,40 - υἱοὶ Ἐμμὴρ χίλιοι πεντηκονταδύο·

Νεεμ. 7,40 - Απόγονοι του Εμμήρ χίλιοι πεντήκοντα δύο.

Νεεμ. 7,41 - υἱοὶ Φασεοὺρ χίλιοι διακόσιοι τεσσαρακονταεπτά·
Νεεμ. 7,41 - Απόγονοι του Φασεούρ χίλιοι διακόσιοι τεσσαράκοντα επτά.
Νεεμ. 7,42 - υἱοὶ Ἠρὰμ χίλιοι δεκαεπτά·
Νεεμ. 7,42 - Απόγονοι του Ηράμ χίλιοι δέκα επτά.
Νεεμ. 7,43 - οἱ Λευῖται, υἱοὶ Ἰησοῦ τοῦ Καδμιὴλ τοῖς υἱοῖς τοῦ Οὐδουΐα ἑβδομηκοντατέσσαρες·
Νεεμ. 7,43 - Λευίται δε ήσαν οι απόγονοι του Ιησού και του Καδμιήλ, όπως και οι απόγονοι του Ουδουΐα εδδομήκοντα τέσσαρες.
Νεεμ. 7,44 - οἱ ᾄδοντες, υἱοὶ Ἀσὰφ ἑκατὸν τεσσαρακονταοκτώ·
Νεεμ. 7,44 - Από τους ψάλτας ήσαν οι απόγονοι του Ασάφ εκατόν τεσσαράκοντα οκτώ.
Νεεμ. 7,45 - οἱ πυλωροί, υἱοὶ Σαλούμ, υἱοὶ Ἀτήρ, υἱοὶ Τελμών, υἱοὶ Ἀκούβ, υἱοὶ Ἀτιτά, υἱοὶ Σαβί, ἑκατὸν τριακονταοκτώ·
Νεεμ. 7,45 - Από δε τους θυρωρούς ήσαν οι απόγονοι του Σαλούμ, του Ατήρ, του Τελμών, του Ακούβ, του Ατιτά, του Σαβί, εκατόν τριάκοντα οκτώ.
Νεεμ. 7,46 - οἱ ναθινίμ, υἱοὶ Σηά, υἱοὶ Ἀσφά, υἱοὶ Ταβαώθ,
Νεεμ. 7,46 - Από τους κατωτέρους υπηρέτας του ναού ήσαν οι απόγονοι του Σηα, οι απόγονοι του Ασφά, οι απόγονοι του Ταβαώθ,
Νεεμ. 7,47 - υἱοὶ Κιράς, υἱοὶ Ἀσουΐα, υἱοὶ Φαδών,
Νεεμ. 7,47 - οι απόγονοι του Κιράς, οι απόγονοι του Ασουΐα, οι απόγονοι του Φαδών,
Νεεμ. 7,48 - υἱοὶ Λαβανά, υἱοὶ Ἀγαβά, υἱοὶ Σελμεΐ,
Νεεμ. 7,48 - οι απόγονοι του Λαβανά, οι απόγονοι του Αγαβά, οι απόγονοι του Σελμεΐ.
Νεεμ. 7,49 - υἱοὶ Ἀνάν, υἱοὶ Γαδήλ, υἱοὶ Γαάρ,
Νεεμ. 7,49 - Οι απόγονοι του Ανάν, οι απόγονοι του Γαδήλ, οι απόγονοι του Γαάρ,
Νεεμ. 7,50 - υἱοὶ Ῥααΐα, υἱοὶ Ῥασσών, υἱοὶ Νεκωδά,
Νεεμ. 7,50 - Οι απόγονοι του Ρααΐα, οι απόγονοι του Ρασσών, οι απόγονοι του Νεκωδά,
Νεεμ. 7,51 - υἱοὶ Γηζάμ, υἱοὶ Ὀζί, υἱοὶ Φεσή,
Νεεμ. 7,51 - οι απόγονοι του Γηζάμ, οι απόγονοι του Οζί, οι απόγονοι του Φεσή.
Νεεμ. 7,52 - υἱοὶ Βησί, υἱοὶ Μεϊνών, υἱοὶ Νεφωσασί,
Νεεμ. 7,52 - Οι απόγονοι του Βησί, οι απόγονοι του Μεϊνών, οι απόγονοι του Νεφωσασί,
Νεεμ. 7,53 - υἱοὶ Βακβούκ, υἱοὶ Ἀχιφά, υἱοὶ Ἀρούρ,
Νεεμ. 7,53 - οι απόγονοι του Βακβούκ, οι απόγονοι του Αχιφά, οι απόγονοι του Αρούρ,
Νεεμ. 7,54 - υἱοὶ Βασαλώθ, υἱοὶ Μιδά, υἱοὶ Ἀδασάν,

Νεεμ. 7,54 - οι απόγονοι του Βασαλώθ, οι απόγονοι του Μιδά, οι απόγονοι του Αδασάν,

Νεεμ. 7,55 - υἱοὶ Βαρκουέ, υἱοὶ Σισαράθ, υἱοὶ Θημά,

Νεεμ. 7,55 - οι απόγονοι του Βαρκουέ, οι απόγονοι του Σισαράθ, οι απόγονοι του Θημά,

Νεεμ. 7,56 - υἱοὶ Νισιά, υἱοὶ Ἀτιφά,

Νεεμ. 7,56 - οι απόγονοι του Νισιά, οι απόγονοι του Ατιφά.

Νεεμ. 7,57 - υἱοὶ δούλων Σαλωμών, υἱοὶ Σουτεΐ, υἱοὶ Σαφαράτ, υἱοὶ Φεριδά,

Νεεμ. 7,57 - Από τους απογόνους των δούλων του Σολομώντος ήσαν οι απόγονοι του Σουτεΐ, οι απόγονοι του Σαφαράτ, οι απόγονοι του Φεριδά,

Νεεμ. 7,58 - υἱοὶ Ἰελήλ, υἱοὶ Δορκών, υἱοὶ Γαδαήλ,

Νεεμ. 7,58 - οι απόγονοι του Ιελήλ, οι απόγονοι του Δορκών, οι απόγονοι του Γαδαήλ,

Νεεμ. 7,59 - υἱοὶ Σαφατία, υἱοὶ Ἐττήλ, υἱοὶ Φακαράθ, υἱοὶ Σαβαΐμ, υἱοὶ Ἠμίμ·

Νεεμ. 7,59 - οι απόγονοι του Σαφατία, οι απόγονοι του Εττήλ, οι απόγονοι του Φακαράθ, οι απόγονοι του Σαβαΐμ, οι απόγονοι του Ημίμ.

Νεεμ. 7,60 - πάντες οἱ ναθινίμ, καὶ υἱοὶ δούλων Σαλωμών, τριακόσιοι ἐνενηκονταδύο.

Νεεμ. 7,60 - Ολοι οι κατώτεροι υπηρέται του ναού και οι απόγονοι των δούλων του Σολομώντος ήσαν τριακόσιοι ενενήκοντα δύο.

Νεεμ. 7,61 - καὶ οὗτοι ἀνέβησαν ἀπὸ Θελμελέθ, Θελαρησά, Χαρούβ, Ἠρών, Ἰεμὴρ καὶ οὐκ ἐδυνάσθησαν ἀπαγγεῖλαι οἴκους πατριῶν αὐτῶν καὶ σπέρμα αὐτῶν εἰ ἀπὸ Ἰσραήλ εἰσιν·

Νεεμ. 7,61 - Οι κατωτέρω αναφερόμενοι ήσαν εκείνοι, οι οποίοι επανήλθον εις την Ιερουσαλήμ από την Θελμελέθ, την Θελαρησά, την Χαρούβ, την Ηρών, την Ιεμήρ και οι οποίοι δεν ημπόρεσαν να καταστήσουν γνωστάς εις ημάς τας οικογενείας, εις τας οποίας ανήκον, και έτσι να αποδείξουν, εάν κατάγωνται πράγματι από τους Ισραηλίτας.

Νεεμ. 7,62 - υἱοὶ Δαλαία, υἱοὶ Τωβία, υἱοὶ Νεκωδά, ἑξακόσιοι τεσσαρακονταδύο·

Νεεμ. 7,62 - Ησαν οι απόγονοι του Δαλαία, οι απόγονοι του Τωβία, οι απόγονοι του Νεκωδά, εν όλω εξακόσιοι τεσσαράκοντα δύο.

Νεεμ. 7,63 - καὶ ἀπὸ τῶν ἱερέων υἱοὶ Ἐβία, υἱοὶ Ἀκώς, υἱοὶ Βερζελλί, ὅτι ἔλαβον ἀπὸ θυγατέρων Βερζελλὶ τοῦ Γαλααδίτου γυναῖκας καὶ ἐκλήθησαν ἐπ᾽ ὀνόματι αὐτῶν·

Νεεμ. 7,63 - Από δε τους ιερείς ήσαν, οι απόγονοι του Εβία, οι απόγονοι του Ακώς, οι απόγονοι του Βερζελλί, αυτοί ωνομάζοντο έτσι, διότι επήραν από τας θυγατέρας του Γαλααδίτου Βερζελλί συζύγους, δι' αυτό δε και έλαβον τα ονόματα εκείνων.

Νεεμ. 7,64 - οὗτοι ἐζήτησαν γραφὴν αὐτῶν τῆς συνοδίας, καὶ οὐχ εὑρέθη, καὶ ἠγχιστεύθησαν ἀπὸ τῆς ἱερατείας,

Νεεμ. 7,64 - Αυτοί ανεζήτησαν τους τίτλους των, δια να αποδείξουν την γενεαλογίαν των, αλλά δεν τους εύρον. Δια τούτο και απεκλείσθησαν από την ιερωσύνην.

Νεεμ. 7,65 - καὶ εἶπεν Ἀθερσασθά, ἵνα μὴ φάγωσιν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων, ἕως ἀναστῇ ἱερεὺς φωτίσων.

Νεεμ. 7,65 - Ο δε βασιλεύς Αρταξέρξης διέταξε να μη τρώγουν αυτοί από τας αγίας τροφάς του ναού, μέχρις ότου παρουσιασθή αρχιερεύς, ο οποίος φωτιζόμενος από τον Θεόν θα τακτοποιήση την υπόθεσίν των.

Νεεμ. 7,66 - καὶ ἐγένετο πᾶσα ἡ ἐκκλησία ὡσεὶ τέσσαρες μυριάδες δισχίλιοι τριακόσιοι ἑξήκοντα,

Νεεμ. 7,66 - Ολόκληρον δε αυτό το πλήθος των Ισραηλιτών ανήλθεν εις τεσσαράκοντα δύο χιλιάδας τριακοσίους εξήκοντα,

Νεεμ. 7,67 - πάρεξ δούλων αὐτῶν καὶ παιδισκῶν αὐτῶν, οὗτοι ἑπτακισχίλιοι τριακόσιοι τριακονταεπτά· καὶ ᾄδοντες καὶ ᾄδουσαι διακόσιοι τεσσαρακονταπέντε·

Νεεμ. 7,67 - εκτός από τους δούλους και από τας δούλας των, οι οποίοι ανήλθον στον αριθμόν των επτά χιλιάδων τριακοσίων τριάκοντα επτά. Οι ψάλται δε και αι ψάλτριαι ήσαν διακόσιοι τεσσαράκοντα πέντε.

Νεεμ. 7,69 - ὄνοι δισχίλιοι ἑπτακόσιοι.

Νεεμ. 7,69 - Οι όνοι των ήσαν δύο χιλιάδες επτακόσιοι.

Νεεμ. 7,70 - καὶ ἀπὸ μέρους ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς τὸ ἔργον τῷ Νεεμίᾳ εἰς θησαυρὸν χρυσοῦς χιλίους, φιάλας πεντήκοντα καὶ χωθωνὼθ τῶν ἱερέων τριάκοντα.

Νεεμ. 7,70 - Μερικοί δε από τους αρχηγούς των πατριών έδωκαν δια το έργον του Νεεμίου δώρα δια το θησαυροφυλάκιον, χιλίους χρυσούς (δαρεικούς), πεντήκοντα φιάλας και τριάκοντα ιερατικας στολάς.

Νεεμ. 7,71 - καὶ ἀπὸ ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς θησαυροὺς τοῦ ἔργου χρυσοῦ νομίσματος δύο μυριάδας καὶ ἀργυρίου μνᾶς δισχιλίας τριακοσίας, καὶ ἔδωκαν οἱ κατάλοιποι τοῦ λαοῦ χρυσίου δύο μυριάδας καὶ ἀργυρίου μνᾶς δισχιλίας διακοσίας καὶ χωθωνὼθ τῶν ἱερέων ἑξηκονταεπτά.

Νεεμ. 7,71 - Μερικοί δε άλλοι από τους αρχηγούς των οικογενειών έδωκαν στο θησαυροφυλάκιον του ναού, δια το έργον, είκοσι χιλιάδας χρυσά νομίσματα (δαρεικούς) και δύο χιλιάδας τριακοσίας αργυράς μνας. Οι υπόλοιποι από τον λαόν έδωκαν, είκοσι χιλιάδας χρυσούς δαρεικούς, δύο χιλιάδας διακοσίας αργυράς μνας και εξηκοντα επτά ιερατικάς στολάς.

Νεεμ. 7,72 - καί ἐκάθισαν οἱ ἱερεῖς καὶ Λευῖται καὶ οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες καὶ οἱ ἀπὸ τοῦ λαοῦ καὶ οἱ ναθινὶμ καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

Νεεμ. 7,72 - Οι ιερείς, οι Λευίται, οι θυρωροί, οι ψάλται, οι άνδρες του λαού, οι κατώτεροι υπηρέται του ναού και όλος ο ισραηλιτικός λαός εγκατεστάθησαν εις τας πόλεις των.

ΝΕΕΜΙΑΣ 8

Νεεμ. 8,1 - Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος -καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν- καὶ συνήχθησαν πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς τὸ πλάτος τὸ ἔμπροσθεν πύλης τοῦ ὕδατος. καὶ εἶπαν τῷ Ἔσδρᾳ τῷ γραμματεῖ ἐνέγκαι τὸ βιβλίον νόμου Μωυσῆ, ὃν ἐνετείλατο Κύριος τῷ Ἰσραήλ.

Νεεμ. 8,1 - Οταν έφθασεν ο έβδομος μην- οι δε Ισραηλίται είχαν εν τω μεταξύ εγκατασταθή εις τας πόλεις των-, συνεκεντρώθησαν όλοι οι Ισραηλίται, ως ένας άνθρωπος, στον ευρύν χώρον εμπρός από την πύλην, η οποία ελέγετο πύλη του ύδατος. Εκεί είπαν στον Εσδραν οι Ισραηλίται να ψέρη το βιβλίον του νόμου του Μωϋσέως, τον οποίον νόμον είχε διατάξει ο Κυριος στους Ισροηλίτας.

Νεεμ. 8,2 - καὶ ἤνεγκεν Ἔσδρας ὁ ἱερεὺς τὸν νόμον ἐνώπιον τῆς ἐκκλησίας ἀπὸ ἀνδρὸς ἕως γυναικὸς καὶ πᾶς ὁ συνίων ἀκούειν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου

Νεεμ. 8,2 - Ο ιερεύς Εσδρας, κατά την πρώτην ημέραν του εβδόμου μηνός, έφερε τον Νομον ενώπιον της συγκεντρώσεως, ενώπιον ανδρών και γυναικών και όλων εκείνων, που ήσαν εις θέσιν να ακούσουν και να εννοήσουν τον Νομον.

Νεεμ. 8,3 - καὶ ἀνέγνω ἐν αὐτῷ ἀπὸ τῆς ὥρας τοῦ διαφωτίσαι τὸν ἥλιον ἕως ἡμίσους τῆς ἡμέρας ἀπέναντι τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, καὶ αὐτοὶ συνιέντες, καὶ ὦτα παντὸς τοῦ λαοῦ εἰς τὸ βιβλίον τοῦ νόμου.

Νεεμ. 8,3 - Ανεγίνωσκε δε ο Εσδρας από τον Νομον, από την πρωΐαν όταν ανέτελλεν ο ήλιος μέχρι της μεσημβρίας, ώστε να ακούουν άνδρες και γυναίκες και όλοι εκείνοι, οι οποίοι ηδύναντο να τον εννοήσουν. Ολος δε ο λαός είχε ανοιγμένα τα αυτιά του, δια να ακούη με προσοχήν όλα όσα ήσαν γραμμένα στο βιβλίον του Νομου.

Νεεμ. 8,4 - καὶ ἔστη Ἔσδρας ὁ γραμματεὺς ἐπὶ βήματος ξυλίνου, καὶ ἔστησαν ἐχόμενα αὐτοῦ Ματταθίας καὶ Σαμαΐας καὶ Ἀνανίας καὶ Οὐρίας καὶ Χελκία καὶ Μαασία ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ ἀριστερῶν Φαδαΐας καὶ Μισαὴλ καὶ Μελχίας καὶ Ἀσὼμ καὶ Ἀσαβαδμὰ καὶ Ζαχαρίας καὶ Μεσολλάμ.

Νεεμ. 8,4 - Ο Εσδρας, ο γραμματεύς, εστεκετο όρθιος επάνω εις ένα ξύλινον βάθρον, πλησίον δε αυτού και εκ δεξιών του ίσταντο επίσης όρθιοι ο Ματταθίας, ο Σαμαΐας, ο Ανανίας, ο Ουρίας, ο Χελκίας και ο Μαασίας· εξ αριστερών του δε ίσταντο ο Φαδαΐας, ο Μισαήλ, ο Μελχίας, ο Ασώμ, ο Ασαδαδμά, ο Ζαχαρίας και ο Μεσολλάμ.

Νεεμ. 8,5 - καὶ ἤνοιξεν Ἔσδρας τὸ βιβλίον ἐνώπιον παντὸς τοῦ λαοῦ, ὅτι αὐτὸς ἦν ἐπάνω τοῦ λαοῦ -καὶ ἐγένετο ἡνίκα ἤνοιξεν αὐτό, ἔστη πᾶς ὁ λαός-

Νεεμ. 8,5 - Ο Εσδρας ήνοιξε το βιβλίον του Νομου ενώπιον παντός του λαού και, καθώς αυτός ίστατο υψηλοτερον, ο λαός έβλεπε- όταν δε ήνοιξε το βιβλίον εσηκώθη με ευλάβειαν όλος ο λαός και εστάθη όρθιος.

Νεεμ. 8,6 - καὶ ηὐλόγησεν Ἔσδρας Κύριον τὸν Θεὸν τὸν μέγαν, καὶ ἀπεκρίθη πᾶς ὁ λαὸς καὶ εἶπαν· ἀμήν, ἐπάραντες τὰς χεῖρας αὐτῶν, καὶ ἔκυψαν καὶ προσεκύνησαν τῷ Κυρίῳ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.

Νεεμ. 8,6 - Ο Εσδρας εδοξολόγησε Κυριον τον Θεόν τον μέγαν και όλοι οι Ισραηλίται απεκρίθησαν και είπαν αμήν! Υψωσαν τας χείρας των προς τον ουρανόν και κατόπιν έσκυψαν και προσεκύνησαν τον Κυριον με το πρόσωπον αυτών προς την γην.

Νεεμ. 8,7 - καὶ Ἰησοῦς καὶ Βαναΐας καὶ Σαραβίας ἦσαν συνετίζοντες τὸν λαὸν εἰς τὸν νόμον· καὶ ὁ λαὸς ἐν τῇ στάσει αὐτοῦ.

Νεεμ. 8,7 - Ο Ιησούς, ο Βαναΐας και ο Σαραβίας καθωδηγοσαν τον λαόν εις την κατανόησιν του Νομου. Ο λαός δε έμενεν όρθιος εις την ευλαβή στάσιν του.

Νεεμ. 8,8 - καὶ ἀνέγνωσαν ἐν βιβλίῳ νόμου τοῦ Θεοῦ, καὶ ἐδίδασκεν Ἔσδρας καὶ διέστελλεν ἐν ἐπιστήμῃ Κυρίου, καὶ συνῆκεν ὁ λαὸς ἐν τῇ ἀναγνώσει.

Νεεμ. 8,8 - Εκείνοι ανεγίνωσκον το βιβλίον του νόμου του Θεού, ο δε Εσδρας εδίδασκε και ανέλυε τα αναγινωσκόμενα, σύμφωνα με την σοφίαν, που του είχε δώσει ο Κυριος, και ο λαός εννοούσε τα αναγινωσκόμενα.

Νεεμ. 8,9 - καὶ εἶπε Νεεμίας καὶ Ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεὺς καὶ οἱ Λευῖται καὶ οἱ συνετίζοντες τὸν λαὸν καὶ εἶπαν παντὶ τῷ λαῷ· ἡμέρα ἁγία ἐστὶ τῷ Κυρίῳ Θεῷ ἡμῶν, μὴ πενθεῖτε μηδὲ κλαίετε· ὅτι ἔκλαιε πᾶς ὁ λαός, ὡς ἤκουσαν τοὺς λόγους τοῦ νόμου.

Νεεμ. 8,9 - Ο Νεεμίας και ο Εσδρας, ο ιερεύς και γραμματεύς, και οι άλλοι Λευίται, οι οποίοι εδίδασκαν σχετικως τον λαόν, είπαν εις όλον τον λαόν. “Η σημερινή ημέρα είναι αφιερωμένη εις Κυριον τον Θεόν μας. Μη πενθείτε και μη κλαίετε”. Είπαν δε αυτό, διότι όλος ο λαός έκλαιε, καθώς ήκουε τους λόγους του νόμου του Κυρίου.

Νεεμ. 8,10 - καὶ εἶπεν αὐτοῖς· πορεύεσθε φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα καὶ ἀποστείλατε μερίδας τοῖς μὴ ἔχουσιν· ὅτι ἁγία ἐστὶν ἡ ἡμέρα τῷ Κυρίῳ ἡμῶν· καὶ μὴ διαπέσητε, ὅτι ἐστὶ Κύριος ἰσχὺς ἡμῶν.

Νεεμ. 8,10 - Ο Νεεμίας είπε προς αυτούς· “Πηγαίνετε τώρα, φάγετε πλούσια φαγητά και πίετε γλυκά ποτά. Αλλά από αυτά αποστείλατε και μερίδας εις εκείνους, οι οποίοι δεν έχουν, διότι η ημέρα αυτή είναι

χαρμόσυνος, αφιερωμένη στον Κυριον μας. Μη αποκάμνετε, μη απογοητεύεσθε, διότι ο Κυριος είναι η δύναμίς μας”.

Νεεμ. 8,11 - καὶ οἱ Λευῖται κατεσιώπων πάντα τὸν λαὸν λέγοντες· σιωπᾶτε, ὅτι ἡμέρα ἁγία, καὶ μὴ καταπίπτετε.

Νεεμ. 8,11 - Οι Λευίται καθησύχασαν όλον τον λαόν λέγοντες· “Ησυχάσατε, ηρεμήσατε, διότι η ημέρα αυτή είναι αγία και χαρμόσυνος. Μη χάνετε το θάρρος σας”.

Νεεμ. 8,12 - καὶ ἀπῆλθε πᾶς ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀποστέλλειν μερίδας καὶ ποιῆσαι εὐφροσύνην μεγάλην, ὅτι συνῆκαν ἐν τοῖς λόγοις οἷς ἐγνώρισεν αὐτοῖς.

Νεεμ. 8,12 - Ολος ο ισραηλιτικός λαός απήλθε δια να φάγη και πίη και δια να στείλη μερίδας φαγητού εις εκείνους, οι οποίοι δεν είχαν. Ετσι δε εδοκίμασαν και απήλαυσαν μεγάλην χαράν και αγαλλίασιν, διότι είχαν εννοήσει τα λόγια του Νομου, τα οποία κατέστησεν εις αυτούς γνωστά ο Νεεμίας.

Νεεμ. 8,13 - Καὶ ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ συνήχθησαν οἱ ἄρχοντες τῶν πατριῶν σὺν τῷ παντὶ λαῷ, οἱ ἱερεῖς καὶ οἱ Λευῖται πρὸς Ἔσδραν τὸν γραμματέα ἐπιστῆσαι πρὸς πάντας τοὺς λόγους τοῦ νόμου.

Νεεμ. 8,13 - Κατά την δευτέραν ημέραν συνεκεντρώθησαν οι άρχοντες των οικογενειων μαζή με όλον τον λαόν, οι ιερείς και οι Λευίται, και προσηλθαν προς τον Εσδραν, τον γραμματέα, δια να διδαχθούν και γνωρίσουν καλύτερα όλας τας εντολάς του νόμου.

Νεεμ. 8,14 - καὶ εὕροσαν γεγραμμένον ἐν τῷ νόμῳ, ᾧ ἐνετείλατο Κύριος τῷ Μωυσῇ, ὅπως κατοικήσωσιν οἱ υἱοὶ Ἰσραὴλ ἐν σκηναῖς ἐν ἑορτῇ ἐν μηνὶ τῷ ἑβδόμῳ,

Νεεμ. 8,14 - Ευρήκαν δε γραμμένην στον Νομον τούτον, που ο Κυριος έδωσεν στον Μωϋσήν, και μίαν εντολήν, σύμφωνα προς την οποίαν έπρεπεν οι Ισραηλίται κατά την εορτήν της Σκηνοπηγίας, που ετελείτο κατά τον εβδομον μήνα, να κατοικούν εις σκηνάς.

Νεεμ. 8,15 - καὶ ὅπως σημάνωσι σάλπιγξιν ἐν πάσαις ταῖς πόλεσιν αὐτῶν καὶ ἐν Ἱερουσαλήμ. καὶ εἶπεν Ἔσδρας· ἐξέλθετε εἰς τὸ ὄρος, καὶ ἐνέγκατε φύλλα ἐλαίας καὶ φύλλα ξύλων κυπαρισσίνων καὶ φύλλα μυρσίνης καὶ φύλλα φοινίκων καὶ φύλλα ξύλου δασέος ποιῆσαι σκηνὰς κατὰ τὸ γεγραμμένον.

Νεεμ. 8,15 - Θα έπρεπε δε να εξαγγέλλεται η εορτή αυτή δια σαλπίγγων εις όλας τας πόλεις των και εις την Ιερουσαλήμ. Είπε τότε ο Εσδρας· “Εβγάτε στο όρος και φέρετε από εκεί κλάδους ελαίας, κλάδους κυπαρίσσων, κλάδους μυρσίνης, κλάδους φοινίκων και γενικώς κλάδους από πυκνόφυλλα δένδρα, δια να κατασκευάσετε με αυτούς σκηνάς, όπως είναι γραμμένο στον νόμον του Μωυσέως”.

Νεεμ. 8,16 - καὶ ἐξῆλθεν ὁ λαὸς καὶ ἤνεγκαν καὶ ἐποίησαν ἑαυτοῖς σκηνὰς ἀνὴρ ἐπὶ τοῦ δώματος αὐτοῦ καὶ ἐν ταῖς αὐλαῖς αὐτῶν καὶ ἐν ταῖς αὐλαῖς οἴκου τοῦ Θεοῦ καὶ ἐν πλατείαις τῆς πόλεως καὶ ἕως πύλης Ἐφραίμ.

Νεεμ. 8,16 - Ο λαός πράγματι εβγήκε και έφεραν κλάδους, με τους οποίους κατεσκεύασαν δια τον εαυτόν των σκηνάς. Ο καθένας επάνω στο δώμα της οικίας του, εις τας αυλάς των οικιών των, εις τας αυλάς του ναού του Θεού, εις τας πλατείας της πόλεως μέχρι της πύλης Εφραίμ.

Νεεμ. 8,17 - καὶ ἐποίησαν πᾶσα ἡ ἐκκλησία, οἱ ἐπιστρέψαντες ἀπὸ τῆς αἰχμαλωσίας, σκηνὰς καὶ ἐκάθισαν ἐν σκηναῖς· ὅτι οὐκ ἐποίησαν ἀπὸ ἡμερῶν Ἰησοῦ υἱοῦ Ναυῆ οὕτως οἱ υἱοὶ Ἰσραὴλ ἕως τῆς ἡμέρας ἐκείνης· καὶ ἐγένετο εὐφροσύνη μεγάλη.

Νεεμ. 8,17 - Ολοι οι Ισραηλται, που είχαν επιστρέψει από την αιχμαλωσίαν, κατεσκεύασαν σκηνάς, εις τας οποίας και εγκατεστάθησαν. Από την εποχήν δε Ιησού, υιού του Ναυή, μέχρι της ημέρας αυτής οι Ισραηλίται ουδέποτε άλλοτε είχαν εορτάσει έτσι την εορτήν της Σκηνοπηγίας. Επεκράτησε μεγάλη χαρά και αγαλλίασις μεταξύ όλων.

Νεεμ. 8,18 - καὶ ἀνέγνω ἐν βιβλίῳ νόμου τοῦ Θεοῦ ἡμέραν ἐν ἡμέρᾳ ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέρας τῆς ἐσχάτης· καὶ ἐποίησαν ἑορτὴν ἑπτὰ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον κατὰ τὸ κρίμα.

Νεεμ. 8,18 - Ανεγίνωσκον δε τον νόμον του Θεού κάθε ημέραν, από την πρώτην ημέραν της εορτής μέχρι και την τελευταίαν. Εώρτασαν την Σκηνοπηγίαν επί επτά ημέρας· κατά δε την ογδόην ημέραν έγινεν η επίσημος λήξις και απόλυσις, σύμφωνα με την διάταξιν του νόμου του Κυρίου.

ΝΕΕΜΙΑΣ 9

Νεεμ. 9,1 - Καὶ ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετάρτῃ τοῦ μηνὸς τούτου συνήχθησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν νηστείᾳ καὶ ἐν σάκκοις καὶ σποδῷ ἐπὶ κεφαλῆς αὐτῶν.

Νεεμ. 9,1 - Κατά την εικοστήν τετάρτην ημέραν του εβδόμου αυτού μηνός, οι Ισραηλίται συνεκεντρώθησαν, δια να νηστεύσουν· εφορούσαν σάκκους και είχαν ρίξει επάνω εις την κεφαλήν των στάκτην.

Νεεμ. 9,2 - καὶ ἐχωρίσθησαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου καὶ ἔστησαν καὶ ἐξηγόρευσαν τὰς ἁμαρτίας αὐτῶν καὶ τὰς ἀνομίας τῶν πατέρων αὐτῶν.

Νεεμ. 9,2 - Οι Ισραηλίται απεχωρίσθησαν από όλους τους άλλους ξένους λαούς και όρθιοι εξωμολογούντο τας ιδικάς των αμαρτίας, όπως και τας παρανομίας των προγόνων των.

Νεεμ. 9,3 - καὶ ἔστησαν ἐπὶ τῇ στάσει αὐτῶν καὶ ἀνέγνωσαν ἐν βιβλίῳ νόμου Κυρίου Θεοῦ αὐτῶν καὶ ἦσαν ἐξαγορεύοντες τῷ Κυρίῳ καὶ προσκυνοῦντες τῷ Κυρίῳ Θεῷ αὐτῶν.

Νεεμ. 9,3 - Ορθιοι δε εις τας θέσεις των, εδιάβαζαν το βιβλίον του νόμου Κυρίου του Θεού των, εξωμολογούντο τας αμαρτίας των προς τον Κυριον και επροσκυνούσαν Κυριον τον Θεόν των.

Νεεμ. 9,4 - καὶ ἔστη ἐπὶ ἀναβάσει τῶν Λευιτῶν Ἰησοῦς καὶ οἱ υἱοὶ Καδμιήλ, Σεχενία υἱὸς Σαραβία, υἱοὶ Χωνενὶ καὶ ἐβόησαν φωνῇ μεγάλῃ πρὸς Κύριον τὸν Θεὸν αὐτῶν.

Νεεμ. 9,4 - Ο Ιησούς, οι υιοί του Καδμιήλ, ο Σεχενίας, υιός του Σαραβία και οι υιοί του Χωνενί, ανήλθον εις την εξέδραν των Λευϊτών και με μεγάλην φωνήν εβόησαν προς Κυριον τον Θεόν των.

Νεεμ. 9,5 - καὶ εἴποσαν οἱ Λευῖται Ἰησοῦς καὶ Καδμιήλ· ἀνάστητε, εὐλογεῖτε Κύριον τὸν Θεὸν ἡμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος· καὶ εὐλογήσουσιν ὄνομα δόξης σου καὶ ὑψώσουσιν ἐπὶ πάσῃ εὐλογίᾳ καὶ αἰνέσει.

Νεεμ. 9,5 - Οι δε Λευίται, ο Ιησούς και ο Καδμιήλ ειπόν· “Σηκωθήτε και δοξολογείτε Κυριον τον Θεόν μας, ο οποίος ζη στους αιώνας των αιώνων. Ευλογητόν είναι και θα είναι το ένδοξον όνομά σου, Κυριε, και σε θα μεγαλύνουν πάντοτε με κάθε ύμνον και δοξολογίαν”.

Νεεμ. 9,6 - καὶ εἶπεν Ἔσδρας· σὺ εἶ αὐτὸς Κύριος μόνος, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ καὶ πᾶσαν τὴν στάσιν αὐτῶν, τὴν γῆν καὶ πάντα, ὅσα ἐστὶν ἐν αὐτῇ, τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐταῖς, καὶ σὺ ζωοποιεῖς τὰ πάντα, καὶ σοὶ προσκυνοῦσιν αἱ στρατιαὶ τῶν οὐρανῶν.

Νεεμ. 9,6 - Προσηυχήθη δε τότε μεγαλοφώνως ο Εσδρας και είπε· “Συ είσαι, Κυριε, ο μόνος αιώνιος και αναλλοίωτος Θεός. Συ εδημιούργησες τον ουρανόν και τον ουρανόν του ουρανού και όλον το πλήθος των αστέρων, την γην και όλα όσα υπάρχουν εις αυτήν· τας θαλάσσας και όλα όσα υπάρχουν εις αυτάς. Συ, ζωοποιείς τα πάντα και σε προσκυνούν αι στρατιαί των ουρανών.

Νεεμ. 9,7 - σὺ εἶ Κύριος ὁ Θεός· σὺ ἐξελέξω ἐν Ἅβραμ καὶ ἐξήγαγες αὐτὸν ἐκ τῆς χώρας τῶν Χαλδαίων καὶ ἐπέθηκας αὐτῷ ὄνομα Ἀβραάμ·

Νεεμ. 9,7 - Συ είσαι ο Κυριος και ο Θεός. Συ εξέλεξες τον Αβραμ και ωδήγησες αυτόν από την χώραν των Χαλδαίων και έδωσες εις αυτόν το όνομα Αβραάμ.

Νεεμ. 9,8 - καὶ εὗρες τὴν καρδίαν αὐτοῦ πιστὴν ἐνώπιόν σου καὶ διέθου πρὸς αὐτὸν διαθήκην δοῦναι αὐτῷ τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμοῤῥαίων καὶ Φερεζαίων καὶ Ἰεβουσαίων καὶ Γεργεσαίων καὶ τῷ σπέρματι αὐτοῦ· καὶ ἔστησας τοὺς λόγους σου, ὅτι δίκαιος σύ.

Νεεμ. 9,8 - Ευρήκες την καρδίαν του πιστήν και αφωσιωμένην εις σέ. Συνήψες με αυτόν διαθήκην και του έδωσες υπόσχεσιν να δώσης εις αυτόν και στους απογόνους του την χώραν των Χαναναίων, των Χετταίων, των Αμορραίων, των Φερεζαίων, των Ιεβουσαίων και των Γεργεσαίων. Και την υπόσχεσίν σου αυτήν την εξεπλήρωσες, διότι είσαι πάντοτε πιστός και δίκαιος στους λόγους σου.

Νεεμ. 9,9 - καὶ εἶδες τὴν ταπείνωσιν τῶν πατέρων ἡμῶν ἐν Αἰγύπτῳ καὶ τὴν κραυγὴν αὐτῶν ἤκουσας ἐπὶ θάλασσαν ἐρυθράν.

Νεεμ. 9,9 - Είδες τον εξευτελισμόν και τον πόνον των πατέρων μας εις την Αίγυπτον και ήκουσες την κραυγήν της οδύνης των, όταν ευρίσκοντο πλησίον της Ερυθράς Θαλάσσης.

Νεεμ. 9,10 - καὶ ἔδωκας σημεῖα καὶ τέρατα ἐν Αἰγύπτῳ ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς παισὶν αὐτοῦ καὶ ἐν παντὶ τῷ λαῷ τῆς γῆς αὐτοῦ, ὅτι ἔγνως ὅτι ὑπερηφάνησαν ἐπ᾽ αὐτούς, καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη.

Νεεμ. 9,10 - Εδωσες σημεία και τέρατα, έστειλες προς χάριν του λαού σου πληγάς εις την Αίγυπτον εναντίον του Φαραώ και όλων των δούλων του και όλου του λαού της χώρας του, διότι είδες ότι αυτοί εφέρθησαν με αλαζονείαν και σκληρότητα εναντίον των πατέρων μας. Και έτσι έκαμες ένδοξον το Ονομά σου, όπως και η σημερινή ημέρα μαρτυρεί.

Νεεμ. 9,11 - καὶ τὴν θάλασσαν ἔῤῥηξας ἐνώπιον αὐτῶν, καὶ παρήλθοσαν ἐν μέσῳ τῆς θαλάσσης ἐν ξηρασίᾳ, καὶ τοὺς καταδιώξοντας αὐτοὺς ἔῤῥιψας εἰς βυθὸν ὡσεὶ λίθον ἐν ὕδατι σφοδρῷ.

Νεεμ. 9,11 - Διέρρηξες την Ερυθράν Θαλασσαν ενώπιον των Ισραηλιτών και επέρασαν αυτοί εν μέσω της θαλάσσης ως επί ξηρού εδάφους. Εκείνους δέ, που τους κατεδίωξαν, έρριψες στον βυθόν της θαλάσσης, όπως ρίπτεται ένας λίθος εις βαθύ ύδωρ.

Νεεμ. 9,12 - καὶ ἐν στύλῳ νεφέλης ὡδήγησας αὐτοὺς ἡμέρας καὶ ἐν στύλῳ πυρὸς τὴν νύκτα τοῦ φωτίσαι αὐτοῖς τὴν ὁδόν, ἐν ᾗ πορεύσονται ἐν αὐτῇ.

Νεεμ. 9,12 - Ωδήγησες τους προγόνους μας την μεν ημέραν με στύλον νεφέλης, την δε νύκτα με πύρινον στύλον, δια να φωτίζη αυτός τον δρόμον, στον οποίον αυτοί θα εβάδιζαν.

Νεεμ. 9,13 - καὶ ἐπὶ ὄρος Σινὰ κατέβης καὶ ἐλάλησας πρὸς αὐτοὺς ἐξ οὐρανοῦ καὶ ἔδωκας αὐτοῖς κρίματα εὐθέα καὶ νόμους ἀληθείας, προστάγματα καὶ ἐντολὰς ἀγαθάς·

Νεεμ. 9,13 - Κατέβηκες στο όρος Σινά, ωμίλησες προς αυτούς από τον ουρανόν, έδωκες εις αυτούς δικαίας διαταγάς, αληθείς νόμους, ωφελίμους θεσμούς και εντολάς.

Νεεμ. 9,14 - καὶ τὸ σάββατόν σου τὸ ἅγιον ἐγνώρισας αὐτοῖς, ἐντολὰς καὶ προστάγματα καὶ νόμον ἐνετείλω αὐτοῖς ἐν χειρὶ Μωυσῆ δούλου σου.

Νεεμ. 9,14 - Κατέστησες εις αυτούς γνωστόν το άγιόν σου Σαββατον, τας δε εντολάς και τα προστάγματα του Νομου παρέδωσες εις αυτούς δια μέσου του δούλου σου του Μωϋσέως.

Νεεμ. 9,15 - καὶ ἄρτον ἐξ οὐρανοῦ ἔδωκας αὐτοῖς εἰς σιτοδοτίαν αὐτῶν καὶ ὕδωρ ἐκ πέτρας ἐξήνεγκας αὐτοῖς εἰς δίψαν αὐτῶν. καὶ εἶπας αὐτοῖς εἰσελθεῖν κληρονομῆσαι τὴν γῆν, ἐφ᾿ ἣν ἐξέτεινας τὴν χεῖρά σου δοῦναι αὐτοῖς.

Νεεμ. 9,15 - Αρτον από τον ουρανόν έδωκες εις αυτούς προς τροφήν και ύδωρ από τον βράχον ανέβλυσες προς χάριν αυτών, δια να καταπαύση την δίψαν των. Είπες δε εις αυτούς να εισέλθουν, δια να κατακτήσουν και κληρονομήσουν την γην, επάνω από την οποίαν είχες απλώσει συ το χέρι σου και ωρκίσθης να την δώσης εις αυτούς.

Νεεμ. 9,16 - καὶ αὐτοὶ καὶ οἱ πατέρες ἡμῶν ὑπερηφανεύσαντο καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν καὶ οὐκ ἤκουσαν τῶν ἐντολῶν σου·

Νεεμ. 9,16 - Αλλά αυτοί και οι πατέρες ημών αλαζονεύθησαν, εσκληρύνθησαν, δεν έσκυψαν την κεφαλήν των ενώπιόν σου και δεν επίστευσαν εις τας εντολάς σου.

Νεεμ. 9,17 - καὶ ἀνένευσαν τοῦ εἰσακοῦσαι καὶ οὐκ ἐμνήσθησαν τῶν θαυμασίων σου, ὧν ἐποίησας μετ᾿ αὐτῶν καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν καὶ ἔδωκαν ἀρχὴν ἐπιστρέψαι εἰς δουλείαν αὐτῶν ἐν Αἰγύπτῳ. καὶ σὺ ὁ Θεὸς ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος, καὶ οὐκ ἐγκατέλιπες αὐτούς.

Νεεμ. 9,17 - Ηρνήθησαν να σε υπακούσουν και δεν ενεθυμήθησαν τα θαύματα, τα οποία είχες κάμει προς χάριν αυτών. Εσκλήρυναν τον τράχηλόν των και ανεζήτησαν αρχηγόν, δια να επιστρέψουν πάλιν εις την δουλείαν των εις την Αίγυπτον. Αλλά είσαι Θεός ελεήμων και οικτίρμων, μακρόθυμος και πολυέλεος και δια τούτο δεν τους εγκατέλειψες.

Νεεμ. 9,18 - ἔτι δὲ καὶ ἐποίησαν ἑαυτοῖς μόσχον χωνευτὸν καὶ εἶπαν· οὗτοι οἱ θεοὶ οἱ ἐξαγαγόντες ἡμᾶς ἐξ Αἰγύπτου· καὶ ἐποίησαν παροργισμοὺς μεγάλους.

Νεεμ. 9,18 - Ακόμη δε αυτοί διέπραξαν και αυτήν την παρανομίαν· κατεσκεύασαν δια τον εαυτόν των μόσχον χυτόν και είπαν· Αυτοί είναι οι Θεοί, οι οποίοι μας έβγαλαν από την δουλείαν της Αιγύπτου. Με την ειδωλολατρικήν των δε αυτήν πράξιν επέσυραν εναντίον των την δικαίαν μεγάλην οργήν σου.

Νεεμ. 9,19 - καὶ σὺ ἐν οἰκτιρμοῖς σου τοῖς πολλοῖς οὐκ ἐγκατέλιπες αὐτοὺς ἐν τῇ ἐρήμῳ, τὸν στύλον τῆς νεφέλης οὐκ ἐξέκλινας ἀπ᾿ αὐτῶν

ἡμέρας ὁδηγῆσαι αὐτοὺς ἐν τῇ ὁδῷ καὶ τὸν στύλον τοῦ πυρὸς τὴν νύκτα, φωτίζειν αὐτοῖς τὴν ὁδόν, ἐν ᾗ πορεύσονται ἐν αὐτῇ.

Νεεμ. 9,19 - Και όμως συ, ο Θεός, με τους πολλούς οικτιρμούς δεν τους εγκατέλειψες εις την έρημον, δεν απεμάκρυνες από αυτούς τον στύλον της νεφέλης κατά την ημέραν, δια να τους οδηγή στον δρόμον των, ούτε τον πύρινον στύλον κατά την νύκτα, δια να τους φωτίζη στον δρόμον, που έπρεπε να βαδίζουν.

Νεεμ. 9,20 - καὶ τὸ πνεῦμά σου τὸ ἀγαθὸν ἔδωκας συνετίσαι αὐτοὺς καὶ τὸ μάννα σου οὐκ ἀφυστέρησας ἀπὸ στόματος αὐτῶν καὶ ὕδωρ ἔδωκας αὐτοῖς ἐν τῷ δίψει αὐτῶν.

Νεεμ. 9,20 - Εδωκες εις αυτούς το Πνεύμα σου το αγαθόν, δια να τους φέρη εις τα λογικά των και τους συνετίση. Το μάννα σου δεν το αφήρεσες από το στόμα των και ύδωρ έδωκες εις αυτούς στον καιρόν της δίψης των.

Νεεμ. 9,21 - καὶ τεσσαράκοντα ἔτη διέθρεψας αὐτοὺς ἐν τῇ ἐρήμῳ, οὐχ ὑστέρησας αὐτοῖς οὐδέν· ἱμάτια αὐτῶν οὐκ ἐπαλαιώθησαν, καὶ πόδες αὐτῶν οὐ διεῤῥάγησαν.

Νεεμ. 9,21 - Επί τεσσαράκοντα έτη τους έθρεψες εις την έρημον και δεν τους υστέρησες από τίποτε. Τα ενδύματά των δεν έλυωσαν και τα πόδια των δεν έσκασαν και δεν εγέμισαν πληγές.

Νεεμ. 9,22 - καὶ ἔδωκας αὐτοῖς βασιλείας καὶ λαοὺς ἐμέρισας αὐτοῖς, καὶ ἐκληρονόμησαν τὴν γῆν Σηὼν βασιλέως Ἐσεβὼν καὶ τὴν γῆν Ὢγ βασιλέως τοῦ Βασάν.

Νεεμ. 9,22 - Παρέδωκες εις αυτούς βασίλεια και λαούς διεμέρισες εις αυτούς. Εκληρονόμησαν την χώραν του Σηών, του βασιλέως της Εσεβών, και την χώραν του Ωγ, βασιλέως του Βασάν.

Νεεμ. 9,23 - καὶ τοὺς υἱοὺς αὐτῶν ἐπλήθυνας ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ εἰσήγαγες αὐτοὺς εἰς τὴν γῆν, ἣν εἶπας τοῖς πατράσιν αὐτῶν, καὶ ἐκληρονόμησαν αὐτήν.

Νεεμ. 9,23 - Τους απογόνους των επλήθυνες ωσάν τα αστέρια του ουρανού, εισήγαγες αυτούς εις την χώραν που είχες υποσχεθή στους προπάτοράς των, και την εκληρονόμησαν.

Νεεμ. 9,24 - καὶ ἐξέτριψας ἐνώπιον αὐτῶν τοὺς κατοικοῦντας τὴν γῆν τῶν Χαναναίων καὶ ἔδωκας αὐτοὺς εἰς τὰς χεῖρας αὐτῶν καὶ τοὺς βασιλεῖς αὐτῶν καὶ τοὺς λαοὺς τῆς γῆς ποιῆσαι αὐτοῖς ὡς ἀρεστὸν ἐνώπιον αὐτῶν.

Νεεμ. 9,24 - Συνέτριψες ενώπιόν των τους κατοίκους της Χαναάν και τους παρέδωκες υποχειρίους εις αυτούς, ούτως επίσης τους βασιλείς και τους λαούς της χώρας αυτής, δια να τους μεταχειρισθούν όπως ήθελαν.

Νεεμ. 9,25 - καὶ κατελάβοσαν πόλεις ὑψηλὰς καὶ ἐκληρονόμησαν οἰκίας πλήρεις πάντων ἀγαθῶν, λάκκους λελατομημένους, ἀμπελῶνας καὶ ἐλαιῶνας καὶ πᾶν ξύλον βρώσιμον εἰς πλῆθος· καὶ ἐφάγοσαν καὶ

ἐνεπλήσθησαν καὶ ἐλιπάνθησαν καὶ ἐτρύφησαν ἐν ἀγαθωσύνῃ σου τῇ μεγάλῃ.

Νεεμ. 9,25 - Εκυρίευσαν οχυράς πόλεις, εκληρονόμησαν οικίας γεμάτας από όλα τα αγαθά. Δεξαμενάς υδάτων ετοίμους, αμπελώνας, ελαιώνας και πλήθος άλλο από καρποφόρα δένδρα. Εφαγαν, εχορτάσθησαν, επαχύνθησαν, ετρύφησαν χάρις εις την ιδικήν σου μεγάλην καλωσύνην.

Νεεμ. 9 ,26 - καὶ ἤλλαξαν καὶ ἀπέστησαν ἀπὸ σοῦ καὶ ἔῤῥιψαν τὸν νόμον σου ὀπίσω σώματος αὐτῶν καὶ τοὺς προφήτας σου ἀπέκτειναν, οἳ διεμαρτύραντο ἐν αὐτοῖς ἐπιστρέψαι αὐτοὺς πρός σε, καὶ ἐποίησαν παροργισμοὺς μεγάλους.

Νεεμ. 9,26 - Και όμως αυτοί άλλαξαν στάσιν απέναντί σου, απεμακρύνθησαν από σέ, επέταξαν πίσω των τον Νομον σου και εφόνευσαν τους προφήτας σου, οι οποίοι διεμαρτύροντο εναντίον των και τους πρέτρεπαν να επιστρέψουν εν μετανοία προς σέ. Ετσι δε διέπραξαν μεγάλα αμαρτήματα, τα οποία εκίνησαν την μεγάλην δικαίαν οργήν σου.

Νεεμ. 9,27 - καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ θλιβόντων αὐτούς, καὶ ἔθλιψαν αὐτούς· καὶ ἀνεβόησαν πρός σε ἐν καιρῷ θλίψεως αὐτῶν, καὶ σὺ ἐξ οὐρανοῦ σου ἤκουσας καὶ ἐν οἰκτιρμοῖς σου τοῖς μεγάλοις ἔδωκας αὐτοῖς σωτῆρας καὶ ἔσωσας αὐτοὺς ἐκ χειρὸς θλιβόντων αὐτούς.

Νεεμ. 9,27 - Δια να συνετισθούν, παρέδωκες συ αυτούς υποχειρίους στους εχθρούς των, οι οποίοι και τους κατέθλιψαν. Εκείνοι δε κατά τον καιρόν της θλίψεώς των αυτής ανεβόησαν προς σε ζητούντες βοήθειαν. Και συ ήκουσες από τον ουρανύν την φωνήν των ένεκα των μεγάλων σου οικτιρμών, έστειλες εις αυτούς σωτήρας και τους απήλλαξες από την τυραννίαν των εχθρών των.

Νεεμ. 9,28 - καὶ ὡς ἀνεπαύσαντο, ἐπέστρεψαν ποιῆσαι τὸ πονηρὸν ἐνώπιόν σου· καὶ ἐγκατέλιπες αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ κατῆρξαν ἐν αὐτοῖς· καὶ πάλιν ἀνεβόησαν πρός σε, καὶ σὺ ἐξ οὐρανοῦ εἰσήκουσας καὶ ἐῤῥύσω αὐτοὺς ἐν οἰκτιρμοῖς σου πολλοῖς.

Νεεμ. 9,28 - Οταν όμως απηλλάγησαν και ανεπαύθησαν από τους εχθρούς των, εστράφησαν πάλιν να πράξουν ενώπιόν σου το πονηρόν. Συ τότε, δια λόγους δικαιοσύνης και παιδαγωγίας, τους εγκατέλιπες εις τα χέρια των εχθρών των, οι οποίοι τους κατεδούλωσαν πάλιν αλλά εκείνοι και πάλιν έκραξαν προς σε και συ από τον ουρανόν ηκουσες την κραυγήν των και τους έσωσες χάρις στους πολλούς οικτιρμούς σου.

Νεεμ. 9,29 - καὶ ἐπεμαρτύρω αὐτοῖς ἐπιστρέψαι αὐτοὺς εἰς τὸν νόμον σου, καὶ οὐκ ἤκουσαν, ἀλλ᾽ ἐν ταῖς ἐντολαῖς σου καὶ κρίμασί σου ἡμάρτοσαν, ἃ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς· καὶ ἔδωκαν νῶτον ἀπειθοῦντα καὶ τράχηλον αὐτῶν ἐσκλήρυναν καὶ οὐκ ἤκουσαν.

Νεεμ. 9,29 - Συ διεμαρτυρήθης προς αυτούς και τους προέτρεψες να επιστρέψουν πάλιν εις την τήρησιν του Νομου σου. Αλλά εκείνοι δεν υπήκουσαν. Ημάρτησαν πάλιν και παρέβησαν τας εντολάς σου και τας διαταγάς σου, τας οποίας, όταν σέβεται και τηρή ο άνθρωπος, ζη ασφαλής δι' αυτών. Εδείχθησαν απειθείς, σκληροτράχηλοι κα δεν υπήκουσαν εις τον Νομον σου.

Νεεμ. 9,30 - καὶ εἵλκυσας ἐπ᾿ αὐτοὺς ἔτη πολλὰ καὶ ἐπεμαρτύρω αὐτοῖς ἐν πνεύματί σου ἐν χειρὶ προφητῶν σου· καὶ οὐκ ἠνωτίσαντο, καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ λαῶν τῆς γῆς.

Νεεμ. 9,30 - Συ όμως εμακροθύμησες και τους εχάρισες έτη πολλά. Διεμαρτύρεσο εναντίον των εν τω Πνεύματί σου δια μέσου των προφητών σου. Αυτοί όμως δεν ήκουσαν Δια τούτο και παρέδωκες αυτούς υποχειρίους στους ειδωλολατρικούς λαούς της χώρας εκείνης.

Νεεμ. 9,31 - καὶ σὺ ἐν οἰκτιρμοῖς σου τοῖς πολλοῖς οὐκ ἐποίησας αὐτοὺς συντέλειαν καὶ οὐκ ἐγκατέλιπες αὐτούς, ὅτι ἰσχυρὸς εἶ καὶ ἐλεήμων καὶ οἰκτίρμων.

Νεεμ. 9,31 - Αλλά δια τους πολλούς σου οικτιρμούς δεν παρέδωσας αυτούς εις όλεθρον και δεν τους εγκατέλειψες, διότι είσαι παντοδύναμος, ελεήμων και οικτίρμων.

Νεεμ. 9,32 - καὶ νῦν, ὁ Θεὸς ἡμῶν ὁ ἰσχυρός, ὁ μέγας, ὁ κραταιὸς καὶ ὁ φοβερός, φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου, μὴ ὀλιγωθήτω ἐνώπιόν σου πᾶς ὁ μόχθος, ὃς εὗρεν ἡμᾶς καὶ τοὺς βασιλεῖς ἡμῶν καὶ τοὺς ἄρχοντας ἡμῶν καὶ τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς προφήτας ἡμῶν καὶ τοὺς πατέρας ἡμῶν καὶ ἐν παντὶ τῷ λαῷ σου ἀπὸ ἡμερῶν βασιλέων Ἀσσοὺρ καὶ ἕως τῆς ἡμέρας ταύτης.

Νεεμ. 9,32 - Και τώρα συ, ο Θεός ημών, ο παντοδύναμος, ο μέγας, ο κραταιός και φοβερός, ο οποίος τηρείς την υπόσχεσίν σου και παρέχστο έλεός σου, ας μη θεωρηθούν ενώπιόν σου μικραί και ασήμαντοι αι ταλαιπωρίαι και αι περιπέτειαι, αι οποίαι ευρήκαν ημάς και τους βασιλείς μας και τους άρχοντας μας και τους ιερείς μας και τους προφήτας μας και τους πατέρας μας και όλον τον λαόν, από της εποχής των βασιλέων της Ασσυρίας μέχρι και της ημέρας αυτής.

Νεεμ. 9,33 - καὶ σὺ δίκαιος ἐπὶ πᾶσι τοῖς ἐρχομένοις ἐφ᾿ ἡμᾶς, ὅτι ἀλήθειαν ἐποίησας, καὶ ἡμεῖς ἐξημάρτομεν,

Νεεμ. 9,33 - Συ, κατά λόγον δικαιοσύνης, επέτρεψας να πέσουν επάνω μας όλαι αυταί αι συμφοραί, που μας ευρήκαν, και ορθώς ενήργησες, διότι ημείς ημαρτήσαμεν.

Νεεμ. 9,34 - καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ ἄρχοντες ἡμῶν καὶ οἱ ἱερεῖς ἡμῶν καὶ οἱ πατέρες ἡμῶν οὐκ ἐποίησαν τὸν νόμον σου καὶ οὐ προσέσχον τῶν ἐντολῶν σου καὶ τὰ μαρτύριά σου, ἃ διεμαρτύρω αὐτοῖς.

Νεεμ. 9,34 - Οι βασιλείς μας και οι άρχοντές μας και οι ιερείς μας και οι πατέρες μας δεν ετήρησαν τον νόμον σου και δεν έδωσαν προσοχήν εις τας εντολάς σου, δια τας οποίας και ζωηρώς διεμαρτυρήθης εναντίον των.

Νεεμ. 9,35 - καὶ αὐτοὶ ἐν βασιλείᾳ σου καὶ ἐν ἀγαθωσύνῃ σου τῇ πολλῇ, ᾗ ἔδωκας αὐτοῖς, καὶ ἐν τῇ γῇ τῇ πλατείᾳ καὶ λιπαρᾷ, ᾗ ἔδωκας ἐνώπιον αὐτῶν, οὐκ ἐδούλευσάν σοι καὶ οὐκ ἀπέστρεψαν ἀπὸ ἐπιτηδευμάτων αὐτῶν τῶν πονηρῶν.

Νεεμ. 9,35 - Διότι αυτοί δεν σε υπηρέτησαν και δεν απεμακρύνθησαν από τας πονηράς των πράξεις και συνηθείας, μολονότι συ εχάρισες εις αυτούς την βασιλείαν, και έδειξες την άπειρόν σου καλωσύνην με το να χαρίσης εις αυτούς εκτεταμένην και πλουσίαν χώραν.

Νεεμ. 9,36 - ἰδοὺ σήμερόν ἐσμεν δοῦλοι, καὶ ἡ γῆ, ἣν ἔδωκας τοῖς πατράσιν ἡμῶν φαγεῖν τὸν καρπὸν αὐτῆς καὶ τὰ ἀγαθὰ αὐτῆς, ἰδού ἐσμεν δοῦλοι ἐπ᾿ αὐτῆς,

Νεεμ. 9,36 - Ιδού όμως ότι σήμερα είμεθα δούλοι. Είμεθα δούλοι επάνω ακριβώς εις την χώραν αυτήν, την οποίαν έδωσες στους προγόνους μας να τρώγουν τους καρπούς της και να απολαμβάνουν τα αγαθά της.

Νεεμ. 9,37 - καὶ οἱ καρποὶ αὐτῆς πολλοὶ τοῖς βασιλεῦσιν, οἷς ἔδωκας ἐφ᾿ ἡμᾶς ἐν ἁμαρτίαις ἡμῶν, καὶ ἐπὶ τὰ σώματα ἡμῶν ἐξουσιάζουσι καὶ ἐν κτήνεσιν ἡμῶν ὡς ἀρεστὸν αὐτοῖς, καὶ ἐν θλίψει μεγάλῃ ἐσμέν.

Νεεμ. 9,37 - Και ιδού σήμερον, ότι οι άφθονοι αυτής καρποί είναι υπό την εξουσίαν των βασιλέων, στους οποίους μας παρέδωσες εξ αιτίας των αμαρτιών μας και οι οποίοι εξουσιάζουν τα σώματά μας και τα ζώα μας, όπως αυτοί θέλουν. Ευρισκόμεθα σήμερον εις μεγάλην θλίψιν.

Νεεμ. 9,38 - καὶ ἐν πᾶσι τούτοις ἡμεῖς διατιθέμεθα πίστιν καὶ γράφομεν, καὶ ἐπισφραγίζουσιν ἄρχοντες ἡμῶν, Λευῖται ἡμῶν, ἱερεῖς ἡμῶν.

Νεεμ. 9,38 - Αλλά ιδού, ότι ημείς σήμερον ομολογούμεν και γράφομεν την ιεράν ημών πίστιν, την οποίαν επισφραγίζουν με την υπογραφήν των οι άρχοντές μας, οι Λευίται μας, οι ιερείς μας".

ΝΕΕΜΙΑΣ 10

Νεεμ. 10,1 - Καὶ ἐπὶ τῶν σφραγιζόντων Νεεμίας Ἀρτασασθὰ υἱὸς Ἀχαλία καὶ Σεδεκίας

Νεεμ. 10,1 - Εκείνοι δέ, οι οποίοι έθεσαν την υπογραφήν των και την σφραγίδα των, είναι οι εξής· Νεεμίας ο διοικητής, υιός του Αχαλία· ο Σεδεκίας,

Νεεμ. 10,2 - υἱὸς Ἀραία καὶ Ἀζαρία καὶ Ἱερμία,

Νεεμ. 10,2 - υιός του Αραία, ο Αζαρία, ο Ιερμία,

Νεεμ. 10,3 - Φασούρ, Ἀμαρία, Μελχία,

Νεεμ. 10,3 - ο Φασούρ ο Αμαρία, ο Μελχία,
Νεεμ. 10,4 - Ἀττούς, Σεβανί, Μαλούχ,
Νεεμ. 10,4 - ο Αττούς, ο Σεβανί, ο Μαλούχ,
Νεεμ. 10,5 - Ἰράμ, Μεραμώθ, Ἀβδία,
Νεεμ. 10,5 - ο Ιράμ, ο Μεραμώθ ο Αβδία,
Νεεμ. 10,6 - Δανιήλ, Γανναθών, Βαρούχ,
Νεεμ. 10,6 - ο Δανιήλ, ο Γανναθών, ο Βαρούχ,
Νεεμ. 10,7 - Μεσουλάμ, Ἀβία, Μιαμίν,
Νεεμ. 10,7 - ο Μεσουλάμ, ο Αβία, ο Μιαμίν,
Νεεμ. 10,8 - Μααζία, Βελγαΐ, Σαμαΐα, οὗτοι ἱερεῖς·
Νεεμ. 10,8 - ο Μααζία, ο Βελγαΐ, ο Σαμαΐα. Αυτοί ήσαν ιερείς.
Νεεμ. 10,9 - καὶ οἱ Λευῖται Ἰησοῦς υἱὸς Ἀζανία, Βαναίου ἀπὸ υἱῶν Ἠναδάδ, Καδμιὴλ
Νεεμ. 10,9 - Οι δε Λευίται που υπέγραψαν ήσαν, Ιησούς ο υιός του Αζανία, ο Βαναίου από τους υιούς του Ηναδάδ, ο Καδμιήλ
Νεεμ. 10,10 - καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Σαβανία, Ὠδουΐα, Καλιτάν, Φελία, Ἀνάν,
Νεεμ. 10,10 - και οι αδελφοί αυτού, ο Σαβανία, ο Ωδουΐα, ο Καλιτάν, ο Φελία, ο Ανάν,
Νεεμ. 10,11 - Μιχά, Ῥοώβ, Ἀσεβίας,
Νεεμ. 10,11 - ο Μιχά, ο Ροώβ, ο 'Ασεβιας,
Νεεμ. 10,12 - Ζακχώρ, Σαραβία, Σεβανία,
Νεεμ. 10,12 - Ζακχώρ, ο Σαραβία, ο Σεβανία,
Νεεμ. 10,13 - Ὠδούμ, υἱοὶ Βανουναΐ·
Νεεμ. 10,13 - ο Ωδούμ οι υιοί του Βανουναΐ.
Νεεμ. 10,14 - ἄρχοντες τοῦ λαοῦ Φόρος, Φαάθ, Μωάβ, Ἠλάμ, Ζαθουΐα, υἱοὶ Βανί,
Νεεμ. 10,14 - Από δε τους άρχοντας του λαού υπέγραψαν, ο Φορος, ο Φαάθ, ο Μωάβ, ο Ηλάμ, ο Ζαθουΐα, οι υιοί του Βανί,
Νεεμ. 10,15 - Ἀσγάδ, Βηβαΐ,
Νεεμ. 10,15 - ο Ασγάδ, ο Βηβαΐ,
Νεεμ. 10,16 - Ἀδανία, Βαγοΐ, Ἠδίν,
Νεεμ. 10,16 - ο Αδανία, ο Βαγοΐ, ο Ηδίν,
Νεεμ. 10,17 - Ἀτήρ, Ἐζεκία, Ἀζούρ,
Νεεμ. 10,17 - ο Ατήρ, ο Εζεκία, ο Αζούρ,
Νεεμ. 10,18 - Ὠδουΐα, Ἠσάμ, Βησί,
Νεεμ. 10,18 - ο Ωδουΐα, ο Ησάμ, ο Βησί,
Νεεμ. 10,19 - Ἀρίφ, Ἀναθώθ, Νωβαΐ,
Νεεμ. 10,19 - ο Αρίφ, ο Αναθώθ, ο Νωβαΐ,
Νεεμ. 10,20 - Μεγαφής, Μεσουλάμ, Ἠζίρ,

Νεεμ. 10,20 - ο Μεγαφής, ο Μεσουλλάμ, ο Ηζίρ,
Νεεμ. 10,21 - Μεσωζεβήλ, Σαδούκ, Ἰεδδούα,
Νεεμ. 10,21 - ο Μεσωζεβήλ, ο Σαδούκ, ο Ιεδδούα,
Νεεμ. 10,22 - Φαλτία, Ἀνάν, Ἀναΐα,
Νεεμ. 10,22 - ο Φαλτία, ο Ανάν, ο Αναΐα,
Νεεμ. 10,23 - Ὠσηέ, Ἀνανία, Ἀσούβ,
Νεεμ. 10,23 - ο Ωσηέ, ο 'Ανανια, ο 'Ασοϋβ,
Νεεμ. 10,24 - Ἀλωής, Φαλαΐ, Σωβήκ,
Νεεμ. 10,24 - ο Αλωής, ο Φαλαΐ, ο Σωβήκ,
Νεεμ. 10,25 - Ῥεούμ, Ἐσσαβανά, Μαασία,
Νεεμ. 10,25 - ο Ρεούμ, ο Εσσαβανα, ο Μαασία,
Νεεμ. 10,26 - καὶ Ἀΐα, Αἰνάν, Ἠνάμ,
Νεεμ. 10,26 - ο Αΐα, ο Αινάν, ο Ηνάμ,
Νεεμ. 10,27 - Μαλούχ, Ἠράμ, Βαανά.
Νεεμ. 10,27 - ο Μαλούχ, ο Ηράμ και ο Βασανά.

Νεεμ. 10,28 - καὶ οἱ κατάλοιποι τοῦ λαοῦ, οἱ ἱερεῖς, οἱ Λευῖται, οἱ πυλωροί, οἱ ᾄδοντες, οἱ ναθινὶμ καὶ πᾶς ὁ προσπορευόμενος ἀπὸ λαῶν τῆς γῆς πρὸς νόμον τοῦ Θεοῦ, γυναῖκες αὐτῶν, υἱοὶ αὐτῶν, θυγατέρες αὐτῶν, πᾶς ὁ εἰδὼς καὶ συνίων,

Νεεμ. 10,28 - Οι υπόλοιποι άνδρες εκ του λαού, οι ιερείς, οι Λευίται, οι θυρωροί, οι ψάλται, οι κατώτεροι υπηρέται του ναού και όλοι εκείνοι οι οποίοι απεμακρύνθησαν από τους ειδωλολατρικούς λαούς της χώρας, δια να ακολουθήσουν τον νόμον του Θεού, μαζή με τας γυναίκας, τους υιούς και τας θυγατέρας των και όλοι εκείνοι οι οποίοι ήσαν εις θέσιν να γνωρίζουν τον νόμον του Θεού και να κρίνουν τα πράγματα,

Νεεμ. 10,29 - ἐνίσχυον ἐπὶ τοὺς ἀδελφοὺς αὐτῶν καὶ κατηράσαντο αὐτοὺς καὶ εἰσήλθοσαν ἐν ἀρᾷ καὶ ἐν ὅρκῳ τοῦ πορεύεσθαι ἐν νόμῳ τοῦ Θεοῦ, ὃς ἐδόθη ἐν χειρὶ Μωυσῆ δούλου τοῦ Θεοῦ, φυλάσσεσθαι καὶ ποιεῖν πάσας τὰς ἐντολὰς Κυρίου καὶ τὰ κρίματα αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ

Νεεμ. 10,29 - συνεφώνησαν με τους προαναφερθέντας ομογενείς των και τους ενίσχυσαν. Με όρκον δε και κατάραν έδωσαν την υπόσχεσιν, ότι θα πορεύωνται του λοιπού σύμφωνα με τον νόμον του Θεού, που εδόθη δια του Μωϋσέως δούλου του Θεού. Ολοι αυτοί υπεσχέθησαν ότι θα φυλάσσουν και θα τηρούν όλας τας εντολάς του Κυρίου, τας αποφάσεις και τας διατάξεις αυτού.

Νεεμ. 10,30 - καὶ τοῦ μὴ δοῦναι θυγατέρας ἡμῶν τοῖς λαοῖς τῆς γῆς, καὶ τὰς θυγατέρας αὐτῶν οὐ ληψόμεθα τοῖς υἱοῖς ἡμῶν.

Νεεμ. 10,30 - “Ιδιαιτέρως δε υποσχόμεθα, είπαν, ότι δεν θα δώσωμεν τας θυγατέρας μας ως συζύγους στους ξένους λαούς της χώρας αυτής και ότι δεν θα πάρωμεν τας θυγατέρας εκείνων ως συζύγους δια τους υιούς μας.

Νεεμ. 10,31 - καὶ λαοὶ τῆς γῆς οἱ φέροντες τοὺς ἀγορασμοὺς καὶ πᾶσαν πρᾶσιν ἐν ἡμέρᾳ τοῦ σαββάτου ἀποδόσθαι, οὐκ ἀγορῶμεν παρ᾿ αὐτῶν ἐν σαββάτῳ καὶ ἐν ἡμέρᾳ ἁγίᾳ. καὶ ἀνήσομεν τὸ ἔτος τὸ ἕβδομον καὶ ἀπαίτησιν πάσης χειρός.

Νεεμ. 10,31 - Και ότι εάν οι ειδωλολατρικοί λαοί της χώρας εκείνης φέρουν κατά την ημέραν το Σαβάτου προς πώλησιν οιονδήποτε είδος η εμπόρευμα, ημείς δεν θα αγοράσωμεν από αυτούς κατά την ημέραν εκείνην του Σαββάτου, όπως και κατά τας ημέρας της κάθε εορτής μας. Κατά δε το έβδομον έτος θα αφήνομεν την γην να αναπαυθή και δεν θα απαιτήσωμεν την εξόφλησιν κανενός χρέους προς ημάς.

Νεεμ. 10,32 - καὶ στήσομεν ἐφ᾿ ἡμᾶς ἐντολὰς δοῦναι ἐφ᾿ ἡμᾶς τρίτον τοῦ διδράχμου κατ᾿ ἐνιαυτὸν εἰς δουλείαν οἴκου τοῦ Θεοῦ ἡμῶν

Νεεμ. 10,32 - Αναλαμβάνομεν επίσης την υποχρέωσιν να πληρώνωμεν κάθε έτος το εν τρίτον του διδράχμου δια τας υπηρεσίας του ναού του Θεού μας.

Νεεμ. 10,33 - εἰς ἄρτους τοῦ προσώπου καὶ θυσίαν τοῦ ἐνδελεχισμοῦ καὶ εἰς ὁλοκαύτωμα τοῦ ἐνδελεχισμοῦ τῶν σαββάτων, τῶν νουμηνιῶν, εἰς τὰς ἑορτὰς καὶ εἰς τὰ ἅγια, καὶ τὰ περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ Ἰσραήλ, καὶ εἰς ἔργα οἴκου τοῦ Θεοῦ ἡμῶν.

Νεεμ. 10,33 - Υποσχομεθα ότι θα καταβάλλωμεν ο,τι χρειάζεται δια τους άρτους της προθέσεως, δια την καθημερινήν αναίμακτον θυσίαν, δια την καθημερινήν αιματηράν θυσίαν των ολοκαυτωμάτων, δια τας θυσίας των Σαββάτων, όπως επίσης δια την θυσίαν της πρώτης εκάστου μηνός, δι' όλα τα άγια πράγματα τα αφιερωμένα στον ναόν, δια τας θυσίας περί αμαρτίας προς εξιλέωσιν του ισραηλιτικού λαού, όπως γενικώτερα και δι' όλα τα έργα του ναού του Θεού μας.

Νεεμ. 10,34 - καὶ κλήρους ἐβάλομεν περὶ κλήρου ξυλοφορίας, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ ὁ λαός, ἐνέγκαι εἰς οἶκον Θεοῦ ἡμῶν, εἰς οἶκον πατριῶν ἡμῶν, εἰς καιροὺς ἀπὸ χρόνων, ἐνιαυτὸν κατ᾿ ἐνιαυτόν, ἐκκαῦσαι ἐπὶ τὸ θυσιαστήριον Κυρίου Θεοῦ ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ,

Νεεμ. 10,34 - Επίσης ερρίψαμεν κλήρους, οι ιερείς, οι Λευίται και ο λαός, δια την προσφοράν των ξύλων, να φέρωμεν δηλαδή ξύλα στον ναόν του Θεού μας, δια το θυσιαστήριον των ολοκαυτωμάτων. Και να ορισθή έτσι κάθε οικογένεια από ημάς, εις ωρισμένους καιρούς από έτους εις έτος, δια να προμηθεύη ξύλα καύσιμα στο θυσιαστήριον των ολοκαυτωμάτων του Θεού μας, όπως γράφει και ο Νομος.

Νεεμ. 10,35 - καὶ ἐνέγκαι τὰ πρωτογεννήματα τῆς γῆς ἡμῶν καὶ πρωτογεννήματα καρποῦ παντὸς ξύλου ἐνιαυτὸν κατ᾿ ἐνιαυτὸν εἰς οἶκον Κυρίου

Νεεμ. 10,35 - Αναλαμβάνομεν επίσης την υποχρέωσιν να φέρωμεν τα πρωτόλεια, τους πρώτους καρπούς, από τους αγρούς μας και τους πρώτους

καρπούς από όλα τα καρποφόρα δένδρα μας κάθε έτος στον ναόν του Κυρίου.

Νεεμ. 10,36 - καὶ τὰ πρωτότοκα υἱῶν ἡμῶν καὶ κτηνῶν ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ, καὶ τὰ πρωτότοκα τῶν βοῶν ἡμῶν καὶ ποιμνίων ἡμῶν ἐνέγκαι εἰς οἶκον Θεοῦ ἡμῶν τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσιν ἐν οἴκῳ Θεοῦ ἡμῶν.

Νεεμ. 10,36 - Επίσης να προσφέρωμεν τα πρωτότοκα παιδιά μας και τα πρωτοτόκα από τα κτήνη μας, όπως είναι γραμμένον στον Νομον, όπως επίσης και τα πρωτότοκα από τα βόϊδια μας και από τα ποίμνιά μας στον ναόν του Θεού μας δια τους ιερείς, οι οποίοι υπηρετούν στον ναόν του Θεού μας.

Νεεμ. 10,37 - καὶ τὴν ἀπαρχὴν σίτων ἡμῶν καὶ τὸν καρπὸν παντὸς ξύλου, οἴνου καὶ ἐλαίου οἴσομεν τοῖς ἱερεῦσιν εἰς τὸ γαζοφυλάκιον οἴκου τοῦ Θεοῦ· καὶ δεκάτην γῆς ἡμῶν τοῖς Λευίταις. καὶ αὐτοὶ οἱ Λευῖται δεκατοῦντες ἐν πάσαις πόλεσι δουλείας ἡμῶν·

Νεεμ. 10,37 - Εδώσαμεν επίσης την υπόσχεσιν και ανελάβαμεν την υποχρέωσιν να φέρωμεν τας απαρχάς των σίτων μας, και τους καρπούς από κάθε δένδρον μας, οίνον και έλαιον δια τους ιερείς, εις τας αποθήκας του ναού του Θεού. Το δέκατον από τα προϊόντα των αγρών μας θα προσφέρωμεν δια τους Λευΐτας. Αυτοπροσώπως οι Λευίται θα λαμβάνουν από τας πόλεις μας το εν δέκατον εκ των γεωργικών μας προϊόντων.

Νεεμ. 10,38 - καὶ ἔσται ὁ ἱερεὺς υἱὸς Ἀαρὼν μετὰ τοῦ Λευίτου ἐν τῇ δεκάτῃ τοῦ Λευίτου, καὶ οἱ Λευῖται ἀνοίσουσι τὴν δεκάτην τῆς δεκάτης εἰς οἶκον Θεοῦ ἡμῶν εἰς τὰ γαζοφυλάκια εἰς οἶκον Θεοῦ·

Νεεμ. 10,38 - Ο ιερεύς, ο απόγονος του Ααρών, θα είναι μαζή με τον Λευίτην, όταν οι Λευίται θα λαμβάνουν τα δέκατα. Και οι Λευίται θα προσφέρουν το δέκατον από αυτά τα δέκατα δια τον ναόν του Θεού μας. Θα αποθέτουν δε αυτά εις τας αποθήκας, αι οποίαι ευρίσκονται στον ναόν του Θεού.

Νεεμ. 10,39 - ὅτι εἰς τοὺς θησαυροὺς εἰσοίσουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ τοῦ Λευὶ τὰς ἀπαρχὰς τοῦ σίτου καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου, καὶ ἐκεῖ σκεύη τὰ ἅγια, καὶ οἱ ἱερεῖς καὶ οἱ λειτουργοὶ καὶ οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες, καὶ οὐκ ἐγκαταλείψομεν τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν.

Νεεμ. 10,39 - Γενικώς οι Ισραηλίται και οι Λευίται θα μεταφέρουν εις ειδικούς προς τούτο χώρους του ναού τας απαρχάς του σίτου, του οίνου και του ελαίου. Εκεί δε υπάρχουν τα ιερά σκεύη και οι ιερείς οι οποίοι εκτελούν την υπηρεσίαν του ναού, οι θυρωροί και οι ψάλται. Διδομεν την υπόσχεσιν ότι δεν θα παραμελήσωμεν και δεν θα εγκατολείψωμεν τον ναόν του Θεού μας”.

ΝΕΕΜΙΑΣ 11

Νεεμ. 11,1 - Καὶ ἐκάθισαν οἱ ἄρχοντες τοῦ λαοῦ ἐν Ἱερουσαλήμ, καὶ οἱ κατάλοιποι τοῦ λαοῦ ἐβάλοσαν κλήρους ἐνέγκαι ἕνα ἀπὸ τῶν δέκα καθίσαι ἐν Ἱερουσαλὴμ πόλει τῇ ἁγίᾳ καὶ ἐννέα μέρη ἐν ταῖς πόλεσι.

Νεεμ. 11,1 - Οι αρχηγοί του λαού εγκατεστάθησαν εις την Ιερουσαλήμ. Οι υπόλοιποι όμως άνθρωποι του λαού έρριψαν κλήρους, δια να φέρουν ένα επί δέκα να κατοικήση εις την Ιερουσαλήμ, την ιεράν πόλιν, ενώ τα εννέα δέκατα θα παρέμεναν εις τας άλλας πόλεις.

Νεεμ. 11,2 - καὶ εὐλόγησεν ὁ λαὸς τοὺς πάντας ἄνδρας τοὺς ἑκουσιαζομένους καθίσαι ἐν Ἱερουσαλήμ·

Νεεμ. 11,2 - Ο λαός ευλόγησεν όλους εκείνους, οι οποίοι αυτοπροαιρέτως απεφάσισαν να εγκατασταθούν εις την Ιερουσαλήμ.

Νεεμ. 11,3 - καὶ οὗτοι οἱ ἄρχοντες τῆς χώρας, οἳ ἐκάθισαν ἐν Ἱερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα· ἐκάθισαν ἀνὴρ ἐν κατασχέσει αὐτοῦ, ἐν πόλεσιν αὐτῶν Ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ναθιναῖοι καὶ οἱ υἱοὶ δούλων Σαλωμών·

Νεεμ. 11,3 - Αυτοί δε είναι οι άρχοντες της περιοχής Ιουδαίας, οι οποίοι εγκατεστάθησαν εις την Ιερουσαλήμ και εις άλλας πόλεις της Ιουδαίας. Αλλοι εγκατεστάθησαν εις τας πόλεις της Ιουδαίας, ο καθένας εγκατεστάθη εις την ιδιοκτησίαν του, και εις την ιδικήν των πόλιν. Το ίδιο έπραξαν και οι ιερείς και οι Λευίται, οι κατώτεροι υπηρέται του ναού και οι απόγονοι των δούλων του Σολομώντος.

Νεεμ. 11,4 - καὶ ἐν Ἱερουσαλὴμ ἐκάθισαν ἀπὸ υἱῶν Ἰούδα καὶ ἀπὸ υἱῶν Βενιαμίν. ἀπὸ υἱῶν Ἰούδα· Ἀθαΐα υἱὸς Ἀζία, υἱὸς Ζαχαρία, υἱὸς Σαμαρία, υἱὸς Σαφατία, υἱὸς Μαλελεὴλ καὶ ἀπὸ τῶν υἱῶν Φαρές,

Νεεμ. 11,4 - Εις την Ιερουσαλήμ εγκατεστάθησαν οι καταγόμενοι από την φυλήν του Ιούδα και την φυλήν του Βενιαμίν. Από την φυλήν του Ιούδα ήσαν· ο Αθαΐα, ο υιός του Αζία, ο υιός του Ζαχαρία, ο υιός του Σαμαρία, ο υιός του Σαφατία, ο υιός του Μαλελεήλ, και από την φυλήν του Φαρές,

Νεεμ. 11,5 - καὶ Μαασία υἱὸς Βαρούχ, υἱὸς Χαλαζά, υἱὸς Ὀζία, υἱὸς Ἀδαΐα, υἱὸς Ἰωαρίβ, υἱὸς Ζαχαρίου, υἱὸς τοῦ Σηλωνί·

Νεεμ. 11,5 - ο Μαασίας, ο υιός του Βαρούχ, ο υιός του Χαλαζά, ο υιός του Οζία, ο υιός του Αδαΐα, ο υιός του Ιωαρίβ, ο υιός του Ζαχαρίου, ο υιός του Σηλωνί.

Νεεμ. 11,6 - πάντες υἱοὶ Φαρὲς οἱ καθήμενοι ἐν Ἱερουσαλὴμ τετρακόσιοι ἑξηκονταοκτὼ ἄνδρες δυνάμεως.

Νεεμ. 11,6 - Ολοι οι απόγονοι του Φαρές, οι οποίοι είχον εγκατασταθή εις την Ιερουσαλήμ ήσαν τετρακόσιοι εξήκοντα οκτώ άνδρες ισχυροί.

Νεεμ. 11,7 - καὶ οὗτοι υἱοὶ Βενιαμίν· Σηλὼ υἱὸς Μεσουλάμ, υἱὸς Ἰωάδ, υἱὸς Φαδαΐα, υἱὸς Κωλεΐα, υἱὸς Μαασίου, υἱὸς Ἐθιήλ, υἱὸς Ἰεσία,

Νεεμ. 11,7 - Από δε την φυλήν του Βενιαμίν οι εγκατασταθέντες εις την Ιερουσαλήμ ήσαν· ο Σηλώ, ο υιός του Μεσουλάμ, ο υιός του Ιωάδ, ο υιός του Φαδαΐα, ο υιός του Κωλεΐα, ο υιός το Μαασίου, ο υιός του Εθιήλ, ο υιός του Ιεσία,

Νεεμ. 11,8 - καὶ ὀπίσω αὐτοῦ Γηβέ, Σηλί, ἐννακόσιοι εἰκοσιοκτώ.

Νεεμ. 11,8 - και εν συνεχεία από αυτόν ο Γηβέ, ο Ιεσία, ο Σηλί, εν όλω άνδρες εννεακόσιοι είκοσι οκτώ.

Νεεμ. 11,9 - καὶ Ἰωὴλ υἱὸς Ζεχρὶ ἐπίσκοπος ἐπ᾿ αὐτούς, καὶ Ἰούδα υἱὸς Ἀσανὰ ἀπὸ τῆς πόλεως δεύτερος·

Νεεμ. 11,9 - Ο Ιωήλ, υιός του Ζεχρί ήτο αρχηγός εις αυτούς, ο Ιούδας ο υιός του Ασανά, ο υπαρχηγός της πόλεως.

Νεεμ. 11,10 - ἀπὸ τῶν ἱερέων· καὶ Ἰαδία υἱὸς Ἰωρίβ, Ἰαχίν,

Νεεμ. 11,10 - Από δε τους ιερείς ήσαν· ο Ιαδία υιός του Ιωρίβ, ο Ιαχίν,

Νεεμ. 11,11 - Σαραία υἱὸς Ἐλχία, υἱὸς Μεσουλάμ, υἱὸς Σαδδούκ, υἱὸς Μαριώθ, υἱὸς Αἰτὼθ ἀπέναντι οἴκου τοῦ Θεοῦ.

Νεεμ. 11,11 - ο Σαραία υιός του Ελχία, ο υιός του Μεσουλάμ, ο υιύς του Σαδδούκ, ο υιός του Μαριώθ, ο υιός του Αιτώθ, αυτός ο οποίος κατοικούσε απέναντι από τον ναόν του Θεού.

Νεεμ. 11,12 - καὶ ἀδελφοὶ αὐτῶν ποιοῦντες τὸ ἔργον τοῦ οἴκου ὀκτακόσιοι εἰκοσιδύο. καὶ Ἀδαΐα υἱὸς Ἱεροάμ, υἱοῦ Φαλαλία, υἱοῦ Ἀμασί, υἱὸς Ζαχαρία, υἱὸς Φασσούρ, υἱὸς Μελχία,

Νεεμ. 11,12 - Οι αδελφοί αυτών, οι οποίοι ησχολούντο με τα έργα εντός του ναού, ήσαν οκτακόσιοι είκοσι δύο. Ο Αδαΐα υιός του Ιεροάμ, υιού του Φαλαλία, υιού του 'Αμασι, ο υιός του Ζαχαρία, ο υιός του Φασσούρ, υιός του Μελχία,

Νεεμ. 11,13 - καὶ ἀδελφοὶ αὐτοῦ, ἄρχοντες πατριῶν διακόσιοι τεσσαρακονταδύο. καὶ Ἀμασία υἱὸς Ἐσδριήλ, υἱοῦ Μεσαριμίθ, υἱοῦ Ἐμμήρ,

Νεεμ. 11,13 - και οι αδελφοί αυτού οι αρχηγοί των οικογενειών ήσαν διακόσιοι τεσσαράκοντα δύο. Ο Αμασία ο υιός του Εσδριήλ, υιού του Μεσαριμίθ, υιού του Εμμήρ,

Νεεμ. 11,14 - καὶ ἀδελφοὶ αὐτοῦ δυνατοὶ παρατάξεως ἑκατὸν εἰκοσιοκτώ· καὶ ἐπίσκοπος Βαδιὴλ υἱὸς τῶν μεγάλων.

Νεεμ. 11,14 - και οι αδελφοί αυτού, άνδρες ικανοί δια τον πόλεμον, ήσαν εν όλω εκατόν είκοσι οκτώ. Ο Βαδιήλ, γόνος μεγάλων ανδρών, ήτο αρχηγός των.

Νεεμ. 11,15 - καὶ ἀπὸ τῶν Λευιτῶν Σαμαΐα υἱὸς Ἐσρικάμ,

Νεεμ. 11,15 - Από δε τους Λευίτας ήσαν ο Σαμαΐα ο υιός του Εσρικάμ,

Νεεμ. 11,17 - Ματθανίας υἱὸς Μιχὰ καὶ Ἰωβὴβ υἱὸς Σαμουΐ,

Νεεμ. 11,17 - ο Ματθανίας ο υιός του Μιχά και ο Ιωβήδ υιός του Σαμουΐ,
Νεεμ. 11,18 - διακόσιοι ὀγδοηκοντατέσσαρες.
Νεεμ. 11,18 - εν όλω διακόσιοι ογδοήκοντα τέσσαρες.
Νεεμ. 11,19 - καὶ οἱ πυλωροὶ Ἀκούβ, Τελαμίν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, ἑκατὸν ἑβδομηκονταδύο.
Νεεμ. 11,19 - Από τους θυρωρούς ήσαν ο Ακούβ, ο Τελαμίν και οι συγγενείς αυτών εν όλω εκατόν εβδομήκοντα δύο.
Νεεμ. 11,22 - καὶ ἐπίσκοπος Λευιτῶν υἱὸς Βανί, υἱὸς Ὀζί, υἱὸς Ἀσαβία, υἱὸς Μιχά. ἀπὸ υἱῶν Ἀσὰφ τῶν ᾀδόντων ἀπέναντι ἔργου οἴκου τοῦ Θεοῦ·
Νεεμ. 11,22 - Αρχηγός των Λευϊτών ήτο ο υιός του Βανί, υιού του Οζί υιού του Ασαβία, υιού του Μιχά. Από τους απογόνους του Ασάφ, τους ψάλτας, στο έργον του ναού του Θεού.
Νεεμ. 11,23 - ὅτι ἐντολὴ τοῦ βασιλέως εἰς αὐτούς.
Νεεμ. 11,23 - Δι' αυτούς υπήρχε μάλιστα ειδική εντολή του βασιλέως.
Νεεμ. 11,24 - καὶ Φαθαΐα υἱὸς Βασηζὰ πρὸς χεῖρα τοῦ βασιλέως εἰς πᾶν χρῆμα τῷ λαῷ.
Νεεμ. 11,24 - Ο δε Φαθαΐα υιός του Βασηζά ήτο ο εκπρόσωπος του βασιλέως δι' όλας τας υποθέσστου λαού.
Νεεμ. 11,25 - καὶ πρὸς τὰς ἐπαύλεις ἐν ἀγρῷ αὐτῶν. καὶ ἀπὸ υἱῶν Ἰούδα ἐκάθισαν ἐν Καριαθαρβὸκ
Νεεμ. 11,25 - Ως προς δε τα χωριά με τους αγρούς των, μερικοί Ιουδαίοι εγκατεστάθησαν εις την Καριαθαρβόκ (Χεβρών),
Νεεμ. 11 ,26 - καὶ ἐν Ἰησοῦ
Νεεμ. 11,26 - εις Ιησού,
Νεεμ. 11,27 - καὶ ἐν Βηρσαβεέ, καὶ ἐπαύλεις αὐτῶν,
Νεεμ. 11,27 - εις Βηρσαβεέ και τας περιοχάς αυτών.
Νεεμ. 11,30 - Λαχὶς καὶ ἀγροὶ αὐτῆς· καὶ παρενεβάλοσαν ἐν Βηρσαβεέ.
Νεεμ. 11,30 - Εις Λαχίς και τα χωράφια της. Κατώκησαν δε και εις Βηρσαβεέ.
Νεεμ. 11,31 - καὶ οἱ υἱοὶ Βενιαμὶν ἀπὸ Γαβαὰ Μαχμάς.
Νεεμ. 11,31 - Οι απόγονοι της φυλής Βενιαμίν εγκατεστάθησαν από την πόλιν Γαβαά μέχρι Μαχμάς.
Νεεμ. 11,36 - καὶ ἀπὸ τῶν Λευιτῶν μερίδες Ἰούδα τῷ Βενιαμίν.
Νεεμ. 11,36 - Μεταξύ των Λευϊτών υπήρξαν και τάξεις, που ανήκον εις την φυλήν του Ιούδα και την φυλήν του Βενιαμίν.

ΝΕΕΜΙΑΣ 12

Νεεμ. 12,1 - Καὶ οὗτοι οἱ ἱερεῖς καὶ οἱ Λευῖται οἱ ἀναβάντες μετὰ Ζοροβάβελ υἱοῦ Σαλαθιὴλ καὶ Ἰησοῦ· Σαραΐα, Ἱερεμία, Ἔσδρα,

Νεεμ. 12,1 - Οι ιερείς δε και οι Λευίται, οι οποίοι επανήλθον από την αιχμαλωσίαν της Βαβυλώνος μαζή με τον Ζοροβάβελ, τον υιόν του Σαλαθιήλ, και τον Ιησούν, ήσαν ο Σαραΐα, ο Ιερεμίας, ο Εσδρας,

Νεεμ. 12,2 - Ἀμαρία, Μαλούχ,

Νεεμ. 12,2 - ο Αμαρίας, ο Μολούχ,

Νεεμ. 12,3 - Σεχενία·

Νεεμ. 12,3 - ο Σεχενία.

Νεεμ. 12,7 - οὗτοι οἱ ἄρχοντες τῶν ἱερέων καὶ ἀδελφοὶ αὐτῶν ἐν ἡμέραις Ἰησοῦ.

Νεεμ. 12,7 - Αυτοί δε ήσαν οι αρχηγοί των ιερέων και των συγγενών των κατά τας ημέρας του Ιησού.

Νεεμ. 12,8 - καὶ οἱ Λευῖται, Ἰησοῦ, Βανουΐ, Καδμιήλ, Σαραβία, Ἰωδαέ, Ματθανία, ἐπὶ τῶν χειρῶν αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτῶν εἰς τὰς ἐφημερίας.

Νεεμ. 12,8 - Οι Λευίται ήσαν, ο Ιησούς, ο Βανουΐ, ο Καδμιήλ, ο Σαραδία, ο Ιωδαέ και ο Ματθανίας, οι οποίοι ήσαν αρχηγοί αυτοί και οι αδελφοί των εις τας καθημερινάς υπηρεσίας.

Νεεμ. 12,10 - καὶ Ἰησοῦς ἐγέννησε τὸν Ἰωακίμ, καὶ Ἰωακὶμ ἐγέννησε τὸν Ἐλιασίβ, καὶ Ἐλιασὶβ τὸν Ἰωδαέ,

Νεεμ. 12,10 - Ο Ιησούς εγέννησε τον Ιωακίμ, ο Ιωακίμ εγέννησε τον Ελιασίβ, ο Ελιασίβ εγέννησε τον Ιωδαέ,

Νεεμ. 12,11 - καὶ Ἰωδαὲ ἐγέννησε τὸν Ἰωνάθαν, καὶ Ἰωνάθαν ἐγέννησε τὸν Ἰαδού.

Νεεμ. 12,11 - ο Ιωδαέ εγέννησε τον Ιωνάθαν, ο Ιωνάθαν εγέννησε τον Ιαδού.

Νεεμ. 12,12 - καὶ ἐν ἡμέραις Ἰωακὶμ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ οἱ ἄρχοντες τῶν πατριῶν· τῷ Σαραΐα Ἀμαρία, τῷ Ἱερεμίᾳ Ἀνανία,

Νεεμ. 12,12 - Κατά την εποχήν του Ιωακίμ οι ιερείς αδελφοί αυτού ήσαν αρχηγοί δια τας κάτωθι οικογενείας· δια τον Σαραΐα ο Αμαρίας, δια τον Ιερεμίαν ο Ανανίας,

Νεεμ. 12,13 - τῷ Ἔσδρᾳ Μεσουλάμ, τῷ Ἀμαρίᾳ Ἰωανάν,

Νεεμ. 12,13 - δια τον Εσδραν ο Μεσουλάμ, δια τον Αμαρίαν ο Ιωανάν,

Νεεμ. 12,14 - τῷ Ἀμαλοὺχ Ἰωνάθαν, τῷ Σεχενίᾳ Ἰωσήφ,

Νεεμ. 12,14 - δια τον Αμαλούχ ο Ιωνάθαν, δια τον Σεχενίαν ο Ιωσήφ,

Νεεμ. 12,15 - τῷ Ἀρὲ Μαννάς, τῷ Μαριὼθ Ἐλκαΐ,

Νεεμ. 12,15 - δια τον Αρέ ο Μαννάς, δια τον Μαριώθ ο Ελκαΐ,

Νεεμ. 12,16 - τῷ Ἀδαδαΐ Ζαχαρία, τῷ Γαναθὼθ Μοσολάμ,

Νεεμ. 12,16 - δια τον Αδαδαΐ ο Ζαχαρίας, δια τον Γαναθώθ ο Μοσολάμ,

Νεεμ. 12,17 - τῷ Ἀβιὰ Ζεχρί, τῷ Μιαμὶν Μααδαὶ τῷ Φελετί,

Νεεμ. 12,17 - δια τον Αβιά ο Ζεχρί, δια τον Μιαμίν ο Μααδαί, δια τον Φελετί

Νεεμ. 12,18 - τῷ Βαλγὰς Σαμουέ, τῷ Σεμίᾳ Ἰωνάθαν,

Νεεμ. 12,18 - και δια τον Βαλγάς ο Σαμουέ, δια τον Σεμίαν ο Ιωνάθαν,

Νεεμ. 12,19 - τῷ Ἰωαρὶβ Ματθαναΐ, τῷ Ἐδίῳ Ὀζί,

Νεεμ. 12,19 - δια τον Ιωαρίβ ο Ματθαναΐ, δια τον Εδίον ο Οζί,

Νεεμ. 12,20 - τῷ Σαλαΐ Καλλαΐ, τῷ Ἀμὲκ Ἀβέδ,

Νεεμ. 12,20 - δια τον Σαλαΐ ο Καλλαΐ, δια τον Αμέκ ο Αβέδ,

Νεεμ. 12,21 - τῷ Ἐλκίᾳ Ἀσαβίας, τῷ Ἰεδεϊοὺ Ναθαναήλ.

Νεεμ. 12,21 - δια τον Ελκίαν ο Ασαβίας, δια τον Ιεδεϊού ο Ναθαναήλ.

Νεεμ. 12,22 - οἱ Λευῖται ἐν ἡμέραις Ἐλιασίβ, Ἰωαδὰ καὶ Ἰωὰ καὶ Ἰωανὰν καὶ Ἰδούα, γεγραμμένοι ἄρχοντες τῶν πατριῶν, καὶ οἱ ἱερεῖς ἐν βασιλείᾳ Δαρείου τοῦ Πέρσου·

Νεεμ. 12,22 - Ως προς δε τους Λευίτας, κατά τας ημέρας του Ελιασίβ, ήσαν καταγεγραμμένοι ως αρχηγοί πατριών ο Ιωαδά, ο Ιωά, ο Ιωανάν και ο Ιδούα. Επίσης δε και οι ιερείς ήσαν καταγεγραμμένοι κατά την βασιλείαν του Δαρείου του Πέρσου.

Νεεμ. 12,23 - υἱοὶ δὲ Λευὶ ἄρχοντες τῶν πατριῶν γεγραμμένοι ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν καὶ ἕως ἡμερῶν Ἰωανὰν υἱοῦ Ἐλισουέ.

Νεεμ. 12,23 - Οι Λευίται, οι αρχηγοί των οικογενειών ήσαν γραμμένοι στο βιβλίον των χρονικών μέχρι του Ιωανάν υιού του Ελισουέ.

Νεεμ. 12,24 - καὶ οἱ ἄρχοντες τῶν Λευιτῶν Ἀσαβία καὶ Σαραβία καὶ Ἰησοῦ καὶ υἱοὶ Καδμιὴλ καὶ οἱ ἀδελφοὶ αὐτῶν κατεναντίον αὐτῶν εἰς ὕμνον αἰνεῖν ἐν ἐντολῇ Δαυὶδ ἀνθρώπου τοῦ Θεοῦ ἐφημερία πρὸς ἐφημερίαν

Νεεμ. 12,24 - Οι αρχηγοί των Λευιτών ήσαν· Ο Ασαβίας, ο Σαραβίας, ο Ιησούς, οι υιοί του Καδμιήλ και οι αδελφοί αυτών ενώπιόν των, οι οποίοι είχον ως έργον να δοξολογούν τον Κυριον, σύμφωνα με την εντολήν του Δαυίδ, του ανθρώπου του Θεού, και κατά την διαδοχήν των εφημεριών των έκαστοι.

Νεεμ. 12,25 - ἐν τῷ συναγαγεῖν με τοὺς πυλωροὺς

Νεεμ. 12,25 - Και οι θυρωροί εφύλασσαν τας θύρας του ναού.

Νεεμ. 12,26 - ἐν ἡμέραις Ἰωακὶμ υἱοῦ Ἰησοῦ, υἱοῦ Ἰωσεδὲκ καὶ ἐν ἡμέραις Νεεμία, καὶ Ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεύς.

Νεεμ. 12,26 - Κατά δε την εποχήν του Ιωακίμ, υιού του Ιησού, υιού του Ιωσεδέκ, όπως και κατά την εποχήν του Νεεμίου, ο Εσδρας ήτο ο ιερεύς και ο γραμματεύς.

Νεεμ. 12,27 - Καί ἐν ἐγκαινίοις τείχους Ἱερουσαλὴμ ἐζήτησαν τοὺς Λευίτας ἐν τοῖς τόποις αὐτῶν τοῦ ἐνέγκαι αὐτοὺς εἰς Ἱερουσαλὴμ ποιῆσαι ἐγκαίνια καὶ εὐφροσύνην ἐν Θωδαθὰ καὶ ἐν ᾠδαῖς, κυμβαλίζοντες καὶ ψαλτήρια καὶ κινύραι.

Νεεμ. 12,27 - Κατά τα εγκαίνια του τείχους της Ιερουσαλήμ προσεκλήθησαν οι Λευίται από τας πόλεις των, όπου κατοικούσαν, να προσέλθουν εις την Ιερουσαλήμ και να κάμουν τα εγκαίνια του τείχους με χαράν, με άσματα και αίνους, με την συνοδείαν μουσικών οργάνων, με τα κύμβαλα, με τας κιθάρας και με τας κινύρας.

Νεεμ. 12,28 - καὶ συνήχθησαν οἱ υἱοὶ τῶν ᾀδόντων καὶ ἀπὸ τῆς περιχώρου κυκλόθεν εἰς Ἱερουσαλὴμ καὶ ἀπὸ ἐπαύλεων

Νεεμ. 12,28 - Συνεκεντρώθησαν πράγματι οι Λευίται αυτοί ψάλται από τας γύρω της Ιερουσαλήμ περιοχάς,

Νεεμ. 12,29 - καὶ ἀπὸ ἀγρῶν· ὅτι ἐπαύλεις ᾠκοδόμησαν ἑαυτοῖς οἱ ᾄδοντες ἐν Ἱερουσαλήμ.

Νεεμ. 12,29 - από τα χωριά και από τους αγρούς των, διότι είχαν οργανώσει κατασκηνώσεις αυτοί, που έψαλλαν εις την Ιερουσαλήμ.

Νεεμ. 12,30 - καὶ ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται, καὶ ἐκαθάρισαν τὸν λαὸν καὶ τοὺς πυλωροὺς καὶ τὸ τεῖχος.

Νεεμ. 12,30 - Οι ιερείς και οι Λευίται εκαθαρίσθησαν πρώτοι και έπειτα εκαθάρισαν, σύμφωνα με τον Νομον, τον λαόν, τους θυρωρούς και το τείχος.

Νεεμ. 12,31 - καὶ ἀνήνεγκα τοὺς ἄρχοντας Ἰούδα ἐπάνω τοῦ τείχους καὶ ἔστησα δύο περὶ αἰνέσεως μεγάλους, καὶ διῆλθον ἐκ δεξιῶν ἐπάνω τοῦ τείχους τῆς κοπρίας,

Νεεμ. 12,31 - Ωδήγησα τότε επάνω στο τείχος τους άρχοντας της φυλής Ιούδα και εσχημάτισα δύο μεγάλας ομάδας δοξολογίας προς τον Θεόν. Η πρώτη, ομάς εβαδισε προς το δεξιόν μέρος επάνω στο τείχος, εις την λεγομένην πύλην της κοπρίας.

Νεεμ. 12,32 - καὶ ἐπορεύθη ὀπίσω αὐτῶν Ὠσαΐα καὶ ἥμισυ ἀρχόντων Ἰούδα

Νεεμ. 12,32 - Οπίσω δε από αυτούς εβάδιζαν ο Ωσαΐα και το ήμισυ των αρχηγών της φυλής Ιούδα.

Νεεμ. 12,33 - καὶ Ἀζαρίας καὶ Ἔσδρας καὶ Μεσολλάμ,

Νεεμ. 12,33 - Και ο Αζαρίας, ο Εσδρας, ο Μεσολλάμ,

Νεεμ. 12,34 - καὶ Ἰούδα καὶ Βενιαμὶν καὶ Σαμαΐας καὶ Ἱερεμία

Νεεμ. 12,34 - ο Ιούδας, ο Βενιαμίν, ο Σαμαΐας και ο Ιερεμίας.

Νεεμ. 12,35 - καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων ἐν σάλπιγξι Ζαχαρίας υἱὸς Ἰωνάθαν, υἱὸς Σαμαΐα, υἱὸς Ματθανία, υἱὸς Μιχαία, υἱὸς Ζακχούρ, υἱὸς Ἀσάφ·

Νεεμ. 12,35 - Από δε τους ιερείς με τας σάλπιγγας επορεύοντο ο Ζαχαρίας, ο υιός του Ιωνάθαν, ο υιός του Σαμαΐα, ο υιός του Ματθανία, ο υιός του Μιχαία, ο υιός του Ζακχούρ, ο υιός του Ασάφ,

Νεεμ. 12,36 - καὶ ἀδελφοὶ αὐτοῦ Σαμαΐα καὶ Ὀζιήλ, Γελώλ, Ἰαμά, Ἀΐα, Ναθαναὴλ καὶ Ἰούδα, Ἀνανί, τοῦ αἰνεῖν ἐν ᾠδαῖς Δαυὶδ ἀνθρώπου Θεοῦ,

καὶ Ἔσδρας ὁ γραμματεὺς ἔμπροσθεν αὐτῶν·

Νεεμ. 12,36 - και οι συγγενείς του, ο Σαμαΐα, ο Οζιήλ, ο Γελώλ, ο Ιαμά, ο Αΐα, ο Ναθαναήλ, ο Ιούδα, ο Ανανί, με τα μουσικά όργανα υμνούσαν τον Κυριον με ψαλμούς του Δαυίδ του ανθρώπου του Θεού. Εμπροσθεν δε από αυτούς επορεύετο ο γραμματεύς Εσδρας.

Νεεμ. 12,37 - ἐπὶ πύλης τοῦ αἲν κατέναντι αὐτῶν ἀνέβησαν ἐπὶ κλίμακας πόλεως Δαυὶδ ἐν ἀναβάσει τοῦ τείχους ἐπάνωθεν τοῦ οἴκου Δαυὶδ καὶ ἕως τῆς πύλης τοῦ ὕδατος κατὰ ἀνατολάς.

Νεεμ. 12,37 - Παρά δε την πύλην της πηγής ανέβησαν κατ' ευθείαν την κλίμακα της πόλεως του Δαυίδ, διήλθον την ανωφέρειαν του τείχους, του άνω οίκου του Δαυίδ, και έφθασαν μέχρι της πύλης του ύδατος προς ανατολάς.

Νεεμ. 12,38 - καὶ περὶ αἰνέσεως ἡ δευτέρα ἐπορεύετο συναντῶσα αὐτοῖς, καὶ τὸ ἥμισυ τοῦ λαοῦ ἐπάνω τοῦ τείχους ὑπεράνω τοῦ πύργου τῶν θεννουρὶμ καὶ ἕως τοῦ τείχους τοῦ πλατέος

Νεεμ. 12,38 - Η άλλη ομάς, ο δεύτερος χορός της δοξολογίας, επροχωροσε αριστερά, κατ' αντίθετον διεύθυνσιν, δια να συναντήση αυτούς. Το δεύτερον αυτό τμήμα της λιτανείας επροχωρούσε επί του τείχους, άνω από τον πύργον των κλιβάνων, και έφθασε μέχρι του πλατέος τείχους.

Νεεμ. 12,39 - καὶ ὑπεράνω τῆς πύλης Ἐφραὶμ καὶ ἐπὶ τὴν πύλην ἰχθυρὰν καὶ πύργῳ Ἀναμεὴλ καὶ ἕως πύλης τῆς προβατικῆς καὶ ἔστησαν ἐν πύλῃ τῆς φυλακῆς.

Νεεμ. 12,39 - Κατόπιν έφθασαν επάνω από την πύλην του Εφραίμ. Από εκεί επροχώρησαν προς την πύλην, που λέγεται ιχθυρά, και στον πύργον του Αναμεήλ. Από εκεί δε ήλθον εις την πύλην την προβατικήν και τέλος εσταμάτησαν εις την πύλην της φυλακής.

Νεεμ. 12,40 - καὶ ἔστησαν αἱ δύο τῆς αἰνέσεως ἐν οἴκῳ τοῦ Θεοῦ, καὶ ἐγὼ καὶ τὸ ἥμισυ τῶν στρατηγῶν μετ᾿ ἐμοῦ

Νεεμ. 12,40 - Οι δύο αυτοί χοροί της λιτανείας εσταμάτησαν απέναντι από τον ναόν του Θεού, μαζή δε με αυτούς και εγώ και οι μισοί άρχοντες που ευρίσκοντο μαζή μου,

Νεεμ. 12,41 - καὶ οἱ ἱερεῖς Ἐλιακίμ, Μαασίας, Βενιαμίν, Μιχαίας, Ἐλιωηναί, Ζαχαρίας, Ἀνανίας ἐν σάλπιγξι καὶ Μαασίας καὶ Σεμεΐας καὶ Ἐλεάζαρ καὶ Ὀζὶ καὶ Ἰωανὰθ καὶ Μελχίας καὶ Αἰλὰμ καὶ Ἐζούρ,

Νεεμ. 12,41 - όπως επίσης και οι ιερείς, ο Ελιακίμ, ο Μαασίας, ο Βενιαμίν, ο Μιχαίας, ο Ελιωηναί, ο Ζαχαρίας, ο Ανανίας, με τας ιεράς σάλπιγγάς των, ο Μαασίας, ο Σεμεΐας, ο Ελεάζαρ, ο Οζί, ο Ιωανάθ, ο Μελχίας, ο Αιλάμ και ο Εζούρ.

Νεεμ. 12,42 - καὶ ἠκούσθησαν οἱ ᾄδοντες καὶ ἐπεσκέπησαν.

Νεεμ. 12,42 - Οι ψάλται ηκούσθησαν τότε να ψάλλουν με επικεφαλής τον αρχηγόν των.

Νεεμ. 12,43 - καὶ ἔθυσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θυσιάσματα μεγάλα καὶ ηὐφράνθησαν, ὅτι ὁ Θεὸς ηὔφρανεν αὐτοὺς μεγάλως. καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν ηὐφράνθησαν, καὶ ἠκούσθη ἡ εὐφροσύνη ἐν Ἱερουσαλὴμ ἀπὸ μακρόθεν.

Νεεμ. 12,43 - Κατά την ημέραν εκείνην προσέφεραν μεγάλας θυσίας προς τον Θεόν και ηυφράνθησαν όλοι, διότι ο Θεός έδωσεν εις αυτούς μεγάλην αγαλλίασιν και χαράν. Αι γυναίκες αυτών και τα τέκνα αυτών επίσης ηυφράνθησαν, αι δε κραυγαί της χαράς των εις την Ιερουσαλήμ, ηκούοντο από πολύ μακράν.

Νεεμ. 12,44 - Καὶ κατέστησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἄνδρας ἐπὶ τῶν γαζοφυλακίων, τοῖς θησαυροῖς, ταῖς ἀπαρχαῖς καὶ ταῖς δεκάταις καὶ τοῖς συνηγμένοις ἐν αὐτοῖς ἄρχουσι τῶν πόλεων, μερίδας τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις, ὅτι εὐφροσύνη ἦν ἐν Ἰούδᾳ ἐπὶ τοὺς ἱερεῖς καὶ ἐπὶ τοὺς Λευίτας τοὺς ἑστῶτας.

Νεεμ. 12,44 - Κατά την επίσημον εκείνην ημέραν διώρισαν και εγκατέστησαν άνδρας εις τας αποθήκας του ναού, αι οποίαι εχρησιμοποιούντο, δια να αποθηκεύουν τας προσφοράς των, τας απαρχάς και τα δέκατα των εισοδημάτων των. Να τα συναθροίζουν εις αυτάς δια τους άρχοντας της πόλεως, δια τους ιερείς και δια τους Λευίτας. Διότι οι Ιουδαίοι ηυχαριστούντο πολύ να βλέπουν τους ιερείς και τους Λευίτας ορθίους εις τας θέσεις των·

Νεεμ. 12,45 - καὶ ἐφύλαξαν φυλακὰς Θεοῦ αὐτῶν καὶ φυλακὰς τοῦ καθαρισμοῦ καὶ τοὺς ᾄδοντας καὶ τοὺς πυλωρούς, ὡς ἐντολαὶ Δαυὶδ καὶ Σαλωμὼν υἱοῦ αὐτοῦ.

Νεεμ. 12,45 - αυτούς, οι οποίοι εφύλασσαν τας υπό του Κυρίου καθορισθείσας φρουράς και προσέφεραν τους υπό του νόμου του Θεού ωρισμένους καθαρισμούς. Επίσης έβλεπαν με ευχαρίστησιν τους ψάλτας και τους θυρωρούς εις τας θέσεις των, σύμφωνα με τας εντολάς του Δαυίδ και του υιού του Σολομώντος.

Νεεμ. 12,46 - ὅτι ἐν ἡμέραις Δαυὶδ Ἀσὰφ ἀπ᾿ ἀρχῆς πρῶτος τῶν ᾀδόντων καὶ ὕμνον καὶ αἴνεσιν τῷ Θεῷ.

Νεεμ. 12,46 - Επειδή δε απ' αρχής κατά τας ημέρας του Δαυίδ ο Ασάφ ήτο αρχηγός των ψαλτών και ανεπέμποντο αίνοι και δοξολογίαι στον Θεόν,

Νεεμ. 12,47 - καὶ πᾶς Ἰσραὴλ ἐν ἡμέραις Ζοροβάβελ καὶ ἐν ταῖς ἡμέραις Νεεμίου διδόντες μερίδας τῶν ᾀδόντων καὶ τῶν πυλωρῶν, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ, καὶ ἁγιάζοντες τοῖς Λευίταις, καὶ οἱ Λευῖται ἁγιάζοντες τοῖς υἱοῖς Ἀαρών.

Νεεμ. 12,47 - έτσι και κατά τας ημέρας του Ζοροβάβελ και εις τας ημέρας του Νεεμίου, οι Ιουδαίοι έδιδον κάθε ημέραν τας ωρισμένας μερίδας τροφών στους ψάλτας και στους θυρωρούς. Εδιδαν στους Λευίτας τας αγίας αυτάς

μερίδας, αλλά και οι Λευίται έδιδον ένα μέρος από αυτά στους ιερείς, τους απογόνους του Ααρών.

ΝΕΕΜΙΑΣ 13

Νεεμ. 13,1 - Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ἐν βιβλίῳ Μωυσῆ ἐν ὠσὶ τοῦ λαοῦ καὶ εὑρέθη γεγραμμένον ἐν αὐτῷ, ὅπως μὴ εἰσέλθωσιν Ἀμμανῖται καὶ Μωαβῖται ἐν ἐκκλησίᾳ Θεοῦ ἕως αἰῶνος,

Νεεμ. 13,1 - Κατά την εποχήν εκείνην, που ανεγινώσκετο το βιβλίον του Μωϋσέως εις τα αυτιά όλου του λαού, ευρέθη εκεί γραμμένον, ότι οι Αμμωνίται και οι Μωαβίται δεν έπρεπε ποτέ να έλθουν εις καμμίαν επικοινωνίαν με τον λαόν του Θεού, με τους Ιουδαίους.

Νεεμ. 13,2 - ὅτι οὐ συνήντησαν τοῖς υἱοῖς Ἰσραὴλ ἐν ἄρτῳ καὶ ὕδατι καὶ ἐμισθώσαντο ἐπ᾿ αὐτὸν τὸν Βαλαὰμ καταράσασθαι, καὶ ἐπέστρεψεν ὁ Θεὸς ἡμῶν τὴν κατάραν εἰς εὐλογίαν.

Νεεμ. 13,2 - Τούτο δέ, διότι όταν οι Ισραηλίται είχαν εξέλθει από την δουλείαν της Αιγύπτου, αυτοί δεν ήλθον εις βοήθειαν και αντίληψίν των με άρτον και με ύδωρ και διότι ακόμη είχαν πληρώσει τον Βαλαάμ, δια να καταρασθη τον Ισραηλιτικόν λαόν. Αλλά ο Θεός μας είχε μετατρέψει την κατάραν εις ευλογίαν.

Νεεμ. 13,3 - καὶ ἐγένετο ὡς ἤκουσαν τὸν νόμον, καὶ ἐχωρίσθησαν πᾶς ἐπίμικτος ἐν Ἰσραήλ.

Νεεμ. 13,3 - Οταν οι Ισραηλίται ήκουσαν αυτήν την εντολήν του Νομου, εξεχώρισαν και απεμάκρυναν εκ μέσου αυτών κάθε ξένον και καθένα που προήρχετο από επιμιξίαν Ισραηλιτών με αλλογενείς.

Νεεμ. 13,4 - καὶ πρὸ τούτου Ἐλιασὶβ ὁ ἱερεὺς οἰκῶν ἐν γαζοφυλακίῳ οἴκου Θεοῦ ἡμῶν ἐγγίων Τωβίᾳ

Νεεμ. 13,4 - Πριν δε τεθή εις εφαρμογήν το μέτρον αυτό, ο Ελιασίβ, ο ιερεύς ο οποίος επέβλεπεν εις τας αποθήκας του ναού του Θεού μας και ο οποίος είχε συνδεθή με συγγένειαν προς τον Τωβίαν,

Νεεμ. 13,5 - καὶ ἐποίησεν ἑαυτῷ γαζοφυλάκιον μέγα, καὶ ἐκεῖ ἦσαν πρότερον διδόντες τὴν μαναὰν καὶ τὸν λίβανον καὶ τὰ σκεύη καὶ τὴν δεκάτην τοῦ σίτου καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἐντολὴν τῶν Λευιτῶν καὶ τῶν ᾀδόντων καὶ τῶν πυλωρῶν καὶ ἀπαρχὰς τῶν ἱερέων.

Νεεμ. 13,5 - είχε διαθέσει δι' αυτόν ένα μεγάλο δωμάτιον εκεί, όπου προηγουμένως οι ιερείς έθετον τας προσφοράς τον λίβανον, τα ιερά σκεύη, τας δεκάτας του σίτου, του οίνου και του ελαίου, τα προοριζόμενα δια τους Λευίτας, τους ψάλτας και τους θυρωρούς, όπως και τα πρωτόλεια τα προοριζόμενα δια τους ιερείς

Νεεμ. 13,6 - καὶ ἐν παντὶ τούτῳ οὐκ ἤμην ἐν Ἱερουσαλήμ· ὅτι ἐν ἔτει τριακοστῷ καὶ δευτέρῳ τοῦ Ἀρθασασθὰ βασιλέως Βαβυλῶνος ἦλθον πρὸς τὸν βασιλέα. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ᾐτησάμην παρὰ τοῦ βασιλέως

Νεεμ. 13,6 - Οταν εγινεν η βέβηλος αυτή πράξις εγώ δεν ευρισκόμην εις την Ιερουσαλήμ διότι κατά το τριακοστόν δεύτερον έτος της βασιλείας Αρταξέρξου, του βασιλέως της Βαβυλώνος, είχα εγώ επιστρέψει προς, τον βασιλέα. Αφού δε επέρασεν ολίγος χρόνος, εζήτησα και έλαβα άδειαν από τον βασιλέα

Νεεμ. 13,7 - καὶ ἦλθον εἰς Ἱερουσαλήμ. καὶ συνῆκα ἐν τῇ πονηρίᾳ, ᾗ ἐποίησεν Ἐλιασὶβ τῷ Τωβίᾳ, ποιῆσαι αὐτῷ γαζοφυλάκιον ἐν αὐλῇ οἴκου τοῦ Θεοῦ.

Νεεμ. 13,7 - και επανήλθα εις την ιερουσαλήμ. Εμαθα τότε την κακήν αυτήν πράξιν, που είχε κάμνει ο Ελιασίβ προς χάριν του Τωβία, με το να παραχωρήση εις αυτόν δωμάτιον μέσα εις την αυλήν του ναού του Θεού.

Νεεμ. 13,8 - καὶ πονηρόν μοι ἐφάνη σφόδρα, καὶ ἔῤῥιψα πάντα τὰ σκεύη οἴκου Τωβία ἔξω ἀπὸ τοῦ γαζοφυλακίου·

Νεεμ. 13,8 - Αυτό μου εφάνη πάρα πολύ κακόν και επέταξα όλα τα πράγματα και τα έπιπλα του οίκου του Τωβία έξω από το δωμάτιον αυτό.

Νεεμ. 13,9 - καὶ εἶπα καὶ ἐκαθάρισαν τὰ γαζοφυλάκια, καὶ ἐπέστρεψα ἐκεῖ σκεύη οἴκου τοῦ Θεοῦ, τὴν μαναὰν καὶ τὸν λίβανον.

Νεεμ. 13,9 - Εδωσα κατόπιν εντολήν και εκαθάρισαν αυτό το δωμάτιον και επανέφερα εκεί τα ιερά σκεύη του ναού του Θεού, τας διαφόρους προσφοράς και το λιβάνι.

Νεεμ. 13,10 - καὶ ἔγνων ὅτι μερίδες τῶν Λευιτῶν οὐκ ἐδόθησαν, καὶ ἐφύγοσαν ἀνὴρ εἰς ἀγρὸν αὐτοῦ, οἱ Λευῖται καὶ οἱ ᾄδοντες ποιοῦντες τὸ ἔργον.

Νεεμ. 13,10 - Επληροφορήθην επίσης, ότι αι μερίδες, που προωρίζοντο δια τους Λευίτας, δεν εδόθησαν εις αυτούς. Ετσι δε κάθε Λευίτης ηναγκάσθη να φύγη στον αγρόν του, δια να τον καλλιεργή. Αλλά οι Λευίται και οι ψάλται ήσαν εκείνοι, οι οποίοι προσέφεραν τας υπηρεσίας των στον ναόν.

Νεεμ. 13,11 - καὶ ἐμαχεσάμην τοῖς στρατηγοῖς καὶ εἶπα· διατί ἐγκατελείφθη ὁ οἶκος τοῦ Θεοῦ; καὶ συνήγαγον αὐτοὺς καὶ ἔστησα αὐτοὺς ἐπὶ τῇ στάσει αὐτῶν.

Νεεμ. 13,11 - Εγώ εφιλονείκησα και ήλεγξα τους αρχηγούς και είπα· Διατί έχει εγκαταλειφθή ο ναός του Θεού; Συνεκέντρωσα τότε τους Λευίτας αυτούς και τους επανετοποθέτησα εις τας υπηρεσίας των.

Νεεμ. 13,12 - καὶ πᾶς Ἰούδα ἤνεγκαν δεκάτην τοῦ πυροῦ καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου εἰς τοὺς θησαυροὺς

Νεεμ. 13,12 - Τοτε όλοι οι Ιουδαίοι προσέφεραν τα δέκατα από τον σίτον, τον οίνον και το έλαιον εις τας αποθήκας,

Νεεμ. 13,13 - ἐπὶ χεῖρα Σελεμία τοῦ ἱερέως καὶ Σαδδοὺκ τοῦ γραμματέως καὶ Φαδαΐα ἀπὸ τῶν Λευιτῶν, καὶ ἐπὶ χεῖρα αὐτῶν Ἀνὰν υἱὸς Ζακχούρ, υἱὸς Ματθανίου, ὅτι πιστοὶ ἐλογίσθησαν ἐπ᾿ αὐτοὺς μερίζειν τοῖς ἀδελφοῖς αὐτῶν.

Νεεμ. 13,13 - αι οποίαι ήσαν υπό την επίβλεψιν του Σελεμίου του ιερέως, Σαδδούκ του γραμματέως και του Φαδαΐα ενός από τους Λευίτας. Βοηθούς δε εις αυτούς έδωσα τον Ανάν υιόν του Ζακχούρ και τον υιόν του Ματθανίου, διότι αυτοί εθεωρούντο αξιόπιστοι. Τους ανέθεσα δε ως έργον να διανέμουν στους αδελφούς των τας αναλόγους μερίδας.

Νεεμ. 13,14 - μνήσθητί μου, ὁ Θεός, ἐν ταύτῃ, καὶ μὴ ἐξαλειφθήτω ἔλεός μου, ὃ ἐποίησα ἐν οἴκῳ Κυρίου τοῦ Θεοῦ.

Νεεμ. 13,14 - Μνήσθητί μου, Κυριε, δια την ενέργειάν μου αυτήν και μη εξαλείψής από την μνήμην σου τας δικαίας αυτάς πράξεις, τας οποίας επραγματοποίησα στον ναόν σου, του Κυρίου και Θεού μας.

Νεεμ. 13,15 - Ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον ἐν Ἰούδᾳ πατοῦντας ληνοὺς ἐν τῷ σαββάτῳ καὶ φέροντας δράγματα καὶ ἐπιγεμίζοντας ἐπὶ τοὺς ὄνους καὶ οἶνον καὶ σταφυλὴν καὶ σῦκα καὶ πᾶν βάσταγμα καὶ φέροντας εἰς Ἱερουσαλὴμ ἐν ἡμέρᾳ τοῦ σαββάτου· καὶ ἐπεμαρτυράμην ἐν ἡμέρᾳ πράσεως αὐτῶν.

Νεεμ. 13,15 - Κατά τας ημέρας εκείνας είδα εις την περιοχήν της Ιουδαίας, ότι μερικοί άνδρες επατούσαν σταφύλια εις τα πατητήριά των κατά την ημέραν του Σαββάτου, έφεραν δεμάτια σίτου εις τα χέρια των, εφόρτωναν στους όνους των οίνον, σταφύλια, σύκα και κάθε άλλο είδος φορτίου και έφεραν αυτά εις την Ιερουσαλήμ κατά την ημέραν του Σαββάτου. Διεμαρτυρήθην εντόνως εναντίον των, διότι κατά την ημέραν του Σαββάτου έφεραν αυτά τα είδη προς πώλησιν.

Νεεμ. 13,16 - καὶ ἐκάθισαν ἐν αὐτῇ φέροντες ἰχθὺν καὶ πᾶσαν πρᾶσιν πωλοῦντες ἐν τῷ σαββάτῳ τοῖς υἱοῖς Ἰούδα καὶ ἐν Ἱερουσαλήμ.

Νεεμ. 13,16 - Κατά την ημέραν επίσης αυτήν έμποροι από άλλας περιοχάς έφερον και επωλούσαν προς τους Ιουδαίους εις την Ιερουσαλήμ και εις άλλα μέρη της Ιουδαίας ψάρια και άλλα εμπορεύματα.

Νεεμ. 13,17 - καὶ ἐμαχεσάμην τοῖς υἱοῖς Ἰούδα τοῖς ἐλευθέροις καὶ εἶπα αὐτοῖς· τίς ὁ λόγος οὗτος ὁ πονηρός, ὃν ὑμεῖς ποιεῖτε, καὶ βεβηλοῦτε τὴν ἡμέραν τοῦ σαββάτου;

Νεεμ. 13,17 - Επέπληξα με δριμύτητα τους προκρίτους των Ιουδαίων και τους είπα· “Τι είναι αυτό το μεγάλο κακό που σεις κάνετε, και βεβηλώνετε την ημέραν του Σαββάτου;

Νεεμ. 13,18 - οὐχὶ οὕτως ἐποίησαν οἱ πατέρες ὑμῶν, καὶ ἤνεγκεν ἐπ᾿ αὐτοὺς ὁ Θεὸς ἡμῶν καὶ ἐφ᾿ ἡμᾶς πάντα τὰ κακὰ ταῦτα καὶ ἐπὶ τὴν πόλιν ταύτην; καὶ ὑμεῖς προστίθετε ὀργὴν ἐπὶ Ἰσραὴλ βεβηλῶσαι τὸ σάββατον;

Νεεμ. 13,18 - Το ίδιο δεν έκαμαν και οι πρόγονοί σας και επέφερεν ο Θεός μας εναντίον εκείνων και ημών και της πόλεως αυτής τας μεγάλας τιμωρίας; Και σεις, λοιπόν, επαυξάνετε βεβήλωσιν αυτήν του Σαββάτου;”

Νεεμ. 13,19 - καὶ ἐγένετο ἡνίκα κατέστησαν πύλαι ἐν Ἱερουσαλὴμ πρὸ τοῦ σαββάτου, καὶ εἶπα καὶ ἔκλεισαν τὰς πύλας, καὶ εἶπα ὥστε μὴ ἀνοιγῆναι αὐτὰς ἕως ὀπίσω τοῦ σαββάτου· καὶ ἐκ τῶν παιδαρίων μου ἔστησα ἐπὶ τὰς πύλας, ὥστε μὴ αἴρειν βαστάγματα ἐν ἡμέρᾳ τοῦ σαββάτου.

Νεεμ. 13,19 - Εις εξάλειψιν του κακού αυτού, όταν προ εκάστου Σαββάτου εκλείοντο αι πύλαι της Ιερουσαλήμ, διέταξα να μη ανοίγωνται, ει μη μετά την πάροδον Σαββάτου. Ετοποθέτησα δε μερικούς από τους ανθρώπους μου εις τας πύλας, δια να απαγορεύουν την μεταφοράν φορτίων εις την πόλιν κατά την ημέραν του Σαββάτου.

Νεεμ. 13,20 - καὶ ηὐλίσθησαν πάντες καὶ ἐποίησαν πρᾶσιν ἔξω Ἱερουσαλὴμ ἅπαξ καὶ δίς.

Νεεμ. 13,20 - Τοτε όλοι οι έμποροι διενυκτέρευσαν μίαν και δύο φοράς έξω από την Ιερουσαλήμ.

Νεεμ. 13,21 - καὶ ἐπεμαρτυράμην ἐν αὐτοῖς καὶ εἶπα πρὸς αὐτούς· διατί ὑμεῖς αὐλίζεσθε ἀπέναντι τοῦ τείχους; ἐὰν δευτερώσητε, ἐκτενῶ χεῖρά μου ἐν ὑμῖν. ἀπὸ τοῦ καιροῦ ἐκείνου οὐκ ἤλθοσαν ἐν σαββάτῳ.

Νεεμ. 13,21 - Διεμαρτυρήθην εναντίον των και τους είπα με αυστηρότητα· “Διατί διανυκτερεύετε έξω από το τείχος; Εάν δευτέραν φοράν επαναλάβετε αυτήν την πράξιν, θα απλώσω τα χέρια μου εναντίον σας, δια να σας τιμωρήσω εγώ ο ίδιος”. Από τον καιρόν δε εκείνον και εντεύθεν δεν ήλθαν φορτία εμπορευμάτων κατά την ημέραν του Σαββάτου.

Νεεμ. 13,22 - καὶ εἶπα τοῖς Λευίταις, οἳ ἦσαν καθαριζόμενοι, καὶ ἐρχόμενοι φυλάσσοντες τὰς πύλας, ἁγιάζειν τὴν ἡμέραν τοῦ σαββάτου. πρὸς ταῦτα μνήσθητί μου, ὁ Θεός, καὶ φεῖσαί μου κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

Νεεμ. 13,22 - Εδωσα εντολήν επίσης στους Λευίτας, οι οποίοι σύμφωνα με τον Νομον ήσαν καθαροί, να έρχωνται και να φρουρούν τας πύλας της πόλεως, δια να τηρήται έτσι η αργία κατά την ημέραν του Σαββάτου. Δι' όλα αυτά μνήσθητί μου, Κυριε ο Θεός, σπλαγχνίσου με, σύμφωνα με το πλήθος του ελέους σου.

Νεεμ. 13,23 - Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον τοὺς Ἰουδαίους, οἳ ἐκάθισαν γυναῖκας Ἀζωτίας, Ἀμμανίτιδας, Μωαβίτιδας

Νεεμ. 13,23 - Κατά την εποχήν ακόμη εκείνην είδα ότι οι Ιουδαίοι είχον λάβει ως συζύγους, Αζωτίας, Αμμωνίτιδας και Μωαβίτιδας.

Νεεμ. 13,24 - καὶ οἱ υἱοὶ αὐτῶν ἥμισυ λαλοῦντες Ἀζωτιστὶ καὶ οὐκ εἰσὶν ἐπιγινώσκοντες λαλεῖν Ἰουδαϊστί,

Νεεμ. 13,24 - Τα μισά δε από τα παιδιά των ωμιλούσαν Αζωτιστί και δεν ήσαν καθόλου εις θέσιν να ομιλούν την γλώσσαν των Ιουδαίων.

Νεεμ. 13,25 - καὶ ἐμαχεσάμην μετ᾿ αὐτῶν καὶ κατηρασάμην αὐτοὺς καὶ ἐπάταξα ἐν αὐτοῖς ἄνδρας καὶ ἐμαδάρωσα αὐτοὺς καὶ ὥρκισα αὐτοὺς ἐν τῷ Θεῷ· ἐὰν δῶτε τὰς θυγατέρας ὑμῶν τοῖς υἱοῖς αὐτῶν, καὶ ἐὰν λάβητε ἀπὸ τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς ὑμῶν.

Νεεμ. 13,25 - Τους ήλεγξα με πολλήν δριμύτητα και τους κατηράσθην, μάλιστα δε εκτύπησα και μερικούς από αυτούς, απέσπασα και τας τρίχας της κεφαλής από άλλους, τους εξώρκισα εν ονόματι του Θεού και τους είπα· “Δεν επιτρέπεται να δίδετε τας θυγατέρας σας στους υιούς των ειδωλολατρών και δεν επιτρέπεται να λαμβάνετε ως συζύγους δια τους υιούς σας από τας θυγατέρας αυτών.

Νεεμ. 13,26 - οὐχ οὕτως ἥμαρτε Σαλωμὼν βασιλεὺς Ἰσραήλ; καὶ ἐν ἔθνεσι πολλοῖς οὐκ ἦν βασιλεὺς ὅμοιος αὐτῷ· καὶ ἀγαπώμενος τῷ Θεῷ ἦν, καὶ ἔδωκεν αὐτὸν ὁ Θεὸς εἰς βασιλέα ἐπὶ πάντα Ἰσραήλ· καὶ τοῦτον ἐξέκλιναν αἱ γυναῖκες αἱ ἀλλότριαι.

Νεεμ. 13,26 - Ετσι δεν είχεν αμαρτήσει και ο Σολομών, ο βασιλεύς των Ισραηλιτών; Και όμως όμοιος βασιλεύς προς τον Σολομώντα δεν υπήρχε μεταξύ πολλών εθνών. Αυτός ηγαπάτο από τον Θεόν. Και ο Θεός τον είχεν εγκαταστήσει βασιλέα επί όλου του ισραηλιτικού λαού. Αι ξέναι όμως γυναίκες παρεξέκλιναν και παρέσυραν αυτόν προς την αμαρτίαν.

Νεεμ. 13,27 - καὶ ὑμῶν μὴ ἀκουσώμεθα ποιῆσαι τὴν πᾶσαν πονηρίαν ταύτην ἀσυνθετῆσαι ἐν τῷ Θεῷ ἡμῶν καθίσαι γυναῖκας ἀλλοτρίας;

Νεεμ. 13,27 - Μηπως, λοιπόν, θα ακούσωμεν τώρα ότι και σεις διεπράξατε αυτήν την μεγάλην και φοβεράν αμαρτίαν, ότι κατεπατήσατε τον νόμον του Θεού μας και επήρατε ως συζύγους σας γυναίκας αλλοεθνείς;”

Νεεμ. 13,28 - καὶ ἀπὸ υἱῶν Ἰωαδὰ τοῦ Ἐλισοὺβ τοῦ ἱερέως τοῦ μεγάλου νυμφίου τοῦ Σαναβαλλὰτ τοῦ Οὐρανίτου καὶ ἐξέβρασα αὐτὸν ἀπ᾿ ἐμοῦ.

Νεεμ. 13,28 - Ενας από τους υιούς του Ιωαδά, υιού του Ελισούβ του αρχιερέως, ήτο γαμβρός του Σαναβαλλάτ του Ουρανίτου. Αυτόν λοιπόν εγώ τον εξεδίωξα μακράν.

Νεεμ. 13,29 - μνήσθητι αὐτοῖς, ὁ Θεός, ἐπὶ ἀγχιστείᾳ τῆς ἱερατείας καὶ διαθήκῃ τῆς ἱερατείας καὶ τοὺς Λευίτας.

Νεεμ. 13,29 - Ενθυμήσου, Κυριε, αυτούς και τιμώρησέ τους, διότι εβεβήλωσαν την ιερωσύνην και τας ιεράς υποχρεώσεις των, που είχαν ως ιερείς και ως Λευίται.

Νεεμ. 13,30 - καὶ ἐκαθάρισα αὐτοὺς ἀπὸ πάσης ἀλλοτριώσεως καὶ ἔστησα ἐφημερίας τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις, ἀνὴρ ὡς τὸ ἔργον αὐτοῦ,

Νεεμ. 13,30 - Εκαθάρισα αυτούς από κάθε ξένον και ώρισα τας τάξεις της εφημερίας των ιερέων και των Λευιτών, ώστε ο καθένας να είναι στο έργον του.

Νεεμ. 13,31 - καὶ τὸ δῶρον τῶν ξυλοφόρων ἐν καιροῖς ἀπὸ χρόνων καὶ ἐν τοῖς βακχουρίοις. μνήσθητί μου ὁ Θεὸς ἡμῶν εἰς ἀγαθωσύνην.

Νεεμ. 13,31 - Εκανόνισα την προσφοράν των ξύλων δια το θυσιαστήριον, να τα φέρουν εις καθωρισμένας προθεσμίας, όπως επίσης και τα περί των πρωτοτόκων. Μνήσθητί μου, Κυριε, προς το αγαθόν μου, δι' όλα αυτά.

ΤΩΒΙΤ

ΤΩΒΙΤ 1

Τωβ. 1,1 - Βίβλος λόγων Τωβίτ, τοῦ Τωβιήλ, τοῦ Ἀνανιήλ, τοῦ Ἀδουήλ, τοῦ Γαβαήλ, ἐκ τοῦ σπέρματος Ἀσιήλ, ἐκ τῆς φυλῆς Νεφθαλίμ,

Τωβ. 1,1 - Βιβλίον περιέχον την ιστορίαν του Τωβίτ, υιού του Τωβιήλ, υιοί του Ανανιήλ, υιού του Αδουήλ, υιού του Γαβαήλ, από την γενεάν του Ασιήλ και από την φυλήν του Νεφθαλίμ.

Τωβ. 1,2 - ὃς ᾐχμαλωτεύθη ἐν ἡμέραις Ἐνεμεσσάρου τοῦ βασιλέως Ἀσσυρίων ἐκ Θίσβης, ἥ ἐστιν ἐκ δεξιῶν Κυδίως τῆς Νεφθαλὶ ἐν τῇ Γαλιλαίᾳ ὑπεράνω Ἀσήρ. -ἐγὼ Τωβὶτ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ δικαιοσύνης πάσας τὰς ἡμέρας τῆς ζωῆς μου

Τωβ. 1,2 - Αυτός ηχμαλωτίσθη κατά τας ημέρας του Ενεμεσσάρου, βασιλέως των Ασσυρίων. Κατήγετο από την πόλιν Θισβην, η οποία ευρίσκεται δεξιά της Καδης, της φυλής του Νεφθαλίμ εις την Γαλιλαίαν επάνω από την Ασήρ.- Εγώ ο ΤΩΒΙΤ όλας τας ημέρας της ζωής μου επορευόμην του Κυρίου τας οδούς της αληθείας και της δικαιοσύνης.

Τωβ. 1,3 - καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς ἀδελφοῖς μου καὶ τῷ ἔθνει, τοῖς προπορευθεῖσι μετ᾿ ἐμοῦ εἰς χώραν Ἀσσυρίων εἰς Νινευῆ.

Τωβ. 1,3 - Εκανα πολλάς ελεημοσύνας στους ομογενείς μου και εις όλον το έθνος μου, που είχαν οδηγηθή μαζή μου αιχμάλωτοι εις την χώραν των Ασσυρίων εις την πρωτεύουσάν των, την Μινευή.

Τωβ. 1,4 - καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ μου ἐν τῇ γῇ Ἰσραὴλ νεωτέρου μου ὄντος, πᾶσα φυλὴ τοῦ Νεφθαλὶμ τοῦ πατρός μου ἀπέστη ἀπὸ τοῦ οἴκου Ἱερουσολύμων, τῆς ἐκλεγείσης ἀπὸ πασῶν τῶν φυλῶν Ἰσραὴλ εἰς τὸ θυσιάζειν πάσας τὰς φυλάς· καὶ ἡγιάσθη ὁ ναὸς τῆς κατασκηνώσεως τοῦ Ὑψίστου καὶ ᾠκοδομήθη εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.

Τωβ. 1,4 - Οταν νεώτερος ακόμη ευρισκόμην εις την χώραν μου, εις την γην του Ισραήλ, όλη η φυλή του Νεφθαλίμ, φυλή του πατρός μου, είχεν απομακρυνθή από τον ναόν και από την πόλιν των Ιεροσολύμων, η οποία αυτή μόνη είχεν εκλεγή από όλας τας φυλάς του Ισραήλ, δια να προσφέρουν εκεί θυσίας όλαι αι φυλαί. Εκεί είχεν αγιασθή και καθιερωθή ο ναός, όπου κατεσκήνωσεν ο Υψιστος· και είχεν οικοδομηθή, δια να χρησιμεύση ως ναός του εις όλους τους αιώνας.

Τωβ. 1,5 - καὶ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι ἔθυον τῇ Βάαλ τῇ δαμάλει καὶ ὁ οἶκος Νεφθαλὶμ τοῦ πατρός μου.

Τωβ. 1,5 - Ολαι όμως αι φυλαί, που είχαν αποστατήσει πλέον από τον Θεόν, προσέφεραν θυσίας στον Βααλ στο άγαλμα της δαμάλεως. Μεταξύ δε αυτών των φυλών, που απεστάτησαν, ήτο και η φυλή Νεφθαλίμ, του πατρός μου.

Τωβ. 1,6 - κἀγὼ μόνος ἐπορευόμην πλεονάκις εἰς Ἱεροσόλυμα ἐν ταῖς ἑορταῖς, καθὼς γέγραπται παντὶ τῷ Ἰσραὴλ ἐν προστάγματι αἰωνίῳ, τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας τῶν γεννημάτων καὶ τὰς πρωτοκουρίας ἔχων·

Τωβ. 1,6 - Εγώ μόνος επήγαινα εις τα Ιεροσόλυμα πολλές φορές κατά τας εορτάς, όπως είναι γραμμένον στον νόμον του Μωϋσέως, αιώνιον πρόσταγμα δι' όλους τους Ισραηλίτας. Επήγαινα εκεί και έφερα μαζή μου τα πρωτογεννήματα, τα δέκατα από τα προϊόντα μου και τα πρώτα ποκάρια από το κούρευμα των προβάτων μου.

Τωβ. 1,7 - καὶ ἐδίδουν αὐτὰς τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν πρὸς τὸ θυσιαστήριον πάντων τῶν γεννημάτων. τὴν δεκάτην ἐδίδουν τοῖς υἱοῖς Λευὶ τοῖς θεραπεύουσιν εἰς Ἱερουσαλήμ, καὶ τὴν δευτέραν δεκάτην ἀπεπρατιζόμην καὶ ἐπορευόμην καὶ ἐδαπάνων αὐτὰ ἐν Ἱεροσολύμοις καθ᾿ ἕκαστον ἐνιαυτόν.

Τωβ. 1,7 - Τα έδιδα στους ιερείς, τους απογόνους του Ααρών, δια να προσφερθούν ως θυσία στο θυσιαστήριον, όπου προσεφέροντο αι θυσίαι όλων των προϊόντων. Και την μεν πρώτην δεκάτην από τα προϊόντα μου παρέδιδα στους Λευίτας, οι οποίοι υπηρετούσαν στον ναόν της Ιερουσαλήμ. Την δευτέραν δεκάτην επωλούσα και επορευόμουν ανά την Ιερουσαλήμ και διέθετα το αντίτιμον αυτής δια τους πτωχούς, σύμφωνα με τον νόμον του Θεού.

Τωβ. 1,8 - καὶ τὴν τρίτην ἐδίδουν οἷς καθήκει, καθὼς ἐνετείλατο Δεββώρα ἡ μήτηρ τοῦ πατρός μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ πατρός μου.

Τωβ. 1,8 - Αλλά και τρίτην δεκάτην έδιδα εις εκείνους που έπρεπε, σύμφωνα με την εντολήν της Δεββώρας, της μητρός του πατρός μου. Ευρισκόμην δε εγώ υπό την καθοδήγησίν της, διότι έμεινα ορφανός από πατέρα.

Τωβ. 1,9 - καὶ ὅτε ἐγενόμην ἀνήρ, ἔλαβον Ἅνναν γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πατριᾶς ἡμῶν καὶ ἐγέννησα ἐξ αὐτῆς Τωβίαν.

Τωβ. 1,9 - Οταν έγινα ανήρ, επήρα ως σύζυγον την Αννα, η οποία κατήγετο από την φυλήν μας. Εγέννησα δε εξ αυτής τον Τωβίαν.

Τωβ. 1,10 - καὶ ὅτε ᾐχμαλωτίσθημεν εἰς Νινευῆ, πάντες οἱ ἀδελφοί μου καὶ οἱ ἐκ τοῦ γένους μου ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐθνῶν·

Τωβ. 1,10 - Οταν ηχμαλωτίσθημεν και ωδηγήθημεν δούλοι εις την Νινευή, όλοι οι συγγενείς μου και οι άλλοι της αυτής φυλής έτρωγαν από τας τροφάς των ειδωλολατρικών εθνών.

Τωβ. 1,11 - ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ φαγεῖν,

Τωβ. 1,11 - Εγώ όμως συνεκράτησα τον εαυτόν μου, ώστε να μη φάγω από αυτάς,

Τωβ. 1,12 - καθότι ἐμεμνήμην τοῦ Θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ μου.

Τωβ. 1,12 - διότι είχα πάντοτε εις την μνήμην μου, με όλην μου την ψυχήν, τον Θεόν μου.

Τωβ. 1,13 - καὶ ἔδωκεν ὁ Ὕψιστος χάριν καὶ μορφὴν ἐνώπιον Ἐνεμεσσάρου, καὶ ἤμην αὐτοῦ ἀγοραστής·

Τωβ. 1,13 - Δια τούτο ο Υψιστος ηυδόκησεν, ώστε να εύρω και να έχω χάριν και ευμένειαν ενώπιον του Ενεμεσσάρου. Εγινα προμηθευτής της βασιλικής αυλής.

Τωβ. 1,14 - καὶ ἐπορευόμην εἰς τὴν Μηδίαν καὶ παρεθέμην Γαβαήλῳ τῷ ἀδελφῷ Γαβρία ἐν Ῥάγοις τῆς Μηδίας ἀργυρίου τάλαντα δέκα.

Τωβ. 1,14 - Μετέβην δε κάποτε εις την Μηδίαν και κατέθεσα στον Γαβαήλον, τον συγγενή του Γαβρία, ο οποίος έμενεν εις Ραγους της Μηδίας, δέκα αργυρά τάλαντα.

Τωβ. 1,15 - Καὶ ὅτε ἀπέθανεν Ἐνεμεσσάρ, ἐβασίλευσε Σενναχηρὶμ ὁ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ, καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκαταστάθησαν, καὶ οὐκ ἔτι ἠδυνάσθην πορευθῆναι εἰς τὴν Μηδίαν.

Τωβ. 1,15 - Οταν απέθανεν ο Ενεμεσσάρ, έγινεν αντ' αυτού βασιλεύς ο υιός του ο Σενναχηρίμ. Η στάσις του όμως απέναντι των Ισραηλιτών δεν ήτο πλέον αγαθή, δια τούτο και εγώ δεν ημπόρεσα πλέον να μεταβώ εις την Μηδίαν.

Τωβ. 1,16 - καὶ ἐν ταῖς ἡμέραις Ἐνεμεσσάρου ἐλεημοσύνας πολλὰς ἐποίουν τοῖς ἀδελφοῖς μου·

Τωβ. 1,16 - Κατά την εποχήν του Ενεμεσσάρου έκαμνα πολλάς ελεημοσύνας στους αδελφούς μου, τους συμπατριώτας μου.

Τωβ. 1,17 - τοὺς ἄρτους μου ἐδίδουν τοῖς πεινῶσι καὶ ἱμάτια τοῖς γυμνοῖς, καὶ εἴ τινα ἐκ τοῦ γένους μου ἐθεώρουν τεθνηκότα καὶ ἐῤῥιμμένον ὀπίσω τοῦ τείχους Νινευῆ, ἔθαπτον αὐτόν.

Τωβ. 1,17 - Εδιδα τρόφιμα στους πεινώντας και ενδύματα στους γυμνούς. Εάν εύρισκα κανένα από το ισραηλιτικόν γένος νεκρόν, ριγμένον πίσω από το τείχος της Νινευή, τον έθαπτον.

Τωβ. 1,18 - καὶ εἴ τινα ἀπέκτεινε Σενναχηρὶμ ὁ βασιλεύς, ὅτε ἦλθε φεύγων ἐκ τῆς Ἰουδαίας, ἔθαψα αὐτοὺς κλέπτων· πολλοὺς γὰρ ἀπέκτεινεν ἐν τῷ θυμῷ αὐτοῦ· καὶ ἐζητήθη ὑπὸ τοῦ βασιλέως τὰ σώματα, καὶ οὐχ εὑρέθη.

Τωβ. 1,18 - Και όσους ακόμη ο βασιλεύς Σενναχηρίμ εφόνευε, όταν έφυγε εντροπιασμένος χωρίς στρατόν, και επέστρεψεν ωργισμένος από την Ιουδαίαν, εγώ τους έθαπτον κρυφίως. Ο βασιλεύς αυτός είχεν επιστρέψει από την Ιουδαίαν με μεγάλον θυμόν και πολλούς Ιουδαίους εθανάτωσε. Ετσι δε τα σώματα των φονευομένων ανεζητήθησαν από τον βασιλέα, αλλά δεν ευρέθησαν.

Τωβ. 1,19 - πορευθεὶς δὲ εἷς τῶν ἐν Νινευῇ, ὑπέδειξε τῷ βασιλεῖ περὶ ἐμοῦ ὅτι θάπτω αὐτούς, καὶ ἐκρύβην· ἐπιγνοὺς δὲ ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα.

Τωβ. 1,19 - Ενας όμως από τους κατοίκους της Νινευή με εφανέρωσε στον βασιλέα ότι εγώ έθαπτα τους νεκρούς. Δια τούτο εγώ εκρύβην. Οταν δε έμαθα ότι με ανεζήτουν, δια να με θανατώσουν, φοβηθείς ανεχώρησα από την Νινευή.

Τωβ. 1,20 - καὶ διηρπάγη πάντα τὰ ὑπάρχοντά μου, καὶ οὐ κατελείφθη μοι οὐδὲν πλὴν Ἄννας τῆς γυναικός μου καὶ Τωβίου τοῦ υἱοῦ μου.

Τωβ. 1,20 - Τοτε ελεηλατήθησαν όλα τα υπάρχοντά μου και δεν μου έμεινε τίποτε άλλο πλην της Αννης της συζύγου μου και του Τωβίου του υιού μου.

Τωβ. 1,21 - καὶ οὐ διῆλθον ἡμέρας πεντήκοντα, ἕως οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο υἱοὶ αὐτοῦ καὶ ἔφυγον εἰς τὰ ὄρη Ἀραράθ, καὶ ἐβασίλευσε Σαχερδονὸς υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ, καὶ ἔταξεν Ἀχιάχαρον τὸν Ἀναὴλ υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλογιστίαν τῆς βασιλείας αὐτοῦ καὶ ἐπὶ πᾶσαν τήν διοίκησιν.

Τωβ. 1,21 - Δεν επέρασαν όμως παρά πεντήκοντα ημέραι και οι δύο υιοί του βασιλέως εφόνευσαν τον πατέρα των και έφυγαν εις τα όρη Αραράθ. Αντί δε αυτού εβασιλευσεν ο υιός του ο Σαχερδονός. Αυτός εγκατέστησε τον Αχιάχαρον, υιόν του αδελφού μου Αναήλ, εις όλην την διαχείρισιν των οικονομικών της βασιλείας του και εις γενικήν διοίκησιν.

Τωβ. 1,22 - καὶ ἠξίωσεν Ἀχιάχαρος περὶ ἐμοῦ, καὶ ἦλθον εἰς Νινευῆ. Ἀχιάχαρος δὲ ἦν ὁ οἰνοχόος καὶ ἐπὶ τοῦ δακτυλίου καὶ διοικητὴς καὶ ἐκλογιστής, καὶ κατέστησεν αὐτὸν ὁ Σαχερδονὸς ἐκ δευτέρας· ἦν δὲ ἐξάδελφός μου.

Τωβ. 1,22 - Αυτός, ο Αχιάχαρος, έκαμε διάβημα προς τον βασιλέα περί εμού και επέστρεψα εις την Νινευή. Ο Αχιάχαρος ήτο οινοχόος του βασιλέως, έφερεν στο χέρι του το επίσημον δακτυλίδι, ήτο γενικός διοικητής και γενικός διαχειριστής. Τον εγκατέστησε δε ο Σαχερδονός εις τας θέσεις αυτάς ως δεύτερον μετά τον εαυτόν του. Ο Αχιάχαρος λοιπόν αυτός ήτο ανεψιός μου.

ΤΩΒΙΤ 2

Τωβ. 2,1 - Ὅτε δὲ κατῆλθον εἰς τὸν οἶκόν μου καὶ ἀπεδόθη μοι Ἄννα ἡ γυνή μου, καὶ Τωβίας ὁ υἱός μου, ἐν τῇ πεντηκοστῇ ἑορτῇ, ἥ ἐστιν ἁγία ἑπτὰ ἑβδομάδων, ἐγενήθη ἄριστον καλόν μοι, καὶ ἀνέπεσα τοῦ φαγεῖν.

Τωβ. 2,1 - Οταν επανήλθα στο σπίτι μου, μου απεδόθη η σύζυγός μου η Αννα και ο υιός μου ο Τωβίας. Κατά την εορτήν της Πεντηκοστής, εορτήν που γίνεται επτά εβδομάδας μετά το Πασχα, παρεκαθήσαμεν εις ένα πλούσιον γεύμα. Ανεκλίθην εις την χαμηλήν κλίνην, δια να φάγω.

Τωβ. 2,2 - καὶ ἐθεασάμην ὄψα πολλὰ καὶ εἶπα τῷ υἱῷ μου· βάδισον καὶ ἄγαγε ὃν ἂν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ, ὃς μέμνηται τοῦ Κυρίου, καὶ ἰδοὺ μένω σε.

Τωβ. 2,2 - Παρετήρησα όμως ότι ήσαν πολλά τα παρατεθέντα φαγητά και είπα στο παιδί μου· Πηγαινε εξω και φέρε εδώ όποιον πτωχόν θα εύρης εκ των αδελφών μας των Ισραηλιτών, ο οποίος μένει πιστός στον Κυριον. Ιδού εγώ σε περιμένω.

Τωβ. 2,3 - καὶ ἐλθὼν εἶπε· πάτερ, εἷς ἐκ τοῦ γένους ἡμῶν ἐστραγγαλωμένος ἔῤῥιπται ἐν τῇ ἀγορᾷ.

Τωβ. 2,3 - Ο υιός μου επέστρεψε και είπε· “Πατερ, υπάρχει ένας από το γένος μας, στραγγαλισμένος όμως και ριγμένος εις την αγοράν”.

Τωβ. 2,4 - κἀγὼ πρὶν ἢ γεύσασθαί με, ἀναπηδήσας ἀνειλόμην αὐτὸν εἴς τι οἴκημα, ἕως οὗ ἔδυ ὁ ἥλιος.

Τωβ. 2,4 - Εγώ πριν αρχίσω να δοκιμάζω το φαγητόν μου, ανεπήδησα από την θέσιν μου, επήγα, τον επήρα, τον έβαλα σε κάποιο οίκημα, έως ότου εβασίλεψεν ο ήλιος.

Τωβ. 2,5 - καὶ ἐπιστρέψας ἐλουσάμην καὶ ἤσθιον τὸν ἄρτον μου ἐν λύπῃ·

Τωβ. 2,5 - Επέστρεψα στο σπίτι, επλύθηκα και έτρωγα το φάγητόν μου λυπημένος.

Τωβ. 2,6 - καὶ ἐμνήσθην τῆς προφητείας Ἀμώς, καθὼς εἶπε· στραφήσονται αἱ ἑορταὶ ὑμῶν εἰς πένθος καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς θρῆνον,

Τωβ. 2,6 - Τοτε ενεθυμήθην την προφητείαν του Αμώς, ο οποίος είχεν είπει “αι εορταί σας θα μεταστραφούν εις πένθος και ότι όλαι αι ευφροσύναι σας θα μεταβληθούν εις θρήνον”.

Τωβ. 2,7 - καὶ ἔκλαυσα. καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην καὶ ὀρύξας ἔθαψα αὐτόν.

Τωβ. 2,7 - Εκλαυσα τότε. Οταν δε εβασιλευσεν ο ήλιος, επήγα, ήνοιξα τάφον και έθαψα εκείνον.

Τωβ. 2,8 - καὶ οἱ πλησίον ἐπεγέλων λέγοντες· οὐκ ἔτι φοβεῖται φονευθῆναι περὶ τοῦ πράγματος τούτου, καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει τοὺς νεκρούς.

Τωβ. 2,8 - Οι γύρω μου άνθρωποι με ενέπαιζον και έλεγαν μεταξύ των· “Παλιν δεν φοβείται, μήπως φονευθή δια το έργον αυτό που κάνει. Δια το

ίδιον έργον άλλοτε εδραπέτευσε, δια να αποφύγη την καταδίκην. Και ιδού, πάλιν θάπτει τους νεκρούς”.

Τωβ. 2,9 - καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνέλυσα θάψας καὶ ἐκοιμήθην μεμιαμμένος παρὰ τὸν τοῖχον τῆς αὐλῆς, καὶ τὸ πρόσωπόν μου ἀκάλυπτον ἦν.

Τωβ. 2,9 - Κατά την νύκτα αυτήν, αφού έθαψα εκείνον, επέστρεψα στο σπίτι μου. Επειδή όμως ήμουν, σύμφωνα με τον νόμον του Μωυσέως, ακάθαρτος, δεν εισήλθον στον οίκον μου, αλλά εκοιμήθην πλησίον του τοίχου της αυλής. Το πρόσωπόν μου το είχα ακάλυπτον.

Τωβ. 2,10 - καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ ἐστί, καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδευσαν τὰ στρουθία θερμὸν εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγενήθη λευκώματα ἐν τοῖς ὀφθαλμοῖς μου. καὶ ἐπορεύθην πρὸς ἰατρούς, καὶ οὐκ ὠφέλησάν με· Ἀχιάχαρος δὲ ἔτρεφέ με, ἕως οὗ ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα.

Τωβ. 2,10 - Δεν εγνώριζα δε ότι στον τοίχον εκείνον υπήρχον στρουθία. Και την στιγμήν που είχα ανοίξει τα μάτια μου, τα στρουθία αφήκαν να πέση θερμή η ακαθαρσία των επάνω στους οφθαλμούς μου. Και οι οφθαλμοί μου έπαθαν λευκώματα. Επήγα στους ιατρούς, αλλά ματαίως. Τιποτε δεν με ωφέλησαν. Κατά το διάστημα της τυφλώσεώς μου με διέτρεφεν ο Αχιάχαρος, έως ότου μετέβην εις την Ελυμαΐδα.

Τωβ. 2,11 - καὶ ἡ γυνή μου Ἄννα ἠριθεύετο ἐν τοῖς γυναικείοις·

Τωβ. 2,11 - Η σύζυγός μου η Αννα ησχολείτο με γυναικείας εργασίας.

Τωβ. 2,12 - καὶ ἀπέστελλε τοῖς κυρίοις, καὶ ἀπέδωκαν αὐτῇ καὶ αὐτοὶ τὸν μισθὸν προσδόντες καὶ ἔριφον.

Τωβ. 2,12 - Εστελλε δε και επωλούσε τα προϊόντα της εργασίας της στους εμπόρους. Εκείνοι δε της έδιδαν το αντίτιμον της εργασίας της. Καποτε της έδωσαν επί πλέον ως δώρον ένα ερίφιον.

Τωβ. 2,13 - ὅτε δὲ ἦλθε πρός με, ἤρξατο κράζειν· καὶ εἶπα αὐτῇ· πόθεν τὸ ἐρίφιον; μὴ κλεψιμαῖόν ἐστιν; ἀπόδος αὐτὸ τοῖς κυρίοις· οὐ γὰρ θεμιτόν ἐστι φαγεῖν κλεψιμαῖον.

Τωβ. 2,13 - Οταν δε αυτή ήλθε κοντά μου, το ερίφιον ήρχισε να βελάζη. Τοτε της είπα· από που προέρχεται το ερίφιον; Μηπως είναι από κλεψιά; Να το επιστρέψης στους κυρίους του, διότι δεν επιτρέπεται να φάγωμεν κλοπιμαίον.

Τωβ. 2,14 - ἡ δὲ εἶπε· δῶρον δέδοταί μοι ἐπὶ τῷ μισθῷ. καὶ οὐκ ἐπίστευον αὐτῇ καὶ ἔλεγον ἀποδιδόναι αὐτὸ τοῖς κυρίοις καί ἠρυθρίων πρὸς αὐτήν· ἡ δὲ ἀποκριθεῖσα εἶπέ μοι· ποῦ εἰσιν αἱ ἐλεημοσύναι σου καὶ αἱ δικαιοσύναι σου; ἰδοὺ γνωστὰ πάντα μετὰ σοῦ.

Τωβ. 2,14 - Εκείνη είπε· “Είναι δώρον, το οποίον μου έχει δοθήεπί πλέον από τον μισθόν μου”. Δεν επίστευα όμως εις αυτήν και της έλεγα να το

επιστρέψη στους κυρίους του. Είχα δε κοκκινίσει από τα μαλλώματα προς την σύζυγόν μου. Και εκείνη πικραμμένη από τας υποψίας μου απεκρίθη και μου είπε· “που είναι αι ελεημοσύναι σου και αι άλλαι δίκαιαι πράξεις σου; Ιδού, και συ και τα έργα σου είναι γνωστά”.

ΤΩΒΙΤ 3

Τωβ. 3,1 - Καὶ λυπηθεὶς ἔκλαυσα καὶ προσευξάμην μετ᾿ ὀδύνης λέγων·

Τωβ. 3,1 - Ελυπήθην από τα λόγια της γυναικός μου, έκλαυσα και προσηυχήθην με μεγάλην οδύνην λέγων·

Τωβ. 3,2 - δίκαιος εἶ, Κύριε, καὶ πάντα τὰ ἔργα σου καὶ πᾶσαι αἱ ὁδοί σου ἐλεημοσύναι καὶ ἀλήθεια, καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ κρίνεις εἰς τὸν αἰῶνα.

Τωβ. 3,2 - Δικαιος είσαι, Κυριε, και όλοι οι τρόποι της ενεργείας σου είναι ελεημοσύναι και αλήθεια. Συ πάντοτε κρίνεις αληθινήν και δικαίαν κρίσιν.

Τωβ. 3,3 - μνήσθητί μου καὶ ἐπίβλεψον ἐπ᾿ ἐμέ· μή με ἐκδικήσῃς ταῖς ἁμαρτίαις μου καὶ τοῖς ἀγνοήμασί μου καὶ τῶν πατέρων μου, ἃ ἥμαρτον ἐνώπιόν σου·

Τωβ. 3,3 - Μνήσθητί μου, λοιπόν, Κυριε, και ρίψε ένα σπλαγχνικόν βλέμμα σου εις εμέ. Μη με τιμωρήσης τόσον δια τας αμαρτίας τας οποίας έκαμα εν γνώσει, όσον και δια τας εξ αγνοίας, όπως επίσης και δια τας αμαρτίας των προγόνων μου, οίτινες ημάρτησαν απέναντί σου.

Τωβ. 3,4 - παρήκουσαν γὰρ τῶν ἐντολῶν σου, καὶ ἔδωκας ἡμᾶς εἰς διαρπαγὴν καὶ αἰχμαλωσίαν καὶ θάνατον καὶ παραβολὴν ὀνειδισμοῦ πᾶσι τοῖς ἔθνεσιν, ἐν οἷς ἐσκορπίσμεθα.

Τωβ. 3,4 - Διότι αυτοί παρήκουσαν τας εντολάς σου και παρέδωκες ημάς εις λεηλασίαν και αιχμαλωσίαν και θάνατον και εις ονειδισμόν μεταξύ όλων των εθνών, εν μέσω των οποίων είμεθα διασκορπισμένοι

Τωβ. 3,5 - καὶ νῦν πολλαὶ αἱ κρίσεις σού εἰσι καὶ ἀληθιναὶ ἐξ ἐμοῦ ποιῆσαι περὶ τῶν ἁμαρτιῶν μου καὶ τῶν πατέρων μου, ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς σου· οὐ γὰρ ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου.

Τωβ. 3,5 - Και τώρα, Κυριε, ομολογώ, ότι πολλαί, αλλά και δίκαιαι, είναι αι τιμωρίαι σου εναντίον εμού, ένεκα των ιδικών μου αμαρτιών και των αμαρτιών των προγόνων μου, διότι δεν ετηρήσαμεν τας εντολάς σου. Δεν επορεύθημεν κατά αλήθειαν ενώπιόν σου.

Τωβ. 3,6 - καὶ νῦν κατὰ τὸ ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ᾿ ἐμοῦ· ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου, ὅπως ἀπολυθῶ καὶ γένωμαι γῆ· διότι λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι ὀνειδισμοὺς ψευδεῖς ἤκουσα, καὶ λύπη

ἐστὶ πολλὴ ἐν ἐμοί· ἐπίταξον ἀπολυθῆναί με τῆς ἀνάγκης ἤδη εἰς τὸν αἰώνιον τόπον, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ.

Τωβ. 3,6 - Και τώρα κάμε, Κυριε, εις εμέ ο,τι εις σε φαίνεται αρεστόν. Διάταξε να αναλάβουν την ψυχήν μου, δια να απαλλαγώ από το σώμα, και το σώμα τούτο να γίνη χώμα. Διότι είναι ωφελιμώτερον δι' εμέ να αποθάνω παρά να ζω, αφού τόσους ψευδείς χλευασμούς ήκουσα και μεγάλη λύπη έχει καταλάβει την ψυχήν μου. Διάταξε, λοιπόν, να λυτρωθώ δια του θανάτου από την θλίψιν αυτήν και να μεταβώ στον αιώνιον τόπον. Μη αποστρέψης, Κυριε, το πρόσωπόν σου από εμέ.

Τωβ. 3,7 - Ἐν τῇ αὐτῇ ἡμέρᾳ συνέβη τῇ θυγατρὶ Ῥαγουὴλ Σάῤῥᾳ ἐν Ἐκβατάνοις τῆς Μηδίας καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδισκῶν πατρὸς αὐτῆς,

Τωβ. 3,7 - Κατά την ημέραν εκείνην, η θυγάτηρ του Ραγουήλ η Σαρρα, η οποία έμενεν εις τα Εκβάτανα της Μηδίας, συνέβη να χλευασθή από μερικάς από τας δούλας του πατρός της.

Τωβ. 3,8 - ὅτι ἦν δεδομένη ἀνδράσιν ἑπτά, καὶ Ἀσμοδαῖος τὸ πονηρὸν δαιμόνιον ἀπέκτεινεν αὐτοὺς πρὶν ἢ γενέσθαι αὐτοὺς μετ᾿ αὐτῆς ὡς ἐν γυναιξί. καὶ εἶπαν αὐτῇ· οὐ συνιεῖς ἀποπνίγουσά σου τοὺς ἄνδρας; ἤδη ἑπτὰ ἔσχες καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης·

Τωβ. 3,8 - Διότι η Σαρρα είχε δοθή διαδοχικώς ως σύζυγος εις επτά άνδρας, αλλά ο Ασμοδαίος, το πονηρόν πνεύμα, τους εφόνευεν πριν εκείνοι έλθουν εις ένωσιν με αυτήν ως προς σύζυγον. Ελεγαν, δηλαδή, αι δούλαι αύταί προς αυτήν· “δεν εννοείς και δεν συναισθάνεσαι το κακόν, το οποίον κάνεις που γίνεσαι αφορμή να φονεύωνται οι άνδρες; Εως τώρα επτά συζύγους επήρες και ούτε ενός εξ αυτών δεν επήρες το όνομα.

Τωβ. 3,9 - τί ἡμᾶς μαστιγοῖς; εἰ ἀπέθαναν, βάδιζε μετ᾿ αὐτῶν· μὴ ἴδοιμέν σου υἱὸν ἢ θυγατέρα εἰς τὸν αἰῶνα.

Τωβ. 3,9 - Διατί μας μαστιγώνεις; Αφού εκείνοι εφονεύθησαν από το πονηρόν πνεύμα, πήγαινε και συ μαζή των. Ποτέ στον αιώνα τον άπαντα να μη ίδωμεν ιδικόν σου υιόν η θυγατέρα!”

Τωβ. 3,10 - ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα ὥστε ἀπάγξασθαι. καὶ εἶπε· μία μέν εἰμι τῷ πατρί μου· ἐὰν ποιήσω τοῦτο, ὄνειδος αὐτῷ ἔσται, καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετ᾿ ὀδύνης εἰς ᾅδου.

Τωβ. 3,10 - Οταν εκείνη ήκουσε τα λόγια αυτά, εκυριεύθη από πολύ μεγάλην λύπην, ώστε εσκέφθη να απαγχονισθή. Εσκέφθη λογικώτερα όμως και είπεν· “εγώ μία και μονογενής θυγάτηρ είμαι στον πατέρα μου. Εάν κάμω αυτό το οποίον εσκέφθην, μεγάλο όνειδος θα πέση επάνω εις αυτόν. Και θα κρημνίσω τα γηρατεία του με πολλήν οδύνην στον άδην”.

Τωβ. 3,11 - καὶ ἐδεήθη πρὸς τῇ θυρίδι καὶ εἶπεν· εὐλογητὸς εἶ, Κύριε ὁ Θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔντιμον εἰς τοὺς

αἰῶνας· εὐλογήσαισάν σε πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶνα.

Τωβ. 3,11 - Εβγήκεν εις την θύραν της οικίας της, ύψωσεν εις θερμήν προσευχήν τα μάτια της προς τον ουρανόν και είπεν· “Δοξασμένος είσαι, συ, Κυριε ο Θεός μου, και ευλογημένον και δοξασμένον ας είναι το όνομά σου το άγιον στους αιώνας των αιώνων. Ολα τα έργα σου ας αναπέμπουν δόξαν και ύμνον προς σε στον αιώνα.

Τωβ. 3,12 - καὶ νῦν, Κύριε, τοὺς ὀφθαλμούς μου καὶ τὸ πρόσωπόν μου εἰς σὲ δέδωκα·

Τωβ. 3,12 - Και τώρα, Κυριε, στρέφω το πρόσωπόν μου προς σε και προς σε υψώνω τους οφθαλμούς μου.

Τωβ. 3,13 - εἰπὸν ἀπολῦσαί με ἀπὸ τῆς γῆς καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν.

Τωβ. 3,13 - Εσκέφθηκα να αυτοκτονήσω, δια να φύγω από τον κόσμον αυτόν, ώστε να μη ακούω πλέον τους ονειδισμούς αυτούς εις βάρος μου.

Τωβ. 3,14 - σὺ γινώσκεις, Κύριε, ὅτι καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρὸς

Τωβ. 3,14 - Συ, Κυριε, γνωρίζεις ότι είμαι καθαρά και αμόλυντος από κάθε αμαρτίαν εξ επαφής με άνδρα.

Τωβ. 3,15 - καὶ οὐκ ἐμόλυνα τὸ ὄνομά μου οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου. μονογενής εἰμι τῷ πατρί μου, καὶ οὐχ ὑπάρχει αὐτῷ παιδίον, ὃ κληρονομήσει αὐτόν, οὐδὲ ἀδελφὸς ἐγγὺς οὐδὲ ὑπάρχων αὐτῷ υἱός, ἵνα συντηρήσω ἐμαυτὴν αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι ἑπτά· ἵνα τί μοι ζῆν; καὶ εἰ μὴ δοκεῖ σοι ἀποκτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ᾿ ἐμὲ καὶ ἐλεῆσαί με καὶ μηκέτι ἀκοῦσαί με ὀνειδισμόν.

Τωβ. 3,15 - Δεν εμόλυνα το όνομά μου ούτε το όνομα του πατρός μου εις την χώραν αυτήν της αιχμαλωσίας μου. Γνωρίζεις, Κυριε, ότι είμαι μονογενής θυγάτηρ στον πατέρα μου και δεν έχει αυτός άλλο παιδί, το όποιον θα τον κληρονομήση. Δεν έχει δε άλλον στενόν συγγενή η υιόν στενού συγγενούς του, ώστε να δώσω τον εαυτόν μου εις εκείνον ως σύζυγον. Ως τώρα έχουν χαθή, Κυριε, επτά άνδρες μου. Διατί πλέον να ζω; Εάν δεν είναι αρεστόν εις σέ, Κυριε, να με πάρης από τον κόσμον αυτόν, δώσε εις κάποιον ευμενή διάθεσιν δι' εμέ και να με ελεήση, ώστε να λάβω αυτόν ως σύζυγον, δια να μη ακούω πλέον τους ονειδισμούς αυτούς”.

Τωβ. 3,16 - Καὶ εἰσηκούσθη προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς δόξης τοῦ μεγάλου Ῥαφαήλ,

Τωβ. 3,16 - Η προσευχή και των δύο, του Τωβίτ και της Σαρρας, έγινε δεκτή ενώπιον του ενδόξου και μεγάλου Ραφαήλ.

Τωβ. 3,17 - καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο, τοῦ Τωβὶτ λεπίσαι τὰ λευκώματα καὶ Σάῤῥαν τὴν τοῦ Ῥαγουὴλ δοῦναι Τωβίᾳ τῷ υἱῷ Τωβὶτ

γυναῖκα καὶ δῆσαι Ἀσμοδαῖον τὸ πονηρὸν δαιμόνιον, διότι Τωβίᾳ ἐπιβάλλει κληρονομῆσαι αὐτήν. ἐν αὐτῷ τῷ καιρῷ ἐπιστρέψας Τωβὶτ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ Σάῤῥα ἡ τοῦ Ῥαγουὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.

Τωβ. 3,17 - Απεστάλη παρά του Θεού εκ του ουρανού ο Ραφαήλ, δια να εκπληρώση τα αιτήματα και των δύο. Του μεν Τωβίτ να θεραπεύση τα λευκώματα των οφθαλμών του, και να καθαρίση αυτούς από τα λέπια, εις δε την Σαρραν, την θυγατέρα του Ραγουήλ, να δώση ως σύζυγον τον Τωβίαν τον υιόν του Τωβίτ, και να δέση το κακοποιόν πνεύμα, τον Ασμοδαίον. Αλλωστε στον Τωβίαν ήτο δίκαιον να δοθή ως σύζυγος και κληρονομία η Σαρρα. Κατά την αυτήν ώραν ο μεν Τωβίτ επέστρεψε και εισήλθεν εις την οικίαν του, η δε Σαρρα, η κόρη του Ραγουήλ, κατέβη από το υπερώον της.

ΤΩΒΙΤ 4

Τωβ. 4,1 - Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβὶτ περὶ τοῦ ἀργυρίου, οὗ παρέθετο Γαβαὴλ ἐν Ῥάγοις τῆς Μηδίας,

Τωβ. 4,1 - Κατά την ημέραν εκείνην, που συνέβησαν τα γεγονότα αυτά, ενεθυμήθη ο Τωβίτ τα χρήματα, τα οποία είχε παραδώσει στον Γαβαήλ, ο οποίος έμενεν στους Ραγους της Μηδίας.

Τωβ. 4,2 - καὶ εἶπεν ἐν ἑαυτῷ· ἐγὼ ᾐτησάμην θάνατον, τί οὐ καλῶ Τωβίαν τὸν υἱόν μου, ἵνα αὐτῷ ὑποδείξω πρὶν ἀποθανεῖν με;

Τωβ. 4,2 - Ο Τωβίτ εσκέφθη και είπεν στον εαυτόν του· Εγώ παρεκάλεσα τον Θεόν να με πάρη από τον κόσμον αυτόν. Διατί, πριν πεθάνω, δεν καλώ τον υιόν μου τον Τωβίαν, να του φανερώσω την υπόθεσιν των χρημάτων αυτών;

Τωβ. 4,3 - καὶ καλέσας αὐτὸν εἶπε· παιδίον, ἐὰν ἀποθάνω, θάψον με, καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου· τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ καὶ μὴ λυπήσῃς αὐτήν.

Τωβ. 4,3 - Εκάλεσε, λοιπόν, αυτόν και του είπε· “Παιδί μου, όταν αποθάνω, να με θάψης· και πρόσεχε, να μη καταφρονήσης και παραμελήσης την μητέρα σου. Να τιμάς αυτήν όλας τας ημέρας της ζωής σου και να πράττης το ευάρεστον εις αυτήν. Ποτέ να μη την λυπήσης.

Τωβ. 4,4 - μνήσθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ· ὅταν ἀποθάνῃ, θάψον αὐτὴν παρ᾿ ἐμοὶ ἐν ἑνὶ τάφῳ.

Τωβ. 4,4 - Θυμήσου, παιδί μου, ότι πολλούς κινδύνους επέρασε δια σέ, όταν ακόμη σε είχεν εν τη κοιλία της. Οταν αποθάνη, θάψε την κοντά μου στον ίδιον τάφον.

Τωβ. 4,5 - πάσας τὰς ἡμέρας, παιδίον, Κυρίου τοῦ Θεοῦ ἡμῶν μνημόνευε καὶ μὴ θελήσῃς ἁμαρτάνειν καὶ παραβῆναι τὰς ἐντολὰς αὐτοῦ.

δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας·

Τωβ. 4,5 - Παιδί μου, όλας τας ημέρας της ζωής σου να ενθυμήσαι Κυριον τον Θεόν μας. Μη θελήσης ποτέ να διαπράξης αμαρτίαν και να παραβής τας εντολάς αυτού. Ολας τας ημέρας της ζωής σου να πράττης το δίκαιον και το ορθόν. Ποτέ δε να μη βαδίσης τους δρόμους της αδικίας.

Τωβ. 4,6 - διότι ποιοῦντός σου τὴν ἀλήθειαν, εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην.

Τωβ. 4,6 - Διότι, όταν συ πράττης το αληθές, το σύμφωνον προς τας εντολάς του Κυρίου, θα κατευοδώνωνται τα έργα σου, όπως και όλων εκείνων οι οποίοι εφαρμόζουν δικαιοσύνην.

Τωβ. 4,7 - ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ Θεοῦ.

Τωβ. 4,7 - Από τα υπάρχοντά σου δίδε ελεημοσύνην. Μη στενοχωρηθή και μη λυπηθή το μάτι σου, όταν πράττης ελεημοσύνην. Μη γυρίσης αλλού το πρόσωπόν σου από κάθε πτωχόν τότε δε και το πρόσωπον του Θεού δεν θα αποστραφή ποτέ από σέ.

Τωβ. 4,8 - ὡς σοὶ ὑπάρχει κατὰ τὸ πλῆθος, ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην·

Τωβ. 4,8 - Ανάλογα με τα αγαθά, τα οποία έχεις, κάμνε ελεημοσύνην. Εάν έχης ολίγα, από τα ολίγα αυτά μη φοβηθής να ελεήσης.

Τωβ. 4,9 - θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης·

Τωβ. 4,9 - Διότι έχε υπ' όψιν σου ότι, όταν κάμνης ελεημοσύνην, καταθέτεις πλούσιον θησαυρόν δια τον εαυτόν σου εις ημέρας ανάγκης σου.

Τωβ. 4,10 - διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος·

Τωβ. 4,10 - Διότι η ελεημοσύνη γλυτώνει τον άνθρωπον από τον αιώνιον θάνατον και δεν τον αφήνει να εισέλθη και να μείνη στο σκότος του άδου.

Τωβ. 4,11 - δῶρον γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ Ὑψίστου.

Τωβ. 4,11 - Είναι δώρον αγαθόν η ελεημοσύνη δι' όλους εκείνους, οι οποίοι την ασκούν ενώπιον του υψίστου Θεού και εις δόξαν του Θεού.

Τωβ. 4,12 - πρόσεχε σεαυτῷ, παιδίον, ἀπὸ πάσης πορνείας καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρματος τῶν πατέρων σου· μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν, ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ πατρός σου, διότι υἱοὶ προφητῶν ἐσμεν. Νῶε, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, οἱ πατέρες ἡμῶν ἀπὸ τοῦ αἰῶνος· μνήσθητι, παιδίον, ὅτι αὐτοὶ πάντες ἔλαβον γυναῖκας ἐκ τῶν ἀδελφῶν

αὐτῶν καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις αὐτῶν, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Τωβ. 4,12 - Πρόσεχε, παιδί μου, τον εαυτόν σου από κάθε παρνείαν. Σου δίδω μίαν πρωταρχικής σπουδαιότητας συμβουλήν· να λάβης ως σύζυγόν σου γυναίκα από τους απογόνους των προγόνων σου. Μη πάρης σύζυγον αλλόθρησκον και αλλοεθνή, η οποία δεν ανήκει εις την φυλήν του πατρός σου. Διότι ημείς είμεθα τέκνα των προφητών. Ο Νώε, ο Αβραάμ, ο Ισαάκ, ο Ιακώβ, είναι οι από αρχαιοτάτων χρόνων ευλογημένοι πρόγονοί μας. Ενθυμήσου, παιδί μου, ότι αυτοί όλοι επήραν συζύγους από τους ομοεθνείς των. Και είδαν πλουσίας τας ευλογίας του Θεού εις τα τέκνα των, οι δε απόγονοί των θα κληρονομήσουν την γην.

Τωβ. 4,13 - καὶ νῦν, παιδίον, ἀγάπα τοὺς ἀδελφούς σου καὶ μὴ ὑπερηφανεύου τῇ καρδίᾳ σου ἀπὸ τῶν ἀδελφῶν σου καὶ τῶν υἱῶν καὶ θυγατέρων τοῦ λαοῦ σου λαβεῖν σεαυτῷ ἐξ αὐτῶν γυναῖκα· διότι ἐν τῇ ὑπερηφανίᾳ ἀπώλεια καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ ἀχρειότητι ἐλάττωσις καὶ ἔνδεια μεγάλη· ἡ γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ λιμοῦ.

Τωβ. 4,13 - Και τώρα, παιδί μου, άκουσε και αυτήν την συμβουλήν μου. Να αγαπάς τους ομοεθνείς σου. Να μη αλαζονευθής εις την καρδίαν σου απέναντι των αδελφών σου και των υιών και των θυγατέρων του λαού σου, ώστε να μη καταδεχθής να λάβης σύζυγον από τας θυγατέρας του λαού. Διότι μέσα εις την υπερηφάνειαν υπάρχει ο όλεθρος και πολλή αναστάτωσις, μέσα δε εις την ράθυμον και απράγμονα ζωήν υπάρχει ξεπεσμός και μεγάλη φτώχεια, διότι η ραθυμία και η τεμπελιά είναι η μητέρα της πείνας.

Τωβ. 4,14 - μισθὸς παντὸς ἀνθρώπου, ὃς ἐὰν ἐργάσηται παρὰ σοί, μὴ αὐλισθήτω, ἀλλ᾿ ἀπόδος αὐτῷ παραυτίκα, καὶ ἐὰν δουλεύσῃς τῷ Θεῷ, ἀποδοθήσεταί σοι. πρόσεχε σεαυτῷ, παιδίον, ἐν πᾶσι τοῖς ἔργοις σου καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ ἀναστροφῇ σου.

Τωβ. 4,14 - Μη κρατήσης, έστω και επί ολίγον χρόνον, τον μισθόν παντός ανθρώπου, ο οποίος θα εργασθή εις την υπηρεσίαν σου, αλλά να του τον αποδώσης αμέσως. Ετσι δε και ο Θεός θα αποδώση εις σε τον μισθόν σου, εάν εργασθής εις αυτόν. Πρόσεχε τον εαυτόν σου, παιδί μου, εις όλα τα έργα σου και να είσαι συνετός και ευγενής εις όλην σου την συμπεριφοράν.

Τωβ. 4,15 - καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. οἶνον εἰς μέθην μὴ πίῃς, καὶ μὴ πορευθήτω μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου.

Τωβ. 4,15 - Εκείνο το οποίον συ αποστρέφεσαι και δεν θέλεις οι άλλοι να το κάμουν εις σέ, μη το κάμη και συ εις κανένα. Ποτέ να μη πίνης οίνον μέχρι μέθης και ποτέ να μη συναναστροφής με μεθυσμένους εις την πορείαν του βίου σου.

Τωβ. 4,16 - ἐκ τοῦ ἄρτου σου δίδου πεινῶντι καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμνοῖς· πᾶν, ὃ ἐὰν περισσεύσῃ σοι, ποίει ἐλεημοσύνην, καὶ μὴ

φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην.

Τωβ. 4,16 - Από το ψωμί σου δίδε εις εκείνον, που πεινά, και από τα ενδύματά σου δίδε εις εκείνους, οι οποίοι είναι γυμνοί. Ο,τι σου περισσεύει δώσε το ελεημοσύνην και ας μη λυπηθή ποτέ ο οφθαλμός σου, όταν συ πράττης ελεημοσύνην.

Τωβ. 4,17 - ἔκχεον τοὺς ἄρτους σου ἐπὶ τὸν τάφον τῶν δικαίων καὶ μὴ δῷς τοῖς ἁμαρτωλοῖς.

Τωβ. 4,17 - Διδε απλοχερα τους άρτους σου κατά τον εντάφιασμόν των δικαίων, μη δίδης όμως δια τους αμετανοήτους πονηρούς και κακούς.

Τωβ. 4,18 - συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον καὶ μὴ καταφρονήσῃς ἐπί πάσης συμβουλίας χρησίμης.

Τωβ. 4,18 - Να επιζητής πάντοτε συμβουλήν από κάθε σοφόν και φρόνιμον άνθρωπον και ποτέ να μη καταφρονήσης συμβουλήν συνετήν και χρήσιμον.

Τωβ. 4,19 - καὶ ἐν παντὶ καιρῷ εὐλόγει Κύριον τὸν Θεὸν καὶ παρ᾽ αὐτοῦ αἴτησον, ὅπως αἱ ὁδοί σου εὐθεῖαι γένωνται, καὶ πᾶσαι αἱ τρίβοι καὶ βουλαί σου εὐοδωθῶσι· διότι πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλ᾽ αὐτὸς ὁ Κύριος δίδωσι πάντα τὰ ἀγαθὰ καὶ ὃν ἐὰν θέλῃ, ταπεινοῖ, καθὼς βούλεται. καὶ νῦν, παιδίον, μνημόνευε τῶν ἐντολῶν μου, καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας σου.

Τωβ. 4,19 - Παντοτε εις κάθε καιρόν να δοξολογής Κυριον τον Θεόν και από αυτόν ζήτησε να είναι ευθείαι αι πορείαι του βίου σου, και να κατευοδώνη πάντοτε όλας τας οδούς και τας αποφάσεις σου. Διότι τα ειδωλολατρικά έθνη δεν έχουν σκέψεις και αποφάσεις ορθάς. Αλλά μόνον ο Κυριος δίδει όλα τα αγαθά και αυτός όποιον θέλει, τον ταπεινώνει κατά την βουλήν του. Και τώρα, παιδί μου, να ενθυμήσαι πάντοτε αυτάς τας εντολάς μου, και να μη εξαλειφθούν ποτέ από την καρδίαν σου.

Τωβ. 4,20 - καὶ νῦν ὑποδεικνύω σοι τὰ δέκα τάλαντα τοῦ ἀργυρίου, ἃ παρεθέμην Γαβαήλῳ τῷ τοῦ Γαβρία ἐν Ῥάγοις τῆς Μηδίας.

Τωβ. 4,20 - Και τώρα τελευταία σου καθιστώ γνωστόν το ποσόν των δέκα αργυρών ταλάντων, τα οποία έχω καταθέσει στον Γαβαήλον, τον συγγενή του Γαβρία, ο οποίος μένει στους Ραγους της Μηδίας.

Τωβ. 4,21 - καὶ μὴ φοβοῦ, παιδίον, ὅτι ἐπτωχεύσαμεν· ὑπάρχει σοι πολλά, ἐὰν φοβηθῇς τὸν Θεόν, καὶ ἀποστῇς ἀπὸ πάσης ἁμαρτίας καὶ ποιήσῃς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ.

Τωβ. 4,21 - Μη φοβήσαι, παιδί μου, επειδή εγίναμεν πτωχοί, διότι υπάρχουν και θα υπάρχουν εις σε πολλά αγαθά, εάν ευλαβήσαι τον Θεόν, εάν απομακρυνθής από κάθε αμαρτίαν και πράξης κάθε τι, το οποίον είναι ευάρεστον ενώπιον του Θεού”.

ΤΩΒΙΤ 5

Τωβ. 5,1 - Καὶ ἀποκριθεὶς Τωβίας εἶπεν αὐτῷ· πάτερ, ποιήσω πάντα, ὅσα ἐντέταλσαί μοι·

Τωβ. 5,1 - Απεκρίθη ο Τωβίας και είπε προς αυτόν· “πάτερ μου, θα πράξω όλας τας εντολάς όσας μου έδωσες.

Τωβ. 5,2 - ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον καὶ οὐ γινώσκω αὐτόν;

Τωβ. 5,2 - Αλλά ειδικώς δια τα χρήματα, πως θα ημπορέσω να τα πάρω, αφού δεν γνωρίζω αυτόν τον άνθρωπον;”

Τωβ. 5,3 - καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον καὶ εἶπεν αὐτῷ· ζήτησον σεαυτῷ ἄνθρωπον, ὃς συμπορεύσεταί σοι, καὶ δώσω αὐτῷ μισθὸν ἕως ζῶ· καὶ λαβὲ πορευθεὶς τὸ ἀργύριον.

Τωβ. 5,3 - Ο πατήρ έδωκεν εις αυτόν την χειρόγραφον απόδειξιν της καταθέσεως των χρημάτων και του είπε· “αναζήτησε και ευρέ ένα άνθρωπον, ο οποίος θα έλθη μαζή σου προς τον Γαβαήλον, και εις αυτόν εγώ τον συνοδόν σου θα δώσω τον μισθόν του, εφ' όσον ζω ακόμη. Πηγαινε λοιπόν εκεί, δια να αναλάβης τα χρήματα”.

Τωβ. 5,4 - καὶ ἐπορεύθη ζητῆσαι ἄνθρωπον καὶ εὗρε τὸν Ῥαφαήλ, ὃς ἦν ἄγγελος, καὶ οὐκ ᾔδει·

Τωβ. 5,4 - Ο Τωβίας εξήλθε, δια να αναζητήση άνθρωπον ως συνοδόν του. Ευρήκε δε τον Ραφαήλ, ο οποίος ήτο άγγελος, αλλά ο Τωβίας δεν το εγνώριζεν αυτό.

Τωβ. 5,5 - καὶ εἶπεν αὐτῷ· εἰ δύναμαι πορευθῆναι μετὰ σοῦ ἐν Ῥάγοις τῆς Μηδίας, καὶ εἰ ἔμπειρος εἶ τῶν τόπων;

Τωβ. 5,5 - Ηρώτησε, λοιπόν, τον άγγελον· “Μηπως γνωρίζης τους τόπους εκείνους στους Ραγους της Μηδίας και είναι δυνατόν να έλθω και εγώ μαζή σου;”

Τωβ. 5,6 - καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· πορεύσομαι μετὰ σοῦ καὶ τῆς ὁδοῦ ἐμπειρῶ καὶ παρὰ Γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ηὐλίσθην.

Τωβ. 5,6 - Ο άγγελος του απήντησε· “θα πορευθώ μαζή σου και την οδόν εγώ γνωρίζω καλά. Μαλιστα δε έχω διανυκτερεύσει πλησίον του αδελφού μας, του Ισραηλίτου τούτου, του Γαβαήλ”.

Τωβ. 5,7 - καὶ εἶπεν αὐτῷ Τωβίας· ὑπόμεινόν με, καὶ ἐρῶ τῷ πατρί.

Τωβ. 5,7 - Ο Τωβίας του είπε· “περίμενέ με, δια να αναγγείλω τούτο στον πατέρα μου”.

Τωβ. 5,8 - καὶ εἶπεν αὐτῷ· πορεύου καὶ μὴ χρονίσῃς.

Τωβ. 5,8 - Ο άγγελος του απήντησε· “πήγαινε και μη βραδύνης”.

Τωβ. 5,9 - καὶ εἰσελθὼν εἶπε τῷ πατρί· ἰδοὺ εὕρηκα ὃς συμπορεύσεταί μοι. ὁ δὲ εἶπε· φώνησον αὐτὸν πρός με, ἵνα ἐπιγνῶ ποίας φυλῆς ἐστι καὶ εἰ

πιστὸς τοῦ πορευθῆναι μετὰ σοῦ.

Τωβ. 5,9 - Ο Τωβίας επανήλθεν στο σπίτι του και είπε προς τον πατέρα· “ιδού, ευρήκα άνθρωπον, ο οποίος θα έλθη μαζή μου”. Ο πατήρ είπε προς τον υιόν· “φώναξέ τον να έλθη εδώ, δια να γνωρίσω καλά από ποίαν φυλήν κατάγεται αυτός και αν είναι αξιόπιστος να ταξιδεύση μαζή σου”.

Τωβ. 5,10 - καὶ ἐκάλεσεν αὐτόν, καὶ εἰσῆλθε, καὶ ἠσπάσαντο ἀλλήλους.

Τωβ. 5,10 - Ο Τωβίας τον εκάλεσε και εκείνος εισήλθεν στον οίκον του Τωβίτ. Ο Τωβίτ και ο ξένος αλληλοεχαιρετήθησαν.

Τωβ. 5,11 - καὶ εἶπεν αὐτῷ Τωβίτ· ἀδελφέ, ἐκ ποίας φυλῆς καὶ ἐκ ποίας πατριᾶς εἶ σύ; ὑπόδειξόν μοι.

Τωβ. 5,11 - Είπεν εις αυτόν ο Τωβίτ· “αδελφέ, από ποίον φυλήν και από ποίαν πατριάν είσαι συ; Πές μου το”.

Τωβ. 5,12 - καὶ εἶπεν αὐτῷ· φυλὴν καὶ πατριὰν σὺ ζητεῖς ἢ μίσθιον, ὃς συμπορεύσεται μετὰ τοῦ υἱοῦ σου; καὶ εἶπεν αὐτῷ Τωβίτ· βούλομαι, ἀδελφέ, ἐπιγνῶναι τὸ γένος σου καὶ τὸ ὄνομα.

Τωβ. 5,12 - Εκείνος του απήντησε· “φυλήν και πατριάν ζητείς η ένα μισθωτόν συνοδοιπόρον, ο οποίος θα συμπορευθή μαζή με το παιδί σου;” Ο Τωβίτ του απήντησε· “αδελφέ, θέλω να μάθω το γένος και το όνομά σου”.

Τωβ. 5,13 - ὃς δὲ εἶπεν· ἐγὼ Ἀζαρίας Ἀνανίου τοῦ μεγάλου, τῶν ἀδελφῶν σου.

Τωβ. 5,13 - Εκείνος τότε του είπεν· “εγώ είμαι ο Αζαρίας, ο υιός του μεγάλου Ανανίου από τους ομοεθνείς σου”.

Τωβ. 5,14 - καὶ εἶπεν αὐτῷ· ὑγιαίνων ἔλθοις, ἀδελφέ, καὶ μή μοι ὀργισθῇς, ὅτι ἐζήτησα τὴν φυλήν σου καὶ τὴν πατριάν σου ἐπιγνῶναι. καὶ σὺ τυγχάνεις ἀδελφός μου ἐκ τῆς καλῆς καὶ ἀγαθῆς γενεᾶς· ἐπεγίνωσκον γὰρ ἐγὼ Ἀνανίαν καὶ Ἰωνάθαν τοὺς υἱοὺς Σεμεΐ τοῦ μεγάλου, ὡς ἐπορευόμεθα κοινῶς εἰς Ἱεροσόλυμα προσκυνεῖν, ἀναφέροντες τὰ πρωτότοκα καὶ τὰς δεκάτας τῶν γεννημάτων, καὶ οὐκ ἐπλανήθησαν ἐν τῇ πλάνῃ τῶν ἀδελφῶν ἡμῶν. ἐκ ῥίζης καλῆς εἶ, ἀδελφέ,

Τωβ. 5,14 - Ο Τωβίτ του είπε· “αδελφέ, καλώς ήλθες στο σπίτι μου και μη οργισθής εναντίον μου, διότι εζήτησα να μάθω την φυλήν σου και την οικογένειάν σου. Συ είσαι συγγενής μου, από γενεάν καλήν και αγαθήν, διότι εγώ εγνώριζα τον Ανανίαν και τον Ιωνάθαν, τους υιούς του μεγάλου Σεμεΐ, όταν μαζή επηγαίναμεν εις τα Ιεροσόλυμα, δια να προσκυνήσωμεν και εφέραμεν μαζή μας τα πρωτοτόκια και τα δέκατα από τα προϊόντα μας. Δεν απεμακρύνθησαν και εκείνοι ποτέ από την ευθείαν οδόν του Κυρίου, όπως, δυστυχώς, απεμακρύνθησαν και επλανήθησαν οι άλλοι αδελφοί, οι ομοεθνείς μας. Από καλήν ρίζαν κατάγεσαι, αδελφέ μου.

Τωβ. 5,15 - ἀλλὰ εἰπόν μοι τίνα σοι ἔσομαι μισθὸν διδόναι· δραχμὴν τῆς ἡμέρας καὶ τὰ δέοντά σοι ὡς καὶ τῷ υἱῷ μου.

Τωβ. 5,15 - Αλλά πές μου, σε παρακαλώ, ποίον μισθόν θα σου δώσω; Εγώ προτείνω να σου δίνω μίαν δραχμήν δια κάθε ημέραν και να παρέχω εις σε και το παιδί μου ο,τι άλλο σας χρειάζεται κατά την πορείαν.

Τωβ. 5,16 - καὶ ἔτι προσθήσω σοι ἐπὶ τὸν μισθόν, ἐὰν ὑγιαίνοντες ἐπιστρέψητε.

Τωβ. 5,16 - Αλλά και άλλην επί πλέον αμοιβήν θα δώσω εις σέ, εάν επιστρέψετε υγιείς".

Τωβ. 5,17 - καὶ εὐδόκησαν οὕτως. καὶ εἶπε πρὸς Τωβίαν· ἕτοιμος γίνου πρὸς τὴν ὁδόν· καὶ εὐοδωθείητε. καὶ ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ τὰ πρὸς τὴν ὁδόν. καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ· πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου, ὁ δὲ ἐν τῷ οὐρανῷ οἰκῶν Θεὸς εὐοδώσει τὴν ὁδὸν ὑμῶν, καὶ ὁ ἄγγελος αὐτοῦ συμπορευθήτω ὑμῖν. καὶ ἐξῆλθαν ἀμφότεροι ἀπελθεῖν καὶ ὁ κύων τοῦ παιδαρίου μετ᾿ αὐτῶν.

Τωβ. 5,17 - Συνεφώνησαν και οι δύο επί του σημείου αυτού. Ο πατήρ είπε τότε προς τον Τωβίαν· "ετοιμάσου δια το ταξίδι. Και στους δυο σας εύχομαι κατευόδιον". Ο υιός του, ο Τωβίας, ητοίμασε τα απαραίτητα δια τον δρόμον. Ο δε πατέρας του του είπε· "πήγαινε μαζή με τον άνθρωπον αυτόν και εύχομαι, όπως ο Θεός, που κατοικεί στον ουρανόν, κατευοδώση τον δρόμον σας και ο άγγελος του Κυρίου ας βαδίζη μαζή σας". Εβγήκαν από το σπίτι και οι δυο, ο Τωβίας και ο συνοδός του, δια να αναχωρήσουν. Ο κύων του παιδιού, του Τωβίου, επήγαινε μαζή τους.

Τωβ. 5,18 - ἔκλαυσε δὲ Ἄννα ἡ μήτηρ αὐτοῦ καὶ εἶπε πρὸς Τωβίτ· τί ἐξαπέστειλας τὸ παιδίον ἡμῶν; ἢ οὐχὶ ἡ ῥάβδος τῆς χειρὸς ἡμῶν ἐστιν ἐν τῷ εἰσπορεύεσθαι αὐτὸν καὶ ἐκπορεύεσθαι ἐνώπιον ἡμῶν;

Τωβ. 5,18 - Οταν ο Τωβίας ανεχώρησεν, η Αννα η μητέρα του, έκλαυσε και είπε προς τον Τωβίτ· "διατί έστειλες το παιδί μας εις ταξίδι μακράν από ημάς; Αυτός εισερχόμενος και εξερχόμενος στο σπίτι μας, ενώπιόν μας, δεν ήτο ράβδος στηρίγματος και χαρά εις ημάς;

Τωβ. 5,19 - ἀργύριον τῷ ἀργυρίῳ μὴ φθάσαι, ἀλλὰ περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο·

Τωβ. 5,19 - Ποτέ μη φθάση και έλθη το αργύριον εκείνο. Ας χαθή το χρήμα εκείνο, προκειμένου να χάσωμεν ημείς την παρουσίαν του αγαπημένου μας παιδιού.

Τωβ. 5,20 - ὡς γὰρ δέδοται ἡμῖν ζῆν παρὰ τοῦ Κυρίου, τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει.

Τωβ. 5,20 - Δεν υπάρχει δι' ημάς μεγαλύτερα ικανοποίησις από το να ζη τα παιδί κοντά μας, όπως μας εδόθη από τον Θεόν".

Τωβ. 5,21 - καὶ εἶπεν αὐτῇ Τωβίτ· μὴ λόγον ἔχε, ἀδελφή· ὑγιαίνων ἐλεύσεται, καὶ οἱ ὀφθαλμοί σου ὄψονται αὐτόν·

Τωβ. 5,21 - Ο Τωβίτ της απήντησε· μη μεμψιμοιρής και μη στενοχωρήσαι, αδελφή. Το παιδί μας θα επιστρέψη υγιές. Και τα μάτια μας πάλιν θα το ίδουν.

Τωβ. 5,22 - ἄγγελος γὰρ ἀγαθὸς συμπορεύσεται αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει ὑγιαίνων. καὶ ἐπαύσατο κλαίουσα.

Τωβ. 5,22 - Διότι ο καλός άγγελος θα συμπορευθή μαζή με αυτό και θα κατευοδωθή το ταξίδιόν του και θα επιστρέψη υγιές". Εκείνη, όταν ήκουσε τα παρήγορα αυτά λόγια, έπαυσε πλέον να κλαίη.

ΤΩΒΙΤ 6

Τωβ. 6,1 - Οἱ δὲ πορευόμενοι τὴν ὁδὸν ἦλθον ἑσπέρας ἐπὶ τὸν Τίγριν ποταμόν, καὶ ηὐλίζοντο ἐκεῖ.

Τωβ. 6,1 - Οι δύο ταξιδιώται εβάδιζαν στον δρόμον των και έφθασαν την εσπέραν στον Τιγρητα ποταμόν και διενυκτέρευσαν εκεί.

Τωβ. 6,2 - τὸ δὲ παιδάριον κατέβη περικλύσασθαι, καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ καὶ ἐβουλήθη καταπιεῖν τὸ παιδάριον.

Τωβ. 6,2 - Ο νεαρός Τωβίας κατέβηκεν στον ποταμόν, δια να λουσθή. Εκεί όμως ένα μεγάλο ψάρι ανεπήδησεν από το ποτάμι και ηθέλησε να καταπίη τον Τωβίαν.

Τωβ. 6,3 - ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ· ἐπιλαβοῦ τοῦ ἰχθύος. καὶ ἐκράτησε τὸν ἰχθὺν τὸ παιδάριον καὶ ἀνέβαλεν αὐτὸν ἐπὶ τὴν γῆν.

Τωβ. 6,3 - Αλλά ο άγγελος του είπε· "πιάσε αυτό το ψάρι". Ο Τωβίας έπιασε το ψάρι και το ανέβασεν εις την όχθην του ποταμού.

Τωβ. 6,4 - καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· ἀνάτεμε τὸν ἰχθὺν καὶ λαβὼν τὴν καρδίαν καὶ τὸ ἧπαρ καὶ τὴν χολὴν θὲς ἀσφαλῶς.

Τωβ. 6,4 - Ο άγγελος του είπε· "σχίσε τον ιχθύν αυτόν, πάρε την καρδίαν, το συκώτι και την χολήν και φύλαξέ τα ασφαλώς".

Τωβ. 6,5 - καὶ ἐποίησε τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγελος, τὸν δὲ ἰχθὺν ὀπτήσαντες ἔφαγον.

Τωβ. 6,5 - Ο νεαρός Τωβίας έκαμεν, όπως του είπεν ο άγγελος. Το υπόλοιπον μέρος του ψαριού το έψησαν και το έφαγαν.

Τωβ. 6,6 - καὶ ὥδευον ἀμφότεροι, ἕως οὗ ἤγγισαν ἐν Ἐκβατάνοις.

Τωβ. 6,6 - Συνεπορεύοντο κατόπιν και οι δύο, ο Τωβίας και ο άγγελος, μέχρις ότου επλησίασαν εις τα Εκβάτανα.

Τωβ. 6,7 - καὶ εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ· Ἀζαρία ἀδελφέ, τί ἐστιν ἡ καρδία καὶ τὸ ἧπαρ καὶ ἡ χολὴ τοῦ ἰχθύος;

Τωβ. 6,7 - Ο Τωβίας ηρώτησε τον άγγελον· "αδελφέ Αζαρία, εις τι μας είναι χρήσιμα η καρδία, το συκώτι και η χολή του ιχθύος;"

Τωβ. 6,8 - καὶ εἶπεν αὐτῷ· ἡ καρδία καὶ τὸ ἧπαρ, ἐάν τινα ὀχλῇ δαιμόνιον ἢ πνεῦμα πονηρόν, ταῦτα δεῖ καπνίσαι ἐνώπιον ἀνθρώπου ἢ γυναικός, καὶ οὐκέτι οὐ μὴ ὀχληθῇ·

Τωβ. 6,8 - Ο συνοδεύων αυτόν άγγελος του απήντησεν· “η καρδιά και το συκώτι χρησιμεύουν δια την εκδίωξιν πονηρών πνευμάτων. Εάν δηλαδή ένας άνθρωπος ενοχλήται από δαιμόνιον η άλλο πονηρόν πνεύμα και καπνίσουν αυτά ενώπιον του ανδρός η της γυναικός, που ενοχλείται από το πονηρόν πνεύμα, δεν θα ενοχληθή ποτέ πλέον.

Τωβ. 6,9 - ἡ δὲ χολή, ἐγχρῖσαι ἄνθρωπον, ὃς ἔχει λευκώματα ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἰαθήσεται.

Τωβ. 6,9 - Η δε χολή χρησιμεύει δια να χρισθή άνθρωπος, ο οποίος έχει λευκώματα εις τα μάτια του, και αυτός θα θεραπευθή αμέσως”.

Τωβ. 6,10 - ὡς δὲ προσήγγισαν τῇ Ῥάγῃ,

Τωβ. 6,10 - Οταν επλησίασαν στο σπίτι του Ραγουήλ εις Εκβάτανα,

Τωβ. 6,11 - εἶπεν ὁ ἄγγελος τῷ παιδαρίῳ· ἀδελφέ, σήμερον αὐλισθησόμεθα παρὰ Ῥαγουήλ, καὶ αὐτὸς συγγενής σού ἐστι, καὶ ἔστιν αὐτῷ θυγάτηρ ὀνόματι Σάῤῥα·

Τωβ. 6,11 - είπεν ο άγγελος στον νεαρόν Τωβίαν· “αδελφέ, σήμερον θα διανυκτερεύσωμεν στο σπίτι του Ραγουήλ. Αυτός είναι συγγενής σου, έχει δε και θυγατέρα που λέγεται Σαρρα.

Τωβ. 6,12 - λαλήσω περὶ αὐτῆς τοῦ δοθῆναί σοι αὐτὴν εἰς γυναῖκα, ὅτι σοι ἐπιβάλλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ ἐκ τοῦ γένους αὐτῆς, καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμόν ἐστι.

Τωβ. 6,12 - Θα ομιλήσω εγώ περί αυτής να σου δοθή ως σύζυγος, διότι ο νόμος του Μωυσέως υποχρεώνει σε να παρής αυτήν ως σύζυγον και την κληρονομίαν της, επειδή συ είσαι ο μόνος συγγενής της από το γένος της. Σου λέγω δε ακόμη ότι η νέα αυτή είναι ωραία και φρόνιμος.

Τωβ. 6,13 - καὶ νῦν ἄκουσόν μου καὶ λαλήσω τῷ πατρὶ αὐτῆς, καὶ ὅταν ὑποστρέψωμεν ἐκ Ῥαγῶν, ποιήσομεν τὸν γάμον· διότι ἐπίσταμαι Ῥαγουὴλ ὅτι οὐ μὴ δῷ αὐτὴν ἀνδρὶ ἑτέρῳ κατὰ τὸν νόμον Μωυσῆ ἢ ὀφειλήσει θάνατον, ὅτι τὴν κληρονομίαν σοὶ καθήκει λαβεῖν ἢ πάντα ἄνθρωπον.

Τωβ. 6,13 - Και τώρα άκουσέ με· εγώ θα κάμω λόγον στον πατέρα της και όταν επιστρέψωμεν από Ραγους θα τελέσωμεν τον γάμον. Διότι εγώ γνωρίζω καλά ότι ο Ραγουήλ δεν θα δώση ποτέ αυτήν ως σύζυγον εις άλλον άνδρα, έστω και αν απειληθή με θάνατον. Διότι εις σε ανήκει να λάβης την κληρονομίαν της και εις κανένα άλλον”.

Τωβ. 6,14 - τότε εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ· Ἀζαρία ἀδελφέ, ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ ἀνδράσι καὶ πάντας ἐν τῷ νυμφῶνι ἀπολωλότας.

Τωβ. 6,14 - Τοτε ο Τωβίας είπε προς τον άγγελον· “αδελφέ Αζαρία, έχω πληροφρρηθή ότι, η κόρη αυτή έχει ήδη δοθή ως σύζυγος εις επτά άνδρας και όλοι απέθανον στο νυμφικόν δωμάτιον.

Τωβ. 6,15 - καὶ νῦν ἐγὼ μόνος εἰμὶ τῷ πατρὶ καὶ φοβοῦμαι μὴ εἰσελθὼν ἀποθάνω καθὼς καὶ οἱ πρότεροι, ὅτι δαιμόνιον φιλεῖ αὐτήν, ὃ οὐκ ἀδικεῖ οὐδένα πλὴν τῶν προσαγόντων αὐτῇ. καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ ἀποθάνω καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μητρός μου μετ᾿ ὀδύνης ἐπ᾿ ἐμοὶ εἰς τὸν τάφον αὐτῶν· καὶ υἱὸς ἕτερος οὐχ ὑπάρχει αὐτοῖς, ὃς θάψει αὐτούς.

Τωβ. 6,15 - Εγώ τώρα, όπως γνωρίζεις, είμαι μονογενής στον πατέρα μου. Φοβούμαι, λοιπόν, μήπως, όταν εισέλθω στο νυμφικόν δωμάτιον, αποθάνω, όπως απέθανον και οι προηγούμενοι από εμέ. Ενα πονηρόν δαιμόνιον την ζηλοτυπεί. Αυτό δε το δαιμόνιον δεν βλάπτει κανένα άλλον πλην από εκείνους, που την πλησιάζουν ως σύζυγοι. Φοβούμαι, λοιπόν, τώρα μήπως αποθάνω και με τον θάνατόν μου κρημνίσω την ζωήν του πατρός μου και της μητρός μου με οδύνην πολλήν στον τάφον. Δεν έχουν δε αυτοί άλλο παιδί, δια να τους θάψη”.

Τωβ. 6,16 - εἶπε δὲ αὐτῷ ὁ ἄγγελος· οὐ μέμνησαι τῶν λόγων, ὧν ἐνετείλατό σοι ὁ πατήρ σου, ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; καὶ νῦν ἄκουσόν μου, ἀδελφέ, διότι σοὶ ἔσται εἰς γυναῖκα, καὶ τοῦ δαιμονίου μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι αὕτη εἰς γυναῖκα.

Τωβ. 6,16 - Απήντησε προς αυτόν ο άγγελος· “δεν ενθυμείσαι την εντολήν, την οποίαν σου έδωσεν ο πατήρ, να πάρης σύζυγον γυναίκα από το γένος σου; Και τώρα άκουσε με, αδελφέ. Αυτή η κόρη θα γίνη ιδική σου σύζυγος. Ως προς δε το δαιμόνιον, μη έχης κανένα λόγον ανησυχίας. Η κόρη αυτή θα δοθή εις σε ως σύζυγος κατά την νύκτα αυτήν.

Τωβ. 6,17 - καὶ ἐὰν εἰσέλθῃς εἰς τὸν νυμφῶνα, λήψῃ τέφραν θυμιαμάτων καὶ ἐπιθήσεις ἀπὸ τῆς καρδίας καὶ τοῦ ἥπατος τοῦ ἰχθύος καὶ καπνίσεις,

Τωβ. 6,17 - Οταν δε εισέλθης στον νυμφικόν θάλαμον, θα πάρης φωτιά με το θυμιατήριον, θα θέσης επάνω εις αυτήν την καρδιά και το συκώτι του ιχθύος, τα οποία και θα αρχίσουν να καπνίζουν.

Τωβ. 6,18 - καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον καὶ φεύξεται καὶ οὐκ ἐπανελεύσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὅταν δὲ προσπορεύῃ αὐτῇ, ἐγέρθητε ἀμφότεροι καὶ βοήσατε πρὸς τὸν ἐλεήμονα Θεόν, καὶ σώσει ὑμᾶς καὶ ἐλεήσει. μὴ φοβοῦ, ὅτι σοὶ αὐτὴ ἡτοιμασμένη ἦν ἀπὸ τοῦ αἰῶνος, καὶ σὺ αὐτὴν σώσεις, καὶ πορεύσεται μετὰ σοῦ, καὶ ὑπολαμβάνω ὅτι σοι ἔσται ἐξ αὐτῆς παιδία.

Τωβ. 6,18 - Το δε δαιμόνιον θα οσφρανθή τον καπνόν αυτόν, θα φύγη και ποτέ πλέον δεν θα επιστρέψη. Οταν δε εισέλθης στον νυμφικόν κοιτώνα

προς αυτήν, σηκωθήτε και οι δυο σας και εκ βάθους ψυχής προσευχηθήτε στον ελεήμονα Θεόν, αυτός δε θα σας σώση και θα σας ελεήση. Μη φοβήσαι, διότι αυτή έχει προορισθή ως σύζυγός σου από πολύν χρόνον και συ θα την σώσης από το πονηρόν δαιμόνιον. Αυτή θα έλθη μαζή σου και θεωρώ βέβαιον, ότι πολλά τέκνα θα αποκτήσης από αυτήν".

Τωβ. 6,19 - καὶ ὡς ἤκουσε Τωβίας ταῦτα, ἐφίλησεν αὐτήν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκολλήθη σφόδρα αὐτῇ.

Τωβ. 6,19 - Οταν ο Τωβίας ήκουσε τα λόγια αυτά, ηγάπησε την κόρην αυτήν και η ψυχή του προσεκολλήθη πάρα πολύ εις αυτήν.

ΤΩΒΙΤ 7

Τωβ. 7,1 - Καὶ ἦλθον εἰς Ἐκβάτανα καὶ παρεγένοντο εἰς τὴν οἰκίαν Ῥαγουήλ, Σάῤῥα δὲ ὑπήντησεν αὐτοῖς καὶ ἐχαιρέτισεν αὐτοὺς καὶ αὐτοὶ αὐτήν, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν.

Τωβ. 7,1 - Ο Τωβίας και ο Αζαρίας ήλθαν εις τα Εκβάτανα και έφθασαν στο σπίτι του Ραγουήλ. Η δε Σαρρα τους προϋπήντησε και τους εχαιρέτησε. Εκείνοι την εχαιρέτησαν και αυτή τους ωδήγησεν στο σπίτι.

Τωβ. 7,2 - καὶ εἶπε Ῥαγουὴλ Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ· ὡς ὅμοιος ὁ νεανίσκος Τωβὶτ τῷ ἀνεψιῷ μου;

Τωβ. 7,2 - Ο Ραγουήλ είπεν εις την Εδναν την σύζυγόν του· "ο νεαρός αυτός δεν ομοιάζει πολύ με τον ανεψιόν μου τον Τωβίτ;"

Τωβ. 7,3 - καὶ ἠρώτησεν αὐτούς Ῥαγουήλ· πόθεν ἐστέ, ἀδελφοί; καὶ εἶπαν αὐτῷ· ἐκ τῶν υἱῶν Νεφθαλὶμ τῶν αἰχμαλώτων ἐκ Νινευῆ.

Τωβ. 7,3 - Εστράφη δε προς εκείνους ο Ραγουήλ και τους ηρώτησε· "από που κατάγεσθε, σεις, αδελφοί;» Και εκείνοι του απήντησαν· "ημείς καταγόμεθα από τους απογόνους της φυλής Νεφθαλίμ, από εκείνας που έχουν αιχμαλωτισθή εις την Νινευή".

Τωβ. 7,4 - καὶ εἶπεν αὐτοῖς· γινώσκετε Τωβὶτ τὸν ἀδελφὸν ἡμῶν; οἱ δὲ εἶπον· γινώσκομεν. καὶ εἶπεν αὐτοῖς· ὑγιαίνει;

Τωβ. 7,4 - Ο Ραγουήλ τους είπε· "γνωρίζετε τον Τωβίτ τον συγγενή μας;" Και εκείνοι του είπαν· "τον γνωρίζομεν". Ηρώτησεν αυτούς πάλιν· "είναι υγιής;"

Τωβ. 7,5 - οἱ δὲ εἶπαν· καὶ ζῇ καὶ ὑγιαίνει. καὶ εἶπε Τωβίας· πατήρ μού ἐστι.

Τωβ. 7,5 - Εκείνοι είπαν· "ζη και υγιαίνει". Ο δε Τωβίας του είπεν· "είναι ο πατέρας μου".

Τωβ. 7,6 - καὶ ἀνεπήδησε Ῥαγουὴλ καὶ κατεφίλησεν αὐτὸν καὶ ἔκλαυσε

Τωβ. 7,6 - Ο Ραγουήλ ανεπήδησεν από την χαράν του, και κατεφίλησε τον Τωβίαν και έκλαυσε.

Τωβ. 7,7 - καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀνθρώπου υἱός· καὶ ἀκούσας ὅτι Τωβὶτ ἀπώλεσε τοὺς ὀφθαλμοὺς ἑαυτοῦ, ἐλυπήθη καὶ ἔκλαυσε.

Τωβ. 7,7 - Ευλόγησεν αυτόν και είπε· “συ, λοιπόν, είσαι το παιδί του καλού και αγαθού εκείνου ανθρώπου;” Οταν δε επληροφορήθη ο Ραγουήλ ότι ο Τωβίτ είχε χάσει τα μάτια του, ελυπήθη και ανελύθη εις δάκρυα.

Τωβ. 7,8 - καὶ Ἔδνα ἡ γυνὴ αὐτοῦ καὶ Σάῤῥα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυσαν καὶ ὑπεδέξαντο αὐτοὺς προθύμως·

Τωβ. 7,8 - Εκλαυσεν επίσης η σύζυγός του Εδνα και η κόρη του η Σαρρα. Υπεδέχθησαν και εφιλοξένησαν αυτούς με πολλήν προθυμίαν και χαράν.

Τωβ. 7,9 - καὶ ἔθυσαν κριὸν προβάτων καὶ παρέθηκαν ὄψα πλείονα. εἶπε δὲ Τωβίας τῷ Ῥαφαήλ· Ἀζαρία ἀδελφέ, λάλησον ὑπὲρ ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ τελεσθήτω τὸ πρᾶγμα.

Τωβ. 7,9 - Εσφαξαν από την ποίμνην των προβάτων του ένα κριον και ητοίμασαν τράπεζαν με πολλά φαγητά. Είπε δε τότε ο Τωβίας στον Ραφαήλ· “Αζαρία, αδελφέ, μίλησε δι' εκείνα, τα οποία μου έλεγες στον δρόμον μας και ας γίνη αυτό το πράγμα”.

Τωβ. 7,10 - καὶ μετέδωκε τὸν λόγον τῷ Ῥαγουήλ· καὶ εἶπε Ῥαγουὴλ πρὸς Τωβίαν· φάγε, πίε καὶ ἡδέως γίνου, σοὶ γὰρ καθήκει τὸ παιδίον μου λαβεῖν· πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν.

Τωβ. 7,10 - Ο Αζαρίας πράγματι έκαμε λόγον στον Ραγουήλ και ο Ραγουήλ είπεν στον Τωβίαν· “φάγε, πίε, απόλαυσε την τράπεζαν, διότι εις σε πράγματι ανήκει να λάβης την κόρην μου ως συζυγον. Αλλά θα σου είπω την αλήθειαν.

Τωβ. 7,11 - ἔδωκα τὸ παιδίον μου ἑπτὰ ἀνδράσι, καὶ ὁπότε ἐὰν εἰσεπορεύοντο πρὸς αὐτήν, ἀπέθνησκον ὑπὸ τὴν νύκτα. ἀλλὰ τὸ νῦν ἔχον, ἡδέως γίνου. καὶ εἶπε Τωβίας· οὐ γεύομαι οὐδὲν ὧδε, ἕως ἂν στήσητε καὶ σταθῆτε πρός με. καὶ εἶπε Ῥαγουήλ· κομίζου αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν κρίσιν· σὺ δέ ἀδελφὸς εἶ αὐτῆς, καὶ αὐτὴ σού ἐστιν· ὁ δὲ ἐλεήμων Θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα.

Τωβ. 7,11 - Αυτήν την κόρην μου την έδωσα ως σύζυγον εις επτά άνδρας διαδοχικώς. Ο καθένας όμως από αυτούς, μόλις επλησίαζεν εις αυτήν, απέθνησκε κατά την πρώτην νύκτα του γάμου. Συ όμως τώρα φάγε, πίε και ευφράνθητι”. Ο Τωβίας όμως απήντησε· “δεν θα βάλω τίποτε στο στόμα μου, μέχρις ότου σεις δεχθήτε την αίτησίν μου και συμφωνήσετε με εμέ”. Ο Ραγουήλ του απήντησε· “πάρε την από αυτήν την στιγμήν ως σύζυγον σύμφωνα με την απόφασίν σου. Συ είσαι συγγενής της και αυτή είναι συγγενής ίδική σου. Ευχόμεθα δέ, όπως ο ελεήμων Θεός σας κατευοδώση προς τα κάλλιστα”.

Τωβ. 7,12 - καὶ ἐκάλεσε Σάῤῥαν τὴν θυγατέρα αὐτοῦ, καὶ λαβὼν τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν Τωβία γυναῖκα καὶ εἶπεν· ἰδοὺ κατὰ τὸν νόμον Μωυσέως κομίζου αὐτὴν καὶ ἄπαγε πρὸς τὸν πατέρα σου· καὶ εὐλόγησεν αὐτούς.

Τωβ. 7,12 - Ο Ραγουήλ εκάλεσε την ώραν εκείνην την Σαρραν, την θυγατέρα του, την επήρε από το χέρι και την παρέδωκεν ως σύζυγον στον Τωβίαν, προς τον οποίον και είπε· "ιδού, σύμφωνα με τον νόμον του Μωϋσέως, πάρε αυτήν ως σύζυγόν σου και πήγαινε προς τον πατέρα σου". Ο Ραγουήλ τους ηυλόγησε και τους ηυχήθη.

Τωβ. 7,13 - καὶ ἐκάλεσεν Ἔδναν τὴν γυναῖκα αὐτοῦ· καὶ λαβὼν βιβλίον ἔγραψε συγγραφήν, καὶ ἐσφραγίσατο.

Τωβ. 7,13 - Κατόπιν προσεκάλεσε την γυναίκα του την Εδναν, επήρε ένα χαρτί, έγραψε επάνω εις αυτό την πράξιν του γάμου και το εσφράγισεν.

Τωβ. 7,14 - καὶ ἤρξαντο ἐσθίειν.

Τωβ. 7,14 - Επειτα δε ήρχισαν όλοι με χαράν να τρώγουν.

Τωβ. 7,15 - καὶ ἐκάλεσε Ῥαγουὴλ Ἔδναν τήν γυναῖκα αὐτοῦ καὶ εἶπε αὐτῇ· ἀδελφή, ἑτοίμασον τὸ ἕτερον ταμιεῖον καὶ εἰσάγαγε αὐτήν.

Τωβ. 7,15 - Ο Ραγουήλ εκάλεσε την γυναίκα του την Εδναν και της είπεν· "αδελφή, ετοίμασε το άλλο δωμάτιον και ωδήγησε εις αυτό την Σαρραν".

Τωβ. 7,16 - καὶ ἐποίησεν ὡς εἶπε καὶ εἰσήγαγεν αὐτὴν ἐκεῖ, καὶ ἔκλαυσε· καὶ ἀπεδέξατο τὰ δάκρυα τῆς θυγατρὸς αὐτῆς καὶ εἶπεν αὐτῇ·

Τωβ. 7,16 - Η Εδνα έκαμεν, όπως της είπεν ο σύζυγός της και ωδήγησεν εκεί την Σαρραν. Η δε Σαρρα ανελύθη εις δάκρυα. Η μητέρα της είδε και συνεπάθησε τα δάκρυα της κόρης της και της είπε·

Τωβ. 7,17 - θάρσει, τέκνον, ὁ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς δῴη σοι χάριν ἀντὶ τῆς λύπης σου ταύτης· θάρσει, θύγατερ.

Τωβ. 7,17 - "Εχε θάρρος, τέκνον μου, ο Κυριος του ουρανού και της γης είθε να δώση εις σε χαράν αντί αυτής της λύπης. Εχε θάρρος κόρη μου".

ΤΩΒΙΤ 8

Τωβ. 8,1 - Ὅτε δὲ συνετέλεσαν δειπνοῦντες, εἰσήγαγον Τωβίαν πρὸς αὐτήν.

Τωβ. 8,1 - Οταν ετελείωσαν το φαγητόν των, ωδήγησαν τον Τωβίαν προς την Σαρραν.

Τωβ. 8,2 - ὁ δὲ πορευόμενος ἐμνήσθη τῶν λόγων Ῥαφαὴλ καὶ ἔλαβε τὴν τέφραν τῶν θυμιαμάτων καὶ ἐπέθηκε τὴν καρδίαν τοῦ ἰχθύος καὶ τὸ ἧπαρ καὶ ἐκάπνισεν.

Τωβ. 8,2 - Ο Τωβίας, όταν εισήλθεν στον κοιτώνα, ενεθυμήθη τα λόγια του Ραφαήλ. Επήρε το θυμιατήρι, επάνω στο οποίον υπήρχον ακόμη οι άνθρακες των θυμιαμάτων, έβαλεν επάνω εις αυτούς την καρδίαν και το συκώτι του ψαριού, από τα οποία και εξήλθε καπνός.

Τωβ. 8,3 - ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς, ἔφυγεν εἰς τὰ ἀνώτατα Αἰγύπτου καὶ ἔδησεν αὐτὸ ὁ ἄγγελος.

Τωβ. 8,3 - Οταν δε το πονηρόν δαιμόνιον ωσφράνθη την οσμήν του καπνού αυτού, έφυγεν εις τα ανώτατα μέρη της Αιγύπτου, ο δε άγγελος Κυρίου το έδεσε.

Τωβ. 8,4 - ὡς δὲ συνεκλείσθησαν ἀμφότεροι, ἀνέστη Τωβίας ἀπὸ τῆς κλίνης καὶ εἶπεν· ἀνάστηθι, ἀδελφή, καὶ προσευξώμεθα, ἵνα ἐλεήσῃ ἡμᾶς ὁ Κύριος.

Τωβ. 8,4 - Οταν οι νεόνυμφοι εκλείσθησαν στον νυμφικόν των κοιτώνα, εσηκώθη ο Τωβίας από την κλίνην και είπε· “σήκω επάνω, αδελφή, και ας προσευχηθώμεν να μας ελεήση ο Κυριος”.

Τωβ. 8,5 - καὶ ἤρξατο Τωβίας λέγειν· εὐλογητὸς εἶ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔνδοξον εἰς τοὺς αἰῶνας· εὐλογησάτωσάν σε οἱ οὐρανοὶ καὶ πᾶσαι αἱ κτίσεις σου.

Τωβ. 8,5 - Ο Τωβίας ήρχισε να λέγη την προσευχήν του. “Δοξασμένος είσαι συ, Κυριε, ο Θεός των πατέρων ημών, ευλογημένον και ένδοξον το άγιον όνομά σου στους αιώνας. Σε ας δοξάζουν πάντοτε οι ουρανοί και όλα τα κτίσματά σου.

Τωβ. 8,6 - σὺ ἐποίησας Ἀδὰμ καὶ ἔδωκας αὐτῷ βοηθὸν Εὔαν στήριγμα τὴν γυναῖκα αὐτοῦ· ἐκ τούτων ἐγεννήθη τὸ ἀνθρώπων σπέρμα. σὺ εἶπας· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ.

Τωβ. 8,6 - Συ, Κυριε, έπλασες τον Αδάμ και έδωκες εις αυτόν ως βοηθόν και στήριγμα την Εύαν, την σύζυγόν του. Από αυτούς εγεννήθη το γένος των ανθρώπων. Διότι, Κυριε, συ είπες· δεν είναι καλόν να είναι ο άνθρωπος μόνος, ας κάμωμεν δι' αυτόν βοηθόν άλλον όμοιον προς αυτόν.

Τωβ. 8,7 - καὶ νῦν, Κύριε, οὐ διά πορνείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλὰ ἐπ᾽ ἀληθείας ἐπίταξον ἐλεῆσαί με καὶ αὐτῇ συγκαταγηρᾶσαι.

Τωβ. 8,7 - Και τώρα, Κυριε, εγώ λαμβάνω την αδελφήν μου αυτήν, την ομοεθνή μου, ως σύζυγον όχι δια την ικανοποίησιν πορνικών διαθέσεων, αλλά δια την αλήθειάν σου, όπως συ την εκήρυξες. Ας έλθη, λοιπόν, το έλεός σου εις εμέ, Κυριε, και διάταξε συ, ώστε εγώ να γηράσω μαζή της”,

Τωβ. 8,8 - καὶ εἶπε μετ᾽ αὐτοῦ· ἀμήν.

Τωβ. 8,8 - Μαζή δε με αυτόν συμπροσηύχετο και η Σαρρα και είπεν· “Αμήν, γένοιτο”!

Τωβ. 8,9 - καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα.

Τωβ. 8,9 - Εκοιμήθησαν και οι δύο την νύκτα εκείνην.

Τωβ. 8,10 - καὶ ἀναστὰς Ῥαγουὴλ ἐπορεύθη καὶ ὤρυξε τάφον λέγων· μὴ καὶ οὗτος ἀποθάνῃ;

Τωβ. 8,10 - Ο Ραγουήλ εσηκώθη, επήγε και ήνοιξε τάφον λέγων· “μήπως αποθάνη και αυτός;”

Τωβ. 8,11 - καὶ ἦλθε Ῥαγουὴλ εἰς τὴν οἰκίαν ἑαυτοῦ

Τωβ. 8,11 - Επανήλθεν ο Ραγουήλ εις την οικίαν του

Τωβ. 8,12 - καὶ εἶπεν Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ· ἀπόστειλον μίαν τῶν παιδισκῶν, καὶ ἰδέτωσαν εἰ ζῇ· εἰ δὲ μή, ἵνα θάψωμεν αὐτόν, καὶ μηδεὶς γνῷ.

Τωβ. 8,12 - και είπεν εις την Εδναν την γυναίκα του· Στειλε μίαν από τας δούλας να ίδη, εάν ο Τωδίας ζη. Και εάν δεν ζη, να τον θάψωμεν, χωρίς να μάθη κανείς τίποτε.

Τωβ. 8,13 - καὶ εἰσῆλθεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν καὶ εὗρε τοὺς δύο καθεύδοντας.

Τωβ. 8,13 - Η δούλη ήνοιξε την θύραν και εύρε και τους δύο να κοιμώνται.

Τωβ. 8,14 - καὶ ἐξελθοῦσα ἀπήγγειλεν αὐτοῖς, ὅτι ζῇ.

Τωβ. 8,14 - Εξήλθε και ανήγγειλεν στους κυρίους της ότι ο Τωβίας ζη.

Τωβ. 8,15 - καὶ εὐλόγησε Ῥαγουὴλ τὸν Θεὸν λέγων· εὐλογητὸς εἶ σύ, ὁ Θεός, ἐν πάσῃ εὐλογίᾳ καθαρᾷ καὶ ἁγίᾳ, καὶ εὐλογείτωσάν σε οἱ ἅγιοί σου καὶ πᾶσαι αἱ κτίσεις σου, καὶ πάντες οἱ ἄγγελοί σου καὶ οἱ ἐκλεκτοί σου εὐλογείτωσάν σε εἰς τοὺς αἰῶνας.

Τωβ. 8,15 - Ο Ραγουήλ εδόξασε τον Θεόν λέγων· “δοξασμένος είσαι συ, ο Θεός, και προς σε ανήκει κάθε δοξολογία καθαρά και αγία. Ας σε δοξολογούν οι άγιοί σου και όλα τα δημιουργήματά σου και όλοι οι άγγελοί σου και όλοι οι εκλεκτοί σου. Ας σε ευλογούν και ας σε δοξολογούν εις όλους τους αιώνας.

Τωβ. 8,16 - εὐλογητὸς εἶ ὅτι ηὔφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπενόουν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεός σου ἐποίησας μεθ᾿ ἡμῶν.

Τωβ. 8,16 - Ευλογημένος είσαι, Κυριε, διότι μου έδωσες αυτήν την χαράν και δεν έγινε εκείνο, το οποίον εφοβούμην. Αλλά έκαμες εις ημάς σύμφωνα με το μέγα σου έλεος.

Τωβ. 8,17 - εὐλογητὸς εἶ ὅτι ἠλέησας δύο μονογενεῖς· ποίησον αὐτοῖς, δέσποτα, ἔλεος, συντέλεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγιείᾳ μετ᾿ εὐφροσύνης καὶ ἐλέους.

Τωβ. 8,17 - Δοξασμένος είσαι, Κυριε, διότι έστειλες το έλεός σου εις δύο μονογενείς. Καμε, Δέσποτα, εις αυτούς σύμφωνα με το έλεός σου και ολοκλήρωσε την ζωήν των με υγείαν, με ευφροσύνην, με τον πλούτον του ελέους σου”.

Τωβ. 8,18 - ἐκέλευσε δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον.
Τωβ. 8,18 - Ο Ραγουήλ διέταξε τους δούλους να χώσουν τον τάφον.
Τωβ. 8,19 - καὶ ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δεκατεσσάρων.
Τωβ. 8,19 - Ετέλεσε δε και εώρτασε τον γάμον αυτών επί δεκατέσσαρας ημέρας.
Τωβ. 8,20 - καὶ εἶπεν αὐτῷ Ῥαγουὴλ πρὶν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου ἐνόρκως μὴ ἐξελθεῖν αὐτὸν ἐὰν μὴ πληρωθῶσιν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου.
Τωβ. 8,20 - Ο Ραγουήλ είπεν στον Τωβίαν και τον εξώρκισε να μη αναχωρήση από την οικίαν, μέχρις ότου συμπληρωθούν αι δεκαττέσσαρες ημέραι του γάμου.
Τωβ. 8,21 - καὶ τότε λαβόντα τὸ ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ πορεύεσθαι μεθ᾽ ὑγιείας πρὸς τὸν πατέρα· καὶ τὰ λοιπά, ὅταν ἀποθάνω καὶ ἡ γυνή μου.
Τωβ. 8,21 - “Μετά δε την συμπλήρωσιν των δεκατεσσάρων αυτών ημερών, είπεν στον Τωβίαν, αφού πάρης το ήμισυ από την περιουσίαν μου, να πορευθής εν υγεία προς τον πατέρα σου. Την υπόλοιπον περιουσίαν μου θα την λάβης, όταν αποθάνωμεν εγώ και η γυνή μου”.

ΤΩΒΙΤ 9

Τωβ. 9,1 - Καὶ ἐκάλεσε Τωβίας τὸν Ῥαφαὴλ καὶ εἶπεν αὐτῷ·
Τωβ. 9,1 - Ο Τωβίας εκάλεσεν τότε τον Ραφαήλ και του είπεν·
Τωβ. 9,2 - Ἀζαρία ἀδελφέ, λάβε μετὰ σεαυτοῦ παῖδα καὶ δύο καμήλους καὶ πορεύθητι ἐν Ῥάγοις τῆς Μηδίας παρὰ Γαβαὴλ καὶ κόμισαί μοι τὸ ἀργύριον καὶ αὐτὸν ἄγε μοι εἰς τὸν γάμον·
Τωβ. 9,2 - “αδελφέ, Αζαρία, πάρε μαζή σου ένα δούλον και δύο καμήλους και πήγαινε στους Ραγους της Μηδίας, στον Γαβαήλ, και φέρε μου εδώ το αργύριον αλλά και αυτόν τον ίδιον, δια να παρευρεθή στον γάμον μου.
Τωβ. 9,3 - διότι ὠμόμοκε Ῥαγουὴλ μὴ ἐξελθεῖν με,
Τωβ. 9,3 - Διότι ο Ραγουήλ με ώρκισε να μη φύγω απ' εδώ, πριν συμπληρωθούν αι δεκατέσσαρες ημέραι.
Τωβ. 9,4 - καὶ ὁ πατήρ μου ἀριθμεῖ τὰς ἡμέρας, καὶ ἐὰν χρονίσω μέγα, ὀδυνηθήσεται λίαν.
Τωβ. 9,4 - Ο δε πατήρ μου μετρά μίαν προς μίαν τας ημέρας, εάν δε και βραδύνω να επιστρέψω θα κυριευθή από μεγάλην οδύνην”.
Τωβ. 9,5 - καὶ ἐπορεύθη Ῥαφαὴλ καὶ ηὐλίσθη παρὰ Γαβαήλ, καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον· ὃς δὲ προήνεγκε τὰ θυλάκια ἐν ταῖς σφαγῖσι καὶ ἔδωκεν αὐτῷ.

Τωβ. 9,5 - Ο Ραφαήλ επορεύθη πράγματι και κατέλυσεν στον οίκον του Γαβαήλ. Εδωκε δε εις αυτόν και το χειρόγραφον. Ο Γαβαήλ έφερε τους σφραγισμένους σάκκους με τα χρήματα και τους παρέδωκεν εις αυτόν.
Τωβ. 9,6 - καὶ ὤρθρευσαν κοινῶς καὶ ἦλθον εἰς τὸν γάμον. καὶ εὐλόγησε Τωβίας τὴν γυναῖκα αὐτοῦ.
Τωβ. 9,6 - Κατόπιν, εσηκώθηκαν λίαν πρωϊ, και οι δύο μαζή ήλθον στον γάμον. Ο δε Τωβίας επί παρουσία όλων επήνεσε και συνεχάρη την γυναίκα του.

ΤΩΒΙΤ 10

Τωβ. 10,1 - Καὶ Τωβὶτ ὁ πατὴρ αὐτοῦ ἐλογίσατο ἑκάστης ἡμέρας· καὶ ὡς ἐπληρώθησαν αἱ ἡμέραι τῆς πορείας καὶ οὐκ ἤρχοντο,
Τωβ. 10,1 - Ο Τωβίτ, ο πατήρ του Τωβίου, εμετρούσε μίαν προς μίαν τας ημέρας. Οταν δε είδεν ότι συνεπληρώθησαν αι ημέραι του ταξιδίου των και εκείνοι δεν είχον επανέλθει,
Τωβ. 10,2 - εἶπε· μήποτε κατῄσχυνται; ἢ μήποτε ἀπέθανε Γαβαὴλ καὶ οὐδεὶς αὐτῷ δίδωσι τὸ ἀργύριον;
Τωβ. 10,2 - είπε· “μήπως, τυχόν, και απέτυχεν η αποστολή των και εντρέπονται να επανέλθουν; Η μήπως απέθανεν ο Γαβαήλ και κανείς πλέον δεν δίδει εις αυτόν τα χρήματα;”
Τωβ. 10,3 - καὶ ἐλυπεῖτο λίαν.
Τωβ. 10,3 - Δια τον λόγον αυτόν ο πατήρ ελυπείτο πάρα πολύ.
Τωβ. 10,4 - εἶπε δὲ αὐτῷ ἡ γυνή· ἀπώλετο τὸ παιδίον, διότι κεχρόνικε· καὶ ἤρξατο θρηνεῖν αὐτὸν καὶ εἶπεν·
Τωβ. 10,4 - Η δε γυναίκα του έλεγεν εις αυτόό· “εφ' όσον μέχρι σήμερα επέρασε τόσος καιρός και δεν επανήλθε το παιδί μας, εχάθηκε πλέον”! Ηρχισε δε αυτή να θρηνολογή το παιδί της και να λέγη·
Τωβ. 10,5 - οὐ μέλοι μοι, τέκνον, ὅτι ἀφῆκά σε τὸ φῶς τῶν ὀφθαλμῶν μου;
Τωβ. 10,5 - “παιδί μου, δεν ευρίσκω ησυχίαν, επειδή σε αφήκα να φύγης, εσέ που είσαι το φως των οφθαλμών μου.
Τωβ. 10,6 - καὶ Τωβὶτ λέγει αὐτῇ· σίγα, μὴ λόγον ἔχει, ὑγιαίνει.
Τωβ. 10,6 - Ο Τωβίτ έλεγεν εις αυτήν· “σιώπα, μη έχης λόγους ανησυχίας, υγιαίνει το παιδί μας”.
Τωβ. 10,7 - καὶ εἶπεν αὐτῷ· σίγα, μὴ πλάνα με, ἀπώλετο τὸ παιδίον μου. καὶ ἐπορεύετο καθ᾿ ἡμέραν εἰς τὴν ὁδὸν ἔξω, οἵας ἀπῆλθεν, ἡμέρας τε ἄρτον οὐκ ἤσθιε, τὰς δέ νύκτας οὐ διελίμπανε θρηνοῦσα Τωβίαν τὸν υἱὸν αὐτῆς, ἕως οὗ συνετελέσθησαν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου, ἃς ὤμοσε Ῥαγουὴλ ποιῆσαι αὐτὸν ἐκεῖ· εἶπε δὲ Τωβίας τῷ Ῥαγουήλ·

ἐξαπόστειλόν με, ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου οὐκέτι ἐλπίζουσιν ὄψεσθαί με.

Τωβ. 10,7 - Εκείνη του απήντησε· "εσύ σιώπα, μη θέλης να με ξεγελάσης, το παιδί μας έχει πλέον χαθή". Καθε δε ημέραν μετέβαινεν έξω στον δρόμον, από όπου είχε φύγει ο υιός της. Την ημέραν άρτον δεν έτρωγε, κατά δε τας νύκτας δεν έπαυε να θρηνή τον Τωβίαν τον υιόν της, μέχρις ότου συνεπληρώθησαν αι δεκατέσσαρες ημέραι του γάμου, τας οποίας ο Ραγουήλ είχεν ορκίσει τον Τωβίαν να μείνη εκεί. Είπε δε τότε ο Τωβίας στον Ραγουήλ· "στείλε με εις την πατρίδα μου, διότι ο πατέρας μου και η μητέρα μου δεν ελπίζουν πλέον, ότι θα με επανίδουν".

Τωβ. 10,8 - εἶπε δὲ αὐτῷ ὁ πενθερός· μεῖνον παρ᾿ ἐμοί, κἀγὼ ἐξαποστελῶ πρὸς τὸν πατέρα σου καὶ δηλώσουσιν αὐτῷ τὰ κατὰ σέ.

Τωβ. 10,8 - Ο πενθερός του του είπε· "μείνε κοντά μου, και εγώ θα στείλω ανθρώπους μου στον πατέρα σου, δια να καταστήσουν εις αυτόν γνωστά όλα τα κατά σέ".

Τωβ. 10,9 - καὶ Τωβίας λέγει· ἐξαπόστειλόν με πρὸς τὸν πατέρα μου.

Τωβ. 10,9 - Ο Τωβίας όμως επέμενε και έλεγε· "άφησέ με να μεταβώ προς τον πατέρα μου".

Τωβ. 10,10 - ἀναστὰς δὲ Ῥαγουὴλ ἔδωκεν αὐτῷ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ καὶ τὰ ἥμισυ τῶν ὑπαρχόντων, σώματα καὶ κτήνη καὶ ἀργύριον,

Τωβ. 10,10 - Ο Ραγουήλ εσηκώθη, έδωσεν εις αυτόν την Σαρραν την σύζυγόν του και τα μισά από τα υπάρχοντά του, δούλους και δούλας, διάφορα κτήνη και χρήματα.

Τωβ. 10,11 - καὶ εὐλογήσας αὐτοὺς ἐξαπέστειλε λέγων· εὐοδώσει ὑμᾶς, τέκνα, ὁ Θεὸς τοῦ οὐρανοῦ πρὸ τοῦ με ἀποθανεῖν.

Τωβ. 10,11 - Τους ηυλόγησε και τους κατευώδωσε λέγων· "ο Θεός του ουρανού να σας κατευοδώση, παιδιά μου, εις όλα. Και να ίδω εγώ αυτάς τας ευλογίας του Κυρίου εις σας πριν αποθάνω".

Τωβ. 10,12 - καὶ εἶπε τῇ θυγατρὶ αὐτοῦ· τίμα τοὺς πενθερούς σου, αὐτοὶ νῦν γονεῖς σού εἰσιν· ἀκούσαιμί σου ἀκοὴν καλήν, καὶ ἐφίλησεν αὐτήν. καὶ Ἔδνα εἶπε πρὸς Τωβίαν· ἀδελφὲ ἀγαπητέ, ἀποκαταστήσαι σε ὁ Κύριος τοῦ οὐρανοῦ καὶ δῴη μοι ἰδεῖν σου παιδία ἐκ Σάῤῥας τῆς θυγατρός μου, ἵνα εὐφρανθῶ ἐνώπιον τοῦ Κυρίου· καὶ ἰδοὺ παρατίθεμαί σοι τὴν θυγατέρα μου ἐν παρακαταθήκῃ, μὴ λυπήσῃς αὐτήν.

Τωβ. 10,12 - Είπε δε προς την κόρην του και τα εξής· "να τιμάς τους πενθερούς σου, διότι αυτοί τώρα είναι οι γονείς σου. Εύχομαι να ακούω πάντοτε καλήν φήμην δια σέ". Αυτά είπεν ο πατήρ και την εφίλησεν. Η δε Εδνα είπε προς τον Τωβίαν· "Αγαπητό μου παιδί, εύχομαι ο Κυριος του ουρανού, να σε αποκαταστήση εις την πατρίδα σου και να μου δώση να ίδω παιδιά σου από την θυγατέρα μου την Σαρραν, δια να ευφρανθώ και εγώ

ενώπιον του Κυρίου. Ιδού, σου παραδίδω και σου εμπιστεύομαι την θυγατέρα μου, ως παρακαταθήκην, και σε παρακαλώ να μη την λυπήσης”.

Τωβ. 10,13 - μετὰ ταῦτα ἐπορεύετο καὶ Τωβίας εὐλογῶν τὸν Θεόν, ὅτι εὐώδωσε τὴν ὁδὸν αὐτοῦ, καὶ κατευλόγει Ῥαγουὴλ καὶ Ἕδναν τὴν γυναῖκα αὐτοῦ.

Τωβ. 10,13 - Επειτα από αυτά εξεκίνησεν ο Τωβίας δια την επιστροφήν και ευλογούσε τον Θεόν, διότι κατευώδωσε τον δρόμον του. Θερμώς δε ευχαριστούσε τον Ραγουήλ και την Εδναν, διότι του έδωσαν την θυγατέρα των ως σύζυγόν του.

ΤΩΒΙΤ 11

Τωβ. 11,1 - Καὶ ἐπορεύετο μέχρις οὗ ἐγγίσαι αὐτοὺς εἰς Νινευῆ. καὶ εἶπε Ῥαφαὴλ πρὸς Τωβίαν· οὐ γινώσκεις, ἀδελφέ, πῶς ἀφῆκας τὸν πατέρα σου;

Τωβ. 11,1 - Ο Τωβίας μαζή με τον συνοδόν του επέστρεφαν και εβάδιζαν, μέχρις ότου έφθασαν εις την Νινευή. Ο Ραφαήλ είπε τότε προς τον Τωβίαν· “δεν γνωρίζεις, αδελφέ, πως αφήκες τον πατέρα σου;

Τωβ. 11,2 - προδράμωμεν ἔμπροσθεν τῆς γυναικός σου καὶ ἑτοιμάσωμεν τὴν οἰκίαν·

Τωβ. 11,2 - Λοιπόν, ας τρέξωμεν ημείς προ της γυναικός σου, δια να ετοιμάσωμεν την οικίαν.

Τωβ. 11,3 - λαβὲ δὲ παρὰ χεῖρα τὴν χολὴν τοῦ ἰχθῦος. καὶ ἐπορεύθησαν, καὶ συνῆλθεν ὁ κύων ὄπισθεν αὐτῶν.

Τωβ. 11,3 - Παρε δε στο χέρι σου την χολήν του ψαριού”. Πράγματι επροπορεύθησαν και οι δύο, ο δε σκύλος τους ακολουθούσε όπισθέν των.

Τωβ. 11,4 - καὶ Ἄννα ἐκάθητο περιβλεπομένη εἰς τὴν ὁδὸν τὸν παῖδα αὐτῆς·

Τωβ. 11,4 - Η Αννα εκάθητο και παρατηρούσε στον δρόμον, από τον οποίον θα ήρχετο το παιδί της.

Τωβ. 11,5 - καὶ προσενόησεν αὐτὸν ἐρχόμενον καὶ εἶπε τῷ πατρὶ αὐτοῦ· ἰδοὺ ὁ υἱός μου ἔρχεται καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ᾿ αὐτοῦ.

Τωβ. 11,5 - Αυτή τον είδε να έρχεται, έσπευσε και είπεν στον πατέρα του· “ιδού, το παιδί μου έρχεται, μαζή δε με αυτό και ο άνθρωπος, ο οποίος είχε συνταξιδεύσει μαζή του”.

Τωβ. 11,6 - καὶ Ῥαφαὴλ εἶπεν· ἐπίσταμαι ἐγὼ ὅτι ἀνοίξει τοὺς ὀφθαλμοὺς ὁ πατήρ σου.

Τωβ. 11,6 - Ο Ραφαήλ είπεν στον Τωβίαν· “γνωρίζω καλά ότι θα θεραπευθούν και θα ανοίγουν τα μάτια του πατρός σου.

Τωβ. 11,7 - σὺ ἔγχρισον τὴν χολὴν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ δηχθεὶς διατρίψει καὶ ἀποβαλεῖται τὰ λευκώματα καὶ ὄψεταί σε.

Τωβ. 11,7 - Προς τούτο, συ χρίσε με την χολήν τα μάτια του. Οταν δε αυτός αισθανθή σαν ένα δάγκωμα από την οξύτητα της χολής, θα τρίψη τα μάτια του και θα πέσουν τα λευκώματα από τους οφθαλμούς του και ο πατήρ σου θα σε ιδή”.

Τωβ. 11,8 - καὶ προσδραμοῦσα Ἄννα ἐπέπεσεν ἐπὶ τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς καὶ εἶπεν αὐτῷ· εἶδόν σε, παιδίον, ἀπὸ τοῦ νῦν ἀποθανοῦμαι καὶ ἔκλαυσαν ἀμφότεροι.

Τωβ. 11,8 - Η Αννα έτρεξε, έπεσεν στον τράχηλον του παιδιού της και είπεν εις αυτό· “παιδί μου, σε είδα· τώρα ας πεθάνω”. Εκλαυσαν και οι δύο.

Τωβ. 11,9 - καὶ Τωβὶτ ἐξήρχετο πρὸς τὴν θύραν καὶ προσέκοπτεν, ὁ δὲ υἱὸς αὐτοῦ προσέδραμεν αὐτῷ

Τωβ. 11,9 - Ο Τωβίτ εξήρχετο προς την θύραν εις συνάντησιν του υιού του και εσκόνταφτε. Το δε παιδί του έτρεξε προς αυτόν, δια να τον στηρίξη.

Τωβ. 11,10 - καὶ ἐπελάβετο τοῦ πατρὸς αὐτοῦ καὶ προσέπασε τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ πατρὸς αὐτοῦ λέγων· θάρσει, πάτερ.

Τωβ. 11,10 - Εκράτησεν εις τα χέρια του τον πατέρα του, ήλειψε με την χολήν τα μάτια του πατρός του και του είπε· “ποτέρα, έχε θάρρος”.

Τωβ. 11,11 - ὡς δὲ συνεδήχθησαν, διέτριψε τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐλεπίσθη ἀπὸ τῶν κάνθων τῶν ὀφθαλμῶν αὐτοῦ τὰ λευκώματα.

Τωβ. 11,11 - Ο δε Τωβίτ, όταν ησθάνθη κάτι σαν δάγκωμα εις τα δυο του μάτια, τα έτριψε με τα χέρια του και έπεσαν από τα βλέφαρα των οφθαλμών του τα λευκώματα σαν λέπια.

Τωβ. 11,12 - καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ

Τωβ. 11,12 - Ο Τωβίτ άνοιξε τα μάτια του, είδε το παιδί του και έπεσεν στον τράχηλόν του.

Τωβ. 11,13 - καὶ ἔκλαυσε καὶ εἶπεν· εὐλογητὸς εἶ, ὁ Θεός, καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, καὶ εὐλογημένοι πάντες οἱ ἅγιοί σου ἄγγελοι· ὅτι ἐμαστίγωσας καὶ ἠλέησάς με, ἰδοὺ βλέπω Τωβίαν τὸν υἱόν μου.

Τωβ. 11,13 - Εκλαυσε και είπε· “δοξασμένος είσαι συ, ο Θεός, και ευλογημένον το όνομά σου στους αιώνας. Ευλογημένοι και δοξασμένοι ας είναι οι άγιοί σου άγγελοι, διότι με εμαστίγωσες, αλλά και με ηλέησες. Ιδού ότι τώρα βλέπω και πάλιν το παιδί μου, τον Τωβίαν”.

Τωβ. 11,14 - καὶ εἰσῆλθεν ὁ υἱὸς αὐτοῦ χαίρων καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ τὰ μεγαλεῖα τὰ γενόμενα αὐτῷ ἐν τῇ Μηδίᾳ.

Τωβ. 11,14 - Ο υιός εισήλθε με χαράν στο σπίτι και εγνωστοποίησεν στον πατέρα του τα μεγαλεία, τα οποία έγιναν εις αυτόν εις την Μηδίαν.

Τωβ. 11,15 - καὶ ἐξῆλθε Τωβὶτ εἰς συνάντησιν τῇ νύμφῃ αὐτοῦ χαίρων καὶ εὐλογῶν τὸν Θεὸν πρὸς τῇ πύλῃ Νινευῆ· καὶ ἐθαύμαζον οἱ θεωροῦντες αὐτὸν πορευόμενον, ὅτι ἔβλεψε.

Τωβ. 11,15 - Ο Τωβίτ εξήλθεν από την οικίαν προς την πύλην της Νινευή εις συνάντησιν της νύμφης του με χαράν και δοξολογίας προς τον Θεόν. Ολοι δε που τον συναντούσαν εθαύμαζαν, διότι τον παρατηρούσαν να βαδίζη και να βλέπη με τα μάτια του.

Τωβ. 11,16 - καὶ Τωβὶτ ἐξωμολογεῖτο ἐνώπιον αὐτοῦ, ὅτι ἠλέησεν αὐτοὺς ὁ Θεός· καὶ ὡς ἤγγισε Τωβὶτ Σάῤῥᾳ τῇ νύμφῃ αὐτοῦ, κατευλόγησεν αὐτὴν λέγων· ἔλθοις ὑγιαίνουσα, θύγατερ· εὐλογητὸς ὁ Θεός, ὃς ἤγαγέ σε πρὸς ἡμᾶς, καὶ ὁ πατήρ σου καὶ ἡ μήτηρ σου. καὶ ἐγένετο χαρὰ πᾶσι τοῖς ἐν Νινευῆ ἀδελφοῖς αὐτοῦ.

Τωβ. 11,16 - Ο Τωβίτ εδοξολογούσε και ευχαριστούσε μεγαλοφώνως τον Θεόν, διότι τους ηλέησεν. Οταν δε ο Τωβίτ επλησίασε προς την νύμφην του την Σαρραν, της ηυχήθη με όλην του την καρδίαν λέγων· “Καλώς ήλθες, κόρη μου. Ευλογημένος ας είναι ο Θεός, ο οποίος σε έφερε προς ημάς, ευλογημένοι ας είναι ο πατέρας σου και η μητέρα σου”. Εγινε δε τότε χαρά εις όλους τους συγγενείς του Τωβίτ, οι οποίοι εζούσαν εις την Νινευή.

Τωβ. 11,17 - καὶ παρεγένετο Ἀχιάχαρος καὶ Νασβὰς ὁ ἐξάδελφος αὐτοῦ,

Τωβ. 11,17 - Ηλθε δε τότε εις την οικίαν του Τωβίτ ο Αχιάχαρος και ο Νασβάς ο εξάδελφός του.

Τωβ. 11,18 - καὶ ἤχθη ὁ γάμος Τωβία μετ᾿ εὐφροσύνης ἡμέρας ἑπτά.

Τωβ. 11,18 - Επανηγυρίσθη δε ο γάμος του Τωβία με μεγάλην χαράν και ευφροσύνην επί επτά ημέρας.

ΤΩΒΙΤ 12

Τωβ. 12,1 - Καὶ ἐκάλεσε Τωβὶτ Τωβίαν τὸν υἱὸν αὐτοῦ καὶ εἶπεν αὐτῷ· ὅρα, τέκνον, μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ προσθεῖναι αὐτῷ δεῖ.

Τωβ. 12,1 - Ο Τωβίτ εκάλεσε τον υιόν του Τωβίαν και του είπε· “κύτταξε, παιδί μου, πρέπει να δώσωμεν τον μισθόν στον άνθρωπον αυτόν, ο οποίος συνεταξίδευσε μαζή σου. Πρέπει δε ακόμη να του προσθέσωμεν και ιδιαιτέραν αμοιβήν”.

Τωβ. 12,2 - καὶ εἶπε· πάτερ, οὐ βλάπτομαι δοὺς αὐτῷ τὸ ἥμισυ, ὧν ἐνήνοχα,

Τωβ. 12,2 - Ο Τωβίας απήντησε· “πάτερ, δεν βλάπτομαι και εάν ακόμη του δώσω τα μισά από όσα έχω φέρει.

Τωβ. 12,3 - ὅτι με ἀγήοχέ σοι ὑγιῆ καὶ τὴν γυναῖκά μου ἐθεράπευσε καὶ τὸ ἀργύριόν μου ἤνεγκε καὶ σὲ ὁμοίως ἐθεράπευσε.

Τωβ. 12,3 - Διότι αυτός με επανέφερεν υγιή, εθεράπευσε την γυναίκα μου, έφερε τα χρήματα μας, επίσης δε εθεράπευσε και σε από την τύφλωσιν".

Τωβ. 12,4 - καὶ εἶπεν ὁ πρεσβύτης· δικαιοῦται αὐτῷ.

Τωβ. 12,4 - Ο γέρων Τωβίτ απήντησε· "πράγματι αυτός δικαιούται να πάρη όλα όσα είπες".

Τωβ. 12,5 - καὶ ἐκάλεσε τὸν ἄγγελον καὶ εἶπεν αὐτῷ· λάβε τὸ ἥμισυ πάντων, ὧν ἐνηνόχατε, καὶ ὕπαγε ὑγιαίνων.

Τωβ. 12,5 - Ο Τωβίτ εκάλεσε τον άγγελον και είπε προς αυτόν· "πάρε τα μισά από όλα εκείνα, τα οποία εφέρατε και πήγαινε τώρα στο καλόν".

Τωβ. 12,6 - τότε καλέσας τοὺς δύο κρυπτῶς εἶπεν αὐτοῖς· εὐλογεῖτε τὸν Θεὸν καὶ αὐτῷ ἐξομολογεῖσθε καὶ μεγαλωσύνην δίδοτε αὐτῷ καὶ ἐξολογεῖσθε αὐτῷ ἐνώπιον πάντων τῶν ζώντων, περὶ ὧν ἐποίησε μεθ᾿ ὑμῶν. ἀγαθὸν τὸ εὐλογεῖν τὸν Θεὸν καὶ ὑψοῦν τὸ ὄνομα αὐτοῦ, τοὺς λόγους τῶν ἔργων τοῦ Θεοῦ ἐντίμως ὑποδεικνύοντες, καὶ μὴ ὀκνεῖτε ἐξομολογεῖσθαι αὐτῷ.

Τωβ. 12,6 - Τοτε ο άγγελος εκάλεσε και τους δύο αυτούς ιδιαιτέρως και τους είπε· "δοξάσατε τον Θεόν, διακηρύξατε την δόξαν του. Δώστε μεγαλείον εις αυτόν και διακηρύξατε ενώπιον όλων των ανθρώπων όλα όσα έκαμε προς σας. Είναι ωραίον και καλόν, το να ευλογήτε τον Θεόν και να μεγαλύνετε το Ονομά του, τους λόγους και τα έργα του και να υποδεικνύετε με κάθε τιμήν και να διακηρύσσετε την δόξαν του. Μη αμελείτε να δοξάζετε και να ευχαριστήτε τον Θεόν.

Τωβ. 12,7 - μυστήριον βασιλέως καλὸν κρύψαι, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακαλύπτειν ἐνδόξως. ἀγαθὸν ποιήσατε, καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς.

Τωβ. 12,7 - Τα μυστικά του βασιλέως καλόν είναι να κρύπτονται, τα έργα όμως του Θεού πρέπει να αποκαλύπτονται και να διακηρύττονται με κάθε δόξαν. Να πράττετε πάντοτε εις την ζωήν σας το αγαθόν και ποτέ δεν θα σας συναντήση κανένα κακόν.

Τωβ. 12,8 - ἀγαθὸν προσευχὴ μετὰ νηστείας καὶ ἐλεημοσύνης καὶ δικαιοσύνης· ἀγαθὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης ἢ πολὺ μετὰ ἀδικίας. καλὸν ποιῆσαι ἐλεημοσύνην ἢ θησαυρίσαι χρυσίον·

Τωβ. 12,8 - Είναι ωραίον και καλόν πράγμα η προσευχή με νηστείαν και ελεημοσύνην και κάθε άλλην αρετήν. Είναι καλόν πράγμα να έχη κανείς ολίγα με δικαιοσύνην αποκτηθέντα η να έχη πολλά μετά αδικίας. Καλόν είναι να κάμνη κανείς την ελεημοσύνην, παρά να αποθησαυρίζη χρυσίον.

Τωβ. 12,9 - ἐλεημοσύνη γὰρ ἐκ θανάτου ῥύεται, καὶ αὐτὴ ἀποκαθαριεῖ πᾶσαν ἁμαρτίαν· οἱ ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας πλησθήσονται

ζωῆς,

Τωβ. 12,9 - Διότι η ελεημοσύνη γλυτώνει τον άνθρωπον από τον θάνατον. Αυτή καθαρίζει τον άνθρωπον από κάθε αμαρτίαν. Εκείνοι οι οποίοι κάμνουν ελεημοσύνας και ζουν με δικαιοσύνην θα απολαύσουν την αληθινήν ζωήν.

Τωβ. 12,10 - οἱ δὲ ἁμαρτάνοντες πολέμιοί εἰσι τῆς ἑαυτῶν ζωῆς.

Τωβ. 12,10 - Οσοι δε αμαρτάνουν είναι εχθροί και πολέμιοι της ιδίας των ζωής.

Τωβ. 12,11 - οὐ μὴ κρύψω ἀφ᾽ ὑμῶν πᾶν ῥῆμα· εἴρηκα δὴ μυστήριον βασιλέως κρύψαι καλόν, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακαλύπτειν ἐνδόξως.

Τωβ. 12,11 - Δεν θα κρύψω εγώ από σας κανένα πράγμα. Είπα ότι τα μυστικά του βασιλέως καλόν είναι να κρύπτωνται, τα δε έργα του Θεού να αποκαλύπτονται και να διακηρύσσονται με κάθε δόξαν.

Τωβ. 12,12 - καὶ νῦν ὅτι προσηύξω σὺ καὶ ἡ νύμφη σου Σάῤῥα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου· καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς, ὡσαύτως συμπαρήγμην σοι.

Τωβ. 12,12 - Ακούσατε λοιπόν τώρα· Οταν συ εις την Νινευή και η σημερινή νύμφη σου η Σαρρα από τα Εκβάτανα είχατε προσευχηθη συγχρόνως, εγώ το περιεχόμενον της προσευχής σας το έφερα ενώπιον του Θεού. Και όταν συ έθαπτες τους νεκρούς, εγώ ήμουν κοντά σου βοηθός σου.

Τωβ. 12,13 - καὶ ὅτε οὐκ ὤκνησας ἀναστῆναι καὶ καταλιπεῖν τὸ ἄριστόν σου, ὅπως ἀπελθὼν περιστείλῃς τὸν νεκρόν, οὐκ ἔλαθές με ἀγαθοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην.

Τωβ. 12,13 - Και όταν δεν ωλιγώρησες και δεν εδίστασες να σηκωθής και να αφήσης το φαγητόν σου, δια να μεταβής και να θάψης τον νεκρόν, δεν διέφυγε την προσοχήν μου η αγαθή σου αυτή πράξις, αλλά ήμουνα μαζή με σένα.

Τωβ. 12,14 - καὶ νῦν ἀπέστειλέ με ὁ Θεὸς ἰάσασθαί σε καὶ τὴν νύμφην σου Σάῤῥαν.

Τωβ. 12,14 - Και τώρα, λοιπόν, με έστειλεν ο Θεός να θεραπεύσω και σε και την νύμφην σου την Σαρραν.

Τωβ. 12,15 - ἐγώ εἰμι Ῥαφαήλ, εἷς ἐκ τῶν ἑπτὰ ἁγίων ἀγγέλων, οἳ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων, καὶ εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου.

Τωβ. 12,15 - Εγώ είμαι ο Ραφαήλ, ένας εκ τον επτά αγίων αγγέλων, οι οποίοι αναφέρουν τας προσευχάς των αγίων και παρουσιάζονται ενώπιον της μεγαλοσύνης του αγίου Θεού”.

Τωβ. 12,16 - καὶ ἐταράχθησαν οἱ δύο καὶ ἔπεσον ἐπὶ πρόσωπον, ὅτι ἐφοβήθησαν.

Τωβ. 12,16 - Πατήρ και υιός κατελήφθησαν και οι δυο από ταραχήν, έπεσαν με το πρόσωπον κατά γης, διότι εφοβήθησαν.

Τωβ. 12,17 - καὶ εἶπεν αὐτοῖς· μὴ φοβεῖσθε, εἰρήνη ὑμῖν ἔσται· τὸν δὲ Θεὸν εὐλογεῖτε εἰς τὸν αἰῶνα,

Τωβ. 12,17 - Ο άγγελος όμως ειπέ προς αυτούς· “μη φοβείσθε. Η ειρήνη του Θεού θα είναι μαζή σας. Τον Θεόν να δοξάζετε και να ευλογήτε πάντοτε,

Τωβ. 12,18 - ὅτι οὐ τῇ ἐμαυτοῦ χάριτι, ἀλλὰ τῇ θελήσει τοῦ Θεοῦ ἡμῶν ἦλθον, ὅθεν εὐλογεῖτε αὐτὸν εἰς τὸν αἰῶνα.

Τωβ. 12,18 - διότι εγώ, οχι με την ιδικήν μου χάριν, αλλά με την θέλησιν του Θεού μας ήλθα προς σας. Λοιπόν, δια τούτο δοξάζετε και ευχαριστείτε τον Θεόν πάντοτε.

Τωβ. 12,19 - πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ οὐκ ἔφαγον οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε.

Τωβ. 12,19 - Ολας τας ημέρας, κατά τας οποίας ενεφανιζόμην εις σας, δεν έφαγα και δεν έπια τίποτε, αλλά σεις φαινομενικώς με εβλέπατε να τρώγω και να πίνω.

Τωβ. 12,20 - καὶ νῦν ἐξομολογεῖσθε τῷ Θεῷ, διότι ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ γράψατε πάντα τὰ συντελεσθέντα εἰς βιβλίον.

Τωβ. 12,20 - Και τώρα, λοιπόν, ευχαριστήσατε και δοξολογήσατε τον Θεόν, διότι ανεβαίνω προς αυτόν, ο οποίος με έστειλε. Γράψατε δε όλα αυτά, τα οποία έγιναν εις ένα βιβλίον”.

Τωβ. 12,21 - καὶ ἀνέστησαν, καὶ οὐκ ἔτι εἶδον αὐτόν.

Τωβ. 12,21 - Πατήρ και υιός εσηκώθησαν και δεν είδαν πλέον τον άγγελον.

Τωβ. 12,22 - καὶ ἐξωμολογοῦντο τὰ ἔργα τὰ μεγάλα καὶ θαυμαστὰ αὐτοῦ καὶ ὡς ὤφθη αὐτοῖς ὁ ἄγγελος Κυρίου.

Τωβ. 12,22 - Διηγούντο δε και διεκήρυσον τα μεγάλα και θαυμαστά έργα του Θεού, όπως επίσης πως ο άγγελος αυτός του Κυρίου παρουσιάσθη εις αυτούς.

ΤΩΒΙΤ 13

Τωβ. 13,1 - Καὶ Τωβὶτ ἔγραψε προσευχὴν εἰς ἀγαλλίασιν καὶ εἶπεν· «Εὐλογητὸς ὁ Θεὸς ὁ ζῶν εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐτοῦ,

Τωβ. 13,1 - Ο Τωβίτ, έγραψε προσευχήν εις έκφρασιν της αγαλλιάσεώς του και είπεν· “δοξασμένος και ευλογημένος στους αιώνας ας είναι ο ζων Θεός και δοξασμένη η βασιλεία του.

Τωβ. 13,2 - ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεεῖ, κατάγει εἰς ᾄδην καὶ ἀνάγει, καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν χεῖρα αὐτοῦ.

Τωβ. 13,2 - Διότι αυτός μαστιγώνει αλλά και ελεεί, οδηγεί μέχρι στον άδην, αλλά και επαναφέρει από αυτόν. Δεν υπάρχει άνθρωπος, ο οποίος είναι δυνατόν να διαφύγη το παντοδύναμον χέρι του.

Τωβ. 13,3 - ἐξομολογεῖσθε αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ ἐνώπιον τῶν ἐθνῶν, ὅτι αὐτὸς διέσπειρεν ἡμᾶς ἐν αὐτοῖς·

Τωβ. 13,3 - Σεις οι Ισραηλίται δοξολογήσατε και ευχαριστήσατε αυτόν ενώπιον των εθνών, διότι αυτός μας διεσκόρπισεν ανά μέσον αυτών.

Τωβ. 13,4 - ἐκεῖ ὑποδείξατε τὴν μεγαλωσύνην αὐτοῦ, ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος, καθότι αὐτὸς Κύριος ἡμῶν καὶ Θεός, αὐτὸς πατὴρ ἡμῶν εἰς πάντας τοὺς αἰῶνας.

Τωβ. 13,4 - Εκεί δε μεταξύ των ειδωλολατρικών εθνών γενήτε κήρυκες του μεγαλείου του Θεού μας, και υψώσατε αυτόν ενώπιον παντός ανθρώπου, διότι αυτός είναι ο Κυριος μας και Θεός μας. Αυτός είναι ο πατήρ μας εις όλους τους αιώνας.

Τωβ. 13,5 - καὶ μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις ἡμῶν καὶ πάλιν ἐλεήσει καὶ συνάξει ἡμᾶς ἐκ πάντων τῶν ἐθνῶν, οὗ ἐὰν σκορπισθῆτε ἐν αὐτοῖς.

Τωβ. 13,5 - Αυτός θα μας μαστιγώση δια τας αμαρτίας μας, αλλά και πάλιν θα μας ελεήση και θα μας συγκεντρώση από όλα τα έθνη, όπου έχομεν διασκορπισθή εν μέσω αυτών.

Τωβ. 13,6 - ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν καὶ ἐν ὅλῃ τῇ ψυχῇ ὑμῶν ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν, τότε ἐπιστρέψει πρὸς ὑμᾶς καὶ οὐ μὴ κρύψῃ τὸ πρόσωπον αὐτοῦ ἀφ᾿ ὑμῶν. καὶ θεάσασθε ἃ ποιήσει μεθ᾿ ὑμῶν, καὶ ἐξομολογήσασθε αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑμῶν· καὶ εὐλογήσατε τὸν Κύριον τῆς δικαιοσύνης καὶ ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων. ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι αὐτῷ καὶ δεικνύω τὴν ἰσχὺν καὶ τὴν μεγαλωσύνην αὐτοῦ ἔθνει ἁμαρτωλῶν. ἐπιστρέψατε, ἁμαρτωλοί, καὶ ποιήσατε δικαιοσύνην ἐνώπιον αὐτοῦ· τίς γινώσκει εἰ θελήσει ὑμᾶς καὶ ποιήσει ἐλεημοσύνην ὑμῖν;

Τωβ. 13,6 - Εάν επιστρέψετε εν μετανοία προς αυτόν με όλην σας την καρδίαν και με όλην σας την ψυχήν, ώστε να εκτελήτε ενώπιόν του το άγιον θέλημά του, που είναι η αλήθεια, τότε θα επιστρέψη και αυτός προς σας και δεν θα αποστρέψη το πρόσωπόν του από σας. Τοτε θα ιδήτε εκείνα, τα οποία θα κάμη προς χάριν σας. Δοξάσατε, λοιπόν, αυτόν με όλην την δύναμιν της φωνής σας. Δοξολογήσατε τον Κυριον της δικαιοσύνης και υψώσατε τον βασιλέα του σύμπαντος στους αιώνας των αιώνων. Εγώ στον τύπον αυτόν της αιχμαλωσίας μου δοξολογώ τον Θεόν και διακηρύττω την δύναμιν και το μεγαλείον του εις τα αμαρτωλά έθνη. Και λέγω· Αμαρτωλοί επιστρέψατε προς τον Θεόν. Εφαρμόσατε δικαιοσύνην ενώπιον αυτού. Και

ποιός ξέρει, ίσως ο Θεός να δείξη την αγαθήν του διάθεσιν προς σας. Θα στείλη και προς σας το έλεός του.

Τωβ. 13,7 - τὸν Θεόν μου ὑψῶ καὶ ἡ ψυχή μου τὸν βασιλέα τοῦ οὐρανοῦ καὶ ἀγαλλιάσεται τὴν μεγαλωσύνην αὐτοῦ.

Τωβ. 13,7 - Τον Θεόν μου μεγαλλείνω και η ψυχή μου γεμάτη αγαλλίασιν θα διακηρύττη το μεγαλείον του βασιλέως των ουρανών.

Τωβ. 13,8 - λεγέτωσαν πάντες καὶ ἐξομολογείσθωσαν αὐτῷ ἐν Ἱεροσολύμοις·

Τωβ. 13,8 - Ολοι ας είπωμεν και ας διακηρύξωμεν την δόξαν και τας ευεργεσίας αυτού εις την Ιερουσαλήμ.

Τωβ. 13,9 - Ἱεροσόλυμα πόλις ἁγία, μαστιγώσει ἐπὶ τὰ ἔργα τῶν υἱῶν σου καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δικαίων.

Τωβ. 13,9 - Ιερουσαλήμ, πόλις αγία, ο Θεός θα σε τιμωρήση δια τα έργα των παιδιών σου, αλλά και πάλιν θα ελεήση τους απογόνους των δικαίων.

Τωβ. 13,10 - ἐξομολογοῦ τῷ Κυρίῳ ἀγαθῶς καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰώνων, ἵνα πάλιν ἡ σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χαρᾶς, καὶ εὐφράναι ἐν σοὶ τοὺς αἰχμαλώτους καὶ ἀγαπῆσαι ἐν σοὶ τοὺς ταλαιπώρους εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.

Τωβ. 13,10 - Να ευχαριστής τον Κυριον σου όσον ημπορείς περισσότερον. Και να δοξολογής τον βασιλέα των αιώνων, δια να ανοικοδομηθή πάλιν εντός σου με χαράν μεγάλην ο ναός του Θεού. Είθε να ευφρανθούν επανερχόμενοι προς σε οι αιχμάλωτοι Ιουδαίοι, ω Ιερουσαλήμ. Είθε να αγαπήση ο Θεός τους ταλαιπωρουμένους Ιουδαίους εις όλας τας γενεάς των.

Τωβ. 13,11 - ἔθνη πολλὰ μακρόθεν ἥξει πρὸς τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ δῶρα ἐν χερσὶν ἔχοντες καὶ δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ, γενεαὶ γενεῶν δώσουσί σοι ἀγαλλίαμα.

Τωβ. 13,11 - Πολλά έθνη θα έλθουν από μακράν, δια να δοξάσουν το όνομα Κυρίου του Θεού. Θα έχουν δώρα εις τα χέρια του, δώρα δια να τα προσφέρουν στον βασιλέα των ουρανών. Ολαι αι γενεαί των γενεών θα διακηρύξουν την αγαλλίασίν των δια σέ.

Τωβ. 13,12 - ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε, εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν αἰῶνα.

Τωβ. 13,12 - Κατηραμένοι θα είναι όλοι εκείνοι, οι οποίοι σε μισούν, ευλογημένοι δε θα είναι όλοι εκείνοι, οι οποίοι σε αγαπούν στον αιώνα.

Τωβ. 13,13 - χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, ὅτι συναχθήσονται καὶ εὐλογήσουσι τὸν Κύριον τῶν δικαίων.

Τωβ. 13,13 - Εχε χαράν και αγαλλιασιν, ω Ιερουσαλήμ, δια τους δικαίους, οι οποίοι θα συγκεντρωθούν εις την περιοχήν σου και οι οποίοι θα δοξάζουν τον Κυριον και Θεόν των δικαίων ανθρώπων.

Τωβ. 13,14 - ὦ μακάριοι οἱ ἀγαπῶντές σε, χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου. μακάριοι ὅσοι ἐλυπήθησαν ἐπὶ πάσαις ταῖς μάστιξί σου, ὅτι ἐπὶ σοὶ χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν σου καὶ εὐφρανθήσονται εἰς τὸν αἰῶνα.

Τωβ. 13,14 - Ω! τρισευτυχισμένοι και ευλογημένοι από τον Θεόν είναι εκείνοι, οι οποίοι ειλικρινώς σε αγαπούν. Θα χαρούν δια την ειρήνην σου. Τρισευτυχισμένοι επίσης είναι όσοι επόνεσαν δι' όλας τας συμφοράς σου, διότι και αυτοί θα χαρούν βλέποντες την δόξαν σου. Θα ευφρανθούν εις τον αιώνα.

Τωβ. 13,15 - ἡ ψυχή μου εὐλογείτω τὸν Θεὸν τὸν βασιλέα τὸν μέγαν,

Τωβ. 13,15 - Η ψυχή μου ας ευχαριστή και ας δοξολογή τον Θεόν, τον μέγαν βασιλέα,

Τωβ. 13,16 - ὅτι οἰκοδομηθήσεται Ἱερουσαλὴμ σαπφείρῳ καὶ σμαράγδῳ καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ,

Τωβ. 13,16 - διότι η Ιερουσαλήμ θα ανοικοδομηθή με σάπφειρον και σμάραγδον, τα δε τείχη της με πολυτίμους λίθους και οι πύργοι της και οι προμαχώνες της με ολοκάθαρον χρυσόν.

Τωβ. 13,17 - καὶ αἱ πλατεῖαι Ἱερουσαλὴμ ἐν βηρύλλῳ καὶ ἄνθρακι καὶ λίθῳ ἐκ Σουφεὶρ ψηφολογηθήσονται.

Τωβ. 13,17 - Αι πλατείαι της Ιερουσαλήμ θα στρωθούν με βήρυλλον και αδάμαντα· θα στρωθούν και θα διακοσμηθούν με πολύτιμους λίθους εκ του Σουφείρ.

Τωβ. 13,18 - καὶ ἐροῦσι πᾶσαι αἱ ῥύμαι αὐτῆς, ἀλληλούϊα καὶ αἰνέσουσι λέγοντες· εὐλογητὸς ὁ Θεός, ὃς ὕψωσε πάντας τοὺς αἰῶνας».

Τωβ. 13,18 - Εις όλους τους δρόμους της θα αντηχή και θα ψάλλεται το αλληλούϊα. Ολοι θα δοξολογούν λέγοντες· ευλογητός ο Θεός, ο οποίος εξύψωσε την Ιερουσαλήμ εις όλους τους αιώνας".

ΤΩΒΙΤ 14

Τωβ. 14,1 - Καὶ ἐπαύσατο ἐξομολογούμενος Τωβίτ.

Τωβ. 14,1 - Τωβίας επεράτωσε τον ύμνον της δοξολογίας προς τον Θεόν.

Τωβ. 14,2 - καὶ ἦν ἐτῶν πεντηκονταοκτώ, ὅτε ἀπώλεσε τὰς ὄψεις, καὶ μετὰ ἔτη ὀκτὼ ἀνέβλεψε. καὶ ἐποίει ἐλεημοσύνας καὶ προσέθετο φοβεῖσθαι Κύριον τὸν Θεὸν καὶ ἐξωμολογεῖτο αὐτῷ.

Τωβ. 14,2 - Αυτός, όταν έχασε τους οφθαλμούς του, ήτο πεντήκοντα οκτώ ετών. Επειτα από οκτώ έτη ανέκτησε την όρασίν του. Εκαμνε

ελεημοσύνας, συνείχετο δε πάντοτε από ευλαβή φόβον προς Κυριον τον Θεόν, τον οποίον και εδοξολογούσε και ευχαριστούσε.

Τωβ. 14,3 - μεγάλως δὲ ἐγήρασε· καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐτῷ· τέκνον, λάβε τοὺς υἱούς σου· ἰδοὺ γεγήρακα καὶ πρὸς τὸ ἀποτρέχειν ἐκ τοῦ ζῆν εἰμι.

Τωβ. 14,3 - Ηλθεν εις βαθύ γήρας. Προσεκάλεσε τότε τον υιόν του και τα παιδιά του υιού του και είπεν εις αυτόν· "τέκνον, πάρε τους υιούς σου· ιδού έχω γηράσει και προχωρώ ταχέως προς το τέρμα της ζωής.

Τωβ. 14,4 - ἄπελθε εἰς τὴν Μηδίαν, τέκνον, ὅτι πέπεισμαι ὅσα ἐλάλησεν Ἰωνᾶς ὁ προφήτης περὶ Νινευῆ, ὅτι καταστραφήσεται, ἐν δὲ τῇ Μηδίᾳ ἔσται εἰρήνη μᾶλλον ἕως καιροῦ, καὶ ὅτι οἱ ἀδελφοὶ ἡμῶν ἐν τῇ γῇ σκορπισθήσονται ἀπὸ τῆς ἀγαθῆς γῆς, καὶ Ἱεροσόλυμα ἔσται ἔρημος, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐν αὐτῇ κατακαήσεται καὶ ἔρημος ἔσται μέχρι χρόνου.

Τωβ. 14,4 - Πηγαινε, παιδί μου, εις την Μηδίαν, διότι έχω πεισθή ότι όσα προεφήτευσεν ο Ιωνάς ο προφήτης δια την Νινευή, είναι αληθινά και αυτή θα καταστραφή. Εις την Μηδίαν όμως θα επικρατή μάλλον ειρήνη έως ωρισμένον καιρόν. Οι αδελφοί μας Ιουδαίοι, που ευρίσκονται εις την χώραν της Ιουδαίας, θα διασκορπισθούν από την ευλογημένην εκείνην γην. Η Ιερουσαλήμ θα ερημωθή, ο ναός του Θεού, που υπάρχει εις αυτήν, θα κατακαή και θα μείνη έρημος μέχρις ωρισμένου καιρού.

Τωβ. 14,5 - καὶ πάλιν ἐλεήσει αὐτοὺς ὁ Θεὸς καὶ ἐπιστρέψει αὐτοὺς εἰς τὴν γῆν, καὶ οἰκοδομήσουσι τὸν οἶκον, οὐχ οἷος ὁ πρότερος, ἕως πληρωθῶσι καιροὶ τοῦ αἰῶνος. καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν ἐκ τῶν αἰχμαλωσιῶν καί οἰκοδομήσουσιν Ἱερουσαλὴμ ἐντίμως, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐν αὐτῇ οἰκοδομηθήσεται εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος οἰκοδομῇ ἐνδόξῳ, καθὼς ἐλάλησαν περὶ αὐτῆς οἱ προφῆται.

Τωβ. 14,5 - Αλλά και πάλιν ο Θεός θα τους ελεήση, θα τους επαναφέρη εις την χώραν της Ιουδαίας και θα ανοικοδομήσουν αυτοί τον ναόν. Δεν θα είναι όμως αυτός τόσον λαμπρός, όπως ήτο ο προηγούμενος. Αυτά όλα θα πραγματοποιηθούν, έως ότου συμπληρωθούν οι ορισμένοι χρόνοι. Μετά ταύτα θα επανέλθουν από τας αιχμαλωσίας των και κατά τρόπον λαμπρόν θα ανοικοδομήσουν πάλιν τον ναόν του Θεού εις την πόλιν Ιερουσαλήμ, ώστε να μένη εις όλας τας γενεάς του αιώνος. Ετσιν ακριβώς, όπως ελάλησαν δι' αυτήν οι προφήται.

Τωβ. 14,6 - καὶ πάντα τὰ ἔθνη ἐπιστρέψουσιν ἀληθινῶς φοβεῖσθαι Κύριον τὸν Θεὸν καὶ κατορύξουσι τὰ εἴδωλα αὐτῶν, καὶ εὐλογήσουσι πάντα τὰ ἔθνη Κύριον.

Τωβ. 14,6 - Θα έλθη καιρός, κατά τον οποίον όλα τα ειδωλολατρικά έθνη θα επανέλθουν προς τον Θεόν, δια να λατρεύουν αυτόν κατ' αλήθειαν και θα

θάψουν τα είδωλά των εις την γην. Ολα τα έθνη θα δοξολογήσουν τον Κυριον.

Τωβ. 14,7 - καὶ ὁ λαὸς αὐτοῦ ἐξομολογήσεται τῷ Θεῷ, καὶ ὑψώσει Κύριος τὸν λαὸν αὐτοῦ, καὶ χαρήσονται πάντες οἱ ἀγαπῶντες Κύριον τὸν Θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, ποιοῦντες ἔλεος τοῖς ἀδελφοῖς ἡμῶν.

Τωβ. 14,7 - Τοτε ο λαός Του θα δοξολογή και θα ευχαριστή τον αληθινόν Θεόν και ο Κυριος θα αναδείξη τον λαόν αυτόν. Θα χαρούν όλοι όσοι αγαπούν Κυριον τον Θεόν με ειλικρίνειαν και δικαιοσύνην, αυτοί οι οποίοι κάμνουν ελεημοσύνας στους αδελφούς μας.

Τωβ. 14,8 - καὶ νῦν, τέκνον, ἄπελθε ἀπὸ Νινευῆ, ὅτι πάντως ἔσται ἃ ἐλάλησεν ὁ προφήτης Ἰωνᾶς.

Τωβ. 14,8 - Και τώρα, παιδί μου, φύγε από την Νινευή, διότι πάντως θα πραγματοποιηθούν εκείνα τα οποία προείπεν ο προφήτης Ιωνάς.

Τωβ. 14,9 - σὺ δὲ τήρησον τὸν νόμον καὶ τὰ προστάγματα καὶ γενοῦ φιλελεήμων καὶ δίκαιος, ἵνα σοι καλῶς ᾖ. καὶ θάψον με καλῶς καὶ τὴν μητέρα σου μετ᾿ ἐμοῦ, καὶ μηκέτι αὐλισθῆτε εἰς Νινευῆ.

Τωβ. 14,9 - Συ όμως να τηρής τον νόμον και τας εντολάς του Θεού, να είσαι ελεήμων και δίκαιος, δια να ευτυχήσης. Με την πρέπουσαν τιμήν θάψε εμέ και μαζή με εμέ την μητέρα σου. Μη μείνετε πλέον εις την Νινευή.

Τωβ. 14,10 - τέκνον, ἰδὲ τί ἐποίησεν Ἀμὰν Ἀχιαχάρῳ τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν αὐτὸν εἰς τὸ σκότος, καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ· καὶ Ἀχιάχαρος μὲν ἐσώθη, ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἐπεδόθη, καὶ αὐτὸς κατέβη εἰς τὸ σκότος. Μανασσῆς ἐποίησεν ἐλεημοσύνην καὶ ἐσώθη ἐκ παγίδος θανάτου, ἧς ἔπηξεν αὐτῷ, Ἀμὰν δὲ ἐνέπεσεν εἰς τὴν παγίδα καὶ ἀπώλετο.

Τωβ. 14,10 - Τέκνον μου, ιδέ τι έκαμεν ο Αμάν στον Αχιάχαρον, ο οποίος τον είχεν αναθρέψει και πως ο ευεργετηθείς αυτός Αμάν τον ωδήγησεν από το φως στο σκότος. Και πόσα κακά αντί της ευεργεσίας ανταπέδωσεν εις αυτόν. Και ο Αχιάχαρος μεν διεσώθη, εις εκείνον δε εδόθη η δικαία ανταπόδοσις και κατέβη στο σκότος του άδου. Ο Μανασσής εποίησεν ελεημοσύνας και εσώθη από την παγίδα του θανάτου, την οποίαν είχε στήσει εις αυτόν ο Αμάν. Ο Αμάν δε ενέπεσεν εις αυτήν την παγίδα και εχάθη.

Τωβ. 14,11 - καὶ νῦν, παιδία, ἴδετε τί ἐλεημοσύνη ποιεῖ, καὶ τί δικαιοσύνη ῥύεται. καὶ ταῦτα αὐτοῦ λέγοντος, ἐξέλιπεν ἡ ψυχὴ αὐτοῦ ἐπὶ τῆς κλίνης· ἦν δὲ ἐτῶν ἑκατὸν πεντηκονταοκτώ, καὶ ἔθαψαν αὐτὸν ἐνδόξως.

Τωβ. 14,11 - Και τώρα, παιδιά μου, ίδετε τι κατορθώνει η ελεημοσύνη και από ποία κακά μας απαλλάσσει η δικαιοσύνη”. Ενώ δε έλεγεν αυτά ο Τωβίτ, έσβησεν ήρεμα η ζωη του επάνω εις την κλίνην του. Ητο δε τότε εκατόν πεντήκοντα οκτώ ετών. Τον έθαψαν μετά μεγάλης τιμής.

Τωβ. 14,12 - καὶ ὅτε ἀπέθανεν Ἄννα, ἔθαψεν αὐτὴν μετὰ τοῦ πατρὸς αὐτοῦ, ἀπῆλθε δὲ Τωβίας μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ εἰς Ἐκβάτανα πρὸς Ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ,

Τωβ. 14,12 - Οταν δε απέθανε και η Αννα, την έθαψεν ο Τωβίας κοντά στον πατέρα του. Ο Τωβίας έφυγε μαζή με την γυναίκα του και τα παιδιά του εις τα Εκβάτανα προς τον πενθερόν του τον Ραγουήλ.

Τωβ. 14,13 - καὶ ἐγήρασεν ἐντίμως καὶ ἔθαψε τοὺς πενθεροὺς αὐτοῦ ἐνδόξως καὶ ἐκληρονόμησε τὴν οὐσίαν αὐτῶν καὶ Τωβὶτ τοῦ πατρὸς αὐτοῦ.

Τωβ. 14,13 - Εφθασε και αυτός εις βαθύ και έντιμον γήρας, έθαψε τους πενθερούς του μετά μεγάλης τιμής και εκληρονόμησε την περιουσίαν αυτών, όπως και την περιουσίαν του Τωβίτ του πατρός του.

Τωβ. 14,14 - καὶ ἀπέθανεν ἐτῶν ἑκατὸν εἰκοσιεπτὰ ἐν Ἐκβατάνοις τῆς Μηδίας.

Τωβ. 14,14 - Ο Τωβίας απέθανεν εις τα Εκβάτανα της Μηδίας εις ηλικίαν εκατόν είκοσι επτά ετών.

Τωβ. 14,15 - καὶ ἤκουσε πρὶν ἢ ἀποθανεῖν αὐτὸν τὴν ἀπώλειαν Νινευῆ, ἣν ᾐχμαλώτισε Ναβουχοδονόσορ καὶ Ἀσύηρος, καὶ ἐχάρη πρὸ τοῦ ἀποθανεῖν ἐπὶ Νινευῆ.

Τωβ. 14,15 - Πριν δε αποθάνη, έμαθε την καταστροφήν της Νινευή και την αιχμαλωσίαν των κατοίκων της από τον Ναβουχοδονόσορα και τον Ασύηρον. Εχάρη δέ, πριν αποθάνη δια την δικαίαν αυτήν τιμωρίαν της Νινευή.

ΙΟΥΔΙΘ

ΙΟΥΔΙΘ 1

Ιουδ. 1,1 - Ἔτους δωδεκάτου τῆς βασιλείας Ναβουχοδονόσορ, ὃς ἐβασίλευσεν Ἀσσυρίων ἐν Νινευῆ τῇ πόλει τῇ μεγάλῃ, ἐν ταῖς ἡμέραις Ἀρφαξάδ, ὃς ἐβασίλευσεν Μήδων ἐν Ἐκβατάνοις,
Ιουδ. 1,1 - Κατά το δωδέκατον έτος της βασιλείας του Ναβουχοδονόσορος, βασιλέως των Ασσυρίων με πρωτεύουσαν την μεγάλην πόλιν Νινευή, εις την εποχήν του Αρφαξάδ ο οποίος ήτο βασιλεύς των Μηδων με πρωτεύουσαν τα Εκβάτανα,
Ιουδ. 1,2 - καὶ ᾠκοδόμησεν ἐπ᾽ Ἐκβατάνων κύκλῳ τείχη ἐκ λίθων λελαξευμένων εἰς πλάτος πηχῶν τριῶν καὶ εἰς μῆκος πηχῶν ἓξ καὶ ἐποίησε τὸ ὕψος τοῦ τείχους πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτοῦ πηχῶν πεντήκοντα
Ιουδ. 1,2 - ο Αρφαξάδ οικοδόμησε γύρω από τα Εκβάτανα τείχη από λίθους πελεκητούς, καθένας από τους οποίους είχε πλάτος μεν τρεις εβραϊκούς πήχεις, μήκος δε εξ εβραϊκούς πήχεις. Το ύψος αυτών των τειχών ήτο εβδομήκοντα εβραϊκοί πήχεις, το δε πλάτος πεντήκοντα πήχεις.
Ιουδ. 1,3 - καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν ἐπὶ ταῖς πύλαις αὐτῆς πηχῶν ἑκατὸν καὶ τὸ πλάτος αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἑξήκοντα
Ιουδ. 1,3 - Ανοικοδόμησε δε πύργους επάνω από τας πύλας του τείχους, των οποίων το μεν πλάτος ήτο εκατόν πήχεις, τα δε θεμέλιο αυτών εξήκοντα πήχεις.
Ιουδ. 1,4 - καὶ ἐποίησε τὰς πύλας αὐτῆς πύλας διεγειρομένας εἰς ὕψος πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτῶν πήχεις τεσσαράκοντα εἰς ἐξόδους δυνάμεων δυνατῶν αὐτοῦ καὶ διατάξεις τῶν πεζῶν αὐτοῦ.
Ιουδ. 1,4 - Εδωσεν εις αυτάς τας πύλας ύψος εβδομήκοντα πήχεις και πλάτος τεσσαράκοντα πήχεις, ώστε να εξέρχωνται εύκολα από αυτάς αι στρατιωτικαί αυτού δυνάμεις και τα πλήθη των πεζών.
Ιουδ. 1,5 - καὶ ἐποίησε πόλεμον ἐν ταῖς ἡμέραις ἐκείναις ὁ βασιλεὺς Ναβουχοδονόσορ πρὸς βασιλέα Ἀρφαξὰδ ἐν τῷ πεδίῳ τῷ μεγάλῳ, τοῦτό ἐστιν ἐν τοῖς ὁρίοις Ῥαγαῦ.
Ιουδ. 1,5 - Κατά την εποχήν εκείνην ο Ναβουχοδονόσορ εκήρυξε πόλεμον εναντίον του βασιλέως Αρφαξάδ και εξήλθε με στρατόν εις συνάντησιν αυτού εις την αναπεπταμένην πεδιάδα, η οποία ευρίσκεται εις την περιοχήν της Ραγαύ.
Ιουδ. 1,6 - καὶ συνήντησαν πρὸς αὐτὸν πάντες οἱ κατοικοῦντες τὴν ὀρεινὴν καὶ πάντες οἱ κατοικοῦντες τὸν Εὐφράτην καὶ τὸν Τίγριν καὶ τὸν

Ὑδάσπην καὶ πεδία Ἀριὼχ βασιλέως Ἐλυμαίων· καὶ συνῆλθον ἔθνη πολλὰ σφόδρα εἰς παράταξιν υἱῶν Χελεούδ.

Ιουδ. 1,6 - Ετάχθησαν δε με το μέρος του όλοι εκείνοι, που κατοικούσαν την ορεινήν περιοχήν, όλοι οι κάτοικοι περί τον ποταμόν Ευφράτην και Τιγρην και Υδάσπην, όπως επίσης οι κατοικούντες εις την πεδιάδα της Αριώχ, βασιλέως των Ελυμαίων. Και πάρα πολλά αλλά έθνη ήλθον να πολεμήσουν τους υιούς των Χαλδαίων.

Ιουδ. 1,7 - καὶ ἀπέστειλε Ναβουχοδονόσορ ὁ βασιλεὺς Ἀσσυρίων ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν Περσίδα καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας πρὸς δυσμαῖς, τοὺς κατοικοῦντας Κιλικίαν καὶ Δαμασκόν, τὸν Λίβανον καὶ Ἀντιλίβανον, καὶ πάντας τοὺς κατοικοῦντας κατὰ πρόσωπον παραλίας

Ιουδ. 1,7 - Ο Ναβουχοδονόσορ ο βασιλεύς των Ασσυρίων απέστειλε τους ανθρώπους του προς όλους, όσοι κατοικούσαν την Περσίαν, και εις όλους τους κατοικούντας προς δυσμάς, δηλαδή τους κατοικούντας την Κιλικίαν, την Δαμασκόν, τον Λιβανον, τον Αντιλίβανον και προς όλους τους κατοικούντας εις τα παράλια μέρη της Μεσογείου Θαλάσσης·

Ιουδ. 1,8 - καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ Καρμήλου καὶ Γαλαὰδ καὶ τὴν ἄνω Γαλιλαίαν καὶ τὸ μέγα πεδίον Ἐσδρηλὼν

Ιουδ. 1,8 - όπως επίσης και εις εκείνους, οι οποίοι κατοικούσαν μεταξύ των λαών του Καρμήλου και του Γαλαάδ, την Ανω Γαλιλαίαν και την μεγάλην πεδιάδα Εσδρηλών.

Ιουδ. 1,9 - καὶ πάντας τοὺς ἐν Σαμαρείᾳ καὶ ταῖς πόλεσιν αὐτῆς καὶ πέραν τοῦ Ἰορδάνου ἕως Ἱερουσαλὴμ καὶ Βετάνη καὶ Χελλοὺς καὶ Κάδης καὶ τοῦ ποταμοῦ Αἰγύπτου καὶ Ταφνὰς καὶ Ῥαμεσσὴ καὶ πᾶσαν γῆν Γεσὲμ

Ιουδ. 1,9 - Απέστειλεν ακόμη αγγελιαφόρους προς όλους τους κατοικούντας την Σαμάρειαν και εις τας πόλεις αυτής, εις την χώραν η οποία ευρίσκετο πέραν του Ιορδάνου, μέχρι της Ιερουσαλήμ, εις τας πόλεις Βετάνην, Χελλούς, Καδης, μέχρι του ποταμού της Αιγύπτου, εις την Ταφνάς και Ραμεσσή και εις όλην την χώραν της Γεσέμ·

Ιουδ. 1,10 - ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ Μέμφεως καὶ πάντας τοὺς κατοικοῦντας τὴν Αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας.

Ιουδ. 1,10 - μέχρι της επάνω Τανεως και Μέμφεως, γενικώς προς όλους τους κατοίκους της Αιγύπτου μέχρι των ορίων της Αιθιοπίας. Ολους αυτούς εζήτει εις ενίσχυσιν εναντίον του Αρφαξάδ.

Ιουδ. 1,11 - καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες πᾶσαν τὴν γῆν τὸ ῥῆμα Ναβουχοδονόσορ τοῦ βασιλέως Ἀσσυρίων καὶ οὐ συνῆλθον αὐτῷ εἰς τὸν πόλεμον, ὅτι οὐκ ἐφοβήθησαν αὐτόν, ἀλλ᾿ ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ εἷς, καὶ ἀνέστρεψαν τοὺς ἀγγέλους αὐτοῦ κενοὺς ἐν ἀτιμίᾳ προσώπου αὐτῶν.

Ιουδ. 1,11 - Ολοι όμως οι κάτοικοι των χωρών αυτών κατεφρόνησαν την πρότασιν του Ναβουχοδονόσορος, βασιλέως των Ασσυρίων, και δεν προσήλθον να τον βοηθήσουν στον πόλεμον, διότι δεν τον εφοβήθησαν. Εξ αντιθέτου τον έβλεπαν ενώπιόν των ωσάν ένα κοινόν και άσημον άνδρα. Απέστειλαν δε προς αυτόν τους πρσβευτάς του με αδειανά τα χέρια και κατεξευτελισμένους.

Ιουδ. 1,12 - καὶ ἐθυμώθη Ναβουχοδονόσορ ἐπὶ πᾶσαν τὴν γῆν ταύτην σφόδρα καὶ ὤμοσε κατὰ τοῦ θρόνου καὶ τῆς βασιλείας αὐτοῦ, εἰ μὴν ἐκδικήσειν πάντα τὰ ὅρια τῆς Κιλικίας καὶ Δαμασκηνῆς καὶ Συρίας, ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοῦ καὶ πάντας τοὺς κατοικοῦντας ἐν γῇ Μωὰβ καὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ πᾶσαν τὴν Ἰουδαίαν καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῶν δύο θαλασσῶν.

Ιουδ. 1,12 - Ο Ναβουχοδονόσορ κατελήφθη από μεγάλην οργήν εναντίον όλων αυτών των περιοχών και ωρκίσθη στον βασιλικόν του θρόνον και εις την βασιλικήν του δύναμιν, ότι θα εκδικηθή όλας τας περιοχάς της Κιλικίας, της Δαμασκού και της Συρίας και εν στόματι μαχαίρας θα εξοντώση όλους τους κατοίκους της χώρας Μωάβ και τους Αμμωνίτας και όλην την χώραν της Ιουδαίας και όλους τους κατοίκους της Αιγύπτου, τους ευρισκομένους μεταξύ των δύο θαλασσών, της Ερυθράς και της Μεσογείου.

Ιουδ. 1,13 - καὶ παρετάξατο ἐν τῇ δυνάμει αὐτοῦ πρὸς Ἀρφαξὰδ βασιλέα ἐν τῷ ἔτει τῷ ἑπτακαιδεκάτῳ καὶ ἐκραταιώθη ἐν τῷ πολέμῳ αὐτοῦ καὶ ἀνέστρεψε πᾶσαν τὴν δύναμιν Ἀρφαξὰδ καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ καὶ πάντα τὰ ἅρματα αὐτοῦ

Ιουδ. 1,13 - Αντιπαρετάχθη, λοιπόν, με όλην του την δύναμιν εις πόλεμον εναντίον του βασιλέως Αρφαξάδ κατά το δέκατον έβδομον έτος της βασιλείας του, κατενίκησε κατά την μάχην αυτόν και κατέστρεψεν όλην την δύναμιν του Αρφαξάδ, όλον το ιππικόν του και όλα τα πολεμικά του άρματα.

Ιουδ. 1,14 - καὶ ἐκυρίευσε τῶν πόλεων αὐτοῦ καὶ ἀφίκετο ἕως Ἐκβατάνων καὶ ἐκράτησε τῶν πύργων καὶ ἐπρονόμευσε τὰς πλατείας αὐτῆς καὶ τὸν κόσμον αὐτῆς ἔθηκεν εἰς ὄνειδος αὐτῆς.

Ιουδ. 1,14 - Εκυρίευσεν εν συνεχία όλας τας πόλστου, έφθασεν έως εις τα Εκβάτανα, την πρωτεύουσαν, εκυρίευσε τους πύργους των τειχών, ελεηλάτησε τας πλατείας και τας οδούς της πόλεως και κατεξευτέλισεν όλην την λαμπρότητα και την δόξαν της πόλεως.

Ιουδ. 1,15 - καὶ ἔλαβε τὸν Ἀρφαξὰδ ἐν τοῖς ὄρεσι Ῥαγαῦ καὶ κατηκόντισεν αὐτὸν ἐν ταῖς ζιβύναις αὐτοῦ καὶ ἐξωλόθρευσεν αὐτὸν ἕως τῆς ἡμέρας ἐκείνης.

Ιουδ. 1,15 - Συνέλαβε δε τον Αρφαξάδ αιχμάλωτον εις τα όρη Ραγαύ, τον διεπέρασε κατά την ημέραν εκείνην με τας μακράς λόγχας και τον εφόνευσεν.

Ιουδ. 1,16 - καὶ ἀνέστρεψε μετ᾿ αὐτῶν αὐτὸς καὶ πᾶς ὁ σύμμικτος αὐτοῦ, πλῆθος ἀνδρῶν πολεμιστῶν πολὺ σφόδρα· καὶ ἦν ἐκεῖ ῥαθυμῶν καὶ εὐωχούμενος αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ ἐφ᾿ ἡμέρας ἑκατὸν εἴκοσι.

Ιουδ. 1,16 - Ο Ναεουχοδονόσορ επέστρεψε κατόπιν εις την πρωτεύουσάν του με όλους εκείνους, οι οποίοι είχαν ενωθή μαζή του, με μεγάλο πλήθος πολεμιστών. Εμεινε δε εις την Νινευή επί εκατόν είκοσιν ημέρας μαζή με τον στρατόν του αναπαυόμενος και ευωχούμενος αυτός και η στρατιωτική του δύναμις.

ΙΟΥΔΙΘ 2

Ιουδ. 2,1 - Καὶ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ, δευτέρᾳ καὶ εἰκάδι τοῦ πρώτου μηνός, ἐγένετο λόγος ἐν οἴκῳ Ναβουχοδονόσορ βασιλέως Ἀσσυρίων ἐκδικῆσαι πᾶσαν τὴν γῆν καθὼς ἐλάλησε.

Ιουδ. 2,1 - Κατά το δέκατον όγδοον έτος της βασιλείας του Ναβουχοδονόσορος και την εικοστήν δευτέραν του πρώτου μηνός, έγινε λόγος εις τα ανάκτορα του Ναβουχοδονόσορος, βασιλέως των Ασσυρίων, να εκδικηθή, όπως είχεν είπει, όλας τας χώρας, αι οποίαι τον κατεφρόνησαν.

Ιουδ. 2,2 - καὶ συνεκάλεσε πάντας τοὺς θεράποντας αὐτοῦ καὶ πάντας τοὺς μεγιστᾶνας αὐτοῦ καὶ ἔθετο μετ᾿ αὐτῶν τὸ μυστήριον τῆς βουλῆς αὐτοῦ καὶ συνετέλεσε πᾶσαν τὴν κακίαν τῆς γῆς ἐκ τοῦ στόματος αὐτοῦ.

Ιουδ. 2,2 - Ο βασιλεύς συνεκάλεσε τότε όλους τους περί αυτόν αυλικούς και όλους τους αξιωματούχους του και ανεκοίνωσεν εις αυτούς την μυστικήν και σταθεράν απόφασίν του, ότι δηλαδή ρητώς και αμετακλήτως θα εξολοθρεύση όλας τας χώρας εκείνας.

Ιουδ. 2,3 - καὶ αὐτοὶ ἔκριναν ὀλοθρεῦσαι πᾶσαν σάρκα, οἳ οὐκ ἠκολούθησαν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ.

Ιουδ. 2,3 - Εκείνοι όμως έκριναν και επρότειναν να εξολοθρεύση μόνον αυτούς, οι οποίοι δεν συνεμορφώθησαν και δεν υπήκουσαν προς τας προτάσεις και τας εντολάς τους.

Ιουδ. 2,4 - καὶ ἐγένετο ὡς συνετέλεσε τὴν βουλὴν αὐτοῦ, ἐκάλεσε Ναβουχοδονόσορ βασιλεὺς Ἀσσυρίων τὸν Ὀλοφέρνην ἀρχιστράτηγον τῆς δυνάμεως αὐτοῦ, δεύτερον ὄντα μετ᾿ αὐτόν, καὶ εἶπε πρὸς αὐτόν·

Ιουδ. 2,4 - Οταν ετελείωσεν η διάσκεψίς του, εκάλεσεν ο Ναδουχοδονόσορ, ο βασιλεύς των Ασσυρίων, τον Ολοφέρνην αρχιστράτηγον του στρατού του, ο οποίος ήτο ο δεύτερος έπειτα από τον βασιλέα, και του είπεν·

Ιουδ. 2,5 - τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ κύριος πάσης τῆς γῆς· ἰδοὺ σὺ ἐξελεύσῃ ἐκ τοῦ προσώπου μου καὶ λήψῃ μετὰ σεαυτοῦ ἄνδρας

πεποιθότας ἐν ἰσχύϊ αὐτῶν, πεζῶν εἰς χιλιάδας ἑκατὸν εἴκοσι καὶ πλῆθος ἵππων σὺν ἀναβάταις μυριάδων δεκαδύο,

Ιουδ. 2,5 - “αυτά διατάσσει ο μέγας βασιλεύς, ο κύριος όλης της οικουμένης· Θα εξέλθης από εδώ και θα εκστρατεύσης. Θα πάρης μαζή σου άνδρας, οι οποίοι έχουν πεποίθησιν εις την δύναμίν των, εκατόν είκοσι χιλιάδας πεζούς, ίππους δε και ιππείς δώδεκα χιλιάδας.

Ιουδ. 2,6 - καὶ ἐξελεύσῃ εἰς συνάντησιν πάσῃ τῇ γῇ ἐπὶ δυσμάς, ὅτι ἠπείθησαν τῷ ῥήματι τοῦ στόματός μου.

Ιουδ. 2,6 - Θα εκστρατεύσης προς δυσμάς εναντίον όλων των χωρών εκείνων, διότι παρήκουσαν την εντολήν μου.

Ιουδ. 2,7 - καὶ ἀπαγγελεῖς αὐτοῖς ἑτοιμάζειν γῆν καὶ ὕδωρ. ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου ἐπ᾿ αὐτοὺς καὶ καλύψω πᾶν τὸ πρόσωπον τῆς γῆς ἐν τοῖς ποσὶ τῆς δυνάμεώς μου καὶ δώσω αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς·

Ιουδ. 2,7 - Θα παραγγείλης εις αυτούς να σου δώσουν ως σημεία υποταγής των γην και ύδωρ. Ειδ' άλλως θα εκστρατεύσω εναντίον των με μεγάλον θυμόν και θα σκεπάσω όλον τα πρόσωπον της χώρας των με τα πόδια του στρατού μου και θα τους παραδώσω εις λεηλασίαν.

Ιουδ. 2,8 - καὶ οἱ τραυματίαι αὐτῶν πληρώσουσι τὰς φάραγγας καὶ τοὺς χειμάῤῥους αὐτῶν, καὶ ποταμὸς ἐπικλύζων τοῖς νεκροῖς αὐτῶν πληρωθήσεται·

Ιουδ. 2,8 - Οι τραυματίαι των θα γεμίσουν τας φάραγγας και τους χειμάρρους αυτών. Ο δε ποταμός θα πλημμυρίση από το αίμα και τα πτώματα των νεκρών.

Ιουδ. 2,9 - καὶ ἄξω τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ ἄκρα πάσης τῆς γῆς.

Ιουδ. 2,9 - Θα πάρω αυτούς αιχμαλώτους και, θα τους διασπείρω εις τα άκρα όλης της οικουμένης.

Ιουδ. 2,10 - σὺ δὲ ἐξελθὼν προκαταλήψῃ μοι πᾶν ὅριον αὐτῶν, καὶ ἐκδώσουσί σοι ἑαυτούς, καὶ διατηρήσεις ἐμοὶ αὐτοὺς εἰς ἡμέραν ἐλεγμοῦ αὐτῶν·

Ιουδ. 2,10 - Συ, λοιπόν, πήγαινε προ εμού και κυρίευσε όλην την χώραν των έως τα ακρότατα όρια. Θα παραδοθούν εις σε αυτοί και συ θα τους διατηρήσης δι' εμέ δια την ημέραν της μεγάλης τιμωρίας των.

Ιουδ. 2,11 - ἐπὶ δὲ τοὺς ἀπειθοῦντας οὐ φείσεται ὁ ὀφθαλμός σου τοῦ δοῦναι αὐτοὺς εἰς φόνον καὶ ἁρπαγὴν ἐν πάσῃ τῇ γῇ σου.

Ιουδ. 2,11 - Δεν θα λυπηθή δε ο οφθαλμός σου εκείνους, οι οποίοι θα απειθήσουν εις σέ, αλλά θα τους εξολοθρεύσης, όλην δε την χώραν των θα παραδώσης στους στρατιώτας προς λεηλασίαν.

Ιουδ. 2,12 - ὅτι ζῶν ἐγὼ καὶ τὸ κράτος τῆς βασιλείας μου, λελάληκα καὶ ποιήσω ταῦτα ἐν χειρί μου.

Ιουδ. 2,12 - Ορκίζομαι εις την ζωήν μου και εις την δύναμιν της βασιλείας μου, πως όσα έχω αποφασίσει χαι διακηρύξει, θα πραγματοποιήσω αυτά με τα ίδια μου τα χέρια.

Ιουδ. 2,13 - καὶ σὺ δὲ οὐ παραβήσῃ ἕν τι τῶν ῥημάτων τοῦ κυρίου σου, ἀλλ᾿ ἐπιτελῶν ἐπιτελέσεις καθότι προστέταχά σοι, καὶ οὐ μακρυνεῖς τοῦ ποιῆσαι αὐτά.

Ιουδ. 2,13 - Συ δε δεν θα παραβής τίποτε από τας εντολάς το κυρίου σου, αλλ' οπωσδήποτε θα εκτελέσης όλα αυτά, τα οποία σε διέταξα, και δεν θα βραδύνης να τα εκτέλεσης".

Ιουδ. 2,14 - καὶ ἐξῆλθεν Ὀλοφέρνης ἀπὸ προσώπου τοῦ κυρίου αὐτοῦ καὶ ἐκάλεσε πάντας τοὺς δυνάστας καὶ τοὺς στρατηγοὺς καὶ ἐπιστάτας τῆς δυνάμεως Ἀσσοὺρ

Ιουδ. 2,14 - Ο Ολοφέρνης εβγήκεν από τα ανάκτορα του κυρίου του, εκάλεσεν όλους τους αρχηγούς και στρατηγούς, τους διοικητάς των δυνάμεων των Ασσυρίων.

Ιουδ. 2,15 - καὶ ἠρίθμησεν ἐκλεκτοὺς ἄνδρας εἰς παράταξιν, καθότι ἐκέλευσεν αὐτῷ ὁ κύριος αὐτοῦ εἰς μυριάδας δεκαδύο καὶ ἱππεῖς τοξότας μυρίους δισχιλίους,

Ιουδ. 2,15 - Εξέλεξε και συνεκέντρωσεν άνδρας εκλεκτούς δια τον πόλεμον, διότι ο κύριός του τον είχε διατάξει να πάρη μαζή του εκατόν είκοσι χιλιάδας εκλεκτούς πεζούς και δώδεκα χιλιάδας ιππείς τοξότας.

Ιουδ. 2,16 - καὶ διέταξεν αὐτοὺς ὃν τρόπον πολέμου πλῆθος συντάσσεται.

Ιουδ. 2,16 - Ετακτοποίησεν αυτούς, όπως ακριβώς συντάσσεται ένας στρατός προς πόλεμον.

Ιουδ. 2,17 - καὶ ἔλαβε καμήλους καὶ ὄνους καὶ ἡμιόνους εἰς τὴν ἀπαρτίαν αὐτῶν, πλῆθος πολὺ σφόδρα, καὶ πρόβατα καὶ βόας καὶ αἶγας εἰς τὴν παρασκευὴν αὐτῶν, ὧν οὐκ ἦν ἀριθμός,

Ιουδ. 2,17 - Επήρε δε μαζή του δια τας αποσκευάς των μέγα πλήθος καμήλους και όνους και ημιόνους, όπως επίσης και πρόβατα, βόϊδια και αίγας δια την διατροφήν των. Και αυτών ο αριθμός ήτο μέγας.

Ιουδ. 2,18 - καὶ ἐπισιτισμὸν παντὶ ἀνδρὶ εἰς πλῆθος καὶ χρυσίον καὶ ἀργύριον ἐξ οἴκου βασιλέως πολὺ σφόδρα.

Ιουδ. 2,18 - Επήρε ακόμη πολλά τρόφιμα δι' όλους τους άνδρας, όπως επίσης και πάρα πολύ χρυσίον και αργύριον από το βασιλικόν θησαυροφυλάκιον.

Ιουδ. 2,19 - καὶ ἐξῆλθεν αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ εἰς πορείαν τοῦ προελθεῖν βασιλέως Ναβουχοδονόσορ καὶ καλύψαι πᾶν τὸ πρόσωπον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι καὶ ἱππεῦσι καὶ πεζοῖς ἐπιλέκτοις αὐτῶν.

Ιουδ. 2,19 - Ετσι παρεσκευασμένος εξήλθεν αυτός και όλος ο στρατός του προ του βασιλέως Ναδουχοδονόσορος, δια να πλημμυρίση όλην την προς δυσμάς χώραν με πολεμικά άρματα και με εκλεκτόν ιππικόν και πεζικόν στρατόν.

Ιουδ. 2,20 - καὶ πολὺς ὁ ἐπίμικτος ὡς ἀκρὶς συνεξῆλθον αὐτοῖς καὶ ὡς ἡ ἄμμος τῆς γῆς· οὐ γὰρ ἦν ἀριθμὸς ἀπὸ πλήθους αὐτῶν.

Ιουδ. 2,20 - Ενα δε μεγάλο πλήθος από ανάμικτον λαόν, εξήλθον μαζή με αυτούς, πολυάριθμοι όπως αι ακρίδες και όπως η άμμος της θαλάσσης. Πράγματι δεν ήτο δυνατόν να αριθμηθή το πλήθος αυτών.

Ιουδ. 2,21 - καὶ ἀπῆλθον ἐκ Νινευῆ ὁδὸν τριῶν ἡμερῶν ἐπὶ πρόσωπον τοῦ πεδίου Βεκτιλὲθ καὶ ἐστρατοπέδευσαν ἀπὸ Βεκτιλὲθ πλησίον τοῦ ὄρους τοῦ ἐπ᾿ ἀριστερᾷ τῆς ἄνω Κιλικίας.

Ιουδ. 2,21 - Ο Ολοφέρνης και ο στρατός του ανεχώρησαν από την Νινευή, εβάδισαν οδόν τριών ημερών εις την πεδιάδα Βεκτιλέθ, και εστρατοπέδευσαν εις την πεδιάδα αυτήν πλησίον του όρους, το οποίον ευρίσκεται βορείως της άνω Κιλικίας.

Ιουδ. 2,22 - καὶ ἔλαβε πᾶσαν τὴν δύναμιν αὐτοῦ, τοὺς πεζοὺς καὶ τοὺς ἱππεῖς καὶ τὰ ἅρματα αὐτοῦ, καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν ὀρεινήν.

Ιουδ. 2,22 - Κατόπιν ο Ολοφέρνης επήρε όλην την στρατιωτικήν του δύναμιν, τους πεζούς και τους ιππείς και τα πολεμικά του άρματα, και ανεχώρησεν από εκεί κατευθυνόμενος εις την ορεινήν περιοχήν της χώρας.

Ιουδ. 2,23 - καὶ διέκοψε τὸ Φοὺδ καὶ Λοὺδ καὶ ἐπρονόμευσαν πάντας υἱοὺς Ῥασσὶς καὶ υἱοὺς Ἰσμαὴλ τοὺς κατὰ πρόσωπον τῆς ἐρήμου πρὸς νότον τῆς Χελεών.

Ιουδ. 2,23 - Ερήμωσε τας χώρας Φουδ και Λούδ, ελεηλάτησεν όλους τους ανθρώπους της φυλής Ρασσίς και τους Ισμαηλίτας, οι οποίοι κατοικούσαν μέχρι των ορίων της ερήμου προς νότον της χώρας Χελεών.

Ιουδ. 2,24 - καὶ παρῆλθε τὸν Εὐφράτην καὶ διῆλθε τὴν Μεσοποταμίαν καὶ διέσκαψε πάσας τὰς πόλεις τὰς ὑψηλὰς τὰς ἐπὶ τοῦ χειμάῤῥου Ἀβρωνᾶ ἕως τοῦ ἐλθεῖν ἐπὶ θάλασσαν.

Ιουδ. 2,24 - Μετά δε την λεηλασίαν επέρασε τον Ευφράτην ποταμόν, διήλθε την Μεσοποταμίαν και κατέσκαψε όλας τας οχυράς πόλστου ποταμού Αβρωνά μέχρι και της Μεσογείου Θαλάσσης.

Ιουδ. 2,25 - καὶ κατελάβετο τὰ ὅρια τῆς Κιλικίας καὶ κατέκοψε πάντας τοὺς ἀντιστάντας αὐτῷ καὶ ἦλθεν ἕως ὁρίων Ἰάφεθ τὰ πρὸς νότον κατὰ πρόσωπον τῆς Ἀραβίας.

Ιουδ. 2,25 - Κατέλαβεν ολόκληρον την Κιλικίαν και κατέκοψεν όλους εκείνους, οι οποίοι του έφεραν αντίστασιν. Εφθασεν έως εις τα όρια των υιών Ιάφεθ, που ευρίσκοντο νοτίως και εμπρός εις την Αραβίαν.

Ιουδ. 2,26 - καὶ ἐκύκλωσε πάντας τοὺς υἱοὺς Μαδιὰμ καὶ ἐνέπρησε τὰ σκηνώματα αὐτῶν καὶ ἐπρονόμευσε τὰς μάνδρας αὐτῶν.

Ιουδ. 2,26 - Περιεκύκλωσεν όλους τους Μαδιανίτας, έκαυσε τας κατασκηνώσεις των και ελεηλάτησε τπυς καταυλισμούς των.

Ιουδ. 2,27 - καὶ κατέβη εἰς πεδίον Δαμασκοῦ ἐν ἡμέραις θερισμοῦ πυρῶν καὶ ἐνέπρησε πάντας τοὺς ἀγροὺς αὐτῶν καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια ἔδωκεν εἰς ἀφανισμὸν καὶ τὰς πόλεις αὐτῶν ἐσκύλευσε καὶ τὰ παιδία αὐτῶν ἐξελίκμησε καὶ ἐπάταξε πάντας τοὺς νεανίσκους αὐτῶν ἐν στόματι ῥομφαίας.

Ιουδ. 2,27 - Από εκεί κατέβηκεν εις την πεδιάδα της Δαμασκού, κατά την εποχήν του θερισμού των σιτηρών, έκαυσεν όλα τα σιτηρά των αγρών, εξωλόθρευσεν όλα τα κοπάδια των αιγοπροβάτων και των βοϊδιών, ελεηλάτησε τας πόλεις, διεσκόρπισε τα μικρά παιδιά και επέρασεν εν στόματι ρομφαίας όλους τους νέους της περιοχής.

Ιουδ. 2,28 - καὶ ἐπέπεσεν ὁ φόβος καὶ ὁ τρόμος αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας τὴν παραλίαν, τοὺς ὄντας ἐν Σιδῶνι καὶ Τύρῳ καὶ τοὺς κατοικοῦντας Σοὺρ καὶ Ὀκινά, καὶ πάντας τοὺς κατοικοῦντας Ἱεμναάν, καὶ οἱ κατοικοῦντες ἐν Ἀζώτῳ καὶ Ἀσκάλωνι ἐφοβήθησαν αὐτὸν σφόδρα.

Ιουδ. 2,28 - Φοβος και τρόμος έπεσεν στους κατοικούντας τα παράλια της Μεσογείου, στους κατοίκους της Σιδώνος και της Τυρου, εις εκείνους οι οποίοι κατοικούσαν την Οκινά και εις όλους τους κατοίκους της Ιεμναάν και τους κατοικούντας την Αζωτον και Ασκάλωνα. Ολοι εκυριεύθησαν από πολύ μεγάλον φόβον.

ΙΟΥΔΙΘ 3

Ιουδ. 3,1 - Καὶ ἀπέστειλαν πρὸς αὐτὸν ἀγγέλους λόγοις εἰρηνικοῖς λέγοντες·

Ιουδ. 3,1 - Απέστειλαν αυτοί προς τον Ολοφέρνην αγγελιαφόρους με ειρηνικάς προτάσεις, οι οποίοι και του είπαν·

Ιουδ. 3,2 - ἰδοὺ ἡμεῖς οἱ παῖδες Ναβουχοδονόσορ βασιλέως μεγάλου παρακείμεθα ἐνώπιόν σου, χρῆσαι ἡμῖν καθὼς ἀρεστόν ἐστι τῷ προσώπῳ σου·

Ιουδ. 3,2 - "ιδού, ημείς ευρισκόμεθα ενώπιόν σου, ωσάν δούλοι του μεγάλου βασιλέως του Ναβουχοδονόσορος. Ας φερθής απέναντί μας, όπως θέλεις. Μεταχειρίσου μας, όπως σου φαίνεται αρεστόν.

Ιουδ. 3,3 - ἰδοὺ αἱ ἐπαύλεις ἡμῶν καὶ πᾶν πεδίον πυρῶν καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ πᾶσαι αἱ μάνδραι τῶν σκηνῶν ἡμῶν παράκεινται πρὸ προσώπου σου, χρῆσαι καθ᾿ ὃν ἂν ἀρέσκῃ σοι.

Ιουδ. 3,3 - Ιδού, οι καταυλισμοί μας, και όλαι αι πεδιάδες των σιτηρών μας, όπως επίσης τα κοπάδια των αιγοπροβάτων και των μεγάλων ζώων και όλαι αι μάνδραι των ποιμνίων μας και αι σκηναί μας ευρίσκονται ενώπιόν σου. Χρησιμοποίησέ τα όπως σου αρέσει.

Ιουδ. 3,4 - ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν καὶ οἱ κατοικοῦντες ἐν αὐταῖς δοῦλοί σού εἰσιν· ἐλθὼν ἀπάντησον αὐταῖς ὡς ἔστιν ἀγαθὸν ἐν ὀφθαλμοῖς σου.

Ιουδ. 3,4 - Ακόμη και αι πόλεις μας και όλοι όσοι κατοικούν εις αυτάς είναι δουλοί σου. Ελα εις αυτάς και ας φερθής, όπως φαίνεται καλόν εις σέ”.

Ιουδ. 3,5 - καὶ παρεγένοντο οἱ ἄνδρες πρὸς Ὀλοφέρνην καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα.

Ιουδ. 3,5 - Οι αγγελιαφόροι αυτοί ήλθον πράγματι και είπαν στον Ολοφέρνην τα λόγια αυτά.

Ιουδ. 3,6 - καὶ κατέβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ καὶ ἐφρούρησε τὰς πόλεις τὰς ὑψηλὰς καὶ ἔλαβεν ἐξ αὐτῶν εἰς συμμαχίαν ἄνδρας ἐπιλέκτους·

Ιουδ. 3,6 - Εκείνος όμως κατέβηκε εις τας παραλίους χώρας με όλην του την δύναμιν, ετοποθέτησε φρουράς εις τας οχυράς πόλεις και επήρεν από αυτούς εκλεκτούς άνδρας και τους ενέταξεν στον στρατόν του.

Ιουδ. 3,7 - καὶ ἐδέξαντο αὐτὸν αὐτοὶ καὶ πᾶσα ἡ περίχωρος αὐτῶν μετὰ στεφάνων καὶ χορῶν καὶ τυμπάνων.

Ιουδ. 3,7 - Ολαι δε αι χώραι και τα περίχωρα αυτών υπεδέχθησαν τον Ολοφέρνην με στεφάνου χορούς και τύμπανα.

Ιουδ. 3,8 - καὶ κατέσκαψε πάντα τὰ ὅρια αὐτῶν καὶ τὰ ἄλση αὐτῶν ἐξέκοψε, καὶ ἦν δεδομένον αὐτῷ ἐξολοθρεῦσαι πάντας τοὺς θεοὺς τῆς γῆς, ὅπως αὐτῷ μόνῳ τῷ Ναβουχοδονόσορ λατρεύσωσι πάντα τὰ ἔθνη, καὶ πᾶσαι αἱ γλῶσσαι καὶ πᾶσαι αἱ φυλαὶ αὐτῶν ἐπικαλέσωνται αὐτὸν εἰς θεόν.

Ιουδ. 3,8 - Εκείνος όμως, χωρίς να δώση καμμίαν σημασίαν εις την λαμπράν υποδοχήν, κατέσκαψεν όλην την περιοχήν και την ερήμωσε, κατέκοψε τα ιερά ειδωλολατρικά δάση των, διότι τέτοια εντολή του είχε δοθή από τον βασιλέα να καταστρέψη όλα τα αγάλματα των θεών της χώρας εκείνης, δια να αναγκάση όλα τα έθνη, όλας τας γλώσσας και όλας τας φυλάς να λατρεύουν ως θεόν τον Ναδουχοδονόσορα.

Ιουδ. 3,9 - καὶ ἦλθε κατὰ πρόσωπον Ἐσδρηλὼν πλησίον τῆς Δωταίας, ἥ ἐστιν ἀπέναντι τοῦ πρίονος τοῦ μεγάλου τῆς Ἰουδαίας,

Ιουδ. 3,9 - Κατ' αυτόν τον τρόπον προχωρών εισήλθεν εις την πεδιάδα Εσδρηλών, πλησίον της Δωταίας, η οποία ευρίσκεται απέναντι από την μεγάλην οροσειράν της Ιουδαίας, που ομοιάζει με πριόνι.

Ιουδ. 3,10 - καὶ κατεστρατοπέδευσεν ἀνὰ μέσον Γαβαὶ καὶ Σκυθῶν πόλεως, καὶ ἦν ἐκεῖ μῆνα ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν τῆς

δυνάμεως αὐτοῦ.

Ιουδ. 3,10 - Εκεί εστρατοπέδευσε μεταξύ της Γαιβαί και της Σκυθοπόλεως, όπου και παρέμεινεν επί ένα ολόκληρον μήνα, δια να συγκεντρώση εκεί ολόκληρον την στρατιωτικήν του δύναμιν.

ΙΟΥΔΙΘ 4

Ιουδ. 4,1 - Καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοικοῦντες ἐν τῇ Ἰουδαίᾳ πάντα, ὅσα ἐποίησεν Ὀλοφέρνης τοῖς ἔθνεσιν, ὁ ἀρχιστράτηγος Ναβουχοδονόσορ βασιλέως Ἀσσυρίων, καὶ ὃν τρόπον ἐσκύλευσε πάντα τὰ ἱερὰ αὐτῶν καὶ ἔδωκεν αὐτὰ εἰς ἀφανισμόν,

Ιουδ. 4,1 - Οι Ισραηλίται, οι οποίοι κατοικούσαν εις την περιοχήν της Γαλιλαίας, επληροφορήθησαν όλα όσα ο Ολοφέρνης, ο αρχιστράτηγος του βασιλέως των Ασσυρίων Ναδουχοδονόσορος, έκαμεν εις όλους τους λαούς, πως δηλαδή ελεηλάτησεν όλους τους ιερούς ναούς των και παρέδωκεν αυτούς εις καταστροφήν.

Ιουδ. 4,2 - καὶ ἐφοβήθησαν σφόδρα σφόδρα ἀπὸ προσώπου αὐτοῦ καὶ περὶ Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ Κυρίου Θεοῦ αὐτῶν ἐταράχθησαν.

Ιουδ. 4,2 - Δια τούτο εφοβήθησαν πάρα πολύ τον Ολοφέρνην και εταράχθησαν, διότι η Ιερουσαλήμ και ο ναός Κυρίου του Θεού των διέτρεχαν κίνδυνον αφανισμού.

Ιουδ. 4,3 - ὅτι προσφάτως ἦσαν ἀναβεβηκότες ἐκ τῆς αἰχμαλωσίας, καὶ νεωστὶ πᾶς ὁ λαὸς συνελέλεκτο τῆς Ἰουδαίας, καὶ τὰ σκεύη καὶ τὸ θυσιαστήριον καὶ ὁ οἶκος ἐκ τῆς βεβηλώσεως ἡγιασμένα ἦν.

Ιουδ. 4,3 - Η ταραχή των και ο πόνος των ήσαν τοσούτω μάλλον δικαιολογημένα, καθ' όσον προσφάτως είχαν επιστρέψει εις την Ιουδαίαν από την αιχμαλωσίαν. Προ ολίγου όλος ο λαός της Ιουδαίας είχε συγκεντρωθή εκεί, τα δε ιερά σκεύη του ναού, το θυσιαστήριον των ολοκαυτωμάτων και ο ναός είχον εξαγνισθή και ήσαν ηγιασμένα.

Ιουδ. 4,4 - καὶ ἀπέστειλαν εἰς πᾶν ὅριον Σαμαρείας καὶ Κωνὰ καὶ Βαιθωρὼν καὶ Βελμαὶν καὶ Ἱεριχὼ καὶ εἰς Χωβὰ καὶ Αἰσωρὰ καὶ τὸν αὐλῶνα Σαλὴμ

Ιουδ. 4,4 - Απέστειλαν, λοιπόν, στρατόν εις όλην την περιοχήν της Σαμαρείας, εις την Κωνά, την Βαιθωράν, την Βελμαίν, την Ιεριχώ, την Χωβά, την Αισωρά και εις την κοιλάδα της Σαλήμ,

Ιουδ. 4,5 - καὶ προκατελάβοντο πάσας τὰς κορυφὰς τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐτειχίσαντο τὰς ἐν αὐτοῖς κώμας καὶ παρέθεντο εἰς ἐπισιτισμὸν εἰς παρασκευὴν πολέμου, ὅτι προσφάτως ἦν τὰ πεδία αὐτῶν τεθερισμένα.

Ιουδ. 4,5 - και κατέλαβαν όλας τας κορυφάς των υψηλών ορέων, περιετείχισαν και ωχύρωσαν τας θέσεις, που υπήρχον εις αυτάς, και τας

εφωδίασαν με τρόφιμα, ώστε να είναι παρεσκευασμένοι εις πόλεμον, διότι προ ολίγου είχαν θερίσει τους αγρούς των.

Ιουδ. 4,6 - καὶ ἔγραψεν Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἦν ἐν ταῖς ἡμέραις ἐκείναις ἐν Ἱερουσαλήμ, τοῖς κατοικοῦσι Βαιτυλούα καὶ Βαιτομεσθαίμ, ἥ ἐστιν ἀπέναντι Ἐσδρηλὼν κατὰ πρόσωπον τοῦ πεδίου τοῦ πλησίον Δωθαΐμ,

Ιουδ. 4,6 - Ο Ιωακίμ, ο οποίος κατά την εποχήν εκείνην ήτο αρχιερεύς εις την Ιερουσαλήμ, έγραψεν επιστολήν προς τους κατοίκους της Βαιτυλούα και προς την Βαιτομεσθαίμ, πόλιν, η οποία είναι απέναντι της Εσδρηλών κατά πρόσωπον της πεδιάδος Δωθαΐμ,

Ιουδ. 4,7 - λέγων διακατασχεῖν τὰς ἀναβάσεις τῆς ὀρεινῆς, ὅτι δι᾿ αὐτῶν ἦν ἡ εἴσοδος εἰς τὴν Ἰουδαίαν, καὶ ἦν εὐχερῶς διακωλῦσαι αὐτοὺς προσβαίνοντας, στενῆς τῆς προσβάσεως οὔσης ἐπ᾿ ἄνδρας τοὺς πάντας δύο.

Ιουδ. 4,7 - και έλεγεν ότι πρέπει να καταλάβετε τας διαβάσστου όρους, διότι από αυτάς μόνον είναι δυνατή η είσοδος των εχθρών εις την Ιουδαίαν. Εάν αυτάς καταλάβετε, είναι εύκολον να τους εμποδίσετε να περάσουν, διότι η διάβασις εκεί είναι στενή, που μόλις επιτρέπει εις δύο το πολύ άνδρας να περνούν συγχρόνως.

Ιουδ. 4,8 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ συνέταξεν αὐτοῖς Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία παντὸς δήμου Ἰσραήλ, οἳ ἐκάθηντο ἐν Ἱερουσαλήμ.

Ιουδ. 4,8 - Οι Ισραηλίται υπήκουσαν και έπραξαν, όπως τους διέταξεν ο αρχιερεύς Ιωακίμ και η γερουσία όλων των Ισραηλιτών, οι οποίοι ευρίσκοντο εις την Ιερουσαλήμ.

Ιουδ. 4,9 - καὶ ἀνεβόησαν πᾶς ἀνὴρ Ἰσραὴλ πρὸς τὸν Θεὸν ἐν ἐκτενίᾳ μεγάλῃ καὶ ἐταπεινοῦσαν τὰς ψυχὰς αὐτῶν ἐν ἐκτενίᾳ μεγάλῃ.

Ιουδ. 4,9 - Ολοι δε οι Ισραηλίται με μεγάλην πίστιν και κατάνυξιν ανεβόησαν προς τον Θεόν· εταπείνωσαν τας ψυχάς των ενώπιον του Θεού με τας κατανυκτικάς των προσευχάς.

Ιουδ. 4,10 - αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ νήπια αὐτῶν καὶ τὰ κτήνη αὐτῶν καὶ πᾶς πάροικος ἢ μισθωτὸς καὶ ἀργυρώνητος αὐτῶν ἐπέθεντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν.

Ιουδ. 4,10 - Ολοι δε αυτοί και αι γυναίκες των και τα μικρά των παιδιά και τα ζώα των και κάθε ξένος, που ευρίσκετο πλησίον των η ημερομίσθιος εργάτης η δούλος που είχεν αγορασθή δια χρημάτων, όλοι εις ένδειξιν πένθους και ταπεινώσεως εφόρεσαν σάκκους εις την μέσην των.

Ιουδ. 4,11 - καὶ πᾶς ἀνὴρ Ἰσραὴλ καὶ γυνὴ καὶ τὰ παιδία καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ ἔπεσον κατὰ πρόσωπον τοῦ ναοῦ καὶ

ἐσποδώσαντο τὰς κεφαλὰς αὐτῶν καὶ ἐξέτειναν τοὺς σάκκους αὐτῶν κατὰ πρόσωπον Κυρίου·

Ιουδ. 4,11 - Ολοι οι Ισραηλίται, άνδρες, γυναίκες και παιδιά, όσοι κατοικούσαν εις την Ιερουσαλήμ, έπεσαν με το πρόσωπον κατά γης προ του ναού, έρριξαν στάκτην εις τας κεφαλάς των και με τα χέρια των άπλωναν τα άκρα από τους σάκκους, δια να ζητήσουν έλεος και προστασίαν από τον Κυριον.

Ιουδ. 4,12 - καὶ τὸ θυσιαστήριον σάκκῳ περιέβαλον καὶ ἐβόησαν πρὸς τὸν Θεὸν Ἰσραὴλ ὁμοθυμαδὸν ἐκτενῶς τοῦ μὴ δοῦναι εἰς διαρπαγὴν τὰ νήπια αὐτῶν καὶ τὰς γυναῖκας εἰς προνομὴν καὶ τὰς πόλεις τῆς κληρονομίας αὐτῶν εἰς ἀφανισμὸν καὶ τὰ ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμόν, ἐπίχαρμα τοῖς ἔθνεσι.

Ιουδ. 4,12 - Και αυτό ακόμη το θυσιαστήριον των ολοκαυτωμάτων το περιέβαλαν με σάκκον και έκραζαν προς τον Θεόν του Ισραήλ με μίαν ψυχήν και με μεγάλην κατάνυξιν και τον παρακαλούσαν να μη επιτρέψη να παραδοθούν τα νήπια αυτών εις αρπαγήν, αι γυναίκες των εις λεηλασίαν και αι πόλεις, τας οποίας είχαν κληρονομήσει, εις καταστροφήν, ο ναός εις βεβήλωσιν και εις ονειδισμόν και να γίνουν έτσι αυτοί εμπαιγμός και περίγελως των εθνών.

Ιουδ. 4,13 - καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς αὐτῶν καὶ εἰσεῖδε τὴν θλῖψιν αὐτῶν· καὶ ἦν ὁ λαὸς νηστεύων ἡμέρας πλείους ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ κατὰ πρόσωπον τῶν ἁγίων Κυρίου παντοκράτορος.

Ιουδ. 4,13 - Ο Κυριος ήκουσε την προσευχήν των και είδε την θλίψιν των. Ολος ο λαός ενήστευεν επί πολλάς ημέρας καθ' όλην την Ιουδαίαν και την Ιερουσαλήμ ενώπιον του ναού του Κυρίου, του παντοκράτορος.

Ιουδ. 4,14 - καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες οἱ παρεστηκότες ἐνώπιον Κυρίου, ἱερεῖς καὶ οἱ λειτουργοῦντες Κυρίῳ, σάκκους περιεζωσμένοι τὰς ὀσφύας αὐτῶν προσέφερον τὴν ὁλοκαύτωσιν τοῦ ἐνδελεχισμοῦ καὶ τὰς εὐχὰς καὶ τὰ ἑκούσια δόματα τοῦ λαοῦ,

Ιουδ. 4,14 - Ο αρχιερεύς Ιωακίμ και όλοι οι παριστάμενοι ενώπιον του Κυρίου, ιερείς και άλλοι λειτουργοί του Κυρίου, ζωσμένοι γύρω από τας οσφύας των σάκκους, προσέφεραν τα καθημερινά ολοκαυτώματα, τα ταξίματα, τα αφιερώματα, και τα εκούσια δώρα του λαού.

Ιουδ. 4,15 - καὶ ἦν σποδὸς ἐπὶ τὰς κιδάρεις αὐτῶν. καὶ ἐβόων πρὸς Κύριον ἐκ πάσης δυνάμεως εἰς ἀγαθὸν ἐπισκέψασθαι πάντα οἶκον Ἰσραήλ.

Ιουδ. 4,15 - Στάκτη δε υπήρχεν επάνω εις τα καλύμματα των κεφαλών των. Και έκραζον προς τον Κυριον με όλην των την δύναμιν να επισκεφθή προς το αγαθόν ο Θεός όλον τον λαόν του Ισραήλ.

ΙΟΥΔΙΘ 5

Ιουδ. 5,1 - Καὶ ἀνηγγέλη Ὀλοφέρνῃ ἀρχιστρατήγῳ δυνάμεως Ἀσσοὺρ διότι οἱ υἱοὶ Ἰσραὴλ παρεσκευάσαντο εἰς πόλεμον καὶ τὰς διόδους τῆς ὀρεινῆς συνέκλεισαν καὶ ἐτείχισαν πᾶσαν κορυφὴν ὄρους ὑψηλοῦ καὶ ἔθηκαν ἐν τοῖς πεδίοις σκάνδαλα.

Ιουδ. 5,1 - Ανήγγειλαν στον Ολοφέρνην, τον αρχιστράτηγον του στρατού των Ασσυρίων, ότι οι Ισραηλίται είχαν παρασκευασθή εις πόλεμον, είχαν αποκλείσει τας διαβάσεις των ορέων και οχυρώσει κάθε κορυφήν υψηλού όρους και ότι ακόμη είχαν τοποθετήσει παγίδας εις τας πεδιάδας.

Ιουδ. 5,2 - καὶ ὠργίσθη θυμῷ σφόδρα καὶ ἐκάλεσε πάντας τοὺς ἄρχοντας Μωὰβ καὶ τοὺς στρατηγοὺς Ἀμμὼν καὶ πάντας σατράπας τῆς παραλίας

Ιουδ. 5,2 - Ο Ολοφέρνης ωργίσθη με μεγάλον θυμόν και εκάλεσεν όλους τους αρχηγούς των Μωαβιτών, τους στρατηγούς των Αμμωνιτών και όλους τους διοικητάς των παραλίων περιοχών,

Ιουδ. 5,3 - καὶ εἶπεν αὐτοῖς· ἀναγγείλατε δή μοι, υἱοὶ Χαναάν, τίς ὁ λαὸς οὗτος ὁ καθήμενος ἐν τῇ ὀρεινῇ, καὶ τίνες ἃς κατοικοῦσι πόλεις, καὶ τὸ πλῆθος τῆς δυνάμεως αὐτῶν, καὶ ἐν τίνι τὸ κράτος αὐτῶν, καὶ ἡ ἰσχὺς αὐτῶν, καὶ τίς ἀνέστηκεν ἐπ᾿ αὐτῶν βασιλεὺς ἡγούμενος στρατιᾶς αὐτῶν,

Ιουδ. 5,3 - και τους ηρώτησε· “πληροφορήσατέ με, λοιπόν, σεις οι Χαναναίοι, ποίος είναι αυτός ο λαός, ο οποίος έχει εγκατασταθή εις την ορεινήν περιοχήν, ποίαι είναι αι πόλεις εις τας οποίας αυτοί κατοικούν, ποίος είναι ο αριθμός της στρατιωτικής των δυνάμεως και που στηρίζεται η δύναμίς των και ισχύς των; Ποίος είναι ο βασιλεύς των, ο αρχηγός του στρατού των;

Ιουδ. 5,4 - καὶ διατὶ κατενωτίσαντο τοῦ μὴ ἐλθεῖν εἰς ἀπάντησίν μοι παρὰ πάντας τοὺς κατοικοῦντας ἐν δυσμαῖς;

Ιουδ. 5,4 - Και διατί αυτοί μονοί από όλους τους άλλους, τους κατοικούντας τας δυτικάς αυτάς χώρας, δεν υπήκουσαν να εξέλθουν εις υποδοχήν μου;”

Ιουδ. 5,5 - καὶ εἶπε πρὸς αὐτὸν Ἀχιὼρ ὁ ἡγούμενος πάντων υἱῶν Ἀμμών· ἀκουσάτω δὴ ὁ κύριός μου λόγον ἐκ στόματος τοῦ δούλου σου, καὶ ἀναγγελῶ σοι τὴν ἀλήθειαν περὶ τοῦ λαοῦ, ὃς κατοικεῖ τὴν ὀρεινὴν ταύτην, πλησίον σου οἰκοῦντος, καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ τοῦ στόματος τοῦ δούλου σου.

Ιουδ. 5,5 - Ο Αχιώρ, ο αρχιστράτηγος όλων των Αμμωνιτών είπε προς τον Ολοφέρνην· “άκουσε, κύριέ μου, λόγια, τα οποία θα εξέλθουν από το στόμα εμού του δούλου σου. Θα σου είπω όλην την αλήθειαν δια τον λαόν αυτόν, ο οποίος κατοικεί την ορεινήν αυτήν περιοχήν εδώ κοντά σου. Ψέμμα δεν θα βγη από το στόμα του δούλου σου.

Ιουδ. 5,6 - ὁ λαὸς οὗτός εἰσιν ἀπόγονοι Χαλδαίων,

Ιουδ. 5,6 - Ο λαός αυτός είναι απόγονοι των Χσλδαίων.

Ιουδ. 5,7 - καὶ παρῴκησαν τὸ πρότερον ἐν τῇ Μεσοποταμίᾳ, ὅτι οὐκ ἐβουλήθησαν ἀκολουθῆσαι τοῖς θεοῖς τῶν πατέρων αὐτῶν, οἳ ἐγένοντο ἐν γῇ Χαλδαίων·

Ιουδ. 5,7 - Προηγουμένως είχαν κατοικήσει εις την Μεσοποταμίαν. Επειδή όμως δεν ηθέλησαν να λατρεύσουν τους θεούς των πατέρων των, που κατοικούσαν εις την γην των Χαλδαίων,

Ιουδ. 5,8 - καὶ ἐξέβησαν ἐξ ὁδοῦ τῶν γονέων αὐτῶν καὶ προσεκύνησαν τῷ Θεῷ τοῦ οὐρανοῦ, Θεῷ ᾧ ἐπέγνωσαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ προσώπου τῶν θεῶν αὐτῶν, καὶ ἔφυγον εἰς Μεσοποταμίαν καὶ παρῴκησαν ἐκεῖ ἡμέρας πολλάς.

Ιουδ. 5,8 - απεμακρύνθησαν από την θρησκευτικήν παράδοσιν και την οδόν των γονέων των και προσεκύνησαν τον Θεόν του ουρανού, Θεόν, τον οποίον αυτοί είχαν γνωρίσει. Δια τούτο οι πατέρες των τους απεμάκρυναν από την περιοχήν, όπου ελατρεύοντο οι θεοί των. Αυτοί δε κατέφυγαν εις την Μεσοποταμίαν και εγκατεστάθησαν εκεί επί πολύν χρόνον.

Ιουδ. 5,9 - καὶ εἶπεν ὁ Θεὸς αὐτῶν ἐξελθεῖν ἐκ τῆς παροικίας αὐτῶν καὶ πορευθῆναι εἰς γῆν Χαναάν, καὶ κατῴκησαν ἐκεῖ καὶ ἐπληθύνθησαν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν κτήνεσι πολλοῖς σφόδρα.

Ιουδ. 5,9 - Ο Θεός των τους διέταξε να απομακρυνθούν και από την χώραν των αυτήν, όπου κατοικούσαν, και να μεταβούν εις την γην Χαναάν. Ηλθον λοιπόν και κατώκησαν εις την χώραν αυτήν, απέκτησαν χρυσίον, αργύριον και πάρα πολλά κτήνη.

Ιουδ. 5,10 - καὶ κατέβησαν εἰς Αἴγυπτον, ἐκάλυψε γὰρ τὸ πρόσωπον τῆς γῆς Χαναὰν λιμός, καὶ παρῴκησαν ἐκεῖ μέχρις οὗ διετράφησαν· καὶ ἐγένοντο ἐκεῖ εἰς πλῆθος πολύ, καὶ οὐκ ἦν ἀριθμὸς τοῦ γένους αὐτῶν.

Ιουδ. 5,10 - Κατόπιν κατέβησαν εις την Αίγυπτον, διότι είχεν ενσκήψει πείνα εις την χώραν της Χαναάν. Εις την Αίγυπτον εγκατεστάθησαν, παρέμεναν και διετρέφοντο. Εκεί το γένος των επολλαπλασιάσθη πολύ εις πλήθος αναρίθμητον.

Ιουδ. 5,11 - καὶ ἐπανέστη αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου καὶ κατεσοφίσαντο αὐτοὺς ἐν πόνῳ καὶ ἐν πλίνθῳ, καὶ ἐταπείνωσαν αὐτοὺς καὶ ἔθεντο αὐτοὺς εἰς δούλους·

Ιουδ. 5,11 - Εναντίον αυτών αντετάχθη ο βασιλεύς της Αιγύπτου, ο οποίος με δολίους τρόπους κατεπίεζεν αυτούς, με καταθλιπτικάς εργασίας εις την κατασκευήν των πλίνθων κατέθλιβεν αυτούς, θέλων να τους εξουθενώση. Και πράγματι τους εξουθένωσε και τους έκαμε δούλους του.

Ιουδ. 5,12 - καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν αὐτῶν, καὶ ἐπάταξε πᾶσαν τὴν γῆν Αἰγύπτου πληγαῖς, ἐν αἷς οὐκ ἦν ἴασις· καὶ ἐξέβαλον αὐτοὺς οἱ Αἰγύπτιοι ἀπὸ προσώπου αὐτῶν.

Ιουδ. 5,12 - Εκείνοι όμως παρεκάλεσαν με όλην των την δύναμιν τον Θεόν των, ο οποίος και εκτύπησεν όλην την χώραν της Αιγύπτου με πληγάς και συμφοράς, εις τας οποίας δεν υπήρχε καμμία θεραπεία. Οι Αιγύπτιοι τρομοκρατημένοι από τας συμφοράς αυτάς αναγκάσθησαν να τους εκδιώξουν από την χώραν των.

Ιουδ. 5,13 - καὶ κατεξήρανεν ὁ Θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἔμπροσθεν αὐτῶν

Ιουδ. 5,13 - Ο Θεός εξήρανε την Ερυθράν Θαλασσαν εμπρός από αυτούς,

Ιουδ. 5,14 - καὶ ἤγαγεν αὐτοὺς εἰς ὁδὸν τοῦ Σινὰ καὶ Κάδης Βαρνή· καὶ ἐξέβαλον πάντας τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ

Ιουδ. 5,14 - τους ωδήγησε προς τον δρόμον του Σινά και από εκεί προς την Καδης Βαρνή. Οι Ισραηλίται εξεδίωξαν τότε όλους αυτούς, που κατοικούσαν την έρημον.

Ιουδ. 5,15 - καὶ ᾤκησαν ἐν γῇ Ἀμοῤῥαίων καὶ πάντας τοὺς Ἐσεβωνίτας ἐξωλόθρευσαν ἐν τῇ ἰσχύϊ αὐτῶν. καὶ διαβάντες τὸν Ἰορδάνην ἐκληρονόμησαν πᾶσαν τὴν ὀρεινὴν

Ιουδ. 5,15 - Ηλθαν κατόπιν και εγκατεστάθησαν εις την χώραν των Αμορραίων, εξωλόθρευσαν με τας ιδικάς των δυνάμστους κατοίκους της πόλεως Εσεβών, διέβησαν τον Ιορδάνην ποταμόν, εκυρίευσαν και επήραν ως κληρονομίαν των όλην την ορεινήν αυτήν περιοχήν.

Ιουδ. 5,16 - καὶ ἐξέβαλον ἐκ προσώπου αὐτῶν τὸν Χαναναῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν Συχὲμ καὶ πάντας τοὺς Γεργεσαίους καὶ κατῴκησαν ἐν αὐτῇ ἡμέρας πολλάς.

Ιουδ. 5,16 - Εξεδίωξαν από εμπρός των τους Χαναναίους, τους Φερεζαίους, τους Ιεβουσαίους, τους κατοίκους της Συχέμ, τους Γεργεσαίους και κατώκησαν εις την χώραν αυτήν επί πολύν χρόνον.

Ιουδ. 5,17 - καὶ ἕως οὐχ ἥμαρτον ἐνώπιον τοῦ Θεοῦ αὐτῶν, ἦν τὰ ἀγαθὰ μετ᾿ αὐτῶν, ὅτι Θεὸς μισῶν ἀδικίαν μετ᾿ αὐτῶν ἐστιν.

Ιουδ. 5,17 - Και εφ' όσον μεν χρόνον δεν ημάρτανον ενώπιον του Θεού των, όλα τα αγαθά της γης ήσαν ιδικά των, διότι ο Θεός των, που μισεί την αδικίαν, ήτο μαζή των.

Ιουδ. 5,18 - ὅτε δὲ ἀπέστησαν ἀπὸ τῆς ὁδοῦ, ἧς διέθετο αὐτοῖς, ἐξωλοθρεύθησαν ἐν πολλοῖς πολέμοις ἐπὶ πολὺ σφόδρα καὶ ᾐχμαλωτεύθησαν εἰς γῆν οὐκ ἰδίαν, καὶ ὁ ναὸς τοῦ Θεοῦ αὐτῶν ἐγενήθη εἰς ἔδαφος, καὶ οἱ πόλεις αὐτῶν ἐκρατήθησαν ὑπὸ τῶν ὑπεναντίων.

Ιουδ. 5,18 - Οταν όμως απεμακρύνθησαν από τον δρόμον, τον οποίον ο ίδιος ο Θεός τους είχε δείξει, εξωλοθρεύθησαν δια πολλών σκληρών και μακροχρονίων πολέμων, ηχμαλωτίσθησαν και μετεφέρθησαν εις ξένην χώραν, ο δε ναός των κατεστράφη, ισοπεδώθη και αι πόλεις των εκυριεύθησαν από τους εχθρούς των.

Ιουδ. 5,19 - καὶ νῦν ἐπιστρέψαντες ἐπὶ τὸν Θεὸν αὐτῶν ἀνέβησαν ἐκ τῆς διασπορᾶς, οὗ διεσπάρησαν ἐκεῖ, καὶ κατέσχον τὴν Ἱερουσαλήμ, οὗ τὸ ἁγίασμα αὐτῶν, καὶ κατῳκίσθησαν ἐν τῇ ὀρεινῇ, ὅτι ἦν ἔρημος.

Ιουδ. 5,19 - Τωρα όμως που επέστρεψαν εν μετανοία προς τον Θεόν των, επανήλθαν από την διασποράν της αιχμαλωσίας των, όπου είχαν διασκορπισθή εκεί, και κατέλαβον την Ιερουσαλήμ, όπου ευρίσκεται ο άγιος αυτών ναός, και εγκατεστάθησαν εις την ορεινήν περιοχήν, διότι αυτή ήτο έρημος και ακατοίκητος.

Ιουδ. 5,20 - καὶ νῦν, δέσποτα κύριε, εἰ μέν ἐστιν ἀγνόημα ἐν τῷ λαῷ τούτῳ καὶ ἁμαρτάνουσιν εἰς τὸν Θεὸν αὐτῶν καὶ ἐπισκεψόμεθα ὅτι ἐστὶν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ ἀναβησόμεθα καὶ ἐκπολεμήσομεν αὐτούς.

Ιουδ. 5,20 - Και τώρα, Δέσποτα κύριε, ας φροντίσωμεν να μάθωμεν, μήπως στον λαόν αυτόν υπάρχει παράβασις του θείου θελήματος και έτσι αυτοί είναι ένοχοι ενώπιον του Θεού των. Αν ναι, θα εκστρατεύσωμεν εναντίον αυτών, θα πορευθώμεν και θα καταπολεμήσωμεν αυτούς, διότι η αμαρτία των θα είναι βεβαία αιτία της καταστροφής των.

Ιουδ. 5,21 - εἰ δὲ οὐκ ἔστιν ἀνομία ἐν τῷ ἔθνει αὐτῶν, παρελθέτω δὴ ὁ κύριός μου, μήποτε ὑπερασπίσῃ ὁ Κύριος αὐτῶν καὶ ὁ Θεὸς αὐτῶν ὑπὲρ αὐτῶν, καὶ ἐσόμεθα εἰς ὀνειδισμὸν ἐναντίον πάσης τῆς γῆς.

Ιουδ. 5,21 - Εάν όμως ο λαός αυτός δεν διέπραξεν αμάρτημά τι ενώπιον του Θεού, ο κύριός μου ας απομακρυνθή από αυτούς, μήπως Κυριος ο Θεός των τους υπερασπίση εναντίον μας, ημείς δε νικηθώμεν και γίνωμεν εμπαιγμός και εξευτελισμός στους λαούς της γης".

Ιουδ. 5,22 - καὶ ἐγένετο ὡς ἐπαύσατο Ἀχιὼρ λαλῶν τοὺς λόγους τούτους, καὶ ἐγόγγυσε πᾶς ὁ λαὸς ὁ κυκλῶν τὴν σκηνὴν καὶ περιεστώς, καὶ εἶπαν οἱ μεγιστᾶνες Ὀλοφέρνου καὶ πάντες οἱ κατοικοῦντες τὴν παραλίαν καὶ τὴν Μωὰβ συγκόψαι αὐτόν·

Ιουδ. 5,22 - Οταν ο Αχιώρ έπαυσε να ομιλή, όλος ο λαός, ο οποίος ευρίσκετο γύρω από την σκηνήν του Ολοφέρνου και είχεν ακούσει τα λεχθέντα, εγόγγυσαν εναντίον του Αχιώρ. Οι αξιωματούχοι του Ολοφέρνου και όλοι οι κάτοικοι των παραλίων μερών και οι Μωαβίται εζήτησαν να φονεύσουν τον Αχιώρ. Είπαν δε προς τον Ολοφέρνην·

Ιουδ. 5,23 - οὐ γὰρ φοβηθησόμεθα ἀπὸ υἱῶν Ἰσραήλ· ἰδοὺ γὰρ λαός, ἐν ᾧ οὐκ ἔστι δύναμις οὐδὲ κράτος εἰς παράταξιν ἰσχυράν·

Ιουδ. 5,23 - "δεν φοβούμεθα τους Ισραηλίτας. Αυτός ειναι ένας λαός, που δεν έχει στρατιωτικήν δύναμιν και επομένως δεν είναι εις θέσιν να αντιπαραταχθή με ισχύν εναντίον μας.

Ιουδ. 5,24 - διὸ δὴ ἀναβησόμεθα, καὶ ἔσονται εἰς κατάβρωμα πάσης τῆς στρατιᾶς σου, δέσποτα Ὀλοφέρνη.

Ιουδ. 5,24 - Δια τούτο, δέσποτα Ολοφέρνη, θα εκστρατεύσωμεν εναντίον αυτών και όλοι αυτοί θα κατανικηθούν και θα γίνουν διαρπαγή στον στρατόν σου”.

ΙΟΥΔΙΘ 6

Ιουδ. 6,1 - Καὶ ὡς κατέπαυσεν ὁ θόρυβος τῶν ἀνδρῶν τῶν κύκλῳ τῆς συνεδρίας, καὶ εἶπεν Ὀλοφέρνης ὁ ἀρχιστράτηγος δυνάμεως Ἀσσοὺρ πρὸς Ἀχιὼρ ἐναντίον παντὸς τοῦ δήμου ἀλλοφύλων καὶ πρὸς πάντας υἱοὺς Μωάβ·

Ιουδ. 6,1 - Οταν εσίγασεν ο θόρυβος των ανδρών, οι οποίοι ευρίσκοντο γύρω από την σκηνήν του, ο Ολοφέρνης ο αρχιστράτηγος του στρατού των Ασσυρίων είπε προς τον Αχιώρ ενώπιον όλου του πλήθους των ξένων στρατιωτών και εις επήκοον όλων των Μωαβιτών.

Ιουδ. 6,2 - καὶ τίς εἶ σύ, Ἀχιὼρ καὶ οἱ μισθωτοὶ τοῦ Ἐφραίμ, ὅτι ἐπροφήτευσας ἐν ἡμῖν καθὼς σήμερον καὶ εἶπας τὸ γένος Ἰσραὴλ μὴ πολεμῆσαι, ὅτι ὁ Θεὸς αὐτῶν ὑπερασπιεῖ αὐτῶν; καὶ τίς ὁ Θεὸς εἰ μὴ Ναβουχοδονόσορ; οὗτος ἀποστελεῖ τὸ κράτος αὐτοῦ καὶ ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου τῆς γῆς, καὶ οὐ ῥύσεται αὐτοὺς ὁ Θεὸς αὐτῶν·

Ιουδ. 6,2 - “Ποίος είσαι συ, Αχιώρ, και οι μισθωτοί πράκτορες της φυλής του Εφραίμ, που ετόλμησες και προεφήτευσες, όπως ωμίλησες σήμερον και είπες, ότι δεν πρέπει να πολεμήσωμεν εναντίον της φυλής των Ισραηλιτών, διότι ο Θεός των θα τους υπερασπίση; Ποίος άλλος είναι Θεός πλην του Ναβουχοδονόσορος; Ο Ναβουχοδονόσορ αυτός θα αποστείλη τον στρατόν ου και θα τους εξολοθρεύση εντελώς από το πρόσωπον της γης. Ο δε Θεός των δεν θα ημπορέση να τους γλυτώση.

Ιουδ. 6,3 - ἀλλ᾿ ἡμεῖς οἱ δοῦλοι αὐτοῦ πατάξομεν αὐτοὺς ὡς ἄνθρωπον ἕνα, καὶ οὐχ ὑποστήσονται τὸ κράτος τῶν ἵππων ἡμῶν.

Ιουδ. 6,3 - Αλλά ημείς, οι δούλοι του Ναδουχοδονόσορος, θα τους κτυπήσωμεν κατά τρόπον εύκολον και εξοντωτικόν, ως εάν είναι ένας μόνον άνθρωπος. Αυτοί δεν θα καταφέρουν καθόλου να φέρουν ούτε την παραμικράν αντίστασιν εις την δύναμιν του ιππικού μας.

Ιουδ. 6,4 - κατακαύσομεν γὰρ αὐτοὺς ἐν αὐτοῖς, καὶ τὰ ὄρη αὐτῶν μεθυσθήσεται ἐν τῷ αἵματι αὐτῶν, καὶ τὰ πεδία αὐτῶν πληρωθήσεται νεκρῶν αὐτῶν, καὶ οὐκ ἀντιστήσεται τὸ ἴχνος τῶν ποδῶν αὐτῶν κατὰ πρόσωπον ἡμῶν, ἀλλὰ ἀπωλείᾳ ἀπολοῦνται, λέγει ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ κύριος πάσης τῆς γῆς· εἶπε γάρ, οὐ ματαιωθήσεται τὰ ῥήματα τῶν λόγων αὐτοῦ.

Ιουδ. 6,4 - Θα τους κατακαύσωμεν φύρδην μίγδην, τα όρη των θα πλημμυρήσουν και θα μεθύσουν από το αίμα των, αι δε πεδιάδες των θα

γεμίσουν από τα νεκρά σώματά των. Ούτε ίχνος από τα πόδια των δεν θα παραμείνη ενώπιόν μας, αλλά όλοι θα καταστραφούν εξ ολοκλήρου. Αυτά λέγει ο βασιλεύς Ναβουχοδονόσορ, ο κύριος όλης της οικουμένης. Είπεν, ότι δεν πρόκειται να αποδειχθούν κούφιοι και μάταιοι οι λόγοι του.

Ιουδ. 6,5 - σὺ δὲ Ἀχιὼρ μισθωτὲ τοῦ Ἀμμών, ὃς ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡμέρᾳ ἀδικίας σου, οὐκ ὄψει ἔτι τὸ πρόσωπόν μου ἀπὸ τῆς ἡμέρας ταύτης, ἕως οὗ ἐκδικήσω τὸ γένος τῶν ἐξ Αἰγύπτου·

Ιουδ. 6,5 - Συ δέ, Αχιώρ, μισθωτέ πράκτορ των Αμμωνιτών, ο οποίος κατά την ημέραν αυτήν ετόλμησες να ομιλήσης ενώπιόν μου τους λόγους αυτούς της αδικίας, δεν θα ίδης πλέον το πρόσωπόν μου από την ημέραν αυτήν, μέχρις ότου εγώ τιμωρήσω το γένος των Ισραηλιτών, που εξήλθεν από την Αίγυπτον.

Ιουδ. 6,6 - καὶ τότε διελεύσεται ὁ σίδηρος τῆς στρατιᾶς μου καὶ ὁ λαὸς τῶν θεραπόντων μου τὰς πλευράς σου, καὶ πεσῇ ἐν τοῖς τραυματίαις αὐτῶν, ὅταν ἐπιστρέψω.

Ιουδ. 6,6 - Και τότε όλα τα σιδερένια όπλα του στρατού μου, λόγχαι και ρομφαίαι, θα διαπεράσουν το σώμα σου και το πλήθος των στρατιωτών μου θα σου σπάση τα πλευρά και θα πέσης νεκρός μεταξύ των νεκρών Ισραηλιτών, όταν εγώ επιστρέψω νικητής.

Ιουδ. 6,7 - καὶ ἀποκαταστήσουσί σε οἱ δοῦλοί μου εἰς τὴν ὀρεινὴν καὶ θήσουσί σε ἐν μιᾷ τῶν πόλεων τῶν ἀναβάσεων,

Ιουδ. 6,7 - Επί του παρόντος όμως οι δούλοι μου θα σε μεταφέρουν στο όρος και θα σε περιορίσουν εις μίαν πόλιν επάνω εις τας διαβάσεις αυτάς.

Ιουδ. 6,8 - καὶ οὐκ ἀπολῇ ἕως οὗ ἐξολοθρευθῇς μετ᾿ αὐτῶν.

Ιουδ. 6,8 - Δεν θα εκτελεσθής, αλλά θα ζήσης, μέχρις ότου εξολοθρευθής μαζή με τους Ισραηλίτας.

Ιουδ. 6,9 - καὶ εἴπερ ἐλπίζεις τῇ καρδίᾳ σου ὅτι οὐ ληφθήσονται, μὴ συμπεσέτω σου τὸ πρόσωπον· ἐλάλησα, καὶ οὐδὲν διαπεσεῖται τῶν ῥημάτων μου.

Ιουδ. 6,9 - Και μη παίρνης αυτό το ύφος το θλιμμένον, εάν κατά βάθος συ ελπίζεις ότι εκείνοι δεν θα καταληφθούν από εμέ. Είπα και ελάλησα και κανένα από τα λόγια μου δεν θα πέση στο κενόν".

Ιουδ. 6,10 - καὶ προσέταξεν Ὀλοφέρνης τοῖς δούλοις αὐτοῦ, οἳ ἦσαν παρεστηκότες ἐν τῇ σκηνῇ αὐτοῦ, συλλαβεῖν τὸν Ἀχιὼρ καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς Βαιτυλούα καὶ παραδοῦναι εἰς χεῖρας υἱῶν Ἰσραήλ.

Ιουδ. 6,10 - Διέταξεν ο Ολοφέρνης τους δούλους του, οι οποίοι ευρίσκοντο όρθιοι πλησίον εις την σκηνήν του, να συλλάβουν τον Αχιώρ και να οδηγήσουν αυτόν εις Βαιτυλούα, δια να τον παραδώσουν εις τα χέρια των Ισραηλιτών.

Ιουδ. 6,11 - καὶ συνέλαβον αὐτὸν οἱ δοῦλοι αὐτοῦ καὶ ἤγαγον αὐτὸν ἔξω τῆς παρεμβολῆς εἰς τὸ πεδίον καὶ ἀπῇραν ἐκ μέσου τῆς πεδινῆς εἰς τὴν ὀρεινὴν καὶ παρεγένοντο ἐπὶ τὰς πηγάς, αἳ ἦσαν ὑποκάτω Βαιτυλούα.

Ιουδ. 6,11 - Οι δούλοι του Ολοφέρνου συνέλαβαν πράγματι τον Αχιώρ, τον ωδήγησαν έξω από το στρατόπεδον εις την πεδιάδα, από την πεδιάδα τον ανεβίβασαν στο όρος και έφθασαν εις τας πηγάς, αι οποίαι ευρίσκοντο κάτω από την Βαιτυλούα.

Ιουδ. 6,12 - καὶ ὡς εἶδαν αὐτοὺς οἱ ἄνδρες τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, ἀνέλαβον τὰ ὅπλα αὐτῶν καὶ ἀπῆλθον ἔξω τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ πᾶς ἀνὴρ σφενδονήτης διεκράτησαν τὴν ἀνάβασιν αὐτῶν καὶ ἔβαλον ἐν λίθοις ἐπ᾿ αὐτούς.

Ιουδ. 6,12 - Οταν οι Ισραηλίται, οι άνδρες της πόλεως που ευρίσκοντο εις την κορυφήν του όρους, τους είδαν, επήραν τα όπλα των, βγήκαν έξω από την πόλιν εις την κορυφήν του όρους και οι σφενδονήται κατέλαβον τας διαβάσεις και έρριπτον λίθους εναντίον εκείνων.

Ιουδ. 6,13 - καὶ ὑποδύσαντες ὑποκάτω τοῦ ὄρους ἔδησαν τὸν Ἀχιὼρ καὶ ἀφῆκαν ἐῤῥιμμένον ὑπὸ τὴν ῥίζαν τοῦ ὄρους καὶ ἀπῴχοντο πρὸς τὸν κύριον αὐτῶν.

Ιουδ. 6,13 - Οι δούλοι του Ολοφέρνου, που έφεραν συνοδείαν τον Αχιώρ, εισέδυσαν κάτω από παρυφήν του όρους, δια να προφυλαχθούν, έδεσαν εκεί τον Αχιώρ, τον αφήκαν δεμένον στους πρόποδας του όρους και έφυγαν, δια να επανέλθουν στον κύριόν των.

Ιουδ. 6,14 - καταβάντες δὲ υἱοὶ Ἰσραὴλ ἐκ τῆς πόλεως αὐτῶν ἐπέστησαν αὐτῷ καὶ λύσαντες αὐτὸν ἀπήγαγον εἰς τὴν Βαιτυλούα καὶ κατέστησαν αὐτὸν ἐπὶ τοὺς ἄρχοντας τῆς πόλεως αὐτῶν,

Ιουδ. 6,14 - Οι Ισραηλίται κατέβησαν από την πόλιν των κάτω, συνήντησαν αυτόν, τον έλυσαν και τον ωδήγησαν εις την Βαιτυλούα, όπου και τον παρουσίασαν στους άρχοντας της πόλεως.

Ιουδ. 6,15 - οἳ ἦσαν ἐν ταῖς ἡμέραις ἐκείναις, Ὀζίας ὁ τοῦ Μιχὰ ἐκ τῆς φυλῆς Συμεὼν καὶ Ἀβρὶς ὁ τοῦ Γοθονιὴλ καὶ Χαρμὶς υἱὸς Μελχιήλ.

Ιουδ. 6,15 - Αρχοντες δε της πόλεως κατ' εκείνας τας ημέρας ήσαν ο Οζίας, υιός του Μιχά από την φυλήν Συμεών, και ο Αβρίς υιός του Γοθονιήλ και ο Χαρμίς υιός του Μελχιήλ.

Ιουδ. 6,16 - καὶ συνεκάλεσαν πάντας τοὺς πρεσβυτέρους τῆς πόλεως, καὶ συνέδραμον πᾶς νεανίσκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν ἐκκλησίαν, καὶ ἔστησαν τὸν Ἀχιὼρ ἐν μέσῳ παντὸς τοῦ λαοῦ αὐτῶν, καὶ ἐπηρώτησεν αὐτὸν Ὀζίας τὸ συμβεβηκός.

Ιουδ. 6,16 - Οι αρχηγοί αυτοί συνεκάλεσαν τους πρεσβυτέρους της πόλεως εις σύσκεψιν, όπου όμως προσήλθον και οι νέοι Ισραηλίται και αυταί

ακόμη αι γυναίκες. Εβαλαν τον Αχιώρ στο μέσον όλου του λαού των και ο Οζίας τον ηρώτησε δια το συμβεβηκός αυτό.

Ιουδ. 6,17 - καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐτοῖς τὰ ῥήματα τῆς συνεδρίας Ὀλοφέρνου καὶ πάντα τὰ ῥήματα, ὅσα ἐλάλησεν ἐν μέσῳ τῶν ἀρχόντων υἱῶν Ἀσσούρ, καὶ ὅσα ἐμεγαλοῤῥημόνησεν Ὀλοφέρνης εἰς τὸν οἶκον Ἰσραήλ.

Ιουδ. 6,17 - Ο Αχιώρ απεκρίθη και είπεν εις αυτούς, όσα είχαν λεχθή κατά την συνεδρίασιν του Ολοφέρνου και όλους τους λόγους, τους οποίους αυτός είχεν είπει ενώπιον των Ασσυρίων αρχηγών, όπως επίσης και τους αλαζονικούς λόγους του Ολοφέρνου εναντίον των Ισραηλιτών.

Ιουδ. 6,18 - καὶ πεσόντες ὁ λαὸς προσεκύνησαν τῷ Θεῷ καὶ ἐβόησαν λέγοντες·

Ιουδ. 6,18 - Οι Ισραηλίται έπεσαν με το πρόσωπον κατά γης, προσεκύνησαν τον Θεόν και είπαν·

Ιουδ. 6,19 - Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ, κάτιδε ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν καὶ ἐλέησον τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τῶν ἡγιασμένων σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ.

Ιουδ. 6,19 - “Κυριε, συ ο Θεός του ουοανού, ιδέ καλά τας αλαζονείας αυτών των ανθρώπων και ελέησε το ταπεινωμένον και απειλούμενον από αυτούς γένος μας· ρίψε ένα βλέμμα σπλαγχνικόν κατά την ημέραν αυτήν στους ηγιασμένους σου”.

Ιουδ. 6,20 - καὶ παρεκάλεσαν τὸν Ἀχιὼρ καὶ ἐπῄνεσαν αὐτὸν σφόδρα.

Ιουδ. 6,20 - Επειτα από αυτά επαρηγόρησαν τον Αχιώρ και τον επήνεσαν πολύ.

Ιουδ. 6,21 - καὶ παρέλαβεν αὐτὸν Ὀζίας ἐκ τῆς ἐκκλησίας εἰς οἶκον αὐτοῦ καὶ ἐποίησε πότον τοῖς πρεσβυτέροις, καὶ ἐπεκαλέσαντο τὸν Θεὸν Ἰσραὴλ εἰς βοήθειαν ὅλην τὴν νύκτα ἐκείνην.

Ιουδ. 6,21 - Ο Οζίας τον παρέλαβον από την συγκέντρωσιν εκείνην, τον έφερεν στον οίκον του και παρέθεσε τράπεζαν εις αυτόν και τους πρεσβυτέρους. Ολην δε εκείνην την νύκτα παρακαλούσαν τον Θεόν του Ισραήλ να έλθη εις βοήθειάν των.

ΙΟΥΔΙΘ 7

Ιουδ. 7,1 - Τῇ δ᾿ ἐπαύριον παρήγγειλεν Ὀλοφέρνης πάσῃ τῇ στρατιᾷ αὐτοῦ καὶ παντὶ τῷ λαῷ αὐτοῦ, οἳ παρεγένοντο ἐπὶ τὴν συμμαχίαν αὐτοῦ, ἀναζευγνύειν ἐπὶ Βαιτυλούα καὶ τὰς ἀναβάσεις τῆς ὀρεινῆς προκαταλαμβάνεσθαι καὶ ποιεῖν πόλεμον πρὸς τοὺς υἱοὺς Ἰσραήλ.

Ιουδ. 7,1 - Κατά την επομένην ο Ολοφέρνης διέταξε όλον τον στρατόν του και όλον τον λαόν, ο οποίος είχε προσέλθει και προστεθή εις την συμμαχίαν

του, να αναλάβουν επίθεσιν εναντίον της Βαιτυλούα και αφού καταλάβουν τας ορεινάς διαβάσεις, να αρχίσουν πόλεμον εναντίον των Ισραηλιτών.

Ιουδ. 7,2 - καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς ἀνὴρ δυνατὸς αὐτῶν· καὶ ἡ δύναμις αὐτῶν ἀνδρῶν πολεμιστῶν χιλιάδες ἀνδρῶν πεζῶν ἑκατὸν ἑβδομήκοντα καὶ ἱππέων χιλιάδες δεκαδύο, χωρὶς τῆς ἀποσκευῆς καὶ τῶν ἀνδρῶν, οἳ ἦσαν πεζοὶ ἐν αὐτοῖς, πλῆθος πολὺ σφόδρα.

Ιουδ. 7,2 - Κατά την ημέραν εκείνην εξεκίνησαν δια τον πόλεμον όλοι οι ισχυροί άνδρες. Η δύναμις των πολεμιστών ανδρών ήτο εκατόν εβδομήκοντα χιλιάδες πεζοί και δώδεκα χιλιάδες ιππείς, εκτός από τα μεταγωγικά και από τους άλλους πεζοπόρους, που τους ακολουθούσαν και οι οποίοι ήσαν πάρα πολλοί.

Ιουδ. 7,3 - καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι πλησίον Βαιτυλούα ἐπὶ τῆς πηγῆς καὶ παρέτειναν εἰς εὖρος ἐπὶ Δωθαΐμ καὶ ἕως Βελβαὶμ καὶ εἰς μῆκος ἀπὸ Βαιτυλούα ἕως Κυαμῶνος, ἥ ἐστιν ἀπέναντι Ἐσδρηλών.

Ιουδ. 7,3 - Ολοι αυτοί εστρατοπέδευσαν εις την κοιλάδα πλησίον της Βαιτυούλα η οποία ευρίσκετο κοντά εις μίαν πηγήν. Εξετείνοντο δε κατά πλάτος μέχρι της Δωθαΐμ και Βελβαίμ, κατά μήκος δε από την Βαιτυλούα μέχρι της Κυαμώνος, η οποία ευρίσκεται απέναντι της Εσδρηλών.

Ιουδ. 7,4 - οἱ δὲ υἱοὶ Ἰσραήλ, ὡς εἶδον αὐτῶν τὸ πλῆθος, ἐταράχθησαν σφόδρα καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· νῦν ἐκλείξουσιν οὗτοι τὸ πρόσωπον τῆς γῆς πάσης, καὶ οὔτε τὰ ὄρη τὰ ὑψηλὰ οὔτε αἱ φάραγγες οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ βάρος αὐτῶν.

Ιουδ. 7,4 - Οι Ισραηλίται, όταν είδαν το μεγάλο πλήθος των εχθρών, εταράχθησαν πάρα πολύ και είπεν ο ένας προς τον άλλον· “αυτοί με το πλήθος του στρατού των θα γλύψουν και την επιφάνειαν της χώρας. Ούτε τα υψηλά όρη, ούτε οι φάραγγες, ούτε τα βουνά θα ημπορέσουν να άνθεξουν στο βάρος των”.

Ιουδ. 7,5 - καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτῶν καὶ ἀνακαύσαντες πυρὰς ἐπὶ τοὺς πύργους αὐτῶν, ἔμενον φυλάσσοντες ὅλην τὴν νύκτα ἐκείνην.

Ιουδ. 7,5 - Εν τούτοις επήρεν ο καθένας από αυτούς τα πολεμικά του όπλα, ήναψαν πυράς επάνω στους πύργους των τειχών και παρέμειναν όλην εκείνην την νύκτα φρουρούντες και έτοιμοι εις πόλεμον.

Ιουδ. 7,6 - τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐξήγαγεν Ὀλοφέρνης πᾶσαν τὴν ἵππον αὐτοῦ κατὰ πρόσωπον τῶν υἱῶν Ἰσραήλ, οἳ ἦσαν ἐν Βαιτυλούᾳ,

Ιουδ. 7,6 - Κατά την δευτέραν ημέραν ο Ολοφέρνης έβγαλε και ωδήγησεν όλον το ιππικόν του εναντίον των Ισραηλιτών, οι οποίοι ευρίσκοντο εις την Βαιτυλούα.

Ιουδ. 7,7 - καὶ ἐπεσκέψατο τὰς ἀναβάσεις τῆς πόλεως αὐτῶν καὶ τὰς πηγὰς τῶν ὑδάτων αὐτῶν ἐφώδευσε καὶ προκατελάβετο αὐτὰς καὶ

ἐπέστησεν αὐταῖς παρεμβολὰς ἀνδρῶν πολεμιστῶν, καὶ αὐτὸς ἀνέζευξεν εἰς τὸν λαὸν αὐτοῦ.

Ιουδ. 7,7 - Ηρεύνησε και έμαθε, ποίαι είναι αι διαβάσεις προς την πόλιν, όπως επίσης ανεζήτησε και εύρε τας πηγάς των υδάτων αυτής και τας κατέλαβεν. Ετοποθέτησε κατόπιν φρουράς ανδρών πολεμιστών και αυτός επέστρεψεν στο στρατόπεδόν του.

Ιουδ. 7,8 - καὶ προσελθόντες αὐτῷ οἱ ἄρχοντες τῶν υἱῶν Ἡσαῦ καὶ πάντες οἱ ἡγούμενοι τοῦ λαοῦ Μωὰβ καὶ οἱ στρατηγοὶ τῆς παραλίας εἶπαν·

Ιουδ. 7,8 - Προσήλθον τότε εις αυτόν οι αρχηγοί των υιών Ησαύ, των Ιδουμαίων, και όλοι οι αρχηγοί του λαού των Μωαβιτών και οι στρατηγοί των παραλίων χωρών και του είπαν·

Ιουδ. 7,9 - ἀκουσάτω δὴ λόγον ὁ δεσπότης ἡμῶν, ἵνα μὴ γένηται θραῦσμα ἐν τῇ δυνάμει σου·

Ιουδ. 7,9 - “ας ακούση ο δεσπότης μας ένα λόγον από ημάς, δια να μη συμβή θραύσις εις την στρατιωτικήν του δύναμιν.

Ιουδ. 7,10 - ὁ γὰρ λαὸς οὗτος τῶν υἱῶν Ἰσραὴλ οὐ πέποιθαν ἐπὶ τοῖς δόρασιν αὐτῶν, ἀλλ᾿ ἐπὶ τοῖς ὕψεσι τῶν ὀρέων αὐτῶν, ἐν οἷς αὐτοὶ ἐνοικοῦσιν ἐν αὐτοῖς· οὐ γάρ ἐστιν εὐχερὲς προσβῆναι ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν.

Ιουδ. 7,10 - Ο λαός αυτών των Ισραηλιτών δεν έχει πεποίθησιν εις τα δόρατά του, εις την στρατιωτικήν του δύναμιν, αλλά στο ύψος των ορέων, όπου αυτοί κατοικούν, διότι δεν είναι εύκολον να αναβή κανείς εις τας κορυφάς των ορέων αυτών.

Ιουδ. 7,11 - καὶ νῦν, δέσποτα, μὴ πολέμει πρὸς αὐτούς, καθὼς γίνεται πόλεμος παρατάξεως, καὶ οὐ πεσεῖται ἐκ τοῦ λαοῦ σου ἀνὴρ εἷς.

Ιουδ. 7,11 - Λοιπόν, δέσποτα, να μη πολεμήσης εναντίον αυτών, όπως συνήθως γίνεται ο πόλεμος κατά παράταξιν, δια να μη φονευθή κανένας στρατιώτης από την δύναμίν σου.

Ιουδ. 7,12 - ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου διαφυλάσσων πάντα ἄνδρα ἐκ τῆς δυνάμεώς σου, καὶ ἐπικρατησάτωσαν οἱ παῖδές σου τῆς πηγῆς τοῦ ὕδατος, ἣ ἐκπορεύεται ἐκ τῆς ῥίζης τοῦ ὄρους,

Ιουδ. 7,12 - Μείνε στο στρατόπεδόν σου, προφύλαξε από κάθε φθοράν τους άνδρας της στρατιωτικής σου δυνάμεως και ας βαδίσουν μερικοί από τους άνδρας σου, δια να καταλάβουν την πηγήν του ύδατος, η οποία αναβλύζει από τους πρόποδας του όρους.

Ιουδ. 7,13 - διότι ἐκεῖθεν ὑδρεύονται πάντες οἱ κατοικοῦντες Βαιτυλούα, καὶ ἀνελεῖ αὐτοὺς ἡ δίψα, καὶ ἐκδώσουσι τὴν πόλιν ἑαυτῶν· καὶ ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ τὰς πλησίον κορυφὰς τῶν ὀρέων καὶ παρεμβαλοῦμεν ἐπ᾿ αὐταῖς εἰς προφυλακὴν τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως ἄνδρα ἕνα.

Ιουδ. 7,13 - Διότι από εκεί υδρεύονται όλοι οι κάτοικοι της Βαιτυλούα. Εάν τους κόψωμεν το ύδωρ, η δίψα θα καταστρέψη τους Ισραηλίτας της Βαιτυλούα, και αυτοί θα παραδώσουν την πόλιν των. Ημείς δε και ο στρατός μας θα ανέλθωμεν εις τας πλησίον κορυφάς των ορέων, θα κατασκηνώσωμεν επάνω εις αυτάς ως προφυλακή, δια να μη εξέλθη από την πόλιν ούτε ένας ανήρ.

Ιουδ. 7,14 - καὶ τακήσονται ἐν τῷ λιμῷ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ πρὶν ἐλθεῖν τὴν ῥομφαίαν ἐπ᾿ αὐτούς, καταστρωθήσονται ἐν ταῖς πλατείαις τῆς οἰκήσεως αὐτῶν.

Ιουδ. 7,14 - Οι κάτοικοι της πόλεως και αι γυναίκες αυτών και τα παιδιά αυτών θα λυώνουν από τον λιμόν και την δίψαν, και πριν επέλθη εναντίον των η ρομφαία, θα έχουν στρωθή νεκροί στους δρόμους της πόλεως των.

Ιουδ. 7,15 - καὶ ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα πονηρόν, ἀνθ᾿ ὧν ἐστασίασαν, καὶ οὐκ ἀπήντησαν τῷ προσώπῳ σου ἐν εἰρήνῃ.

Ιουδ. 7,15 - Ετσι δε θα τους εκδικηθής κατά τον πλέον σκληρόν τρόπον, διότι εστασίασαν εναντίον σου και δεν εξήλθον ειρηνικώς να σε υποδεχθούν”.

Ιουδ. 7,16 - καὶ ἤρεσαν οἱ λόγοι αὐτῶν ἐνώπιον Ὀλοφέρνου καὶ ἐνώπιον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ συνέταξαν ποιεῖν καθὼς ἐλάλησαν.

Ιουδ. 7,16 - Οι λόγοι αυτοί ήρεσαν στον Ολοφέρνην και εις όλους τους αυλικούς του και απεφάσισαν να πράξουν, όπως εκείνοι τους είχον είπει.

Ιουδ. 7,17 - καὶ ἀπῆρε παρεμβολὴ υἱῶν Ἀμμὼν καὶ μετ᾿ αὐτῶν χιλιάδες πέντε υἱῶν Ἀσσοὺρ καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι καὶ προκατελάβοντο τὰ ὕδατα καὶ τὰς πηγὰς τῶν ὑδάτων τῶν υἱῶν Ἰσραήλ.

Ιουδ. 7,17 - Ανεχώρησε, λοιπόν, στρατός των Αμμωνιτών, μαζή με αυτούς και πέντε χιλιάδες εκ των Ασσυρίων, εστρατοπέδευσαν εις την κοιλάδα και κατέλαβον τα ύδατα και τας πηγάς των υδάτων των Ισραηλιτών.

Ιουδ. 7,18 - καὶ ἀνέβησαν υἱοὶ Ἠσαῦ καὶ οἱ υἱοὶ Ἀμμὼν καὶ παρενέβαλον ἐν τῇ ὀρεινῇ ἀπέναντι Δωθαΐμ. καὶ ἀπέστειλαν ἐξ αὐτῶν πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι Ἐγρεβήλ, ἥ ἐστι πλησίον Χούς, ἥ ἐστιν ἐπὶ τοῦ χειμάῤῥου Μοχμούρ. καὶ ἡ λοιπὴ στρατιὰ τῶν Ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ καὶ ἐκάλυψαν πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ αἱ σκηναὶ καὶ αἱ ἀπαρτίαι αὐτῶν κατεστρατοπέδευσαν ἐν ὄχλῳ πολλῷ καὶ ἦσαν εἰς πλῆθος πολὺ σφόδρα.

Ιουδ. 7,18 - Επίσης μαζή με αυτούς συνεξεστράτευσαν οι Ιδουμαίοι και οι Αμμωνίται και εστρατοπέδευσαν εις την ορεινήν θέσιν απέναντι της Δωθαΐμ. Ενα άλλο τμήμα από αυτούς το απέστειλαν προς νότον και προς ανατολάς, απέναντι της Εγρεβήλ, η οποία ευρίσκεται πλησίον της Χούς, η οποία πάλιν είναι κοντά στον χείμαρρον τον Μοχμούρ. Η υπόλοιπος στρατιά των Ασσυρίων εστρατοπέδευσαν εις την πεδιάδα και εσκέπασαν όλην την

επιφάνειαν της χώρας. Αι σκηναί και αι αποσκευαί αυτών είχαν εγκατασταθή πολυάριθμοι, και το πολύ μεγάλο το πλήθος.

Ιουδ. 7,19 - Καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀνεβόησαν πρὸς Κύριον Θεὸν αὐτῶν, ὅτι ὠλιγοψύχησε τὸ πνεῦμα αὐτῶν, ὅτι ἐκύκλωσαν πάντες οἱ ἐχθροὶ αὐτῶν καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου αὐτῶν.

Ιουδ. 7,19 - Οι Ισραηλίται, όταν είδαν ότι είναι περικυκλωμένοι ολόγυρα από όλους τους εχθρούς των, και δεν είναι δυνατόν να διαφύγουν από τα χέρια αυτών, έκραξαν προς τον Κυριον των, διότι ωλιγόψυχησαν.

Ιουδ. 7,20 - καὶ ἔμεινε κύκλῳ αὐτῶν πᾶσα παρεμβολὴ Ἀσσούρ, οἱ πεζοὶ καὶ τὰ ἅρματα καὶ οἱ ἱππεῖς αὐτῶν, ἡμέρας τριακοντατέσσαρας. καὶ ἐξέλιπε πάντας τοὺς κατοικοῦντας Βαιτυλούα πάντα τὰ ἀγγεῖα αὐτῶν τῶν ὑδάτων,

Ιουδ. 7,20 - Ολη η στρατιωτική δύναμις των εχθρών των, των Ασσυρίων, η οποία τους είχε περικυκλώσει, οι πεζοί, τα πολεμικά άρματα και οι ιππείς των, έμειναν γύρω από αυτούς τριάκοντα τέσσαρας ημέρας. Οπότε έλειψαν όλαι αι προμήθειαι του ύδατος, όσαι υπήρχον εις τα διάφορα δοχεία, από όλους τους κατοίκους της Βαιτυλούα.

Ιουδ. 7,21 - καὶ οἱ λάκκοι ἐξεκενοῦντο, καὶ οὐκ εἶχον πιεῖν εἰς πλησμονὴν ὕδωρ ἡμέραν μίαν, ὅτι ἐν μέτρῳ ἐδίδοσαν αὐτοῖς πιεῖν.

Ιουδ. 7,21 - Αι δεξαμεναί άδειασαν από το ύδωρ και δεν είχαν πλέον να πίνουν νερό, μέχρι να χορτάσουν ούτε δια μίαν ημέραν, διότι με το μέτρον έδιδον εις αυτούς να πίνουν.

Ιουδ. 7,22 - καὶ ἠθύμησαν τὰ νήπια αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ νεανίσκοι ἐξέλιπον ἀπὸ τῆς δίψης καὶ ἔπιπτον ἐν ταῖς πλατείαις τῆς πόλεως καὶ ἐν ταῖς διόδοις τῶν πυλῶν, καὶ οὐκ ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς.

Ιουδ. 7,22 - Τα νήπιά των παρέλυσαν από την δίψαν, όπως επίσης αι γυναίκες, οι δε νέοι εκ των Ισραηλιτών κατεξηντλημένοι από την δίψαν έπιπτον εις τας πλατείας της πόλεως και εις τας διόδους των πυλών. Δεν είχεν απολειφθή πλέον εις αυτούς καμμία δύναμις.

Ιουδ. 7,23 - καὶ ἐπισυνήχθησαν πᾶς ὁ λαὸς ἐπὶ Ὀζίαν καὶ τοὺς ἄρχοντας τῆς πόλεως, οἱ νεανίσκοι καὶ αἱ γυναῖκες καὶ τὰ παιδία, καὶ ἀνεβόησαν φωνῇ μεγάλῃ καὶ εἶπαν ἐναντίον πάντων τῶν πρεσβυτέρων·

Ιουδ. 7,23 - Τοτε συνεκεντρώθησαν εμπρός στον Οζίαν και στους άρχοντας της πόλεως όλοι οι Ισραηλίται, οι νέοι και αι γυναίκες και τα παιδιά, και με φωνήν μεγάλην ανέκραξαν και είπαν ενώπιον όλων των πρεσβυτέρων·

Ιουδ. 7,24 - κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν, ὅτι ἐποιήσατε ἐν ἡμῖν ἀδικίαν μεγάλην οὐ λαλήσαντες εἰρηνικὰ μετὰ τῶν υἱῶν Ἀσσούρ.

Ιουδ. 7,24 - “ας κρίνη και ας δικάση ο Θευς μεταξύ ημών και υμών, διότι σεις διεπράξατε εναντίον μας αυτό το μεγάλο αδίκημα και δεν ηθελήσατε να στείλετε ειρηνικάς προτάσεις στους Ασσυρίους.

Ιουδ. 7,25 - καὶ νῦν οὐκ ἔστι βοηθὸς ἡμῶν, ἀλλὰ πέπρακεν ἡμᾶς ὁ Θεὸς εἰς τὰς χεῖρας αὐτῶν τοῦ καταστρωθῆναι ἐναντίον αὐτῶν ἐν δίψῃ καὶ ἀπωλείᾳ μεγάλῃ.

Ιουδ. 7,25 - Και τώρα δεν υπάρχει κανένας, που να ημπορή να μας βοηθήση. Αλλά και ο Θεός φαίνεται ότι μας έχει πωλήσει εις τα χέρια αυτών, δια να στρωθώμεν νεκροί ενώπιόν των από την δίψαν. Και έτσι η καταστροφή μας θα έλθη τρομακτική.

Ιουδ. 7,26 - καὶ νῦν ἐπικαλέσασθε αὐτοὺς καὶ ἔκδοσθε τὴν πόλιν πᾶσαν εἰς προνομὴν τῷ λαῷ Ὀλοφέρνου καὶ πάσῃ τῇ δυνάμει αὐτοῦ·

Ιουδ. 7,26 - Τωρα, λοιπόν, προσκαλέσατε αυτούς και παραδώσατε την πόλιν προς λεηλασίαν στον λαόν του Ολοφέρνου και εις όλην την στρατιωτικήν του δύναμιν.

Ιουδ. 7,27 - κρεῖσσον γὰρ ἡμῖν γενηθῆναι αὐτοῖς εἰς διαρπαγήν, ἐσόμεθα γὰρ εἰς δούλους, καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν, καὶ οὐκ ὀψόμεθα τὸν θάνατον τῶν νηπίων ἡμῶν ἐν ὀφθαλμοῖς ἡμῶν καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα ἡμῶν ἐκλειπούσας τὰς ψυχὰς αὐτῶν.

Ιουδ. 7,27 - Διότι είναι προτιμότερον να παραδοθώμεν εις την λεηλασίαν εκείνων και να γίνωμεν δολοι των και να ζήσωμεν, παρά να ίδωμεν να πεθαίνουν εμπρός εις τα μάτια μας τα νήπιά μας και να σβήνουν αι γυναίκες και τα τέκνα μας.

Ιουδ. 7,28 - μαρτυρόμεθα ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὸν Θεὸν ἡμῶν καὶ Κύριον τῶν πατέρων ἡμῶν, ὃς ἐκδικεῖ ἡμᾶς κατὰ τὰς ἁμαρτίας ἡμῶν καὶ κατὰ τὰ ἁμαρτήματα τῶν πατέρων ἡμῶν, ἵνα μὴ ποιήσῃ κατὰ τὰ ῥήματα ταῦτα ἐν τῇ ἡμέρᾳ τῇ σήμερον.

Ιουδ. 7,28 - Σας εξορκίζομεν ενώπιον του ουρανού και της γης, ενώπιον του Θεού ημών και Κυρίου των πατέρων μας, ο οποίος μας τιμωρεί εξ αιτίας των αμαρτιών μας και εξ αιτίας των αμαρτιών των πατέρων μας, να ενεργήσετε, όπως σας είπομεν, δια να μη επιτρέψη ο Θεός και επιπέσουν επάνω μας αυταί αι συμφοραί κατά την σημερινήν ημέραν".

Ιουδ. 7,29 - καὶ ἐγένετο κλαυθμὸς μέγας ἐν μέσῳ τῆς ἐκκλησίας πάντων ὁμοθυμαδὸν καὶ ἐβόησαν πρὸς Κύριον τὸν Θεὸν φωνῇ μεγάλῃ.

Ιουδ. 7,29 - Εγινε δε μεγάλος θρήνος και κλαυθμός όλων, ως εάν όλοι είχαν μίαν ψυχήν, και ανεβόησαν με φωνήν μεγάλην προς τον Κυριον τον Θεόν.

Ιουδ. 7,30 - καὶ εἶπε πρὸς αὐτοὺς Ὀζίας· θαρσεῖτε, ἀδελφοί, διακαρτερήσωμεν ἔτι πέντε ἡμέρας, ἐν αἷς ἐπιστρέψει Κύριος ὁ Θεὸς ἡμῶν τὸ ἔλεος αὐτοῦ ἐφ᾿ ἡμᾶς, οὐ γὰρ ἐγκαταλείψει ἡμᾶς εἰς τέλος·

Ιουδ. 7,30 - Ο Οζίας είπε τότε προς αυτούς· "Αδελφοί, πάρετε θάρρος, ας καρτερήσωμεν πέντε ακόμη ημέρας, κατά τας οποίας θα επιστρέψη προς

ημάς ο Κυριος και Θεός μας με το μέγα του έλεος. Ο Θεός δεν θα μας εγκαταλείψη τελικώς.

Ιουδ. 7,31 - ἐὰν δὲ διέλθωσιν αὗται καὶ μὴ ἔλθῃ ἐφ᾿ ἡμᾶς βοήθεια, ποιήσω κατὰ τὰ ῥήματα ὑμῶν. καὶ ἐσκόρπισε τὸν λαὸν εἰς τὴν ἑαυτοῦ παρεμβολήν, καὶ ἐπὶ τὰ τείχη καὶ τοὺς πύργους τῆς πόλεως αὐτῶν ἀπῆλθον, καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα εἰς τοὺς οἴκους αὐτῶν ἐξαπέστειλε· καὶ ἦσαν ἐν ταπεινώσει πολλῇ ἐν τῇ πόλει.

Ιουδ. 7,31 - Εάν δε παρέλθουν αι πέντε αυταί ημέραι και δεν έλθη καμμία βοήθεια προς ημάς, εγώ θα πράξω σύμφωνα με την επιθυμίαν σας. Ετσι διέλυσε τον λαόν, ο οποίος επανήλθεν στο στρατόπεδόν του, δηλαδή εις τα τείχη και στους πύργους της πόλεως, τας δε γυναίκας και τα τέκνα των τα έστειλαν εις τα σπίτια των. Ηπλώθη δε εις όλην την πόλιν μεγάλη θλίψις και εξουθένωσις.

ΙΟΥΔΙΘ 8

Ιουδ. 8,1 - Καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις Ἰουδίθ, θυγάτηρ Μεραρί, υἱοῦ Ὤξ, υἱοῦ Ἰωσήφ, υἱοῦ Ὀζιήλ, υἱοῦ Ἐλκία, υἱοῦ Ἠλιού, υἱοῦ Χελκίου, υἱοῦ Ἐλιάβ, υἱοῦ Ναθαναήλ, υἱοῦ Σαλαμιήλ, υἱοῦ Σαρασαδαΐ, υἱοῦ Ἰσραήλ.

Ιουδ. 8,1 - Κατά τας ημέρας εκείνας επληροφορήθη τα δραματικά αυτά γεγονότα η Ιουδίθ, θυγάτηρ του Μεραρί, υιού του Ωξ, υιού του Ιωσήφ, υιού του Οζιήλ, υιού του Ελκία, υιού του Ηλιού, υιού του Χελκίου, υιού του Ελιάβ, υιού του Ναθαναήλ, υιού του Σαλαμιήλ, υιού του Σαρασαδαΐ του Ισραηλίτου.

Ιουδ. 8,2 - καὶ ὁ ἀνὴρ αὐτῆς Μανασσῆς τῆς φυλῆς αὐτῆς καὶ τῆς πατριᾶς αὐτῆς, καὶ ἀπέθανεν ἐν ἡμέραις θερισμοῦ κριθῶν·

Ιουδ. 8,2 - Ο σύζυγος της ο Μανασσής, ο οποίος κατήγετο από την αυτήν φυλήν και την αυτήν πατριαρχικήν οικογένειαν από την οποίαν κατήγετο και εκείνη, είχεν αποθάνει κατά το θέρος, εις τας ημέρας του θερισμού της κριθής.

Ιουδ. 8,3 - ἐπέστη γὰρ ἐπὶ τοῦ δεσμεύοντος τὸ δράγμα τῷ πεδίῳ, καὶ ὁ καύσων ἦλθεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν κλίνην καὶ ἐτελεύτησεν ἐν Βαιτυλούᾳ τῇ πόλει αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀνὰ μέσον Δωθαΐμ καὶ Βαλαμών.

Ιουδ. 8,3 - Οταν, δηλαδή, αυτός ευρίσκετο πλησίον του ανθρώπου που εδενε στον αγρόν τα δεμάτια των στάχυων, ο καυστικός ήλιος προσέβαλε την κεφαλήν του και αυτός έπεσεν εις την κλίνην άρρωστος και απέθανεν εις την πόλιν Βαιτυλούα. Τον έθαψαν δε μαζή με τους πατέρας του στον αγρόν, ο οποίος ευρίσκετο μεταξύ Δωθαίμ και Βαλαμών.

Ιουδ. 8,4 - καὶ ἦν Ἰουδὶθ ἐν τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρας.

Ιουδ. 8,4 - Η Ιουδίθ από της εποχής εκείνης έμενεν στο σπίτι της χήρα επί τρία έτη και τέσσαρας μήνας.

Ιουδ. 8,5 - καὶ ἐποίησεν ἑαυτῇ σκηνὴν ἐπὶ τοῦ δώματος τοῦ οἴκου αὐτῆς καὶ ἐπέθηκεν ἐπὶ τὴν ὀσφὺν αὐτῆς σάκκον, καὶ ἦν ἐπ᾿ αὐτῆς τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς.

Ιουδ. 8,5 - Αυτή είχε στήσει σκηνήν επάνω στο λιακωτό της κατοικίας της, εζώσθη γύρω από την οσφύν της τον σάκκον και εφορούσε ακόμη τα ενδύματα της χηρείας της.

Ιουδ. 8,6 - καὶ ἐνήστευε πάσας τὰς ἡμέρας χηρεύσεως αὐτῆς, χωρὶς προσαββάτων καὶ σαββάτων καὶ προνουμηνιῶν καὶ νουμηνιῶν καὶ ἑορτῶν καὶ χαρμοσυνῶν οἴκου Ἰσραήλ.

Ιουδ. 8,6 - Αυτή ενήστευεν όλας τας ημέρας της χηρείας της, πλην της παραμονής του Σαββάτου και του Σαββάτου, της παραμονής των νουμηνιών και των νουμηνιών και ακόμη πλην των άλλων εορτών και των χαρμοσύνων τελετών του Ισραηλιτικού λαού.

Ιουδ. 8,7 - καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα· καὶ ὑπελίπετο αὐτῇ Μανασσῆς, ὁ ἀνὴρ αὐτῆς, χρυσίον καὶ ἀργύριον καὶ παῖδας καὶ παιδίσκας καὶ κτήνη καὶ ἀγρούς, καὶ ἔμενεν ἐπ᾿ αὐτῶν.

Ιουδ. 8,7 - Αυτή η ωραία και πολύ ελκυστική εις την εμφάνισίν της. Ο σύζυγός της, ο Μανασσής, είχεν αφήσει εις αυτήν χρυσίον και αργύριον, δούλους και δούλας και κτήνη και αγρούς, επί των οποίων αυτή ήτο κυρία.

Ιουδ. 8,8 - καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ῥῆμα πονηρόν, ὅτι ἐφοβεῖτο τὸν Θεὸν σφόδρα

Ιουδ. 8,8 - Κανείς δε δεν ευρέθη να διατυπώση επιλήψιμόν τινα λόγον εναντίον της, διότι αυτή εφοβείτο πάρα πολύ τον Θεόν.

Ιουδ. 8,9 - καὶ ἤκουσε τὰ ῥήματα τοῦ λαοῦ τὰ πονηρὰ ἐπὶ τὸν ἄρχοντα, ὅτι ὠλιγοψύχησαν ἐπὶ τῇ σπάνει τῶν ὑδάτων, καὶ ἤκουσε πάντας τοὺς λόγους Ἰουδίθ, οὓς ἐλάλησε πρὸς αὐτοὺς Ὀζίας, ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν πόλιν μετὰ ἡμέρας πέντε τοῖς Ἀσσυρίοις.

Ιουδ. 8,9 - Αυτή, λοιπόν, επληροφορήθη τα λόγια, τα οποία επάνω εις την δυσφορίαν του ο λαός είπε προς τον άρχοντα της πόλεως, διότι αυτός ο λαός είχεν ολιγοψυχήσει από την έλλειψιν του νερού. Επληροφορήθη ακόμη όλους τους λόγους, τους οποίους είπε προς τον λαόν ο Οζίας, ο οποίος και ωρκίσθη προς αυτόν, ότι έντος πέντε ημερών θα παραδώση την πόλιν στους Ασσυρίους.

Ιουδ. 8,10 - καὶ ἀποστείλασα τὴν ἅβραν αὐτῆς τὴν ἐφεστῶσαν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῆς ἐκάλεσεν Ὀζίαν καὶ Χαβρὶν καὶ Χαρμὶν τοὺς πρεσβυτέρους τῆς πόλεως αὐτῆς,

Ιουδ. 8,10 - Εστειλε την υπηρέτριάν της, αυτήν που είχεν διορίσει ως προϊσταμένην εις όλα τα υπάρχοντά της, και εκάλεσε τον Οζίαν, τον Χαβρίν

και Χαρμίν τους πρεσβυτέρους της πόλεως.

Ιουδ. 8,11 - καὶ ἦλθον πρὸς αὐτήν, καὶ εἶπε πρὸς αὐτούς· ἀκούσατε δή μου, ἄρχοντες τῶν κατοικούντων ἐν Βαιτυλούᾳ, ὅτι οὐκ εὐθὺς ὁ λόγος ὑμῶν, ὃν ἐλαλήσατε ἐναντίον τοῦ λαοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ ἐστήσατε τὸν ὅρκον, ὃν ἐλαλήσατε ἀνὰ μέσον τοῦ Θεοῦ καὶ ὑμῶν καὶ εἴπατε ἐκδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν, ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ ὁ Κύριος βοηθῆσαι ἡμῖν.

Ιουδ. 8,11 - Εκείνοι δε ήλθον προς αυτήν, η οποία και τους είπε· “ακούσατε με λοιπόν, άρχοντες των πολιτών της Βαιτυλούα. Δεν είναι ορθός ο λόγος σας, τον οποίον είπατε ενώπιον του λαού κατά την ημέραν αυτήν και ανελάβατε την υποχρέωσιν με όρκον, τον οποίον είπατε μεταξύ του Θεού και υμών, να παραδώσετε δηλαδή την πόλιν στους εχθρούς μας, εάν κατά τας πέντε αυτάς ημέρας δεν επιστρέψη ο Κυριος να μας βοηθήση.

Ιουδ. 8,12 - καὶ νῦν τίνες ἐστὲ ὑμεῖς, οἳ ἐπειράσατε τὸν Θεὸν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον καὶ ἵστατε ὑπὲρ τοῦ Θεοῦ ἐν μέσῳ υἱῶν ἀνθρώπων;

Ιουδ. 8,12 - Αλλά ποίοι είσθε σεις, οι οποίοι πειράζετε τον Θεόν κατά την σημερινήν ημέραν, και ενώ είσθε άνθρωποι μεταξύ των άλλων ανθρώπων, ίστασθε υπεράνω από τον Θεόν;

Ιουδ. 8,13 - καὶ νῦν Κύριον παντοκράτορα ἐξετάζετε καὶ οὐθὲν ἐπιγνώσεσθε ἕως τοῦ αἰῶνος,

Ιουδ. 8,13 - Θέτετε υπό εξέτασιν και ανάκρισιν Κυριον τον Παντοκράτορα, ενώ δεν γνωρίζετε καμμίαν από τας αιωνίους αυτού βουλάς.

Ιουδ. 8,14 - ὅτι βάθος καρδίας ἀνθρώπου οὐχ εὑρήσετε καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ διαλήψεσθε· καὶ πῶς τὸν Θεόν, ὃς ἐποίησε τὰ πάντα ταῦτα, ἐρευνήσετε καὶ τὸν νοῦν αὐτοῦ ἐπιγνώσεσθε καὶ τὸν λογισμὸν αὐτοῦ κατανοήσετε; μηδαμῶς, ἀδελφοί, μὴ παροργίζετε Κύριον τὸν Θεὸν ἡμῶν·

Ιουδ. 8,14 - Εφ' όσον ούτε ενός ανθρώπου το βάθος της καρδίας του και τας σκέψεις και τους λύγους της διανοίας του δεν ημπορείτε να εξιχνιάσετε και κατανοήσετε, πως θέλετε τον Θεόν, ο οποίος εδημιούργησεν όλα αυτά, να τον εξετάσετε και να μάθετε τα νοήματά του και τας αποφάσστου; Μη διαπράττετε κάτι τέτοιο, αδελφοί, μη παροργίζετε Κυριον τον Θεόν μας με την συμπεριφοράν σας αυτήν.

Ιουδ. 8,15 - ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς πέντε ἡμέραις βοηθῆσαι ἡμῖν, αὐτὸς ἔχει τὴν ἐξουσίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις ἢ καὶ ὀλοθρεῦσαι ἡμᾶς πρὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν.

Ιουδ. 8,15 - Διότι, εάν ο Κυριος δεν θέλη εντός πέντε ημερών να μας βοηθήση, αυτός έχει την δύναμιν και την εξουσίαν εις οιασδήποτε άλλας ημέρας να μας περιφρουρήση από τους εχθρούς η και να μας εξολοθρεύση ενώπιον των εχθρών μας.

Ιουδ. 8,16 - ὑμεῖς δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς ἀπειληθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου διαιτηθῆναι.

Ιουδ. 8,16 - Σεις δε μη εκβιάζετε και μη θέτετε, τρόπον τινά, ενέχυρον τας βουλάς του Κυρίου του Θεού μας, διότι ο Θεός δεν είναι ωσάν κανένας άνθρωπος να εκβιασθή με απειλάς, ούτε και δέχεται διαιτητήν εις τας σκέψεις και αποφάσστου, όπως οι άνθρωποι.

Ιουδ. 8,17 - διόπερ ἀναμένοντες τὴν παρ᾿ αὐτοῦ σωτηρίαν ἐπικαλεσώμεθα αὐτὸν εἰς βοήθειαν ἡμῶν, καὶ εἰσακούσεται τῆς φωνῆς ἡμῶν, ἐὰν ᾖ αὐτῷ ἀρεστόν.

Ιουδ. 8,17 - Δια τούτο ας περιμένωμεν από αυτόν την σωτηρίαν, ας τον παρακαλέσωμεν να μας βοηθήση και αυτός θα ακούση την προσευχήν μας, εάν βέβαια, του είναι αυτή αρεστή.

Ιουδ. 8,18 - ὅτι οὐκ ἀνέστη ἐν ταῖς γενεαῖς ἡμῶν οὐδέ ἐστιν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον οὔτε φυλὴ οὔτε πατριὰ οὔτε δῆμος οὔτε πόλις ἐξ ἡμῶν, οἳ προσκυνοῦσι θεοῖς χειροποιήτοις, καθάπερ ἐγένετο ἐν ταῖς πρότερον ἡμέραις·

Ιουδ. 8,18 - Πιστεύομεν ότι θα δεχθή την προσευχήν μας, διότι σήμερον δεν υπάρχει κανείς από την γενεάν μας ούτε καμμία φυλή μεταξύ μας η πατριαρχικός οίκος, η οικογένεια, ούτε καμμία πόλις από ημάς, που να προσκυνούν χειροποίητα αγάλματα, όπως εγίνετο προηγουμένως στους πατέρας μας.

Ιουδ. 8,19 - ὧν χάριν ἐδόθησαν εἰς ῥομφαίαν καὶ εἰς διαρπαγὴν οἱ πατέρες ἡμῶν καὶ ἔπεσον πτῶμα μέγα ἐνώπιον τῶν ἐχθρῶν ἡμῶν.

Ιουδ. 8,19 - Ας μη λησμονούμεν δε ότι ένεκα των παραβάσεων εκείνων, οι πατέρες μας παρεδόθησαν εις θάνατον, άλλοι μεν δια ρομφαίας και άλλοι εις λεηλασίαν. Ετσι δε η συντριβή και η πτώσις των υπήρξε μεγάλη ενώπιον των εχθρών μας.

Ιουδ. 8,20 - ἡμεῖς δὲ ἕτερον θεὸν οὐκ ἐπέγνωμεν πλὴν αὐτοῦ· ὅθεν ἐλπίζομεν ὅτι οὐχ ὑπερόψεται ἡμᾶς, οὐδ᾿ ἀπὸ τοῦ γένους ἡμῶν.

Ιουδ. 8,20 - Ημείς όμως δεν εγνωρίσαμεν και δεν προσεκυνήσαμεν άλλον Θεόν πλην αυτού μόνου του αληθινού. Δια τούτο και ελπίζομεν, ότι δεν θα μας παράβλεψη, ούτε και κανένα από το γένος μας.

Ιουδ. 8,21 - ὅτι ἐν τῷ ληφθῆναι ἡμᾶς οὕτως καθήσεται πᾶσα ἡ Ἰουδαία, καὶ προνομευθήσεται τὰ ἅγια ἡμῶν, καὶ ζητήσει τὴν βεβήλωσιν αὐτῶν ἐκ τοῦ αἵματος ἡμῶν

Ιουδ. 8,21 - Εάν όμως εξ αιτίας της δειλίας μας οι εχθροί μας υποτάξουν, τότε εύκολα θα καταληφθή όλη η Ιουδαία· ο ιερός ναός μας και τα άγια θα λεηλατηθούν και ο Κυριος θα ζητήση από ημάς λόγον δια την βεβήλωσιν αυτήν των ιερών του.

Ιουδ. 8,22 - καὶ τὸν φόνον τῶν ἀδελφῶν ἡμῶν καὶ τὴν αἰχμαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν τῆς κληρονομίας ἡμῶν ἐπιστρέψει εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν, οὗ ἐὰν δουλεύσωμεν ἐκεῖ, καὶ ἐσόμεθα εἰς πρόσκομμα καὶ εἰς ὄνειδος ἐναντίον τῶν κτωμένων ἡμᾶς.

Ιουδ. 8,22 - Θα επιρρίψη δε επάνω εις τα κεφάλια μας την αμέλειαν αυτήν και θα μας τιμωρήση ο Κυριος, εάν εξ αιτίας της απιστίας μας παραδώσωμεν την πόλιν και γίνωμεν αίτιοι να φονευθούν οι αδελφοί μας, να καταληφθή η χώρα μας και να ερημωθή η κληρονομία μας. Μεταξύ δε των εθνών, εις τα οποία θα παραδοθώμεν εκεί ως δούλοι, θα είμεθα ασθενείς και περίγελως ενώπιον των κατακτητών μας.

Ιουδ. 8,23 - ὅτι οὐ κατευθυνθήσεται ἡ δουλεία ἡμῶν εἰς χάριν, ἀλλ᾿ εἰς ἀτιμίαν θήσει αὐτὴν Κύριος ὁ Θεὸς ἡμῶν.

Ιουδ. 8,23 - Αυτή δε η δουλεία ποτέ δεν θα έχη καλήν έκβασιν, ούτε και θα εύρη χάριν, αλλά θα θέση αυτήν ο Κυριος εις εξευτελισμόν και εξουθένωσίν μας.

Ιουδ. 8,24 - καὶ νῦν, ἀδελφοί, ἐπιδειξώμεθα τοῖς ἀδελφοῖς ἡμῶν, ὅτι ἐξ ἡμῶν κρέμαται ἡ ψυχὴ αὐτῶν, καὶ τὰ ἅγια καὶ ὁ οἶκος καὶ τὸ θυσιαστήριον ἐπιστήρικται ἐφ᾿ ἡμῖν.

Ιουδ. 8,24 - Και τώρα, αδελφοί, ας δείξωμεν εις τους αδελφούς μας ότι από ημάς εξαρτάται η ζωη των και ότι ο ναός και το θυσιαστήριον των ολοκαυτωμάτων έχουν στηριχθή εις ημάς.

Ιουδ. 8,25 - παρὰ ταῦτα πάντα εὐχαριστήσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς καθὰ καὶ τοὺς πατέρας ἡμῶν.

Ιουδ. 8,25 - Παρ' όλα τα σκληρά και κρίσιμα αυτά γεγονότα ας ευχαριστήσωμεν Κυριον τον Θεόν μας, διότι μας δοκιμάζει, όπως εδοκίμασε και τους πατέρας μας.

Ιουδ. 8,26 - μνήσθητε ὅσα ἐποίησε μετὰ Ἀβραὰμ καὶ ὅσα ἐπείρασε τὸν Ἰσαὰκ καὶ ὅσα ἐγένετο τῷ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας ποιμαίνοντι τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ.

Ιουδ. 8,26 - Ενθυμηθήτε τας δοκιμασίας, με τας οποίας ανέδειξε τον Αβραάμ και όλα εκείνα με τα οποία επείρασε και εδοκίμασε τον Ισαάκ. Ακόμη δε και όσους πειρασμούς εδέχθη ο Ιακώβ εις την Μεσοποταμίαν της Συρίας όταν εποίμαινε τα πρόβατα του Λαβαν, του αδελφού της μητρός του.

Ιουδ. 8,27 - ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν εἰς ἐτασμὸν τῆς καρδίας αὐτῶν, καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν, ἀλλ᾿ εἰς νουθέτησιν μαστιγοῖ Κύριος τοὺς ἐγγίζοντας αὐτῷ.

Ιουδ. 8,27 - Οπως εκείνων ως δια πυρός εδοκίμασε τας καρδίας των, έτσι και ημάς δεν μας ετιμώρησε αλλά μας επαιδαγώγησε. Διότι ο Κυριος μαστιγώνει αυτούς, που τον πλησιάζουν με πίστιν, όχι προς τιμωρίαν αλλά εις νουθέτησιν”.

Ιουδ. 8,28 - καὶ εἶπε πρὸς αὐτὴν Ὀζίας· πάντα, ὅσα εἶπας, ἀγαθῇ καρδίᾳ ἐλάλησας, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τοῖς λόγοις σου·

Ιουδ. 8,28 - Ο Οζίας απήντησε προς αυτήν· "όλα όσα είπες είναι λόγια μιας αγαθής καρδίας, και κανείς δεν ημπορεί να φέρη αντίρρησιν στους λόγους σου.

Ιουδ. 8,29 - ὅτι οὐκ ἐν τῇ σήμερον ἡ σοφία σου πρόδηλός ἐστιν, ἀλλὰ ἀπ᾿ ἀρχῆς ἡμερῶν σου ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου, καθότι ἀγαθόν ἐστι τὸ πλάσμα τῆς καρδίας σου.

Ιουδ. 8,29 - Αλλωστε η σύνεσίς σου δεν είναι μόνον σήμερον γνωστή· αλλά από την αρχήν της ζωής σου όλος ο λαός γνωρίζει την σύνεσίν σου και ότι αι σκέψεις της διανοίας σου είναι πάντοτε αγαθαί.

Ιουδ. 8,30 - ἀλλ᾿ ὁ λαὸς ἐδίψησε σφόδρα καὶ ἠνάγκασαν ποιῆσαι ἡμᾶς καθὰ ἐλαλήσαμεν αὐτοῖς καὶ ἐπαγαγεῖν ὅρκον ἐφ᾿ ἡμᾶς, ὃν οὐ παραβησόμεθα.

Ιουδ. 8,30 - Ο λαός όμως υπέφερε πολύ από την δίψαν και μας ηνάγκασαν να ομιλήσωμεν προς αυτούς τα λόγια εκείνα και να αναλάβωμεν ένορκον υποχρέωσιν, την οποίαν δεν ημπορούμεν να παραβώμεν.

Ιουδ. 8,31 - καὶ νῦν δεήθητι περὶ ἡμῶν, ὅτι γυνὴ εὐσεβὴς εἶ, καὶ ἀποστελεῖ Κύριος τὸν ὑετὸν εἰς πλήρωσιν τῶν λάκκων ἡμῶν, καὶ οὐκ ἐκλείψωμεν ἔτι.

Ιουδ. 8,31 - Και τώρα, παρακάλεσε υπέρ ημών τον Θεόν. Επειδή δε συ είσαι ευσεβής γυναίκα, ο Κυριος θα στείλη βροχήν να γεμίσουν αι οεξαμεναί μας από νερό, δια να μη πεθάνωμεν από την δίψαν".

Ιουδ. 8,32 - καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· ἀκούσατέ μου, καὶ ποιήσω πρᾶγμα, ὃ ἀφίξεται εἰς γενεὰς γενεῶν υἱοῖς τοῦ γένους ἡμῶν.

Ιουδ. 8,32 - Απήντησε προς αυτούς η Ιουδίθ· "ακούσατέ με. Θα κάμω ένα πράγμα, το οποίον θα γίνη και θα μείνη γνωστόν εις όλας τας γενεάς των Ισραηλιτών.

Ιουδ. 8,33 - ὑμεῖς στήσεσθε ἐπὶ τῆς πύλης τὴν νύκτα ταύτην, καὶ ἐξελεύσομαι ἐγὼ μετὰ τῆς ἅβρας μου, καὶ ἐν ταῖς ἡμέραις, μεθ᾿ ἃς εἴπατε παραδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν, ἐπισκέψεται Κύριος τὸν Ἰσραὴλ ἐν χειρί μου·

Ιουδ. 8,33 - Σεις θα σταθήτε εις την θύραν της πόλεως κατά την νύκτα αυτήν και εγώ μαζή με την θεραπαινίδα μου θα εξέλθω. Κατά τας πέντε δε αυτάς ημέρας, μετά τας οποίας είπατε ότι θα παραδώσετε την πόλιν στους εχθρούς μας, ο Κυριος θα επισκεφθή και θα ελευθερώση τον ισραηλιτικόν λαόν με το ιδικόν μου χέρι.

Ιουδ. 8,34 - ὑμεῖς δὲ οὐκ ἐξερευνήσετε τὴν πρᾶξίν μου, οὐ γὰρ ἐρῶ ὑμῖν, ἕως τοῦ τελεσθῆναι ἃ ἐγὼ ποιῶ.

Ιουδ. 8,34 - Σεις δε μη θελήσετε να ερευνήσετε την πράξίν μου, διότι δεν θα σας την είπω, μέχρις ότου πραγματοποιηθούν εξ ολοκλήρου εκείνα, τα οποία εγώ κάμνω”.

Ιουδ. 8,35 - καὶ εἶπεν Ὀζίας καὶ οἱ ἄρχοντες πρὸς αὐτήν· πορεύου εἰς εἰρήνην, καὶ Κύριος ὁ Θεὸς ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν ἐχθρῶν ἡμῶν.

Ιουδ. 8,35 - Ο Οζίας και οι άλλοι άρχοντες είπαν προς αυτήν· “πορεύου εις ειρήνην και ο Κυριος ο Θεός ας είναι μαζή σου, δια να τιμωρήση τους εχθρούς μας”.

Ιουδ. 8,36 - καὶ ἀποστρέψαντες ἐκ τῆς σκηνῆς ἐπορεύθησαν ἐπὶ τὰς διατάξεις αὐτῶν.

Ιουδ. 8,36 - Επέστρεψαν δε από την σκηνήν της Ιουδίθ και ήλθον εις τας καθωρισμένας θέσεις των.

ΙΟΥΔΙΘ 9

Ιουδ. 9,1 - Ἰουδίθ δὲ ἔπεσεν ἐπὶ πρόσωπον καὶ ἐπέθετο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῆς καὶ ἐγύμνωσεν ὃν ἐνεδιδύσκετο σάκκον, καὶ ἦν ἄρτι προσφερόμενον ἐν Ἱερουσαλὴμ εἰς τὸν οἶκον τοῦ Θεοῦ τὸ θυμίαμα τῆς ἑσπέρας ἐκείνης, καὶ ἐβόησε φωνῇ μεγάλῃ Ἰουδὶθ πρὸς Κύριον καὶ εἶπε·

Ιουδ. 9,1 - Η Ιουδίθ έπεσε με το πρόσωπον κατά γης, εσκόρπισε στάκτην εις την κεφαλήν της και έβγαλε τον σάκκον τον οποίον είχεν ενδυθή. Ητο δε η ώρα, κατά την οποίαν προσεφέρετο στον ναόν του Θεού το θυμίαμα της εσπέρας. Η Ιουδίθ ανεβόησε με φωνήν μεγάλην προς τον Κυριον και είπε·

Ιουδ. 9,2 - Κύριε ὁ Θεὸς τοῦ πατρός μου Συμεών, ᾧ ἔδωκας ἐν χειρὶ ῥομφαίαν εἰς ἐκδίκησιν ἀλλογενῶν, οἳ ἔλυσαν μήτραν παρθένου εἰς μίασμα καὶ ἐγύμνωσαν μηρὸν εἰς αἰσχύνην καὶ ἐβεβήλωσαν μήτραν εἰς ὄνειδος· εἶπας γάρ, οὐχ οὕτως ἔσται· καὶ ἐποίησαν

Ιουδ. 9,2 - “Κυριε, συ ο Θεός του προγόνου μου Συμεών, στο χέρι του οποίου έδωκες ρομφαίαν, δια να τιμωρήση τους αλλογενείς, οι οποίοι διέφθειραν και εμόλυναν την μήτραν της κόρης του Ιακώβ, της Δείνας, και εγύμνωσαν τον μηρόν της προς καταισχύνην και όνειδος, και εμόλυναν την παρθενικήν μήτραν προς κατεξευτελισμόν· Συ είπες ότι δεν έπρεπε αυτό να γίνη, αλλ' εκείνοι το έπραξαν.

Ιουδ. 9,3 - ἀνθ᾿ ὧν ἔδωκας ἄρχοντας αὐτῶν εἰς φόνον καὶ τὴν στρωμνὴν αὐτῶν, ἣ ᾐδέσατο τὴν ἀπάτην αὐτῶν, εἰς αἷμα, καὶ ἐπάταξας δούλους ἐπὶ δυνάσταις καὶ δυνάστας ἐπὶ θρόνους αὐτῶν.

Ιουδ. 9,3 - Δια το βαρύ αυτό σφάλμα των παρέδωσες τους άρχοντάς των να φονευθούν και τους ομοχωρίους των, οι οποίοι ηνέχθησαν αυτήν την

βεβήλωσιν, τους έπνιξες στο αίμα. Ετσι δε εκτύπησες δούλους μαζή με τους κυρίους και κυρίους, οι οποίοι ευρίσκοντο στους θρόνους των.

Ιουδ. 9,4 - καὶ ἔδωκας γυναῖκας αὐτῶν εἰς προνομὴν καὶ θυγατέρας εἰς αἰχμαλωσίαν καὶ πάντα τὰ σκῦλα εἰς διαίρεσιν υἱῶν ἠγαπημένων ὑπὸ σοῦ, οἳ καὶ ἐζήλωσαν τὸν ζῆλόν σου καὶ ἐβδελύξαντο μίασμα αἵματος αὐτῶν καὶ ἐπεκαλέσαντό σε εἰς βοηθόν. ὁ Θεὸς ὁ Θεὸς ὁ ἐμός, καὶ εἰσάκουσον ἐμοῦ τῆς χήρας·

Ιουδ. 9,4 - Συ παρέδωκες τας συζύγους των εις λεηλασίαν και τας θυγατέρας των αιχμαλώτους και όλα τα ανήκοντα εις αυτούς εις διαρπαγήν από τους αγαπημένους υπό σου Ισραηλίτας, οι οποίοι απεστράφησαν και εμίσησαν το μόλυσμα του αίματός των και εκάλεσαν σε βοηθόν εναντίον εκείνων. Συ, ο Θεός ο Θεός μου, άκουσε την προσευχήν εμού τη χήράς·

Ιουδ. 9,5 - σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκείνων καὶ ἐκεῖνα καὶ τὰ μετέπειτα καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα διενοήθης, καὶ ἐγενήθησαν ἃ ἐνενοήθης,

Ιουδ. 9,5 - Συ είσαι εκείνος, ο οποίος εδημιούργησες όσα υπήρχον στο παρελθόν, όσα έγιναν κατόπιν, όσα υπάρχουν σήμερα και όσα εσκέφθης να γίνουν στο μέλλον. Οσα συ σκέπτεσαι όλα πραγματοποιούνται.

Ιουδ. 9,6 - καὶ παρέστησαν ἃ ἐβουλεύσω καὶ εἶπαν· ἰδοὺ πάρεσμεν· πᾶσαι γὰρ αἱ ὁδοί σου ἕτοιμοι, καὶ ἡ κρίσις σου ἐν προγνώσει·

Ιουδ. 9,6 - Παρουσιάσθησαν ενώπιόν σου όλα τα δημιουργήματα, τα οποία συ ηθέλησας να γίνουν, και είπαν· ιδού υπάρχομεν. Ολαι αι οδοί σου είναι έτοιμοι και αι δίκαιαι κρίσεις σου κατά την ιδικήν σου πρόγνωσιν.

Ιουδ. 9,7 - ἰδοὺ γὰρ Ἀσσύριοι ἐπληθύνθησαν ἐν δυνάμει αὐτῶν, ὑψώθησαν ἐφ᾿ ἵππῳ καὶ ἀναβάτῃ ἐγαυρίασαν ἐν βραχίονι πεζῶν, ἤλπισαν ἐν ἀσπίδι καὶ ἐν γαισῷ καὶ τόξῳ καὶ σφενδόνῃ καὶ οὐκ ἔγνωσαν ὅτι σὺ εἶ Κύριος συντρίβων πολέμους.

Ιουδ. 9,7 - Ιδού, τώρα, Κυριε, οι Ασσύριοι είναι πολυάριθμοι κατά την στρατιωτικήν των δύναμιν, αλαζονεύονται δια τους ίππους και τους ιππείς των. Είναι υπερήφανοι δια την δύναμιν του πεζικού στρατού των. Αυτοί στηρίζουν τας αλαζονικάς ελπίδας των εις την ασπίδα των, εις τα ακόντιά των, στο τόξον και εις την σφενδόνην και δεν έχουν μάθει ότι συ είσαι ο Κυριος, ο οποίος συντρίβστους πολέμους και χαρίζεις νίκας.

Ιουδ. 9,8 - Κύριος ὄνομά σοι· σὺ ῥάξον αὐτῶν τὴν ἰσχὺν ἐν δυνάμει σου καὶ κάταξον τὸ κράτος αὐτῶν ἐν τῷ θυμῷ σου· ἐβουλεύσαντο γὰρ βεβηλῶσαι τὰ ἅγιά σου, μιᾶναι τὸ σκήνωμα τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης σου καὶ καταβαλεῖν σιδήρῳ κέρας θυσιαστηρίου σου.

Ιουδ. 9,8 - Κυριος είναι το όνομά σου. Συ λοιπόν, Κυριε, διάρρηξε και κατακουρέλιασε την δύναμίν των εν τη απείρω σου δυνάμει και σύντριψε την ισχύν των επάνω στον δίκαιον θυμόν σου. Διότι αυτοί εσκέφθησαν και

απεφάσισαν να βεβηλώσουν τον ναόν σου, να μιάνουν την ιεράν Σκηνήν σου, όπου το πανένδοξον Ονομά σου υμνολογείται, και με τα ξίφη των να συντρίψουν το θυσιαστήριον των ολοκαυτωμάτων σου.

Ιουδ. 9,9 - βλέψον εἰς ὑπερηφανίαν αὐτῶν, ἀπόστειλον τὴν ὀργήν σου εἰς κεφαλὰς αὐτῶν, δὸς ἐν χειρί μου τῆς χήρας ὃ διενοήθην κράτος.

Ιουδ. 9,9 - Ιδε, Κυριε, την αλαζονίαν των, εξαπόστειλε την οργήν σου επάνω εις τα κεφάλια των και δώσε στο χέρι εμού της χήρας την δύναμιν να πράξω εκείνο τα μεγάλο έργον, το οποίον εσκέφθην.

Ιουδ. 9,10 - πάταξον δοῦλον ἐκ χειλέων ἀπάτης μου ἐπ᾽ ἄρχοντι καὶ ἄρχοντα ἐπὶ θεράποντι αὐτοῦ, θραῦσον αὐτῶν τὸ ἀνάστημα ἐν χειρὶ θηλείας·

Ιουδ. 9,10 - Με τα απατηλά λόγια, που θα βγουν από τα χείλη μου, πλήξε δούλον με τον αφέντην του και αρχηγόν με τον υπηρέτην του, σύντριψε την αλαζονείαν των με το χέρι μιας γυναικός.

Ιουδ. 9,11 - οὐ γὰρ ἐν πλήθει τὸ κράτος σου, οὐδὲ ἡ δυναστεία σου ἐν ἰσχύουσιν, ἀλλὰ ταπεινῶν εἶ Θεός, ἐλαττόνων εἶ βοηθός, ἀντιλήπτωρ ἀσθενούντων, ἀπεγνωσμένων σκεπαστής, ἀπηλπισμένων σωτήρ.

Ιουδ. 9,11 - Διότι η δύναμίς σου δε καταβάλλεται ποτέ από το πλήθος των στρατιωτών, ούτε η κυριαρχία σου από τους ισχυρούς άνδρας. Συ είσαι ο Θεός των ταπεινών, ο βοηθός εκείνων οι οποίοι υστερούν εις δύναμιν, ο αντιλήπτωρ των ασθενών, ο προστάτης των αποκαρδιωμένων, ο σωτήρ των απελπισμένων.

Ιουδ. 9,12 - ναὶ ναὶ ὁ Θεὸς τοῦ πατρός μου καὶ Θεὸς κληρονομίας Ἰσραήλ, δέσποτα τῶν οὐρανῶν καὶ τῆς γῆς, κτίστα τῶν ὑδάτων, βασιλεῦ πάσης κτίσεώς σου, σὺ εἰσάκουσον τῆς δεήσεώς μου

Ιουδ. 9,12 - Ναι, ναι, ω Θεέ των πατέρων μου, Θεέ της κληρονομίας του Ισραήλ, Δέσποτα του ουρανού και της γης, Δημιουργέ των υδάτων, Βασιλεύ όλης της κτίσεως, συ, Κυριε, άκουσε την δέησίν μου

Ιουδ. 9,13 - καὶ δὸς λόγον μου καὶ ἀπάτην εἰς τραῦμα καὶ μώλωπα αὐτῶν, οἳ κατὰ τῆς διαθήκης σου καὶ οἴκου ἡγιασμένου σου καὶ κορυφῆς Σιὼν καὶ οἴκου κατασχέσεως υἱῶν σου ἐβουλεύσαντο σκληρά.

Ιουδ. 9,13 - και δώσε εις το στόμα μου λόγια απατηλά εις όλεθρον και καταστροφήν αυτών, οι οποίοι εσκέφθησαν και απεφάσισαν τρομερά εναντίον της διαθήκης σου, του ηγιασμένου ναού σου, του λόφου της Σιών, της κατοικίας των ιδικών σου υιών.

Ιουδ. 9,14 - καὶ ποίησον ἐπὶ πᾶν τὸ ἔθνος σου, καὶ πάσης φυλῆς ἐπίγνωσιν τοῦ εἰδῆσαι ὅτι σὺ εἶ ὁ Θεὸς πάσης δυνάμεως καὶ κράτους, καὶ οὐκ ἔστιν ἄλλος ὑπερασπίζων τοῦ γένους Ἰσραήλ, εἰ μὴ σύ.

Ιουδ. 9,14 - Και δώσε, Κυριε, όπως ο λαός σου και κάθε φυλή της γης αναγνωρίση και μάθη ότι συ είσαι ο Θεός πάσης δυνάμεως και ισχύος και ότι

δεν υπάρχει άλλος, ο οποίος να υπερασπίζεται αποτελεσματικώς τα γένος των Ισραηλιτών ει μη μόνον συ”.

ΙΟΥΔΙΘ 10

Ιουδ. 10,1 - Καὶ ἐγένετο ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν Θεὸν Ἰσραὴλ καὶ συνετέλεσε πάντα τὰ ῥήματα ταῦτα,

Ιουδ. 10,1 - Οταν έπαυσεν η Ιουδίθ να προσεύχεται από βάθους καρδίας προς τον Θεόν του Ισραήλ και ετελείωσεν όλα αυτά τα λόγια,

Ιουδ. 10,2 - καὶ ἀνέστη ἀπὸ τῆς πτώσεως καὶ ἐκάλεσε τὴν ἅβραν αὐτῆς καὶ κατέβη εἰς τὸν οἶκον, ἐν ᾧ διέτριβεν ἐν αὐτῷ ἐν ταῖς ἡμέραις τῶν σαββάτων καὶ ἐν ταῖς ἑορταῖς αὐτῆς·

Ιουδ. 10,2 - εσηκώθη από το έδαφος, όπου είχε πέσει πρηνής, εκάλεσε την θεραπαινίδα της και κατέβηκε εις τα διαμερίσματά της, εις τα οποία παρέμενε κατά τας ημέρας των Σαββάτων και κατά τας άλλας εορτάς.

Ιουδ. 10,3 - καὶ περιείλατο τὸν σάκκον, ὃν ἐνεδεδύκει, καὶ ἐξεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς καὶ περιεκλύσατο τὸ σῶμα ὕδατι καὶ ἐχρίσατο μύρῳ παχεῖ καὶ διέταξε τὰς τρίχας τῆς κεφαλῆς αὐτῆς καὶ ἐπέθετο μίτραν ἐπ᾿ αὐτῆς καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς εὐφροσύνης αὐτῆς, ἐν οἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις τῆς ζωῆς τοῦ ἀνδρὸς αὐτῆς Μανασσῆ,

Ιουδ. 10,3 - Εκεί έβγαλε τον σάκκον, τον οποίον είχεν ενδυθή, έβγάλε τα ενδύματα της χηρείας της, έλουσε το σώμα της με ύδωρ και το ήλειψε με πλούσιον μύρον. Εκτένισε κατά τρόπον ωραίον τας τρίχας της κεφαλής της, έβαλε μανδήλιον επάνω εις αυτήν, εφόρεσε τα εορταστικά ενδύματα της χαράς της, με τα οποία εστολίζετο κατά τας ημέρας που εζούσεν ο άνδρας της ο Μανασσής.

Ιουδ. 10,4 - καὶ ἔλαβε σανδάλια εἰς τοὺς πόδας αὐτῆς καὶ περιέθετο τοὺς χλιδῶνας καὶ τὰ ψέλλια καὶ τοὺς δακτυλίους καὶ τὰ ἐνώτια καὶ πάντα τὸν κόσμον αὐτῆς καὶ ἐκαλλωπίσατο σφόδρα εἰς ἀπάτησιν ὀφθαλμῶν ἀνδρῶν, ὅσοι ἂν ἴδωσιν αὐτήν.

Ιουδ. 10,4 - Εφόρεσε σανδάλια εις τα πόδια της, έβαλε εις τα χέρια της βραχιόλια, δακτυλίδια και τα άλλα κοσμήματα, σκουλαρίκια εις τα αυτιά της και όλον τον στολισμόν της και εκαλλωπίσθη πάρα πολύ, δια να εξαπατήση και αποπλανήση τους οφθαλμούς των ανδρών, όσοι θα την έβλεπον.

Ιουδ. 10,5 - καὶ ἔδωκε τῇ ἅβρᾳ αὐτῆς ἀσκοπυτίνην οἴνου καὶ καψάκην ἐλαίου καὶ πήραν ἐπλήρωσεν ἀλφίτων καὶ παλάθης καὶ ἄρτων καθαρῶν καὶ περιεδίπλωσε πάντα τὰ ἀγγεῖα αὐτῆς καὶ ἐπέθηκεν ἐπ᾿ αὐτῇ.

Ιουδ. 10,5 - Εδωσεν εις την θεραπαινίδα της ένα ασκί με οίνον και μίαν ύδριαν με λάδι. Εγέμισε με άρτον από κριθήν και με σύκα και με καθαρόν

άρτον ένα σάκκον, εδίπλωσεν όλα αυτά εις τας αποσκευάς της και τα εφόρτωσεν εις την θεραπαινίδα της.

Ιουδ. 10,6 - καὶ ἐξήλθοσαν ἐπὶ τὴν πύλην τῆς πόλεως Βαιτυλούα καὶ εὕροσαν ἐφεστῶτας ἐπ᾿ αὐτῆς Ὀζίαν καὶ τοὺς πρεσβυτέρους τῆς πόλεως Χαβρὶν καὶ Χαρμίν.

Ιουδ. 10,6 - Η Ιουδίθ με την θεραπαινίδα της εξήλθαν εις την πύλην της πόλεως, όπου και συνήντησαν τον Οζίαν και τους πρεσβυτέρους της πόλεως, τον Χαβρίν και Χαρμίν, οι οποίοι και τας επερίμεναν.

Ιουδ. 10,7 - ὡς δὲ εἶδον αὐτὴν καὶ ἦν ἠλλοιωμένον τὸ πρόσωπον αὐτῆς καὶ τὴν στολὴν μεταβεβληκυῖαν αὐτῆς, καὶ ἐθαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ σφόδρα καὶ εἶπαν αὐτῇ·

Ιουδ. 10,7 - Οταν δε την είδαν με το πρόσωπόν της αλλοιωμένον και ωραιότατον και αλλαγμένην την στολήν της χηρείας της με στολήν λαμπράν, εθαύμασαν την ωραιότητά της πάρα πολύ και της είπαν·

Ιουδ. 10,8 - ὁ Θεὸς ὁ Θεὸς τῶν πατέρων ἡμῶν δῴη σε εἰς χάριν καὶ τελειώσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν Ἰσραὴλ καὶ ὕψωμα Ἱερουσαλήμ. καὶ προσεκύνησε τῷ Θεῷ

Ιουδ. 10,8 - “Ο Θεός, ο Θεός των πατέρων μας ευχόμεθα να σου δώση χάριν, ώστε να φέρης εις πέρας το έργον σου εις έπαινον των Ισραηλιτών και δόξαν της Ιερουσαλήμ”. Αυτή προσεκύνησε τον Θεόν

Ιουδ. 10,9 - καὶ εἶπε πρὸς αὐτούς· ἐπιτάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως, καὶ ἐξελεύσομαι εἰς τελείωσιν τῶν λόγων, ὧν ἐλαλήσατε μετ᾿ ἐμοῦ· καὶ συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ καθότι ἐλάλησε.

Ιουδ. 10,9 - και τους είπε· “διατάξατε να μου ανοίξουν την πύλην της πόλεως, να εξέλθω και να φέρω εις πέρας τα έργα, δια τα οποία είχατε ομιλήσει μαζή μου”. Εκείνοι διέταξαν τους νεαρούς φρουρούς της θύρας να ανοίξουν εις αυτήν, όπως αυτή είχεν είπει.

Ιουδ. 10,10 - καὶ ἐποίησαν οὕτως. καὶ ἐξῆλθεν Ἰουδίθ, αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς μετ᾿ αὐτῆς· ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως ἕως οὗ κατέβη τὸ ὄρος, ἕως διῆλθε τὸν αὐλῶνα καὶ οὐκέτι ἐθεώρουν αὐτήν.

Ιουδ. 10,10 - Οι νεαροί θυρωροί έκαμαν, όπως διετάχθησαν. Η Ιουδίθ εξήλθεν, αυτή και η θεραπαινίδα της. Οι δε άνδρες της πόλεως Βαιτυλούα την παρετήρουν, μέχρις ότου εκείνη κατέβη το όρος, έφθασεν εις την κοιλάδα, οπότε και δεν την έβλεπον πλέον.

Ιουδ. 10,11 - καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν, καὶ συνήντησεν αὐτῇ προφυλακὴ τῶν Ἀσσυρίων.

Ιουδ. 10,11 - Η Ιουδίθ, συνοδευομένη από την θεραπαινίδα της, εβάδιζεν εις την κοιλάδα κατ' ευθείαν, οπότε την συνήντησε μία προφυλακή των Ασσυρίων.

Ιουδ. 10,12 - καὶ συνέλαβον αὐτὴν καὶ ἐπηρώτησαν· τίνων εἶ καὶ πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ; καὶ εἶπε· θυγάτηρ εἰμὶ τῶν Ἑβραίων καὶ ἀποδιδράσκω ἀπὸ προσώπου αὐτῶν, ὅτι μέλλουσι δίδοσθαι ὑμῖν εἰς κατάβρωμα·

Ιουδ. 10,12 - Οι άνδρες του φυλακίου τούτου την συνέλαβαν και την ηρώτησαν· "από ποίους είσαι; Από που έρχεσαι; Που πηγαίνεις;" Εκείνη απήντησεν. "Εγώ είμαι κόρη των Εβραίων και εδραπέτευσα από αυτούς, διότι πρόκειται αυτοί να παραδοθούν εις σας εις λεηλασίαν και διαρπαγήν.

Ιουδ. 10,13 - κἀγὼ ἔρχομαι εἰς τὸ πρόσωπον Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν τοῦ ἀναγγεῖλαι ῥήματα ἀληθείας καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁδόν, καθ᾿ ἣν πορεύσεται καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς, καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ σάρξ μία οὐδὲ πνεῦμα ζωῆς.

Ιουδ. 10,13 - Εγώ έρχομαι, δια να ίδω προσωπικώς τον Ολοφέρνην τον αρχιστράτηγον των δυνάμεων σας, να γνωστοποιήσω εις αυτόν λόγους αληθείας και να φανερώσω ενώπιον του την οδόν, την οποίαν πρέπην να ακολουθήση, δια να καταλάβη όλην την ορεινήν περιοχήν μας, χωρίς από τους άνδρας του στρατού του να πάθη κανείς τίποτε, χωρίς να σβήση ούτε μία ζωη".

Ιουδ. 10,14 - ὡς δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα αὐτῆς καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς -καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα- καὶ εἶπαν πρὸς αὐτήν·

Ιουδ. 10,14 - Οταν οι άνδρες του φυλακίου εκείνου ήκουσαν αυτούς τους λόγους και παρετήρησαν το πρόσωπόν της- το οποίον εφάνη στους οφθαλμούς των, όπως και ήτο, θαυμάσιον και ωραιότατον- είπαν προς αυτήν·

Ιουδ. 10,15 - σέσωκας τὴν ψυχήν σου σπεύσασα καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν· καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν αὐτοῦ, καὶ ἀφ᾿ ἡμῶν προπέμψουσί σε, ἕως παραδώσουσί σε εἰς τὰς χεῖρας αὐτοῦ·

Ιουδ. 10,15 - "Συ έχεις σώσει τώρα την ζωήν σου, που έσπευσες να έλθης και να παρουσιασθής ενώπιον του κυρίου μας. Τωρα πήγαινε εις την σκηνήν του. Από ημάς θα σε συνοδεύσουν μερικοί, μέχρις ότου σε παραδώσουν εις τα χέρια του.

Ιουδ. 10,16 - ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου, καὶ εὖ σε ποιήσει.

Ιουδ. 10,16 - Οταν δε σταθής ενώπιόν του, μη ταραχθή η καρδία σου, αλλά ανάγγειλε εις αυτόν εκείνα τα οποία είπες, και αυτός θα δειχθή γενναιόδωρος προς σέ".

Ιουδ. 10,17 - καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς, καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου.

Ιουδ. 10,17 - Εξέλεξαν από την φρουράν των εκατόν άνδρας, έβαλαν εις την άμαξαν αυτήν και την θεραπαινίδα της και έτσι την ωδήγησαν εις την σκηνήν του Ολοφέρνου.

Ιουδ. 10,18 - καὶ ἐγένετο συνδρομὴ πάσῃ τῇ παρεμβολῇ, διεβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς· καὶ ἐλθόντες ἐκύκλουν αὐτὴν ὡς εἱστήκει ἔξω τῆς σκηνῆς Ὀλοφέρνου, ἕως προσήγγειλαν αὐτῷ περὶ αὐτῆς.

Ιουδ. 10,18 - Γυρω δε από την σκηνήν του Ολοφέρνου έγινε συρροή ανδρών από όλον το στρατόπεδον, διότι διεδόθη και εγνωστοποιήθη η παρουσία της εις τας σκηνάς των στρατιωτών. Ηλθον, λοιπόν, αυτοί και την περιεκύκλωσαν, καθ' ον χρόνον ήτο ορθία έξω από την σκηνήν του Ολοφέρνου, μέχρις ότου ανήγγειλαν εις εκείνον τα περί αυτής.

Ιουδ. 10,19 - καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς καὶ ἐθαύμαζον τοὺς υἱοὺς Ἰσραὴλ ἀπ᾿ αὐτῆς, καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· τίς καταφρονήσει τοῦ λαοῦ τούτου, ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας; ὅτι οὐ καλόν ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν.

Ιουδ. 10,19 - Ολοι δε εθαύμαζαν την ωραιότητά της και εξ αιτίας αυτής εθαύμαζαν και τους Ισραηλίτας και έλεγεν ο ένας προς τον άλλον· “ποιός θα ημπορέση να καταφρονήση τον λαόν αυτόν, ο οποίος έχει εις τας τάξστου τέτοιας γυναίκας; Δεν είναι λοιπόν καθόλου καλόν να παραμείνη εις την ζωήν ούτε ένας άνδρας από αυτούς, διότι αυτοί μένοντες ελεύθεροι θα ημπορέσουν να καταδολιευθούν και να υποτάξουν όλην την χώραν”.

Ιουδ. 10,20 - καὶ ἐξῆλθον οἱ παρακαθεύδοντες Ὀλοφέρνῃ καὶ πάντες οἱ θεράποντες αὐτοῦ καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν.

Ιουδ. 10,20 - Εβγήκαν οι άνδρες της φρουράς του Ολοφέρνου και όλοι οι δούλοι του και ωδήγησαν την Ιουδίθ εντός της σκηνής.

Ιουδ. 10,21 - καὶ ἦν Ὀλοφέρνης ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπείῳ, ὃ ἦν ἐκ πορφύρας καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυφασμένων.

Ιουδ. 10,21 - Ο Ολοφέρνης ανεπαύετο επάνω εις την κλίνην του, η οποία εσκεπάζετο από κουνουπιέραν, αυτή δε η κουνουπιέρα ήτο κατασκευασμένη από πορφύραν εις την οποίαν είχαν υφανθή χρυσίον, σμάραγδοι και άλλοι πολύτιμοι λίθοι.

Ιουδ. 10,22 - καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ ἐξῆλθεν εἰς τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ.

Ιουδ. 10,22 - Οι της προσωπικής φρουράς του Ολοφρνου ανήγγειλαν εις αυτόν τα περί αυτής. Ο Ολοφέρνης εβγήκεν εις την προ της σκηνής αυλήν, ενώ έμπρος από αυτόν προηγούντο αργυραί λυχνίαι.

Ιουδ. 10,23 - ὡς δὲ ἦλθε κατὰ πρόσωπον αὐτοῦ Ἰουδὶθ καὶ τῶν θεραπόντων αὐτοῦ, ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου

αὐτῆς· καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ, καὶ ἤγειραν αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

Ιουδ. 10,23 - Μολις δε η Ιουδίθ παρουσιάσθηκε ενώπιον αυτού και ενώπιον των άλλων υπηρετών του, όλοι εθαύμασαν το κάλλος του προσώπου της. Εκείνη έπεσε με τα πρόσωπον κατά γης και προσεκύνησε τον Ολοφέρνην. Οι δε δούλοι του Ολοφέρνου την εσήκωσαν.

ΙΟΥΔΙΘ 11

Ιουδ. 11,1 - Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· θάρσησον, γύναι, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ὅτι ἐγὼ οὐκ ἐκάκωσα ἄνθρωπον, ὅστις ᾑρέτικε δουλεύειν βασιλεῖ Ναβουχοδονόσορ πάσης τῆς γῆς.

Ιουδ. 11,1 - Ο Ολοφέρνης είπε προς αυτήν· "έχε θάρρος, ω γύναι, και ας μη ταράττεται η καρδία σου, διότι εγώ ούτε έβλαψα ούτε πρόκειται να βλάψω άνθρωπον, ο οποίος εξέλεξε και απεφάσισε να υπηρετή τον Ναβουχοδονόσορα τον βασιλέα πάσης της γης.

Ιουδ. 11,2 - καὶ νῦν ὁ λαός σου ὁ κατοικῶν τὴν ὀρεινήν, εἰ μὴ ἐφαύλισάν με, οὐκ ἂν ἦρα τὸ δόρυ μου ἐπ᾽ αὐτούς, ἀλλ᾽ αὐτοὶ ἑαυτοῖς ἐποίησαν ταῦτα.

Ιουδ. 11,2 - Και τώρα δεν θα εσήκωνα το δόρυ μου ούτε εναντίον του λαού σου, ο οποίος κατοικεί εις την ορεινήν περιοχήν, εάν αυτός δεν επεριφρονούσε εμέ. Αλλά αυτοί έγιναν αιτία και αφορμή δι' όλα τα εναντίον των κακά.

Ιουδ. 11,3 - καὶ νῦν λέγε μοι τίνος ἕνεκεν ἀπέδρας ἀπ᾽ αὐτῶν καὶ ἦλθες πρὸς ἡμᾶς; ἥκεις γὰρ εἰς σωτηρίαν· θάρσει, ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ καὶ εἰς τὸ λοιπόν·

Ιουδ. 11,3 - Και τώρα λέγε μου, δια ποίαν αιτίαν εδραπέτευσες από αυτούς και ήλθες προς ημάς; Διότι έχεις έλθει προφανώς, δια να εύρης σωτηρίαν. Εχε θάρρος, διότι οχι μόνον αυτήν την νύκτα θα ζήσης, αλλά και όλον τον άλλον χρόνον της ζωής σου.

Ιουδ. 11,4 - οὐ γάρ ἐστιν ὃς ἀδικήσει σε, ἀλλ᾽ εὖ σε ποιήσει καθὰ γίνεται τοῖς δούλοις τοῦ κυρίου μου βασιλέως Ναβουχοδονόσορ.

Ιουδ. 11,4 - Κανείς δεν πρόκειται να σε βλάψη, αλλά καθένας θα προσπαθήση να κάμη καλόν εις σέ, όπως συμβαίνει στους δούλους του κυρίου μου, του βασιλέως Ναβουχοδονόσορ".

Ιουδ. 11,5 - καὶ εἶπε πρὸς αὐτὸν Ἰουδίθ· δέξαι τὰ ῥήματα τῆς δούλης σου, καὶ λαλησάτω ἡ παιδίσκη σου κατὰ πρόσωπόν σου, καὶ οὐκ ἀναγγελῶ ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ.

Ιουδ. 11,5 - Η Ιουδίθ είπε τότε προς αυτόν· "δέξου τα λόγια της δούλης σου και ας δώσής την άδειαν να ομιλήση η δούλη σου προσωπικώς εις σέ.

Δεν θα είπω κανένα ψεύδος εις σε τον κύριόν μου κατά την νύκτα αυτήν.

Ιουδ. 11,6 - καὶ ἐὰν κατακολουθήσῃς τοῖς λόγοις τῆς παιδίσκης σου, τελείως πρᾶγμα ποιήσει μετὰ σοῦ ὁ Θεός, καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτηδευμάτων αὐτοῦ·

Ιουδ. 11,6 - Εάν συ, ακολουθήσης πιστώς τους λόγους της δούλης σου, ο Θεός θα φέρη εις πέρας δια σου μέγα έργον, και έτσι ο κύριός μου δεν θα αποτύχη, εις εκείνα τα οποία επιδιώκει.

Ιουδ. 11,7 - ζῇ γὰρ βασιλεὺς Ναβουχοδονόσορ πάσης τῆς γῆς καὶ ζῇ τὸ κράτος αὐτοῦ, ὃς ἀπέστειλέ σε εἰς κατόρθωσιν πάσης ψυχῆς, ὅτι οὐ μόνον ἄνθρωποι διὰ σὲ δουλεύουσιν αὐτῷ, ἀλλὰ καὶ τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ κτήνη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ διὰ τῆς ἰσχύος σου ζήσονται ἐπὶ Ναβουχοδονόσορ καὶ πάντα τὸν οἶκον αὐτοῦ·

Ιουδ. 11,7 - Ορκίζομαι εις την ζωήν του Ναδουχοδονόσορος, του βασιλέως όλης της γης, ορκίζομαι επίσης εις την δύναμιν αυτού, ο οποίος σε έστειλε να ανορθώσης και διατηρήσης κάθε ψυχήν, ότι όχι μόνον άνθρωποι δια μέσου σου θα τον υπηρετήσουν, αλλά και τα θηρία του αγρού και τα κτήνη και τα πτηνά του ουρανού, χάρις εις την ιδικήν σου δύναμιν, θα ζήσουν προς χάριν και εξυπηρέτησιν του Ναβουχοδονόσορος και όλου του οίκου του.

Ιουδ. 11,8 - ἠκούσαμεν γὰρ τὴν σοφίαν σου καὶ τὰ πανουργεύματα τῆς ψυχῆς σου, καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ ὅτι σὺ μόνος ἀγαθὸς ἐν πάσῃ βασιλείᾳ καὶ δυνατὸς ἐν ἐπιστήμῃ καὶ θαυμαστὸς ἐν στρατεύμασι πολέμου.

Ιουδ. 11,8 - Διότι ημείς ηκούσαμεν την σοφίαν σου και τας ευφυείς επινοήσεις της διανοίας σου. Εγινε γνωστόν εις όλην την γην, ότι συ μόνος είσαι αγαθός εις όλην την βασιλείαν και δυνατός εις την γνώσιν και αξιοθαύμαστος εις την στρατιωτικήν τέχνην του πολέμου.

Ιουδ. 11,9 - καὶ νῦν ὁ λόγος, ὃν ἐλάλησεν Ἀχιὼρ ἐν τῇ συνεδρίᾳ σου, ἠκούσαμεν τὰ ῥήματα αὐτοῦ, ὅτι περιεποιήσαντο αὐτὸν οἱ ἄνδρες Βαιτυλούα, καὶ ἀνήγγειλεν αὐτοῖς πάντα, ὅσα ἐξελάλησε παρὰ σοί.

Ιουδ. 11,9 - Επί πλέον επληροφορήθημεν και όλα τα λόγια, τα οποία ο Αχιώρ ελάλησε κατά την συνεδρίαν σου, εμάθαμεν όλους τους λόγους αυτού και οι άνδρες της Βαιτυλούα τον περιποιήθησαν, διότι αυτός ανήγγειλεν εις αυτούς, όσα είχεν είπει προς σέ.

Ιουδ. 11,10 - διό, δέσποτα κύριε, μὴ παρέλθῃς τὸν λόγον αὐτοῦ, ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ καρδίᾳ σου, ὅτι ἀληθής ἐστιν· οὐ γὰρ ἐκδικᾶται τὸ γένος ἡμῶν, οὐ κατισχύει ῥομφαία ἐπ᾽ αὐτούς, ἐὰν μὴ ἁμάρτωσιν εἰς τὸν Θεὸν αὐτῶν.

Ιουδ. 11,10 - Δια τούτο, δέσποτα κύριε, μη αντιπαρέλθης και καταφρονήσης τον λόγον του, αλλά κατάθεσέ τον βαθειά μέσα εις την καρδιά σου, διότι είναι αληθής. Οι Ισραηλίται του γένους μου δεν είναι δυνατόν να

τιμωρηθούν, ούτε θα υπερισχύση εναντίον αυτών ρομφαία, εάν δεν αμαρτήσωσι ενώπιον του Θεού των.

Ιουδ. 11,11 - καὶ νῦν, ἵνα μὴ γένηται ὁ κύριός μου ἔκβολος καὶ ἄπρακτος καὶ ἐπιπεσεῖται θάνατος ἐπὶ πρόσωπον αὐτῶν, καὶ κατελάβετο αὐτοὺς ἁμάρτημα, ἐν ᾧ παροργιοῦσι τὸν Θεὸν αὐτῶν, ὁπηνίκα ἂν ποιήσωσιν ἀτοπίαν·

Ιουδ. 11,11 - Και τώρα, δια να μη απέλθη ο κύριός μου άπρακτος και γνωρίση αποτυχίαν, δια να επιπέση δε θάνατος εναντίον όλων αυτών, πρέπει να παρασυρθούν αυτοί εις κάποιο αμάρτημα, δια του οποίου θα παροργίσουν τον Θεόν των. Και θα τον παροργίσουν, όταν διαπράξουν ατόπημα.

Ιουδ. 11,12 - ἐπεὶ γὰρ ἐξέλιπεν αὐτοὺς τὰ βρώματα καὶ ἐσπανίσθη πᾶν ὕδωρ, ἐβουλεύσαντο ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν καὶ πάντα, ὅσα διεστείλατο αὐτοῖς ὁ Θεὸς ἐν τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν, διέγνωσαν δαπανῆσαι.

Ιουδ. 11,12 - Επειδή δε έλειψαν πλέον από αυτούς τα φαγητά, το δε νερό είναι πολύ σπάνιον, απεφάσισαν να βάλουν χέρι εις τα κτήνη των και εις όλα εκείνα τα ζώα, τα οποία ο Θεός απηγόρευσεν εις αυτούς, δια των νόμων του, να τρώγουν, αυτά λοιπόν απεφάσισαν αυτοί να τα φάγουν.

Ιουδ. 11,13 - καὶ τὰς ἀπαρχὰς τοῦ σίτου καὶ τὰς δεκάτας τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς ἱερεῦσι τοῖς παρεστηκόσιν ἐν Ἱερουσαλὴμ ἀπέναντι τοῦ προσώπου τοῦ Θεοῦ ἡμῶν, κεκρίκασιν ἐξαναλῶσαι, ὧν οὐδὲ ταῖς χερσὶν καθῆκεν ἅψασθαι οὐδένα τῶν ἐκ τοῦ λαοῦ.

Ιουδ. 11,13 - Αλλά και τας απαρχάς των σιτηρών και τα δέκατα του οίνου και του ελαίου, τα οποία είχαν προορίσει να τα παραδώσουν στους ιερείς, που ευρίσκονται εις την Ιερουσαλήμ ενώπιον του ναού του Θεού μας, απεφάσισαν να τα καταναλώσουν· αυτά δια τα οποία απηγορεύετο και να θέσουν καν επάνω των τα χέρια των οι άνθρωποι του λαού.

Ιουδ. 11,14 - καὶ ἀπεστάλκασιν εἰς Ἱερουσαλήμ, ὅτι καὶ οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν ταῦτα, τοὺς μετακομίσαντας αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερουσίας.

Ιουδ. 11,14 - Ακόμη αυτοί έστειλαν εις την Ιερουσαλήμ άνδρας, δια να ζητήσουν και λάβουν από την γερουσίαν την άδειαν να κάμουν αυτάς τας παρανομίας, διότι και οι κάτοικοι της Ιερουσαλήμ έπραξαν το ίδιον.

Ιουδ. 11,15 - καὶ ἔσται ὡς ἂν ἀναγγείλῃ αὐτοῖς καὶ ποιήσωσι, δοθήσονταί σοι εἰς ὄλεθρον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Ιουδ. 11,15 - Αμέσως δε μόλις αναγγελθή εις αυτούς η άδεια της παρανομίας και υποπέσουν εις την παρανομίαν αυτήν, τότε θα παραδοθούν οι Ισραηλίται προς καταστροφήν, την ιδίαν εκείνην ημέραν.

Ιουδ. 11,16 - ὅθεν ἐγὼ ἡ δούλη σου ἐπιγνοῦσα ταῦτα πάντα ἀπέδρων ἀπὸ προσώπου αὐτῶν, καὶ ἐπέστειλέ με ὁ Θεὸς ποιῆσαι μετὰ σοῦ πράγματα, ἐφ᾿ οἷς ἐκστήσεται πᾶσα ἡ γῆ, ὅσοι ἐὰν ἀκούσωσιν αὐτά.

Ιουδ. 11,16 - Οθεν εγώ, η δούλη σου, επειδή έμαθα όλα αυτά, εδραπέτευσα από αυτούς. Και ο Θεός με έστειλε να επιτελέσω μαζή με σε έργα, δια τα οποία θα εκπλαγούν όλοι οι άνθρωποι, όσοι θα τα μάθουν.

Ιουδ. 11,17 - ὅτι ἡ δούλη σου θεοσεβής ἐστι καὶ θεραπεύουσα νυκτὸς καὶ ἡμέρας τὸν Θεὸν τοῦ οὐρανοῦ· καὶ νῦν μενῶ παρὰ σοί, κύριέ μου, καὶ ἐξελεύσεται ἡ δούλη σου κατὰ τὴν νύκτα εἰς τὴν φάραγγα καὶ προσεύξομαι πρὸς τὸν Θεόν, καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ ἁμαρτήματα αὐτῶν.

Ιουδ. 11,17 - Θα κατορθώσω δε αυτά, διότι εγώ η δούλη σου είμαι ευσεβής και λατρεύω νύκτα και ημέραν τον Θεόν του ουρανού. Και τώρα θα μένω πλησίον σου, κύριέ μου, θα εξερχωμαι όμως την νύκτα εις κάποιαν φάραγγα, θα προσεύχωμαι στον Θεόν μου, ο οποίος θα μου πη πότε οι Ισραηλίται διέπραξαν αυτά τα αμαρτήματα.

Ιουδ. 11,18 - καὶ ἐλθοῦσα προσανοίσω σοι, καὶ ἐξελεύσῃ σὺν πάσῃ τῇ δυνάμει σου, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεταί σοι ἐξ αὐτῶν.

Ιουδ. 11,18 - Εγώ δε θα έλθω αμέσως, να καταστήσω εις σε γνωστόν τούτο. Τοτε δε συ θα εκστρατεύσης με όλον τον στρατόν σου και κανείς από αυτούς δεν θα ημπορέση να αντισταθή εναντίον σου.

Ιουδ. 11,19 - καὶ ἄξω σε διὰ μέσου τῆς Ἰουδαίας ἕως τοῦ ἐλθεῖν ἀπέναντι Ἱερουσαλὴμ καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς, καὶ ἄξεις αὐτοὺς ὡς πρόβατα, οἷς οὐκ ἔστι ποιμήν, καὶ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐτοῦ ἀπέναντί σου, ὅτι ταῦτα ἐλαλήθη μοι κατὰ πρόγνωσίν μου καὶ ἀπηγγέλη μοι, καὶ ἀπεστάλην ἀναγγεῖλαί σοι.

Ιουδ. 11,19 - Εγώ τότε θα σε οδηγήσω δια μέσου της Ιουδαίας έως εις την Ιερουσαλήμ και θα τοποθετήσω τον θρόνον σου εν μέσω αυτής. Θα οδηγήσης τους Ισραηλίτας ωσάν πρόβατα, εις τα οποία δεν υπάρχει πλέον ποιμήν. Ούτε σκυλί θα γρυλίση με την γλώσσαν του εναντίον σου. Αυτά έγιναν εις εμέ γνωστά δι' αποκαλύψεως και έχω αποσταλή να τα αναγγείλω και εις σέ”.

Ιουδ. 11,20 - καὶ ἤρεσαν οἱ λόγοι αὐτῆς ἐναντίον Ὀλοφέρνου καὶ ἐναντίον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ ἐθαύμασαν ἐπὶ τῇ σοφίᾳ αὐτῆς καὶ εἶπαν·

Ιουδ. 11,20 - Αυτοί οι λόγοι ήρεσαν στον Ολοφέρνην και εις όλους τους αυλικούς του. Εθαύμασαν δε την σοφίαν αυτής της γυναικός και είπαν·

Ιουδ. 11,21 - οὐκ ἔστι τοιαύτη γυνὴ ἀπ᾿ ἄκρου ἕως ἄκρου τῆς γῆς καλῷ προσώπῳ καὶ συνέσει λόγων.

Ιουδ. 11,21 - “Αλλη γυνή, τόσον ωραία στο πρόσωπον και με τόσον σοφούς λόγους, όπως αυτή, δεν υπάρχει από το ένα άκρον της γης μέχρι το

άλλο”.
Ιουδ. 11,22 - καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· εὖ ἐποίησεν ὁ Θεὸς ἀποστείλας σε ἔμπροσθεν τοῦ λαοῦ τοῦ γενηθῆναι ἐν χερσὶν ἡμῶν κράτος, ἐν δὲ τοῖς φαυλίσασι τὸν κύριόν μου ἀπώλειαν.
Ιουδ. 11,22 - Ο Ολοφέρνης απήντησε προς αυτήν· “πολύ καλά έκαμεν ο Θεός, που σε έστειλε προ του λαού σου, δια να περιέλθη εις τα χέρια μας η νίκη, η δε απώλεια και ο όλεθρος εις εκείνους, οι οποίοι κατεφρόνησαν τον κύριόν μου, τον Ναβουχοδονόσορα.
Ιουδ. 11,23 - καὶ νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει σου καὶ ἀγαθὴ ἐν τοῖς λόγοις σου· ὅτι ἐὰν ποιήσῃς καθὰ ἐλάλησας, ὁ Θεός σου ἔσται μου Θεός, καὶ σὺ ἐν οἴκῳ βασιλέως Ναβουχοδονόσορ καθήσῃ καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν γῆν.
Ιουδ. 11,23 - Και τώρα πρέπει να ομολογήσω ότι συ είσαι ωραία κατά την μορφήν και σοφή στους λόγους σου. Εάν λοιπόν κάμης όπως είπες, ο Θεός σου θα είναι Θεός μου και συ θα εγκατασταθής στον οίκον του Ναβουχοδονόσορος και θα γίνης ονομαστή εις όλην την γην”.

ΙΟΥΔΙΘ 12

Ιουδ. 12,1 - Καὶ ἐκέλευσεν εἰσαγαγεῖν αὐτὴν οὗ ἐτίθετο τὰ ἀργυρώματα αὐτοῦ καὶ συνέταξε καταστρῶσαι αὐτῇ ἀπὸ τῶν ὀψοποιημάτων αὐτοῦ καὶ τοῦ οἴνου αὐτοῦ πίνειν.
Ιουδ. 12,1 - Κατόπιν ο Ολοφέρνης διέταξε να οδηγήσουν αυτήν εκεί, όπου ήσαν αποτεθειμένα και φυλαγμένα τα αργυρά κοσμήματα και σκεύη. Διέταξε δε να στρώσουν κατά γης δι' αυτήν στρώματα παραγεμισμένα και να τρώγη από τα εκλεκτά φαγητά τα ιδικά του και να πίνη από τον ιδικόν του οίνον.
Ιουδ. 12,2 - καὶ εἶπεν Ἰουδίθ· οὐ φάγομαι ἐξ αὐτῶν, ἵνα μὴ γένηται σκάνδαλον, ἀλλ᾿ ἐκ τῶν ἠκολουθηκότων μοι χορηγηθήσεται.
Ιουδ. 12,2 - Η Ιουδίθ όμως απήντησε· “Δεν θα φάγω από αυτά, δια να μην παραβώ το θέλημα του Κυρίου, αλλά θα φάγω από τα φαγητά εκείνα, τα οποία εγώ εφρόντισα να φέρω μαζή μου”.
Ιουδ. 12,3 - καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· ἐὰν δὲ ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ, πόθεν ἐξοίσομέν σοι δοῦναι ὅμοια αὐτοῖς; οὐ γάρ ἐστι μεθ᾿ ἡμῶν ἐκ τοῦ ἔθνους σου.
Ιουδ. 12,3 - Ηρώτησε δε αυτήν ο Ολοφέρνης, “εάν όμως εξαντληθούν τα φαγητά που έφερες μαζή σου, από που θα ημπορέσωμεν να προμηθευθώμεν και να σου φέρωμεν όμοια με αυτά; Διότι μεταξύ ημών δεν υπάρχει κανείς από το ιδικόν σου έθνος”.

Ιουδ. 12,4 - καὶ εἶπεν Ἰουδὶθ πρὸς αὐτόν· ζῇ ἡ ψυχή σου, κύριέ μου, ὅτι οὐ δαπανήσει ἡ δούλη σου τὰ ὄντα μετ᾽ ἐμοῦ, ἕως ἂν ποιήσῃ Κύριος ἐν χειρί μου ἃ ἐβουλεύσατο.

Ιουδ. 12,4 - Η Ιουδίθ του απήντησεν· “Ορκίζομαι εις την ζωήν σου, κύριε, ότι εγώ η δούλη σου δεν θα προφθάση να εξαντλήση εκείνα τα οποία έφερα μαζή μου, έως ότου ο Κυριος δια της χειρός μου πραγματοποιήση εκείνα τα οποία απεφάσισε”.

Ιουδ. 12,5 - καὶ ἠγάγοσαν αὐτὴν οἱ θεράποντες Ὀλοφέρνου εἰς τὴν σκηνήν, καὶ ὕπνωσε μέχρι μεσούσης τῆς νυκτός· καὶ ἀνέστη πρὸς τὴν ἑωθινὴν φυλακήν,

Ιουδ. 12,5 - Οι δούλοι του Ολοφέρνου την ωδήγησαν εις την σκηνήν, όπου εκοιμήθη μέχρι του μεσονυκτίου. Κατά το γλυκοχάραμα εξύπνησε

Ιουδ. 12,6 - καὶ ἀπέστειλε πρὸς Ὀλοφέρνην λέγουσα· ἐπιταξάτω δὴ ὁ κύριός μου ἐᾶσαι τὴν δούλην σου ἐπὶ προσευχὴν ἐξελθεῖν.

Ιουδ. 12,6 - και έστειλε προς τον Ολοφέρνην λέγουσα, ας δώση διαταγήν ο κύριός μου να αφήσουν εμέ την δούλην σου να εξέλθω δια την προσευχήν μου.

Ιουδ. 12,7 - καὶ προσέταξεν Ὀλοφέρνης τοῖς σωματοφύλαξι μὴ διακωλύειν αὐτήν. καὶ παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς, καὶ ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα Βαιτυλούα καὶ ἐβαπτίζετο ἐν τῇ παρεμβολῇ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος·

Ιουδ. 12,7 - Ο Ολοφέρνης διέταξε τους σωματοφύλακάς του να μη την εμποδίζουν. Η Ιουδίθ έμεινεν στο στρατόπεδον των Ασσυρίων τρεις ημέρας. Καθε νύκτα εξήρχετο εις την φάραγγα Βαιτυλούα και, όπως εσυνήθιζαν οι Ισραηλίται προ της προσευχής, ελούετο εις πηγήν ύδατος που ευρίσκετο πλησίον του στρατοπέδου των Ασσυρίων.

Ιουδ. 12,8 - καὶ ὡς ἀνέβη, ἐδέετο τοῦ Κυρίου Θεοῦ Ἰσραὴλ κατευθῦναι τὴν ὁδὸν αὐτῆς εἰς ἀνάστημα τῶν υἱῶν τοῦ λαοῦ αὐτοῦ.

Ιουδ. 12,8 - Καθε δε φοράν, που ανέβαινεν από το λουτρόν, παρακαλούσε Κυριον τον Θεόν του Ισραήλ να κατευοδώση τας προσπαθείας της δια την περιφρούρησιν και την σωτηρίαν των υιών του λαού του.

Ιουδ. 12,9 - καὶ εἰσπορευομένη καθαρὰ παρέμενε τῇ σκηνῇ, μέχρις οὗ προσηνέγκατο τὴν τροφὴν αὐτῆς πρὸς ἑσπέραν.

Ιουδ. 12,9 - Οταν δε καθαρά επέστρεφεν, έμενεν εις την σκηνήν της, μέχρις ότου της έφεραν την τροφήν της κατά την εσπέραν.

Ιουδ. 12,10 - καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ, ἐποίησεν Ὀλοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις καὶ οὐκ ἐκάλεσεν εἰς τὴν χρῆσιν οὐδένα τῶν πρὸς ταῖς χρείαις.

Ιουδ. 12,10 - Οταν έφθασεν η τετάρτη ημέρα, ο Ολοφέρνης παρέθεσε συμπόσιον στους δούλους του μόνον και δεν εκάλεσε εις αυτό κανένα άλλον από τους ανθρώπους του περιβάλλοντός του.

Ιουδ. 12,11 - καὶ εἶπε Βαγώᾳ τῷ εὐνούχῳ, ὃς ἦν ἐφεστηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ· πεῖσον δὴ πορευθεὶς τὴν γυναῖκα τὴν Ἑβραίαν ἥ ἐστι παρὰ σοί, τοῦ ἐλθεῖν πρὸς ἡμᾶς καὶ φαγεῖν καὶ πιεῖν μεθ᾿ ἡμῶν·

Ιουδ. 12,11 - Είπεν δε στον Βαγώαν τον ευνούχον του, ο οποίος ήτο προϊστάμενος εις όλα τα εις αυτόν ανήκοντα. “Πηγαινε και πείσε την Εβραίαν αυτήν γυναίκα, η οποία ευρίσκεται πλησίον σου, να έλθη κοντά μας να φάγη και να πίη μαζή μας.

Ιουδ. 12,12 - ἰδοὺ γὰρ αἰσχρὸν τῷ προσώπῳ ἡμῶν, εἰ γυναῖκα τοιαύτην παρήσομεν οὐχ ὁμιλήσαντες αὐτῇ, ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώμεθα, καταγελάσεται ἡμῶν.

Ιουδ. 12,12 - Διότι θα είναι εντροπή μας, εάν αντιπαρέλθωμεν με αδιαφορίαν μίαν τέτοιαν γυναίκα και δεν έλθωμεν εις ένωσιν με αυτήν. Εάν δεν κατορθώσωμεν να την προσελκύσωμεν, αυτή η ιδία θα μας εμπαίξη και θα μας ειρωνευθή”.

Ιουδ. 12,13 - καὶ ἐξῆλθε Βαγώας ἀπὸ προσώπου Ὀλοφέρνου καὶ εἰσῆλθε πρὸς αὐτὴν καὶ εἶπε· μὴ ὀκνησάτω δὴ ἡ παιδίσκη ἡ καλὴ αὕτη ἐλθοῦσα πρὸς τὸν κύριόν μου δοξασθῆναι κατὰ πρόσωπον αὐτοῦ καὶ πιεῖν μεθ᾿ ἡμῶν εἰς εὐφροσύνην οἶνον καὶ γενηθῆναι ἐν τῇ ἡμέρᾳ ταύτῃ ὡς θυγάτηρ μία τῶν υἱῶν Ἀσσούρ, αἳ παρεστήκασιν ἐν οἴκῳ Ναβουχοδονόσορ.

Ιουδ. 12,13 - Ο Βαγώας εβγήκε από την σκηνήν του Ολοφέρνου, εισήλθεν εις την σκηνήν της Ιουδίθ και της είπε· “συ, η ωραία και καλή δούλη, δεν πρέπει να βραδύνης να έλθης προς τον κύριόν μου, να τιμηθής και να δοξασθής από αυτόν, να πίης μαζή μας ευφρόσυνον οίνον και να γίνης έτσι τιμητικώς σαν μία από τας θυγατέρας των Ασσυρίων, αι οποίαι ευρίσκονται εις τα βασιλικά ανάκτορα του Ναδουχοδονόσορος”.

Ιουδ. 12,14 - καὶ εἶπε πρὸς αὐτὸν Ἰουδίθ· καὶ τίς εἰμι ἐγὼ ἀντεροῦσα τῷ κυρίῳ μου; ὅτι πᾶν, ὃ ἔσται ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἀρεστόν, σπεύσασα ποιήσω, καὶ ἔσται τοῦτο ἀγαλλίαμα ἕως ἡμέρας θανάτου μου.

Ιουδ. 12,14 - Η Ιουδίθ του απήντησε· “και ποιά είμαι εγώ, η οποία θα ημπορέσω να φέρω αντίρρησιν στον κύριόν μου; Καθε τι που είναι εις αυτόν αρεστόν, εγώ θα το εκτελέσω αμέσως. Και αυτό θα είναι η χαρά μου μέχρι της ημέρας του θανάτου μου”,

Ιουδ. 12,15 - καὶ διαναστᾶσα ἐκοσμήθη τῷ ἱματισμῷ καὶ παντὶ τῷ κόσμῳ τῷ γυναικείῳ, καὶ προσῆλθεν ἡ δούλη αὐτῆς καὶ ἔστρωσεν αὐτῇ κατέναντι Ὀλοφέρνου χαμαὶ τὰ κώδια, ἃ ἔλαβε παρὰ Βαγώου εἰς τὴν καθημερινὴν δίαιταν αὐτῆς, εἰς τὸ ἐσθίειν κατακλινομένην ἐπ᾿ αὐτῶν.

Ιουδ. 12,15 - Εσηκώθη, εστολήσθη με τα πλούσια ενδύματά της και με όλα τα άλλα γυναικεία της κοσμήματα. Η δε δούλη της ήλθε και έστρωσε κάτω δι' αυτήν απέναντι από τον Ολοφέρνην τους τάπητας, τους οποίους είχε πάρει από τον Βαγώαν δια την καθημερινήν της χρήσιν, όταν, κατακλινομένη επάνω εις αυτούς, έτρωγε.

Ιουδ. 12,16 - καὶ εἰσελθοῦσα ἀνέπεσεν Ἰουδίθ, καὶ ἐξέστη ἡ καρδία Ὀλοφέρνου ἐπ᾿ αὐτήν, καὶ ἐσαλεύθη ἡ ψυχὴ αὐτοῦ, καὶ ἦν κατεπίθυμος σφόδρα τοῦ συγγενέσθαι μετ᾿ αὐτῆς· καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι αὐτὴν ἀφ᾿ ἧς ἡμέρας εἶδεν αὐτήν.

Ιουδ. 12,16 - Η Ιουδίθ εισήλθε και κατεκλίθη επάνω στους τάπητας. Η καρδία του Ολοφέρνου άναψε δι' αυτήν και όλον του το εσωτερικόν εσαλεύθη και κατελήφθη από σφοδράν επιθυμίαν να έλθη εις ένωσιν με αυτήν. Προσπαθούσε, άλλωστε, να εύρη την κατάλληλον περίστασιν, δια να την απατήση από την ημέραν, κατά την οποίαν την είδε.

Ιουδ. 12,17 - καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· πίε δὴ καὶ γενήθητι μεθ᾿ ἡμῶν εἰς εὐφροσύνην.

Ιουδ. 12,17 - Ο Ολοφέρνης είπε προς αυτήν· “πίε λοιπόν, και ευθύμησε και συ μαζή μας”.

Ιουδ. 12,18 - καὶ εἶπεν Ἰουδίθ· πίομαι δή, κύριε, ὅτι ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ σήμερον παρὰ πάσας τὰς ἡμέρας τῆς γενέσεώς μου.

Ιουδ. 12,18 - Η Ιουδίθ του απήντησε· “ναι, θα πίω κύριέ μου, διότι σήμερον η ζωη μου θα δοξασθή, περισσότερον από όλας τας άλλας ημέρας από της γεννήσεώς μου και εντεύθεν”.

Ιουδ. 12,19 - καὶ λαβοῦσα ἔφαγε καὶ ἔπιε κατέναντι αὐτοῦ ἃ ἡτοίμασεν ἡ δούλη αὐτῆς.

Ιουδ. 12,19 - Αυτή, λοιπόν, επήρε, έφαγε και έπιεν ενώπιον του Ολοφέρνου από εκείνα, τα οποία είχεν ετοιμάσει δι' αυτήν η δούλη της.

Ιουδ. 12,20 - καὶ ηὐφράνθη Ὀλοφέρνης ἀπ᾿ αὐτῆς καὶ ἔπιεν οἶνον πολὺν σφόδρα, ὅσον οὐκ ἔπιε πώποτε ἐν ἡμέρᾳ μιᾷ ἀφ᾿ οὗ ἐγεννήθη.

Ιουδ. 12,20 - Ο Ολοφέρνης ηυφράνθη από αυτήν τόσον πολύ, ώστε έπιε πολύν οίνον, όσον δεν είχε πίει ποτέ καμμίαν άλλην ημέραν από τότε που εγεννήθηκε.

ΙΟΥΔΙΘ 13

Ιουδ. 13,1 - Ὡς δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν. καὶ Βαγώας συνέκλεισε τὴν σκηνὴν ἔξωθεν καὶ ἀπέκλεισε τοὺς παρεστῶτας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἀπῴχοντο εἰς τὰς κοίτας αὐτῶν· ἦσαν γὰρ πάντες κεκοπωμένοι, διὰ τὸ ἐπὶ πλεῖον γεγονέναι τὸν πότον.

Ιουδ. 13,1 - Οταν δε επροχώρησεν η νύκτα, έσπευσαν οι δούλοι του Ολοφέρνου να αποχωρήσουν εις τας σκηνάς των. Ο δε Βαγώας έκλεισε την σκηνήν απέξω και απεμάκρυνεν από το πρόσωπον του κυρίου του τους παρευρισκομένους γύρω. Εκείνοι μετέβησαν εις τας σκηνάς των προς ύπνον, επειδή ήσαν κατάκοποι, διότι είχε παραταθή επί πολύ η μεγάλη οινοποσία.

Ιουδ. 13,2 - ὑπελείφθη δὲ Ἰουδὶθ μόνη ἐν τῇ σκηνῇ, καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην αὐτοῦ· ἦν γὰρ περικεχυμένος αὐτῷ ὁ οἶνος.

Ιουδ. 13,2 - Εμεινε δε μονή η Ιουδίθ εις την σκηνήν, ο δε Ολοφέρνης είχεν εξαπλωθή εις την κλίνην του, διότι ήτο κατάβρεκτος από τον πολύν οίνον.

Ιουδ. 13,3 - καὶ εἶπεν Ἰουδὶθ τῇ δούλῃ αὐτῆς στῆναι ἔξω τοῦ κοιτῶνος αὐτῆς καὶ ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῆς· καθάπερ καθ᾿ ἡμέραν, ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς· καὶ τῷ Βαγώᾳ ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα.

Ιουδ. 13,3 - Η Ιουδίθ είπεν εις την δούλην της να περιμένη έξω από τον κοιτώνα της και να παραφυλάττη την έξοδόν της. Διότι, είπεν, όπως έκαμνε τας προηγουμένας ημέρας, έτσι και τώρα επιθυμεί να εξέλθη δια την προσευχήν της. Και στον Βαγώαν επίσης είπε τα ίδια λόγια.

Ιουδ. 13,4 - καὶ ἀπήλθοσαν πάντες ἐκ προσώπου, καὶ οὐδεὶς κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου καὶ στᾶσα Ἰουδὶθ παρὰ τὴν κλίνην αὐτοῦ εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς· Κύριε ὁ Θεὸς πάσης δυνάμεως, ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν μου εἰς ὕψωμα Ἱερουσαλήμ·

Ιουδ. 13,4 - Οταν όλοι έφυγαν από εμπρός της, και στον κοιτώνα του Ολοφέρνου δεν έμεινε κανείς ούτε μικρός ούτε μεγάλος. Εσηκώθη η Ιουδίθ, επλησίασε την κλίνην του Ολοφέρνου, είπε από μέσα της προς τον Θεόν· “επίβλεψον, Κυριε, κατά την ώραν αυτήν εις τα έργα των χειρών μου προς δόξαν της Ιερουσαλήμ·

Ιουδ. 13,5 - ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς κληρονομίας σου καὶ ποιῆσαι τὸ ἐπιτήδευμά μου εἰς θραῦμα ἐχθρῶν, οἵ ἐπανέστησαν ἡμῖν.

Ιουδ. 13,5 - διότι τώρα είναι καιρός να αναλάβης υπό την προστασίαν σου και να σώσης την κληρονομίαν σου, βοηθών εμέ να εκτελέσω το έργον μου, δια να συντρίψω τους εχθρούς, οι οποίοι έχουν επιτεθή εναντίον μας”.

Ιουδ. 13,6 - καὶ προσελθοῦσα τῷ κανόνι τῆς κλίνης, ὃς ἦν πρὸς κεφαλῆς Ὀλοφέρνου, καθεῖλε τὸν ἀκινάκην αὐτοῦ ἀπ᾿ αὐτοῦ

Ιουδ. 13,6 - Η Ιουδίθ επλησίασεν στον στύλον της κλίνης, ο οποίος υψώνετο υπεράνω από την κεφαλήν του Ολοφέρνου, επήρε από εκεί το ξίφος του,

Ιουδ. 13,7 - καὶ ἐγγίσασα τῆς κλίνης ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ καὶ εἶπε· κραταίωσόν με, ὁ Θεὸς Ἰσραήλ, ἐν τῇ ἡμέρᾳ ταύτῃ.

Ιουδ. 13,7 - επλησίασε την κλίνην του και άρπαξε με τα χέρια την κόμην της κεφαλής του και είπε· "Θεέ του Ισραήλ, ενίσχυσέ με κατά την ημέραν αυτήν".

Ιουδ. 13,8 - καὶ ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύϊ αὐτῆς καὶ ἀφεῖλε τὴν κεφαλὴν αὐτοῦ ἀπ᾽ αὐτοῦ,

Ιουδ. 13,8 - Επειτα δε εκτύπησε τον τράχηλον του Ολοφέρνου δυό φορές με όλην της την δύναμιν και απέκοψε από αυτόν την κεφαλήν του.

Ιουδ. 13,9 - καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς στρωμνῆς καὶ ἀφεῖλε τὸ κωνωπεῖον ἀπὸ τῶν στύλων. καὶ μετ᾽ ὀλίγον ἐξῆλθε, καὶ παρέδωκε τῇ ἅβρᾳ αὐτῆς τὴν κεφαλὴν Ὀλοφέρνου,

Ιουδ. 13,9 - Εκύλισε τα πτώμα από την κλίνην κάτω και αφήρεσε την κουνουπιέραν από τους στύλους της. Επειτα δε από ολίγον εβγήκε από την σκηνήν, και παρέδωκε εις την δούλην της την κεφαλήν του Ολοφέρνου.

Ιουδ. 13,10 - καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν πήραν τῶν βρωμάτων αὐτῆς. καὶ ἐξῆλθον αἱ δύο ἅμα κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐπὶ τὴν προσευχήν· καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν τὴν φάλαγγα ἐκείνην καὶ προσανέβησαν τὸ ὄρος Βαιτυλούα καὶ ἤλθοσαν πρὸς τὰς πύλας αὐτῆς.

Ιουδ. 13,10 - Εκείνη έβαλε την κεφαλήν στον σάκκον των τροφίμων της. Ετσι δε εξήλθον και αι δύο μαζή, η Ιουδίθ και η θεραπαινίς της, κατά την συνήθειάν των δια την προσευχήν. Επέρασαν δια μέσου του στρατοπέδου, έκαμαν τον κύκλον της φάραγγος εκείνης και ανέβησαν στο όρος Βαιτυλούα και ήλθαν εις τας πύλας της πόλεως.

Ιουδ. 13,11 - Καὶ εἶπεν Ἰουδὶθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν· ἀνοίξατε, ἀνοίξατε δὴ τὴν πύλην, μεθ᾽ ἡμῶν ὁ Θεὸς ὁ Θεὸς ἡμῶν ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἰσραὴλ κατὰ κράτος κατὰ τῶν ἐχθρῶν, καθὰ καὶ σήμερον ἐποίησε.

Ιουδ. 13,11 - Η Ιουδίθ από μακράν εφώναξε τότε στους θυρωρούς, που εφύλασσαν τας θύρας· "ανοίξατε, ανοίξατε αμέσως την θύραν· μαζή μας είναι ο Θεός, δια να καταστήση γνωστήν και αισθητήν την δύναμίν του υπέρ των Ισραηλιτών και την ισχύν του εναντίον των εχθρών, όπως έκαμε σήμερον".

Ιουδ. 13,12 - καὶ ἐγένετο ὡς ἤκουσαν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ καταβῆναι εἰς τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους τῆς πόλεως.

Ιουδ. 13,12 - Οταν οι άνδρες της πόλεως ήκουσαν την φωνήν της, έσπευσαν να κατεβούν εις την πύλην της πόλεώς των και εκάλεσαν τους πρεσβυτέρους της πόλεως.

Ιουδ. 13,13 - καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτήν, καὶ ἤνοιξαν τὴν πύλην καὶ

ὑπεδέξαντο αὐτὰς καὶ ἅψαντες πῦρ εἰς φαῦσιν περιεκύκλωσαν αὐτάς.

Ιουδ. 13,13 - Ετρεξαν όλοι μαζή από μικρού έως μεγάλου, διότι ήτο παράδοξον και απίστευτον δι' αυτούς, το να επανέλθη εκείνη. Ηνοιξαν την πύλην και τας υπεδέχθησαν, Ανάψαντες δε φωτιάν, δια να φωτίζη, τας περιεκύκλωσαν.

Ιουδ. 13,14 - ἡ δὲ εἶπε πρὸς αὐτοὺς φωνῇ μεγάλῃ· αἰνεῖτε τὸν Θεόν, αἰνεῖτε· αἰνεῖτε τὸν Θεόν, ὃς οὐκ ἀπέστησε τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰσραήλ, ἀλλ᾿ ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν διὰ χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ.

Ιουδ. 13,14 - Εκείνη δε είπε προς αυτούς με φωνήν μεγάλην· “δοξολογήσατε τον Θεόν, δοξολογήσατέ τον, δοξολογείτε τον Θεόν, ο οποίος δεν απεμάκρυνε το έλεός του από το γένος των Ισραηλιτών, αλλά συνέτριψε τους εχθρούς μας με το ιδικόν μου χέρι κατά την νύκτα αυτήν”.

Ιουδ. 13,15 - καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας ἔδειξε καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ἡ κεφαλὴ Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως Ἀσσούρ, καὶ ἰδοὺ τὸ κωνωπεῖον, ἐν ᾧ κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ· καὶ ἐπάταξεν αὐτὸν ὁ Κύριος ἐν χειρὶ θηλείας·

Ιουδ. 13,15 - Εβγαλε τότε την κεφαλήν του Ολοφέρνου από τον σάκκον των τροφίμων, την έδειξεν εις αυτούς και τους είπε· “ιδού η κεφαλή του Ολοφέρνου, του αρχιστρατήγου του στρατού των Ασσυρίων, ιδού και η κουνουπιέρα του, όπου αυτός μεθυσμένος κατέκειτο. Ο Κυριος τον εκτύπησε με το χέρι μιας γυναικός.

Ιουδ. 13,16 - καὶ ζῇ Κύριος, ὃς διεφύλαξέ με ἐν τῇ ὁδῷ μου, ᾗ ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ, καὶ οὐκ ἐποίησεν ἁμάρτημα μετ᾿ ἐμοῦ εἰς μίασμα καὶ αἰσχύνην.

Ιουδ. 13,16 - Εις τους αιώνας των αιώνων ζη ο Κυριος, ο οποίος με διεφύλαξεν στον δρόμον, τον οποίον εβάδισα, διότι δια του προσώπου μου εξηπάτησε τον Ολοφέρνην, ώστε αυτός να εξολοθρευθή, χωρίς να ημπορέση να αμαρτήση μαζή μου, δια να με μολύνη και κατεντροπιάση”.

Ιουδ. 13,17 - καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα καὶ κύψαντες προσεκύνησαν τῷ Θεῷ καὶ εἶπαν ὁμοθυμαδόν· εὐλογητὸς εἶ, ὁ Θεὸς ἡμῶν, ὁ ἐξουδενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς ἐχθροὺς τοῦ λαοῦ σου.

Ιουδ. 13,17 - Ολος ο λαός κατεπλάγη πάρα πολύ και κύψαντες προσεκύνησαν τον Θεόν και με μίαν ψυχήν είπαν· “δοξασμένος είσαι συ, Κυριε ο Θεός μας, ο οποίος εξουδετέρωσες κατά την σημερινήν αυτήν ημέραν τους εχθρούς του λαού σου”.

Ιουδ. 13,18 - καὶ εἶπεν αὐτῇ Ὀζίας· εὐλογητὴ σύ, θύγατερ, τῷ Θεῷ τῷ Ὑψίστῳ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς, καὶ εὐλογημένος

Κύριος ὁ Θεός, ὃς ἔκτισε τοὺς οὐρανοὺς καὶ τὴν γῆν, ὃς κατεύθυνέ σε εἰς τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν·

Ιουδ. 13,18 - Ο δε Οζίας είπε προς αυτήν· “και συ ας είσαι δοξασμένη, κόρη μου, πλησίον του Θεού του Υψιστου περισσότερον από όλας τας γυναίκας που υπάρχουν εις την γην. Ευλογημένος ας είναι ο Κυριος ο Θεός μας, ο οποίος εδημιούργησε τους ουρανούς και την γην και σε κατηύθυνεν, ώστε να εξολοθρεύσης τον εχθρόν μας με καίριον τραύμα κατά της κεφαλής του.

Ιουδ. 13,19 - ὅτι οὐκ ἀποστήσεται ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν Θεοῦ ἕως αἰῶνος.

Ιουδ. 13,19 - Ποτέ η εμπιστοσύνη και η ανάμνησίς του δεν θα σβήση από τας καρδίας των ανθρώπων, οι οποίοι και θα ενθυμούνται την δύναμιν αυτήν του Θεού, που εξεδηλώθη δια της χειρός σου στους αιώνας.

Ιουδ. 13,20 - καὶ ποιήσαι σοι αὐτὰ ὁ Θεὸς εἰς ὕψος αἰώνιον τοῦ ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς, ἀνθ᾿ ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου διὰ τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν, ἀλλ᾿ ἐπεξῆλθες πτώματι ἡμῶν ἐπ᾿ εὐθεῖαν πορευθεῖσα ἐνώπιον τοῦ Θεοῦ ἡμῶν. καὶ εἶπαν πᾶς ὁ λαός· γένοιτο, γένοιτο.

Ιουδ. 13,20 - Ο Θεός πάντοτε να σου χαρίζη δύναμι και δόξαν αιωνίαν. Να σε ευλογήση μετά αγαθά του, διότι δεν ελυπήθης να εκθέσης εις κίνδυνον την ζωήν σου προς χάριν του θλιβομένου γένους μας. Αλλά εξεδικήθης την κατάπτωσιν και τον εξευτελισμόν μας πορευθείσα την ευθείαν οδόν ενώπιον του Θεού μας”. Ολοι δε οι παριστάμενοι απήντησαν· “γένοιτο, γένοιτο”!

ΙΟΥΔΙΘ 14

Ιουδ. 14,1 - Καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· ἀκούσατε δή μου, ἀδελφοί, καὶ λαβόντες τὴν κεφαλὴν ταύτην κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως τοῦ τείχους ὑμῶν.

Ιουδ. 14,1 - Η Ιουδίθ απήντησε προς αυτούς· “ακούσατέ μου λοιπόν τώρα, αδελφοί μου πάρετε αυτήν την κεφαλήν και κρεμάσατέ την εις τας επάλξεις του τείχους σας.

Ιουδ. 14,2 - καὶ ἔσται ἡνίκα ἂν διαφαύσῃ ὁ ὄρθρος καὶ ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν γῆν, ἀναλήψεσθε ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ ὑμῶν καὶ ἐξελεύσεσθε πᾶς ἀνὴρ ἰσχύων ἔξω τῆς πόλεως καὶ δώσετε ἀρχηγὸν εἰς αὐτοὺς ὡς καταβαίνοντες ἐπὶ τὸ πεδίον εἰς τὴν προφυλακὴν υἱῶν Ἀσσούρ, καὶ οὐ καταβήσεσθε.

Ιουδ. 14,2 - Οταν δε αρχίση να γλυκοχαράζη ο όρθρος και αφού ανατείλη ο ήλιος εις την γην, θα πάρη ο καθένας τα πολεμικά του όπλα και θα εξορμήσετε. Καθε άνδρας πολεμιστής θα εξέλθη από την πόλιν. Θα δώσετε

δε εις όλους αυτούς ένα αρχηγόν. Οταν κατεβαίνετε εις την πεδιάδα και φθάσετε εις τας προφυλακάς των Ασσυρίων, δεν θα προχωρήσετε περισσότεροι.

Ιουδ. 14,3 - καὶ ἀναλαβόντες οὗτοι τὰς πανοπλίας αὐτῶν πορεύσονται εἰς τὴν παρεμβολὴν αὐτῶν καὶ ἐγεροῦσι τοὺς στρατηγοὺς τῆς δυνάμεως Ἀσσούρ· καὶ συνδραμοῦνται ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου καὶ οὐχ εὑρήσουσιν αὐτόν, καὶ ἐπιπεσεῖται ἐπ᾿ αὐτουὺς φόβος, καὶ φεύξονται ἀπὸ προσώπου ὑμῶν.

Ιουδ. 14,3 - Οι φύλακες των προφυλακών θα πάρουν τας πανοπλίας των και θα πορευθούν στο στρατόπεδόν των, θα εξυπνήσουν τους κοιμωμένους στρατηγούς του στρατού των Ασσυρίων. Αυτοί δε κατόπιν θα τρέξουν όλοι εις την σκηνήν του Ολοφέρνου, αλλά δεν θα τον εύρουν. Θα πέση εις αυτούς φόβος και θα τραπούν εις φυγήν από έμπροσθέν σας.

Ιουδ. 14,4 - καὶ ἐπακολουθήσαντες ὑμεῖς καὶ πάντες οἱ κατοικοῦντες πᾶν ὅριον Ἰσραήλ, καταστρώσατε αὐτοὺς ἐν ταῖς ὁδοῖς αὐτῶν.

Ιουδ. 14,4 - Σεις και όλοι οι κάτοικοι ολοκλήρου της χώρας του Ισραήλ θα τους καταδιώξετε και θα τους στρώσετε νεκρούς στον δρόμον των.

Ιουδ. 14,5 - πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα, καλέσατέ μοι Ἀχιὼρ τὸν Ἀμανίτην, ἵνα ἰδὼν ἐπιγνῷ τὸν ἐκφαυλίσαντα τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ αὐτὸν ὡς εἰς θάνατον ἀποστείλαντα εἰς ἡμᾶς.

Ιουδ. 14,5 - Πριν όμως αναλάβετε αυτήν την επιχείρησιν, καλέσατε εδώ τον Αχιώρ τον Αμανίτην, δια να ίδη ο ίδιος και αναγνωρίση την κεφαλήν εκείνου, ο οποίος κατεφρόνησε τυν ισραηλιτικόν λαόν, κατεφρόνησε δε και αυτόν τον ίδιον, τον οποίον έστειλε προς ημάς, ως προς βέβαιον θάνατον”.

Ιουδ. 14,6 - καὶ ἐκάλεσαν τὸν Ἀχιὼρ ἐκ τοῦ οἴκου Ὀζία· ὡς δὲ ἦλθε καὶ εἶδε τὴν κεφαλὴν Ὀλοφέρνου ἐν χειρὶ ἀνδρὸς ἑνὸς ἐν τῇ ἐκκλησίᾳ τοῦ λαοῦ, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐξελύθη τὸ πνεῦμα αὐτοῦ.

Ιουδ. 14,6 - Εκάλεσαν πράγματι, τον Αχιώρ από την οικίαν του Οζία. Οταν αυτός ήλθε και είδε την κεφαλήν του Ολοφέρνου εις τα χέρια ενός ανδρός από το συγκεντρωθέν πλήθος, κατελήφθη από ισχυροτάτην συγκίνησιν, έπεσε κάτω με το πρόσωπον κατά γης και ελιποθύμησε.

Ιουδ. 14,7 - ὡς δὲ ἀνέλαβον αὐτόν, προσέπεσε τοῖς ποσὶν Ἰουδὶθ καὶ προσεκύνησε τῷ προσώπῳ αὐτῆς καὶ εἶπεν· εὐλογημένη σὺ ἐν παντὶ σκηνώματι Ἰούδα καὶ ἐν παντὶ ἔθνει, οἵτινες ἀκούσαντες τὸ ὄνομά σου ταραχθήσονται·

Ιουδ. 14,7 - Οταν δε τον επανέφεραν εις τας αισθήσστου, έπεσεν εις τα πόδια της Ιουδίθ, προσεκύνησεν ενώπιόν της και είπε· “ευλογημένη συ θα είσαι εις όλην την περιοχήν της φυλής Ιούδα και εις κάθε έθνος. Ούτοι θα ακούουν το όνομά σου και θα καταλαμβάνωνται από ταραχήν.

Ιουδ. 14,8 - καὶ νῦν ἀνάγγειλόν μοι ὅσα ἐποίσας ἐν ταῖς ἡμέραις ταύταις. καὶ ἀπήγγειλεν αὐτῷ Ἰουδὶθ ἐν μέσῳ τοῦ λαοῦ πάντα, ὅσα ἦν πεποιηκυῖα, ἀφ᾿ ἧς ἡμέρας ἐξῆλθεν ἕως οὗ ἐλάλει αὐτοῖς.

Ιουδ. 14,8 - Και τώρα, σε παρακαλώ, πές μας όσα έκαμες κατά τας ημέρας αυτάς". Η Ιουδίθ ανήγγειλεν εις αυτόν εν μέσω του λαού όλα όσα είχε πράξει, από την ημέραν κατά την οποίαν εξήλθεν από την πόλιν μέχρι της ώρας που ωμιλούσε προς αυτούς.

Ιουδ. 14,9 - ὡς δὲ ἐπαύσατο λαλοῦσα, ἠλάλαξεν ὁ λαὸς φωνῇ μεγάλῃ καὶ ἔδωκε φωνὴν εὐφρόσυνον ἐν τῇ πόλει αὐτῶν.

Ιουδ. 14,9 - Οταν δε έπαυσεν αυτή να ομιλή, όλον το παριστάμενον πλήθος εξερράγη εις αλαλαγμούς και φωνάς μεγάλας, αι δε φωναί αυταί ήσαν φωναί χαράς και αγαλλιάσεως εις όλην την πόλιν των.

Ιουδ. 14,10 - ἰδὼν δὲ Ἀχιὼρ πάντα, ὅσα ἐποίησεν ὁ Θεὸς τοῦ Ἰσραήλ, ἐπίστευσε τῷ Θεῷ σφόδρα καὶ περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ καὶ προσετέθη πρὸς τὸν οἶκον Ἰσραὴλ ἕως τῆς ἡμέρας ταύτης.

Ιουδ. 14,10 - Ο δε Αχιώρ, όταν είδε και άκουσεν όλα όσα έκαμεν ο Θεός του Ισραήλ, επίστευσεν ακόμη περισσότερον στον Θεόν, περιέταμε την σαρκίνην αυτού ακροβυστίαν και συγκατεριθμήθη στον ισραηλιτικόν λαόν μέχρι της ημέρας αυτής.

Ιουδ. 14,11 - Ἡνίκα δὲ ὁ ὄρθρος ἀνέβη, καὶ ἐκρέμασαν τὴν κεφαλὴν Ὀλοφέρνου ἐκ τοῦ τείχους, καὶ ἀνέλαβε πᾶς ἀνὴρ Ἰσραὴλ τὰ ὅπλα αὐτοῦ καὶ ἐξήλθοσαν κατὰ σπείρας ἐπὶ τὰς ἀναβάσεις τοῦ ὄρους.

Ιουδ. 14,11 - Οταν δε εφώτισεν ο όρθρος, εκρέμασαν την κεφαλήν του Ολοφέρνου από το τείχος της πόλεως. Καθε δε Ισραηλίτης επήρε τα όπλα του και εξήλθαν από την πόλιν συντεταγμένοι κατά τμήματα στρατού και εβάδιζαν εις τας στενωπούς διαβάσστου όρους.

Ιουδ. 14,12 - οἱ δὲ υἱοὶ Ἀσσοὺρ ὡς εἶδον αὐτούς, διέπεμψαν ἐπὶ τοὺς ἡγουμένους αὐτῶν· οἱ δὲ ἦλθον ἐπὶ στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ πάντα ἄρχοντα αὐτῶν.

Ιουδ. 14,12 - Αι προφυλακαί των Ασσυρίων στρατιωτών, όταν τους είδαν, έστειλαν αμέσως άνδρας αγγελιαφόρους στους αρχηγούς των. Εκείνοι μετέβησαν στους στρατηγούς και στους χιλιάρχους και εις όλους τους άλλους άρχοντας.

Ιουδ. 14,13 - καὶ παρεγένοντο ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου καὶ εἶπαν τῷ ὄντι ἐπὶ πάντων τῶν αὐτοῦ· ἔγειρον δὴ τὸν κύριον ἡμῶν, ὅτι ἐτόλμησαν οἱ δοῦλοι καταβαίνειν ἐφ᾿ ἡμᾶς εἰς πόλεμον, ἵνα ἐξολοθρευθῶσιν εἰς τέλος.

Ιουδ. 14,13 - Ολοι αυτοί οι αξιωματούχοι ήλθαν εις την σκηνήν του Ολοφέρνου και είπαν στον επιτελάρχην του· "ξύπνησε, λοιπόν, τώρα τον κύριόν μας, διότι αυτοί οι δούλοι οι Ισραηλίται ετόλμησαν να κατέλθουν εναντίον μας εις πόλεμον. Ηλθεν ο καιρός να εξολοθρευθούν εξ ολοκλήρου".

Ιουδ. 14,14 - καὶ εἰσῆλθε Βαγώας καὶ ἔκρουσε τὴν αὐλαίαν τῆς σκηνῆς· ὑπενοεῖτο γὰρ καθεύδειν αὐτὸν μετὰ Ἰουδίθ·

Ιουδ. 14,14 - Εισήλθε λοιπόν ο Βαγώας και έκρουσε το παραπέτασμα της σκηνής, διότι ενόμιζεν ότι ο Ολοφέρνης κοιμάται ακόμη με την Ιουδίθ.

Ιουδ. 14,15 - ὡς δὲ οὐδεὶς ἐπήκουσε, διαστείλας εἰσῆλθεν εἰς τὸν κοιτῶνα καὶ εὗρεν αὐτὸν ἐπὶ τῆς χελωνίδος ἐῤῥιμμένον νεκρόν, καὶ ἡ κεφαλὴ αὐτοῦ ἀφῄρετο ἀπ᾿ αὐτοῦ.

Ιουδ. 14,15 - Επειδή όμως κανείς δεν απήντησεν εις την κρούσιν του, ανέσυρε το παραπέτασμα της σκηνής, εισήλθεν στον κοιτώνα και ευρήκεν αυτόν νεκρόν ριγμένον εις τα πόδια της κλίνης του. Η κεφαλή του είχε κοπή και αφαιρεθή από αυτόν.

Ιουδ. 14,16 - καὶ ἐβόησε φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ.

Ιουδ. 14,16 - Τοτε ο Βαγώας εφώναξε με μεγάλην φωνήν και με κλαυθμόν πολύν και στεναγμόν και ισχυράν βοήν και διέρρηξε τα ιμάτια του.

Ιουδ. 14,17 - καὶ εἰσῆλθεν εἰς τὴν σκηνήν, οὗ ἦν Ἰουδὶθ καταλύουσα, καὶ οὐχ εὗρεν αὐτήν· καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν κράζων·

Ιουδ. 14,17 - Εισήλθε δε κατόπιν εις την σκηνήν, όπου κατέλυεν η Ιουδίθ, αλλά δεν την ευρήκεν. Ετρεξεν έπειτα στον λαόν των Ασσυρίων κράζων·

Ιουδ. 14,18 - ἠθέτησαν οἱ δοῦλοι, ἐποίησεν αἰσχύνην μία γυνὴ τῶν Ἑβραίων εἰς τὸν οἶκον τοῦ βασιλέως Ναβουχοδονόσορ· ὅτι ἰδοὺ Ὀλοφέρνης χαμαί, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν ἐπ᾿ αὐτῷ.

Ιουδ. 14,18 - “οι δούλοι οι Ισραλίται μας εξηπάτησαν· μία γυνή των Εβραίων κατεντρόπιασε τον οίκον του βασιλέως Ναδουχοδονόσορ. Διότι ιδού, ο Ολοφέρνης κείται κατά γης νεκρός και η κεφαλή του δεν υπάρχει πλέον στο σώμα του”.

Ιουδ. 14,19 - ὡς δὲ ἤκουσαν ταῦτα τὰ ῥήματα οἱ ἄρχοντες τῆς δυνάμεως Ἀσσούρ, τοὺς χιτῶνας αὐτῶν διέῤῥηξαν, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτῶν σφόδρα, καὶ ἐγένετο αὐτῶν κραυγὴ καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς παρεμβολῆς.

Ιουδ. 14,19 - Οταν οι αρχηγοί του στρατού των Ασσυρίων ήκουσαν όλα αυτά, διέρρηξαν τα ιμάτιά των η δε ψυχή των κατεταράχθη πάρα πολύ. Μεγάλη δε βοή και κραυγή καταθλίψεως αλλά και φόβου έγινεν εις όλον το στρατόπεδόν των.

ΙΟΥΔΙΘ 15

Ιουδ. 15,1 - Καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες, ἐξέστησαν ἐπὶ τὸ γεγονός,

Ιουδ. 15,1 - Οταν οι Ασσυριοι, που ευρίσκοντο εις τας σκηνάς των, ήκουσαν την τρομεράν αυτήν είδησιν, κατεπλάγησαν δια το γεγονός.

Ιουδ. 15,2 - καὶ ἐπέπεσεν ἐπ᾿ αὐτοὺς φόβος καὶ τρόμος, καὶ οὐκ ἦν ἄνθρωπος μένων κατὰ πρόσωπον τοῦ πλησίον ἔτι, ἀλλ᾿ ἐκχυθέντες ὁμοθυμαδὸν ἔφευγον ἐπὶ πᾶσαν ὁδὸν τοῦ πεδίου καὶ τῆς ὀρεινῆς·

Ιουδ. 15,2 - Επέπεσεν εις αυτούς φόβος και τρόμος, κανείς δεν έμεινε πλησίον του άλλου εις συντεταγμένας ομάδας, αλλά διεσκορπίσθησαν όλοι μαζή και έφευγαν προς διαφόρους κατευθύνσεις εις την πεδιάδα και εις την ορεινήν περιοχήν.

Ιουδ. 15,3 - καὶ οἱ παρεμβεβληκότες ἐν τῇ ὀρεινῇ κύκλῳ Βαιτυλούα καὶ ἐτράπησαν εἰς φυγήν. καὶ τότε οἱ υἱοὶ Ἰσραήλ, πᾶς ἀνὴρ πολεμιστὴς ἐξ αὐτῶν, ἐξεχύθησαν ἐπ᾿ αὐτούς.

Ιουδ. 15,3 - Και εκείνοι οι οποίοι είχαν στρατοπεδεύσει εις την ορεινήν περιοχήν κύκλω από την Βαιτυλούα ετράπησαν εις φυγήν. Τοτε δε οι Ισραηλίται, όλοι οι Ισραηλίται οι ικανοί προς πόλεμον, εξεχύθησαν εναντίον των Ασσυρίων.

Ιουδ. 15,4 - καὶ ἀπέστειλεν Ὀζίας εἰς Βαιτομασθαὶμ καὶ Βηβαΐ καὶ Κωλὰ καὶ εἰς πᾶν ὅριον Ἰσραὴλ τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν συντετελεσμένων καὶ ἵνα πάντες ἐπεκχυθῶσι τοῖς πολεμίοις εἰς τὴν ἀναίρεσιν αὐτῶν.

Ιουδ. 15,4 - Ο Οζίας έστειλεν αγγελιαφόρους εις Βαιτομασθαίμ, Βηβαΐ και Κωλά και εις όλην την περιοχήν του ισραηλιτικού λαού, δια να αναγγείλουν εις αυτούς τα γεγονότα, τα οποία είχαν συντελεσθή εκεί και δια να εκχυθούν όλοι εναντίον των πολεμίων εις πλήρη καταστροφήν των.

Ιουδ. 15,5 - ὡς δὲ ἤκουσαν οἱ υἱοὶ Ἰσραήλ, πάντες ὁμοθυμαδὸν ἐπέπεσον ἐπ᾿ αὐτοὺς καὶ ἔκοπτον αὐτοὺς ἕως Χωβά, ὡσαύτως δὲ καὶ οἱ ἐξ Ἱερουσαλὴμ παρεγενήθησαν καὶ ἐκ πάσης τῆς ὀρεινῆς, ἀνήγγειλαν γὰρ αὐτοῖς τὰ γεγονότα τῇ παρεμβολῇ τῶν ἐχθρῶν αὐτῶν· καὶ οἱ ἐν Γαλαὰδ καὶ οἱ ἐν τῇ Γαλιλαίᾳ ὑπερεκέρασαν αὐτοὺς πληγῇ μεγάλῃ, ἕως οὗ παρῆλθον Δαμασκὸν καὶ τὰ ὅρια αὐτῆς.

Ιουδ. 15,5 - Οταν οι Ισραηλίται ήκουσαν τα γεγονότα αυτά, ώρμησαν όλοι μαζή εναντίον των Ασσυρίων με μίαν ψυχήν και κατέκοπτον αυτούς μέχρι της Χωβά. Εβγήκαν επίσης εις καταδίωξιν των Ασσυρίων και άνδρες από την Ιερουσαλήμ και από όλην την ορεινήν περιοχήν, διότι και εις αυτούς είχαν αναγγελθή τα γεγονότα, τα οποία συνέβησαν στο στρατόπεδον των εχθρών. Οι δε Ισραηλίται, οι οποίοι υπήρχον εις την περιοχήν Γαλαάδ και εις την Γαλιλαίαν, περιεκύκλωσαν τους φεύγοντας Ασσυρίους και επέφεραν μεγάλην καταστροφήν εις αυτούς. Κατεδίωξαν δε όσους εσώθησαν δια της φυγής μέχρι της Δαμασκού και των περιχώρων της.

Ιουδ. 15,6 - οἱ δὲ λοιποὶ οἱ κατοικοῦντες Βαιτυλούα ἐπέπεσαν τῇ παρεμβολῇ Ἀσσοὺρ καὶ ἐπρονόμευσαν αὐτοὺς καὶ ἐπλούτησαν σφόδρα.

Ιουδ. 15,6 - Οι υπόλοιποι κάτοικοι της Βαιτυλούα ώρμησαν στο στρατόπεδον των Ασσυρίων, το ελεηλάτησαν και επλούτησαν πολύ από τα πολλά λάφυρα.

Ιουδ. 15,7 - οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀναστρέψαντες ἀπὸ τῆς κοπῆς ἐκυρίευσαν τῶν λοιπῶν, καὶ αἱ κῶμαι καὶ αἱ ἐπαύλεις ἐν τῇ ὀρεινῇ καὶ πεδινῇ ἐκράτησαν πολλῶν λαφύρων, ἦν γὰρ πλῆθος πολὺ σφόδρα.

Ιουδ. 15,7 - Οι καταδιώκοντες τους Ασσυριους Ισραηλίται, όταν επέστρεψαν από τον όλεθρον εκείνον, επήραν υπό την κατοχήν των τα υπόλοιπα λάφυρα. Αλλά και οι κάτοικοι των χωρίων και των διαφόρων καταυλισμών της ορεινής και πεδινής περιοχής επήραν πολλά λάφυρα, διότι ήτο αναρίθμητον το πλήθος των.

Ιουδ. 15,8 - καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία τῶν υἱῶν Ἰσραὴλ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ ἦλθον τοῦ θεάσασθαι τὰ ἀγαθά, ἃ ἐποίησε Κύριος τῷ Ἰσραήλ, καὶ τοῦ ἰδεῖν τὴν Ἰουδὶθ καὶ λαλῆσαι μετ᾿ αὐτῆς εἰρήνην.

Ιουδ. 15,8 - Ο αρχιερεύς Ιωακίμ και η γερουσία των Ισραηλιτών, οι οποίοι κοποικούσαν εις την Ιερουσαλήμ, ήλθον και αυτοί εις Βαιτυλούα, διάνα ίδουν εκεί τα μεγάλα αγαθά, τα οποία προς χάριν του ισραηλιτικού λαού έκαμεν ο Κυριος, δια να ίδουν επίσης την Ιουδίθ και να χαιρετήσουν αυτήν μετά σεβασμού.

Ιουδ. 15,9 - ὡς δὲ εἰσῆλθον πρὸς αὐτήν, εὐλόγησαν αὐτὴν πάντες ὁμοθυμαδὸν καὶ εἶπαν πρὸς αὐτήν· σὺ ὕψωμα Ἰσραήλ, σὺ γαυρίαμα μέγα τοῦ Ἰσραήλ, σὺ καύχημα μέγα τοῦ γένους ἡμῶν·

Ιουδ. 15,9 - Οταν αυτοί ήλθον στον οίκον της και παρουσιάσθησαν ενώπιόν της, την εδόξασαν όλοι με ένα στόμα και είπαν προς αυτήν· “συ είσαι η δόξα της φυλής του Ισραήλ· συ είσαι ο μέγας έπαινος του Ισραηλιτικού λαού· συ είσαι το μεγάλο καύχημα του γένους μας.

Ιουδ. 15,10 - ἐποίησας πάντα ταῦτα ἐν χειρί σου, ἐποίησας τὰ ἀγαθὰ μετὰ Ἰσραήλ, καὶ εὐδόκησεν ἐπ᾿ αὐτοῖς ὁ Θεός· εὐλογημένη γίνου παρὰ τῷ παντοκράτορι Κυρίῳ εἰς τὸν αἰῶνα χρόνον. καὶ εἶπε ὁ λαός· γένοιτο

Ιουδ. 15,10 - Συ έκαμες όλα αυτά με το χέρι σου, συ επραγματοποίησες τα κατορθώματα αυτά εν μέσω του Ισραήλ. Ο Θεός ευδόκησε και έδωκε χάριν να γίνουν δια σου αυτά. Ευλογημένη λοιπόν ας είσαι ενώπιον του Κυρίου του παντοκράτορος στους αιώνας των αιώνων”. Ολος δε ο λαός ανεφώνησε· “γένοιτο”!

Ιουδ. 15,11 - καὶ ἐλαφύρευσε πᾶς ὁ λαὸς τὴν παρεμβολὴν ἐφ᾿ ἡμέρας τριάκοντα· καὶ ἔδωκαν τῇ Ἰουδὶθ τὴν σκηνὴν Ὀλοφέρνου καὶ πάντα τὰ ἀργυρώματα καὶ τὰς κλίνας καὶ τὰ ὅλκια καὶ πάντα τὰ σκευάσματα αὐτοῦ. καὶ λαβοῦσα αὕτη ἐπέθηκεν ἐπὶ τὴν ἡμίονον αὐτῆς καὶ ἔζευξε τὰς ἁμάξας αὐτῆς καὶ ἐσώρευσεν αὐτὰ ἐπ᾿ αὐτῶν.

Ιουδ. 15,11 - Ολος ο λαός ελεηλατούσε το στρατόπεδον των Ασσυρίων, επί τριάκοντα κατά συνέχειαν ημέρας. Εδωσαν δε εις την Ιουδίθ την σκηνήν του Ολοφέρνου, όλα τα πολύτιμα αυτού σκεύη και τας κλίνας, τα φουσκωτά μαλακά προσκέφαλα και όλα τα ιδικά του αντικείμενα. Εκείνη τα επήρε, τα έβαλε εις την ημίονόν της, έζευξε τας αμάξας της και τα ετοποθέτησεν εις αυτάς.

Ιουδ. 15,12 - καὶ συνέδραμε πᾶσα γυνὴ Ἰσραὴλ τοῦ ἰδεῖν αὐτὴν καὶ εὐλόγησαν αὐτὴν καὶ ἐποίησαν αὐτῇ χορὸν ἐξ αὐτῶν, καὶ ἔλαβε θύρσους ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἔδωκε ταῖς γυναιξὶ ταῖς μετ᾽ αὐτῆς.

Ιουδ. 15,12 - Ολαι αι γυναίκες των Ισραηλιτών έτρεξαν από τα διάφορα σημεία να την ίδουν. Την ευλογούσαν και προς τιμήν της έστησαν χορόν μεταξύ των. Η Ιουδίθ επήρεν εις τα χέρια της κλάδους και έδωκεν εις τας γυναίκας, αι οποίαι ευρίσκοντο πλησίον της.

Ιουδ. 15,13 - καὶ ἐστεφανώσαντο τὴν ἐλαίαν, αὐτὴ καὶ αἱ μετ᾽ αὐτῆς, καὶ προῆλθε παντὸς τοῦ λαοῦ ἐν χορείᾳ ἡγουμένη πασῶν τῶν γυναικῶν, καὶ ἠκολούθει πᾶς ἀνὴρ Ἰσραὴλ ἐνωπλισμένοι μετὰ στεφάνων καὶ ὕμνων ἐν τῷ στόματι αὐτῶν.

Ιουδ. 15,13 - Με κλάδους δε ελαίας εστεφανώθησαν η Ιουδίθ και αι άλλαι γυναίκες, αι οποίαι ήσαν μαζή της. Ετσι δε η Ιουδίθ επροπορεύετο εμπρός από όλον τον λαόν, ενώ αι άλλαι γυναίκες ήρχοντο πίσω από αυτήν. Πισω δε από όλας αυτάς ακολουθούσαν οι άνδρες του Ισραήλ, φέροντες στεφάνους εις την κεφαλήν των και απαγγέλλοντες με το στόμα των ύμνους.

Ιουδ. 15,14 - καὶ ἐξῆρχεν Ἰουδὶθ τὴν ἐξομολόγησιν ταύτην ἐν παντὶ Ἰσραήλ, καὶ ὑπεφώνει πᾶς ὁ λαὸς τὴν αἴνεσιν ταύτην.

Ιουδ. 15,14 - Η Ιουδίθ ήρχισε τον κατωτέρω ύμνον δοξολογίας με όλον τον ισραηλιτικόν λαόν. Ολόκληρος ο Ισραηλιτικός λαός συνώδευε με την φωνήν του την δοξολογίαν αυτήν της Ιουδίθ.

ΙΟΥΔΙΘ 16

Ιουδ. 16,1 - Καὶ εἶπεν Ἰουδίθ· Ἐξάρχετε τῷ Θεῷ μου ἐν τυμπάνοις, ᾄσατε τῷ Κυρίῳ μου ἐν κυμβάλοις, ἐναρμόσασθε αὐτῷ ψαλμὸν καινόν, ὑψοῦτε καὶ ἐπικαλέσασθε τὸ ὄνομα αὐτοῦ,

Ιουδ. 16,1 - Ηρχισεν η Ιουδίθ να ψάλλη. “Αρχίσατε, λοιπόν, όλοι να δοξάζετε τον Θεόν μου με ήχους τυμπάνων. Ψαλατε στον Κυριον μου με κύμβαλα, συνθέσατε αρμονικόν νέον ψαλμόν δι' αυτόν. Μεγαλύνατε αυτόν και επικαλεσθήτε το όνομά του.

Ιουδ. 16,2 - ὅτι Θεὸς συντρίβων πολέμους Κύριος, ὅτι εἰς παρεμβολὰς αὐτοῦ μέσῳ λαοῦ ἐξείλατό με ἐκ χειρὸς τῶν καταδιωκόντων με.

Ιουδ. 16,2 - Διότι αυτός είναι Θεός Κυριος συντρίβων πολέμους. Αυτός με διεφύλαξεν εν μέσω του εχθρικού στρατοπέδου, αυτός με έβγαλεν από τον εχθρικόν λαόν, από τα χέρια εκείνων που μας κατεδίωκαν.

Ιουδ. 16,3 - ἦλθεν Ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βοῤῥᾶ, ἦλθεν ἐν μυριάσι δυνάμεως αὐτοῦ, ὧν τὸ πλῆθος αὐτῶν ἐνέφραξε χειμάῤῥους, καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψε βουνούς.

Ιουδ. 16,3 - Ηλθον οι Ασσύριοι από τα όρη του βορρά. Ηλθαν με μυριάδας στρατού. Το πλήθος αυτών εγέμισε τους χειμάρρους, το δε ιππικόν των εσκέπασε τα βουνά.

Ιουδ. 16,4 - εἶπεν ἐμπρήσειν τὰ ὅριά μου καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ἐν ῥομφαίᾳ καὶ τὰ θηλάζοντά μου θήσειν εἰς ἔδαφος καὶ τὰ νήπιά μου δώσειν εἰς προνομὴν καὶ τὰς παρθένους μου σκυλεῦσαι.

Ιουδ. 16,4 - Εσκέφθησαν και απεφάσισαν να πυρπολήσουν την χώραν μου καθ' όλην την έκτασίν της. Να περάσουν εν στόματι ρομφαίας τους νέους του Ισραήλ, να συντρίψουν επί του εδάφους τα θηλάζοντα νήπια, να παραδώσουν εις λεηλασίαν τα μικρά παιδιά και να πάρουν ως δούλας των τας παρθένους μας.

Ιουδ. 16,5 - Κύριος παντοκράτωρ ἠθέτησεν αὐτοὺς ἐν χειρὶ θηλείας.

Ιουδ. 16,5 - Ο Κυριος όμως ο παντοκράτωρ εματαίωσε και διέλυσεν αυτούς και τους σκοπούς των με το χέρι μιας γυναικός.

Ιουδ. 16,6 - οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ νεανίσκων, οὐδὲ υἱοὶ τιτάνων ἐπάταξαν αὐτόν, οὐδὲ ὑψηλοὶ γίγαντες ἐπέθεντο αὐτῷ, ἀλλὰ Ἰουδὶθ θυγάτηρ Μεραρὶ ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν αὐτόν·

Ιουδ. 16,6 - Διότι ο στρατηγός των δεν έπεσε φονευθείς από νέους άνδρας, ούτε τέκνα των τιτάνων τον εφόνευσαν, ούτε τρομεροί γίγαντες επετέθησαν εναντίον αυτού. Αλλά η Ιουδίθ μόνη, η θυγάτηρ του Μεραρί παρέλυσεν αυτόν με το κάλλος του προσώπου της.

Ιουδ. 16,7 - ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς εἰς ὕψος τῶν πονούντων ἐν Ἰσραήλ, ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ

Ιουδ. 16,7 - Αυτή έβγαλε την στολήν της χηρείας της, δια να συνεργήση εις την νίκην των καταπονημένων και θλιμμένων Ισραηλιτών. Ηλειψε το πρόσωπόν της με ευώδη μύρα,

Ιουδ. 16,8 - καὶ ἐδήσατο τὰς τρίχας αὐτῆς ἐν μίτρᾳ καὶ ἔλαβε στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ·

Ιουδ. 16,8 - έπλεξε τας τρίχας της κεφαλής της και έδεσεν αυτάς με πολύτιμον μανδήλιον, ενεδύθη ακριβή λινήν στολήν, δια να τον εξαπατήση.

Ιουδ. 16,9 - τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ, καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισε ψυχὴν αὐτοῦ, διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ.

Ιουδ. 16,9 - Το σανδάλιόν της είλκυσε και ήρπασε τον οφθαλμόν του, το κάλλος της ηχμαλώτισε την ψυχήν του, αλλά το ξίφος διεπέρασε τον τράχηλόν του.

Ιουδ. 16,10 - ἔφριξαν Πέρσαι τὴν τόλμαν αὐτῆς, καὶ Μῆδοι τὸ θράσος αὐτῆς ἐῤῥάχθησαν.

Ιουδ. 16,10 - Εφριξαν οι Πέρσαι από την τόλμην αυτής και οι Μηδοι συνετρίβησαν από το μεγάλο της θάρρος.

Ιουδ. 16,11 - τότε ἠλάλαξαν οἱ ταπεινοί μου, καὶ ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου καὶ ἐπτοήθησαν, ὕψωσαν τὴν φωνὴν αὐτῶν καὶ ἀνετράπησαν.

Ιουδ. 16,11 - Τοτε έβγαλαν αλαλαγμούς χαράς οι ταπεινωμένοι και τρομαγμένοι αδελφοί μου. Εκείνοι δε ησθένησαν, κατελήφθησαν από φόβον και κατεπτοήθησαν. Εφώναξαν με μεγάλην φωνήν οι Ισραηλίται, εκείνοι δε ετράπησαν εις φυγήν.

Ιουδ. 16,12 - υἱοὶ κορασίων κατεκέντησαν αὐτοὺς καὶ ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον αὐτούς, ἀπώλοντο ἐκ παρατάξεως Κυρίου μου.

Ιουδ. 16,12 - Μικρά παιδιά νεονύμφων κορασίων διετρύπησαν αυτούς με τας λόγχας των, και σαν δούλους αυτοπαραδιδομένους τους εφόνευαν. Εξωλοθρεύθησαν από τον στρατόν του Κυρίου.

Ιουδ. 16,13 - ὑμνήσω τῷ Θεῷ μου ὕμνον καινόν· Κύριε, μέγας εἶ καὶ ἔνδοξος, θαυμαστὸς ἐν ἰσχύϊ, ἀνυπέρβλητος.

Ιουδ. 16,13 - Δι' όλα αυτά τα θαυμαστά και ένδοξα θέλω να ψάλω ύμνον νέον στον Θεόν μου· Μέγας είσαι, Κυριε, και ένδοξος, θαυμαστός εις την άπειρον δύναμίν σου και ακατάβλητος.

Ιουδ. 16,14 - σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου· ὅτι εἶπας, καὶ ἐγενήθησαν, ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησε· καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ σου.

Ιουδ. 16,14 - Ολη η δημιουργία σου, σαν δούλη, ας υπακούη χωρίς αντίρρησιν εις σέ. Διότι συ είπες και εδημιουργήθησαν τα κτίσματά σου. Συ έστειλες το Πνεύμα σου και αυτό έκτισε τον κόσμον. Κανείς δεν είναι δυνατόν να αντισταθή εις την προσταγήν σου.

Ιουδ. 16,15 - ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι σαλευθήσεται, πέτραι δὲ ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται, ἔτι δὲ τοῖς φοβουμένοις σε, σὺ εὐιλατεύεις αὐτοῖς.

Ιουδ. 16,15 - Τα όρη συνταράσσονται από τα θεμέλιά των μαζή με τα ύδατά των, οι βράχοι λυώνουν σαν κερί και διαλύονται ενώπιόν σου. Προς εκείνους όμως οι οποίοι σε ευλαβούνται, συ δείχνεις και δίδστο έλεός σου.

Ιουδ. 16,16 - ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας, καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι· ὁ δὲ φοβούμενος τὸν Κύριον μέγας διαπαντός.

Ιουδ. 16,16 - Μηδαμινή είναι κάθε θυσία, που προσφέρεται ενώπιόν σου ως ευώδες θυμίαμα. Ελάχιστον και ανάξιον λόγου είναι ενώπιόν σου κάθε λίπος, που προσφέρεται ως ολοκαύτωμα. Εκείνος όμως, ο οποίος φοβείται τον Κυριον, είναι με την δύναμιν εκείνου πάντοτε μέγας.

Ιουδ. 16,17 - οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει μου· Κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως δοῦναι πῦρ καὶ σκώληκας εἰς σάρκας αὐτῶν, καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος.

Ιουδ. 16,17 - Αλλοίμονον εις τα έθνη, τα οποία επαναστατούν εναντίον του Ισραηλιτικού μου γένους. Κυριος ο παντοκράτωρ θα τους τιμωρήση κατά την ωρισμένην ημέραν της κρίσεώς του. Θα στείλη πυρ να τους κατακαύση, θα στείλη σκώληκας να καταφάγουν τας σάρκας των, ώστε να κλαίουν πάντοτε από τον πόνον του".

Ιουδ. 16,18 - Ὡς δὲ ἤλθοσαν εἰς Ἱερουσαλήμ, προσεκύνησαν τῷ Θεῷ. καὶ ἡνίκα ἐκαθαρίσθη ὁ λαός, ἀνήνεγκαν τὰ ὁλοκαυτώματα αὐτῶν καὶ τὰ ἑκούσια αὐτῶν καὶ τὰ δόματα.

Ιουδ. 16,18 - Επειτα δε οι Ισραηλίται ήλθον εις την Ιερουσαλήμ και προσεκύνησαν τον Θεόν. Αμέσως δε όταν ο λαός εξηγνίσθη, προσέφεραν τα ολοκαυτώματά των. Εξεπλήρωσαν όλα τα ταξίματά των, που είχαν κάμει προς τον Θεόν, και προσέφεραν τα δώρα των.

Ιουδ. 16,19 - καὶ ἀνέθηκεν Ἰουδὶθ πάντα τὰ σκεύη Ὀλοφέρνου, ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ, καὶ τὸ κωνωπεῖον, ὃ ἔλαβεν αὕτη ἐκ τοῦ κοιτῶνος αὐτοῦ, ὡς ἀνάθημα τῷ Θεῷ ἔδωκε.

Ιουδ. 16,19 - Η Ιουδίθ αφιέρωσεν στον ναόν όλα τα όπλα του Ολοφέρνου, όσα της είχε δώσει ο λαός, και την κουνουπιέρα του, την οποίαν επήρεν η ίδια από τον κοιτώνα του, έδωσεν αυτήν ως αφιέρωμα στον Θεόν.

Ιουδ. 16,20 - καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν Ἱερουσαλὴμ κατὰ πρόσωπον τῶν ἁγίων ἐπὶ μῆνας τρεῖς, καὶ Ἰουδὶθ μετ᾿ αὐτῶν κατέμεινε.

Ιουδ. 16,20 - Ολος ο λαός ευρίσκετο εις χαράν και αγαλλίασιν εις την Ιερουσαλήμ ενώπιον του ναού επί τρεις μήνας Κατά την περίοδον αυτήν μαζή των έμενε και η Ιουδίθ.

Ιουδ. 16,21 - Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀνέζευξεν ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ Ἰουδὶθ ἀπῆλθεν εἰς Βαιτυλούα καὶ κατέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς· καὶ ἐγένετο κατὰ τὸν καιρὸν αὐτῆς ἔνδοξος ἐν πάσῃ τῇ γῇ.

Ιουδ. 16,21 - Οταν επέρασαν αι ημέραι αυταί των τριών μηνών, επανήλθεν ο καθένας από αυτούς στον οίκον του. Και η Ιουδίθ επέστρεψεν εις την Βαιτυλούαν και έμενεν εις την περιουσίαν της. Εγινε δε ονομαστή και ένδοξος κατά τον καιρόν εκείνον εις όλην την χώραν.

Ιουδ. 16,22 - καὶ πολλοὶ ἐπεθύμησαν αὐτήν, καὶ οὐκ ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς, ἀφ᾿ ἧς ἡμέρας ἀπέθανε Μανασσῆς ὁ

ἀνὴρ αὐτῆς, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

Ιουδ. 16,22 - Πολλοί άνδρες επεθύμησαν και την εζήτησαν ως σύζυγόν των, αλλά κανείς ανήρ δεν την ενυμφεύθη εις όλην της την ζωήν. Αυτή έμεινεν εις την χηρείαν της από την ημέραν, που απέθανεν ο Μανασσής ο σύζυγός της, και είχε προστεθή στον λαόν του.

Ιουδ. 16,23 - καὶ ἦν προβαίνουσα μεγάλη σφόδρα καὶ ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη ἑκατὸν πέντε· καὶ ἀφῆκε τὴν ἅβραν αὐτῆς ἐλευθέραν. καὶ ἀπέθανεν εἰς Βαιτυλούα, καὶ ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς αὐτῆς Μανασσῆ,

Ιουδ. 16,23 - Αυτή δε επροχώρησε εις πολύ μεγάλην ηλικίαν και εγήρασεν εις ταν οίκον του ανδρός της. Εφθασεν εις την ηλικίαν των εκατόν πέντε ετών. Την θεραπαινίδα της την αφήκεν ελευθέραν. Η Ιουδίθ απέθανε εις την Βαιτυλούαν και την έθαψαν στο σπήλαιον, όπου είχε ταφή και ο σύζυγός της ο Μαννασής.

Ιουδ. 16,24 - καὶ ἐπένθησεν αὐτὴν οἶκος Ἰσραὴλ ἡμέρας ἑπτά. καὶ διεῖλε τὰ ὑπάρχοντα αὐτῆς πρὸ τοῦ ἀποθανεῖν αὐτὴν πᾶσι τοῖς ἔγγιστα Μανασσῆ τοῦ ἀνδρὸς αὐτῆς καὶ τοῖς ἔγγιστα τοῦ γένους αὐτῆς.

Ιουδ. 16,24 - Οι Ισραηλίται επένθησαν επί επτά ημέρας. Προ δε του θανάτου της εμοίρασε τα υπάρχοντά της στους στενούς συγγενείς του ανδρός της, του Μαννασή, και στους στενούς συγγενείς της της ιδικής της οικογενείας.

Ιουδ. 16,25 - καὶ οὐκ ἦν ἔτι ὁ ἐκφοβῶν τοὺς υἱοὺς Ἰσραὴλ ἐν ταῖς ἡμέραις Ἰουδὶθ καὶ μετὰ τὸ ἀποθανεῖν αὐτὴν ἡμέρας πολλάς.

Ιουδ. 16,25 - Καθ' όλας τας ημέρας της ζωής της και επί πολύ χρονικόν διάστημα μετά τον θάνατόν της κανείς δεν ετόλμησε να ενοχλήση και εκφοβίση τους Ισραηλίτας.

ΕΣΘΗΡ

ΕΣΘΗΡ 1

Εσθ. 1,1α - Ἔτους δευτέρου βασιλεύοντος Ἀρταξέρξου τοῦ μεγάλου βασιλέως τῇ μιᾷ τοῦ Νισάν, ἐνύπνιον εἶδε Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου, τοῦ Σεμεΐου, τοῦ Κισσαίου, ἐκ φυλῆς Βενιαμίν,

Εσθ. 1,1α - Κατά το δεύτερον έτος της βασιλείας του μεγάλου βασιλέως Αρταξέρξου, την πρώτην του μηνός Νισάν, ο Μαρδοχαίος ο υιός του Ιαΐρου, υιού του Σεμεΐου, υιού του Κισσαίου, από την φυλήν Βενιαμίν είδεν ένα όνειρον.

Εσθ. 1,1β - ἄνθρωπος Ἰουδαῖος οἰκῶν ἐν Σούσοις τῇ πόλει, ἄνθρωπος μέγας, θεραπεύων ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

Εσθ. 1,1β - Ο άνθρωπος αυτός ήτο Ιουδαίος, κατοικούσε εις την πόλιν Σούσα. Ητο δε μεγάλης υπολήψεως και μορφώσεως και υπηρετούσεν εις την αυλήν του βασιλέως.

Εσθ. 1,1γ - ἦν δὲ ἐκ τῆς αἰχμαλωσίας, ἧς ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἐξ Ἱερουσαλὴμ μετὰ Ἰεχονίου τοῦ βασιλέως τῆς Ἰουδαίας.

Εσθ. 1,1γ - Ητο από τους αιχμαλώτους, τους οποίους μαζή με τον βασιλέα των Ιουδαίων, τον Ιεχονίαν είχεν αιχμαλωτίσει και μετοικίσει από την Ιερουσαλήμ ο βασιλεύς της Βαβυλώνος, ο Ναβουχοδονόσορ.

Εσθ. 1,1δ - καὶ τοῦτο αὐτοῦ τὸ ἐνύπνιον· καὶ ἰδοὺ φωναὶ καὶ θόρυβος, βρονταὶ καὶ σεισμός, τάραχος ἐπὶ τῆς γῆς.

Εσθ. 1,1δ - Το όνειρον δε το οποίον είδεν, ήτο το εξής· Ηκουσεν αίφνης φωνάς, θόρυβον, βροντάς, σεισμόν και μεγάλην αναταραχήν εις την γην.

Εσθ. 1,1ε - καὶ ἰδοὺ δύο δράκοντες μεγάλοι ἕτοιμοι προῆλθον ἀμφότεροι παλαίειν, καὶ ἐγένετο αὐτῶν φωνὴ μεγάλη·

Εσθ. 1,1ε - Και ιδού, δύο δράκοντες ενεφανίσθησαν έτοιμοι να παλαίσουν ο ένας εναντίον του αλλού, και εξέβαλλον τρομεράς κραυγάς.

Εσθ. 1,1ζ - καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν ἔθνος εἰς πόλεμον, ὥστε πολεμῆσαι δικαίων ἔθνος.

Εσθ. 1,1ζ - Με τας κραυγάς των ηγέρθησαν, συνησπίσθησαν και ητοιμάσθησαν όλα τα έθνη να πολεμήσουν εναντίον ενός έθνους δικαίων ανθρώπων.

Εσθ. 1,1η - καὶ ἰδοὺ ἡμέρα σκότος καὶ γνόφου, θλῖψις καὶ στενοχωρία, κάκωσις καὶ τάραχος μέγας ἐπὶ τῆς γῆς·

Εσθ. 1,1η - Αίφνης κατά την ημέραν εκείνην έγινε γνόφος και σκότος. Θλίψις και στενοχωρία ηπλώθη εις την γην. Δεινά και ταραχή μεγάλη.

Εσθ. 1,1θ - καὶ ἐταράχθη πᾶν ἔθνος δίκαιον φοβούμενοι τὰ ἑαυτῶν κακὰ καὶ ἡτοιμάσθησαν ἀπολέσθαι καὶ ἐβόησαν πρὸς τὸν Θεόν.

Εσθ. 1,1θ - Ολον το έθνος των δικαίων, επειδή εφοβήθη, μήπως αι συμφοραί εκσπάσουν εναντίον αυτών και καταστραφούν, παρεκάλεσαν τον Θεόν με φωνήν μεγάλην.

Εσθ. 1,1ι - ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο ὡσανεὶ ἀπὸ μικρᾶς πηγῆς ποταμὸς μέγας, ὕδωρ πολύ·

Εσθ. 1,1ι - Από την βοήν του δικαίου αυτού έθνους ερράγη και ενεφανίσθη κάποια μικρά πηγή, από την οποίαν όμως επήγασεν ένας μεγάλος ποταμός, νερό άφθονον.

Εσθ. 1,1κ - καὶ φῶς καὶ ἥλιος ἀνέτειλε, καὶ οἱ ταπεινοὶ ὑψώθησαν καὶ κατέφαγον τοὺς ἐνδόξους.

Εσθ. 1,1κ - Εφάνη το φως της πρωΐας, ανέτειλεν ο ήλιος και οι ταπεινωμένοι δίκαιοι υψώθησαν, ενισχύθησαν και κατέφαγον τους ισχυρούς εχθρούς των.

Εσθ. 1,1λ - καὶ διεγερθεὶς Μαρδοχαῖος ὁ ἑωρακὼς τὸ ἐνύπνιον τοῦτο καὶ τί ὁ Θεὸς βεβούλευται ποιῆσαι, εἶχεν αὐτὸ ἐν τῇ καρδίᾳ καὶ ἐν παντὶ λόγῳ ἤθελεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς νυκτός.

Εσθ. 1,1λ - Ο Μαρδοχαίος, ο οποίος είδεν αυτό το ενύπνιον, εσηκώθη από τον ύπνον του, και εσκέπτετο τι τάχα είχεν αποφασίσει να κάμη ο Θεός. Το ερευνούσε με την διάνοιάν του και προσπαθούσε καθ' όλην την διάρκειαν της ημέρας μέχρι και της νυκτός να εννοήση, τι τάχα ήθελε να σημάνη το όνειρον εκείνο.

Εσθ. 1,1μ - καὶ ἡσύχασε Μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ Γαβαθὰ καὶ Θάρα τῶν δύο εὐνούχων τοῦ βασιλέως τῶν φυλασσόντων τὴν αὐλὴν

Εσθ. 1,1μ - Επειτα ο Μαρδοχαίος ηρέμησεν, έμεινεν εις την αυλήν μαζή με τον Γαβαθά και τον Θαρα τους δύο αυλικούς του βασιλέως, οι οποίοι εφρουρούσαν την αυλήν.

Εσθ. 1,1ν - ἤκουσέ τε αὐτῶν τοὺς λογισμοὺς καὶ τὰς μερίμνας αὐτῶν ἐξηρεύνησε καὶ ἔμαθεν, ὅτι ἑτοιμάζουσι τὰς χεῖρας ἐπιβαλεῖν Ἀρταξέρξῃ τῷ βασιλεῖ, καὶ ὑπέδειξε τῷ βασιλεῖ περὶ αὐτῶν.

Εσθ. 1,1ν - Καποτε ο Μαρδοχαίος, χωρίς και να το θέλη, ήκουσε τας σκέψεις των, αντελήφθη και κατενόησε τα σχέδιά των και έμαθεν ότι αυτοί, ητοιμάζοντο να δολοφονήσουν τον Αρταξέρξην, τον βασιλέα. Τα σχέδια εκείνων τα εφανέρωσε στον Αρταξέρξην τον βασιλέα.

Εσθ. 1,1ξ - καὶ ἐξήτασεν ὁ βασιλεὺς τοὺς δύο εὐνούχους, καὶ ὁμολογήσαντες ἀπήχθησαν.

Εσθ. 1,1ξ - Ο βασιλεύς διέταξε και υπέβαλαν εις ανάκρισιν τους δύο αυλικούς, εκείνοι δε ωμολόγησαν τα σχέδιά των και ωδηγήθησαν στον τόπον της θανατικής των εκτελέσεως.

Εσθ. 1,1ο - καὶ ἔγραψεν ὁ βασιλεὺς τοὺς λόγους τούτους εἰς μνημόσυνον, καὶ Μαρδοχαῖος ἔγραψεν περὶ τῶν λόγων τούτων.

Εσθ. 1,1^{o} - Ο βασιλεύς έγραψεν εις τα χρονικά εις ανάμνησιν το γεγονός εκείνο, επίσης ο Μαρδοχαίος εσημείωσε γραπτώς τα γεγονότα αυτά.

Εσθ. 1,1π - καὶ ἐπέταξεν ὁ βασιλεὺς Μαρδοχαίῳ θεραπεύειν ἐν τῇ αὐλῇ καὶ ἔδωκεν αὐτῷ δόματα περὶ τούτων.

Εσθ. 1,1π - Ο Βασιλεύς έδωσεν εντολήν στον Μαρδοχαίον να υπηρετή εις την αυλήν και του προσέφερεν ακόμη δώρα δια την εξυπηρέτησίν του αυτήν.

Εσθ. 1,1ρ - καὶ ἦν Ἀμὰν Ἀμαδάθου Βουγαῖος ἔνδοξος ἐνώπιον τοῦ βασιλέως· καὶ ἐζήτησε κακοποιῆσαι τὸν Μαρδοχαῖον καὶ τὸν λαὸν αὐτοῦ ὑπὲρ τῶν δύο εὐνούχων τοῦ βασιλέως.

Εσθ. 1,1ρ - Ο Αμάν, ο υιός του Αμαδάθου, ο Βουγαίος, είχε μεγάλην τιμήν και δόξαν ενώπιον του βασιλέως. Επιζητούσε δε ευκαιρίαν να εξολοθρεύση τον Μαρδοχαίον και τον ιουδαϊκόν λαόν ένεκα της καταγγελίας, την οποίαν ο Μαρδοχαίος έκαμεν εναντίον των δύο αυλικών του βασιλέως.

Εσθ. 1,1 - Καὶ ἐγένετο μετὰ τοὺς λόγους τούτους ἐν ταῖς ἡμέραις Ἀρταξέρξου -οὗτος ὁ Ἀρταξέρξης ἀπὸ τῆς Ἰνδικῆς ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἐκράτησεν-

Εσθ. 1,1 - Επειτα από τα γεγονότα αυτά, εις την εποχήν του βασιλέως Αρταξέρξου- αυτός είναι ο Αρταξέρξης, ο οποίος εβασίλευεν από τας Ινδίας μέχρι και της Αιθιοπίας εις εκατόν είκοσι επτά χώρας-

Εσθ. 1,2 - ἐν αὐταῖς ταῖς ἡμέραις ὅτε ἐθρονίσθη βασιλεὺς Ἀρταξέρξης ἐν Σούσοις τῇ πόλει,

Εσθ. 1,2 - κατά την εποχήν, λοιπόν, εκείνην εκάθητο επί του βασιλικού θρόνου εις την πόλιν των Σούσων ο βασιλεύς Αρταξέρξης.

Εσθ. 1,3 - ἐν τῷ τρίτῳ ἔτει βασιλεύοντος αὐτοῦ, δοχὴν ἐποίησε τοῖς φίλοις καὶ τοῖς λοιποῖς ἔθνεσι καὶ τοῖς Περσῶν καὶ Μήδων ἐνδόξοις καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν.

Εσθ. 1,3 - Κατά το τρίτον έτος της βασιλείας του, παρέθεσε τράπεζαν εις όλους τους επισήμους φίλους του, στους εκ των άλλων εθνών φίλους του και στους τα πρώτα φέροντας εκ των Περσών και των Μηδων, οι οποίοι εκυβερνούσαν σατραπείας.

Εσθ. 1,4 - καὶ μετὰ ταῦτα μετὰ τὸ δεῖξαι αὐτοῖς τὸν πλοῦτον τῆς βασιλείας αὐτοῦ καὶ τὴν δόξαν τῆς εὐφροσύνης τοῦ πλούτου αὐτοῦ ἐν ἡμέραις ἑκατὸν ὀγδοήκοντα,

Εσθ. 1,4 - Επί εκατόν δε ογδοήκοντα ημέρας ο βασιλεύς εξέθεσε και επέδειξεν ενώπιον αυτών τον πλούτον της βασιλείας του και την δόξαν και την μεγαλοπρέπειαν των αγαθών του.

Εσθ. 1,5 - ὅτε δὲ ἀνεπληρώθησαν αἱ ἡμέραι τοῦ γάμου, ἐποίησεν ὁ βασιλεὺς πότον τοῖς ἔθνεσι τοῖς εὑρεθεῖσιν εἰς τὴν πόλιν ἐπὶ ἡμέρας ἓξ ἐν αὐλῇ οἴκου τοῦ βασιλέως

Εσθ. 1,5 - Οταν δε συνεπληρώθησαν αι ημέραι του γάμου του, ο βασιλεύς παρέθεσεν εις τας αυλάς των ανακτόρων του συμπόσιον επί εξ ημέρας εις όλους τους λαούς, οι οποίοι ευρίσκοντο εις την πόλιν του.

Εσθ. 1,6 - κεκοσμημένῃ βυσσίνοις καὶ καρπασίνοις τεταμένοις ἐπὶ σχοινίοις βυσσίνοις καὶ πορφυροῖς, ἐπὶ κύβοις χρυσοῖς καὶ ἀργυροῖς, ἐπὶ στύλοις παρίνοις καὶ λιθίνοις· κλῖναι χρυσαῖ καὶ ἀργυραῖ ἐπὶ λιθοστρώτου σμαραγδίτου λίθου καὶ πιννίνου καὶ παρίνου λίθου καὶ στρώμναι διαφανεῖς ποικίλως διηνθισμέναι, κύκλῳ ῥόδα πεπασμένα·

Εσθ. 1,6 - Η αυλή ήτο στολισμένη με σκηνάς εκ βύσσου λευκάς και πρασίνους, αι οποίαι είχαν δεθή με σχοινία από βύσσον και πορφυρά με κρίκους χρυσούς και αργυρούς επάνω εις στύλους από μάρμαρα της Παρου και άλλους λίθους. Εκεί επίσης είχαν στηθή κλίναι χρυσαί και αργυραί στο λιθόστρωτον, το στρωμένον με πολυτίμους λίθους, δηλαδή με σμαραγδίτην, με πίννινον και με πάριον λευκόν μάρμαρον. Επάνω εις αυτάς υπήρχον στρώματα πολυτελέστατα, διηνθισμένα ποικιλοτρόπως. Γυρω δε από αυτά υπήρχον σκορπισμένα ρόδα.

Εσθ. 1,7 - ποτήρια χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἀνθράκινον κυλίκιον προκείμενον ἀπὸ ταλάντων τρισμυρίων· οἶνος πολὺς καὶ ἡδύς, ὃν αὐτὸς ὁ βασιλεὺς ἔπινεν.

Εσθ. 1,7 - Εκεί υπήρχον ποτήρια χρυσά και αργυρά. Υπήρχε δε και ένα πανάκριβον ποτήριον κεκοσμημένον με πολυτίμους λίθους και το οποίον ήξιζε τριάκοντα χιλιάδες τάλαντα. Προσεφέρετο δε οίνος άφθονος και γλυκύτατος, τον οποίον κατά ιδιαιτέρα, προτίμησα έπινεν ο βασιλεύς.

Εσθ. 1,8 - ὁ δὲ πότος οὗτος οὐ κατὰ προκείμενον νόμον ἐγένετο, οὕτως δὲ ἠθέλησεν ὁ βασιλεὺς καὶ ἐπέταξε τοῖς οἰκονόμοις ποιῆσαι τὸ θέλημα αὐτοῦ καὶ τῶν ἀνθρώπων.

Εσθ. 1,8 - Αυτό δε το συμπόσιον δεν εγίνετο σύμφωνα με την καθιερωμένην εθιμοτυπίαν· και τούτο, διότι έτσι ηθέλησεν ο βασιλεύς, ο οποίος μάλιστα είχε διατάξει τους υπηρετούντας στο συμπόσιον αυτό, να φέρωνται και να πράττουν σύμφωνα με το θέλημα το ιδικόν του και των προσκεκλημένων εις αυτό ανθρώπων.

Εσθ. 1,9 - καὶ Ἀστὶν ἡ βασίλισσα ἐποίησε πότον ταῖς γυναιξὶν ἐν τοῖς βασιλείοις, ὅπου ὁ βασιλεὺς Ἀρταξέρξης,

Εσθ. 1,9 - Εξ άλλου και η βασίλισσα Αστίν έκαμε και αυτή συμπόσιον εις τας γυναίκας εντός του βασιλικού ανακτόρου, όπου ευρίσκετο ο Αρταξέρξης.

Εσθ. 1,10 - ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἡδέως γενόμενος ὁ βασιλεὺς εἶπε τῷ Ἀμὰν καὶ Βαζὰν καὶ Θάρρᾳ καὶ Βαραζὶ καὶ Ζαθολθὰ καὶ Ἀβαταζὰ

καὶ Θαραβά, τοῖς ἑπτὰ εὐνούχοις τοῖς διακόνοις τοῦ βασιλέως Ἀρταξέρξου,

Εσθ. 1,10 - Κατά την εβδόμην ημέραν του συμποσίου, ενώ ευρίσκετο εις ευθυμίαν ο βασιλεύς, διέταξε τον Αμάν, τον Βαζάν, τον Θαρα, τον Βαραζί, τον Ζαθολθά, τον Αβαταζά, τον Θαραβά, τους επτά ευνούχους αυλικούς του, οι οποίοι υπηρετούσαν τον βασιλέα Αρταξέρξην,

Εσθ. 1,11 - εἰσαγαγεῖν τὴν βασίλισσαν πρὸς αὐτόν, βασιλεύειν αὐτὴν καὶ περιθεῖναι αὐτῇ τὸ διάδημα καὶ δεῖξαι τοῖς ἄρχουσι καὶ τοῖς ἔθνεσι τὸ κάλλος αὐτῆς, ὅτι καλὴ ἦν.

Εσθ. 1,11 - να παρουσιάσουν ενώπιόν του την βασίλισσαν με όλην αυτής την μεγαλοπρέπειαν, να φορέσουν εις την κεφαλήν της το γυναικείον βασιλικόν διάδημα, να δείξουν αυτήν, την μεγαλοπρέπειαν και το κάλλος της, στους άρχοντας των εθνών, διότι αυτή ήτο πράγματι πολύ ωραία.

Εσθ. 1,12 - καὶ οὐκ εἰσήκουσεν αὐτοῦ Ἀστὶν ἡ βασίλισσα ἐλθεῖν μετὰ τῶν εὐνούχων. καὶ ἐλυπήθη ὁ βασιλεὺς καὶ ὠργίσθη

Εσθ. 1,12 - Η βασίλισσα όμως Αστίν δεν υπήκουσεν εις την εντολήν του βασιλέως, να έλθη με τους αυλικούς ενώπιόν του. Ο βασιλεύς ελυπήθη και ωργίσθη δια την παρακοήν της αυτήν.

Εσθ. 1,13 - καὶ εἶπε τοῖς φίλοις αὐτοῦ· κατὰ ταῦτα ἐλάλησεν Ἀστίν, ποιήσατε οὖν περὶ τούτου νόμον καὶ κρίσιν.

Εσθ. 1,13 - Είπε δε στους φίλους του· “αυτά μου απήντησεν η Αστίν. Σεις δικάσατέ την δια την παρακοήν της αυτήν και πράξατε ο,τι ο νόμος σχετικώς ορίζει”.

Εσθ. 1,14 - καὶ προσῆλθεν αὐτῷ Ἀρκεσαῖος καὶ Σαρσαθαῖος καὶ Μαλησεὰρ οἱ ἄρχοντες Περσῶν καὶ Μήδων, οἱ ἐγγὺς τοῦ βασιλέως, οἱ πρῶτοι παρακαθήμενοι τῷ βασιλεῖ,

Εσθ. 1,14 - Προσήλθεν ενώπιον του βασιλέως ο Αρκεσαίος, ο Σαρσαθαίος, ο Μαλησεάρ, οι άρχοντες των Περσών και των Μηδων, οι οποίοι ευρίσκοντο πλησίον του βασιλέως και κατείχον τας πρώτας θέσεις παρακαθήμενοι κοντά στον βασιλέα.

Εσθ. 1,15 - καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τοὺς νόμους, ὡς δεῖ ποιῆσαι Ἀστὶν τῇ βασιλίσσῃ, ὅτι οὐκ ἐποίησε τὰ ὑπὸ τοῦ βασιλέως προσταχθέντα διὰ τῶν εὐνούχων.

Εσθ. 1,15 - Αυτοί λοιπόν του ανήγγειλαν τι έπρεπε, σύμφωνα με τους κειμένους νόμους, να κάμουν εναντίον της βασιλίσσης Αστίν, διότι αυτή δεν υπήκουσε και δεν έπραξε σύμφωνα με τα όσα διέταξεν ο βασιλεύς δια των αυλικών του.

Εσθ. 1,16 - καὶ εἶπεν ὁ Μουχαῖος πρὸς τὸν βασιλέα καὶ τοὺς ἄρχοντας· οὐ τὸν βασιλέα μόνον ἠδίκησεν Ἀστὶν ἡ βασίλισσα, ἀλλὰ καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς ἡγουμένους τοῦ βασιλέως

Εσθ. 1,16 - Ο Μουχαίος είπε προς τον βασιλέα και προς τους άλλους άρχοντας· “η βασίλισσα Αστίν με την συμπεριφοράν της αυτήν δεν ηδίκησε μόνον τον βασιλέα αλλά και όλους τους άρχοντας και τους αξιωματούχους του βασιλέως”.

Εσθ. 1,17 - (καὶ γὰρ διηγήσατο αὐτοῖς τὰ ῥήματα τῆς βασιλίσσης καὶ ὡς ἀντεῖπε τῷ βασιλεῖ). ὡς οὖν ἀντεῖπε τῷ βασιλεῖ Ἀρταξέρξῃ,

Εσθ. 1,17 - Αυτός είχεν εν τω μεταξύ διηγηθή εις αυτούς τα λόγια της βασιλίσσης και πως παρήκουσεν εις την διαταγήν του βασιλέως). Προσέθεσε δε ότι, όπως αυτή παρήκουσεν στον Αρταξέρξην,

Εσθ. 1,18 - οὕτω σήμερον αἱ τυραννίδες αἱ λοιπαὶ τῶν ἀρχόντων Περσῶν καὶ Μήδων ἀκούσασαι τὰ τῷ βασιλεῖ λεχθέντα ὑπ᾿ αὐτῆς, τολμήσουσιν ὁμοίως ἀτιμάσαι τοὺς ἄνδρας αὐτῶν.

Εσθ. 1,18 - κατά παρόμοιον τρόπον και αι σύζυγοι των διαφόρων διοικητών και αρχόντων Περσών και Μηδων, όταν ακούσουν όσα αυτή αντείπε προς τον βασιλέα, θα αποθρασυνθούν, ώστε να περιφρονήσουν και αυταί κατά παρόμοιον τρόπον τους άνδρας των, εάν η Αστίν δεν τιμωρηθή. Και προσέθεσεν·

Εσθ. 1,19 - εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, προσταξάτω βασιλικόν, καὶ γραφήτω κατὰ τοὺς νόμους Μήδων καὶ Περσῶν· καὶ μὴ ἄλλως χρησάσθω, μηδὲ εἰσελθέτω ἔτι ἡ βασίλισσα πρὸς αὐτόν, καὶ τὴν βασιλείαν αὐτῆς δότω ὁ βασιλεὺς γυναικὶ κρείττονι αὐτῆς.

Εσθ. 1,19 - “Εαν, λοιπόν, φαίνεται καλόν στον βασιλέα, ας εκδώση βασιλικόν διάταγμα, το οποίον και να γραφή στους νόμους των Μηδων και των Περσών, ώστε εις παρομοίας περιστάσεις να εφαρμόζεται αυτό και κανένα άλλο. Το διάταγμα θα ορίζη, να μη παρουσιασθή ποτέ πλέον στον βασιλέα η βασίλισσα, να εκπέση του αξιώματός της και ο βασιλεύς να δώση την βασιλείαν της εις άλλην γυναίκα καλυτέραν από αυτήν.

Εσθ. 1,20 - καὶ ἀκουσθήτω ὁ νόμος ὁ ὑπὸ τοῦ βασιλέως, ὃν ἐὰν ποιῇ ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ οὕτω πᾶσαι αἱ γυναῖκες περιθήσουσι τιμὴν τοῖς ἀνδράσιν ἑαυτῶν, ἀπὸ πτωχοῦ ἕως πλουσίου.

Εσθ. 1,20 - Ας διαλαληθή δε και ας ακουσθή από όλους ο νόμος αυτός του βασιλέως. Ετσι δε αι γυναίκες, όταν μάθουν τι δια νόμου απεφάσισε και πράττει ο βασιλεύς, θα περιβάλλουν με τιμήν τους άνδρας των από τον πτωχόν μέχρι και τον πλέον πλούσιον”.

Εσθ. 1,21 - καὶ ἤρεσεν ὁ λόγος τῷ βασιλεῖ καὶ τοῖς ἄρχουσι, καὶ ἐποίησεν ὁ βασιλεὺς καθὰ ἐλάλησεν ὁ Μουχαῖος·

Εσθ. 1,21 - Ο λόγος αυτός ήρεσεν στον βασιλέα και στους άρχοντας, ο δε βασιλεύς έκαμε εκείνο, το οποίον του είπεν ο Μουχαίος.

Εσθ. 1,22 - καὶ ἀπέστειλεν εἰς πᾶσαν τὴν βασιλείαν κατὰ χώραν, κατὰ τὴν λέξιν αὐτῶν, ὥστε εἶναι φόβον αὐτοῖς ἐν ταῖς οἰκίαις αὐτῶν.

Εσθ. 1,22 - Εστειλε δε αντίγραφα του διατάγματος αυτού εις όλας τας χώρας του βασιλείου του γραμμένα εις την γλώσσαν της χώρας, που απηυθύνοντο. Τούτο δέ, δια να εμπνεύση και επιβάλη μέσα εις τας οικογενείας τον φόβον και τον σεβασμόν των γυναικών προς τους άνδρας των.

ΕΣΘΗΡ 2

Εσθ. 2,1 - Καὶ μετὰ τοὺς λόγους τούτους ἐκόπασεν ὁ βασιλεὺς τοῦ θυμοῦ καὶ οὐκέτι ἐμνήσθη τῆς Ἀστίν, μνημονεύων οἷα ἐλάλησε καὶ ὡς κατέκρινεν αὐτήν.

Εσθ. 2,1 - Αφού επέρασαν τα γεγονότα αυτά, έπεσεν ο θυμός του βασιλέως και δεν ενεθυμήθη πλέον την Αστίν, αλλά μόνον επανέφερεν εις την μνήμην του τα λόγια που αυτή του είχε πει, όπως και το γεγονός, ότι αυτός την είχε καταδικάσει.

Εσθ. 2,2 - καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· ζητηθήτω τῷ βασιλεῖ κοράσια ἄφθορα καλὰ τῷ εἴδει·

Εσθ. 2,2 - Οι δούλοι τότε του βασιλέως του είπαν· “ας ζητήσωμεν να εύρωμεν δια σέ, βασιλεύ, ωραίας νεαρός παρθένους.

Εσθ. 2,3 - καὶ καταστήσει ὁ βασιλεὺς κωμάρχας ἐν πάσαις ταῖς χώραις τῆς βασιλείας αὐτοῦ, καὶ ἐπιλεξάτωσαν κοράσια παρθενικὰ καλὰ τῷ εἴδει εἰς Σοῦσαν τὴν πόλιν εἰς τὸν γυναικῶνα· καὶ παραδοθήτωσαν τῷ εὐνούχῳ τοῦ βασιλέως τῷ φύλακι τῶν γυναικῶν, καὶ δοθήτω σμῆγμα καὶ ἡ λοιπὴ ἐπιμέλεια·

Εσθ. 2,3 - Προς τούτο ο βασιλεύς ας διορίση εις όλας τας επαρχίας του βασιλείου άρχοντας κατά τόπους, να αναλάβουν και να επιλέξουν νεαράς ωραίας παρθένους και να φέρουν αυτάς εις την πόλιν Σούσα, στον γυναικωνίτην του βασιλέως. Αυταί δε ας παραδοθούν στον ευνούχον του βασιλέως, τον φύλακα των γυναικών του, ας δοθούν εις αυτάς καλλυντικά και ας καταβληθή κάθε προσπάθεια και κάθε άλλη φροντίς δια την καλήν των εμφάνισιν.

Εσθ. 2,4 - καὶ ἡ γυνή, ᾗ ἂν ἀρέσῃ τῷ βασιλεῖ, βασιλεύσει ἀντὶ Ἀστίν. καὶ ἤρεσε τῷ βασιλεῖ τὸ πρᾶγμα, καὶ ἐποίησεν οὕτως.

Εσθ. 2,4 - Από αυτάς δε η γυναίκα εκείνη, η οποία θα αρέση στον βασιλέα, θα γίνη βασίλισσα αντί της Αστίν”. Η πρότασις αυτή ήρεσεν στον βασιλέα και έκαμεν, όπως του είπαν.

Εσθ. 2,5 - καὶ ἄνθρωπος ἦν Ἰουδαῖος ἐν Σούσοις τῇ πόλει, καὶ ὄνομα αὐτοῦ Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου, τοῦ Σεμεΐου, τοῦ Κισσαίου, ἐκ φυλῆς Βενιαμίν,

Εσθ. 2,5 - Εις τα Σούσα·, εις την πόλιν αυτήν, εζούσεν ένας άνθρωπος Ιουδαίος, ο οποίος ωνομάζετο Μαρδοχαίος. Ητο υιός του Ιαΐρου, υιού του Σεμεΐου, υιού του Κισσαίου, από την φυλήν Βενιαμίν.

Εσθ. 2,6 - ὃς ἦν αἰχμάλωτος ἐξ Ἱερουσαλήμ, ἣν ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος.

Εσθ. 2,6 - Αυτός ήτο από τους Ιουδαίους αιχμαλώτους της Ιερουσαλήμ, τους οποίους ο Ναβουνοδονόσορ ο βασιλεύς είχεν απαγάγει αιχμαλώτους.

Εσθ. 2,7 - καὶ ἦν τούτῳ παῖς θρεπτή, θυγάτηρ Ἀμιναδὰβ ἀδελφοῦ πατρὸς αὐτοῦ, καὶ ὄνομα αὐτῇ Ἐσθήρ· ἐν δὲ τῷ μεταλλάξαι αὐτῆς τοὺς γονεῖς ἐπαίδευσεν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα· καὶ ἦν τὸ κοράσιον καλὸν τῷ εἴδει.

Εσθ. 2,7 - Αυτός είχεν αναθρέψει μίαν κόρην θυγατέρα του θείου του Αμιναδάβ, αδελφού του πατρός του. Αυτή ωνομάζετο Εσθήρ. Οταν δε απέθαναν οι γονείς της, ο Μαρδοχαίος την ανέλαβεν υπό την προστασίαν του και εφρόντιζε δι' αυτήν, με τον σκοπόν να την λάβη αργότερα ως σύζυγόν του. Η κόρη δε αυτή ήτο πολύ ωραία κατά την μορφήν.

Εσθ. 2,8 - καὶ ὅτε ἠκούσθη τὸ τοῦ βασιλέως πρόσταγμα, συνήχθησαν πολλὰ κοράσια εἰς Σοῦσαν τὴν πόλιν ὑπὸ χεῖρα Γαΐ, καὶ ἤχθη Ἐσθὴρ πρὸς Γαΐ τὸν φύλακα τῶν γυναικῶν.

Εσθ. 2,8 - Οταν έγινε γνωστόν το βασιλικόν διάταγμα, συνεκεντρώθησαν πολλά κοράσια εις την πόλιν Σούσα υπό την ευθύνην και την φροντίδα του Γαϊ. Προς αυτόν τον Γαϊ, τον φύλακα των γυναικών του βασιλέως, ωδηγήθη και η Εσθήρ.

Εσθ. 2,9 - καὶ ἤρεσεν αὐτῷ τὸ κοράσιον καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ· καὶ ἔσπευσε δοῦναι αὐτῇ τὸ σμῆγμα καὶ τὴν μερίδα καὶ τὰ ἑπτὰ κοράσια τὰ ὑποδεδειγμένα αὐτῇ ἐκ βασιλικοῦ καὶ ἐχρήσατο αὐτῇ καλῶς καὶ ταῖς ἅβραις αὐτῆς ἐν τῷ γυναικῶνι.

Εσθ. 2,9 - Εις αυτόν ήρεσεν η Εσθήρ περισσότερον από κάθε άλλην και εύρε χάριν ενώπιόν του. Ο Γαϊ έσπευσε και έδωσεν εις αυτήν τα καλλυντικά και κάθε άλλην περιποιήση αναφερομένην εις την δίαιτάν της, όπως επίσης και επτά παρθένους που είχαν επιλεγή από τον βασιλικόν οίκον, εις υπηρεσίαν της. Ο Γαϊ προσέφερε κάθε περιποίησιν προς αυτήν και εις τας θεραπαινίδας της, τας οποίας και ωδήγησεν στον γυναικωνίτην.

Εσθ. 2,10 - καὶ οὐχ ὑπέδειξε Ἐσθὴρ τὸ γένος αὐτῆς οὐδὲ τὴν πατρίδα· ὁ γὰρ Μαρδοχαῖος ἐνετείλατο αὐτῇ μὴ ἀπαγγεῖλαι·

Εσθ. 2,10 - Η Εσθήρ δεν κατέστησε γνωστήν την καταγωγήν της ούτε την πατρίδα της, διότι, ο Μαρδοχαίος της είχε δώσει εντολήν να μη ανακοινώση τίποτε από αυτά.

Εσθ. 2,11 - καθ᾿ ἑκάστην δὲ ἡμέραν περιεπάτει ὁ Μαρδοχαῖος κατὰ τὴν αὐλὴν τὴν γυναικείαν ἐπισκοπῶν τί Ἐσθὴρ συμβήσεται.

Εσθ. 2,11 - Καθε δε ημέραν ο Μαρδοχαίος περιπατούσε έξω από την αυλήν των γυναικών, παρατηρούσε και επιθυμούσε να μάθη τι θα γίνη με την Εσθήρ.

Εσθ. 2,12 - οὗτος δὲ ἦν καιρὸς κορασίου εἰσελθεῖν πρὸς τὸν βασιλέα, ὅταν ἀναπληρώσῃ μῆνας δεκαδύο· οὕτως γὰρ αναπληροῦνται αἱ ἡμέραι τῆς θεραπείας, μῆνας ἓξ ἀλειφόμεναι ἐν σμυρνίνῳ ἐλαίῳ καὶ μῆνας ἓξ ἐν τοῖς ἀρώμασι καὶ ἐν τοῖς σμήγμασι τῶν γυναικῶν,

Εσθ. 2,12 - Συμφώνως δε προς τα καθιερωμένα έπρεπε μετά την συμπλήρωσιν δώδεκα μηνών να εμφανισθή η κόρη ενώπιον του βασιλέως. Αι ημέραι δε της προετοιμασίας των επερνούσαν ως εξής· επί εξ μήνας αι κόραι ηλείφοντο με έλαιον από σμύρναν και επί άλλους εξ μήνας με αρώματα και άλλα καλλυντικά, που εχρησιμοποιούσαν αι γυναίκες.

Εσθ. 2,13 - καὶ τότε εἰσπορεύεται πρὸς τὸν βασιλέα. καὶ ᾧ ἐὰν εἴπῃ, παραδώσει αὐτὴν συνεισέρχεσθαι αὐτῷ ἀπὸ τοῦ γυναικῶνος ἕως τῶν βασιλείων.

Εσθ. 2,13 - Και τότε η υποψηφία σύζυγος του βασιλέως ωδηγείτο ενώπιον αυτού. Ο ευνούχος, προς τον οποίον ο βασιλεύς ήθελε δώσει την σχετικήν εντολήν, θα ωδηγούσεν αυτήν από τον γυναικωνίτην εις τα βασιλικά ανάκτορα.

Εσθ. 2,14 - δείλης εἰσπορεύεται καὶ πρὸς ἡμέραν ἀποτρέχει εἰς τὸν γυναικῶνα τὸν δεύτερον, οὗ Γαΐ ὁ εὐνοῦχος τοῦ βασιλέως ὁ φύλαξ τῶν γυναικῶν, καὶ οὐκέτι εἰσπορεύεται πρὸς τὸν βασιλέα, ἐὰν μὴ κληθῇ ὀνόματι.

Εσθ. 2,14 - Αυτή δε πηγαίνει εκεί την εσπέραν· και την επομένην πρωΐαν εισέρχεται στον δεύτερον οίκον, όπου ο Γαϊ ο ευνούχος του βασιλέως ευρίσκεται, ο φύλαξ των γυναικών. Δεν έχει δε πλέον το δικαίωμα να επανέλθη προς τον βασιλέα, εάν δεν κληθή από αυτόν ονομαστί.

Εσθ. 2,15 - ἐν δὲ τῷ ἀναπληροῦσθαι τὸν χρόνον Ἐσθὴρ τῆς θυγατρὸς Ἀμιναδὰβ ἀδελφοῦ πατρὸς Μαρδοχαίου εἰσελθεῖν πρὸς τὸν βασιλέα οὐδὲν ἠθέτησεν, ὧν ἐνετείλατο ὁ εὐνοῦχος ὁ φύλαξ τῶν γυναικῶν· ἦν γὰρ Ἐσθὴρ εὑρίσκουσα χάριν παρὰ πάντων τῶν βλεπόντων αὐτήν.

Εσθ. 2,15 - Οταν λοιπόν συνεπληρώθη ο χρόνος, κατά ταν οποίον η Εσθήρ, η θυγάτηρ του Αμιναδάβ, αδελφού του πατρύς του Μαρδοχαίου, επρόκειτο να εισέλθη προς τον βασιλέα, η Εσθήρ δεν παρέλειψε και ούτε παρήκουσε τίποτε, από όσα είχε δώσει εντολήν εις αυτήν να προσέξη ο ευνούχος, ο φύλαξ των γυναικών. Ετσι δε φερομένη η Εσθήρ εύρισκε χάριν εκ μέρους όλων όσοι την έβλεπον.

Εσθ. 2,16 - καὶ εἰσῆλθεν Ἐσθὴρ πρὸς Ἀρταξέρξην τὸν βασιλέα τῷ δωδεκάτῳ μηνί, ὅς ἐστιν Ἀδάρ, τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ.

Εσθ. 2,16 - Η Εσθήρ πράγματι παρουσιάσθη στον βασιλέα τον Αρταξέρξην, κατά τον δωδέκατον μήνα, τον μήνα δηλαδή Αδάρ, κατά το

έβδομον έτος της βασιλείας αυτού.

Εσθ. 2,17 - καὶ ἠράσθη ὁ βασιλεὺς Ἐσθήρ, καὶ εὗρε χάριν παρὰ πάσας τὰς παρθένους, καὶ ἐπέθηκεν αὐτῇ τὸ διάδημα τὸ γυναικεῖον.

Εσθ. 2,17 - Ο βασιλεύς την ηγάπησε πάρα πολύ, διότι αυτή ευρήκε χάριν ενώπιόν του περισσότερον από όλας τας άλλας παρθένους. Εθεσε δε επάνω εις την κεφαλήν της τα γυναικείον βασιλικόν διάδημα.

Εσθ. 2,18 - καὶ ἐποίησεν ὁ βασιλεὺς πότον πᾶσι τοῖς φίλοις αὐτοῦ καὶ ταῖς δυνάμεσιν ἐπὶ ἡμέρας ἑπτὰ καὶ ὕψωσε τοὺς γάμους Ἐσθὴρ καὶ ἄφεσιν ἐποίησε τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ.

Εσθ. 2,18 - Ο βασιλεύς επανηγύρισε με μεγάλην λαμπρότητα τους γάμους της Εσθήρ, παρέθεσε μέγα συμπόσιον εις όλους τους φίλους του και τους άρχοντας επί επτά ημέρας, παρεχώρησε μεγάλας δωρεάς και έδωσεν άψεσιν χρεών στους ανθρώπους της βασιλείας του.

Εσθ. 2,19 - ὁ δὲ Μαρδοχαῖος ἐθεράπευεν ἐν τῇ αὐλῇ.

Εσθ. 2,19 - Ο Μαρδοχαίος υπηρετούσε πάντοτε εις την βασιλικήν αυλήν.

Εσθ. 2,20 - ἡ δὲ Ἐσθὴρ οὐχ ὑπέδειξε τὴν πατρίδα αὐτῆς· οὕτως γὰρ ἐνετείλατο αὐτῇ Μαρδοχαῖος, φοβεῖσθαι τὸν Θεὸν καὶ ποιεῖν τὰ προστάγματα αὐτοῦ, καθὼς ἦν μετ᾿ αὐτοῦ καὶ Ἐσθὴρ οὐ μετήλλαξε τὴν ἀγωγὴν αὐτῆς.

Εσθ. 2,20 - Η Εσθήρ δεν ανεκοίνωσε και δεν εγνωστοποίησεν εις κανένα την πατρίδα της, διότι αυτήν την εντολήν της είχε δώσει ο Μαρδοχαίος. Να φοβήται τον Θεόν, να τηρή τας θείας εντολάς, όπως όταν αυτή ευρίσκετο μαζή του. Η Εσθήρ, και όταν έγινε βασίλισσα, δεν ήλλαξε τρόπον συμπεριφοράς και ζωής.

Εσθ. 2,21 - Καὶ ἐλυπήθησαν οἱ δύο εὐνοῦχοι τοῦ βασιλέως, οἱ ἀρχισωματοφύλακες, ὅτι προήχθη Μαρδοχαῖος, καὶ ἐζήτουν ἀποκτεῖναι Ἀρταξέρξην τὸν βασιλέα.

Εσθ. 2,21 - Οι δύο αυλικοί, οι αρχισωματοφύλακες του βασιλέως, εστενοχωρήθησαν, διότι προήχθη εις επίζηλον θέσιν ο Μαρδοχαίος και εζητούσαν ευκαιρίαν να δολοφονήσουν τον βασιλέα Αρταξέρξην.

Εσθ. 2,22 - καὶ ἐδηλώθη Μαρδοχαίῳ ὁ λόγος, καὶ ἐσήμανεν Ἐσθήρ, καὶ αὐτὴ ἐνεφάνισε τῷ βασιλεῖ τὰ τῆς ἐπιβουλῆς

Εσθ. 2,22 - Η συνωμοσία όμως αυτή έγινε γνωστή στον Μαρδοχαίον, ο οποίος την εφανέρωσεν εις την Εσθήρ, η δε Εσθήρ ανέφερε τα της συνωμοσίας αυτής στον βασιλέα.

Εσθ. 2,23 - ὁ δὲ βασιλεὺς ἤτασε τοὺς δύο εὐνούχους καὶ ἐκρέμασεν αὐτούς· καὶ προσέταξεν ὁ βασιλεὺς καταχωρίσαι εἰς μνημόσυνον ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ὑπὲρ τῆς εὐνοίας Μαρδοχαίου ἐν ἐγκωμίῳ.

Εσθ. 2,23 - Ο βασιλεύς εξήτασε τους δύο αυλικούς του, ευρήκεν αυτούς ενόχους, διέταξε δε και τους εκρέμασαν. Διέταξεν επίσης ο βασιλεύς να

καταχωρηθή το γεγονός αυτό εις ανάμνησιν εις τα βασιλικά χρονικά προς ένδειξιν ευνοίας και επαίνου εκ μέρους του βασιλέως στον Μαρδοχαίον.

ΕΣΘΗΡ 3

Εσθ. 3,1 - Μετὰ δὲ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς Ἀρταξέρξης Ἀμὰν Ἀμαδάθου Βουγαῖον καὶ ὕψωσεν αὐτόν, καὶ ἐπρωτοβάθρει πάντων τῶν φίλων αὐτοῦ.

Εσθ. 3,1 - Επειτα από τα γεγονότα αυτά, ο βασιλεύς Αρταξέρξης ετίμησε και εδόξασεν ιδιαιτέρως τον Αμάν, τον υιόν του Αμαδάθου, τον Βουγαίον και του έδωσε την πρώτην θέσιν υπεράνω από όλους τους φίλους του.

Εσθ. 3,2 - καὶ πάντες οἱ ἐν τῇ αὐλῇ προσεκύνουν αὐτῷ, οὕτως γὰρ προσέταξεν ὁ βασιλεὺς ποιῆσαι· ὁ δὲ Μαρδοχαῖος οὐ προσεκύνει αὐτῷ.

Εσθ. 3,2 - Ολοι δε εκείνοι, οι οποίοι ευρίσκοντο εις την βασιλικήν αυλήν, τον προσκυνούσαν, διότι έτσι είχε διατάξει ο βασιλεύς να φέρωνται απέναντί του. Ο Μαρδοχαίος όμως δεν τον επροσκυνούσε.

Εσθ. 3,3 - καὶ ἐλάλησαν οἱ ἐν τῇ αὐλῇ τοῦ βασιλέως τῷ Μαρδοχαίῳ· Μαρδοχαῖε, τί παρακούεις τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα;

Εσθ. 3,3 - Οι άνθρωποι της βασιλικής αυλής έλεγαν στον Μαρδοχαίον· “Μαρδοχαίε, διατί παρακούεις τας διαταγάς του βασιλέως;”

Εσθ. 3,4 - καθ᾿ ἑκάστην ἡμέραν ἐλάλουν αὐτῷ, καὶ οὐχ ὑπήκουεν αὐτῶν· καὶ ὑπέδειξαν τῷ Ἀμὰν Μαρδοχαῖον τοῖς τοῦ βασιλέως λόγοις ἀντιτασσόμενον· καὶ ὑπέδειξεν αὐτοῖς ὁ Μαρδοχαῖος ὅτι Ἰουδαῖός ἐστι.

Εσθ. 3,4 - Καθε δε ημέραν έλεγαν και ξαναέλεγαν προς αυτόν τα ίδια. Αυτός όμως δεν υπήκουσεν εις αυτούς. Οι άνθρωποι της αυλής ανέφεραν τότε το γεγονός στον Αμάν, ότι δηλαδή ο Μαρδοχαίος αντιτάσσεται εις τας διαταγάς του βασιλέως. Ο Μαρδοχαίος όμως είχεν αναφέρει εις αυτούς ότι είναι Ιουδαίος, και δεν του επέτρεπεν η θρησκεία του να προσκυνή ανθρώπους.

Εσθ. 3,5 - καὶ ἐπιγνοὺς Ἀμὰν ὅτι οὐ προσκυνεῖ αὐτῷ Μαρδοχαῖος, ἐθυμώθη σφόδρα

Εσθ. 3,5 - Ο Αμάν, όταν έμαθε τα γεγονότα αυτά, ότι δηλαδή ο Μαρδοχαίος δεν τον προσκυνεί, ωργίσθη πάρα πολύ εναντίον του

Εσθ. 3,6 - καὶ ἐβουλεύσατο ἀφανίσαι πάντας τοὺς ὑπὸ τὴν Ἀρταξέρξου βασιλείαν Ἰουδαίους.

Εσθ. 3,6 - και εσκέφθη να εξολοθρεύση όλους τους Ιουδαίους, οι οποίοι ευρίσκοντο υπό την βασιλείαν του Αρταξέρξου.

Εσθ. 3,7 - καὶ ἐποίησε ψήφισμα ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας Ἀρταξέρξου καὶ ἔβαλε κλήρους ἡμέραν ἐξ ἡμέρας καὶ μῆνα ἐκ μηνός, ὥστε

ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος Μαρδοχαίου, καὶ ἔπεσεν ὁ κλῆρος εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνός, ὅς ἐστιν Ἀδάρ.

Εσθ. 3,7 - Συνέταξε, λοιπόν, ένα βασιλικόν διάταγμα κατά το δωδέκατον έτος της βασιλείας του Αρταξέρξου, έρριψε κλήρους δια να ορισθή η ημέρα και ο μήνας, κατά τον οποίον θα έπρεπε εις μίαν και μόνην ημέραν να εξολοθρευθή το γένος του Μαρδοχαίου, και έπεσεν ο κλήρος εις την δεκάτην τετάρτην του μηνός Αδάρ.

Εσθ. 3,8 - καὶ ἐλάλησε πρὸς τὸν βασιλέα Ἀρταξέρξης λέγων· ὑπάρχει ἔθνος διεσπαρμένον ἐν τοῖς ἔθνεσιν ἐν πάσῃ τῇ βασιλείᾳ σου, οἱ δὲ νόμοι αὐτῶν ἔξαλλοι παρὰ πάντα τὰ ἔθνη, τῶν δὲ νόμων τοῦ βασιλέως παρακούουσι, καὶ οὐ συμφέρει τῷ βασιλεῖ ἐᾶσαι αὐτούς·

Εσθ. 3,8 - Είπε δε τότε ο Αμάν προς τον Αρταξέρξην, τον βασιλέα. "Υπάρχει διεοσπαρμένον μεταξύ των εθνών όλης της βασιλείας σου ένα έθνος, του οποίου οι νόμοι είναι διαφορετικοί από τους νόμους όλων των άλλων εθνών. Αυτοί, λοιπόν, δεν υπακούουν στους νόμους του βασιλέως και είναι προφανές ότι δεν είναι συμφέρον στον βασιλέα να αφήση αυτούς να ζουν.

Εσθ. 3,9 - εἰ δοκεῖ τῷ βασιλεῖ, δογματισάτω ἀπολέσαι αὐτούς, κἀγὼ διαγράψω εἰς τὸ γαζοφυλάκιον τοῦ βασιλέως ἀργυρίου τάλαντα μύρια.

Εσθ. 3,9 - Εάν λοιπόν φαίνεται καλόν στον βασιλέα, ας εκδώση ένα διάταγμα καταστροφής των, εγώ δε εγγράφως θα αναλάβω την υποχρέωσιν να καταθέσω στο θησαυροφυλάκιον του βασιλέως δέκα χιλιάδες τάλαντα αργυρίου".

Εσθ. 3,10 - καὶ περιελόμενος ὁ βασιλεὺς τὸ δακτύλιον ἔδωκεν εἰς χεῖρας τῷ Ἀμὰν σφραγίσαι κατὰ τῶν γεγραμμένων κατὰ τῶν Ἰουδαίων.

Εσθ. 3,10 - Ο βασιλεύς αφήρεσε το δακτυλίδι του, επί του οποίου υπήρχε και η βασιλική σφραγίς, έδωκεν αυτό εις τα χέρια του Αμάν, δια να σφραγίση το διάταγμα του ολέθρου των Ιουδαίων,

Εσθ. 3,11 - καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἀμάν· τὸ μὲν ἀργύριον ἔχε, τῷ δὲ ἔθνει χρῶ ὡς βούλει.

Εσθ. 3,11 - και είπεν ο βασιλεύς στον Αμάν· "κράτησε το αργύριόν σου, ως προς δε το έθνος αυτό κάμε ο,τι συ θέλεις".

Εσθ. 3,12 - καὶ ἐκλήθησαν οἱ γραμματεῖς τοῦ βασιλέως μηνὶ πρώτῳ τῇ τρισκαιδεκάτῃ καὶ ἔγραψαν, ὡς ἐπέταξεν Ἀμάν, τοῖς στρατηγοῖς, καὶ τοῖς ἄρχουσι κατὰ πᾶσαν χώραν ἀπὸ Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ταῖς ἑκατὸν εἰκοσιεπτὰ χώραις, τοῖς τε ἄρχουσι τῶν ἐθνῶν κατὰ τὴν αὐτῶν λέξιν δι᾿ Ἀρταξέρξου τοῦ βασιλέως.

Εσθ. 3,12 - Προσεκλήθησαν λοιπόν οι γραμματείς του βασιλέως την δεκάτην τρίτην του πρώτου μηνός και, όπως τους διέταξεν ο Αμάν, συνέταξαν και έστειλαν το διάταγμα στους στρατηγούς και στους άρχοντας

όλων των χωρών της βασιλείας του Αρταξέρξου, από της Ινδίας μέχρι και της Αιθιοπίας, εις εκατόν είκοσι επτά χώρας. Το διάταγμα δε αυτό του βασιλέως Αρταξέρξου προς τους άρχοντας των διαφόρων εθνών εγράφη και εις την γλώσσαν εκάστου έθνους.

Εσθ. 3,13 - καὶ ἀπεστάλη διὰ βιβλιοφόρων εἰς τὴν Ἀρταξέρξου βασιλείαν ἀφανίσαι τὸ γένος τῶν Ἰουδαίων ἐν ἡμέρᾳ μιᾶ μηνὸς δωδεκάτου, ὅς ἐστιν Ἀδάρ, καὶ διαρπάσαι τὰ ὑπάρχοντα αὐτῶν.

Εσθ. 3,13 - Αυτά τα έγγραφα εστάλησαν με ταχυδρόμους εις όλην την βασιλείαν του Αρταξέρξου, δια να εξαφανισθή το γένος των Ιουδαίων εις μίαν και την αυτήν ημέραν του δωδεκάτου μηνός, ο οποίος ωνομάζετο Αδάρ, τα δε υπάρχοντά των να διαρπαγούν.

Εσθ. 3,13α - Τῆς δὲ ἐπιστολῆς ἐστι τὸ ἀντίγραφον τόδε· «Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἄρχουσι καὶ τοπάρχαις ὑποτεταγμένοις τάδε γράφει·

Εσθ. 3,13[α] - Αυτό το διάταγμα του βασιλέως περιείχε τα εξής· “ο μέγας βασιλεύς Αρταξέρξης δίδει διαταγήν στους υπό την εξουσίαν του άρχοντας και διοικητάς των εκατόν είκοσι επτά επαρχιών, αι οποίαι εκτείνονται από την Ινδικήν μέχρι και της Αιθιοπίας·

Εσθ. 3,13β - πολλῶν ἐπάρξας ἐθνῶν καὶ πάσης ἐπικρατήσας οἰκουμένης, ἐβουλήθην μὴ τῷ θράσει τῆς ἐξουσίας ἐπαιρόμενος, ἐπιεικέστερον δὲ καὶ μετὰ ἠπιότητος ἀεὶ διεξάγων, τοὺς τῶν ὑποτεταγμένων ἀκυμάντους διαπαντὸς καταστῆσαι βίους, τήν τε βασιλείαν ἥμερον καὶ πορευτὴν μέχρι περάτων παρεξόμενος ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς πᾶσιν ἀνθρώποις εἰρήνην.

Εσθ. 3,13β - Μολονότι είμαι άρχων πολλών εθνών και κυρίαρχος όλης της οικουμένης, ηθέλησα να σας διοικήσω όχι εγωϊστικώς, στηριζόμενος εις την δύναμιν της εξουσίας μου· αλλά με επιείκειαν πάντοτε και με ηπιότητα διεξάγω την διοίκησιν αυτήν. Με την συνετήν και στοργικήν αυτήν διοίκησίν μου ηθέλησα να καταστήσω την ζωήν των υπηκόων μου ήρεμον πάντοτε και ατάραχον, την δε βασιλείαν μου επιεική και ασφαλή μέχρι των ακροτάτων ορίων της. Διότι φροντίζω να δίδω και να ανανεώνω και σταθεροποιώ την ποθητήν εις όλους τους ανθρώπους ειρήνην.

Εσθ. 3,13γ - πυθομένου δέ μου τῶν συμβούλων, πῶς ἂν ἀχθείη τοῦτο ἐπὶ πέρας, ὁ σωφροσύνῃ παρ᾿ ἡμῖν διενέγκας καὶ ἐν τῇ εὐνοίᾳ ἀπαραλλάκτως καὶ βεβαίᾳ πίστει ἀποδεδειγμένος καὶ δεύτερον τῶν βασιλειῶν γέρας ἀπενηνεγμένος Ἀμὰν

Εσθ. 3,13γ - Ηρώτησα επί του σημείου αυτού τους συμβούλους μου, πως είναι δυνατόν να επιτευχθή η ποθητή ειρηνική αυτή κατάστασις και ένας από αυτούς, ονομαζόμενος Αμάν, ο οποίος κατά την σύνεσιν και σοφίαν ξεπερνά όλους όσοι ευρίσκονται κοντά μας, είναι δε γνωστός δια την ακλόνητον

αγάπην του και σταθεράν του πίστιν προς εμέ και ο οποίος κατέχει την δευτέραν θέσιν στο βασίλειόν μου,

Εσθ. 3,13δ - ἐπέδειξεν ἡμῖν ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην φυλαῖς ἀναμεμεῖχθαι δυσμενῆ λαόν τινα τοῖς νόμοις ἀντίθετον πρὸς πᾶν ἔθνος τά τε τῶν βασιλέων παραπέμποντας διηνεκῶς διατάγματα, πρὸς τὸ μὴ κατατίθεσθαι τὴν ὑφ᾿ ἡμῶν κατευθυνομένην ἀμέμπτως συναρχίαν.

Εσθ. 3,13δ - κατέστησεν εις ημάς γνωστόν ότι μεταξύ όλων των φυλών της οικουμένης έχει διασπαρή και αναμιχθή ένας δύστροπος λαός, ο οποίος με τους ιδικούς του νόμους είναι αντίθετος προς κάθε άλλο έθνος, παραβαίνει δε πάντοτε τα διατάγματα των βασιλέων, με τον σκοπόν να μη σταθεροποιηθη ειρηνικώς και αμέμπτως η αρμονία εις την αυτοκρατορίαν, την οποίαν ημείς διοικούμεν.

Εσθ. 3,13ε - διειληφότες οὖν τόδε τὸ ἔθνος μονώτατον ἐν ἀντιπαραγωγῇ παντὶ διαπαντὸς ἀνθρώπῳ κείμενον, διαγωγὴν νόμων ξενίζουσαν παραλλάσσον καὶ δυσνοοῦν τοῖς ἡμετέροις πράγμασι τὰ χείριστα συντελοῦν κακὰ καὶ πρὸς τὸ μὴ τὴν βασιλείαν εὐσταθείας τυγχάνειν·

Εσθ. 3,13ε - Εξηκριβώσαμεν, λοιπόν, ότι αυτός μόνος ο λαός ευρίσκεται εις αντίθεσιν προς όλον το ανθρώπινον γένος με νόμους ιδικούς του παράξενους και διαφορετικούς από τους νόμους της αυτοκρατορίας, σκέπτεται πονηρά εναντίον των ιδικών μας πραγμάτων, διαπράττει τα χείριστα κακά και έτσι εμποδίζει, την σταθερότητα του βασιλείου μου.

Εσθ. 3,13ζ - προστετάχαμεν οὖν τοὺς σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ Ἀμὰν τοῦ τεταγμένου ἐπὶ τῶν πραγμάτων καὶ δευτέρου πατρὸς ἡμῶν πάντας σὺν συναιξὶ καὶ τέκνοις ἀπολέσαι ὁλοῤῥιζεὶ ταῖς τῶν ἐχθρῶν μαχαίραις ἄνευ παντὸς οἴκτου καὶ φειδοῦς, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς Ἀδάρ, τοῦ ἐνεστῶτος ἔτους,

Εσθ. 3,13ζ - Διετάξαμεν, λοιπόν, όπως αυτοί οι Ιουδαίοι, που επισημαίνονται από το διάταγμα το συνταχθέν από τυν Αμάν, ο οποίος και έχει αναλάβει την ευθύνην των υποθέσεων του κράτους και κατέχει θέσιν δευτέρου πατρός μας, διετάξαμεν, όπως όλοι αυτοί με τας γυναίκας και τα παιδιά των εξοντωθούν και ξερριζωθούν υλοκληρωτικώς με εχθρικήν μάχαιραν χωρίς οίκτον και λύπην κατά την δεκάτην τετάρτην ημέραν του δωδεκάτου μηνός Αδάρ, του τρέχοντος έτους.

Εσθ. 3,13η - ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ᾅδην κατελθόντες, εἰς τὸν μετέπειτα χρόνον εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῖν διὰ τέλους τὰ πράγματα».

Εσθ. 3,13η - Διατάσσω λοιπόν, όπως οι κατά το παρελθόν και το παρόν εχθροί μας αυτοί άνθρωποι καταβούν όλοι την ιδίαν ημέραν με βίαιον θάνατον στον άδην και έτσι να μας αφήσουν κατά τον υπόλοιπον χρόνον να κυβερνήσωμεν τας κρατικός υποθέσεις μας με σταθερότητα και ειρήνην”.

Εσθ. 3,14 - Τὰ δὲ ἀντίγραφα τῶν ἐπιστολῶν ἐξετίθετο κατὰ χώραν, καὶ προσετάγη πᾶσι τοῖς ἔθνεσιν ἑτοίμους εἶναι εἰς τὴν ἡμέραν ταύτην.

Εσθ. 3,14 - Τα αντίγραφα των διαταγμάτων αυτών εκοινοποιήθησαν εις όλας τας χώρας και διετάχθησαν όλα τα έθνη να είναι έτοιμα κατά την ημέραν εκείνην.

Εσθ. 3,15 - ἐσπεύδετο δὲ τὸ πρᾶγμα καὶ εἰς Σοῦσαν· ὁ δὲ βασιλεὺς καὶ Ἀμὰν ἐκωθωνίζοντο, ἐταράσσετο δὲ ἡ πόλις.

Εσθ. 3,15 - Καθ' ον δε χρόνον επεσπεύδετο η δημοσίευσις του Διατάγματος και εις τα Σούσα, ο βασιλεύς και ο Αμάν έπιναν και διεσκέδαζαν, ενώ μεγάλη αναταραχή συνετάρασσε την πόλιν.

ΕΣΘΗΡ 4

Εσθ. 4,1 - Ὁ δὲ Μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον διέῤῥηξεν τὰ ἱμάτια ἑαυτοῦ καὶ ἐνεδύσατο σάκκον καὶ κατεπάσατο σποδὸν καὶ ἐκπηδήσας διὰ τῆς πλατείας τῆς πόλεως ἐβόα φωνῇ μεγάλῃ· αἴρεται ἔθνος μηδὲν ἠδικηκός.

Εσθ. 4,1 - Ο Μαρδοχαίος όταν επληροφορήθη αυτά, τα οποία εγίνοντο, διέρρηξε τα ενδύματά του και εφόρεσε ένα σάκκον εις ένδειξιν του μεγάλου πένθους του. Εσκόρπισε στάκτην επάνω στο κεφάλι του, εβγήκε ταχέως εις την πλατείαν της πόλεως και εκραύγαζε με φωνήν μεγάλην. “Εξολοθρεύεται ένα έθνος, ενώ δεν έχει διαπράξει καμμίαν αδικίαν”.

Εσθ. 4,2 - καὶ ἦλθεν ἕως τῆς πύλης τοῦ βασιλέως καὶ ἔστη· οὐ γὰρ ἦν αὐτῷ ἐξὸν εἰσελθεῖν εἰς τὴν αὐλὴν σάκκον ἔχοντι καὶ σποδόν.

Εσθ. 4,2 - Εφθασεν έως εις την πύλην της βασιλικής αυλής και εκεί εσταμάτησε, διότι δεν του ήτο επιτετραμμένον να εισέλθη εις την αυλήν, επειδή εφορούσε ένδυμα από σάκκον και είχεν στο κεφάλι του στάκτην.

Εσθ. 4,3 - καὶ ἐν πάσῃ χώρᾳ, οὗ ἐξετίθετο τὰ γράμματα, κραυγὴ καὶ κοπετὸς καὶ πένθος μέγα τοῖς Ἰουδαίοις, σάκκον καὶ σποδὸν ἔστρωσαν ἑαυτοῖς.

Εσθ. 4,3 - Εις όλην δε την χώραν, όπου εκοινοποιείτο το διάταγμα του βασιλέως, θρηνώδεις κραυγαί και κοπετοί ηκούοντο μεταξύ των Ιουδαίων, διότι μεγάλο πένθος είχεν απλωθή εις αυτούς. Πολλοί από αυτούς έστρωναν σάκκινα ενδύματα και εκοιμώντο επάνω εις αυτά και εις την στάκτην.

Εσθ. 4,4 - καὶ εἰσῆλθον αἱ ἅβραι καὶ οἱ εὐνοῦχοι τῆς βασιλίσσης καὶ ἀνήγγειλαν αὐτῇ, καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονὸς καὶ ἀπέστειλε στολίσαι τὸν Μαρδαχαῖον καὶ ἀφελέσθαι αὐτοῦ τὸν σάκκον· ὁ δὲ οὐκ ἐπείσθη.

Εσθ. 4,4 - Αι δούλαι και οι αυλικοί υπηρέται της βασιλίσσης παρουσιάσθησαν εις την Εσθήρ και της ανήγγειλαν τα του πένθους και του θρήνου του Μαρδοχαίου. Εκείνη εταράχθη, όταν επληροφορήθη τα γεγονότα αυτά, και έστειλεν ανθρώπους να αφαιρέσουν από τον Μαρδοχαίον το σάκκινόν του ένδυμα και να τον ενδύσουν ευπρεπώς. Ο Μαρδοχαίος όμως δεν επείσθη και δεν συνεμορφώθη προς την υπόδειξίν της.

Εσθ. 4,5 - ἡ δὲ Ἐσθὴρ προσεκαλέσατο Ἀχραθαῖον τὸν εὐνοῦχον αὐτῆς, ὃς παρειστήκει αὐτῇ, καὶ ἀπέστειλε μαθεῖν αὕτη παρὰ τοῦ Μαρδοχαίου τὸ ἀκριβές.

Εσθ. 4,5 - Εκάλεσε τότε η Εσθήρ τον αυλικόν υπηρέτην της Αχραθαίον, που ευρίσκετο πάντοτε κοντά της, και τον έστειλε να μάθη από τον Μαρδοχαίον τι ακριβώς έχει συμβή.

Εσθ. 4,7 - ὁ δὲ Μαρδοχαῖος ὑπέδειξεν αὐτῷ τὸ γεγονὸς καὶ τὴν ἐπαγγελίαν, ἣν ἐπηγγείλατο Ἀμὰν τῷ βασιλεῖ εἰς τὴν γάζαν ταλάντων μυρίων, ἵνα ἀπολέσῃ τοὺς Ἰουδαίους·

Εσθ. 4,7 - Ο Μαρδοχαίος κατέστησεν εις αυτόν γνωστόν το γεγονός, όπως και την υπόσχεσιν, την οποίαν ο Αμάν έδωσεν στον βασιλέα, να καταβάλη στο θησαυροφυλάκιον του βασιλέως δέκα χιλιάδες τάλαντα αργυρά, δια να εξολοθρεύση τους Ιουδαίους.

Εσθ. 4,8 - καὶ τὸ ἀντίγραφον τὸ ἐν Σούσοις ἐκτεθὲν ὑπὲρ τοῦ ἀπολέσθαι αὐτοὺς ἔδωκεν αὐτῷ δεῖξαι τῇ Ἐσθήρ. καὶ εἶπεν αὐτῷ, ἐντείλασθαι αὐτῇ εἰσελθούσῃ παραιτήσασθαι τὸν βασιλέα καὶ ἀξιῶσαι αὐτὸν περὶ τοῦ λαοῦ μνησθεῖσα ἡμερῶν ταπεινώσεώς σου, ὡς ἐτράφης ἐν χειρί μου, διότι Ἀμὰν ὁ δευτερεύων τῷ βασιλεῖ ἐλάλησε καθ᾿ ἡμῶν εἰς θάνατον· ἐπικάλεσαι τὸν Κύριον καὶ λάλησον τῷ βασιλεῖ περὶ ἡμῶν ῥῦσαι ἡμᾶς ἐκ θανάτου.

Εσθ. 4,8 - Αντίγραφον δε του διατάγματος δια την καταστροφήν των Ιουδαίων, που είχε δημοσιευθή και εις τα Σούσα, έδωκεν ο Μαρδοχαίος στον αυλικόν, δια να το δείξη εις την Εσθήρ και του είπε· “να της δώσης εκ μέρους μου εντολήν, όπως παρουσιασθή ενώπιον του βασιλέως και ζητήση επιμόνως από αυτόν να σώση τον λαόν της από την καταστροφήν και να της προσθέσης επί λέξει· Ενθυμήσου τας ημέρας της δυστυχίας και της ταλαιπωρίας σου, τότε που ανετράφης από εμέ. Σου καθιστώ δε γνωστόν ότι ο δεύτερος μετά τον βασιλέα ως προς την εξουσίαν εις την χώραν, ο Αμάν, ωμίλησεν εναντίον μας, δια να μας θανατώση. Παρακάλεσε, λοιπόν, τον Κυριον και μίλησε μετά παρρησίας στον βασιλέα, δια να μας λυτρώση από τον όλεθρον”.

Εσθ. 4,9 - εἰσελθὼν δὲ ὁ Ἀχραθαῖος ἐλάλησεν αὐτῇ πάντας τοὺς λόγους τούτους.

Εσθ. 4,9 - Ο Αχραθαίος παρουσιάσθη πράγματι ενώπιον της Εσθήρ και κατέστησεν εις αυτήν γνωστούς όλους αυτούς τους λόγους.

Εσθ. 4,10 - εἶπε δὲ Ἐσθὴρ πρὸς Ἀχραθαῖον· πορεύθητι πρὸς Μαρδοχαῖον καὶ εἰπόν,

Εσθ. 4,10 - Είπε τότε η Εσθήρ προς τον Αχραθαίον, "πήγαινε στον Μαρδοχαίον και ειπέ του, ότι όλα τα έθνη της βασιλείας γνωρίζουν,

Εσθ. 4,11 - ὅτι τὰ ἔθνη πάντα τῆς βασιλείας γινώσκει, ὅτι πᾶς ἄνθρωπος ἢ γυνή, ὃς εἰσελεύσεται πρὸς τὸν βασιλέα εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν ἄκλητος, οὐκ ἔστιν αὐτῷ σωτηρία· πλὴν ᾧ ἐκτείνῃ ὁ βασιλεὺς τὴν χρυσῆν ῥάβδον, οὗτος σωθήσεται· κἀγὼ οὐ κέκλημαι εἰσελθεῖν πρὸς τὸν βασιλέα, εἰσὶν αὗται ἡμέραι τριάκοντα.

Εσθ. 4,11 - ότι κάθε άνθρωπος, άνδρας η γυναίκα, που θα παρουσιασθή προς τον βασιλέα εις την εσωτερικήν αυλήν των ανακτόρων του απρόσκλητος, δεν πρόκειται πλέον να ζήση. Και μόνον εκείνος, στον οποίον ο βασιλεύς θα απλώση την χρυσήν του ράβδον, θα διαφύγη την εκτέλεσιν. Εγώ δε δεν έχω προσκληθή υπό του βασιλέως να εισέλθω προς αυτόν. Τριάντα ημέραι έχουν περάσει, που δεν εκλήθην".

Εσθ. 4,12 - καὶ ἀπήγγειλεν Ἀχραθαῖος Μαρδοχαίῳ πάντας τοὺς λόγους Ἐσθήρ,

Εσθ. 4,12 - Ο Αχραθαίος κατέστησε γνωστά στον Μαρδοχαίον όλα αυτά τα λόγια της Εσθήρ.

Εσθ. 4,13 - καὶ εἶπε Μαρδοχαῖος πρὸς Ἀχραθαῖον· πορεύθητι καὶ εἶπον αὐτῇ· Ἐσθήρ, μὴ εἴπῃς σεαυτῇ, ὅτι σωθήσῃ μόνη ἐν τῇ βασιλείᾳ παρὰ πάντας τοὺς Ἰουδαίους·

Εσθ. 4,13 - Ο Μαρδοχαίος του απήντησε· "πήγαινε και ειπέ εις την Εσθήρ τούτο· Εσθήρ, μη σου έλθη η ιδέα και πιστέψης, ότι συ μόνη μεταξύ των Ιουδαίων θα σωθής εις την βασιλείαν αυτήν.

Εσθ. 4,14 - ὡς ὅτι ἐὰν παρακούσῃς ἐν τούτῳ τῷ καιρῷ, ἄλλοθεν βοήθεια καὶ σκέπη ἔσται τοῖς Ἰουδαίοις, σὺ δὲ καὶ ὁ οἶκος τοῦ πατρός σου ἀπολεῖσθε· καὶ τίς οἶδεν, εἰ εἰς τὸν καιρὸν τοῦτον ἐβασίλευσας;

Εσθ. 4,14 - Διότι, εάν παρακούσης την εντολήν μου και σιωπήσης κατά την περίστασιν αυτήν, βοήθεια μεν και προστασία στους Ιουδαίους θα έλθη κατ' άλλον τρόπον, συ όμως και η οικογένεια του πατρός σου θα εξολοθρευθήτε. Και ποιός ξέρει, εάν ακριβώς δια την περίστασιν αυτήν δεν εγινες συ βασίλισσα;"

Εσθ. 4,15 - καὶ ἐξαπέστειλεν Ἐσθὴρ τὸν ἥκοντα πρὸς αὐτήν, πρὸς Μαρδοχαῖον λέγουσα·

Εσθ. 4,15 - Η Εσθήρ έστειλε πάλιν τον προς αυτήν επανελθόντα αυλικόν, να έλθη προς τον Μαρδοχαίον και του παρήγγειλε·

Εσθ. 4,16 - βαδίσας ἐκκλησίασον τοὺς Ἰουδαίους τοὺς ἐν Σούσοις καὶ νηστεύσατε ἐπ᾿ ἐμοὶ καὶ μὴ φάγητε μηδὲ πίητε ἐπὶ ἡμέρας τρεῖς νύκτα καὶ

ἡμέραν, κἀγὼ δὲ καὶ αἱ ἅβραι μου ἀσιτήσομεν, καὶ τότε εἰσελεύσομαι πρὸς τὸν βασιλέα παρὰ τὸν νόμον, ἐὰν καὶ ἀπολέσθαι με δέῃ.

Εσθ. 4,16 - “πήγαινε συγκέντρωσε τους Ιουδαίους, που ευρίσκονται εις τα Σούσα. Νηστεύσατε προς χάριν μου, χωρίς να φάτε και χωρίς να πιήτε επί τρία ημερονύκτια. Εντελώς δε νηστικαί κατά τας τρεις αυτάς ημέρας θα μείνωμεν και εγώ και αι δούλαι μου. Επειτα δε θα εισέλθω προς τον βασιλέα, παραβαίνουσα τον σχετικόν νόμον, έστω και αν πρόκειται να αποθάνω”.

Εσθ. 4,17 - Καὶ βαδίσας Μαρδοχαῖος ἐποίησεν ὅσα ἐνετείλατο αὐτῷ Ἐσθήρ.

Εσθ. 4,17 - Ο Μαρδοχαίος ανεχώρησε και έκαμε, όπως του είχε δώσει εντολήν η Εσθήρ.

Εσθ. 4,17α - καὶ ἐδεήθη Κυρίου μνημονεύων πάντα τὰ ἔργα Κυρίου καὶ εἶπε·

Εσθ. 4,17^{α} - Είχεν στον νουν και την καρδίαν του όλα τα έργα του Κυρίου, προσηυχήθη δε και είπε·

Εσθ. 4,17β - Κύριε Κύριε, βασιλεῦ πάντων κρατῶν, ὅτι ἐν ἐξουσίᾳ σου τὸ πᾶν ἐστι, καὶ οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι ἐν τῷ θέλειν σε σῶσαι τὸν Ἰσραήλ·

Εσθ. 4,17β - “Κυριε, Κυριε, παντοκράτωρ βασιλεύ, τα πάντα είναι υπό την εξουσίαν σου υποτεταγμένα και κανείς δεν υπάρχει, που να δυνηθή να φέρη εμπόδιον εις σέ, αν συ θα θελήσης να σώσης τον ισραηλιτικόν λαόν.

Εσθ. 4,17γ - ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν θαυμαζόμενον ἐν τῇ ὑπ᾿ οὐρανὸν καὶ Κύριος εἶ πάντων, καὶ οὐκ ἔστιν ὃς ἀντιτάξεταί σοι τῷ Κυρίῳ.

Εσθ. 4,17γ - Διότι συ, Κυριε, ως παντοδύναμος που είσαι, εδημιούργησες τον ουρανόν και την γην, κάθε τι ωραίον και αξιοθαύμαστον που υπάρχει από τον ουρανόν. Είσαι ο Κυριος όλων και δεν υπάρχει κανείς, ο οποίος θα αντιταχθή εις σέ, τον Κυριον.

Εσθ. 4,17δ - σὺ πάντα γινώσκεις· σὺ οἶδας, Κύριε, ὅτι οὐκ ἐν ὕβρει οὐδὲ ἐν ὑπερηφανίᾳ οὐδὲ ἐν φιλοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυνεῖν τὸν ὑπερήφανον Ἀμάν, ὅτι ηὐδόκουν φιλεῖν πέλματα ποδῶν αὐτοῦ πρὸς σωτηρίαν Ἰσραήλ·

Εσθ. 4,17δ - Συ, Κυριε, γνωρίζεις τα πάντα. Συ, Κυριε, γνωρίζεις πολύ καλά, ότι εάν εγώ δεν προσκυνώ τον υπερήφανον Αμάν, δεν το πράττω από αλαζονείαν, ούτε από υπερηφάνειαν, ούτε από φιλοδοξίαν. Αλλά προκειμένου να σώσω τους Ισραηλίτας, είμαι έτοιμος να φιλήσω και τα πέλματα των ποδών του Αμάν.

Εσθ. 4,17ε - ἀλλ᾿ ἐποίησα τοῦτο, ἵνα μὴ θῶ δόξαν ἀνθρώπου ὑπεράνω δόξης Θεοῦ, καὶ οὐ προσκυνήσω οὐδένα, πλὴν σοῦ τοῦ Κυρίου μου καὶ οὐ ποιήσω αὐτὰ ἐν ὑπερηφανίᾳ.

Εσθ. 4,17ε - Αλλά έπραξα τούτο, δια να μη βάλω την δόξαν ανθρώπου υπεράνω από την δόξαν σου του Θεού. Κανένα δεν θα προσκυνήσω πλην σου του Κυρίου μου. Ταύτα δε οχι από υπερηφάνειαν.

Εσθ. 4,17ζ - καὶ νῦν, Κύριε ὁ Θεός, ὁ βασιλεύς, ὁ Θεὸς Ἀβραάμ, φεῖσαι τοῦ λαοῦ σου, ὅτι ἐπιβλέπουσιν ἡμῖν εἰς καταφθορὰν καὶ ἐπεθύμησαν ἀπολέσαι τὴν ἐξ ἀρχῆς κληρονομίαν σου·

Εσθ. 4,17ζ - Και τώρα, Κυριε ο Θεός μου και ο βασιλεύς μου, ο Θεός του Αβραάμ, λυπήσου τον λαόν σου, διότι οι εχθροί έχουν στρέψει κακούργα τα βλέμματά των εναντίον μας, δια να μας εξολοθρεύσουν. Φλέγονται από την πονηράν επιθυμίαν να καταστρέψουν την από αρχαιοτάτων χρόνων ιδικήν σου κληρονομίαν.

Εσθ. 4,17η - μὴ ὑπερίδῃς τὴν μερίδα σου, ἣν σεαυτῷ ἐλυτρώσω ἐκ γῆς Αἰγύπτου·

Εσθ. 4,17η - Μη, λοιπόν, αποστρέψης με αδιαφορίαν το βλέμμα σου από τον λαόν σου, τον οποίον συ, δια να είναι λαός σου, τον εγλύτωσες από την δουλείαν της χώρας Αιγύπτου.

Εσθ. 4,17θ - ἐπάκουσον τῆς δεήσεώς μου καὶ ἱλάσθητι τῷ κλήρῳ σου καὶ στρέψον τὸ πένθος ἡμῶν εἰς εὐωχίαν, ἵνα ζῶντες ὑμνῶμέν σου τὸ ὄνομα, Κύριε, καὶ μὴ ἀφανίσῃς στόμα αἰνούντων σε, Κύριε.

Εσθ. 4,17θ - Ακουσε την προσευχήν μου και λυπήσου την κληρονομίαν σου. Μετάβαλε το πένθος μας εις συμπόσιον χαράς, δια να ζώμεν και να δοξολογούμεν το όνομά σου, Κυριε. Μη επιτρέψης να εξαφανισθή το στόμα των ανθρώπων, οι οποίοι σε δοξολογούν”.

Εσθ. 4,17ι - καὶ πᾶς Ἰσραὴλ ἐκέκραξεν ἐξ ἰσχύος αὐτῶν, ὅτι θάνατος αὐτῶν ἐν ὀφθαλμοῖς αὐτῶν.

Εσθ. 4,17ι - Και όλοι οι Ισραηλίται έκραξαν προσευχόμενοι προς τον Θεόν, με όλην των την δύναμιν, διότι ο θάνατος ευρίσκετο πλέον εμπρός εις τα μάτια των.

Εσθ. 4,17κ - Καὶ Ἐσθὴρ ἡ βασίλισσα κατέφυγεν ἐπὶ τὸν Κύριον ἐν ἀγῶνι θανάτου κατειλημμένη, καὶ ἀφελομένη τὰ ἱμάτια τῆς δόξης αὐτῆς ἐνεδύσατο ἱμάτια στενοχωρίας καὶ πένθους, καὶ ἀντὶ τῶν ὑπερηφάνων ἡδυσμάτων, σποδοῦ καὶ κοπριῶν ἐνέπλησε τὴν κεφαλὴν αὐτῆς καὶ τὸ σῶμα αὐτῆς ἐταπείνωσε σφόδρα καὶ πάντα τόπον κόσμου ἀγαλλιάματος αὐτῆς ἔπλησε στρεπτῶν τριχῶν αὐτῆς καὶ ἐδεῖτο Κυρίου Θεοῦ Ἰσραήλ, καὶ εἶπε·

Εσθ. 4,17κ - Και αυτή η βασίλισσα Εσθήρ, κυριευμένη από την αγωνίαν του θανάτου, κατέφυγε δια της προσευχής προς τον Κυριον. Αφήρεσε τα λαμπρά της ενδύματα, εφόρεσεν άλλα δηλωτικά της στενοχωρίας και του πένθους. Αντί δε από τα πανάκριβα αρώματά της, εγέμισε το κεφάλι και το σώμα της από στάκτην και κοπρίαν, εσκληραγώγησε πάρα πολύ το σώμα

της και με τας μαδημένος τρίχας της κεφαλής της εκαλύφθη εκεί, που άλλοτε υπήρχον τα κοσμήματα της χαράς της. Και παρεκάλει Κυριον τον Θεόν με θέρμην και είπε·

Εσθ. 4,17λ - Κύριέ μου, βασιλεὺς ἡμῶν σὺ εἶ μόνος· βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ μὴ σέ, ὅτι κίνδυνός μου ἐν χειρί μου.

Εσθ. 4,17λ - “Κυριέ μου, συ είσαι ο μόνος και αληθινός βασιλεύς μας. Βοήθησε εμέ την μόνην, η οποία δεν έχω στον κόσμον αυτόν άλλον βοηθόν, ει μη μόνον σέ, διότι ο κίνδυνος του θανάτου ευρίσκεται μτροστά μου.

Εσθ. 4,17μ - ἐγὼ ἤκουον ἐκ γενετῆς μου ἐν φυλῇ πατριᾶς μου ὅτι σύ, Κύριε, ἔλαβες τὸν Ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν καὶ τοὺς πατέρας ἡμῶν ἐκ πάντων τῶν προγόνων αὐτῶν εἰς κληρονομίαν αἰώνιον καὶ ἐποίησας αὐτοῖς ὅσα ἐλάλησας.

Εσθ. 4,17μ - Εγώ από της γεννήσεώς μου και εντεύθεν ήκουον από ανθρώπους της φυλής μου, ότι συ, Κυριε, επήρες τον ισραηλιτικόν λαόν από όλα τα έθνη και εδιάλεξες τους πατέρας ημών από τους προπάτοράς των, δια να είναι αιωνία ιδική σου κληρονομία. Εξεπλήρωσες όλα όσα είχες υποσχεθή εις αυτούς.

Εσθ. 4,17ν - καὶ νῦν ἡμάρτομεν ἐνώπιόν σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, ἀνθ᾿ ὧν ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν· δίκαιος εἶ, Κύριε.

Εσθ. 4,17ν - Και τώρα, Κυριε, ομολογούμεν ότι ημαρτήσαμεν ενώπιόν σου, δια τούτο και επέτρεψες να παραδοθώμεν εις τας χείρας των εχθρών μας, επειδή ελατρεύσαμεν τους θεούς αυτών, αντί σου του αληθινού Θεού. Δικαιος είσαι, Κυριε.

Εσθ. 4,17ξ - καὶ νῦν οὐκ ἱκανώθησαν ἐν πικρασμῷ δουλείας ἡμῶν, ἀλλ᾿ ἔθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τὰς χεῖρας τῶν εἰδώλων αὐτῶν ἐξᾶραι ὁρισμὸν στόματός σου καὶ ἀφανίσαι κληρονομίαν σου καὶ ἐμφράξαι στόμα αἰνούντων σοι καὶ σβέσαι δόξαν οἴκου σου καὶ θυσιαστηρίου σου,

Εσθ. 4,17ξ - Αλλ' ιδού, Κυριε, ότι αυτοί οι εχθροί μας δεν έμειναν ικανοποιημένοι από τας πικρίας της σκλαβιάς μας, αλλά άπλωσαν τα χέρια των και ωρκίσθησαν εις τα είδωλά των να εξαφανίσουν κάθε εντολήν, που εβγήκεν από το στόμα σου, να καταστρέψουν την κληρονομίαν σου, και έτσι να βουλώσουν τα στόματα εκείνων, οι οποίοι σε δοξολογούν, και να σβήσουν την μεγαλοπρέπειαν του ναού σου και του αγίου σου θυσιαστηρίου.

Εσθ. 4,17ο - καὶ ἀνοῖξαι στόμα ἐθνῶν εἰς ἀρετὰς ματαίων καὶ θαυμασθῆναι βασιλέα σάρκινον εἰς αἰῶνα.

Εσθ. 4,17ο - Ακόμη δε ωρκίσθησαν να ανοίξουν τα στόματα των ειδωλολατρών, δια να επαινούν τα μάταια είδωλά των και να καταστήσουν αξίους θαυμασμού και λατρείας στον αιώνα βασιλείς σαρκίνους.

Εσθ. 4,17π - μὴ παραδῷς, Κύριε, τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι, καὶ μὴ καταγελασάτωσαν ἐν τῇ πτώσει ἡμῶν, ἀλλὰ στρέψον τὴν βουλὴν αὐτῶν ἐπ᾽ αὐτούς, τὸν δὲ ἀρξάμενον ἐφ᾽ ἡμᾶς παραδειγμάτισον.

Εσθ. 4,17π - Μη παραδώσης, Κυριε, το σκήπτρον σου εις ανθρώπους αναξίους και μηδαμινούς, και μη επιτρέψης να γίνωμεν καταγέλαστοι με την καταστροφήν μας, αλλά συ με την παντοδυναμίαν σου μετάβαλε την βουλήν των εναντίον αυτών των ιδίων και τιμώρησε κατά τρόπον παραδειγματικόν εκείνον, που πρώτος ήρχισε τον εξοντωτικόν εναντίον μας διωγμόν

Εσθ. 4,17ρ - μνήσθητι, Κύριε, γνώσθητι ἐν καιρῷ θλίψεως ἡμῶν καὶ ἐμὲ θάρσυνον, βασιλεῦ τῶν θεῶν καὶ πάσης ἀρχῆς ἐπικρατῶν·

Εσθ. 4,17ρ - Μνήσθητί μας, Κυριε, κάμε ώστε να σε γνωρίσωμεν και να σε αισθανθώμεν στον καιρόν αυτόν της θλίψεώς μας. Δώσε και εις εμέ θάρρος, συ, ο βασιλεύς των Θεών και κύριος πάσης εξουσίας.

Εσθ. 4,17σ - δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ἐνώπιον τοῦ λέοντος καὶ μετάθες τὴν καρδίαν αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡμᾶς εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονούντων αὐτῷ·

Εσθ. 4,17σ - Λογον σοφόν και πειστικόν βάλε στο στόμα μου ενώπιον του λέοντος, του βασιλέως. Μετάβαλε την καρδίαν αυτού, ώστε να μισήση εκείνον, ο οποίος μας πολεμεί, και να διατάξη την εκτέλεσιν αυτού και των ομοφρόνων του.

Εσθ. 4,17τ - ἡμᾶς δὲ ῥῦσαι ἐν χειρί σου καὶ βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ εἰς μὴ σέ, Κύριε·

Εσθ. 4,17τ - Ημάς δε γλύτωσέ μας με την παντοδύναμον δεξιάν σου. Βοήθησε εμέ, η οποία είμαι μόνη και δεν έχω κανένα άλλον παρά μόνον σέ, Κυριε.

Εσθ. 4,17υ - πάντων γνῶσιν ἔχεις καὶ οἶδας ὅτι ἐμίσησα δόξαν ἀνόμων καὶ βδελύσσομαι κοίτην ἀπεριτμήτων καὶ παντὸς ἀλλοτρίου.

Εσθ. 4,17υ - Είσαι παντογνώστης και γνωρίζεις ότι εγώ εμίσησα την δόξαν των παρανόμων ανδρών και αποστρέφομαι με αηδίαν την κλίνην των απεριτμήτων και παντός αλλοεθνούς.

Εσθ. 4,17φ - σὺ οἶδας τὴν ἀνάγκην μου, ὅτι βδελύσσομαι τὸ σημεῖον τῆς ὑπερηφανίας μου, ὅ ἐστιν ἐπὶ τῆς κεφαλῆς μου ἐν ἡμέραις ὀπτασίας μου· βδελύσσομαι αὐτὸ ὡς ῥάκος καταμηνίων καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου.

Εσθ. 4,17φ - Συ είσαι παντογνώστης και γνωρίζεις πολύ καλά την ανάγκην, υπό την οποίαν ευρίσκομαι, και ότι αποστρέφομαι με αηδίαν τα σημεία αυτά της δόξης μου και το διάδημα, το οποίον υπάρχει επάνω εις την κεφαλήν μου, όταν αναγκάζωμαι να εμφανίζωμαι δημοσία. Το αηδιάζω σαν ράκος γυναικείων καταμηνίων. Και κατά τας ημέρας της ησυχίας μου, που είμαι μόνη, δεν το φορώ.

Εσθ. 4,17χ - καὶ οὐκ ἔφαγεν ἡ δούλη σου τράπεζαν Ἀμὰν καὶ οὐκ ἐδόξασα συμπόσιον βασιλέως, οὐδὲ ἔπιον οἶνον σπονδῶν·

Εσθ. 4,17χ - Γνωρίζεις ότι η δούλη σου δεν έφαγε ποτέ από την τράπεζαν του Αμάν και δεν ετίμησε το συμπόσιον του βασιλέως, ούτε έπιε ποτέ οίνον από τας σπονδάς του.

Εσθ. 4,17ψ - καὶ οὐκ ηὐφράνθη ἡ δούλη σου ἀφ᾿ ἡμέρας μεταβολῆς μου μέχρι νῦν, πλὴν ἐπὶ σοί, Κύριε, ὁ Θεὸς Ἀβραάμ.

Εσθ. 4,17ψ - Η δούλη σου ποτέ δεν εγνώρισε χαράν και ευφροσύνην από την ημέραν, που ήλλαξε την στολήν της, όταν έγινε βασίλισσα, μέχρις αυτής της στιγμής. Παρά μόνον χαίρω εις σέ, Κυριε, Θεέ του Αβραάμ.

Εσθ. 4,17ω - ὁ Θεὸς ὁ ἰσχύων ἐπὶ πάντας, εἰσάκουσον φωνὴν ἀπηλπισμένων καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονηρευομένων, καὶ ῥῦσαί με ἐκ τοῦ φόβου μου.

Εσθ. 4,17ω - Συ ο Θεός ο έχων ακατανίκητον δύναμιν και κυριαρχών επάνω εις όλους, άκουσε την φωνήν ημών των απηλπισμένων δούλων σου και γλύτωσέ μας από τα χέρια των πονηρών ανθρώπων. Απάλλαξε δε και εμέ από τον φόβον, που με συνέχει”.

ΕΣΘΗΡ 5

Εσθ. 5,1 - Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὡς ἐπαύσατο προσευχομένη, ἐξεδύσατο τὰ ἱμάτια τῆς θεραπείας καὶ περιεβάλετο τὴν δόξαν αὐτῆς.

Εσθ. 5,1 - Κατά την τρίτην ημέραν, όταν η Εσθήρ ετελείωσε την προσευχήν της, έβγαλε τα ενδύματα τα ταπεινά της νηστείας και προσευχής και εφόρεσε την λαμπράν μεγαλοπρεπή στολήν της.

Εσθ. 5,1α - καὶ γενηθεῖσα ἐπιφανής, ἐπικαλεσαμένη τῶν πάντων ἐπόπτην Θεὸν καὶ σωτῆρα, παρέλαβε τὰς δύο ἅβρας· καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο ὡς τρυφερευομένη, ἡ δὲ ἑτέρα ἐπηκολούθει κουφίζουσα τὴν ἔνδυσιν αὐτῆς,

Εσθ. 5,1α - Ετσι δε λαμπρά κατά την εμφάνισιν εζήτησε πάλιν την βοήθειαν Εκείνου, που εποπτεύει τα πάντα, του Θεού και σωτήρος, παρέλαβε και τας δύο αυτής θεραπαινίδας και εις μεν την μίαν εστηρίζετο ως τρυφερά και αδύνατος, ενώ η άλλη την παρακολουθούσε και εβάσταζε τα ενδύματα αυτής όπισθεν.

Εσθ. 5,1β - καὶ αὐτὴ ἐρυθριῶσα ἀκμῇ κάλλους αὐτῆς, καὶ τὸ πρόσωπον αὐτῆς ἱλαρὸν ὡς προσφιλές, ἡ δὲ καρδία αὐτῆς ἀπεστενωμένη ἀπὸ τοῦ φόβου.

Εσθ. 5,1β - Ελαμπεν εις όλην την ακμήν του κάλλους της, ενώ το πρόσωπόν της είχε χρώμα ροδαλόν. Ετσι δε ιλαρόν ήτο το πρόσωπόν της και αγαπητόν, η καρδία της όμως ευρίσκετο καταστενοχωρημένη και πιεζομένη από τον φόβον.

Εσθ. 5,1γ - καὶ εἰσελθοῦσα πάσας τὰς θύρας κατέστη ἐνώπιον τοῦ βασιλέως, καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ καὶ πᾶσαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνδεδύκει, ὅλος διὰ χρυσοῦ καὶ λίθων πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα.

Εσθ. 5,1γ - Η Εσθήρ επέρασεν όλας τας θύρας του ανακτόρου και παρουσιάσθη ενώπιον του βασιλέως. Αυτός εκάθητο επάνω στον βασιλικόν του θρόνον, ήτο δε ενδεδυμένος όλην την λαμπράν και εντυπωσιακήν βασιλικήν στολήν, λαμπροστόλιστος με χρυσά κοσμήματα και λίθους πολυτελείς. Η όψις του ήτο πράγματι πολύ φοβερά.

Εσθ. 5,1δ - καὶ ἄρας τὸ πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ ἐν ἀκμῇ θυμοῦ ἔβλεψε, καὶ ἔπεσεν ἡ βασίλισσα καὶ μετέβαλε τὸ χρῶμα αὐτῆς ἐν ἐκλύσει καὶ κατεπέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς ἅβρας τῆς προπορευομένης.

Εσθ. 5,1δ - Εσήκωσε τα πρόσωπόν του, το οποίον ακτινοβολούσε από δόζαν, και την παρετήρησε γεμάτος οργήν. Η βασίλισσα, όταν τον είδεν, εκλονίσθη, έχασε το χρώμα της, και έτοιμη να λιποθυμήση έκλινε και εστηρίχθη στον ώμον της δούλης της, η οποία επροπορεύετο.

Εσθ. 5,1ε - καὶ μετέβαλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραΰτητα, καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ ἀνέλαβεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ, μέχρις οὗ κατέστη, καὶ παρεκάλει αὐτὴν λόγοις εἰρηνικοῖς καὶ εἶπεν αὐτῇ·

Εσθ. 5,1ε - Ο Θεός όμως μετέβαλε την οργήν του βασιλέως εις πραότητα. Αυτός καταληφθείς από ανησυχίαν και αγωνίαν ανεπήδησεν από τον θρόνον του, επήρεν αυτήν εις την αγκάλην του, μέχρις ότου εκείνη συνήλθε. Και με λόγια ειρηνικά και ενθαρρυντικά την παρηγορούσε και έλεγε προς αυτήν·

Εσθ. 5,1ζ - τί ἐστιν Ἐσθήρ; ἐγὼ ὁ ἀδελφός σου, θάρσει, οὐ μὴ ἀποθάνῃς ὅτι κοινὸν τὸ πρόσταγμα ἡμῶν ἐστι· πρόσελθε.

Εσθ. 5,1ζ - “Τι συμβαίνει, Εσθήρ; Εγώ είμαι ο αδελφός σου έχε θάρρος. Δεν πρόκειται να αποθάνης, διότι κάθε διαταγή δική μου, είναι και δική σου, είναι δικές μας διαταγές. Πλησίασε”.

Εσθ. 5,2 - καὶ ἄρας τὴν χρυσῆν ῥάβδον ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς καὶ ἠσπάσατο αὐτὴν καὶ εἶπε· λάλησόν μοι.

Εσθ. 5,2 - Ο βασιλεύς εσήκωσε την χρυσήν του ράβδον, την έθεσεν στον τράχηλόν της, την ησπάσθη και είπε· “μίλησέ μου, είπέ μου τι συμβαίνει;”

Εσθ. 5,2α - καὶ εἶπεν αὐτῷ· εἶδόν σε, κύριε, ὡς ἄγγελον Θεοῦ, καὶ ἐταράχθη ἡ καρδία μου ἀπὸ φόβου τῆς δόξης σου, ὅτι θαυμαστὸς εἶ, κύριε, καὶ τὸ πρόσωπόν σου χαρίτων μεστόν.

Εσθ. 5,2α - Εκείνη του είπε·“«σε είδα, κύριε, σαν άγγελον του Θεού και η καρδιά μου εταράχθη από τον φόβον της μεγαλοπρεπείας σου, διότι συ είσαι αξιοθαύμαστος, κύριε, και το πρόσωπόν σου είναι γεμάτον από χάριτας”.

Εσθ. 5,2β - ἐν δὲ τῷ διαλέγεσθαι αὐτὴν ἔπεσεν ἀπὸ ἐκλύσεως αὐτῆς καὶ ὁ βασιλεὺς ἐταράσσετο, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ παρεκάλει αὐτήν.

Εσθ. 5,2β - Ενῷ δε έτσι συνωμιλούσε προς τον βασιλέα, κατέπεσε λιπύθυμος. Ο βασιλεύς εταράχθη. Ολοι δε οι ευρισκόμενοι εκεί εφρόντιζον, να την επαναφέρουν εις τας αισθήσεις της.

Εσθ. 5,3 - καὶ εἶπεν ὁ βασιλεύς· τί θέλεις, Ἐσθήρ; καὶ τί σού ἐστι τὸ ἀξίωμα; ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου, καὶ ἔσται σοι.

Εσθ. 5,3 - Ηρώτησεν ο βασιλεύς· “Εσθήρ, τι θέλεις; Ποιό είναι το αίτημά σου; Θα σου δώσω μέχρι και το ήμισυ της βασιλείας μου, θα είναι ιδικόν σου”.

Εσθ. 5,4 - εἶπε δὲ Ἐσθήρ· ἡμέρα μου ἐπίσημος σήμερόν ἐστι· εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, ἐλθάτω καὶ αὐτὸς καὶ Ἀμὰν εἰς τὴν δοχήν, ἣν ποιήσω σήμερον.

Εσθ. 5,4 - Η Εσθήρ απήντησεν· “η σημερινή ημέρα είναι δι' εμέ επίσημος ημέρα. Εάν, λοιπόν, φαίνεται αρεστόν στον βασιλέα, ας έλθη, μαζή δε με αυτόν και ο Αμάν, εις την τράπεζαν, την οποίαν εγώ σήμερον θα παραθέσω”.

Εσθ. 5,5 - καὶ εἶπεν ὁ βασιλεύς· κατασπεύσατε Ἀμάν, ὅπως ποιήσωμεν τὸν λόγον Ἐσθήρ· καὶ παραγίνονται ἀμφότεροι εἰς τὴν δοχήν, ἣν εἶπεν Ἐσθήρ.

Εσθ. 5,5 - Ο βασιλεύς έστειλεν ανθρώπους και είπε· “σπεύσατε αμέσως προς τον Αμάν και ειδοποιήσατέ τον να εκτελέσωμεν την παράκλησιν αυτήν της Εσθήρ”. Ηλθον λοιπόν και οι δύο, ο βασιλεύς και ο Αμάν, στο συμπόσιον, το οποίον παρέθεσεν η Εσθήρ.

Εσθ. 5,6 - ἐν δὲ τῷ πότῳ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐσθήρ· τί ἐστι βασίλισσα Ἐσθήρ; καὶ ἔσται ὅσα ἀξιοῖς.

Εσθ. 5,6 - Κατά την διάρκειαν του συμποσίου τούτου, ο βασιλεύς ηρώτησε την Εσθήρ· “βασίλισσα Εσθήρ, τι θέλεις; Οσα μου ζητήσης, θα γίνουν”.

Εσθ. 5,7 - καὶ εἶπε· τὸ αἴτημά μου καὶ τὸ ἀξίωμα·

Εσθ. 5,7 - Εκείνη του είπε· “θέλετε να μάθετε τα αίτημά μου και την απαίτησίν μου;

Εσθ. 5,8 - εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, ἐλθάτω ὁ βασιλεὺς καὶ Ἀμὰν ἔτι τὴν αὔριον εἰς τὴν δοχήν, ἣν ποιήσω αὐτοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά.

Εσθ. 5,8 - Εάν έχω εύρει χάριν ενώπιον του βασιλέως, ας έλθη ο βασιλεύς και ο Αμάν ακόμη αύριον στο συμπόσιον, το οποίον εγώ θα παραθέσω προς τιμήν των και αύριον θα ανακοινώσω τα αιτήματά μου”.

Εσθ. 5,9 - Καὶ ἐξῆλθεν ὁ Ἀμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς εὐφραινόμενος· ἐν δὲ τῷ ἰδεῖν Ἀμὰν Μαρδοχαῖον τὸν Ἰουδαῖον ἐν τῇ αὐλῇ ἐθυμώθη σφόδρα

Εσθ. 5,9 - Ο Αμάν εβγήκεν από το βασιλικόν ανάκτορον γεμάτος χαράν ευφραινόμενος. Οταν όμως κατά την έξοδόν του είδε τον Ιουδαίον Μαρδοχαίον εις την βασιλικήν αυλήν, κατελήφθη από μεγάλην οργήν.

Εσθ. 5,10 - καὶ εἰσελθὼν εἰς τὰ ἴδια ἐκάλεσε τοὺς φίλους καὶ Ζωσάραν τὴν γυναῖκα αὐτοῦ,

Εσθ. 5,10 - Εισήλθεν εις την οικίαν του, εκάλεσε τους φίλους του και την σύζυγόν του Ζωσάραν,

Εσθ. 5,11 - καὶ ὑπέδειξεν αὐτοῖς τὸν πλοῦτον αὐτοῦ καὶ τὴν δόξαν, ἣν ὁ βασιλεὺς αὐτῷ περιέθηκε, καὶ ὡς ἐποίησεν αὐτὸν πρωτεύειν καὶ ἡγεῖσθαι τῆς βασιλείας.

Εσθ. 5,11 - και ανέφερεν αλαζονικώς εις αυτούς τον πλούτον και την δόξαν, με την οποίαν ο βασιλεύς τον είχε τιμήσει, διότι τον κατέστησε πρώτον μεταξύ όλων των άλλων, αρχηγόν εις όλην την βασιλείαν του.

Εσθ. 5,12 - καὶ εἶπεν Ἀμάν· οὐ κέκληκεν ἡ βασίλισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὴν δοχὴν ἀλλ᾿ ἢ ἐμέ, καὶ εἰς τὴν αὔριον κέκλημαι·

Εσθ. 5,12 - Και έπειτα προσέθεσεν ο Αμάν· “και η βασίλισσα δεν εκάλεσε άλλον μαζή με τον βασιλέα, παρά μόνον εμέ. Με εκάλεσε δε και πάλιν δια το συμπόσιον της αυριανής ημέρας.

Εσθ. 5,13 - καὶ ταῦτά μοι οὐκ ἀρέσκει, ὅταν ἴδω Μαρδοχαῖον τὸν Ἰουδαῖον ἐν τῇ αὐλῇ.

Εσθ. 5,13 - Εκείνο όμως το οποίον δεν μου αρέσει, αλλά με καταστενοχωρεί, είναι το να βλέπω εις την βασιλικήν αυλήν τον Μαρδοχαίον, τον Ιουδαίον”.

Εσθ. 5,14 - καὶ εἶπε πρὸς αὐτὸν Ζωσάρα ἡ γυνὴ αὐτοῦ καὶ οἱ φίλοι· κοπήτω σοι ξύλον πηχῶν πεντήκοντα, ὄρθρου δὲ εἰπὸν τῷ βασιλεῖ καὶ κρεμασθήτω Μαρδοχαῖος ἐπὶ τοῦ ξύλου· σὺ δὲ εἴσελθε εἰς τὴ δοχὴν σὺν τῷ βασιλεῖ καὶ εὐφραίνου. καὶ ἤρεσε τὸ ῥῆμα τῷ Ἀμάν, καὶ ἡτοιμάσθη τὸ ξύλον.

Εσθ. 5,14 - Η γυναίκα του η Ζωσάρα και οι φίλοι του του είπαν τότε· “δώσε διαταγήν να κοπή ένα ξύλον πενήντα εβραϊκών πήχεων. Λιαν δε πρωϊ ειπέ στον βασιλέα να δώση διαταγήν να κρεμασθή ο Μαρδοχαίος επάνω εις αυτό το ξύλον. Συ δε έπειτα πήγαινε στο συμπόσιον μαζή με τον βασιλέα, δια να ευφρανθής με αυτόν”. Η συμβουλή αυτή ήρεσεν στον Αμάν, έδωσε διαταγήν και ητοιμάσθη το ξύλον.

ΕΣΘΗΡ 6

Εσθ. 6,1 - Ὁ δὲ Κύριος ἀπέστησε τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως τὴν νύκτα ἐκείνην, καὶ εἶπε τῷ διακόνῳ αὐτοῦ εἰσφέρειν γράμματα μνημόσυνα τῶν ἡμερῶν ἀναγινώσκειν αὐτῷ.

Εσθ. 6,1 - Ομως ο Κυριος κατά την νύκτα εκείνην απεμ'Ακρυνε τον ύπνον από τον βασιλέα. Ο βασιλεύς, άγρυπνος καθώς ήτο, διέταξε τον υπηρέτην του να του φέρη το βιβλίον των απομνημονευμάτων και να του αναγνώση κάτι, από όσα είχαν γραφή εις αυτό.

Εσθ. 6,2 - εὗρε δὲ τὰ γράμματα τὰ γραφέντα περὶ Μαρδοχαίου, ὡς ἀπήγγειλε τῷ βασιλεῖ περὶ τῶν δύο εὐνούχων τοῦ βασιλέως ἐν τῷ φυλάσσειν αὐτοὺς καὶ ζητῆσαι ἐπιβαλεῖν τὰς χεῖρας Ἀρταξέρξῃ.

Εσθ. 6,2 - Ο υπηρέτης ήνοιξε το βιβλίον και ευρήκε το μέρος εκείνο, που είχαν γραφή τα περί Μαρδοχαίου· όσα δηλαδή ο Μαρδοχαίος είχεν αποκαλύψει στον βασιλέα δια τους δύο αυλικούς, τους σωματοφύλακας, οι οποίοι είχαν συνωμοτήσει και επιζητήσει να απλώσουν δολοφονικάς τας χείρας εναντίον του βασιλέως Αρταξέρξου.

Εσθ. 6,3 - εἶπε δὲ ὁ βασιλεύς· τίνα δόξαν ἢ χάριν ἐποιήσαμεν τῷ Μαρδοχαίῳ; καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· οὐκ ἐποίησας αὐτῷ οὐδέν.

Εσθ. 6,3 - Ο βασιλεύς τότε ηρώτησε· “ποίον αξίωμα η ποίον αμοιβήν εδώσαμεν στον Μαρδοχαίον;” Οι υπηρέται του βασιλέως απήντησαν· ότι “δεν έδωκες εις αυτόν καμμίαν αμοιβήν”.

Εσθ. 6,4 - ἐν δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα περὶ τῆς εὐνοίας Μαρδοχαίου, ἰδοὺ Ἀμὰν ἐν τῇ αὐλῇ. εἶπε δὲ ὁ βασιλεύς· τίς ἐν τῇ αὐλῇ; ὁ δὲ Ἀμὰν εἰσῆλθεν εἰπεῖν τῷ βασιλεῖ κρεμάσαι τὸν Μαρδοχαῖον ἐπὶ τῷ ξύλῳ, ᾧ ἡτοίμασε.

Εσθ. 6,4 - Καθ' ον χρόνον ο βασιλεύς εζητούσε να μάθη δια τας αμοιβάς, τας οποίας έπρεπε να είχε δώσει στον Μαρδοχαίον, ιδού ο Αμάν ενεφανίσθη εις την αυλήν. Ο βασιλεύς ηρώτησε ποίος είναι κάτω εις την αυλήν; Ο δε Αμάν είχεν εισέλθει λίαν πρωϊ εις την αυλήν, δια να είπη στον βασιλέα να εκδώση διαταγήν και κρεμασθή ο Μαρδοχαίος στο ξύλον, το οποίον αυτός είχεν ετοιμάσει δι' εκείνον.

Εσθ. 6,5 - καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· ἰδοὺ Ἀμὰν ἕστηκεν ἐν τῇ αὐλῇ. καὶ εἶπεν ὁ βασιλεύς· καλέσατε αὐτόν.

Εσθ. 6,5 - Οι υπηρέται του βασιλέως είπαν· “ο Αμάν ευρίσκεται εις την αυλήν”. Ο βασιλεύς είπε· “καλέσατέ τον”.

Εσθ. 6,6 - εἶπε δὲ ὁ βασιλεὺς τῷ Ἀμάν· τί ποιήσω τῷ ἀνθρώπῳ, ὃν ἐγὼ θέλω δοξάσαι; εἶπε δὲ ἐν ἑαυτῷ Ἀμάν· τίνα θέλει ὁ βασιλεὺς δοξάσαι εἰ μὴ ἐμέ;

Εσθ. 6,6 - Ο βασιλεύς ηρώτησε τότε τον Αμάν· “τι πρέπει εγώ να κάμω εις άνθρωπον, τον οποίον θέλω να τιμήσω;” Ο Αμάν εσκέφθη από μέσα του και είπε· ποιόν άλλον θέλει να τιμήση ο βασιλεύς πάρα μόνον εμέ;

Εσθ. 6,7 - εἶπε δὲ πρὸς τὸν βασιλέα· ἄνθρωπον, ὃν ὁ βασιλεὺς θέλει δοξάσαι,

Εσθ. 6,7 - Βέβαιος δε περί τούτου είπε προς τον βασιλέα· "δια τον άνθρωπον, τον οποίον ο βασιλεύς θέλει να δοξάση,

Εσθ. 6,8 - ἐνεγκάτωσαν οἱ παῖδες τοῦ βασιλέως στολὴν βυσσίνην, ἣν ὁ βασιλεὺς περιβάλλεται, καὶ ἵππον ἐφ᾿ ὃν ὁ βασιλεὺς ἐπιβαίνει,

Εσθ. 6,8 - ας φέρουν οι δούλοι του μίαν μεγαλοπρεπή από βύσσον στολήν, την οποίαν ενδύεται ο ίδιος ο βασιλεύς, και ίππον, επάνω στον οποίον ιππεύει ο βασιλεύς.

Εσθ. 6,9 - καὶ δότω ἑνὶ τῶν φίλων τοῦ βασιλέως τῶν ἐνδόξων καὶ στολισάτω τὸν ἄνθρωπον, ὃν ὁ βασιλεὺς ἀγαπᾷ, καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τὸν ἵππον καὶ κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως λέγων· οὕτως ἔσται παντὶ ἀνθρώπῳ, ὃν ὁ βασιλεὺς δοξάζει.

Εσθ. 6,9 - Αυτά δε ας δοθούν εις ένα από τους πλέον ενδόξους φίλους του βασιλέως, δια να στολίση εκείνος τον άνθρωπον αυτόν, τον οποίον ο βασιλεύς αγαπά. Εν συνεχεία δε ας τον βοηθήση να ιππεύση επάνω εις ταν βασιλικόν ίππον και θα περιφέρη αυτόν εις την πλατείαν της πόλεως και θα διαλαλή και θα λέγη· Ετσι θα γίνεται εις κάθε άνθρωπον, τον οποίον ο βασιλεύς δοξάζει".

Εσθ. 6,10 - εἶπε δὲ ὁ βασιλεὺς τῷ Ἀμάν· καλῶς ἐλάλησας. οὕτως ποίησον τῷ Μαρδοχαίῳ τῷ Ἰουδαίῳ τῷ θεραπεύοντι ἐν τῇ αὐλῇ, καὶ μὴ παραπεσάτω σου λόγος, ὧν ἐλάλησας.

Εσθ. 6,10 - Απήντησεν ο βασιλεύς στον Αμάν· "καλά είπες· έτσι εσύ τώρα θα πράξης προς τιμήν του Μαρδοχαίου, του Ιουδαίου, του δούλου μου, ο οποίος υπηρετεί εις την αυλήν μου, μη τυχόν και παραμελήσης κάτι από όλα εκείνα τα οποία είπες!"

Εσθ. 6,11 - ἔλαβε δὲ Ἀμὰν τὴν στολὴν καὶ τὸν ἵππον, καὶ ἐστόλισε τὸν Μαρδοχαῖον, καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ἵππον καὶ διῆλθε διὰ τῆς πλατείας τῆς πόλεως καὶ ἐκήρυσσε λέγων· οὕτως ἔσται παντὶ ἀνθρώπῳ, ὃν ὁ βασιλεὺς θέλει δοξάσαι.

Εσθ. 6,11 - Ο Αμάν κατεντροπιασμένος και καταστενοχωρημένος επήρε την βασιλικήν στολήν και τον βασιλικόν ίππον, εστόλισε τον Μαρδοχαίον, τον εβοήθησε να αναβή στον ίππον και επέρασε δια μέσου της πλατείας της πόλεως και διαλαλούσε λέγων· "έτσι θα γίνεται εις κάθε άνθρωπον, τον οποίον ο βασιλεύς θέλει να δοξάση".

Εσθ. 6,12 - ἐπέστρεψε δὲ ὁ Μαρδοχαῖος εἰς τὴν αὐλήν. Ἀμὰν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια λυπούμενος κατὰ κεφαλῆς.

Εσθ. 6,12 - Ο Μαρδοχαίος, ύστερα από την τελετήν αυτήν της δόξης του, επέστρεψεν εις την αυλήν, ο δε Αμάν καταστενοχωρημένος και καταπικραμμένος επέστρεψεν στο σπίτι του.

Εσθ. 6,13 - καὶ διηγήσατο Ἀμὰν τὰ συμβεβηκότα αὐτῷ Ζωσάρᾳ τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς φίλοις, καὶ εἶπαν πρὸς αὐτὸν οἱ φίλοι καὶ ἡ γυνή· εἰ ἐκ γένους Ἰουδαίων Μαρδοχαῖος, ἦρξαι ταπεινοῦσθαι ἐνώπιον αὐτοῦ, πεσὼν πεσῇ καὶ οὐ μὴ δύνῃ αὐτὸν ἀμύνασθαι, ὅτι Θεὸς ζῶν μετ᾽ αὐτοῦ.

Εσθ. 6,13 - Ο Αμάν διηγήθη εις την σύζυγόν του την Ζωσάραν και τους φίλους του όλα όσα του συνέβησαν. Οι φίλοι του και η σύζυγός του του είπαν· "εάν ο Μαρδοχαίος κατάγεται από την φυλήν των Ιουδαίων, έχεις δε ήδη αρχίσει να εξευτελίζεσαι ενώπιόν του, δεν θα κατορθώσης να τον πολεμήσης, αλλά οριστικώς και βεβαίως θα πέσης και θα ταπεινωθής ενώπιόν του, διότι μαζή του είναι ο αληθινός, ο αιώνιος Θεός".

Εσθ. 6,14 - ἔτι αὐτῶν λαλούντων, παραγίνονται οἱ εὐνοῦχοι ἐπισπεύδοντες τὸν Ἀμὰν ἐπὶ τὸν πότον, ὃν ἡτοίμασεν Ἐσθήρ.

Εσθ. 6,14 - Ενῷ αυτοί ακόμη συνωμιλούσαν δια τα γεγονότα, ήλθαν οι αυλικοί του βασιλέως και ειδοποίησαν τον Αμάν να σπεύση στο συμπόσιον, το οποίον είχεν ετοιμάσει η Εσθήρ.

ΕΣΘΗΡ 7

Εσθ. 7,1 - Εἰσῆλθε δὲ ὁ βασιλεὺς καὶ Ἀμὰν συμπιεῖν τῇ βασιλίσσῃ.

Εσθ. 7,1 - Ο βασιλεύς ήλθε, μαζή δε με αυτόν και ο Αμάν, στο συμπόσιον της βασιλίσσης.

Εσθ. 7,2 - εἶπε δὲ ὁ βασιλεὺς Ἐσθὴρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ· τί ἐστιν, Ἐσθὴρ βασίλισσα, καὶ τί τὸ αἴτημά σου καὶ τί τὸ ἀξίωμά σου; καὶ ἔστω σοι ἕως ἡμίσους τῆς βασιλείας μου.

Εσθ. 7,2 - Ο βασιλεύς ηρώτησε κοιτά την δευτέραν αυτήν ημέραν του συμποσίου την Εσθήρ· "ποίον είναι το αίτημά σου και ποία η επιθυμία σου; Εγώ είμαι διατεθειμένος να σου δώσω μέχρι και το ήμισυ ακόμα της βασιλείας μου".

Εσθ. 7,3 - καὶ ἀποκριθεῖσα εἶπεν· εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, δοθήτω ἡ ψυχὴ τῷ αἰτήματί μου καὶ ὁ λαός μου τῷ ἀξιώματί μου·

Εσθ. 7,3 - Η Εσθήρ του απήντησε· "εάν ευρήκα χάριν ενώπιον του βασιλέως, ας μου χαρίση την ζωήν. Αυτό είναι το αίτημά μου. Επίσης ας χαρίση ο βασιλεύς και την ζωήν του λαού μου. Αυτή είναι η επιθυμία μου.

Εσθ. 7,4 - ἐπράθημεν γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν καὶ διαρπαγὴν καὶ δουλείαν, ἡμεῖς καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ παρήκουσα· οὐ γὰρ ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ βασιλέως.

Εσθ. 7,4 - Διότι εγώ και ο λαός μου επωλήθημεν, δια να θανατωθώμεν, αι περιουσίαι μας δε να διαρπαγούν, και όσοι, τυχόν, από ημάς και από τα τέκνα μας απομείνουν από τον όλεθρον, να γίνωμεν δούλοι και δούλαι. Δι'

όλα αυτά έως τώρα δεν είπα τίποτε. Τωρα όμως φωνάζω. Ο διάβολος, που εισηγήθη αυτά, δεν είναι άξιος να ευρίσκεται εις την αυλήν του βασιλέως”.

Εσθ. 7,5 - εἶπε δὲ ὁ βασιλεύς· τίς οὗτος, ὅστις ἐτόλμησε ποιῆσαι τὸ πρᾶγμα τοῦτο;

Εσθ. 7,5 - Ο βασιλεύς ηρώτησε· “ποιός είναι αυτός, ο οποίος ετόλμησε να κάμη αυτό το πράγμα;”

Εσθ. 7,6 - εἶπε δὲ Ἐσθήρ· ἄνθρωπος ἐχθρὸς Ἀμάν, ὁ πονηρὸς οὗτος. Ἀμὰν δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης.

Εσθ. 7,6 - Η Εσθήρ απήντησεν· “ο άνθρωπος αυτός, ο εχθρός, ο πονηρός αυτός άνθρωπος είναι ο Αμάν”. Ο Αμάν όταν ήκουσεν αυτά, κατελήφθη από ταραχήν ενώπιον του βασιλέως και της βασιλίσσης.

Εσθ. 7,7 - ὁ δὲ βασιλεὺς ἐξανέστη ἀπὸ τοῦ συμποσίου εἰς τὸν κῆπον· ὁ δὲ Ἀμὰν παρῃτεῖτο τὴν βασίλισσαν, ἑώρα γὰρ ἑαυτὸν ἐν κακοῖς ὄντα.

Εσθ. 7,7 - Ο βασιλεύς γεμάτος θυμόν και ταραχήν εσηκώθη από το συμπόσιον και εξήλθεν στον κήπον. Εν τω μεταξύ ο Αμάν παρεκάλει την βασίλισσαν να μεσιτεύση δι' αυτόν, διότι έβλεπε πλέον καθαρά ότι ευρίσκετο εις πολύ μεγάλον κίνδυνον.

Εσθ. 7,8 - ἐπέστρεψε δὲ ὁ βασιλεὺς ἐκ τοῦ κήπου, Ἀμάν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλίνην ἀξιῶν τὴν βασίλισσαν. εἶπε δὲ ὁ βασιλεύς· ὥστε καὶ τὴν γυναῖκα βιάζῃ ἐν τῇ οἰκίᾳ μου; Ἀμὰν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ.

Εσθ. 7,8 - Ο βασιλεύς επέστρεψεν από τον κήπον. Ο Αμάν, επάνω εις την απελπισίαν του, είχε πέσει εν τω μεταξύ εις την κλίνην της βασιλίσσης παρακαλών την βασίλισσαν να μεσιτεύση δι' αυτόν. Ο βασιλεύς όταν τον είδε, του είπε· “ώστε και την γυναίκα μου βιάζεις μέσα στο σπίτι μου;” Ο Αμάν όταν ήκουσεν αυτά, έχασε το χρώμα του προσώπου του.

Εσθ. 7,9 - εἶπε δὲ Βουγαθὰν εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα· ἰδοὺ καὶ ξύλον ἡτοίμασεν Ἀμὰν Μαρδοχαίῳ τῷ λαλήσαντι περὶ τοῦ βασιλέως, καὶ ὤρθωται ἐν τοῖς Ἀμὰν ξύλον πηχῶν πεντήκοντα. εἶπε δὲ ὁ βασιλεύς· σταυρωθήτω ἐπ᾽ αὐτοῦ.

Εσθ. 7,9 - Ο Βουγαθάν, ένας από τους ευνούχους του βασιλέως, είπε προς τον βασιλέα· “ιδού, ο Αμάν έχει ετοιμάσει ένα ξύλον εναντίον του Μαρδοχαίου, ο οποίος είχεν αποκαλύψει στον βασιλέα τα της συνωμοσίας. Το ξύλον αυτό έχει εμπαγή και είναι ορθόν εις την αυλήν του οίκου του Αμάν. Εχει δε ύψος πεντήκοντα πήχεων”. Ο βασιλεύς διέταξε τότε· “να σταυρωθή επάνω εις αυτό ο Αμάν”.

Εσθ. 7,10 - καὶ ἐκρεμάσθη Ἀμὰν ἐπὶ τοῦ ξύλου, ὃ ἡτοιμάσθη Μαρδοχαίῳ. καὶ τότε ὁ βασιλεὺς ἐκόπασε τοῦ θυμοῦ.

Εσθ. 7,10 - Και πράγματι εσταυρώθη ο Αμάν επάνω στο ξύλον αυτό, το οποίον είχεν ετοιμάσει δια τον Μαρδοχαίον. Τοτε δε ο βασιλεύς ηρέμησεν από τον θυμόν του.

ΕΣΘΗΡ 8

Εσθ. 8,1 - Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς Ἀρταξέρξης ἐδωρήσατο Ἐσθὴρ ὅσα ὑπῆρχεν Ἀμὰν τῷ διαβόλῳ, καὶ Μαρδοχαῖος προσεκλήθη ὑπὸ τοῦ βασιλέως· ὑπέδειξε γὰρ Ἐσθήρ, ὅτι ἐνοικείωται αὐτῇ.

Εσθ. 8,1 - Κατά την ιδίαν εκείνην ημέραν ο βασιλεύς Αρταξέρξης εδώρησεν εις την Εσθήρ όλα όσα ανήκον στον συκοφάντην Αμάν. Ο δε Μαρδοχαίος παρουσιάσθη ενώπιον του βασιλέως. Η Εσθήρ του είχεν αποκαλύψει, ότι είναι στενός συγγενής της.

Εσθ. 8,2 - ἔλαβε δὲ ὁ βασιλεὺς τὸν δακτύλιον, ὃν ἀφείλετο Ἀμάν, καὶ ἔδωκεν αὐτὸν Μαρδοχαίῳ, καὶ κατέστησεν Ἐσθὴρ Μαρδοχαῖον ἐπὶ πάντων τῶν Ἀμάν.

Εσθ. 8,2 - Ο βασιλεύς επήρε το δακτυλίδι, που είχεν αφαιρέσει από τον Αμάν, και το έδωκεν στον Μαρδοχαίον. Η δε βασίλισσα Εσθήρ ενεπιστεύθη στον Μαρδοχαίον την διοίκησιν και διαχείρισιν όλων όσα ανήκον στον Αμάν.

Εσθ. 8,3 - καὶ προσθεῖσα ἐλάλησε πρὸς τὸν βασιλέα καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ καὶ ἠξίου ἀφελεῖν τὴν Ἀμὰν κακίαν καὶ ὅσα ἐποίησε τοῖς Ἰουδαίοις.

Εσθ. 8,3 - Κατόπιν η βασίλισσα ωμίλησεν επιπροσθέτως προς τον βασιλέα. Επεσεν στους πόδας του και τον παρεκάλει θερμώς, να ανακαλέση την διαταγήν, την οποίαν εν τη κακία του ο Αμάν είχε προκαλέσει εναντίον των Ιουδαίων.

Εσθ. 8,4 - ἐξέτεινε δὲ ὁ βασιλεὺς Ἐσθὴρ τὴν ῥάβδον τὴν χρυσῆν, ἐξηγέρθη δὲ Ἐσθὴρ παρεστηκέναι τῷ βασιλεῖ,

Εσθ. 8,4 - Ο βασιλεύς άπλωσε την χρυσήν του ράβδον επάνω εις την Εσθήρ, αυτή εσηκώθη και εστάθη ορθία ενώπιον του βασιλέως.

Εσθ. 8,5 - καὶ εἶπεν Ἐσθήρ· εἰ δοκεῖ σοι καὶ εὗρον χάριν, πεμφθήτω ἀποστραφῆναι τὰ γράμματα τὰ ἀπεσταλμένα ὑπὸ Ἀμάν, τὰ γραφέντα ἀπολέσθαι τοὺς Ἰουδαίους, οἵ εἰσιν ἐν τῇ βασιλείᾳ σου·

Εσθ. 8,5 - Η Εσθήρ είπεν· "εάν φαίνεται εις σε καλόν, και αν εγώ έχω εύρει χάριν ενώπιόν σου, ας αποοταλούν άνδρες, ας στείλη αγγελιαφόρους ο βασιλεύς, δια να ακυρωθή το διάταγμα, το οποίον εγράφη και απεστάλη υπό του Αμάν δια την εξόντωσιν των Ιουδαίων, που ευρίσκονται στο βασίλειόν σου.

Εσθ. 8,6 - πῶς γὰρ δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου καὶ πῶς δυνήσομαι σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου;

Εσθ. 8,6 - Διότι πως είναι δυνατόν εγώ να ίδω την φοβεράν αυτήν θλίψιν του λαού μου και πως είναι δυνατόν να σωθώ εγώ, όταν εξολοθρεύωνται οι άνθρωποι της πατρίδος μου;"

Εσθ. 8,7 - καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐσθήρ· εἰ πάντα τὰ ὑπάρχοντα Ἀμὰν ἔδωκα καὶ ἐχαρισάμην σοι καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου, ὅτι τὰς χεῖρας ἐπήνεγκε τοῖς Ἰουδαίοις, τί ἔτι ἐπιζητεῖς;

Εσθ. 8,7 - Ο βασιλεύς είπε προς την Εσθήρ· "εάν όλα τα υπάρχοντα του Αμάν σου τα εχάρισα, αυτόν δε τον ίδιον τον εκρέμασα επάνω στο ξύλον, διότι άπλωσε φονικάς τας χείρας εναντίον των Ιουδαίων, τι άλλο επιθυμείς ακόμη να κάμω; Πές μου.

Εσθ. 8,8 - γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου, ὡς δοκεῖ ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυλίῳ μου· ὅσα γὰρ γράφετε τοῦ βασιλέως ἐπιτάξαντος καὶ σφραγισθῇ τῷ δακτυλίω μου, οὐκ ἔστιν αὐτοῖς ἀντειπεῖν.

Εσθ. 8,8 - Γράψατε εξ ονόματός μου ο,τι σας φαίνεται καλόν. Σφραγίσατε το έγγραφον αυτό με το δακτυλίδι μου, διότι όσα γράφονται τη εντολή του βασιλέως και σφραγισθούν με το δακτυλίδι μου, δεν είναι δυνατόν κανείς να τα παραβή και να τα καταπατήση".

Εσθ. 8,9 - ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ μηνί, ὅς ἐστι Νισάν, τρίτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη τοῖς Ἰουδαίοις ὅσα ἐνετείλατο τοῖς οἰκονόμοις καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν, ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ἑκατὸν εἰκοσιεπτὰ σατράπαις κατὰ χώραν καὶ χώραν, κατὰ τὴν ἑαυτῶν λέξιν.

Εσθ. 8,9 - Κατά την εικοστήν τρίτην του πρώτου μηνός, του λεγομένου Νισάν, του ιδίου έτους, εκλήθησαν οι γραμματείς του βασιλέως και συνετάχθη, κατ' εντολήν της βασιλίσσης και του Μαρδοχαίου, έγγραφον δια την σωτηρίαν των Εβραίων. Το έγγραφον αυτό απεστάλη προς τους διοικητάς και στους άρχοντας των επαρχιών από την Ινδικήν μέχρι και της Αιθιοπίας, εις εκατόν είκοσι επτά επαρχίας. Δια κάθε επαρχίαν έγινεν ιδιαίτερον έγγραφον συντεταγμένον εις την γλώσσαν αυτής.

Εσθ. 8,10 - ἐγράφη δὲ διὰ τοῦ βασιλέως καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ, καὶ ἐξαπέστειλαν τὰ γράμματα διὰ βιβλιοφόρων,

Εσθ. 8,10 - Αυτά τα διατάγματα συνετάχθησαν εξ ονόματος του βασιλέως και εσφραγίσθησαν με το δακτυλίδι του. Τα έστειλαν δε προς τας επαρχίας με ειδικούς ταχυδρόμους.

Εσθ. 8,11 - ὡς ἐπέταξε αὐτοῖς χρῆσθαι τοῖς νόμοις αὐτῶν ἐν πάσῃ πόλει βοηθῆσαί τε αὐτοῖς καὶ χρῆσθαι τοῖς ἀντιδίκοις αὐτῶν καὶ τοῖς ἀντικειμένοις αὐτῶν, ὡς βούλονται,

Εσθ. 8,11 - Δια των διαταγμάτων αυτών ο βασιλεύς έδιδεν εντολήν και παρείχε το δικαίωμα στους Ιουδαίους, εις οιανδήποτε πόλιν και αν ευρίσκωνται, να κάνουν χρήσιν των νόμων των και να ζουν σύμφωνα με τους νόμους των. Επί πλέον να βοηθούν ο ένας τον άλλον εις υπεράσπισιν της ζωής των και της περιουσίας των και να μεταχειρισθούν τους αντιδίκους των και τους εχθρούς των, που θα ήθελαν να τους βλάψουν, όπως θέλουν.

Εσθ. 8,12 - ἐν ἡμέρα μιᾷ ἐν πάσῃ τῇ βασιλείᾳ Ἀρταξέρξου, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνός, ὅς ἐστιν Ἀδάρ.

Εσθ. 8,12 - Αυτά δε θα γίνουν κατά την ωρισμένην εκείνην μίαν ημέραν εις όλην την έκτασιν του βασιλείου του Αρταξέρξου, δηλαδή την δεκάτην τρίτην του δωδεκάτου μηνός, ο οποίος λέγεται Αδάρ.

Εσθ. 8,12α - Ὧν ἐστιν ἀντίγραφον τῆς ἐπιστολῆς τὰ ὑπογεγραμμένα·

Εσθ. 8,12[α] - Τα διατάγματα δε αυτά περιείχον τα εξής·

Εσθ. 8,12β - «βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ σατραπείαις χωρῶν ἄρχουσι καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι, χαίρειν.

Εσθ. 8,12β - “Ο μέγας βασιλεύς Αρταξέρξης χαιρετίζει τους σατράπας και τους αρχηγούς των εκατόν είκοσιν επτά επαρχιών από της χώρας της Ινδικής μέχρι και της Αιθιοπίας· όπως επίσης και όλους εκείνους, οι οποίοι έχουν ως φρονήματά των τα ιδικά μας φρονήματα.

Εσθ. 8,12γ - πολλοὶ τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνότερον τιμώμενοι μεῖζον ἐφρόνησαν καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμενοι φέρειν καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσιν μηχανᾶσθαι·

Εσθ. 8,12γ - Είναι γεγονός ότι πολλοί, οι οποίοι έχουν ευεργετηθή και τιμηθή πάρα πολύ χάρις εις την καλωσύνην των προϊσταμένων των, έγιναν αλαζονικοί και υπερήφανοι. Αυτοί οχι μόνον επιζητούν να κάμουν κακόν στους υποτεταγμένους εις ημάς, αλλά ανίκανοι να φέρουν το μέγα βάρος των ευεργεσιών και αξιωμάτων, που απήλαυσαν, επιχειρούν να μηχανορραφούν εναντίον των ευεργετών των.

Εσθ. 8,12δ - καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες, τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ Θεοῦ μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην.

Εσθ. 8,12δ - Αυτοί έτσι όπως φέρονται, θέλουν με το παράδειγμά των να σβήσουν την ευγνωμοσύνην ανάμεσα στους ανθρώπους· αλλά και αλαζονευθέντες από το πλήθος των αγαθών, που έχουν απολαύσει, νομίζουν ότι είναι δυνατόν να διαφύγουν την τιμωρίαν του τα πάντα, πάντοτε επιβλέποντος Θεού, ο οποίος Θεός μισεί το πονηρόν.

Εσθ. 8,12ε - πολλάκις δὲ καὶ πολλοὺς τῶν ἐπ᾿ ἐξουσίαις τεταγμένων τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πράγματα παραμυθία μετόχους αἱμάτων ἀθώων καταστήσασα, περιέβαλε συμφοραῖς ἀνηκέστοις,

Εσθ. 8,12[ε] - Πολλές δε φορές αυτοί με την απατηλήν των γλώσσαν έχουν παρασύρει πολλούς από εκείνους, οι οποίοι είναι τεταγμένοι εις τας διαφόρους εξουσίας και έχουν αναλάβει χάρις εις την εμπιστοσύνην των προϊσταμένων των την διαχείρισιν των δημοσίων πραγμάτων, πολλούς,

λοιπόν, τους παρέσυραν να γίνουν συνένοχοι στον θάνατον αθώων υπάρξεων και να περιπέσουν τοιουτοτρόπως εις αθεραπεύτους συμφοράς.

Εσθ. 8,12ζ - τῷ τῆς κακοηθείας ψευδεῖ παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον εὐγνωμοσύνην.

Εσθ. 8,12ζ - Ετσι δε με τα κακοήθη απατηλά των ψεύδη εξεμεταλλεύοντο την απλότητα και αγαθότητα των αξιωματούχων και τους παρέσυραν προς το κακόν.

Εσθ. 8,12η - σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ τῶν παλαιοτέρων ὧν παρεδώκαμεν ἱστοριῶν, ὅσα ἐστὶ παρὰ πόδας ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀνάξια δυναστευόντων λοιμότητι,

Εσθ. 8,12η - Πρέπει δε να σημειωθή ότι δεν είναι τόσον πολλά τα ελεεινά παραδείγματα μεταξύ των παλαιοτέρων ανθρώπων, όπως μας τα παρέδωσεν η αρχαία ιστορία, από όσα συμβαίνουν εις τας ημέρας μας εκ μέρους ανθρώπων, οι οποίοι κατέχουν και ασκούν αναξίως την εξουσίαν και ανοσίως επιζητούν το κακόν.

Εσθ. 8,12θ - καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα εἰς τὸ τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ᾿ εἰρήνης παρεξόμεθα,

Εσθ. 8,12θ - Αυτά πρέπει να μας κάμουν να προσέξωμεν δια την μετά ταύτα ζωήν, δια το μέλλον των ανθρώπων, να εξασφαλίσωμεν προς ωφέλειαν όλων των ανθρώπων την ηρεμίαν και την ειρήνην.

Εσθ. 8,12ι - χρώμενοι ταῖς μεταβολαῖς, τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ μετ᾿ ἐπιεικεστέρας ἀπαντήσεως.

Εσθ. 8,12ι - Δια τούτο θα προχωρήσωμεν εις τας αναγκαίας μεταβολάς και θα κρίνωμεν μετά συνέσεως πάντοτε τα πράγματα, τα οποία εκάστοτε παρουσιάζονται ενώπιόν μας, δια να αντιμετωπίσωμεν αυτά και μετά της επιτρεπομένης επιεικείας.

Εσθ. 8,12κ - ὡς γὰρ Ἀμὰν Ἀμαδάθου Μακεδών, ταῖς ἀληθείας ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος καὶ πολὺ διεστηκὼς τῆς ἡμετέρας χρηστότητος, ἐπιξενωθεὶς ἡμῖν

Εσθ. 8,12κ - Διότι γνωρίζετε και σεις, πως ο Αμάν, ο υιός του Αμαδάθου, ο Μακεδών που ήτο ξένος πράγματι από την φυλήν των Περσών και διέφερε πάρα πολύ από την ιδικήν μας χρηστήν συμπεριφοράν, έτυχε μεγάλης φιλοξενίας εκ μέρους ημών.

Εσθ. 8,12λ - ἔτυχεν, ἧς ἔχομεν πρὸς πᾶν ἔθνος φιλανθρωπίας ἐπὶ τοσοῦτον, ὥστε ἀναγορεύεσθαι ἡμῶν πατέρα καὶ προσκυνούμενον ὑπὸ πάντων τὸ δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόσωπον διατελεῖν·

Εσθ. 8,12λ - Απήλαυσε τέτοιας φιλοξενίας και τιμής αυτός, την οποίαν, άλλωστε επιδεικνύομεν προς κάθε έθνος, ώστε να ανακηρυχθή πατέρας μας και να προσκυνήται από όλους, διότι κατείχε αξίωμα πολύ πλησίον προς τον βασιλικόν θρόνον, δεύτερον κατά την αξίαν.

Εσθ. 8, 12μ - οὐκ ἐνέγκας δὲ τὴν ὑπερηφανίαν ἐπετήδευσε τῆς ἀρχῆς στερῆσαι ἡμᾶς καὶ τοῦ πνεύματος,

Εσθ. 8,12μ - Αυτός λοιπόν, ανίκανος να φέρη επαξίως την μεγάλην αυτήν τιμήν, επεχείρησε να μας στερήση από την βασιλείαν και από αυτήν ακόμη την ζωήν.

Εσθ. 8,12ν - τόν τε ἡμέτερον σωτῆρα καὶ διαπαντὸς εὐεργέτην Μαρδοχαῖον καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν Ἐσθὴρ σὺν παντὶ τῷ τούτων ἔθνει πολυπλόκοις μεθόδων παραλογισμοῖς αἰτησάμενος εἰς ἀπώλειαν·

Εσθ. 8,12ν - Τον δε σωτήρα μας και ισόβιον ευεργέτην μας Μαρδοχαίον, όπως επίσης και την άμεμπτον συγκοινωνόν της βασιλείας, την Εσθήρ, μαζή με όλον το έθνος των, επεχείρησε με κάθε είδος δολοπλοκιών και πονηρών τεχνασμάτων να τους εξολοθρεύση.

Εσθ. 8,12ξ - διὰ γὰρ τῶν τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους, τὴν τῶν Περσῶν ἐπικράτησιν εἰς τοὺς Μακεδόνας μετάξαι.

Εσθ. 8,12ξ - Με όλους αυτούς τους τρόπους ενόμιζεν ότι θα ημπορούσε να μας καταλάβη αμερίμνους και ανετοίμους και έτσι την εξουσίαν των Περσών να την μεταφέρη και παραδώση στους Μακεδόνας.

Εσθ. 8,12ο - ἡμεῖς δὲ τοὺς ὑπὸ τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ἰουδαίους, εὑρίσκομεν οὐ κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους νόμοις,

Εσθ. 8,12ο - 'Ημεις όμως τους Ιουδαίους, οι οποίοι είχον παραδοθ από τον τρισάθλιον αυτόν εις όλεθρον, ευρίσκομεν ότι δεν είναι κακούργοι, αλλά αντιθέτως ότι ζουν και φέρονται σύμφωνα με δικαιοτάτους νόμους.

Εσθ. 8,12π - ὄντας δὲ υἱοὺς τοῦ Ὑψίστου μεγίστου ζῶντος Θεοῦ τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ διαθέσει.

Εσθ. 8,12π - Ευρήκαμεν ακόμη ότι αυτοί είναι τέκνα του Υψιστου και μεγίστου Θεού, του αιωνίως υπάρχοντος Θεού, ο οποίος, όπως στο παρελθόν κατηύθυνε την βασιλείαν των προγόνων μας, έτσι και τώρα κατευθύνει την ιδικήν μας βασιλείαν εις αρίστην κατάστασιν.

Εσθ. 8,12ρ - καλῶς οὖν ποιήσετε μὴ προσχρησάμενοι τοῖς ὑπὸ Ἀμὰν Ἀμαδάθου ἀποσταλεῖσι γράμμασι διὰ τὸν αὐτὸν τὸν ταῦτα ἐξεργασάμενον πρὸς ταῖς Σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ πανοικίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος Θεοῦ διὰ τάχους ἀποδόντος αὐτῷ κρίσιν.

Εσθ. 8,12ρ - Δια τούτο καλώς θα πράξετε να μη λάβετε υπ' όψιν και να μη θέσετε εις εφαρμογήν τα αποσταλέντα έγγραφα από τον Αμάν, τον υιόν του Αμαδάθου, διότι αυτός ο αίτιος όλων αυτών των κακών, εσταυρώθη με όλην του την οικογένειαν εμπρός εις τας πύλας της πόλεως Σούσα. Και ο

Θεός, ο απόλυτος κύριος των πάντων, απέδωσεν έτσι εις αυτόν συντομότατα την τιμωρίαν, η οποία του ήξιζε.

Εσθ. 8,12σ - τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ μετὰ παῤῥησίας, ἐᾶν τοὺς Ἰουδαίους χρῆσθαι τοῖς ἑαυτῶν νομίμοις καὶ συνεπισχύειν αὐτοῖς, ὅπως τοὺς ἐν καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς Ἀδὰρ τῇ αὐτῇ ἡμέρᾳ·

Εσθ. 8,12σ - Το αντίγραφον αυτής της επιστολής θα εκτεθή εις όλους τους δημοσίους τόπους ολοφάνερα και θα αφήσετε ελευθέρους τους Ιουδαίους να ζουν και να φέρωνται σύμφωνα με τους ιδικούς των νόμους. Επί πλέον κατά την ημέραν της θλίψεως, που τους παρεσκεύασεν ο Αμάν, την δεκάτην τρίτην του δωδεκάτου μηνός Αδάρ, κατά την ημέραν αυτήν θα τους ενισχύσετε, δια να ημπορέσουν να αποκρούσουν την επίθεσιν εκείνων, οι οποίοι ενδεχομένως θα εξεγερθούν εναντίον των.

Εσθ. 8,12τ - ταύτην γὰρ ὁ τὰ πάντα δυναστεύων Θεὸς ἀντ᾿ ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους ἐποίησεν αὐτοῖς εὐφροσύνην.

Εσθ. 8,12τ - Διότι ο Θεός, ο Κυριος των πάντων, μετέβαλε δια το εκλεκτόν έθνος των Ισραηλιτών την ημέραν αυτήν από ημέραν ολέθρου εις ημέραν χαράς.

Εσθ. 8,12υ - καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγεται, ὅπως καὶ νῦν καὶ μετὰ ταῦτα σωτηρία ᾗ ἡμῖν καὶ τοῖς εὐνοοῦσι Πέρσαις, τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσι μνημόσυνον τῆς ἀπωλείας.

Εσθ. 8,12υ - Και σεις, λοιπόν, εντάξατε μεταξύ των άλλων γνωστών εορτών σας και αυτήν την επίσημον ημέραν, την οποίαν να εορτάσετε με κάθε χαράν και απόλαυσιν, ώστε αυτή και τώρα και στο μέλλον να είναι δι' ημάς και δι' όλους εκείνους οι οποίοι διάκεινται ευμενώς προς τους Πέρσας, εορτή σωτηρίας. Δια δε τους εχθρούς μας να είναι μία ανάμνησις καταστροφής των.

Εσθ. 8,12φ - πᾶσα δὲ πόλις ἢ χώρα τὸ σύνολον, ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ, δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ᾿ ὀργῆς· οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον ἔχθιστος κατασταθήσεται.

Εσθ. 8,12φ - Καθε δε πόλις η και ολόκληρος χώρα, η οποία δεν θα θελήση να συμμορφωθή προς αυτά που διατάσσομεν, δια πυρός και δια σιδήρου και με οργήν μεγάλην θα εξολοθρευθή. Και θα γίνη άβατος και ακατοίκητος όχι μόνον δια τους ανθρώπους αλλά και δια τα θηρία και διο τα πτηνά, τόπος μισητός και αποτρόπαιος δι' όλον τον υπόλοιπον χρόνον.

Εσθ. 8,13 - τὰ δὲ ἀντίγραφα ἐκτιθέσθωσαν ὀφθαλμοφανῶς ἐν πάσῃ τῇ βασιλείᾳ, ἑτοίμους τε εἶναι πάντας τοὺς Ἰουδαίους εἰς ταύτην τὴν ἡμέραν, πολεμῆσαι αὐτῶν τοὺς ὑπεναντίους».

Εσθ. 8,13 - Τα αντίγραφα αυτών των διαταγών ας εκτεθούν οφθαλμοφανώς εις όλην την βασιλείαν, ας είναι δε όλοι οι Ιουδαίοι έτοιμοι κατά την ημέραν αυτήν, να πολεμήσουν εναντίον των εχθρών των".

Εσθ. 8,14 - Οἱ μὲν οὖν ἱππεῖς ἐξῆλθον σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα ἐπιτελεῖν· ἐξετέθη δὲ τὸ πρόσταγμα καὶ ἐν Σούσοις.

Εσθ. 8,14 - Οι μεν λοιπόν έφιπποι ταχυδρόμοι ανεχώρησαν σπεύδοντες να εκτελέσουν τας διαταγάς του βασιλέως, το διάταγμα δε αυτό εξετέθη δημοσία και εις τα Σούσα.

Εσθ. 8,15 - ὁ δὲ Μαρδοχαῖος ἐξῆλθεν ἐστολισμένος τὴν βασιλικὴν στολὴν καὶ στέφανον ἔχων χρυσοῦν καὶ διάδημα βύσσινον πορφυροῦν· ἰδόντες δὲ οἱ ἐν Σούσοις ἐχάρησαν.

Εσθ. 8,15 - Ο δε Μαρδοχαίος εβγήκεν από τα βασιλικά ανάκτορα στολισμένος με την βασιλικήν στολήν, έχων χρυσούν στέφανον εις την κεφαλήν και βασιλικόν διάδημα από βύσσον και πορφύραν. Οι κάτοικοι των Σούσων, όταν τον είδαν, εχάρησαν.

Εσθ. 8,16 - τοῖς δὲ Ἰουδαίοις ἐγένετο φῶς καὶ εὐφροσύνη·

Εσθ. 8,16 - Αυτό δια τους Ιουδαίους έγινε φως και χαρά.

Εσθ. 8,17 - κατὰ πόλιν καὶ χώραν, οὗ ἂν ἐξετέθη τὸ πρόσταγμα, οὗ ἂν ἐξετέθη τὸ ἔκθεμα, χαρὰ καὶ εὐφροσύνη τοῖς Ἰουδαίοις, κώθων καὶ εὐφροσύνη. καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμνοντο καὶ ἰουδάϊζον διὰ τὸν φόβον τῶν Ἰουδαίων.

Εσθ. 8,17 - Εις όλας δε τας πόλεις και χώρας, όπου εξετέθη δημοσία το διάταγμα του βασιλέως, επεκράτησε μεγάλη χαρά και ευφροσύνη μεταξύ των Ιουδαίων, φαγοπότι και αγαλλίασις. Πολλοί δε από τους εθνικούς περιετέμνοντο και εμιμούντο τον τρόπον ζωής της θρησκείας των Ιουδαίων, διότι ευλαβούντο και εφοβούντο τους Ιουδαίους.

ΕΣΘΗΡ 9

Εσθ. 9,1 - Ἐν γὰρ τῷ δωδεκάτῳ μηνί, τῇ τρισκαιδεκάτη τοῦ μηνός, ὅς ἐστιν Ἀδάρ, παρῆν τὰ γράμματα τὰ γραφέντα ὑπὸ τοῦ βασιλέως.

Εσθ. 9,1 - Την δεκάτην τρίτην του δωδεκάτου μηνός του ονομαζόμενου Αδάρ είχον φθάσει τα γράμματα του βασιλέως εις όλας τας πόλεις και χώρας του βασιλείου του.

Εσθ. 9,2 - ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς Ἰουδαίοις· οὐδεὶς γὰρ ἀντέστη, φοβούμενος αὐτούς.

Εσθ. 9,2 - Κατά την ημέραν αυτήν εξωλοθρευθησαν οι εχθροί των Ιουδαίων, διότι κανείς δεν αντεσταθη εις αυτούς, επειδή τους εφοβείτο.

Εσθ. 9,3 - οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν καὶ οἱ τύραννοι καὶ οἱ βασιλικοὶ γραμματεῖς ἐτίμων τοὺς Ἰουδαίους· ὁ γὰρ φόβος Μαρδοχαίου

ἐνέκειτο αὐτοῖς.

Εσθ. 9,3 - Και τούτο, διότι όλοι οι αρχηγοί των σατραπειών, οι διοικήται και γενικώς οι βασιλικοί υπάλληλοι, ετιμουσαν τους Ιουδαίους, επειδή ο φόβος του Μαρδοχαίου επεκρεματο επάνω από αυτούς.

Εσθ. 9,4 - προσέπεσε γὰρ τὸ πρόσταγμα τοῦ βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ καὶ ἐμεγαλύνετο.

Εσθ. 9,4 - Το διάταγμα, λοιπόν, αυτό του βασιλέως εκοινοποιηθη και έγινε γνωστόν εις όλον το βασίλειον, ο δε Μαρδοχαίος εδοξάζετο όλονεν και περισσότερον.

Εσθ. 9,5 - καὶ ἐπάταξαν οἱ Ἰουδαῖοι πληγὴν ἐν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν πληγὴν μαχαίρας καὶ ἀναιρέσεως καὶ ἀπωλείας καὶ ἐποίησαν ἐν τοῖς μισοῦσιν αὐτοὺς κατὰ τὸ θέλημα αὐτῶν.

Εσθ. 9,5 - Οι Ιουδαίοι εκτυπησαν με μαχαίρας και επέφεραν μεγάλην θραΰσιν εις όλους τους εχθρούς των, όλεθρον και καταστροφήν. Εκαμαν εναντίον των μισούντων αυτούς, όσα εκείνοι ήθελαν να κάμουν εις αυτούς.

Εσθ. 9,6 - καὶ ἐν Σούσοις τῇ πόλει ἀπέκτειναν οἱ Ἰουδαῖοι ἄνδρας πεντακοσίους,

Εσθ. 9,6 - Εις την πρωτεύουσαν Σούσα οι Ιουδαίοι εφόνευσαν πεντακοσίους άνδρας.

Εσθ. 9,7 - τόν τε Φαρσαννὲς καὶ Δελφὼν καὶ Φασγὰ

Εσθ. 9,7 - Μεταξύ δε αυτών τον Φαρσαννές, τον Δελφών, τον Φασγά,

Εσθ. 9,8 - καὶ Φαραδαθὰ καὶ Βαρέα καὶ Σαρβακὰ

Εσθ. 9,8 - τον Φαραδαθά, τον Βαρέα, τον Σαρβακά,

Εσθ. 9,9 - καὶ Μαρμασιμὰ καὶ Ῥουφαῖον καὶ Ἀρσαῖον καὶ Ζαβουθαῖον,

Εσθ. 9,9 - τον Μαρμασιμά, τυν Ρουφαιον, τον Αρσαίον, τον Ζαβουθαίον,

Εσθ. 9,10 - τοὺς δέκα υἱοὺς Ἀμὰν Ἀμαδάθου Βουγαίου τοῦ ἐχθροῦ τῶν Ἰουδαίων, καὶ διήρπασαν.

Εσθ. 9,10 - τους δέκα υιούς Αμάν του Αμαδαθού του Βουγαίου του εχθρού των Ιουδαίων, και διήρπασαν αυτών τας περιουσίας.

Εσθ. 9,11 - ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐπεδόθη ὁ ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν Σούσοις.

Εσθ. 9,11 - Κατά την ιδίαν ημέραν ανεφέρθη στον βασιλέα ο αριθμός των φονευθέντων εις τα Σούσα.

Εσθ. 9,12 - εἶπε δὲ ὁ βασιλεὺς πρὸς Ἐσθήρ· ἀπώλεσαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει ἄνδρας πεντακοσίους· ἐν δὲ τῇ περιχώρῳ πῶς οἴει ἐχρήσαντο; τί οὖν ἀξιοῖς ἔτι, καὶ ἔσται σοι;

Εσθ. 9,12 - Είπε τότε ο βασιλεύς προς την Εσθήρ «οι Ιουδαίοι εδώ εις τα Σούσα εφόνευσαν πεντακοσίους άνδρας. Σκέψου, λοιπόν, πόσους ακόμη περισσοτέρους θα εφόνευσαν εις την επαρχίαν. Λοιπόν ποίον αξιώσιν έχεις ακόμη από εμέ; Πες μου την και εγώ θα την εκπληρώσω».

Εσθ. 9,13 - καὶ εἶπεν Ἐσθὴρ τῷ βασιλεῖ· δοθήτω τοῖς Ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον, ὥστε τοὺς δέκα υἱοὺς Ἀμὰν κρεμάσαι.

Εσθ. 9,13 - Η Εσθήρ είπεν στον βασιλέα «ας δώση ο βασιλεύς την άδειαν στους Ιουδαίους, που ευρίσκονται εις τα Σούσα, να χρησιμοποιήσουν την επομένην ημέραν κατά τον ίδιον τρόπον, ώστε κατ αυτήν να κρεμάσουν τα δέκα παιδιά του Αμάν».

Εσθ. 9,14 - καὶ ἐπέτρεψεν οὕτως γενέσθαι καὶ ἐξέθηκε τοῖς Ἰουδαίοις τῆς πόλεως τὰ σώματα τῶν υἱῶν Ἀμὰν κρεμάσαι.

Εσθ. 9,14 - Ο βασιλεύς επέτρεψε να γίνη έτσι. Εδημοσιευθη το σχετικόν διάταγμα, δια του οποίου επετρέπετο στους Ιουδαίους της πόλεως να κρεμάσουν τα σώματα των υιών του Αμάν, όπως και τα εκρέμασαν.

Εσθ. 9,15 - καὶ συνήχθησαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ Ἀδὰρ καὶ ἀπέκτειναν ἄνδρας τριακοσίους καὶ οὐδὲν διήρπασαν.

Εσθ. 9,15 - Οι Ιουδαίοι, οι οποίοι ευρίσκοντο εις τα Σούσα, συνεκεντρώθησαν κατά την δεκάτην τετάρτην του μηνός Αδάρ και εξωντωσαν τριακοσίους ακόμη εχθρούς των, χωρίς όμως να διαρπάσουν τίποτε.

Εσθ. 9,16 - οἱ δὲ λοιποὶ τῶν Ἰουδαίων οἱ ἐν τῇ βασιλείᾳ συνήχθησαν καὶ ἑαυτοῖς ἐβοήθουν καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων· ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πεντακισχιλίους τῇ τρισκαιδεκάτῃ τοῦ Ἀδὰρ καὶ οὐδὲν διήρπασαν.

Εσθ. 9,16 - Οι υπόλοιποι Ιουδαίοι, οι οποίοι ευρίσκοντο ανά τας επαρχίας του βασιλείου, συνεκεντρώθησαν, δια να βοηθήσουν ο ένας τον άλλον εις άμυναν εναντίον των εχθρών των. Και επέτυχαν να ασφαλισθούν απέναντι των πολεμίων των. Αυτοί όμως εφόνευσαν από τους εχθρούς των κατά την δεκάτην τρίτην του μηνός Αδάρ δεκαπέντε χιλιάδες ανθρώπους, χωρίς όμως να προβούν εις καμμίαν διαρπαγήν.

Εσθ. 9,17 - καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς καὶ εὐφροσύνης.

Εσθ. 9,17 - Την δεκάτην τετάρτην του ιδίου μηνός οι Ιουδαίοι ανεπαυθησαν και επερασαν την ημέραν αυτήν με συμπόσια και χαράν.

Εσθ. 9,18 - οἱ δὲ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει συνήχθησαν καὶ τῇ τεσσαρεσκαιδεκάτῃ καὶ ἀνεπαύσαντο· ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ χαρᾶς καὶ εὐφροσύνης.

Εσθ. 9,18 - Οι δε Ιουδαίοι, οι οποίοι ευρίσκοντο εις την πόλιν Σούσα, συνεκεντρώθησαν κατά την δεκάτην τετάρτην ημέραν και ανεπαυθησαν. Επερασαν δε την δεκάτην πέμπτην ημέραν με χαράν και αγαλλιασιν.

Εσθ. 9,19 - διὰ τοῦτο οὖν οἱ Ἰουδαῖοι οἱ διεσπαρμένοι ἐν πάσῃ χώρᾳ τῇ ἔξω ἄγουσι τὴν τεσσαρεσκαιδεκάτην τοῦ Ἀδὰρ ἡμέραν ἀγαθὴν μετ᾿

εὐφροσύνης ἀποστέλλοντες μερίδας ἕκαστος τῷ πλησίον.
Εσθ. 9,19 - Δια τούτο ακριβώς και οι άλλοι Ιουδαίοι, οι διασκορπισμένοι εις όλην την υπαιθρον χώραν, πανηγυρίζουν με πολλήν χαράν την δεκάτην τετάρτην του μηνός Αδάρ ως ημέραν καλήν και χαρμόσυνον και αποστέλλουν ο ένας στον άλλον μερίδας φαγητών.
Εσθ. 9,20 - Ἔγραψε δὲ Μαρδοχαῖος τοὺς λόγους τούτους εἰς βιβλίον καὶ ἐξαπέστειλε τοῖς Ἰουδαίοις, ὅσοι ἦσαν ἐν τῇ Ἀρταξέρξου βασιλεία, τοῖς ἐγγὺς καὶ τοῖς μακράν,
Εσθ. 9,20 - Ο Μαρδοχαίος κατέγραψε τα ιστορικά αυτά γεγονότα εις βιβλίον, το οποίον και έστειλε προς όλους τους Ιουδαίους, που ευρίσκοντο εις τας επαρχίας του βασιλείου του Αρτάξερξου, τόσον εις εκείνους που κατοικούσαν πλησίον, όσον και εις εκείνους που ευρίσκοντο μακράν.
Εσθ. 9,21 - στῆσαι τὰς ἡμέρας ταύτας ἀγαθὰς ἄγειν τε τὴν τεσσαρεσκαιδεκάτην καὶ τὴν πεντεκαιδεκάτην τοῦ Ἀδὰρ
Εσθ. 9,21 - Τους έδωσε δε εντολήν να εορτάζουν με χαράν και ευφροσύνην τας ημέρας αυτάς, την δεκάτην τετάρτην και δεκάτην πέμπτην του μηνός Αδάρ,
Εσθ. 9,22 - ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ Ἰουδαῖοι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν- καὶ τὸν μῆνα, ἐν ᾧ ἐστράφη αὐτοῖς (ὃς ἦν Ἀδὰρ) ἀπὸ πένθους εἰς χαρὰν καὶ ἀπὸ ὀδύνης εἰς ἀγαθὴν ἡμέραν, ἄγειν ὅλον ἀγαθὰς ἡμέρας γάμων καὶ εὐφροσύνης, ἐξαποστέλλοντας μερίδας τοῖς φίλοις καὶ τοῖς πτωχοῖς.
Εσθ. 9,22 - διότι κατά τας ημέρας αυτάς οι Ιουδαίοι διέφυγαν τον τρομερόν κίνδυνον εκ μέρους των εχθρών των και έμειναν ανενόχλητοι και έτσι ο μήνας αυτός (ο Αδάρ) μετεστράφη από πένθος εις χαράν και αι ημέραι εκείναι από ημέραι οδύνης εις ημέρας χαρμοσύνους και εορτάσιμους. Διέταξε, λοιπόν, να πανηγυρίζουν τας ιστορικας αυτάς ημέρας με χαράν, όπως πανηγυρίζουν τας ημέρας των γάμων, και να αποστέλλουν μερίδας φαγητών και δώρα στους φίλους και τους πτωχούς.
Εσθ. 9,23 - καὶ προσεδέξαντο οἱ Ἰουδαῖοι, καθὼς ἔγραψεν αὐτοῖς ὁ Μαρδοχαῖος,
Εσθ. 9,23 - Οι Ιουδαίοι εδέχθη σαν όλα όσα έγραψεν εις αυτούς ο Μαρδοχαίος.
Εσθ. 9,24 - πῶς Ἀμὰν Ἀμαδάθου, ὁ Μακεδών, ἐπολέμει αὐτούς, καθὼς ἔθετο ψήφισμα καὶ κλῆρον ἀφανίσαι αὐτούς,
Εσθ. 9,24 - Επληροφορηθησαν, δηλαδή, λεπτομερώς πως ο Αμάν ο υιός του Αμαδάθου ο Μακεδών ήτο εχθρός των, ότι επροκαλεσε διάταγμα εξόντωσε εώς των και έρριψε κλήρους, δια να ορισθή η ημέρα του ολέθρου των Ιουδαίων

Εσθ. 9,25 - καὶ ὡς εἰσῆλθε πρὸς τὸν βασιλέα λέγων κρεμάσαι τὸν Μαρδοχαῖον· ὅσα δὲ ἐπεχείρησεν ἐπάξαι ἐπὶ τοὺς Ἰουδαίους κακά, ἐπ᾿ αὐτὸν ἐγένοντο, καὶ ἐκρεμάσθη αὐτός, καὶ τὰ τέκνα αὐτοῦ.

Εσθ. 9,25 - Οτι ο Αμάν είχε καταστρώσει σχέδιον, να παρουσιασθώ προς τον βασιλέα και να του εισηγηθή να διατάξη, δπως κρεμάσουν τον Μαρδοχαίον. Γενικώς όσα κακά επεχείρησε να πράξη εναντίον των Ιουδαίων και τα οποία εν τέλει εξεσπασαν εναντίον του, διότι αυτός και τα παιδιά του εκρεμάσθησαν.

Εσθ. 9,26 - διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται Φρουραὶ διὰ τοὺς κλήρους, ὅτι τῇ διαλέκτῳ αὐτῶν καλοῦνται Φρουραί, διὰ τοὺς λόγους τῆς ἐπιστολῆς ταύτης καὶ ὅσα πεπόνθασι διὰ ταῦτα καὶ ὅσα αὐτοῖς ἐγένετο,

Εσθ. 9,26 - Δια τούτο επωνομασθησαν αι εορτιοι αύται, ημέραι «Φρουραι» δια τους κλήρους οι οποίοι είχον ριφθή εις καθορισμόν της ημέρας προς καταστροφήν των Ιουδαίων. Οι κλήροι εις την γλώσσαν αυτών λέγονται Αφρουραί». Δι αυτούς τους λόγους, που τεριείχοντο εις αυτήν την επιστολήν και δι όσα επρόκειτο να πάθουν οι Ιουδαίοι και δι όσα γεγονότα έγιναν κατά τας ημέρας εκείνας, καθιερώθη η εορτή αυτή.

Εσθ. 9,27 - καὶ ἔστησε· καὶ προσεδέχοντο οἱ Ἰουδαῖοι ἐφ᾿ ἑαυτοῖς καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν καὶ ἐπὶ τοῖς προστεθειμένοις ἐπ᾿ αὐτῶν, οὐδὲ μὴν ἄλλων χρήσονται. αἱ δὲ ἡμέραι αὗται μνημόσυνον ἐπιτελούμενον κατὰ γενεὰν καὶ γενεὰν καὶ πόλιν καὶ πατριὰν καὶ χώραν.

Εσθ. 9,27 - Οι δε Ιουδαίοι εδέχθησαν και ανέλαβον την υποχοεωσιν δια τον εαυτόν των, δια τους απογόνους των και δι όσους άλλους ήθελον προσκολληθή στο γένος των, να εορτάζουν απαραδατως τας δύο αυτάς ημέρας, ως εορτάς εις όλας τας γενεάς και εις όλας τας πόλεις, εις κάθε φυλήν και εις κάθε χώραν.

Εσθ. 9,28 - αἱ δὲ ἡμέραι αὗται τῶν Φρουραὶ ἀχθήσονται εἱς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον αὐτῶν οὐ μὴ ἐκλίπῃ ἐκ τῶν γενεῶν.

Εσθ. 9,28 - Αι εορταί αύται, αι «Φρουραί», θα εορταζωνται εις όλον τον κατόπιν χρόνον και η ανάμνησις των δεν πρέπει να λείψη ποτέ από τας γενεάς των Ισραηλιτών.

Εσθ. 9,29 - καὶ ἔγραψεν Ἐσθὴρ ἡ βασίλισσα θυγάτηρ Ἀμιναδὰβ καὶ Μαρδοχαῖος ὁ Ἰουδαῖος ὅσα ἐποίησαν τό τε στερέωμα τῆς ἐπιστολῆς τῶν Φρουραί.

Εσθ. 9,29 - Η βασίλισσα Εσθήρ, η θυγάτηρ του Αμιναδαβ, και ο Μαρδοχαίος ο Ιουδαίος έγραψαν εκ δευτέρου όσα έκαμαν, καθιέρωσαν και επεκυρωσαν όσα δια προγενεστέρας επιστολής ωρίζοντο σχετικώς με τας εορτάς «Φρουραί».

Εσθ. 9,30 - καὶ Μαρδοχαῖος καὶ Ἐσθὴρ ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς καθ᾿ ἑαυτῶν, καὶ τότε στήσαντες κατὰ τῆς ὑγείας ἑαυτῶν καὶ τὴν βουλὴν

αὐτῶν.

Εσθ. 9,30 - Ετσι ο Μαρδοχαίος και η Βασίλισσα Εσθήρ καθιέρωσαν την εορτήν αυτήν καϊ ανέλαβαν οι ίδιοι με όρκον επί της ζωής των και της υγείας των την Ρποχρέωσιν και την απόφασιν ότι θα την τηρήσουν.

Εσθ. 9,31 - καὶ Ἐσθὴρ λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.

Εσθ. 9,31 - Κατ αυτόν τον τρόπον η Εσθήρ καθιέρωσε και ώρισε να γίνεται πάντοτε αυτή η εορτή. Εγράφη αυτή και καθιερώθη προς ανάμνησιν της σωτηρίας των Εβραίων.

ΕΣΘΗΡ 10

Εσθ. 10,1 - Ἔγραψε δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς καὶ τῆς θαλάσσης,

Εσθ. 10,1 - Ο βασιλεύς διέταξε και κατέγραψαν, όσα κατά το διάστημα της βασιλείας του έγιναν, τόσον κατά ξηράν όσον και κατά θάλασσαν.

Εσθ. 10,2 - καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ ἀνδραγαθίαν πλοῦτόν τε καὶ δόξαν τῆς βασιλείας αὐτοῦ, ἰδοὺ γέγραπται ἐν βιβλίῳ βασιλέων Περσῶν καὶ Μήδων εἰς μνημόσυνον.

Εσθ. 10,2 - Ολα όσα αναφέρονται εις την δύναμίν του, τα κατορθώματά του, τον πλούτον και την δόξαν της βασιλείας του, ιδού, έχουν καταγραφή στο χρονικόν, βιβλίον των βασιλέων Περσών και Μηδων εις ανάμνησιν.

Εσθ. 10,3 - ὁ δὲ Μαρδοχαῖος διεδέχετο τὸν βασιλέα Ἀρταξέρξην καὶ μέγας ἦν ἐν τῇ βασιλείᾳ καὶ δεδοξασμένος ὑπὸ τῶν Ἰουδαίων· καὶ φιλούμενος, διηγεῖτο τὴν ἀγωγὴν παντὶ τῷ ἔθνει αὐτοῦ.

Εσθ. 10,3 - Ο Μαρδοχαίος εξεπροσώπει τον βασιλέα Αρταξέρξην και είχεν αναδειχθή μέγας κατά το διάστημα της βασιλείας εκείνου, τιμώμενος ιδιαιτέρως και αγαπώμενος από τους Ιουδαίους. Αυτός κατηύθυνεν εις προκοπήν και επιτυχίαν την ζωήν όλου του έθνους του.

Εσθ. 10,3α - Καὶ εἶπε Μαρδοχαῖος· παρὰ τοῦ Θεοῦ ἐγένετο ταῦτα.

Εσθ. 10,3^{α} - Είπεν ο Μαρδοχαίος· “όλα αυτά εγένοντο πάρα του Θεού,

Εσθ. 10,3β - ἐμνήσθη γὰρ περὶ τοῦ ἐνυπνίου, οὗ εἶδον περὶ τῶν λόγων τούτων· οὐδὲ γὰρ παρῆλθεν ἀπ᾽ αὐτῶν λόγος.

Εσθ. 10,3β - διότι ενεθυμήθην το όνειρον εκείνο, που είδα σχετικώς με τα γεγονότα αυτά. Τιποτε δεν εξέπεσεν από εκείνα.

Εσθ. 10,3γ - ἡ μικρὰ πηγή, ἣ ἐγένετο ποταμὸς καὶ ἦν φῶς καὶ ἥλιος καὶ ὕδωρ πολύ· Ἐσθήρ ἐστιν ὁ ποταμός, ἣν ἐγάμησεν ὁ βασιλεὺς καὶ ἐποίησε βασίλισσαν.

Εσθ. 10,3γ - Η μικρή πηγή, η οποία έγινε ποταμός και φως και ήλιος και ύδωρ πολύ, ήτο η Εσθήρ, την οποίαν έλαβεν ως σύζυγόν του ο βασιλεύς και την ανέδειξε βασίλισσαν.

Εσθ. 10,3δ - οἱ δὲ δύο δράκοντες, ἐγώ εἰμι καὶ Ἀμάν.

Εσθ. 10,3δ - Οι δύο δράκοντες είμαι εγώ και ο Αμάν.

Εσθ. 10,3ε - τὰ δὲ ἔθνη τὰ ἐπισυναχθέντα ἀπολέσαι τὸ ὄνομα τῶν Ἰουδαίων.

Εσθ. 10,3ε - Τα δε έθνη είναι εκείνα, τα οποία συνεκεντρώθησαν με τον σκοπόν να εξολοθρεύσουν το όνομα των Ιουδαίων.

Εσθ. 10,3ζ - τὸ δὲ ἔθνος τὸ ἐμόν, οὗτός ἐστιν Ἰσραήλ, οἱ βοήσαντες πρὸς τὸν Θεὸν καὶ σωθέντες· καὶ ἔσωσε Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐρύσατο Κύριος ἡμᾶς ἐκ πάντων τῶν κακῶν τούτων. καὶ ἐποίησεν ὁ Θεὸς τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα, ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσι.

Εσθ. 10,3ζ - Ο ιδικός μου λαός είναι οι Ισραηλίται, οι οποίοι εβόησαν με προσευχήν θερμήν προς τον Θεόν και εσώθησαν. Εσωσε πράγματι ο Κυριος τον λαόν του και μας εγλύτωσεν από όλα τα δεινά, που μας είχαν απειλήσει. Ο Θεός επραγματοποίησε τα μεγάλα αυτά και αξιοθαύμαστα σημεία, τα οποία δεν έχουν γίνει μεταξύ των εθνών.

Εσθ. 10,3η - διὰ τοῦτο ἐποίησε κλήρους δύο, ἕνα τῷ λαῷ τοῦ Θεοῦ καὶ ἕνα πᾶσι τοῖς ἔθνεσι·

Εσθ. 10,3η - Δια τούτο ο Θεός ητοίμασε δύο κλήρους, ένα δια τον ιδικόν του λαόν και ένα δι' όλα τα άλλα έθνη.

Εσθ. 10,3θ - καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι εἰς ὥραν καὶ καιρὸν καὶ εἰς ἡμέραν κρίσεως ἐνώπιον τοῦ Θεοῦ καὶ πᾶσιν τοῖς ἔθνεσι,

Εσθ. 10,3θ - Και οι δύο αυτοί κλήροι, τα δύο αυτά γεγονότα, που είχαν προαναγγελθή, επραγματοποιήθησαν την αυτήν ημέραν, την αυτήν ώραν, κατά την αυτήν εποχήν, που είχεν ορίσει ο Θεός δι' όλα τα έθνη ως ημέραν κρίσεως.

Εσθ. 10,3ι - καὶ ἐμνήσθη ὁ Θεὸς τοῦ λαοῦ αὐτοῦ καὶ ἐδικαίωσε τὴν κληρονομίαν αὐτοῦ·

Εσθ. 10,3ι - Ο Θεός ενεθυμήθη τον λαόν του και απέδωσε το δίκαιον εις την κληρονομίαν του.

Εσθ. 10,3κ - καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται ἐν μηνὶ Ἀδὰρ τῇ τεσσαρεσκαιδεκάτῃ καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς μετὰ συναγωγῆς καὶ χαρᾶς καὶ εὐφροσύνης ἐνώπιον τοῦ Θεοῦ κατὰ γενεὰς εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ Ἰσραήλ.

Εσθ. 10,3κ - Δι' αυτό και αι ημέραι αυταί, η δεκάτη τετάρτη και η δεκάτη πέμπτη του μηνός Αδάρ, θα εορτάζονται από τους Ιουδαίους με συγκέντρωσίν των, με χαράν και ευφροσύνην ενώπιον του Θεού, εις όλας τας γενεάς στον αιώνα μεταξύ του ισραηλιτικού λαού”.

Εσθ. 10,3λ - Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπάτρας εἰσήνεγκε Δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ Λευίτης, καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν Φρουραί, ἣν ἔφασαν εἶναι καὶ ἡρμηνευκέναι Λυσίμαχον Πτολεμαίου τῶν ἐν Ἱερουσαλήμ.

Εσθ. 10,3λ - Κατά δε το τέταρτον έτος του βασιλέως Πτολεμαίου και της Κλεοπάτρας ο Δοσίθεος, ο οποίος έλεγεν ότι είναι ιερεύς και Λευΐτης, και ο Πτολεμαίος, ο υιός αυτού, έφεραν την επιστολήν αυτήν των "Φρουραί", δια την οποίαν έλεγαν ότι αυθεντικώς έχει μεταφρασθή από τον Λυσίμαχον τον υιόν του Πτολεμαίου τον εκ της κοινότητος της Ιερουσαλήμ.

ΜΑΚΚΑΒΑΙΩΝ Α'

Α ΜΑΚΚΑΒΑΙΩΝ 1

Α Μακ. 1,1 - Καὶ ἐγένετο μετὰ τὸ πατάξαι Ἀλέξανδρον τὸν Φιλίππου τὸν Μακεδόνα, ὃς ἐξῆλθεν ἐκ τῆς γῆς Χεττειείμ, καὶ ἐπάταξε τὸν Δαρεῖον βασιλέα Περσῶν καὶ Μήδων καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ πρότερος ἐπὶ τὴν Ἑλλάδα.
Α Μακ. 1,1 - Ο Αλέξανδρος, ο υιός του Φιλίππου, ο Μακεδών, έπειτα από την νίκην του εναντίον των Περσών, κατά την οποίαν ενίκησε τον βασιλέα των Περσών και των Μηδων Δαρείον, εξώρμησεν από την χώραν των Χετταίων και έγινε βασιλεύς αντί εκείνου εις τας χώρας αυτάς, αφού προηγουμένως είχε γίνει βασιλεύς ολοκλήρου της Ελλάδος.
Α Μακ. 1,2 - καὶ συνεστήσατο πολέμους πολλοὺς καὶ ἐκράτησεν ὀχυρωμάτων πολλῶν καὶ ἔσφαξε βασιλεῖς τῆς γῆς·
Α Μακ. 1,2 - Διεξήγαγε πολλούς επιτυχείς πολέμους, έγινε κύριος πολλών φρουρίων και εθανάτωσε βασιλείς πολλών χωρών.
Α Μακ. 1,3 - καὶ διῆλθεν ἕως ἄκρων τῆς γῆς καὶ ἔλαβε σκῦλα πλήθους ἐθνῶν. καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ, καὶ ὑψώθη, καὶ ἐπήρθη ἡ καρδία αὐτοῦ.
Α Μακ. 1,3 - Εφθασεν έως τα άκρα της οικουμένης και επήρε λάφυρα από πολλούς λαούς. Ολος δε ο τότε γνωστός κόσμος υπετάχθη εις αυτόν και ησύχασεν από τους πολέμους. Αυτός δε εδοξάσθη, αλλά η καρδία του εκυριεύθη από υπερηφάνειαν.
Α Μακ. 1,4 - καὶ συνήγαγε δύναμιν ἰσχυρὰν σφόδρα καὶ ἦρξε χωρῶν καὶ ἐθνῶν καὶ τυράννων, καὶ ἐγένοντο αὐτῷ εἰς φόρον.
Α Μακ. 1,4 - Συνεκέντρωσε στρατόν πολύ ισχυρόν, έγινεν άρχων χωρών, εθνών και βασιλέων, που έγιναν φόρου υποτελείς εις αυτόν.
Α Μακ. 1,5 - καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ τὴν κοίτην καὶ ἔγνω ὅτι ἀποθνήσκει.
Α Μακ. 1,5 - Μετά ταύτα όμως ησθένησεν, έπεσεν εις την κλίνην της ασθενείας του και ήσθάνθη, ότι επρόκειτο να αποθάνη.
Α Μακ. 1,6 - καὶ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ τοὺς ἐνδόξους τοὺς συντρόφους αὐτοῦ ἀπὸ νεότητος καὶ διεῖλεν αὐτοῖς τὴν βασιλείαν αὐτοῦ ἔτι ζῶντος αὐτοῦ.
Α Μακ. 1,6 - Εκάλεσε πλησίον του τους πλέον ενδόξους από τους αυλικούς του και τους συντρόφους του από την νεότητά του, και διεμοίρασεν εις αυτούς την βασιλείαν του, καθ' ον χρόνον ακόμη εζούσεν.
Α Μακ. 1,7 - καὶ ἐβασίλευσεν Ἀλέξανδρος ἔτη δώδεκα καὶ ἀπέθανε.

Α Μακ. 1,7 - Ο μέγας Αλέξανδρος εβασίλευσεν επί δώδεκα έτη και κατόπιν απέθανεν.

Α Μακ. 1,8 - καὶ ἐπεκράτησαν οἱ παῖδες αὐτοῦ ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ.

Α Μακ. 1,8 - Αξιωματούχοι του εγκατεστάθησαν ως άρχοντες πλέον, ο καθένας εις την επαρχίαν του.

Α Μακ. 1,9 - καὶ ἐπέθεντο πάντες διαδήματα μετὰ τὸ ἀποθανεῖν αὐτὸν καὶ οἱ υἱοὶ αὐτῶν ὀπίσω αὐτῶν ἔτη πολλὰ καὶ ἐπλήθυναν κακὰ ἐν τῇ γῇ.

Α Μακ. 1,9 - Ολοι αυτοί μετά τον θάνατον του μεγάλου Αλεξάνδρου έθεσαν εις την κεφαλήν των βασιλικά διαδήματα, δείγματα της εξουσίας των, και έπειτα από αυτούς τα παιδιά των επί έτη πολλά. Ολοι όμως αυτοί κατά το διάστημα της βασιλείας των επροξένησαν πολλάς συμφοράς εις την οικουμένην.

Α Μακ. 1,10 - καὶ ἐξῆλθεν ἐξ αὐτῶν ῥίζα ἁμαρτωλὸς Ἀντίοχος Ἐπιφανής, υἱὸς Ἀντιόχου βασιλέως, ὃς ἦν ὅμηρα ἐν τῇ Ῥώμῃ· καὶ ἐβασίλευσεν ἐν ἔτει ἑκατοστῷ καὶ τριακοστῷ καὶ ἑβδόμῳ βασιλείας Ἑλλήνων.

Α Μακ. 1,10 - Από αυτούς εβγήκε μία ρίζα πολύ αμαρτωλή, Αντίοχος ο Επιφανής, υιός του βασιλέως Αντιόχου, ο οποίος ήτο προηγουμένως όμηρος εις την Ρωμην. Αυτός έγινε βασιλεύς κατά το εκατοστόν τριακοστόν έβδομον έτος της βασιλείας των Ελλήνων Σελευκιδών.

Α Μακ. 1,11 - Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθον ἐξ Ἰσραὴλ υἱοὶ παράνομοι καὶ ἀνέπεισαν πολλοὺς λέγοντες· πορευθῶμεν καὶ διαθώμεθα διαθήκην μετὰ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν, ὅτι ἀφ᾿ ἧς ἐχωρίσθημεν ἀπ᾿ αὐτῶν, εὗρεν ἡμᾶς κακὰ πολλά.

Α Μακ. 1,11 - Κατά τους χρόνους εκείνους παρουσιάσθησαν από τον λαόν των Ισραηλιτών μερικοί άνδρες παράνομοι, καταφρονηταί του θείου Νομου, οι οποίοι με τας δημαγωγίας των παρέσυραν πολλούς άλλους, στους οποίους και έλεγον· “ας πάμε να κάμωμεν συνθήκην φιλίας με τα ειδωλολατρικά έθνη, τα οποία ευρίσκονται γύρω μας, διότι από την εποχήν, που εχωρίσθημεν από αυτά, μας ευρήκαν μεγάλαι συμφοραί”.

Α Μακ. 1,12 - καὶ ἠγαθύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς αὐτῶν,

Α Μακ. 1,12 - Ο λόγος αυτός ήρεσεν στους Ισραηλίτας.

Α Μακ. 1,13 - καὶ προεθυμήθησάν τινες ἀπὸ τοῦ λαοῦ, καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν ποιῆσαι τὰ δικαιώματα τῶν ἐθνῶν.

Α Μακ. 1,13 - Μερικοί δε από τον Ιουδαϊκόν λαόν επροθυμοποιήθησαν και μετέβησαν προς τον βασιλέα των Ελλήνων, τον Αντίοχον, ο οποίος και παρεχώρησεν εις αυτούς το δικαίωμα να ζουν σύμφωνα με τα ήθη και έθιμα των ειδωλολατρικών λαών.

Α Μακ. 1,14 - καὶ ᾠκοδόμησαν γυμνάσιον ἐν Ἱεροσολύμοις κατὰ τὰ νόμιμα τῶν ἐθνῶν

Α Μακ. 1,14 - Εκτισαν δε και γυμναστήριον με γήπεδον αθλήσεων εις τα Ιεροσόλυμα, σύμφωνα με τα έθιμα των ειδωλολατρικών εθνών.

Α Μακ. 1,15 - καὶ ἐποίησαν ἑαυτοῖς ἀκροβυστίας καὶ ἀπέστησαν ἀπὸ διαθήκης ἁγίας καὶ ἐζευγίσθησαν τοῖς ἔθνεσι καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρόν.

Α Μακ. 1,15 - Εξήλειψαν (δια χειρουργικής επεμβάσεως) τας περιτομάς των, ώστε να φαίνωνται απερίτμητοι, όπως οι εθνικοί, απεμακρύνθησαν από την αγίαν Διαθήκην, που είχαν συνάψει με τον Θεόν, έγιναν ομόζυγοι και ομόψυχοι με τους ειδωλολατρικούς λαούς. Ψυχή και σώματι διέπραττον το κακόν, ώστε έγιναν πλέον δούλοι εις αυτό.

Α Μακ. 1,16 - Καὶ ἡτοιμάσθη ἡ βασιλεία ἐναντίον Ἀντιόχου, καὶ ὑπέβαλε βασιλεῦσαι τῆς Αἰγύπτου, ὅπως βασιλεύσῃ ἐπὶ τὰς δύο βασιλείας.

Α Μακ. 1,16 - Οταν ο Αντίοχος εστερέωσε την βασιλείαν του εις την Συρίαν, εσκέφθη και απεφάσισε να βασιλεύση και επί της Αιγύπτου, δια να γίνη έτσι βασιλεύς εις δύο βασίλεια, της Συρίας και της Αιγύπτου.

Α Μακ. 1,17 - καὶ εἰσῆλθεν εἰς Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ, ἐν ἅρμασι καὶ ἐν ἐλέφασι καὶ ἐν ἱππεῦσι καὶ ἐν στόλῳ μεγάλῳ

Α Μακ. 1,17 - Επήλθε λοιπόν εναντίον της Αιγύπτου με πολύν στρατόν, με άρματα, με ελέφαντας, με ιππικόν και με πολυάριθμα πολεμικά πλοία.

Α Μακ. 1,18 - καὶ συνεστήσαντο πόλεμον πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου· καὶ ἐνετράπη Πτολεμαῖος ἀπὸ προσώπου αὐτοῦ καὶ ἔφυγε, καὶ ἔπεσον τραυματίαι πολλοί.

Α Μακ. 1,18 - Συνήψε δε πόλεμον εναντίον του Πτολεμαίου βασιλέως της Αιγύπτου. Ο Πτολεμαίος ενικήθη και κατετροπώθη από τον Αντίοχον, ετράπη εις φυγήν και πολλοί από τους ανθρώπους του έπεσαν νεκροί.

Α Μακ. 1,19 - καὶ κατελάβοντο τὰς πόλεις τὰς ὀχυρὰς ἐν γῇ Αἰγύπτῳ, καὶ ἔλαβε τὰ σκῦλα γῆς Αἰγύπτου.

Α Μακ. 1,19 - Οι Συροι εκυρίευσαν οχυράς θέσεις εις την Αίγυπτον, ο δε Αντίοχος ελαφυραγώγησε την χώραν της Αιγύπτου.

Α Μακ. 1,20 - καὶ ἐπέστρεψεν Ἀντίοχος μετὰ τὸ πατάξαι Αἴγυπτον ἐν τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ τρίτῳ ἔτει καὶ ἀνέβη ἐπὶ Ἰσραὴλ καὶ ἀνέβη εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ.

Α Μακ. 1,20 - Ο Αντίοχος, αφού κατενίκησε και εκυρίευσε την Αίγυπτον κατά το εκατοστόν τεσσαρακοστόν τρίτον έτος, επέστρεψε και εβάδισεν εναντίον της Ιερουσαλήμ. Ανέβηκεν εις την Ιερουσαλήμ με μεγάλην στρατιωτικήν δύναμιν.

Α Μακ. 1,21 - καὶ εἰσῆλθον εἰς τὸ ἁγίασμα ἐν ὑπερηφανίᾳ καὶ ἔλαβε τὸ θυσιαστήριον τὸ χρυσοῦν καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη

αὐτῆς

Α Μακ. 1,21 - Εισήλθε με μεγάλην αλαζονείαν και αυθάδειαν στον ιερόν ναόν, επήρε το χρυσούν θυσιαστήριον, την επτάφωτον χρυσήν λυχνίαν που εφώτιζε τον ναόν, και όλα τα ιερά αυτής εξαρτήματα.

Α Μακ. 1,22 - καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ τὰ σπονδεῖα καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας τὰς χρυσᾶς καὶ τὸ καταπέτασμα καὶ τοὺς στεφάνους καὶ τὸν κόσμον τὸν χρυσοῦν τὸν κατὰ πρόσωπον τοῦ ναοῦ καὶ ἐλέπισε πάντα.

Α Μακ. 1,22 - Επήρεν επίσης, την τράπεζαν της προθέσεως, τα ιερά ποτήρια, τας ιεράς φιάλας, τα χρυσά μικρά θυμιατήρια, το καταπέτασμα, τους στεφάνους και όλα τα κοσμήματα τα χρυσά, τα οποία ευρίσκοντο στον ναόν. Ολα αυτά τα κατέκοψεν εις μικρά κομμάτια.

Α Μακ. 1,23 - καὶ ἔλαβε τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐπιθυμητὰ καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ἀποκρύφους, οὓς εὗρε·

Α Μακ. 1,23 - Επήρεν επίσης τον άργυρον και τον χρυσόν, τα ιερά λαμπρά πολύτιμα σκεύη, επήρε τους κρυμμένους θησαυρούς, τους οποίους κατώρθωσε να ανεύρη.

Α Μακ. 1,24 - καὶ λαβὼν πάντα ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. καὶ ἐποίησε φονοκτονίαν καὶ ἐλάλησεν ὑπερηφανίαν μεγάλην.

Α Μακ. 1,24 - Αφού, λοιπόν, ελαφυραγώγησεν όλα αυτά, έφυγε δια την χώραν του, αφού προηγουμένως εφόνευσε πολλούς και ωμίλησε με μεγάλην αλαζονείαν κατά των Ιουδαίων.

Α Μακ. 1,25 - καὶ ἐγένετο πένθος μέγα ἐπὶ Ἰσραὴλ ἐν παντὶ τόπῳ αὐτῶν.

Α Μακ. 1,25 - Εξ αιτίας των συμφορών αυτών βαρύ πένθος ηπλώθη επί όλων των Ισραηλιτών εις όλας αυτών τας χώρας.

Α Μακ. 1,26 - καὶ ἐστέναξαν ἄρχοντες καὶ πρεσβύτεροι, παρθένοι καὶ νεανίσκοι ἠσθένησαν, καὶ τὸ κάλλος τῶν γυναικῶν ἠλλοιώθη.

Α Μακ. 1,26 - Οι άρχοντες και οι πρεσβύτεροι εστέναξαν βαθύτατα. Αι παρθένοι και οι νεαροί άνδρες έχασαν την δύναμίν των, η ωραιότης των γυναικών ηλλοιώθη.

Α Μακ. 1,27 - πᾶς νυμφίος ἀνέλαβε θρῆνον, καὶ καθημένη ἐν παστῷ ἐγένετο ἐν πένθει.

Α Μακ. 1,27 - Καθε νεόνυμφος ανήρ ανέλαβε θρήνον και κάθε νεόνυμφος γυναίκα έπεσεν εις πένθος, καθημένη στον νυμφικόν της θάλαμον.

Α Μακ. 1,28 - καὶ ἐσείσθη ἡ γῆ ἐπὶ τοὺς κατοικοῦντας αὐτήν, καὶ πᾶς ὁ οἶκος Ἰακὼβ ἐνεδύσατο αἰσχύνην.

Α Μακ. 1,28 - Και αυτή ακόμη η χώρα των Ιουδαίων, ως εάν συνέπασχε με τας συμφοράς των κατοίκων της, συνεκλονίσθη, διότι όλοι οι απόγονοι του Ιακώβ εβυθίσθησαν εις την εντροπήν.

Α Μακ. 1,29 - Καὶ μετὰ δύο ἔτη ἡμερῶν ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντα φορολογίας εἰς τὰς πόλεις Ἰούδα, καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ.

Α Μακ. 1,29 - Μετά δύο έτη ο βασιλεύς Αντίοχος έστειλεν εις τας πόλεις της Ιουδαίας άρχοντα, δια να τας φορολογήση. Αυτός δε ο ίδιος ήλθεν εις την Ιερουσαλήμ με πολύν στρατόν.

Α Μακ. 1,30 - καὶ ἐλάλησεν αὐτοῖς λόγους εἰρηνικοὺς ἐν δόλῳ, καὶ ἐνεπίστευσαν αὐτῷ. καὶ ἐπέπεσεν ἐπὶ τὴν πόλιν ἐξάπινα καὶ ἐπάταξεν αὐτὴν πληγὴν μεγάλην καὶ ἀπώλεσε λαὸν πολὺν ἐξ Ἰσραήλ.

Α Μακ. 1,30 - Ωμίλησε προς τους Ιουδαίους, με πολλήν δολιότητα, λόγους, ειρηνικούς. Οι Ιουδαίοι έδωσαν εμπιστοσύνην εις αυτόν. Επειτα όμως εκείνος επέπεσεν αιφνιδίως εναντίον της πόλεως, επέφερε μεγάλην σφαγήν στους κατοίκους της και εξώντωσε πολλούς από τον ιουδαϊκόν λαόν.

Α Μακ. 1,31 - καὶ ἔλαβε τὰ σκῦλα τῆς πόλεως καὶ ἐνεπύρισεν αὐτὴν πυρὶ καὶ καθεῖλε τοὺς οἴκους αὐτῆς καὶ τὰ τείχη αὐτῆς κύκλῳ.

Α Μακ. 1,31 - Ελαφυραγώγησε την πόλιν, την παρέδωσεν στο πυρ, εκρήμνισε τας οικίας της και τα τείχη της ολόγυρα.

Α Μακ. 1,32 - καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας καὶ τὰ τέκνα, καὶ τὰ κτήνη ἐκληρονόμησαν.

Α Μακ. 1,32 - Οι στρατιώται του επήραν αιχμαλώτους πολλάς γυναίκας και παιδιά και επήραν υπό την κατοχήν των τα ζώα της περιοχής.

Α Μακ. 1,33 - καὶ ᾠκοδόμησαν τὴν πόλιν Δαυὶδ τείχει μεγάλῳ καὶ ἰσχυρῷ, πύργοις ὀχυροῖς, καὶ ἐγένετο αὐτοῖς εἰς ἄκραν.

Α Μακ. 1,33 - Επειτα οι Συροι στρατιώται έκτισαν γύρω από την παλαιάν πόλιν του Δαυίδ μεγάλα και ισχυρά τείχη με ισχυρούς επίσης πύργους, και έτσι έγιναν κύριοι της ακροπόλεως.

Α Μακ. 1,34 - καὶ ἔθηκαν ἐκεῖ ἔθνος ἁμαρτωλόν, ἄνδρας παρανόμους, καὶ ἐνίσχυσαν ἐν αὐτῇ.

Α Μακ. 1,34 - Ετοποθέτησαν εκεί φρουράν από ειδωλολάτρας, από ανθρώπους αμαρτωλούς και εξωμότας Ιουδαίους, και κατέστησαν ούτω οχυράν ακρόπολιν των το φρούριον τούτο.

Α Μακ. 1,35 - καὶ παρέθεντο ὅπλα καὶ τροφὰς καὶ συναγαγόντες τὰ σκῦλα Ἱερουσαλὴμ ἀπέθεντο ἐκεῖ, καὶ ἐγένοντο εἰς μεγάλην παγίδα.

Α Μακ. 1,35 - Εκεί συνεκέντρωσαν όπλα και τροφάς, έβαλαν επίσης και όλα τα λάφυρα, τα οποία είχαν λαφυραγωγήσει από την πόλιν Ιερουσαλήμ. Ετσι δε αυτή η ακρόπολις έγινε πολύ επικίνδυνος περιοχή δια τους Ισραηλίτας.

Α Μακ. 1,36 - καὶ ἐγένετο εἰς ἔνεδρον τῷ ἁγιάσματι καὶ εἰς διάβολον πονηρὸν τῷ Ἰσραὴλ διαπαντός.

Α Μακ. 1,36 - Ακόμη περισσότερον έγινε φοβερόν ορμητήριον εναντίον του ιερού ναού και παντοτεινός τρομερός εχθρός δια τους Ισραηλίτας.

Α Μακ. 1,37 - καὶ ἐξέχεαν αἷμα ἀθῷον κύκλῳ τοῦ ἁγιάσματος καὶ ἐμόλυναν τὸ ἁγίασμα.

Α Μακ. 1,37 - Από εκεί οι Συροι στρατιώται έπλητταν τους Ισραηλίτας και τους προσκυνητάς, έχυναν αθώον αίμα γύρω από το θυσιαστήριον και εμόλυναν τον ιερόν αυτόν χώρον,

Α Μακ. 1,38 - καὶ ἔφυγον οἱ κάτοικοι Ἱερουσαλὴμ δι᾿ αὐτούς, καὶ ἐγένετο κατοικία ἀλλοτρίων· καὶ ἐγένετο ἀλλοτρία τοῖς γενήμασιν αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς ἐγκατέλιπον αὐτήν.

Α Μακ. 1,38 - Οι κάτοικοι, εξ αιτίας των συμφορών αυτών, έφευγαν και έτσι η Ιερουσαλήμ έμεινεν ως κατοικητήριον των ειδωλολατρικών λαών. Εγινε ξένη δι' εκείνους, οι οποίοι είχον γεννηθή εις αυτήν, διότι τα τέκνα της την εγκατέλειψαν και έφυγαν.

Α Μακ. 1,39 - τὸ ἁγίασμα αὐτῆς ἠρημώθη ὡς ἔρημος, αἱ ἑορταὶ αὐτῆς ἐστράφησαν εἰς πένθος, τὰ σάββατα αὐτῆς εἰς ὀνειδισμόν, ἡ τιμὴ αὐτῆς εἰς ἐξουδένωσιν.

Α Μακ. 1,39 - Ο ναός της έμεινεν έρημος από ανθρώπους, όπως η ακατοίκητος έρημος. Αι εορταί της μετεστράφησαν εις ημέρας πένθους και τα ιερά αυτής Σαββατα έγιναν αντικείμενα χλευασμού. Καθε τι, το οποίον εθεωρείτο τίμιον δι' αυτούς, έγινεν αντικείμενον εξουδενώσεως.

Α Μακ. 1,40 - κατὰ τὴν δόξαν αὐτῆς ἐπληθύνθη ἡ ἀτιμία αὐτῆς, καὶ τὸ ὕψος αὐτῆς ἐστράφη εἰς πένθος.

Α Μακ. 1,40 - Οση άλλοτε ήτο η λαμπρότης και η δόξα της, τόση έγινε τώρα η καταφρόνησίς της, το δε μεγαλείον της μετεστράφη εις πένθος.

Α Μακ. 1,41 - Καὶ ἔγραψεν ὁ βασιλεὺς Ἀντίοχος πάσῃ τῇ βασιλείᾳ αὐτοῦ εἶναι πάντας εἰς λαὸν ἕνα

Α Μακ. 1,41 - Ο βασιλεύς Αντίοχος εκοινοποίησε διάταγμα προς όλον το βασίλειόν του, δια του οποίου διέτασσε να γίνουν όλοι οι λαοί ένας λαός,

Α Μακ. 1,42 - καὶ ἐγκαταλιπεῖν ἕκαστον τὰ νόμιμα αὐτοῦ. καὶ ἐπεδέξατο πάντα τὰ ἔθνη κατὰ τὸν λόγον τοῦ βασιλέως.

Α Μακ. 1,42 - και να εγκαταλείψουν ο καθένας από αυτούς τους ιδικούς του νόμους. Ολα τα άλλα έθνη εδέχθησαν την απόφασιν αυτήν του βασιλέως,

Α Μακ. 1,43 - καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ εὐδόκησαν τῇ λατρείᾳ αὐτοῦ καὶ ἔθυσαν τοῖς εἰδώλοις καὶ ἐβεβήλωσαν τὸ σάββατον.

Α Μακ. 1,43 - όπως επίσης και πολλοί από τους Ισραηλίτας συγκατετέθησαν να ακολουθήσουν την θρησκείαν του Αντιόχου, εθυσίασαν εις τα είδωλα και εβεβήλωσαν την αργίαν του Σαββάτου.

Α Μακ. 1,44 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς βιβλία ἐν χειρὶ ἀγγέλων εἰς Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα πορευθῆναι ὀπίσω νομίμων ἀλλοτρίων τῆς γῆς

Α Μακ. 1,44 - Ο βασιλεύς Αντίοχος έστειλε με αγγελιαφόρους του επιστολάς εις την Ιερουσαλήμ και εις τας άλλας πόλεις των Ιουδαίων διατάσσων όλους, να συμμορφωθούν με τους νόμους και τας συνηθείας των ξένων, που κατοικούσαν εις την χώραν των.

Α Μακ. 1,45 - καὶ κωλῦσαι ὁλοκαυτώματα καὶ θυσίαν καὶ σπονδὴν ἐκ τοῦ ἁγιάσματος καὶ βεβηλῶσαι σάββατα καὶ ἑορτὰς

Α Μακ. 1,45 - Διέταξεν ακόμη να παύσουν την προσφοράν των ολοκαυτωμάτων, τας άλλας θυσίας, τας σπονδάς στον ναόν του Θεού και να καταργήσουν την αργίαν του Σαββάτου, όπως και όλας τας άλλας ιδικάς των εορτάς.

Α Μακ. 1,46 - καὶ μιᾶναι ἁγίασμα καὶ ἁγίους,

Α Μακ. 1,46 - Να μολύνουν τον ιερόν ναόν και τους προσερχομένους εις αυτόν πιστούς.

Α Μακ. 1,47 - καὶ οἰκοδομῆσαι βωμοὺς καὶ τεμένη καὶ εἰδωλεῖα καὶ θύειν ὕεια καὶ κτήνη κοινὰ

Α Μακ. 1,47 - Να ανοικοδομήσουν ειδωλολατρικούς βωμούς και ναούς, να καθιερώσουν ειδωλολατρικούς τόπους δια τα είδωλα, να θυσιάζουν χοίρους και αλλά ακάθαρτα ζώα.

Α Μακ. 1,48 - καὶ ἀφιέναι τοὺς υἱοὺς αὐτῶν ἀπεριτμήτους, βδελύξαι τὰς ψυχὰς αὐτῶν ἐν παντὶ ἀκαθάρτῳ καὶ βεβηλώσει,

Α Μακ. 1,48 - Να αφήνουν απερίτμητα τα παιδιά των, να μολύνουν τον εαυτόν των με κάθε είδος, το οποίον σύμφωνα με τον Νομον των ήτο βδελυκτόν και ακάθαρτον και βέβηλον,

Α Μακ. 1,49 - ὥστε ἐπιλαθέσθαι τοῦ νόμου καὶ ἀλλάξαι πάντα τὰ δικαιώματα·

Α Μακ. 1,49 - ώστε να λησμονήσουν έτσι τον νόμον του Θεού και να αντικαταστήσουν με ειδωλολατρικούς τρόπους ζωής και θρησκείας τας θείας εντολάς.

Α Μακ. 1,50 - καὶ ὃς ἂν μὴ ποιήσῃ κατὰ τὸ ῥῆμα τοῦ βασιλέως, ἀποθανεῖται.

Α Μακ. 1,50 - Εκείνος δέ, ο οποίος δεν θα έπραττε και δεν θα συνεμορφούτο με τους λόγους αυτούς του βασιλέως, θα ετιμωρείτο δια θανάτου.

Α Μακ. 1,51 - κατὰ πάντας τοὺς λόγους τούτους ἔγραψε πάσῃ τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐποίησεν ἐπισκόπους ἐπὶ πάντα τὸν λαὸν καὶ ἐνετείλατο ταῖς πόλεσιν Ἰούδα θυσιάζειν κατὰ πόλιν καὶ πόλιν.

Α Μακ. 1,51 - Αυτά είχε διατάξει ο βασιλεύς καθ' όλην την έκτασιν του βασιλείου του και διώρισεν επόπτας και εκτελεστάς επί όλου του λαού δια την πιστήν τήρησιν των διαταγών του. Διέταξε, φυσικά και τους Ιουδαίους, τους εις τας πόλεις της Ιουδαίας, να θυσιάζουν ο καθένας εις την ιδικήν του πόλιν και όχι εις την Ιερουσαλήμ.

Α Μακ. 1,52 - καὶ συνηθροίσθησαν ἀπὸ τοῦ λαοῦ πρὸς αὐτοὺς πολλοί, πᾶς ὁ ἐγκαταλιπὼν τὸν νόμον, καὶ ἐποίησαν κακὰ ἐν τῇ γῇ

Α Μακ. 1,52 - Πολλοί από τους εξωμότας Ιουδαίους, όλοι εκείνοι οι οποίοι είχαν εγκαταλείψει τον νόμον του Θεού, συνηθροίσθησαν και ετάχθησαν με το μέρος των Συρων. Αυτοί επροξένησαν πολλά δεινά εις την χώραν των.

Α Μακ. 1,53 - καὶ ἔθεντο τὸν Ἰσραὴλ ἐν κρύφοις ἐν παντὶ φυγαδευτηρίῳ αὐτῶν.

Α Μακ. 1,53 - Δια τον φόβον, ιδίως εκ μέρους αυτών, ηναγκάσθησαν οι Ισραηλίται να καταφεύγουν εις αποκρύφους τόπους και εις κάθε άλλο καταφύγιον.

Α Μακ. 1,54 - καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ Χασελεῦ τῷ πέμπτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει ᾠκοδόμησαν βδέλυγμα ἐρημώσεως ἐπὶ τὸ θυσιαστήριον καὶ ἐν πόλεσιν Ἰούδα κύκλῳ ᾠκοδόμησαν βωμούς·

Α Μακ. 1,54 - Κατά την δεκάτην πέμπτην ημέραν του μηνός Χασελεύ, κατά το εκατοστόν τεσσαρακοστόν πέμπτον έτος (της χρονολογίας των Σελευκιδών βέβαια), οικοδόμησαν επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων βδελυρόν βωμόν ειδωλολατρικόν, όπως επίσης και εις τας διαφόρους ολόγυρα πόλεις των Ιουδαίων ανοικοδόμησαν ειδωλολατρικούς βωμούς.

Α Μακ. 1,55 - καὶ ἐπὶ τῶν θυρῶν τῶν οἰκιῶν καὶ ἐν ταῖς πλατείαις ἐθυμίων.

Α Μακ. 1,55 - Εμπροσθεν εις τας θύρας των οικιών των και εις τας πλατείας των πόλεων προσέφεραν οι εξωμόται θυμίαμα εις τα είδωλα.

Α Μακ. 1,56 - καὶ τὰ βιβλία τοῦ νόμου, ἃ εὗρον, ἐνεπύρισαν πυρὶ κατασχίσαντες.

Α Μακ. 1,56 - Εάν τυχόν εύρισκαν βιβλία του Νομου, τα έσχιζαν και τα παρέδιδαν στο πυρ.

Α Μακ. 1,57 - καὶ ὅπου εὑρίσκετο παρά τινι βιβλίον διαθήκης, καὶ εἴ τις συνευδόκει τῷ νόμῳ, τὸ σύγκριμα τοῦ βασιλέως ἐθανάτου αὐτόν.

Α Μακ. 1,57 - Οποιος ανεκαλύπτετο, ότι είχε πλησίον του βιβλίον της Διαθήκης του Θεού και όποιος εφαίνετο ότι ήτο αφωσιωμένος στον νόμον του Θεού, σύμφωνα με το διάταγμα του βασιλέως, εθανατώνετο.

Α Μακ. 1,58 - ἐν ἰσχύϊ αὐτῶν ἐποίουν οὕτως τῷ Ἰσραὴλ τοῖς εὑρισκομένοις ἐν παντὶ μηνὶ καὶ μηνὶ ἐν ταῖς πόλεσι.

Α Μακ. 1,58 - Στηριζόμενοι εις την δύναμίν των οι Συροι, εφέροντο με τέτοιον σκληρόν τρόπον συνεχώς από μηνός εις μήνα εναντίον όλων των Ισραηλιτών, οι οποίοι ευρίσκοντο εις τας πόλεις των.

Α Μακ. 1,59 - καὶ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς θυσιάζοντες ἐπὶ τὸν βωμόν, ὃς ἦν ἐπὶ τοῦ θυσιαστηρίου.

Α Μακ. 1,59 - Κατά δε την εικοστήν πέμπτην του μηνός προσήλθαν μερικοί και προσέφεραν θυσίας επάνω στον ειδωλολατρικόν βωμόν, ο

οποίος είχε κτισθή επί του θυσιαστηρίου των ολοκαυτωμάτων.

Α Μακ. 1,60 - καὶ τὰς γυναῖκας τὰς περιτετμηκυίας τὰ τέκνα αὐτῶν ἐθανάτωσαν κατὰ τὸ πρόσταγμα

Α Μακ. 1,60 - Ακόμη δε οι Συροι εθανάτωσαν επίσης, σύμφωνα με το διάταγμα του βασιλέως, και γυναίκας Ιουδαίας, διότι, είχον περιτάμει τα τέκνα των.

Α Μακ. 1,61 - καὶ ἐκρέμασαν τὰ βρέφη ἐκ τῶν τραχήλων αὐτῶν, καὶ τοὺς οἴκους αὐτῶν προενόμευσαν καὶ τοὺς περιτετμηκότας αὐτοὺς ἐθανάτωσαν.

Α Μακ. 1,61 - Τα δε βρέφη τα εκρέμασαν από τον τράχηλόν των, τα σπίτια των γυναικών αυτών ελεηλάτησαν και εφόνευσαν εκείνους, οι οποίοι είχαν κάμει την περιτομήν.

Α Μακ. 1,62 - καὶ πολλοὶ ἐν Ἰσραὴλ ἐκραταιώθησαν καὶ ὠχυρώθησαν ἐν ἑαυτοῖς τοῦ μὴ φαγεῖν κοινὰ

Α Μακ. 1,62 - Παρ' όλα αυτά τα άγρια μέτρα μερικοί Ισραηλίται, γεμάτοι θάρρος, επήραν την σταθεράν και αμετάκλητον απόφασιν να μη φάγουν τίποτε, από όσα ο νόμος του Θεού εχαρακτηρίζεν ως ακάθαρτα.

Α Μακ. 1,63 - καὶ ἐπελέξαντο ἀποθανεῖν, ἵνα μὴ μιανθῶσι τοῖς βρώμασι καὶ μὴ βεβηλώσωσι διαθήκην ἁγίαν, καὶ ἀπέθανον.

Α Μακ. 1,63 - Επροτίμησαν αυτοί να αποθάνουν μάλλον, παρά να μολυνθούν με απαγορευομένας τροφάς και να βεβηλώσουν την αγίαν Διαθήκην. Και πράγματι πολλοί εθανατώθησαν.

Α Μακ. 1,64 - καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ Ἰσραὴλ σφόδρα.

Α Μακ. 1,64 - Αυτά τα γεγονότα έγιναν αφορμή μεγάλης οργής των Συρων εναντίον των Ισραηλιτών.

Α ΜΑΚΚΑΒΑΙΩΝ 2

Α Μακ. 2,1 - Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνέστη Ματταθίας υἱὸς Ἰωάννου τοῦ Συμεὼν ἱερεὺς τῶν υἱῶν Ἰωαρὶβ ἀπὸ Ἱερουσαλὴμ καὶ ἐκάθισεν ἐν Μωδεΐν.

Α Μακ. 2,1 - Κατά την εποχήν εκείνην ο Ματταθίας υιός Ιωάννου, υιού του Συμεών, ιερεύς μεταξύ των υιών του Ιωαρίβ από την Ιερουσαλήμ, εσηκώθη και εγκατεστάθη εις την Μωδεΐν.

Α Μακ. 2,2 - καὶ αὐτῷ υἱοὶ πέντε, Ἰωάννης ὁ καλούμενος Γαδδίς,

Α Μακ. 2,2 - Ο Ματταθίας αυτός είχε πέντε υιούς· αυτοί ήσαν Ιωάννης ο επονομαζόμενος Γαδδίς,

Α Μακ. 2,3 - Σίμων ὁ καλούμενος Θασσί,

Α Μακ. 2,3 - Σιμων ο επονομαζόμενος Θασσί,

Α Μακ. 2,4 - Ἰούδας ὁ καλούμενος Μακκαβαῖος,

Α Μακ. 2,4 - Ιούδας ο επονομαζόμενος Μακκαβαίος,

Α Μακ. 2,5 - Ἐλεάζαρ ὁ καλούμενος Αὐαράν, Ἰωνάθαν ὁ καλούμενος Ἀπφοῦς.

Α Μακ. 2,5 - Ελεάζαρ ο επικαλούμενος Αυαράν, Ιωνάθαν ο επονομαζόμενος Απφούς.

Α Μακ. 2,6 - καὶ εἶδε τὰς βλασφημίας τὰς γινομένας ἐν Ἰούδᾳ καὶ ἐν Ἱερουσαλὴμ

Α Μακ. 2,6 - Ο Ματταθίας είδε τας βεβηλώσεις και τας βλασφημίας, αι οποίαι εξετοξεύοντο και διεπράττοντο εναντίον του Θεού, εις την Ιουδαίαν και εις την Ιερουσαλήμ.

Α Μακ. 2,7 - καὶ εἶπεν· οἴμοι, ἱνατί τοῦτο ἐγεννήθην ἰδεῖν τὸ σύντριμμα τοῦ λαοῦ μου καὶ τὸ σύντριμμα τῆς πόλεως τῆς ἁγίας καὶ καθίσαι ἐκεῖ ἐν τῷ δοθῆναι αὐτὴν ἐν χειρὶ ἐχθρῶν καὶ τὸ ἁγίασμα ἐν χειρὶ ἀλλοτρίων;

Α Μακ. 2,7 - Και είπεν· "αλλοίμονον, διατί εγεννήθηκα, δια να ίδω το σύντριμμα του λαού μου και την καταστροφήν της αγίας πόλεως και να μείνω αδιάφορος, όταν η πόλις αυτή παρεδίδετο στους εχθρούς και ο ιερός ναός ευρίσκεται εις τα χέρια των αλλοεθνών;

Α Μακ. 2,8 - ἐγένετο ὁ ναὸς αὐτῆς ὡς ἀνὴρ ἄδοξος,

Α Μακ. 2,8 - Ο ονομαστός και ένδοξος ναός της πόλεως κατήντησε σαν ένας ασήμαντος και καταφρονημένος άνθρωπος.

Α Μακ. 2,9 - τὰ σκεύη τῆς δόξης αὐτῆς αἰχμάλωτα ἀπήχθη, ἀπεκτάνθη τὰ νήπια αὐτῆς ἐν ταῖς πλατείαις, οἱ νεανίσκοι αὐτῆς ἐν ῥομφαίᾳ ἐχθροῦ.

Α Μακ. 2,9 - Τα πολύτιμα αντικείμενα του μεγαλείου της απήχθησαν λάφυρα. Εφονεύθησαν τα νήπιά της εις τας πλατείας της, οι νέοι άνδρες έπεσαν εν στόματι ρομφαίας εκ μέρους του εχθρού.

Α Μακ. 2,10 - ποῖον ἔθνος οὐκ ἐκληρονόμησε βασιλείαν αὐτῆς καὶ οὐκ ἐκράτησε τῶν σκύλων αὐτῆς;

Α Μακ. 2,10 - Ποίον έθνος δεν εκληρονόμησε κάτι από το βασίλειον του Ιούδα και δεν επήρε μέρος από τα λάφυρα της πόλεως αυτής;

Α Μακ. 2,11 - πᾶς ὁ κόσμος αὐτῆς ἀφῃρέθη, ἀντὶ ἐλευθέρας ἐγένετο εἰς δούλην.

Α Μακ. 2,11 - Ολα τα κοσμήματα της πόλεως έχουν αφαιρεθή και η ιδία αντί ελευθέρα, έγινε δούλη.

Α Μακ. 2,12 - καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν καὶ ἡ καλλονὴ ἡμῶν καὶ ἡ δόξα ἡμῶν ἠρημώθη, καὶ ἐβεβήλωσαν αὐτὰ τὰ ἔθνη.

Α Μακ. 2,12 - Και ιδού, ότι όλα τα ιερά και άγιά μας και η ωραιότης μας και η δόξα μας ηρημώθησαν και εμολύνθησαν από τα ειδωλολατρικά έθνη.

Α Μακ. 2,13 - ἱνατί ἡμῖν ἔτι ζῆν;

Α Μακ. 2,13 - Προς τι λοιπόν να ζώμεν ακόμη ημείς;"

Α Μακ. 2,14 - καὶ διέῤῥηξε Ματταθίας καὶ υἱοὶ αὐτοῦ τὰ ἱμάτια αὐτῶν καὶ περιεβάλοντο σάκκους καὶ ἐπένθησαν σφόδρα.

Α Μακ. 2,14 - Ο Ματταθίας και τα παιδιά τους διέρρηξαν τα ιμάτιά των, εφόρεσαν σάκκους πένθους και εβυθίσθησαν εις μεγάλον πένθος.

Α Μακ. 2,15 - Καὶ ἦλθον οἱ παρὰ τοῦ βασιλέως οἱ καταναγκάζοντες τὴν ἀποστασίαν εἰς Μωδεΐν τὴν πόλιν, ἵνα θυσιάσωσι.

Α Μακ. 2,15 - Τοτε είχαν έλθει οι απεσταλμένοι του βασιλέως εις την Μωδεΐν και εξηνάγκαζαν τους κατοίκους της, να αποστατήσουν από τον Νομον και να θυσιάσουν εις τα είδωλα.

Α Μακ. 2,16 - καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ πρὸς αὐτοὺς προσῆλθον· καὶ Ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ συνήχθησαν.

Α Μακ. 2,16 - Πολλοί από τους Ισραηλίτας προσήλθον υποτεταγμένοι στους Συρους και εθυσίασαν. Τον Ματταθίαν και τα παιδιά του τους εκράτησαν ιδιαιτέρως οι Συροι.

Α Μακ. 2,17 - καὶ ἀπεκρίθησαν οἱ παρὰ τοῦ βασιλέως καὶ εἶπον τῷ Ματταθίᾳ λέγοντες· ἄρχων καὶ ἔνδοξος καὶ μέγας εἶ ἐν τῇ πόλει ταύτῃ καὶ ἐστηριγμένος ἐν υἱοῖς καὶ ἀδελφοῖς·

Α Μακ. 2,17 - Οι απεσταλμένοι του βασιλέως ωμίλησαν προς αυτούς και είπαν στον Ματταθίαν· "συ είσαι ο μέγας και ένδοξος άρχων εις την πόλιν αυτήν, στηριζόμενος εις τα παιδιά σου και στους ομοεθνείς σου.

Α Μακ. 2,18 - νῦν οὖν πρόσελθε πρῶτος καὶ ποίησον τὸ πρόσταγμα τοῦ βασιλέως, ὡς ἐποίησαν πάντα τὰ ἔθνη καὶ οἱ ἄνδρες Ἰούδα καὶ οἱ καταλειφθέντες ἐν Ἱερουσαλήμ, καὶ ἔσῃ σὺ καὶ ὁ οἶκός σου τῶν φίλων τοῦ βασιλέως, καὶ σὺ καὶ οἱ υἱοί σου δοξασθήσεσθε ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἀποστολαῖς πολλαῖς.

Α Μακ. 2,18 - Τωρα, λοιπόν, έλα πρώτος και εκτέλεσε το πρόσταγμα του βασιλέως, όπως έπραξαν όλα τα ειδωλολατρικά έθνη και οι άνδρες του Ιούδα, οι οποίοι είχαν εναπομείνει εις την Ιερουσαλήμ. Εάν συμμορφωθής προς την διαταγήν αυτήν, συ και η οικογένειά σου θα είσθε από τους στενούς φίλους του βασιλέως. Συ και τα παιδιά σου θα δοξασθήτε και θα πλουτήσετε με αργύριον και χρυσίον και σε πολυάριθμα αλλά δώρα, τα οποία θα σας στέλλωνται".

Α Μακ. 2,19 - καὶ ἀπεκρίθη Ματταθίας καὶ εἶπε φωνῇ μεγάλῃ· εἰ πάντα τὰ ἔθνη τὰ ἐν οἴκῳ τῆς βασιλείας τοῦ βασιλέως ἀκούουσιν αὐτοῦ, ἀποστῆναι ἕκαστος ἀπὸ λατρείας πατέρων αὐτοῦ καὶ ᾑρετίσαντο ἐν ταῖς ἐντολαῖς αὐτοῦ,

Α Μακ. 2,19 - Ο Ματταθίας με φωνήν μεγάλην απεκρίθη και είπε· "και εάν ακόμη όλα τα έθνη, τα οποία ευρίσκονται εις την περιοχήν του βασιλείου του βασιλέως Αντιόχου, υπακούουν εις αυτόν, ώστε το καθένα από αυτά να

αποστατήση από την θρησκείαν των πατέρων του και να προτιμήσουν υπακοήν εις τας εντολάς του Αντιόχου,

Α Μακ. 2,20 - ἀλλ᾿ ἐγὼ καὶ οἱ υἱοί μου καὶ οἱ ἀδελφοί μου πορευσόμεθα ἐν διαθήκῃ πατέρων ἡμῶν.

Α Μακ. 2,20 - εγώ όμως, τα παιδιά μου και οι αδελφοί μου, θα πράξωμεν και θα φερθώμεν σύμφωνα με την διαθήκην, την οποίαν συνήψαν οι πατέρες μας με τον Θεόν μας.

Α Μακ. 2,21 - ἵλεως ἡμῖν καταλιπεῖν νόμον καὶ δικαιώματα·

Α Μακ. 2,21 - Παρακαλώ δε θερμώς τον Θεόν να μας σπλαγχνισθή, ώστε ποτέ να μη εγκαταλείψωμεν τον νόμον και τας εντολάς του.

Α Μακ. 2,22 - τῶν λόγων τοῦ βασιλέως οὐκ ἀκουσόμεθα τοῦ παρελθεῖν τὴν λατρείαν ἡμῶν δεξιὰν ἢ ἀριστεράν.

Α Μακ. 2,22 - Λοιπόν, δεν θα υπακούσωμεν εις την εντολήν του βασιλέως, ώστε να βαδίσωμεν δεξιά η αριστερά και να εγκαταλείψωμεν την λατρείαν μας".

Α Μακ. 2,23 - καὶ ὡς ἐπαύσατο λαλῶν τοὺς λόγους τούτους, προσῆλθεν ἀνὴρ Ἰουδαῖος ἐν ὀφθαλμοῖς πάντων, θυσιᾶσαι ἐπὶ τοῦ βωμοῦ τοῦ ἐν Μωδεΐν κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως.

Α Μακ. 2,23 - Οταν ο Ματταθίας έπαυσε να λέγη τους ηρωϊκούς αυτούς λόγους, ένας Ιουδαίος, εξωμότης προφανώς, εις καταφρόνησιν του Θεού και του Ματταθία επλησίασεν ενώπιον όλων, δια να προσφέρη θυσίαν στον βωμόν, που ευρίσκετο εν Μωδεΐν, σύμφωνα με το διάταγμα του βασιλέως.

Α Μακ. 2,24 - καὶ εἶδε Ματταθίας καὶ ἐζήλωσε, καὶ ἐτρόμησαν οἱ νεφροὶ αὐτοῦ, καὶ ἀνήνεγκε θυμὸν κατὰ τὸ κρίμα καὶ δραμὼν ἔσφαξεν αὐτὸν ἐπὶ τὸν βωμόν·

Α Μακ. 2,24 - Τον είδεν ο Ματταθίας, εκυριεύθη από αγανάκτησιν, ανακατώθηκε το εσωτερικόν του, τον κατέλαβεν ιερός θυμός σύμφωνα και με τον νόμον του Θεού, έτρεξε και έσφαξεν εκείνον επάνω στον βωμόν.

Α Μακ. 2,25 - καὶ τὸν ἄνδρα τοῦ βασιλέως τὸν ἀναγκάζοντα θύειν ἀπέκτεινεν ἐν τῷ καιρῷ ἐκείνῳ καὶ τὸν βωμὸν καθεῖλε.

Α Μακ. 2,25 - Εφόνευσεν επίσης κατά την στιγμήν εκείνην και αυτόν τον αξιωματικόν του βασιλέως, ο οποίος ηνάγκαζε τους Ιουδαίους να προσφέρουν θυσίας, εκρήμνισε δε και τον ειδωλολατρικόν βωμόν.

Α Μακ. 2,26 - καὶ ἐζήλωσε τῷ νόμῳ, καθὼς ἐποίησε Φινεὲς τῷ Ζαμβρὶ υἱῷ Σαλώμ.

Α Μακ. 2,26 - Κατά την ώραν εκείνην ο Ματταθίας έδειξε ζήλον ιερόν υπέρ του νόμου του Θεού, όπως έκαμεν άλλοτε και ο Φινεές, ο οποίος εφόνευσε τον Ζαμβρί τον υιόν του Σαλώμ.

Α Μακ. 2,27 - καὶ ἀνέκραξε Ματταθίας ἐν τῇ πόλει φωνῇ μεγάλῃ λέγων· πᾶς ὁ ζηλῶν τῷ νόμῳ καὶ ἱστῶν διαθήκην ἐξελθέτω ὀπίσω μου.

Α Μακ. 2,27 - Εν συνεχεία δε ο Ματταθίας διέτρεξεν όλην την πόλιν, εκραύγασε με φωνήν μεγάλην και έλεγε· “καθένας, που είναι ζηλωτής του Νομου και επιθυμεί να τηρή την διαθήκην του Θεού, ας έλθη κοντά μου”.

Α Μακ. 2,28 - καὶ ἔφυγον αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ εἰς τὰ ὄρη καὶ ἐγκατέλιπον ὅσα εἶχον ἐν τῇ πόλει.

Α Μακ. 2,28 - Κατά την ημέραν εκείνην αυτός και τα παιδιά του εγκατέλειψαν όλα, όσα είχαν εις την πόλιν Μωδεΐν, και κατέφυγαν εις τα όρη.

Α Μακ. 2,29 - Τότε κατέβησαν πολλοὶ ζητοῦντες δικαιοσύνην καὶ κρίμα εἰς τὴν ἔρημον καθίσαι ἐκεῖ,

Α Μακ. 2,29 - Τοτε ένας μεγάλος αριθμός Ιουδαίων, οι οποίοι ήθελαν να ζουν σύμφωνα με τον νόμον και τας εντολάς του Θεού, κατέβηκαν εις την έρημον και εγκατεστάθηκαν εκεί,

Α Μακ. 2,30 - αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, ὅτι ἐπληθύνθη ἐπ᾽ αὐτοὺς τὰ κακά.

Α Μακ. 2,30 - αυτοί και τα παιδιά των, αι γυναίκες των και τα ζώα των, διότι αι συμφοραί επληθύνθησαν και τους κατεβάρυναν εις την πόλιν.

Α Μακ. 2,31 - καὶ ἀνηγγέλη τοῖς ἀνδράσι τοῦ βασιλέως καὶ ταῖς δυνάμεσιν, αἵ ἦσαν ἐν Ἱερουσαλὴμ πόλει Δαυίδ, ὅτι κατέβησαν ἄνδρες, οἵτινες διασκέδασαν τὴν ἐντολὴν τοῦ βασιλέως εἰς τοὺς κρύφους ἐν τῇ ἐρήμῳ.

Α Μακ. 2,31 - Το γεγονός όμως αυτό εγνωστοποιήθη εις τους αξιωματικούς και το στράτευμα του βασιλέως, που υπήρχεν εις την Ιερουσαλήμ, εις την πόλιν Δαυίδ, ότι δηλαδή άνδρες Ιουδαίοι κατεπάτησαν την διαταγήν του βασιλέως και κατέφυγαν εις αποκρήμνους περιοχάς της ερήμου.

Α Μακ. 2,32 - καὶ ἔδραμον ὀπίσω αὐτῶν πολλοὶ καὶ καταλαβόντες αὐτοὺς παρενέβαλον ἐπ᾽ αὐτοὺς καὶ συνεστήσαντο πρὸς αὐτοὺς πόλεμον ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων

Α Μακ. 2,32 - Αμέσως πολλοί στρατιώται του βασιλέως έτρεξαν εις καταδίωξίν των και όταν τους συνήντησαν, εστρατοπέδευσαν απέναντί των. Απεφάσισαν δε να πολεμήσουν αυτούς κατά την ημέραν του Σαββάτου.

Α Μακ. 2,33 - καὶ εἶπον πρὸς αὐτούς· ἕως τοῦ νῦν ἱκανόν· ἐξέλθετε καὶ ποιήσατε κατὰ τὸν λόγον τοῦ βασιλέως καὶ ζήσεσθε.

Α Μακ. 2,33 - Είπον όμως προηγουμένως προς αυτούς οι Συροι· “Τέλος πάντων ο,τι εκάματε, εκάματε έως τώρα. Εβγάτε από τας κρύπτας σας και τηρήσατε την διαταγήν του βασιλέως και θα σας χαρισθή η ζωη”.

Α Μακ. 2,34 - καὶ εἶπον· οὐκ ἐξελευσόμεθα οὐδὲ ποιήσομεν τὸν λόγον τοῦ βασιλέως τοῦ βεβηλῶσαι τὴν ἡμέραν τῶν σαββάτων.

Α Μακ. 2,34 - Οι Ιουδαίοι όμως απήντησαν· “ούτε θα εξέλθωμεν ούτε υπακούομεν εις την διαταγήν του βασιλέως, διότι η έξοδός μας αυτή θα ήτο

βεβήλωσις της αργίας του Σαββάτου”.

Α Μακ. 2,35 - καὶ ἐτάχυναν ἐπ᾽ αὐτοὺς πόλεμον.

Α Μακ. 2,35 - Οι Συροι έσπευσαν αμέσως και ήνοιξαν μάχην εναντίον των.

Α Μακ. 2,36 - καὶ οὐκ ἀπεκρίθησαν αὐτοῖς οὐδὲ λίθον ἐνετίναξαν αὐτοῖς, οὐδὲ ἐνέφραξαν τοὺς κρύφους

Α Μακ. 2,36 - Οι Ιουδαίοι δεν έφεραν καμμίαν αντίστασιν εις αυτούς, δεν έρριψαν ούτε λίθον εναντίον των, ακόμη δε ούτε και τα κρησφύγετα αυτών δεν έφραξαν

Α Μακ. 2,37 - λέγοντες· ἀποθάνωμεν πάντες ἐν τῇ ἁπλότητι ἡμῶν· μαρτυρεῖ ἐφ᾽ ἡμᾶς ὁ οὐρανὸς καὶ ἡ γῆ ὅτι ἀκρίτως ἀπόλλυτε ἡμᾶς.

Α Μακ. 2,37 - λέγοντες· “ας αποθάνωμεν όλοι επάνω εις την αθωότητά μας. Ο ουρανός και η γη είναι μάρτυρες, ότι σεις οι διώκται μας μας θανατώνετε αδίκως”.

Α Μακ. 2,38 - καὶ ἀνέστησαν ἐπ᾽ αὐτοὺς ἐν τῷ πολέμῳ τοῖς σάββασι, καὶ ἀπέθανον αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν ἕως χιλίων ψυχῶν ἀνθρώπων.

Α Μακ. 2,38 - Οι Συροι τότε ηγέρθησαν εναντίον των Ιουδαίων, τους επολέμησαν καθ' όλην την ημέραν του Σαββάτου και έτσι εξωντώθησαν οι Ιουδαίοι εκεί και αι γυναίκες των, τα τέκνα των και τα ζώα των. Οι φονευθέντες ήσαν περίπου χίλιοι άνθρωποι.

Α Μακ. 2,39 - Καὶ ἔγνω Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ καὶ ἐπένθησαν ἐπ᾽ αὐτοὺς ἕως σφόδρα.

Α Μακ. 2,39 - Οταν ο Ματταθίας και οι φίλοι του έμαθαν το τραγικόν αυτό γεγονός ελυπήθησαν πάρα πολύ δια τους φονευθέντας.

Α Μακ. 2,40 - καὶ εἶπεν ἀνὴρ τῷ πλησίον αὐτοῦ· ἐὰν πάντες ποιήσωμεν ὡς οἱ ἀδελφοὶ ἡμῶν ἐποίησαν, καὶ μὴ πολεμήσωμεν πρὸς τὰ ἔθνη ὑπὲρ τῶν ψυχῶν ἡμῶν καὶ τῶν δικαιωμάτων ἡμῶν, νῦν τάχιον ἡμᾶς ἐξολοθρεύσουσιν ἀπὸ τῆς γῆς.

Α Μακ. 2,40 - Είπον δε μεταξύ των· “εάν όλοι πράξωμεν, όπως έπραξαν οι αδελφοί μας και εν ημέρα Σαββάτω δεν πολεμήσωμεν εναντίον των εθνών υπέρ της ζωής μας και του νόμου του Θεού, πολύ συντόμως θα μς εξολοθρεύσουν από το πρόσωπον της γης”ι

Α Μακ. 2,41 - καὶ ἐβουλεύσαντο τῇ ἡμέρᾳ ἐκείνῃ λέγοντες· πᾶς ἄνθρωπος, ὃς ἐὰν ἔλθῃ πρὸς ἡμᾶς εἰς πόλεμον τῇ ἡμέρᾳ τῶν σαββάτων, πολεμήσωμεν κατέναντι αὐτοῦ καὶ οὐ μὴ ἀποθάνωμεν πάντες καθὼς ἀπέθανον οἱ ἀδελφοὶ ἡμῶν ἐν τοῖς κρύφοις.

Α Μακ. 2,41 - Επήραν λοιπόν κατά την ημέραν εκείνην την απόφασιν και είπαν· “οποιοσδήποτε θα επέλθη εναντίον μας εις πόλεμον κατά την ημέραν

του Σαββάτου, θα τον πολεμήσωμεν και δεν θα μείνωμεν να φονευθώμεν όλοι, όπως εφονεύθησαν οι αδελφοί μας εις τα κρησφύγετα των”.

Α Μακ. 2,42 - τότε συνήχθησαν πρὸς αὐτοὺς συναγωγὴ Ἀσιδαίων, ἰσχυροὶ δυνάμει ἀπὸ Ἰσραήλ, πᾶς ὁ ἑκουσιαζόμενος τῷ νόμῳ·

Α Μακ. 2,42 - Τοτε συνεκεντρώθησαν και ηνώθησαν με αυτούς ο στρατός των Ασιδαίων, άνδρες Ισραηλίται πολύ δυνατοί και ευσεβείς. Αυτοί είχαν σταθεράν την απόφασιν και να αποθάνουν ακόμη δια την υπεράσπισιν του Νομου.

Α Μακ. 2,43 - καὶ πάντες οἱ φυγαδεύοντες ἀπὸ τῶν κακῶν προσετέθησαν αὐτοῖς καὶ ἐγένοντο αὐτοῖς εἰς στήριγμα.

Α Μακ. 2,43 - Αλλά και όλοι εκείνοι, οι οποίοι ήθελαν να αποφύγουν τους διωγμούς και τα δεινά, ήλθαν προς τους Ιουδαίους και έτσι ηυξήθη η δύναμις του Ματταθίου και των περί αυτόν.

Α Μακ. 2,44 - καὶ συνεστήσαντο δύναμιν καὶ ἐπάταξαν ἁμαρτωλοὺς ἐν ὀργῇ αὐτῶν καὶ ἄνδρας ἀνόμους ἐν θυμῷ αὐτῶν· καὶ οἱ λοιποὶ ἔφυγον εἰς τὰ ἔθνη σωθῆναι.

Α Μακ. 2,44 - Ολοι αυτοί συνεκρότησαν μεγάλην δύναμιν και εκτύπησαν κατ' αρχάς επάνω εις την δίκαιον οργήν των τους εξωμότας Ιουδαίους και εν τω θυμώ των εφόνευσαν τους παρανόμους αυτούς άνδρας. Οι άλλοι από τους εξωμότας Ιουδαίους, που διέφυγαν τον θάνατον, κατέφυγαν ανάμεσα εις τα ειδωλολατρικά έθνη, δια να εύρουν σωτηρίαν.

Α Μακ. 2,45 - καὶ ἐκύκλωσε Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ καὶ καθεῖλον τοὺς βωμοὺς

Α Μακ. 2,45 - Ο Ματταθίας και τα παιδιά του, περιέτρεχαν την χώραν και εκρήμνιζαν τους ειδωλολατρικούς βωμούς.

Α Μακ. 2,46 - καὶ περιέτεμον τὰ παιδάρια τὰ ἀπερίτμητα, ὅσα εὗρον ἐν ὁρίοις Ἰσραήλ, ἐν ἰσχύϊ

Α Μακ. 2,46 - Περιέτεμνον δε δια της βίας τα απερίτμητα μικρά παιδιά των Ιουδαίων, όσα εύρισκαν εις την χώραν της Ιουδαίας.

Α Μακ. 2,47 - καὶ ἐδίωξαν τοὺς υἱοὺς τῆς ὑπερηφανίας, καὶ κατευωδώθη τὸ ἔργον ἐν χειρὶ αὐτῶν.

Α Μακ. 2,47 - Κατεδίωξαν τους αυθάδεις και αλαζονικούς ανθρώπους. Με αυτάς δε τας ηρωϊκάς των προσπαθείας κατευωδόθη το έργον των.

Α Μακ. 2,48 - καὶ ἀντελάβοντο τοῦ νόμου ἐκ χειρὸς τῶν ἐθνῶν καὶ ἐκ χειρὸς τῶν βασιλέων καὶ οὐκ ἔδωκαν κέρας τῷ ἁμαρτωλῷ.

Α Μακ. 2,48 - Υπερησπίζοντο τον νόμον του Θεού εναντίον των ειδωλολατρικών εθνών και εναντίον της εξουσίας των βασιλέων και δεν επέτρεψαν να νικήση η δύναμις των αμαρτωλών (εξωμοτών).

Α Μακ. 2,49 - Καὶ ἤγγισαν αἱ ἡμέραι τοῦ Ματταθίου ἀποθανεῖν, καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ· νῦν ἐστηρίχθη ὑπερηφανία καὶ ἐλεγμὸς καὶ καιρὸς

καταστροφῆς καὶ ὀργὴ θυμοῦ.
Α Μακ. 2,49 - Οταν επλησίασαν αι ημέραι της εκδημίας του Ματταθίου, είπε προς τα παιδιά του· “σήμερον κυριαρχεί η αυθάδεια και η αλαζονεία. Είναι καιρός καταστροφής και μεγάλης οργής.
Α Μακ. 2,50 - καὶ νῦν, τέκνα, ζηλώσατε τῷ νόμῳ καὶ δότε τὰς ψυχὰς ὑμῶν ὑπὲρ διαθήκης πατέρων ἡμῶν.
Α Μακ. 2,50 - Τωρα, λοιπόν, τέκνα μου, αναπτύξατε και θερμάνατε μέσα σας τον ζήλον δια τον νόμον του Θεού. Θυσιάσατε και την ζωήν σας υπέρ της διαθήκης, η οποία έγινε μεταξύ του Θεού και των πατέρων μας.
Α Μακ. 2,51 - μνήσθητε τῶν πατέρων ἡμῶν τὰ ἔργα, ἃ ἐποίησαν ἐν ταῖς γενεαῖς αὐτῶν, καὶ δέξασθε δόξαν μεγάλην καὶ ὄνομα αἰώνιον.
Α Μακ. 2,51 - Ενθυμηθήτε και μιμηθήτε τα ηρωϊκά έργα, τα οποία έκαμαν οι πατέρες μας εις την εποχήν των. Και έτσι θα πάρετε μεγάλην δόξαν και θα αποκτήσετε αιώνιον όνομα.
Α Μακ. 2,52 - Ἀβραὰμ οὐχὶ ἐν πειρασμῷ εὑρέθη πιστός, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην;
Α Μακ. 2,52 - Μηπως ο Αβραάμ δεν απεδείχθη πιστός κατά την διάρκειαν του πειρασμού; Και δεν ελογαριάσθη τούτο δι' αυτόν εις αρετήν και δικαίωσιν;
Α Μακ. 2,53 - Ἰωσὴφ ἐν καιρῷ στενοχωρίας αὐτοῦ ἐφύλαξεν ἐντολὴν καὶ ἐγένετο κύριος Αἰγύπτου.
Α Μακ. 2,53 - Ο Ιωσήφ πάντοτε, μάλιστα δε εις την περίοδον της θλίψεώς του, ετήρησε τας εντολάς του Θεού και έγινε δια τούτο βασιλεύς της Αιγύπτου.
Α Μακ. 2,54 - Φινεὲς ὁ πατὴρ ἡμῶν ἐν τῷ ζηλῶσαι ζῆλον ἔλαβε διαθήκην ἱερωσύνης αἰωνίας.
Α Μακ. 2,54 - Ο Φινεές, ο προγονός μας, πλημμυρισμένος από ιερόν ζήλον δια τον νόμον του Θεού, επήρεν ιεράν την υπόσχεσιν ότι θα έχη αιωνίαν την ιερωσύνην.
Α Μακ. 2,55 - Ἰησοῦς ἐν τῷ πληρῶσαι λόγον ἐγένετο κριτὴς ἐν Ἰσραήλ.
Α Μακ. 2,55 - Ο Ιησούς του Ναυή, επειδή εξεπλήρωσε τον νόμον του Κυρίου, έγινε κριτής μεταξύ των Ισραηλιτών.
Α Μακ. 2,56 - Χάλεβ ἐν τῷ ἐπιμαρτύρασθαι ἐν τῇ ἐκκλησίᾳ ἔλαβε γῆς κληρονομίαν.
Α Μακ. 2,56 - Ο Χαλεβ, διότι διεμαρτυρήθη και ωμολόγησε την αλήθειαν ενώπιον της συγκεντρώσεως των Εβραίων, επήρεν ιδιαιτέραν κληρονομίαν από την γην της Παλαιστίνης.
Α Μακ. 2,57 - Δαυὶδ ἐν τῷ ἐλέῳ αὐτοῦ ἐκληρονόμησε θρόνον βασιλείας εἰς αἰῶνα αἰῶνος.
Α Μακ. 2,57 - Ο Δαυίδ δια την ευλάβειάν του και την αγαθότητα της καρδίας του εκληρονόμησε τον θρόνον της βασιλείας εις όλους τους αιώνας.

Α Μακ. 2,58 - Ἠλίας ἐν τῷ ζηλῶσαι ζῆλον νόμου ἀνελήφθη ἕως εἰς τὸν οὐρανόν.
Α Μακ. 2,58 - Ο προφήτης Ηλίας, επειδή επλημμύρισεν η καρδία του από ιερόν ζήλον υπέρ του νόμου του Θεού, ανελήφθη έως στον ουρανόν.
Α Μακ. 2,59 - Ἀνανίας, Ἀζαρίας, Μισαήλ, πιστεύσαντες ἐσώθησαν ἐκ φλογός.
Α Μακ. 2,59 - Ο Ανανίας, ο Αζαρίας και ο Μισαήλ, επειδή έδειξαν ζωντανήν πίστιν στον Θεόν, εσώθησαν από την φλόγα της φοβεράς καμίνου.
Α Μακ. 2,60 - Δανιὴλ ἐν τῇ ἁπλότητι αὐτοῦ ἐῤῥύσθη ἐκ στόματος λεόντων.
Α Μακ. 2,60 - Ο Δανιήλ δια την αθωότητά του εγλύτωσεν από το στόμα των λεόντων.
Α Μακ. 2,61 - καὶ οὕτως ἐννοήθητε κατὰ γενεὰν καὶ γενεάν, ὅτι πάντες οἱ ἐλπίζοντες ἐπ᾿ αὐτὸν οὐκ ἀσθενήσουσι.
Α Μακ. 2,61 - Κατ' αυτόν τον τρόπον σεις αν ερευνήσετε όλας τας γενεάς των προγόνων μας, θα διαπιστώσετε και θα πεισθήτε ότι όλοι, όσοι έχουν την ελπίδα των στον Θεόν, δεν θα περιπέσουν εις αδυναμίαν και ασθένειαν, δεν θα καταστραφούν, αλλά θα αποκτήσουν δύναμιν.
Α Μακ. 2,62 - καὶ ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ μὴ φοβηθῆτε, ὅτι ἡ δόξα αὐτοῦ εἰς κοπρίαν καὶ εἰς σκώληκας·
Α Μακ. 2,62 - Μη φοβηθήτε, λοιπόν, τας απειλάς αμαρτωλού ανθρώπου, διότι η δύναμίς του και το μεγαλείον θα μεταβληθή εις κοπρίαν και σκώληκας.
Α Μακ. 2,63 - σήμερον ἐπαρθήσεται καὶ αὔριον οὐ μὴ εὑρεθῇ, ὅτι ἐπέστρεψεν εἰς τὸν χοῦν αὐτοῦ, καὶ ὁ διαλογισμὸς αὐτοῦ ἀπώλετο.
Α Μακ. 2,63 - Σημερον υψώνεται και αύριον δεν θα ευρεθή ούτε ο τόπος, στον οποίον έζησε. Διότι το σώμα του θα επιστρέψη χώμα στο χώμα και αι επίνοιαι της πονηράς καρδίας του δεν θα πραγματοποιηθούν.
Α Μακ. 2,64 - καὶ ὑμεῖς τέκνα ἰσχύσατε καὶ ἀνδρίζεσθε ἐν τῷ νόμῳ, ὅτι ἐν αὐτῷ δοξασθήσεσθε.
Α Μακ. 2,64 - Σεις όμως, παιδιά μου, πάρετε θάρρος, αναδειχθήτε γενναίοι, υπερασπιζόμενοι τον νόμον του Θεού, διότι δια του Θεού θα αποκτήσετε δόξαν.
Α Μακ. 2,65 - καὶ ἰδοὺ Συμεὼν ὁ ἀδελφὸς ὑμῶν, οἶδα ὅτι ἀνὴρ βουλῆς ἐστιν, αὐτοῦ ἀκούετε πάσας τὰς ἡμέρας, αὐτὸς ὑμῖν ἔσται εἰς πατέρα.
Α Μακ. 2,65 - Ιδού γνωρίζω και σας διαβεβαιώ, ότι ο αδελφός σας ο Συμεών είναι άνθρωπος ορθοφροσύνης και αποφασιστικότητας. Εις αυτόν λοιπόν, να υπακούετε όλας τας ημέρας. Αυτός θα είναι δια σας στοργικός και συνετός πατέρας.
Α Μακ. 2,66 - καὶ Ἰούδας Μακκαβαῖος ἰσχυρὸς δυνάμει ἐκ νεότητος αὐτοῦ, οὗτος ὑμῖν ἔσται ἄρχων στρατιᾶς καὶ πολεμήσει πόλεμον λαῶν.

Α Μακ. 2,66 - Ιδού, ο Ιούδας ο Μακκαβαίος, ο γενναίος αυτός ήρως από τα νεανικά του ακόμη χρόνια, αυτός θα είναι αρχηγός του στρατού και θα κατευθύνη τον πόλεμον εναντίον των εχθρικών λαών.

Α Μακ. 2,67 - καὶ ὑμεῖς προσάξατε πρὸς ὑμᾶς πάντας τοὺς ποιητὰς τοῦ νόμου καὶ ἐκδικήσατε ἐκδίκησιν τοῦ λαοῦ ὑμῶν.

Α Μακ. 2,67 - Εντάξατε στον στρατόν σας όλους εκείνους τους Ιουδαίους, που τηρούν τον νόμον του Θεού, και πάρετε εκδίκησιν δια τον αδικούμενον λαόν σας.

Α Μακ. 2,68 - ἀνταπόδοτε ἀνταπόδομα τοῖς ἔθνεσι καὶ προσέχετε εἰς τὰ προστάγματα τοῦ νόμου.

Α Μακ. 2,68 - Να ανταποδώσετε εις τα ειδωλολατρικά έθνη εκείνα, τα οποία κάνουν εναντίον του λαού μας, και προ παντός προσέχετε να τηρήτε τας εντολάς του νόμου του Θεού".

Α Μακ. 2,69 - καὶ εὐλόγησεν αὐτούς, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ.

Α Μακ. 2,69 - Επειτα από τα λόγια αυτά τους ηυλόγησεν ο Ματταθίας και εξεδήμησε και προσετέθη στους προγόνους του.

Α Μακ. 2,70 - καὶ ἀπέθανεν ἐν τῷ ἕκτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει, καὶ ἔθαψαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ ἐν τάφοις πατέρων αὐτῶν ἐν Μωδεΐν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν.

Α Μακ. 2,70 - Απέθανε δε κατά το εκατοστόν τεσσαρακοστόν έκτον έτος της βασιλείας των Σελευκιδών. Τα παιδιά του τον έθαψαν στους τάφους των προγόνων των εις την πόλιν Μωδεΐν. Ολοι δε οι Ισραηλίται τον εθρήνησαν με κοπετόν μεγάλον.

Α ΜΑΚΚΑΒΑΙΩΝ 3

Α Μακ. 3,1 - Καὶ ἀνέστη Ἰούδας ὁ καλούμενος Μακκαβαῖος υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Α Μακ. 3,1 - Αντί του Ματταθίου ανεδείχθη και ανέλαβε την αρχηγίαν ο υιός του Ιούδας, ο επιλεγόμενος Μακκαβαίος

Α Μακ. 3,2 - καὶ ἐβοήθουν αὐτῷ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ πάντες, ὅσοι ἐκολλήθησαν τῷ πατρὶ αὐτοῦ, καὶ ἐπολέμουν τὸν πόλεμον Ἰσραὴλ μετ᾿ εὐφροσύνης.

Α Μακ. 3,2 - Αυτόν εβοηθούσαν οι αδελφοί του και όλοι εκείνοι, οι οποίοι είχον προσκολληθή στον πατέρα του. Ολοι επολεμούσαν τον ιερόν υπέρ του έθνους του Ισραήλ αγώνα με χαράν και ενθουσιασμόν.

Α Μακ. 3,3 - καὶ ἐπλάτυνε δόξαν τῷ λαῷ αὐτοῦ καὶ ἐνεδύσατο θώρακα ὡς γίγας καὶ συνεζώσατο τὰ σκεύη αὐτοῦ τὰ πολεμικὰ καὶ συνεστήσατο

πολέμους σκεπάζων παρεμβολὴν ἐν ρομφαίᾳ.

Α Μακ. 3,3 - Εδόξασεν αυτός τον λαόν του, ενεδύθη τον θώρακά του ως γίγας, εζώσθη τα πολεμικά του όπλα και διεξήγαγε νικηφόρους πολέμους υπερασπίζων με την ρομφαίαν του το στρατόπεδον του Ισραήλ.

Α Μακ. 3,4 - καὶ ὡμοιώθη λέοντι ἐν τοῖς ἔργοις αὐτοῦ καὶ ὡς σκύμνος ἐρευγόμενος εἰς θήραν.

Α Μακ. 3,4 - Εις τα πολεμικά του έργα ωμοίαζε με λέοντα και με σκύμνον λέοντος, ο οποίος εφορμά με βρυχηθμούς εναντίον του θηράματός του.

Α Μακ. 3,5 - καὶ ἐδίωξεν ἀνόμους ἐξερευνῶν καὶ τοὺς ταράσσοντας τὸν λαὸν αὐτοῦ ἐφλόγισε.

Α Μακ. 3,5 - Κατεδίωκε τους ασεβείς, αφού ανεκάλυπτε τα κρησφύγετά των, τους δε αναταράσσοντας τον λαόν του παρέδιδεν στο πυρ.

Α Μακ. 3,6 - καὶ συνεστάλησαν οἱ ἄνομοι ἀπὸ τοῦ φόβου αὐτοῦ, καὶ πάντες οἱ ἐργάτες τῆς ἀνομίας συνεταράχθησαν, καὶ εὐωδώθη σωτηρία ἐν χειρὶ αὐτοῦ.

Α Μακ. 3,6 - Εκυριεύθησαν από φόβον και εσυμμαζεύθησαν οι εξωμόται και όλοι οι εργαζόμενοι την ανομίαν συνεκλονίσθησαν, διότι η σωτηρία των Ιουδαίων κατευωδώθη δια της δυνάμεως Ιούδα του Μακκαβαίου.

Α Μακ. 3,7 - καὶ ἐπίκρανε βασιλεῖς πολλοὺς καὶ εὔφρανε τὸν Ἰακὼβ ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ἕως τοῦ αἰῶνος τὸ μνημόσυνον αὐτοῦ εἰς εὐλογίαν.

Α Μακ. 3,7 - Με τα κατορθώματά του εστενοχώρησε και κατεπίκρανε πολλούς βασιλείς και έδωσε χαράν και αγαλλίασιν στον ισραηλιτικόν λαόν. Η δε ανάμνησίς του μένει ένδοξος και ευλογημένη στους αιώνας.

Α Μακ. 3,8 - καὶ διῆλθεν ἐν πόλεσιν Ἰούδα καὶ ἐξωλόθρευσεν ἀσεβεῖς ἐξ αὐτῆς καὶ ἀπέστρεψεν ὀργὴν ἀπὸ Ἰσραὴλ

Α Μακ. 3,8 - Διέτρεξε δια μέσου των πόλεων του Ιούδα, εξωλόθρευσε τους ασεβείς εκ μέσου αυτών και απεμάκρυνεν από τους Ισραηλίτας την καταοττροφικήν οργήν εχθρικών βασιλέων και λαών.

Α Μακ. 3,9 - καὶ ὠνομάσθη ἕως ἐσχάτου τῆς γῆς καὶ συνήγαγεν ἀπολλυμένους.

Α Μακ. 3,9 - Περιώνυμος έγινε μέχρι των ακρών της γης, διότι συνεκέντρωσε και εξησφάλισεν ανθρώπους, οι οποίοι ήσαν καταδικασμένοι εις καταστροφήν

Α Μακ. 3,10 - Καὶ συνήγαγεν Ἀπολλώνιος ἔθνη καὶ ἀπὸ Σαμαρείας δύναμιν μεγάλην τοῦ πολεμῆσαι πρὸς Ἰσραήλ.

Α Μακ. 3,10 - Ο Απολλώνιος, ο δόλιος απεσταλμένος του Αντιόχου, συνεκέντρωσεν ειδωλολατρικά έθνη και μάλιστα από τον λαόν της Σαμαρείας, στρατιωτικήν δύναμιν μεγάλην, δια να πολεμήση εναντίον του ισραηλιτικού λαού.

Α Μακ. 3,11 - καὶ ἔγνω Ἰούδας καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ καὶ ἐπάταξεν αὐτὸν καὶ ἀπέκτεινεν αὐτόν· καὶ ἔπεσον τραυματίαι πολλοί, καὶ οἱ ἐπίλοιποι ἔφυγον.

Α Μακ. 3,11 - Επληροφορήθη τούτο ο Ιούδας και εξήλθεν εις συνάντησιν αυτού. Κατά την μάχην κατενίκησε τον στρατόν και εφόνευσεν αυτόν τον ίδιον. Μέγας δε αριθμός των εχθρών έπεσαν νεκροί, ενώ οι υπόλοιποι ετράπησαν εις φυγήν.

Α Μακ. 3,12 - καὶ ἔλαβον τὰ σκῦλα αὐτῶν, καὶ τὴν μάχαιραν Ἀπολλωνίου ἔλαβεν Ἰούδας καὶ ἦν πολεμῶν ἐν αὐτῇ πάσας τὰς ἡμέρας.

Α Μακ. 3,12 - Οι Ιουδαίοι επήραν τα λάφυρα των εχθρών, ο δε Ιούδας ο Μακκαβαίος επήρε την μάχαιραν του Απολλωνίου, με την οποίαν και επολεμούσε καθ' όλας τας ημέρας της ζωής του.

Α Μακ. 3,13 - καὶ ἤκουσε Σήρων ὁ ἄρχων τῆς δυνάμεως Συρίας ὅτι ἤθροισεν Ἰούδας ἄθροισμα καὶ ἐκκλησίαν πιστῶν μετ᾿ αὐτοῦ ἐκπορευομένων εἰς πόλεμον,

Α Μακ. 3,13 - Ο Σηρων, αρχιστράτηγος της στρατιωτικής δυνάμεως της Συρίας επληροφορήθη, ότι ο Ιούδας ο Μακκαβαίος συνεκέντρωσε γύρω του και ωργάνωσε στρατόν από Ισραηλίτας πιστούς στον Θεόν, οι οποίοι κάνουν μαζή με αυτόν πολεμικάς εξορμήσεις,

Α Μακ. 3,14 - καὶ εἶπε· ποιήσω ἐμαυτῷ ὄνομα καὶ δοξασθήσομαι ἐν τῇ βασιλείᾳ καὶ πολεμήσω τὸν Ἰούδαν καὶ τοὺς σὺν αὐτῷ τοὺς ἐξουδενοῦντας τὸν λόγον τοῦ βασιλέως.

Α Μακ. 3,14 - και είπε· “θα κάμω περίφημον το όνομά μου και θα δοξασθώ στο δασίλειον των Συρων. Θα καταπολεμήσω και θα νικήσω τον Ιούδαν και όλους εκείνους, οι οποίοι μαζή με αυτόν εξουθενώνουν τα διατάγματα του βασιλέως”.

Α Μακ. 3,15 - καὶ προσέθετο τοῦ ἀναβῆναι· καὶ ἀνέβη μετ᾿ αὐτοῦ παρεμβολὴ ἀσεβῶν ἰσχυρὰ βοηθῆσαι αὐτῷ καὶ ποιῆσαι τὴν ἐκδίκησιν ἐν υἱοῖς Ἰσραήλ.

Α Μακ. 3,15 - Επήρε, λοιπόν, την απόφασιν να εκστρατεύση εναντίον εκείνων. Μαζή του συνεξεστράτευσε και όλος ο στρατός των εξωμοτών Ιουδαίων, δια να τον βοηθήσουν, να εκδικηθούν δε και τιμωρήσουν τους πιστούς στον Θεόν 'Ισραηλιτας.

Α Μακ. 3,16 - καὶ ἤγγισαν ἕως ἀναβάσεως Βαιθωρών, καὶ ἐξῆλθεν Ἰούδας εἰς συνάντησιν αὐτῶν ὀλιγοστός.

Α Μακ. 3,16 - Οταν οι Συροι έφθασαν εις την ανωφέρειαν της πόλεως Βαιθωρών, εξήλθεν εναντίον των ο Ιούδας με ολίγους στρατιώτας.

Α Μακ. 3,17 - ὡς δὲ εἶδον τὴν παρεμβολὴν ἐρχομένην εἰς συνάντησιν αὐτοῖς, εἶπον τῷ Ἰούδᾳ· πῶς δυνησόμεθα ὀλιγοστοὶ ὄντες πολεμῆσαι πρὸς πλῆθος τοσοῦτον ἰσχυρόν; καὶ ἡμεῖς ἐκλελύμεθα ἀσιτοῦντες σήμερον.

Α Μακ. 3,17 - Οταν οι άνδρες του είδαν την εχθρικήν στρατιάν να επέρχεται εναντίον των, είπον στον Ιούδαν· “πως θα ημπορέσωμεν ημείς, οι οποίοι είμεθα τόσον ολίγοι, να αντιπαραταχθώμεν εις πόλεμον εναντίον τόσον πολλού και ισχυρού στρατού; Αλλωστε ημείς σήμερον έχομεν εξαντληθή από την πείναν”.

Α Μακ. 3,18 - καὶ εἶπεν Ἰούδας· εὔκοπόν ἐστι συγκλεισθῆναι πολλοὺς ἐν χερσὶν ὀλίγων, καὶ οὐκ ἔστι διαφορὰ ἐναντίον τοῦ Θεοῦ τοῦ οὐρανοῦ σῴζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις·

Α Μακ. 3,18 - Ο Ιούδας απήντησεν· “είναι εύκολον πράγμα να περιέλθουν πολλά εις τα χέρια των ολίγων, διότι δεν είναι αδύνατον ενώπιον του Θεού του ουρανού να σώζη τους ιδικούς του εν μέσω πολλών η εν μέσω ολίγων.

Α Μακ. 3,19 - ὅτι οὐκ ἐν πλήθει δυνάμεως νίκη πολέμου ἐστίν, ἀλλ᾿ ἢ ἐκ τοῦ οὐρανοῦ ἡ ἰσχύς.

Α Μακ. 3,19 - Η νίκη κατά τον πόλεμον δεν εξαρτάται από το πλήθος του στρατού μας, αλλά η νικητήριος δύναμις προέρχεται από τον Θεόν του ουρανού.

Α Μακ. 3,20 - αὐτοὶ ἔρχονται πρὸς ἡμᾶς ἐν πλήθει ὕβρεως καὶ ἀνομίας τοῦ ἐξᾶραι ἡμᾶς καὶ τὰς γυναῖκας ἡμῶν καὶ τὰ τέκνα ἡμῶν, τοῦ σκυλεῦσαι ἡμᾶς,

Α Μακ. 3,20 - Αυτοί έρχονται εναντίον μας κυριευμένοι από αλαζονείαν και ασέβειαν, δια να ξερριζώσουν ημάς και τας γυναίκας μας και τα τέκνα μας, και να μας λαφυραγωγήσουν.

Α Μακ. 3,21 - ἡμεῖς δὲ πολεμοῦμεν περὶ τῶν ψυχῶν ἡμῶν καὶ τῶν νομίμων ἡμῶν.

Α Μακ. 3,21 - Ημείς όμως πολεμούμεν δια την ζωήν μας και δια τα δίκαιά μας.

Α Μακ. 3,22 - καὶ αὐτὸς συντρίψει αὐτοὺς πρὸ προσώπου ἡμῶν· ὑμεῖς δὲ μὴ φοβηθῆτε ἀπ᾿ αὐτῶν.

Α Μακ. 3,22 - Δια τούτο ακριβώς αυτός ο ίδιος ο Θεός θα τους συντρίψη ενώπιόν μας. Λοιπόν μη τους φοβηθήτε”.

Α Μακ. 3,23 - ὡς δὲ ἐπαύσατο λαλῶν, ἐνήλατο εἰς αὐτοὺς ἄφνω, καὶ συνετρίβη Σήρων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἐνώπιον αὐτοῦ.

Α Μακ. 3,23 - Οταν ετελείωσε τα λόγια του αυτά ο Ιούδας ο Μακκαβαίος, ώρμησεν εναντίον των εχθρών αιφνιδίως και ο Σηρων συνετρίβη κυριολεκτικώς και είδε με τα ίδια του τα μάτια να εξολοθρεύεται ενώπιόν του η μεγάλη του στρατιά.

Α Μακ. 3,24 - καὶ ἐδίωκον αὐτὸν ἐν τῇ καταβάσει Βαιθωρὼν ἕως τοῦ πεδίου· καὶ ἔπεσον ἀπ᾿ αὐτῶν εἰς ἄνδρας ὀκτακοσίους, οἱ δὲ λοιποὶ ἔφυγον εἰς γῆν Φυλιστιείμ.

Α Μακ. 3,24 - Οι Ιουδαίοι τον κατεδίωξαν εις την κατωφέρειαν της πόλεως Βαιθωρών μέχρι της πεδιάδος. Οκτακόσιοι άνδρες από τους Συρους εφονεύθησαν, οι δε υπόλοιποι ετράπησαν εις φυγήν προς την χώραν των Φιλισταίων.

Α Μακ. 3,25 - καὶ ἤρξατο ὁ φόβος Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἡ πτόησις ἐπιπίπτειν ἐπὶ τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν.

Α Μακ. 3,25 - Από τας νίκας αυτάς του Ιούδα και των αδελφών του ήρχισε να επιπίπτη τρόμος εις τα γύρω της Ιουδαίας ειδωλολατρικά έθνη.

Α Μακ. 3,26 - καὶ ἤγγισεν ἕως τοῦ βασιλέως τὸ ὄνομα αὐτοῦ, καὶ ὑπὲρ τῶν παρατάξεων Ἰούδα ἐξηγεῖτο πᾶν ἔθνος.

Α Μακ. 3,26 - Το όνομα του Ιούδα έφθασε και μέχρι του βασιλέως της Συρίας, δια δε τας πολεμικάς επιχειρήσστου Ιούδα έκαναν μετά θαυμασμού λόγον όλα τα έθνη.

Α Μακ. 3,27 - Ὡς δὲ ἤκουσεν Ἀντίοχος ὁ βασιλεὺς τοὺς λόγους τούτους, ὠργίσθη θυμῷ καὶ ἀπέστειλε καὶ συνήγαγε τὰς δυνάμεις πάσας τῆς βασιλείας αὐτοῦ, παρεμβολὴν ἰσχυρὰν σφόδρα.

Α Μακ. 3,27 - Οταν ο βασιλεύς Αντίοχος επληροφορήθη αυτά τα γεγονότα, εκυριεύθη από μεγάλον θυμόν· έδωσε δε διαταγήν και συνεκεντρώθησαν όλοι οι λαοί του βασιλείου του, από τους οποίους και συνεκρότησε πολύ ισχυρόν στράτευμα.

Α Μακ. 3,28 - καὶ ἤνοιξε τὸ γαζοφυλάκιον αὐτοῦ καὶ ἔδωκεν ὀψώνια ταῖς δυνάμεσιν αὐτοῦ εἰς ἐνιαυτὸν καὶ ἐνετείλατο εἶναι αὐτοὺς ἑτοίμους εἰς πᾶσαν χρείαν.

Α Μακ. 3,28 - Ηνοιξε δε το θησαυροφυλάκιόν του και έδωκε προκαταβολικώς τους μισθούς ενός έτους εις όλην του την στρατιωτικήν δύναμιν· διέταξε δε αυτούς να είναι έτοιμοι δια πάσαν ανάγκην.

Α Μακ. 3,29 - καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ἀργύριον ἀπὸ τῶν θησαυρῶν καὶ οἱ φόροι τῆς χώρας ὀλίγοι, χάριν τῆς διχοστασίας καὶ πληγῆς, ἧς κατεσκεύασεν ἐν τῇ γῇ τοῦ ἆραι τὰ νόμιμα, ἃ ἦσαν ἀφ᾿ ἡμερῶν τῶν πρώτων.

Α Μακ. 3,29 - Είδεν όμως ότι εξηντλήθησαν τα χρήματα από το θησαυροφυλάκιόν του, οι δε φόροι της χώρας ήσαν ολίγοι εξ αιτίας της διχοστασίας και των συμφορών, τας οποίας ο ίδιος προεκάλεσεν εις την χώραν του με το να καταργήση τους νόμους, οι οποίοι από αρχαιοτάτων ημερών ήσαν εις χρήσιν προς διακυβέρνησιν των λαών.

Α Μακ. 3,30 - καὶ εὐλαβήθη μὴ οὐκ ἔχῃ ὡς ἅπαξ καὶ δὶς εἰς τὰς δαπάνας καὶ τὰ δόματα, ἃ ἐδίδου ἔμπροσθεν δαψιλεῖ χειρὶ καὶ ἐπερίσσευσεν ὑπὲρ τοὺς βασιλεῖς τοὺς ἔμπροσθεν,

Α Μακ. 3,30 - Εφοβήθη δε μήπως και δεν έχει να δώση άπαξ και δις δια τας δαπάνας και τας άλλας δωρεάς, τας οποίας έδιδε κατά τον

προηγούμενον χρόνον απλόχερα, ως γενναιόδωρος περισσότερον από όλους τους άλλους βασιλείς, που υπήρξαν προ αυτού.

Α Μακ. 3,31 - καὶ ἠπορεῖτο τῇ ψυχῇ αὐτοῦ σφόδρα καὶ ἐβουλεύσατο τοῦ πορευθῆναι εἰς τὴν Περσίδα καὶ λαβεῖν τοὺς φόρους τῶν χωρῶν καὶ συναγαγεῖν ἀργύριον πολύ.

Α Μακ. 3,31 - Είχε περιπέσει εις πολύ μεγάλην ψυχικήν στενοχωρίαν και εσκέφθη να μεταβή εις την Περσίαν, δια να πάρη τους φόρους από τας χώρας εκείνας και να συγκεντρώση πολύ χρήμα.

Α Μακ. 3,32 - καὶ κατέλιπε Λυσίαν ἄνθρωπον ἔνδοξον καὶ ἀπὸ γένους τῆς βασιλείας ἐπὶ τῶν πραγμάτων τοῦ βασιλέως ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου ἕως τῶν ὁρίων Αἰγύπτου

Α Μακ. 3,32 - Αφήκε, λοιπόν, ως αντικαταστάτην του τον Λυσίαν, άνθρωπον ένδοξον και από γένος βασιλικον καταγόμενον, να διοική τας χώρας και τα πράγματα του βασιλείου του από τον ποταμόν Ευφράτην έως τα όρια της Αιγύπτου,

Α Μακ. 3,33 - καὶ τρέφει Ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἕως τοῦ ἐπιστρέψαι αὐτόν.

Α Μακ. 3,33 - να αναλάβη δε ακόμη και την ανατροφήν του υιού του Αντιόχου, έως ότου αυτός επιστρέψη.

Α Μακ. 3,34 - καὶ παρέδωκεν αὐτῷ τὰς ἡμίσεις τῶν δυνάμεων καὶ τοὺς ἐλέφαντας καὶ ἐνετείλατο αὐτῷ περὶ πάντων, ὧν ἐβούλετο, καὶ περὶ τῶν κατοικούντων τὴν Ἰουδαίαν καὶ Ἱερουσαλὴμ

Α Μακ. 3,34 - Παρέδωκεν ακόμη ο Αντίοχος στον Λυσίαν το ήμισυ από τας στρατιωτικάς του δυνάμεις και τους ελέφαντας και έδωσεν εις αυτόν εντολάς δι' όλα όσα αυτός επεθύμει να γίνουν και ειδικώτερα δια τους Ιουδαίους, οι οποίοι κατοικούσαν την Ιουδαίαν και την Ιερουσαλήμ.

Α Μακ. 3,35 - ἀποστεῖλαι ἐπ᾿ αὐτοὺς δύναμιν τοῦ ἐκτρίψαι καὶ ἐξᾶραι τὴν ἰσχὺν Ἰσραὴλ καὶ τὸ κατάλειμμα Ἱερουσαλὴμ καὶ ἆραι τὸ μνημόσυνον αὐτῶν ἀπὸ τοῦ τόπου

Α Μακ. 3,35 - Εδωσε δηλαδή εντολάς στον Λυσίαν, να αποστείλη εναντίον των Ιουδαίων στρατιωτικήν δύναμη, δια να ξερριζώση και εξαφανίση όλην την δύναμιν των Ισραηλιτών και όλους τους υπολειφθέντας κατοίκους της Ιερουσαλήμ, να σβήση την ανάμνησιν αυτών από τον τόπον των.

Α Μακ. 3,36 - καὶ κατοικίσαι υἱοὺς ἀλλογενεῖς ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν καὶ κατακληροδοτῆσαι τὴν γῆν αὐτῶν.

Α Μακ. 3,36 - Ακόμη δε να εγκαταστήση καθ' όλην την έκτασιν της χώρας των Ιουδαίων αλλοεθνείς ειδωλολάτρας, στους οποίους δια κλήρου να διανείμη ως ιδιοκτησόαν των την χώραν εκείνων.

Α Μακ. 3,37 - καὶ ὁ βασιλεὺς παρέλαβε τὰς ἡμίσεις τῶν δυνάμεων τὰς καταλειφθείσας καὶ ἀπῆρεν ἀπὸ Ἀντιοχείας ἀπὸ πόλεως βασιλείας αὐτοῦ, ἔτους ἑβδόμου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ, καὶ διεπέρασε τὸν Εὐφράτην ποταμὸν καὶ διεπορεύετο τὰς ἐπάνω χώρας.

Α Μακ. 3,37 - Ο βασιλεύς κατόπιν των παραγγελιών αυτών επήρε το άλλο ήμισυ των στρατιωτικών του δυνάμεων, που είχαν απομείνει, και ανεχώρησεν από την Αντιόχειαν, την πρωτεύουσαν του βασιλείου του, κατά το εκατοστόν τεσσαρακοστόν έβδομον έτος της χρονολογίας των Σελευκιδών. Διέβη τον ποταμόν Ευφράτην και επορεύετο δια μέσου των ορεινών υψηλών περιοχών, που ήσαν πέραν από τον Ευφράτην.

Α Μακ. 3,38 - Καὶ ἐπέλεξε Λυσίας Πτολεμαῖον τὸν Δορυμένους καὶ Νικάνορα καὶ Γοργίαν ἄνδρας δυνατοὺς τῶν φίλων τοῦ βασιλέως,

Α Μακ. 3,38 - Ο Λυσίας εξέλεξε τον Πτολεμαίον, τον υιόν του Δορυμένους, τον Νικάνορα και τον Γοργίαν από τους πιστούς φίλους του βασιλέως, άνδρας γενναίους και ικανούς.

Α Μακ. 3,39 - καὶ ἀπέστειλε μετ᾿ αὐτῶν τεσσαράκοντα χιλιάδας ἀνδρῶν καὶ ἑπτακισχιλίαν ἵππον τοῦ ἐξελθεῖν εἰς γῆν Ἰούδα καὶ καταφθεῖραι αὐτὴν κατὰ τὸν λόγον τοῦ βασιλέως.

Α Μακ. 3,39 - Μαζή με αυτούς απέστειλε και τεσσαράκοντα χιλιάδας πεζών ανδρών και επτά χιλιάδας ιππείς, δια να επέλθουν εναντίον της χώρας Ιούδα, να καταστρέψουν αυτήν τελείως, σύμφωνα με την διαταγήν του βασιλέως.

Α Μακ. 3,40 - καὶ ἀπῆραν σὺν πάσῃ τῇ δυνάμει αὐτῶν, καὶ ἦλθον καὶ παρενέβαλον πλησίον Ἐμμανοὺμ ἐν τῇ γῇ τῇ πεδινῇ.

Α Μακ. 3,40 - Αυτοί ανεχώρησαν με όλην την στρατιωτικήν των δύναμιν, εισήλθον εις την Ιουδαίαν και εστρατοπέδευσαν εις την πεδινήν περιοχήν κοντά εις την Εμμαούμ.

Α Μακ. 3,41 - καὶ ἤκουσαν οἱ ἔμποροι τῆς χώρας τὸ ὄνομα αὐτῶν καὶ ἔλαβον ἀργύριον καὶ χρυσίον πολὺ σφόδρα καὶ πέδας καὶ ἦλθον εἰς τὴν παρεμβολὴν τοῦ λαβεῖν τοὺς υἱοὺς Ἰσραὴλ εἰς παῖδας. καὶ προσετέθησαν πρὸς αὐτοὺς δύναμις Συρίας καὶ γῆς ἀλλοφύλων.

Α Μακ. 3,41 - Οταν οι έμποροι της χώρας έμαθαν την προέλευσιν και την δύναμιν του στρατού αυτού, βέβαιοι όντες δια την νίκην των Συρων, επήραν μαζή των πάρα πολύ αργύριον και χρυσίον, όπως και χειροπέδας, και ήλθον στο στρατόπεδον, δια να αγοράσουν αιχμαλώτους Ισραηλίτας ως δούλους. Μαζή με την στρατιωτικήν εκείνην δύναμιν ηνώθη εθελοντικώς και άλλο στράτευμα των Συρων, όπως και ο στρατός των Φιλισταίων.

Α Μακ. 3,42 - καὶ εἶδεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ὅτι ἐπληθύνθη τὰ κακὰ καὶ αἱ δυνάμεις παρεμβάλλουσιν ἐν τοῖς ὁρίοις αὐτῶν, καὶ ἐπέγνωσαν

τοὺς λόγους τοῦ βασιλέως, οὓς ἐνετείλατο ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν καὶ συντέλειαν.

Α Μακ. 3,42 - Ο Ιούδας και οι αδελφοί του είδαν, ότι έγιναν πολύ δύσκολα πλέον δι' αυτούς τα πράγματα, ότι αι στρατιωτικαί δυνάμεις των εχθρών εστρατοπέδευσαν εντός των ορίων της χώρας των, και έλαβον επίσης γνώσιν των διαταγών του βασιλέως, τας οποίας έδωσε, να καταστρέψουν δηλαδή οι στρατιώται του και να εξαφανίσουν εντελώς τον Ισραηλιτικόν λαόν.

Α Μακ. 3,43 - καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· ἀναστήσωμεν τὴν καθαίρεσιν τοῦ λαοῦ ἡμῶν καὶ πολεμήσωμεν περὶ τοῦ λαοῦ ἡμῶν καὶ τῶν ἁγίων.

Α Μακ. 3,43 - Γεμάτοι όμως πίστιν και ενθουσιασμόν είπαν τότε αναμεταξύ των· “Εμπρός ας ανορθώσωμεν την κατάπτωσιν του λαού μας και ας πολεμήσωμεν υπέρ του λαού μας και υπέρ των αγίων μας τόπων και παραδόσεων”.

Α Μακ. 3,44 - καὶ συνηθροίσθη ἡ συναγωγὴ τοῦ εἶναι ἑτοίμους εἰς πόλεμον καὶ τοῦ προσεύξασθαι καὶ αἰτῆσαι ἔλεον καὶ οἰκτιρμούς.

Α Μακ. 3,44 - Επραγματοποιήθη η συγκέντρωσις αυτή, δια να είναι έτοιμοι οι Ιουδαίοι εις πόλεμον, αφού πρώτον προσευχηθούν και ζητήσουν το έλεος και την ευσπλαγχνίαν του Θεού.

Α Μακ. 3,45 - καὶ Ἱερουσαλὴμ ἦν ἀοίκητος ὡς ἔρημος· οὐκ ἦν ὁ εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐκ τῶν γενημάτων αὐτῆς, καὶ τὸ ἁγίασμα καταπατούμενον, καὶ υἱοὶ ἀλλογενῶν ἐν τῇ ἄκρᾳ, κατάλυμα τοῖς ἔθνεσι· καὶ ἐξῄρθη τέρψις ἐξ Ἰακώβ, καὶ ἐξέλιπεν αὐλὸς καὶ κινύρα.

Α Μακ. 3,45 - Η Ιερουσαλήμ έμενε τότε χωρίς κατοίκους, ως εάν ήτο έρημος. Κανένα από τα τέκνα της ούτε εισήρχετο εις την πόλιν ούτε εξήρχετο από αυτήν. Ο ιερός ναός κατεπατείτο από τους αλλοεθνείς, τέκνα δε αλλοεθνών είχαν καταλάβει την ακρόπολιν, η οποία είχε γίνει κατοικία αυτών. Επέταξεν από την πόλιν η χαρά του Ιακώβ και έπαυσε πλέον να ακούεται ο χαρμόσυνος ήχος αυλού και κιθάρας.

Α Μακ. 3,46 - καὶ συνήχθησαν καὶ ἤλθοσαν εἰς Μασσηφὰ κατέναντι Ἱερουσαλήμ, ὅτι τόπος προσευχῆς εἰς Μασσηφὰ τὸ πρότερον τῷ Ἰσραήλ.

Α Μακ. 3,46 - Συνεκεντρώθησαν οι Ιουδαίοι και ήλθον εις Μασσηφά απέναντι από την Ιερουσαλήμ, διότι ,η Μασσηφά κατά τους αρχαιοτέρους χρόνους ήτο τόπος προσευχής.

Α Μακ. 3,47 - καὶ ἐνήστευσαν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ περιεβάλοντο σάκκους καὶ σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν.

Α Μακ. 3,47 - Κατά την ημέραν εκείνην ενήστευσαν οι Ιουδαίοι, εφόρεσαν σάκκους εις δείγμα πένθους, έρριψαν στάκτην εις τας κεφαλάς των και διέρρηξαν τα ιμάτιά των.

Α Μακ. 3,48 - καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου, περὶ ὧν ἐξηρεύνων τὰ ἔθνη τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν.
Α Μακ. 3,48 - Ηνοιξαν και παρουσίασαν ενώπιον του λαού το βιβλίον του Νομου, δια το οποίον ερευνούσαν τα ειδωλολατρικά έθνη με τον σκοπόν να το εξαφανίσουν και επιβάλουν αντ' αυτού τα ομοιώματα των ειδώλων των.
Α Μακ. 3,49 - καὶ ἤνεγκαν τὰ ἱμάτια τῆς ἱερωσύνης καὶ τὰ πρωτογενήματα καὶ τὰς δεκάτας καὶ ἤγειραν τοὺς ναζιραίους, οἳ ἐπλήρωσαν τὰς ἡμέρας,
Α Μακ. 3,49 - Εφεραν τας ιερατικάς στολάς, τα πρωτογενήματα και τας δεκάτας, έφεραν εκεί και τους ναζιραίους, που είχαν συμπληρώσει τον χρόνον του ταξίματός των.
Α Μακ. 3,50 - καὶ ἐβόησαν φωνῇ εἰς τὸν οὐρανὸν λέγοντες· τί ποιήσωμεν τούτοις καὶ ποῦ αὐτοὺς ἀπαγάγωμεν;
Α Μακ. 3,50 - Ολοι δε εκραύγασαν με μεγάλην φωνήν στον ουρανόν και είπαν· "τι να κάνωμεν δια τους ανθρώπους αυτούς και που να τους οδηγήσωμεν;
Α Μακ. 3,51 - καὶ τὰ ἅγιά σου καταπεπάτηται καὶ βεβήλωται καὶ οἱ ἱερεῖς σου ἐν πένθει καὶ ταπεινώσει.
Α Μακ. 3,51 - Ο ιερός ναός σου, Κυριε, καταπατείται και βεβηλώνεται, οι ιερείς σου ευρίσκονται εις κατάστασιν πένθους και ταπεινώσεως·
Α Μακ. 3,52 - καὶ ἰδοὺ τὰ ἔθνη συνῆκται ἐφ᾿ ἡμᾶς τοῦ ἐξᾶραι ἡμᾶς· σὺ οἶδας ἃ λογίζονται ἐφ᾿ ἡμᾶς.
Α Μακ. 3,52 - και επί πλέον ιδού, τα ειδωλολατρικά έθνη έχουν συγκεντρωθή εναντίον μας, δια να μας εξολοθρεύσουν. Συ γνωρίζεις πολύ καλά, όσα σκέπτονται εναντίον μας.
Α Μακ. 3,53 - πῶς δυνησόμεθα ὑποστῆναι κατὰ πρόσωπον αὐτῶν, ἐὰν μὴ σὺ βοηθήσῃς ἡμῖν;
Α Μακ. 3,53 - Πως λοιπόν θα ημπορέσωμεν να σταθώμεν όρθιοι ενώπιον αυτών, εάν συ, ο παντοδύναμος Θεός, δεν μας βοηθήσης;"
Α Μακ. 3,54 - καὶ ἐσάλπισαν ταῖς σάλπιγξι καὶ ἐβόησαν φωνῇ μεγάλῃ.
Α Μακ. 3,54 - Εσάλπισαν τότε αι σάλπιγγες και εκραύγασε με μεγάλην φωνήν όλον το πλήθος.
Α Μακ. 3,55 - καὶ μετὰ τοῦτο κατέστησεν Ἰούδας ἡγούμενος τοῦ λαοῦ χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκάρχους.
Α Μακ. 3,55 - Επειτα από αυτά ο Ιούδας ώρισεν αρχηγούς του λαού, χιλιάρχους, εκατοντάρχους, πεντηκοντάρχους και δεκάρχους.
Α Μακ. 3,56 - καὶ εἶπον τοῖς οἰκοδομοῦσιν οἰκίας καὶ μνηστευομένοις γυναῖκας καὶ φυτεύουσιν ἀμπελῶνας καὶ δειλοῖς ἀποστρέφειν ἕκαστον εἰς τὸν οἶκον αὐτοῦ κατὰ τὸν νόμον.

Α Μακ. 3,56 - Είπε δε εις εκείνους, οι οποίοι είχαν αρχίσει να οικοδομούν τας οικίας των, όπως και εις εκείνους που ήσαν μνηστευμένοι με γυναίκας, εις όσους εφύτευαν αμπελώνας και στους δειλούς να επιστρέψουν ο καθένας στο σπίτι του, σύμφωνα με όσα ώριζεν ο Μωσαϊκός νόμος.

Α Μακ. 3,57 - καὶ ἀπῇρεν ἡ παρεμβολή, καὶ παρενέβαλε κατὰ νότον Ἀμμαούς.

Α Μακ. 3,57 - Επειτα δε ο στρατός όλος εξεκίνησε και εστρατοπέδευσε νοτίως της Αμμαούς.

Α Μακ. 3,58 - καὶ εἶπεν Ἰούδας· περιζώσασθε καὶ γίνεσθε εἰς υἱοὺς δυνατοὺς καὶ γίνεσθε ἕτοιμοι εἰς τὸ πρωΐ τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσι τούτοις τοῖς ἐπισυνηγμένοις ἐφ᾿ ἡμᾶς ἐξᾶραι ἡμᾶς καὶ τὰ ἅγια ἡμῶν·

Α Μακ. 3,58 - Εκεί ο Ιούδας διέταξε και είπε· “ζωσθήτε εις την μέσην σας, αναδειχθήτε γενναίοι, να είσθε έτοιμοι, ώστε το πρωϊ να πολεμήσετε εναντίον αυτών των ειδωλολατρών, που έχουν συγκεντρωθή εναντίον μας, δια να εξαφανίσουν και ημάς και τους ιερούς τόπους μας.

Α Μακ. 3,59 - ὅτι κρεῖσσον ἡμᾶς ἀποθανεῖν ἐν τῷ πολέμῳ ἢ ἐπιδεῖν ἐπὶ τὰ κακὰ τοῦ ἔθνους ἡμῶν καὶ τῶν ἁγίων.

Α Μακ. 3,59 - Διότι είναι προτιμότερον να πέσωμεν κατά τον πόλεμον, παρά να ζήσωμεν, δια να βλέπωμεν τας συμφοράς του έθνους μας και των ιερών μας τόπων.

Α Μακ. 3,60 - ὡς δ᾿ ἂν ᾖ θέλημα ἐν οὐρανῷ, οὕτω ποιήσει.

Α Μακ. 3,60 - Παντως ο,τι είναι θέλημα του ουρανίου Θεού αυτό και θα γίνη”.

Α ΜΑΚΚΑΒΑΙΩΝ 4

Α Μακ. 4,1 - Καὶ παρέλαβε Γοργίας πεντακισχιλίους ἄνδρας καὶ χιλίαν ἵππον ἐκλεκτήν, καὶ ἀπῇρεν ἡ παρεμβολὴ νυκτός,

Α Μακ. 4,1 - Ο Γοργίας επήρε μαζή του πέντε χιλιάδας πεζούς άνδρας και εκλεκτόν ιππικόν χιλίων ανδρών. Αυτός ο στρατός ανεχώρησεν εν καιρώ νυκτός,

Α Μακ. 4,2 - ὥστε ἐπιβαλεῖν ἐπὶ τὴν παρεμβολὴν τῶν Ἰουδαίων καὶ πατάξαι αὐτοὺς ἄφνω· καὶ οἱ υἱοὶ τῆς ἄκρας ἦσαν αὐτῷ ὁδηγοί.

Α Μακ. 4,2 - δια να επιτεθή στο στρατόπεδον των Ιουδαίων και να τους κτυπήση αιφνιδίως. Οι άνδρες της ακροπόλεως Σιών ήσαν στον Γοργίαν οδηγοί.

Α Μακ. 4,3 - καὶ ἤκουσεν Ἰούδας καὶ ἀπῇρεν αὐτὸς καὶ οἱ δυνατοὶ πατάξαι τὴν δύναμιν τοῦ βασιλέως τὴν ἐν Ἀμμαούς,

Α Μακ. 4,3 - Ο Ιούδας επληροφορήθη το σχέδιον τούτο και ανεχώρησεν αυτός με τους γενναίους του άνδρας, δια να κτυπήσουν την στρατιωτικήν

δύναμιν του βασιλέως, που ευρίσκετο εις Αμμαούς,

Α Μακ. 4,4 - ἕως ἔτι αἱ δυνάμεις ἐσκορπισμέναι ἦσαν ἀπὸ τῆς παρεμβολῆς.

Α Μακ. 4,4 - καθ' ον χρόνον ακόμη ο στρατός ήτο διασκορπισμένος μακράν από το στρατόπεδον.

Α Μακ. 4,5 - καὶ ἦλθε Γοργίας εἰς τὴν παρεμβολὴν Ἰούδα νυκτὸς καὶ οὐδένα εὗρε· καὶ ἐζήτει αὐτοὺς ἐν τοῖς ὄρεσιν, ὅτι εἶπε· φεύγουσιν οὗτοι ἀφ᾿ ἡμῶν.

Α Μακ. 4,5 - Ο Γοργίας εν τω μεταξύ ήλθεν στο στρατόπεδον του Ιούδα δια νυκτός, άλλα δεν ευρήκεν εκεί κανένα. Τους ανεζήτησεν εις τα όρη και διότι δεν τους ευρήκεν έλεγεν· “οι Ιουδαίοι φεύγουν τρομοκρατημένοι μακράν από ημάς”.

Α Μακ. 4,6 - καὶ ἅμα τῇ ἡμέρᾳ ὤφθη Ἰούδας ἐν τῷ πεδίῳ ἐν τρισχιλίοις ἀνδράσι· πλὴν καλύμματα καὶ μαχαίρας οὐκ εἶχον καθὼς ἠβούλοντο.

Α Μακ. 4,6 - Οταν όμως εξημέρωσεν ενεφανίσθη ο Ιούδας εις την πεδιάδα με τρεις χιλιάδας άνδρας. Δεν είχαν όμως ασπίδας, δια να καλυφθούν και μαχαίρας, δια να κτυπήσουν τον εχθρόν, όπως αυτοί ήθελαν.

Α Μακ. 4,7 - καὶ εἶδον παρεμβολὴν ἐθνῶν ἰσχυρὰν τεθωρακισμένην καὶ ἵππον κυκλοῦσαν αὐτήν, καὶ οὗτοι διδακτοὶ πολέμου.

Α Μακ. 4,7 - Είδαν την στρατιωτικήν δύναμιν των ειδωλολατρικών εθνών ισχυράν και ωπλισμένην με θώρακας, το δε ιππικόν κύκλω από αυτήν. Διεπίστωσαν δε ότι εκείνοι ήσαν εμπειροπόλεμοι στρατιώται.

Α Μακ. 4,8 - καὶ εἶπεν Ἰούδας τοῖς ἀνδράσι τοῖς μετ᾿ αὐτοῦ· μὴ φοβεῖσθε τὸ πλῆθος αὐτῶν καὶ τὸ ὅρμημα αὐτῶν μὴ δειλωθῆτε·

Α Μακ. 4,8 - Είπε τότε ο Ιούδας προς τους άνδρας, που είχε μαζή του· “μη φοβείσθε το πλήθος αυτών, και μη δειλιάσετε μπροστά εις την ορμήν των.

Α Μακ. 4,9 - μνήσθητε πῶς ἐσώθησαν οἱ πατέρες ἡμῶν ἐν θαλάσσῃ ἐρυθρᾷ, ὅτι ἐδίωξεν αὐτοὺς Φαραὼ ἐν δυνάμει.

Α Μακ. 4,9 - Ενθυμηθήτε, πως οι πατέρες μας εσώθησαν εις την Ερυθράν Θαλασσαν, όταν τους κατεδίωξεν ο Φαραώ με τον στρατόν του.

Α Μακ. 4,10 - καὶ νῦν βοήσωμεν εἰς τὸν οὐρανόν, εἴ πως ἐλεήσει ἡμᾶς καὶ μνησθήσεται διαθήκης πατέρων ἡμῶν καὶ συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσωπον ἡμῶν σήμερον,

Α Μακ. 4,10 - Και τώρα ας κραυγάσωμεν προς τον Θεόν του ουρανού πιστεύοντες, ότι θα μας ευσπλαγχνισθή και ότι θα ενθυμηθή την διαθήκην, την οποίαν αυτός συνήψε με τους προγόνους μας και θα συντρίψη την στρατιωτικήν αυτήν δύναμιν ενώπιόν μας σήμερον.

Α Μακ. 4,11 - καὶ γνώσεται πάντα τὰ ἔθνη ὅτι ἐστὶν ὁ λυτρούμενος καὶ σῴζων τὸν Ἰσραήλ.

Α Μακ. 4,11 - Ετσι δε θα μάθουν όλα τα ειδωλολατρικά έθνη ότι υπάρχει Εκείνος, ο οποίος προστατεύει και σώζει τον ισραηλιτικόν λαόν.

Α Μακ. 4,12 - καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ εἶδον αὐτοὺς ἐρχομένους ἐξεναντίας

Α Μακ. 4,12 - Τα ειδωλολατρικά έθνη εσήκωσαν τα μάτια των και είδαν τους ισραηλίτας να έρχωνται εναντίον των.

Α Μακ. 4,13 - καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς εἰς πόλεμον· καὶ ἐσάλπισαν οἱ μετὰ Ἰούδα

Α Μακ. 4,13 - Εβγήκαν και αυτοί από το στρατόπεδόν των, δια να πολεμήσουν εναντίον των Ιουδαίων. Οι σαλπιγκταί, που ευρίσκοντο πλησίον του Ιούδα, εσάλπισαν με τας ιεράς των σάλπιγγας δια την μάχην.

Α Μακ. 4,14 - καὶ συνῆψαν καὶ συνετρίβησαν τὰ ἔθνη καὶ ἔφυγον εἰς τὸ πεδίον,

Α Μακ. 4,14 - Οι Ισραηλίται επολέμησαν εναντίον των εχθρών των, τα δε ειδωλολατρικά έθνη νικηθέντα συνετρίβησαν και ετράπησαν εις φυγήν ανά την πεδιάδα.

Α Μακ. 4,15 - οἱ δὲ ἔσχατοι πάντες ἔπεσον ἐν ῥομφαίᾳ. καὶ ἐδίωξαν αὐτοὺς ἕως Γαζηρὼν καὶ ἕως τῶν πεδίων τῆς Ἰδουμαίας καὶ Ἀζώτου καὶ Ἰαμνείας, καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας τρισχιλίους.

Α Μακ. 4,15 - Οσοι δε από αυτούς απέμειναν τελευταίοι, έπεσαν εν στόματι ρομφαίας και οι Ιουδαίοι τους κατεδίωξαν μέχρι της Γαζηρών, μέχρι των πεδιάδων της Ιδουμαίας και μέχρι της πόλεως Αζώτου και Ιαμνείας. Από την στρατιωτικήν δύναμιν των εχθρών εφονεύθησαν κατά την ημέραν εκείνην τρεις χιλιάδες.

Α Μακ. 4,16 - καὶ ἐπέστρεψεν Ἰούδας καὶ ἡ δύναμις ἀπὸ τοῦ διώκειν ὄπισθεν αὐτῶν

Α Μακ. 4,16 - Ο Ιούδας επέστρεψεν εις τας θέσστου μαζή με το στράτευμά του και εσταμάτησε να καταδιώκη τους εχθρούς.

Α Μακ. 4,17 - καὶ εἶπε πρὸς τὸν λαόν· μὴ ἐπιθυμήσητε τῶν σκύλων, ὅτι πόλεμος ἐξεναντίας ἡμῶν,

Α Μακ. 4,17 - Είπε δε προς τον στρατόν του· “μη κυριευθήτε από την επιθυμίαν των λαφύρων, διότι ο πόλεμος περιμένει απέναντί μας.

Α Μακ. 4,18 - καὶ Γοργίας καὶ ἡ δύναμις ἐν τῷ ὄρει ἐγγὺς ἡμῶν· ἀλλὰ στῆτε νῦν ἐναντίον τῶν ἐχθρῶν ἡμῶν καὶ πολεμήσατε αὐτούς, καὶ μετὰ ταῦτα λάβετε τὰ σκῦλα μετὰ παῤῥησίας.

Α Μακ. 4,18 - Ο Γοργίας και η στρατιωτική του δύναμις ευρίσκονται κοντά μας στο όρος, αλλά έχετε θάρρος και κρατηθήτε εμπρός στους εχθρούς μας και πολεμήσατέ τους με ανδρείαν, και αφού τους νικήσετε, ημπορείτε κατόπιν αφόβως να πάρετε τα λάφυρα αυτών”.

Α Μακ. 4,19 - ἔτι λαλοῦντος Ἰούδα ταῦτα, ὤφθη μέρος τι ἐκκύπτον ἐκ τοῦ ὄρους·

Α Μακ. 4,19 - Ενῷ ακόμη ο Ιούδας έλεγε προς τους στρατιώτας του αυτά τα λόγια, παρουσιάσθη προβάλλον από το όρος ένα μέρος του στρατού του Γοργίου.

Α Μακ. 4,20 - καὶ εἶδεν ὅτι τετρόπωνται, καὶ ἐμπυρίζουσι τὴν παρεμβολήν· ὁ γὰρ καπνὸς ὁ θεωρούμενος ἐνεφάνιζε τὸ γεγονός.

Α Μακ. 4,20 - Οι αλλοεθνείς στρατιώται είδαν, ότι οι ιδικοί των είχαν κατατροπωθή και ότι οι Ιουδαίοι είχον παραδώσει στο πυρ το στρατόπεδόν των, διότι ο καπνός, τον οποίον έβλεπαν, επιστοποιούσε το γεγονός αυτό.

Α Μακ. 4,21 - οἱ δὲ ταῦτα συνιδόντες ἐδειλώθησαν σφόδρα· συνιδόντες δὲ καὶ τὴν Ἰούδα παρεμβολὴν ἐν τῷ πεδίῳ ἑτοίμην εἰς παράταξιν,

Α Μακ. 4,21 - Οι Συροι, όταν είδον αυτά, κατελήφθησαν από πολύ μεγάλην δειλίαν· επειδή δε διέκριναν και την στρατιωτικήν δύναμιν του Ιούδα εις την πεδιάδα ετοίμην προς μάχην,

Α Μακ. 4,22 - ἔφυγον πάντες εἰς γῆν ἀλλοφύλων.

Α Μακ. 4,22 - ετράπησαν εις φυγήν όλοι προς την χώραν των Φιλισταίων.

Α Μακ. 4,23 - καὶ ἀνέστρεψεν Ἰούδας ἐπὶ τὴν σκυλείαν τῆς παρεμβολῆς, καὶ ἔλαβον χρυσίον πολὺ καὶ ἀργύριον καὶ ὑάκινθον καὶ πορφύραν θαλασσίαν καὶ πλοῦτον μέγαν.

Α Μακ. 4,23 - Ο Ιούδας χωρίς πλέον να καταδιώξη αυτούς επανήλθε με τους στρατιώτας του, δια να λαφυραγωγήσουν το εχθρικόν στρατόπεδον. Εκεί ευρήκαν πράγματι και επήραν πολύν χρυσόν και άργυρον, υφάσματα υακίνθινα και αλλά βαμμένα με πορφύραν θαλασσίαν και πολύν πλούτον.

Α Μακ. 4,24 - καὶ ἐπιστραφέντες ὕμνουν καὶ εὐλόγουν εἰς οὐρανὸν ὅτι καλόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Α Μακ. 4,24 - Καθώς επέστρεφαν από την μάχην αυτήν υμνολογούσαν τον Θεόν και ευλογούσαν αυτόν επαναλαμβάνοντες ως επωδόν του ύμνου των την φράσιν· “ότι καλόνι ότι στον αιώνα το έλεος αυτού”.

Α Μακ. 4,25 - καὶ ἐγένετο σωτηρία μεγάλη τῷ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Α Μακ. 4,25 - Ετσι δε επραγματοποιήθη μεγάλη σωτηρία στον ισραηλιτικόν λαόν κατά την ημέραν εκείνην.

Α Μακ. 4,26 - Ὅσοι δὲ τῶν ἀλλοφύλων διεσώθησαν, παραγενηθέντες ἀπήγγειλαν τῷ Λυσίᾳ πάντα τὰ συμβεβηκότα.

Α Μακ. 4,26 - Οσοι από τους εχθρούς διεσώθησαν, ήλθαν και ανήγγειλαν στον Λυσίαν όλα τα τραγικά αυτά γεγονότα.

Α Μακ. 4,27 - ὁ δὲ ἀκούσας συνεχύθη καὶ ἠθύμει, ὅτι οὐχ οἷα ἤθελε, τοιαῦτα γεγόνει τῷ Ἰσραήλ, καὶ οὐχ οἷα ἐνετείλατο αὐτῷ ὁ βασιλεύς, τοιαῦτα

ἐξέβη.

Α Μακ. 4,27 - Ο Λυσίας, όταν τα ήκουσε, περιέπεσεν εις σύγχυσιν και αθυμίαν, διότι δεν επραγματοποιήθησαν εναντίον των Ισραηλιτών εκείνα, τα οποία αυτός ήθελε και τα πράγματα δεν εξειλίχθησαν, όπως είχε δώσει εντολήν ο βασιλεύς Αντίοχος.

Α Μακ. 4,28 - καὶ ἐν τῷ ἐχομένῳ ἐνιαυτῷ συνελόχισεν ὁ Λυσίας ἀνδρῶν ἐπιλέκτων ἑξήκοντα χιλιάδας καὶ πεντακισχιλίαν ἵππον, ὥστε ἐκπολεμῆσαι αὐτούς.

Α Μακ. 4,28 - Κατά το επόμενον έτος ο Λυσίας εστρατολόγησεν εκλεκτούς άνδρας εξήκοντα χιλιάδας και πέντε χιλιάδας ιππείς, δια να καταπολεμήση και νικήση οριστικώς τους Ιουδαίους

Α Μακ. 4,29 - καὶ ἦλθον εἰς τὴν Ἰδουμαίαν καὶ παρενέβαλον ἐν Βαιθσούροις, καὶ συνήντησεν αὐτοῖς Ἰούδας ἐν δέκα χιλιάσιν ἀνδρῶν.

Α Μακ. 4,29 - Αυτοί ήλθαν εις την Ιδουμαίαν και εστρατοπέδευσαν εις Βαιθσούραν. Ο Ιούδας εξήλθεν εναντίον αυτών με δέκα χιλιάδες ανδρών.

Α Μακ. 4,30 - καὶ εἶδε τὴν παρεμβολὴν ἰσχυρὰν καὶ προσηύξατο καὶ εἶπεν· εὐλογητὸς εἶ ὁ σωτὴρ τοῦ Ἰσραὴλ ὁ συντρίψας τὸ ὅρμημα τοῦ δυνατοῦ ἐν χειρὶ τοῦ δούλου σου Δαυὶδ καὶ παρέδωκας τὴν παρεμβολὴν τῶν ἀλλοφύλων εἰς χεῖρας Ἰωνάθαν υἱοῦ Σαοὺλ καὶ τοῦ αἴροντος τὰ σκεύη αὐτοῦ·

Α Μακ. 4,30 - Είδε την ισχυράν αυτήν στρατιωτικήν δύναμιν, προσηυχήθη προς τον Θεόν και είπεν· “Ευλογημένος είσαι συ, Κυριε, ο σωτήρ του ισραηλιτικού λαού, ο οποίος κάποτε άλλοτε συνέτριψας την δύναμιν του ισχυρού Γολιάθ με το χέρι του δούλου σου του Δαυίδ. Εις άλλην δε περίστασιν παρέδωκες υλοκληρον το στρατόπεδον των Φιλισταίων εις τα χέρια του Ιωνάθαν, υιού του Σαούλ, και του υπασπιστού του.

Α Μακ. 4,31 - οὕτω σύγκλεισον τὴν παρεμβολὴν ταύτην ἐν χειρὶ λαοῦ σου Ἰσραήλ, καὶ αἰσχυνθήτωσαν ἐπὶ τῇ δυνάμει καὶ τῇ ἵππῳ αὐτῶν·

Α Μακ. 4,31 - Ετσι και τώρα κλείσε από όλα τα μέρη και παράδωσε εις τα χέρια του ισραηλιτικού λαού σου την στρατιωτικήν αυτήν δύναμιν. Οι δε εχθροί νικημένοι ας κατεντροπιαστούν παρ' όλην αυτών την μεγάλην δύναμιν πεζικού και ιππικού.

Α Μακ. 4,32 - δὸς αὐτοῖς δειλίαν καὶ τῆξον θράσος ἰσχύος αὐτῶν, καὶ σαλευθήτωσαν τῇ συντριβῇ αὐτῶν·

Α Μακ. 4,32 - Βαλε εις αυτούς δειλίαν, διάλυσε το θράσος και την εμπιστοσύνην των εις την μεγάλην των δύναμιν, στείλε κλονισμόν και σύγχυσιν κατά την συντριβήν των,

Α Μακ. 4,33 - κατάβαλε αὐτοὺς ῥομφαίᾳ ἀγαπώντων σε, καὶ αἰνεσάτωσάν σε πάντες οἱ εἰδότες τὸ ὄνομά σου ἐν ὕμνοις.

Α Μακ. 4,33 - κατάβαλε αυτούς δια της ρομφαίας εκείνων, οι οποίοι σε αγαπούν, και όλοι όσοι πιστεύουν και λατρεύουν το δοξασμένον σου Ονομα ας σε δοξολογήσουν με ύμνους ευχαριστίας”.

Α Μακ. 4,34 - καὶ συνέβαλον ἀλλήλοις, καὶ ἔπεσον ἐκ τῆς παρεμβολῆς Λυσίου εἰς πεντακισχιλίους ἄνδρας καὶ ἔπεσον ἐξ ἐναντίας αὐτῶν.

Α Μακ. 4,34 - Οι δύο στρατοί συνεκρούσθησαν. Από το στρατόπεδον του Λυσίου έπεσαν πέντε χιλιάδες άνδρες νεκροί ενώπιον των Ισραηλιτών.

Α Μακ. 4,35 - ἰδὼν δὲ Λυσίας τὴν γενομένην τροπὴν τῆς αὐτοῦ συντάξεως, τῆς δὲ Ἰούδα τὸ γεγενημένον θάρσος καὶ ὡς ἕτοιμοί εἰσιν ἢ ζῆν ἢ τεθνάναι γενναίως, ἀπῇρεν εἰς Ἀντιόχειαν καὶ ἐξενολόγει, καὶ πλεονάσας τὸν γενηθέντα στρατὸν ἐλογίζετο πάλιν παραγενέσθαι εἰς τὴν Ἰουδαίαν.

Α Μακ. 4,35 - Ο Λυσίας, όταν είδε την κατατρόπωσιν και συντριβήν του στρατού του, εξ άλλου δε διεπίστωσε και το ατρόμητον θάρρος των στρατιωτών του Ιούδα, και ότι εκείνοι είναι έτοιμοι να ζήσουν ελεύθεροι η να αποθάνουν γενναίως μαχόμενοι, ανεχώρησε δια την Αντιόχειαν. Κατά την επάνοδόν του εστρατολογούσε διαφόρους ξένους άνδρας. Οταν δε ο στρατός του ηυξήθη πολύ, εσκέφθη και πάλιν να επανέλθη εναντίον της Ιουδαίας.

Α Μακ. 4,36 - Εἶπε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ· ἰδοὺ συνετρίβησαν οἱ ἐχθροὶ ἡμῶν, ἀναβῶμεν καθαρίσαι τὰ ἅγια καὶ ἐγκαινίσαι.

Α Μακ. 4,36 - Επειτα από τα γεγονότα αυτά είπεν ο Ιούδας και οι αδελφοί του· “ιδού οι εχθροί μας έχουν συντριβή, ας αναβώμεν, λοιπόν, εις Ιεροσόλυμα, δια να καθαρίσωμεν τον ιερόν τόπον του ναού μας και κατόπιν να κάμωμεν εγκαίνια νέα.

Α Μακ. 4,37 - καὶ συνήχθη ἡ παρεμβολὴ πᾶσα καὶ ἀνέβησαν εἰς ὄρος Σιών.

Α Μακ. 4,37 - Συνεκεντρώθησαν τότε όλοι οι στρατιώται των Ιουδαίων και ανέβησαν στο όρος Σιών.

Α Μακ. 4,38 - καὶ εἶδον τὸ ἁγίασμα ἠρημωμένον καὶ τὸ θυσιαστήριον βεβηλωμένον καὶ τὰς πύλας κατακεκαυμένας καὶ ἐν ταῖς αὐλαῖς φυτὰ πεφυκότα ὡς ἐν δρυμῷ ἢ ὡς ἑνὶ τῶν ὀρέων καὶ τὰ παστοφόρια καθῃρημένα.

Α Μακ. 4,38 - Είδον δε εκεί τον ιερόν ναόν έρημον, το θυσιαστήριον των ολοκαυτωμάτων βεβηλωμένον, τας θύρας του ναού καμμένας από τον εμπρησμόν και εις τας αυλάς του ναού είχαν φυτρώσει χορτάρια, όπως στο δάσος η εις κανένα όρος. Επίσης τα δωμάτια τα παραπλεύρως του ναού ήσαν κρημνισμένα.

Α Μακ. 4,39 - καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐκόψαντο κοπετὸν μέγαν καὶ ἐπέθεντο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῶν

Α Μακ. 4,39 - Επόνεσεν η καρδιά των, και επάνω στο πένθος των διέρρηξαν τα ιμάτιά των, έβαλαν στάκτην εις την κεφαλήν των

Α Μακ. 4,40 - καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ ἐσάλπισαν ταῖς σάλπιγξι τῶν σημασιῶν καὶ ἐβόησαν εἰς τὸν οὐρανόν.

Α Μακ. 4,40 - και έπεσαν με το πρόσωπον κατά γης. Εσάλπισαν τότε αι ιεραί σάλπιγγες τα επίκαιρα συνθήματα και όλοι με θερμήν προσευχήν εβόησαν προς τον Θεόν του ουρανού.

Α Μακ. 4,41 - τότε ἐπέταξεν Ἰούδας ἄνδρας πολεμεῖν τοὺς ἐν τῇ ἄκρᾳ, ἕως ἂν καθαρίσῃ τὰ ἅγια.

Α Μακ. 4,41 - Ο Ιούδας διέταξε κατά την ώραν εκείνην ένα τμήμα από τους στρατιώτας του να πολεμή τους Συρους, οι οποίοι ήσαν κλεισμένοι εις την ακρόπολιν της Ιερουσαλήμ, έως ότου φροντίση αυτός και φέρη εις πέρας σύμφωνα με τον Νομον τον καθαρισμόν των αγίων τόπων.

Α Μακ. 4,42 - καὶ ἐπέλεξεν ἱερεῖς ἀμώμους θελητὰς νόμου,

Α Μακ. 4,42 - Κατόπιν εξέλεξεν ιερείς αρτιμελείς και υγιείς σωματικώς και ζηλωτάς του Νομου.

Α Μακ. 4,43 - καὶ ἐκαθάρισαν τὰ ἅγια καὶ ᾖραν τοὺς λίθους τοῦ μιασμοῦ εἰς τόπον ἀκάθαρτον.

Α Μακ. 4,43 - Αυτοί εκαθάρισαν τον ναόν, εσήκωσαν και επέταξαν τους μολυσμένους, λίθους εις τόπον ακάθαρτον.

Α Μακ. 4,44 - καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως τοῦ βεβηλωμένου, τί αὐτῷ ποιήσωσι·

Α Μακ. 4,44 - Εσκέφθησαν δε και δια το θυσιαστήριον των ολοκαυτωμάτων, που είχε και αυτό βεβηλωθή, τι έπρεπε να κάμουν.

Α Μακ. 4,45 - καὶ ἐπέπεσεν αὐτοῖς βουλὴ ἀγαθὴ καθελεῖν αὐτό, μήποτε γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι ἐμίαναν τὰ ἔθνη αὐτό· καὶ καθεῖλον τὸ θυσιαστήριον.

Α Μακ. 4,45 - Τους ήλθεν η καλή έμπνευσις και απόφασις να το κρημνίσουν, διότι εάν το άφηναν έτσι μολυσμένον από τους ειδωλολάτρας, ίσως να εγίνετο αφορμή χλευασμού δι' αυτούς τους ιδίους και άλλων ακόμη δυστυχημάτων. Πράγματι εκρήμνισαν το θυσιαστήριον.

Α Μακ. 4,46 - καὶ ἀπέθεντο τοὺς λίθους ἐν τῷ ὄρει τοῦ οἴκου ἐν τόπῳ ἐπιτηδείῳ μέχρι τοῦ παραγενηθῆναι προφήτην τοῦ ἀποκριθῆναι περὶ αὐτῶν.

Α Μακ. 4,46 - Τους λίθους του θυσιαστηρίου μετέφεραν και απέθεσαν εις ένα μέρος του λόφου εις κατάλληλον τόπον, εν αναμονή προφήτου του Θεού, ο οποίος θα καθωδηγούσε αυτούς, τι πρέπει να τους κάμουν.

Α Μακ. 4,47 - καὶ ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νόμον καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον καινὸν κατὰ τὸ πρότερον.

Α Μακ. 4,47 - Επειτα επήραν άλλους λίθους, σύμφωνα με τον Νομον ακατεργάστους, και ανοικοδόμησαν νέον θυσιαστήριον όμοιον προς το προηγούμενον.

Α Μακ. 4,48 - καὶ ᾠκοδόμησαν τὰ ἅγια καὶ τὰ ἐντὸς τοῦ οἴκου καὶ τὰς αὐλὰς ἡγίασαν.

Α Μακ. 4,48 - Επίσης ανοικοδόμησαν τους ιερούς τόπους, το εσωτερικόν του ναού, εκαθάρισαν δε και ηγίασαν και τας αυλάς του ναού.

Α Μακ. 4,49 - καὶ ἐποίησαν σκεύη ἅγια καινὰ καὶ εἰσήνεγκαν τὴν λυχνίαν καὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων καὶ τὴν τράπεζαν εἰς τὸν ναόν.

Α Μακ. 4,49 - Κατεσκεύασαν νέα ιερά σκεύη, έφεραν εντός του ναού την λυχνίαν, το θυσιαστήριον των θυμιαμάτων και την τράπεζαν της προθέσεως.

Α Μακ. 4,50 - καὶ ἐθυμίασαν ἐπὶ τὸ θυσιαστήριον καὶ ἐξῆψαν τοὺς λύχνους τοὺς ἐπὶ τῆς λυχνίας, καὶ ἐφαίνοσαν ἐν τῷ ναῷ.

Α Μακ. 4,50 - Προσέφεραν κατόπιν επάνω στο θυσιαστήριον των θυμιαμάτων θυμίαμα, ήναψαν τους λύχνους, οι οποίοι ευρίσκοντο επάνω εις την λυχνίαν, και ετσι εφώτισαν τον ναόν.

Α Μακ. 4,51 - καὶ ἐπέθηκαν ἐπὶ τὴν τράπεζαν ἄρτους καὶ ἐξεπέτασαν τὰ καταπετάσματα καὶ ἐτέλεσαν πάντα τὰ ἔργα, ἃ ἐποίησαν.

Α Μακ. 4,51 - Εθεσαν επάνω εις την τράπεζαν της προθέσεως τους άρτους, εκρέμασαν και ανεπέτασαν τα παραπετάσματα και γενικώς ετέλεσαν όλα τα έργα, τα οποία είχαν αναλάβει να κάμουν.

Α Μακ. 4,52 - καὶ ὤρθρισαν τὸ πρωΐ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐνάτου (οὗτος ὁ μὴν Χασελεῦ) τοῦ ὀγδόου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ ἔτους

Α Μακ. 4,52 - Εσηκώθηκαν δε λίαν πρωί κατά την εικοστήν πέμπτην του εννάτου μηνός (αυτός ο μην λέγεται Χασελεύ) κατά το εκατοστόν τεσσαρακοστόν όγδοον έτος της χρονολογίας των Σελευκιδών,

Α Μακ. 4,53 - καὶ ἀνήνεγκαν θυσίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων τὸ καινόν, ὃ ἐποίησαν.

Α Μακ. 4,53 - και προσέφεραν θυσίας σύμφωνα με τον μωσαϊκόν νόμον επάνω στο νέον θυσιαστήριον των ολοκαυτωμάτων, το οποίον είχαν ανοικοδομήσει.

Α Μακ. 4,54 - κατὰ τὸν καιρὸν καὶ κατὰ τὴν ἡμέραν, ἐν ᾗ ἐβεβήλωσαν αὐτὸ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν ᾠδαῖς καὶ κιθάραις καὶ κινύραις καὶ ἐν κυμβάλοις.

Α Μακ. 4,54 - Κατά τον τον αυτόν μήνα και την αυτήν ημέραν, κατά την οποίαν τα ειδωλολατρικά έθνη είχαν βεβηλώσει το θυσιαστήριον τούτο και τον ναόν, κατά την ιδίαν ημέραν έγιναν τα εγκαίνιά των με ψαλμούς και κιθάρας και άρπας και κύμβαλα.

Α Μακ. 4,55 - καὶ ἔπεσον πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον καὶ προσεκύνησαν καὶ εὐλόγησαν εἰς οὐρανὸν τὸν εὐοδώσαντα αὐτοῖς.

Α Μακ. 4,55 - Ολος δε ο ιουδαϊκός λαός έπεσε με το πρόσωπον κατά γης και προσεκύνησαν τον Θεόν και απηύθυναν ύμνους δοξολογίας προς τον

ουρανόν εις Εκείνον, ο οποίος κατευώδωσε τα έργα των.

Α Μακ. 4,56 - καὶ ἐποίησαν τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου ἡμέρας ὀκτὼ καὶ προσήνεγκαν ὁλοκαυτώματα μετ᾿ εὐφροσύνης καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ αἰνέσεως.

Α Μακ. 4,56 - Διήρκεσαν τα εγκαίνια του θυσιαστηρίου των ολοκαυτωμάτων επί οκτώ ημέρας, κατά τας οποίας προσέφεραν ολοκαυτώματα με μεγάλην χαράν και θυσίας σωτηρίους και δοξολογίας προς τον Θεόν.

Α Μακ. 4,57 - καὶ κατεκόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ στεφάνοις χρυσοῖς καὶ ἀσπιδίσκαις καὶ ἐνεκαίνισαν τὰς πύλας καὶ τὰ παστοφόρια καὶ ἐθύρωσαν αὐτά.

Α Μακ. 4,57 - Εκόσμησαν δε πλουσίως την εμπροσθίαν όψιν του ναού με χρυσούς στεφάνους, με μικράς ασπίδας και έκαμαν τα εγκαίνια των θυρών και των διαμερισμάτων, που ευρίσκοντο παραπλεύρως του ναού, εις τα οποία και ετοποθέτησαν τας θύρας.

Α Μακ. 4,58 - καὶ ἐγενήθη εὐφροσύνη μεγάλη ἐν τῷ λαῷ σφόδρα, καὶ ἀπεστράφη ὄνειδος ἐθνῶν.

Α Μακ. 4,58 - Εγινε δε και επεκράτησε πολύ μεγάλη χαρά μεταξύ του λαού, διότι εξηλείφθη το όνειδος και η καταισχύνη, την οποίαν τα ειδωλολατρικά έθνη είχον επισωρεύσει στον ναόν.

Α Μακ. 4,59 - καὶ ἔστησεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραήλ, ἵνα ἄγωνται αἱ ἡμέραι ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς καιροῖς αὐτῶν ἐνιαυτὸν κατ᾿ ἐνιαυτὸν ἡμέρας ὀκτώ, ἀπὸ τῆς πέμπτης καὶ εἰκάδος τοῦ μηνὸς Χασελεῦ, μετ᾿ εὐφροσύνης καὶ χαρᾶς.

Α Μακ. 4,59 - Ο Ιούδας, οι αδελφοί του και όλος ο λαός των Ισραηλιτών καθιέρωσαν να τελούνται εορταί των εγκαινίων του ναού και του θυσιαστηρίου εις ωρισμένην εποχήν κάθε έτος από της εικοστής πέμπτης του μηνός Χασελεύ επί οκτώ ημέρας με μεγάλην χαράν και ευφροσύνην.

Α Μακ. 4,60 - καὶ ᾠκοδόμησαν ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄρος Σιών, κυκλόθεν τείχη ὑψηλὰ καὶ πύργους ὀχυρούς, μή ποτε παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτά, ὡς ἐποίησαν τὸ πρότερον.

Α Μακ. 4,60 - Κατ' εκείνην δε την εποχήν ανοικοδόμησαν γύρω από τυν λόφον Σιών εν Ιερουσαλήμ υψηλά τείχη και επάνω εις αυτά ύψωσαν υψηλούς πύργους, δια να μη επέλθουν πλέον τα ειδωλολατρικά έθνη, όπως και προηγουμένως έκαναν, και καταπατήσουν τους ιερούς αυτούς τύπους.

Α Μακ. 4,61 - καὶ ἐπέταξεν ἐκεῖ δύναμιν τηρεῖν αὐτὸ καὶ ὠχύρωσαν αὐτὸ τηρεῖν τὴν Βαιθσούραν τοῦ ἔχειν τὸν λαὸν ὀχύρωμα κατὰ πρόσωπον τῆς Ἰδουμαίας.

Α Μακ. 4,61 - Ο Ιούδας εγκατέστησε και ετακτοποίησε τμήμα στρατού εκεί, δια να φρουρή και το ωχύρωσε, δια να φυλάττη την Βαιθσούραν, ώστε

να έχη ο λαός ένα οχυρόν τόπον εναντίον της Ιδουμαίας.

Α ΜΑΚΚΑΒΑΙΩΝ 5

Α Μακ. 5,1 - Καὶ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομήθη τὸ θυσιαστήριον καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τὸ πρότερον, καὶ ὠργίσθησαν σφόδρα

Α Μακ. 5,1 - Οταν τα γύρω από την Ιουδαίαν ειδωλολατρικά έθνη επληροφορήθησαν, ότι ανοικοδομήθη το θυσιαστήριον των ολοκαυτωμάτων, ότι έγινεν η αποκατάστασις του ναού, όπως ήτο προηγουμένως και ετελέσθησαν και τα εγκαίνια αυτού, ωργίσθησαν πάρα πολύ.

Α Μακ. 5,2 - καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ἰακὼβ τοὺς ὄντας ἐν μέσῳ αὐτῶν καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ λαῷ καὶ ἐξαίρειν.

Α Μακ. 5,2 - Εσκέφθησαν, λοιπόν, και απεφάσισαν να εξολοθρεύσουν το γένος των Ισραηλιτών, τους Ιουδαίους, οι οποίοι ευρίσκοντο μεταξύ αυτών. Ηρχισαν δε και να θανατώνουν πολλούς μεταξύ του λαού και να τους εξολοθρεύουν.

Α Μακ. 5,3 - καὶ ἐπολέμει Ἰούδας πρὸς τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ Ἰδουμαίᾳ, τὴν Ἀκραβαττήνην, ὅτι περιεκάθηντο τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην καὶ συνέστειλεν αὐτοὺς καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν.

Α Μακ. 5,3 - Ο Ιούδας ήρχισε τον πόλεμόν του εναντίον των απογόνων του Ησαύ εις την Ιδουμαίαν και συγκεκριμένως εις την Ακραβαττήνην, διότι εκεί είχον περικλείσει ως εις κλοιόν τους Ισραηλίτας. Εκτύπησεν αυτούς και τους επέφερε μεγάλην φθοράν, τους εταπείνωσε και επήρε λάφυρα από αυτούς.

Α Μακ. 5,4 - καὶ ἐμνήσθη τῆς κακίας υἱῶν Βαιάν, οἳ ἦσαν τῷ λαῷ εἰς παγίδα καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν αὐτοὺς ἐν ταῖς ὁδοῖς·

Α Μακ. 5,4 - Ο Ιούδας ενεθυμήθη επίσης την κακότητα των υιών του Βαιάν, οι οποίοι είχαν καταντήσει παγίς δια τον Ισραηλιτικόν λαόν και κίνδυνος με τας ενέδρας, τας οποίας έστηναν στους δρόμους εναντίον των Ισραηλιτών.

Α Μακ. 5,5 - καὶ συνεκλείσθησαν ὑπ᾿ αὐτοῦ ἐν τοῖς πύργοις, καὶ παρενέβαλεν ἐπ᾿ αὐτοὺς καὶ ἀνεθεμάτισεν αὐτοὺς καὶ ἐνεπύρισε τοὺς πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐνοῦσι.

Α Μακ. 5,5 - Τους περιεκύκλωσεν στους πύργους των, παρετάχθη εναντίον αυτών και τους παρέδωσεν στο ανάθεμα. Επειτα δε έθεσε πυρ στους πύργους της πόλεώς των, κατέκαυσεν αυτούς μαζή με όλους όσοι ευρίσκοντο έντος αυτών.

Α Μακ. 5,6 - καὶ διεπέρασεν ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ εὗρε χεῖρα κραταιὰν καὶ λαὸν πολὺν καὶ Τιμόθεον ἡγούμενον αὐτῶν·

Α Μακ. 5,6 - Επειτα διεπέρασε και ήλθεν εναντίον των Αμμωνιτών. Εκεί όμως ευρήκεν ισχυράν δύναμιν στρατού και λαόν πολυάριθμον με αρχηγόν όλων αυτών τον Τιμόθεον.

Α Μακ. 5,7 - καὶ συνῆψε πρὸς αὐτοὺς πολέμους πολλούς, καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐτούς.

Α Μακ. 5,7 - Συνήψε πολλάς μάχας εναντίον αυτών, εκείνοι εν τέλει συνετρίβησαν ενώπιόν του και αυτός τους κατέκοψε.

Α Μακ. 5,8 - καὶ προκατελάβετο τὴν Ἰαζὴρ καὶ τὰς θυγατέρας αὐτῆς καὶ ἀνέστρεψεν εἰς τὴν Ἰουδαίαν.

Α Μακ. 5,8 - Κατέλαβεν επίσης την πάλιν Ιαζήρ και τας εξαρτωμένας από αυτήν, ως θυγατέρας της, κώμας και κατόπιν επέστρεψεν εις την Ιουδαίαν.

Α Μακ. 5,9 - Καὶ ἐπισυνήχθησαν τὰ ἔθνη τὰ ἐν τῇ Γαδαὰδ ἐπὶ τὸν Ἰσραὴλ τοὺς ὄντας ἐπὶ τοῖς ὁρίοις αὐτῶν τοῦ ἐξᾶραι αὐτούς, καὶ ἔφυγον εἰς Δάθεμα τὸ ὀχύρωμα.

Α Μακ. 5,9 - Τα άλλα ειδωλολατρικά έθνη, τα οποία ευρίσκοντο εις την περιοχήν Γαλαάδ, συνεκεντρώθησαν και επετέθησαν εναντίον των Ισραηλιτών, οι οποίοι ευρίσκοντο έντος της χώρας των, δια να τους εξαφανίσουν. Οι Ιουδαίοι, οι οποίοι ευρίσκοντο εις την περιοχήν Γαλαάδ, κατέφυγον εις ένα οχυρόν, την Δαθεμα.

Α Μακ. 5,10 - καὶ ἀπέστειλαν γράμματα πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λέγοντες· ἐπισυνηγμένα ἐστὶν ἐφ᾿ ἡμᾶς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν τοῦ ἐξᾶραι ἡμᾶς

Α Μακ. 5,10 - Από εκεί έστειλαν επιστολάς προς τον Ιούδαν και τους αδελφούς του, προς τους οποίους έγραφαν· “τα ειδωλολατρικά έθνη, τα οποία ευρίσκονται γύρω μας, έχουν συγκεντρωθή εναντίον μας, δια να μας εξολοθρεύσουν.

Α Μακ. 5,11 - καὶ ἑτοιμάζονται ἐλθεῖν καὶ προκαταλαβέσθαι τὸ ὀχύρωμα, εἰς ὃ κατεφύγομεν, καὶ Τιμόθεος ἡγεῖται τῆς δυνάμεως αὐτῶν·

Α Μακ. 5,11 - Ετοιμάζονται να έλθουν και να καταλάβουν το οχύρωμα, στο οποίον δια λόγους ασφαλείας κατεφύγαμεν. Ο Τιμόθεος δε είναι αρχηγός αυτού του στρατού.

Α Μακ. 5,12 - νῦν οὖν ἐλθὼν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς αὐτῶν, ὅτι πέπτωκεν ἐξ ἡμῶν πλῆθος,

Α Μακ. 5,12 - Τωρα, λοιπόν, έλα, δια να μας γλυτώσης από τα χέρια αυτών, διότι μέχρι σήμερον ένα πολύ πλήθος ιδικών μας ανθρώπων έχει φονευθή.

Α Μακ. 5,13 - καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν οἱ ὄντες ἐν τοῖς Τωβίου τεθανάτωνται, καὶ ᾐχμαλωτίκασι τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα καὶ τὴν ἀποσκευήν, καὶ ἀπώλεσαν ἐκεῖ ὡσεὶ μίαν χιλιαρχίαν ἀνδρῶν.

Α Μακ. 5,13 - Και όλοι οι αδελφοί μας, οι οποίοι ευρίσκονται εις την χώραν του Τωβίου, την Τωβ, εφονεύθησαν, αι δε γυναίκες των έχουν απαχθή αιχμάλωτοι από τους εχθρούς μας, όπως επίσης και τα τέκνα των. Αι περιουσίαι των έχουν λαφυραγωγηθή και έχασαν εκεί φονευθέντας χιλίους περίπου άνδρας".

Α Μακ. 5,14 - ἔτι αἱ ἐπιστολαὶ ἀνεγινώσκοντο, καὶ ἰδοὺ ἄγγελοι ἕτεροι παρεγένοντο ἐκ τῆς Γαλιλαίας διεῤῥηχότες τὰ ἱμάτια ἀπαγγέλλοντες κατὰ τὰ ῥήματα ταῦτα λέγοντες

Α Μακ. 5,14 - Ενῷ ακόμη ανεγινώσκοντο αυταί αι επιστολαί, ιδού κατέφθασαν άλλοι αγγελιαφόροι από την Γαλιλαίαν με διερρηγμένα τα ιμάτιά των και οι οποίοι έφερον παρομοίας προς τας ανωτέρω δυσαρέστους ειδήσεις και έλεγαν·

Α Μακ. 5,15 - ἐπισυνῆχθαι ἐπ᾿ αὐτοὺς ἐκ Πτολεμαΐδος καὶ Τύρου καὶ Σιδῶνος καὶ πάσης Γαλιλαίας ἀλλοφύλων τοῦ ἐξαναλῶσαι ἡμᾶς.

Α Μακ. 5,15 - "Εχουν συγκεντρωθή από την Πτολεμαΐδα, την Τυρον, την Σιδώνα και από όλην την Γαλιλαίαν των ειδωλολατρικών εθνών άνδρες πολεμισταί, δια να μας εξολοθρεύσουν".

Α Μακ. 5,16 - ὡς δὲ ἤκουσεν Ἰούδας καὶ ὁ λαὸς τοὺς λόγους τούτους, ἐπισυνήχθη ἐκκλησία μεγάλη βουλεύσασθαι τί ποιήσωσι τοῖς ἀδελφοῖς αὐτῶν, τοῖς οὖσιν ἐν θλίψει καὶ πολεμουμένοις ὑπ᾿ αὐτῶν.

Α Μακ. 5,16 - Οταν ο Ιούδας και ο Ισραηλιτικός λαός ήκουσαν τας ειδήσεις αυτάς, συνηθροίσθησαν εις μεγάλην συγκέντρωσιν, δια να σκεφθούν και αποφασίσουν, τι πρέπει να κάμουν υπέρ των αδελφών των αυτών, οι οποίοι ευρίσκοντο εις τόσον μεγάλην θλίψιν πολεμούμενοι από τους εχθρούς των.

Α Μακ. 5,17 - καὶ εἶπεν Ἰούδας Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ· ἐπίλεξον σεαυτῷ ἄνδρας καὶ πορεύου καὶ ῥῦσαι τοὺς ἀδελφούς σου τοὺς ἐν τῇ Γαλιλαίᾳ· ἐγὼ δὲ καὶ Ἰωνάθαν ὁ ἀδελφός μου πορευσόμεθα εἰς τὴν Γαλααδῖτιν.

Α Μακ. 5,17 - Ο Ιούδας είπεν στον αδελφόν του τον Σιμωνα· "διάλεξε και πάρε υπό την αρχηγίαν σου εκλεκτούς πολεμιστάς άνδρας και πήγαινε να γλυτώσης τους αδελφούς σου, που ευρίσκονται εις την Γαλιλαίαν. Εγώ δε και ο Ιωνάθαν ο αδελφός μου θα μεταβώμεν εις την χώραν Γαλαάδ".

Α Μακ. 5,18 - καὶ κατέλιπεν Ἰώσηφον τὸν τοῦ Ζαχαρίου καὶ Ἀζαρίαν ἡγουμένους τοῦ λαοῦ μετὰ τῶν ἐπιλοίπων τῆς δυνάμεως ἐν τῇ Ἰουδαίᾳ εἰς τήρησιν

Α Μακ. 5,18 - Αφήκε δε ο Ιούδας τον Ιώσηφον, υιόν του Ζαχαρίου, και τον Αζαρίαν αρχηγούς του λαού, ίνα με την υπόλοιπον στρατιωτικήν δύναμιν περιφρουρούν την Ιουδαίαν από ενδεχομένας επιθέσεις των εχθρών.

Α Μακ. 5,19 - καὶ ἐνετείλατο αὐτοῖς λέγων· πρόστητε τοῦ λαοῦ τούτου καὶ μὴ συνάψητε πόλεμον πρὸς τὰ ἔθνη ἕως τοῦ ἐπιστρέψαι ἡμᾶς.

Α Μακ. 5,19 - Τους έδωσε δε και αυτήν την εντολήν και είπε· “Θα είσθε οι αρχηγοί του λαού τούτου. Προσέχετε όμως να μη κινήσετε πόλεμον εναντίον των ειδωλολατρικών εθνών, μέχρις ότου επιστρέψωμεν ημείς”.

Α Μακ. 5,20 - καὶ ἐμερίσθησαν Σίμωνι ἄνδρες τρισχίλιοι τοῦ πορευθῆναι εἰς τὴν Γαλιλαίαν, Ἰούδᾳ δὲ ἄνδρες ὀκτακισχίλιοι εἰς τὴν Γαλααδῖτιν.

Α Μακ. 5,20 - Διεμοιράσθη δε η στρατιωτική δύναμις των ανδρών και εις μεν τον Σιμωνα εδόθησαν τρεις χιλιάδες άνδρες, δια να μεταβή εις την Γαλιλαίαν, εις δε τον Ιούδαν εδόθησαν οκτώ χιλιάδες άνδρες, δια να εκστρατευση εις την χώραν Γαλαάδ.

Α Μακ. 5,21 - καὶ ἐπορεύθη Σίμων εἰς τὴν Γαλιλαίαν καὶ συνῆψε πολέμους πολλοὺς πρὸς τὰ ἔθνη, καὶ συνετρίβη τὰ ἔθνη ἀπὸ προσώπου αὐτοῦ,

Α Μακ. 5,21 - Ο Σιμων εβάδισεν εναντίον της Γαλιλαίας, έκαμε πολλούς πολέμους εναντίον των ειδωλολατρικών εθνών, τα δε ειδωλολατρικά έθνη συνετρίβησαν ενώπιόν του.

Α Μακ. 5,22 - καὶ ἐδίωξεν αὐτοὺς ἕως τῆς πύλης Πτολεμαΐδος. καὶ ἔπεσον ἐκ τῶν ἐθνῶν εἰς τρισχιλίους ἄνδρας, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν.

Α Μακ. 5,22 - Ο Σιμων τους κατεδίωξεν έως εις τας πύλας της Πτολεμαΐδος. Επεσαν δε από τα ειδωλολατρικά έθνη τρεις περίπου χιλιάδες άνδρες και επήρε τα λάφυρα αυτών.

Α Μακ. 5,23 - καὶ παρέλαβε τοὺς ἐν τῇ Γαλιλαίᾳ καὶ ἐν Ἀρβάττοις σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις καὶ πάντα, ὅσα ἦν αὐτοῖς, καὶ ἤγαγεν εἰς τὴν Ἰουδαίαν μετ᾿ εὐφροσύνης μεγάλης.

Α Μακ. 5,23 - Ο δε Σιμων επήρε τους Ιουδαίους, που ευρίσκοντο εις την Γαλιλαίαν και εις Αρβαττα, μαζή με τας γυναίκας και τα τέκνα των και με όλα τα υπάρχοντά των, και τους έφερεν εις την Ιουδαίαν με μεγάλην χαράν και αγαλλίασιν.

Α Μακ. 5,24 - καὶ Ἰούδας ὁ Μακκαβαῖος καὶ Ἰωνάθαν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν Ἰορδάνην καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ.

Α Μακ. 5,24 - Εν τω μεταξύ και ο Ιούδας ο Μακκαβαίος μαζή με τον αδελφόν του τον Ιωνάθαν διεπέρασαν τον Ιορδάνην ποταμόν και επορεύθησαν εις κάποιαν έρημον, δρόμον τριών ημέρων.

Α Μακ. 5,25 - καὶ συνήντησαν τοῖς Ναβαταίοις, καὶ ἀπήντησαν αὐτοῖς εἰρηνικῶς καὶ διηγήσαντο αὐτοῖς ἅπαντα τὰ συμβάντα τοῖς ἀδελφοῖς αὐτῶν ἐν τῇ Γαλααδίτιδι.

Α Μακ. 5,25 - Εκεί συνήντησαν τους Ναβαταίους, οι οποίοι τους υπεδέχθησαν ειρηνικώς, και διηγήθησαν εις αυτούς όλα τα γεγονότα, τα οποία συνέβησαν στους αδελφούς των εις την χώραν Γαλαάδ·

Α Μακ. 5,26 - καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημμένοι εἰσὶν εἰς Βόσοῤῥα καὶ Βοσόρ, ἐν Ἀλέμοις, Χασφώρ, Μακὲδ καὶ Καρναΐν, πᾶσαι αἱ πόλεις αὗται ὀχυραὶ καὶ μεγάλαι·

Α Μακ. 5,26 - και ότι πολλοί από αυτούς είναι κλεισμένοι εις Βοσορρα και Βοσόρ, εις Αλέμους, Χασφώρ, Μακέδ και Καρναΐν. Αυταί ήσαν πόλεις μεγάλαι και οχυραί.

Α Μακ. 5,27 - καὶ ἐν ταῖς λοιπαῖς πόλεσι τῆς Γαλααδίτιδός εἰσι συνειλημμένοι καὶ εἰς αὔριον τάσσονται παρεμβάλλειν ἐπὶ τὰ ὀχυρώματα καὶ καταλαβέσθαι καὶ ἐξᾶραι πάντας τούτους ἐν ἡμέρᾳ μιᾷ.

Α Μακ. 5,27 - “Και εις τας άλλας πόλεις της χώρας Γαλαάδ είναι κλεισμένοι Ιουδαίοι, οι δε εχθροί των ετοιμάζονται να κτυπήσουν αύριον τας οχυράς αυτάς πόλεις, να τας καταλάβουν και να εξολοθρεύσουν όλους αυτούς, οι οποίοι ευρίσκονται εις τας πόλεις αυτάς εις μίαν και μόνην ημέραν”.

Α Μακ. 5,28 - καὶ ἀπέστρεψεν Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ ὁδὸν εἰς τὴν ἔρημον Βόσοῤῥα ἄφνω· καὶ κατελάβετο τὴν πόλιν καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας καὶ ἔλαβε πάντα τὰ σκῦλα αὐτῶν καὶ ἐνέπρησεν αὐτὴν πυρί.

Α Μακ. 5,28 - Κατόπιν των πληροφοριών αυτών ο Ιούδας και ο στρατός του ήλλαξαν κατεύθυνσιν, εστράφησαν προς την έρημον και ενεφανίσθησαν αιφνιδίως εμπρός εις Βοσορα. Κατέλαβον την πόλιν και επέρασαν εν στόματι μαχαίρας όλα τα αρσενικά, επήραν όλα τα λάφυρα των κατοίκων της πόλεως και παρέδωσαν στο πυρ την πόλιν.

Α Μακ. 5,29 - καὶ ἀπῆρεν ἐκεῖθεν νυκτός, καὶ ἐπορεύετο ἕως ἐπὶ τὸ ὀχύρωμα·

Α Μακ. 5,29 - Από εκεί εν καιρώ νυκτός ανεχώρησεν ο Ιούδας και εβάδισε προς το οχυρόν το λεγόμενον Δαθεμα.

Α Μακ. 5,30 - καὶ ἐγένετο ἑωθινῇ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ ἰδοὺ λαὸς πολύς, οὗ οὐκ ἦν ἀριθμός, αἴροντες κλίμακας καὶ μηχανὰς καταλαβέσθαι τὸ ὀχύρωμα καὶ ἐπολέμουν αὐτούς.

Α Μακ. 5,30 - Κατά την πρωΐαν εσήκωσαν τα μάτια των οι στρατιώται του Ιούδα του Μακκαβαίου και είδαν πολύν εχθρικόν στρατόν, του οποίου δεν ήτο δυνατόν να υπολογισθή ο αριθμός. Αυτοί, λοιπόν, έφεραν κλίμακας και πολιορκητικάς μηχανάς και επεχείρουν να καταλάβουν το οχυρωμα. Επολεμούσαν εναντίον των Ιουδαίων, που ήσαν κλεισμένοι εις αυτό.

Α Μακ. 5,31 - καὶ εἶδεν Ἰούδας ὅτι ἦρκται ὁ πόλεμος καὶ ἡ κραυγὴ τῆς πόλεως ἀνέβη εἰς τὸν οὐρανὸν σάλπιγξι καὶ φωνῇ μεγάλῃ,

Α Μακ. 5,31 - Οταν ο Ιούδας ο Μακκαβαίος είδεν ότι είχεν αρχίσει η μάχη και ότι η κραυγή των Ιουδαίων, που ευρίσκοντο στο οχύρωμα, ήτο τόσον μεγάλη, ώστε μαζή με τον ήχον των σαλπίγγων έφθαναν έως στον ουρανόν,

Α Μακ. 5,32 - καὶ εἶπε τοῖς ἀνδράσι τῆς δυνάμεως· πολεμήσατε σήμερον ὑπὲρ τῶν ἀδελφῶν ὑμῶν.

Α Μακ. 5,32 - είπεν στους άνδρας της δυνάμεώς του “πολεμήσατε σήμερον υπέρ των αδελφών μας”.

Α Μακ. 5,33 - καὶ ἐξῆλθεν ἐν τρισὶν ἀρχαῖς ἐξόπισθεν αὐτῶν, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι καὶ ἐβόησαν ἐν προσευχῇ.

Α Μακ. 5,33 - Ο Ιούδας ο Μακκαβαίος επροχώρησε με τα τρία σώματα του στρατού του όπισθεν από τους εχθρούς. Κατόπιν οι Ιουδαίοι εσάλπισαν με τας σάλπιγγάς των και προσηυχήθησαν με φωνήν μεγάλην προς τον Θεόν.

Α Μακ. 5,34 - καὶ ἐπέγνω ἡ παρεμβολὴ Τιμοθέου ὅτι Μακκαβαῖός ἐστι, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ ἔπεσον ἐξ αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς ὀκτακισχιλίους ἄνδρας.

Α Μακ. 5,34 - Αμέσως δε μόλις ο στρατός του Τιμοθέου αντελήφθη, ότι ο Ιούδας ο Μακκαβαίος είναι ο πολεμών αυτούς, κατελήφθησαν από φόβον και έφυγον από εμπρός του. Ο δε Ιούδας ο Μακκαβαίος με τους στρατιώτας του επέφερεν μεγάλην φθοράν εις αυτούς. Επεσαν από αυτούς κατ' εκείνην την ημέραν οκτώ χιλιάδες άνδρες.

Α Μακ. 5,35 - καὶ ἀπέκλινεν εἰς Μααφὰ καὶ ἐπολέμησεν αὐτὴν καὶ προκατελάβετο αὐτὴν καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν αὐτῆς καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς καὶ ἐνέπρησεν αὐτὴν πυρί.

Α Μακ. 5,35 - Από εκεί ο Ιούδας εστράφη και επορεύθη εις Μααφά, επολέμησε την πόλιν, την κατέλαβε και εφόνευσεν όλα τα αρσενικά αυτής, επήρε τα λάφυρά της και την παρέδωσεν στο πυρ.

Α Μακ. 5,36 - ἐκεῖθεν ἀπῆρε καὶ προκατελάβετο τὴν Χασφών, Μακέδ, Βοσὸρ καὶ τὰς λοιπὰς πόλεις τῆς Γαλααδίτιδος.

Α Μακ. 5,36 - Από εκεί ανεχώρησε και κατέλαβε την Χασφών, την Μακέδ, την Βοσόρ και όλας τας άλλας πόλεις της χώρας Γαλαάδ.

Α Μακ. 5,37 - μετὰ δὲ τὰ ῥήματα ταῦτα συνήγαγε Τιμόθεος παρεμβολὴν ἄλλην καὶ παρενέβαλε κατὰ πρόσωπον Ῥαφὼν ἐκ πέραν τοῦ χειμάῤῥου.

Α Μακ. 5,37 - Επειτα από όλα αυτά τα γεγονότα ο Τιμόθεος συνεκέντρωσε νέαν στρατιωτικήν δύναμιν και εστρατοπέδευσεν απέναντι της Ραφών, πέραν από κάποιον χείμαρρον.

Α Μακ. 5,38 - καὶ ἀπέστειλεν Ἰούδας κατασκοπεῦσαι τὴν παρεμβολήν, καὶ ἀπήγγειλαν αὐτῷ λέγοντες· ἐπισυνηγμένα εἰσὶ πρὸς αὐτοὺς πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν, δύναμις πολλὴ σφόδρα·

Α Μακ. 5,38 - Ο Ιούδας έστειλε μερικούς άνδρας, δια να κατασκοπεύσουν τα του στρατεύματος και τον πληροφορήσουν σχετικώς. Εκείνοι οι άνδρες επέστρεψαν και του ανήγγειλαν τα εξής λέγοντες· “όλα τα γύρω από ημάς

ειδωλολατρικά έθνη έχουν συγκεντωθή εναντίον μας σχηματίσαντα μεγάλην στρατιωτικήν δύναμιν.

Α Μακ. 5,39 - καὶ Ἄραβας μεμίσθωνται εἰς βοήθειαν αὐτοῖς καὶ παρενέβαλον πέραν τοῦ χειμάῤῥου ἕτοιμοι τοῦ ἐλθεῖν ἐπὶ σὲ εἰς πόλεμον. καὶ ἐπορεύθη Ἰούδας εἰς συνάντησιν αὐτῶν.

Α Μακ. 5,39 - Εχουν μάλιστα πάρει ως μισθοφόρους Αραβας, δια να τους βοηθήσουν και είναι στρατοπεδευμένοι πέραν από τον χείμαρρον, έτοιμοι να έλθουν εναντίον σου εις πολεμικήν σύρραξιν". Ο Ιούδας εξήλθε προς πόλεμον εναντίον των.

Α Μακ. 5,40 - καὶ εἶπε Τιμόθεος τοῖς ἄρχουσι τῆς δυνάμεως αὐτοῦ ἐν τῷ ἐγγίζειν Ἰούδαν καὶ τὴν παρεμβολὴν αὐτοῦ ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος· ἐὰν διαβῇ πρὸς ἡμᾶς πρότερος, οὐ δυνησόμεθα ὑποστῆναι αὐτόν, ὅτι δυνάμενος δυνήσεται πρὸς ἡμᾶς·

Α Μακ. 5,40 - Είπε τότε ο Τιμόθεος προς τους αρχηγούς της στρατιωτικής του δυνάμεως, "όταν ο Ιούδας με την στρατιωτικήν του δύναμιν πλησιάση εις τον χείμαρρον, εάν μεν διαπεράση προς ημάς πρώτος, δεν θα ημπορέσωμεν να υπομείνωμεν την επίθεσίν του, διότι, ισχυρός, καθώς είναι, θα υπερισχύση ασφαλώς εναντίον μας.

Α Μακ. 5,41 - ἐὰν δὲ δειλωθῇ καὶ παρεμβάλῃ πέραν τοῦ ποταμοῦ, διαπεράσομεν πρὸς αὐτὸν καὶ δυνησόμεθα πρὸς αὐτόν.

Α Μακ. 5,41 - Εάν όμως δειλιάση, μείνη και παραταχθή πέραν από τον χείμαρρον, θα διαβώμεν ημείς προς αυτόν και ασφαλώς θα υπερισχύσωμεν εναντίον του".

Α Μακ. 5,42 - ὡς δὲ ἤγγισεν Ἰούδας ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος, ἔστησε τοὺς γραμματεῖς τοῦ λαοῦ ἐπὶ τοῦ χειμάῤῥου καὶ ἐνετείλατο αὐτοῖς λέγων· μὴ ἀφῆτε πάντα ἄνθρωπον παρεμβαλεῖν, ἀλλ᾿ ἐρχέσθωσαν πάντες εἰς τὸν πόλεμον.

Α Μακ. 5,42 - Ο Ιούδας, όταν έφθασεν εις την κοίτην του χειμάρρου, ετοποθέτησε κατά διαστήματα πλησίον της όχθης τους γραμματείς του στρατού και τους διέταξε λέγων· "μη αφήσετε κανένα στρατιώτην να αποθέση τον οπλισμόν του και στρατοπεδεύση, αλλά όλοι ας έλθουν έτοιμοι προς πόλεμον".

Α Μακ. 5,43 - καὶ διεπέρασεν ἐπ᾿ αὐτοὺς πρότερος καὶ πᾶς ὁ λαὸς ὄπισθεν αὐτοῦ, καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ πάντα τὰ ἔθνη καὶ ἔῤῥιψαν τὰ ὅπλα αὐτῶν καὶ ἔφυγον εἰς τὸ τέμενος ἐν Καρναΐν.

Α Μακ. 5,43 - Διεπέρασε δε πρώτος ο Ιούδας τον ποταμόν βαδίζων εναντίον του εχθρού. Ολος δε ο στρατός τον ακολουθούσε. Κατά την μάχην συνετρίβησαν ενώπιόν του όλα τα ειδωλολατρικά έθνη, έρριψαν κατά γης τα όπλα των και πανικόβλητα κατέφυγαν στον ειδωλολατρικόν ναόν εις Καρναΐν.

Α Μακ. 5,44 - καὶ προκατελάβοντο τὴν πόλιν καὶ τὸ τέμενος ἐνεπύρισαν ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐν αὐτῷ· καὶ ἐτροπώθη ἡ Καρναΐν, καὶ οὐκ ἐδύναντο ἔτι ὑποστῆναι κατὰ πρόσωπον Ἰούδα.

Α Μακ. 5,44 - Οι Ιουδαίοι κατέλαβαν την πόλιν αυτήν, παρέδωκαν στο πυρ τον ναόν με όλους εκείνους, οι οποίοι ευρίσκοντο έντος αυτού. Ετσι η Καρναΐν κατετροπώθη και εξηυτελίσθη και δεν ημπόρεσε να αντισταθή ενώπιον του Ιούδα.

Α Μακ. 5,45 - καὶ συνήγαγεν Ἰούδας πάντα Ἰσραὴλ τοὺς ἐν τῇ Γαλααδίτιδι ἀπὸ μικροῦ ἕως μεγάλου καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὴν ἀποσκευήν, παρεμβολὴν μεγάλην σφόδρα, ἐλθεῖν εἰς γῆν Ἰούδα.

Α Μακ. 5,45 - Επειτα συνεκέντρωσεν ο Ιούδας όλους τους Ισραηλίτας, που ευρίσκοντο εις την χώραν Γαλαάδ, από μικρού μέχρι μεγάλου, και τας γυναίκας των και τα παιδιά των και την περιουσίαν των, πλήθος μεγάλο λαού, δια να οδηγήση όλους αυτούς εις την χώραν της Ιουδαίας.

Α Μακ. 5,46 - καὶ ἦλθον ἕως Ἐφρών, καὶ αὕτη ἡ πόλις μεγάλη ἐπὶ τῆς εἰσόδου ὀχυρὰ σφόδρα, οὐκ ἦν ἐκκλῖναι ἀπ᾿ αὐτῆς δεξιὰν ἢ ἀριστεράν, ἀλλ᾿ ἢ διὰ μέσου αὐτῆς πορεύεσθαι·

Α Μακ. 5,46 - Οι Ιουδαίοι έφθασαν εις την Εφρών, πόλιν μεγάλην και καλώς ωχυρωμένην, η οποία ευρίσκετο εις την είσοδον της χώρας των. Δεν ημπορούσε δε κανείς να παρεκκλίνη δεξιά η αριστερά από αυτήν, δια να εισέλθη εις την χώραν, αλλ' ήτο υποχρεωμένος να βαδίση δια μέσου αυτής.

Α Μακ. 5,47 - καὶ ἀπέκλεισαν αὐτοὺς οἱ ἐκ τῆς πόλεως καὶ ἐνέφραξαν τὰς πύλας λίθοις.

Α Μακ. 5,47 - Οι κάτοικοι της πόλεως αυτής ηρνήθησαν να επιτρέψουν δίοδον στους Ιουδαίους, έφραξαν δε και τας πύλας της πόλεώς των με λίθους.

Α Μακ. 5,48 - καὶ ἀπέστειλε πρὸς αὐτοὺς Ἰούδας λόγοις εἰρηνικοῖς λέγων· διελευσόμεθα διὰ τῆς γῆς σου τοῦ ἀπελθεῖν εἰς τὴν γῆν ἡμῶν, καὶ οὐδεὶς κακοποιήσει ὑμᾶς, πλὴν τοῖς ποσὶ παρελευσόμεθα· καὶ οὐκ ἠβούλοντο ἀνοῖξαι αὐτῷ.

Α Μακ. 5,48 - Ο Ιούδας απέστειλε προς αυτούς αγγελιαφόρους με ειρηνικάς προτάσεις ειπών· “ημείς θα διέλθωμεν απλώς δια μέσου της χώρας σας, δια να μεταβώμεν εις την πατρίδα μας. Κανείς δεν θα σας βλάψη ούτε επ' ελάχιστον. Ζητούμεν απλώς να περάσωμεν πεζή δια μέσου της πόλεως σας”. Οι κάτοικοι όμως δεν ηθέλησαν να ανοίξουν εις αυτόν τας πύλας.

Α Μακ. 5,49 - καὶ ἐπέταξεν Ἰούδας κηρῦξαι ἐν τῇ παρεμβολῇ τοῦ παρεμβαλεῖν ἕκαστον ἐν ᾧ ἐστι τόπῳ·

Α Μακ. 5,49 - Τοτε ο Ιούδας διέταξε να κοινοποιήσουν στο στρατόπεδον την διαταγήν του, όπως καταλάβη ο κάθε στρατιώτης την θέσιν όπου ευρίσκεται, έτοιμος προς μάχην.

Α Μακ. 5,50 - καὶ παρενέβαλον οἱ ἄνδρες τῆς δυνάμεως, καὶ ἐπολέμησαν τὴν πόλιν ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα, καὶ παρεδόθη ἡ πόλις ἐν χερσὶν αὐτοῦ.

Α Μακ. 5,50 - Οι άνδρες του στρατού του επήραν τας θέσεις των και επολέμησαν την πόλιν καθ' όλην την ημέραν εκείνην και όλην την νύκτα. Τέλος η πόλις παρεδόθη εις τα χέρια των.

Α Μακ. 5,51 - καὶ ἀπώλεσε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας καὶ ἐξεῤῥίζωσεν αὐτὴν καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς καὶ διῆλθε διὰ τῆς πόλεως ἐπάνω τῶν ἀπεκταμμένων.

Α Μακ. 5,51 - Ο Ιούδας διέταξε και επέρασαν εν στόματι μαχαίρας όλα τα αρσενικά, εξερρίζωσεν από τα θεμέλιά της την πόλιν, επήρε τα λάφυρά της και επέρασε δια μέσου της πόλεως, πατών επάνω εις τα πτώματα των φονευθέντων.

Α Μακ. 5,52 - καὶ διέβησαν τὸν Ἰορδάνην εἰς τὸ πεδίον τὸ μέγα κατὰ πρόσωπον Βαιθσάν.

Α Μακ. 5,52 - Προχωρούντες επέρασαν τον Ιορδάνην ποταμόν, έφθασαν εις την μεγάλην πεδιάδα, η οποία ευρίσκετο εμπρός από την Βαιθσάν.

Α Μακ. 5,53 - καὶ ἦν Ἰούδας ἐπισυνάγων τοὺς ἐσχατίζοντας καὶ παρακαλῶν τὸν λαὸν κατὰ πᾶσαν τὴν ὁδόν, ἕως οὗ ἦλθον εἰς γῆν Ἰούδα.

Α Μακ. 5,53 - Ο Ιούδας ήτο εις την οπισθοφυλακήν περιμαζεύων τους βραδυπορούντας Ιουδαίους και ενισχύων τον λαόν ηθικώς καθ' όλην την πορείαν του, μέχρις ότου έφθασαν εις την χώραν της Ιουδαίας.

Α Μακ. 5,54 - καὶ ἀνέβησαν εἰς τὸ ὄρος Σιὼν ἐν εὐφροσύνῃ καὶ χαρᾷ καὶ προσήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ ἔπεσεν ἐξ αὐτῶν οὐθεὶς ἕως τοῦ ἐπιστρέψαι ἐν εἰρήνῃ.

Α Μακ. 5,54 - Εισήλθον εις την Ιερουσαλήμ, ανέβησαν στο όρος Σιών με μεγάλην αγαλλίασιν και χαράν και προσέφεραν ολοκαυτώματα, ευχαριστούντες τον Θεόν, διότι κανείς από αυτούς δεν έπεσε κατά την εκστρατείαν αυτήν, αλλά όλοι επανήλθαν σώοι.

Α Μακ. 5,55 - Καὶ ἐν ταῖς ἡμέραις, αἷς ἦν Ἰούδας καὶ Ἰωνάθαν ἐν τῇ Γαλαὰδ καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ Γαλιλαίᾳ κατὰ πρόσωπον Πτολεμαΐδος,

Α Μακ. 5,55 - Κατά το διάστημα όμως, κατά το οποίον ευρίσκοντο ο μεν Ιούδας και ο Ιωνάθαν εις την Γαλαάδ, ο δε αδελφός των ο Σιμων εις την Γαλιλαίαν πλησίον της Πτολεμαΐδος,

Α Μακ. 5,56 - ἤκουσεν Ἰωσὴφ ὁ τοῦ Ζαχαρίου καὶ Ἀζαρίας ἄρχοντες τῆς δυνάμεως τῶν ἀνδραγαθιῶν καὶ τοῦ πολέμου, οἷα ἐποίησαν,

Α Μακ. 5,56 - επληροφορήθησαν ο Ιωσήφ ο υιός του Ζαχαρίου και ο Αζαρίας οι αρχηγοί της στρατιωτικής δυνάμεως της εν Ιερουσαλήμ, επληροφορήθησαν τα ανδραγαθήματα, τα οποία έκαμαν οι αδελφοί Μακκαβαίοι και τους νικηφόρους πολέμους, τους οποίους συνήψαν,

Α Μακ. 5,57 - καὶ εἶπε· ποιήσωμεν καὶ αὐτοὶ ἑαυτοῖς ὄνομα καὶ πορευθῶμεν πολεμῆσαι πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν.

Α Μακ. 5,57 - και είπαν με ματαιοδοξίαν· “ας καταστήσωμεν και ημείς το όνομα μας ένδοξον και προς τούτο ας εξέλθωμεν να πολεμήσωμεν τα γύρω μας ειδωλολατρικά έθνη”.

Α Μακ. 5,58 - καὶ παρήγγειλαν τοῖς ἀπὸ τῆς δυνάμεως τῆς μετ᾿ αὐτῶν, καὶ ἐπορεύθησαν ἐπὶ Ἰάμνειαν.

Α Μακ. 5,58 - Εδωσαν, λοιπόν, διαταγάς στους άνδρας του στρατού των, που ευρίσκετο μαζή των, και εβάδισαν εναντίον της Ιαμνείας.

Α Μακ. 5,59 - καὶ ἐξῆλθε Γοργίας ἐκ τῆς πόλεως καὶ οἱ ἄνδρες αὐτοῦ εἰς συνάντησιν αὐτοῖς εἰς πόλεμον.

Α Μακ. 5,59 - Ο Γοργίας εβγήκεν από την πόλιν και οι στρατιώται αυτού, δια να αποκρούσουν τους Ιουδαίους.

Α Μακ. 5,60 - καὶ ἐτροπώθη Ἰώσηφος καὶ Ἀζαρίας, καὶ ἐδιώχθησαν ἕως τῶν ὁρίων τῆς Ἰουδαίας, καὶ ἔπεσον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τοῦ λαοῦ τοῦ Ἰσραὴλ εἰς δισχιλίους ἄνδρας.

Α Μακ. 5,60 - Κατά την πολεμικήν σύρραξιν ο Ιώσηφος και ο Αζαρίας ενικήθησαν και κατεδιώχθησαν από τους εχθρούς έως εις τα όρια της Ιουδαίας, έπεσαν δε κατά την ημέραν εκείνην από τον στρατόν του Ισραήλ δύο χιλιάδες άνδρες.

Α Μακ. 5,61 - καὶ ἐγενήθη τροπὴ μεγάλη ἐν τῷ λαῷ Ἰσραήλ, ὅτι οὐκ ἤκουσαν Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ, οἰόμενοι ἀνδραγαθῆσαι·

Α Μακ. 5,61 - Εγινε δε η μεγάλη αυτή φθορά στον ισραηλιτικόν λαόν, διότι ο Ιώσηφος και ο Αζαρίας δεν υπήκουσαν στον Ιούδαν και τους αδελφούς του, νομίζοντες ότι και αυτοί είναι εις θέσιν να ανδραγαθήσουν.

Α Μακ. 5,62 - αὐτοὶ δὲ οὐκ ἦσαν ἐκ τοῦ σπέρματος τῶν ἀνδρῶν ἐκείνων, οἷς ἐδόθη σωτηρία Ἰσραὴλ διὰ χειρὸς αὐτῶν.

Α Μακ. 5,62 - Ελησμόνησαν όμως, ότι αυτοί δεν ήσαν από την οικογένειαν των ανδρών εκείνων, στους οποίους εδόθη παρά του Θεού η δύναμις να σώσουν με τα χέρια των τον Ισραηλιτικόν λαόν.

Α Μακ. 5,63 - καὶ ὁ ἀνὴρ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐδοξάσθησαν σφόδρα ἐναντίον παντὸς Ἰσραὴλ καὶ τῶν ἐθνῶν πάντων, οὗ ἠκούετο τὸ ὄνομα αὐτῶν·

Α Μακ. 5,63 - Ο ευγενής όμως Ιούδας και οι αδελφοί του εδοξάσθησαν πάρα πολύ ενώπιον του Ισραηλιτικού λαού και ενώπιον ακόμη των ειδωλολατρικών εθνών, παντού, όπου έφθανεν η φήμη του ονόματός των.

Α Μακ. 5,64 - καὶ ἐπισυνήγοντο πρὸς αὐτοὺς εὐφημοῦντες.
Α Μακ. 5,64 - Οι Ισραηλίται συνεκεντρώνοντο γύρω των επαινούντες και τιμώντες αυτούς δια τα κατορθώματά των.
Α Μακ. 5,65 - καὶ ἐξῆλθεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ἐπολέμουν τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ γῇ πρὸς νότον καὶ ἐπάταξε τὴν Χεβρὼν καὶ τὰς θυγατέρας αὐτῆς καὶ καθεῖλε τὸ ὀχύρωμα αὐτῆς καὶ τοὺς πύργους αὐτῆς ἐνέπρησε κυκλόθεν.
Α Μακ. 5,65 - Κατόπιν ο Ιούδας και οι αδελφοί αυτού εξήλθον εις νέαν εκστρατείαν και επολεμούσαν τους Ιδουμαίους, απογόνους του Ησαύ, εις την χώραν των προς νότον. Εκτύπησε την Χεβρών και τας πόλεις τας εξαρτωμένας από αυτήν, κατέστρεψε τα οχυρωματικά της έργα και παρέδωσεν στο πυρ τους γύρω επάνω εις τα τείχη της πύργους.
Α Μακ. 5,66 - καὶ ἀπῇρε τοῦ πορευθῆναι εἰς γῆν ἀλλοφύλων. καὶ διεπορεύετο τὴν Σαμάρειαν.
Α Μακ. 5,66 - Από εκεί επήρεν ο Ιούδας τον στρατόν του και εβάδισεν εις την χώραν των Φιλισταίων διερχόμενος δια μέσου της Σαμαρείας.
Α Μακ. 5,67 - ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔπεσον ἱερεῖς ἐν πολέμῳ βουλόμενοι ἀνδραγαθῆσαι ἐν τῷ αὐτοὺς ἐξελθεῖν εἰς πόλεμον ἀβουλεύτως.
Α Μακ. 5,67 - Την ημέραν εκείνην έπεσαν νεκροί κατά την μάχην και μερικοί ιερείς, οι οποίοι ηθέλησαν να ανδραγαθήσουν και ασυνέτως εξήλθον και έλαβαν μέρος στον πόλεμον.
Α Μακ. 5,68 - καὶ ἐξέκλινεν Ἰούδας εἰς Ἄζωτον γῆν ἀλλοφύλων, καὶ καθεῖλε τοὺς βωμοὺς αὐτῶν καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατέκαυσε πυρὶ καὶ ἐσκύλευσε τὰ σκῦλα τῶν πόλεων καὶ ἐπέστρεψεν εἰς τὴν γῆν Ἰούδα.
Α Μακ. 5,68 - Ακολούθως ο Ιούδας κατηυθύνθη προς την Αζωτον, πόλιν των Φιλισταίων. Οταν έφθασεν εκεί, εκρήμνισε τους ειδωλικούς βωμούς των, τα δε είδωλά των παρέδωσεν εις την φωτιάν. Επήρε πολλά λάφυρα από τας πόλεις και επέστρεψεν έπειτα εις την χώραν της Ιουδαίας.

Α ΜΑΚΚΑΒΑΙΩΝ 6

Α Μακ. 6,1 - Καὶ ὁ βασιλεὺς Ἀντίοχος διεπορεύετο τὰς ἐπάνω χώρας καὶ ἤκουσεν ὅτι ἐστὶν Ἐλυμαΐς ἐν τῇ Περσίδι πόλις ἔνδοξος πλούτῳ ἀργυρίῳ τε καὶ χρυσίῳ·
Α Μακ. 6,1 - Εν τω μεταξύ ο βασιλεύς Αντίοχος βαδίζων εις την Περσίαν, επέρασε τας ορεινάς επαρχίας και επληροφορήθη, ότι υπάρχει εις την Περσίαν μία πόλις ονόματι Ελυμαΐς, η οποία είναι ονομαστή δια τον πολύν αυτής πλούτον εις χρυσόν και εις άργυρον·

Α Μακ. 6,2 - καὶ τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλούσιον σφόδρα, καὶ ἐκεῖ καλύμματα χρυσᾶ καὶ θώρακες καὶ ὅπλα, ἃ κατέλιπεν ἐκεῖ Ἀλέξανδρος ὁ Φιλίππου βασιλεὺς ὁ Μακεδών, ὃς ἐβασίλευσε πρῶτος ἐν τοῖς Ἕλλησι.

Α Μακ. 6,2 - ότι ο ναός της πόλεως αυτής ήτο πολύ πλούσιος και ότι υπήρχον εκεί όπλα χρυσά και θώρακες και αλλά πολύτιμα όπλα, τα οποία είχεν αφήσει εκεί ο βασιλεύς Αλέξανδρος ο Μακεδών, ο υιός του Φιλίππου, ο οποίος πρώτος είχε βασιλεύσει επί όλων των Ελλήνων.

Α Μακ. 6,3 - καὶ ἦλθε καὶ ἐζήτει καταλαβέσθαι τὴν πόλιν καὶ προνομεῦσαι αὐτήν, καὶ οὐκ ἠδυνάσθη, ὅτι ἐγνώσθη ὁ λόγος τοῖς ἐκ τῆς πόλεως,

Α Μακ. 6,3 - Μετέβη λοιπόν εκεί και επιχειρούσε να καταλάβη την πόλιν, δια να την λεηλατήση, αλλά δεν ημπόρεσε, διότι έγινε γνωστόν το σχέδιόν του στους κατοίκους.

Α Μακ. 6,4 - καὶ ἀντέστησαν αὐτῷ εἰς πόλεμον, καὶ ἔφυγε καὶ ἀπῇρεν ἐκεῖθεν μετὰ λύπης μεγάλης ἀποστρέψαι εἰς Βαβυλῶνα.

Α Μακ. 6,4 - Εκείνοι εξήλθαν εις πόλεμον εναντίον του, αντεστάθησαν με γενναιότητα, ο δε Αντίοχος ετράπη εις φυγήν και μετά μεγάλης του λύπης απεχώρησεν από εκεί, δια να στραφή προς την Βαβυλώνα.

Α Μακ. 6,5 - καὶ ἦλθεν ἀπαγγέλλων τις αὐτῷ εἰς τὴν Περσίδα ὅτι τετρόπωνται αἱ παρεμβολαὶ αἱ πορευθεῖσαι εἰς γῆν Ἰούδα,

Α Μακ. 6,5 - Οταν ευρίσκετο εις την Περσίαν, ήλθε προς αυτόν ένας αγγελιαφόρος και του ανήγγειλεν, ότι τα στρατεύματά του, τα οποία είχαν βαδίσει εναντίον της Ιουδαίας κατετροπώθησαν.

Α Μακ. 6,6 - καὶ ἐπορεύθη Λυσίας δυνάμει ἰσχυρᾷ ἐν πρώτοις καὶ ἐνετράπη ἀπὸ προσώπου αὐτῶν, καὶ ἐπίσχυσαν ὅπλοις καὶ δυνάμει καὶ σκύλοις πολλοῖς, οἷς ἔλαβον ἀπὸ τῶν παρεμβολῶν, ὧν ἐξέκοψαν,

Α Μακ. 6,6 - Του ανήγγειλεν, ότι ο Λυσίας, ο οποίος πρώτος είχε βαδίσει με ισχυρόν στρατόν εναντίον των Ιουδαίων, κατετροπώθη από αυτούς, οι δε Ιουδαίοι ενίσχυσαν την δύναμίν των με όπλα και στρατιώτας και με πολλά λάφυρα, τα οποία επήραν από τους Συρους στρατιώτας, που είχαν κατακόψει.

Α Μακ. 6,7 - καὶ καθεῖλον τὸ βδέλυγμα, ὃ ᾠκοδόμησεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν Ἱερουσαλήμ, καὶ τὸ ἁγίασμα καθὼς τὸ πρότερον ἐκύκλωσαν τείχεσιν ὑψηλοῖς καὶ τὴν Βαιθσούραν πόλιν αὐτοῦ.

Α Μακ. 6,7 - Του ανήγγειλαν επίσης ότι οι Ιουδαίοι εκρήμνισαν τον βδελυρόν ειδωλολατρικόν βωμόν, τον οποίον ο Αντίοχος είχε κτίσει επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων εις Ιερουσαλήμ. Και ότι επίσης περιετείχισαν με υψηλά οχυρά τείχη τον ναόν των και τον κατέστησαν οχυρόν, όπως ήτο τον παλαιότερον καιρόν. Το αυτό έκαμαν και δια μίαν ιδικήν του πόλιν, την Βαιθσούραν.

Α Μακ. 6,8 - καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τούτους, ἐθαμβήθη καὶ ἐσαλεύθη σφόδρα καὶ ἔπεσεν ἐπὶ τὴν κοίτην καὶ ἐνέπεσεν εἰς ἀῤῥωστίαν ἀπὸ τῆς λύπης, ὅτι οὐκ ἐγένετο αὐτῷ καθὼς ἐνεθυμεῖτο.

Α Μακ. 6,8 - Οταν ο βασιλεύς ήκουσε τας πληροφορίας αυτάς, εκυριεύθη από οδυνηράν κατάπληξιν και περιέπεσεν εις μεγάλην ταραχήν. Ερρίφθη εις την κλίνην του και ησθένησε βαρέως από την πολλήν του λύπην, επειδή τα πράγματα δεν έγιναν, όπως αυτός επιθυμούσε.

Α Μακ. 6,9 - καὶ ἦν ἐκεῖ ἡμέρας πλείους, ὅτι ἀνεκαινίσθη ἐπ᾿ αὐτὸν λύπη μεγάλη, καὶ ἐλογίσατο ὅτι ἀποθνήσκει.

Α Μακ. 6,9 - Εμεινε κλινήρης εκεί επί πολλάς ημέρας βυθιζόμενος ολονέν και περισσότερον εις μεγαλυτέραν μελαγχολίαν. Οταν αντελήφθη ότι επρόκειτο μετ' ολίγον να αποθάνη,

Α Μακ. 6,10 - καὶ ἐκάλεσε πάντας τοὺς φίλους αὐτοῦ καὶ εἶπε πρὸς αὐτούς· ἀφίσταται ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς μερίμνης,

Α Μακ. 6,10 - προσεκάλεσεν όλους τους φίλους του και τους είπε· “Ο ύπνος έχει πλέον φύγει από τα μάτια μου, η καρδιά μου έχει διαβρωθή από την μεγάλην λύπην.

Α Μακ. 6,11 - καὶ εἶπα τῇ καρδίᾳ μου· ἕως τίνος θλίψεως ἦλθον καὶ κλύδωνος μεγάλου, ἐν ᾧ νῦν εἰμι; ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην ἐν τῇ ἐξουσίᾳ μου,

Α Μακ. 6,11 - Εσκέφθην μόνος μου και είπα· Εις πόσον μεγάλον βαθμόν θλίψεως έχω περιέλθει; Εις ποίαν φοβεράν τρικυμίαν ταραχής περιδινούμαι; Εγώ ο οποίος, όταν εβασίλευα, ήμην τόσον καλός και αγαπώμενος.

Α Μακ. 6,12 - νῦν δὲ μιμνήσκομαι τῶν κακῶν, ὧν ἐποίησα ἐν Ἱερουσαλὴμ καὶ ἔλαβον πάντα τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ τὰ ἐν αὐτῇ καὶ ἐξαπέστειλα ἐξᾶραι τοὺς κατοικοῦντας Ἰούδα διακενῆς.

Α Μακ. 6,12 - Συλλογίζομαι την αιτίαν, ενθυμούμαι τώρα τα κακά, τα οποία έκαμα εναντίον της Ιερουσαλήμ, όταν επήρα όλα τα ιερά χρυσά και αργυρά σκεύη της, που υπήρχαν εις αυτήν, και όταν έστειλα στρατόν να εξολοθρεύση τους κατοίκους της Ιουδαίας, χωρίς να υπάρχη κανείς λόγος.

Α Μακ. 6,13 - ἔγνων οὖν ὅτι χάριν τούτων εὗρόν με τὰ κακὰ ταῦτα· καὶ ἰδοὺ ἀπόλλυμαι λύπῃ μεγάλῃ ἐν γῇ ἀλλοτρίᾳ.

Α Μακ. 6,13 - Αναγνωρίζω, λοιπόν, ότι ένεκα της διαγωγής μου αυτής επέπεσαν εις εμέ όλα αυτά τα κακά. Και ιδού εγώ αποθνήσκω κυριευμένος από μεγάλην λύπην εις ξένην χώραν”.

Α Μακ. 6,14 - καὶ ἐκάλεσε Φίλιππον ἕνα τῶν φίλων αὐτοῦ καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ·

Α Μακ. 6,14 - Εν συνεχεία ο βασιλεύς εκάλεσεν ένα από τους στενούς του φίλους, τον Φιλιππον, και εγκατέστησεν αυτόν άρχοντα, αντιβασιλέα εις

ολόκληρον το βασίλειόν του.

Α Μακ. 6,15 - καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν αὐτοῦ καὶ τὸν δακτύλιον τοῦ ἀγαγεῖν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ καὶ ἐκθρέψαι αὐτὸν τοῦ βασιλεύειν.

Α Μακ. 6,15 - Του έδωκε το βασιλικόν του διάδημα και την βασιλικήν του στολήν και το βασιλικόν του δακτυλίδι με την υποχρέωσιν να παιδαγωγήση και μορφώση τον υιόν του, τον Αντίοχον, ώστε να καταστή εκείνος άξιος να αναλάβη βραδύτερον την βασιλείαν.

Α Μακ. 6,16 - καὶ ἀπέθανεν ἐκεῖ Ἀντίοχος ὁ βασιλεὺς ἔτους ἐνάτου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ.

Α Μακ. 6,16 - Ο Αντίοχος, ο βασιλεύς, απέθανεν εκεί κατά το εκατοστόν τεσσαρακοστόν έννατον έτος της χρονολογίας των Σελευκιδών.

Α Μακ. 6,17 - καὶ ἐπέγνω Λυσίας ὅτι τέθνηκεν ὁ βασιλεύς, καὶ κατέστησε βασιλεύειν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἀντ᾿ αὐτοῦ, ὃν ἐξέθρεψε νεώτερον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Εὐπάτορα.

Α Μακ. 6,17 - Ο Λυσίας έμαθεν, ότι απέθανεν ο βασιλεύς και ότι ώρισε διάδοχόν του εις την βασιλείαν τον υιόν του τον Αντίοχον, τον οποίον από νεαράς ακόμη ηλικίας είχεν αναθρέψει και διαπαιδαγωγήσει και του είχε δώσει το όνομα Ευπάτωρ.

Α Μακ. 6,18 - Καὶ οἱ ἐκ τῆς ἄκρας ἦσαν συγκλείοντες τὸν Ἰσραὴλ κύκλῳ τῶν ἁγίων καὶ ζητοῦντες τὰ κακὰ δι᾿ ὅλου καὶ στήριγμα τοῖς ἔθνεσι.

Α Μακ. 6,18 - Οι Συροι στρατιώται, που ευρίσκοντο εις την ακρόπολιν της Ιερουσαλήμ, συνέκλειαν ενοχλητικώς γύρω από τον ναόν τους Ισραηλίτας, επιζητούσαν δε να παραβλάπτουν τον ιερόν ναόν και γενικώς η ακρόπολις αυτή ήτο στήριγμα εξορμήσεως των ειδωλολατρικών εθνών εναντίον του ναού.

Α Μακ. 6,19 - καὶ ἐλογίσατο Ἰούδας ἐξᾶραι αὐτοὺς καὶ ἐξεκκλησίασε πάντα τὸν λαὸν τοῦ περικαθίσαι ἐπ᾿ αὐτούς·

Α Μακ. 6,19 - Ο Ιούδας απεφάσισε να εξολοθρεύση τους άνδρας της φρουράς αυτής. Προς τούτο συνεκέντρωσε όλον τον λαόν, δια να περικυκλώση την ακρόπολιν.

Α Μακ. 6,20 - καὶ συνήχθησαν ἅμα καὶ περιεκάθισαν ἐπ᾿ αὐτοὺς ἔτους πεντηκοστοῦ καὶ ἑκατοστοῦ, καὶ ἐποίησεν ἐπ᾿ αὐτοὺς βελοστάσεις καὶ μηχανάς.

Α Μακ. 6,20 - Πράγματι συνεκεντρώθησαν όλοι οι Ισραηλίται και περιεκύκλωσαν τους άνδρας της ακροπόλεως κατά το εκατοστόν πεντηκοστόν έτος της χρονολογίας των Σελευκιδών. Εχρησιμοποίησαν εναντίον αυτών μηχανάς εκτοξεύσεως των βελών, όπως και άλλας πολιορκητικάς μηχανάς.

Α Μακ. 6,21 - καὶ ἐξῆλθον ἐξ αὐτῶν ἐκ τοῦ συγκλεισμοῦ, καὶ ἐκολλήθησαν αὐτοῖς τινες τῶν ἀσεβῶν ἐξ Ἰσραήλ,

Α Μακ. 6,21 - Κατά το διάστημα όμως της πολιορκίας διέσπασαν τον κλοιόν μερικοί εξωμόται Ισραηλίται, οι οποίοι είχαν προσκολληθή στους Συρους στρατιώτας.

Α Μακ. 6,22 - καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα καὶ εἶπον· ἕως πότε οὐ ποιήσῃ κρίσιν καὶ ἐκδικήσεις τοὺς ἀδελφοὺς ἡμῶν;

Α Μακ. 6,22 - Αυτοί μετέβησαν προς τον βασιλέα των Συρων και του είπαν· "έως πότε συ θα αναβάλλης να κάμης δικαίαν κρίσιν και να τιμωρήσης τους ομοεθνείς μας αδελφούς Ισραηλίτας;

Α Μακ. 6,23 - ἡμεῖς εὐδοκοῦμεν δουλεύειν τῷ πατρί σου καὶ πορεύεσθαι τοῖς ὑπ᾿ αὐτοῦ λεγομένοις καὶ κατακολουθεῖν τοῖς προστάγμασιν αὐτοῦ.

Α Μακ. 6,23 - Ημείς έχομεν ολοψύχως συγκατατεθή να δουλεύωμεν στον πατέρα σου, να βαδίζωμεν σύμφωνα όσα αυτός διατάσσει και να ακολουθώμεν πιστώς τας εντολάς του.

Α Μακ. 6,24 - καὶ περικάθηνται εἰς τὴν ἄκραν υἱοὶ τοῦ λαοῦ ἡμῶν χάριν τούτου καὶ ἀλλοτριοῦνται ἀφ᾿ ἡμῶν· πλὴν ὅσοι εὑρίσκοντο ἀφ᾿ ἡμῶν ἐθανατοῦντο καὶ αἱ κληρονομίαι ἡμῶν διηρπάζοντο.

Α Μακ. 6,24 - Ακριβώς ένεκα τούτου οι Ισραηλίται μας θεωρούν ξένους πλέον και εχθρούς των και έχουν πολιορκήσει την ακρόπολιν. Οσοι δε από ημάς περιέρχονται εις τα χέρια των, φονεύονται, αι δε περιουσίαι μας λεηλατούνται από αυτούς.

Α Μακ. 6,25 - καὶ οὐκ ἐφ᾿ ἡμᾶς μόνον ἐξέτειναν χεῖρα, ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν·

Α Μακ. 6,25 - Και δεν άπλωσαν μόνον εναντίον ημών τα χέρια των, αλλά και εις όλους τους λαούς, οι οποίοι ευρίσκονται πλησίον της Ιουδαίας.

Α Μακ. 6,26 - καὶ ἰδοὺ παρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν Ἱερουσαλὴμ τοῦ καταλαβέσθαι αὐτήν· καὶ τὸ ἁγίασμα καὶ τὴν Βαιθσούραν ὠχύρωσαν,

Α Μακ. 6,26 - Και ιδού ότι σήμερον έχουν στρατοπεδεύσει και πολιορκούν την ακρόπολιν της Ιερουσαλήμ, δια να την καταλάβουν. Τον δε ιερόν ναόν των και την πόλιν Βαιθσούραν έχουν οχυρώσει.

Α Μακ. 6,27 - καὶ ἐὰν μὴ προκαταλάβῃ αὐτοὺς διὰ τάχους, μείζονα τούτων ποιήσουσι, καὶ ἰδοὺ δυνήσῃ τοῦ κατασχεῖν αὐτῶν.

Α Μακ. 6,27 - Εάν δεν σπεύσης όσον το δυνατόν ταχύτερον να τους προλάβης, αυτοί θα κάμουν περισσότερα κακά και συ δεν θα ημπορέσης πλέον να τους καταβάλης".

Α Μακ. 6,28 - Καὶ ὠργίσθη ὁ βασιλεὺς ὅτε ἤκουσε, καὶ συνήγαγε πάντας τοὺς φίλους αὐτοῦ καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως αὐτοῦ καὶ τοὺς ἐπὶ τῶν ἡνιῶν·

Α Μακ. 6,28 - Οταν ο βασιλεύς ήκουσεν αυτά, ωργίσθη και εκάλεσεν όλους τους φίλους του και τους στρατηγούς του στρατού του και τους

αρχηγούς του ιππικού του.

Α Μακ. 6,29 - καὶ ἀπὸ βασιλειῶν ἑτέρων καὶ ἀπὸ νήσων θαλασσῶν ἦλθον πρὸς αὐτὸν δυνάμεις μισθωταί.

Α Μακ. 6,29 - Ακόμη δέ, υπήκουσαν εις την πρόσκλησίν του και ήλθον προς αυτόν και στρατεύματα μισθοφορικά από άλλα βασίλεια και από τας νήσους της Μεσογείου Θαλάσσης.

Α Μακ. 6,30 - καὶ ἦν ὁ ἀριθμὸς τῶν δυνάμεων αὐτοῦ ἑκατὸν χιλιάδες τῶν πεζῶν καὶ εἴκοσι χιλιάδες ἵππων καὶ ἐλέφαντες δύο καὶ τριάκοντα εἰδότες πόλεμον.

Α Μακ. 6,30 - Ο αριθμός δε όλων αυτών των στρατιωτικών δυνάμεων ήτο εκατόν χιλιάδες πεζοί, είκοσι χιλιάδες ιππείς και τριάκοντα δύο ελέφαντες γυμνασμένοι προς πόλεμον.

Α Μακ. 6,31 - καὶ ἤλθοσαν διὰ τῆς Ἰδουμαίας καὶ παρενεβάλοσαν ἐπὶ Βαιθσούραν καὶ ἐπολέμησαν ἡμέρας πολλὰς καὶ ἐποίησαν μηχανάς· καὶ ἐξῆλθον καὶ ἐνεπύρισαν αὐτὰς ἐν πυρὶ καὶ ἐπολέμησαν ἀνδρωδῶς.

Α Μακ. 6,31 - Ολος αυτός ο στρατός δια μέσου της Ιδουμαίας ήλθε και εστρατοπέδευσεν απέναντι από την Βαιθσούραν. Επολέμησαν επί πολλάς ημέρας, εχρησιμοποίησαν δε και πολεμικάς μηχανάς, αλλά οι Ιουδαίοι γενναίως επολέμησαν, εξήλθαν από το στρατόπεδόν των και παρέδωσαν στο πυρ τας πολεμικάς μηχανάς εκείνων.

Α Μακ. 6,32 - καὶ ἀπῆρεν Ἰούδας ἀπὸ τῆς ἄκρας καὶ παρενέβαλεν εἰς Βαιθζαχαρία ἀπέναντι τῆς παρεμβολῆς τοῦ βασιλέως.

Α Μακ. 6,32 - Τοτε ο Ιούδας έλυσε την πολιορκίαν της ακροπόλεως της Ιερουσαλήμ, ανεχώρησεν από εκεί, ήλθε και εστρατοπέδευσεν εις Βαιθζαχαρίαν απέναντι από τον στρατόν του βασιλέως.

Α Μακ. 6,33 - καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωΐ καὶ ἀπῆρε τὴν παρεμβολὴν ἐν ὁρμήματι αὐτῆς κατὰ τὴν ὁδὸν Βαιθζαχαρία, καὶ διεσκευάσθησαν αἱ δυνάμεις εἰς τὸν πόλεμον καὶ ἐσάλπισαν ταῖς σάλπιγξι.

Α Μακ. 6,33 - Ο βασιλεύς εσηκώθη λίαν πρωϊ και ωδήγησεν εσπευσμένως τον στρατόν του εις την οδόν προς Βαιθζαχαρίαν, όπου και παρέταξε τας στρατιωτικάς του δυνάμεις δια την μάχην. Αντήχησαν προς τούτο αι πολεμικαί, σάλπιγγες.

Α Μακ. 6,34 - καὶ τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς καὶ μόρων τοῦ παραστῆσαι αὐτοὺς εἰς τὸν πόλεμον.

Α Μακ. 6,34 - Δια να εξερεθίσουν δε τους ελέφαντας προς μάχην παρουσίασαν προ των οφθαλμών των κόκκινο κρασί από σταφύλια και βατόμουρα.

Α Μακ. 6,35 - καὶ διεῖλον τὰ θηρία εἰς τὰς φάλαγγας καὶ παρέστησαν ἑκάστῳ ἐλέφαντι χιλίους ἄνδρας τεθωρακισμένους ἐν ἁλυσιδωτοῖς, καὶ

περικεφαλαῖαι χαλκαῖ ἐπὶ τῶν κεφαλῶν αὐτῶν, καὶ πεντακόσιοι ἵπποι διατεταγμένοι ἑκάστῳ θηρίῳ ἐκλελεγμένοι·

Α Μακ. 6,35 - Διεμοίρασαν δε και ετοποθέτησαν τα θηρία αυτά εις διαφόρους θέσεις των στρατιωτιών παρατάξεων. Καθε ελέφαντα τον ακολουθούσαν χίλιοι άνδρες, οι οποίοι εφορούσαν θώρακας λεπιδωτούς και εις τας κεφαλάς των έφερον κράνη χαλκά. Πλησίον δε εις κάθε θηρίον είχον παραταχθή και πεντακόσιοι εκλεκτοί ιππείς.

Α Μακ. 6,36 - οὗτοι πρὸ καιροῦ, οὗ ἐὰν ἦν τὸ θηρίον ἦσαν καὶ οὗ ἐὰν ἐπορεύετο ἐπορεύοντο ἅμα, οὐκ ἀφίσταντο ἀπ᾿ αὐτοῦ.

Α Μακ. 6,36 - Αυτοί οι ιππείς είχον συνηθίσει τους ίππους των να πηγαίνουν παντού, όπου επήγαινε το θηρίον. Εκεί δηλαδή, όπου επήγαινεν ο ελέφας, επήγαιναν και οι ιππείς μαζή του, και ποτέ δεν απεμακρύνοντο από αυτόν.

Α Μακ. 6,37 - καὶ πύργοι ξύλινοι ἐπ᾿ αὐτοὺς ὀχυροὶ σκεπαζόμενοι ἐφ᾿ ἑκάστου θηρίου ἐζωσμένοι ἐπ᾿ αὐτοῦ μηχαναῖς, καὶ ἐφ᾿ ἑκάστου ἄνδρες δυνάμεως δύο καὶ τριάκοντα οἱ πολεμοῦντες ἐπ᾿ αὐτοῖς καὶ ὁ Ἰνδὸς αὐτοῦ.

Α Μακ. 6,37 - Επάνω στον κάθε ελέφαντα δεμένος με ισχυρά λουριά υπήρχεν ένας εστεγασμένος ξύλινος οχυρός πύργος. Εις κάθε δε πύργον ευρίσκοντο τριάκοντα δύο εμπειροπόλεμοι στρατιώται, όπως επίσης μεταξύ αυτών και ο Ινδός οδηγός του ελέφαντος.

Α Μακ. 6,38 - καὶ τὴν ἐπίλοιπον ἵππον ἔνθεν καὶ ἔνθεν ἔστησαν ἐπὶ τὰ δύο μέρη τῆς παρεμβολῆς κατασείοντες καὶ καταφρασσόμενοι ἐν ταῖς φάραγξιν.

Α Μακ. 6,38 - Η υπόλοιπος δύναμις του ιππικού είχε τοποθετηθή εκατέρωθεν της στρατιωτικής παρατάξεως, δια να δίδουν σήματα δράσεως στους επιτιθεμένους και να ασφαλίζουν εκ των πλευρών τας φάλαγγας του στρατεύματος.

Α Μακ. 6,39 - ὡς δὲ ἔστιλβεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς καὶ χαλκᾶς ἀσπίδας, ἔστιλβε τὰ ὄρη ἀπ᾿ αὐτῶν καὶ κατηύγαζεν ὡς λαμπάδες πυρός.

Α Μακ. 6,39 - Καθώς δε ελαμποκοπούσαν και αντανεκλώντο αι ακτίνες του ηλίου επάνω εις τας χρυσάς και χαλκίνας ασπίδας, όλα τα γύρω βουνά έλαμπαν και εφώτιζαν ως εάν ήσαν λαμπάδες πυρός.

Α Μακ. 6,40 - καὶ ἐξετάθη μέρος τι τῆς παρεμβολῆς τοῦ βασιλέως ἐπὶ τὰ ὑψηλὰ ὄρη καί τινες ἐπὶ τὰ ταπεινά· καὶ ἤρχοντο ἀσφαλῶς καὶ τεταγμένως.

Α Μακ. 6,40 - Ενα τμήμα της στρατιωτικής δυνάμεως του βασιλέως ανεπτύχθη εις τα υψηλά εκεί όρη. Ενῷ ένα άλλο τμήμα επροχώρει εις τας πεδιάδας. Επροχωρούσαν δε με βήμα ασφαλές και συντεταγμένοι καλώς.

Α Μακ. 6,41 - καὶ ἐσαλεύοντο πάντες οἱ ἀκούοντες φωνῆς πλήθους αὐτῶν καὶ ὁδοιπορίας τοῦ πλήθους καὶ συγκρουσμοῦ τῶν ὅπλων· ἦν γὰρ ἡ παρεμβολὴ μεγάλη σφόδρα καὶ ἰσχυρά.

Α Μακ. 6,41 - Κατελήφθησαν από ταραχήν όλοι όσοι ήκουαν την φωνήν του πλήθους αυτού και τον θόρυβον του πεζοπορούντος στρατού και τον κρότον των συγκρουομένων όπλων. Διότι ήτο πράγματι ο στρατός αυτός πάρα πολύς εις αριθμόν και εις δύναμιν.

Α Μακ. 6,42 - καὶ ἤγγισεν Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς παράταξιν, καὶ ἔπεσον ἀπὸ τῆς παρεμβολῆς τοῦ βασιλέως ἑξακόσιοι ἄνδρες.

Α Μακ. 6,42 - Ο Ιούδας επροχώρησε με τον στρατόν του συντεταγμένον δια την μάχην. Κατά την πρώτην σύγκρουσιν έπεσαν από τον στρατόν του βασιλέως εξακόσιοι άνδρες.

Α Μακ. 6,43 - καὶ εἶδεν Ἐλεάζαρ ὁ Αὐαρὰν ἓν τῶν θηρίων τεθωρακισμένον θώρακι βασιλικῷ, καὶ ἦν ὑπεράγον πάντα τὰ θηρία, καὶ ᾠήθη ὅτι ἐν αὐτῷ ἐστιν ὁ βασιλεύς.

Α Μακ. 6,43 - Ενας γενναίος ανήρ από τον στρατόν του Ιούδα, ο Ελεάζαρ ο επονομαζόμενος Αυαράν, είδεν ένα από τους ελέφαντας σκεπασμένον με βασιλικήν ιπποσκευήν και ο οποίος κατά το ύψος υπερείχεν από όλους τους άλλους ελέφαντας. Ενόμισεν ότι εκεί ασφαλώς θα ευρίσκετο ο βασιλεύς.

Α Μακ. 6,44 - καὶ ἔδωκεν ἑαυτὸν τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ καὶ περιποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον·

Α Μακ. 6,44 - Απεφάσισε, λοιπόν, να θυσιασθή αυτός, δια να σώση τον λαόν του και να αποκτήση όνομα αθάνατον.

Α Μακ. 6,45 - καὶ ἐπέδραμεν αὐτῷ θράσει εἰς μέσον τῆς φάλαγγος καὶ ἐθανάτου δεξιὰ καὶ εὐώνυμα, καὶ ἐσχίζοντο ἀπ᾿ αὐτοῦ ἔνθα καὶ ἔνθα·

Α Μακ. 6,45 - Ετρεξε με θάρρος πολύ στον ελέφαντα αυτόν δια μέσου της εχθρικής φάλαγγος, εθανάτωνε δεξιά και αριστερά όσους συνήντα, οι δε άλλοι κατατρομαγμένοι παρεμέριζαν απ' εδώ και απ' εκεί, δια να περάση εκείνος.

Α Μακ. 6,46 - καὶ εἰσέδυ ὑπὸ τὸν ἐλέφαντα καὶ ὑπέθεκεν αὐτῷ καὶ ἀνεῖλεν αὐτόν, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἐπάνω αὐτοῦ, καὶ ἀπέθανεν ἐκεῖ.

Α Μακ. 6,46 - Αυτός τότε εισεχώρησε κάτω από την κοιλίαν του ελέφαντος, έχωσε το μαχαίρι του εις την κοιλίαν του ζώου και τον εφόνευσεν. Ο ελέφας έπεσε κατά γης επάνω στον Ελεάζαρον, ο οποίος και καταπλακωθείς από το βάρος απέθανεν.

Α Μακ. 6,47 - καὶ εἶδον τὴν ἰσχὺν τῆς βασιλείας καὶ τὸ ὅρμημα τῶν δυνάμεων, καὶ ἐξέκλιναν ἀπ᾿ αὐτῶν.

Α Μακ. 6,47 - Οι Ιουδαίοι όμως είδον τας πολλάς δυνάμστου βασιλέως και την ασυγκράτητον ορμήν των στρατευμάτων του και ηναγκάσθησαν να υποχωρήσουν.

Α Μακ. 6,48 - οἱ δὲ ἐκ τῆς παρεμβολῆς τοῦ βασιλέως ἀνέβαινον εἰς συνάντησιν αὐτῶν εἰς Ἱερουσαλήμ, καὶ παρενέβαλεν ὁ βασιλεὺς εἰς τὴν Ἰουδαίαν καὶ εἰς τὸ ὄρος Σιών.

Α Μακ. 6,48 - Τοτε δε οι στρατιώται του βασιλέως ανέβησαν εις την Ιερουσαλήμ, δια να συναντήσουν εκεί τους Ιουδαίους. Ο βασιλεύς με τα στρατεύματά του έθεσεν εις κατάστασιν πολιορκίας την Ιουδαίαν και το όρος Σιών.

Α Μακ. 6,49 - καὶ ἐποίησεν εἰρήνην μετὰ τῶν ἐκ Βαιθσούρων, καὶ ἐξῆλθον ἐκ τῆς πόλεως, ὅτι οὐκ ἦν αὐτοῖς ἐκεῖ διατροφὴ τοῦ συγκεκλεῖσθαι ἐν αὐτῇ, ὅτι σάββατον ἦν τῇ γῇ·

Α Μακ. 6,49 - Κατ' αυτόν δε τον καιρόν συνήψεν αυτός ειρήνην με τους Ιουδαίους, οι οποίοι ευρίσκοντο εις Βαιθσούραν. Αυτοί ηναγκάσθησαν από την πείναν να εξέλθουν εκ της πόλεώς των, διότι ούτε στο ύπαιθρον υπήρχον τρόφιμα, ούτε αυτοί είχαν αποθηκεύσει προηγουμένως εις την πόλιν, επειδή το έτος αυτό ήτο το σαββατικόν έτος της αγραναπαύσεως.

Α Μακ. 6,50 - καὶ κατελάβετο βασιλεὺς τὴν Βαιθσούραν, καὶ ἀπέταξεν ἐκεῖ φρουρὰν τηρεῖν αὐτήν.

Α Μακ. 6,50 - Ετσι δε ο βασιλεύς κατέλαβεν αμαχητί την Βαιθσούραν και εγκατέστησεν εις αυτήν στρατιωτικήν φρουράν, δια να την φυλάττη.

Α Μακ. 6,51 - καὶ παρενέβαλεν ἐπὶ τὸ ἁγίασμα ἡμέρας πολλὰς καὶ ἔστησεν ἐκεῖ βελοστάσεις καὶ μηχανὰς καὶ πυροβόλα καὶ λιθόβολα καὶ σκορπίδια εἰς τὸ βάλλεσθαι βέλη καὶ σφενδόνας.

Α Μακ. 6,51 - Ο βασιλεύς εστρατοπέδευσεν επ' αρκετόν χρόνον προ του ιερού ναού. Εστησε βαληστρίδας, πολιορκητικάς μηχανάς, μηχανάς δια των οποίων ερρίπτοντο καιόμενα βέλη, λιθοβόλους μηχανάς, σφενδόνας και σκορπίδια, δια να βάλουν συγχρόνως εν διασπορά πολλά βέλη.

Α Μακ. 6,52 - καὶ ἐποίησαν καὶ αὐτοὶ μηχανὰς πρὸς τὰς μηχανὰς αὐτῶν καὶ ἐπολέμησαν ἡμέρας πολλάς.

Α Μακ. 6,52 - Αλλά και οι πολιορκούμενοι κατεσκεύαζαν επίσης, και αυτοί πολεμικάς μηχανάς εναντίον των μηχανών, που είχαν οι πολιορκηταί, και επί πολύ χρονικόν διάστημα έφεραν αντίστασιν.

Α Μακ. 6,53 - βρώματα δὲ οὐκ ἦν ἐν τοῖς ἀγγείοις διὰ τὸ ἕβδομον ἔτος εἶναι, καὶ οἱ ἀνασῳζόμενοι εἰς τὴν Ἰουδαίαν ἀπὸ τῶν ἐθνῶν κατέφαγον τὸ ὑπόλειμμα τῆς παραθέσεως.

Α Μακ. 6,53 - Τρόφιμα όμως δεν υπήρχον πλέον εις τας αποθήκας των, διότι ήτο τότε το έβδομον έτος της αγραναπαύσεως. Επί πλέον οι Ισραηλίται, οι οποίοι είχον επανέλθει από τας ειδωλολατρικάς χώρας, είχαν καταναλώσει τας υπολειφθείσας τροφάς εις τας αποθήκας.

Α Μακ. 6,54 - καὶ ὑπελείφθησαν ἐν τοῖς ἁγίοις ἄνδρες ὀλίγοι, ὅτι κατεκράτησεν αὐτῶν ὁ λιμός, καὶ ἐσκορπίσθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.

Α Μακ. 6,54 - Δεν απέμειναν στους ιερούς χώρους, ει μη μόνον ολίγοι άνδρες Ιουδαίοι, διότι η πείνα ολονέν και περισσότερον ηύξανε. Δι' αυτό οι άλλοι μετέβησαν ο καθένας εις την πόλιν και την οικίσαν του.

Α Μακ. 6,55 - Καὶ ἤκουσε Λυσίας ὅτι Φίλιππος, ὃν κατέστησεν ὁ βασιλεὺς Ἀντίοχος ἔτι ζῶν ἐκθρέψαι Ἀντίοχον τὸν υἱὸν αὐτοῦ εἰς τὸ βασιλεῦσαι αὐτόν,

Α Μακ. 6,55 - Τοτε ο Λυσίας επληροφορήθη ότι ο Φιλιππος, τον οποίον ο βασιλεύς Αντίοχος, ενώ ακόμα ζούσε, είχεν ορίσει, δια να αναθρέψη τον υιόν του τον Αντίοχον, ώστε να αναδείξη αυτόν άξιον βασιλέα,

Α Μακ. 6,56 - ἀπέστρεψεν ἀπὸ τῆς Περσίδος καὶ Μηδίας καὶ αἱ δυνάμεις αἱ πορευθεῖσαι τοῦ βασιλέως μετ᾽ αὐτοῦ, καὶ ὅτι ζητεῖ παραλαβεῖν τὰ πράγματα.

Α Μακ. 6,56 - επέστρεψεν από την Περσίαν και την Μηδίαν έχων μαζή του τας στρατιωτικάς δυνάμεις, αι οποίαι είχαν ακολουθήσει τον βασιλέα εις την εκστρατείαν του. Εμαθεν ακόμα ο Λυσίας, ότι ο Φιλιππος επιζητούσε να αναλάβη αυτός εις τας χείρας του τας υποθέσστου βασιλείου της Συρίας.

Α Μακ. 6,57 - καὶ κατέσπευδε τοῦ ἀπελθεῖν καὶ εἰπεῖν πρὸς τὸν βασιλέα καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως καὶ τοὺς ἄνδρας· ἐκλείπομεν καθ᾽ ἡμέραν, καὶ ἡ τροφὴ ἡμῖν ὀλίγη, καὶ ὁ τόπος οὗ παρεμβάλλομέν ἐστιν ὀχυρός, καὶ ἐπίκειται ἡμῖν τὰ τῆς βασιλείας·

Α Μακ. 6,57 - Εσπευδε, λοιπόν, ο Λυσίας να απομακρυνθή από την Ιερουσαλήμ και να είπη προς τον βασιλέα, τους αρχηγούς του στρατού και εις αυτόν τούτον τον στρατόν· “εδώ κάθε ημέραν χάνομεν άνδρας. Η τροφή μας είναι ολίγη, αλλά και ο τόπος, τον οποίον πολιορκούμεν, είναι πολύ ισχυρός. Το σπουδαιότερον είναι ότι επείγουν αι υποθέσστου Κράτους.

Α Μακ. 6,58 - νῦν οὖν δῶμεν δεξιὰν τοῖς ἀνθρώποις τούτοις καὶποιήσωμεν μετ᾽ αὐτῶν εἰρήνην καὶ μετὰ παντὸς ἔθνους αὐτῶν

Α Μακ. 6,58 - Λοιπόν τώρα ας συμφιλιωθώμεν με τους ανθρώπους αυτούς, ας συνάψωμεν ειρήνην μαζή με αυτούς και με όλον το έθνος των,

Α Μακ. 6,59 - καὶ στήσωμεν αὐτοῖς τοῦ πορεύεσθαι τοῖς νομίμοις αὐτῶν, ὡς τὸ πρότερον· χάριν γὰρ τῶν νομίμων αὐτῶν, ὧν διεσκεδάσαμεν, ὠργίσθησαν καὶ ἐποίησαν ταῦτα πάντα.

Α Μακ. 6,59 - ας σεβασθώμεν το δικαίωμά των να ζουν σύμφωνα με τα ιδικά των νόμιμα, όπως εγίνετο και προηγουμένως. Διότι χάριν αυτών ακριβώς των νόμων, τους οποίους ημείς θέλομεν να καταπατήσωμεν, ωργίσθησαν αυτοί και έκαμαν όλα αυτά εναντίον μας”.

Α Μακ. 6,60 - καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ ἀπέστειλε πρὸς αὐτοὺς εἰρηνεῦσαι, καὶ ἐπεδέξαντο.

Α Μακ. 6,60 - Ο λόγος αυτός ήρεσε στον βασιλέα και στους άρχοντας. Απέστειλε δε βασιλεύς άνδρας προς τους Ιουδαίους δια να κλείσουν ειρήνην· οι δε Ιουδαίοι εδέχθησαν τας προτάσεις.

Α Μακ. 6,61 - καὶ ὤμοσεν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες· ἐπὶ τούτοις ἐξῆλθον ἐκ τοῦ ὀχυρώματος.

Α Μακ. 6,61 - Ο βασιλεύς και οι άρχοντές του ωρκίσθησαν προς τους Ιουδαίους δια την τήρησιν της συνθήκης. Επειτα από αυτά οι Ιουδαίοι εβγήκαν από τα οχυρώματά των.

Α Μακ. 6,62 - καὶ εἰσῆλθεν ὁ βασιλεὺς εἰς τὸ ὄρος Σιὼν καὶ εἶδε τὸ ὀχύρωμα τοῦ τόπου καὶ ἠθέτησε τὸν ὁρκισμόν, ὃν ὤμοσε, καὶ ἐνετείλατο καθελεῖν τὸ τεῖχος κυκλόθεν.

Α Μακ. 6,62 - Ο δε βασιλεύς ακολουθούμενος από στρατόν εισήλθεν εις την Σιών. Είδε τα οχυρώματα του τόπου και παρέβη τον όρκον, τον οποίον έδωσε. Διέταξε σε τους στρατιώτας του να κρημνίσουν το γύρω τείχος.

Α Μακ. 6,63 - καὶ ἀπῇρε κατὰ σπουδὴν καὶ ἀπέστρεψεν εἰς Ἀντιόχειαν καὶ εὗρε Φίλιππον κυριεύοντα τῆς πόλεως καὶ ἐπολέμησε πρὸς αὐτόν, καὶ κατελάβετο τὴν πόλιν βίᾳ.

Α Μακ. 6,63 - Κατόπιν με μεγάλην βίαν ανεχώρησε και επέστρεψεν εις την Αντιόχειαν. Εκεί όμως ευρήκε τον Φιλιππον κύριον της πόλεως αυτής. Επολέμησεν εναντίον αυτού και εκυρίευσε την πόλιν κατόπιν σκληρού αγώνος.

Α ΜΑΚΚΑΒΑΙΩΝ 7

Α Μακ. 7,1 - Ἔτους ἑνὸς καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθε Δημήτριος ὁ τοῦ Σελεύκου ἐκ Ῥώμης καὶ ἀνέβη σὺν ἀνδράσιν ὀλίγοις εἰς πόλιν παραθαλασσίαν καὶ ἐβασίλευσεν ἐκεῖ.

Α Μακ. 7,1 - Κατά το εκατοστόν πεντηκοστόν πρώτον έτος της χρονολογίας των Σελευκιδών ο Δημήτριος, ο υιός του Σελεύκου, διαφυγών από την Ρωμην απεβιβάσθη με μικρόν αριθμόν ανδρών εις κάποιαν παραθαλασσίαν πόλιν και εκεί επήρε τον τίτλον του βασιλέως.

Α Μακ. 7,2 - καὶ ἐγένετο ὡς εἰσεπορεύετο εἰς οἶκον βασιλείας πατέρων αὐτοῦ, καὶ συνέλαβον αἱ δυνάμεις τὸν Ἀντίοχον καὶ τὸν Λυσίαν ἀγαγεῖν αὐτοὺς αὐτῷ.

Α Μακ. 7,2 - Οταν εισήλθεν στο βασιλικόν ανάκτορον των πατέρων του, το στράτευμα συνέλαβε τον Αντίοχον και τον Λυσίαν, δια να τους οδηγήσουν ενώπιόν του.

Α Μακ. 7,3 - καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα καὶ εἶπε· μή μοι δείξητε τὰ πρόσωπα αὐτῶν.

Α Μακ. 7,3 - Οταν όμως ο Δημήτριος επληροφορήθη το γεγονός, είπε· “δεν θέλω να μου δείξετε τα πρόσωπά των”.

Α Μακ. 7,4 - καὶ ἀπέκτειναν αὐτοὺς αἱ δυνάμεις, καὶ ἐκάθισε Δημήτριος ἐπὶ θρόνου βασιλείας αὐτοῦ.

Α Μακ. 7,4 - Οι στρατιώται τους εφόνευσαν και ο Δημήτριος εγκατεστάθη στον θρόνον του βασιλείου του.

Α Μακ. 7,5 - καὶ ἦλθον πρὸς αὐτὸν πάντες ἄνδρες ἄνομοι καὶ ἀσεβεῖς ἐξ Ἰσραήλ, καὶ Ἄλκιμος ἡγεῖτο αὐτῶν, βουλόμενος ἱερατεύειν.

Α Μακ. 7,5 - Τοτε όλοι οι εξωμόται, οι παράνομοι και οι ασεβείς Ισραηλίται, ήλθαν προς αυτόν. Αρχηγός των ήτο ο Αλκιμος, ο οποίος επιθυμούσε να γίνη αρχιερεύς.

Α Μακ. 7,6 - καὶ κατηγόρησαν τοῦ λαοῦ πρὸς τὸν βασιλέα λέγοντες· ἀπώλεσεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ τοὺς φίλους σου, καὶ ἡμᾶς ἐσκόρπισαν ἀπὸ τῆς γῆς ἡμῶν·

Α Μακ. 7,6 - Αυτοί, λοιπόν, κατηγόρησαν τον Ισραηλιτικόν λαόν στον βασιλέα λέγοντες· “ο Ιούδας και οι αδελφοί του εξωλόθρευσαν όλους τους φίλους σου, ημάς δε τους ιδίους μας εξεδίωξαν από την γην των πατέρων μας και διεσκορπίσθημεν.

Α Μακ. 7,7 - νῦν οὖν ἀπόστειλον ἄνδρα, ᾧ πιστεύεις, καὶ πορευθεὶς ἰδέτω τὴν ἐξολόθρευσιν πᾶσαν, ἣν ἐποίησεν ἡμῖν καὶ τῇ χώρᾳ τοῦ βασιλέως, καὶ κολασάτω αὐτοὺς καὶ πάντας τοὺς ἐπιβοηθοῦντας αὐτοῖς.

Α Μακ. 7,7 - Στείλε τώρα ένα άνδρα της εμπιστοσύνης σου, δια να μεταβή και ιδή με τα ίδια του τα μάτια όλην την καταστροφήν, την οποίαν αυτάς ο Ιούδας επροξένησεν εις ημάς και εις την χώραν του βασιλέως. Και ο βασιλεύς ας τιμωρήση αυτούς και όλους εκείνους, οι οποίοι τους εβοήθησαν στο έργον της καταστροφής.

Α Μακ. 7,8 - καὶ ἐπέλεξεν ὁ βασιλεὺς τὸν Βακχίδην τῶν φίλων τοῦ βασιλέως κυριεύοντα ἐν τῷ πέραν τοῦ ποταμοῦ καὶ μέγαν ἐν τῇ βασιλείᾳ καὶ πιστὸν τῷ βασιλεῖ

Α Μακ. 7,8 - Ο βασιλεύς Δημήτριος εδιάλεξεν από τους φίλους του τυν Βακχίδην, διοικητήν της περιοχής, που ευρίσκετο πέραν από τον Ευφράτην ποταμόν, άνδρα ένδοξον στο βασίλειόν του και αφωσιωμένον στον βασιλέα.

Α Μακ. 7,9 - καὶ ἀπέστειλεν αὐτὸν καὶ Ἄλκιμον τὸν ἀσεβῆ, καὶ ἔστησεν αὐτῷ τὴν ἱερωσύνην καὶ ἐνετείλατο αὐτῷ ποιῆσαι τὴν ἐκδίκησιν ἐν τοῖς υἱοῖς Ἰσραήλ.

Α Μακ. 7,9 - Αυτόν έστειλε μαζή με τον ασεβή Αλκιμον, τον οποίον κατέστησεν αρχιερέα. Εδωσε δε διαταγήν στον Βακχίδην, να εκδικηθή τους Ισραηλίτας.

Α Μακ. 7,10 - καὶ ἀπῆραν καὶ ἦλθον μετὰ δυνάμεως πολλῆς εἰς γῆν Ἰούδα· καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λόγοις εἰρηνικοῖς μετὰ δόλου.

Α Μακ. 7,10 - Ο Βακχίδης με πολλήν στρατιωτικήν δύναμιν εξεκίνησε και έφθασαν εις την χώραν της Ιουδαίας. Απέστειλε δε αγγελιαφόρους προς τον Ιούδαν και τους αδελφούς του με ειρηνικάς, αλλά δολίας, προτάσεις.

Α Μακ. 7,11 - καὶ οὐ προσέσχον τοῖς λόγοις αὐτῶν· εἶδον γὰρ ὅτι ἦλθον μετὰ δυνάμεως πολλῆς.

Α Μακ. 7,11 - Οι Ιουδαίοι όμως δεν έδωσαν προσοχήν εις τα λόγια των, διότι είδον ότι εκείνοι είχαν έλθει με πολλήν στρατιωτικήν δύναμιν και άρα με διαθέσεις όχι ειρηνικάς.

Α Μακ. 7,12 - καὶ ἐπισυνήχθησαν πρὸς Ἄλκιμον καὶ Βακχίδην συναγωγὴ γραμματέων ἐκζητῆσαι δίκαια,

Α Μακ. 7,12 - Αλλά περί τον Αλκιμον και τον Βακχίδην συνεκεντρώθη μία όμας γραμματέων, δια να ζητήσουν το δίκαιόν των.

Α Μακ. 7,13 - καὶ πρῶτοι οἱ Ἀσιδαῖοι ἦσαν ἐν υἱοῖς Ἰσραὴλ καὶ ἐπεζήτουν παρ᾿ αὐτῶν εἰρήνην·

Α Μακ. 7,13 - Εκείνοι δε που εθεωρούντο πρώτοι μεταξύ των Ισραηλιτών ήσαν οι 'Ασιδαιοι, οι οποίοι και εζήτησαν από τον Βακχίδην και τον Αλκιμον ειρηνικήν διευθέτησιν των δικαιωμάτων των.

Α Μακ. 7,14 - εἶπαν γάρ· ἄνθρωπος ἱερεὺς ἐκ τοῦ σπέρματος Ἀαρὼν ἦλθεν ἐν ταῖς δυνάμεσι καὶ οὐκ ἀδικήσει ἡμᾶς.

Α Μακ. 7,14 - Οι Ασιδαίοι έκαμαν την εξής σκέψιν και είπαν· “ένας αρχιερεύς από την οικογενειάν του Ααρών ήλθε με στρατόν, δεν είναι δυνατόν αυτός να διαπράξη αδικίας εναντίον μας”.

Α Μακ. 7,15 - καὶ ἐλάλησε μετ᾿ αὐτῶν λόγους εἰρηνικοὺς καὶ ὤμοσεν αὐτοῖς λέγων· οὐκ ἐκζητήσομεν ὑμῖν κακὸν καὶ τοῖς φίλοις ὑμῶν.

Α Μακ. 7,15 - Ο Αλκιμος ωμίλησε με αυτούς κατά ένα ειρηνικόν και φιλικόν τρόπον και ωρκίσθη προς αυτούς λέγων· “δεν επιθυμούμεν και ούτε θα επιζητήσωμεν να κάμωμεν κανένα κακόν προς σας και προς τους φίλους σας”.

Α Μακ. 7,16 - καὶ ἐνεπίστευσαν αὐτῷ, καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τὸν λόγον, ὃν ἔγραψε·

Α Μακ. 7,16 - Εδωσαν πίστιν εις αυτόν, αλλά εκείνος έπιασε εξήντα άνδρας από αυτούς, τους οποίους και εφόνευσεν εις μίαν ημέραν και επραγματοποιήθη έτσι ο λόγος, που είναι γραμμένος εις την Αγίαν Γραφήν·

Α Μακ. 7,17 - σάρκας ὁσίων σου καὶ αἵματα αὐτῶν ἐξέχεαν κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν αὐτοῖς ὁ θάπτων.

Α Μακ. 7,17 - “Διεσκόρπισαν τας σάρκας των αγίων σου και τα αίματά των τα έχυσαν γύρω από την Ιερουσαλήμ και δεν υπήρξεν άνθρωπος να τους ενταφιάση”.

Α Μακ. 7,18 - καὶ ἐπέπεσεν αὐτῶν ὁ φόβος καὶ ὁ τρόμος ἐπὶ πάντα τὸν λαόν, ὅτι εἶπαν· οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια καὶ κρίσις, παρέβησαν γὰρ τὴν στάσιν καὶ τὸν ὅρκον, ὃν ὤμοσαν.

Α Μακ. 7,18 - Εξ αιτίας του γεγονότος αυτού μέγας φόβος και τρόμος έπσεν εις όλον τον ισραηλιτικόν λαόν, διότι είπαν· “εκείνοι είναι ανάξιοι πλέον εμπιστοσύνης, διότι δεν υπάρχει εις αυτούς αλήθεια και δικαιοσύνη. Παρέβησαν την υποχρέωσίν των και τον όρκον, τον οποίον έδωσαν”.

Α Μακ. 7,19 - καὶ ἀπῇρε Βακχίδης ἀπὸ Ἱερουσαλὴμ καὶ παρενέβαλεν ἐν Βηθζαὶθ καὶ ἀπέστειλε καὶ συνέλαβε πολλοὺς ἀπὸ τῶν ἀπ᾿ αὐτοῦ αὐτομολησάντων ἀνδρῶν καί τινας τοῦ λαοῦ καὶ ἔθυσεν αὐτοὺς εἰς τὸ φρέαρ τὸ μέγα.

Α Μακ. 7,19 - Ο Βακχίδης ανεχώρησεν από την Ιερουσαλήμ και εστρατοπέδευσεν εις Βηθζαίθ. Από εκεί έστειλε στρατιώτας και συνέλαβε πολλούς από αυτούς, που είχαν λιποτακτήσει εκ των τάξεων του στρατού του, όπως επίσης και μερικούς άλλους από τον λαόν, τους οποίους όλους εφόνευσε, τα δε πτώματά των έρριψεν στο μεγάλο φρέαρ.

Α Μακ. 7,20 - καὶ κατέστησε τὴν χώραν τῷ Ἀλκίμῳ καὶ ἀφῆκε μετ᾿ αὐτοῦ δύναμιν τοῦ βοηθεῖν αὐτῷ· καὶ ἀπῆλθε Βακχίδης πρὸς τὸν βασιλέα.

Α Μακ. 7,20 - Αφού δε παρέδωσε την διοίκησιν της χώρας στον Αλκιμον και αφήκεν εις βοήθειάν του στρατιωτικήν δύναμιν ανεχώρησεν ο Βακχίδης και επέστρεψε προς τον βασιλέα Δημήτριον.

Α Μακ. 7,21 - καὶ ἠγωνίσατο Ἄλκιμος περὶ τῆς ἀρχιερωσύνης,

Α Μακ. 7,21 - Ο Αλκιμος ηγωνίσθη, δια να πάρη την αρχιερωσύνην.

Α Μακ. 7,22 - καὶ συνήχθησαν πρὸς αὐτὸν πάντες οἱ ταράσσοντες τὸν λαὸν αὐτῶν καὶ κατεκράτησαν γῆν Ἰούδα καὶ ἐποίησαν πληγὴν μεγάλην ἐν Ἰσραήλ.

Α Μακ. 7,22 - Ολοι δε εκείνοι οι Ισραηλίται, οι παράνομοι εξωμόται, οι οποίοι έφεραν αναταραχήν στον λαόν των, συνεκεντρώθησαν γύρω από τον Αλκιμον και έγιναν μεγάλη μάστιξ δια τον ισραηλιτικόν λαόν.

Α Μακ. 7,23 - καὶ εἶδεν Ἰούδας πᾶσαν τὴν κακίαν, ἣν ἐποίησεν Ἄλκιμος καὶ οἱ μετ᾿ αὐτοῦ ἐν υἱοῖς Ἰσραὴλ ὑπὲρ τὰ ἔθνη,

Α Μακ. 7,23 - Είδεν ο Ιούδας όλην αυτήν την συμφοράν, την οποίαν επέφερεν ο Αλκιμος και μαζή με αυτόν οι εξωμόται εναντίον των Ισραηλιτών και η οποία ήτο πολύ μεγαλύτερα από όσην είχαν προξενήσει τα ειδωλολατρικά έθνη.

Α Μακ. 7,24 - καὶ ἐξῆλθεν εἰς πάντα τὰ ὅρια τῆς Ἰουδαίας κυκλόθεν καὶ ἐποίησεν ἐκδίκησιν ἐν τοῖς ἀνδράσι τοῖς αὐτομολήσασι, καὶ ἀνεστάλησαν τοῦ πορεύεσθαι εἰς τὴν χώραν.

Α Μακ. 7,24 - Δια να προλάβη μεγαλυτέρας συμφοράς ο Ιούδας, περιήλθεν προς όλας τας κατευθύνσεις την ιουδαίαν και ετιμώρησε τους αποστάτας εκείνους άνδρας, οι οποίοι είχαν λιποτακτήσει με το μέρος των εχθρών και τους ημπόδιζε να διατρέχουν την χώραν της Ιουδαίας.

Α Μακ. 7,25 - ὡς δὲ εἶδεν Ἄλκιμος ὅτι ἐνίσχυσεν Ἰούδας καὶ οἱ μετ᾿ αὐτοῦ, καὶ ἔγνω ὅτι οὐ δύναται ὑποστῆναι αὐτούς, καὶ ἐπέστρεψε πρὸς τὸν βασιλέα καὶ κατηγόρησεν αὐτῶν πονηρά.

Α Μακ. 7,25 - Οταν είδεν ο Αλκιμος, ότι ο Ιούδας και οι σύντροφοί του είχαν αποκτήσει μεγάλην δύναμιν και κατενόησεν ότι δεν ήτο δυνατόν αυτός

να αντισταθή εις εκείνους, επέστρεψε προς τον βασιλέα Δημήτριον και διετύπωσε βαρυτάτας κατηγορίας εναντίον των Ιουδαίων.

Α Μακ. 7,26 - Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα ἕνα τῶν ἀρχόντων αὐτοῦ τῶν ἐνδόξων καὶ μισοῦντα καὶ ἐχθραίνοντα τῷ Ἰσραὴλ καὶ ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν.

Α Μακ. 7,26 - Ο βασιλεύς Δημήτριος έστειλε τότε τον Νικάνορα, ένα από τους ενδόξους στρατηγούς του, ο οποίος εκυριαρχείτο από μίσος και εχθρότητα εναντίον του ισραηλιτικού λαού και τον διέταξε να εξολοθρεύση τον λαόν αυτόν.

Α Μακ. 7,27 - καὶ ἦλθε Νικάνωρ εἰς Ἱερουσαλὴμ δυνάμει πολλῇ, καὶ ἀπέστειλε πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ μετὰ δόλου λόγοις εἰρηνικοῖς λέγων·

Α Μακ. 7,27 - Ο Νικάνωρ ήλθεν εις την Ιερουσαλήμ με πολλήν στρατιωτικήν δύναμιν, έστειλε δε προς τον Ιούδαν και τους αδελφούς του άνδρας δια να ομιλήσουν προς αυτόν δήθεν κατά τρόπον ειρηνικόν και φιλικόν και να τον εξαπατήσουν και επρότεινε τα εξής·

Α Μακ. 7,28 - μὴ ἔστω μάχην ἀναμέσον ἐμοῦ καὶ ὑμῶν· ἥξω ἐν ἀνδράσιν ὀλίγοις, ἵνα ὑμῶν ἴδω τὰ πρόσωπα μετ᾿ εἰρήνης.

Α Μακ. 7,28 - “ας μη υπάρχη μάχη μεταξύ εμού και υμών. Εγώ επιθυμώ να έλθω με ολίγους μου άνδρας προς σας, δια να ίδω τα πρόσωπά σας με χαράν και ειρήνην”.

Α Μακ. 7,29 - καὶ ἦλθε πρὸς Ἰούδαν, καὶ ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς· καὶ οἱ πολέμιοι ἦσαν ἕτοιμοι ἐξαρπᾶσαι τὸν Ἰούδαν.

Α Μακ. 7,29 - Ηλθε πράγματι ο Νικάνωρ προς τον Ιούδαν και οι δύο ησπάσθησαν αλλήλους κατά τρόπον φιλικόν. Οι εχθροί όμως των Ιουδαίων ήσαν έτοιμοι να συλλάβουν τον Ιούδαν.

Α Μακ. 7,30 - καὶ ἐγνώσθη ὁ λόγος τῷ Ἰούδᾳ ὅτι μετὰ δόλου ἦλθεν ἐπ᾿ αὐτόν, καὶ ἐπτοήθη ἀπ᾿ αὐτοῦ καὶ οὐκ ἐβουλήθη ἔτι ἰδεῖν τὸ πρόσωπον αὐτοῦ.

Α Μακ. 7,30 - Ο Ιούδας επληροφορήθη την μηχανορραφίαν αυτήν, ότι δηλαδή ο Νικάνωρ δολίως ήλθε προς αυτόν, εφοβήθη τον Νικάνορα και δεν ηθέλησε να τον ξαναϊδή.

Α Μακ. 7,31 - καὶ ἔγνω Νικάνωρ, ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰούδᾳ ἐν πολέμῳ κατὰ Χαφαρσαλαμά.

Α Μακ. 7,31 - Ο Νικάνωρ αντελήφθη, ότι απεκαλύφθη πλέον το δόλιον σχέδιόν του και αμέσως εξήλθε να πολεμήση τον Ιούδαν εις την περιοχήν Χαφαρσαλαμά.

Α Μακ. 7,32 - καὶ ἔπεσον τῶν παρὰ Νικάνορος ὡσεὶ πεντακισχίλοι ἄνδρες, καὶ ἔφυγον εἰς τὴν πόλιν Δαυίδ.

Α Μακ. 7,32 - Εγινε μάχη και από τους άνδρας του Νικάνορας εφονεύθησαν πέντε περίπου χιλιάδες άνδρες, οι δε υπόλοιποι κατέφυγον εις την ακρόπολιν του λόφου Σιών (την πόλιν του Δαυίδ).

Α Μακ. 7,33 - Καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη Νικάνωρ εἰς τὸ ὄρος Σιών. καὶ ἐξῆλθον ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς καὶ δεῖξαι αὐτῷ τὴν ὁλοκαύτωσιν τὴν προσφερομένην ὑπὲρ τοῦ βασιλέως.

Α Μακ. 7,33 - Επειτα από αυτά τα γεγονότα ο Νικάνωρ ανέβηκεν στον λόφον Σιών. Μερικοί δε από τους ιερείς εβγήκαν από τους ιερούς τόπους του ναού συνοδευόμενοι και από μερικούς πρεσβυτέρους του ναού, δια να χαιρετήσουν φιλικώς τον Νικάνορα και να του δείξουν την θυσίαν των ολοκαυτωμάτων, την οποίαν προσφέρουν υπέρ του βασιλέως.

Α Μακ. 7,34 - καὶ ἐμυκτήρισεν αὐτοὺς καὶ κατεγέλασεν αὐτῶν καὶ ἐμίανεν αὐτοὺς καὶ ἐλάλησεν ὑπερηφάνως·

Α Μακ. 7,34 - Εκείνος όμως τους εχλεύασε, τους κατεγέλασεν, έρριψεν επάνω των μιάσματα και τους εμόλυνε και ωμίλησε κατά ένα τρόπον θρασύν και αλαζονικόν.

Α Μακ. 7,35 - καὶ ὤμοσε μετὰ θυμοῦ λέγων· ἐὰν μὴ παραδοθῇ Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς χεῖράς μου τὸ νῦν, καὶ ἔσται ἐὰν ἐπιστρέψω ἐν εἰρήνῃ, ἐμπυριῶ τὸν οἶκον τοῦτον. καὶ ἐξῆλθε μετὰ θυμοῦ μεγάλου.

Α Μακ. 7,35 - Γεμάτος δε οργήν ωρκίσθη και είπεν εις αυτούς· “Εάν δεν παραδοθή εις τα χέρια μου σήμερον ο Ιούδας και ο στρατός του, αμέσως μόλις επιστρέψω, αφού εγκαταστήσω πλέον την ειρήνην, θα παραδώσω στο πυρ αυτόν τον ναόν”. Και αφού είπεν αυτά, απεχώρησεν από μπροστά των με μεγάλον θυμόν.

Α Μακ. 7,36 - καὶ εἰσῆλθον οἱ ἱερεῖς καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου καὶ τοῦ ναοῦ καὶ ἔκλαυσαν καὶ εἶπον·

Α Μακ. 7,36 - Τοτε οι ιερείς εισήλθον στον ιερόν χώρον, εστάθησαν όρθιοι ενώπιον του θυσιαστηρίου των ολοκαυτωμάτων, έκλαυσαν και είπαν προς τον Θεόν·

Α Μακ. 7,37 - σύ, Κύριε, ἐξελέξω τὸν οἶκον τοῦτον ἐπικληθῆναι τὸ ὄνομά σου ἐπ᾿ αὐτῷ εἶναι οἶκον προσευχῆς καὶ δεήσεως τῷ λαῷ σου·

Α Μακ. 7,37 - “Συ, Κυριε, εξέλεξες τον ναόν αυτόν, δια να δοξάζεται εδώ τα άγιον όνομά σου και να είναι ο ναός αυτός οίκος προσευχής και δεήσεως δι' όλον τον λαόν σου.

Α Μακ. 7,38 - ποίησον ἐκδίκησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ πεσέτωσαν ἐν ῥομφαίᾳ· μνήσθητι τῶν δυσφηριῶν αὐτῶν καὶ μὴ δῷς αὐτοῖς μονήν.

Α Μακ. 7,38 - Τιμώρησε τον αλαζονικόν αυτόν άνθρωπον και τον στρατόν του, και ας πέσουν όλοι εν στόματι ρομφαίας. Ενθυμήσου, Κυριε, τας

βλασφημίας, τας οποίας εξεστόμισαν εναντίον σου και μη δώσης εις αυτούς ποτέ τόπον αναψυχής”.

Α Μακ. 7,39 - καὶ ἐξῆλθε Νικάνωρ ἐξ Ἱερουσαλὴμ καὶ παρενέβαλεν ἐν Βαιθωρών, καὶ συνήντησεν αὐτῷ δύναμις Συρίας.

Α Μακ. 7,39 - Ο Νικάνωρ εξήλθεν από την Ιερουσαλήμ και εστρατοπέδευσεν εις Βαιθωρών, όπου ένα τμήμα από την στρατιωτικήν δύναμιν των Συρων ήλθε και τον συνήντησε.

Α Μακ. 7,40 - καὶ Ἰούδας παρενέβαλεν ἐν Ἀδασὰ ἐν τρισχιλίοις ἀνδράσι· καὶ προσηύξατο Ἰούδας καὶ εἶπεν·

Α Μακ. 7,40 - Και ο Ιούδας επίσης εστρατοπέδευσε πλησίον της Αδασά με τρεις χιλιάδας άνδρας. Ο Ιούδας προσηυχήθη προς τον Θεόν και είπεν·

Α Μακ. 7,41 - οἱ παρὰ τοῦ βασιλέως Ἀσσυρίων ὅτε ἐδυσφήμησαν, ἐξῆλθεν ἄγγελός σου, Κύριε, καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας·

Α Μακ. 7,41 - “όταν, Κυριε, οι εχθροί σου, που ήσαν με το μέρος Σενναχηρίμ του βασιλέως των Ασσυρίων εβλασφήμησαν το Ονομά σου, εξήλθεν άγγελός σου, Κυριε, και εξωλόθρευσεν από αυτούς εκατόν ογδοήκοντα πέντε χιλιάδας άνδρας.

Α Μακ. 7,42 - οὕτω σύντριψον τὴν παρεμβολὴν ταύτην ἐνώπιον ἡμῶν σήμερον, καὶ γνώτωσαν οἱ ἐπίλοιποι, ὅτι κακῶς ἐλάλησαν ἐπὶ τὰ ἅγιά σου, καὶ κρῖνον αὐτὸν κατὰ τὴν κακίαν αὐτοῦ.

Α Μακ. 7,42 - Ετσι, Κυριε, σύντριψε και σήμερον τον στρατόν αυτόν ενώπιόν μας, δια να μάθουν και οι άλλοι λαοί, ότι με κακότητα και αυθάδειαν εφέρθησαν και ωμίλησαν αυτοί στον ιερόν ναόν σου. Κρίνε, Κυριε, αυτόν κατά την κακίαν του και την βλασφημίαν του”.

Α Μακ. 7,43 - καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς Ἄδαρ, καὶ συνετρίβη ἡ παρεμβολὴ Νικάνορος, καὶ ἔπεσεν αὐτὸς πρῶτος ἐν τῷ πολέμῳ.

Α Μακ. 7,43 - Οι δύο στρατοί συνεκρούσθησαν κατά την δεκάτην τρίτην του μηνός Αδάρ. Ο στρατός του Νικάνορας συνετρίβη και πρώτος, ο οποίος έπεσε κατά την μάχην αυτήν, ήτο ο Νικάνωρ.

Α Μακ. 7,44 - ὡς δὲ εἶδεν ἡ παρεμβολὴ αὐτοῦ ὅτι ἔπεσε Νικάνωρ, ῥίψαντες τὰ ὅπλα αὐτῶν ἔφυγον.

Α Μακ. 7,44 - Οταν ο στρατός του Νικάνορος είδεν ότι έπεσεν ο αρχηγός, ρίψαντες όλοι τα όπλα ετράπησαν πανικόβλητοι εις φυγήν.

Α Μακ. 7,45 - καὶ κατεδίωκον αὐτοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ Ἀδασὰ ἕως τοῦ ἐλθεῖν εἰς Γάζηρα καὶ ἐσάλπισαν ὀπίσω αὐτῶν ταῖς σάλπιγξι τῶν σημασιῶν.

Α Μακ. 7,45 - Οι Ιουδαίοι τους κατεδίωξαν εις δρόμον μιας ημέρας από Αδασά, μέχρις ότου έφθασαν εις Γαζηρα. Τους κατεδίωκαν σαλπίζοντες

όπισθεν αυτών με τας ιεράς σάλπιγγας διάφορα πολεμικά σαλπίσματα.

Α Μακ. 7,46 - καὶ ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς Ἰουδαίας κυκλόθεν καὶ ὑπερεκέρων αὐτούς, καὶ ἀνέστρεφον οὗτοι πρὸς τούτους, καὶ ἔπεσον πάντες ῥομφαίᾳ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς.

Α Μακ. 7,46 - Τοτε εβγήκαν από όλας τας κωμοπόλεις της Ιουδαίας άνδρες Ιουδαίοι, οι οποίοι και περιεκύκλωναν τους Συρους. Αυτοί τρομοκρατημένοι εγύριζαν προς τα οπίσω και επάνω εις την σύγχυσίν των έπιπταν οι μεν εναντίον των δε και αλληλοεξωντώθησαν με τας ρομφαίας των. Ούτε ένας από αυτούς δεν έμεινεν εν τη ζωή.

Α Μακ. 7,47 - καὶ ἔλαβον τὰ σκῦλα καὶ τὴν προνομήν, καὶ τὴν κεφαλὴν Νικάνορος ἀφεῖλον καὶ τὴν δεξιὰν αὐτοῦ, ἣν ἐξέτεινεν ὑπερηφάνως, καὶ ἤνεγκαν καὶ ἐξέτειναν παρὰ τὴν Ἱερουσαλήμ.

Α Μακ. 7,47 - Οι Ιουδαίοι ελεηλάτησαν τότε τους ηττηθέντας και επήραν τα λάφυρά των. Απέκοψαν δε την κεφαλήν του Νικάνορος και την δεξιάν του χείρα, την οποίαν αυθαδώς είχεν υψώσει εναντίον του Θεού. Τα έφεραν και τα εκρέμασαν παρά την Ιερουσαλήμ.

Α Μακ. 7,48 - καὶ εὐφράνθη ὁ λαὸς σφόδρα καὶ ἤγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐφροσύνης μεγάλης·

Α Μακ. 7,48 - Ολος ο λαός ηυφράνθη πάρα πολύ και επανηγύρισαν την ημέραν αυτήν με μεγάλην αγαλλίασιν.

Α Μακ. 7,49 - καὶ ἔστησαν τοῦ ἄγειν κατὰ ἐνιαυτὸν τὴν ἡμέραν ταύτην τὴν τρισκαιδεκάτην τοῦ Ἀδαρ.

Α Μακ. 7,49 - Ωρισαν δε να εορτάζουν κάθε έτος την ημέραν αυτήν, δηλαδή την δεκάτην τρίτην ημέραν του μηνός Αδαρ.

Α Μακ. 7,50 - καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἡμέρας ὀλίγας.

Α Μακ. 7,50 - Η Ιουδαία επί χρονικόν τι διάστημα ησύχασεν από τους πολέμους.

Α ΜΑΚΚΑΒΑΙΩΝ 8

Α Μακ. 8,1 - Καὶ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ῥωμαίων, ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι τοῖς προστιθεμένοις αὐτοῖς, καὶ ὅσοι ἂν προσέλθωσιν αὐτοῖς, ἱστῶσιν αὐτοῖς φιλίαν,

Α Μακ. 8,1 - Ηκουσεν ο Ιούδας την φήμην των Ρωμαίων, ότι δηλαδή είναι μεν πολύ ισχυροί κατά τον πόλεμον, αλλά φέρονται με ευμένειαν προς όλους εκείνους, οι οποίοι τίθενται με τα μέρος των, και συνάπτουν φιλίαν με όσους οικειοθελώς ήθελαν προσέλθει προς αυτούς.

Α Μακ. 8,2 - καὶ ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ. καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους αὐτῶν καὶ τὰς ἀνδραγαθίας, ἃς ποιοῦσιν ἐν τοῖς Γαλάταις, καὶ ὅτι

κατεκράτησαν αὐτῶν καὶ ἤγαγον αὐτοὺς ὑπὸ φόρον,

Α Μακ. 8,2 - Οτι δε αυτοί ήσαν ισχυροί, το επληροφορήθη ο Ιούδας, από όσα διηγήθησαν εις αυτόν δια τους πολέμους των και τα ανδραγαθήματά των, που έκαμαν εναντίον των Γαλατών, τους οποίους υπέταξαν και τους κατέστησαν φόρου υποτελείς των.

Α Μακ. 8,3 - καὶ ὅσα ἐποίησαν ἐν χώρᾳ Ἱσπανίας τοῦ κατακρατῆσαι τῶν μετάλλων τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου τοῦ ἐκεῖ·

Α Μακ. 8,3 - Του διηγήθησαν επίσης, όσα είχαν κατορθώσει οι Ρωμαίοι εις την Ισπανίαν, δια να γίνουν κύριοι των μεταλλείων του χρυσού και του αργύρου, που ευρίσκοντο εκεί·

Α Μακ. 8,4 - καὶ κατεκράτησαν τοῦ τόπου παντὸς τῇ βουλῇ αὐτῶν καὶ τῇ μακροθυμίᾳ, καὶ ὁ τόπος ἦν μακρὰν ἀπέχων ἀπ᾿ αὐτῶν σφόδρα, καὶ τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ᾿ αὐτοὺς ἀπ᾿ ἄκρου τῆς γῆς ἕως συνέτριψαν αὐτοὺς καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φόρον κατ᾿ ἐνιαυτόν·

Α Μακ. 8,4 - ότι έγιναν κύριοι όλης της Ισπανίας χάρις εις την ευφυΐαν των και την μακροθυμίαν των, μολονότι η χώρα αυτή απείχε πάρα πολύ από την ιδικήν των χώραν. Ακόμη δε και ότι βασιλείς, οι οποίοι είχαν επέλθει εναντίον των Ρωμαίων από τα άκρα της γης, συνετρίβησαν από τους Ρωμαίους, οι οποίοι επροξένησαν μεγάλην φθοράν εις αυτούς. Οι άλλοι ηναγκάσθησαν να πληρώνουν εις αυτούς φόρον υποτελείας κάθε έτος.

Α Μακ. 8,5 - καὶ τὸν Φίλιππον καὶ τὸν Περσέα Κιτιέων βασιλέα καὶ τοὺς ἐπῃρμένους ἐπ᾿ αὐτοὺς συνέτριψαν αὐτοὺς ἐν πολέμῳ καὶ κατεκράτησαν αὐτῶν·

Α Μακ. 8,5 - Και αυτόν ακόμη τον Φιλιππον και τον Περσέα, βασιλέα των Κιτιέων, όπως επίσης και όλους εκείνους που είχαν πάρει όπλα εναντίον των, οι Ρωμαίοι κατόπιν πολέμων τους συνέτριψαν και εγιναν κύριοι αυτών.

Α Μακ. 8,6 - καὶ Ἀντίοχον τὸν μέγαν βασιλέα τῆς Ἀσίας τὸν πορευθέντα ἐπ᾿ αὐτοὺς εἰς πόλεμον ἔχοντα ἑκατὸν εἴκοσιν ἐλέφαντας καὶ ἵππον καὶ ἅρματα καὶ δύναμιν πολλὴν σφόδρα, καὶ συνετρίβη ὑπ᾿ αὐτῶν,

Α Μακ. 8,6 - Τον Αντίοχον, τον μέγαν βασιλέα της Ασίας, ο οποίος εβάδισεν εναντίον των με εκατόν είκοσι ελέφαντας, με ιππικόν, με πολεμικά άρματα και με μεγάλην δύναμιν, τον συνέτριψαν.

Α Μακ. 8,7 - καὶ ἔλαβον αὐτὸν ζῶντα καὶ ἔστησαν αὐτοῖς διδόναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας μετ᾿ αὐτὸν φόρον μέγαν καὶ διδόναι ὅμηρα καὶ διαστολὴν

Α Μακ. 8,7 - Τον συνέλαβαν δε ζώντα και υπεχρέωσαν αυτόν τον ίδιον και τους διαδόχους του να πληρώνουν μεγάλον φόρον εις αυτούς. Αυτός επίσης υπεχρεώθη να τους παραδώση και ομήρους, να παραχωρήση δε ένα μεγάλο τμήμα του βασιλείου του,

Α Μακ. 8,8 - καὶ χώραν τὴν Ἰνδικὴν καὶ Μηδίαν καὶ Λυδίαν καὶ ἀπὸ τῶν καλλίστων χωρῶν αὐτῶν, καὶ λαβόντες αὐτὰς παρ᾿ αὐτοῦ ἔδωκαν αὐτὰς Εὐμένει τῷ βασιλεῖ·

Α Μακ. 8,8 - δηλαδή την Ινδικήν, την Μηδίαν, την Λυδίαν, περιοχάς από τας πλέον εκλεκτάς του βασιλείου του. Οι Ρωμαίοι επήραν τας χώρας αυτάς από αυτόν και τας παρεχώρησαν στον βασιλέα Ευμένην.

Α Μακ. 8,9 - καὶ ὅτι οἱ ἐκ τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν καὶ ἐξᾶραι αὐτούς,

Α Μακ. 8,9 - Είπαν ακόμη στον Ιούδαν, ότι και οι κάτοικοι της Ελλάδος είχαν πάρει την απόφασιν να εκστρατεύσουν και να εξολοθρεύσουν τους Ρωμαίους.

Α Μακ. 8,10 - καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς, καὶ ἀπέστειλαν ἐπ᾿ αὐτοὺς στρατηγὸν ἕνα καὶ ἐπολέμησαν πρὸς αὐτούς, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί, καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ ἐπρονόμευσαν αὐτοὺς καὶ κατεκράτησαν τῆς γῆς αὐτῶν καὶ καθεῖλον τὰ ὀχυρώματα αὐτῶν καὶ κατεδουλώσαντο αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης·

Α Μακ. 8,10 - Αυτό όμως το σχέδιόν των έγινεν γνωστόν στους Ρωμαίους, οι οποίοι απέστειλαν εναντίον των ένα στρατηγόν με την ανάλογον στρατιωτικήν δύναμιν. Οι Ρωμαίοι επολέμησαν εναντίον των Ελλήνων, εφόνευσαν πολλούς από αυτούς, επήραν αιχμαλώτους τας γυναίκας των και τα παιδιά των, ελεηλάτησαν τας περιουσίας των και έγιναν κύριοι της χώρας των. Κατέστρεψαν τας οχυράς αυτών θέσεις και κατέστησαν αυτούς δούλους μέχρις αυτής της ημέρας.

Α Μακ. 8,11 - καὶ τὰς ἐπιλοίπους βασιλείας καὶ τὰς νήσους, ὅσοι ποτὲ ἀντέστησαν αὐτοῖς, κατέφθειραν καὶ ἐδούλωσαν αὐτούς,

Α Μακ. 8,11 - Ολα τα άλλα βασίλεια και τας νήσους και γενικώς όσους έφεραν αντίστασιν εναντίον των, τους κατέστρεψαν και τους κατέστησαν δούλους.

Α Μακ. 8,12 - μετὰ δὲ τῶν φίλων αὐτῶν καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς συνετήρησαν φιλίαν· καὶ κατεκράτησαν τῶν βασιλειῶν τῶν ἐγγὺς καὶ τῶν μακράν, καὶ ὅσοι ἤκουον τὸ ὄνομα αὐτῶν, ἐφοβοῦντο ἀπ᾿ αὐτῶν.

Α Μακ. 8,12 - Με τους φίλους των όμως, όπως και με εκείνους οι οποίοι επανεπαύοντο εις αυτούς, ήσαν και έμεναν φίλοι. Γενικώς οι Ρωμαίοι έγιναν κύριοι των πλησίον και των μακράν από αυτούς βασιλείων, ώστε όλοι εκείνοι, οι οποίοι ήκουαν το όνομά των, τους εφοβούντο.

Α Μακ. 8,13 - ὅσοις δ᾿ ἂν βούλωνται βοηθεῖν καὶ βασιλεύειν, βασιλεύουσιν· οὓς δ᾿ ἂν βούλωνται, μεθιστῶσι· καὶ ὑψώθησαν σφόδρα.

Α Μακ. 8,13 - Οσους δε οι Ρωμαίοι ήθελαν να βοηθήσουν και να τους υποστηρίξουν εις την βασιλείαν των, τους άφηναν ανενοχλήτους στον

θρόνον των. Οσους όμως ήθελαν να τους απομακρύνουν από την βασιλείαν των, τους απεμάκρυναν. Κατ' αυτόν τον τρόπον οι Ρωμαίοι έγιναν πολύ ένδοξοι.

Α Μακ. 8,14 - καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπέθετο οὐδεὶς αὐτῶν διάδημα καὶ οὐ περιεβάλοντο πορφύραν ὥστε ἁδρυνθῆναι ἐν αὐτῇ·

Α Μακ. 8,14 - Παρ' όλα όμως αυτά, κανείς από τους Ρωμαίους δεν έθεσε βασιλικόν διάδημα εις την κεφαλήν του, ούτε και ενεδύθη βασιλικήν πορφύραν, ώστε να φανή ισχυρός εν τη εξουσία του.

Α Μακ. 8,15 - καὶ βουλευτήριον ἐποίησαν ἑαυτοῖς, καὶ καθ᾿ ἡμέραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴκοσι βουλευόμενοι διαπαντὸς περὶ τοῦ πλήθους τοῦ εὐκοσμεῖν αὐτούς·

Α Μακ. 8,15 - Εχουν δε σχηματίσει δια την εξυπηρέτησιν του έθνους των και βουλήν, την σύγκλητον. Καθημερινώς δε συσκέπτονται τριακόσια είκοσι μέλη, που ασχολούνται επιμελώς δια τα συμφέροντα του λαού και δια να κρατούν αυτόν εις καλήν κατάστασιν.

Α Μακ. 8,16 - καὶ πιστεύουσιν ἑνὶ ἀνθρώπῳ τὴν ἀρχὴν αὐτῶν κατ᾿ ἐνιαυτὸν καὶ κυριεύειν πάσης τῆς γῆς αὐτῶν, καὶ πάντες ἀκούουσι τοῦ ἑνός, καὶ οὐκ ἔστι φθόνος οὐδὲ ζῆλος ἐν αὐτοῖς.

Α Μακ. 8,16 - Καθε έτος παραδίδουν με εμπιστοσύνην την διοίκησίν των εις ένα άνδρα, ο οποίος και κυβερνά όλην την χώραν των. Ολοι υπακούουν εις αυτόν τον ένα άνδρα και δεν υπάρχει μεταξύ των φθόνος και ζηλοτυπία.

Α Μακ. 8,17 - καὶ ἐπέλεξεν Ἰούδας τὸν Εὐπόλεμον υἱὸν Ἰωάννου τοῦ Ἀκκὼς καὶ Ἰάσονα υἱὸν Ἐλεαζάρου καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥώμην στῆσαι αὐτοῖς φιλίαν καὶ συμμαχίαν

Α Μακ. 8,17 - Κατόπιν αυτών των πληροφοριών, ο Ιούδας εξέλεξε τον Ευπόλεμον υιόν Ιωάννου του Ακκώς, και τον Ιάσονα υιόν του Ελεαζάρου, και τους έστειλεν εις την Ρωμην, να συνάψουν με τους Ρωμαίους φιλίαν και συμμαχίαν,

Α Μακ. 8,18 - καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ᾿ αὐτῶν, ὅτι εἶδον τὴν βασιλείαν τῶν Ἑλλήνων καταδουλουμένους τὸν Ἰσραὴλ δουλείᾳ.

Α Μακ. 8,18 - και να τους απαλλάξουν από τον ζυγόν, διότι έβλεπον ότι το βασίλειον των Ελλήνων είχε σκοπόν και επιδίωξιν να καταδουλώση τους Ισραηλίτας.

Α Μακ. 8,19 - καὶ ἐπορεύθησαν εἰς Ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ σφόδρα, καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον καὶ ἀπεκρίθησαν καὶ εἶπον·

Α Μακ. 8,19 - Αυτοί, λοιπόν, κατόπιν πάρα πολύ μακρυνού ταξιδίου επήγαν εις την Ρωμην, εισήλθον στο βουλευτήριον και επήραν τον λόγον και είπαν·

Α Μακ. 8,20 - Ἰούδας ὁ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆθος τῶν Ἰουδαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς στῆσαι μεθ᾿ ὑμῶν συμμαχίαν

καὶ εἰρήνην καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ φίλους ὑμῶν.

Α Μακ. 8,20 - “ο Ιούδας ο Μακκαβαίος, οι αδελφοί αυτού και ο λαός των Ιουδαίων μας απέστειλαν προς σας, να συνάψωμεν συμμαχίαν και ειρήνην και να εγγραφώμεν και ημείς μεταξύ των συμμάχων και των φίλων σαςό

Α Μακ. 8,21 - καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν.

Α Μακ. 8,21 - Ο λόγος αυτός ήρεσεν στους Ρωμαίους και η αίτησις των Ιουδαίων έγινε δεκτή.

Α Μακ. 8,22 - καὶ τοῦτο τὸ ἀντίγραφον τῆς ἐπιστολῆς, ἧς ἀντέγραψεν ἐπὶ δέλτοις χαλκαῖς καὶ ἀπέστειλεν εἰς Ἱερουσαλὴμ εἶναι παρ᾿ αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης καὶ συμμαχίας.

Α Μακ. 8,22 - Αυτό δε είναι και το αντίγραφαν της συμφωνίας, την οποίαν εχάραξαν επάνω εις χαλκίνας πινακίδας και απέστειλαν εις την Ιερουσαλήμ, ώστε να μένη εκεί εις αυτούς εις υπόμνησιν της φιλίας και της συμμαχίας.

Α Μακ. 8,23 - «Καλῶς γένοιτο Ῥωμαίοις καὶ τῷ ἔθνει Ἰουδαίων ἐν τῇ θαλάσσῃ καὶ ἐπὶ τῆς ξηρᾶς εἰς τὸν αἰῶνα, καὶ ῥομφαία καὶ ἐχθρὸς μακρυνθείη ἀπ᾿ αὐτῶν.

Α Μακ. 8,23 - “Ευτυχία και ειρήνη είθε να υπάρχη στους Ρωμαίους και το Ιουδαϊκόν έθνος, κατά θάλασσαν και κατά ξηράν πάντοτε. Μακράν ας είναι από αυτούς η ρομφαία και ο εχθρός.

Α Μακ. 8,24 - ἐὰν δὲ ἐνστῇ πόλεμος ἐν Ῥώμῃ προτέρᾳ ἢ πᾶσι τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ κυρείᾳ αὐτῶν,

Α Μακ. 8,24 - Εις περίπτωσιν όμως που θα ενσκήψη πόλεμος εναντίον των Ρωμαίων κατά πρώτον η εις ένα εκ των συμμάχων των καθ' όλην την έκτασιν της κυριαρχίας του,

Α Μακ. 8,25 - συμμαχήσει τὸ ἔθνος τῶν Ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ὑπογραφῇ αὐτοῖς καρδίᾳ πλήρει.

Α Μακ. 8,25 - το έθνος των Ιουδαίων θα συμμαχήση και θα δώση βοήθειαν εις αυτούς, καθώς αι περιστάσεις θα υπαγορεύσουν, με όλην των την καρδίαν.

Α Μακ. 8,26 - καὶ τοῖς πολεμοῦσιν οὐ δώσουσιν οὐδὲ ἐπαρκέσουσι σῖτον, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥωμαίοις· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν οὐθὲν λαβόντες.

Α Μακ. 8,26 - Δεν θα δώσουν βοήθειαν ούτε και θα προμηθεύσουν στους πολεμούντας τους Ρωμαίους σίτον, ούτε όπλα, ούτε χρήματα, ούτε πλοία. Αυτή είναι η θέλησις των Ρωμαίων. Οι Ιουδαίοι είναι υποχρεωμένοι να τηρήσουν όλα αυτά, χωρίς να λάβουν κανένα αντάλλαγμα.

Α Μακ. 8,27 - κατὰ τὰ αὐτὰ δὲ ἐὰν ἔθνει Ἰουδαίων συμβῇ προτέροις πόλεμος, συμμαχήσουσιν οἱ Ῥωμαῖοι ἐκ ψυχῆς, ὡς ἂν αὐτοῖς ὁ καιρὸς ὑπογράφῃ·

Α Μακ. 8,27 - Κατά παρόμοιον τρόπον εάν συμβή πόλεμος εναντίον των Ιουδαίων, οι Ρωμαίοι θα συμμαχήσουν με όλην των την ψυχήν με αυτούς, όπως θα υπαγορεύουν εις αυτούς αι περιστάσεις.

Α Μακ. 8,28 - καὶ τοῖς συμμαχοῦσιν οὐ δοθήσεται σῖτος, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥώμῃ· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν καὶ οὐ μετὰ δόλου. –

Α Μακ. 8,28 - Οι Ρωμαίοι είναι υποχρεωμένοι να μη δώσουν εις τα εχθρικά σύμμαχα κατά των Εβραίων έθνη ούτε σίτον, ούτε όπλα ούτε χρήματα, ούτε πλοία. Αυτά απεφάσισεν η Ρωμη. Οι Ρωμαίοι υπόσχονται ότι θα τηρήσουν τας υποχρεώσεις των ακριβώς και ειλικρινώς".

Α Μακ. 8,29 - ατὰ τοὺς λόγους τούτους ἔστησαν Ῥωμαῖοι τῷ δήμῳ τῶν Ἰουδαίων.

Α Μακ. 8,29 - Αυτούς τους όρους έθεσαν οι Ρωμαίοι στον λαόν των Ιουδαίων δια την συνθήκην.

Α Μακ. 8,30 - ἐὰν δὲ μετὰ τοὺς λόγους τούτους βουλεύσωνται οὗτοι καὶ οὗτοι προσθεῖναι ἢ ἀφελεῖν, ποιήσονται ἐξ αἱρέσεως αὐτῶν, καὶ ὃ ἐὰν προσθῶσιν ἢ ἀφέλωσιν, ἔσται κύρια.

Α Μακ. 8,30 - Εάν δε έπειτα από την υπογραφείσαν με τους όρους αυτούς συνθήκην θελήσουν είτε οι Ρωμαίοι είτε οι Ιουδαίοι να προσθέσουν η να αφαιρέσουν κάτι, θα το κάμουν κατόπιν κοινής συμφωνίας και αυτό που θα προσθέσουν η θα αφαιρέσουν, θα έχη κύρος και θα είναι υποχρεωτικόν δι' αμφοτέρους.

Α Μακ. 8,31 - καὶ περὶ τῶν κακῶν, ὧν ὁ βασιλεὺς Δημήτριος συντελεῖται εἰς αὐτούς, ἐγράψαμεν αὐτῷ λέγοντες· διατί ἐβάρυνας τὸν ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς συμμάχους Ἰουδαίους;

Α Μακ. 8,31 - Ως προς δε τα δεινά, τα οποία ο βασιλεύς Δημήτριος διαπράττει εις βάρος των Ιουδαίων, εγράψαμεν προς αυτόν τα εξής· "Διατί κατέστησας βαρύν τον ζυγόν σου επάνω στους φίλους μας, τους συμμάχους μας τους Ιουδαίους;

Α Μακ. 8,32 - ἐὰν οὖν ἔτι ἐντύχωσι κατὰ σοῦ, ποιήσομεν αὐτοῖς τὴν κρίσιν καὶ πολεμήσομέν σε διὰ τῆς θαλάσσης καὶ διὰ τῆς ξηρᾶς».

Α Μακ. 8,32 - Εάν αυτοί σε κατηγορήσουν και πάλιν προς ημάς, ημείς θα πράξωμεν σύμφωνα με το δίκαιόν των και θα σε πολεμήσωμεν κατά θάλασσαν και κατά ξηράν".

Α ΜΑΚΚΑΒΑΙΩΝ 9

Α Μακ. 9,1 - Καὶ ἤκουσε Δημήτριος ὅτι ἔπεσε Νικάνωρ καὶ αἱ δυνάμεις αὐτοῦ ἐν πολέμῳ, καὶ προσέθετο τὸν Βακχίδην καὶ τὸν Ἄλκιμον ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν Ἰούδα καὶ τὸ δεξιὸν κέρας μετ᾿ αὐτῶν.

Α Μακ. 9,1 - Ο Δημήτριος επληροφορήθη ότι ο Νικάνωρ έπεσε μαχόμενος, ότι αι δυνάμεις αυτού εξωλοθρεύθησαν στον πόλεμον και απεφάσισε να στείλη πάλιν τον Βακχίδην και τον Αλκιμον εις την, Ιουδαίαν, μαζή των δε και την δεξιάν πτέρυγα του στρατού του.

Α Μακ. 9,2 - καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γάλγαλα καὶ παρενέβαλον ἐπὶ Μαισαλὼθ τὴν ἐν Ἀρβήλοις καὶ προκατελάβοντο αὐτὴν καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς.

Α Μακ. 9,2 - Αυτοί ηκολούθησαν την οδόν, που φέρει εις Γαλγαλα, και εστρατοπέδευσαν εις την Μαισαλώθ, η οποία ευρίσκετο εις την χώραν των Αρβήλων. Εκυρίευσαν την πόλιν αυτήν και εφόνευσαν πάρα πολλούς ανθρώπους.

Α Μακ. 9,3 - καὶ τοῦ μηνὸς τοῦ πρώτου ἔτους τοῦ δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ παρενέβαλον ἐπὶ Ἱερουσαλήμ·

Α Μακ. 9,3 - Κατά τον πρώτον μήνα του εκατοστού πεντηκοστού δευτέρου έτους της χρονολογίας των Σελευκιδών εστρατοπέδευσαν αυτοί απέναντι από την Ιερουσαλήμ.

Α Μακ. 9,4 - καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς Βερέαν ἐν εἴκοσι χιλιάσιν ἀνδρῶν καὶ δισχιλίᾳ ἵππῳ.

Α Μακ. 9,4 - Επειτα εσηκώθησαν και μετέβησαν εις Βερέαν με είκοσι χιλιάδας άνδρας πεζούς και δύο χιλιάδας ιππείς.

Α Μακ. 9,5 - καὶ Ἰούδας ἦν παρεμβεβληκὼς ἐν Ἐλασά, καὶ τρισχίλιοι ἄνδρες ἐκλεκτοὶ μετ᾿ αὐτοῦ.

Α Μακ. 9,5 - Ο Ιούδας είχε στρατοπεδεύσει εις Ελασά με τρεις χιλιάδας εκλεκτούς άνδρας του.

Α Μακ. 9,6 - καὶ εἶδον τὸ πλῆθος τῶν δυνάμεων ὅτι πολλοί εἰσι, καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐξεῤῥύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς, οὐ κατελείφθησαν ἐξ αὐτῶν ἀλλ᾿ ἢ ὀκτακόσιοι ἄνδρες.

Α Μακ. 9,6 - Οταν οι Ιουδαίοι στρατιώται είδαν το πλήθος των εχθρικών δυνάμεων, ότι είναι αυτοί πολλοί και ισχυροί, εφοβήθησαν πάρα πολύ. Διέρρευσαν πολλοί από το στρατόπεδον και δεν απέμειναν από αυτούς, ει μη μόνον οκτακόσιοι άνδρες.

Α Μακ. 9,7 - καὶ εἶδεν Ἰούδας ὅτι ἀπεῤῥύη ἡ παρεμβολὴ αὐτοῦ καὶ ὁ πόλεμος ἔθλιβεν αὐτόν, καὶ συνετρίβη τῇ καρδίᾳ, ὅτι οὐκ εἶχε καιρὸν συναγαγεῖν αὐτούς,

Α Μακ. 9,7 - Ο Ιούδας όταν είδεν ότι ο στρατός του διέρρευσε και ότι η επικειμένη σύρραξις θα ήτο καταθλιπτική δι' αυτόν, ησθάνθη την καρδίαν του να συντρίβεται, διότι δεν είχε πλέον καιρόν να συγκεντρώση τους άνδρας του.

Α Μακ. 9,8 - καὶ ἐξελύθη καὶ εἶπε τοῖς καταλειφθεῖσιν· ἀναστῶμεν καὶ ἀναβῶμεν ἐπὶ τοὺς ὑπεναντίους ἡμῶν, ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι

αὐτούς.

Α Μακ. 9,8 - Ησθάνθη τον εαυτόν του να παραλύη από την αδυναμίαν εις την περίστασιν αυτήν· εν τούτοις είπεν στους υπολειφθέντας· “ας σηκωθώμεν και ας προχωρήσωμεν εναντίον των εχθρών μας. Ισως και ημπορέσωμεν να τους καταπολεμήσωμεν”.

Α Μακ. 9,9 - καὶ ἀπέστρεφον αὐτὸν λέγοντες· οὐ μὴ δυνώμεθα, ἀλλ᾿ ἢ σῴζωμεν τὰς ἑαυτῶν ψυχὰς τὸ νῦν καὶ ἐπιστρέψωμεν μετὰ τῶν ἀδελφῶν ἡμῶν καὶ πολεμήσωμεν πρὸς αὐτούς, ἡμεῖς δὲ ὀλίγοι.

Α Μακ. 9,9 - Εκείνοι όμως τον απέτρεπαν και του έλεγαν· “δεν θα ημπορέσωμεν να επιτύχωμεν νίκην. Το μόνον, που ημπορούμεν να κάμωμεν είναι, να σώσωμεν σήμερον την ζωήν μας και να επανέλθωμεν να πολεμήσωμεν αυτούς βραδύτερον μαζή με τους άλλους τους περισσοτέρους αδελφούς μας. Ημείς τώρα είμεθα πολύ ολίγοι.

Α Μακ. 9,10 - καὶ εἶπεν Ἰούδας· μή μοι γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦτο, φυγεῖν ἀπ᾿ αὐτῶν, καὶ εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθάνωμεν ἐν ἀνδρείᾳ χάριν τῶν ἀδελφῶν ἡμῶν καὶ μὴ καταλίπωμεν αἰτίαν τῇ δόξῃ ἡμῶν.

Α Μακ. 9,10 - Ο Ιούδας απήντησεν εις αυτούς· “Θεός φυλάζοι να πράξω εγώ αυτό, το οποίον με συμβουλεύετε, να φύγω ενώπιον αυτών. Εάν ήλθεν η ώρα μας, ας αποθάνωμεν γενναίως χάριν των αδελφών μας και ας μη αφήσωμεν σκιαν εις την δόξαν μας”.

Α Μακ. 9,11 - καὶ ἀπῇρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς καὶ ἔστησαν εἰς συνάντησιν αὐτοῖς, καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη, καὶ οἱ σφενδονῆται καὶ οἱ τοξόται προεπορεύοντο τῆς δυνάμεως, καὶ οἱ πρωταγωνισταὶ πάντες οἱ δυνατοί·

Α Μακ. 9,11 - Η στρατιωτική δύναμις των Συρων εξήλθεν από το στρατόπεδον και κατηυθύνετο εις συνάντησιν των Ιουδαίων. Το εχθρικόν ιππικόν διηρέθη εις δύο σώματα, οι σφενδονήται και οι τοξόται επροπορεύοντο από τον στρατόν, οι δε γενναιότεροι μεταξύ αυτών ευρίσκοντο εις την πρώτην σειράν.

Α Μακ. 9,12 - Βακχίδης δὲ ἦν ἐν τῷ δεξιῷ κέρατι. καὶ ἤγγισεν ἡ φάλαγξ ἐκ τῶν δύο μερῶν καὶ ἐφώνουν ταῖς σάλπιγξι,

Α Μακ. 9,12 - Ο Βακχίδης ήτο εις την δεξιάν πτέρυγα του στρατού του. Ολη η φάλαγξ του εχθρικού στρατού, που απετελείτο από τας δύο πτέρυγας, προχωρούσε και αι σάλπιγγες αυτών εσάλπιζαν τα πολεμικά συνθήματα.

Α Μακ. 9,13 - καὶ ἐσάλπισαν οἱ παρὰ Ἰούδᾳ καὶ αὐτοὶ ταῖς σάλπιγξι· καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ τῆς φωνῆς τῶν παρεμβολῶν, καὶ ἐγένετο ὁ πόλεμος συνημμένος ἀπὸ πρωΐθεν ἕως ἑσπέρας.

Α Μακ. 9,13 - Εσάλπισαν επίσης και οι άνδρες του Ιούδα με τας ιεράς των σάλπιγγας. Η γη συνεκλονίσθη από τον μεγάλον θόρυβον των δύο

στρατών. Η μάχη ήρχισεν από το πρωϊ και διήρκεσεν έως το βράδυ.
Α Μακ. 9,14 - καὶ εἶδεν Ἰούδας ὅτι Βακχίδης καὶ τὸ στερέωμα τῆς παρεμβολῆς ἐν τοῖς δεξιοῖς, καὶ συνῆλθον αὐτῷ πάντες οἱ εὔψυχοι τῇ καρδίᾳ,
Α Μακ. 9,14 - Ο Ιούδας είδεν ότι ο Βακχίδης και το ισχυρότερον μέρος του στρατού του ευρίσκοντο εις την δεξιάν πτέρυγα. Συνεκέντρωσε, λοιπόν, γύρω του όλους τους γενναίους κατά την καρδίαν Ιουδαίους,
Α Μακ. 9,15 - καὶ συνετρίβη τὸ δεξιὸν κέρας ἀπ᾿ αὐτῶν, καὶ ἐδίωκεν ὀπίσω αὐτῶν ἕως Ἀζώτου ὄρους.
Α Μακ. 9,15 - επετέθη εναντίον της δεξιάς πτέρυγας των πολεμίων, την συνέτριψε και κατεδίωκε τους φεύγοντας στρατιώτας μέχρι του όρους της Αζώτου.
Α Μακ. 9,16 - καὶ εἰς τὸ ἀριστερὸν κέρας εἶδον ὅτι συνετρίβη τὸ δεξιὸν κέρας, καὶ ἐπέστρεψαν κατὰ πόδας Ἰούδα καὶ τῶν μετ᾿ αὐτοῦ ἐκ τῶν ὄπισθεν.
Α Μακ. 9,16 - Οι απαρτίζοντες όμως την αριστεράν πτέρυγα Σύροι στρατιώται, όταν είδον ότι συνετρίβη η δεξιά των πτέρυξ, εστράφησαν πίσω από τον Ιούδαν και επετέθησαν εναντίον αυτού και των ανδρών του εκ των όπισθεν.
Α Μακ. 9,17 - καὶ ἐβαρύνθη ὁ πόλεμος, καὶ ἔπεσον τραυματίαι πολλοὶ ἐκ τούτων καὶ ἐκ τούτων.
Α Μακ. 9,17 - Η μάχη έγινε πολύ σκληρά. Επεσαν πολλοί νεκροί από την παράταξιν των Συρων και των Ιουδαίων.
Α Μακ. 9,18 - καὶ Ἰούδας ἔπεσε, καὶ οἱ λοιποὶ ἔφυγον.
Α Μακ. 9,18 - Επεσε δε και ο Ιούδας ηρωϊκώς μαχόμενος, ενώ οι άλλοι άνδρες του ετράπησαν εις φυγήν.
Α Μακ. 9,19 - καὶ ἦραν Ἰωνάθαν καὶ Σίμων Ἰούδαν τὸν ἀδελφὸν αὐτῶν καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ ἐν Μωδεΐν.
Α Μακ. 9,19 - Ο Ιωνάθαν και ο Σιμων εσήκωσαν και επήραν το πτώμα του αδελφού των και το έθαψαν στον τάφον των πατέρων των εις Μωδεΐν.
Α Μακ. 9,20 - καὶ ἔκλαυσαν αὐτὸν καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν καὶ ἐπένθουν ἡμέρας πολλὰς καὶ εἶπον·
Α Μακ. 9,20 - Ολοι οι Ισραηλίται τον έκλαυσαν με κοπετούς και θρήνους. Επένθησαν επί πολλάς ημέρας και είπαν·
Α Μακ. 9,21 - πῶς ἔπεσε δυνατὸς σῴζων τὸν Ἰσραήλ;
Α Μακ. 9,21 - “πως έπεσεν ο μεγάλος αυτός ήρως, ο οποίος έσωζεν έως τώρα τον Ισραήλ;”
Α Μακ. 9,22 - καὶ τὰ περισσὰ τῶν λόγων Ἰούδα καὶ τῶν πολέμων καὶ τῶν ἀνδραγαθιῶν, ὧν ἐποίησε, καὶ τῆς μεγαλωσύνης αὐτῶν οὐ κατεγράφη, πολλὰ γὰρ ἦν σφόδρα.

Α Μακ. 9,22 - Τα υπόλοιπα από την ιστορίαν του Ιούδα και των πολέμων και των ανδραγαθημάτων, τα οποία έκαμε, και τα της μεγάλης αυτού δόξης δεν κατεγράφησαν, διότι ήσαν πάρα πολλά.

Α Μακ. 9,23 - Καὶ ἐγένετο, μετὰ τὴν τελευτὴν Ἰούδα ἐξέκυψαν οἱ ἄνομοι ἐν πᾶσι τοῖς ὁρίοις Ἰσραήλ, καὶ ἀνέτειλαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀδικίαν.

Α Μακ. 9,23 - Μετά τον θάνατον του Ιούδα, οι εξωμόται από τους Ιουδαίους ανεθάρρησαν, επρόβαλαν εις όλην την περιοχήν της Ιουδαίας και εσήκωσαν το κεφάλι των όλοι οι εργάται της αδικίας.

Α Μακ. 9,24 - ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη λιμὸς μέγας σφόδρα, καὶ ηὐτομόλησεν ἡ χώρα μετ᾿ αὐτῶν.

Α Μακ. 9,24 - Κατά τας ημέρας εκείνας έπεσε πολύ μεγάλη πείνα. Το έδαφος ωσάν να ηρνήθη την ευφορίαν του και να ετάχθη με το μέρος των παρανόμων Ιουδαίων.

Α Μακ. 9,25 - καὶ ἐξέλεξε Βακχίδης τοὺς ἀσεβεῖς ἄνδρας καὶ κατέστησεν αὐτοὺς κυρίους τῆς χώρας.

Α Μακ. 9,25 - Ο Βακχίδης επωφελούμενος της περιστάσεως εξέλεξε τους ασεβείς αυτούς άνδρας της Ιουδαίας και τους εγκατέστησε κυρίους ολοκλήρου της χώρας.

Α Μακ. 9,26 - καὶ ἐξεζήτουν καὶ ἐξηρεύνων τοὺς φίλους Ἰούδα καὶ ἦγον αὐτοὺς πρὸς Βακχίδην, καὶ ἐξεδίκει ἐν αὐτοῖς καὶ ἐνέπαιζεν αὐτοῖς.

Α Μακ. 9,26 - Αυτοί ερευνούσαν και αναζητούσαν τους φίλους του Ιούδα, τους έφεραν προς τον Βακχίδην, ο οποίος τους ετιμώρει και τους ενέπαιζε.

Α Μακ. 9,27 - καὶ ἐγένετο θλῖψις μεγάλη ἐν τῷ Ἰσραήλ, ἥτις οὐκ ἐγένετο ἀφ᾿ ἧς ἡμέρας οὐκ ὤφθη προφήτης ἐν αὐτοῖς.

Α Μακ. 9,27 - Επεσε πολύ μεγάλη και βαρεία θλίψις μεταξύ των Ισραηλιτών, όμοια της οποίας δεν είχε γίνει αφ' ης εποχής δεν ενεφανίσθη προφήτης μεταξύ των Ιουδαίων.

Α Μακ. 9,28 - καὶ ἠθροίσθησαν πάντες οἱ φίλοι Ἰούδα καὶ εἶπον τῷ Ἰωνάθαν·

Α Μακ. 9,28 - Τοτε όλοι οι φίλοι του Ιούδα συνεκεντρώθησαν και είπαν προς τον Ιωνάθαν·

Α Μακ. 9,29 - ἀφ᾿ οὗ ὁ ἀδελφός σου Ἰούδας τετελεύτηκε, καὶ ἀνὴρ ὅμοιος αὐτῷ οὐκ ἔστιν ἐξελθεῖν πρὸς τοὺς ἐχθροὺς καὶ Βακχίδην, καὶ ἐν τοῖς ἐχθραίνουσιν τοῦ ἔθνους ἡμῶν·

Α Μακ. 9,29 - “Από τότε που ο αδελφός σου Ιούδας απέθανε, δεν υπάρχει πλέον ανήρ όμοιος προς αυτόν, δια να εξέλθη εναντίον των εχθρών, εναντίον του Βακχίδου και εναντίον παντός εχθρού του έθνους μας.

Α Μακ. 9,30 - νῦν οὖν σε ᾑρετισάμεθα σήμερον τοῦ εἶναι ἀντ᾿ αὐτοῦ ἡμῖν εἰς ἄρχοντα καὶ ἡγούμενον τοῦ πολεμῆσαι τὸν πόλεμον ἡμῶν.

Α Μακ. 9,30 - Σημερον λοιπόν σε εκλέγομεν άρχοντά μας αντ' αυτού και στρατηγόν, δια να διεξαγάγης τους πολέμους μας”.

Α Μακ. 9,31 - καὶ ἐπεδέξατο Ἰωνάθαν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν ἥγησιν καὶ ἀνέστη ἀντὶ Ἰούδα τοῦ ἀδελφοῦ αὐτοῦ.

Α Μακ. 9,31 - Ο Ιωνάθαν εδέχθη κατά τον καιρόν εκείνον την αρχηγίαν και ανέλαβε την εξουσίαν αντί του Ιούδα του αδελφού του.

Α Μακ. 9,32 - Καὶ ἔγνω Βακχίδης καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι.

Α Μακ. 9,32 - Ο Βακχίδης επληροφορήθη την εκλογήν αυτήν και επεζήτει ευκαιρίαν νο φονεύση τον Ιωνάθαν.

Α Μακ. 9,33 - καὶ ἔγνω Ἰωνάθαν καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ· καὶ πάντες οἱ μετ᾿ αὐτοῦ καὶ ἔφυγον εἰς τὴν ἔρημον Θεκωὲ καὶ παρενέβαλον ἐπὶ τὸ ὕδωρ λάκκου Ἀσφάρ.

Α Μακ. 9,33 - Αλλά ο Ιωνάθαν και ο Σιμων ο αδελφός του και όλοι, όσοι ήσαν μαζή του, έμαθαν την απόφασιν αυτήν του Βακχίδου και κατέφυγαν εις την έρημον Θεκωέ και εστρατοπέδευσαν πλησίον του ύδατος της δεξαμενής Ασφάρ.

Α Μακ. 9,34 - καὶ ἔγνω Βακχίδης τῇ ἡμέρᾳ τῶν σαββάτων καὶ ἦλθεν αὐτὸς καὶ πᾶν τὸ στράτευμα αὐτοῦ πέραν τοῦ Ἰορδάνου.

Α Μακ. 9,34 - Ο Βακχίδης κατά κάποιον Σαββατον επληροφορήθη το γεγονός αυτό και ήλθεν αυτός και όλος ο στρατός του πέραν από τον Ιορδάνην.

Α Μακ. 9,35 - καὶ ἀπέστειλεν Ἰωνάθαν τὸν ἀδελφὸν αὐτοῦ ἡγούμενον τοῦ ὄχλου καὶ παρεκάλεσε τοὺς Ναβαταίους φίλους αὐτοῦ παραθέσθαι αὐτοῖς τὴν ἀποσκευὴν αὐτῶν τὴν πολλήν.

Α Μακ. 9,35 - Ο Ιωνάθαν έστειλε τον αδελφόν του ως αρχηγόν του λαού και παρεκάλεσε τους Ναβαταίους φίλους του, να αναλάβουν υπό την προστασίαν των τον πολύν άμαχον πληθυσμόν και τας πολλάς αποσκευάς των.

Α Μακ. 9,36 - καὶ ἐξῆλθον υἱοὶ Ἰαμβρὶ ἐκ Μηδαβὰ καὶ συνέλαβον Ἰωάννην καὶ πάντα, ὅσα εἶχε, καὶ ἀπῆλθον ἔχοντες.

Α Μακ. 9,36 - Οι απόγονοι όμως του Ιαμβρί εξήλθον από την Μηδαβά, συνέλαβαν και επήραν μαζή των τον Ιωάννην και όλα όσα είχε και απήλθον αποκομίζοντες αυτούς.

Α Μακ. 9,37 - μετὰ δὲ τοὺς λόγους τούτους ἀπήγγειλαν τῷ Ἰωνάθαν καὶ Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ ὅτι οἱ υἱοὶ Ἰαμβρὶ ποιοῦσι γάμον μέγαν καὶ ἄγουσι τὴν νύμφην ἀπὸ Ναδαβάθ, θυγατέρα ἑνὸς τῶν μεγάλων μεγιστάνων Χαναὰν μετὰ παραπομπῆς μεγάλης.

Α Μακ. 9,37 - Ολίγον χρόνον έπειτα από τα γεγονότα αυτά ανήγγειλαν στον Ιωνάθαν και στον Σιμωνα τον αδελφόν του, ότι οι απόγονοι του Ιαμβρί τελούν μεγαλοπρεπή γάμον με μεγάλην ακολουθίαν και πομπήν. Παίρνουν

από Ναβαβάθ ως νύμφην την θυγατέρα ενός από τους μεγάλους μεγιστάνας της Χαναάν.

Α Μακ. 9,38 - καὶ ἐμνήσθησαν Ἰωάννου τοῦ ἀδελφοῦ αὐτῶν καὶ ἀνέβησαν καὶ ἐκρύβησαν ὑπὸ τὴν σκέπην τοῦ ὄρους.

Α Μακ. 9,38 - Τοτε οι αδελφοί Ιωνάθαν και Σιμων ενεθυμήθησαν τον φονευθέντα από εκείνους αδελφόν των Ιωάννην, ανέβησαν και εκρύβησαν κάτω από κάποιαν εξοχήν του όρους.

Α Μακ. 9,39 - καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ εἶδον καὶ ἰδοὺ θροῦς καὶ ἀποσκευὴ πολλή, καὶ ὁ νυμφίος ἐξῆλθε καὶ οἱ φίλοι αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς συνάντησιν αὐτῶν μετὰ τυμπάνων καὶ μουσικῶν καὶ ὅπλων πολλῶν.

Α Μακ. 9,39 - Εσήκωσαν τα μάτια των και παρετήρησαν ότι ηκούετο μεγάλη βοή όχλου πολλού. Εξήλθεν ο νυμφίος και οι φίλοι του και οι αδελφοί του προς συνάντησιν της νύμφης με τύμπανα, με μουσικά όργανα και με πολλά όπλα.

Α Μακ. 9,40 - καὶ ἐξανέστησαν ἐπ᾿ αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου οἱ περὶ τὸν Ἰωνάθαν καὶ ἀπέκτειναν αὐτούς, καὶ ἔπεσον τραυματίαι πολλοί, καὶ οἱ ἐπίλοιποι ἔφυγον εἰς τὸ ὄρος· καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν.

Α Μακ. 9,40 - Τοτε ώρμησαν εναντίον αυτών από την ενέδραν των οι περί τον Ιωνάθαν και τους εφόνευσαν. Πολλοί ήσαν εκείνοι, που έπεσαν νεκροί, ενώ οι άλλοι πανικόβλητοι έφυγαν στο όρος. Οι Ιουδαίοι επήραν όλα τα λάφυρά των.

Α Μακ. 9,41 - καὶ μετεστράφη ὁ γάμος εἰς πένθος καὶ ἡ φωνὴ μουσικῶν αὐτῶν εἰς θρῆνον.

Α Μακ. 9,41 - Ετσι δε ο γάμος μετεβλήθη εις πένθος και αι χαρμόσυναι αρμονίαι των μουσικών εις θρήνον.

Α Μακ. 9,42 - καὶ ἐξεδίκησαν τὴν ἐκδίκησιν αἵματος ἀδελφοῦ αὐτῶν καὶ ἀπέστρεψαν εἰς τὸ ἕλος τοῦ Ἰορδάνου.

Α Μακ. 9,42 - Αφού εξεδικήθησαν τον θάνατον του αδελφού των, ο Ιωνάθαν και ο Σιμων επέστρεψαν στο έλος κοντά στον Ιορδάνην.

Α Μακ. 9,43 - καὶ ἤκουσε Βακχίδης καὶ ἦλθε τῇ ἡμέρᾳ τῶν σαββάτων ἕως τῶν κρηπίδων τοῦ Ἰορδάνου ἐν δυνάμει πολλῇ.

Α Μακ. 9,43 - Ο Βακχίδης επληροφορήθη το γεγονός και κατά την ημέραν του Σαββάτου ήλθε μέχρι της αποκρήμνου όχθης του Ιορδάνου με πολλήν δύναμιν.

Α Μακ. 9,44 - καὶ εἶπεν Ἰωνάθαν τοῖς παρ᾿ αὐτοῦ· ἀναστῶμεν νῦν καὶ πολεμήσωμεν ὑπὲρ τῶν ψυχῶν ἡμῶν, οὐ γάρ ἐστι σήμερον ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν·

Α Μακ. 9,44 - Ο Ιωνάθαν είπεν στους άνδρας, που είχε μαζή του· “ας σηκωθώμεν τώρα και ας πολεμήσωμεν δια την ζωήν μας, διότι η σημερινή

ημέρα δεν είναι, όπως η χθεσινή και η προχθεσινή.
Α Μακ. 9,45 - ἰδοὺ γὰρ ὁ πόλεμος ἐξεναντίας ἡμῶν καὶ ἐξόπισθεν ἡμῶν, τὸ δὲ ὕδωρ τοῦ Ἰορδάνου ἔνθεν καὶ ἔνθεν καὶ ἕλος καὶ δρυμός, οὐκ ἔστι τόπος τοῦ ἐκκλῖναι·
Α Μακ. 9,45 - Ιδού ότι οι πολέμιοί μας ευρίσκονται εμπρός μας και όπισθεν από ημάς. Το ύδωρ του Ιορδάνου είναι και από εδώ και από εκεί. Επίσης και έλος και δάσος υπάρχει γύρω μας, και δεν φαίνεται από πουθενά τόπος, να διαφύγωμεν και σωθώμεν.
Α Μακ. 9,46 - νῦν οὖν κεκράξατε εἰς οὐρανόν, ὅπως διασωθῆτε ἐκ χειρὸς ἐχθρῶν ὑμῶν.
Α Μακ. 9,46 - Τωρα λοιπόν κραυγάσατε με δύναμιν προς τον Θεόν του ουρανού, δια να βοηθήσή και διασωθήτε από τας χείρας των εχθρών σας”.
Α Μακ. 9,47 - καὶ συνῆψεν ὁ πόλεμος· καὶ ἐξέτεινεν Ἰωνάθαν τὴν χεῖρα αὐτοῦ πατάξαι τὸν Βακχίδην, καὶ ἐξέκλινεν ἀπ᾿ αὐτοῦ εἰς τὰ ὀπίσω.
Α Μακ. 9,47 - Η σύγκρουσις ήρχισεν. Ο Ιωνάθαν ήπλωσε το χέρι του να κτυπήσή τον Βακχίδην αλλά εκείνος εξέκλινεν από αυτόν και ερρίφθη εις τα οπίσω, δια να αποφύγή το κτύπημα.
Α Μακ. 9,48 - καὶ ἐνεπήδησεν Ἰωνάθαν καὶ οἱ μετ᾿ αὐτοῦ εἰς τὸν Ἰορδάνην καὶ διεκολύμβησαν εἰς τὸ πέραν, καὶ οὐ διέβησαν ἐπ᾿ αὐτοὺς τὸν Ἰορδάνην.
Α Μακ. 9,48 - Τοτε ο Ιωνάθαν μαζή με τους συντρόφους του επήδησεν στον Ιορδάνην, εκολύμβησαν και έφθασαν εις την αντίπεραν όχθην. Οι Σύροι όμως δεν διέβησαν τον Ιορδάνην, δια να τους καταδιώξουν.
Α Μακ. 9,49 - καὶ διέπεσον παρὰ Βακχίδου τῇ ἡμέρᾳ ἐκείνῃ εἰς χιλίους ἄνδρας.
Α Μακ. 9,49 - Κατά την ημέραν εκείνην έπεσαν από τον στρατόν του Βακχίδου χίλιοι στρατιώται.
Α Μακ. 9,50 - καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλήμ, καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς ἐν τῇ Ἰουδαίᾳ, τὸ ὀχύρωμα τὸ ἐν Ἱεριχῷ καὶ τὴν Ἀμμαοὺς καὶ τὴν Βαιθωρὼν καὶ τὴν Βαιθὴλ καὶ τὴν Θαμναθὰ Φαραθωνὶ καὶ τὴν Τεφὼν ἐν τείχεσιν ὑψηλοῖς καὶ πύλαις καὶ μοχλοῖς·
Α Μακ. 9,50 - Ο Βακχίδης έπειτα από το γεγονός αυτό επέστρεψεν εις την Ιερουσαλήμ, ανοικοδόμησαν δε κατ' εντολήν του πόλεις οχυράς ανά την Ιουδαίαν, το φρούριον το ευρισκόμενον πλησίον της Ιεριχούς, την Αμμαούς, την Βαιθωρών, την Βαιθήλ, την Θαμναθά Φαραθωνί και την Τεφών ωχύρωσε με υψηλά τείχη και με πύλας και μοχλούς.
Α Μακ. 9,51 - καὶ ἔθετο φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν τῷ Ἰσραήλ.
Α Μακ. 9,51 - Εθεσεν εις αυτάς φρουράς στρατιωτών, δια να κάνουν εχθροπραξίας κατά των Ιουδαίων.

Α Μακ. 9,52 - καὶ ᾠχύρωσε τὴν πόλιν τὴν ἐν Βαιθσούρᾳ καὶ τὴν Γάζαρα καὶ τὴν ἄκραν καὶ ἔθετο ἐν αὐταῖς δυνάμεις καὶ παραθέσεις βρωμάτων.

Α Μακ. 9,52 - Ωχύρωσεν επίσης την πόλιν Βαιθσούραν, την πόλιν Γαζαρα και την ακρόπολιν της Ιερουσαλήμ, και εγκατέστησεν εις αυτάς στρατεύματα και μεγάλας αποθηκεύσεις τροφίμων.

Α Μακ. 9,53 - καὶ ἔλαβε τοὺς υἱοὺς τῶν ἡγουμένων τῆς χώρας ὅμηρα καὶ ἔθετο αὐτοὺς ἐν τῇ ἄκρᾳ ἐν Ἱερουσαλὴμ ἐν φυλακῇ.

Α Μακ. 9,53 - Επήρεν ως ομήμους τα παιδιά των αρχηγών της χώρας, τα οποία και έκλεισεν εις την φυλακήν της ακροπόλεως της Ιερουσαλήμ.

Α Μακ. 9,54 - Καὶ ἐν ἔτει τρίτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ μηνὶ τῷ δευτέρῳ ἐπέταξεν Ἄλκιμος καθαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων τῆς ἐσωτέρας· καὶ καθεῖλε τὰ ἔργα τῶν προφητῶν καὶ ἐνήρξατο τοῦ καθαιρεῖν.

Α Μακ. 9,54 - Κατά το εκατοστόν πεντηκοστόν τρίτον έτος, τον δεύτερον μήνα, ο Αλκιμος διέταξε να κρημνίσουν το τείχος της εσωτερικής αυλής του ναού και έτσι κατέστρεψε τα έργα των προφητών. Ηρχισε η καταστροφή του τείχους.

Α Μακ. 9,55 - ἐν τῷ καιρῷ ἐκείνῳ ἐπλήγη Ἄλκιμος καὶ ἐνεποδίσθη τὰ ἔργα αὐτοῦ, καὶ ἀπεφράγη τὸ στόμα αὐτοῦ, καὶ παρελύθη καὶ οὐκ ἐδύνατο ἔτι λαλῆσαι λόγον καὶ ἐντείλασθαι περὶ τοῦ οἴκου αὐτοῦ.

Α Μακ. 9,55 - Κατά τον καιρόν όμως εκείνον ο Αλκιμος εκτυπήθη από τον Θεόν και εμποδίσθη πλέον η συνέχεια των καταστρεπτικών του έργων. Το στόμα του δηλαδή εφράγη, διότι προσεβλήθη από παραλυσίαν και δεν ημπορούσε να είπη ούτε μίαν λέξιν. Δεν ήτο εις θέσιν να δώση ούτε μίαν εντολήν δια τον οίκον του.

Α Μακ. 9,56 - καὶ ἀπέθανεν Ἄλκιμος ἐν τῷ καιρῷ ἐκείνῳ μετὰ βασάνου μεγάλης.

Α Μακ. 9,56 - Ετσι δε απέθανεν ο Αλκιμος κατά τον καιρόν εκείνον εν μέσω πολλών πόνων.

Α Μακ. 9,57 - καὶ εἶδε Βακχίδης ὅτι ἀπέθανεν Ἄλκιμος, καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα. καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἔτη δύο.

Α Μακ. 9,57 - Είδεν ο Βακχίδης ότι απέθανεν ο Αλκιμος και επέστρεψεν εις την Αντιόχειαν προς τον βασιλέα, η δε χώρα της Ιουδαίας ησύχασεν επί δύο έτη.

Α Μακ. 9,58 - Καὶ ἐβουλεύσαντο πάντες οἱ ἄνομοι λέγοντες· ἰδοὺ Ἰωνάθαν καὶ οἱ παρ᾿ αὐτοῦ ἐν ἡσυχίᾳ κατοικοῦσι πεποιθότες· νῦν οὖν ἄξομεν τὸν Βακχίδην, καὶ συλλήψεται αὐτοὺς πάντας ἐν νυκτὶ μιᾷ.

Α Μακ. 9,58 - Τοτε όλοι οι παράνομοι Ιουδαίοι συνήλθον εις σύσκεψιν και είπαν· “ιδού, ο Ιωνάθαν και οι οπαδοί του ζουν εν ειρήνή με την πεποίθησιν ότι ευρίσκονται εν ασφαλεία. Τωρα, λοιπόν, είναι καιρός να φέρωμεν τον Βακχίδην και να τους συλλάβη όλους κατά το διάστημα μιας και μόνης νυκτός”.

Α Μακ. 9,59 - καὶ πορευθέντες συνεβουλεύσαντο αὐτῷ.

Α Μακ. 9,59 - Επήγαν, ανεκοίνωσαν στον Βακχίδην το σχέδιόν των και τον συνεβουλεύθησαν.

Α Μακ. 9,60 - καὶ ἀπῇρε τοῦ ἐλθεῖν μετὰ δυνάμεως πολλῆς καὶ ἀπέστειλεν ἐπιστολὰς λάθρᾳ πᾶσι τοῖς συμμάχοις αὐτοῦ τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅπως συλλάβωσι τὸν Ἰωνάθαν καὶ τοὺς μετ᾿ αὐτοῦ· καὶ οὐκ ἐδύναντο, ὅτι ἐγνώσθη αὐτοῖς ἡ βουλὴ αὐτῶν.

Α Μακ. 9,60 - Εκείνος πράγματι εσηκώθη και με στρατιωτικήν δύναμιν πολλήν ήλθε και έστειλε κρυφίως γράμματα προς όλους τους συμμάχους του, που ευρίσκοντο εις την Ιουδαίαν, να συλλάβουν αιφνιδίως τον Ιωνάθαν και τους οπαδούς του. Αλλά δεν επέτυχαν να φέρουν εις πέρας το πονηρόν των σχέδιον, διότι αυτό περιήλθεν εις γνώσιν των οπαδών του Ιωνάθαν.

Α Μακ. 9,61 - καὶ συνέλαβον ἀπὸ τῶν ἀνδρῶν τῆς χώρας τῶν ἀρχηγῶν τῆς κακίας εἰς πεντήκοντα ἄνδρας καὶ ἀπέκτειναν αὐτούς.

Α Μακ. 9,61 - Αυτοί μάλιστα και συνέλαβαν από τους κατοίκους της χώρας και από τους αρχηγούς αυτής της πονηρίας πεντήκοντα άνδρας και τους εφόνευσαν.

Α Μακ. 9,62 - καὶ ἐξεχώρησεν Ἰωνάθαν καὶ Σίμων καὶ οἱ μετ᾿ αὐτοῦ εἰς Βαιθβασὶ τὴν ἐν τῇ ἐρήμῳ καὶ ᾠκοδόμησε τὰ καθῃρημένα αὐτῆς, καὶ ἐστερέωσαν αὐτήν.

Α Μακ. 9,62 - Επειτα ο Ιωνάθαν μαζή με τον Σιμωνα και με εκείνους, που ήσαν μαζή των, ανεχώρησαν και μετέβησαν εις Βαιθβασί, η οποία ευρίσκετο εις την έρημον. Ανοικοδόμησαν τα κατεστραμμένα οικήματα και τα τείχη της και την ωχύρωσαν.

Α Μακ. 9,63 - καὶ ἔγνω Βακχίδης καὶ συνήγαγε πᾶν τὸ πλῆθος αὐτοῦ καὶ τοῖς ἐκ τῆς Ἰουδαίας παρήγγειλε·

Α Μακ. 9,63 - Ο Βακχίδης επληροφορήθη τούτο και συνεκέντρωσεν όλον το πλήθος του στρατού του, παρήγγειλε δε και στους φιλικώς προς αυτόν διακειμένους Ιουδαίους να τον βοηθήσουν.

Α Μακ. 9,64 - καὶ ἐλθὼν παρενέβαλεν ἐπὶ Βαιθβασὶ καὶ ἐπολέμησεν αὐτὴν ἡμέρας πολλὰς καὶ ἐποίησε μηχανάς.

Α Μακ. 9,64 - Ηλθε και εστρατοπέδευσε πλησίον της Βαιθβασί, επολέμησεν εναντίον αυτής επί πολλάς ημέρας, εχρησιμοποίησε δε και πολιορκητικάς μηχανάς.

Α Μακ. 9,65 - καὶ ἀπέλιπεν Ἰωνάθαν Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ πόλει καὶ ἐξῆλθεν εἰς τὴν χώραν καὶ ἐξῆλθεν ἐν ἀριθμῷ.

Α Μακ. 9,65 - Ο Ιωνάθαν αφήκεν εις την πόλιν τον αδελφόν του τον Σιμωνα και αυτός εξήλθεν εις την ύπαιθρον χώραν με μετρημένους ολίγους άνδρας.

Α Μακ. 9,66 - καὶ ἐπάταξεν Ὀδομηρὰ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς Φασιρὼν ἐν τῷ σκηνώματι αὐτῶν, καὶ ἐξήρξατο τύπτειν καὶ ἀναβαίνειν ἐν ταῖς δυνάμεσι.

Α Μακ. 9,66 - Εκτύπησε τον Οδομηρά και τους αδελφούς του, όπως επίσης και τους υιούς Φασιρών εις τας σκηνάς των. Κατόπιν με αξιολόγους δυνάμεις ήρχισε να κτυπά τους Συρους και να προελαύνη με τας δυνάμeiw του.

Α Μακ. 9,67 - καὶ Σίμων καὶ οἱ μετ᾿ αὐτοῦ ἐξῆλθον ἐκ τῆς πόλεως καὶ ἐνεπύρισαν τὰς μηχανάς·

Α Μακ. 9,67 - Αλλά και ο Σιμων μαζή με τους ιδικούς του άνδρας έκαναν εξορμήσεις από την πόλιν και έκαψαν τας πολιορκητικάς μηχανάς των εχθρών.

Α Μακ. 9,68 - καὶ ἐπολέμησαν πρὸς τὸν Βακχίδην, καὶ συνετρίβη ὑπ᾿ αὐτῶν. καὶ ἔθλιβον αὐτὸν σφόδρα, ὅτι ἦν ἡ βουλὴ αὐτοῦ καὶ ἡ ἔφοδος αὐτοῦ κενή.

Α Μακ. 9,68 - Ολοι δε αυτοί εντός και εκτός της πόλεως Ιουδαίοι κατεπολέμησαν τον Βακχίδην, ο οποίος και συνετρίβη από αυτούς. Τον έφεραν εις πολύ δύσκολον θέσιν, διότι είδε πλέον ότι το σχέδιόν του και η εξόρμηοίς του έπεσαν στο κενόν.

Α Μακ. 9,69 - καὶ ὠργίσθη θυμῷ τοῖς ἀνδράσι τοῖς ἀνόμοις τοῖς συμβουλεύσασιν αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν καὶ ἀπέκτειναν ἐξ αὐτῶν πολλοὺς καὶ ἐβουλεύσατο τοῦ ἀπελθεῖν εἰς τὴν γῆν αὐτοῦ.

Α Μακ. 9,69 - Ωργίσθη με θυμόν μεγάλον εναντίον των παρανόμων Ιουδαίων, που τον είχαν συμβουλεύσει να έλθη εις την χώραν των και εφόνευσε πολλούς από αυτούς. Επήρε δε την απόφασιν να επιστρέψη εις την χώραν του, την Αντιόχειαν.

Α Μακ. 9,70 - καὶ ἐπέγνω Ἰωνάθαν καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις τοῦ συνθέσθαι πρὸς αὐτὸν εἰρήνην καὶ ἀποδοῦναι αὐτοῖς τὴν αἰχμαλωσίαν.

Α Μακ. 9,70 - Ο Ιωνάθαν επληροφορήθη τας αποφάσεις αυτάς του Βακχίδου και έστειλε προς αυτόν πρέσβεις να συνάψουν ειρήνην μεταξύ των και να αποδώση εκείνος εις αυτούς τους αιχμαλώτους Ιουδαίους.

Α Μακ. 9,71 - καὶ ἀπεδέξατο καὶ ἐποίησε κατὰ τοὺς λόγους αὐτοῦ καὶ ὤμοσεν αὐτῷ μὴ ἐκζητῆσαι αὐτῷ κακὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ·

Α Μακ. 9,71 - Ο Βακχίδης εδέχθη ευμενώς τους πρέσβεις και έπραξε σύμφωνα με τας προτάσστου Ιωνάθαν. Υπεσχεθη δι' όρκου στον Ιωνάθαν, ποτέ άλλοτε καθ' όλας τας ημέρας της ζωής του να μη επιζητήση να πράξη κακόν εναντίον της ζωής του.

Α Μακ. 9,72 - καὶ ἀπέδωκεν αὐτῷ τὴν αἰχμαλωσίαν, ἣν ᾐχμαλώτευσε τὸ πρότερον ἐκ γῆς Ἰούδα, καὶ ἀποστρέψας ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ καὶ οὐ

προσέθετο ἔτι ἐλθεῖν εἰς τὰ ὅρια αὐτῶν.

Α Μακ. 9,72 - Παρέδωσεν εις αυτόν τους αιχμαλώτους που είχε συλλάβει προηγουμένως από την Ιουδαίαν, έπειτα δε επέστρεψε και επανήλθεν εις την χώραν του. Και δεν επήρε πλέον την απόφασιν και την τόλμην να επανέλθη εις τα όρια της Ιουδαίας.

Α Μακ. 9,73 - καὶ κατέπαυσε ῥομφαία ἐξ Ἰσραήλ· καὶ ᾤκησεν Ἰωνάθαν ἐν Μαχμάς. καὶ ἤρξατο Ἰωνάθαν κρίνειν τὸν λαὸν καὶ ἠφάνισε τοὺς ἀσεβεῖς ἐξ Ἰσραήλ.

Α Μακ. 9,73 - Ετσι δε εσταμάτησεν η ρομφαία να πλήττη και να αφανίζη τους Ιουδαίους. Ο Ιωνάθαν εγκατεστάθη εις Μαχμάς, και ήρχισε να διοική με ειρήνην τον λαόν. Εξηφάνισε δε όλους τους ασεβείς Ιουδαίους εκ μέσου του ισραηλιτικού λαού.

Α ΜΑΚΚΑΒΑΙΩΝ 10

Α Μακ. 10,1 - Καὶ ἐν ἔτει ἑξηκοστῷ καὶ ἑκατοστῷ ἀνέβη Ἀλέξανδρος ὁ τοῦ Ἀντιόχου ὁ Ἐπιφανὴς καὶ κατελάβετο Πτολεμαΐδα, καὶ ἐπεδέξαντο αὐτόν, καὶ ἐβασίλευσεν ἐκεῖ.

Α Μακ. 10,1 - Κατά το εκατοστόν εξηκοστόν έτος ο Αλέξανδρος, ο υιός Αντιόχου του Επιφανούς, Επιφανής και αυτός επονομαζόμενος, ήλθε και κατέλαβε την Πτολεμαΐδα. Οι κάτοικοι της πόλεως τον υπεδέχθησαν και ανεκηρύχθη αυτός βασιλεύς εκεί.

Α Μακ. 10,2 - καὶ ἤκουσε Δημήτριος ὁ βασιλεὺς καὶ συνήγαγε δυνάμεις πολλὰς σφόδρα καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ εἰς πόλεμον.

Α Μακ. 10,2 - Ο βασιλεύς Δημήτριος επληροφορήθη το γεγονός, συνεκέντρωσε πολύ μεγάλας στρατιωτικάς δυνάμεις και εξήλθεν εις πολεμικήν σύγκρουσιν εναντίον του Αλεξάνδρου.

Α Μακ. 10,3 - καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν ἐπιστολὰς λόγοις εἰρηνικοῖς ὥστε μεγαλῦναι αὐτόν.

Α Μακ. 10,3 - Τοτε ο Δημήτριος ο βασιλεύς έστειλεν ειρηνικήν επιστολήν προς τον Ιωνάθαν, δια να τον μεγαλύνη και τον δοξάση.

Α Μακ. 10,4 - εἶπε γάρ· προφθάσωμεν τοῦ εἰρήνην θεῖναι μετ᾿ αὐτοῦ, πρὶν ἢ θεῖναι αὐτὸν μετὰ Ἀλεξάνδρου καθ᾿ ἡμῶν·

Α Μακ. 10,4 - Διότι εσκέφθη, ας προφθάσωμεν να συνάψωμεν ειρήνην με αυτόν, πριν η αυτός κλείση ειρήνην με τον Αλέξανδρον εναντίον μας.

Α Μακ. 105 - μνησθήσεται γὰρ πάντων τῶν κακῶν, ὧν συνετελέσαμεν πρὸς αὐτὸν καὶ εἰς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ εἰς τὸ ἔθνος αὐτοῦ.

Α Μακ. 10,5 - Διότι θα ενθυμηθή ασφαλώς όλα τα κακά, τα οποία διεπράξαμεν εναντίον αυτού και των αδελφών του και εναντίον του έθνους του.

Α Μακ. 10,6 - καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν συναγαγεῖν δυνάμεις καὶ κατασκευάζειν ὅπλα καὶ εἶναι αὐτὸν σύμμαχον αὐτοῦ, καὶ τὰ ὅμηρα τὰ ἐν τῇ ἄκρᾳ εἶπε παραδοῦναι αὐτῷ.

Α Μακ. 10,6 - Ο Δημήτριος έδωσεν στον Ιωνάθαν το δικαίωμα να συγκεντρώση τας στρατιωτικάς του δυνάμεις, να κατασκευάζη όπλα και να είναι σύμμαχός του. Διέταξε δε επίσης να αποδοθούν εις αυτόν οι όμηροι, οι οποίοι εκρατούντο εις την ακρόπολιν της Ιερουσαλήμ.

Α Μακ. 10,7 - καὶ ἦλθεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ καὶ ἀνέγνω τὰς ἐπιστολὰς εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ καὶ τῶν ἐκ τῆς ἄκρας.

Α Μακ. 10,7 - Ο Ιωνάθαν ήλθεν αμέσως εις την Ιερουσαλήμ, ανέγνωσε τας επιστολάς αυτάς εις επήκοον όλου του ισραηλιτικού λαού, ακόμη δε και εις επήκοον των Συρων στρατιωτών, που ευρίσκοντο εις την ακρόπολιν.

Α Μακ. 10,8 - καὶ ἐφοβήθησαν φόβον μέγαν, ὅτι ἤκουσαν ὅτι ἔδωκεν ὁ βασιλεὺς ἐξουσίαν συναγαγεῖν δυνάμεις.

Α Μακ. 10,8 - Οι εχθροί των Ιουδαίων εκυριεύθησαν από μεγάλον φόβον, όταν επληροφορήθησαν ότι ο βασιλεύς έδωσεν στον Ιωνάθαν εξουσίαν και δικαίωμα, να συγκεντρώση στρατιωτικάς δυνάμεις.

Α Μακ. 10,9 - καὶ παρέδωκαν οἱ ἐκ τῆς ἄκρας Ἰωνάθαν τὰ ὅμηρα, καὶ ἀπέδωκεν αὐτοὺς τοῖς γονεῦσιν αὐτῶν.

Α Μακ. 10,9 - Οι φρουρούντες την ακρόπολιν στρατιώται παρέδωσαν στον Ιωνάθαν τους ομήρους και ο Ιωνάθαν τους παρέδωσεν στους γονείς των.

Α Μακ. 10,10 - καὶ ᾤκησεν Ἰωνάθαν ἐν Ἱερουσαλὴμ καὶ ἤρξατο οἰκοδομεῖν καὶ καινίζειν τὴν πόλιν.

Α Μακ. 10,10 - Ο Ιωνάθαν εγκατεστάθη πλέον εις την Ιερουσαλήμ και ήρχισε να ανοικοδομή και να ανακαινίζη την πόλιν.

Α Μακ. 10,11 - καὶ εἶπε πρὸς τοὺς ποιοῦντας τὰ ἔργα οἰκοδομεῖν τὰ τείχη καὶ τὸ ὅρος Σιὼν κυκλόθεν ἐκ λίθων τετραγώνων εἰς ὀχύρωσιν· καὶ ἐποίησαν οὕτως.

Α Μακ. 10,11 - Εδωσε δε εντολήν στους εργάτας να ανοικοδομήσουν τα τείχη της Ιερουσαλήμ και να ενισχύσουν την οχύρωσιν κύκλω από την Σιών με λίθους μεγάλους τετραγώνους. Εκείνοι έπραξαν, όπως τους είπε.

Α Μακ. 10,12 - καὶ ἔφυγον οἱ ἀλλογενεῖς οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν, οἷς ᾠκοδόμησε Βακχίδης.

Α Μακ. 10,12 - Τοτε και οι αλλοεθνείς, οι ευρισκόμενοι εις τα οχυρά, τα οποία Βακχίδης είχε κτίσει, έφυγον.

Α Μακ. 10,13 - καὶ κατέλιπεν ἕκαστος τὸν τόπον αὐτοῦ καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

Α Μακ. 10,13 - Ο καθένας από αυτούς εγκατέλειψε την θέσιν του και επέστρεψεν εις την πατρίδα του.

Α Μακ. 10,14 - πλὴν ἐν Βαιθσούρᾳ ὑπελείφθησάν τινες τῶν καταλιπόντων τὸν νόμον καὶ τὰ προστάγματα, ἦν γὰρ αὐτοῖς φυγαδευτήριον.
Α Μακ. 10,14 - Μερικοί μόνον από τους εξωμότας Ιουδαίους, οι οποίοι είχαν εγκαταλείψει τον νόμον του Θεού και τα θεία του προστάγματα, παρέμειναν εις Βαιθσούραν, διότι εκείνη ήτο δι' αυτούς ασφαλές καταφύγιον.
Α Μακ. 10,15 - Καὶ ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς τὰς ἐπαγγελίας, ὅσας ἀπέστειλε Δημήτριος τῷ Ἰωνάθαν, καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους καὶ τὰς ἀνδραγαθίας, ἃς ἐποίησεν αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ τοὺς κόπους, οὓς ἔσχον,
Α Μακ. 10,15 - Αλλά και ο βασιλεύς Αλέξανδρος επληροφορήθη τας υποσχέσεις και προσφοράς, τας οποίας έδωκεν ο Δημήτριος στον Ιωνάθαν. Ανέφεραν επίσης στον Αλέξανδρον τους πολέμους και τα ανδραγαθήματα, τα οποία είχαν πραγματοποιήσει ο Ιωνάθαν και οι αδελφοί του, όπως επίσης και τας ταλαιπωρίας, τας οποίας ούτοι είχαν υποστή από τους πολεμίους.
Α Μακ. 10,16 - καὶ εἶπε· μὴ εὑρήσομεν ἄνδρα τοιοῦτον ἕνα; καὶ νῦν ποιήσομεν αὐτὸν φίλον καὶ σύμμαχον ἡμῶν.
Α Μακ. 10,16 - Ο Αλέξανδρος είπε· “μήπως είναι εύκολον να εύρωμεν άλλον ένα τέτοιον άνδρα σαν τον Ιωνάθαν; Λοιπόν, ας προσπαθήσωμεν τώρα να καταστήσωμεν αυτόν φίλον και σύμμαχόν μας”.
Α Μακ. 10,17 - καὶ ἔγραψεν ἐπιστολὰς καὶ ἀπέστειλεν αὐτῷ κατὰ τοὺς λόγους τούτους λέγων·
Α Μακ. 10,17 - Ο βασιλεύς Αλέξανδρος έγραψε τότε επιστολήν, την οποίαν και απέστειλε προς τον Ιωνάθαν και έγραφε προς αυτόν τα εξής·
Α Μακ. 10,18 - «Βασιλεὺς Ἀλέξανδρος τῷ ἀδελφῷ Ἰωνάθαν χαίρειν·
Α Μακ. 10,18 - “Ο βασιλεύς Αλέξανδρος αποστέλλει τους χαιρετισμούς του προς τον αδελφόν του Ιωνάθαν.
Α Μακ. 10,19 - ἀκηκόαμεν περὶ σοῦ, ὅτι ἀνὴρ δυνατὸς ἰσχύϊ καὶ ἐπιτήδειος εἶ τοῦ εἶναι ἡμῖν φίλος.
Α Μακ. 10,19 - Επληροφορήθημεν δια σέ, ότι είσαι άνθρωπος γενναίος και άξιος να είσαι φίλος μας.
Α Μακ. 10,20 - καὶ νῦν καθεστάκαμέν σε σήμερον ἀρχιερέα τοῦ ἔθνους σου καὶ φίλον βασιλέως καλεῖσθαί σε (καὶ ἀπέστειλεν αὐτῷ πορφύραν καὶ στέφανον χρυσοῦν) καὶ φρονεῖν τὰ ἡμῶν καὶ συντηρεῖν φιλίαν πρὸς ἡμᾶς».
Α Μακ. 10,20 - Δια τούτο σε εγκαθιστώμεν από σήμερον αρχιερέα στο έθνος σου και ορίζομεν να ονομάζεσαι φίλος του βασιλέως (μαζή δε με την επιπτολήν έστειλεν ο βασιλεύς εις αυτόν βασιλικήν πορφύραν και χρυσούν στέφανον). Επιθυμούμεν, λοιπόν, να διακατέχεσαι από τα αυτά με ημάς φρονήματα και να φυλάττης την φιλίαν σου προς ημάς”.

Α Μακ. 10,21 - καὶ ἐνεδύσατο Ἰωνάθαν τὴν ἁγίαν στολὴν τῷ ἑβδόμῳ μηνὶ ἔτους ἑξηκοστοῦ καὶ ἑκατοστοῦ ἐν ἑορτῇ σκηνοπηγίας καὶ συνήγαγε δυνάμεις καὶ κατεσκεύασεν ὅπλα πολλά.

Α Μακ. 10,21 - Ο Ιωνάθαν ενεδύθη την αγίαν αρχιερατικήν στολήν κατά το εκατοστόν εξηκοστόν έτος της χρονολογίας των Σελευκιδών, τον έβδομον μήνα, κατά την εορτήν της Σκηνοπηγίας. Συνεκέντρωσε δε στρατόν και κατεσκεύασεν όπλα πολλά.

Α Μακ. 10,22 - Καὶ ἤκουσε Δημήτριος τοὺς λόγους τούτους καὶ ἐλυπήθη καὶ εἶπε·

Α Μακ. 10,22 - Οταν επληροφορήθη αυτά ο Δημήτριος, ελυπήθη πολύ και είπε·

Α Μακ. 10,23 - τί τοῦτο ἐποιήσαμεν ὅτι προέφθακεν ἡμᾶς ὁ Ἀλέξανδρος τοῦ φιλίαν καταθέσθαι τοῖς Ἰουδαίοις εἰς στήριγμα;

Α Μακ. 10,23 - “τι είναι αυτό το οποίον εκάναμεν, διότι ο Αλέξανδρος μας επρόφθασε και συνήψε φιλίαν με τους Ιουδαίους, ώστε να τους έχη στήριγμά του.

Α Μακ. 10,24 - γράψω αὐτοῖς κἀγὼ λόγους παρακλήσεως καὶ ὕψους καὶ δογμάτων, ὅπως ὦσι σὺν ἐμοὶ εἰς βοήθειαν.

Α Μακ. 10,24 - Αλλά και εγώ θα γράψω προς αυτούς προτάσεις πειστικάς και ικανοποιητικάς περί προσφοράς εις αυτούς θέσεων και δώρων, δια να ταχθούν με το μέρος μου εις παροχήν βοηθείας”.

Α Μακ. 10,25 - καὶ ἀπέστειλεν αὐτοῖς κατὰ τοὺς λόγους τούτους· «Βασιλεὺς Δημήτριος τῷ ἔθνει τῶν Ἰουδαίων χαίρειν.

Α Μακ. 10,25 - Πράγματι έστειλε προς αυτούς επιστολάς με τας ακολούθους προτάσεις· “ο βασιλεύς Δημήτριος χαιρετίζει το έθνος των Ιουδαίων.

Α Μακ. 10,26 - ἐπεὶ συνετηρήσατε τὰς πρὸς ἡμᾶς συνθήκας καὶ ἐνεμείνατε τῇ φιλίᾳ ἡμῶν καὶ οὐ προσεχωρήσατε τοῖς ἐχθροῖς ἡμῶν, ἠκούσαμεν καὶ ἐχάρημεν.

Α Μακ. 10,26 - Επειδή επληροφορήθη μέν, ότι ετηρήσατε πιστώς τας συνθήκας φιλίας, που είχατε συνάψει προς ημάς, και εμείνατε πιστοί και σταθεροί εις την φιλίαν μας αυτήν και δεν προσεχωρήσατε με το μέρος των εχθρών μας, δια τούτο εχάρημεν πολύ.

Α Μακ. 10,27 - καὶ νῦν ἐμμείνατε ἔτι τοῦ συντηρῆσαι πρὸς ἡμᾶς πίστιν, καὶ ἀνταποδώσομεν ὑμῖν ἀγαθὰ ἀνθ᾿ ὧν ποιεῖτε μεθ᾿ ἡμῶν.

Α Μακ. 10,27 - Τωρα λοιπόν σας προτρέπομεν να μείνετε με σταθερότητα και να τηρήτε την πίστιν σας προς ημάς, ημείς δε θα ανταποδώσωμεν εις σας αγαθά αντί εκείνων, τα οποία πράττετε προς ημάς.

Α Μακ. 10,28 - καὶ ἀφήσομεν ὑμῖν ἀφέματα πολλὰ καὶ δώσομεν ὑμῖν δόματα.

Α Μακ. 10,28 - Συγκεκριμένως θα παραχωρήσωμεν εις σας πολλάς απαλλαγάς από τους φόρους και θα σας δώσωμεν δώρα πολλά.

Α Μακ. 10,29 - καὶ νῦν ἀπολύω ὑμᾶς καὶ ἀφίημι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῶν φόρων καὶ τῆς τιμῆς τοῦ ἁλὸς καὶ ἀπὸ τῶν στεφάνων,

Α Μακ. 10,29 - Επί του παρόντος απαλλάσσω σας και όλους τους Ιουδαίους από τους φόρους, δηλαδή από τον φόρον του άλατος, από τον φόρον των βασιλικών στεφάνων.

Α Μακ. 10,30 - καὶ ἀντὶ τοῦ τρίτου τῆς σπορᾶς καὶ ἀντὶ τοῦ ἡμίσους τοῦ καρποῦ τοῦ ξυλίνου τοῦ ἐπιβάλλοντός μοι λαβεῖν, ἀφίημι ἀπὸ τῆς σήμερον καὶ ἐπέκεινα τοῦ λαβεῖν ἀπὸ τῆς γῆς Ἰούδα καὶ ἀπὸ τῶν τριῶν νομῶν τῶν προστιθεμένων αὐτῇ ἀπὸ τῆς Σαμαρείτιδος καὶ Γαλιλαίας, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας καὶ εἰς τὸν αἰῶνα χρόνον.

Α Μακ. 10,30 - Σας απαλλάσσω επίσης από την προσφοράν του τρίτου της συγκομιδής των προϊόντων από τους αγρούς σας και από το ήμισυ των προϊόντων από τους καρπούς των καρποφόρων δένδρων, τα οποία, σύμφωνα με τους νόμους, μου ανήκουν. Από δε την σημερινήν ημέραν και εις όλον τον μετά ταύτα χρόνον παραιτούμαι να εισπράττω από την Ιουδαίαν και γενικώς από τους τρεις νομούς, ήτοι της Ιουδαίας και των ηνωμένων προς αυτήν νομών της Σαμαρείας και της Γαλιλαίας.

Α Μακ. 10,31 - καὶ Ἱερουσαλὴμ ἤτω ἁγία καὶ ἀφειμένη καὶ τὰ ὅρια αὐτῆς, αἱ δεκάται καὶ τὰ τέλη.

Α Μακ. 10,31 - Η Ιερουσαλήμ θα είναι αγία και απηλλαγμένη, όπως και τα περίχωρά της, από την καταβολήν της δεκάτης και των άλλων φόρων.

Α Μακ. 10,32 - ἀφίημι καὶ τὴν ἐξουσίαν τῆς ἄκρας τῆς ἐν Ἱερουσαλὴμ καὶ δίδωμι τῷ ἀρχιερεῖ, ὅπως ἂν καταστήσῃ ἐν αὐτῇ ἄνδρας, οὓς ἂν ἐκλέξηται αὐτὸς τοῦ φυλάσσειν αὐτήν.

Α Μακ. 10,32 - Παραιτούμαι από την επί της ακροπόλεως της Ιερουσαλήμ εξουσίαν μου και παραχωρώ αυτήν στον αρχιερέα, δια να εγκαταστήση εκεί άνδρας, τους οποίους αυτός ήθελεν εκλέξει με τον σκοπόν να την φρουρούν.

Α Μακ. 10,33 - καὶ πᾶσαν ψυχὴν Ἰουδαίων τὴν αἰχμαλωτισθεῖσαν ἀπὸ γῆς Ἰούδα εἰς πᾶσαν βασιλείαν μου ἀφίημι ἐλευθέραν δωρεάν· καὶ πάντες ἀφιέτωσαν τοὺς φόρους καὶ τῶν κτηνῶν αὐτῶν.

Α Μακ. 10,33 - Αφήνω δε ελευθέρους χωρίς καμμίαν αμοιβήν όλους τους Ιουδαίους, οι οποίοι ωδηγήθησαν αιχμάλωτοι από την Ιουδαίαν εις τα διάφορα μέρη του βασιλείου μου. Ακόμη δε χαρίζω στους Ιουδαίους όλους τους φόρους και τους επί των κτηνών ακόμη φόρους.

Α Μακ. 10,34 - καὶ πᾶσαι αἱ ἑορταὶ καὶ τὰ σάββατα καὶ νουμηνίαι καὶ ἡμέραι ἀποδεδειγμέναι καὶ τρεῖς ἡμέραι πρὸ ἑορτῆς καὶ τρεῖς ἡμέραι μετὰ

ἑορτὴν ἔστωσαν πᾶσαι αἱ ἡμέραι ἀτελείας καὶ ἀφέσεως πᾶσι τοῖς Ἰουδαίοις τοῖς οὖσιν ἐν τῇ βασιλείᾳ μου.

Α Μακ. 10,34 - Εις όλας τας επισήμους εορτάς των, δηλαδή εις τα Σαββατα, τας νουμηνίας και τας άλλας καθωρισμένας ημέρας των εορτών των, τρεις ημέρας προ πάσης εορτής από αυτάς και τρεις ημέρας κατόπιν θα είναι όλοι οι Ιουδαίοι καθ' όλην την έκτασιν του βασιλείου μου απηλλαγμένοι από κάθε φορολογίαν.

Α Μακ. 10,35 - καὶ οὐχ ἕξει ἐξουσίαν οὐδεὶς πράσσειν καὶ παρενοχλεῖν τινα αὐτῶν περὶ παντὸς πράγματος.

Α Μακ. 10,35 - Κανείς δεν θα έχη το δικαίωμα κατά τας ημέρας αυτάς να καταδιώκη ένα από τους Ιουδαίους η να τον ενοχλή περί οιασδήποτε υποθέσεως.

Α Μακ. 10,36 - καὶ προγραφήτωσαν τῶν Ἰουδαίων εἰς τὰς δυνάμεις τοῦ βασιλέως εἰς τριάκοντα χιλιάδας ἀνδρῶν, καὶ δοθήσεται αὐτοῖς ξένια ὡς καθήκει πάσαις ταῖς δυνάμεσι τοῦ βασιλέως.

Α Μακ. 10,36 - Ας καταγραφούν δε κατατασσόμενοι στον στρατόν του βασιλέως τριάκοντα χιλιάδες άνδρες εκ των Ιουδαίων, στους οποίους και θα δοθή ο μισθός ο καθωρισμένος δια τον μισθόν και του άλλου στρατού του βασιλέως.

Α Μακ. 10,37 - καὶ κατασταθήσεται ἐξ αὐτῶν ἐν τοῖς ὀχυρώμασι τοῦ βασιλέως τοῖς μεγάλοις, καὶ ἐκ τούτων κατασταθήσεται ἐπὶ χρειῶν τῆς βασιλείας τῶν οὐσῶν εἰς πίστιν· καὶ οἱ ἐπ᾿ αὐτῶν καὶ οἱ ἄρχοντες ἔστωσαν ἐξ αὐτῶν καὶ πορευέσθωσαν τοῖς νόμοις αὐτῶν. καθὰ καὶ προσέταξεν ὁ βασιλεὺς ἐν γῇ Ἰούδα.

Α Μακ. 10,37 - Από αυτούς τους στρατιώτας ένας αριθμός θα τοποθετηθή εις τας μεγάλας οχυράς θέσστου βασιλέως, πολλοί δε άλλοι από αυτούς θα αναλάβουν υπηρεσίαν ως υπάλληλοι εις εμπιστευτικάς θέσστου βασιλέως. Οι επί κεφαλής αρχηγοί των θα είναι από αυτούς τούτους τους Ιουδαίους. Ολοι δε θα ζουν σύμφωνα με τον Νομον των, όπως άλλως τε έχει διατάζει ο βασιλεύς και δια την χώραν της Ιουδαίας.

Α Μακ. 10,38 - καὶ τοὺς τρεῖς νομοὺς τοὺς προστεθέντας τῇ Ἰουδαίᾳ ἀπὸ τῆς χώρας Σαμαρείας προστεθήτω τῇ Ἰουδαίᾳ πρὸς τὸ λογισθῆναι τοῦ γενέσθαι ὑφ᾿ ἕνα, τοῦ μὴ ὑπακοῦσαι ἄλλης ἐξουσίας ἀλλ᾿ ἢ τοῦ ἀρχιερέως.

Α Μακ. 10,38 - Οι τρεις νόμοι της Σαμαρείας, που έχουν προστεθή εις την Ιουδαίαν, θα ενσωματωθούν οριστικώς εις αυτήν και θα θεωρηθούν ότι αποτελούν ένα με την Ιουδαίαν και δεν θα υπόκεινται υπό άλλην εξουσίαν ει μη μόνον υπό την εξουσίαν του αρχιερέως.

Α Μακ. 10,39 - Πτολεμαΐδα καὶ τὴν προσκυροῦσαν αὐτῇ δέδωκα δόμα τοῖς ἁγίοις τοῖς ἐν Ἱερουσαλὴμ εἰς τὴν προσήκουσαν δαπάνην τοῖς ἁγίοις.

Α Μακ. 10,39 - Επίσης δίδω την Πτολεμαΐδα και την γύρω από αυτήν περιοχήν ως δώρον δια τον ιερόν ναόν τον εις την Ιερουσαλήμ, δια να καλύπτωνται αι δαπάναι των ιερών αυτών τόπων.

Α Μακ. 10,40 - κἀγὼ δίδωμι κατ᾿ ἐνιαυτὸν δεκαπέντε χιλιάδας σίκλων ἀργυρίου ἀπὸ τῶν λόγων τοῦ βασιλέως ἀπὸ τῶν τόπων τῶν ἀνηκόντων.

Α Μακ. 10,40 - Εγώ δε προσωπικώς θα δίδω κάθε έτος δεκαπέντε χιλιάδες αργυρούς σίκλους από τας βασιλικάς προσόδους των περιοχών, που ανήκουν εις εμέ.

Α Μακ. 10,41 - καὶ πᾶν τὸ πλεονάζον, ὃ οὐκ ἀπεδίδοσαν οἱ ἀπὸ τῶν χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσιν, ἀπὸ τοῦ νῦν δώσουσιν εἰς τὰ ἔργα τοῦ οἴκου.

Α Μακ. 10,41 - Το επί πλέον ποσόν, το οποίον οι υπάλληλοι του δημοσίου ταμείου δεν έδωσαν στον ναόν κατά τα προηγούμενα έτη, θα τα καταβάλλουν από τώρα και στο εξής δια τα έργα του ναού.

Α Μακ. 10,42 - καὶ ἐπὶ τούτοις πεντακισχιλίους σίκλους ἀργυρίου, οὓς ἐλάμβανον ἀπὸ τῶν χρειῶν τοῦ ἁγίου ἀπὸ τοῦ λόγου κατ᾿ ἐνιαυτόν, καὶ ταῦτα ἀφίεται διὰ τὸ ἀνήκειν αὐτὰ τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσι.

Α Μακ. 10,42 - Επί πλέον πέντε χιλιάδες αργυρούς σίκλους, τους οποίους κάθε έτος αφαιρούσαν από τας εισπράξστου ναού οι υπάλληλοί μου, και αυτά θα χαρισθούν στον ναόν, διότι ανήκουν στους ιερείς, που υπηρετούν εκεί.

Α Μακ. 10,43 - καὶ ὅσοι ἐὰν φύγωσιν εἰς τὸ ἱερὸν τὸ ἐν Ἱεροσολύμοις καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ ὀφείλοντες βασιλικὰ καὶ πᾶν πρᾶγμα, ἀπολελύσθωσαν καὶ πάντα, ὅσα ἐστὶν αὐτοῖς ἐν τῇ βασιλείᾳ μου.

Α Μακ. 10,43 - Οσοι δε Ιουδαίοι ήθελον καταφύγει στον ιερόν ναόν της Ιερουσαλήμ και εις τας αυλάς αυτού, οφείλεται βασιλικών φόρων η άλλου χρέους, θα είναι ελεύθεροι μαζή με όλα τα αγαθά των, που έχουν στο βασίλειόν μου.

Α Μακ. 10,44 - καὶ τοῦ οἰκοδομηθῆναι καὶ τοῦ ἐπικαινισθῆναι τὰ ἔργα τῶν ἁγίων, καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως.

Α Μακ. 10,44 - Αι δαπάναι δια την ανοικοδόμησιν και την ανακαίνισιν του ιερού ναού θα δίδωνται από τας βασιλικάς προσόδους.

Α Μακ. 10,45 - καὶ τοῦ οἰκοδομηθῆναι τὰ τείχη Ἱερουσαλὴμ καὶ ὀχυρῶσαι κυκλόθεν, καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως, καὶ τοῦ οἰκοδομηθῆναι τὰ τείχη τὰ ἐν τῇ Ἰουδαίᾳ».

Α Μακ. 10,45 - Ακόμη αι δαπάναι δια την ανοικοδόμησιν του τείχους της Ιερουσαλήμ και δια την γύρω αυτής οχύρωσιν θα καταβάλλωνται από τα εισοδήματα του βασιλέως. Το ίδιον επίσης θα γίνη και δια την ανοικοδόμησιν των τειχών πόλεων της Ιουδαίας”.

Α Μακ. 10,46 - Ὡς δὲ ἤκουσεν Ἰωνάθαν καὶ ὁ λαὸς τοὺς λόγους τούτους, οὐκ ἐπίστευσαν αὐτοῖς οὐδὲ ἐπεδέξαντο, ὅτι ἐπεμνήσθησαν τῆς κακίας τῆς μεγάλης, ἧς ἐποίησεν ἐν Ἰσραὴλ καὶ ἔθλιψεν αὐτοὺς σφόδρα.

Α Μακ. 10,46 - Οταν ο Ιωνάθαν και ο ιουδαϊκός λαός ήκουσαν τας προτάσεις αυτάς του Δημητρίου, δεν τας επίστευσαν και δεν τας εδέχθησαν, διότι ενεθυμήθησαν τα μεγάλα δεινά, τα οποία επέφερεν εναντίον των Ισραηλιτών και ότι κατέθλιψεν αυτούς πάρα πολύ.

Α Μακ. 10,47 - καὶ εὐδόκησαν ἐν Ἀλεξάνδρῳ, ὅτι αὐτὸς ἐγένετο αὐτοῖς ἀρχηγὸς λόγων εἰρηνικῶν, καὶ συνεμάχουν αὐτῷ πάσας τὰς ἡμέρας.

Α Μακ. 10,47 - Ευμενώς μάλλον διετέθησαν υπέρ του Αλεξάνδρου, διότι αυτός προηγήθη από τον Δημήτριον εις ειρηνικάς προτάσεις. Δι' αυτό και έμειναν σύμμαχοί του καθ' όλας τας ημέρας.

Α Μακ. 10,48 - Καὶ συνήγαγεν Ἀλέξανδρος ὁ βασιλεὺς δυνάμεις μεγάλας καὶ παρενέβαλεν ἐξεναντίας Δημητρίου.

Α Μακ. 10,48 - Ο βασιλεύς Αλέξανδρος συνεκέντρωσε μεγάλας στρατιωτικάς δυνάμεις και εξεστράτευσεν εναντίον του Δημητρίου.

Α Μακ. 10,49 - καὶ συνῆψαν πόλεμον οἱ δύο βασιλεῖς, καὶ ἔφυγεν ἡ παρεμβολὴ Δημητρίου, καὶ ἐδίωξεν αὐτὸν ὁ Ἀλέξανδρος καὶ ἴσχυσεν ἐπ᾿ αὐτούς.

Α Μακ. 10,49 - Οι δύο βασιλείς συνεκρούσθησαν και ο στρατός του Δημητρίου ετράπη εις φυγήν. Ο Αλέξανδρος υπερίσχυσεν εναντίον αυτών και τους κατεδίωξεν.

Α Μακ. 10,50 - καὶ ἐστερέωσε τὸν πόλεμον σφόδρα, ἕως ἔδυ ὁ ἥλιος, καὶ ἔπεσεν ὁ Δημήτριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Α Μακ. 10,50 - Ο Αλέξανδρος συνέχισε την καταδίωξιν και τον πόλεμον αυτόν με σφοδρότητα, μέχρις ότου έδυσεν ο ήλιος. Ο δε Δημήτριος εφονεύθη κατά την ημέραν αυτήν.

Α Μακ. 10,51 - καὶ ἀπέστειλεν Ἀλέξανδρος πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου πρέσβεις κατὰ τοὺς λόγους τούτους λέγων·

Α Μακ. 10,51 - Ο Αλέξανδρος έστειλε τότε προς τον Πτολεμαίον, βασιλέα της Αιγύπτου, πρέσβεις, δια να του αναγγείλουν τα εξής·

Α Μακ. 10,52 - «Ἐπεὶ ἀνέστρεψα εἰς γῆν βασιλείας μου καὶ ἐκάθισα ἐπὶ θρόνου πατέρων μου καὶ ἐκράτησα τῆς ἀρχῆς, καὶ συνέτριψα τὸν Δημήτριον καὶ ἐπεκράτησα τῆς χώρας ἡμῶν

Α Μακ. 10,52 - “Εγώ επανήλθα εις την χώραν του βασιλείου μου και εκάθησα στον θρόνον των πατέρων μου. Επήρα την αρχήν και εξουσίαν, αφού συνέτριψα τον Δημήτριον και έγινα κύριος όλης της χώρας μας.

Α Μακ. 10,53 - καὶ συνῆψα πρὸς αὐτὸν μάχην, καὶ συνετρίβη αὐτὸς καὶ ἡ παρεμβολὴ αὐτοῦ ὑφ᾿ ἡμῶν, καὶ ἐκαθίσαμεν ἐπὶ θρόνου βασιλείας αὐτοῦ·

Α Μακ. 10,53 - Συνήψα εναντίον του μάχην, αποτέλεσμα της οποίας ήτο να συντριβή αυτός και η στρατιωτική του δύναμις από ημάς. Ετσι δε ανήλθον εις τον θρόνον της βασιλείας του.

Α Μακ. 10,54 - καὶ νῦν στήσωμεν πρὸς ἑαυτοὺς φιλίαν, καὶ νῦν δός μοι τὴν θυγατέρα σου εἰς γυναῖκα, καὶ ἐπιγαμβρεύσω σοι καὶ δώσω σοι δόματα καὶ αὐτῇ ἄξιά σου».

Α Μακ. 10,54 - Και τώρα ας συνάψωμεν μεταξύ μας φιλίαν. Δος μου την θυγατέρα σου ως σύζυγόν μου και κάμε με γαμβρόν σου, εγώ δε θα δώσω εις σε και εις αυτήν δώρα αντάξιά σου”.

Α Μακ. 10,55 - Καὶ ἀπεκρίθη Πτολεμαῖος ὁ βασιλεὺς λέγων· «Ἀγαθὴ ἡμέρα, ἐν ᾗ ἀνέστρεψας εἰς γῆν πατέρων σου καὶ ἐκάθισας ἐπὶ θρόνου βασιλείας αὐτῶν.

Α Μακ. 10,55 - Ο Πτολεμαίος ο βασιλεύς απήντησε και είπε· “ευτυχής η ημέρα, κατά την οποίαν επανήλθες εις την χώραν των πατέρων σου και εκάθησες στον θρόνον της βασιλείας των.

Α Μακ. 10,56 - καὶ νῦν ποιήσω σοι ἃ ἔγραψας, ἀλλ᾿ ἀπάντησον εἰς Πτολεμαΐδα, ὅπως ἴδωμεν ἀλλήλους, καὶ ἐπιγαμβρεύσω σοι, καθὼς εἴρηκας».

Α Μακ. 10,56 - Εγώ τώρα θα εκπληρώσω προς σε όλα εκείνα, τα οποία έγραψες. Ελα όμως εις συνάντησίν μου εις την Πτολεμαΐδα, δια να ίδωμεν ο ένας τον άλλον και εκεί θα σε κάμω γαμβρόν σύμφωνα με όσα είπες”.

Α Μακ. 10,57 - Καὶ ἐξῆλθε Πτολεμαῖος ἐξ Αἰγύπτου, αὐτὸς καὶ Κλεοπάτρα ἡ θυγάτηρ αὐτοῦ, καὶ εἰσῆλθον εἰς Πτολεμαΐδα ἔτους δευτέρου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.

Α Μακ. 10,57 - Ανεχώρησεν ο Πτολεμαίος και η θυγάτηρ του η Κλεοπάτρα από την Αίγυπτον και έφθασαν εις την Πτολεμαΐδα κατά το εκατοστόν εξηκοστόν δεύτερον έτος.

Α Μακ. 10,58 - καὶ ἀπήντησεν αὐτῷ Ἀλέξανδρος ὁ βασιλεύς, καὶ ἐξέδοτο αὐτῷ Κλεοπάτραν τὴν θυγατέρα αὐτοῦ καὶ ἐποίησε τὸν γάμον αὐτῆς ἐν Πτολεμαΐδι καθὼς οἱ βασιλεὶς ἐν δόξῃ μεγάλῃ.

Α Μακ. 10,58 - Ο βασιλεύς Αλέξανδρος τους προαπήντησε και ο Πτολεμαίος έδωκεν εις αυτόν ως σύζυγόν του την θυγατέρα του την Κλεοπάτραν. Εις την Πτολεμαΐδα έγινεν ο γάμος αυτής με κάθε μεγαλοπρέπειαν, όπως εσυνηθίζαν οι βασιλείς.

Α Μακ. 10,59 - καὶ ἔγραψεν Ἀλέξανδρος ὁ βασιλεὺς τῷ Ἰωνάθαν ἐλθεῖν εἰς συνάντησιν αὐτῷ.

Α Μακ. 10,59 - Ο δε βασιλεύς Αλέξανδρος έγραψεν στον Ιωνάθαν, να έλθη και αυτός εκεί εις συνάντησίν του.

Α Μακ. 10,60 - καὶ ἐπορεύθη μετὰ δόξης εἰς Πτολεμαΐδα καὶ ἀπήντησε τοῖς δυσὶ βασιλεῦσι· καὶ ἔδωκεν αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ τοῖς

φίλοις αὐτῶν καὶ δόματα πολλὰ καὶ εὗρε χάριν ἐναντίον αὐτῶν.

Α Μακ. 10,60 - Ο Ιωνάθαν επήγε πράγματι με μεγάλην πομπήν εις την Πτολεμαΐδα και εκεί συνήντησε τους δύο βασιλείς. Εδωσεν εις αυτούς και στους φίλους των αργύριον και χρυσίον και πολλά άλλα δώρα. Ετσι δε ο Ιωνάθαν απέκτησε την αγάπην και την ευμένειαν των δύο βασιλέων.

Α Μακ. 10,61 - καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν ἄνδρες λοιμοὶ ἐξ Ἰσραήλ, ἄνδρες παράνομοι, ἐντυχεῖν κατ᾿ αὐτοῦ, καὶ οὐ προσέσχεν αὐτοῖς ὁ βασιλεύς.

Α Μακ. 10,61 - Τοτε όμως ηνώθησαν εναντίον του Ιωνάθαν κακοήθεις άνδρες και παράνομοι από τους Ισραηλίτας, δια να τον κατηγορήσουν, όπως και τον κατηγόρησαν, στον βασιλέα Αλέξανδρον. Εκείνος όμως δεν έδωσε καμμίαν προσοχήν εις αυτούς.

Α Μακ. 10,62 - καὶ προσέταξεν ὁ βασιλεὺς καὶ ἐξέδυσαν Ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ καὶ ἐνέδυσαν αὐτὸν πορφύραν, καὶ ἐποίησαν οὕτως.

Α Μακ. 10,62 - Αντιθέτως μάλιστα διέταξεν ο βασιλεύς και αφήρεσαν τα συνήθη ενδύματα του Ιωνάθαν και τον ενέδυσαν με βασιλικήν πορφύραν. Ετσι και έγινε.

Α Μακ. 10,63 - καὶ ἐκάθισεν αὐτὸν ὁ βασιλεὺς μετ᾿ αὐτοῦ καὶ εἶπε τοῖς ἄρχουσιν αὐτοῦ· ἐξέλθετε μετ᾿ αὐτοῦ εἰς μέσον τῆς πόλεως καὶ κηρύξατε τοῦ μηδένα ἐντυγχάνειν κατ᾿ αὐτοῦ περὶ μηδενὸς πράγματος, καὶ μηδεὶς αὐτῷ παρενοχλείτω περὶ παντὸς λόγου.

Α Μακ. 10,63 - Ο βασιλεύς τον έβαλε να καθήση τιμής ένεκεν πλησίον του και είπε στους αυλικούς του· “εξέλθετε μαζή με τον Ιωνάθαν στο κέντρον της πόλεως και διακηρύξατε, ότι κανείς δεν

έχει το δικαίωμα να παραπονεθή δι' αυτόν προς εμέ δια οιονδήποτε πράγμα και κανείς δεν έχει το δικαίωμα να τον ενοχλήση δια καμμίαν αιτίαν”.

Α Μακ. 10,64 - καὶ ἐγένετο ὡς εἶδον οἱ ἐντυγχάνοντες τὴν δόξαν αὐτοῦ, καθὼς ἐκήρυξε, καὶ περιβεβλημένον αὐτὸν πορφύραν, καὶ ἔφυγον πάντες.

Α Μακ. 10,64 - Οταν οι κακοήθεις εκείνοι κατήγοροι είδον την δόξαν του Ιωνάθαν, η οποία μάλιστα εκηρύχθη δημοσία, αυτόν δε φορούντα την βασιλικήν πορφύραν, ετράπησαν εις φυγήν όλοι.

Α Μακ. 10,65 - καὶ ἐδόξασεν αὐτὸν ὁ βασιλεὺς καὶ ἔγραψεν αὐτὸν τῶν πρώτων φίλων καὶ ἔθετο αὐτὸν στρατηγὸν καὶ μεριδάρχην.

Α Μακ. 10,65 - Ο βασιλεύς Αλέξανδρος ετίμησεν ακόμη περισσότερον αυτόν, τον ενέγραψε μεταξύ των στενών του φίλων και τον κατέστησε στρατηγόν και διοικητήν επαρχίας.

Α Μακ. 10,66 - καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ μετ᾿ εἰρήνης καὶ εὐφροσύνης.

Α Μακ. 10,66 - Ο Ιωνάθαν επέστρεψεν ειρηνικώς και χαρούμενος εις την Ιερουσαλήμ.

Α Μακ. 10,67 - Καὶ ἐν ἔτει πέμπτῳ καὶ ἑξηκοστῷ καὶ ἑκατοστῷ ἦλθε Δημήτριος υἱὸς Δημητρίου ἐκ Κρήτης εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ.

Α Μακ. 10,67 - Κατά το εκατοστόν εξηκοστόν πέμπτον έτος της χρονολογίας των Σελευκιδών ο Δημήτριος, ο υιός του Δημητρίου, ήλθεν από την Κρήτην εις την γην των πατέρων του.

Α Μακ. 10,68 - καὶ ἤκουσεν Ἀλέξανδρος βασιλεὺς καὶ ἐλυπήθη σφόδρα καὶ ὑπέστρεψεν εἰς Ἀντιόχειαν.

Α Μακ. 10,68 - Ο Αλέξανδρος επληροφορήθη το γεγονός, ελυπήθη πάρα πολύ και επέστρεψεν εις την Αντιόχειαν.

Α Μακ. 10,69 - καὶ κατέστησε Δημήτριος Ἀπολλώνιον τὸν ὄντα ἐπὶ Κοίλης Συρίας, καὶ συνήγαγε δύναμιν μεγάλην καὶ παρενέβαλεν ἐν Ἰαμνείᾳ. καὶ ἀπέστειλε πρὸς Ἰωνάθαν τὸν ἀρχιερέα λέγων·

Α Μακ. 10,69 - Αυτός ο Δημήτριος επήρεν ως στρατηγόν του τον Απολλώνιον, διοικητήν της Κοίλης Συρίας. Ο Απολλώνιος συνεκέντρωσε μεγάλην στρατιωτικήν δύναμιν και εστρατοπέδευσε πλησίον εις την Ιάμνειαν. Από εκεί δε έστειλεν ανθρώπους του προς τον αρχιερέα τον Ιωνάθαν και του είπε·

Α Μακ. 10,70 - «Σὺ μονώτατος ἐπαίρῃ ἐφ᾿ ἡμᾶς, ἐγὼ δὲ ἐγενήθην εἰς καταγέλωτα καὶ εἰς ὀνειδισμὸν διὰ σέ· καὶ διατί σὺ ἐξουσιάζῃ ἐφ᾿ ἡμᾶς ἐν τοῖς ὄρεσι;

Α Μακ. 10,70 - “συ μόνος από όλους τους άλλους αλαζονεύεσαι εναντίον μας και έγινα εγώ αντικείμενον γέλωτος και χλευασμού εξ αιτίας σου. Με ποιό δικαίωμα συ ασκείς την εξουσίαν σου εναντίον μας εις τας ορεινάς αυτάς περιοχάς;

Α Μακ. 10,71 - νῦν οὖν εἰ πέποιθας ἐπὶ ταῖς δυνάμεσί σου, κατάβηθι πρὸς ἡμᾶς εἰς τὸ πεδίον, καὶ συγκριθῶμεν ἑαυτοῖς ἐκεῖ, ὅτι μετ᾿ ἐμοῦ ἐστι δύναμις τῶν πόλεων.

Α Μακ. 10,71 - Εάν λοιπόν τώρα έχης πεποίθησιν εις τας στρατιωτικάς σου δυνάμεις, κατέβα εις συνάντησίν μας εις την πεδιάδα, δια να αναμετρηθώμεν εκεί. Μαθε δε ότι μαζή μου ευρίσκεται η δύναμις εκ των πόλεων.

Α Μακ. 10,72 - ἐρώτησον καὶ μάθε τίς εἰμι καὶ οἱ λοιποὶ οἱ βοηθοῦντες ἡμῖν, καὶ λέγουσιν· οὐκ ἔστιν ὑμῖν στάσις ποδὸς κατὰ πρόσωπον ἡμῶν, ὅτι δὶς ἐτροπώθησαν οἱ πατέρες σου ἐν γῇ αὐτῶν.

Α Μακ. 10,72 - Ρωτησε και μάθε, ποιός είμαι εγώ, όπως και ποίοι είναι οι άλλοι, οι οποίοι μας βοηθούν και οι οποίοι λέγουν, ότι δεν θα ημπορέσης να σταθής στα πόδια σου εμπρός μας διότι δυο φορές οι πατέρες σου κατετροπώθησαν και ετράπησαν εις φυγήν από εμπρός μας εις την χώραν των.

Α Μακ. 10,73 - καὶ νῦν οὐ δυνήσῃ ὑποστῆναι τὴν ἵππον καὶ δύναμιν τοιαύτην ἐν τῷ πεδίῳ, ὅπου οὐκ ἔστι λίθος οὐδὲ κόχλαξ οὐδὲ τόπος τοῦ φυγεῖν».

Α Μακ. 10,73 - Τωρα δε σου λέγω και εγώ ότι δεν θα ημπορέσης να αντισταθής εις την ορμήν του ιππικού και του πεζικού μου εις την πεδιάδα, όπου δεν υπάρχει ούτε πέτρα, ούτε χαλίκι, ούτε ασφαλής τόπος δια να καταφύγης”.

Α Μακ. 10,74 - Ὡς δὲ ἤκουσεν Ἰωνάθαν τῶν λόγων Ἀπολλωνίου, ἐκινήθη τῇ διανοίᾳ καὶ ἐπέλεξε δέκα χιλιάδας ἀνδρῶν καὶ ἐξῆλθεν ἐξ Ἱερουσαλήμ, καὶ συνήντησεν αὐτῷ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ βοήθειαν αὐτοῦ.

Α Μακ. 10,74 - Ο Ιωνάθαν, όταν ήκουσε τους αλαζονικούς αυτούς λόγους του Απολλωνίου, ανεταράχθη εσωτερικώς από αγανάκτησιν. Εξέλεξε δέκα χιλιάδας άνδρας και εβγήκεν από την Ιερουσαλήμ. Ο δε αδελφός του ο Σιμων ήλθεν εις ενίσχυσίν του.

Α Μακ. 10,75 - καὶ παρενέβαλεν ἐπὶ Ἰόππην, καὶ ἀπέκλεισαν αὐτὸν ἐκ τῆς πόλεως, ὅτι φρουρὰ Ἀπολλωνίου ἐν Ἰόππῃ, καὶ ἐπολέμησαν αὐτήν.

Α Μακ. 10,75 - Εστρατοπέδευσεν ο Ιωνάθαν πλησίον της Ιόππης. Οι κάτοικοι όμως της πόλεως έκλεισαν τας πύλας της απέναντι του Ιωνάθαν, διότι εις την Ιόππην υπήρχε φρουρά του Απολλωνίου. Ετσι ήρχισεν ο πόλεμος.

Α Μακ. 10,76 - καὶ φοβηθέντες ἤνοιξαν οἱ ἐκ τῆς πόλεως, καὶ ἐκυρίευσεν Ἰωνάθαν Ἰόππης.

Α Μακ. 10,76 - Οι κάτοικοι εφοβήθησαν, ήνοιξαν τα πύλας της πόλεως και ο Ιωνάθαν έγινε κύριος της Ιόππης.

Α Μακ. 10,77 - καὶ ἤκουσεν Ἀπολλώνιος, καὶ παρενέβαλε τρισχιλίαν ἵππον καὶ δύναμιν πολλὴν καὶ ἐπορεύθη εἰς Ἄζωτον ὡς διοδεύων καὶ ἅμα προῆγεν εἰς τὸ πεδίον διὰ τὸ ἔχειν αὐτὸν πλῆθος ἵππου καὶ πεποιθέναι ἐπ᾿ αὐτῇ.

Α Μακ. 10,77 - Οταν ο Απολλώνιος επληροφορήθη το γεγονός ωργάνωσεν εις παράταξιν μάχης τρεις χιλιάδας ιππείς και πρλυάριθμον πεζικόν και κατηυθύνθη εις την Αζωτον, ως εάν ήθελε να διαπεράση την χώραν. Συγχρόνως εβάδιζεν εις την πεδιάδα μετά θάρρους, διότι είχε πολύ πεζικόν, επί του οποίου εστήριζε την πεποίθησίν του.

Α Μακ. 10,78 - καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτοῦ εἰς Ἄζωτον, καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον.

Α Μακ. 10,78 - Ο Ιωνάθαν τον κατεδίωξεν έως εις την Αζωτον και εκεί οι δύο στρατοί συνεκρούσθησαν.

Α Μακ. 10,79 - καὶ ἀπέλιπεν Ἀπολλώνιος χιλίαν ἵππον ἐν κρυπτῷ κατόπισθεν αὐτῶν.

Α Μακ. 10,79 - Ο Απολλώνιος είχεν αφήσει εις τόπον απόκρυφον εις τα μετόπισθεν των Ιουδαίων χιλίους ιππείς.

Α Μακ. 10,80 - καὶ ἔγνω Ἰωνάθαν ὅτι ἔστιν ἔνεδρον κατόπισθεν αὐτοῦ, καὶ ἐκύκλωσαν αὐτοῦ τὴν παρεμβολὴν καὶ ἐξετίναξαν τὰς σχίζας εἰς τὸν λαὸν ἐκ πρωΐθεν ἕως ἑσπέρας·

Α Μακ. 10,80 - Ο Ιωνάθαν αντελήφθη, ότι υπήρχεν ενέδρα εις τα μετόπισθεν αυτού. Οι ιππείς του Απολλωνίου περιεκύκλωσαν τον στρατό του Ιωνάθαν και έρριπταν τα βέλη των εναντίον του στρατού από την πρωΐαν έως την εσπέραν.

Α Μακ. 10,81 - ὁ δὲ λαὸς εἱστήκει καθὼς ἐπέταξεν Ἰωνάθαν, καὶ ἐκοπίασαν οἱ ἵπποι αὐτῶν.

Α Μακ. 10,81 - Οι στρατιώται όμως του Ιωνάθαν έμειναν σταθεροί εις τας θέσεις των, όπως τους είχε διατάξει ο Ιωνάθαν. Εξ αιτίας τούτου οι ίπποι του Απολλωνίου εκουράσθησαν πολύ.

Α Μακ. 10,82 - καὶ εἵλκυσε Σίμων τὴν δύναμιν αὐτοῦ καὶ συνῆψε πρὸς τὴν φάραγγα, ἡ γὰρ ἵππος ἐξελύθη, καὶ συνετρίβησαν ὑπ᾿ αὐτοῦ καὶ ἔφυγον.

Α Μακ. 10,82 - Τοτε ο Σιμων επήρε τας δυνάμστου και εκτύπησε την φάλαγγα του πεζικού του Απολλωνίου, διότι το ιππικόν είχε παραλύσει και αχρηστευθή. Οι εχθροί συνετρίβησαν από αυτόν και ετράπησαν εις φυγήν.

Α Μακ. 10,83 - καὶ ἡ ἵππος ἐσκορπίσθη ἐν τῷ πεδίῳ, καὶ ἔφυγον εἰς Ἄζωτον καὶ εἰσῆλθον εἰς Βηθδαγὼν τὸ εἰδωλεῖον αὐτῶν τοῦ σωθῆναι.

Α Μακ. 10,83 - Το ιππικόν δεσκορπίσθη εις την πεδιάδα και οι φεύγοντες Σύροι στρατιώται εισήλθον εις την Αζωτον και κατέφυγον στον ναόν του ειδώλου των Βηθδαγών,δια να σωθούν.

Α Μακ. 10,84 - καὶ ἐνεπύρισεν Ἰωνάθαν τὴν Ἄζωτον καὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῆς καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν καὶ τὸ ἱερὸν Δαγὼν καὶ τοὺς συμφυγόντας εἰς αὐτὸ ἐνεπύρισε πυρί.

Α Μακ. 10,84 - Ο Ιωνάθαν έβαλε φωτιά και έκαυσε την Αζωτον, όπως και τας γύρω από αυτήν πόλεις, αφού προηγουμένως τας ελεηλάτησε. Τον δε ναόν του Δαγών και εκείνους, οι οποίοι είχον καταφύγει εις αυτόν, παρέδωσεν εις το πυρ.

Α Μακ. 10,85 - καὶ ἐγένοντο οἱ πεπτωκότες μαχαίρᾳ σὺν τοῖς ἐμπυρισθεῖσιν εἰς ἄνδρας ὀκτακισχιλίους.

Α Μακ. 10,85 - Ο αριθμός αυτών που εσφάγησαν δια μαχαίρας, και εκείνων οι οποίοι εκάησαν, ανήλθεν εις οκτώ χιλιάδας άνδρας.

Α Μακ. 10,86 - καὶ ἀπῆρεν ἐκεῖθεν Ἰωνάθαν καὶ παρενέβαλεν ἐπὶ Ἀσκάλωνα, καὶ ἐξῆλθον οἱ ἐκ τῆς πόλεως εἰς συνάντησιν αὐτῷ ἐν δόξῃ μεγάλῃ.

Α Μακ. 10,86 - Ο Ιωνάθαν ανεχώρησεν από εκεί, ήλθε και εστρατοπέδευσε πλησίον της Ασκάλωνος. Οι κάτοικοι της πόλεως εξήλθον να τον προαπαντήσουν με μεγάλας τιμάς.

Α Μακ. 10,87 - καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ σὺν τοῖς παρ᾿ αὐτοῦ ἔχοντες σκῦλα πολλά.

Α Μακ. 10,87 - Μετά τούτο ο Ιωνάθαν και οι άνδρες του επέστρεψαν εις την Ιερουσαλήμ έχοντες μαζή των πολλά λάφυρα.

Α Μακ. 10,88 - καὶ ἐγένετο ὡς ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς τοὺς λόγους τούτους, καὶ προσέθετο δοξάσαι τὸν Ἰωνάθαν.

Α Μακ. 10,88 - Οταν ο βασιλεύς Αλέξανδρος επληροφορήθη τα γεγονότα αυτά, παρεχώρησε νέας τιμάς στον Ιωνάθαν.

Α Μακ. 10,89 - καὶ ἀπέστειλεν αὐτῷ πόρπην χρυσῆν, ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς συγγενέσι τῶν βασιλέων, καὶ ἔδωκεν αὐτῷ τὴν Ἀκκαρὼν καὶ πάντα τὰ ὅρια αὐτῆς εἰς κληροδοσίαν.

Α Μακ. 10,89 - Εστειλεν εις αυτόν μίαν χρυσήν πόρπην, η οποία κατά κρατούσαν συνήθειαν εδίδετο στους συγγενείς των βασιλέων. Εδωκεν επίσης στον Ιωνάθαν ως ιδιοκτησίαν του την Ακκαρών και τα περίχωρά της.

Α ΜΑΚΚΑΒΑΙΩΝ 11

Α Μακ. 11,1 - Καὶ ὁ βασιλεὺς Αἰγύπτου ἤθροισε δυνάμεις πολλὰς ὡς τὴν ἄμμον τὴν περὶ τὸ χεῖλος τῆς θαλάσσης καὶ πλοῖα πολλὰ καὶ ἐζήτησε κατακρατῆσαι τῆς βασιλείας Ἀλεξάνδρου δόλῳ καὶ προσθεῖναι αὐτὴν τῇ βασιλείᾳ αὐτοῦ.

Α Μακ. 11,1 - Ο βασιλεύς της Αιγύπτου, ο Πτολεμαίος, ο Φιλομήτωρ, συνεκέντρωσε πολυαρίθμους στρατιωτικάς δυνάμεις, όπως η άμμος που ευρίσκεται εις την παραλίαν. Κατεσκεύασε πολλά πλοία και απεφάσισε να κυριεύση το βασίλειον του Αλεξάνδρου δια δόλου και να πρόσθεση αυτό στο ιδικόν του βασίλειον της Αιγύπτου.

Α Μακ. 11,2 - καὶ ἐξῆλθεν εἰς Συρίαν λόγοις εἰρηνικοῖς, καὶ ἤνοιγον αὐτῷ οἱ ἀπὸ τῶν πόλεων καὶ συνήντων αὐτῷ, ὅτι ἐντολὴ ἦν Ἀλεξάνδρου τοῦ βασιλέως συναντᾶν αὐτῷ διὰ τὸ πενθερὸν αὐτοῦ εἶναι.

Α Μακ. 11,2 - Εβγήκε, λοιπόν, από την Αίγυπτον προς την Συρίαν, σκορπίζων παντού ειρηνικούς και φιλικούς λόγους δια τον Αλέξανδρον. Δια τούτο και οι κάτοικοι των διαφόρων πόλεων ήνοιγον εις αυτόν τας πύλας και έσπευσαν να τον προαπαντήσουν, διότι αυτή ήτο η εντολή του βασιλέως Αλεξάνδρου να τον προαπαντούν με τιμάς, διότι ο Πτολεμαίος ήτο πενθερός του.

Α Μακ. 11,3 - ὡς δὲ εἰσεπορεύετο εἰς τὰς πόλεις ὁ Πτολεμαῖος, ἀπέτασσε τὰς δυνάμεις φρουρὰν ἐν ἑκάστῃ πόλει.

Α Μακ. 11,3 - Ο Πτολεμαίος όμως, όταν εισήρχετο εις τας πόλεις, εγκαθιστούσεν εις κάθε πόλιν ιδικήν του στρατιωτικήν δύναμιν ως φρουράν.

Α Μακ. 11,4 - ὡς δὲ ἤγγισεν Ἀζώτου, ἔδειξαν αὐτῷ τὸ ἱερὸν Δαγὼν ἐμπεπυρισμένον καὶ Ἄζωτον καὶ τὰ περιπόλια αὐτῆς καθῃρημένα καὶ τὰ σώματα ἐῤῥιμμένα καὶ τοὺς ἐμπεπυρισμένους, οὓς ἐνεπύρισεν ἐν τῷ πολέμῳ· ἐποίησαν γὰρ θημωνίας αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ.

Α Μακ. 11,4 - Οταν δε επλησίασεν εις την Αζωτον, οι κάτοικοι του έδειξαν τον κατακαέντα ναόν του Δαγών, αυτήν ταύτην την Αζωτον και τα κρημνισμένα περίχωρά της, όπως επίσης και τα διασκορπισμένα πτώματα των φονευθέντων, και τας άλλας περιοχάς, αι οποίαι είχον καή κατά τον πόλεμον. Εις τον δρόμον δέ, από τον οποίον διήρχετο ο βασιλεύς της Αιγύπτου, είχαν στήσει σωρούς από αυτά.

Α Μακ. 11,5 - καὶ διηγήσαντο τῷ βασιλεῖ ἃ ἐποίησεν Ἰωνάθαν εἰς τὸ ψογίσαι αὐτόν· καὶ ἐσίγησεν ὁ βασιλεύς.

Α Μακ. 11,5 - Οι κάτοικοι διηγήθησαν στον βασιλέα, όσας συμφοράς είχεν επιφέρει εναντίον των ο Ιωνάθαν, δια να κατηγορήσουν τον Ιωνάθαν και τον κάμουν έτσι μισητόν στον βασιλέα. Ο βασιλεύς όμως της Αιγύπτου εσιωπούσε.

Α Μακ. 11,6 - καὶ συνήντησεν Ἰωνάθαν τῷ βασιλεῖ εἰς Ἰόππην μετὰ δόξης, καὶ ἠσπάσαντο ἀλλήλους καὶ ἐκοιμήθησαν ἐκεῖ.

Α Μακ. 11,6 - Ο Ιωνάθαν ήλθε και συνήντησε τον βασιλέα εις την Ιόππην με μεγάλην δόξαν. Ησπάσθησαν ο ένας τον άλλον και επέρασαν μαζή την νύκτα.

Α Μακ. 11,7 - καὶ ἐπορεύθη Ἰωνάθαν μετὰ τοῦ βασιλέως ἕως τοῦ ποταμοῦ τοῦ καλουμένου Ἐλευθέρου καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλήμ.

Α Μακ. 11,7 - Ο Ιωνάθαν επήγε μαζή με τον βασιλέα έως τον ποταμόν, ο οποίος ονομάζεται Ελεύθερος, και έπειτα επέστρεψεν εις την Ιερουσαλήμ.

Α Μακ. 11,8 - ὁ δὲ βασιλεὺς Πτολεμαῖος ἐκυρίευσε τῶν πόλεων τῆς παραλίας ἕως Σελευκείας τῆς παραθαλασσίας καὶ διελογίζετο περὶ Ἀλεξάνδρου λογισμοὺς πονηρούς.

Α Μακ. 11,8 - Ο βασιλεύς Πτολεμαίος έγινε με τον δόλιον αυτόν τρόπον κύριος των παραλίων πόλεων μέχρι της παραθαλασσίας πόλεως Σελευκείας. Εσκέπτετο δε πάντοτε και κατέστρωνε ολέθρια σχέδια δια τον βασιλέα Αλέξανδρον.

Α Μακ. 11,9 - καὶ ἀπέστειλε πρέσβεις πρὸς Δημήτριον τὸν βασιλέα λέγων· δεῦρο συνθώμεθα πρὸς ἑαυτοὺς διαθήκην, καὶ δώσω σοι τὴν θυγατέρα μου, ἣν ἔχει Ἀλέξανδρος, καὶ βασιλεύσεις τῆς βασιλείας τοῦ πατρός σου·

Α Μακ. 11,9 - Εστειλε δε αγγελιαφόρους προς τον βασιλέα Δημήτριον λέγων προς αυτόν· “ελά να συνάψωμεν συνθήκην μεταξύ μας και εγώ θα

σου δώσω την θυγατέρα μου ως σύζυγον, αυτήν την οποίαν έχει ο Αλέξανδρος, και συ θα γίνης βασιλεύς στο βασίλειον του πατρός σου.

Α Μακ. 11,10 - μεταμεμέλημαι γὰρ δοὺς αὐτῷ τὴν θυγατέρα μου, ἐζήτησε γὰρ ἀποκτεῖναί με.

Α Μακ. 11,10 - Διότι εγώ μετενόησα, που του έδωκα την θυγατέρα μου ως σύζυγον, αφού άλλωστε αυτός εζήτησε να με δολοφονήση”.

Α Μακ. 11,11 - καὶ ἐψόγισεν αὐτὸν χάριν τοῦ ἐπιθυμῆσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ·

Α Μακ. 11,11 - Ο βασιλεύς της Αιγύπτου εσυκοφαντούσε κατ' αυτόν τον τρόπον τον Αλέξανδρον, διότι είχεν επιθυμήσει να καταλάβη το βασίλειόν του.

Α Μακ. 11,12 - καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα ἔδωκεν αὐτὴν τῷ Δημητρίῳ καὶ ἠλλοτριώθη τῷ Ἀλεξάνδρῳ καὶ ἐφάνη ἡ ἔχθρα αὐτῶν.

Α Μακ. 11,12 - Εθεσε δε εις εφαρμογήν τα σχέδιά του και επήρε την θυγατέρα του αυτήν και την έδωκεν στον Δημήτριον. Ετσι δε απεξενώθη από τον Αλέξανδρον και έγινε γνωστή πλέον η εχθρότης μεταξύ των.

Α Μακ. 11,13 - καὶ εἰσῆλθε Πτολεμαῖος εἰς Ἀντιόχειαν καὶ περιέθετο τὸ διάδημα τῆς Ἀσίας· καὶ περιέθετο δύο διαδήματα περὶ τὴν κεφαλὴν αὐτοῦ, τὸ τῆς Ἀσίας καὶ Αἰγύπτου.

Α Μακ. 11,13 - Ο Πτολεμαίος εισήλθεν εις την Αντιόχειαν και έθεσεν εις την κεφαλήν του το βασιλικόν διάδημα της Ασίας. Ετσι δε είχε δύο διαδήματα εις την κεφαλήν του, το της Ασίας και το της Αιγύπτου.

Α Μακ. 11,14 - Ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἦν ἐν Κιλικίᾳ κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν τόπων ἐκείνων.

Α Μακ. 11,14 - Τοτε ο βασιλεύς Αλέξανδρος ευρίσκετο εις την Κιλικίαν, διότι οι κάτοικοι των περιοχών εκείνων είχαν αποστατήσει από αυτόν.

Α Μακ. 11,15 - καὶ ἤκουσεν Ἀλέξανδρος καὶ ἦλθεν ἐπ᾿ αὐτὸν πολέμῳ. καὶ ἐξήγαγε Πτολεμαῖος τὴν δύναμιν καὶ ἀπήντησεν αὐτῷ ἐν χειρὶ ἰσχυρᾷ καὶ ἐτροπώσατο αὐτόν.

Α Μακ. 11,15 - Οταν ο βασιλεύς Αλέξανδρος επληροφορήθη την δολίαν συμπεριφοράν του πενθερού του, εξήλθεν εις πόλεμον εναντίον του. Ο βασιλεύς Πτολεμαίος ωδήγησε τον στρατόν του εναντίον του Αλεξάνδρου, επετέθη κατ' αυτού με μεγάλας στρατιωτικάς δυνάμεις και τον κατετρόπωσε.

Α Μακ. 11,16 - καὶ ἔφυγεν Ἀλέξανδρος εἰς τὴν Ἀραβίαν τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ. ὁ δὲ βασιλεὺς Πτολεμαῖος ὑψώθη.

Α Μακ. 11,16 - Ο Αλέξανδρος κατέφυγεν εις την Αραβίαν, δια να εύρη εκεί κάποιαν ασφάλειαν. Ετσι δε ο βασιλεύς Πτολεμαίος εθριάμβευσε.

Α Μακ. 11,17 - καὶ ἀφεῖλε Ζαβδιὴλ ὁ Ἄραψ τὴν κεφαλὴν Ἀλεξάνδρου καὶ ἀπέστειλε τῷ Πτολεμαίῳ.

Α Μακ. 11,17 - Ο Ζαβδιήλ ο Αραψ έκοψε την κεφαλήν του Αλεξάνδρου και την έστειλεν στον Πτολεμαιον.

Α Μακ. 11,18 - καὶ ὁ βασιλεὺς Πτολεμαῖος ἀπέθανεν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν ἀπώλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασι.

Α Μακ. 11,18 - Αλλά και ο βασιλεύς Πτολεμαίος απέθανεν έπειτα από τρεις ημέρας. Τοτε οι Αιγύπτιοι, οι οποίοι ευρίσκοντο ως φρουροί εις τας οχυράς πόλεις της Συρίας, εφονεύθησαν από τους κατοίκους των οχυρών αυτών.

Α Μακ. 11,19 - καὶ ἐβασίλευσε Δημήτριος ἔτους ἑβδόμου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.

Α Μακ. 11,19 - Ο Δημήτριος επωφεληθείς από τας περιστάσεις αυτάς έγινε βασιλεύς κατά το εκατοστόν εξηκοστόν έβδομον έτος.

Α Μακ. 11,20 - Ἐν ταῖς ἡμέραις ἐκείναις συνήγαγεν Ἰωνάθαν τοὺς ἐκ τῆς Ἰουδαίας τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν Ἱερουσαλὴμ καὶ ἐποίησεν ἐπ᾿ αὐτὴν μηχανὰς πολλάς.

Α Μακ. 11,20 - Κατά τον καιρόν εκείνον ο Ιωνάθαν συνεκέντρωσεν από την Ιουδαίαν άνδρας, δια να πολεμήση και καταλάβη την ακρόπολιν της Ιερουσαλήμ. Κατεσκεύασε λοιπόν, και ετοποθέτησεν εναντίον της πολυαρίθμους πολιορκητικάς μηχανάς.

Α Μακ. 11,21 - καὶ ἐπορεύθησάν τινες μισοῦντες τὸ ἔθνος αὐτῶν ἄνδρες παράνομοι πρὸς τὸν βασιλέα καὶ ἀπήγγειλαν αὐτῷ ὅτι Ἰωνάθαν περικάθηται τὴν ἄκραν.

Α Μακ. 11,21 - Τοτε μερικοί εξωμόται και παράνομοι άνδρες από τους Ιουδαίους, οι οποίοι εμισούσαν το έθνος των, επήγαν προς τον βασιλέα Δημήτριον και του ανήγγειλαν, ότι ο Ιωνάθαν πολιορκεί την ακρόπολιν της Ιερουσαλήμ.

Α Μακ. 11,22 - καὶ ἀκούσας ὠργίσθη· ὡς δὲ ἤκουσεν, εὐθέως ἀναζεύξας ἦλθεν εἰς Πτολεμαΐδα καὶ ἔγραψεν Ἰωνάθαν τοῦ μὴ περικαθῆσθαι τῇ ἄκρᾳ καὶ τοῦ ἀπαντῆσαι αὐτὸν αὐτῷ συμμίσγειν εἰς Πτολεμαΐδα τὴν ταχίστην.

Α Μακ. 11,22 - Ο βασιλεύς Δημήτριος, όταν ήκουσεν αυτό, ωργίσθη. Αμέσως δε μόλις ήκουσε τας πληροφορίας αυτάς έσπευσε και ήλθεν εις την Πτολεμαΐδα. Από εκεί δε έγραψεν στον Ιωνάθαν να μη πολιορκήση πλέον την ακρόπολιν και να έλθη εις συνάντησίν του, όσον το δυνατόν τάχιστα εις την Πτολεμαΐδα.

Α Μακ. 11,23 - ὡς δὲ ἤκουσεν Ἰωνάθαν, ἐκέλευσε περικαθῆσθαι καὶ ἐπέλεξε τῶν πρεσβυτέρων Ἰσραὴλ καὶ τῶν ἱερέων καὶ ἔδωκεν ἑαυτὸν τῷ κινδύνῳ·

Α Μακ. 11,23 - Οταν ο Ιωνάθαν επληροφορήθη τούτο, διέταξε να συνεχισθή η πολιορκία της ακροπόλεως. Εξέλεξε δε και επήρε μαζή του μερικούς από τους πρεσβυτέρους του Ισραηλιτικού λαού και από τους ιερείς και εξέθεσε τον εαυτόν του στον κίνδυνον της συναντήσεως με τον Δημήτριον.

Α Μακ. 11,24 - καὶ λαβὼν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα ἐπορεύθη πρὸς τὸν βασιλέα εἰς Πτολεμαΐδα καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ.

Α Μακ. 11,24 - Επήρε δε ακόμη μαζή του ο Ιωνάθαν άργυρον, χρυσόν, ενδύματα και άλλα πολλά δώρα και μετέβη προς τον βασιλέα εις την Πτολεμαΐδα. Εγινεν όμως ευμενώς από αυτόν δεκτός.

Α Μακ. 11,25 - καὶ ἐνετύγχανον κατ᾿ αὐτοῦ τινες ἄνομοι τῶν ἐκ τοῦ ἔθνους.

Α Μακ. 11,25 - Αλλά μερικοί παράνομοι από το Ισραηλιτικόν έθνος κατηγόρησαν τον Ιωνάθαν στον Δημήτριον.

Α Μακ. 11,26 - καὶ ἐποίησεν αὐτῷ ὁ βασιλεὺς καθὼς ἐποίησαν αὐτῷ οἱ πρὸ αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν ἐναντίον πάντων τῶν φίλων αὐτοῦ,

Α Μακ. 11,26 - Ο βασιλεύς όμως Δημήτριος εφέρθη απέναντι του Ιωνάθαν, όπως είχαν φερθή και οι προκάτοχοί του βασιλείς, ετίμησε δηλαδή και εδόξασεν αυτόν ενώπιον όλων των φίλων τοω.

Α Μακ. 11,27 - καὶ ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην καὶ ὅσα ἄλλα εἶχε τίμια τὸ πρότερον καὶ ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖσθαι.

Α Μακ. 11,27 - Παρέδωσε δηλαδή και ανεγνώρισεν, εις αυτόν την αρχιερωσύνην και όσα αλλά δικαιώματα είχε προηγουμένως και περιέλαβεν αυτόν μεταξύ των στενωτέρων του φίλων.

Α Μακ. 11,28 - καὶ ἠξίωσεν Ἰωνάθαν τὸν βασιλέα ποιῆσαι τὴν Ἰουδαίαν ἀφορολόγητον καὶ τὰς τρεῖς τοπαρχίας καὶ τὴν Σαμαρεῖτιν καὶ ἐπηγγείλατο αὐτῷ τάλαντα τριακόσια.

Α Μακ. 11,28 - Ο Ιωνάθαν παρεκάλεσε τον βασιλέα Δημήτριον, να απαλλάξη την Ιουδαίαν από την φορολογίαν, όπως επίσης και τας τρστοπαρχίας της Σαμαρείας και υπεσχέθη να του προσφέρη τριακόσια τάλαντα.

Α Μακ. 11,29 - καὶ εὐδόκησεν ὁ βασιλεὺς καὶ ἔγραψε τῷ Ἰωνάθαν ἐπιστολὰς περὶ πάντων τούτων ἐχούσας τὸν τρόπον τοῦτον·

Α Μακ. 11,29 - Ο βασιλεύς εδέχθη ευμενώς την πρότασιν αυτήν του Ιωνάθαν και του έδωσεν επιστολήν εις την οποίαν έγραφε τα εξής·

Α Μακ. 11,30 - «Βασιλεὺς Δημήτριος Ἰωνάθαν τῷ ἀδελφῷ χαίρειν, καὶ ἔθνει Ἰουδαίων.

Α Μακ. 11,30 - “Ο βασιλεύς Δημήτριος χαιρετίζει τον αδελφόν του τον Ιωνάθαν και το έθνος των Ιουδαίων.

Α Μακ. 11,31 - τὸ ἀντίγραφον τῆς ἐπιστολῆς, ἧς ἐγράψαμεν Λασθένει τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν, γεγράφαμεν καὶ πρὸς ὑμᾶς ὅπως εἰδῆτε.

Α Μακ. 11,31 - Απευθύνομεν και προς σας, δια να λάβετε γνώσιν, αντίγραφον της επιστολής μας, την οποίαν εστείλαμεν δια σας στον συγγενή μας τον Λασθένην.

Α Μακ. 11,32 - βασιλεὺς Δημήτριος Λασθένει τῷ πατρὶ χαίρειν.

Α Μακ. 11,32 - Ο βασιλεύς Δημήτριος χαιρετίζει τον πατρικόν του φίλον Λασθένην.

Α Μακ. 11,33 - τῷ ἔθνει τῶν Ἰουδαίων φίλοις ἡμῶν καὶ συντηροῦσι τὰ πρὸς ἡμᾶς δίκαια ἐκρίναμεν ἀγαθοποιῆσαι χάριν τῆς ἐξ αὐτῶν εὐνοίας πρὸς ἡμᾶς.

Α Μακ. 11,33 - Εκρίναμεν και απεφασίσαμεν, να πράξωμεν το καλόν προς το έθνος των Ιουδαίων χάριν της ευνοίας, που τρέφουν αυτοί προς ημάς και διότι τηρούν και πράττουν το δίκαιον προς ημάς.

Α Μακ. 11,34 - ἐστάκαμεν οὖν αὐτοῖς τά τε ὅρια τῆς Ἰουδαίας καὶ τοὺς τρεῖς νομούς, Ἀφαίρεμα καὶ Λύδδαν καὶ Ῥαμαθέμ, οἵτινες προσετέθησαν τῇ Ἰουδαίᾳ ἀπὸ τῆς Σαμαρείτιδος, καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς πᾶσι τοῖς θυσιάζουσιν εἰς Ἱεροσόλυμα, ἀντὶ τῶν βασιλικῶν, ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ᾿ αὐτῶν τὸ πρότερον κατ᾿ ἐνιαυτὸν ἀπὸ τῶν γεννημάτων τῆς γῆς καὶ ἀπὸ τῶν ἀκροδρύων.

Α Μακ. 11,34 - Εχομεν αναγνωρίσει και επικυρώνομεν εις αυτούς την χώραν της Ιουδαίας και τους τρεις νομούς, Αφαίρεμα, Λυδδαν και Ραμαθέμ, οι οποίοι άλλως τε είχαν αφαιρεθή από την Σαμάρειαν και προστεθή εις την Ιουδαίαν, όπως επίσης και όλα όσα εξαρτώνται εξ αυτών. Ολα δε αυτά προς ωφέλειαν εκείνων, οι οποίοι έρχονται να προσφέρουν θυσίας στον ναόν της Ιερουσαλήμ, και παραχωρούνται αντί των προσόδων, τας οποίας ελάμβανε προηγουμένως ο βασιλεύς κάθε χρόνον από αυτούς, από τα προϊόντα των αγρών των και από τα καρποφόρα δένδρα.

Α Μακ. 11,35 - καὶ τὰ ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκατῶν καὶ τῶν τελῶν τῶν ἀνηκόντων ἡμῖν καὶ τὰς τοῦ ἁλὸς λίμνας καὶ τοὺς ἀνήκοντας ἡμῖν στεφάνους, πάντα ἐπαρκῶς παρίεμεν αὐτοῖς.

Α Μακ. 11,35 - Επίσης από τώρα και στο εξής παραιτούμεθα πλήρως από όλα τα άλλα δικαιώματα, που μας ανήκουν, από τα δέκατα, από τους φόρους, από τας αλατοφόρους λίμνας- τας αλυκάς- και από τους φόρους των βασιλικών στεφάνων, που μας ανήκουν.

Α Μακ. 11,36 - καὶ οὐκ ἀθετηθήσεται οὐδὲ ἓν τούτων ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον.

Α Μακ. 11,36 - Κανένα από αυτά δεν θα ακυρωθή ποτέ από τώρα και στον άπαντα χρόνον.

Α Μακ. 11,37 - νῦν οὖν ἐπιμέλεσθε τοῦ ποιῆσαι τούτων ἀντίγραφον καὶ δοθήτω Ἰωνάθαν καὶ τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπισήμῳ».

Α Μακ. 11,37 - Τωρα, λοιπόν, επιμεληθήτε να κάμετε αντίγραφον όλων αυτών, δια να δοθή στον Ιωνάθαν και να τοποθετηθή στο ιερόν άγιον όρος της Ιερουσαλήμ εις τόπον καταφανή".

Α Μακ. 11,38 - Καὶ εἶδε Δημήτριος ὁ βασιλεὺς ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ καὶ οὐδὲν αὐτῷ ἀνθειστήκει, καὶ ἀπέλυσε πάσας τὰς δυνάμεις αὐτοῦ ἕκαστον εἰς τὸν ἴδιον τόπον, πλὴν τῶν ξένων δυνάμεων, ὧν ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν· καὶ ἤχθραναν αὐτῷ πᾶσαι αἱ δυνάμεις τῶν πατέρων αὐτοῦ.

Α Μακ. 11,38 - Ο βασιλεύς Δημήτριος, ο δεύτερος, είδεν ότι η χώρα του είχεν ησυχάσει από τους πολέμους ενώπιόν του και κανείς πλέον δεν ανθίστατο εις αυτόν. Δια τούτο απέλυσεν όλας τας στρατιωτικάς του δυνάμεις, ώστε ο καθένας να επανέλθη στον τόπον του, πλην των ξένων στρατιωτών, τους οποίους είχε στρατολογήσει από τας νήσους των ειδωλολατρικών εθνών. Αυτό έγινεν αφορμή και τον εμίσησαν οι στρατοί των προγόνων του.

Α Μακ. 11,39 - Τρύφων δὲ ἦν τῶν παρὰ Ἀλέξάνδρου τὸ πρότερον καὶ εἶδεν ὅτι πᾶσαι αἱ δυνάμεις καταγογγύζουσι τοῦ Δημητρίου, καὶ ἐπορεύθη πρὸς Εἰμαλκουαὶ τὸν Ἄραβα, ὃς ἔτρεφε τὸν Ἀντίοχον τὸ παιδάριον τὸ τοῦ Ἀλεξάνδρου.

Α Μακ. 11,39 - Ο Τρύφων, ο οποίος προηγουμένως ήτο ένας από τους άνδρας του Αλεξάνδρου, είδεν ότι όλαι αι δυνάμεις γογγύζουν εναντίον του Δημητρίου. Επορεύθη, λοιπόν, προς τον Ειμαλκουαί τον Αραβα, ο οποίος ανέτρεφε τον Αντίοχον υιόν του Αλεξάνδρου και

Α Μακ. 11,40 - καὶ προσήδρευεν αὐτῷ, ὅπως παραδοῖ αὐτὸν αὐτῷ, ὅπως βασιλεύσῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἀπήγγειλεν αὐτῷ ὅσα συνετέλεσε Δημήτριος καὶ τὴν ἔχθραν, ἣν ἐχθραίνουσιν αὐτῷ αἱ δυνάμεις αὐτοῦ, καὶ ἔμεινεν ἐκεῖ ἡμέρας πολλάς.

Α Μακ. 11,40 - τον επίεζε να παραδώση εις αυτόν τον Αντίοχον, δια να τον αναδείξη βασιλέα αντί του πατρός του. Διηγήθη δε εις αυτόν ο Τρύφων όλα, όσα είχε κάμει ο Δημήτριος και την εχθρότητα, την οποίαν έτρεφαν εναντίον αυτού αι στρατιωτικαί δυνάμεις. Ο Τρύφων έμεινεν εκεί πολλάς ημέρας.

Α Μακ. 11,41 - καὶ ἀπέστειλεν Ἰωνάθαν πρὸς Δημήτριον τὸν βασιλέα, ἵνα ἐκβάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ Ἱερουσαλὴμ καὶ τοὺς ἐν τοῖς ὀχυρώμασιν· ἦσαν γὰρ πολεμοῦντες τὸν Ἰσραήλ.

Α Μακ. 11,41 - Ο Ιωνάθαν έστειλεν ανθρώπους του προς τον Δημήτριον τον βασιλέα, και εζήτησε την βοήθειάν του, δια να εκδιώξη τους Συρους στρατιώτας από την ακρόπολιν της Ιερουσαλήμ και από τα άλλα οχυρά, που

κατείχαν, διότι οι άνδρες αυτοί της φρουράς ευρίσκοντο εις διαρκή πόλεμον εναντίον των Ισραηλιτών.

Α Μακ. 11,42 - καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν λέγων· οὐ μόνον ταῦτα ποιήσω σοι καὶ τῷ ἔθνει σου, ἀλλὰ δόξῃ δοξάσω σε καὶ τὸ ἔθνος σου, ἐὰν εὐκαιρίας τύχω.

Α Μακ. 11,42 - Ο Δημήτριος απήντησεν στον Ιωνάθαν και του είπεν· “όχι μόνον αυτό θα πράξω προς χάριν σου και του έθνους σου, άλλα και με ιδιαιτέραν δόξαν θα δοξάσω και σε και το έθνος σου αμέσως μόλις μου δοθή ευκαιρία.

Α Μακ. 11,43 - νῦν οὖν ὀρθῶς ποιήσεις ἀποστείλας μοι ἄνδρας, οἳ συμμαχήσουσιν, ὅτι ἀπέστησαν πᾶσαι αἱ δυνάμεις μου.

Α Μακ. 11,43 - Τωρα όμως θα πράξης και συ πολύ καλά, εάν μου στείλης άνδρας, δια να με βοηθήσουν, διότι έχουν αποστατήσει όλαι αι στρατιωτικαί μου δυνάμεις”.

Α Μακ. 11,44 - καὶ ἀπέστειλεν Ἰωνάθαν ἄνδρας τρισχιλίους δυνατοὺς ἰσχύϊ αὐτῷ εἰς Ἀντιόχειαν, καὶ ἤλθοσαν πρὸς τὸν βασιλέα, καὶ ηὐφράνθη ὁ βασιλεὺς ἐπὶ τῇ ἐφόδῳ αὐτῶν.

Α Μακ. 11,44 - Ο Ιωνάθαν έστειλεν πράγματι εις την Αντιόχειαν τρεις χιλιάδας άνδρας γενναίους. Αυτοί ήλθον προς τον βασιλέα, ο δε βασιλεύς εχάρηκε πάρα πολύ με την αφιξίν των.

Α Μακ. 11,45 - καὶ ἐπισυνήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς μέσον τῆς πόλεως εἰς ἀνδρῶν δώδεκα μυριάδας ἀνδρῶν καὶ ἠβούλοντο ἀνελεῖν τὸν βασιλέα.

Α Μακ. 11,45 - Οι κάτοικοι της πόλεως Αντιοχείας συνεκεντρώθησαν στο μέσον της πόλεως, περίπου εκατόν είκοσι χιλιάδες άνδρες, και ηθέλησαν να φονεύσουν τον βασιλέα.

Α Μακ. 11,46 - καὶ ἔφυγεν ὁ βασιλεὺς εἰς τὴν αὐλήν, καὶ κατελάβοντο οἱ ἐκ τῆς πόλεως τὰς διόδους τῆς πόλεως καὶ ἤρξαντο πολεμεῖν.

Α Μακ. 11,46 - Ο βασιλεύς κατέφυγεν εις την αυλήν των ανακτόρων του. Οι κάτοικοι της πόλεως κατέλαβαν τας οδούς της πόλεως και ήρχισαν πόλεμον εναντίον αυτού.

Α Μακ. 11,47 - καὶ ἐκάλεσεν ὁ βασιλεὺς τοὺς Ἰουδαίους ἐπὶ βοήθειαν, καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πάντες ἅμα καὶ διεσπάρησαν ἐν τῇ πόλει πάντες ἅμα καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς μυριάδας δέκα·

Α Μακ. 11,47 - Ο βασιλεύς εκάλεσε τους Ιουδαίους εις βοήθειαν. Ολοι οι Ιουδαίοι συνεκεντρώθησαν γύρω από αυτόν και έπειτα αμέσως διεσκορπίσθησαν εις την πόλιν και εφόνευσαν κατά την ημέραν εκείνην εις την πόλιν της Αντιοχείας εκατόν χιλιάδας άνδρας.

Α Μακ. 11,48 - καὶ ἐνεπύρισαν τὴν πόλιν καὶ ἐλάβοσαν σκῦλα πολλὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ἔσωσαν τὸν βασιλέα.

Α Μακ. 11,48 - Παρέδωκαν την πόλιν στο πυρ, επήραν πολλά λάφυρα από αυτήν κατά την ημέραν εκείνην και διέσωσαν τον βασιλέα.

Α Μακ. 11,49 - καὶ εἶδον οἱ ἀπὸ τῆς πόλεως ὅτι κατεκράτησαν οἱ Ἰουδαῖοι τῆς πόλεως ὡς ἠβούλοντο, καὶ ἠσθένησαν ταῖς διανοίαις αὐτῶν καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ δεήσεως λέγοντες·

Α Μακ. 11,49 - Οι κάτοικοι της πόλεως, όταν είδαν ότι οι Ιουδαίοι έγιναν, όπως ήθελαν, κύριοι της πόλεώς των, έχασαν το ηθικόν των, εδειλίασαν και εκραύγασαν προς τον βασιλέα, παρακαλούντες αυτόν και λέγοντες·

Α Μακ. 11,50 - δὸς ἡμῖν δεξιὰς καὶ παυσάσθωσαν οἱ Ἰουδαῖοι πολεμοῦντες ἡμᾶς καὶ τὴν πόλιν.

Α Μακ. 11,50 - “Συγχώρησέ μας και κάμε ειρήνην μαζή μας, δια να παύσουν οι Ιουδαίοι να μας πολεμούν και να καταστρέφουν την πόλιν”.

Α Μακ. 11,51 - καὶ ἔῤῥιψαν τὰ ὅπλα καὶ ἐποίησαν εἰρήνην καὶ ἐδοξάσθησαν οἱ Ἰουδαῖοι ἐναντίον τοῦ βασιλέως καὶ ἐνώπιον πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ ἔχοντες σκῦλα πολλά.

Α Μακ. 11,51 - Ερριψαν δε κάτω τα όπλα και έκαμαν ειρήνην προς τον βασιλέα. Κατ' αυτόν τον τρόπον οι Ιουδαίοι εδοξάσθησαν ενώπιον του βασιλέως και ενώπιον όλων των άλλων, που ευρίσκοντο στο βασίλειόν του. Μετά ταύτα επέστρεψαν εις την Ιερουσαλήμ με πολλά λάφυρα.

Α Μακ. 11,52 - καὶ ἐκάθησε Δημήτριος ὁ βασιλεὺς ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ.

Α Μακ. 11,52 - Ετσι ο βασιλεύς Δημήτριος εκάθισεν ασφαλής στο βασιλικόν του θρόνον και η χώρα του ησύχασεν από πολέμους ενώπιόν του.

Α Μακ. 11,53 - καὶ ἐψεύσατο πάντα, ὅσα εἶπε, καὶ ἠλλοτριώθη τῷ Ἰωνάθαν καὶ οὐκ ἀνταπέδωκε κατὰ τὰς εὐνοίας, ἃς ἀνταπέδωκεν αὐτῷ, καὶ ἔθλιβεν αὐτὸν σφόδρα.

Α Μακ. 11,53 - Αλλ' όμως κατεπάτησεν όλας τας υποσχέσεις, που είχε δώσει στον Ιωνάθαν. Εψυχράνθη και απεμακρύνθη από αυτόν και δεν εφέρθη σύμφωνα με τας μεγάλας υποσχέσεις που είχε δώσει εις αυτόν. Επί πλέον δε τον εστενοχωρούσε πάρα πολύ.

Α Μακ. 11,54 - Μετὰ δὲ ταῦτα ἀπέστρεψε Τρύφων καὶ Ἀντίοχος μετ᾿ αὐτοῦ παιδάριον νεώτερον· καὶ ἐβασίλευσε καὶ ἐπέθετο διάδημα.

Α Μακ. 11,54 - Επειτα όμως από τα γεγονότα αυτά, επέστρεψεν ο Τρύφων έχων μαζή του τον νεαρόν Αντίοχον, τον οποίον και ανεκήρυξε βασιλέα, και έθεσεν εις την κεφαλήν του το βασιλικόν διάδημα.

Α Μακ. 11,55 - καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ἃς ἀπεσκόρπισε Δημήτριος, καὶ ἐπολέμησαν πρὸς αὐτόν, καὶ ἔφυγε καὶ

ἐτροπώθη.

Α Μακ. 11,55 - Γυρω από τον νέον βασιλέα συνεκεντρώθησαν όλαι αι στρατιωτικαί δυνάμεις, τας οποίας είχε διαλύσει ο Δημήτριος. Αυτοί και επολέμησαν εναντίον του Δημητρίου, ο οποίος κατετροπώθη και ετράπη εις φυγήν.

Α Μακ. 11,56 - καὶ ἔλαβε Τρύφων τὰ θηρία καὶ κατεκράτησεν Ἀντιοχείας.

Α Μακ. 11,56 - Ο Τρύφων επήρεν όλους τους ελέφαντας και κατέλαβε την Αντιόχειαν.

Α Μακ. 11,57 - καὶ ἔγραψεν Ἀντίοχος ὁ νεώτερος τῷ Ἰωνάθαν λέγων· ἵστημί σοι τὴν ἀρχιερωσύνην καὶ καθίστημί σε ἐπὶ τῶν τεσσάρων νομῶν καὶ εἶναί σε τῶν φίλων τοῦ βασιλέως.

Α Μακ. 11,57 - Τοτε ο νεαρός Αντίοχος έγραψε προς τον Ιωνάθαν μίαν επιστολήν, εις την οποίαν έλεγε· “σου δίδω την αρχιερωσύνην, σε καθιστώ διοικητήν στους τέσσαρας νομούς και θέλω να είσαι συ μεταξύ των στενών φίλων του βασιλέως”.

Α Μακ. 11,58 - καὶ ἀπέστειλεν αὐτῷ χρυσώματα καὶ διακονίαν καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν πίνειν ἐν χρυσώμασι καὶ εἶναι ἐν πορφύρᾳ καὶ ἔχειν πόρπην χρυσῆν·

Α Μακ. 11,58 - Συγχρόνως έστειλεν εις αυτόν χρυσά δοχεία, επιτραπέζια σκεύη και του εδωσε το δικαίωμα να πίνη με χρυσόν ποτήριον, να ενδύεται βασιλικήν πορφύραν και να φέρη χρυσήν πόρπην.

Α Μακ. 11,59 - καὶ Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησε στρατηγὸν ἀπὸ τῆς κλίμακος Τύρου ἕως τῶν ὁρίων Αἰγύπτου.

Α Μακ. 11,59 - Τον δε αδελφόν του Ιωνάθαν, τον Σιμωνα, τον εγκατέστησε διοικητήν της περιοχής, η οποία εκτείνεται από την κλίμακα της Τυρου έως εις τα όρια της Αιγύπτου.

Α Μακ. 11,60 - καὶ ἐξῆλθεν Ἰωνάθαν καὶ διεπορεύετο πέραν τοῦ ποταμοῦ καὶ ἐν ταῖς πόλεσι, καὶ ἠθροίσθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις Συρίας εἰς συμμαχίαν, καὶ ἦλθεν εἰς Ἀσκάλωνα, καὶ ἀπήντησαν αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐνδόξως.

Α Μακ. 11,60 - Ασφαλής τότε ο Ιωνάθαν εξήλθεν από την Ιερουσαλήμ και περιώδευε την χώραν την εντεύθεν του ποταμού Ευφράτου και τας πόλεις της. Γυρω από αυτόν συνεκεντρώθησαν όλα αι στρατιωτικαί δυνάμεις της Συρίας εις συμμαχίαν του. Ηλθεν εις την Ασκάλωνα και οι κάτοικοι της πόλεως τον προαπήντησαν με πολλάς τιμάς.

Α Μακ. 11,61 - καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς Γάζαν, καὶ ἀπέκλεισαν οἱ ἀπὸ Γάζης, καὶ περιεκάθισε περὶ αὐτὴν καὶ ἐνεπύρισε τὰ περιπόλια αὐτῆς πυρὶ καὶ ἐσκύλευσεν αὐτά.

Α Μακ. 11,61 - Από εκεί ήλθεν εις την Γαζαν, αλλά οι κάτοικοι της Γαζης ηρνήθησαν να τον δεχθούν και έκλεισαν ενώπιόν του τας θύρας. Αυτός

περιεκύκλωσε την πόλιν, παρέδωσεν στο πυρ τα γύρω της πόλεως μέρη και τα ελεηλάτησε.

Α Μακ. 11,62 - καὶ ἠξίωσαν οἱ ἀπὸ Γάζης τὸν Ἰωνάθαν, καὶ ἔδωκεν αὐτοῖς δεξιὰς καὶ ἔλαβε τοὺς υἱοὺς ἀρχόντων αὐτῶν εἰς ὅμηρα καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς Ἱερουσαλήμ· καὶ διῆλθε τὴν χώραν ἕως Δαμασκοῦ.

Α Μακ. 11,62 - Οι κάτοικοι της Γαζης ετρομοκρατήθησαν και εζήτησαν συμφιλίωσιν με τον Ιωνάθαν. Αυτός έκαμε ειρήνην μαζή των, επήρεν όμως ως ομήρους τους υιούς των αρχόντων, τους οποίους και έστειλεν εις την Ιερουσαλήμ. Ετσι ο Ιωνάθαν περιήλθε με δόξαν πολλήν την χώραν μέχρι της Δαμασκού.

Α Μακ. 11,63 - καὶ ἤκουσεν Ἰωνάθαν ὅτι παρῆσαν οἱ ἄρχοντες Δημητρίου εἰς Κάδης τὴν ἐν τῇ Γαλιλαίᾳ μετὰ δυνάμεως πολλῆς βουλόμενοι μεταστῆσαι αὐτὸν τῆς χρείας.

Α Μακ. 11,63 - Ο Ιωνάθαν επληροφορήθη τότε, ότι οι στρατηγοί του Δημητρίου είχαν έλθει εις Καδης της Γαλιλαίας με πολλήν στρατιωτικήν δύναμιν θέλοντες να εκτοπίσουν αυτόν από τας υποθέσστου κράτους των Συρων.

Α Μακ. 11,64 - καὶ συνήντησεν αὐτοῖς, τὸν δὲ ἀδελφὸν αὐτοῦ Σίμωνα κατέλιπεν ἐν τῇ χώρᾳ.

Α Μακ. 11,64 - Ο Ιωνάθαν εβάδισεν εναντίον των προς πόλεμον, αφού αφήκε τον αδελφόν του Σιμωνα εις την χώραν της Ιουδαίας.

Α Μακ. 11,65 - καὶ παρενέβαλε Σίμων ἐπὶ Βαιθσούρᾳ καὶ ἐπολέμει αὐτὴν ἡμέρας πολλὰς καὶ συνέκλεισεν αὐτήν.

Α Μακ. 11,65 - Ο Σιμων εβάδισεν εναντίον της Βαιθσούρας, την επολέμησεν επί πολλάς ημέρας και την απέκλεισεν από παντού.

Α Μακ. 11,66 - καὶ ἠξίωσαν αὐτὸν τοῦ δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν καὶ κατελάβετο τὴν πόλιν καὶ ἔθετο ἐπ᾽ αὐτῇ φρουράν.

Α Μακ. 11,66 - Οι πολιορκούμενοι φοβηθέντες, όπως ήτο φυσικόν, τον παρεκάλεσαν να συνάψη ειρήνην με αυτούς. Ο Σιμων συνήψεν ειρήνην με αυτούς, αλλά τους υπεχρέωσε να εκκενώσουν την πόλιν, την οποίαν κατέλαβε και έθεσεν εις αυτήν ιδικήν του φρουράν.

Α Μακ. 11,67 - καὶ Ἰωνάθαν καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ἐπὶ τὸ ὕδωρ Γεννησάρ, καὶ ὤρθρισαν τὸ πρωΐ εἰς τὸ πεδίον Νασώρ.

Α Μακ. 11,67 - Εν τω μεταξύ ο Ιωνάθαν και ο στρατός του εστρατοπέδευσαν εις την λίμνην της Γεννησαρέτ και την επομένην ημέραν λίαν πρωϊ εισήλθον εις την πεδιάδα Νασώρ.

Α Μακ. 11,68 - καὶ ἰδοὺ παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ καὶ ἐξέβαλον ἔνεδρον ἐπ᾽ αὐτὸν ἐν τοῖς ὄρεσιν, αὐτοὶ δὲ ἀπήντησαν ἐξεναντίας.

Α Μακ. 11,68 - Αίφνης στρατεύματα ειδωλολατρών εξήλθον εναντίον του εις την πεδιάδα και αφού είχαν ξεχωρίσει και τοποθετήσει εναντίον του μίαν ενέδραν εις τα όρη, οι άλλοι εβάδισαν κατ' ευθείαν εναντίον του.

Α Μακ. 11,69 - τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων αὐτῶν καὶ συνῆψαν πόλεμον. καὶ ἔφυγον οἱ παρὰ Ἰωνάθαν πάντες,

Α Μακ. 11,69 - Οι στρατιώται της ενέδρας ανεπήδησαν αίφνης από τα κρησφύγετά των και συνήψαν μάχην. Ολοι οι άνδρες του Ιωνάθαν ετράπησαν εις φυγήν.

Α Μακ. 11,70 - οὐδὲ εἷς κατελείφθη ἀπ᾿ αὐτῶν, πλὴν Ματταθίας ὁ τοῦ Ἀβεσσαλώμου καὶ Ἰούδας ὁ τοῦ Χαλφὶ ἄρχοντες τῆς στρατιᾶς τῶν δυνάμεων.

Α Μακ. 11,70 - Κανείς από τους στρατιώτας του δεν έμεινε κοντά του, ει μη μόνον ο Ματταθίας υιός του Αβεσσαλώμου, και Ιούδας ο υιός του Χαλφί, στρατηγοί των στρατιωτικών του δυνάμεων.

Α Μακ. 11,71 - καὶ διέῤῥηξεν Ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ καὶ ἐπέθετο γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ προσηύξατο.

Α Μακ. 11,71 - Τατε ο Ιωνάθαν γεμάτος οδύνην διέρρηξε τα ιμάτιά του, έρριψε χώμα εις την κεφαλήν του και προσηυχήθη στον Θεόν.

Α Μακ. 11,72 - καὶ ὑπέστρεψε πρὸς αὐτοὺς πολέμῳ καὶ ἐτροπώσατο αὐτούς, καὶ ἔφυγον.

Α Μακ. 11,72 - Εστράφη εναντίον των εχθρών του εις την μάχην, τους κατετρόπωσε και τους ηνάγκασε να τραπούν εις φυγήν.

Α Μακ. 11,73 - καὶ εἶδον οἱ φεύγοντες οἱ παρ᾿ αὐτοῦ καὶ ἐπέστρεψαν πρὸς αὐτὸν καὶ ἐδίωκον μετ᾿ αὐτοῦ ἕως Κάδης ἕως τῆς παρεμβολῆς αὐτῶν καὶ παρενέβαλον ἐκεῖ.

Α Μακ. 11,73 - Οι άνδρες του, οι οποίοι είχαν φύγει, όταν είδαν αυτά, επέστρεψαν προς τον Ιωνάθαν και όλοι μαζή κατεδίωξαν τον εχθρόν μέχρι της Καδης, έως δηλαδή στο στρατόπεδόν των, όπου και εστρατοπέδευσαν.

Α Μακ. 11,74 - καὶ ἔπεσον ἐκ τῶν ἀλλοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους. καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλήμ.

Α Μακ. 11,74 - Από τους αλλοφύλους έπεσαν κατά την ημέραν εκείνην τρεις χιλιάδες άνδρες. Επειτα από αυτά ο Ιωνάθαν επανήλθεν εις την Ιερουσαλήμ.

Α ΜΑΚΚΑΒΑΙΩΝ 12

Α Μακ. 12,1 - Καὶ εἶδεν Ἰωνάθαν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ ἐπέλεξεν ἄνδρας καὶ ἀπέστειλεν εἰς Ῥώμην στῆσαι καὶ ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν.

Α Μακ. 12,1 - Είδεν ο Ιωνάθαν, ότι αι περιστάσεις ήσαν δι' αυτόν ευνοϊκαί. Εξέλεξε, λοιπόν, μερικούς άνδρας και τους έστειλεν εις την Ρωμην να επικυρώση και ανανέωση την φιλίαν του με τους Ρωμαίους.

Α Μακ. 12,2 - καὶ πρὸς Σπαρτιάτας καὶ τόπους ἑτέρους ἀπέστειλεν ἐπιστολὰς κατὰ τὰ αὐτά.

Α Μακ. 12,2 - Εστειλεν επίσης άλλους απεσταλμένους με επιστολάς, ομοίου περιεχομένου και προς τον αυτόν σκοπόν, στους Σπαρτιάτας και προς άλλας χώρας.

Α Μακ. 12,3 - καὶ ἐπορεύθησαν εἰς Ῥώμην καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον καὶ εἶπον· Ἰωνάθαν ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τῶν Ἰουδαίων ἀπέστειλεν ἡμᾶς ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῖς καὶ τὴν συμμαχίαν κατὰ τὸ πρότερον.

Α Μακ. 12,3 - Ηλθαν, λοιπόν, εις την Ρωμην οι απεσταλμένοι του, εισήλθαν εις την σύγκλητον και είπαν· “ο αρχιερεύς Ιωνάθαν και ο λαός των Ιουδαίων μας απέστειλαν να ανανεώσωμεν με σας την φιλίαν μας και την συμμαχίαν μας, όπως ήτο και προηγουμένως”.

Α Μακ. 12,4 - καὶ ἔδωκαν ἐπιστολὰς αὐτοῖς πρὸς αὐτοὺς κατὰ τόπον, ὅπως προπέμπωσιν αὐτοὺς εἰς γῆν Ἰούδα μετ᾿ εἰρήνης.

Α Μακ. 12,4 - Η σύγκλητος εδέχθη τας προτάσεις, συνήψε προς αυτούς συμφωνίαν και τους έδωκεν επιστολάς προς τους κατά τόπους Ρωμαίους άρχοντας, δια να τους προπέμπουν με ειρήνην και τιμήν εις την χώραν της Ιουδαίας.

Α Μακ. 12,5 - Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἔγραψεν Ἰωνάθαν τοῖς Σπαρτιάταις·

Α Μακ. 12,5 - Αυτό δε είναι και το αντίγραφον της επιστολής, που έγραψεν ο Ιωνάθαν προς τους Σπαρτιάτας.

Α Μακ. 12,6 - «Ἰωνάθαν ἀρχιερεὺς καὶ ἡ γερουσία τοῦ ἔθνους καὶ οἱ ἱερεῖς καὶ ὁ λοιπὸς δῆμος τῶν Ἰουδαίων Σπαρτιάταις τοῖς ἀδελφοῖς χαίρειν.

Α Μακ. 12,6 - “Ο Ιωνάθαν, ο αρχιερεύς, και η γερουσία του έθνους, οι ιερείς και ο άλλος λαός των Ιουδαίων, χαιρετίζει τους αδελφούς Σπαρτιάτας.

Α Μακ. 12,7 - ἔτι πρότερον ἀπεστάλησαν ἐπιστολαὶ πρὸς Ὀνίαν τὸν ἀρχιερέα παρὰ Δαρείου τοῦ βασιλεύοντος ἐν ὑμῖν ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν, ὡς τὸ ἀντίγραφον ὑπόκειται.

Α Μακ. 12,7 - Και προηγουμένως είχαν αποσταλή επιστολαί προς τον αρχιερέα μας τον Ονίαν εκ μέρους του Δαρείου, ο οποίος ήτο βασιλεύς εις σας, αι οποίαι εβεβαίωναν ότι είσθε αδελφοί μας, όπως μαρτυρεί και το επισυναπτόμενον αντίγραφαν.

Α Μακ. 12,8 - καὶ ἐπεδέξατο Ὀνίας τὸν ἄνδρα τὸν ἀπεσταλμένον ἐνδόξως καὶ ἔλαβε τὰς ἐπιστολάς, ἐν αἷς διεσαφεῖτο περὶ συμμαχίας καὶ φιλίας.

Α Μακ. 12,8 - Ο Ονίας εδέχθη τον άνδρα, που εστείλατε με πολλήν τιμήν, επήρε τας επιστολάς, εις τας οποίας εγίνετο σαφώς και ρητώς λόγος περί συμμαχίας και φιλίας μεταξύ μας.

Α Μακ. 12,9 - καὶ ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων ὄντες, παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς χερσὶν ἡμῶν,

Α Μακ. 12,9 - Ημείς σήμερον, καίτοι δεν έχομεν ανάγκην αυτών των πραγμάτων, διότι ως παρηγορίαν και ενίσχυσιν έχομεν τα άγια βιβλία που ευρίσκονται εις τα χέρια μας,

Α Μακ. 12,10 - ἐπειράθημεν ἀποστεῖλαι τὴν πρὸς ὑμᾶς ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι πρὸς τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν· πολλοὶ γὰρ καιροὶ διῆλθον ἀφ᾿ οὗ ἀπεστείλατε πρὸς ἡμᾶς.

Α Μακ. 12,10 - εν τούτοις απεφασίσαμεν και αποστέλλομεν προς σας την πρεσβείαν αυτήν, δια να ανανεώσωμεν την αδελφικήν και φιλικήν μας αγάπην και να μη αποξενωθώμεν μεταξύ μας. Πολλοί χρόνοι έχουν παρέλθει από τότε, που σεις εστείλατε προς ημάς την πρότασιν της φιλίας.

Α Μακ. 12,11 - ἡμεῖς οὖν ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς καὶ ταῖς λοιπαῖς καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑμῶν ἐφ᾿ ὧν προσφέρομεν θυσιῶν καὶ ἐν ταῖς προσευχαῖς, ὡς δέον ἐστὶ καὶ πρέπον μνημονεύειν ἀδελφῶν·

Α Μακ. 12,11 - Ημεις λοιπόν καθ' όλον τον καιρόν σας ενθυμούμεθα αδιαλείπτως κατά τας εορτάς μας και κατά τας άλλας καθιερωμένας εις λατρείαν του Θεού ημέρας, κατά τας θυσίας τας οποίας προσφέρομεν, και εις τας προσευχάς μας, όπως είναι δίκαιον και πρέπον να ενθυμούμεθα αδελφούς.

Α Μακ. 12,12 - εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν.

Α Μακ. 12,12 - Ευφραινόμεθα δε πληροφορούμενοι την δόξαν σας.

Α Μακ. 12,13 - ἡμᾶς δὲ ἐκύκλωσαν πολλαὶ θλίψεις καὶ πόλεμοι πολλοί, καὶ ἐπολέμησαν ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν.

Α Μακ. 12,13 - Αλλά θλίψεις πολλαί και πόλεμοι πολλοί μας εκύκλωσαν, διότι μας επολέμησαν οι γύρω μας άρχοντες και λαοί.

Α Μακ. 12,14 - καὶ οὐκ ἠβουλόμεθα οὖν παρενοχλεῖν ὑμῖν καὶ τοῖς λοιποῖς συμμάχοις καὶ φίλοις ἡμῶν ἐν τοῖς πολέμοις τούτοις·

Α Μακ. 12,14 - Δεν ηθελήσαμεν όμως στους πολέμους αυτούς να παρενοχλήσωμεν σας και τους άλλους συμμάχους και φίλους μας.

Α Μακ. 12,15 - ἔχομεν γὰρ τὴν ἐξ οὐρανοῦ βοήθειαν βοηθοῦσαν ἡμῖν καὶ ἐῤῥύσθημεν ἀπὸ τῶν ἐχθρῶν ἡμῶν, καὶ ἐταπεινώθησαν οἱ ἐχθροὶ ἡμῶν.

Α Μακ. 12,15 - Διότι έχομεν την βοήθειαν παρά του Θεού του ουρανού, που μας ενίσχυσε συνεχώς, και εγλυτώσαμεν από τους εχθρούς μας, οι δε εχθροί μας συνετρίβησαν και εξηυτελίσθησαν.

Α Μακ. 12,16 - ἐπελέξαμεν οὖν Νουμήνιον Ἀντιόχου καὶ Ἀντίπατρον Ἰάσωνος καὶ ἀπεστάλκαμεν πρὸς Ῥωμαίους ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν καὶ συμμαχίαν τὴν προτέραν.

Α Μακ. 12,16 - Δια τούτο, λοιπόν, εξελέξαμεν τον Νουμήνιον υιόν του Αντιόχου, και τον Αντίπατρον υιόν του Ιάσωνος, και τους εστείλαμεν στους Ρωμαίους, δια να ανανεώσωμεν την προηγουμένην μας προς αυτούς φιλίαν και συμμαχίαν.

Α Μακ. 12,17 - ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ πρὸς ὑμᾶς πορευθῆναι καὶ ἀσπάσασθαι ὑμᾶς καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ᾿ ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως καὶ τῆς ἀδελφότητος ἡμῶν.

Α Μακ. 12,17 - Τους εδώσαμεν δε την εντολήν να περάσουν και από σας, να σας χαιρετήσουν και να σας φέρουν την επιστολήν μας αυτήν, η οποία κάμνει λόγον δια την ανανέωσιν της αδελφικής μας αγάπης.

Α Μακ. 12,18 - καὶ νῦν καλῶς ποιήσετε ἀντιφωνήσοντες ἡμῖν πρὸς ταῦτα».

Α Μακ. 12,18 - Και τώρα καλώς θα πράξετε και σεις, να μας απαντήσετε εις τας προτάσεις μας αυτάς”.

Α Μακ. 12,19 - Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἀπέστειλαν Ὀνίᾳ·

Α Μακ. 12,19 - Το αντιγράφον της επιστολής, την οποίαν οι Σπαρτιάται έστειλαν προς τον Ονίαν είναι το εξής·

Α Μακ. 12,20 - «Ἄρειος βασιλεὺς Σπαρτιατῶν Ὀνίᾳ ἱερεῖ μεγάλῳ χαίρειν.

Α Μακ. 12,20 - “Ο Αρειος ο βασιλεύς των Σπαρτιατών χαιρετίζει τον Ονίαν, τον μέγαν αρχιερέα.

Α Μακ. 12,21 - εὑρέθη ἐν γραφῇ περί τε τῶν Σπαρτιατῶν καὶ Ἰουδαίων, ὅτι εἰσὶν ἀδελφοὶ καὶ ὅτι εἰσὶν ἐκ γένους Ἀβραάμ.

Α Μακ. 12,21 - Ευρέθη εις κάποιο αρχαίον έγγραφον, ότι οι Σπαρτιάται και οι Ιουδαίοι είναι αδελφοί και ότι αμφότεροι κατάγονται από την γενεάν του Αβραάμ.

Α Μακ. 12,22 - καὶ νῦν ἀφ᾿ οὗ ἔγνωμεν ταῦτα, καλῶς ποιήσετε γράφοντες ἡμῖν περὶ τῆς εἰρήνης ὑμῶν,

Α Μακ. 12,22 - Και τώρα, αφού εμάθαμεν πλέον αυτά, καλώς θα πράξετε σεις να μας γράψετε σχετικώς με την ειρηνικήν και ευημερούσαν ζωήν σας.

Α Μακ. 12,23 - καὶ ἡμεῖς δὲ ἀντιγράφομεν ὑμῖν τὰ κτήνη ὑμῶν καὶ ἡ ὕπαρξις ὑμῶν ἡμῖν ἐστι, καὶ τὰ ἡμῶν ὑμῖν ἐστιν. ἐντελλόμεθα οὖν ὅπως ἀπαγγείλωσιν ὑμῖν κατὰ ταῦτα».

Α Μακ. 12,23 - Και ημείς επίσης σας γράφομεν, ότι τα ποίμνιά σας και όλα τα υπάρχοντά σας είναι ιδικά μας, και τα ιδικά μας είναι ιδικά σας. Εδώσαμεν δε εντολήν στους κομιστάς της επιστολής, να σας είπουν αυτά και προφορικώς”.

Α Μακ. 12,24 - Καὶ ἤκουσεν Ἰωνάθαν ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες Δημητρίου μετὰ δυνάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολεμῆσαι πρὸς αὐτόν.

Α Μακ. 12,24 - Ο Ιωνάθαν επληροφορήθη, ότι επέστρεψαν οι στρατηγοί του Δημητρίου με δύναμιν πολλήν, πολύ μεγαλυτέραν από κάθε άλλην φοράν, δια να πολεμήσουν εναντίον του.

Α Μακ. 12,25 - καὶ ἀπῆρεν ἐξ Ἱερουσαλὴμ καὶ ἀπήντησεν αὐτοῖς εἰς τὴν Ἀμαθῖτιν χώραν· οὐ γὰρ ἔδωκεν αὐτοῖς ἀνοχὴν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτοῦ.

Α Μακ. 12,25 - Ο Ιωνάθαν ανεχώρησε με τον στρατόν του από την Ιερουσαλήμ, επροχώρησε προς συνάντησίν των εις την Αμαθίτιν χώραν, διότι δεν ηνέχθη να εισέλθουν και να πατήσουν αυτοί την χώραν του.

Α Μακ. 12,26 - καὶ ἀπέστειλε κατασκόπους εἰς τὴν παρεμβολὴν αὐτῶν, καὶ ἐπέστρεψαν καὶ ἀπήγγειλαν αὐτῷ, ὅτι οὕτω τάσσονται ἐπιπεσεῖν ἐπ᾿ αὐτοὺς τὴν νύκτα.

Α Μακ. 12,26 - Εστειλε δε και κατασκόπους στο στρατόπεδόν των, οι οποίοι επέστρεψαν και ανήγγειλαν στον Ιωνάθαν, ότι οι Συροι παρατάσσονται, δια να επιπέσουν εναντίον των Ιουδαίων αιφνιδίως κατά την νύκτα.

Α Μακ. 12,27 - ὡς δὲ ἔδυ ὁ ἥλιος, ἐπέταξεν Ἰωνάθαν τοῖς παρ᾿ αὐτοῦ γρηγορεῖν καὶ εἶναι ἐπὶ τοῖς ὅπλοις καὶ ἑτοιμάζεσθαι εἰς πόλεμον δι᾿ ὅλης τῆς νυκτὸς καὶ ἐξέβαλε προφύλακας κύκλῳ τῆς παρεμβολῆς.

Α Μακ. 12,27 - Οταν έδυσεν ο ήλιος, ο Ιωνάθαν έδωσε διαταγήν στους άνδρας του, να είναι άγρυπνοι με το όπλον εις τα χέρια των καθ' όλην την νύκτα έτοιμοι προς μάχην. Εβαλε δε και προχωρημένα φυλάκια γύρω από τον στρατόν του.

Α Μακ. 12,28 - καὶ ἤκουσαν οἱ ὑπεναντίοι ὅτι ἡτοίμασται Ἰωνάθαν καὶ οἱ παρ᾿ αὐτοῦ εἰς πόλεμον, καὶ ἐφοβήθησαν καὶ ἔπτηξαν τῇ καρδίᾳ αὐτῶν καὶ ἀνέκαυσαν πυρὰς ἐν τῇ παρεμβολῇ αὐτῶν.

Α Μακ. 12,28 - Οι εχθροί επληροφορήθησαν, ότι ο Ιωνάθαν και ο στρατός του είναι έτοιμοι προς μάχην, εκυριεύθησαν από φόβον, εδειλίασεν η καρδία των, άναψαν φωτιές γύρω από το στρατόπεδόν των και ανεχώρησαν κρυφίως.

Α Μακ. 12,29 - Ἰωνάθαν δὲ καὶ οἱ παρ᾿ αὐτοῦ οὐκ ἔγνωσαν ἕως πρωΐ, ἔβλεπον γὰρ τὰ φῶτα καιόμενα.

Α Μακ. 12,29 - Ο Ιωνάθαν και οι στρατιώται του δεν αντελήφθησαν την αναχώρησιν των εχθρών των μέχρι της πρωΐας, διότι έβλεπαν τας πυράς να καίουν συνεχώς.

Α Μακ. 12,30 - καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτῶν καὶ οὐ κατέλαβεν αὐτούς, διέβησαν γὰρ τὸν Ἐλεύθερον ποταμόν.

Α Μακ. 12,30 - Οταν όμως αντελήφθησαν την αναχώρησίν των, τους κατεδίωξαν, δεν ηδυνήθησαν όμως να τους φθάσουν, διότι εκείνοι είχαν διαβή τον ποταμόν Ελεύθερον.

Α Μακ. 12,31 - καὶ ἐξέκλινεν Ἰωνάθαν ἐπὶ τοὺς Ἄραβας τοὺς καλουμένους Ζαβαδαίους καὶ ἐπάταξεν αὐτοὺς καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν.

Α Μακ. 12,31 - Τοτε ο Ιωνάθαν εστράφη εναντίον των Αράβων των καλουμένων Ζαβαδαίων, τους εκτύπησε, τους ενίκησε και επήρεν από αυτούς λάφυρα.

Α Μακ. 12,32 - καὶ ἀναζεύξας ἦλθεν εἰς Δαμασκὸν καὶ διώδευσεν ἐν πάσῃ τῇ χώρᾳ.

Α Μακ. 12,32 - Παρέλαβε κατόπιν τον στρατόν του, ήλθεν εις την Δαμασκόν και περιώδευσεν όλην την χώραν νικητής.

Α Μακ. 12,33 - καὶ Σίμων ἐξῆλθε καὶ διώδευσεν ἕως Ἀσκάλωνος καὶ τῶν πλησίον ὀχυρωμάτων, καὶ ἐξέκλινεν εἰς Ἰόππην καὶ προκατελάβετο αὐτήν·

Α Μακ. 12,33 - Και ο Σιμων εβγήκεν από την Ιερουσαλήμ, διεπέρασε την χώραν έως την Ασκάλωνα και τας πλησίον οχυράς θέσεις. Επειτα εστράφη προς την Ιόππην, την οποίαν και κατέλαβε,

Α Μακ. 12,34 - ἤκουσεν γὰρ ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι τοῖς παρὰ Δημητρίου· καὶ ἔθετο ἐκεῖ φρουράν, ὅπως φυλάσσωσιν αὐτήν.

Α Μακ. 12,34 - διότι έμαθεν ότι οι κάτοικοί της ήθελαν να παραδώσουν το οχύρωμα στους άνδρας του Δημητρίου. Ο Σιμων ετοποθέτησεν ιδικήν του φρουράν, δια να φυλάσση την πόλιν

Α Μακ. 12,35 - καὶ ἐπέστρεψεν Ἰωνάθαν καὶ ἐξεκκλησίασε τοὺς πρεσβυτέρους τοῦ λαοῦ καὶ ἐβουλεύσατο μετ᾿ αὐτῶν τοῦ οἰκοδομῆσαι ὀχυρώματα ἐν τῇ Ἰουδαίᾳ

Α Μακ. 12,35 - Ο Ιωνάθαν, όταν επέστρεψεν εις την Ιερουσαλήμ, συνεκέντρωσε τους πρεσβυτέρους του λαού, συνεσκέφθη μαζή με αυτούς και απεφάσισε να ανοικοδομήση οχυρωματικά έργα εις την Ιουδαίαν.

Α Μακ. 12,36 - καὶ προσυψῶσαι τὰ τείχη Ἱερουσαλὴμ καὶ ὑψῶσαι ὕψος μέγα ἀνὰ μέσον τῆς ἄκρας καὶ τῆς πόλεως εἰς τὸ διαχωρίζειν αὐτὴν τῆς πόλεως, ἵνα ᾖ αὕτη κατὰ μόνας, ὅπως μήτε ἀγοράζωσι μήτε πωλῶσι.

Α Μακ. 12,36 - Να υψώση τα τείχη της Ιερουσαλήμ, να ανοικοδομήση τείχος υψηλόν μεταξύ της ακροπόλεως και της πόλεως, ώστε να χωρίζη την ακρόπολιν από την πόλιν, δια να είναι εκείνη απομεμονωμένη, ώστε να μη ημπορούν ούτε να πωλούν εκεί ούτε να αγοράζουν.

Α Μακ. 12,37 - καὶ συνήχθησαν τοῦ οἰκοδομεῖν τὴν πόλιν καὶ ἤγγισε τοῦ τείχους τοῦ χειμάῤῥου τοῦ ἐξ ἀπηλιώτου, καὶ ἐπεσκεύασαν τὸ καλούμενον Χαφεναθά.

Α Μακ. 12,37 - Συνεκεντρώθησαν λοιπόν, δια να ανοικοδομήσουν την πόλιν και ήρχισαν την ανοικοδόμησιν από του τείχους, το οποίον υψώνετο

επάνω από τον χείμαρρον των Κέδρων προς ανατολάς και επεσκεύασαν το τμήμα το καλούμενον Χαφεναθά.

Α Μακ. 12,38 - καὶ Σίμων ᾠκοδόμησε τὴν Ἀδιδὰ ἐν τῇ Σεφήλᾳ καὶ ὠχύρωσεν αὐτὴν καὶ ἐπέστησε θύρας καὶ μοχλούς.

Α Μακ. 12,38 - Και ο Σιμων ανοικοδόμησε και ωχύρωσε την πόλιν Αδιδά εις την πεδιάδα Σεφήλα και έθεσεν εις τα τείχη της θύρας και μοχλούς.

Α Μακ. 12,39 - Καὶ ἐζήτησε Τρύφων βασιλεῦσαι τῆς Ἀσίας καὶ περιθέσθαι τὸ διάδημα καὶ ἐκτεῖναι χεῖρα ἐπὶ Ἀντίοχον τὸν βασιλέα.

Α Μακ. 12,39 - Ο Τρύφων επεδίωξε να γίνη βασιλεύς της Ασίας, να φορέση το βασιλικόν διάδημα και να απλώση φονικήν την χείρα του εναντίον του βασιλέως Αντιόχου.

Α Μακ. 12,40 - καὶ ἐφοβήθη μήποτε οὐκ ἐάσῃ αὐτὸν Ἰωνάθαν καὶ μήποτε πολεμήσῃ πρὸς αὐτόν, καὶ ἐζήτει πόρον τοῦ συλλαβεῖν τὸν Ἰωνάθαν τοῦ ἀπολέσαι αὐτόν, καὶ ἀπάρας ἦλθεν εἰς Βαιθσάν.

Α Μακ. 12,40 - Επειδή όμως εφοβήθη, μήπως δεν τον αφήση ο Ιωνάθαν να πραγματοποιήση το όλον σχέδιόν του και μήπως φθάση μέχρι πολέμου εναντίον αυτού, εζήτει να συλλάβη τον Ιωνάθαν και να τον φονεύση. Προς τον σκοπόν αυτόν εξεκίνησε και ήλθεν εις Βαιθσάν.

Α Μακ. 12,41 - καὶ ἐξῆλθεν Ἰωνάθαν εἰς ἀπάντησιν αὐτῷ ἐν τεσσαράκοντα χιλιάσιν ἀνδρῶν ἐπιλελεγμέναις εἰς παράταξιν καὶ ἦλθεν εἰς Βαιθσάν.

Α Μακ. 12,41 - Ο Ιωνάθαν εξήλθε προς συνάντησίν του με σαράντα χιλιάδας εκλεκτούς άνδρας και ήλθεν εις την Βαιθσάν.

Α Μακ. 12,42 - καὶ εἶδε Τρύφων ὅτι πάρεστιν Ἰωνάθαν μετὰ δυνάμεως πολλῆς, καὶ ἐκτεῖναι χεῖρας ἐπ᾿ αὐτὸν εὐλαβήθη,

Α Μακ. 12,42 - Ο Τρύφων, όταν είδεν ότι ο Ιωνάθαν ήλθε με μεγάλην στρατιωτικήν δύναμιν, εφοβήθη να απλώση δολοφονικήν χείρα εναντίον του.

Α Μακ. 12,43 - καὶ ἐπεδέξατο αὐτὸν ἐνδόξως καὶ συνέστησεν αὐτὸν πᾶσι τοῖς φίλοις αὐτοῦ καὶ ἔδωκεν αὐτῷ δόματα καὶ ἐπέταξε ταῖς δυνάμεσιν αὐτοῦ ὑπακούειν αὐτῷ ὡς ἑαυτῷ.

Α Μακ. 12,43 - Αντιθέτως τον υπεδέχθη με πολλάς τιμάς, τον συνέστησεν εις όλους τους φίλους του, του προσέφερεν δώρα και έδωσεν εντολήν εις τας στρατιωτικάς του δυνάμεις να υπακούουν εις εκείνον, ως προς αυτόν τον ίδιον.

Α Μακ. 12,44 - καὶ εἶπε τῷ Ἰωνάθαν· ἱνατί ἔκοψας πάντα τὸν λαὸν τοῦτον, πολέμου μὴ ἐνεστηκότος ἡμῖν;

Α Μακ. 12,44 - Είπε δε στον Ιωνάθαν· “διατί εταλαιπώρησες όλον αυτόν τον λαόν, ενώ δεν υπάρχει πόλεμος μεταξύ μας;

Α Μακ. 12,45 - καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, ἐπίλεξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους, οἵτινες ἔσονται μετὰ σοῦ, καὶ δεῦρο

μετ᾿ ἐμοῦ εἰς Πτολεμαΐδα, καὶ παραδώσω σοι αὐτὴν καὶ τὰ λοιπὰ ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς λοιπὰς καὶ πάντας τοὺς ἐπὶ τῶν χρειῶν, καὶ ἐπιστρέψας ἀπελεύσομαι· τούτου γὰρ χάριν πάρειμι.

Α Μακ. 12,45 - Και τώρα στείλε τους στρατιώτας σου εις τα σπίτια των και διάλεξε δια τον εαυτόν σου ολίγους μόνον άνδρας, οι οποίοι θα είναι πάντοτε μαζή σου και έλα μαζή μου εις την Πτολεμαΐδα, δια να παραδώσω εκεί εις σε αυτήν, όλα τα οχυρώματά της, τας υπολοίπους στρατιωτικάς δυνάμεις, που ευρίσκονται εκεί και όλους τους βασιλικούς αξιωματούχους και υπαλλήλους. Επειτα δε εγώ θα επανέλθω εις την Αντιόχειαν. Δια τούτο άλλως τε και έχω έλθει”.

Α Μακ. 12,46 - καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησε καθὼς εἶπε, καὶ ἐξαπέστειλε τὰς δυνάμεις, καὶ ἀπῆλθον εἰς γῆν Ἰούδα.

Α Μακ. 12,46 - Ο Ιωνάθαν έδωσεν εμπιστοσύνην εις τα λόγια εκείνου, έκαμε όπως του είπεν ο Τρύφων, και απέλυσε τας στρατιωτικάς του δυνάμεις, αι οποίαι και επανήλθαν εις την Ιουδαίαν.

Α Μακ. 12,47 - κατέλιπε δὲ μεθ᾿ ἑαυτοῦ ἄνδρας τρισχιλίους, ὧν δισχιλίους ἀφῆκεν ἐν τῇ Γαλιλαίᾳ, χίλιοι δὲ συνῆλθον αὐτῷ.

Α Μακ. 12,47 - Αφήκε δε μαζή του τρεις χιλιάδας άνδρας, από τους οποίους τας δύο χιλιάδας αφήκεν εις την Γαλιλαίαν, ενώ τους άλλους χιλίους επήρε μαζή του.

Α Μακ. 12,48 - ὡς δὲ εἰσῆλθεν Ἰωνάθαν εἰς Πτολεμαΐδα, ἀπέκλεισαν οἱ Πτολεμαεῖς τὰς πύλας καὶ συνέλαβον αὐτόν, καὶ πάντας τοὺς εἰσελθόντας μετ᾿ αὐτοῦ ἀπέκτειναν ἐν ῥομφαίᾳ.

Α Μακ. 12,48 - Αμέσως όμως μόλις ο Ιωνάθαν εισήλθεν εις την Πτολεμαΐδα, έκλεισαν οι κάτοικοί της τας πύλας της πόλεως, συνέλαβαν αυτόν και όλους εκείνους, που είχαν εισέλθει μαζή του, και τους εφόνευσαν με ρομφαίαν.

Α Μακ. 12,49 - καὶ ἀπέστειλε Τρύφων δυνάμεις καὶ ἵππον εἰς τὴν Γαλιλαίαν καὶ τὸ πεδίον τὸ μέγα τοῦ ἀπολέσαι πάντας τοὺς παρὰ Ἰωνάθαν.

Α Μακ. 12,49 - Ο Τρύφων έστειλε τότε πεζικόν στρατόν και ιππικόν εις την Γαλιλαίαν, εις την μεγάλην πεδιάδα, με τον σκοπόν να εξολοθρεύση όλους τους άνδρας του Ιωνάθαν.

Α Μακ. 12,50 - καὶ ἐπέγνωσαν ὅτι συνελήφθη Ἰωνάθαν καὶ ἀπόλωλε καὶ οἱ μετ᾿ αὐτοῦ, καὶ παρεκάλεσαν ἑαυτοὺς καὶ ἐπορεύοντο συνεστραμμένοι ἕτοιμοι εἰς πόλεμον.

Α Μακ. 12,50 - Εκείνοι όμως είχαν πληροφορηθή, ότι ο Ιωνάθαν συνελήφθη και εφονεύθη μαζή με τους στρατιώτας, που είχε μαζή του. Ενισχύθησαν μεταξύ των και αλληλοενεθαρρύνθησαν και έτσι επορεύοντο μετά θάρρους συντεταγμένοι, έτοιμοι δια τον πόλεμον.

Α Μακ. 12,51 - καὶ εἶδον οἱ διώκοντες ὅτι περὶ ψυχῆς αὐτοῖς ἐστι, καὶ ἐπέστρεψαν.

Α Μακ. 12,51 - Οι στρατιώται του Τρύφωνος, που είχαν έλθει δια να τους καταδιώξουν, όταν είδαν ότι οι Ιουδαίοι είναι αποφασισμένοι να πολεμήσουν, δια να υπερασπίσουν την ζωήν των, επανήλθαν προς τον Τρύφωνα.

Α Μακ. 12,52 - καὶ ἦλθον πάντες μετ᾿ εἰρήνης εἰς γῆν Ἰούδα καὶ ἐπένθησαν τὸν Ἰωνάθαν καὶ τοὺς μετ᾿ αὐτοῦ καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐπένθησε πᾶς Ἰσραὴλ πένθος μέγα.

Α Μακ. 12,52 - Ολοι αυτοί οι Ιουδαίοι στρατιώται επανήλθον ασφαλείς εις την Ιουδαίαν και εκεί επένθησαν τον Ιωνάθαν και όλους τους άνδρας, που είχαν φονευθή μαζή του. Αλλά κατέλαβε τους Ισραηλίτας φόβος μεγάλος. Ολος ο ισραηλιτικός λαός εβυθίσθη εις πένθος μέγα δια τον Ιωνάθαν.

Α Μακ. 12,53 - καὶ ἐζήτησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρίψαι αὐτούς· εἶπαν γάρ· οὐκ ἔχουσιν ἄρχοντα καὶ βοηθοῦντα· νῦν οὖν πολεμήσωμεν αὐτοὺς καὶ ἐξάρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Α Μακ. 12,53 - Τοτε όλα τα γύρω ειδωλολατρικά έθνη εζήτησαν να εξοντώσουν τους Ισραηλίτας. Διότι είπαν· “αυτοί δεν έχουν πλέον αρχηγόν να τους βοηθήση. Τωρα, λοιπόν, ας πολεμήσωμεν εναντίον των και ας εξολοθρεύσωμεν εκ μέσου των ανθρώπων και την ανάμνησίν των ακόμη”.

Α ΜΑΚΚΑΒΑΙΩΝ 13

Α Μακ. 13,1 - Καὶ ἤκουσε Σίμων ὅτι συνήγαγε Τρύφων δύναμιν πολλὴν τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα καὶ ἐκτρῖψαι αὐτήν.

Α Μακ. 13,1 - Ο Σιμων επληροφορήθη, ότι ο Τρύφων είχε συγκεντρώσει, μεγάλην στρατιωτικήν δύναμιν, δια να επέλθη κατά της Ιουδαίας και να την συντρίψη.

Α Μακ. 13,2 - καὶ εἶδε τὸν λαὸν ὅτι ἐστὶν ἔντρομος καὶ ἔμφοβος, καὶ ἀνέβη εἰς Ἱερουσαλὴμ καὶ ἤθροισε τὸν λαὸν

Α Μακ. 13,2 - Ο Σιμων είδεν ότι ο Ισραηλιτικός λαός εξ αιτίας των γεγονότων αυτών, είχε καταληφθή από φόβον και τρόμον. Ανέβηκε, λοιπόν, εις την Ιερουσαλήμ, συνήθροισεν εκεί τον Ισραηλιτικόν λαόν

Α Μακ. 13,3 - καὶ παρεκάλεσεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς· αὐτοὶ οἴδατε ὅσα ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου ἐποιήσαμεν περὶ τῶν νόμων καὶ τῶν ἁγίων, καὶ τοὺς πολέμους καὶ τὰς στενοχωρίας, ἃς εἴδομεν.

Α Μακ. 13,3 - και τους ενεθάρρυνε λέγων προς αυτούς· “σεις οι ίδιοι εγνωρίσατε πολύ καλά, όσα εγώ και οι αδελφοί μου και ο οίκος του πατρός μου επράξαμεν υπέρ των νόμων και των ιερών μας τόπων, όπως επίσης γνωρίζετε τους πολέμους και τας περιπετείας, τας οποίας επεράσαμεν.

Α Μακ. 13,4 - τούτου χάριν ἀπώλοντο οἱ ἀδελφοί μου πάντες χάριν τοῦ Ἰσραήλ, καὶ κατελείφθην ἐγὼ μόνος.

Α Μακ. 13,4 - Χαριν του νόμου του Θεού και των ιερών τόπων εφονεύθησαν όλοι οι αδελφοί μου και έμεινα εγώ μόνος.

Α Μακ. 13,5 - καὶ νῦν μή μοι γένοιτο φείσασθαί μου τῆς ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως, οὐ γάρ εἰμι κρείσσων τῶν ἀδελφῶν μου.

Α Μακ. 13,5 - Και τώρα ας μη επιτρέψη ποτέ ο Θεός να φοβηθώ δια την ζωήν μου εις καμμίαν περίοδον θλίψεως, διότι εγώ δεν είμαι καλύτερος από τους αδελφούς μου.

Α Μακ. 13,6 - πλὴν ἐκδικήσω περὶ τοῦ ἔθνους μου καὶ περὶ τῶν ἁγίων καὶ περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων ἡμῶν, ὅτι συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρῖψαι ἡμᾶς ἔχθρας χάριν.

Α Μακ. 13,6 - Αλλά θέλω να πάρω εκδίκησιν υπέρ του έθνους μου, υπέρ του ναού, υπέρ των γυναικών και των τέκνων μας, διότι όλα τα ειδωλολατρικά έθνη εξ αιτίας του μίσους, που τρέφουν εναντίον μας, έχουν συγκεντρωθή, δια να μας εξοντώσουν”.

Α Μακ. 13,7 - καὶ ἀνεζωοπύρησε τὸ πνεῦμα τοῦ λαοῦ ἅμα τῷ ἀκοῦσαι τῶν λόγων τούτων,

Α Μακ. 13,7 - Ανεζωπυρήθη το πνεύμα του λαού, αμέσως μόλις ήκουσαν αυτούς τους λόγους.

Α Μακ. 13,8 - καὶ ἀπεκρίθησαν φωνῇ μεγάλῃ λέγοντες· σὺ εἶ ἡμῶν ἡγούμενος ἀντὶ Ἰούδα καὶ Ἰωνάθαν τοῦ ἀδελφοῦ σου·

Α Μακ. 13,8 - Ολος ο λαός με μεγάλην φωνήν απήντησαν και έλεγαν· “συ είσαι ο αρχηγός μας αντί του Ιούδα και αντί του Ιωνάθαν του αδελφού σου.

Α Μακ. 13,9 - πολέμησον τὸν πόλεμον ἡμῶν, καὶ πάντα, ὅσα ἂν εἴπῃς ἡμῖν, ποιήσομεν.

Α Μακ. 13,9 - Ανάλαβε τον πόλεμόν μας εναντίον των εχθρών και όλα, όσα συ θα διατάξης, ημείς θα τα εκτελέσωμεν.

Α Μακ. 13,10 - καὶ συνήγαγε πάντας τοὺς ἄνδρας τοὺς πολεμιστὰς καὶ ἐτάχυνε τοῦ τελέσαι τὰ τείχη Ἱερουσαλὴμ καὶ ὠχύρωσεν αὐτὴν κυκλόθεν.

Α Μακ. 13,10 - Ο Σιμων συνεκέντρωσεν όλους τους πολεμιστάς άνδρας, επέσπευσε την ανοικοδόμησιν των τειχών της Ιερουσαλήμ, την οποίαν και ωχύρωσεν από όλα τα μέρη.

Α Μακ. 13,11 - καὶ ἀπέστειλεν Ἰωνάθαν τὸν τοῦ Ἀβεσσαλώμου καὶ μετ᾿ αὐτοῦ δύναμιν ἱκανὴν εἰς Ἰόππην, καὶ ἐξέβαλε τοὺς ὄντας ἐν αὐτῇ καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ.

Α Μακ. 13,11 - Αμέσως δε έστειλεν εις την Ιόππην τον Ιωνάθαν υιόν του Αδεσσαλώμου, με πολυάριθμον στρατιωτικήν δύναμιν. Εκείνος δε εξεδίωξε τους κατοίκους της πόλεως και εγκατεστάθη εις αυτήν.

Α Μακ. 13,12 - Καὶ ἀπῇρε Τρύφων ἀπὸ Πτολεμαΐδος μετὰ δυνάμεως πολλῆς εἰσελθεῖν εἰς γῆν Ἰούδα, καὶ Ἰωνάθαν μετ᾿ αὐτοῦ ἐν φυλακῇ.

Α Μακ. 13,12 - Ο Τρύφων εξεκίνησεν από την Πτολεμαΐδα με πολλήν στρατιωτικήν δύναμιν, δια να εισβάλη εις την χώραν της Ιουδαίας, μαζή του δέ, ασφαλώς φρουρούμενον, είχε και τον Ιωνάθαν.

Α Μακ. 13,13 - Σίμων δὲ παρενέβαλεν ἐν Ἀδιδὰ κατὰ πρόσωπον τοῦ πεδίου.

Α Μακ. 13,13 - Ο Σιμων εστρατοπέδευσεν εις Αδιδά εμπρός από την πεδιάδα.

Α Μακ. 13,14 - καὶ ἐπέγνω Τρύφων ὅτι ἀνέστη Σίμων ἀντὶ Ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ὅτι συνάπτειν αὐτῷ μέλλει πόλεμον, καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις λέγων·

Α Μακ. 13,14 - Ο Τρύφων έμαθεν, ότι ανέλαβεν ο Σιμων αντί Ιωνάθαν του αδελφού του την αρχηγίαν του λαού και ότι είναι έτοιμος να συνάψη πόλεμον εναντίον του. Εστειλε λοιπόν πρέσβεις προς τον Σιμωνα και του είπε τα εξής·

Α Μακ. 13,15 - περὶ ἀργυρίου, οὗ ὤφειλεν Ἰωνάθαν ὁ ἀδελφός σου εἰς τὸ βασιλικὸν δι᾿ ἃς εἶχε χρείας, συνέχομεν αὐτόν·

Α Μακ. 13,15 - “Ημείς κρατούμεν φυλακισμένον τον αδελφόν σου τον Ιωνάθαν δια χρέος, το οποίον ώφειλεν στο βασιλικόν ταμείον.

Α Μακ. 13,16 - καὶ νῦν ἀπόστειλον ἀργυρίου τάλαντα ἑκατὸν καὶ δύο τῶν υἱῶν αὐτοῦ ὅμηρα, ὅπως μὴ ἀφεθεὶς ἀποστατήσῃ ἀφ᾿ ἡμῶν, καὶ ἀφήσομεν αὐτόν.

Α Μακ. 13,16 - Στείλε μου, λοιπόν, τώρα εκατόν τάλαντα αργυρίου και τα δύο παιδιά του Ιωνάθαν ως ομήρους, τους οποίους θέλομεν, δια να μη στραφή εναντίον μας ο Ιωνάθαν, όταν τον απολύσωμεν. Στείλε, λοιπόν, όλα αυτά και ημείς θα τον αφήσωμεν ελεύθερον”.

Α Μακ. 13,17 - καὶ ἔγνω Σίμων ὅτι δόλῳ λαλοῦσι πρὸς αὐτόν, καὶ πέμπει τοῦ λαβεῖν τὸ ἀργύριον καὶ τὰ παιδάρια, μήποτε ἔχθραν ἄρῃ μεγάλην πρὸς τὸν λαὸν

Α Μακ. 13,17 - Ο Σιμων αντελήφθη ότι αι προτάσεις αύται του Τρύφωνος είναι δόλιαι· εν τούτοις έστειλεν ανθρώπους να πάρουν και να φέρουν προς τον Τρύφωνα τα εκατόν τάλαντα αργυρίου και τα δύο παιδιά του Ιωνάθαν, δια να μη εξεγείρη την εχθρότητα και το μίσος του Ιουδαϊκού λαού εναντίον του,

Α Μακ. 13,18 - λέγων· ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον καὶ τὰ παιδάρια, καὶ ἀπώλετο.

Α Μακ. 13,18 - Ο οποίος λαός θα ημπορούσε να είπη, ότι επειδή δεν έστειλε στον Τρύφωνα το αργύριον και τα παιδιά, δια τούτο εφονεύθη ο Ιωνάθαν.

Α Μακ. 13,19 - καὶ ἀπέστειλε τὰ παιδάρια καὶ τὰ ἑκατὸν τάλαντα, καὶ διεψεύσατο καὶ οὐκ ἀφῆκε τὸν Ἰωνάθαν.

Α Μακ. 13,19 - Απέστειλε, λοιπόν, τα παιδιά και τα εκατόν τάλαντα αργυρίου. Ο Τρύφων όμως εψεύσθη, δεν ετήρησε τον λόγον του και δεν αφήκεν ελεύθερον τον Ιωνάθαν.

Α Μακ. 13,20 - καὶ μετὰ ταῦτα ἦλθε Τρύφων τοῦ ἐμβατεῦσαι εἰς τὴν χώραν καὶ ἐκτρῖψαι αὐτήν, καὶ ἐκύκλωσεν ὁδὸν τὴν εἰς Ἄδωρα. καὶ Σίμων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον, οὗ ἂν ἐπορεύετο.

Α Μακ. 13,20 - Εν συνεχεία δε εβάδισε, δια να εισβάλη εις την χώραν της Ιουδαίας και να την καταστρέψη. Ηκολούθησε προς τούτοις κύκλω την οδόν, η οποία οδηγεί εις Αδωρα. Ο Σιμων όμως μαζή με τον στρατόν του τον παρακολουθούσε παντού, όπου ο Τρύφων επορεύετο.

Α Μακ. 13,21 - οἱ δὲ ἐκ τῆς ἄκρας ἀπέστελλον πρὸς Τρύφωνα πρεσβευτὰς κατασπεύδοντας αὐτὸν τοῦ ἐλθεῖν πρὸς αὐτοὺς διὰ τῆς ἐρήμου καὶ ἀποστεῖλαι αὐτοῖς τροφάς.

Α Μακ. 13,21 - Οι στρατιώται, οι οποίοι ευρίσκοντο έντος της ακροπόλεως της Ιερουσαλήμ, έστειλαν πρεσβευτάς προς τον Τρύφωνα και τον παρακαλούσαν να σπεύση προς αυτούς δια μέσου της ερήμου και να τους στείλη τροφιμα.

Α Μακ. 13,22 - καὶ ἡτοίμασε Τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ ἐλθεῖν ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἦν χιὼν πολλὴ σφόδρα, καὶ οὐκ ἦλθε διὰ τὴν χιόνα· καὶ ἀπῇρε καὶ ἦλθεν εἰς τὴν Γαλααδῖτιν.

Α Μακ. 13,22 - Ο Τρύφων ητοίμασε όλην την ιππικήν του δύναμιν, δια να έλθη προς αυτούς κατά την νύκτα εκείνην. Αλλά έπιπτε πυκνή χιών και δεν ημπόρεσε να φθάση εις την Ιερουσαλήμ εξ αιτίας της χιόνος. Δια τούτο ανεχώρησε και ήλθεν εις την χώραν Γαλαάδ.

Α Μακ. 13,23 - ὡς δὲ ἤγγισε τῆς Βασκαμᾶ, ἀπέκτεινε τὸν Ἰωνάθαν, καὶ ἐτάφη ἐκεῖ.

Α Μακ. 13,23 - Οταν δε έφθασεν εις την Βασκαμά, εφόνευσε τον Ιωνάθαν, τον οποίον και ενεταφίασαν στο μέρος εκείνο.

Α Μακ. 13,24 - καὶ ἐπέστρεψε Τρύφων καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

Α Μακ. 13,24 - Επειτα ο Τρύφων επέστρεψε και επανήλθεν εις την χώραν του, την Αντιόχειαν.

Α Μακ. 13,25 - Καὶ ἀπέστειλε Σίμων καὶ ἔλαβε τὰ ὀστᾶ Ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἔθαψεν αὐτὰ ἐν Μωδεΐν πόλει τῶν πατέρων αὐτοῦ.

Α Μακ. 13,25 - Ο Σιμων έστειλε τότε άνδρας και επήρε τα οστά του αδελφού του Ιωνάθαν και τα έθαψεν εις την Μωδεΐν την πόλιν των πατέρων του.

Α Μακ. 13,26 - καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν καὶ ἐπένθησαν αὐτὸν ἡμέρας πολλάς.

Α Μακ. 13,26 - Ολος ο ισραηλιτικός λαός εθρήνησε με κοπετούς μεγάλους τον Ιωνάθαν, τον επένθησαν επί πολλάς ημέρας.

Α Μακ. 13,27 - καὶ ᾠκοδόμησε Σίμων ἐπὶ τὸν τάφον τοῦ πατρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ καὶ ὕψωσεν αὐτὸν τῇ ὁράσει λίθῳ ξεστῷ ἐκ τῶν ὄπισθεν καὶ ἐκ τῶν ἔμπροσθεν.

Α Μακ. 13,27 - Ο Σιμων ανοικοδόμησεν επάνω στον τάφον του πατρός του και των αδελφών του κενοτάφιον πολύ υψηλόν, δια να φαίνεται από μακράν με πελεκητούς λίθους από όλας τας πλευράς.

Α Μακ. 13,28 - καὶ ἔστησεν ἐπ᾿ αὐτὰ ἑπτὰ πυραμίδας, μίαν κατέναντι τῆς μιᾶς τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς τέσσαρσιν ἀδελφοῖς.

Α Μακ. 13,28 - Εδωσεν επίσης εντολήν και έστησαν επάνω από το κενοτάφιον αυτό επτά πυραμίδας, ώστε η μία να είναι απέναντι της άλλης. Τας έστησε χάριν του πατρός του και της μητρός του, και χάριν των τεσσάρων αδελφών του.

Α Μακ. 13,29 - καὶ ταύταις ἐποίησε μηχανήματα περιθεὶς στύλους μεγάλους καὶ ἐποίησεν ἐπὶ τοῖς στύλοις πανοπλίας εἰς ὄνομα αἰώνιον καὶ παρὰ ταῖς πανοπλίαις πλοῖα ἐπιγεγλυμμένα εἰς τὸ θεωρεῖσθαι ὑπὸ πάντων τῶν πλεόντων τὴν θάλασσαν.

Α Μακ. 13,29 - Επάνω εις αυτάς διέταξε να κατασκευάσουν έργα τέχνης, ανοικοδόμησε στύλους μεγάλους, επάνω στους οποίους απέθεσε πανοπλίας, δια να μένουν αιώνια τα ονόματά των. Πλησίον δε εις τας πανοπλίας αυτάς διέταξε να κατασκευάσουν ανάγλυφα πλοία, ώστε αυτά να είναι ορατά από όλους εκείνους, που πλέουν εις την Μεσόγειον Θαλασσαν.

Α Μακ. 13,30 - οὗτος ὁ τάφος ὃν ἐποίησεν ἐν Μωδεΐν, ἕως τῆς ἡμέρας ταύτης.

Α Μακ. 13,30 - Τέτοιος ήτο ο τάφος, τον οποίον κατεσκεύασεν εις την Μωδεΐν και ο οποίος σώζεται μέχρι της ημέρας αυτής.

Α Μακ. 13,31 - Ὁ δὲ Τρύφων ἐπορεύετο δόλῳ μετὰ Ἀντιόχου τοῦ βασιλέως τοῦ νεωτέρου καὶ ἀπέκτεινεν αὐτὸν

Α Μακ. 13,31 - Ο Τρύφων δολίως εφέρθη και απέναντι του βασιλέως Αντιόχου του νεωτέρου, τον οποίον και εφόνευσε.

Α Μακ. 13,32 - καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ καὶ περιέθετο διάδημα τῆς Ἀσίας καὶ ἐποίησε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς.

Α Μακ. 13,32 - Ετσι δε έγινε βασιλεύς αντ' αυτού, εφόρεσε το βασιλικόν διάδημα της Ασίας και επροξένησε μεγάλας συμφοράς εις την χώραν.

Α Μακ. 13,33 - καὶ ᾠκοδόμησε Σίμων τὰ ὀχυρώματα τῆς Ἰουδαίας, καὶ περιετείχισε πύργοις ὑψηλοῖς καὶ τείχεσι μεγάλοις καὶ πύλαις καὶ μοχλοῖς καὶ ἔθετο βρώματα ἐν τοῖς ὀχυρώμασι.

Α Μακ. 13,33 - Ο Σιμων ανοικοδόμησε πάλιν τας οχυράς πόλεις της Ιουδαίας, τας περιετείχισε με μεγάλα τείχη και υψηλούς πύργους και πύλας ισχυράς και μοχλούς και εναποθήκευσεν εις τας πόλεις αυτάς τροφάς.

Α Μακ. 13,34 - καὶ ἐπέλεξε Σίμων ἄνδρας καὶ ἀπέστειλε πρὸς Δημήτριον τὸν βασιλέα τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι αἱ πράξεις Τρύφωνος ἦσαν ἁρπαγαί.

Α Μακ. 13,34 - Εδιάλεξε δε άνδρας, τους οποίους και έστειλε προς τον βασιλέα Δημήτριον, δια να τον παρακαλέση και απαλλάξη τους Ιουδαίους από τους φόρους, διότι όλαι αι πράξστου Τρύφωνος ήσαν λεηλασίαι, εξ αιτίας των οποίων και η χώρα έμεινε πτωχή.

Α Μακ. 13,35 - καὶ ἀπέστειλεν αὐτῷ Δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς λόγους τούτους καὶ ἀπεκρίθη αὐτῷ καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύτην·

Α Μακ. 13,35 - Ο βασιλεύς Δημήτριος απήντησε προς αυτόν κατά την επιθυμίαν του και του έγραψε την ακόλουθον επιστολήν·

Α Μακ. 13,36 - «Βασιλεὺς Δημήτριος Σίμωνι ἀρχιερεῖ καὶ φίλῳ βασιλέων καὶ πρεσβυτέροις καὶ ἔθνει Ἰουδαίων χαίρειν.

Α Μακ. 13,36 - “Ο βασιλεύς Δημήτριος χαιρετά τον αρχιερέα Σιμωνα φίλον των βασιλέων, τους πρεσβυτέρους και όλον τον ιουδαϊκόν λαόν.

Α Μακ. 13,37 - τὸν στέφανον τὸν χρυσοῦν καὶ τὴν βαΐνην, ἣν ἀπεστείλατε, κεκομίσμεθα καὶ ἕτοιμοί ἐσμεν τοῦ ποιεῖν ὑμῖν εἰρήνην μεγάλην καὶ γράφειν τοῖς ἐπὶ τῶν χρειῶν τοῦ ἀφιέναι ὑμῖν ἀφέματα.

Α Μακ. 13,37 - Ελάβομεν τον χρυσούν στέφανον και την πλεκτήν από φοινικόφυλλα πολύτιμον ράδδον, που μας εστείλατε, και είμεθα έτοιμοι να συνάψωμεν σταθεράν και μόνιμον ειρήνην, να γράψωμεν δε και προς τους βασιλικούς υπαλλήλους μας να σας απαλλάξουν από τας φορολογικάς υποχρεώσεις σας.

Α Μακ. 13,38 - καὶ ὅσα ἐστήκαμεν πρὸς ὑμᾶς, ἕστηκε, καὶ τὰ ὀχυρώματα, ἃ ᾠκοδομήκατε, ὑπαρχέτω ὑμῖν.

Α Μακ. 13,38 - Ολα όσα έχομεν αποφασίσει προς χάριν σας, θα είναι έγκυρα και σταθερά. Αι οχυραί πόλεις, τας οποίας οικοδομήσατε, ας μένουν υπό την κυριότητά σας.

Α Μακ. 13,39 - ἀφίεμεν δὲ ἀγνοήματα καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον ἡμέρας καὶ τὸν στέφανον, ὃν ὠφείλετε, καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν Ἱερουσαλήμ, μηκέτι τελωνείσθω.

Α Μακ. 13,39 - Αμνηστεύομεν όλας τας πλάνας και όλα τα σφάλματά σας, που διεπράχθησαν έως την ημέραν αυτήν. Παραιτούμεθα από τον βασιλικόν στέφανον, τον οποίον είχατε υποχρέωσιν να προσφέρετε. Επί πλέον δε ορίζομεν να μη εισπράττεται και κάθε άλλος φόρος, ο οποίος εισεπράττετο έως τώρα εις την Ιερουσαλήμ.

Α Μακ. 13,40 - καὶ εἴ τινες ἐπιτήδειοι ὑμῶν γραφῆναι εἰς τοὺς περὶ ἡμᾶς, ἐγγραφέσθωσαν, καὶ γινέσθω ἀναμέσον ἡμῶν εἰρήνη».

Α Μακ. 13,40 - Εάν δε μερικοί άνδρες από σας ικανοί επιθυμούν να καταγραφούν εις την βασιλικήν φρουράν, ας καταγραφούν και ας υπάρχη πλήρης ειρήνη μεταξύ μας".

Α Μακ. 13,41 - ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ᾔρθη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ τοῦ Ἰσραήλ,

Α Μακ. 13,41 - Ετσι κατά το εκατοστόν εβδομηκοστόν έτος αφηρέθη ο ζυγός των ειδωλολατρικών εθνών από το έθνος του Ισραήλ.

Α Μακ. 13,42 - καὶ ἤρξατο ὁ λαὸς Ἰσραὴλ γράφειν ἐν ταῖς συγγραφαῖς καὶ συναλλάγμασιν ἔτους πρώτου ἐπὶ Σίμωνος ἀρχιερέως μεγάλου καὶ στρατηγοῦ καὶ ἡγουμένου Ἰουδαίων.

Α Μακ. 13,42 - Νέον τότε εποχήν ενεκαινίασεν ο ισραηλιτικός λαός και ήρχισε να γράφη εις τα συμφωνητικά και τα συμβόλαια αυτού· "Κατά το πρώτον έτος του Σιμωνος, του μεγάλου αρχιερέως, του στρατηγού και αρχηγού των Ιουδαίων".

Α Μακ. 13,43 - Ἐν ταῖς ἡμέραις ἐκείναις παρενέβαλε Σίμων ἐπὶ Γάζαρα καὶ ἐκύκλωσεν αὐτὴν παρεμβολαῖς καὶ ἐποίησεν ἑλεπόλεις καὶ προσήγαγε τῇ πόλει καὶ ἐπάταξε πύργον ἕνα καὶ κατελάβετο.

Α Μακ. 13,43 - Κατά τας ημέρας εκείνας ο Σιμων εξεστράτευσεν εναντίον των Γαζάρων, περιεκύκλωσε την πόλιν αυτήν με στρατόν, κατεσκεύασε κινητούς πολιορκητικούς πύργους, επλησίασε με αυτούς την πόλιν και ήνοιξε ρήγμα εις μίαν από τας επάλξεις της, την οποίαν και κατέλαβε.

Α Μακ. 13,44 - καὶ ἐξήλλοντο οἱ ἐν τῇ ἑλεπόλει εἰς τὴν πόλιν, καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ πόλει.

Α Μακ. 13,44 - Οι άνδρες, που ήσαν στον κινητόν αυτόν πολιορκητικόν πύργον, επήδησαν μέσα εις την πόλιν, πράγμα το οποίον προεκάλεσε μεγάλην αναταραχήν εις αυτήν.

Α Μακ. 13,45 - καὶ ἀνέβησαν οἱ ἐν τῇ πόλει σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις ἐπὶ τὸ τεῖχος διεῤῥηχότες τὰ ἱμάτια αὐτῶν καὶ ἐβόησαν φωνῇ μεγάλῃ ἀξιοῦντες Σίμωνα δεξιὰς αὐτοῖς δοῦναι

Α Μακ. 13,45 - Οι κάτοικοι τότε με τας γυναίκας και τα παιδιά των ανέβησαν επάνω εις τα τείχη, διέρρηξαν τα ενδύματά των και εφώναξαν με ικετευτικήν μεγάλην κραυγήν, παρακαλούσαν τον Σιμωνα να κάμη ειρήνην με αυτούς

Α Μακ. 13,46 - καὶ εἶπαν· μὴ ἡμῖν χρήσῃ κατὰ τὰς πονηρίας ἡμῶν, ἀλλὰ κατὰ τὸ ἔλεός σου.

Α Μακ. 13,46 - και του έλεγαν· "μη φερθής προς ημάς κατά την κακίαν μας, αλλά κατά το ιδικόν σου έλεος".

Α Μακ. 13,47 - καὶ συνελύθη Σίμων αὐτοῖς καὶ οὐκ ἐπολέμησεν αὐτούς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκ τῆς πόλεως, καὶ ἐκαθάρισε τὰς οἰκίας, ἐν αἷς ἦν τὰ εἴδωλα, καὶ οὕτως εἰσῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ εὐλογῶν.

Α Μακ. 13,47 - Ο Σιμων συνεκινήθη από αυτούς και εσταμάτησε πλέον τον πόλεμον. Τους κατοίκους όμως τους εδίωξεν από την πόλιν, εκαθάρισε τας οικίας, μέσα εις τας οποίας υπήρχαν είδωλα, και έτσι εισήλθεν εις την πόλιν υμνών και δοξάζων τον Θεόν.

Α Μακ. 13,48 - καὶ ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν καὶ κατῴκισεν ἐκεῖ ἄνδρας, οἵτινες τὸν νόμον ποιοῦσι, καὶ προσωχύρωσεν αὐτὴν καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐτῇ οἴκησιν.

Α Μακ. 13,48 - Αφού δε εκαθάρισε την πόλιν από τας ειδωλολατρικάς μολύνσεις, εγκατέστησεν εκεί Ιουδαίους άνδρας, οι οποίοι ετήρουν τον νόμον του Θεού, ωχύρωσε την πόλιν και ανοικοδόμησεν εντός

αυτής οικίαν δια τον εαυτόν του.

Α Μακ. 13,49 - οἱ δὲ ἐκ τῆς ἄκρας ἐν Ἱερουσαλὴμ ἐκωλύοντο ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι εἰς τὴν χώραν καὶ ἀγοράζειν καὶ πωλεῖν καὶ ἐπείνασαν σφόδρα, καὶ ἀπώλοντο ἐξ αὐτῶν ἱκανοὶ τῇ λιμῷ.

Α Μακ. 13,49 - Οι εχθροί, οι οποίοι ευρίσκοντο εις την ακρόπολιν της Ιερουσαλήμ, εδυσκολεύοντο πλέον να εισέρχωνται και να εξέρχωνται εις την χώραν της Ιουδαίας, δια να αγοράζουν η να πωλούν. Δια τούτο και επείνασαν πάρα πολύ. Εξ αιτίας δε της πείνης των αυτής απέθανον αρκετοί από αυτούς.

Α Μακ. 13,50 - καὶ ἐβόησαν πρὸς Σίμωνα δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν καὶ ἐκαθάρισε τὴν ἄκραν ἀπὸ τῶν μιασμάτων.

Α Μακ. 13,50 - Εβόησαν δε με ικετευτικήν φωνήν προς τον Σιμωνα να συνάψη ειρήνην, και εκείνος εσυνθηκολόγησε μαζή των, τους έδιωξεν όμως από την ακρόπολιν, την οποίαν και εκαθάρισεν από τα ειδωλολατρικά μιάσματα.

Α Μακ. 13,51 - καὶ εἰσῆλθον εἰς αὐτὴν τῇ τρίτῃ καὶ εἰκάδι τοῦ δευτέρου μηνὸς ἔτους ἑνὸς καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ μετὰ αἰνέσεως καὶ βαΐων καὶ ἐν κινύραις καὶ ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν ὕμνοις καὶ ἐν ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ Ἰσραήλ.

Α Μακ. 13,51 - Οι Ιουδαίοι εισήλθαν εις την ακρόπολιν αυτήν κατά την εικοστήν τρίτην του δευτέρου μηνός του εκατοστού εβδομηκοστού πρώτου έτους, δοξολογούντες τον Θεόν και φέροντες εις τα χέρια των κλάδους, παίζοντες κιθάρας, κύμβαλα, νάβλας, έψαλλον δε ύμνους και ωδάς, διότι ένας πολύ μεγάλος εχθρός είχε συντριβή και είχε λείψει πλέον εκ μέσου του Ισραηλιτικού λαού.

Α Μακ. 13,52 - καὶ ἔστησε κατ᾿ ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν ταύτην μετ᾿ εὐφροσύνης. καὶ προσωχύρωσε τὸ ὄρος τοῦ ἱεροῦ τὸ παρὰ τὴν ἄκραν· καὶ ᾤκει ἐκεῖ αὐτὸς καὶ οἱ παρ᾿ αὐτοῦ.
Α Μακ. 13,52 - Ωρισε δε ο Σιμων να εορτάζεται κάθε έτος η ημέρα αυτή με πολλήν χαράν. Ωχύρωσε δε ακόμη περισσότερον τον οχυρόν λόφον του ναού, που ευρίσκετο πλησίον της ακροπόλεως. Εκεί δε κατώκησεν ο ίδιος και οι ιδικοί του.
Α Μακ. 13,53 - καὶ εἶδε Σίμων τὸν Ἰωάννην υἱὸν αὐτοῦ, ὅτι ἀνήρ ἐστι, καὶ ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμεων πασῶν· καὶ ᾤκει ἐν Γαζάροις.
Α Μακ. 13,53 - Είδεν ο Σιμων ότι ο υιός του ο Ιωάννης είναι ανήρ πλέον και μάλιστα γενναίος και τον κατέστησεν αρχηγόν όλων τω στρατιωτικών του δυνάμεων. Ο Ιωάννης ήλθε και εγκατεστάθη, ως εις έδραν του εις την πάλιν Γαζαρα.

Α ΜΑΚΚΑΒΑΙΩΝ 14

Α Μακ. 14,1 - Καὶ ἐν ἔτει δευτέρῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ συνήγαγε Δημήτριος ὁ βασιλεὺς τὰς δυνάμεις αὐτοῦ καὶ ἐπορεύθη εἰς Μηδίαν τοῦ ἐπισπάσασθαι βοήθειαν αὐτῷ, ὅπως πολεμήσῃ τὸν Τρύφωνα.
Α Μακ. 14,1 - Κατά το εκατοστόν εβδομηκοστόν δεύτερον έτος της χρονολογίας των Σελευκιδών ο βασιλεύς Δημήτριος συνεκέντρωσε τας στρατιωτικάς του δυνάμεις και επορεύθη εις την Μηδίαν, δια να προσλάβη στρατιώτας, ικανούς να τον βοηθήσουν να πολεμήση εναντίον του Τρύφωνος.
Α Μακ. 14,2 - καὶ ἤκουσεν Ἀρσάκης ὁ βασιλεὺς τῆς Περσίδος καὶ Μηδίας ὅτι ἦλθε Δημήτριος εἰς τὰ ὅρια αὐτοῦ, καὶ ἀπέστειλεν ἕνα τῶν ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶντα.
Α Μακ. 14,2 - Ο Αρσάκης, ο βασιλεύς της Περσίας και της Μηδίας, όταν επληροφορήθη ότι ο Δημήτριος εισήλθεν εις την χώραν του, έστειλεν ένα αυτό τους στρατηγούς του, να τον συλλάβη ζωντανόν.
Α Μακ. 14,3 - καὶ ἐπορεύθη καὶ ἐπάταξε τὴν παρεμβολὴν Δημητρίου καὶ συνέλαβεν αὐτὸν καὶ ἤγαγεν αὐτὸν πρὸς Ἀρσάκην, καὶ ἔθετο αὐτὸν ἐν φυλακῇ.
Α Μακ. 14,3 - Ο στρατηγός αυτός εβάδισε, εκτύπησε και ενίκησε τον στρατόν του Δημητρίου. Συνέλαβεν αυτόν τον ίδιον αιχμάλωτον και τον οδήγησε προς τον Αρσάκην, ο οποίος και τον έκλεισεν εις την φυλακήν.
Α Μακ. 14,4 - Καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα πάσας τὰς ἡμέρας Σίμωνος, καὶ ἐζήτησαν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ, καὶ ἤρεσεν αὐτοῖς ἡ ἐξουσία αὐτοῦ καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας.

Α Μακ. 14,4 - Εις όλην την χώραν της Ιουδαίας επικρατούσεν ησυχία και ειρήνη καθ' όλας τας ημέρας του Σιμωνος. Αυτός δε και οι περί αυτόν επεδίωξαν και ειργάσθησαν εις ειρηνικά έργα δια το καλόν του έθνους του. Η διοίκησίς του ήρεσεν στους Εβραίους και η δόξα τον συνώδευεν εις όλας τας ημέρας της ζωής του.

Α Μακ. 14,5 - καὶ μετὰ πάσης τῆς δόξης αὐτοῦ ἔλαβε τὴν Ἰόππην εἰς λιμένα καὶ ἐποίησεν εἴσοδον ταῖς νήσοις τῆς θαλάσσης.

Α Μακ. 14,5 - Ενας επί πλέον τίτλος της λαμπράς του δόξης ήτο και το γεγονός, ότι κατέλαβε την Ιόππην, την οποίαν έκαμε λιμένα, και δι' αυτής εισέπλεεν εις τας νήσους της Μεσογείου Θαλάσσης.

Α Μακ. 14,6 - καὶ ἐπλάτυνε τὰ ὅρια τῷ ἔθνει αὐτοῦ καὶ ἐκράτησε τῆς χώρας.

Α Μακ. 14,6 - Ηύρυνεν έτσι τα σύνορα του κράτους του και έγινε κύριος πράγματι της χώρας του.

Α Μακ. 14,7 - καὶ συνήγαγεν αἰχμαλωσίαν πολλὴν καὶ ἐκυρίευσε Γαζάρων καὶ Βαιθσούρων καὶ τῆς ἄκρας· καὶ ἐξῆρε τὰς ἀκαθαρσίας ἐξ αὐτῆς, καὶ οὐκ ἦν ὁ ἀντικείμενος αὐτῷ.

Α Μακ. 14,7 - Συνεκέντρωσε μεγάλον αριθμόν αιχμαλώτων, κατέλαβε τα Γαζαρα, την Βαιθσούραν, την ακρόπολιν της Ιερουσαλήμ, την οποίαν και εκαθάρισεν από τα ειδωλολατρικά μιάσματα. Δεν υπήρχε δε κανείς πλέον έχθρυς ανθιστάμενος εις αυτόν.

Α Μακ. 14,8 - καὶ ἦσαν γεωργοῦντες τὴν γῆν αὐτῶν μετ᾿ εἰρήνης, καὶ ἡ γῆ ἐδίδου τὰ γεννήματα αὐτῆς καὶ τὰ ξύλα τῶν πεδίων τὸν καρπὸν αὐτῶν.

Α Μακ. 14,8 - Οι Ισραηλίται εκαλλιεργούσαν τους αγρούς των ειρηνικοί, η δε γη απέδιδε τα προϊόντα της και τα καρποφόρα δένδρα των αγρών έδιδαν τους καρπούς των.

Α Μακ. 14,9 - πρεσβύτεροι ἐν ταῖς πλατείαις ἐκάθηντο, πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο, καὶ οἱ νεανίσκοι ἐνεδύσαντο δόξας καὶ στολὰς πολέμου.

Α Μακ. 14,9 - Οι γεροντότεροι εκάθηντο εις τας πλατείας και συνεζήτουν όλοι δια τα αγαθά και την ειρήνην της χώρας των, ενώ οι νεώτεροι εφορούσαν πολυτελείς και πολεμικάς στολάς.

Α Μακ. 14,10 - ταῖς πόλεσιν ἐχορήγησε βρώματα καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν ὀχυρώσεως, ἕως ὅτου ὠνομάσθη τὸ ὄνομα τῆς δόξης αὐτοῦ ἕως ἄκρου τῆς γῆς.

Α Μακ. 14,10 - Ο Σιμων εχορήγει τροφάς εις τας πόλεις και ενίσχυεν αυτάς με οχυρωματικά έργα. Ετσι το όνομά του έγινε γνωστόν και ένδοξον έως εις τα άκρα του κόσμου.

Α Μακ. 14,11 - ἐποίησε τὴν εἰρήνην ἐπὶ τῆς γῆς, καὶ εὐφράνθη Ἰσραὴλ εὐφροσύνην μεγάλην.

Α Μακ. 14,11 - Αποκατέστησε αδιατάρακτον την ειρήνην εις την χώραν του, ο δε ισραηλιτικός λαός απελάμβανε μεγάλην χαράν και ευφροσύνην.

Α Μακ. 14,12 - καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς.

Α Μακ. 14,12 - Ο καθένας εκάθητο κάτω από την κληματαριάν του και την συκήν του, και δεν υπήρχε κανείς πλέον να τους εκφοβίζη.

Α Μακ. 14,13 - καὶ ἐξέλιπεν ὁ πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ οἱ βασιλεῖς συνετρίβησαν ἐν ταῖς ἡμέραις ἐκείναις.

Α Μακ. 14,13 - Εξέλιπε κάθε πολέμιος από την χώραν των και οι εχθροί βασιλείς είχαν συντριβή κατά τας ημέρας εκείνας.

Α Μακ. 14,14 - καὶ ἐστήρισε πάντας τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ· τὸν νόμον ἐξεζήτησε καὶ ἐξῆρε πάντα ἄνομον καὶ πονηρόν·

Α Μακ. 14,14 - Υπήρξε το στήριγμα όλων των ταλαιπωρημένων ανθρώπων του λαού του. Εμελέτα και εφήρμοζε τον Νομον, και έβγαλεν εκ μέσου των Ισραηλιτών κάθε παράνομον και κακόν.

Α Μακ. 14,15 - τὰ ἅγια ἐδόξασε, καὶ ἐπλήθυνε τὰ σκεύη τῶν ἁγίων.

Α Μακ. 14,15 - Εδόξασε τον ιερόν τόπον και επλούτισεν εις αριθμόν και ποιόν τα ιερά σκεύη του ναού.

Α Μακ. 14,16 - Καὶ ἠκούσθη ἐν Ῥώμῃ, ὅτι ἀπέθανεν Ἰωνάθαν, καὶ ἕως Σπάρτης, καὶ ἐλυπήθησαν σφόδρα.

Α Μακ. 14,16 - Οταν ηκούσθη έως εις την Ρωμην και εις την Σπάρτην, ότι ο Ιωνάθαν απέθανεν, ελυπήθησαν πάρα πολύ και οι Ρωμαίοι και οι Σπαρτιάται.

Α Μακ. 14,17 - ὡς δὲ ἤκουσαν, ὅτι Σίμων ὁ ἀδελφὸς αὐτοῦ γέγονεν ἀντ᾿ αὐτοῦ ἀρχιερεὺς καὶ ἐπικρατεῖ τῆς χώρας καὶ τῶν πόλεων τῶν ἐν αὐτῇ,

Α Μακ. 14,17 - Οταν όμως έμαθαν ότι ο Σιμων ο αδελφός του τον διεδέχθη εις την αρχιερωσύνην και ότι αυτός είναι άρχων της Ιουδαίας και των πόλεων, που ευρίσκοντο εις αυτήν,

Α Μακ. 14,18 - ἔγραψαν πρὸς αὐτὸν δέλτοις χαλκαῖς τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ τὴν συμμαχίαν, ἣν ἔστησαν πρὸς Ἰούδαν καὶ Ἰωνάθαν τοὺς ἀδελφοὺς αὐτοῦ.

Α Μακ. 14,18 - έγραψαν προς αυτόν επιστολήν επάνω εις χαλκίνας πλάκας, δια να ανανεώσουν την φιλίαν και συμμαχίαν των προς αυτόν, την οποίαν προηγουμένως είχον συνάψει με τον Ιούδαν και τον Ιωνάθαν, τους αδελφούς του.

Α Μακ. 14,19 - καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς ἐκκλησίας ἐν Ἱερουσαλήμ.

Α Μακ. 14,19 - Αι επιστολαί αυταί ανεγνώσθησαν ενώπιον της συγκεντρώσεως όλων των Ιουδαίων εις την Ιερουσαλήμ.

Α Μακ. 14,20 - καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἀπέστειλαν οἱ Σπαρτιάται· «Σπαρτιατῶν ἄρχοντες καὶ ἡ πόλις Σίμωνι ἱερεῖ μεγάλῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσι καὶ τῷ λοιπῷ δήμῳ τῶν Ἰουδαίων ἀδελφοῖς χαίρειν.

Α Μακ. 14,20 - Αυτό δε είναι το περιεχόμενον της επιστολής, την οποίαν έστειλαν οι Σπαρτιάται· “Οι άρχοντες των Σπαρτιατών και όλη η πόλις χαιρετούν τον Σιμωνα, τον μέγαν αρχιερέα, τους πρεσβυτέρους, τους ιερείς και τους άλλους άνδρας των Ιουδαίων, τους αδελφούς μας.

Α Μακ. 14,21 - οἱ πρεσβευταὶ οἱ ἀποσταλέντες πρὸς τὸν δῆμον ἡμῶν ἀπήγγειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν καὶ τιμῆς, καὶ ηὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν.

Α Μακ. 14,21 - Οι πρεσβευταί, τους οποίους εστείλατε στον λαόν μας, ανήγγειλαν εις ημάς την δόξαν σας και την τιμήν, που απολαμβάνετε σήμερον, ημείς δε ηυχαριστήθημεν πολύ δια την έλευσίν των.

Α Μακ. 14,22 - καὶ ἀνεγράψαμεν τὰ ὑπ᾿ αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως· Νουμήνιος Ἀντιόχου καὶ Ἀντίπατρος Ἰάσωνος πρεσβευταὶ Ἰουδαίων ἦλθοσαν πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς ἡμᾶς φιλίαν.

Α Μακ. 14,22 - Ανεκοινώσαμεν και κατεχωρήσαμεν τα λεχθέντα από αυτούς εις τας αποφάσστου δήμου ως εξής· Ο Νουμήνιος ο υιός του Αντιόχου, και ο Αντίπατρος ο υιός του Ιάσωνος, πρεσβευταί από τους Ιουδαίους ήλθον προς ημάς με τον σκοπον να ανανεώσουν την προς ημάς φιλίαν.

Α Μακ. 14,23 - καὶ ἤρεσε τῷ δήμῳ ἐπιδέξασθαι τοὺς ἄνδρας ἐνδόξως καὶ τοῦ θέσθαι τὸ ἀντίγραφον τῶν λόγων αὐτῶν ἐν τοῖς ἀποδεδειγμένοις τῶ δήμῳ βιβλίοις τοῦ ἔχειν μνημόσυνον τὸν δῆμον τῶν Σπαρτιατῶν. τὸ δὲ ἀντίγραφον τούτων ἐγράψαμεν Σίμωνι τῷ ἀρχιερεῖ».

Α Μακ. 14,23 - Ηρεσε και ενέκρινεν ο δήμος να υποδεχθώμεν τους άνδρας αυτούς με κάθε τιμήν και να καταθέσωμεν αντίγραφον των προτάσεών των εις τα επίσημα βιβλία του δήμου, ώστε ο δήμος να διατηρηή την ανάμνησιν αυτών. Αντίγραφον δε τούτων εγράψαμεν και αποστέλλομεν στον Σιμωνα τον αρχιερέα”.

Α Μακ. 14,24 - Μετὰ δὲ ταῦτα ἀπέστειλε Σίμων τὸν Νουμήνιον εἰς Ῥώμην ἔχοντα ἀσπίδα χρυσῆν μεγάλην ὁλκῆς μνῶν χιλίων εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν συμμαχίαν.

Α Μακ. 14,24 - Μετά ταύτα ο Σιμων απέστειλεν εις την Ρωμην τον Νουμήνιον μεταφέροντα μεγάλην χρυσήν ασπίδα βάρους χιλίων μνων, δια να ανανεώση και επικυρώση την συμμαχίαν με αυτούς.

Α Μακ. 14,25 - Ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων, εἶπαν· τίνα χάριν ἀποδώσομεν Σίμωνι καὶ τοῖς υἱοῖς αὐτοῦ;

Α Μακ. 14,25 - Οταν ο λαός της Ρωμης έμαθε τα πράγματα αυτά είπεν· “Ποίον δείγμα της ευγνωμοσύνης μας θα δώσωμεν τώρα στον Σιμωνα και τα παιδιά του;

Α Μακ. 14,26 - ἐστήρισε γὰρ αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ καὶ ἐπολέμησαν τοὺς ἐχθροὺς Ἰσραὴλ ἀπ᾿ αὐτῶν καὶ ἔστησαν αὐτῷ ἐλευθερίαν. καὶ κατέγραψαν ἐν δέλτοις χαλκαῖς καὶ ἔθεντο ἐν στήλαις ἐν ὄρει Σιών.

Α Μακ. 14,26 - Διότι αυτός και οι αδελφοί του και ο οίκος του πατρός των εφάνησαν σταθεροί εις την φιλίαν των προς ημάς. Επολέμησαν δε και εξεδίωξαν τους εχθρούς του Ισραηλιτικού λαού και εστερέωσαν την ελευθερίαν αυτού”. Αυτά δε τα έργα εχάραξαν εις χαλκίνους πίνακας, τους οποίους εκρέμασαν εις στήλας στο όρος Σιών.

Α Μακ. 14,27 - καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς· «Ὀκτωκαιδεκάτῃ Ἐλούλ, ἔτους δευτέρου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ -καὶ τοῦτο τρίτον ἔτος ἐπὶ Σίμωνος ἀρχιερέως

Α Μακ. 14,27 - Ιδού δε και το αντίγραφον αυτών· “Κατά την δεκάτην ογδόην ημέραν του Ελούλ, του εκατοστού εβδομηκοστού δευτέρου έτους της χρονολογίας των Σελευκιδών- αυτό συμπίπτει προς το τρίτον έτος του Σιμωνος του αρχιερέως,

Α Μακ. 14,28 - ἐν ἀσαραμὲλ- ἐπὶ συναγωγῆς μεγάλης ἱερέων καὶ λαοῦ καὶ ἀρχόντων ἔθνους καὶ τῶν πρεσβυτέρων τῆς χώρας ἐγνώρισεν ἡμῖν·

Α Μακ. 14,28 - εις ασαραμελ-κατά μίαν μεγάλην συγκέντρωσιν ιερέων και λαού και αρχόντων του έθνους και των πρεσβυτέρων της χώρας εκοινοποιήθησαν εις ημάς τα εξής·

Α Μακ. 14,29 - ἐπεὶ πολλάκις ἐγενήθησαν πόλεμοι ἐν τῇ χώρᾳ, Σίμων δὲ ὁ υἱὸς Ματταθίου ὁ υἱὸς τῶν υἱῶν Ἰωαρὶβ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔδωκαν ἑαυτοὺς τῷ κινδύνῳ καὶ ἀντέστησαν τοῖς ὑπεναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως σταθῇ τὰ ἅγια αὐτῶν καὶ ὁ νόμος, καὶ δόξῃ μεγάλῃ ἐδόξασαν τὸ ἔθνος αὐτῶν.

Α Μακ. 14,29 - Επειδή πολλές φορές πόλεμοι εξερράγησαν εναντίον της χώρας μας ο Σιμων ο υιός του Ματταθίου, από τους απογόνους του Ιωαρίβ, και οι αδελφοί αυτού εξετέθησαν εις κίνδυνον, αντέστησαν εναντίον των εχθρών του έθνους των, δια να ίσταται όρθιος ο ναός του Κυρίου και να ισχύη ο νόμος ο θείος. Αυτοί με μεγάλην δόξαν εδόξασαν το έθνος των.

Α Μακ. 14,30 - καὶ ἤθροισεν Ἰωνάθαν τὸ ἔθνος αὐτῶν καὶ ἐγενήθη αὐτοῖς ἀρχιερεὺς καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ,

Α Μακ. 14,30 - Ο Ιωνάθαν συνεκέντρωσε το έθνος των, εγινεν στους Ισραηλίτας αρχιερεύς και όταν απέθανε προσετέθη στον λαόν του.

Α Μακ. 14,31 - καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτῶν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν τοῦ ἐκτρῖψαι τὴν χώραν αὐτῶν καὶ ἐκτεῖναι χεῖρας ἐπὶ τὰ

ἅγια αὐτῶν.
Α Μακ. 14,31 - Οι εχθροί ηθέλησαν να εισχωρήσουν εις την χώραν των Ιουδαίων, να καταστρέψουν αυτήν και έπειτα να απλώσουν τα χέρια των στον ιερόν ναόν των.
Α Μακ. 14,32 - τότε ἀνέστη Σίμων, καὶ ἐπολέμησε περὶ τοῦ ἔθνους αὐτοῦ καὶ ἐδαπάνησε χρήματα πολλὰ τῶν ἑαυτοῦ καὶ ὡπλοδότησε τοὺς ἄνδρας τῆς δυνάμεως τοῦ ἔθνους αὐτοῦ καὶ ἔδωκεν αὐτοῖς ὀψώνια
Α Μακ. 14,32 - Τοτε εξηγέρθη ο Σιμων και επολέμησεν υπέρ του έθνους του, εδαπάνησε πολλά χρήματα ιδικά του, ώπλισε γενναίους άνδρας από το έθνος του και έδωκεν εις αυτούς μισθούς.
Α Μακ. 14,33 - καὶ ὠχύρωσε τὰς πόλεις τῆς Ἰουδαίας καὶ τὴν Βαιθσούραν τὴν ἐπὶ τῶν ὁρίων τῆς Ἰουδαίας, οὗ ἦν τὰ ὅπλα τῶν πολεμίων τὸ πρότερον, καὶ ἔθετο ἐκεῖ φρουρὰν ἄνδρας Ἰουδαίους.
Α Μακ. 14,33 - Ωχύρωσε τας πόλεις της Ιουδαίας και την Βαιθσούραν, η οποία ευρίσκεται εις τα σύνορα της Ιουδαίας, όπου υπήρχον τα οπλοστάσια των εχθρών προηγουμένως. Εκεί δε ετοποθέτησεν ως φρουράν άνδρας Ιουδαίους.
Α Μακ. 14,34 - καὶ Ἰόππην ὠχύρωσε τὴν ἐπὶ τῆς θαλάσσης καὶ τὴν Γάζαρα τὴν ἐπὶ τῶν ὁρίων Ἀζώτου, ἐν ᾗ ᾤκουν οἱ πολέμιοι τὸ πρότερον ἐκεῖ, καὶ κατῴκισεν ἐκεῖ Ἰουδαίους, καὶ ὅσα ἐπιτήδεια ἦν πρὸς τὴν τούτων ἐπανόρθωσιν, ἔθετο ἐν αὐτοῖς.
Α Μακ. 14,34 - Ωχύρωσε την Ιόππην την παραθαλασσίαν, την πόλιν Γαζαρα εις τα όρια της Αζώτου, εις την οποίαν άλλοτε κατοικούσαν οι εχθροί. Εκεί εγκατέστησεν Ιουδαίους και την εφωδίασε με όσα ήσαν απαραίτητα δια την διατροφήν και την υπεράσπισιν των κατοίκων.
Α Μακ. 14,35 - καὶ εἶδεν ὁ λαὸς τὴν πρᾶξιν τοῦ Σίμωνος καὶ τὴν δόξαν, ἣν ἐβουλεύσατο ποιῆσαι τῷ ἔθνει αὐτοῦ, καὶ ἔθεντο αὐτὸν ἡγούμενον αὐτῶν καὶ ἀρχιερέα διὰ τὸ αὐτὸν πεποιηκέναι πάντα ταῦτα καὶ τὴν δικαιοσύνην καὶ τὴν πίστιν, ἣν συνετήρησε τῷ ἔθνει αὐτοῦ, καὶ ἐζήτησε παντὶ τρόπῳ ὑψῶσαι τὸν λαὸν αὐτοῦ.
Α Μακ. 14,35 - Ο ισραηλιτικός λαός είδε τα έργα του Σιμωνος και την δόξαν, την οποίαν ήθελε να δώση στο έθνος του, και ανεκήρυξαν αυτόν αρχηγόν των και αρχιερέα των χάριν όλων αυτών των μεγάλων έργων, τα οποία είχε πραγματοποιήσει και της δικαιοσύνης και της πίστεως, την οποίαν ετήρει απέναντι του έθνους του γενικώς, διότι επεζήτησε και ειργάσθη με κάθε τρόπον να ανυψώση και δοξάση τον λαόν του.
Α Μακ. 14,36 - καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ εὐωδώθη ἐν ταῖς χερσὶν αὐτοῦ τοῦ ἐξαρθῆναι τὰ ἔθνη ἐκ τῆς χώρας αὐτῶν καὶ τοὺς ἐν τῇ πόλει Δαυὶδ τοὺς ἐν Ἱερουσαλήμ, οἳ ἐποίησαν ἑαυτοῖς ἄκραν, ἐξ ἧς ἐξεπορεύοντο καὶ ἐμίαινον κύκλῳ τῶν ἁγίων καὶ ἐποίουν πληγὴν μεγάλην ἐν τῇ ἁγνείᾳ.

Α Μακ. 14,6 - Εις τας ημέρας του ευωδώθη και επετεύχθη δια των χειρών τοω η εκδίωξις των ξένων εχθρών από την χώραν των Ιουδαίων, όπως επίσης και εκείνων που είχαν εγκατασταθή εις την πόλιν Δαυίδ εν Ιερουσαλήμ. Αυτοί εχρησιμοποιούσαν την ακρόπολιν ως ορμητήριόν των, από όπου έκαναν εξορμήσεις και εμίαιναν τα γύρω από τον ναόν και επέφερον μεγάλην καταστροφήν εις την ιερότητα και καθαρότητα του ναού.

Α Μακ. 14,37 - καὶ κατῴκισεν ἐν αὐτῇ ἄνδρας Ἰουδαίους καὶ ὠχύρωσεν αὐτὴν πρὸς ἀσφάλειαν τῆς χώρας καὶ τῆς πόλεως καὶ ὕψωσε τὰ τείχη Ἱερουσαλήμ,

Α Μακ. 14,37 - Εγκατέστησεν Ιουδαίους πολεμιστάς εις την ακρόπολιν, την ωχύρωσε δια την ασφάλειαν της Ιουδαίας και της πόλεως και επί τούτοις ανύψωσε τα τείχη της Ιερουσαλήμ.

Α Μακ. 14,38 - καὶ ὁ βασιλεὺς Δημήτριος ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην κατὰ ταῦτα

Α Μακ. 14,38 - Δια τα έργα του αυτά ο βασιλεύς Δημήτριος του παρέδωσε την αρχιερωσύνην,

Α Μακ. 14,39 - καὶ ἐποίησεν αὐτὸν τῶν φίλων αὐτοῦ καὶ ἐδόξασεν αὐτὸν δόξῃ μεγάλῃ.

Α Μακ. 14,39 - τον ανεκηρυξεν ένα από τους φίλους του και τον ετίμησε με μεγάλην δόξαν.

Α Μακ. 14,40 - ἤκουσε γὰρ ὅτι προσηγόρευνται οἱ Ἰουδαῖοι ὑπὸ Ῥωμαίων φίλοι καὶ σύμμαχοι καὶ ἀδελφοί, καὶ ὅτι ἀπήντησαν τοῖς πρεσβευταῖς Σίμωνος ἐνδόξως,

Α Μακ. 14,40 - Διότι είχε μάθει ότι οι Ρωμαίοι προσεφώνουν τους Ιουδαίους φίλους, συμμάχους και αδελφούς και ότι είχαν υποδεχθή μετά πολλής τιμής πρεσβευτάς του Σιμωνος.

Α Μακ. 14,41 - καὶ ὅτι εὐδόκησαν οἱ Ἰουδαῖοι καὶ οἱ ἱερεῖς τοῦ εἶναι Σίμωνα ἡγούμενον καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα ἕως τοῦ ἀναστῆναι προφήτην πιστὸν

Α Μακ. 14,41 - Οι Ιουδαίοι και οι ιερείς εδέχθησαν ευχαρίστως να είναι ο Σιμων αρχηγός των και αρχιερεύς πάντοτε, μέχρις ότου αναφανή κάποιος άλλος αξιόπιστος προφήτης.

Α Μακ. 14,42 - καὶ τοῦ εἶναι ἐπ᾿ αὐτῶν στρατηγὸν καὶ ὅπως μέλῃ αὐτῷ περὶ τῶν ἁγίων καθιστάναι αὐτοὺς ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ τῆς χώρας καὶ ἐπὶ τῶν ὅπλων καὶ ἐπὶ τῶν ὀχυρωμάτων,

Α Μακ. 14,42 - Εδέχθησαν επίσης ευχαρίστως να είναι ο Σιμων ο αρχιστράτηγός των, να φροντίζη δια τα ιερά πράγματα, να διορίζη υπαλλήλους εις τα διάφορα έργα και εις όλην την χώραν της Ιουδαίας, όπως επίσης και δια τα οπλοστάσια και τα οχυρωματικά έργα.

Α Μακ. 14,43 - καὶ ὅπως μέλῃ αὐτῷ περὶ τῶν ἁγίων, καὶ ὅπως ἀκούηται ὑπὸ πάντων, καὶ ὅπως γράφωνται ἐπὶ τῷ ὀνόματι αὐτοῦ πᾶσαι συγγραφαὶ ἐν τῇ χώρᾳ, καὶ ὅπως περιβάλληται πορφύραν καὶ χρυσοφορῇ·

Α Μακ. 14,43 - Να αναλάβη ακόμη ο Σιμων την επιμέλειαν των ιερών τόπων και πραγμάτων, να υπακούουν όλοι εις αυτόν, να συντάσσωνται επί τω ονόματί του όλαι αι δημόσιαι πράξεις εις την χώραν, να ενδύεται βασιλικήν πορφύραν και να φέρη χρυσά διακριτικά κοσμήματα.

Α Μακ. 14,44 - καὶ οὐκ ἐξέσται οὐδενὶ τοῦ λαοῦ καὶ τῶν ἱερέων ἀθετῆσαί τι τούτων καὶ ἀντειπεῖν τοῖς ὑπ᾽ αὐτοῦ ῥηθησομένοις καὶ ἐπισυστρέψαι συστροφὴν ἐν τῇ χώρᾳ ἄνευ αὐτοῦ καὶ περιβάλλεσθαι πορφύραν καὶ ἐμπορποῦσθαι πόρπην χρυσῆν·

Α Μακ. 14,44 - Να μη έχη το δικαίωμα κανένας από τον λαόν η από τους ιερείς να παραβή τίποτε από αυτά η να φέρουν αντίρρησιν εις τας διαταγάς του, ούτε και να συγκεντρώνουν τον λαόν εις την χώραν χωρίς την ιδικήν του άδειαν, ούτε κανείς άλλος να φορή πορφύραν και να φέρη επάνω του χρυσήν πόρπην.

Α Μακ. 14,45 - ὃς δ᾽ ἂν παρὰ ταῦτα ποιήσῃ ἢ ἀθετήσῃ τι τούτων, ἔνοχος ἔσται».

Α Μακ. 14,45 - Εκείνος δε που θα πράξη κάτι αντίθετον από αυτά η θα παραβή κάτι, θα είναι ένοχος και υπεύθυνος τιμωρίας".

Α Μακ. 14,46 - καὶ εὐδόκησε πᾶς ὁ λαὸς θέσθαι Σίμωνι καὶ ποιῆσαι κατὰ τοὺς λόγους τούτους.

Α Μακ. 14,46 - Ολος ο ισραηλιτικός λαός απεδέχθη ευχαρίστως να αναλάβη ο Σιμων την εξουσίαν και να ενεργή σύμφωνα με τας αποφάσεις αυτάς.

Α Μακ. 14,47 - καὶ ἐπεδέξατο Σίμων καὶ εὐδόκησεν ἀρχιερατεύειν καὶ εἶναι στρατηγὸς καὶ ἐθνάρχης τῶν Ἰουδαίων καὶ ἱερέων καὶ τοῦ προστατῆσαι πάντων.

Α Μακ. 14,47 - Ο Σιμων εδέχθη όλα αυτά και συγκατετέθη να γίνη αρχιερεύς, στρατηγός και εθνάρχης όλων των Ιουδαίων και των ιερέων και να τεθή επικεφαλής όλων.

Α Μακ. 14,48 - καὶ τὴν γραφὴν ταύτην εἶπον θέσθαι ἐν δέλτοις χαλκαῖς καὶ στῆσαι αὐτὰς ἐν περιβόλῳ τῶν ἁγίων ἐν τόπῳ ἐπισήμῳ,

Α Μακ. 14,48 - Απεφασίσθη επίσης να εγχαράξουν εις πίνακας χαλκίνους τας αποφάσεις των αυτάς και να τοποθετήσουν τους πίνακας στον περίβολον του ιερού ναού, εις τόπον καταφανή.

Α Μακ. 14,49 - τὰ δὲ ἀντίγραφα αὐτῶν θέσθαι ἐν τῷ γαζοφυλακίῳ, ὅπως ἔχῃ Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ.

Α Μακ. 14,49 - Αντίγραφα δε αυτών να αποτεθούν εις τα θησαυροφυλάκιον, δια να τα έχουν εις την διάθεσίν των ο Σιμων και οι υιοί

του.

Α ΜΑΚΚΑΒΑΙΩΝ 15

Α Μακ. 15,1 - Καὶ ἀπέστειλεν ὁ Ἀντίοχος υἱὸς Δημητρίου τοῦ βασιλέως ἐπιστολὰς ἀπὸ τῶν νήσων τῆς θαλάσσης Σίμωνι ἱερεῖ καὶ ἐθνάρχῃ τῶν Ἰουδαίων καὶ παντὶ τῷ ἔθνει.

Α Μακ. 15,1 - Ο βασιλεύς Αντίοχος, υιός του Δημητρίου, έστειλεν από τας νήσους της Μεσογείου επιστολήν προς τον Σιμωνα, τον αρχιερέα και εθνάρχην των Ιουδαίων, και προς όλον το ιουδαϊκόν έθνος.

Α Μακ. 15,2 - καὶ ἦσαν περιέχουσαι τὸν τρόπον τοῦτον· «Βασιλεὺς Ἀντίοχος Σίμωνι ἱερεῖ μεγάλῳ καὶ ἐθνάρχῃ καὶ ἔθνει Ἰουδαίων χαίρειν,

Α Μακ. 15,2 - Η επιστολή αυτή περιείχε τα εξής· “ο βασιλεύς Αντίοχος χαιρετίζει τον αρχιερέα Σιμωνα, τον έθναρχην των Ιουδαίων, όπως επίσης και ολόκληρον το έθνος των Ιουδαίων.

Α Μακ. 15,3 - ἐπειδὴ ἄνδρες λοιμοὶ κατεκράτησαν τῆς βασιλείας τῶν πατέρων ἡμῶν, βούλομαι δὲ ἀντιποιήσασθαι τῆς βασιλείας, ὅπως ἀποκαταστήσω αὐτὴν ὡς ἦν τὸ πρότερον, ἐξενολόγησα δὲ πλῆθος δυνάμεων καὶ κατεσκεύασα πλοῖα πολεμικά,

Α Μακ. 15,3 - Επειδή κακοήθεις άνθρωποι ήρπασαν και έχουν υπό την κυριότητά των το βασίλειον των πατέρων μας, θέλω να διεκδικήσω την βασιλείαν και να αποκαταστήσω αυτήν, όπως ήτο προηγουμένως. Προς τον σκοπόν αυτόν εστρατολόγησα παλλάς στρατιωτικάς δυνάμεις και κατεσκεύασα πολεμικά πλοία.

Α Μακ. 15,4 - βούλομαι δὲ ἐκβῆναι κατὰ τὴν χώραν, ὅπως μετέλθω τοὺς κατεφθαρκότας τὴν χώραν ἡμῶν καὶ τοὺς ἠρημωκότας πόλεις πολλὰς ἐν τῇ βασιλείᾳ·

Α Μακ. 15,4 - Θέλω, λοιπόν, να κάμω απόβασιν εις την χώραν, δια να τιμωρήσω εκείνους, οι οποίοι κατέστρεψαν την χώραν μου και ηρήμωσαν πολλάς πόλεις στο βασίλειόν μου.

Α Μακ. 15,5 - νῦν οὖν ἵστημί σοι πάντα τὰ ἀφαιρέματα, ἃ ἀφῆκάν σοι οἱ πρὸ ἐμοῦ βασιλεῖς καὶ ὅσα ἄλλα δόματα ἀφῆκάν σοι.

Α Μακ. 15,5 - Επικυρώνω, λοιπόν, τώρα όλας τας καταργήσεις των φόρων, τας οποίας οι προ εμού βασιλείς είχαν κάμει εις σέ, όπως επίσης και όλας τας παραχωρήσεις, τας οποίας σου αφήκαν.

Α Μακ. 15,6 - καὶ ἐπέτρεψά σοι ποιῆσαι κόμμα ἴδιον νόμισμα τῇ χώρᾳ σου,

Α Μακ. 15,6 - Επίσης σου επιτρέπω να κόψης ιδιαίτερον νόμισμα δια την χώραν σου με την εικόνα του προσώπου σου.

Α Μακ. 15,7 - Ἱερουσαλὴμ δὲ καὶ τὰ ἅγια εἶναι ἐλεύθερα· καὶ πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας, καὶ τὰ ὀχυρώματα, ἃ ᾠκοδόμησας ὧν κρατεῖς, μενέτω σοι.

Α Μακ. 15,7 - Η Ιερουσαλήμ και ο ιερός ναός να είναι ελεύθερα. Ολα τα όπλα, τα οποία έχεις κατασκευάσει και τα οχυρωματικά έργα τα οποία ανοικοδόμησες και επί των οποίων έχεις εξουσίαν, να παραμένουν ιδικά σου.

Α Μακ. 15,8 - καὶ πᾶν ὀφείλημα βασιλικὸν καὶ τὰ ἐσόμενα βασιλικά, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον ἀφιέσθω σοι·

Α Μακ. 15,8 - Επίσης σας απαλλάσσω της πληρωμής κάθε χρέους σας προς το βασιλικόν ταμείον, όπως και κάθε χρέους, το οποίον θα οφείλετε στο μέλλον από τώρα και εις όλον τον μετέπειτα χρόνον.

Α Μακ. 15,9 - ὡς δ᾽ ἂν κρατήσωμεν τῆς βασιλείας ἡμῶν, δοξάσομέν σε καὶ τὸ ἔθνος σου καὶ τὸ ἱερὸν δόξῃ μεγάλῃ, ὥστε φανερὰν γενέσθαι τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ γῇ».

Α Μακ. 15,9 - Οταν δε ανακαταλάβωμεν το βασίλειόν μας, θα τιμήσωμεν σέ, το έθνος σου και τον ιερόν ναόν με μεγάλας τιμάς, ώστε η δόξα σας να γίνη φανερή εις όλην την οικουμένην”.

Α Μακ. 15,10 - Ἔτους τετάρτου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθεν Ἀντίοχος εἰς τὴν γῆν πατέρων αὐτοῦ, καὶ συνῆλθον πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ὥστε ὀλίγους εἶναι τοὺς καταλειφθέντας σὺν Τρύφωνι.

Α Μακ. 15,10 - Κατά το εκατοστόν εβδομηκοστόν τέταρτον έτος της χρονολογίας των Σελευκιδών ο Αντίοχος εξήλθε και εβάδισε προς την χώραν των πατέρων του. Ολαι δε αι στρατιωτικαί δυνάμεις ηνώθησαν με αυτόν, ώστε ολίγοι στρατιώται απέμειναν μαζή με τον Τρύφωνα.

Α Μακ. 15,11 - καὶ ἐδίωξεν αὐτὸν Ἀντίοχος ὁ βασιλεύς, καὶ ἦλθε φεύγων εἰς Δωρᾶ τὴν ἐπὶ τῆς θαλάσσης·

Α Μακ. 15,11 - Ο βασιλεύς Αντίοχος ενίκησε και κατεδίωξε τον Τρύφωνα, ο οποίος ετράπη εις φυγήν και ήλθεν εις Δωρά παρά την θάλασσαν.

Α Μακ. 15,12 - εἶδε γὰρ ὅτι συνῆκται ἐπ᾽ αὐτὸν τὰ κακά, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις.

Α Μακ. 15,12 - Επραξε δε έτσι ο Τρύφων, διότι αντελήφθη ότι πολλαί συμφοραί είχαν συσσωρευθή επάνω του και διότι τον είχαν εγκαταλείψει αι στρατιωτικαί του δυνάμεις.

Α Μακ. 15,13 - καὶ παρενέβαλεν Ἀντίοχος ἐπὶ Δωρᾶ καὶ σὺν αὐτῷ δώδεκα μυριάδες ἀνδρῶν πολεμιστῶν καὶ ὀκτακισχιλία ἵππος.

Α Μακ. 15,13 - Ο Αντίοχος εστρατοπέδευσεν εις την Δωρά με εκατόν είκοσι χιλιάδας εμπειροπολέμους άνδρας και οκτώ χιλιάδες ιππείς.

Α Μακ. 15,14 - καὶ ἐκύκλωσε τὴν πόλιν, καὶ τὰ πλοῖα ἀπὸ θαλάσσης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν ἀπὸ τῆς γῆς καὶ τῆς θαλάσσης, καὶ οὐκ

εἴασεν οὐδένα ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι.

Α Μακ. 15,14 - Περιεκύκλωσε την πόλιν από ξηράς, τα δε πλοία την απέκλεισαν από θαλάσσης, και έτσι περικυκλωμένην από ξηράς και από θαλάσσης την κατέθλιβε και δεν άφηνε κανένα, να εισέρχεται και να εξέρχεται εις αυτήν.

Α Μακ. 15,15 - Καὶ ἦλθε Νουμήνιος καὶ οἱ παρ᾿ αὐτοῦ ἐκ Ῥώμης ἔχοντες ἐπιστολὰς τοῖς βασιλεῦσι καὶ ταῖς χώραις, ἐν αἷς ἐγέγραπτο τάδε·

Α Μακ. 15,15 - Τοτε ήλθεν από την Ρωμην ο Νουμήνιος και οι μετ' αυτού με επιστολάς, αι οποίαι απηυθύνοντο προς τους βασιλείς και τας διαφόρους χώρας και εις τας οποίας περιείχοντο τα εξής·

Α Μακ. 15,16 - «Λεύκιος ὕπατος Ῥωμαίων Πτολεμαίῳ βασιλεῖ χαίρειν.

Α Μακ. 15,16 - “Ο Λεύκιος, ο ύπατος των Ρωμαίων, χαιρετίζει τον βασιλέα Πτολεμαίον.

Α Μακ. 15,17 - οἱ πρεσβευταὶ τῶν Ἰουδαίων ἦλθον πρὸς ἡμᾶς, φίλοι ἡμῶν καὶ σύμμαχοι, ἀνανεούμενοι τὴν ἐξ ἀρχῆς φιλίαν καὶ συμμαχίαν, ἀπεσταλμένοι ἀπὸ Σίμωνος τοῦ ἀρχιερέως καὶ τοῦ δήμου τῶν Ἰουδαίων·

Α Μακ. 15,17 - Πρεσβευταί των Ιουδαίων απεσταλμένοι από τον αρχιερέα Σιμωνα και τον λαόν των Ιουδαίων ήλθον προς ημάς ως φίλοι μας και σύμμαχοι, δια να ανανεώσουν την προτέραν φιλίαν και συμμαχίαν.

Α Μακ. 15,18 - ἤνεγκαν δὲ ἀσπίδα χρυσῆν ἀπὸ μνῶν χιλίων.

Α Μακ. 15,18 - Εφεραν εις ημάς και μίαν ασπίδα χρυσήν χιλίων μνων.

Α Μακ. 15,19 - ἤρεσεν οὖν ἡμῖν γράψαι τοῖς βασιλεῦσι καὶ ταῖς χώραις ὅπως μὴ ἐκζητήσωσιν αὐτοῖς κακὰ καὶ μὴ πολεμήσωσιν αὐτοὺς καὶ τὰς πόλεις αὐτῶν καὶ τὴν χώραν αὐτῶν καὶ ἵνα μὴ συμμαχήσωσι τοῖς πολεμοῦσιν αὐτούς.

Α Μακ. 15,19 - Εφάνη, λοιπόν, εις ημάς αρεστόν να γράψωμεν στους βασιλείς και εις τας διαφόρους χώρας μας, να μη θελήσουν και προξενήσουν κακά εις αυτούς, ούτε να πολεμήσουν εναντίον των εις τας πόλεις των και εις την ύπαιθρον χώραν των, να μη δώσουν δε βοήθειαν εις εκείνους, οι οποίοι τυχόν θα τους πολεμήσουν.

Α Μακ. 15,20 - ἔδοξε δὲ ἡμῖν δέξασθαι τὴν ἀσπίδα παρ᾿ αὐτῶν.

Α Μακ. 15,20 - Εφάνη δε καλόν εις ημάς να δεχθώμεν και την παρ' αυτών δωρηθείσαν εις ημάς χρυσήν ασπίδα.

Α Μακ. 15,21 - εἴ τινες οὖν λοιμοὶ διαπεφεύγασιν ἐκ τῆς χώρας αὐτῶν πρὸς ἡμᾶς, παράδοτε αὐτοὺς Σίμωνι τῷ ἀρχιερεῖ, ὅπως ἐκδικήσῃ ἐν αὐτοῖς κατὰ τὸν νόμον αὐτῶν».

Α Μακ. 15,21 - Εάν, λοιπόν, μερικοί κακοήθεις Ιουδαίοι άνδρες εδραπέτευσαν από την χώραν των και ήλθαν προς σας, να τους παραδώσετε στον Σιμωνα τον αρχιερέα, δια να τους δικάση και τους τιμωρήση σύμφωνα με τον νόμον των”.

Α Μακ. 15,22 - Καὶ τὰ αὐτὰ ἔγραψε Δημητρίῳ τῷ βασιλεῖ καὶ Ἀττάλῳ, Ἀριαράθῃ καὶ Ἀρσάκῃ

Α Μακ. 15,22 - Τα ίδια εγράφησαν και εστάλησαν στον βασιλέα Δημήτριον, στον Ατταλον, στον Αριαράθην στον Αρσάκην,

Α Μακ. 15,23 - καὶ εἰς πάσας τὰς χώρας καὶ Σαμψάμῃ καὶ Σπαρτιάταις καὶ εἰς Δῆλον καὶ Μύνδον καὶ Σικυῶνα καὶ εἰς τὴν Καρίαν καὶ εἰς Σάμον καὶ εἰς τὴν Παμφυλίαν καὶ εἰς τὴν Λυκίαν καὶ εἰς Ἁλικαρνασσὸν καὶ εἰς Ῥόδον καὶ εἰς Φασηλίδα καὶ εἰς Κῶ καὶ εἰς Σίδην καὶ εἰς Ἄραδον καὶ εἰς Γόρτυναν καὶ Κνίδον καὶ Κύπρον καὶ Κυρήνην.

Α Μακ. 15,23 - και εις όλας τας χώρας, δηλαδή εις Σαμψάμην, στους Σπαρτιάτας, εις την Δήλον, εις την Μυνδον, εις την Σικυώνα, εις την Καρίαν, εις την Σαμον, εις την Παμφυλίαν, εις την Λυκίαν, εις την Αλικαρνασσόν, εις την Ροδον, εις την Φασηλίδα, εις την Κω, εις την Σιδην, εις την Αραδον, εις την Γορτυναν, εις την Κνίδον, εις την Κυπρον και εις την Κυρήνην.

Α Μακ. 15,24 - τὸ δὲ ἀντίγραφον αὐτῶν ἔγραψαν Σίμωνι τῷ ἀρχιερεῖ.

Α Μακ. 15,24 - Αντίγραφον δε της επιστολής αυτής έγραψαν και έστειλαν στον αρχιερέα Σιμωνα.

Α Μακ. 15,25 - Ἀντίοχος δὲ ὁ βασιλεὺς παρενέβαλεν ἐπὶ Δωρᾶ ἐν τῇ δευτέρᾳ, προσάγων διὰ παντὸς αὐτῇ τὰς χεῖρας καὶ μηχανὰς ποιούμενος καὶ συνέκλεισε τὸν Τρύφωνα τοῦ μὴ εἰσπορεύεσθαι καὶ ἐκπορεύεσθαι.

Α Μακ. 15,25 - Ο βασιλεύς Αντίοχος είχε στρατοπεδεύσει γύρω από την Δωρά και τα περίχωρά της και ωδηγούσεν ολονέν και πλησιέστερον τας δυνάμστου προς αυτήν, με πολιορκητικάς μηχανάς. Απέκλεισε δε τον Τρύφωνα, ώστε να μη ημπορή κανείς από τους άνδρας του ούτε να εισέρχεται ούτε να εξέρχεται από την πόλιν.

Α Μακ. 15,26 - καὶ ἀπέστειλεν αὐτῷ Σίμων δισχιλίους ἄνδρας ἐκλεκτοὺς συμμαχῆσαι αὐτῷ καὶ ἀργύριον καὶ χρυσίον καὶ σκεύη ἱκανά.

Α Μακ. 15,26 - Ο Σιμων έστειλε προς αυτόν δύο χιλιάδας εκλεκτούς άνδρας, δια να πολεμήσουν μαζή του, όπως επίσης άργυρον και χρυσόν και πολλά άλλα χρήσιμα είδη.

Α Μακ. 15,27 - καὶ οὐκ ἠβούλετο αὐτὰ δέξασθαι, ἀλλ᾿ ἠθέτησε πάντα, ὅσα συνέθετο αὐτῷ τὸ πρότερον, καὶ ἠλλοτριοῦντο αὐτῷ.

Α Μακ. 15,27 - Ο Αντίοχος όμως δεν ηθέλησε να τα δεχθή. Επί πλέον δε ηθέτησε και όλα όσα είχε συμφωνήσει με αυτόν προηγουμένως και εφέρετο απέναντί του ως προς ξένον, ως προς εχθρόν.

Α Μακ. 15,28 - καὶ ἀπέστειλε πρὸς αὐτὸν Ἀθηνόβιον ἕνα τῶν φίλων αὐτοῦ κοινολογησάμενον αὐτῷ λέγων· ὑμεῖς κατακρατεῖτε τῆς Ἰόππης καὶ Γαζάρων καὶ τῆς ἄκρας τῆς ἐν Ἱερουσαλήμ, πόλεις τῆς βασιλείας μου.

Α Μακ. 15,28 - Εστειλε δε προς τον Σιμωνα τον Αθηνόβιον ένα από τους φίλους του, δια να του ανακοινώση προφορικώς τα εξής· “σεις κατακρατείτε

την Ιόππην, τα Γαζαρα, την ακρόπολιν της Ιερουσαλήμ, πόλεις αι οποίοι ανήκουν στο βασίλειόν μου.

Α Μακ. 15,29 - τὰ ὅρια αὐτῶν ἠρημώσατε καὶ ἐποιήσατε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς καὶ ἐκυριεύσατε τόπων πολλῶν ἐν τῇ βασιλείᾳ μου.

Α Μακ. 15,29 - Ηρημώσατε τα περίχωρα των πόλεων αυτών, έχετε προξενήσει μεγάλας συμφοράς εις την χώραν και εγίνατε κύριοι πολλών τόπων, που ανήκουν στο βασίλειόν μου.

Α Μακ. 15,30 - νῦν οὖν παράδοτε τὰς πόλεις, ἃς κατελάβεσθε, καὶ τοὺς φόρους τῶν τόπων, ὧν κατεκυριεύσατε ἐκτὸς τῶν ὁρίων τῆς Ἰουδαίας.

Α Μακ. 15,30 - Τωρα, λοιπόν, να μου παραδώσετε αυτάς τας πόλεις, που έχετε καταλάβει, και να μου πληρώσετε τους φόρους των περιοχών, που έχετε κυριεύσει, και αι οποίαι ευρίσκονται έξω από τα όρια της Ιουδαίας.

Α Μακ. 15,31 - εἰ δὲ μή, δότε ἀντ᾿ αὐτῶν πεντακόσια τάλαντα ἀργυρίου καὶ τῆς καταφθορᾶς, ἧς κατεφθάρκατε, καὶ τῶν φόρων τῶν πόλεων ἄλλα τάλαντα πεντακόσια· εἰ δὲ μή, παραγενόμενοι ἐκπολεμήσομεν ὑμᾶς.

Α Μακ. 15,31 - Η, αν θέλετε, να μου δώσετε αντί όλων αυτών πεντακόσια τάλαντα αργυρίου ως αποζημίωσιν δια τας καταστροφάς, τας οποίας έχετε επιφέρει εις τας περιοχάς αυτάς. Δια δε τους φόρους των πόλεων αυτών, που έχετε κρατήσει, θα μου δώσετε άλλα πεντακόσια τάλαντα. Ει δ' άλλως θα έλθωμεν και θα πολεμήσωμεν εναντίον σας.

Α Μακ. 15,32 - καὶ ἦλθεν Ἀθηνόβιος φίλος τοῦ βασιλέως εἰς Ἱερουσαλὴμ καὶ εἶδε τὴν δόξαν Σίμωνος καὶ κυλικεῖον μετὰ χρυσωμάτων καὶ ἀργυρωμάτων καὶ παράστασιν ἱκανὴν καὶ ἐξίστατο καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τοῦ βασιλέως.

Α Μακ. 15,32 - Ο φίλος του βασιλέως ο Αθηνόβιος ήλθεν εις την Ιερουσαλήμ, είδε την μεγαλοπρέπειαν του Σιμωνος, μεταξύ δε των άλλων είδε και κυλικείον με αργυρά και χρυσά δοχεία, όπως επίσης και την άλλην μεγαλοπρέπειαν και έμεινε κατάπληκτος. Είπε δε στον Σιμωνα τας προτάσστου βασιλέως.

Α Μακ. 15,33 - καὶ ἀποκριθεὶς Σίμων εἶπεν αὐτῷ· οὔτε γῆν ἀλλοτρίαν εἰλήφαμεν οὔτε ἀλλοτρίων κεκρατήκαμεν, ἀλλὰ τῆς κληρονομίας τῶν πατέρων ἡμῶν, ὑπὸ δὲ ἐχθρῶν ἡμῶν ἔν τινι καιρῷ ἀκρίτως κατεκρατήθη·

Α Μακ. 15,33 - Ο Σιμων απεκρίθη και του είπε· “ούτε ξένην χώραν έχομεν καταλάβει, ούτε ξένα αγαθά εκρατήσαμεν. Αλλά κατοικούμεν ως κύριοι εις την κληρονομίαν των πατέρων μας, η οποία επί τινα χρόνον είχεν αδίκως κατακρατηθή από τους εχθρούς μας.

Α Μακ. 15,34 - ἡμεῖς δὲ καιρὸν ἔχοντες ἀντεχόμεθα τῆς κληρονομίας τῶν πατέρων ἡμῶν.

Α Μακ. 15,34 - Ημείς δε ευρήκαμεν ευνοϊκήν ευκαιρίαν και ανεκτήσαμεν την κληρονομίαν των πατέρων μας.

Α Μακ. 15,35 - περὶ δὲ Ἰόππης καὶ Γαζάρων, ὧν αἰτεῖς, αὗται ἐποίουν ἐν τῷ λαῷ πληγὴν μεγάλην κατὰ τὴν χώραν ἡμῶν, τούτων δώσομεν τάλαντα ἑκατόν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ Ἀθηνόβιος λόγον,

Α Μακ. 15,35 - Ως προς δε την Ιόππην και τα Γαζαρα τας πόλεις αυτάς, τας οποίας απαιτείς, αυταί είχαν συνεχώς επιφέρει μεγάλας συμφοράς στον λαόν μας και εις την χώραν μας. Παντως δια τας δύο αυτάς πόλεις σας δίδομεν ως αποζημίωσιν εκατόν τάλαντα". Ο Αθηνόβιος δεν έδωσεν απάντησιν στους λόγους αυτούς του Σιμωνος.

Α Μακ. 15,36 - ἀπέστρεψε δὲ μετὰ θυμοῦ πρὸς τὸν βασιλέα καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τούτους καὶ τὴν δόξαν Σίμωνος καὶ πάντα, ὅσα εἶδε, καὶ ὠργίσθη ὁ βασιλεὺς ὀργὴν μεγάλην.

Α Μακ. 15,36 - Επέστρεψεν όμως ωργισμένος προς τον βασιλέα και ανήγγειλε προς αυτόν την απάντησιν του Σιμωνος, όπως επίσης την δόξαν αυτού και όλα όσα είδε. Ο βασιλεύς εκυριεύθη από μεγάλην οργήν εναντίον του Σιμωνος.

Α Μακ. 15,37 - Τρύφων δὲ ἐμβὰς εἰς πλοῖον ἔφυγεν εἰς Ὀρθωσιάδα.

Α Μακ. 15,37 - Ο Τρύφων επεβιβάσθη εις ένα πλοίον και κατέφυγεν εις την Ορθωσιάδα.

Α Μακ. 15,38 - καὶ κατέστησεν ὁ βασιλεὺς τὸν Κενδεβαῖον στρατηγὸν τῆς παραλίας καὶ δυνάμεις πεζικὰς καὶ ἱππικὰς ἔδωκεν αὐτῷ·

Α Μακ. 15,38 - Ο βασιλεύς κατέστησε τον Κενδεβαίον στρατηγόν όλης της παραλίου περιοχής και παρέδωκεν εις αυτόν δυνάμεις πεζικού και ιππικού.

Α Μακ. 15,39 - καὶ ἐνετείλατο αὐτῷ παρεμβαλεῖν κατὰ πρόσωπον τῆς Ἰουδαίας καὶ ἐνετείλατο αὐτῷ οἰκοδομῆσαι τὴν Κεδρὼν καὶ ὀχυρῶσαι τὰς πύλας καὶ ὅπως πολεμήσῃ τὸν λαόν· ὁ δὲ βασιλεὺς ἐδίωκε τὸν Τρύφωνα.

Α Μακ. 15,39 - Του εδωσε δε διαταγήν να στρατοπεδεύση πλησίον της Ιουδαίας, να ανοικοδομήση και οχυρώση την Κεδρών, να κατασφαλίση τας πύλας και να πολεμήση εναντίον του ιουδαϊκού λαού. Ο δε βασιλεύς κατεδίωκε τον Τρύφωνα.

Α Μακ. 15,40 - καὶ παρεγενήθη Κενδεβαῖος εἰς Ἰάμνειαν καὶ ἤρξατο τοῦ ἐρεθίζειν τὸν λαὸν καὶ ἐμβατεύειν εἰς τὴν Ἰουδαίαν καὶ αἰχμαλωτίζειν τὸν λαὸν καὶ φονεύειν,

Α Μακ. 15,40 - Ο Κενδεβαίος έφθασεν εις Ιάμνειαν και ήρχισε να παρενοχλή τον ιουδαϊκον λαόν, να εισέρχεται εις την χώραν της Ιουδαίας, να αιχμαλωτίζη δε και να φονεύη ανθρώπους του ισραηλιτικού λαού.

Α Μακ. 15,41 - καὶ ᾠκοδόμησε τὴν Κεδρὼν καὶ ἔταξεν ἐκεῖ ἱππεῖς καὶ δυνάμεις, ὅπως ἐκπορευόμενοι ἐξοδεύωσι τὰς ὁδοὺς τῆς Ἰουδαίας, καθὰ συνέταξεν αὐτῷ ὁ βασιλεύς.

Α Μακ. 15,41 - Ωχύρωσε την Κεδρών, έταξεν εκεί πεζούς και ιππείς, δια να εξορμούν και να κάμνουν ενοχλητικάς περιπολίας στους δρόμους της Ιουδαίας, όπως είχε διατάξει ο βασιλεύς.

Α ΜΑΚΚΑΒΑΙΩΝ 16

Α Μακ. 16,1 - Καὶ ἀνέβη Ἰωάννης ἐκ Γαζάρων καὶ ἀπήγγειλε Σίμωνι τῷ πατρὶ αὐτοῦ ἃ συνετέλει Κενδεβαῖος.

Α Μακ. 16,1 - Ανέβη ο Ιωάννης από την πόλιν Γαζαρα και ανήγγειλεν στον Σιμωνα, τον πατέρα του, όσα έπραττεν ο Κενδεβαίος.

Α Μακ. 16,2 - καὶ ἐκάλεσε Σίμων τοὺς δύο υἱοὺς αὐτοῦ τοὺς πρεσβυτέρους Ἰούδαν καὶ Ἰωάννην καὶ εἶπεν αὐτοῖς· ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου ἐπολεμήσαμεν τοὺς πολεμίους Ἰσραὴλ ἀπὸ νεότητος ἕως τῆς σήμερον ἡμέρας, καὶ εὐωδώθη ἐν ταῖς χερσὶν ἡμῶν ῥύσασθαι τὸν Ἰσραὴλ πλεονάκις.

Α Μακ. 16,2 - Ο Σιμων εκάλεσε τους δύο μεγαλυτέρους υιούς του, τον Ιούδαν και τον Ιωάννην, και τους είπε· "εγώ, οι αδελφοί μου και ο οίκος του πατρός μου επολεμήσαμεν τους εχθρούς του ισραηλιτικού λαού από της νεότητος ημών μέχρι της σημερινής ημέρας. Πολλάκις δε δια των χειρών μας ευωδώθησαν τα έργα μας και κατωρθώσαμεν να σώσωμεν τον ισραηλιτικόν λαόν.

Α Μακ. 16,3 - νῦν δὲ γεγήρακα, καὶ ὑμεῖς δὲ ἐν τῷ ἐλέει ἱκανοί ἐστε ἐν τοῖς ἔτεσι· γίνεσθε ἀντ᾿ ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου καὶ ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡμῶν, ἡ δὲ ἐκ τοῦ οὐρανοῦ βοήθεια ἔστω μεθ᾿ ὑμῶν.

Α Μακ. 16,3 - Τωρα όμως εγώ έχω γηράσει. Σεις, χάρις στο έλεος του Θεού, έχετε φθάσει εις μίαν ικανοποιητικήν ηλικίαν. Παρετε, λοιπόν, θέσιν τώρα αντί εμού και του αδελφού μου και εξελθόντες πολεμήσατε υπέρ του έθνους μας. Η δε βοήθεια εκ του ουρανού από τον Θεόν ας είναι πάντοτε μαζή σας.

Α Μακ. 16,4 - καὶ ἐπέλεξεν ἐκ τῆς χώρας εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν καὶ ἱππεῖς, καὶ ἐπορεύθησαν ἐπὶ τὸν Κενδεβαῖον καὶ ἐκοιμήθησαν ἐν Μωδεΐν.

Α Μακ. 16,4 - Εξέλεξεν έπειτα από τον λαόν της χώρας είκοσι χιλιάδας εμπειροπολέμους πεζούς και ιππείς, οι οποίοι και εβάδισαν εναντίον του Κενδεβαίου. Κατέλυσαν κατά την νύκτα εις Μωδεΐν.

Α Μακ. 16,5 - καὶ ἀναστάντες τὸ πρωΐ ἐπορεύοντο εἰς τὸ πεδίον, καὶ ἰδοὺ δύναμις πολλὴ εἰς συνάντησιν αὐτοῖς, πεζικὴ καὶ ἱππεῖς, καὶ ἦν χειμάῤῥους ἀναμέσον αὐτῶν.

Α Μακ. 16,5 - Την πρωΐαν ηγέρθησαν και επροχωρούσαν εις την πεδιάδα. Αίφνης είδον να έρχεται εις συνάντησίν των μεγάλη δύναμις πεζών και ιππέων. Μεταξύ εκείνων και αυτών παρενεβάλλετο ένας χείμαρρος.

Α Μακ. 16,6 - καὶ παρενέβαλε κατὰ πρόσωπον αὐτῶν αὐτὸς καὶ ὁ λαὸς αὐτοῦ. καὶ εἶδε τὸν λαὸν δειλούμενον διαπερᾶσαι τὸν χειμάῤῥουν καὶ διεπέρασε πρῶτος· καὶ εἶδον αὐτὸν οἱ ἄνδρες καὶ διεπέρασαν κατόπισθεν αὐτοῦ.

Α Μακ. 16,6 - Ο Ιωάννης με τον στρατόν του εστρατοπέδευσεν απέναντι εκείνων. Είδεν όμως ότι οι στρατιώται του εδίσταζαν να διαπεράσουν τον χείμαρρον και τον διέβη πρώτος αυτός. Οταν οι άνδρες του τον είδαν να διέρχεται τον χείμαρρον, τον διέβησαν και εκείνοι όπισθεν αυτού.

Α Μακ. 16,7 - καὶ διεῖλε τὸν λαὸν καὶ τοὺς ἱππεῖς ἐν μέσῳ τῶν πεζῶν· ἡ δὲ ἵππος τῶν ὑπεναντίων πολλὴ σφόδρα.

Α Μακ. 16,7 - Ο Ιωάννης διήρεσε τον στρατόν του εις δύο τμήματα και ετοποθέτησε το ιππικόν εν μέσω του πεζού τούτου στρατού. Το ιππικόν όμως των εχθρών ήτο πολύ μεγάλο.

Α Μακ. 16,8 - καὶ ἐσάλπισαν ταῖς ἱεραῖς σάλπιγξι, καὶ ἐτροπώθη Κενδεβαῖος καὶ ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί· οἱ δὲ καταλειφθέντες ἔφυγον εἰς τὸ ὀχύρωμα.

Α Μακ. 16,8 - Οι Ιουδαίοι εσάλπισαν με τας ιεράς σάλπιγγας προς επίθεσιν και ο Κενδεβαίος και ο στρατός του κατετροπώθησαν. Επεσαν δε από τους εχθρούς πάρα πολλοί. Οσοι απέμειναν, κατέφυγαν στο φρούριον.

Α Μακ. 16,9 - τότε ἐτραυματίσθη Ἰούδας ὁ ἀδελφὸς Ἰωάννου· Ἰωάννης δὲ κατεδίωξεν αὐτοὺς ἕως ἦλθεν εἰς Κεδρών, ἣν ᾠκοδόμησε.

Α Μακ. 16,9 - Τοτε ετραυματίσθη και ο Ιούδας, ο αδελφός του Ιωάννου. Ο Ιωάννης όμως κατεδίωξε τους φεύγοντας, μέχρις ότου έφθασεν εις την Κεδρών, την οποίαν είχεν οχυρώσει ο Κενδεβαίος.

Α Μακ. 16,10 - καὶ ἔφυγον ἕως εἰς τοὺς πύργους τοὺς ἐν τοῖς ἀγροῖς Ἀζώτου, καὶ ἐνεπύρισεν αὐτὴν ἐν πυρί, καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας δισχιλίους καὶ ἀπέστρεψεν εἰς γῆν Ἰούδα μετ᾿ εἰρήνης.

Α Μακ. 16,10 - Οι ηττηθέντες κατέφυγον στους πύργους, οι οποίοι υπήρχον ανά τους αγρούς της Αζώτου. Ο Ιωάννης παρέδωκε την Αζωτον στο πυρ. Δυο χιλιάδες από τους εχθρούς εφονεύθησαν και ο Ιωάννης επέστρεψε νικητής εις την Ιουδαίαν.

Α Μακ. 16,11 - Καὶ Πτολεμαῖος ὁ τοῦ Ἀβούβου ἦν καθεσταμένος στρατηγὸς εἰς τὸ πεδίον Ἱεριχὼ καὶ ἔσχεν ἀργύριον καὶ χρυσίον πολύ·

Α Μακ. 16,11 - Ο Πτολεμαίος, ο υιός του Αβούβου, είχεν εγκατασταθή στρατιωτικός διοικητής εις την πεδιάδα της Ιεριχώ και απέκτησε πολύ αργύριον και χρυσίον,

Α Μακ. 16,12 - ἦν γὰρ γαμβρὸς τοῦ ἀρχιερέως.

Α Μακ. 16,12 - διότι ήτο γαμβρός του αρχιερέως.

Α Μακ. 16,13 - καὶ ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ ἠβουλήθη κατακρατῆσαι τῆς χώρας καὶ ἐβουλεύετο δόλῳ κατὰ Σίμωνος καὶ τῶν υἱῶν αὐτοῦ ἆραι αὐτούς.

Α Μακ. 16,13 - Η καρδία του όμως υπερηφανεύθη και ηθέλησε να γίνη αυτός ο μόνος κύριος της χώρας. Εσκέφθη, λοιπόν, και απεφάσισε να φονεύση δια δόλου τον Σιμωνα και τα δύο παιδιά του.

Α Μακ. 16,14 - Σίμων δὲ ἦν ἐφοδεύων τὰς πόλεις τὰς ἐν τῇ χώρᾳ καὶ φροντίζων τῆς ἐπιμελείας αὐτῶν· καὶ κατέβη εἰς Ἱεριχὼ αὐτὸς καὶ Ματταθίας καὶ Ἰούδας οἱ υἱοὶ αὐτοῦ ἔτους ἑβδόμου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐν μηνὶ ἑνδεκάτῳ (οὗτος ὁ μὴν Σαβάτ).

Α Μακ. 16,14 - Ο Σιμων περιώδευεν επιθεωρών τας πόλεις της χώρας και φροντίζων δια την καλήν αυτών διοίκησιν. Κατά το εκατοστόν εβδομηκοστόν έβδομον έτος της χρονολογίας των Σελευκιδών και κατά τον ενδέκατον μήνα (αυτός ονομάζεται Σαββάτ), κατέβησαν εις την Ιεριχώ ο Σιμων και οι δύο υιοί του, ο Ματταθίας και ο Ιούδας.

Α Μακ. 16,15 - καὶ ὑπεδέξατο αὐτοὺς ὁ τοῦ Ἀβούβου εἰς τὸ ὀχυρωμάτιον τὸ καλούμενον Δὼκ μετὰ δόλου, ὃ ᾠκοδόμησε, καὶ ἐποίησεν αὐτοῖς πότον μέγαν καὶ ἐνέκρυψεν ἐκεῖ ἄνδρας.

Α Μακ. 16,15 - Ο υιός του Αβούβου τους υπεδέχθη δολίως και τους εφιλοξένησεν εις ένα μικρόν φρούριον, που ωνομάζετο Δωκ και το οποίον αυτός είχεν ανοικοδομήσει. Εκεί παρέθεσε μεγάλο συμπόσιον προς τον Σιμωνα, προς τον Ματταθίαν και τον Ιούδαν. Είχεν όμως κρύψει εκεί μερικούς άνδρας.

Α Μακ. 16,16 - καὶ ὅτε ἐμεθύσθη Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ, ἐξανέστη Πτολεμαῖος καὶ οἱ παρ᾿ αὐτοῦ καὶ ἐλάβοσαν τὰ ὅπλα αὐτῶν καὶ ἐπεισήλθοσαν τῷ Σίμωνι εἰς τὸ συμπόσιον καὶ ἀπέκτειναν αὐτὸν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ καί τινας τῶν παιδαρίων αὐτοῦ.

Α Μακ. 16,16 - Οταν ο Σιμων και τα παιδιά του περιήλθον εις κατάστασιν μέθης, εσηκώθη ο Πτολεμαίος μαζή με τους άνδρας του, επήραν τα όπλα, επέπεσαν εναντίον του Σιμωνος εις την αίθουσαν του συμποσίου και εφόνευσαν αυτόν, τα δύο του παιδιά και μερικούς από τους υπηρέτας του.

Α Μακ. 16,17 - καὶ ἐποίησεν ἀθεσίαν μεγάλην, καὶ ἀπέδωκε κακὰ ἀντὶ ἀγαθῶν.

Α Μακ. 16,17 - Ετσι δε ο υιός του Αβούβου διέπραξε μεγάλην προδοσίαν και ανταπέδωκε κακά αντί των αγαθών, που είχε λάβει.

Α Μακ. 16,18 - καὶ ἔγραψε ταῦτα Πτολεμαῖος καὶ ἀπέστειλε τῷ βασιλεῖ, ὅπως ἀποστείλῃ αὐτῷ δυνάμεις εἰς βοήθειαν καὶ παραδῷ αὐτῷ τὴν χώραν αὐτῶν καὶ τὰς πόλεις.

Α Μακ. 16,18 - Ο Πτολεμαίος έγραψεν αμέσως στον βασιλέα και τον επληροφόρησε δια τα γεγονότα αυτά· και συγχρόνως τον παρεκάλει να αποστείλη εις αυτόν στρατιωτικάς δυνάμεις, δια να του παραδώση την χώραν και τας πόλεις των Ιουδαίων.

Α Μακ. 16,19 - καὶ ἀπέστειλεν ἑτέρους εἰς Γάζαρα ἆραι τὸν Ἰωάννην, καὶ τοῖς χιλιάρχοις ἀπέστειλεν ἐπιστολὰς παραγενέσθαι πρὸς αὐτόν, ὅπως δῷ αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ δόματα,

Α Μακ. 16,19 - Εστειλε δε άλλους άνδρας εις Γαζαρα, δια να θανατώσουν τον Ιωάννην. Εστειλεν επίσης επιστολάς στους χιλιάρχους, δια των οποίων παρήγγειλεν εις αυτούς να έλθουν πλησίον του, δια να τους δώση αργύριον και χρυσίον και άλλα δώρα.

Α Μακ. 16,20 - καὶ ἑτέρους ἀπέστειλε καταλαβέσθαι τὴν Ἱερουσαλὴμ καὶ τὸ ὄρος τοῦ ἱεροῦ.

Α Μακ. 16,20 - Αλλους δε άνδρας έστειλε, να καταλάβουν την Ιερουσαλήμ και τον λόφον, όπου ήτο κτισμένος ο Ναός.

Α Μακ. 16,21 - καὶ προδραμών τις ἀπήγγειλεν Ἰωάννῃ εἰς Γάζαρα ὅτι ἀπώλετο ὁ πατὴρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὅτι ἀπέσταλκε καὶ σὲ ἀποκτεῖναι.

Α Μακ. 16,21 - Ενας όμως αγγελιαφόρος προέτρεξε και ανήγγειλεν στον Ιωάννην, που ευρίσκετο εις Γαζαρα, δτι ο πατέρας του και οι αδελφοί του είχαν φονευθή και ότι ο Πτολεμαίος έστειλεν άνδρας του, να φονεύσουν και αυτόν τον ίδιον.

Α Μακ. 16,22 - καὶ ἀκούσας ἐξέστη σφόδρα καὶ συνέλαβε τοὺς ἄνδρας τοὺς ἐλθόντας ἀπολέσαι αὐτὸν καὶ ἀπέκτεινεν αὐτούς, ἐπέγνω γὰρ ὅτι ἐζήτουν αὐτὸν ἀπολέσαι.

Α Μακ. 16,22 - Ο Ιωάννης, όταν ήκουσεν αυτά, έμεινε κατάπληκτος. Συνέλαβε τους άνδρας, που ήλθαν να τον δολοφονήσουν, και τους εθανάτωσε. Διότι και ο ίδιος αντελήφθη ότι πράγματι αυτοί επεζήτουν να τον φονεύσουν.

Α Μακ. 16,23 - Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωάννου καὶ τῶν πολέμων αὐτοῦ καὶ τῶν ἀνδραγαθιῶν αὐτοῦ, ὧν ἠνδραγάθησε, καὶ τῆς οἰκοδομῆς τῶν τειχέων, ὧν ᾠκοδόμησε, καὶ τῶν πράξεων αὐτοῦ,

Α Μακ. 16,23 - Τα υπόλοιπα εκ των έργων του Ιωάννου από τους πολέμους που διεξήγαγεν, τας ανδραγαθίας τας οποίας κατώρθωσε, την ανοικοδόμησιν των τειχών που ωλοκλήρωσε και όλα τα άλλα έργα του,

Α Μακ. 16,24 - ἰδοὺ ταῦτα γέγραπται ἐπὶ βιβλίῳ ἡμερῶν ἀρχιερωσύνης αὐτοῦ, ἀφ᾿ οὗ ἐγενήθη ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

Α Μακ. 16,24 - όλα αυτά είναι γραμμένα στο βιβλίον των χρονικών της αρχιερωσύνης του, από την ημέραν, από την οποίαν, μετά τον θάνατον του πατρός του, έγινεν αρχιερεύς.

ΜΑΚΚΑΒΑΙΩΝ Β'

Β ΜΑΚΚΑΒΑΙΩΝ 1

Β Μακ. 1,1 - Τοῖς ἀδελφοῖς τοῖς κατ᾿ Αἴγυπτον Ἰουδαίοις χαίρειν. οἱ ἀδελφοὶ οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι καὶ οἱ ἐν τῇ χώρᾳ τῆς Ἰουδαίας εἰρήνην ἀγαθήν·
Β Μακ. 1,1 - Ημείς, οι Ιουδαίοι που ευρισκόμεθα εις την Ιερουσαλήμ και εις την άλλην χώραν της Ιουδαίας, χαιρετίζομεν τους αδελφούς μας, που ευρίσκονται εις την Αίγυπτον. Ευχόμεθα εις σας λαμπράν ειρήνην.
Β Μακ. 1,2 - καὶ ἀγαθοποιήσαι ὑμῖν ὁ Θεὸς καὶ μνησθείη τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν δούλων αὐτοῦ τῶν πιστῶν·
Β Μακ. 1,2 - Ευχόμεθα, να αποστείλη πλούσια προς σας τα αγαθά του ο Θεός και να ενθυμηθή την συνθήκην, την οποίαν είχε συνάψει με τους πιστούς δούλους του, τον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ.
Β Μακ. 1,3 - καὶ δῴη ὑμῖν καρδίαν πᾶσιν εἰς τὸ σέβεσθαι αὐτὸν καὶ ποιεῖν αὐτοῦ τὰ θελήματα καρδίᾳ μεγάλῃ καὶ ψυχῇ βουλομένῃ·
Β Μακ. 1,3 - Ευχόμεθα, να δώση εις όλους σας ο Κυριος καρδίαν ευλαβή, ώστε να σέβεσθε αυτόν και να τηρήτε τα θελήματά του με όλην σας την καρδίαν και με όλην σας την θέλησιν.
Β Μακ. 1,4 - καὶ διανοίξαι τὴν καρδίαν ὑμῶν ἐν τῷ νόμῳ αὐτοῦ καὶ ἐν τοῖς προστάγμασι καὶ εἰρήνην ποιήσαι
Β Μακ. 1,4 - Να διανοίξη ακόμη ο Κυριος την καρδίαν σας, δια να γνωρίσετε και δεχθήτε τον Νομον του και τας εντολάς του, και να θεμελιώση εις σας ειρήνην.
Β Μακ. 1,5 - καὶ ἐπακούσαι ὑμῶν τῶν δεήσεων καὶ καταλλαγείη ὑμῖν καὶ μὴ ὑμᾶς ἐγκαταλίποι ἐν καιρῷ πονηρῷ.
Β Μακ. 1,5 - Ευχόμεθα ακόμη να εισακούση ο Κυριος τας προσευχάς σας, να συνδιαλλαγή προς σας και να μη σας εγκαταλείψη εις καιρόν θλίψεων.
Β Μακ. 1,6 - καὶ νῦν ὧδέ ἐσμεν προσευχόμενοι περὶ ὑμῶν.
Β Μακ. 1,6 - Ημείς εδώ τώρα προσευχόμεθα και δια σας.
Β Μακ. 1,7 - βασιλεύοντος Δημητρίου ἔτους ἑκατοστοῦ ἑξηκοστοῦ ἐνάτου, ἡμεῖς οἱ Ἰουδαῖοι γεγράφαμεν ὑμῖν ἐν τῇ θλίψει καὶ ἐν τῇ ἀκμῇ τῇ ἐπελθούσῃ ἡμῖν ἐν τοῖς ἔτεσι τούτοις, ἀφ᾿ οὗ ἀπέστη Ἰάσων καὶ οἱ μετ᾿ αὐτοῦ ἀπὸ τῆς ἁγίας γῆς καὶ τῆς βασιλείας
Β Μακ. 1,7 - Οταν εβασίλευεν ο Δημήτριος, και συγκεκριμένως κατά το εκατοστόν εξηκοστόν ένατον έτος, ημείς οι Ιουδαίοι είχομεν γράψει προς σας τότε, ότε ευρισκόμεθα υπό το κράτος θλίψεως και μεγάλης κρίσεως κατά τα

έτη εκείνα, από τότε που ο Ιάσων και οι άλλοι, που ήσαν μαζή του, έγιναν αποστάται και προδόται της ιεράς ημών χώρας και του βασιλείου.

Β Μακ. 1,8 - καὶ ἐνεπύρισαν τὸν πυλῶνα καὶ ἐξέχεαν αἷμα ἀθῷον· καὶ ἐδεήθημεν τοῦ Κυρίου καὶ εἰσηκούσθημεν καὶ προσηνέγκαμεν θυσίαν καὶ σεμίδαλιν καὶ ἐξήψαμεν τοὺς λύχνους καὶ προεθήκαμεν τοὺς ἄρτους.

Β Μακ. 1,8 - Αυτοί έκαυσαν την πύλην του ναού και έχυσαν αίμα αθώον. Ημείς προσηυχήθημεν προς τον Κυριον, ο δε Κυριος εισήκουσε την προσευχήν μας. Προσεφέραμεν θυσίαν αιματηράν και την ανάλογον αναίμακτον θυσίαν από σημιγδάλι, ανάψαμεν τους λύχνους της λυχνίας και εθέσαμεν τους άρτους της προθέσεως εις την τράπεζάν των.

Β Μακ. 1,9 - καὶ νῦν ἵνα ἄγητε τὰς ἡμέρας τῆς σκηνοπηγίας τοῦ Χασελεῦ μηνός. ἔτους ἑκατοστοῦ ὀγδοηκοστοῦ καὶ ὀγδόου».

Β Μακ. 1,9 - Τωρα δέ, σας γράφομεν, δια να εορτάζετε τας ημέρας των εγκαινίων του ναού- οπως την εορτήν της Σκηνοπηγίας- κατά τον μήνα Χασελεύ, το εκατοστόν ογδοηκοστόν όγδοον έτος της χρονολογίας των Σελευκιδών”.

Β Μακ. 1,10 - «Οἱ ἐν Ἱεροσολύμοις καὶ οἱ ἐν τῇ Ἰουδαίᾳ καὶ ἡ γερουσία καὶ Ἰούδας Ἀριστοβούλῳ διδασκάλῳ Πτολεμαίου τοῦ βασιλέως, ὄντι δὲ ἀπὸ τοῦ τῶν χριστῶν ἱερέων γένους, καὶ τοῖς ἐν Αἰγύπτῳ Ἰουδαίοις χαίρειν καὶ ὑγιαίνειν.

Β Μακ. 1,10 - “Οι Ιουδαίοι, που ευρίσκονται εις την Ιερουσαλήμ και εις την άλλην χώραν της Ιουδαίας, η γερουσία και ο Ιούδας εύχονται υγείαν και ευτυχίαν στον σοφόν Αριστόβουλον, σύμβουλον του βασιλέως Πτολεμαίου, τον καταγόμενον από την οικογένειαν των κεχρισμένων ιερέων, και στους άλλους Ιουδαίους, που ευρίσκονται εις την Αίγυπτον.

Β Μακ. 1,11 - ἐκ μεγάλων κινδύνων ὑπὸ τοῦ Θεοῦ σεσωσμένοι μεγάλως εὐχαριστοῦμεν αὐτῷ, ὡς ἂν πρὸς βασιλέα παρατασσόμενοι·

Β Μακ. 1,11 - Εχομεν σωθή με την βοήθειαν του Θεού και ευχαριστούμεν ολοψύχως τον Θεόν, έτοιμοι και πάλιν να πολεμήσωμεν εναντίον του βασιλέως.

Β Μακ. 1,12 - αὐτὸς γὰρ ἐξέβρασε τοὺς παραταξαμένους ἐν τῇ ἁγίᾳ πόλει.

Β Μακ. 1,12 - Διότι μαζή μας είναι ο Θεός, ο οποίος επέταξε μακράν όλους, όσοι παρετάχθησαν εις πόλεμον εναντίον της αγίας πόλεως.

Β Μακ. 1,13 - εἰς γὰρ τὴν Περσίδα γενόμενος ὁ ἡγεμὼν καὶ ὁ περὶ αὐτὸν ἀνυπόστατος δοκοῦσα εἶναι δύναμις, κατεκόπησαν ἐν τῷ τῆς Ναναίας ἱερῷ, παραλογισμῷ χρησαμένων τῶν περὶ τὴν Ναναίαν ἱερέων.

Β Μακ. 1,13 - Ο αρχηγός των εχθρών μας, ο βασιλεύς Αντίοχος ο Επιφανής, ήλθεν εις την Περσίαν μαζή με την στρατιωτικήν του δύναμιν, η οποία εθεωρείτο ακατανίκητος και κατεκόπη στον ναόν της Ναναίας χάρις εις ένα στρατήγημα, που εχρησιμοποίησαν οι ιερείς της θεάς αυτής.

Β Μακ. 1,14 - ὡς γὰρ συνοικήσων αὐτῇ παρεγένετο εἰς τὸν τόπον ὅ τε Ἀντίοχος καὶ οἱ σὺν αὐτῷ φίλοι χάριν τοῦ λαβεῖν τὰ χρήματα εἰς φερνῆς λόγον·

Β Μακ. 1,14 - Ο Αντίοχος δηλαδή με τους φίλους του είχε μεταβή στον τόπον εκείνον με τον σκοπόν, τάχα, να νυμφευθή την θεάν. Πράγματι δέ, δια να πάρη τους θησαυρούς της ως προίκα.

Β Μακ. 1,15 - καὶ προθέντων αὐτὰ τῶν ἱερέων τῆς Ναναίας κἀκείνου προσελθόντος μετ᾽ ὀλίγων εἰς τὸν περίβολον τοῦ τεμένους, συγκλείσαντες, τὸ ἱερόν, ὡς εἰσῆλθεν Ἀντίοχος,

Β Μακ. 1,15 - Οι ιερείς της Ναναίας εξέθεσαν τους θησαυρούς αυτούς, ο δε Αντίοχος με ολίγους άνδρας του εισήλθεν εις την ιεράν αυλήν του ναού. Οταν δε εισήλθεν εις την αυλήν, οι ιερείς έκλεισαν τον ναόν.

Β Μακ. 1,16 - ἀνοίξαντες τὴν τοῦ φατνώματος κρυπτὴν θύραν, βάλοντες πέτρους συνεκεραύνωσαν τὸν ἡγεμόνα καὶ μέλη ποιήσαντες καὶ τὰς κεφαλὰς ἀφελόντες τοῖς ἔξω παρέῤῥιψαν.

Β Μακ. 1,16 - Ηνοιξαν δε κατόπιν μίαν μυστικήν θύραν επάνω από την οροφήν, έρριψαν λίθους και κατακεραύνωσαν τον βασιλέα και εκείνους, οι οποίοι ήσαν μαζή του. Επειτα κατέκοψαν αυτούς εις τεμάχια, απέκοψαν τας κεφαλάς των και τας έρριψαν στους έξω του βασιλέως συντρόφους του.

Β Μακ. 1,17 - κατὰ πάντα εὐλογητὸς ἡμῶν ὁ Θεός, ὃς παρέδωκε τοὺς ἀσεβήσαντας.

Β Μακ. 1,17 - Ας είναι δι' όλα αυτά δοξασμένος ο Κυριος ο Θεός μας, ο οποίος παρέδωκεν εις τέτοιον θάνατον τους ασεβείς.

Β Μακ. 1,18 - μέλλοντες οὖν ἄγειν ἐν τῷ Χασελεῦ πέμπτῃ καὶ εἰκάδι τὸν καθαρισμὸν τοῦ ἱεροῦ, δέον ἡγησάμεθα διασαφῆσαι ὑμῖν, ἵνα καὶ αὐτοὶ ἄγητε τῆς σκηνοπηγίας καὶ τοῦ πυρός, ὅτε Νεεμίας οἰκοδομήσας τό τε ἱερὸν καὶ τὸ θυσιαστήριον ἀνήνεγκε θυσίαν.

Β Μακ. 1,18 - Επειδή, λοιπόν, ημείς ετοιμαζόμεθα να εορτάσωμεν κατά την εικοστήν πέμπτην του μηνός Χασελεύ τον καθαρισμόν του ιερού ναού, εθεωρήσαμεν πρέπον να καταστήσωμεν και εις σας γνωστόν τούτο, ώστε και σεις να εορτάσετε τας ημέρας αυτάς, όπως εορτάζετε την εορτήν της Σκηνοπηγίας, και του πυρός, το οποίον ανήφθη, όταν ο Νεεμίας απεπεράτωσε την ανοικοδόμησιν του ιερού και του θυσιαστηρίου και προσέφερε θυσίας.

Β Μακ. 1,19 - καὶ γὰρ ὅτε εἰς τὴν Περσικὴν ἤγοντο οἱ πατέρες ἡμῶν, οἱ τότε εὐσεβεῖς ἱερεῖς λαβόντες ἀπὸ τοῦ πυρὸς τοῦ θυσιαστηρίου λαθραίως, κατέκρυψαν ἐν κοιλώματι φρέατος τάξιν ἔχοντος ἀνύδρου, ἐν ᾧ κατησφαλίσαντο ὥστε πᾶσιν ἄγνωστον εἶναι τὸν τόπον.

Β Μακ. 1,19 - Οταν δηλαδή οι πατέρες μας ωδηγούντο αιχμάλωτοι εις την Περσίαν, οι ευσεβείς τότε ιερείς επήραν κρυφίως πυρ από το πυρ του

θυσιαστηρίου των ολοκαυτωμάτων και το έκρυψαν επιμελώς στο βάθος ενός φρέατος, που δεν είχε νερό. Εις αυτό το ησφάλισαν με κάθε μυστικότητα, ώστε παρέμενεν αυτός ο τόπος άγνωστος εις όλους.

Β Μακ. 1,20 - διελθόντων δὲ ἐτῶν ἱκανῶν, ὅτε ἔδοξε τῷ Θεῷ, ἀποσταλεὶς Νεεμίας ὑπὸ τοῦ βασιλέως τῆς Περσίδος τοὺς ἐκγόνους τῶν ἱερέων τῶν ἀποκρυψάντων ἔπεμψεν ἐπὶ τὸ πῦρ· ὡς δὲ διεσάφησαν ἡμῖν μὴ εὑρηκέναι πῦρ, ἀλλὰ ὕδωρ παχύ,

Β Μακ. 1,20 - Αφού επέρασαν αρκετά έτη, τότε που ο Θεός ηυδόκησε να αποσταλή ο Νεεμίας από τον βασιλέα της Περσίας εις την Ιουδαίαν, ο Νεεμίας έστειλε τους απογόνους των ιερέων, που είχαν αποκρύψει το πυρ, εις αναζήτησίν του. Αυτοί και ανέφεραν προς ημάς, ότι δεν ευρήκαν το πυρ, αλλά ένα παχύ ύδωρ.

Β Μακ. 1,21 - ἐκέλευσεν αὐτοὺς ἀποβάψαντας φέρειν. ὡς δὲ ἀνηνέχθη τὰ τῶν θυσιῶν, ἐκέλευσε τοὺς ἱερεῖς Νεεμίας ἐπιῤῥᾶναι τῷ ὕδατι τά τε ξύλα καὶ τὰ ἐπικείμενα.

Β Μακ. 1,21 - Ο Νεεμίας διέταξεν αυτούς να πάρουν και να φέρουν από το ύδωρ αυτό. Οταν δε εστοιβάσθησαν επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων τα προς θυσίαν ξύλα και τα θύματα, ο Νεεμίας διέταξε τους ιερείς να ραντίσουν με το ύδωρ και τα ξύλα και τας θυσίας, που ήσαν επάνω εις αυτά.

Β Μακ. 1,22 - ὡς δὲ ἐγένετο τοῦτο καὶ χρόνος διῆλθεν ὅ τε ἥλιος ἀνέλαμψε, πρότερον ἐπινεφὴς ὤν, ἀνήφθη πυρὰ μεγάλη ὥστε θαυμάσαι πάντας.

Β Μακ. 1,22 - Οταν δε εξετελέσθη η εντολή του Νεεμίου και ήλθεν η στιγμή, που ανέλαμψεν ο ήλιος, ο οποίος ήτο προηγουμένως σκεπασμένος από τα νέφη, άναψε μεγάλη φωτιά, ώστε όλοι εθαύμασαν.

Β Μακ. 1,23 - προσευχὴν δὲ ἐποιήσαντο οἱ ἱερεῖς δαπανωμένης τῆς θυσίας, οἵ τε ἱερεῖς καὶ πάντες, καταρχομένου Ἰωνάθου, τῶν δὲ λοιπῶν ἐπιφωνούντων ὡς Νεεμίου.

Β Μακ. 1,23 - Καθ' ον χρόνον η θυσία εκαίετο, οι ιερείς κατά την διάρκειαν της καύσεως έκαμαν προσευχήν, μαζή δε με αυτούς και όλοι οι άλλοι. Ο Ιωνάθαν ηρχισε την προσευχήν και ο Νεεμίας και οι άλλοι συνώδευαν την φωνήν του.

Β Μακ. 1,24 - ἦν δὲ ἡ προσευχὴ τὸν τρόπον ἔχουσα τοῦτον· Κύριε Κύριε ὁ Θεὸς ὁ πάντων κτίστης, ὁ φοβερὸς καὶ ἰσχυρὸς καὶ δίκαιος καὶ ἐλεήμων, ὁ μόνος βασιλεὺς καὶ χρηστός,

Β Μακ. 1,24 - Η προσευχή αυτή είχεν αυτόν τον τύπον· “Κυριε, Κυριε, ο Θεός, συ είσαι ο δημιουργός των πάντων, ο φοβερός και ισχυρός και δίκαιος και ελεήμων, ο μόνος βασιλεύς και πανάγαθος.

Β Μακ. 1,25 - ὁ μόνος χορηγός, ὁ μόνος δίκαιος καὶ παντοκράτωρ καὶ αἰώνιος, ὁ διασώζων τὸν Ἰσραὴλ ἐκ παντὸς κακοῦ, ὁ ποιήσας τοὺς πατέρας ἐκλεκτοὺς καὶ ἁγιάσας αὐτούς,

Β Μακ. 1,25 - Ο μόνος χορηγός των αγαθών, ο μόνος δίκαιος και παντοκράτωρ και αιώνιος. Συ, που διασώζστον Ισραήλ από όλα τα κακά. Συ, ο οποίος ανέδειξας τους πατέοας μας εκλεκτούς και τους ηγίασας.

Β Μακ. 1,26 - πρόσδεξαι τὴν θυσίαν ὑπὲρ παντὸς τοῦ λαοῦ σου Ἰσραὴλ καὶ διαφύλαξον τὴν μερίδα σου καὶ καθαγίασον.

Β Μακ. 1,26 - Πρόσδεξαι, λοιπόν, Κυριε, την θυσίαν αυτήν υπέρ όλου του λαού σου και διαφύλαξε την κληρονομίαν σου και αγίασε αυτήν.

Β Μακ. 1,27 - ἐπισυνάγαγε τὴν διασπορὰν ἡμῶν, ἐλευθέρωσον τοὺς δουλεύοντας ἐν τοῖς ἔθνεσι, τοὺς ἐξουθενημένους καὶ βδελυκτοὺς ἔπιδε, καὶ γνώτωσαν τὰ ἔθνη, ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Β Μακ. 1,27 - Επανάφερε εις την χώραν των τους διασκορπισμένους αδελφούς μας, ελευθέρωσε τους Ισραηλίτας, οι οποίοι είναι δούλοι εις τα έθνη, ρίψε βλέμμα στοργής στους εξουθενημένους και μισουμένους και ας μάθουν όλα τα έθνη, ότι συ είσαι ο Θεός μας.

Β Μακ. 1,28 - βασάνισον τοὺς καταδυναστεύοντας καὶ ἐξυβρίζοντας ἐν ὑπερηφανίᾳ.

Β Μακ. 1,28 - Τιμώρησε εκείνους, οι οποίοι μας καταδυναστεύουν και όσους επάνω εις την υπερηφάνειάν των μας υβρίζουν.

Β Μακ. 1,29 - καταφύτευσον τὸν λαόν σου εἰς τὸν τόπον τὸν ἅγιόν σου, καθὼς εἶπε Μωυσῆς.

Β Μακ. 1,29 - Καταφύτευσε και εγκατάστησε ασφαλή τον λαόν σου στον τόπον τούτον τον άγιόν σου, όπως είπεν ο Μωϋσής”.

Β Μακ. 1,30 - οἱ δὲ ἱερεῖς ἐπέψαλλον τοὺς ὕμνους.

Β Μακ. 1,30 - Οι ιερείς έψαλλον τους καταλλήλους ύμνους.

Β Μακ. 1,31 - καθὼς δὲ ἀνηλώθη τὰ τῆς θυσίας καὶ τὸ περιλειπόμενον ὕδωρ, ὁ Νεεμίας ἐκέλευσε λίθους μείζονας κατασχεῖν.

Β Μακ. 1,31 - Οταν δε η θυσία ετελείωσε, διέταξεν ο Νεεμίας και έχυσαν το υπόλοιπο νερό επάνω στους μεγάλους λίθους.

Β Μακ. 1,32 - ὡς δὲ τοῦτο ἐγενήθη, φλὸξ ἀνήφθη· τοῦ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀντιλάμψαντος φωτὸς ἐδαπανήθη.

Β Μακ. 1,32 - Οταν τούτο έγινε, άναψε μία φλόγα. Το δε από του θυσιαστηρίου αναλάμψαν ως φως υγρόν εκάη.

Β Μακ. 1,33 - ὡς δὲ φανερὸν ἐγενήθη τὸ πρᾶγμα, καὶ διηγγέλη τῷ βασιλεῖ τῶν Περσῶν ὅτι εἰς τὸν τόπον, οὗ τὸ πῦρ ἀπέκρυψαν οἱ μεταχθέντες ἱερεῖς τὸ ὕδωρ ἐφάνη, ἀφ᾿ οὗ καὶ οἱ περὶ τὸν Νεεμίαν ἥγνισαν τὰ τῆς θυσίας,

Β Μακ. 1,33 - Οταν δε το καταπληκτικόν αυτό γεγονός διεδόθη και έγινε γνωστόν και στον βασιλέα των Περσών, ότι στον τόπον, όπου οι απαχθέντες εις αιχμαλωσίαν ιερείς είχαν κάποτε αποκρύψει το ιερόν πυρ, ευρήκαν βραδύτερον ύδωρ και ότι ο Νεεμίας και οι περί αυτόν άνδρες καθηγίασαν αυτό με τας θυσίας,

Β Μακ. 1,34 - περιφράξας δὲ ὁ βασιλεὺς ἱερὸν ἐποίησε, δοκιμάσας τὸ πρᾶγμα.

Β Μακ. 1,34 - ο βασιλεύς διέταξε να περιφράξουν τον ιερόν αυτόν τόπον και να τον ανακηρύξουν άγιον και επεβεβαίωσεν έτσι το γεγονός.

Β Μακ. 1,35 - καὶ οἷς ἐχαρίζετο ὁ βασιλεὺς πολλὰ διάφορα ἐλάμβανε καὶ μετεδίδου.

Β Μακ. 1,35 - Ο βασιλεύς επήρε και εχάρισε πολλά και διάφορα δώρα στους ανθρώπους των γεγονότων αυτών.

Β Μακ. 1,36 - προσηγόρευσαν δὲ οἱ περὶ τὸν Νεεμίαν τοῦτο νέφθαρ, ὃ διερμηνεύεται Καθαρισμός· καλεῖται δὲ παρὰ τοῖς πολλοῖς Νεφθαεί.

Β Μακ. 1,36 - Οι περί τον Νεεμίαν ωνόμασαν αυτό το ύδωρ νέφθαρ, που σημαίνει καθαρισμός. Από πολλούς άλλους ωνομάσθη παρεφθαρμένως Νεφθαεί.

Β ΜΑΚΚΑΒΑΙΩΝ 2

Β Μακ. 2,1 - Εὑρίσκεται δὲ ἐν ταῖς ἀπογραφαῖς Ἱερεμίας ὁ προφήτης ὅτι ἐκέλευσε τοῦ πυρὸς λαβεῖν τοὺς μεταγινομένους, ὡς σεσήμανται,

Β Μακ. 2,1 - Υπάρχει καταγεγραμμένον, ότι ο προφήτης Ιερεμίας, διέταξε τους μεταφερομένους αιχμαλώτους εις την Βαβυλώνα, να πάρουν το ιερόν πυρ, όπως ανωτέρω έχει σημειωθή·

Β Μακ. 2,2 - καὶ ὡς ἐνετείλατο τοῖς μεταγενομένοις ὁ προφήτης, δοὺς αὐτοῖς τὸν νόμον, ἵνα μὴ ἐπιλάθωνται τῶν προσταγμάτων τοῦ Κυρίου καὶ ἵνα μὴ ἀποπλανηθῶσι ταῖς διανοίαις βλέποντες ἀγάλματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ τὸν περὶ αὐτὰ κόσμον·

Β Μακ. 2,2 - και ότι ο προφήτης, όταν παρέδωκεν αντίγραφαν του Νομου στους απαγομένους προς αιχμαλωσίαν, έδωκε συγχρόνως και την εντολήν, να μη λησμονούν τας εντολάς του Κυρίου, να μη αποπλανηθούν κατά την διάνοιαν, όταν βλέπουν αγάλματα χρυσά και αργυρά και τα γύρω από αυτά στολίδια.

Β Μακ. 2,3 - καὶ ἕτερα τοιαῦτα λέγων παρεκάλει μὴ ἀποστῆναι τὸν νόμον ἀπὸ τῆς καρδίας αὐτῶν.

Β Μακ. 2,3 - Και με πολλούς άλλους παρομοίους λόγους τους παρεκάλει και τους ενίσχυσε να μη απομακρυνθή ο νόμος του Θεού από τας καρδίας των.

Β Μακ. 2,4 - ἣν δὲν ἐν τῇ γραφῇ ὡς τὴν σκηνὴν καὶ τὴν κιβωτὸν ἐκέλευσεν ὁ προφήτης χρηματισμοῦ γενηθέντος αὐτῷ συνακολουθεῖν· ὡς δὲ ἐξῆλθεν εἰς τὸ ὄρος, οὗ ὁ Μωυσῆς ἀναβὰς ἐθεάσατο τὴν τοῦ Θεοῦ κληρονομίαν.

Β Μακ. 2,4 - Υπάρχει ακόμη και τούτο γραμμένον εις τα αρχεία· ότι ο ίδιος ο προφήτης Ιερεμίας, κατόπιν διαταγής που εδόθη εις αυτόν από τον Θεόν, διέταξε να μεταφερθή μαζή του η Κιβωτός της Διαθήκης. Με τα ιερά αυτά κειμήλια έφθασεν στο όρος Ναβαύ, όπου είχεν ανεβή ο Μωϋσής και είχεν ίδει την γην της Επαγγελίας, την οποίαν ο Θεός εκληροδότησεν στους Ισραηλίτας.

Β Μακ. 2,5 - καὶ ἐλθὼν ὁ Ἱερεμίας εὗρεν οἶκον ἀντρώδη καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος εἰσήνεγκεν ἐκεῖ καὶ τὴν θύραν ἐνέφραξε.

Β Μακ. 2,5 - Αφού έφθασεν εκεί ο Ιερεμίας, ευρήκεν οικίαν, η οποία είχε την μορφήν άντρου. Εις αυτήν εισήγαγε και απέθεσε την Κιβωτόν και το θυσιαστήριον του θυμιάματος. Κατόπιν δε έφραξε την θύραν.

Β Μακ. 2,6 - καὶ προσελθόντες τινὲς τῶν συνακολουθούντων ὥστε ἐπισημήνασθαι τὴν ὁδὸν καὶ οὐκ ἠδυνήθησαν εὑρεῖν.

Β Μακ. 2,6 - Μετά ταύτα μερικοί από τους συντρόφους του ήλθαν, δια να επισημάνουν με σημεία την οδόν, που ηκολούθησεν ο Ιερεμίας δια να κρύψη τα αντικείμενα αυτά, αλλά δεν την ευρήκαν.

Β Μακ. 2,7 - ὡς δὲ ὁ Ἱερεμίας ἔγνω, μεμψάμενος αὐτοῖς εἶπεν ὅτι καὶ ἄγνωστος ὁ τόπος ἔσται, ἕως ἂν συναγάγῃ ὁ Θεὸς ἐπισυναγωγὴν τοῦ λαοῦ καὶ ἵλεως γένηται·

Β Μακ. 2,7 - Οταν ο Ιερεμίας επληροφορήθη τούτο, τους ήλεγξε και είπεν· “ο τόπος αυτός θα μείνη άγνωστος, έως ότου ο Θεός γίνη ίλεως και επαναφέρη από την αιχμαλωσίαν ελεύθερον τον λαόν του.

Β Μακ. 2,8 - καὶ τότε ὁ Κύριος ἀναδείξει ταῦτα, καὶ ὀφθήσεται ἡ δόξα τοῦ Κυρίου καὶ ἡ νεφέλη, ὡς καὶ ἐπὶ Μωυσῇ ἐδηλοῦτο, ὡς καὶ ὁ Σαλωμὼν ἠξίωσεν ἵνα ὁ τόπος καθαγιασθῇ μεγάλως.

Β Μακ. 2,8 - Τοτε ο Κυριος θα αποκαλύψη τα ιερά αυτά αντικείμενα και θα φανή η δόξα του Κυρίου και η νεφέλη, όπως εφαίνετο επί της εποχής του Μωϋσέως και όπως εφάνη, όταν ο Σολομών έκαμε προσευχήν και παρεκάλεσε τον Θεόν, να καθαγιασθή ο ναός με μεγάλην δόξαν”.

Β Μακ. 2,9 - διεσαφεῖτο δὲ καὶ ὡς σοφίαν ἔχων ἀνήνεγκε θυσίαν ἐγκαινισμοῦ καὶ τῆς τελειώσεως τοῦ ἱεροῦ.

Β Μακ. 2,9 - Εις τα άρχεία επίσης ήτο καταγεγραμμένον, ότι ο βασιλεύς αυτός ο Σολομών, με την μεγάλην σοφίαν του, προσέφερε θυσίαν κατά τα εγκαίνια και κατά την αποπεράτωσιν του ναού.

Β Μακ. 2,10 - καθὼς καὶ Μωυσῆς προσηύξατο πρὸς Κύριον, καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ τὰ τῆς θυσίας ἐδαπάνησεν, οὕτως καὶ Σαλαμὼν προσηύξατο, καὶ καταβὰν τὸ πῦρ ἀνήλωσε τὰ ὁλοκαυτώματα.

Β Μακ. 2,10 - Και, όπως άλλοτε ο Μωϋσής προσηυχήθη προς τον Κυριον και κατέβηκε πυρ εκ του ουρανού, το οποίον κατέφαγε την θυσίαν, έτσι και ο Σολομών προσηυχήθη και κατέβηκε πυρ από τον ουρανόν, το οποίον κατέφαγε τα ολοκαυτώματα.

Β Μακ. 2,11 - καὶ εἶπε Μωυσῆς· διὰ τὸ μὴ βεβρῶσθαι τὸ περὶ τῆς ἁμαρτίας, ἀνηλώθη.

Β Μακ. 2,11 - Είχεν είπει δε τότε ο Μωϋσής· “επειδή η θυσία περί της αμαρτίας δεν επιτρέπεται να φαγωθή από τους ανθρώπους, δια τούτο κατηναλώθη ολόκληρος από το πυρ”.

Β Μακ. 2,12 - ὡσαύτως καὶ ὁ Σαλωμὼν τὰς ὀκτὼ ἡμέρας ἤγαγεν.

Β Μακ. 2,12 - Κατά παρόμοιον τρόπον και ο Σολομών εώρτασεν επί οκτώ ημέρας τα εγκαίνια του ναού.

Β Μακ. 2,13 - ἐξηγοῦντο δὲ καὶ ἐν ταῖς ἀναγραφαῖς καὶ ἐν τοῖς ὑπομνηματισμοῖς τοῖς κατὰ τὸν Νεεμίαν τὰ αὐτὰ καὶ ὡς καταβαλλόμενος βιβλιοθήκην ἐπισυνήγαγε τὰ περὶ τῶν βασιλέων καὶ προφητῶν καὶ τὰ τοῦ Δαυὶδ καὶ ἐπιστολὰς βασιλέων περὶ ἀναθεμάτων.

Β Μακ. 2,13 - Ησαν καταχωρημένα τα γεγονότα αυτά εις τα αρχεία και τα υπομνήματα του Νεεμίου, όπως επίσης και το ότι ο Νεεμίας ίδρυσε βιβλιοθήκην, εις την οποίαν συνεκέντρωσε τα βιβλία, που αναφέρονται στους βασιλείς και τους προφήτας. Εκεί περιλαμβάνονται τα του Δαυίδ, όπως και επιστολαί των βασιλέων της Περσίας σχετικώς με τα αφιερώματα αυτών προς τον ναόν.

Β Μακ. 2,14 - ὡσαύτως δὲ καὶ Ἰούδας τὰ διαπεπτωκότα διὰ τὸν πόλεμον τὸν γεγονότα ἡμῖν ἐπισυνήγαγε πάντα, καὶ ἔστι παρ᾿ ἡμῖν·

Β Μακ. 2,14 - Ωσαύτως και ο Ιούδας συνεκέντρωσεν όλα αυτά τα βιβλία, που είχαν διασκορπισθή κατά τον πόλεμον, τον οποίον ευρέθημεν ηναγκασμένοι να κάμωμεν, και ετσι τώρα αυτά ευρίσκονται εις τα χέρια μας.

Β Μακ. 2,15 - ὧν οὖν ἐὰν χρείαν ἔχητε τοὺς ἀποκομιοῦντας ὑμῖν ἀποστέλλετε.

Β Μακ. 2,15 - Εάν λοιπόν χρειάζεσθε να έχετε κοντά σας αντίτυπα, στείλατε ανθρώπους, δια να σας τα φέρουν.

Β Μακ. 2,16 - Μέλλοντες οὖν ἄγειν τὸν καθαρισμὸν ἐγράψαμεν ὑμῖν· καλῶς οὖν ποιήσετε ἄγοντες τὰς ἡμέρας.

Β Μακ. 2,16 - Εν όψει της εορτής του καθαρισμού του ναού, την οποίαν πρόκειται κατ' αυτάς να εορτάσωμεν, εγράψαμεν προς σας αυτήν την επιστολήν. Και σεις καλώς θα πράξετε να εορτάσετε μαζή μας την εορτήν κατά τας ημέρας αυτάς.

Β Μακ. 2,17 - ὁ δὲ Θεὸς ὁ σώσας τὸν πάντα λαὸν αὐτοῦ καὶ ἀποδοὺς τὴν κληρονομίαν πᾶσι καὶ τὸ βασίλειον καὶ τὸ ἱεράτευμα καὶ τὸν ἁγιασμόν,

Β Μακ. 2,17 - Ο δε Θεός, ο οποίος έσωσεν όλον τον λαόν του και απέδωκεν εις όλους την ιεράν κληρονομίαν της χώρας μας, το βασίλειόν μας, την Ιερωσυνην και τον ναόν,

Β Μακ. 2,18 - καθὼς ἐπηγγείλατο διὰ τοῦ νόμου· ἐλπίζομεν γὰρ ἐπὶ τῷ Θεῷ ὅτι ταχέως ἡμᾶς ἐλεήσει καὶ ἐπισυνάξει ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὸν ἅγιον τόπον· ἐξείλετο γὰρ ἡμᾶς ἐκ μεγάλων κακῶν καὶ τὸν τόπον ἐκαθάρισε.

Β Μακ. 2,18 - όπως είχεν υποσχεθή δια του Νομου του, ελπίζομεν ότι ταχέως θα μας ελεήση και πάλιν και θα μας επαναφέρη από όλας τας χώρας τας υπό τον ουρανόν στον ιερόν ναόν. Το πιστεύομεν δε αυτό, διότι και τώρα ο Θεός μας εγλύτωσεν από μεγάλας συμφοράς και εκαθάρισεν από τα μιάσματα της ειδωλολατρείας τον ιερόν τόπον.

Β Μακ. 2,19 - Τὰ δὲ κατὰ τὸν Ἰούδαν τὸν Μακκαβαῖον καὶ τοὺς τούτου ἀδελφοὺς καὶ τὸν τοῦ ἱεροῦ τοῦ μεγάλου καθαρισμὸν καὶ τὸν τοῦ βωμοῦ ἐγκαινισμόν,

Β Μακ. 2,19 - Τα δε κατά τον Ιούδαν τον Μακκαβαίον και τους αδελφούς του, όπως και δια τον καθαρισμόν του μεγάλου και ιερού ναού, δια τα εγκαίνια του θυσιαστηρίου των ολοκαυτωμάτων,

Β Μακ. 2,20 - ἔτι τε τοὺς πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ καὶ τὸν τούτου υἱὸν Εὐπάτορα πολέμους

Β Μακ. 2,20 - ακόμη δε και δια τους πολέμους μας εναντίον του Αντιόχου του Επιφανούς και του υιού του Ευπάτορος,

Β Μακ. 2,21 - καὶ τὰς ἐξ οὐρανοῦ γενομένας ἐπιφανείας τοῖς ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ φιλοτίμως ἀνδραγαθήσασιν, ὥστε τὴν ὅλην χώραν ὀλίγους ὄντας λεηλατεῖν καὶ τὰ βάρβαρα πλήθη διώκειν,

Β Μακ. 2,21 - δια τας φανεράς επεμβάσστου Θεού υπέρ εκείνων, οι οποίοι ηρωϊκώς ηγωνίζοντο προς υπεράσπισιν των Ιουδαίων, ώστε καίτοι ήσαν ολιγάριθμοι να ημπορέσουν να καταλάβουν όλην την χώραν και να τρέψουν εις φυγήν τα πλήθη των βαρβάρων,

Β Μακ. 2,22 - καὶ τὸ περιβόητον καθ᾿ ὅλην τὴν οἰκουμένην ἱερὸν ἀνακομίσασθαι καὶ τὴν πόλιν ἐλευθερῶσαι καὶ τοὺς μέλλοντας καταλύεσθαι νόμους ἐπανορθῶσαι, τοῦ Κυρίου μετὰ πάσης ἐπιεικείας ἱλέω γενομένου αὐτοῖς,

Β Μακ. 2,22 - όλα αυτά, όπως επίσης και δια τον περίφημον εις όλον τον κόσμον Ναόν, να τον ανακτήσουν και την πόλιν να ελευθερώσουν, να ανορθώσουν δε πάλιν τους θείους νόμους, τους οποίους εχθροί και εξωμόται επεχείρουν να καταργήσουν, και το ότι ο Θεός πάσαν ευμένειαν εδείκνυε πρυς τους ήρωας αυτούς,

Β Μακ. 2,23 - τὰ ὑπὸ Ἰάσωνος τοῦ Κυρηναίου δεδηλωμένα δὲ πέντε βιβλίων πειρασόμεθα δι᾿ ἑνὸς συντάγματος ἐπιτεμεῖν.

Β Μακ. 2,23 - όλα αυτά τα γεγονότα εκτίθενται εις πέντε βιβλία υπό του Ιάσωνος του Κυρηναίου. Ημείς όμως θα προσπαθήσωμεν να κάμωμεν επιτομήν όλων αυτών εις ένα μόνον βιβλίον.

Β Μακ. 2,24 - συνορῶντες γὰρ τὸ χῦμα τῶν ἀριθμῶν καὶ τὴν οὖσαν δυσχέρειαν τοῖς θέλουσιν εἰσκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διηγήμασι διὰ τὸ πλῆθος τῆς ὕλης,

Β Μακ. 2,24 - Αποβλέποντες δε στο πλήθος των αριθμών, που περιέχονται εις τα βιβλία αυτά, όπως και εις την δυσκολίαν, την οποίαν δοκιμάζουν όσοι επιθυμούν να βυθισθούν και εις τας λεπτομερείας των διηγήσεων, και δια το πλήθος της περιεχομένης ύλης,

Β Μακ. 2,25 - ἐφροντίσαμεν τοῖς μὲν βουλομένοις ἀναγινώσκειν ψυχαγωγίαν, τοῖς δὲ φιλοφρονοῦσιν εἰς τὸ διὰ μνήμης ἀναλαβεῖν εὐκοπίαν, πᾶσι δὲ τοῖς ἐντυγχάνουσιν ὠφέλειαν.

Β Μακ. 2,25 - εφροντίσαμεν να κάμωμεν ψυχαγωγικήν την μελέτην δι' εκείνους, που την θέλουν έτσι, εύκολον εις απομνημόνευσιν δι' εκείνους, που θέλουν να την απομνημονεύσουν. Γενικώς ωφέλιμον εις όλους εκείνους, οι οποίοι θα την μελετήσουν.

Β Μακ. 2,26 - καὶ ἡμῖν μὲν τοῖς τὴν κακοπάθειαν ἐπιδεδεγμένοις τῆς ἐπιτομῆς οὐ ῥᾴδιον, ἱδρῶτος δὲ καὶ ἀγρυπνίας τὸ πρᾶγμα,

Β Μακ. 2,26 - Δι' ημάς όμως, οι οποίοι ανελάβαμεν τον κόπον της επιτομής αυτής, το έργον δεν είναι εύκολον. Απαιτεί ιδρώτας και αγρυπνίας.

Β Μακ. 2,27 - καθάπερ τῷ παρασκευάζοντι συμπόσιον καὶ ζητοῦντι τὴν ἑτέρων λυσιτέλειαν οὐκ εὐχερὲς μέν, ὅμως διὰ τὴν τῶν πολλῶν εὐχαριστίαν ἡδέως τὴν κακοπάθειαν ὑποίσομεν,

Β Μακ. 2,27 - Η εργασία μας ομοιάζει με την εργασίαν εκείνου, ο οποίος θέλει να παρασκευάση συμπόσιον στους κεκλημένους και επιζητεί το ευχάριστον φαγητόν δια τον καθένα, χωρίς να λογαριάση τους κόπους. Τούτο δεν είναι μεν εύκολον, όμως, δια να έχωμεν την ευγνωμοσύνην των πολλών αναγνωστών μας, ευχαρίστως θα υποβληθώμεν εις την ταλαιπωρίαν αυτήν.

Β Μακ. 2,28 - τὸ μὲ διακριβοῦν περὶ ἑκάστων τῷ συγγραφεῖ παραχωρήσαντες, τὸ δὲ ἐπιπορεύεσθαι τοῖς ὑπογραμμοῖς τῆς ἐπιτομῆς διαπονοῦντες.

Β Μακ. 2,28 - Την μεν ακρίβειαν των γεγονότων στηρίζομεν στον συγγραφέα Ιάσονα. Ημείς όμως αναλαμβάνομεν τον κόπον της συντάξεως του έργου βάσει των φιλολογικών κανόνων.

Β Μακ. 2,29 - καθάπερ γὰρ τῆς καινῆς οἰκίας ἀρχιτέκτονι τῆς ὅλης καταβολῆς φροντιστέον, τῷ δὲ ἐγκαίειν καὶ ζωγραφεῖν ἐπιχειροῦντι τὰ

ἐπιτήδεια πρὸς διακόσμησιν ἐξεταστέον, οὕτω δοκῶ καὶ ἐπὶ ἡμῶν.

Β Μακ. 2,29 - Διότι, όπως ο αρχιτέκτων μιας νέας κατοικίας έχει καθήκον να φροντίση δι' όλον το έργον της οικοδομής, ενώ εκείνος που θα αναλάβη τον στολισμόν και την ζωγραφιάν μορφών οφείλει να ασχοληθή με ο,τι αφορά την διακόσμησιν αυτήν, έτσι νομίζω ότι συμβαίνει και με ημάς.

Β Μακ. 2,30 - τὸ μὲν ἐμβατεύειν καὶ περίπατον ποιεῖσθαι λόγον καὶ πολυπραγμονεῖν ἐν τοῖς κατὰ μέρος τῷ τῆς ἱστορίας ἀρχηγέτῃ καθήκει·

Β Μακ. 2,30 - Ενας ευσυνείδητος και αυθεντικός ιστορικός έχει καθήκον να εμδαθύνη στο θέμα του, να περιοδεύη τρόπον τινά μέσα εις τα ιστορικά γεγονότα, να δίδη λόγον δι' αυτά, να ασχολήται και με τας επί μέρους λεπτομερείας.

Β Μακ. 2,31 - τὸ δὲ σύντομον τῆς λέξεως μεταδιώκειν καὶ τὸ ἐξεργαστικὸν τῆς πραγματείας παραιτεῖσθαι τῷ τὴν μετάφρασιν ποιουμένῳ συγχωρητέον.

Β Μακ. 2,31 - Εκείνος όμως που ανέλαβεν ως έργον του την σύνταξιν μιας επιτομής, πρέπει να επιδιώκη την συντομίαν και του επιτρέπεται να μη ασχολήται με την πλήρη έκθεσιν των γεγονότων.

Β Μακ. 2,32 - ἐντεῦθεν οὖν ἀρξώμεθα τῆς διηγήσεως, τοῖς προειρημένοις τοσοῦτον ἐπιζεύξαντες· εὔηθες γὰρ τὸ μὲν πρὸ τῆς ἱστορίας πλεονάζειν, τὴν δὲ ἱστορίαν ἐπιτεμεῖν.

Β Μακ. 2,32 - Εδώ, λοιπόν, ας αρχισωμεν την διήγησίν μας αρκούμενοι, εις όσα προεισαγωγικά εξεθέσαμεν. Διότι είναι ανόητον να λέγη κανείς πολλά προ της ιστορίας και να είναι σύντομος εις αυτήν ταύτην την ιστορίαν.

Β ΜΑΚΚΑΒΑΙΩΝ 3

Β Μακ. 3,1 - Τῆς ἁγίας τοίνυν πόλεως κατοικουμένης μετὰ πάσης εἰρήνης καὶ τῶν νόμων ἔτι κάλλιστα συντηρουμένων διὰ τὴν Ὀνίου τοῦ ἀρχιερέως εὐσέβειάν τε καὶ μισοπονηρίαν,

Β Μακ. 3,1 - Κατά την εποχήν εκείνην, τότε που οι κάτοικοι της αγίας πόλεως απελάμβανον ειρήνην, οι δε νόμοι ετηροντο άριστα και κάλλιστα χάρις εις την ευσέβειαν του αρχιερέως Ονίου και την αποστροφήν του προς το κακόν,

Β Μακ. 3,2 - συνέβαινε καὶ αὐτοὺς τοὺς βασιλεῖς τιμᾶν τὸν τόπον, καὶ τὸ ἱερὸν ἀποστολαῖς ταῖς κρατίσταις δοξάζειν,

Β Μακ. 3,2 - συνέβαινεν ώστε και οι βασιλείς ακόμη να τιμούν τον άγιον τόπον και να μεγαλύνουν τον ιερόν ναόν με σπουδαιότατα δώρα,

Β Μακ. 3,3 - ὥστε καὶ Σέλευκον τὸν τῆς Ἀσίας βασιλέα χορηγεῖν ἐκ τῶν ἰδίων προσόδων πάντα τὰ πρὸς τὰς λειτουργίας τῶν θυσιῶν ἐπιβάλλοντα δαπανήματα.

Β Μακ. 3,3 - ώστε και αυτός ο Σέλευκος, ο βασιλεύς της Ασίας, να χορηγή από τα ιδικά του εισοδήματα όλας τας δαπάνας, αι οποίαι εχρειάζοντο δια τας θυσίας.

Β Μακ. 3,4 - Σίμων δέ τις ἐκ τῆς Βενιαμὶν φυλῆς προστάτης τοῦ ἱεροῦ καθεσταμένος διηνέχθη τῷ ἀρχιερεῖ περὶ τῆς κατὰ τὴν πόλιν ἀγορανομίας·

Β Μακ. 3,4 - Αλλά κάποιος Σιμων, που κατήγετο από την φυλήν Βενιαμίν, προϊστάμενος του ναού, ήλθεν εις φιλονεικίαν με τον αρχιερέα δια την επίβλεψιν της δημοσίας αγοράς εις την πόλιν.

Β Μακ. 3,5 - καὶ νικῆσαι τὸν Ὀνίαν μὴ δυνάμενος, ἦλθε πρὸς Ἀπολλώνιον Θρασαίου τὸν κατ᾿ ἐκεῖνον τὸ καιρὸν Κοίλης Συρίας καὶ Φοινίκης στρατηγὸν

Β Μακ. 3,5 - Επειδή όμως δεν ηδύνατο να υπερισχύση απέναντι του Ονίου, ήλθε προς τον Απολλώνιον, υιόν του Θρασαίου, ο οποίος κατ' εκείνον τον καιρόν ήτο στρατιωτικός διοικητής της Συρίας και της Φοινίκης.

Β Μακ. 3,6 - καὶ προσήγγειλε περὶ τοῦ χρημάτων ἀμυθήτων γέμειν τὸ ἐν Ἱεροσολύμοις γαζοφυλάκιον, ὥστε τὸ πλῆθος τῶν διαφόρων ἐναρίθμητον εἶναι, καὶ μὴ προσήκειν αὐτὰ πρὸς τὸν τῶν θυσιῶν λόγον, εἶναι δὲ δυνατὸν ὑπὸ τὴν τοῦ βασιλέως ἐξουσίαν πεσεῖν ἅπαντα ταῦτα.

Β Μακ. 3,6 - Ανέφερε, λοιπόν, εις αυτόν, ότι το θησαυροφυλάκιον του ναού εις την Ιερουσαλήμ ήτο γεμάτον από αναρίθμητα χρηματικά ποσά, των οποίων το πλήθος το αδύνατον να υπολογισθή, και ότι τα χρήματα αυτά δεν είναι όλα απαραίτητα δια τας προσφερομένας εκεί θυσίας. Αρα ότι είναι δυνατόν να περιέλθουν όλα αυτά εις την εξουσίαν του βασιλέως.

Β Μακ. 3,7 - συμμείξας δὲ ὁ Ἀπολλώνιος τῷ βασιλεῖ περὶ τῶν μηνυθέντων αὐτῷ χρημάτων ἐνεφάνισεν· ὁ δὲ προχειρισάμενος Ἡλιόδωρον τὸν ἐπὶ τῶν πραγμάτων ἀπέστειλε δοὺς ἐντολὰς τὴν τῶν προειρημένων χρημάτων ἐκκομιδὴν ποιήσασθαι.

Β Μακ. 3,7 - Ο Απολλώνιος συναντήσας προς τούτο τον βασιλέα κατέστησεν εις αυτόν γνωστά τα περί των αναφερθέντων χρημάτων. Ο βασιλεύς εξέλεξε τον Ηλιόδωρον, ο οποίος είχεν αναλάβει τας υποθέσστου κράτους, και τον απέστειλε με την εντολήν, να πάρη τα προαναφερθέντα εκείνα χρήματα.

Β Μακ. 3,8 - εὐθέως δὲ ὁ Ἡλιόδωρος ἐποιεῖτο τὴν πορείαν, τῇ μὲν ἐμφάσει ὡς τὰς κατὰ Κοίλην Συρίαν καὶ Φοινίκην πόλεις ἐφοδεύσων, τῷ πράγματι δὲ τὴν τοῦ βασιλέως πρόθεσιν ἐπιτελέσων.

Β Μακ. 3,8 - Ο Ηλιόδωρος αμέσως ανέλαβε πορείαν προφάσει μέν, δια να επιθεωρήση τας πόλεις της Κοίλης Συρίας και της Φοινίκης, πράγματι δε δια να μεταβή εις την Ιερουσαλήμ και να εκτελέση τας εντολάς του βασιλέως.

Β Μακ. 3,9 - παραγενηθεὶς δὲ εἰς Ἱεροσόλυμα καὶ φιλοφρόνως ὑπὸ τοῦ ἀρχιερέως τῆς πόλεως ἀποδεχθείς, ἀνέθετο περὶ τοῦ γεγονότος

ἐμφανισμοῦ, καὶ τίνος ἕνεκεν πάρεστι διεσάφησεν· ἐπυνθάνετο δέ, εἰ ταῖς ἀληθείας ταῦτα οὕτως ἔχοντα τυγχάνει.

Β Μακ. 3,9 - Οταν έφθασεν εις την Ιερουσαλήμ, έγινε δεκτός με φιλοφροσύνην εκ μέρους του αρχιερέως και των κατοίκων της πόλεως. Επειτα διηγήθη στον αρχιερέα εκείνα, τα οποία του είχαν αποκαλύψει και τον σκοπόν, δια τον οποίον είχεν έλθει. Εζητούσε δε να μάθη, εάν όλα αυτά είναι πράγματι αληθινά.

Β Μακ. 3,10 - τοῦ δὲ ἀρχιερέως ὑποδείξαντος παραθήκας εἶναι χηρῶν τε καὶ ὀρφανῶν,

Β Μακ. 3,10 - Ο αρχιερεύς κατέστησε γνωστόν στον Ηλιόδωρον, ότι αι καταθέσεις αυταί είναι των χηρών και των ορφανών.

Β Μακ. 3,11 - τινὰ δὲ καὶ Ὑρκανοῦ τοῦ Τωβίου σφόδρα ἀνδρὸς ἐν ὑπεροχῇ κειμένου -οὐχ ὥσπερ ἦν διαβάλλων ὁ δυσεβὴς Σίμων- τὰ δὲ πάντα ἀργυρίου τετρακόσια τάλαντα, χρυσίου δὲ διακόσια·

Β Μακ. 3,11 - Μερικά από αυτά τα χρήματα ανήκουν στον Υρκανόν, υιόν του Τωβίου, ένδοξον και επίσημον άνδρα. Παντως τα χρήματα αυτά δεν ήσαν τόσα όσα ο συκοφάντης και ασεβής Σιμων είχε καταγγείλει, αλλά ανήρχοντο μόνον εις τετρακόσια τάλαντα αργυρίου και διακόσια τάλαντα χρυσίου.

Β Μακ. 3,12 - ἀδικηθῆναι δὲ τοὺς πεπιστευκότας τῇ τοῦ τόπου ἁγιωσύνῃ καὶ τῇ τοῦ τετιμημένου κατὰ τὸν σύμπαντα κόσμον ἱεροῦ σεμνότητι καὶ ἀσυλίᾳ παντελῶς ἀμήχανον εἶναι.

Β Μακ. 3,12 - Προσέθεσε δέ, ότι είναι απολύτως αδύνατον να αδικηθούν οι καταθέται, οι οποίοι ενεπιστεύθησαν τα χρήματά των στον ιερόν ναόν, τον οποίον ναόν σέβεται όλος ο κόσμος δια την ιερότητα αυτού και το απαραβίαστον.

Β Μακ. 3,13 - ὁ δὲ Ἡλιόδωρος, δι᾽ ἃς εἶχε βασιλικὰς ἐντολάς, πάντως ἔλεγεν εἰς τὸ βασιλικὸν ἀναληπτέα ταῦτα εἶναι.

Β Μακ. 3,13 - Ο Ηλιόδωρος όμως έλεγεν, ότι πρέπει οπωσδήποτε να πάρη τα χρήματα αυτά δια το βασιλικόν ταμείον, διότι τοιαύτας διαταγάς είχε παρά του βασιλέως.

Β Μακ. 3,14 - ταξάμενος δὲ ἡμέραν εἰσήει τὴν περὶ τούτων ἐπίσκεψιν οἰκονομήσων· ἦν δὲ οὐ μικρὰ καθ᾽ ὅλην τὴν πόλιν ἀγωνία.

Β Μακ. 3,14 - Εις ορισθείσαν, λοιπόν, από αυτόν ημέραν μετέβη στον ναόν, δια να λάβη προσωπικήν γνώσιν περί των χρημάτων εκείνων. Καθ' όλην δε την πόλιν επικρατούσε μεγάλη αγωνία.

Β Μακ. 3,15 - οἱ δὲ ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου ἐν ταῖς ἱερατικαῖς στολαῖς ῥίψαντες ἑαυτούς, ἐπεκαλοῦντο εἰς οὐρανὸν τὸν περὶ παραθήκης νομοθετήσαντα τοῖς παρακαταθεμένοις ταῦτα σῷα διαφυλάξαι.

Β Μακ. 3,15 - Οι ιερείς έπεσαν ενώπιον του θυσιαστηρίου των ολοκαυτωμάτων είχαν φορέσει τας ιεράς στολάς των και επεκαλούντο Εκείνον, ο οποίος είχε νομοθετήσει σχετικώς με τας καταθέσεις αυτάς, ίνα τα χρήματα των καταθέτων παραμένουν άθικτα.

Β Μακ. 3,16 - ἦν δὲ ὁρῶντα τὴν τοῦ ἀρχιερέως ἰδέαν τιτρώσκεσθαι τὴν διάνοιαν· ἡ γὰρ ὄψις καὶ τὸ τῆς χρόας παρηλλαγμένον ἐνέφαινε τὴν κατὰ ψυχὴν ἀγωνίαν.

Β Μακ. 3,16 - Ητο δε δυνατόν, όταν έβλεπε κανείς το πρόσωπον του αρχιερέως, να αντιληφθή, ότι αυτός επληγώνετο βαθύτατα εις την καρδίαν από το γεγονός εκείνο. Διότι η μορφή του και το αλλοιωμένον χρώμα του προσώπου του εμαρτύρουν την ψυχικήν του αγωνίαν.

Β Μακ. 3,17 - περιεκέχυτο γὰρ περὶ τὸν ἄνδρα δέος τι καὶ φρικασμὸς σώματος, δι᾿ ὧν πρόδηλον ἐγίνετο τοῖς θεωροῦσι τὸ κατὰ καρδίαν ἐνεστὸς ἄλγος.

Β Μακ. 3,17 - Εφαίνετο, ως εάν είχε περιχυθή γύρω από τον άνδρα ένα δέος, μία φρικίασις του σώματος, δια των οποίων εγίνετο φανερόν εις τα βλέμματα εκείνων, που τον έβλεπαν, η βαθεία θλίψις που κατείχε την καρδίαν του.

Β Μακ. 3,18 - οἱ δὲ ἐκ τῶν οἰκιῶν ἀγεληδὸν ἐξεπήδων ἐπὶ πάνδημον ἱκετείαν, διὰ τὸ μέλλειν εἰς καταφρόνησιν ἔρχεσθαι τὸν τόπον.

Β Μακ. 3,18 - Οι κάτοικοι καθ' ομάδας εξεχύνοντο από τα σπίτια και παρεκάλουν όλοι μαζή τον Θεόν, να μη επιτρέψη και βεβηλωθή και καταφρονηθή ο ιερός τόπος.

Β Μακ. 3,19 - ὑπεζωσμέναι δὲ ὑπὸ τοὺς μαστοὺς αἱ γυναῖκες σάκκους κατὰ τὰς ὁδοὺς ἐπλήθυον· αἱ δὲ κατάκλειστοι τῶν παρθένων, αἱ μὲν συνέτρεχον ἐπὶ τοὺς πυλῶνας, αἱ δὲ ἐπὶ τὰ τείχη, τινὲς δὲ διὰ τῶν θυρίδων διεξέκυπτον·

Β Μακ. 3,19 - Αι γυναίκες είχαν ζωσθή και εφορούσαν υπό το στήθος σάκκους εις ένδειξιν πένθους και εγέμισαν τους δρόμους. Αι δε παρθένοι, αι οποίαι έως τότε έμεναν κλεισμέναι εις τα σπίτια, έτρεχαν άλλαι μεν εις τας θύρας των οικιών των, άλλαι δε ανέβαιναν στους τοίχους των αυλών και μερικαί άλλαι έσκυβαν από τα παράθυρα.

Β Μακ. 3,20 - πᾶσαι δὲ προτείνουσαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐποιοῦντο τὴν λιτανείαν·

Β Μακ. 3,20 - Ολαι δε με ανυψωμένας τας χείρας προς τον ουρανόν έκαμναν θερμήν δέησιν προς τον Θεόν.

Β Μακ. 3,21 - ἐλεεῖν δ᾿ ἦν τὴν τοῦ πλήθους παμμιγῆ πρόπτωσιν τήν τε τοῦ μεγάλου διαγωνιῶντος ἀρχιερέως προσδοκίαν.

Β Μακ. 3,21 - Ητο δε άξιον ελέους και οίκτου, να βλέπη κανείς το γονατισμένον αυτό και συγκεχυμένον πλήθος, καθώς και τον φόβον και την εναγώνιον προσμονήν του αρχιερέως.

Β Μακ. 3,22 - οἱ μὲν οὖν ἐπεκαλοῦντο τὸν παντοκράτορα Θεὸν τὰ πεπιστευμένα τοῖς πεπιστευκόσι σῶα διαφυλάσσειν μετὰ πάσης ἀσφαλείας,

Β Μακ. 3,22 - Αλλοι από αυτούς ικέτευον τον παντοδύναμον Θεόν, να διαφυλάξη άθικτα και εις κάθε ασφάλειαν όσα είχαν κατατεθή στον ναόν.

Β Μακ. 3,23 - ὁ δὲ Ἡλιόδωρος τὸ διεγνωσμένον ἐπετέλει.

Β Μακ. 3,23 - Ο δε Ηλιόδωρος έθεσεν εις εφαρμογήν το προαποφασισμένον σχέδιόν του.

Β Μακ. 3,24 - αὐτόθι δὲ αὐτοῦ σὺν τοῖς δορυφόροις κατὰ τὸ γαζοφυλάκιον ἤδη παρόντος, ὁ τῶν πατέρων Κύριος καὶ πάσης ἐξουσίας δυνάστης ἐπιφάνειαν μεγάλην ἐποίησεν, ὥστε πάντας τοὺς κατοτολμήσαντας συνελθεῖν, καταπλαγέντας τὴν τοῦ Θεοῦ δύναμιν, εἰς ἔκλυσιν καὶ δειλίαν τραπῆναι.

Β Μακ. 3,24 - Οταν δε ο Ηλιόδωρος μαζή με τους στρατιώτας δορυφόρους του ήλθε πλησίον του θησαυροφυλακίου, τότε ο Κυριος των πατέρων, ο παντοδύναμος Θεός έκαμε φοβεράν την εμφάνισίν του, ώστε όλοι εκείνοι, που είχαν την θρασύτητα να εισέλθουν με τον Ηλιόδωρον στο θησαυροφυλάκιον, εκτυπήθησαν από την δύναμιν του Θεού και περιέπεσαν εις παράλυσιν και δειλίαν.

Β Μακ. 3,25 - ὤφθη γάρ τις ἵππος αὐτοῖς φοβερὸν ἔχων τὸν ἐπιβάτην καὶ καλλίστῃ σαγῇ διακεκοσμημένος, φερόμενος δὲ ῥύδην ἐνέσεισε τῷ Ἡλιοδώρῳ τὰς ἐμπροσθίους ὁπλάς· ὁ δὲ ἐπικαθήμενος ἐφαίνετο χρυσῆν πανοπλίαν ἔχων.

Β Μακ. 3,25 - Διότι παρουσιάσθη εμπρός εις τα μάτια των ένας ίππος, επάνω εις την ωραιοτάτην και πλουσίως κεκοσμημένην σαγήν του οποίου εκάθητο ένας φοβερός ιππευς. Ο ίππος αυτός ωρμούσε εναντίον του Ηλιοδώρου και τον συνεκλόνιζε με τους δύο εμπροσθίους πόδας του. Ο δε ιππεύς, που εκάθητο επάνω εις αυτόν, εφαίνετο να έχη χρυσήν πανοπλίαν.

Β Μακ. 3,26 - ἕτεροι δὲ δύο προεφάνησαν αὐτῷ νεανίαι τῇ ῥώμῃ μὲν ἐκπρεπεῖς, κάλλιστοι δὲ τῇ δόξῃ, διαπρεπεῖς δὲ τὴν περιβολήν, οἳ καὶ παραστάντες ἐξ ἑκατέρου μέρους ἐμαστίγουν αὐτὸν ἀδιαλείπτως, πολλὰς ἐπιῤῥιπτοῦντες αὐτῷ πληγάς.

Β Μακ. 3,26 - Συγχρόνως δε παρουσιάσθησαν εμπρός εις τον Ηλιόδωρον δύο νέοι με ακατανίκητον δύναμιν, ωραιότατοι κατά την εμφάνισιν, ενδεδυμένοι μεγαλοπρεπή απαστράπτουσαν στολήν, οι οποίοι εστάθησαν εκατέρωθεν από τον Ηλιόδωρον, τον εμαστίγωναν συνεχώς και του επροξένησαν πολλάς πληγάς.

Β Μακ. 3,27 - ἄφνω δὲ πεσόντα πρὸς τὴν γῆν καὶ πολλῷ σκότει περιχυθέντα συναρπάσαντες καὶ εἰς φορεῖον ἐνθέντες

Β Μακ. 3,27 - Ο Ηλιόδωρος έπεσεν έξαφνα κάτω εις την γην βυθισθείς εις πολύ σκοτάδι. Οι άνθρωποι του περιβάλλοντός του τον ήρπασαν και τον

έθεσαν εις ένα φορείον.

Β Μακ. 3,28 - τὸν ἄρτι μετὰ πολλῆς παραδρομῆς καὶ πάσης δορυφορίας εἰς τὸ προειρημένον εἰσελθόντα γαζοφυλάκιον ἔφερον ἀβοήθητον ἑαυτῷ καθεστῶτα, φανερῶς τὴν τοῦ Θεοῦ δυναστείαν ἐπεγνωκότες.

Β Μακ. 3,28 - Και έτσι τον άνθρωπον αυτόν, ο οποίος προ ολίγου είχεν εισέλθει στο προειρημένον θησαυροφυλάκιον του ναού περιστοιχιζόμενος από συνοδούς και από άνδρας οπλισμένους, τον μετέφεραν τώρα εις τέτοιαν κατάστασιν, ώστε να του είναι αδύνατον να βοηθήση τον εαυτόν του. Ετσι δε αυτός και οι περί αυτόν εγνώρισαν κατά ένα τρόπον ολοφάνερον την δύναμιν του Θεού.

Β Μακ. 3,29 - καὶ ὁ μὲν διὰ τὴν θείαν ἐνέργειαν ἄφωνος καὶ πάσης ἐστερημένος ἐλπίδος καὶ σωτηρίας ἔῤῥιπτο,

Β Μακ. 3,29 - Και ο μεν Ηλιόδωρος χάρις εις την θαυματουργικήν θείαν αυτήν ενέργειαν κατέκειτο άφωνος, χωρίς καμμίαν ελπίδα σωτηρίας.

Β Μακ. 3,30 - οἱ δὲ τὸν Κύριον εὐλόγουν τὸν παραδοξάζοντα τὸν ἑαυτοῦ τόπον, καὶ τὸ μικρῷ πρότερον δέους καὶ ταραχῆς γέμον ἱερὸν τοῦ παντοκράτορος ἐπιφανέντος Κυρίου χαρᾶς καὶ εὐφροσύνης ἐπεπλήρωτο.

Β Μακ. 3,30 - Οι δε Ιουδαίοι υμνολογούσαν τον Κυριον, ο οποίος είχε δοξάσει τον ιερόν τόπον. Και ο ιερός ναός, ο οποίος προ ολίγου ήτο γεμάτος φόβον και ταραχήν, με την θαυματουργικήν εμφάνισιν του παντοδυνάμου Κυρίου εγέμισε χαράν και ευφροσύνην.

Β Μακ. 3,31 - ταχὺ δέ τινες τῶν τοῦ Ἡλιοδώρου συνήθων ἠξίουν τὸν Ὀνίαν ἐπικαλέσασθαι τὸν Ὕψιστον καὶ τὸ ζῆν χαρίσασθαι τῷ παντελῶς ἐν ἐσχάτῃ πνοῇ κειμένῳ.

Β Μακ. 3,31 - Αμέσως δε μερικοί από την συνοδείαν του Ηλιοδώρου παρεκάλεσαν θερμώς τον Ονίαν να προσευχηθή προς τον Υψιστον να χαρίση την ζωήν στον πνέοντα τα λοίσθια Ηλιόδωρον.

Β Μακ. 3,32 - ὕποπτος δὲ γενόμενος ὁ ἀρχιερεύς, μήποτε διάληψιν ὁ βασιλεὺς σχῇ κακουργίαν τινὰ περὶ τὸν Ἡλιόδωρον ὑπὸ τῶν Ἰουδαίων συντετελέσθαι, προσήγαγε θυσίαν ὑπὲρ τῆς τοῦ ἀνδρὸς σωτηρίας.

Β Μακ. 3,32 - Ο αρχιερεύς, επειδή υπωπτεύθη, μήπως τυχόν ο βασιλεύς νομίση ότι έγινε κανένα έγκλημα εναντίον του Ηλιοδώρου υπό των Ιουδαίων, προσέφερε θυσίαν δια την σωτηρίαν του ανθρώπου εκείνου.

Β Μακ. 3,33 - ποιουμένου δὲ τοῦ ἀρχιερέως τὸν ἱλασμόν, οἱ αὐτοὶ νεανίαι πάλιν ἐνεφάνησαν τῷ Ἡλιοδώρῳ ἐν ταῖς αὐταῖς ἐσθήσεσιν ἐστολισμένοι καὶ στάντες εἶπον· πολλὰς τῷ Ὀνίᾳ τῷ ἀρχιερεῖ χάριτας ἔχε, διὰ γὰρ αὐτόν σοι κεχάρισται τὸ ζῆν ὁ Κύριος·

Β Μακ. 3,33 - Καθ' ον δε χρόνον ο αρχιερεύς προσέφερε την εξιλαστήριον θυσίαν, παρουσιάσθησαν στον Ηλιόδωρον οι ίδιοι νεανίαι

στολισμένοι με τας ιδίας λαμπράς στολάς και όρθιοι κοντά του του είπαν· “να ευχαριστής τον αρχιερέα, διότι χάριν αυτού ο Θεός σου εχάρισε την ζωήν.

Β Μακ. 3,34 - σὺ δὲ ὑπ᾿ αὐτοῦ μεμαστιγωμένος διάγγελλε πᾶσι τὸ μεγαλεῖον τοῦ Θεοῦ κράτος. ταῦτα δὲ εἰπόντες ἀφανεῖς ἐγένοντο.

Β Μακ. 3,34 - Συ δέ, ο οποίος δια την ασέβειάν σου εμαστιγώθης από τον Θεόν, να διακηρύξης εις όλους την ακατανίκητον δύναμιν του Θεού”. Αυτά δε αφού είπαν οι νεανίαι εξηφανίσθησαν.

Β Μακ. 3,35 - ὁ δὲ Ἡλιόδωρος θυσίαν ἀνενέγκας τῷ Κυρίῳ καὶ εὐχὰς μεγίστας εὐξάμενος τῷ τὸ ζῆν περιποιήσαντι καὶ τὸν Ὀνίαν ἀποδεξάμενος, ἀνεστρατοπέδευσε πρὸς τὸν βασιλέα.

Β Μακ. 3,35 - Ο Ηλιόδωρος προσέφερε τότε θυσίαν προς τον Θεόν, έκαμε μεγάλα τάματα στον Θεόν, ο οποίος του εχάρισε την ζωήν, εχαιρέτησε φιλικώτατα τον Ονίαν και επανήλθε με τους στρατιώτας του προς τον βασιλέα.

Β Μακ. 3,36 - ἐξεμαρτύρει δὲ πᾶσιν ἅπερ ἦν ὑπ᾿ ὄψιν τεθεαμένος ἔργα τοῦ μεγίστου Θεοῦ.

Β Μακ. 3,36 - Διεκήρηττε δε και διεβεβαίωνε εις όλους τα έργα του μεγίστου Θεού, τα οποία ε*χεν ίδει με τα ίδια του τα μάτια.

Β Μακ. 3,37 - τοῦ δὲ βασιλέως ἐπερωτήσαντος τὸν Ἡλιόδωρον ποῖός τις εἴη ἐπιτήδειος ἔτι ἅπαξ διαπεμφθῆναι εἰς Ἱεροσόλυμα, ἔφησεν·

Β Μακ. 3,37 - Οταν δε βασιλεύς ηρώτησε τον Ηλιόδωρον ποιός τάχα είναι ικανός, δια να τον στείλη ακόμη μίαν φοράν εις την Ιερουσαλήμ, ο Ηλιόδωρος απήντησεν·

Β Μακ. 3,38 - εἴ τινα ἔχεις πολέμιον ἢ πραγμάτων ἐπίβουλον, πέμψον αὐτὸν ἐκεῖ, καὶ μεμαστιγωμένον αὐτὸν προσδέξῃ, ἐάν περ καὶ διασωθείη, διὰ τὸ περὶ τὸν τόπον ἀληθῶς εἶναί τινα Θεοῦ δύναμιν·

Β Μακ. 3,38 - “εάν έχεις κανένα εχθρόν η κανένα επίβουλον άνθρωπον, στείλε τον εκεί και θα τον δεχθής μαστιγωμένον, εάν βέβαια κατωρθώση και διασωθή. Διότι γύρω από τον ιερόν εκείνον τόπον υπάρχει η δύναμις του Θεού.

Β Μακ. 3,39 - αὐτὸς γὰρ ὁ τὴν κατοικίαν ἐπουράνιον ἔχων, ἐπόπτης ἐστὶ καὶ βοηθὸς ἐκείνου τοῦ τόπου καὶ τοὺς παραγινομένους ἐπὶ κακώσει τύπτων ἀπόλλυσι.

Β Μακ. 3,39 - Διότι ο Θεός, ο οποίος ως οίκον του έχει τον ουρανόν, επιβλέπει και προστατεύει τον τόπον εκείνον. Εκείνους δε που θα πλησιάσουν τον τόπον με ασεβείς και κακάς διαθέσεις, τους κτυπά και τους θανατώνει”.

Β Μακ. 3,40 - καὶ τὰ μὲν κατὰ Ἡλιόδωρον καὶ τὴν τοῦ γαζοφυλακίου τήρησιν οὕτως ἐχώρησεν.

Β Μακ. 3,40 - Ετσι εξελίχθησαν τα γεγονότα, τα αφορώντα τον Ηλιόδωρον και την διατήρησιν του γαζοφυλακίου του ναού.

Β ΜΑΚΚΑΒΑΙΩΝ 4

Β Μακ. 4,1 - Ὁ δὲ προειρημένος Σίμων, ὁ τῶν χρημάτων καὶ τῆς πατρίδος ἐνδείκτης γεγονώς, ἐκακολόγει τὸν Ὀνίαν, ὡς αὐτός τε εἴη τὸν Ἡλιόδωρον ἐπισεσεικὼς καὶ τῶν κακῶν δημιουργὸς καθεστηκώς,
Β Μακ. 4,1 - Ο προαναφερθείς Σιμων, ο προδότης των ιερών χρημάτων και της πατρίδος του, εσυκοφαντούσε τον Ονίαν, ότι τάχα αυτός είχε συγκλονίσει τον Ηλιόδωρον και υπηρξεν ο δημιουργός όλων αυτών των κακών.
Β Μακ. 4,2 - καὶ τὸν εὐεργέτην τῆς πόλεως καὶ τὸν κηδεμόνα τῶν ὁμοεθνῶν καὶ ζηλωτὴν τῶν νόμων ἐπίβουλον τῶν πραγμάτων ἐτόλμα λέγειν.
Β Μακ. 4,2 - Ετσι δε τον ευεργέτην της πόλεως, τον προστάτην όλων των ομοεθνών του Ιουδαίων, τον ζηλωτήν των θείων νόμων, ετολμούσε να τον κατηγορή ως επίβουλον και εχθρόν του έθνους.
Β Μακ. 4,3 - τῆς δὲ ἔχθρας ἐπὶ τοσοῦτον προβαινούσης, ὥστε καὶ διά τινος τῶν ὑπὸ τοῦ Σίμωνος δεδοκιμασμένων φόνους συντελεῖσθαι,
Β Μακ. 4,3 - Η έχθρα αυτή του Σιμωνος επροχώρησε μέχρι τοιούτου σημείου, ώστε από κάποιον εκ των οπαδών του Σιμωνος να διαπραχθούν και φόνοι.
Β Μακ. 4,4 - συνορῶν ὁ Ὀνίας τὸ χαλεπὸν τῆς φιλονεικίας καὶ Ἀπολλώνιον τὸν Μενεσθέως τὸν Κοίλης Συρίας καὶ Φοινίκης στρατηγὸν συναύξοντα τὴν κακίαν τοῦ Σίμωνος,
Β Μακ. 4,4 - Ο Ονίας βλέπων τότε πόσον επιβλαβής ήτο η φιλονεικία αυτή του Σιμωνος, και ότι ο Απολλώνιος, ο υιός του Μενεσθέως, στρατηγός της Κοίλης Συρίας και Φοινίκης, ενίσχυε την κακίαν αυτήν του Σιμωνος,
Β Μακ. 4,5 - πρὸς τὸν βασιλέα διεκομίσθη οὐ γινόμενος τῶν πολιτῶν κατήγορος, τὸ δὲ συμφέρον κοινῇ καὶ κατ᾿ ἰδίαν παντὶ τῷ πλήθει σκοπῶν·
Β Μακ. 4,5 - ήλθε προς τον βασιλέα, όχι δια να κατηγορήση τους συμπολίτας του, αλλά με τον σκοπόν να φροντίση δια το κοινόν συμφέρον και δια το συμφέρον ενός εκάστου από τον λαόν.
Β Μακ. 4,6 - ἑώρα γὰρ ἄνευ βασιλικῆς προνοίας ἀδύνατον εἶναι τυχεῖν εἰρήνης ἔτι τὰ πράγματα καὶ τὸν Σίμωνα παῦλαν οὐ ληψόμενον τῆς ἀνοίας.
Β Μακ. 4,6 - Διότι έβλεπεν, ότι χωρίς την επέμβασιν του βασιλέως ήτο αδύνατον να ειρηνεύσουν τα πράγματα, και ότι ο Σιμων δεν θα εσταματούσε την παράφρονα κακότητά του.

Β Μακ. 4,7 - Μεταλλάξαντος δὲ τὸν βίον Σελεύκου καὶ παραλαβόντος τὴν βασιλείαν Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς, ὑπενόθευσεν Ἰάσων ὁ ἀδελφὸς Ὀνίου τὴν ἀρχιερωσύνην,

Β Μακ. 4,7 - Αλλά, όταν απέθανεν ο Σέλευκος και παρέλαβε την βασιλείαν ο Αντίοχος ο επονομασθείς Επιφανής, ο Ιάσων ο αδελφός του Ονίου ηθέλησε να αρπάση με παράνομα μέσα την αρχιερωσύνην.

Β Μακ. 4,8 - ἐπαγγειλάμενος τῷ βασιλεῖ δι᾽ ἐντεύξεως ἀργυρίου τάλαντα ἑξήκοντα πρὸς τοῖς τριακοσίοις καὶ προσόδου τινὸς ἄλλης τάλαντα ὀγδοήκοντα.

Β Μακ. 4,8 - Εις μίαν προς τον σκοπόν τούτον συνάντησίν του με τον βασιλέα ο Ιάσων υπεσχεθη εις αυτόν να του δώση τριακόσια εξήκοντα τάλαντα αργυρίου και αλλά ογδοήκοντα τάλαντα από άλλην τινά πρόσοδον.

Β Μακ. 4,9 - πρὸς δὲ τούτοις ὑπισχνεῖτο καὶ ἕτερα διαγράψαι πεντήκοντα πρὸς τοῖς ἑκατόν, ἐὰν συγχωρηθῇ διὰ τῆς ἐξουσίας αὐτοῦ γυμνάσιον καὶ ἐφηβεῖον αὐτῷ συστήσασθαι καὶ τοὺς ἐν Ἱεροσολύμοις Ἀντιοχεῖς ἀναγράψαι.

Β Μακ. 4,9 - Επί πλέον δε υπεσχεθη γραπτώς να δώση και άλλα εκατόν πεντήκοντα τάλαντα, εάν του δοθή το δικαίωμα να εγκαταστήση με ιδικήν του εξουσίαν γυμναστήριον και εφηβεον εις την Ιερουσαλήμ και να εγγράψη τους κατοίκους της Ιερουσαλήμ ως πολίτας της Αντιοχείας.

Β Μακ. 4,10 - ἐπινεύσαντος δὲ τοῦ βασιλέως καὶ τῆς ἀρχῆς κρατήσας, εὐθέως ἐπὶ τὸν Ἑλληνικὸν χαρακτῆρα τοὺς ὁμοφύλους μετῆγε

Β Μακ. 4,10 - Ο βασιλεύς συγκατετέθη εις όλας αυτάς τας προτάσεις. Ο Ιάσων έγινε κύριος πλέον της εξουσίας και ήρχισεν αμέσως να εισάγη τα ελληνικά ήθη και έθιμα στους ομοεονείς του Ιουδαίους.

Β Μακ. 4,11 - καὶ τὰ κείμενα τοῖς Ἰουδαίοις φιλάνθρωπα βασιλικὰ διὰ Ἰωάννου τοῦ πατρὸς Εὐπολέμου, τοῦ ποιησαμένου τὴν πρεσβείαν ὑπὲρ φιλίας καὶ συμμαχίας πρὸς τοὺς Ῥωμαίους, παρώσατο. καὶ τὰς μὲν νομίμους καταλύων πολιτείας, παρανόμους ἐθισμοὺς ἐκαίνιζεν·

Β Μακ. 4,11 - Ηκύρωσε την ατέλειαν, την οποίαν οι βασιλείς από φιλάνθρωπα αισθήματα είχον παραχωρήσει στους Ιουδαίους με τας ενεργείας Ιωάννου του πατρός του Ευπολέμου, ο οποίος είχεν αποσταλή ως πρεσβευτής δια την σύναψιν συμμαχίας με τους Ρωμαίους. Ο Ιάσων, κατέλυε τους καθιερωμένους νόμους της πολιτείας και εισήγε νέας συνηθείας αντιθέτους προς τον νόμον του Θεού.

Β Μακ. 4,12 - ἀσμένως γὰρ ὑπ᾽ αὐτὴν τὴν ἀκρόπολιν γυμνάσιον καθίδρυσε καὶ τοὺς κρατίστους τῶν ἐφήβων ὑποτάσσων ὑπὸ πέτασον ἤγεν.

Β Μακ. 4,12 - Διότι αδιαφορών δια την Ιεροσυλίαν με πολλήν ευχαρίστησιν και προθυμίαν εφρόντισε να κτισθή εις τας υπώρειας της

ακροπόλεως γυμναστήριον δια τους ευγενούς καταγωγής Ιουδαίους νέους, τους οποίους και ηνάγκαζε να φορούν ειδωλολατρικόν πίλον.

Β Μακ. 4,13 - ἦν δ᾿ οὕτως ἀκμή τις Ἑλληνισμοῦ καὶ πρόσβασις ἀλλοφυλισμοῦ διὰ τὴν τοῦ ἀσεβοῦς καὶ οὐκ ἀρχιερέως Ἰάσωνος ὑπερβάλλουσαν ἀναγνείαν,

Β Μακ. 4,13 - Ητο δε τόσον μεγάλη η ακμή του εξελληνισμού, της ειδωλολατρικής εκτροπής και η φορά προς τας συνηθείας των αλλοφύλων εξ αιτίας της μεγάλης διαφθοράς του ασεβούς Ιάσωνος, ο οποίος δεν ήτο αρχιερεύς,

Β Μακ. 4,14 - ὥστε μηκέτι περὶ τὰς τοῦ θυσιαστηρίου λειτουργίας προθύμους εἶναι τοὺς ἱερεῖς, ἀλλὰ τοῦ μὲν ναοῦ καταφρονοῦντες καὶ τῶν θυσιῶν ἀμελοῦντες ἔσπευδον μετέχειν τῆς ἐν παλαίστρᾳ παρανόμου χορηγίας μετὰ τὴν τοῦ δίσκου πρόκλησιν,

Β Μακ. 4,14 - ώστε και οι ιερείς δεν εδείκνυον κανένα πλέον ζήλον δια την υπηρεσίαν του θυσιαστηρίου. Αλλά καταφρονούσαν τον ναόν και παραμελούσαν τας ιεράς θυσίας και έσπευδαν να λάβουν μέρος εις τα εν τη παλαίστρα αγωνίσματα, τα απαγορευομένα από τον νόμον του Θεού, αμέσως μόλις εσήμαινεν ο δίσκος το προσκλητήριον.

Β Μακ. 4,15 - καὶ τὰς μὲν πατρῴους τιμὰς ἐν οὐδενὶ τιθέμενοι, τὰς δὲ Ἑλληνικὰς δόξας καλλίστας ἡγούμενοι.

Β Μακ. 4,15 - Και τους μεν πατροπαραδότους τιμίους νόμους εις ουδέν υπελόγιζαν, τας δε ελληνικάς αντιλήψεις και συνήθειας αρίστας εθεωρούσαν.

Β Μακ. 4,16 - ὧν χάριν περιέσχεν αὐτοὺς χαλεπὴ περίστασις, καὶ ὧν ἐζήλουν τὰς ἀγωγὰς καὶ καθάπαν ἤθελον ἐξομοιοῦσθαι, τούτους πολεμίους καὶ τιμωρητὰς ἔσχον·

Β Μακ. 4,16 - Εξ αιτίας των εκτροπών των αυτών περιεκύκλωσαν και κατέλαβαν αυτούς οδυνηραί συμφοραί, και εκείνους, των οποίων εθαύμαζαν την ζωήν και πολιτείαν και προς τους οποίους ήθελον εξ ολοκλήρου να εξομοιωθούν, τους είχαν τώρα εχθρούς και τιμωρούς.

Β Μακ. 4,17 - ἀσεβεῖν γὰρ εἰς τοὺς θείους νόμους οὐ ῥᾴδιον, ἀλλὰ ταῦτα ὁ ἀκόλουθος καιρὸς δηλώσει.

Β Μακ. 4,17 - Διότι δεν είναι δυνατόν, να καταπατή κανείς ασεβώς τους θείους νόμους ατιμωρητί. Αλλά αυτό θα το αποδείξουν αι περιστάσεις, αι οποίαι θα ακολουθήσουν.

Β Μακ. 4,18 - ἀγομένου δὲ πενταετηρικοῦ ἀγῶνος ἐν Τύρῳ καὶ τοῦ βασιλέως παρόντος,

Β Μακ. 4,18 - Καθ' ον χρόνον οι Συροι εώρταζον τον ανά πενταετίαν αγώνα εν Τυρω και παρίστατο και ο βασιλεύς,

Β Μακ. 4,19 - ἀπέστειλεν Ἰάσων ὁ μιαρὸς θεωροὺς ἀπὸ Ἱεροσολύμων Ἀντιοχεῖς ὄντας παρακομίζοντας ἀργυρίου δραχμὰς τριακοσίας εἰς τὴν τοῦ

Ἡρακλέους θυσίαν, ἃς καὶ ἠξίωσαν οἱ παρακομίσαντες μὴ χρῆσθαι πρὸς θυσίαν διὰ τὸ μὴ καθήκειν, εἰς ἑτέραν δὲ καταθέσθαι δαπάνην.

Β Μακ. 4,19 - ο μιαρός αυτός Ιάσων απέστειλε από τα Ιεροσόλυμα θεατάς πολίτας της Αντιοχείας, δια να παρακολουθήσουν την εορτήν. Αυτοί έφεραν μαζή των και τριακοσίας αργυράς δραχμάς, προοριζομένας δια την θυσίαν προς τον Ηρακλήν. Εζήτησαν όμως οι φέροντες αυτά να μη χρησιμοποιηθούν δια την θυσίαν του Ηρακλέους, διότι δεν ήτο πρέπον αλλά να διατεθούν εις άλλας δαπάνας.

Β Μακ. 4,20 - ἔπεσεν οὖν ταῦτα διὰ μὲν τὸν ἀποστείλαντα εἰς τὴν τοῦ Ἡρακλέους θυσίαν, ἕνεκεν δὲ τῶν παρακομιζόντων εἰς τὰς τῶν τριήρων κατασκευάς.

Β Μακ. 4,20 - Ετσι αι τριακόσιαι δραχμαί, αι οποίαι υπό του Ιάσωνος που τας απέστειλε προωρίζοντο δια την θυσίαν προς τιμήν του Ηρακλέους, εχρησιμοποιήθησαν από εκείνους που τας έφεραν σύμφωνα με την επιθυμίαν των δια την κατασκευήν πολεμικών πλοίων.

Β Μακ. 4,21 - ἀποσταλέντος δὲ εἰς Αἴγυπτον Ἀπολλωνίου τοῦ Μενεσθέως διὰ τὰ πρωτοκλίσια Πτολεμαίου τοῦ Φιλομήτορος Βασιλέως, μεταλαβὼν Ἀντίοχος ἀλλότριον αὐτὸν τῶν αὐτῶν γεγονέναι πραγμάτων, τῆς καθ᾿ αὑτὸν ἀσφαλείας ἐφρόντιζεν· ὅθεν εἰς Ἰόππην παραγενόμενος κατήντησεν εἰς Ἱεροσόλυμα.

Β Μακ. 4,21 - Οταν δε ο υιός του Μενεσθέως ο Απολλώνιος είχεν αποσταλή εις την Αίγυπτον, δια να παραστή εις την ενθρόνισιν του βασιλέως Πτολεμαίου του Φιλομήτορος, ο Αντίοχος πληροφορηθείς ότι ο βασιλεύς αυτός δεν επεδοκίμαζε τας πράξστου, εφρόντισε να είναι ασφαλής απέναντί του. Οθεν μετέβη εις την Ιόππην και κατόπιν έφθασεν εις την Ιερουσαλήμ.

Β Μακ. 4,22 - μεγαλοπρεπῶς δὲ ὑπὸ τοῦ Ἰάσωνος καὶ τῆς πόλεως παραδεχθείς, μετὰ δᾳδουχίας καὶ βοῶν εἰσπεπόρευται, εἶθ᾿ οὕτως εἰς τὴν Φοινίκην κατεστρατοπέδευσε.

Β Μακ. 4,22 - Εκεί δε έγινε δεκτός με κάθε μεγαλοπρέπειαν από τον Ιάσωνα και τους κατοίκους της πόλεως, εισήλθεν εις την πόλιν με λαμπαδηφορίας και ζητωκραυγάς των πολιτών. Κατόπιν ήλθε και εστρατοπέδευσεν εις την Φοινίκην.

Β Μακ. 4,23 - μετὰ δὲ τριετῆ χρόνον ἀπέστειλεν Ἰάσων Μενέλαον, τὸν τοῦ προσημαινομένου Σίμωνος ἀδελφόν, παρακομίζοντα τὰ χρήματα τῷ βασιλεῖ καὶ περὶ πραγμάτων ἀναγκαίων ὑπομνηματισμοὺς τελέσοντα.

Β Μακ. 4,23 - Μετά πάροδον τριών ετών ο Ιάσων έστειλε τον Μενέλαον, αδελφόν του προμνημονευθέντος Σιμωνος, δια να φέρη στον βασιλέα τα χρήματα και να εκθέση προς αυτόν την ανάγκην εκτελέσεως επειγόντων έργων.

Β Μακ. 4,24 - ὁ δὲ συσταθεὶς τῷ βασιλεῖ καὶ δοξάσας αὐτὸν τῷ προσώπῳ τῆς ἐξουσίας, εἰς ἑαυτὸν κατήντησε τὴν ἀρχιερωσύνην,

ὑπερβαλὼν τὸν Ἰάσωνα τάλαντα ἀργυρίου τριακόσια.

Β Μακ. 4,24 - Ο Μενέλαος δεόντως συνεστήθη στον βασιλέα και παρουσίασε τον εαυτόν του ως πρόσωπον μεγάλης αξίας, έτσι δε επέτυχε δια τον εαυτόν του την αρχιερωσύνην, αφού έδωσε τριάκοντα αργυρά τάλαντα περισσότερα από εκείνα τα οποία είχε προσφέρει ο Ιάσων.

Β Μακ. 4,25 - λαβὼν δὲ τὰς βασιλικὰς ἐντολὰς παρεγένετο, τῆς μὲν ἀρχιερωσύνης οὐδὲν ἄξιον φέρων, θυμοὺς δὲ ὠμοῦ τυράννου καὶ θηρὸς βαρβάρου ὀργὰς ἔχων.

Β Μακ. 4,25 - Ετσι δε επήρεν αυτός από τον βασιλέα την εντολήν δια την ανάληψιν της αρχιερωσύνης και ήλθεν εις την Ιερουσαλήμ, χωρίς τίποτε το άξιον της αρχιερωσύνης να έχη, έφερεν όμως εις την καρδίαν του θυμόν σκληρού τυράννου και οργήν αγρίου θηρίου.

Β Μακ. 4,26 - καὶ ὁ μὲν Ἰάσων ὁ τὸν ἴδιον ἀδελφὸν ὑπονοθεύσας, ὑπονοθευθεὶς ὑφ᾿ ἑτέρου, φυγὰς εἰς τὴν Ἀμμανῖτιν χώραν συνήλαστο.

Β Μακ. 4,26 - Και ο μεν Ιάσων, ο οποίος προηγουμένως είχεν εξαπατήσει τον αδελφόν του, τώρα δε εξηπατήθη από άλλον, κατέφυγε πρόσφυξ εις την χώραν των Αμμανιτών.

Β Μακ. 4,27 - ὁ δὲ Μενέλαος τῆς μὲν ἀρχῆς ἐκράτει, τῶν δὲ ἐπηγγελμένων τῷ βασιλεῖ χρημάτων οὐδὲν εὐτάκνει· ποιουμένου δὲ τὴν ἀπαίτησιν Σωστράτου τοῦ τῆς ἀκροπόλεως ἐπάρχου,

Β Μακ. 4,27 - Ο δε Μενέλαος επέτυχε να πάρη εις τα χέρια του την εξουσίαν. Αλλά δεν κατέβαλε τίποτε από τα χρήματα, τα οποία είχεν υποσχεθή στον βασιλέα. Ο Σωστρατος όμως, ο διοικητής της ακροπόλεως Ιερουσαλήμ, υπενθύμιζεν στον Μενέλαον και απαιτούσε την καταβολήν των χρημάτων,

Β Μακ. 4,28 - πρὸς τοῦτον γὰρ ἦν ἡ τῶν φόρων πρᾶξις, δι᾿ ἣν αἰτίαν οἱ δύο ὑπὸ τοῦ βασιλέως προσεκλήθησαν,

Β Μακ. 4,28 - διότι εις αυτόν είχεν ανατεθή η είσπραξις των φόρων. Δια τούτο εκλήθησαν και οι δυο ενώπιον του βασιλέως.

Β Μακ. 4,29 - καὶ ὁ μὲν Μενέλαος ἀπέλιπε τῆς ἀρχιερωσύνης διάδοχον Λυσίμαχον τὸν ἑαυτοῦ ἀδελφόν, Σώστρατος δὲ Κράτητα τὸν ἐπὶ τῶν Κυπρίων.

Β Μακ. 4,29 - Ο Μενέλαος αφήκεν ως αντικαταστάτην του εις την αρχιερωσύνην τον αδελφόν του Λυσίμαχον, ο δε Σωστρατος ως αντικαταστάτην του εις την διοίκησιν της ακροπόλεως τον Κράτητα διοικητήν των Κυπρίων.

Β Μακ. 4,30 - τοιούτων δὲ συνεστηκότων, συνέβη Ταρσεῖς καὶ Μαλλώτας στασιάζειν διὰ τὸ Ἀντιοχίδι τῇ παλλακῇ τοῦ βασιλέως ἐν δωρεᾷ δεδόσθαι.

Β Μακ. 4,30 - Ενῷ αυτά συνέβαιναν, οι κάτοικοι της Ταρσού και της Μαλλώτας επανεστάτησαν, διότι αι δύο αυταί πόλεις είχαν δοθή από τον βασιλέα ως δώρον εις την Αντιοχίδα την παλλακήν του.

Β Μακ. 4,31 - θᾶττον οὖν ὁ βασιλεὺς ἧκε καταστεῖλε τὰ πράγματα, καταλιπὼν τὸν διαδεχόμενον Ἀνδρόνικον τῶν ἐν ἀξιώματι κειμένων.

Β Μακ. 4,31 - Ο βασιλεύς επήλθε ταχέως, δια να καταστείλη την επανάστασιν και αφήκεν ως αντικαταστάτην του τον Ανδρόνικον, ένα από τους επισήμους αξιωματούχους του.

Β Μακ. 4,32 - νομίσας δὲ ὁ Μενέλαος εἰληφέναι καιρὸν εὐφυῆ, χρυσώματά τινα τῶν τοῦ ἱεροῦ νοσφισάμενος ἐχαρίσατο τῷ Ἀνδρονίκῳ καὶ ἕτερα ἐτύγχανε πεπρακὼς εἴς τε Τύρον καὶ τὰς κύκλῳ πόλεις.

Β Μακ. 4,32 - Ο Μενέλαος ενόμισεν ότι είναι πρόσφορος η περίστασις δια την υπόθεσίν του και αφήρεσεν από τον ναόν μερικά χρυσά δοχεία, και ένα μέρος έδωκεν στον Ανδρόνικον, τα δε άλλα επώλησε εις την Τυρον και εις τας γύρω από αυτήν πόλεις.

Β Μακ. 4,33 - ἃ καὶ σαφῶς ἐπεγνωκὼς ὁ Ὀνίας, παρήλεγχεν ἀποκεχωρηκὼς εἰς ἄσυλον τόπον ἐπὶ Δάφνης τῆς πρὸς Ἀντιόχειαν κειμένης.

Β Μακ. 4,33 - Ο Ονίας, όταν έμαθε σαφώς την νέαν αυτήν ιεροσυλίαν του Μενελάου, τον επέπληξε δριμύτατα, αφού προηγουμένως είχε καταφύγει εις ασφαλή απαραβίαστον ιερόν τόπον, εις την Δαφνην, η οποία ευρίσκετο πλησίον της Αντιοχείας.

Β Μακ. 4,34 - ὅθεν ὁ Μενέλαος λαβὼν ἰδίᾳ τὸν Ἀνδρόνικον, παρεκάλει χειρώσασθαι τὸν Ὀνίαν. ὁ δὲ παραγενόμενος ἐπὶ τὸν Ὀνίαν καὶ πεισθεὶς ἐπὶ δόλῳ καὶ δεξιὰς μεθ᾿ ὅρκων δούς, καίπερ ἐν ὑποψίᾳ κείμενος, ἔπεισεν ἐκ τοῦ ἀσύλου προελθεῖν, ὃν καὶ παραχρῆμα παρέκλεισεν οὐκ αἰδεσθεὶς τὸ δίκαιον.

Β Μακ. 4,34 - Δια τούτο την ασφάλειάν του επιδιώκων και ο Μενέλαος επέτυχε να κερδίση υπέρ εαυτού τον Ανδρόνικον, τον οποίον και παρεκάλει να φονεύση τον Ονίαν. Ο Ανδρόνικος ήλθεν εις την Δαφνην πλησίον του Ονίου. Επείσθη να επιδιώξη την επιτυχίαν του σκοπού του με τρόπον δόλιον. Ετεινε λοιπόν προς αυτόν την δεξιάν και του ωρκίσθη φιλίαν. Ο Ανδρόνικος, αν και είχε πεισθή δια την αθωότητα του Ονίου, τον έπεισε να εξέλθη από τον απαραβίαστον ιερόν τόπον. Αμέσως δε και τον εφόνευσε και κατεπάτησεν έτσι κάθε θείον και ανθρώπινον δίκαιον.

Β Μακ. 4,35 - δι᾿ ἣν αἰτίαν οὐ μόνον Ἰουδαῖοι, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἐθνῶν ἐδείναζον καὶ ἐδυσφόρουν ἐπὶ τῷ τοῦ ἀνδρὸς ἀδίκῳ φόνῳ.

Β Μακ. 4,35 - Δια την δολίαν εγκληματικήν αυτήν πράξιν όχι μόνον οι Ιουδαίοι αλλά και πολλοί από τους εθνικούς ηγανάκτησαν και εδυσφόρησαν δια τον άδικον θάνατον του ανδρός.

Β Μακ. 4,36 - τοῦ δὲ βασιλέως ἐπανελθόντος ἀπὸ τῶν κατὰ Κιλικίαν τόπων, ἐνετύγχανον οἱ κατὰ πόλιν Ἰουδαῖοι, συμμισοπονηρούντων καὶ τῶν Ἑλλήνων ὑπὲρ τοῦ παρὰ λόγον τὸν Ὀνίαν ἀπεκτάνθαι.

Β Μακ. 4,36 - Οταν δε ο βασιλεύς επέστρεψεν από τους τόπους της Κιλικίας, οι Ιουδαίοι της Αντιοχείας και άλλοι από τους ειδωλολατρικούς λαούς, οι οποίοι εμισούσαν το κακόν, παρουσιάσθησαν στον βασιλέα και εζήτουν εκδίκησιν δια τον αδίκως φονευθέντα Ονίαν.

Β Μακ. 4,37 - ψυχικῶς οὖν ὁ Ἀντίοχος ἐπιλυπηθεὶς καὶ τραπεὶς εἰς ἔλεον καὶ δακρύσας διὰ τὴν τοῦ μετηλλαχότος σωφροσύνην καὶ πολλὴν εὐταξίαν

Β Μακ. 4,37 - Ο Αντίοχος κατεθλίβη βαθύτατα, ησθάνθη συμπόνοιαν και έκλαυσε δια τον φόνον του σώφρονος και εναρέτου Ονίου.

Β Μακ. 4,38 - καὶ πυρωθεὶς τοῖς θυμοῖς, παραχρῆμα τὴν τοῦ Ἀνδρονίκου πορφύραν περιελόμενος καὶ τοὺς χιτῶνας περιῤῥήξας, περιαγαγὼν καθ᾿ ὅλην τὴν πόλιν, ἐπ᾿ αὐτὸ τὸν τόπον, οὗπερ εἰς τὸν Ὀνίαν ἠσέβησεν, ἐκεῖ τὸν μιαιφόνον ἀπεκόσμησε, τοῦ Κυρίου τὴν ἀξία αὐτῷ κόλασιν ἀποδόντος.

Β Μακ. 4,38 - Αναψε από τον θυμόν του, διέταξε και αφήρεσαν αμέσως την βασιλικήν πορφύραν από τον Ανδρόνικον, του έσχισαν τα ενδύματά του και τον περιέφεραν καθ' όλην την πόλιν. Επειτα δε στον τόπον εκείνον, όπου είχε διαπράξει την μεγάλην ασέβειαν εναντίον του Ονίου, εκεί τον ασεβή αυτόν καθήρεσεν από κάθε αξίωμα και τον εφόνευσεν. Ετσι δε ο Κυριος ανταπέδωκεν εις αυτόν την πρέπουσαν τιμωρίαν.

Β Μακ. 4,39 - γενομένων δὲ πολλῶν ἱεροσυλυμάτων κατὰ τὴν πόλιν ὑπὸ τοῦ Λυσιμάχου μετὰ τῆς Μενελάου γνώμης καὶ διαδοθείσης ἔξω τῆς φήμης, ἐπισυνήχθη τὸ πλῆθος ἐπὶ τὸν Λυσίμαχον, χρυσωμάτων ἤδη πολλῶν διενηνεγμένων.

Β Μακ. 4,39 - Επειδή πάρα πολλά ιερά αντικείμενα είχον συληθή και επωλούντο εις την πόλιν της Αντιοχείας από τον Λυσίμαχον, σύμφωνα και με την θέλησιν του Μενελάου, το πλήθος εξηγέρθη σύσσωμον εναντίον του Λυσιμάχου, διότι πολλά ιερά χρυσά δοχεία είχαν διασκορπισθή εις την πόλιν.

Β Μακ. 4,40 - ἐπεγειρομένων δὲ τῶν ὄχλων καὶ ταῖς ὀργαῖς διεμπιπλαμένων, καθοπλίσας ὁ Λυσίμαχος πρὸς τρισχιλίους, κατήρξατο χειρῶν ἀδίκων, προηγησαμένου τινὸς τυράννου προβεβηκότος τὴν ἡλικίαν, οὐδὲν δὲ ἧττον καὶ τὴν ἄνοιαν.

Β Μακ. 4,40 - Ο Λυσίμαχος, όταν είδε να εξεγείρωνται οι όχλοι εναντίον του και τα πνεύματα του λαού να είναι εξωργισμένα, ώπλισε τρεις χιλιάδας άνδρας και ήρχισε να βιαιοπραγή εναντίον του λαού, έχων προπορευόμενον κάποιον τύραννον, προχωρημένον εις την ηλικίαν όχι δε ολιγώτερον και εις την αφροσύνην.

Β Μακ. 4,41 - συνιδόντες δὲ καὶ τὴν ἐπίθεσιν τοῦ Λυσιμάχου, συναρπάσαντες οἱ μὲν πέτρους, οἱ δὲ ξύλων πάχη, τινὲς δὲ ἐκ τῆς

παρακειμένης σποδοῦ δρασσόμενοι, φύρδην ἐνετίνασσον εἰς τοὺς περὶ τὸν Λυσίμαχον·

Β Μακ. 4,41 - Οταν ο λαός είδεν αυτήν την επίθεσιν του Λυσιμάχου, ήρπασαν άλλοι μεν λίθους άλλοι δε χονδρά ξύλα, άλλοι δε επήραν στάκτην η οποία ευρέθη κάπου εκεί, και έρριπτον αυτά φύρδην μίγδην εναντίον των περί τον Λυσίμαχον ανδρών.

Β Μακ. 4,42 - δι᾿ ἣν αἰτίαν πολλοὺς μὲν αὐτῶν τραυματίας ἐποίησαν, τινὰς δὲ καὶ κατέβαλον, πάντας δὲ εἰς φυγὴν συνήλασαν, αὐτὸν δὲ τὸν ἱερόσυλον παρὰ τὸ γαζοφυλάκιον ἐχειρώσαντο.

Β Μακ. 4,42 - Με την επίθεσίν των αυτήν οι άνθρωποι του λαού μεγάλον αριθμόν εκ των ανδρών του Λυσιμάχου ετραυμάτισαν, μερικούς δε και εφόνευσαν, όλους τους άλλους τους έτρεψαν εις φυγήν, αυτόν δε τον ιερόσυλον άνδρα τον έσφαξαν πλησίον του θησαυροφυλακίου.

Β Μακ. 4,43 - περὶ δὲ τούτων ἐνέστη κρίσις πρὸς τὸν Μενέλαον.

Β Μακ. 4,43 - Επειτα δε από τα γεγονότα αυτά, ήρχισε μία δίκη εναντίον του Μενελάου.

Β Μακ. 4,44 - καταντήσαντος δὲ τοῦ βασιλέως εἰς Τύρον, ἐπ᾿ αὐτοῦ τὴν δικαιολογίαν ἐποιήσαντο οἱ πεμφθέντες ἄνδρες τρεῖς ὑπὸ τῆς γερουσίας.

Β Μακ. 4,44 - Οταν ο βασιλεύς ήλθεν εις την Τυρον, οι τρεις άνδρες, που είχαν σταλή από την γερουσίαν, εξέθεσαν το δίκαιον της υποθέσεώς των.

Β Μακ. 4,45 - ἤδη δὲ λελειμμένος ὁ Μενέλαος ἐπηγγείλατο χρήματα ἱκανὰ τῷ Πτολεμαίῳ τῷ Δορυμένους πρὸς τὸ πεῖσαι τὸν βασιλέα.

Β Μακ. 4,45 - Εν μέσω των δυσκόλων αυτών περιστάσεων ευρισκόμενος ο Μενέλαος υπεσχέθη στον Πτολεμαίον, υιόν του Δορυμένους, μεγάλο χρηματικόν ποσόν, δια να μεταπείση και καταστήση τον βασιλέα ευμενή προς αυτόν.

Β Μακ. 4,46 - ὅθεν ἀπολαβὼν ὁ Πτολεμαῖος εἴς τι περίστυλον ὡς ἀναψύξοντα τὸν βασιλέα μετέθηκε,

Β Μακ. 4,46 - Ο Πτολεμαίος επήρε τον βασιλέα ιδιαιτέρως εις κάποιον περίστυλον με την πρόθεσιν να τον δροσίση και εκεί κατώρθωσε να μεταβάλη την απόφασιν αυτού.

Β Μακ. 4,47 - καὶ τὸν μὲν τῆς ὅλης κακίας Μενέλαον ἀπέλυσε τῶν κατηγορημάτων, τοῖς δὲ ταλαιπώροις, οἵτινες, εἰ καὶ ἐπὶ Σκυθῶν ἔλεγον, ἀπελύθησαν ἂν ἀκατάγνωστοι, τούτοις θάνατον ἐπέκρινε.

Β Μακ. 4,47 - Και τον μεν Μενέλαον, τον αίτιον όλης αυτής της συμφοράς, εκήρυξεν αθώον από τας αποδοθείσας εις αυτόν κατηγορίας, τους δε ταλαιπώρους εκείνους κατεδίκασεν εις θάνατον, οι οποίοι εάν το ζήτημά των παρουσίαζον και εις αυτούς ακόμη τους βαρβάρους Σκύθας, θα απελύοντο ως αθώοι.

Β Μακ. 4,48 - ταχέως οὖν τὴν ἄδικον ζημίαν ὑπέσχον οἱ ὑπὲρ πόλεως καὶ δήμων καὶ τῶν ἱερῶν σκευῶν προαγορεύσαντες.

Β Μακ. 4,48 - Ετσι δε οι άνδρες, οι οποίοι είχαν αγωνισθή υπέρ της πόλεως, υπέρ του λαού και των ιερών σκευών, υπέστησαν αμέσως την άδικον αυτήν τιμωρίαν.

Β Μακ. 4,49 - δι᾿ ἣν αἰτίαν καὶ Τύριοι μισοπονηρήσαντες τὰ πρὸς τὴν κηδείαν αὐτῶν μεγαλοπρεπῶς ἐχορήγησαν.

Β Μακ. 4,49 - Και αυτοί άκομα οι κάτοικοι της Τυρου εμίσησαν και απεδοκίμασαν την παράνομον αυτήν πράξιν του βασιλέως και εις ένδειξιν της αγανακτήσεώς των εχορήγησαν τα έξοδα δια μεγαλοπρεπή κηδείαν των θυμάτων.

Β Μακ. 4,50 - ὁ δὲ Μενέλαος διὰ τὰς τῶν κρατούντων πλεονεξίας ἔμενεν ἐπὶ τῆς ἀρχῆς ἐπιφυόμενος τῇ κακίᾳ, μέγας τῶν πολιτῶν ἐπίβουλος καθεστώς.

Β Μακ. 4,50 - Ο δε Μενέλαος, ικανοποιούσε πάντοτε τας πλεονεξίας των κατεχόντων την εξουσίαν και έμενεν στο αξίωμά του, ηύξανε κατά την κακίαν και κατέστη μέγας εχθρός και επίβουλος των συμπολιτών του.

Β ΜΑΚΚΑΒΑΙΩΝ 5

Β Μακ. 5,1 - Περὶ δὲ τὸν καιρὸν τοῦτον τὴν δευτέραν ἔφοδον ὁ Ἀντίοχος εἰς Αἴγυπτον ἐστείλατο.

Β Μακ. 5,1 - Κατά την περίοδον αυτήν ο Αντίοχος προπαρεσκεύαζε την δευτέραν έφοδόν του εναντίον της Αιγύπτου.

Β Μακ. 5,2 - συνέβη δὲ καθ᾿ ὅλην τὴν πόλιν σχεδὸν ἐφ᾿ ἡμέρας τεσσαράκοντα φαίνεσθαι διὰ τοῦ ἀέρος τρέχοντας ἱππεῖς διαχρύσους στολὰς ἔχοντας καὶ λόγχας σπειρηδὸν ἐξωπλισμένους

Β Μακ. 5,2 - Συνέβη δε τούτο το παράδοξον τότε. Εις όλην την πόλιν Ιερουσαλήμ επί τεσσαράκοντα σχεδόν ημέρας εφαίνοντο να τρέχουν επάνω στον αέρα ιππείς, που είχαν χρυσάς στολάς, και ήσαν ωργανωμένοι σαν εις ρωμαϊκάς σπείρας και ωπλισμένοι με λόγχας.

Β Μακ. 5,3 - καὶ ἴλας ἵππων διατεταγμένας καὶ προσβολὰς γινομένας καὶ καταδρομὰς ἑκατέρων καὶ ἀσπίδων κινήσεις καὶ καμάκων πλήθη καὶ μαχαιρῶν σπασμοὺς καὶ βελῶν βολὰς καὶ χρυσῶν κόσμων ἐκλάμψεις καὶ παντοίους θωρακισμούς.

Β Μακ. 5,3 - Εφαίνοντο επίσης ίλαι ιππικού παρατεταγμένοι ως προς μάχην, εγίνοντο επιθέσεις και καταδρομαί και από τα δύο μέρη, κινήσεις ασπίδων, πλήθη από λόγχας, μάχαιραι που ανεσύροντο από τας θήκας των, ρίψεις βελών, απαστράπτουσαι αναλαμπαί χρυσών οπλών και παντός είδους θώρακες.

Β Μακ. 5,4 - διὸ πάντες ἠξίουν ἐπ᾿ ἀγαθῷ τὴν ἐπιφάνειαν γενέσθαι.

Β Μακ. 5,4 - Ολοι δε ικέτευον τον Θεόν να αποβούν εις αγαθόν της πόλεως αι εμφανίσεις αυταί.

Β Μακ. 5,5 - γενομένης δὲ λαλιᾶς ψευδοῦς ὡς μετηλλαχότος τὸν βίον Ἀντιόχου παραλαβὼν ὁ Ἰάσων οὐκ ἐλάττους τῶν χιλίων, αἰφνιδίως ἐπὶ τὴν πόλιν συνετελέσατο ἐπίθεσιν· τῶν δὲ ἐπὶ τῷ τείχει συνελασθέντων καὶ τέλος ἤδη καταλαμβανομένης τῆς πόλεως, ὁ Μενέλαος εἰς τὴν ἀκρόπολιν ἐφυγάδευσεν.

Β Μακ. 5,5 - Επειδή τότε διεδόθη και η ψευδής είδησις περί του θανάτου του Αντιόχου, ο Ιάσων παρέλαβεν όχι ολιγωτέρους από χιλίους άνδρας, ήλθε και επετέθη αιφνιδίως εναντίον της Ιερουσαλήμ. Οι αμυνόμενοι εις τα τείχη απωθήθησαν και η πόλις επρόκειτο να καταληφθή. Τοτε ο Μενέλαος, δια να σωθή, κατέφυγεν εις την ακρόπολιν.

Β Μακ. 5,6 - ὁ δὲ Ἰάσων ἐποιεῖτο σφαγὰς τῶν πολιτῶν τῶν ἰδίων ἀφειδῶς, οὐ συννοῶν τὴν εἰς τοὺς συγγενεῖς εὐημερίαν δυσημερίαν εἶναι τὴν μεγίστην· δοκῶν δὲ πολεμίων καὶ οὐχ ὁμοεθνῶν τρόπαια καταβάλλεσθαι,

Β Μακ. 5,6 - Ο Ιάσων, όταν εισήλθεν εις την πόλιν, επεδόθη εις ανηλεείς σφαγάς των συμπολιτών του, μη σκεπτόμενος ότι μία επιτυχία εις βάρος των συμπολιτών του είναι μεγίστη δυστυχία. Είχε δε την νοσηράν αντίληψιν, ότι επέτυχε τρόπαια εναντίον εχθρών και όχι εναντίον ομοεθνών!

Β Μακ. 5,7 - τῆς μὲν ἀρχῆς οὐκ ἐκράτησε, τὸ δὲ τέλος τῆς ἐπιβουλῆς αἰσχύνην λαβών, φυγὰς πάλιν εἰς τὴν Ἀμμανῖτιν ἀπῆλθε.

Β Μακ. 5,7 - Παρ' όλα όμως αυτά δεν κατώρθωσε να κρατήση την εξουσίαν. Το δε αποτέλεσμα της επιδρομής του ήτο ο εξευτελισμός του. Και εξόριστος κατέφυγε πάλιν εις την χώραν των Αμμανιτών.

Β Μακ. 5,8 - πέρας οὖν κακῆς ἀναστροφῆς ἔτυχεν ἐγκλεισθεὶς πρὸς Ἀρέταν τὸν τῶν Ἀράβων τύῤῥανον, πόλιν ἐκ πόλεως φεύγων, διωκόμενος ὑπὸ πάντων καὶ στυγούμενος ὡς τῶν νόμων ἀποστάτης καὶ βδελυσσόμενος ὡς πατρίδος καὶ πολιτῶν δήμιος, εἰς Αἴγυπτον ἐξεβράσθη.

Β Μακ. 5,8 - Το δε τέρμα της εγκληματικής του ζωής και αναστροφής ήτο τούτο· εκλείσθη από τον Αρέταν, τον βασιλέα των Αράβων, εις φυλακήν. Εδραπέτευσεν από εκεί και περιεπλανήθη από πόλεως εις πόλιν καταδιωκόμενος υπό πάντων και μισούμενος ως αποστάτης από τους νόμους του Θεού, βδελυσσόμενος από όλους ως δήμιος της πατρίδος και των συμπολιτών του, εξεβράσθη εις την Αίγυπτον.

Β Μακ. 5,9 - καὶ ὁ συχνοὺς τῆς πατρίδος ἀποξενώσας ἐπὶ ξένης ἀπώλετο πρὸς Λακεδαιμονίους ἀναχθεὶς ὡς διὰ τὴν συγγένειαν τευξόμενος σκέπης.

Β Μακ. 5,9 - Και αυτός, ο οποίος πολλούς απεξένωσεν από την πατρίδα των, απωλέσθη εις ξένην χώραν, εις την Λακεδαίμονα, όπου είχε μεταβή με

την ελπίδα, ότι θα εύρη καταφύγιον στηριζόμενος εις την προς αυτούς συγγένειάν του.

Β Μακ. 5,10 - καὶ ὁ πλῆθος ἀτάφων ἐκρίψας ἀπένθητος ἐγενήθη καὶ κηδείας οὐδ᾿ ἡστινοσοῦν οὔτε πατρῴου τάφου μετέσχε.

Β Μακ. 5,10 - Ετσι δε εκείνος ο οποίος έρριψε κατά γης πλήθος ατάφων ανθρώπων, έμεινεν απένθητος. Κανείς δεν έκαμε δι' αυτόν ούτε την παραμικροτέραν επικήδειον τελετήν, ούτε και ενεταφιάσθη εις πατρικόν τάφον.

Β Μακ. 5,11 - Προσπεσόντων δὲ τῷ βασιλεῖ περὶ τῶν γεγονότων διέλαβεν ἀποστατεῖν τὴν Ἰουδαίαν. ὅθεν ἀναζεύξας ἐξ Αἰγύπτου τεθηριωμένος τῇ ψυχῇ, ἔλαβε τὴν μὲν πόλιν δορυάλωτον,

Β Μακ. 5,11 - Οταν όμως τα γεγονότα αυτά έπεσαν εις την αντίληψιν του βασιλέως, αυτός επίστευσεν ότι η Ιουδαία είχεν αποστατήσει. Ανεχώρησε, λοιπόν, αμέσως από την Αίγυπτον θηρίον κατά την καρδίαν και κατόπιν μάχης κατέλαβε την Ιερουσαλήμ.

Β Μακ. 5,12 - καὶ ἐκέλευσε τοῖς στρατιώταις κόπτειν ἀφειδῶς τοὺς ἐμπίπτοντας καὶ τοὺς εἰς τὰς οἰκίας ἀναβαίνοντας κατασφάζειν.

Β Μακ. 5,12 - Διέταξε δε τους στρατιώτας του, να κατακάψουν ανηλεως εκείνους, οι οποίοι θα έπιπτον εις τα χέρια των, και να κατασφάζουν εκείνους που, δια να εύρουν σωτηρίαν, θα ανέβαιναν εις τας στέγας των οικιών.

Β Μακ. 5,13 - ἐγίνοντο δὲ νέων καὶ πρεσβυτέρων ἀναιρέσεις, ἀνδρῶν τε καὶ γυναικῶν καὶ τέκνων ἀφανισμός, παρθένων τε καὶ νηπίων σφαγαί.

Β Μακ. 5,13 - Ετσι δε έγιναν πολυάριθμοι εκτελέσεις νέων και γερόντων, ανδρών και γυναικών. Παιδιά εξηφανίσθησαν, νήπια και παρθένοι εσφάγησαν.

Β Μακ. 5,14 - ὀκτὼ δὲ μυριάδες ἐν ταῖς πάσαις ἡμέραις τρισὶ κατεφθάρησαν· τέσσαρες μὲν ἐκ χειρῶν νομαῖς, οὐχ ἧττον δὲ τῶν ἐσφαγμένων ἐπράθησαν.

Β Μακ. 5,14 - Ογδοήκοντα χιλιάδες εις διάστημα τριών ημερών εχάθησαν, εκ των οποίων τεσσαράκοντα χιλιάδες εσφάγησαν και οχι ολιγώτεροι από τους θανατωθέντας επωλήθησαν δούλοι.

Β Μακ. 5,15 - καὶ οὐκ ἀρκεσθεὶς δὲ τούτοις κατετόλμησεν εἰς τὸ πάσης τῆς γῆς ἁγιώτατον ἱερὸν εἰσελθεῖν, ὁδηγὸν ἔχων τὸν Μενέλαον, τὸν καὶ τῶν νόμων καὶ τῆς πατρίδος προδότην γεγονότα

Β Μακ. 5,15 - Ο βασιλεύς δεν ηρκέσθη εις τας εγκληματικάς αυτάς πράξεις αλλ' απετόλμησε και να εισέλθη στον ναόν, τον αγιώτατον αυτόν τόπον όλης της οικουμένης, έχων ως οδηγόν τον Μενέλαον, ο οποίος εγίνετο προδότης των νόμων και της πατρίδος του.

Β Μακ. 5,16 - καὶ ταῖς μιαραῖς χερσὶ τὰ ἱερὰ σκεύη λαμβάνων καὶ τὰ ὑπ᾿ ἄλλων βασιλέων ἀνατεθέντα πρὸς αὔξησιν καὶ δόξαν τοῦ τόπου καὶ

τιμὴν ταῖς βεβήλοις χερσὶ συσσύρων ἐπεδίδου.

Β Μακ. 5,16 - Επαιρνε με τα μιαρά του χέρια τα ιερά σκεύη, τα οποία από άλλους βασιλείς είχαν αφιερωθή δια το μεγαλείον και την δόξαν του ιερού τούτου, και αφού τα αποσπούσεν αναιδώς τα παρέδιδεν εις βέβηλα χέρια.

Β Μακ. 5,17 - καὶ ἐμετεωρίζετο τὴν διάνοιαν ὁ Ἀντίοχος, οὐ συνορῶν ὅτι διὰ τὰς ἁμαρτίας τῶν τὴν πόλιν οἰκούντων ἀπώργισται βραχέως ὁ Δεσπότης, διὸ γέγονε περὶ τὸν τόπον παρόρασις.

Β Μακ. 5,17 - Ο Αντίοχος ηλαζονεύετο εσωτερικώς δια τα εγκληματικά του αυτά έργα, διότι δεν εννοούσεν ότι εξ αιτίας των αμαρτιών των κατοίκων της πόλεως είχεν οργισθή ο Κυρίας δια βραχύ χρονικόν διάστημα και είχεν αποστρέψει το βλέμμα του και την προστασίαν του από τον ιερόν αυτόν τόπον.

Β Μακ. 5,18 - εἰ δὲ μὴ συνέβαινε προσενέχεσθαι πολλοῖς ἁμαρτήμασι, καθάπερ ὁ Ἡλιόδωρος ὁ πεμφθεὶς ὑπὸ Σελεύκου τοῦ βασιλέως ἐπὶ τὴν ἐπίσκεψιν τοῦ γαζοφυλακίου, οὗτος προαχθεὶς παραχρῆμα μαστιγωθεὶς ἀνετράπη τοῦ θράσους.

Β Μακ. 5,18 - Εάν δεν συνέβαινε να είναι αυτοί οι Ισραηλίται ένοχοι πολλών αμαρτημάτων, θα εμαστιγώνετο και αυτός ο Αντίοχος, όπως εμαστιγώθη ο Ηλιόδωρος, ο οποίος είχεν αποστολή από τον βασιλέα Σέλευκον, δια να πάρη τα χρήματα του θησαυροφυλακίου του ναού, και έτσι θα απετρέπετο από τας θρασείας του πράξεις.

Β Μακ. 5,19 - ἀλλ᾽ οὐ διὰ τὸν τόπον τὸ ἔθνος, ἀλλὰ διὰ τὸ ἔθνος τὸν τόπον ὁ Κύριος ἐξελέξατο.

Β Μακ. 5,19 - Αλλά ο Θεός δεν εξέλεξε τον λαόν του προς χάριν του ιερού τούτου τόπου, αλλά τον ιερόν χώρον πρυς χάριν του λαού του.

Β Μακ. 5,20 - διόπερ καὶ αὐτὸς ὁ τόπος συμμετασχὼν τῶν τοῦ ἔθνους δυσπετημάτων γενομένων, ὕστερον εὐεργετημάτων ὑπὸ τοῦ Κυρίου ἐκοινώνησε, καὶ ὁ καταληφθεὶς ἐν τῇ τοῦ Παντοκράτορος ὀργῇ πάλιν ἐν τῇ τοῦ μεγάλου Δεσπότου καταλλαγῇ μετὰ πάσης δόξης ἐπανωρθώθη.

Β Μακ. 5,20 - Επειδή δε ο τόπος αυτός συμμετέσχε κατά κάποιον τρόπον εις τας ταλαιπωρίας του λαού, ύστερον συμμετέσχε και εις τας υπό του Κυρίου σταλείσας ευεργεσίας ο τόπος αυτός, ο οποίος εγκατελείφθη λόγω της οργής του παντοδυνάμου Θεού, πάλιν χάρις εις την συμφιλίωσιν του λαού προς τον Υψιστον επανωρθώθη και αποκατεστάθη με όλην του την δόξαν.

Β Μακ. 5,21 - ὁ γοῦν Ἀντίοχος ὀκτακόσια πρὸς τοῖς χιλίοις ἀπενεγκάμενος ἐκ τοῦ ἱεροῦ τάλαντα θᾶττον εἰς Ἀντιόχειαν ἐχωρίσθη, οἰόμενος ἀπὸ τῆς ὑπερηφανίας τὴν μὲν γῆν πλωτὴν καὶ τὸ πέλαγος πορευτὸν θέσθαι διὰ τὸν μετεωρισμὸν τῆς καρδίας.

Β Μακ. 5,21 - Ο Αντίοχος, λοιπόν, αφού έλαβεν από τον ιερόν ναόν χίλια οκτακόσια τάλαντα επανήλθε ταχέως εις την Αντιόχειαν νομίσας μέσα εις την σύγχυσιν της μεγάλης του υπερηφανείας, ότι θα κάμη την μεν ξηράν πλωτήν την δε θάλασσαν βατήν, ως εάν ήτο ξηρά.

Β Μακ. 5,22 - κατέλιπε δὲ καὶ ἐπιστάτας τοῦ κακοῦν τὸ γένος, ἐν μὲν Ἱεροσολύμοις Φίλιππον τὸ μὲν γένος Φρύγα, τὸν δὲ τρόπον βαρβαρώτερον ἔχοντα τοῦ καταστήσαντος,

Β Μακ. 5,22 - Αφήκε δε ως στρατιωτικούς επόπτας, δια να βασανίσουν τον ισραηλιτικόν λαόν εις μεν την Ιερουσαλήμ τον Φιλιππον τον καταγόμενον από το γένος των Φρυγών, ο οποίος ήτο κατά τους τρόπους βαρβαρώτερος από εκείνον, που τον είχεν εγκαταστήσει,

Β Μακ. 5,23 - ἐν δὲ Γαριζὶν Ἀνδρόνικον, πρὸς δὲ τούτοις Μενέλαον, ὃς χείριστα τῶν ἄλλων ὑπερῄρετο τοῖς πολίταις, ἀπεχθῆ δὲ πρὸς τοὺς πολίτας Ἰουδαίους ἔχων διάθεσιν.

Β Μακ. 5,23 - εις δε την Γαριζίν αφήκε τον Ανδρόνικον, επί δε τούτοις αφήκε και τον Μενέλαον, ο οποίος ήτο πολύ περισσότερον από τους άλλους αλαζονικός, δι' όσα κακά έκαμεν εναντίον των συμπολιτών του και έτρεφε πάντοτε αισθήματα μοχθηρίας και μίσους εναντίον των συμπολιτών του Ιουδαίων.

Β Μακ. 5,24 - ἔπεμψε δὲ τὸν μυσάρχην Ἀπολλώνιον μετὰ στρατεύματος δισμυρίων πρὸς τοῖς δισχιλίοις, προστάξας τοὺς ἐν ἡλικίᾳ πάντας κατασφάξαι, τὰς δὲ γυναῖκας καὶ νεωτέρους πωλεῖν.

Β Μακ. 5,24 - Εστειλε και τον βδελυρόν Απολλώνιον επικεφαλής στρατού εικοσιδύο χιλιάδων ανδρών, και έδωσεν εις αυτόν την εντολήν να κατασφάξη όλους τους Ιουδαίους άνδρας, που θα ευρίσκοντο εις την ακμήν της ηλικίας των, να πωλήση δε τας γυναίκας και τα παιδιά ως δούλους.

Β Μακ. 5,25 - οὗτος δὲ παραγενόμενος εἰς Ἱεροσόλυμα καὶ τὸν εἰρηνικὸν ὑποκριθείς, ἐπέσχεν ἕως τῆς ἁγίας ἡμέρας τοῦ σαββάτου καὶ λαβὼν ἀργοῦντας τοὺς Ἰουδαίους τοῖς ὑφ᾿ ἑαυτὸν ἐξοπλησίαν παρήγγειλε

Β Μακ. 5,25 - Ο Απολλώνιος, όταν έφθασεν εις την Ιερουσαλήμ, υπεκρίθη τον ειρηνικόν και ειρηνόφιλον, συνεκρατήθη μέχρι της αγίας ημέρας του Σαβάτου, οπότε είδε τους Ισραηλίτας να ευρίσκωνται εις την σαββατιαίαν αργίαν. Διέταξε, λοιπόν, αυτός τότε τα στρατεύματά του να αναλάβουν τα όπλα.

Β Μακ. 5,26 - καὶ τοὺς ἐξελθόντας πάντας ἐπὶ τὴν θεωρίαν συνεξεκέντησε καὶ εἰς τὴν πόλιν σὺν τοῖς ὅπλοις εἰσδραμὼν ἱκανὰ κατέστρωσε πλήθη.

Β Μακ. 5,26 - Ολους δε τους Ιουδαίους, οι οποίοι εξήλθον, δια να ίδουν την στρατιωτικήν παράταξιν, διέταξε και τους εφόνευσαν. Κατόπιν δε εισέδραμε και περιτρέχων την πόλιν με τους στρατιώτας του εθανάτωσε πλήθος Ισραηλιτών.

Β Μακ. 5,27 - Ἰούδας δὲ ὁ Μακκαβαῖος δέκατός που γενηθεὶς καὶ ἀναχωρήσας εἰς τὴν ἔρημον, θηρίων τρόπον ἐν τοῖς ὄρεσι διέζη σὺν τοῖς μετ᾿ αὐτοῦ, καὶ τὴν χορτώδη τροφὴν σιτούμενοι διετέλουν πρὸς τὸ μὴ μετασχεῖν τοῦ μολυσμοῦ.

Β Μακ. 5,27 - Τοτε δε ο Ιούδας ο Μακκαβαίος μαζή με δέκα άλλους ανεχώρησεν εις την έρημον και εζούσε με τους άλλους συντρόφους του, όπως τα άγρια θηρία. Αυτοί ετρέφοντο με χόρτα μόνον, δια να μη μολυνθούν με τα ακάθαρτα φαγητά των εθνικών.

Β ΜΑΚΚΑΒΑΙΩΝ 6

Β Μακ. 6,1 - Μετ᾿ οὐ πολὺν δὲ χρόνον ἐξαπέστειλεν ὁ βασιλεὺς γέροντα Ἀθηναῖον ἀναγκάζειν τοὺς Ἰουδαίους μεταβαίνειν ἐκ τῶν πατρώων νόμων καὶ τοῖς τοῦ Θεοῦ νόμοις μὴ πολιτεύεσθαι,

Β Μακ. 6,1 - Επειτα από ολίγον χρόνον ο βασιλεύς έστειλε κάποιον γέροντα Αθηναίον, δια να εξαναγκάση τους Ιουδαίους να αποπηδήσουν από τους πατροπαραδότους νόμους και να μη ζουν πλέον σύμφωνα με τας εντολάς του Θεού.

Β Μακ. 6,2 - μολῦναι δὲ καὶ τὸν ἐν Ἱεροσολύμοις νεὼν καὶ προσονομάσαι Διὸς Ὀλυμπίου καὶ τὸν ἐν Γαριζίν, καθὼς ἐτύγχανον οἱ τὸν τόπον οἰκοῦντες, Διὸς Ξενίου.

Β Μακ. 6,2 - Εδωσεν επίσης εντολήν στον Αθηναίον αυτόν, να μολύνη τον ναόν της Ιερουσαλήμ και να τον μετονομάση ναόν του Ολυμπίου Διός, τον δε εις Γαριζίν ναόν να τον μετονομάση ναόν του Ξενίου Διός, σύμφωνα με τον φιλόξενον χαρακτήρα των κατοίκων της περιοχής.

Β Μακ. 6,3 - χαλεπὴ δὲ καὶ τοῖς ὅλοις ἦν καὶ δυσχερὴς ἡ ἐπίτασις τῆς κακίας.

Β Μακ. 6,3 - Η επίτασις των δεινών υπήρξε και δι' αυτό το πολύ πλήθος καταθλιπτική και ανυπόφορος.

Β Μακ. 6,4 - τὸ μὲν γὰρ ἱερὸν ἀσωτίας καὶ κώμων ἐπεπλήρωτο ὑπὸ τῶν ἐθνῶν ῥαθυμούντων μεθ᾿ ἑταιρῶν καὶ ἐν τοῖς ἱεροῖς περιβόλοις γυναιξὶ πλησιαζόντων, ἔτι δὲ τὰ μὴ καθήκοντα ἔνδον φερόντων.

Β Μακ. 6,4 - Διότι ο ιερός ναός εγέμισεν από ασωτίας και μέθας υπό των ειδωλολατρών, οι οπρίοι διεσκέδαζον με εταίρας και επλησίαζον τας γυναίκας μέσα στους ιερούς περιβόλους του ναού. Εφερον δε αυτοί εντός του ναού πράγματα, τα οποία δεν επετρέπετο.

Β Μακ. 6,5 - τὸ δὲ θυσιαστήριον τοῖς ἀποδιεσταλμένοις ἀπὸ τῶν νόμων ἀθεμίτοις ἐπεπλήρωτο.

Β Μακ. 6,5 - Και αυτό το θυσιαστήριον των ολοκαυτωμάτων ήτο γεμάτον από αντικείμενα και σφάγια, τα οποία απηγορεύοντο από τον Νομον.

Β Μακ. 6,6 - ἦν δ᾽ οὔτε σαββατίζειν οὔτε πατρῴους ἑορτὰς διαφυλάττειν οὔτε ἁπλῶς Ἰουδαῖον ὁμολογεῖν εἶναι.
Β Μακ. 6,6 - Δεν ήτο δυνατόν δε ούτε τα Σαββατα και τας άλλας εορτάς να τηρούν οι Ισραηλίται ούτε και απλώς καν να ομολογούν ότι ήσαν Ιουδαίοι.
Β Μακ. 6,7 - ἤγοντο δὲ μετὰ πικρᾶς ἀνάγκης εἰς τὴν κατὰ μῆνα τοῦ βασιλέως γενέθλιον ἡμέραν ἐπὶ σπλαγχνισμόν· γενομένης δὲ Διονυσίων ἑορτῆς ἠναγκάζοντο οἱ Ἰουδαῖοι κισσοὺς ἔχοντες πομπεύειν τῷ Διονύσῳ.
Β Μακ. 6,7 - Εξηναγκάζοντο δε υπό της πίκρας ανάγκης να συμμετέχουν κάθε μήνα στον εορτασμόν της γενεθλίου ημέρας του βασιλέως και να τρώγουν από τα σπλάγχνα των προσφερομένων εις θυσίαν ζώων. Κατά δε την εορτήν του Διονύσου ηναγκάζοντο οι Ιουδαίοι, να μετέχουν εις την πομπήν στεφανωμένοι με κισσούς προς τιμήν του Διονύσου.
Β Μακ. 6,8 - ψήφισμα δὲ ἐξέπεσεν εἰς τὰς ἀστυγείτονας πόλεις Ἑλληνίδας Πτολεμαίου ὑποτιθεμένου τὴν αὐτὴν ἀγωγὴν κατὰ τῶν Ἰουδαίων ἄγειν καὶ σπλαγνίζειν,
Β Μακ. 6,8 - Εκοινοποιήθη δε διάταγμα εις τας γειτονικάς ελληνικάς πόλεις τη προτροπή των ανθρώπων του Πτολεμαίου να εφαρμοσθούν τα αυτά μέτρα εναντίον των Ισραηλιτών και να οδηγούνται αυτοί και εις τα συμπόσια και να τρώγουν από τα σπλάγχνα των ζώων των ειδωλολατρικών θυσιών·
Β Μακ. 6,9 - τοὺς δὲ μὴ προαιρουμένους μεταβαίνειν ἐπὶ τὰ Ἑλληνικὰ κατασφάζειν. παρῆν οὖν ὁρᾶν τὴν ἐνεστῶσαν ταλαιπωρίαν.
Β Μακ. 6,9 - να κατασφάζωνται δε εκείνοι από τους Ιουδαίους, οι οποίοι δεν θα συνεμορφώνοντο προς τα ελληνικά έθιμα. Κοινόν θέαμα είχε καταντήσει η παρούσα αθλιεστάτη κατάστασις των Ιουδαίων.
Β Μακ. 6,10 - δύο γὰρ γυναῖκες ἀνηνέχθησαν περιτετμηκυῖαι τὰ τέκνα αὐτῶν· τούτων δὲ ἐκ τῶν μαστῶν κρεμάσαντες τὰ βρέφη καὶ δημοσίᾳ περιαγαγόντες αὐτὰς τὴν πόλιν κατὰ τοῦ τείχους ἐκρήμνισαν.
Β Μακ. 6,10 - Δυο γυναίκες συνελήφθησαν, διότι είχον κάμει περιτομήν εις τα τέκνα των. Αυτά τα βρέφη οι ειδωλολάτραι τα εκρέμασαν από τους μαστούς των μητέρων, τας περιέφεραν δημοσία ανά την πόλιν και κατόπιν τας εκρήμνισαν από τα τείχη.
Β Μακ. 6,11 - ἕτεροι δὲ πλησίον συνδραμόντες εἰς τὰ σπήλαια λεληθότως ἄγειν τὴν ἑβδομάδα, μηνυθέντες τῷ Φιλίππῳ συνεφλογίσθησαν διὰ τὸ εὐλαβῶς ἔχειν βοηθῆσαι ἑαυτοῖς κατὰ τὴν δόξαν τῆς σεμνοτάτης ἡμέρας.
Β Μακ. 6,11 - Αλλοι δε οι οποίοι είχαν καταφύγει εις τα εκεί πλησίον σπήλαια, δια να τηρήσουν κρυφίως την αργίαν του Σαβάτου, κατηγγέλθησαν στον Φιλιππον και εκάησαν όλοι, χωρίς να θελήσουν να αμυνθούν δια λόγους τιμής και σεβασμού προς την αγιότητα της ημέρας.

Β Μακ. 6,12 - Παρακαλῶ οὖν τοὺς ἐντυγχάνοντας τῇδε τῇ βίβλῳ, μὴ συστέλλεσθαι διὰ τὰς συμφοράς, λογίζεσθαι δὲ τὰς τιμωρίας μὴ πρὸς ὄλεθρον, ἀλλὰ πρὸς παιδείαν τοῦ γένους ἡμῶν εἶναι·

Β Μακ. 6,12 - Παρακαλώ όμως όσους θα μελετήσουν όσα αναγράφονται στο βιβλίον αυτό, να μη αποκαρδωθούν εξ αιτίας των συμφορών, αλλά να θεωρήσουν αυτάς ότι είναι οχι προς καταστροφήν αλλά προς παιδαγωγίαν του γένους μας.

Β Μακ. 6,13 - καὶ γὰρ τὸ μὴ πολὺν χρόνον ἐᾶσθαι τοὺς δυσσεβοῦντας, ἀλλ᾿ εὐθέως περιπίπτειν ἐπιτιμίοις, μεγάλης εὐεργεσίας σημεῖόν ἐστιν.

Β Μακ. 6,13 - Διότι το να μη αφήνη ο Θεός επί πολύν χρόνον τους αμαρτάνοντας ατιμωρήτους, αλλά να αποστέλλη εναντίον αυτών τιμωρίας, είναι δείγμα μεγάλης ευεργεσίας εκ μέρους του Θεού.

Β Μακ. 6,14 - οὐ γὰρ καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν ἀναμένει μακροθυμῶν ὁ δεσπότης μέχρι τοῦ καταντήσαντας αὐτοὺς πρὸς ἐκπλήρωσιν ἁμαρτιῶν κολάσαι, οὕτω καὶ ἐφ᾿ ἡμῶν ἔκρινεν εἶναι,

Β Μακ. 6,14 - Διότι ο Κυριος και Δεσπότης δεν φέρεται προς ημάς, όπως και προς τα άλλα έθνη, δια τα οποία αναμένει με υπομονήν να εκπληρώσουν το μέτρον των αδικιών των και κατόπιν να τους τιμωρήση. Δεν κρίνει και δεν ενεργεί κατά τον ίδιον τρόπον και προς ημάς ο Θεόν

Β Μακ. 6,15 - ἵνα μὴ πρὸς τέλος ἀφικομένων ἡμῶν τῶν ἁμαρτιῶν ὕστερον ἡμᾶς ἐκδικᾷ.

Β Μακ. 6,15 - Και δεν μας αφήνει να φθάσωμεν στο ύψος της κακίας εκείνων, ύστερον δε να μας τιμωρήση.

Β Μακ. 6,16 - διόπερ οὐδέποτε μὲν τὸν ἔλεον αὐτοῦ ἀφ᾿ ἡμῶν ἀφίστησι, παιδεύων δὲ μετὰ συμφορᾶς οὐκ ἐγκαταλείπει τὸν ἑαυτοῦ λαόν.

Β Μακ. 6,16 - Δι' αυτό ακριβώς και ποτέ δεν απομακρύνει το έλεος αυτού από ημά και δεν εγκαταλείπει τον λαόν του.

Β Μακ. 6,17 - πλὴν ἕως ὑπομνήσεως ταῦθ᾿ ἡμῖν εἰρήσθω· δι᾿ ὀλίγων δ᾿ ἐλευστέον ἐπὶ τὴν διήγησιν.

Β Μακ. 6,17 - Αυτά λέγονται εις υπόμνησιν της μεγάλης αυτής αληθείας. Μετά δε τα ολίγα αυτά ας επανέλθωμεν τώρα εις την διήγησίν μας.

Β Μακ. 6,18 - Ἐλεάζαρός τις τῶν πρωτευόντων γραμματέων, ἀνὴρ ἤδη προβεβηκὼς τὴν ἡλικίαν καὶ τὴν πρόσοψιν τοῦ προσώπου κάλλιστος τυγχάνων, ἀναχανὼν ἠναγκάζετο φαγεῖν ὕειον κρέας.

Β Μακ. 6,18 - Ενας από τους πρώτους γραμματείς της χώρας, Ελεάζαρος ονόματι, ετύχαινε να είναι προχωρημένος πλέον εις την ηλικίαν και με εξωτερικήν εμφάνισιν επιβλητικήν. Αυτός εξηναγκάζετο βιαίως να ανοίξη το στόμα του, δια να φάγη κρέας χοιρινόν.

Β Μακ. 6,19 - ὁ δὲ τὸν μετ᾿ εὐκλείας θάνατον μᾶλλον ἢ τὸν μετὰ μύσους βίον ἀναδεξάμενος, αὐθαιρέτως ἐπὶ τὸ τύμπανον προσῆγε, προπτύσας δὲ

Β Μακ. 6,19 - Αλλ' αυτός επροτίμησε μάλλον τον ένδοξον θάνατον παρά μίαν βδελυράν ζωήν, και εβάδισεν αυτοπροαιρέτως προς το βασανιστικόν όργανον του μαρτυρικού θανάτου και απέπτυσε το κρέας.

Β Μακ. 6,20 - καθ᾽ ὃν ἔδει τρόπον προσέρχεσθαι τοὺς ὑπομένοντας ἀμύνεσθαι, ὧν οὐ θέμις γεύσασθαι διὰ τὴν πρὸς τὸν ζῆν φιλοστοργίαν.

Β Μακ. 6,20 - Επροχώρησε δε προς τον θάνατον, όπως εκείνοι που έχουν πάρει σταθεράν την απόφασιν να αρνηθούν ο,τι δεν επιτρέπεται να γευθή κανείς, όσην αγάπην και αν έχουν προς την ζωήν.

Β Μακ. 6,21 - οἱ δὲ πρὸς τῷ παρανόμῳ σπλαγνισμῷ τεταγμένοι διὰ τὴν ἐκ τῶν παλαιῶν χρόνων πρὸς τὸν ἄνδρα γνῶσιν ἀπολαβόντες αὐτὸν κατ᾽ ἰδίαν παρεκάλουν ἐνέγκατα κρέα, οἷς καθῆκον αὐτῷ χρήσασθαι, δι᾽ αὐτοῦ παρασκευασθέντα, ὑποκριθῆναι δὲ ὡς ἐσθίοντα τὰ ὑπὸ τοῦ βασιλέως προστεταγμένα τῶν ἀπὸ τῆς θυσίας κρεῶν,

Β Μακ. 6,21 - Οι τεταγμένοι δε ειδωλολάτραι, που προΐσταντο εις τα παράνομα αυτά συμπόσια των θυσιών, επειδή από μακρού χρόνου είχαν γνωρίσει και εκτιμήσει τον άνδρα, τον παρέλαβαν ιδιαιτέρως και τον παρεκάλουν να φέρη αυτός κρέατα από εκείνα τα οποία επιτρέπεται να φάγη και αφού τα παρασκευάσουν επίτηδες δι' αυτόν, να υποκριθή ότι τρώγει τα υπό του βασιλέως διαταχθέντα κρέατα από τας ειδωλολατρικάς θυσίας·

Β Μακ. 6,22 - ἵνα τοῦτο πράξας ἀπολυθῇ τοῦ θανάτου καὶ διὰ τὴν ἀρχαίαν πρὸς αὐτοὺς φιλίαν τύχῃ φιλανθρωπίας.

Β Μακ. 6,22 - ώστε να πράξη τούτο και να απαλλαγή από την θανατικήν καταδίκην. Αυτό δε του το επρότειναν δια την αρχαίαν προς αυτούς φιλίαν του και ήθελαν να τύχη της φιλανθρώπου αυτής συμπεριφοράς.

Β Μακ. 6,23 - ὁ δὲ λογισμὸν ἀστεῖον ἀναλαβὼν καὶ ἄξιον τῆς ἡλικίας καὶ τῆς τοῦ γήρως ὑπεροχῆς καὶ τῆς ἐπικτήτου καὶ ἐπιφανοῦς πολιᾶς καὶ τῆς ἐκ παιδὸς καλλίστης ἀναστροφῆς, μᾶλλον δὲ τῆς ἁγίας καὶ θεοκτίστου νομοθεσίας ἀκολούθως ἀπεφῄνατο, ταχέως λέγων προπέμπειν εἰς τὸν ᾅδην.

Β Μακ. 6,23 - Αυτός όμως εσκέφθη με πολλήν σύνεσιν και έλαβεν απόφασιν αξίαν της ηλικίας του, της υπεροχής που του έδιδαν τα γηρατεία του, της λευκανθείσης κόμης του στους αγώνας της αρετής, της αγωγής της αρίστης που είχε λάβει από της παιδικής του ηλικίας και προ παντός έλαβεν υπ' όψιν την αγίαν νομοθεσίαν, που εδόθη από αυτόν τον ίδιον τον Θεόν, απήντησεν ως ακολούθως, λέγων να τον στείλουν χωρίς αργοπορίαν στον άδην.

Β Μακ. 6,24 - οὐ γὰρ τῆς ἡμετέρας ἡλικίας ἄξιόν ἐστιν ὑποκριθῆναι, ἵνα πολλοὶ τῶν νέων ὑπολαβόντες Ἐλεάζαρον τὸν ἐνενηκονταετῆ μεταβεβηκέναι εἰς ἀλλοφυλισμὸν

Β Μακ. 6,24 - “Δεν είναι αξιοπρεπές δια την ηλικίαν μου να υποκριθώ· και τούτο δια να μη νομίσουν πολλοί από τους νεαρούς Ιουδαίους, ότι εγώ ο ενενηκοντούτης Ελεάζαρος μετεπήδησα και ησπάσθην τας ειδωλολατρικάς συνηθείας.

Β Μακ. 6,25 - καὶ αὐτοὶ διὰ τὴν ἐμὴν ὑπόκρισιν καὶ διὰ τὸν μικρὸν καὶ ἀκαριαῖον ζῆν πλανηθῶσι δι᾿ ἐμέ, καὶ μύσος καὶ κηλῖδα τοῦ γήρως κατακτήσομαι.

Β Μακ. 6,25 - Εάν κάτι τέτοιο πράξω, αυτοί λόγω της ιδικής μου υποκρισίας, δια να ζήσω ένα μικρόν υπόλοιπον της παρούσης ζωής, θα παραπλανηθούν εξ αιτίας μου και έτσι εγώ θα αποκτήσω την βδελυράν αυτήν κηλίδα στον καιρόν των γηρατείων μου.

Β Μακ. 6,26 - εἰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος ἐξελοῦμαι τὴν ἐξ ἀνθρώπων τιμωρίαν, ἀλλὰ τὰς τοῦ Παντοκράτορος χεῖρας οὔτε ζῶν οὔτε ἀποθανὼν ἐκφεύξομαι.

Β Μακ. 6,26 - Αλλά και εάν διαφύγω επί του παρόντος την τιμωρίαν των ανθρώπων, δεν θα αποφύγω τα χέρια του Παντοκράτορος Θεού, ούτε ζων ούτε αποθανών.

Β Μακ. 6,27 - διόπερ ἀνδρείως μὲν νῦν διαλλάξας τὸν βίον τοῦ μὲν γήρως ἄξιος φανήσομαι,

Β Μακ. 6,27 - Δια τούτο, εάν τώρα ηρωϊκώς και ανδρείως δια την πίστιν μου τελειώσω την ζωήν μου, θα αναδειχθώ άξιος των γηρατείων μου,

Β Μακ. 6,28 - τοῖς δὲ νέοις ὑπόδειγμα γενναῖον καταλελοιπὼς εἰς τὸ προθύμως καὶ γενναίως ὑπὲρ τῶν σεμνῶν καὶ ἁγίων νόμων ἀπευθανατίζειν. τοσαῦτα δὲ εἰπὼν ἐπὶ τὸ τύμπανον εὐθέως ἦλθε.

Β Μακ. 6,28 - εις δε τους νέους θα αφήσω γενναίον παράδειγμα, ώστε αυτοί προθύμως και γενναίως να θυσιάζουν ενδόξως την ζωήν των, υπέρ των σεμνών και αγίων νόμων”. Αυτά δε αφού είπε εβάδισε κατ' ευθείαν προς το τύμπανον, το μαρτυρικόν όργανον.

Β Μακ. 6,29 - τῶν δὲ ἀγόντων τὴν μικρῷ πρότερον εὐμένειαν πρὸς αὐτὸν εἰς δυσμένειαν μεταβαλόντων διὰ τὸ τοὺς προειρημένους λόγους, ὡς αὐτοὶ διελάμβανον, ἀπόνοιαν εἶναι,

Β Μακ. 6,29 - Εκείνοι δέ, που θα τον ωδηγούσαν στο μαρτύριον μετέβαλαν την προτέραν αυτών ευμένειαν εις σκληρότητα, επειδή εθεώρησαν τους λόγους, που προηγουμένως ελέχθησαν, ως προϊόντα γεροντικής ανοίας.

Β Μακ. 6,30 - μέλλων δὲ ταῖς πληγαῖς τελευτᾶν, ἀναστενάξας εἶπε· τῷ Κυρίῳ τῷ τὴν ἁγίαν γνῶσιν ἔχοντι φανερόν ἐστιν ὅτι δυνάμενος ἀπολυθῆναι τοῦ θανάτου, σκληρὰς ὑποφέρω κατὰ τὸ σῶμα ἀλγηδόνας μαστιγούμενος, κατὰ ψυχὴν δὲ ἡδέως διὰ τὸν αὐτοῦ φόβον ταῦτα πάσχω.

Β Μακ. 6,30 - Οταν δε έφθασεν η στιγμή να αποθάνη από τας μαρτυρικάς πληγάς ανεστέναξε και είπεν· “Είναι ολοφάνερον στον Κυριον, ο οποίος έχει την αγίαν και αληθή γνώσιν, ότι καίτοι ημπορούσα να διαφύγω τον μαρτυρικόν θάνατον, υποφέρω σκληρούς πόνους κατά το σώμα μαστιγούμενος, αλλά κατά την ψυχήν ευχαρίστως υπομένω αυτά δια τον σεβασμόν μου προς τον Θεόν”.

Β Μακ. 6,31 - καὶ οὗτος οὖν τοῦτον τὸν τρόπον μετήλλαξεν, οὐ μόνον τοῖς νέοις, ἀλλὰ καὶ τοῖς πλείστοις τοῦ ἔθνους τὸν ἑαυτοῦ θάνατον ὑπόδειγμα γενναιότητος καὶ μνημόσυνον ἀρετῆς καταλιπών.

Β Μακ. 6,31 - Αυτός λοιπόν ο γέρων έτσι εξεδήμησεν άφησας με τον ηρωϊκόν του θάνατον παράδειγμα θάρρους και αρετήν άξιον μνήμης και μιμήσεως, οχι δε μόνον δια τους νεαρούς Ιουδαίους, αλλά και δια τους πλείστους του έθνους, δι' όλον τον λαόν.

Β ΜΑΚΚΑΒΑΙΩΝ 7

Β Μακ. 7,1 - Συνέβη δὲ καὶ ἑπτὰ ἀδελφοὺς μετὰ τῆς μητρὸς συλληφθέντας ἀναγκάζεσθαι ὑπὸ τοῦ βασιλέως ἀπὸ τῶν ἀθεμίτων ὑείων κρεῶν ἐφάπτεσθαι μάστιξι καὶ νευραῖς αἰκιζομένους.

Β Μακ. 7,1 - Συνέβη δε κατά τον καιρόν εκείνον να συλληφθούν επτά αδελφοί μαζή με την μητέρα των και να εξαναγκάζωνται υπό του βασιλέως να φάγουν τα απαγορευομένα από τον Νομον χοιρινά κρέατα, βασανιζόμενοι δια κτυπημάτων με μαστίγια και με νευράς.

Β Μακ. 7,2 - εἷς δὲ αὐτῶν γενόμενος προήγορος οὕτως ἔφη· τί μέλλεις ἐρωτᾶν καὶ μανθάνειν παρ᾿ ἡμῶν; ἕτοιμοι γὰρ ἀποθνῄσκειν ἐσμὲν ἢ παραβαίνειν τοὺς πατρίους νόμους.

Β Μακ. 7,2 - Ενας δε από αυτούς ο πρώτος, εξ ονόματος και των άλλων αδελφών ομιλών, είπε προς τον βασιλέα· “τι θέλεις να ερωτάς και να μάθης από ημάς; Ημείς είμεθα έτοιμοι να αποθάνωμεν, παρά να παραβώμεν τους πατροπαραδότους νόμους μας”.

Β Μακ. 7,3 - ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς προσέταξε τήγανα καὶ λέβητας ἐκπυροῦν.

Β Μακ. 7,3 - Από μεγάλην οργήν εκυριεύθη ο βασιλεύς και διέταξε να θέσουν εις την φωτιάν και να πυρακτώσουν τηγάνια και λέβητας.

Β Μακ. 7,4 - τῶν δὲ παραχρῆμα ἐκπυρωθέντων, παραχρῆμα τὸν γενόμενον αὐτῶν προήγορον προσέταξε γλωσσοτομεῖν καὶ περισκυθίσαντες ἀκρωτηριάζειν, τῶν λοιπῶν ἀδελφῶν καὶ τῆς μητρὸς συνορώντων.

Β Μακ. 7,4 - Οταν αυτά αμέσως επυρακτώθησαν, διέταξεν ο βασιλεύς να κόψουν την γλώσσαν εκείνου, ο οποίος έτσι πρώτος είχεν ομιλήσει, έπειτα

δε διέταξε και αφαιρέθη το δέρμα της κεφαλής του και του έκοψαν χέρια και πόδια υπό τα βλέμματα των άλλων αδελφών του και της μητρός του.

Β Μακ. 7,5 - ἄχρηστον δὲ αὐτὸν τοῖς ὅλοις γενόμενον ἐκέλευσε τῇ πυρᾷ προσάγειν ἔμπνουν καὶ τηγανίζειν. τῆς δὲ ἀτμίδος ἐφ᾿ ἱκανὸν διαδιδούσης τοῦ τηγάνου, ἀλλήλους παρεκάλουν σὺν τῇ μητρὶ γενναίως τελευτᾶν λέγοντες οὕτως·

Β Μακ. 7,5 - Οταν δε αυτός δεν ημπορούσε πλέον καθόλου να κινηθή, μόλις δε και ανέπνεε, διέταξεν ο βασιλεύς να τον ρίψουν εις την πυράν, δια να τον τηγανίσουν. Καθ' ον δε χρόνον ο ατμός από το τηγάνι ανεδίδετο επί μακρόν εις την γύρω περιοχήν, οι αδελφοί του μαζή με την μητέρα του παρακινούσαν ο ένας τον άλλον να αποθάνουν ηρωϊκώς λέγοντες τα εξής·

Β Μακ. 7,6 - ὁ Κύριος ὁ Θεὸς ἐφορᾷ καὶ ταῖς ἀληθείαις ἐφ᾿ ἡμῖν παρακαλεῖται, καθάπερ διὰ τῆς κατὰ πρόσωπον ἀντιμαρτυρούσης ᾠδῆς διεσάφησε Μωυσῆς λέγων· καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Β Μακ. 7,6 - “Κυριος ο Θεός βλέπει και είναι πράγματι ελεήμων και ευσυμπάθητος προς ημάς, όπως ο Μωϋσής σαφώς διεκήρυξεν εις την ωδήν, εις την οποίαν ενώπιον όλου του Ισραηλιτικού λαού διελάλησε λέγων· ο Κυριος σπλαγχνίζεται και ελεεί τους δούλους του”.

Β Μακ. 7,7 - μεταλλάξαντος δὲ τοῦ πρώτου τὸν τρόπον τοῦτον, τὸν δεύτερον ἦγον ἐπὶ τὸν ἐμπαιγμὸν καὶ τὸ τῆς κεφαλῆς δέρμα σὺν ταῖς θριξὶ περισύραντες ἐπηρώτων· εἰ φάγεσαι πρὸ τοῦ τιμωρηθῆναι τὸ σῶμα κατὰ μέλος;

Β Μακ. 7,7 - Οταν κατ' αυτόν τον μαρτυρικόν τρόπον εξεδήμησεν ο πρώτος αδελφός, ωδήγησαν οι άνθρωποι του βασιλέως τον δεύτερον αδελφόν προς το μαρτύριον. Αφού δε εξερρίζωσαν το δέρμα της κεφαλής με τας τρίχας, τον ερωτούσαν εάν συγκατατίθεται να φάγη χοιρινόν κρέας, πριν βασανισθή και εις ένα έκαστον από τα άλλα μέλη του σώματός του.

Β Μακ. 7,8 - ὁ δὲ ἀποκριθεὶς τῇ πατρίῳ φωνῇ εἶπεν· οὐχί· διόπερ καὶ οὗτος τὴν ἑξῆς ἔλαβε βάσανον ὡς ὁ πρῶτος.

Β Μακ. 7,8 - Αυτός απεκρίθη εις την πατρικήν του γλώσσαν και είπεν· “όχι”. Δια τούτο και αυτός υπέστη με την σειράν του το μαρτύριον, όπως και ο πρώτος.

Β Μακ. 7,9 - ἐν ἐσχάτῃ δὲ πνοῇ γενόμενος εἶπε· σὺ μὲν ἀλάστωρ ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν ἀπολύεις, ὁ δὲ τοῦ κόσμου βασιλεὺς ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ νόμων εἰς αἰώνιον ἀναβίωσιν ζωῆς ἡμᾶς ἀναστήσει.

Β Μακ. 7,9 - Οταν δε έπνεε πλέον τα λοίσθια, είπε προς τον βασιλέα· “συ μέν, αλιτήριε, αφαιρείς από ημάς την παρούσαν ζωήν, ο βασιλεύς όμως του κόσμου θα μας αναστήση εις μίαν αιωνίαν ζωήν, εφ' όσον ημείς απεθάνομεν, δια να μείνωμεν πιστοί στους νόμους του”.

Β Μακ. 7,10 - μετὰ δὲ τοῦτον ὁ τρίτος ἐνεπαίζετο καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως προέβαλε καὶ τὰς χεῖρας εὐθαρσῶς προέτεινε

Β Μακ. 7,10 - Επειτα δε από αυτόν εβασανίσθη ο τρίτος αδελφός. Οταν δε ο δήμιος του εζήτησε να εξαγάγη αμέσως την γλώσσαν του και τας χείρας του, δια να του τα κόψουν, εκείνος τα επρότεινε με θάρρος

Β Μακ. 7,11 - καὶ γενναίως εἶπεν· ἐξ οὐρανοῦ ταῦτα κέκτημαι καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑπερορῶ ταῦτα καὶ παρ᾿ αὐτοῦ ταῦτα πάλιν ἐλπίζω κομίσασθαι·

Β Μακ. 7,11 - και ηρωϊκώς είπεν· “έχω πάρει τα μέλη αυτά από τον ουράνιον Θεόν και χάριν του νόμου του Θεού δεν τα λογαριάζω, διότι πιστεύω ότι από τον Θεόν θα τα αποκτήσω πάλιν κάποτε”.

Β Μακ. 7,12 - ὥστε αὐτὸν τὸν βασιλέα καὶ τοὺς σὺν αὐτῷ ἐκπλήσσεσθαι τὴν τοῦ νεανίσκου ψυχήν, ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο.

Β Μακ. 7,12 - Ητο δε τόσον το θάρρος του, ώστε και ο ίδιος ο βασιλεύς και εκείνοι οι οποίοι τον ακολουθούσαν, εξεπλάγησαν με τον ηρωϊσμόν του νέου αυτού, ο οποίος εις ουδέν υπελόγιζε τους πόνους από τα βασανιστήρια.

Β Μακ. 7,13 - καὶ τούτου δὲ μεταλλάξαντος, τὸν τέταρτον ὡσαύτως ἐβασάνιζον αἰκιζόμενοι.

Β Μακ. 7,13 - Οταν αυτός εξεδήμησεν, έφεραν και με τον ίδιον τρόπον ήρχισαν να βασανίζουν με πληγάς τον τέταρτον υιόν.

Β Μακ. 7,14 - καὶ γενόμενος πρὸς τὸ τελευτᾶν οὕτως ἔφη· αἱρετὸν μεταλλάσσοντα ὑπ᾿ ἀνθρώπων τὰς ὑπὸ τοῦ Θεοῦ προσδοκᾶν ἐλπίδας πάλιν ἀναστήσεσθαι ὑπ᾿ αὐτοῦ· σοὶ μὲν γὰρ ἀνάστασις εἰς ζωὴν οὐκ ἔσται.

Β Μακ. 7,14 - Οταν δε και εκείνος επλησίαζε να αποθάνη, ομίλησε κατ' τον τον τρόπον προς τον βασιλέα· “είναι προτιμότερον να πεθαίνη κανείς από τα χέρια των ανθρώπων με την ελπίδα που έχει προς τον Θεόν ότι και πάλιν θα αναστηθή από εκείνον. Δια σε όμως, βασιλεύ, η ανάστασίς σου δεν θα είναι προς ζωήν”.

Β Μακ. 7,15 - ἐχομένως δὲ τὸν πέμπτον προσάγοντες ᾐκίζοντο.

Β Μακ. 7,15 - Εν συνεχεία δε ωδηγήθη ο πέμπτος υιός, τον οποίον και ήρχισαν να βασανίζουν.

Β Μακ. 7,16 - ὁ δὲ πρὸς αὐτὸν ἰδὼν εἶπεν· ἐξουσίαν ἐν ἀνθρώποις ἔχων φθαρτὸς ὤν, ὃ θέλεις ποιεῖς· μὴ δόκει δὲ τὸ γένος ἡμῶν ὑπὸ τοῦ Θεοῦ καταλελεῖφθαι.

Β Μακ. 7,16 - Αυτός ατενίσας προς τον βασιλέα είπεν· “έχεις την δύναμιν μεταξύ των ανθρώπων, αν και είσαι θνητός, και ημπορείς να πράξης ο,τι θέλεις. Μη νομίσης όμως ότι το γένος μας έχει εγκαταλειφθή από τον Θεόν.

Β Μακ. 7,17 - σὺ δὲ καρτέρει καὶ θεώρει τὸ μεγαλεῖον αὐτοῦ κράτος, ὡς σὲ καὶ τὸ σπέρμα σου βασανίσει.

Β Μακ. 7,17 - Περίμενε δε συ και θα ίδης την μεγαλειώδη δύναμιν του Θεού, πόσον σε και τους απογόνους σου θα βασανίση”.

Β Μακ. 7,18 - μετὰ δὲ τοῦτον ἦγον τὸν ἕκτον, καὶ μέλλων ἀποθνήσκειν ἔφη· μὴ πλανῶ μάτην, ἡμεῖς γὰρ δι᾿ ἑαυτοὺς ταῦτα πάσχομεν ἁμαρτάνοντες εἰς τὸν ἑαυτῶν Θεόν, διὸ ἄξια θαυμασμοῦ γέγονε.

Β Μακ. 7,18 - Επειτα από αυτόν έφεραν προς το μαρτύριον τον έκτον αδελφόν. Οταν δε και αυτός επρόκειτο να αποθάνη, είπε προς τον βασιλέα· “μη πλανάσαι ματαίως. Ημείς από τον εαυτόν μας υποφέρομεν αυτά, διότι έχομεν αμαρτήσει ενώπιον του Θεού μας, δια τούτο επήλθον εναντίον μας τα καταπληκτικά αυτά κακά.

Β Μακ. 7,19 - σὺ δὲ μὴ νομίσῃς ἀθῷος ἔσεσθαι θεομαχεῖν ἐπιχειρήσας.

Β Μακ. 7,19 - Αλλά και συ μη φαντασθής, ότι θα μείνης ατιμώρητος, εφ' όσον ανέλαβες και έκαμες πόλεμον εναντίον του Θεού”.

Β Μακ. 7,20 - ὑπεραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία, ἥτις ἀπολλυμένους υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας εὐψύχως ἔφερε διὰ τὰς ἐπὶ Κύριον ἐλπίδας.

Β Μακ. 7,20 - Παρα πολύ αξιοθαύμαστος και αξία της πλέον αγαθής μνήμης ήτο η μητέρα, η οποία, καίτοι έβλεπε να αποθνήσκουν τα παιδιά της εις διάστημα μιας ημέρας, απέμεινε γενναίως τα μαρτύρια των παιδιών της, διότι εστήριζε τας ελπίδας της στον Κυριον.

Β Μακ. 7,21 - ἕκαστον δὲ αὐτῶν παρεκάλει τῇ πατρίῳ φωνῇ γενναίῳ πεπληρωμένη φρονήματι καὶ τὸν θῆλυν λογισμὸν ἄρσενι θυμῷ διεγείρασα, λέγουσα πρὸς αὐτούς·

Β Μακ. 7,21 - Αυτή, εις την πατρικήν της γλώσσαν ωμιλούσε και παρακινούσε το καθένα από τα παιδιά της και πλήρης από ευγενέστατα αισθήματα και φρονήματα τα ενεθάρρυνε προς το μαρτύριον, μεταβάλλουσα την γυναικείαν τρυφερότητα εις ανδρικόν θάρρος και έλεγε προς αυτούς·

Β Μακ. 7,22 - οὐκ οἶδ᾿ ὅπως εἰς τὴν ἐμὴν ἐφάνητε κοιλίαν, οὐδὲ ἐγὼ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν ἐχαρισάμην, καὶ τὴν ἑκάστου στοιχείωσιν οὐκ ἐγὼ διεῤῥύθμισα.

Β Μακ. 7,22 - “Δεν γνωρίζω πως έχετε γεννηθή εις την κοιλίαν μου, δεν είμαι εγώ εκείνη που σας έδωσα το πνεύμα και την ζωήν, δεν είμαι εγώ εκείνη οποία ωργάνωσα τα στοιχεία, που αποτελούν το σώμα σας. Αυτά είναι του Θεού δώρα.

Β Μακ. 7,23 - τοιγαροῦν ὁ τοῦ κόσμου κτίστης, ὁ πλάσας ἀνθρώπου γένεσιν καὶ πάντων ἐξευρὼν γένεσιν καὶ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν πάλιν ἀποδώσει μετ᾿ ἐλέους, ὡς νῦν ὑπερορᾶται ἑαυτοὺς διὰ τοὺς αὐτοῦ νόμους.

Β Μακ. 7,23 - Δια τούτο, λοιπόν, ο Δημιουργός του κόσμου, ο οποίος έπλασε τον άνθρωπον και εμόρφωσε το ανθρώπινον γένος, εκείνος ο οποίος έδωσεν αρχήν και ύπαρξιν εις όλα τα πράγματα, αυτός και πάλιν εν τη

ευσπλαγχνία του θα αποδώση εις σας το πνεύμα και την ζωήν, διότι τώρα σεις καταφρονείτε τον εαυτόν σας προς χάριν των νόμων του”.

Β Μακ. 7,24 - ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι καὶ τὴν ὀνειδίζουσαν ὑφορώμενος φωνήν, ἔτι τοῦ νεωτέρου περιόντος, οὐ μόνον διὰ λόγων ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι᾽ ὅρκων ἐπίστου ἅμα πλουτιεῖν καὶ μακαριστὸν ποιήσειν μεταθέμενον ἀπὸ τῶν πατρίων νόμων καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύσειν.

Β Μακ. 7,24 - Ο Αντίοχος επειδή ενόμιζεν ότι κατεφρονείτο και εξηυτελίζετο, και επειδή υπωπτεύετο ότι υβρίζεται με τα λόγια αυτής της μητέρας, ενώ ακόμη ο νεώτερος υιός εζούσεν, όχι μόνον με απλά λόγια τον ενεθάρρυνε και τον εκολάκευε, αλλά και με όρκους υπέσχετο εις αυτόν να τον κάμη πλούσιον και ευτυχή, να τον καταστήση φίλον του, να του εμπιστευθή μεγάλα αξιώματα, εάν εγκαταλείψη τους νόμους των πατέρων του.

Β Μακ. 7,25 - τοῦ δὲ νεανίου μηδαμῶς προσέρχοντος, προσκαλεσάμενος ὁ βασιλεὺς τὴν μητέρα παρῄνει τοῦ μειρακίου γενέσθαι σύμβουλον ἐπὶ σωτηρίᾳ.

Β Μακ. 7,25 - Επειδή όμως ο νεαρός αυτός δεν έδιδε καμμίαν προσοχήν εις τας δελεαστικάς προσφοράς του βασιλέως, εκείνος εκάλεσε την μητέρα και την παρακινούσε να συμβουλεύση το παιδί της, που ήτο μειράκιον ακόμη, και να αποφύγη έτσι τον μαρτυρικόν θάνατον.

Β Μακ. 7,26 - πολλὰ δὲ αὐτοῦ παραινέσαντος ἐπεδέξατο πείσειν τὸν υἱόν.

Β Μακ. 7,26 - Επειδή ο βασιλεύς με πολλούς λόγους την παρακινούσε, η μητέρα εδέχθη να πείση το παιδί της.

Β Μακ. 7,27 - προσκύψασα δὲ αὐτῷ, χλευάσασα τὸν ὠμὸν τύραννον οὕτως ἔφησε τῇ πατρῴᾳ φωνῇ· υἱέ, ἐλέησόν με τὴν ἐν γαστρὶ περιενέγκασάν σε μῆνας ἐννέα καὶ θηλάσασάν σε ἔτη τρία καὶ ἐκθρέψασάν σε καὶ ἀγαγοῦσαν εἰς τὴν ἡλικίαν ταύτην καὶ τροφοφορήσασαν.

Β Μακ. 7,27 - Εκείνη έσκυψε προς το παιδί της, ενέπαιξε τον σκληρόν βασιλέα και κατ' αυτόν τον τρόπον ομίλησε προς το παιδί της εις την γλώσσαν των πατέρων της· “παιδί μου, λυπήσου εμέ, η οποία επί εννέα μήνας σε έφερα εις την κοιλίαν μου. Εμέ, η οποία σε εθήλασα επί τρία έτη, σε ανέθρεψα και σε έφερα έως εις την ηλικίαν αυτήν, που είσαι.

Β Μακ. 7,28 - ἀξιῶσε, τέκνον, ἀναβλέψαντα εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδόντα, γνῶναι ὅτι ἐξ οὐκ ὄντων ἐποίησεν αὐτὰ ὁ Θεὸς καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτως γεγένηται.

Β Μακ. 7,28 - Σε παρακαλώ, λοιπόν, και σε εξορκίζω, παιδί μου, να αναβλέψης στον ουρανόν και εις την γην και να ίδης όλα όσα υπάρχουν εις αυτά. Να γνωρίσης δε καλά, ότι Θεός εδημιούργησεν όλα αυτά εκ του

μηδενός. Επίσης και το γένος των ανθρώπων παρά του Θεού έλαβε την ύπαρξιν.

Β Μακ. 7,29 - μὴ φοβηθῇς τὸν δήμιον τοῦτον, ἀλλὰ τῶν ἀδελφῶν ἄξιος γενόμενος, ἐπίδεξαι τὸν θάνατον, ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί σε.

Β Μακ. 7,29 - Μη φοβηθής, λοιπόν, αυτόν τον δήμιον, αλλά να φανής αντάξιος των αδελφών σου. Δέξαι ηρωϊκώς τον μαρτυρικόν θάνατον, δια να σε επαναποκτήσω πάλιν μαζή με τους αδελφούς σου στον καιρόν του ελέους του Θεού, της αναστάσεως δηλαδή των νεκρών".

Β Μακ. 7,30 - ἔτι δὲ ταύτης καταλεγούσης ὁ νεανίας εἶπε· τίνα μένετε; οὐχ ὑπακούω τοῦ προστάγματος τοῦ βασιλέως, τοῦ δὲ προστάγματος ἀκούω τοῦ νόμου τοῦ δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ Μωυσέως.

Β Μακ. 7,30 - Ενῷ δε ακόμη έλεγεν αυτά εντόνως η μητέρα, ο νεώτερος αυτός αδελφός είπε προς τους δημίους· "τι περιμένετε; Δεν υπακούω εις την προσταγήν του βασιλέως, αλλά υπακούω εις τας εντολάς του Νομου, ο οποίος εδόθη παρά του Θεού δια του Μωϋσέως στους πατέρας μας.

Β Μακ. 7,31 - σὺ δὲ πάσης κακίας εὑρετὴς γενόμενος εἰς τοὺς Ἑβραίους, οὐ μὴ διαφύγῃς τὰς χεῖρας τοῦ Θεοῦ.

Β Μακ. 7,31 - Συ δέ, βασιλεύ, ο οποίος έγινες αιτία και επινοητής όλων αυτών των συμφορών εναντίον των Εβραίων, δεν θα διαφύγης την τιμωρόν χείρα του Θεού.

Β Μακ. 7,32 - ἡμεῖς γὰρ διὰ τὰς ἑαυτῶν ἁμαρτίας πάσχομεν.

Β Μακ. 7,32 - Ημείς πάσχομεν εξ αιτίας των αμαρτιών μας.

Β Μακ. 7,33 - εἰ δὲ χάριν ἐπιπλήξεως καὶ παιδείας ὁ ζῶν Κύριος ἡμῶν βραχέως ἐπώργισται, καὶ πάλιν καταλλαγήσεται τοῖς ἑαυτοῦ δούλοις.

Β Μακ. 7,33 - Εάν δε ο αιωνίως ζων Κυριος μας, δια να μας τιμωρήση και παιδαγωγήση, έδειξε προς στιγμήν μόνον την οργήν του εναντίον μας, πάλιν θα συμφιλιωθή με ημάς τους δούλους του.

Β Μακ. 7,34 - σὺ δέ, ὦ ἀνόσιε καὶ πάντων ἀνθρώπων μιαρώτατε, μὴ μάτην μετεωρίζου φρυαττόμενος ἀδήλοις ἐλπίσιν, ἐπὶ τοὺς δούλους αὐτοῦ ἐπαιρόμενος χεῖρα·

Β Μακ. 7,34 - Συ δέ, ω ανόσιε και μιαρώτατε μεταξύ όλων των ανθρώπων, μη αλαζονεύεσαι ματαίως καυχώμενος και στηριζόμενος εις ψευδείς ελπίδας και υψώνων το φονικόν σου χέρι εναντίον των δούλων του Θεού.

Β Μακ. 7,35 - οὔπω γὰρ τὴν τοῦ Παντοκράτορος ἐπόπτου Θεοῦ, κρίσιν ἐκπέφευγας.

Β Μακ. 7,35 - Διότι δεν εξέφυγες ακόμη την καταδίκην εκ μέρους του παντοκράτορας Θεού, ο οποίος εποπτεύει όλον τον κόσμον και ημάς.

Β Μακ. 7,36 - οἱ μὲν γὰρ νῦν ἡμέτεροι ἀδελφοὶ βραχὺν ὑπενέγκαντες πόνον ἀεννάου ζωῆς ὑπὸ διαθήκην Θεοῦ πεπτώκασι· σὺ δὲ τῇ τοῦ Θεοῦ κρίσει δίκαια τὰ πρόστιμα τῆς ὑπερηφανίας ἀποίσῃ.

Β Μακ. 7,36 - Οι αδελφοί μας υπέμειναν ολιγοχρόνιον πόνον και έχουν πέσει μαρτυρικώς, δια να κερδήσουν την αιωνίαν ζωήν, σύμφωνα με την Διαθήκην του Θεού.

Β Μακ. 7,37 - ἐγὼ δὲ καθάπερ οἱ ἀδελφοί μου καὶ σῶμα καὶ ψυχὴν προδίδωμι περὶ τῶν πατρίων νόμων, ἐπικαλούμενος τὸν Θεὸν ἵλεων ταχὺ τῷ ἔθνει γενέσθαι καὶ σὲ μετὰ ἐτασμῶν καὶ μαστίγων ἐξομολογήσασθαι, διότι μόνος αὐτὸς Θεός ἐστιν,

Β Μακ. 7,37 - Εγώ, όπως και οι άλλοι αδελφοί μου, παραδίδω το σώμα και την ψυχήν προς χάριν των πατροπαραδότων νόμων, παρακαλών τον Θεόν να φανή συντομώτατα ίλεως προς τον λαόν του, να κάμη δε και σέ, με βάσανα και με θλίψεις, στο να ομολογήσης τον αληθινόν Θεόν, διότι αυτός μόνος είναι Θεός.

Β Μακ. 7,38 - ἐν ἐμοὶ δὲ καὶ τοῖς ἀδελφοῖς μου στῆναι τὴν τοῦ Παντοκράτορος ὀργὴν τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν γένος δικαίως ἐπηγμένην.

Β Μακ. 7,38 - Παρακαλώ δε και εύχομαι, εις εμέ και στους αδελφούς μου να σταματήση ο Θεός την οργήν του, η οποία κατά λόγον δικαιοσύνης εξέσπασεν εναντίον του γένους μας”.

Β Μακ. 7,39 - ἔκθυμος δὲ γενόμενος ὁ βασιλεύς, τούτῳ παρὰ τοὺς ἄλλους χειρίστως ἀπήντησε πικρῶς φέρων ἐπὶ τῷ μυκτηρισμῷ.

Β Μακ. 7,39 - Εξαλλος από οργήν έγινεν ο βασιλεύς και διέταξε να βασανισθή ο νεώτερος αυτός αδελφός σκληρότερον από τους άλλους αδελφούς, διότι βαρέως έφερε την περιφρόνησιν εκ μέρους αυτού.

Β Μακ. 7,40 - καὶ οὗτος οὖν καθαρὸς τὸν βίον μετήλλαξε παντελῶς ἐπὶ τῷ Κυρίῳ πεποιθώς.

Β Μακ. 7,40 - Ετσι δε αγνός και καθαρός εξεδήμησεν και ο νεώτερος αυτός αδελφός πλήρως αφωσιωμένος και πιστός στον Θεόν.

Β Μακ. 7,41 - ἐσχάτη δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύτησε.

Β Μακ. 7,41 - Τελευταία δε από τα παιδιά της εξεδημησε μαρτυρικώς και η μητέρα.

Β Μακ. 7,42 - τὰ μὲν οὖν περὶ τοὺς σπλαγνισμούς καὶ τὰς ὑπερβαλλούσας αἰκίας ἐπὶ τοσοῦτον δεδηλώσθω.

Β Μακ. 7,42 - Αυτά μεν λοιπόν που ελέχθησαν δια τον εξαναγκασμόν των πιστών προς συμμετοχήν εις ειδωλολατρικάς θυσίας και τας υπερβολικάς σκληρότητας του Αντιόχου εναντίον των Ιουδαίων, είναι αρκετά.

Β ΜΑΚΚΑΒΑΙΩΝ 8

Β Μακ. 8,1 - Ἰούδας δὲ ὁ Μακκαβαῖος καὶ οἱ σὺν αὐτῷ παρεισπορευόμενοι λεληθότως εἰς τὰς κώμας προσεκαλοῦντο τοὺς συγγενεῖς καὶ τοὺς μεμενηκότας ἐν τῷ Ἰουδαϊσμῷ προσλαβόμενοι συνήγαγον εἰς ἑξακισχιλίους.

Β Μακ. 8,1 - Ο Ιούδας δε ο Μακκαβαίος και οι σύντροφοί του εισήρχοντο κρυφίως εις τας κωμοπόλεις και προσκαλούσαν τους ομοεθνείς κοντά των, αυτούς οι οποίοι είχαν μείνει πιστοί στον ιουδαϊσμόν. Ετσι δε προσέλαβαν και συνεκέντρωσαν εξ χιλιάδας άνδρας.

Β Μακ. 8,2 - καὶ ἐπεκαλοῦντο τὸν Κύριον ἐπιδεῖν ἐπὶ τὸν ὑπὸ πάντων καταπατούμενον λαόν, οἰκτεῖραι δὲ καὶ τὸν ναὸν τὸν ὑπὸ τῶν ἀσεβῶν ἀνθρώπων βεβηλωθέντα,

Β Μακ. 8,2 - Παρακαλούσαν δε τον Κυριον, να επιβλέψη με ευσπλαγχνίαν στον λαόν του, ο οποίος κατεπατείτο από όλα τα έθνη. Να ευσπλαγχνισθή δε και τον ναόν του, ο οποίος είχε βεβηλωθή από ασεβείς ανθρώπους.

Β Μακ. 8,3 - ἐλεῆσαι δὲ καὶ τὴν καταφθειρομένην πόλιν καὶ μέλλουσαν ἰσόπεδον γίνεσθαι καὶ τῶν καταβοώντων πρὸς αὐτὸν αἱμάτων εἰσακοῦσαι,

Β Μακ. 8,3 - Να ελεήση και την πόλιν Ιερουσαλήμ, οποία κατεστρέφετο και εκινδύνευε να ισοπεδοθή και να μεταβληθή εις ερείπια. Παρακαλούσαν αυτόν, να εισακούση την φωνήν των αθώων αιμάτων, τα οποία εκραύγαζον προς αυτόν και εζητούσαν εκδίκησιν.

Β Μακ. 8,4 - μνησθῆναι δὲ καὶ τῆς τῶν ἀναμαρτήτων νηπίων παρανόμου ἀπωλείας καὶ περὶ τῶν γενομένων εἰς τὸ ὄνομα αὐτοῦ βλασφημιῶν καὶ μισοπονηρῆσαι.

Β Μακ. 8,4 - Να ενθυμηθή τους αδίκους θανάτους των αθώων νηπίων, τας βλασφημίας αι οποίαι εξεσφενδονίζοντο εναντίον του αγίου του ονόματος, και να δείξη την απέχθειαν και το μίσος του εναντίον των κακών ανθρώπων.

Β Μακ. 8,5 - γενόμενος δὲ ἐν συστήματι ὁ Μακκαβαῖος ἀνυπόστατος ἤδη τοῖς ἔθνεσιν ἐγίνετο, τῆς ὀργῆς τοῦ Κυρίου εἰς ἔλεον τραπείσης.

Β Μακ. 8,5 - Ο Μακκαβαίος ετέθη επικεφαλής πολυαρίθμου επαναστατικού στρατού και εγινεν ακαταμάχητος από τα άλλα έθνη, διότι η έως τώρα οργή του Κυρίου εναντίον του έθνους του μετετράπη εις ευσπλαγχνίαν.

Β Μακ. 8,6 - πόλεις δὲ καὶ κώμας ἀπροσδοκήτως ἐρχόμενος ἐνεπίμπρα καὶ τοὺς ἐπικαίρους τόπους ἀπολαμβάνων οὐκ ὀλίγους τῶν πολεμίων ἐνίκα τροπούμενος

Β Μακ. 8,6 - Επέπιπτε δε αιφνιδίως εναντίον εχθρικών πόλεων και χωρίων και τα κατέκαιε. Κατελάμβανε προσφόρους θέσεις και επετύγχανε πολλάς νίκας εναντίον των πολεμίων κατατροπώνων αυτούς.

Β Μακ. 8,7 - μάλιστα τὰς νύκτας πρὸς τὰς τοιαύτας ἐπιβουλὰς συνεργοὺς ἐλάμβανε. καὶ λαλιά τις τῆς εὐανδρίας αὐτοῦ διεχεῖτο πανταχῇ.

Β Μακ. 8,7 - Αι επιθέσστου εγίνοντο κυρίως κατά τας νύκτας, τας οποίας και επροτιμούσε δια την επιτυχίαν των ενεργειών του. Η φήμη της ανδρείας του διεδίδετο πανταχού.

Β Μακ. 8,8 - Συνορῶν δὲ ὁ Φίλιππος κατὰ μικρὸν εἰς προκοπὴν ἐρχόμενον τὸν ἄνδρα, πυκνότερον δὲ ἐν ταῖς εὐημερίαις προβαίνοντα, πρὸς Πτολεμαῖον τὸν Κοίλης Συρίας καὶ Φοινίκης στρατηγὸν ἔγραψεν ἐπιβοηθεῖν τοῖς τοῦ βασιλέως πράγμασιν.

Β Μακ. 8,8 - Εβλεπε δε ο Φιλιππος, ότι ο άνθρωπος αυτός εις μικρόν χρονικόν διάστημα εσημείωσε τοιαύτας προόδους και ότι αι επιτυχείς επιδρομαί του εγίνοντο συχνότεραι. Δι' αυτό έγραψε προς τον Πτολεμαίον, τον στρατιωτικόν διοικητήν της Κοίλης Συρίας και της Φοινίκης, να βοηθήση εις τα πράγματα του βασιλέως.

Β Μακ. 8,9 - ὁ δὲ ταχέως προχειρισάμενος Νικάνορα τὸν τοῦ Πατρόκλου τῶν πρώτων φίλων ἀπέστειλεν ὑποτάξας παμφύλων ἔθνη οὐκ ἐλάττους τῶν δισμυρίων τὸ σύμπαν τῶν Ἰουδαίων ἐξᾶραι γένος· συνέστησε δὲ αὐτῷ καὶ Γοργίαν ἄνδρα στρατηγὸν καὶ ἐν πολεμικαῖς χρείαις πεῖραν ἔχοντα.

Β Μακ. 8,9 - Ο Πτολεμαίος εξέλεξε ταχέως δια το έργον αυτό τον Νικάνορα, υιόν του Πατρόκλου ο οποίος η το από τους πρώτους φίλους του βασιλέως. Τον απέστειλεν επικεφαλής είκοσι χιλιάδων περίπου ανδρών στρατολογημένων από τα διάφορα έθνη, δια να εξοντώσουν το έθνος των Εβραίων. Εδωσε δε εις αυτόν και τον Γοργίαν, άνδρα στρατιωτικόν, ο οποίος είχε και πείραν εις τας πολεμικάς επιχειρήσεις.

Β Μακ. 8,10 - διεστήσατο δὲ ὁ Νικάνωρ τὸν φόρον τῷ βασιλεῖ τοῖς Ῥωμαίοις ὄντα ταλάντων δισχιλίων ἐκ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας ἐκπληρώσειν.

Β Μακ. 8,10 - Ο Νικάνωρ υπελόγιζεν, ότι από την πώλησιν των Ιουδαίων αιχμαλώτων θα ημπορούσε να εξοικονομήση τα χρήματα δια τον φόρον, τον οποίον ώφειλε να πληρώση ο βασιλεύς στους Ρωμαίους ανερχόμενον εις δύο χιλιάδας τάλαντα.

Β Μακ. 8,11 - εὐθέως δὲ εἰς τὰς παραθαλασσίους πόλεις ἀπέστειλε προσκαλούμενος ἐπ᾿ ἀγορασμὸν Ἰουδαϊκῶν σωμάτων, ὑπισχνούμενος ἐνενήκοντα σώματα ταλάντου παραχωρήσειν, οὐ προσδεχόμενος τὴν παρὰ τοῦ Παντοκράτορος μέλλουσαν παρακολουθήσειν ἐπ᾿ αὐτῷ δίκην.

Β Μακ. 8,11 - Εσπευσε δε μάλιστα και απέστειλεν εις τας παραλίους πόλεις ανθρώπους, να προσκαλέση εμπόρους δια την αγοράν των Ιουδαίων αιχμαλώτων υποσχόμενος ότι θα πωλή ενενήκοντα αιχμαλώτους Ιουδαίους αντί ενός ταλάντου. Δεν ελάμβανε δε καθόλου υπ' όψιν την τιμωρίαν εκ

μέρους του Παντοκράτορας Θεού, η οποία επρόκειτο να επακολουθήση εναντίον του.

Β Μακ. 8,12 - τῷ δὲ Ἰούδᾳ προσέπεσε περὶ τῆς τοῦ Νικάνορος ἐφόδου· καὶ μεταδόντος αὐτοῦ τοῖς σὺν αὐτῷ τὴν παρουσίαν τοῦ στρατοπέδου,

Β Μακ. 8,12 - Περιήλθον όμως εις γνώσιν του Ιούδα τα περί της ετοιμαζομένης αυτής εκστρατείας του Νικάνορος. Επληροφόρησε δε τους άνδρας του δια την εμφάνισιν του εχθρικού στρατού.

Β Μακ. 8,13 - οἱ δειλανδροῦντες καὶ ἀπιστοῦντες τὴν τοῦ Θεοῦ δίκην διεδίδρασκον καὶ ἐξετόπιζον ἑαυτούς.

Β Μακ. 8,13 - Τοτε οι μικρόψυχοι από τους στρατιώτας του και εκείνοι που δεν είχαν πίστιν εις την δικαιοσύνην του Θεού, εδραπέτευσαν και μετέβησαν εις άλλους τόπους.

Β Μακ. 8,14 - οἱ δὲ τὰ περιλελειμμένα πάντα ἐπώλουν, ὁμοῦ δὲ τὸν Κύριον ἠξίουν ῥύσασθαι τοὺς ὑπὸ τοῦ δυσσεβοῦς Νικάνορος πρὶν συντυχεῖν πεπραμένους·

Β Μακ. 8,14 - Αλλοι δε άνδρες επωλούσαν ο,τι είχεν απομείνει εις αυτούς και παρακαλούσαν τον Κυριον, να τους γλυτώση από τα χέρια του ασεβούς Νικάνορας, ο οποίος τους είχε πωλήσει, πριν ακόμη συνάψη προς αυτούς μάχην.

Β Μακ. 8,15 - καὶ εἰ μὴ δι᾿ αὐτούς, ἀλλὰ διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν διαθήκας καὶ ἕνεκεν τῆς ἐπ᾿ αὐτοὺς ἐπικλήσεως τοῦ σεμνοῦ καὶ μεγαλοπρεποῦς ὀνόματος αὐτοῦ.

Β Μακ. 8,15 - Να τους σώση, αν όχι διότι αυτοί ήξιζον μιας τέτοιας σωτηρίας, αλλά δια την διαθήκην, την οποίαν είχε συνάψει προς τους προγόνους των και δια το άγιον και σεβαστόν και μεγαλοπρεπές όνομα του Θεού του Ισραήλ, με το οποίον αυτοί ωνομάζοντο.

Β Μακ. 8,16 - συναγαγὼν δὲ ὁ Μακκαβαῖος τοὺς περὶ αὐτὸν ὄντας τὸν ἀριθμὸν ἑξακισχιλίους παρεκάλει μὴ καταπλαγῆναι τοὺς πολεμίους, μηδὲ εὐλαβεῖσθαι τὴν τῶν ἀδίκως παραγινομένων ἐπ᾿ αὐτοὺς ἐθνῶν πολυπληθίαν, ἀγωνίσασθαι δὲ γενναίως

Β Μακ. 8,16 - Ο Μακκαβαίος συνεκέντρωσεν εκείνους, οι οποίοι είχαν παραμείνει μαζή του, ανερχομένους ει εξ χιλιάδας άνδρας, τους παρότρυνε να μη καταπλαγούν από τους εχθρούς των και να μη φοβηθούν από τον μεγάλον αριθμόν των εθνικών, οι οποίοι αδίκως επέρχονται εναντίον των, αλλά να αγωνισθούν με γενναιότητα.

Β Μακ. 8,17 - πρὸ ὀφθαλμῶν λαβόντας τὴν ἀνόμως εἰς τὸν ἅγιον τόπον συντελεσμένην ὑπ᾿ αὐτῶν ὕβριν καὶ τὸν τῆς ἐμπεπαιγμένης πόλεως αἰκισμόν, ἔτι δὲ τὴν τῆς προγονικῆς πολιτείας κατάλυσιν.

Β Μακ. 8,17 - Να έχουν δε ζωηρά προ των οφθαλμών των τον βέβηλον εξευτελισμόν, ο οποίος έγινεν από τους ειδωλολάτρας στον άγιον ναόν, τον

βασανισμόν της χλευαζομένης από εκείνους πόλεως Ιερουσαλήμ, ακόμη δε και το γεγονός, ότι οι εχθροί έχουν πάρει την απόφασιν να καταλύσουν το ιδικόν των θεόσδοτον προγονικόν πολίτευμα.

Β Μακ. 8,18 - οἱ μὲν γὰρ ὅπλοις πεποίθασιν ἅμα καὶ τόλμαις, ἔφησεν, ἡμεῖς δὲ ἐπὶ τῷ παντοκράτορι Θεῷ, δυναμένῳ καὶ τοὺς ἐρχομένους ἐφ᾿ ἡμᾶς καὶ τὸν ὅλον κόσμον ἐν ἑνὶ νεύματι καταβαλεῖν, πεποίθαμεν.

Β Μακ. 8,18 - Ειδικώτερον έλεγε προς αυτούς· “εκείνοι έχουν πεποίθησιν εις τα όπλα των και εις τας θρασύτητάς των, ημείς όμως έχομεν πεποίθησιν στον παντοδύναμον Θεόν, ο οποίος με ένα του νεύμα ημπορεί να καταβάλη όλους εκείνους, που επέρχονται εναντίον μας και ολόκληρον ακόμη τον κόσμον”.

Β Μακ. 8,19 - προσαναλεξάμενος δὲ αὐτοῖς καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας ἀντιλήψεις καὶ τὴν ἐπὶ Σενναχηρείμ, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες ὡς ἀπώλοντο,

Β Μακ. 8,19 - Απηρίθμησεν επίσης εις αυτούς αρχαία παραδείγματα, κατά τα οποία οι πρόγονοί των έλαβον βοήθειαν από τον Θεόν, μάλιστα δε την εναντίον του Σενναχηρείμ βοήθειαν, οπότε εξωλοθρεύθησαν εκατόν ογδοήκοντα πέντε χιλιάδες εχθροί.

Β Μακ. 8,20 - καὶ τὴν ἐν τῇ Βαβυλωνίᾳ τὴν πρὸς αὐτοὺς Γαλάτας παράταξιν γενομένην, ὡς οἱ πάντες ἐπὶ τὴν χρείαν ἦλθον ὀκτακισχίλιοι σὺν Μακεδόσι τετρασχιλίοις, τῶν Μακεδόνων ἀπορουμένων, οἱ ὀκτακισχίλιοι τὰς δώδεκα μυριάδας ἀπώλεσαν διὰ τὴν γενομένην αὐτοῖς ἀπ᾿ οὐρανοῦ βοήθειαν καὶ ὠφέλειαν πολλὴν ἔλαβον.

Β Μακ. 8,20 - Τους υπενθύμισε την μάχην, που είχε δοθή εναντίον των Γαλάτων εις την Βαβυλώνα και κατά την οποίαν όλοι- όλοι οι Ιουδαίοι, οι οποίοι είχον έλθει, δια να λάβουν μέρος, εις αυτήν, ήσαν οκτώ χιλιάδες και τέσσαρες χιλιάδες επί πλέον Μακεδόνες. Οι Μακεδόνες όμως αυτοί ημποδίσθησαν και δεν ημπόρεσαν να πολεμήσουν. Αι οκτώ δε μόνον χιλιάδες Ιουδαίοι κατετρόπωσαν και εξωλόθρευσαν εκατόν είκοσι χιλιάδας εχθρών με την βοήθειαν, η οποία τους εστάλη από τον ουρανόν, και με την οποίαν είχαν αποκομίσει τότε μεγάλην ωφέλειαν.

Β Μακ. 8,21 - ἐφ᾿ οἷς εὐθαρσεῖς αὐτοὺς παραστήσας καὶ ἑτοίμους ὑπὲρ τῶν νόμων καὶ τῆς πατρίδος ἀποθνήσκειν, τετραμερές τι τὸ στράτευμα ἐποίησε.

Β Μακ. 8,21 - Αφού με τους λόγους αυτούς ο Ιούδας τους έδωσε θάρρος και τους προπαρεσκεύασε να είναι έτοιμοι και να αποθάνουν ακόμη αγωνιζόμενοι υπέρ των θείων νόμων και της πατρίδος των, διήρεσε τον στρατόν του εις τέσσαρα σώματα.

Β Μακ. 8,22 - τάξας καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προηγουμένους ἑκατέρας τάξεως, Σίμωνα καὶ Ἰώσηφον καὶ Ἰωνάθαν, ὑποτάξας ἑκάστῳ χιλίους πρὸς

τοῖς πεντακοσίοις,

Β Μακ. 8,22 - Επικεφαλής δε εις κάθε σώμα στρατού έθεσεν ένα έκαστον από τους αδελφούς του· τον Σιμωνα, τον Ιώσηφον και τον Ιωνάθαν. Και έδωσεν εις αυτούς ανά χιλίους πεντακοσίους άνδρας.

Β Μακ. 8,23 - ἔτι δὲ καὶ Ἐλεάζαρον, παραγνοὺς τὴν ἱερὰν βίβλον καὶ δοὺς σύνθημα Θεοῦ βοηθείας τῆς πρώτης σπείρας αὐτὸς προηγούμενος, συνέβαλε τῷ Νικάνορι.

Β Μακ. 8,23 - Εκάλεσε δε τότε και τον Ελεάζαρον, δια να αναγνώση ενώπιον των στρατιωτών την Ιεράν Βιβλον. Επειτα έδωκεν ως σύνθημα της μάχης “βοήθεια από τον Θεόν”. Ο Ιούδας, ο αρχηγός του πρώτου σώματος στρατού, επετέθη εναντίον του Νικάνορος.

Β Μακ. 8,24 - γενομένου δὲ αὐτοῖς τοῦ Παντοκράτορος συμμάχου, κατέσφαξαν τῶν πολεμίων ὑπὲρ τοὺς ἐνακισχιλίους, τραυματίας δὲ καὶ τοῖς μέλεσιν ἀναπήρους τὸ πλεῖστον μέρος τῆς τοῦ Νικάνορος στρατιᾶς ἐποίησαν, πάντας δὲ φυγεῖν ἠνάγκασαν.

Β Μακ. 8,24 - Με την βοήθειαν και την συμμαχίαν του παντοδυνάμου Θεού κατέσφαξαν οι Ιουδαίοι υπέρ τους εννέα χιλιάδας εχθρούς, ετραυμάτισαν δε και ακρωτηρίασαν το μεγαλύτερον μέρος του στρατού του Νικάνορας, τους δε άλλους έτρεψαν εις φυγήν.

Β Μακ. 8,25 - τὰ δὲ χρήματα τῶν παραγεγονότων ἐπὶ τὸν ἀγορασμὸν αὐτῶν ἔλαβον· συνδιώξαντες δὲ αὐτοὺς ἐφ᾿ ἱκανὸν ἀνέλυσαν ὑπὸ τῆς ὥρας συγκλειόμενοι.

Β Μακ. 8,25 - Επήραν και τα χρήματα των εμπόρων εκείνων, οι οποίοι είχαν έλθει, δια να αγοράσουν Ιουδαίους αιχμαλώτους. Αφού δε κατεδίωξαν επί αρκετόν διάστημα τους φεύγοντας εχθρούς, εσταμάτησαν, διότι η ώρα δεν τους επέτρεπε πλέον να συνεχίσουν την καταδίωξιν.

Β Μακ. 8,26 - ἦν γὰρ ἡ πρὸ τοῦ σαββάτου, δι᾿ ἣν αἰτίαν οὐκ ἐμακροθύμησαν κατατρέχοντες αὐτούς.

Β Μακ. 8,26 - Ητο παραμονή του Σαββάτου και δια τούτο δεν επέμειναν να καταδιώξουν τους φεύγοντας εχθρούς.

Β Μακ. 8,27 - ὁπλολογήσαντες δὲ αὐτοὺς καὶ τὰ σκῦλα ἐκδύσαντες τῶν πολεμίων περὶ τὸ σάββατον ἐγίνοντο, περισσῶς εὐλογοῦντες καὶ ἐξομολογούμενοι τῷ Κυρίῳ τῷ διασώσαντι αὐτοὺς εἰς τὴν ἡμέραν ταύτην, ἀρχὴν ἐλέους τάξαντος αὐτοῖς.

Β Μακ. 8,27 - Οταν δε συνέλεξαν τα όπλα των εχθρών και επήραν από αυτούς τα λάφυρα, εώρτασαν το Σαββατον, δοξολογούντες και ευγνωμονούντες με όλην των την καρδίαν πλουσίως τον Κυριον, που τους έσωσε κατά την ημέραν αυτήν, την οποίαν και ώρισεν ως αρχήν της εκδηλώσεως των προς αυτούς οικτιρμών του και της προστασίας του.

Β Μακ. 8,28 - μετὰ δὲ τὸ σάββατον τοῖς ᾐκισμένοις καὶ ταῖς χήραις καὶ ὀρφανοῖς μερίσαντες ἀπὸ τῶν σκύλων, τὰ λοιπὰ αὐτοὶ καὶ τὰ παιδία ἐμερίσαντο.

Β Μακ. 8,28 - Αφού δε επέρασε το Σαββατον, οι Ιουδαίοι στρατιώται εμοίρασαν από τα λάφυρα, που είχαν πάρει, εις εκείνους οι οποίοι εταλαιπωρήθησαν από τους διωγμούς, εις τας χήρας και εις τα ορφανά. Αυτοί δε με τα παιδιά των διεμοιράσθησαν τα υπόλοιπα.

Β Μακ. 8,29 - ταῦτα δὲ διαπραξάμενοι καὶ κοινὴν ἱκετίαν ποιησάμενοι, τὸν ἐλεήμονα Κύριον ἠξίουν εἰς τέλος καταλλαγῆναι τοῖς αὐτοῦ δούλοις.

Β Μακ. 8,29 - Αφού δε έπραξαν αυτά, ωργάνωσαν μίαν κοινήν ικεσίαν προς τον ελεήμονα Κυριον και τον παρακαλούσαν, να συμφιλιωθή προς αυτούς και να στείλη το έλεός του στους δούλους του.

Β Μακ. 8,30 - καὶ τοῖς περὶ Τιμόθεον καὶ Βακχίδην συνερίσαντες ὑπὲρ τοὺς δισμυρίους αὐτῶν ἀνεῖλον καὶ ὀχυρωμάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς ἐγένοντο καὶ λάφυρα πλεῖστα ἐμερίσαντο ἰσομοίρους ἑαυτοὺς καὶ τοῖς ᾐκισμένοις καὶ ὀρφανοῖς καὶ χήραις, ἔτι δὲ καὶ πρεσβυτέροις ποιήσαντες.

Β Μακ. 8,30 - Κατά δε την μάχην εναντίον του Τιμοθέου και του Βακχίδου εφόνευσαν υπέρ τας είκοσι χιλιάδας εχθρών, κατέλαβον με πολλήν ευκολίαν ισχυρά φρούρια, εμοιράσθησαν δε μεταξύ των πλήθος λαφύρων εις ίσα μέρη δια τους εαυτούς των και δι' εκείνους, οι οποίοι είχαν υποφέρει από τους διωγμούς, δια τα ορφανά, δια τας χήρας, όπως επίσης και δια τους γέροντας.

Β Μακ. 8,31 - ὁπλολογήσαντες δὲ αὐτοὺς ἐπιμελῶς πάντα συνέθηκαν εἰς τοὺς ἐπικαίρους τόπους, τὰ δὲ λοιπὰ τῶν σκύλων ἤνεγκαν εἰς Ἱεροσόλυμα.

Β Μακ. 8,31 - Με πολλήν δε επιμέλειαν συνεκέντρωσαν όπλα από τους εχθρούς, τα οποία και ετοποθέτησαν εις καταλλήλους θέσεις. Τα δε υπόλοιπα από τα λάφυρα τα έφεραν εις την Ιερουσαλήμ.

Β Μακ. 8,32 - τὸν δὲ φυλάρχην τῶν περὶ Τιμόθεον ἀνεῖλον, ἀνοσιώτατον ἄνδρα καὶ πολλὰ τοὺς Ἰουδαίους ἐπιλελυπηκότα.

Β Μακ. 8,32 - Από τους περί τον Τιμόθεον επισήμους εφόνευσαν και τον σωματάρχην του, άνθρωπον ανοσιώτατον, ο οποίος πάρα πολλά κακά είχε προξενήσει στους Εβραίους.

Β Μακ. 8,33 - ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι τοὺς ἐμπρήσαντας τοὺς ἱεροὺς πυλῶνας. Καλλισθένην καί τινας ἄλλους, ὑφῆψαν εἰς ἓν οἰκίδιον πεφευγότας, οἵτινες ἄξιον τῆς δυσσεβείας ἐκομίσαντο μισθόν.

Β Μακ. 8,33 - Καθ' ον δε χρόνον εώρταζον τα επινίκια εις την πρωτεύουσάν των, τον Καλλισθένην και μερικούς άλλους, οι οποίοι είχαν πυρπολήσει τας ιεράς πύλας του ναού, τους έκαυσαν εις μίαν μικράν οικίαν,

όπου αυτοί είχαν καταφύγει. Ετσι δε εκείνοι επήραν την δίκαιον τιμωρίαν, μισθόν της ασεβείας των.

Β Μακ. 8,34 - ὁ δὲ τρισαλιτήριος Νικάνωρ, ὁ τοὺς χιλίους ἐμπόρους ἐπὶ τὴν πράσιν τῶν Ἰουδαίων ἀγαγών,

Β Μακ. 8,34 - Ο δε τρισαλιτήριος Νικάνωρ, ο οποίος είχε φέρει τους χιλίους εμπόρους, δια να πωλήση εις αυτούς τους αιχμαλώτους Ιουδαίους,

Β Μακ. 8,35 - ταπεινωθεὶς ὑπὸ τῶν κατ᾿ αὐτὸν νομιζομένων ἐλαχίστων εἶναι, τῇ τοῦ Κυρίου βοηθείᾳ τὴν δοξικὴν ἀποθέμενος ἐσθῆτα, διὰ τῆς μεσογείου, δραπέτου τρόπον, ἔρημον ἑαυτὸν ποιήσας, ἧκεν εἰς Ἀντιόχειαν ὑπεράγαν δυσημερήσας ἐπὶ τῇ τοῦ στρατοῦ διαφθορᾷ.

Β Μακ. 8,35 - εταπεινώθη με την βοήθειαν του Θεού από εκείνους, τους οποίους αυτός εθεωρούσεν ελαχίστους και αναξίους προσοχής, έβγαλε την λαμπράν κτυπητήν ενδυμασίαν του, και δια μέσου των αγρών της χώρας, ωσάν φυγάς, χωρίς στρατόν, ήλθε μόνος και έρημος εις την Αντιόχειαν καταπικραμμένος δια την συμφοράν του με την απώλειαν του στρατού του.

Β Μακ. 8,36 - καὶ ὁ τοῖς Ῥωμαίοις ἀναδεξάμενος φόρον ἀπὸ τῆς τῶν ἐν Ἱεροσολύμοις αἰχμαλωσίας κατορθώσασθαι, κατήγγελλεν ὑπέρμαχον ἔχειν τὸν Θεὸν τοὺς Ἰουδαίους καὶ διὰ τὸν τρόπον τοῦτο ἀτρώτους εἶναι τοὺς Ἰουδαίους, διὰ τὸ ἀκολουθεῖν τοῖς ὑπ᾿ αὐτοῦ προστεταγμένοις νόμοις.

Β Μακ. 8,36 - Αυτός, που είχεν αναλάβει να καταβάλη τον φόρον στους Ρωμαίους από τα χρήματα που θα εισέπραττεν από την πώλησιν των αιχμαλώτων της Ιερουσαλήμ, διαλαλούσε τώρα ότι οι Ιουδαίοι είχαν ακατανίκητον προστάτην τον Θεόν και δια τον λόγον αυτόν είναι ακατάβλητοι, επειδή ακριβώς ακολουθούν τους νόμους, τους οποίους δι' αυτούς είχε θεσπίσει ο Θεός.

Β ΜΑΚΚΑΒΑΙΩΝ 9

Β Μακ. 9,1 - Περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν Ἀντίοχος ἀναλελυκὼς ἀκόσμως ἐκ τῶν κατὰ τὴν Περσίδα τόπων.

Β Μακ. 9,1 - Κατά την εποχήν εκείνην ο Αντίοχος επέστρεφε κατεξευτελισμένος από τας χώρας της Περσίας,

Β Μακ. 9,2 - εἰσεληλύθει γὰρ εἰς τὴν λεγομένην Περσέπολιν καὶ ἐπεχείρησεν ἱεροσυλεῖν καὶ τὴν πόλιν συνέχειν. διὸ δὴ τῶν πληθῶν ὁρμησάντων ἐπὶ τὴν τῶν ὅπλων βοήθειαν ἐτράπησαν, καὶ συνέβη τροπωθέντα τὸν Ἀντίοχον ὑπὸ τῶν ἐγχωρίων ἀσχήμονα τὴν ἀναζυγὴν ποιήσασθαι.

Β Μακ. 9,2 - διότι είχεν εισέλθει εις την πόλιν, την λεγομένην Περσέπολιν, και επεχείρησε να αφαιρέση τους θησαυρούς της από τους ναούς και να καταλάβη την πόλιν. Δια τον λόγον αυτόν πλήθος των κατοίκων

εξηγέρθησαν, ώρμησαν και έλαβαν τα όπλα εναντίον του Αντιόχου, ώστε ο Αντίοχος κατατροπωθείς από τους κατοίκους ηναγκάσθη εις ταπεινωτικήν υποχώρησιν.

Β Μακ. 9,3 - ὄντι δὲ αὐτῷ κατ᾿ Ἐκβάτανα προσέπεσε τὰ κατὰ Νικάνορα καὶ τοὺς περὶ Τιμόθεον γεγονότα.

Β Μακ. 9,3 - Οταν δε αυτός ευρίσκετο, εις την περί τα Εκβάτανα περιοχήν, επληροφαρήθη, τι είχε συμβή στον Νικάνορα και στον στρατόν του Τιμοθέου.

Β Μακ. 9,4 - ἐπαρθεὶς δὲ τῷ θυμῷ ᾤετο καὶ τὴν τῶν πεφυγαδευκότων αὐτὸν κακίαν εἰς τοὺς Ἰουδαίους ἐναπερείσασθαι, διὸ συνέταξε τὸν ἁρματηλάτην ἀδιαλείπτως ἐλαύνοντα κατανύειν τὴν πορείαν, τῆς ἐξ οὐρανοῦ δὴ κρίσεως συνούσης αὐτῷ· οὕτω γὰρ ὑπερηφάνως εἶπε· πολυάνδριον Ἰουδαίων Ἱεροσόλυμα ποιήσω παραγενόμενος ἐκεῖ.

Β Μακ. 9,4 - Παρασυρθείς δε από έξαλλον θυμόν ενόμιζεν ότι θα κάμη τους Ιουδαίους να πληρώσουν ακριβά τον εξευτελισμόν, που υπέστη εις την Περσέπολιν καταδιωχθείς από τους κατοίκους. Δια τούτο διέταξε τον οδηγόν του άρματός του να επιταχύνη ακατάπαυστα την πορείαν του, χωρίς σταμάτημα. Η θεία όμως από τον ουρανόν τιμωρία τον παρακολουθούσε, διότι αυτός είχε πει με μεγάλην υπερηφάνειαν· “μόλις φθάσω εις την Ιερουσαλήμ θα την κάμω νεκρόπολιν των Ιουδαίων”.

Β Μακ. 9,5 - ὁ δὲ πανεπόπτης Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ ἐπάταξεν αὐτὸν ἀνιάτῳ καὶ ἀοράτῳ πληγῇ· ἄρτι δὲ αὐτοῦ καταλήξαντος τὸν λόγον, ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων ἀλγηδὼν καὶ πικραὶ τῶν ἔνδον βάσανοι,

Β Μακ. 9,5 - Ο Κυριος όμως, ο Θεός του Ισραήλ, ο οποίος βλέπει τα πάντα, εκτύπησεν αυτόν με αθεράπευτον και αόρατον τρομεράν πληγήν. Διότι μόλις είχε τελειώσει τον μοχθηρόν και κομπαστικόν αυτόν λόγον, τον κατέλαβε μέγας αθεράπευτος πόνος των σπλάχνων και τρομεροί βασανισμοί εις όλον το εσωτερικόν του.

Β Μακ. 9,6 - πάνυ δικαίως τὸν πολλαῖς καὶ ξενιζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανίσαντα.

Β Μακ. 9,6 - Και πολύ δικαίως ετιμωρήθη με φρικτούς πόνους των σπλάγχνων αυτός, ο οποίος είχε προκαλέσει εις τα σπλάγχνα των άλλων πολυαρίθμους και πρωτοφανείς βασανισμούς.

Β Μακ. 9,7 - ὁ δ᾿ οὐδαμῶς τῆς ἀγερωχίας ἔληγεν· ἔτι δὲ καὶ τῆς ὑπερηφανίας ἐπεπλήρωτο, πῦρ πνέων τοῖς θυμοῖς ἐπὶ τοὺς Ἰουδαίους καὶ κελεύων ἐποξύνειν τὴν πορείαν. συνέβη δὲ καὶ πεσεῖν αὐτὸν ἀπὸ τοῦ ἅρματος φερομένου ῥοίζῳ καὶ δυσχερεῖ πτώματι περιπεσόντα πάντα τὰ μέλη τοῦ σώματος ἀποστρεβλοῦσθαι.

Β Μακ. 9,7 - Αυτός όμως παρά τους φρικτούς βασανισμούς του δεν έθεσε τέρμα στον εγωϊσμόν του. Αλλά εγέμιζεν ολοένα και περισσότερον από υπερηφάνειαν. Πυρ θυμού έπνεεν εναντίον των Ιουδαίων και διέτασσε τον οδηγόν του άρματός του να επισπεύδη συνεχώς την πορείαν. Αίφνης κατέπεσεν από το άρμα, το οποίον εφέρετο μετά πολλού θορύβου, και η πτώσις του υπήρξε τόσον τρομερά, ώστε όλα τα μέλη του σώματός του έπαθαν οδυνηράν στρέβλωσιν.

Β Μακ. 9,8 - ὁ δ᾽ ἄρτι δοκῶν τοῖς τῆς θαλάσσης κύμασιν ἐπιτάσσειν διὰ τὴν ὑπὲρ ἄνθρωπον ἀλαζονείαν καὶ πλάστιγγι τὰ τῶν ὀρέων οἰόμενος ὕψη στήσειν, κατὰ γῆν γενόμενος ἐν φορείῳ παρεκομίζετο, φανερὰν τοῦ Θεοῦ πᾶσι τὴν δύναμιν ἐνδεικνύμενος,

Β Μακ. 9,8 - Ετσι δε αυτός, ο οποίος εξ αιτίας της μεγάλης του αλαζονίας ενόμιζε μέχρι προ ολίγου χρόνου ότι έχει την δύναμιν να διατάσση και τα κύματα της θαλάσσης, αυτός που ενόμιζεν ότι ημπορεί να θέση εις την πλάστιγγα και να ζυγίση τας κορυφάς των ορέων, εκρημνίσθη στο έδαφος και ανάπηρος εφέρετο επάνω εις ένα φορείον. Ετσι δε έκαμε φανεράν εις όλους, με το πάθημά του, την δύναμιν του Θεού.

Β Μακ. 9,9 - ὥστε καὶ ἐκ τοῦ σώματος τοῦ δυσσεβοῦς σκώληκας ἀναζεῖν, καὶ ζῶντος ἐν ὀδύναις καὶ ἀλγηδόσι τὰς σάρκας αὐτοῦ διαπίπτειν, ὑπὸ δὲ τῆς ὀσμῆς αὐτοῦ πᾶν τὸ στρατόπεδον βαρύνεσθαι τῇ σαπρίᾳ.

Β Μακ. 9,9 - Περιέπεσε εις τόσον αθλίαν κατάστασιν, ώστε από το σώμα του ασεβούς αυτού να βγαίνουν πλήθος σκώληκες, να ζη και καθ' ον χρόνον εζούσε να αποσπώνται σάπιες σάρκες του με τρομεράς οδύνας και βασάνους. Η δε κακοσμία, η οποία ανεδίδετο από το αρρωστημένον σώμα του, κατεβάρυνεν ολόκληρον το στρατόπεδον.

Β Μακ. 9,10 - καὶ τὸν μικρῷ πρότερον τῶν οὐρανίων ἄστρων ἅπτεσθαι δοκοῦντα παρακομίζειν οὐδεὶς ἐδύνατο διὰ τὸ τῆς ὀσμῆς ἀφόρητον βάρος.

Β Μακ. 9,10 - Και εκείνον ο οποίος μέχρι προ ολίγου ενόμιζεν ότι είχε την δύναμιν να εγγίση και τα άστρα, τώρα κανείς δεν ημπορούσε να τον μεταφέρη εξ αιτίας της ανυποφόρου δυσωδίας του.

Β Μακ. 9,11 - ἐνταῦθα οὖν ἤρξατο τὸ πολὺ τῆς ὑπερηφανίας λήγειν ὑποτεθραυσμένος καὶ εἰς ἐπίγνωσιν ἔρχεσθαι θείᾳ μάστιγι κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλγηδόσι.

Β Μακ. 9,11 - Τοτε συντετριμμένος και εξουθενωμένος από τους πολλούς πόνους του, ήρχισε να αποθέτη τον όγκον της υπερηφανείας του και, καθώς συνεχώς επεδεινώνοντο οι πόνοι του, συνησθάνετο ότι ευρίσκετο υπό την θείαν μάστιγα.

Β Μακ. 9,12 - καὶ μηδὲ τῆς ὀσμῆς αὐτοῦ δυνάμενος ἀνέχεσθαι ταῦτ᾽ ἔφη· δίκαιον ὑποτάσσεσθαι τῷ Θεῷ καὶ μὴ θνητὸν ὄντα ἰσόθεα φρονεῖν ὑπερηφάνως.

Β Μακ. 9,12 - Επειδή δε και ο ίδιος δεν ημπορούσε να υποφέρη την κακοσμίαν του, ωμολόγησεν· “είναι δίκαιον να υποτάσσεται κανείς στον Θεόν, και οχι εν τη υψηλοφροσύνη του να εξισώνη τον εαυτόν του με τον Θεόν”.

Β Μακ. 9,13 - ηὔχετο δὲ ὁ μιαρὸς πρὸς τὸν οὐκέτι αὐτὸν ἐλεήσοντα Δεσπότην, οὕτω λέγων

Β Μακ. 9,13 - Προς τον Δεσπότην δε Θεόν, ο οποίος δεν επρόκειτο ποτέ να τον ελεήση, ο μιαρός αυτός βασιλεύς προσηύχετο και έταζε

Β Μακ. 9,14 - τὴν μὲν ἁγίαν πόλιν, ἣν σπεύδων παρεγίνετο ἰσόπεδον ποιῆσαι καὶ πολυάνδριον οἰκοδομῆσαι, ἐλευθέραν ἀναδεῖξαι·

Β Μακ. 9,14 - ότι την μεν αγίαν πάλιν, προς την οποίαν έσπευδε δια να την ισοπεδώση και την μεταβάλη εις νεκρόπολιν, να την ανακηρύξη ελευθέραν.

Β Μακ. 9,15 - τοὺς δὲ Ἰουδαίους, οὓς διεγνώκει μηδὲ ταφῆς ἀξιῶσαι οἰωνοβρώτους δὲ σὺν τοῖς νηπίοις ἐκρίψειν θηρίοις, πάντας αὐτοὺς ἴσους Ἀθηναίους ποιήσειν·

Β Μακ. 9,15 - Τους δε Ιουδαίους, τους οποίους ούτε ταφής δεν έκρινεν αξίους αλλά είχε σκοπόν να δώση ως τροφήν, αυτούς και τα τέκνα των, εις τα σαρκοβόρα πτηνά και να τους ρίψη εις τα θηρία, όλους να τους κάμη ίσους προς τους Αθηναίους.

Β Μακ. 9,16 - ὃν δὲν πρότερον ἐσκύλευσεν ἅγιον νεὼν καλλίστοις ἀναθήμασι κοσμήσειν καὶ τὰ ἱερὰ σκεύη πολυπλάσια πάντα ἀποδώσειν, τὰς δὲ ἐπιβαλλούσας πρὸς τὰς θυσίας συντάξεις ἐκ τῶν ἰδίων προσόδων χορηγήσειν·

Β Μακ. 9,16 - Τον άγιον ναόν, τον οποίον προηγουμένως αυτός είχε συλήσει, να τον στολίση με ωραιότατα αφιερώματα, να αποδώση δε πάλιν όλα τα ιερά σκεύη και μάλιστα πολύ περισσότερα από εκείνα, που είχεν αφαιρέσει, να χορηγή δε από τα ιδικά του έσοδα δια τας δαπάνας, που απαιτούνται δια τας θυσίας.

Β Μακ. 9,17 - πρὸς δὲ τούτοις καὶ Ἰουδαῖον ἔσεσθαι καὶ πάντα τόπον οἰκητὸν ἐπελεύσεσθαι καταγγέλλοντα τὸ τοῦ Θεοῦ κράτος.

Β Μακ. 9,17 - Επί δε τούτοις υπεσχέθη να γίνη και ο ίδιος Ιουδαίος και να επισκέπτεται κάθε κατοικούμενον τόπον, δια να κηρύττη το μεγαλείον του Θεού.

Β Μακ. 9,18 - οὐδαμῶς δὲ ληγόντων τῶν πόνων, ἐπεληλύθει γὰρ ἐπ᾿ αὐτὸν δικαία ἡ τοῦ Θεοῦ κρίσις, τὰ κατ᾿ αὐτὸν ἀπελπίσας, ἔγραψε πρὸς τοὺς Ἰουδαίους τὴν ὑπογεγραμμένην ἐπιστολήν, ἱκετηρίας τάξιν ἔχουσαν, περιέχουσαν δὲ οὕτως·

Β Μακ. 9,18 - Καθώς δε οι πόνοι του δεν κατηυνάζοντο, διότι είχεν επέλθει πλέον εναντίον του η δικαία κρίσις και οργή του Θεού, απηλπίσθη

πλέον δια την θεραπείαν του, και έγραψε προς τους Ιουδαίους την κατωτέρω επιστολήν, η οποία έχει θέσιν ικεσίας και περιλαμβάνει τα εξής·

Β Μακ. 9,19 - «Τοῖς χρηστοῖς Ἰουδαίοις τοῖς πολίταις πολλὰ χαίρειν καὶ ὑγιαίνειν καὶ εὖ πράττειν βασιλεὺς καὶ στρατηγὸς Ἀντίοχος.

Β Μακ. 9,19 - “Προς τους Ιουδαίους, τους αγαθούς αυτούς πολίτας, ο βασιλεύς και στρατηγός Αντίοχος εύχεται πλήρη χαράν και υγείαν και ευημερίαν.

Β Μακ. 9,20 - εἰ ἔῤῥωσθε καὶ τὰ τέκνα καὶ τὰ ἴδια κατὰ γνώμην ἐστὶν ὑμῖν, εὔχομαι μὲν τῷ Θεῷ τὴν μεγίστην χάριν, εἰς οὐρανὸν τὴν ἐλπίδα ἔχων,

Β Μακ. 9,20 - Εάν σεις και τα τέκνα σας υγιαίνετε, εάν αι υποθέσεις σας προχωρούν και εξελίσσονται σύμφωνα με τας επιθυμίας σας, ευχαριστώ και δοξάζω τον Θεόν δια την μεγάλην αυτήν χάριν, διότι και εγώ στον ουράνιον Θεόν στηρίζω τας ελπίδας μου.

Β Μακ. 9,21 - κἀγὼ δὲ ἀσθενῶς διεκείμην, ὑμῶν τὴν τιμὴν καὶ τὴν εὔνοιαν ἂν ἐμνημόνευον φιλοστόργως. ἐπανάγων ἐκ τῶν περὶ τὴν Περσίδα τόπων καὶ περιπεσὼν ἀσθενείᾳ δυσχέρειαν ἐχούσῃ, ἀναγκαῖον ἡγησάμην φροντίσαι τῆς κοινῆς πάντων ἀσφαλείας.

Β Μακ. 9,21 - Ως προς εμέ, είμαι κατάκοιτος χωρίς δύναμιν επάνω στο κρεββάτι και διατηρώ μίαν στοργικήν ανάμνησιν της τιμής και της ευμενείας, που με ηξιώσατε. Επιστρέφων από τας χώρας της Περσίας, και περιπεσών εις τρομεράν ασθένειαν έκρινα απαραίτητον να ασχοληθώ δια την ασφάλειαν όλων σας.

Β Μακ. 9,22 - οὐκ ἀπογινώσκων τὰ κατ᾿ ἐμαυτόν, ἀλλὰ ἔχων πολλὴν ἐλπίδα ἐκφεύξεσθαι τὴν ἀσθένειαν,

Β Μακ. 9,22 - Δεν απελπίζομαι δια τα κατ' εμέ, αλλά έχω πολλάς ελπίδας ότι θα διαφύγω από την ασθένειαν αυτήν.

Β Μακ. 9,23 - θεωρῶν δὲ ὅτι καὶ ὁ πατήρ, καθ᾿ οὓς καιροὺς εἰς τοὺς ἄνω τόπους ἐστρατοπέδευσεν, ἀνέδειξε τὸν διαδεξόμενον,

Β Μακ. 9,23 - Εχων όμως υπ' όψιν ότι ο πατήρ μου, όταν ακόμη ευρίσκετο εις εκστρατείαν και εις πολεμικάς επιχειρήσεις εις τας άλλας χώρας, ανέδειξε τον μέλλοντα διάδοχόν του,

Β Μακ. 9,24 - ὅπως ἐάν τι παράδοξον ἀποβαίνῃ ἢ καὶ προσαγγελθῇ τι δυσχερές, εἰδότες οἱ κατὰ τὴν χώραν ᾧ καταλέλειπται τὰ πράγματα, μὴ ἐπιταράσσωνται.

Β Μακ. 9,24 - ώστε, εάν επέλθη τα απροσδόκητον μοιραίον η κάποια κακή φήμη κυκλοφορήση, οι άνθρωποι της χώρας του να γνωρίζουν, εις ποίον έχει εμπιστευθή την διοίκησιν, δια να μη γίνωνται ταραχαί·

Β Μακ. 9,25 - πρὸς δὲ τούτοις κατανοῶν τοὺς παρακειμένους δυνάστας καὶ γειτνιῶντας τῇ βασιλείᾳ τοῖς καιροῖς ἐπέχοντας καὶ προσδεχομένους τὸ

ἀποβησόμενον, ἀναδέδειχα τὸν υἱόν μου Ἀντίοχον βασιλέα, ὃν πολλάκις ἀνατρέχων εἰς τὰς ἐπάνω σατραπείας τοῖς πλείστοις ὑμῶν παρακατετιθέμην καὶ συνίστων· γέγραφα δὲ πρὸς αὐτὸν τὰ ὑπογεγραμμένα.

Β Μακ. 9,25 - προς τούτοις επειδή γνωρίζω και εγώ καλώς, ότι οι συνορεύοντες με σας βασιλείς, όπως και οι γειτονεύοντες στο ιδικόν μου βασίλειον, παραμονεύουν τας περιστάσεις και περιμένουν το μοιραίον, δια να το εκμεταλλευθούν προς όφελός των, ορίζω και αναδεικνύω ως διάδοχόν μου τον υιόν μου Αντίοχον, τον οποίον πολλές φορές, όταν διέτρεχα τας άνω σατραπείας, συνιστούσα και ενεπιστευόμην εις πλείστους από σας. Εχω δε γράψει και εις αυτόν σχετικήν επιστολήν.

Β Μακ. 9,26 - παρακαλῶ οὖν ὑμᾶς καὶ ἀξιῶ, μεμνημένους τῶν εὐεργεσιῶν κοινῇ καὶ κατ᾿ ἰδίαν, ἕκαστον συντηρεῖν τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν υἱόν μου·

Β Μακ. 9,26 - Σας παρακαλώ, λοιπόν, και αξιώνω, όπως ενθυμούμενοι τας ευεργεσίας, τας οποίας εγώ έχω καμεί εις όλους γενικώς και στον καθένα ιδιαιτέρως, να κρατήση ο καθένας σας την ιδίαν εύνοιαν προς τον υιόν μου, την οποίαν είχατε και προς εμέ.

Β Μακ. 9,27 - πέπεισμαι γὰρ αὐτὸν ἐπιεικῶς καὶ φιλανθρώπως παρακολουθοῦντα τῇ ἐμῇ προαιρέσει συμπεριενεχθήσεσθαι ὑμῖν».

Β Μακ. 9,27 - Εχω δε την πεποίθησιν, ότι και αυτός θα φερθή προς σας με πλήρη επιείκειαν και φιλανθρωπίαν, ακολουθών την ιδικήν μου καλήν προς σας διαγωγήν”.

Β Μακ. 9,28 - Ὁ μὲν οὖν ἀνδροφόνος καὶ βλάσφημος τὰ χείριστα παθών, ὡς ἑτέρους διέθηκεν, ἐπὶ ξένης ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέστρεψε τὸν βίον.

Β Μακ. 9,28 - Ο ανδροφόνος και βλάσφημος αυτός βασιλεύς Αντίοχος, βασανιζόμενος με φοβεράς βασάνους, όπως αυτός είχε βασανίσει άλλους, άπέθανεν εις ξένην χώραν, εις τα όρη με ένα θάνατον ελεεινότατον.

Β Μακ. 9,29 - παρεκομίζετο δὲ τὸ σῶμα Φίλιππος ὁ σύντροφος αὐτοῦ, ὃς καὶ διευλαβηθεὶς τὸν υἱὸν Ἀντιόχου, πρὸς Πτολεμαῖον τὸν Φιλομήτορα εἰς Αἴγυπτον διεκομίσθη.

Β Μακ. 9,29 - Ο Φιλιππος, ο παιδικός του σύντροφος, διεκόμισε το σώμα του Αντιόχου. Εφοβήθη όμως τον νέον βασιλέα 'Αντιοχον και απεσύρθη εεις την αίγυπτον προς τον Πτολεμαίον τυν Φιλομήτορα.

Β ΜΑΚΚΑΒΑΙΩΝ 10

Β Μακ. 10,1 - Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ, τοῦ Κυρίου προάγοντος αὐτούς, τὸ μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν,

Β Μακ. 10,1 - Ο Μακκαβαίος και οι άνδρες του ανακατέλαβαν, με την βοήθειαν του Θεού, τον ιερόν ναόν και την πόλιν Ιερουσαλήμ.

Β Μακ. 10,2 - τοὺς δὲ κατὰ τὴν ἀγορὰν βωμοὺς ὑπὸ τῶν ἀλλοφύλων δεδημιουργημένους, ἔτι δὲ τεμένη καθεῖλον.

Β Μακ. 10,2 - Κατέστρεψαν τους βωμούς, που είχαν οικοδομήσει οι ειδωλολάτραι εις την αγοράν, όπως επίσης και όλους τους άλλους ιερούς των χώρους.

Β Μακ. 10,3 - καὶ τὸν νεὼν καθαρίσαντες ἕτερον θυσιαστήριον ἐποίησαν καὶ πυρώσαντες λίθους καὶ πῦρ ἐκ τούτων λαβόντες, ἀνήνεγκαν θυσίαν μετὰ διετῆ χρόνον καὶ θυμίαμα καὶ λύχνους καὶ τῶν ἄρτων τὴν πρόθεσιν ἐποιήσαντο.

Β Μακ. 10,3 - Αφού δε κατόπιν εκαθάρισαν τον ναόν, οικόδομησαν άλλο θυσιαστήριον ολοκαυτωμάτων. Ηναψαν πυρ από την προστριβήν ειδικών λίθων, επήραν αυτό το πυρ και προσέφεραν θυσίαν, η οποία είχεν από δύο ετών διακοπή. Εκαυσαν επίσης θυμίαμα στο θυσιαστήριον των θυμιαμάτων, ήναψαν τους λύχνους της λυχνίας και έθεσαν τους άρτους εις την τράπεζαν της προθέσεως.

Β Μακ. 10,4 - ταῦτα δὲ ποιήσαντες ἠξίωσαν τὸν Κύριον πεσόντες ἐπὶ κοιλίαν μηκέτι περιπεσεῖν τοιούτοις κακοῖς, ἀλλ᾿ ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ᾿ αὐτοῦ μετ᾿ ἐπιεικείας παιδεύεσθαι καὶ μὴ βλασφήμοις καὶ βαρβάροις ἔθνεσι παραδίδοσθαι.

Β Μακ. 10,4 - Αφού δε έκαμαν όλα αυτά, έπεσαν πρηνείς στο έδαφος και παρεκάλεσαν τον Κυριον, να μη περιπέσουν πλέον στοιαύτας συμφοράς. Αλλά, εάν ποτέ και αμαρτήσουν ως άνθρωποι, να παιδαγωγηθούν από αυτόν με ευσπλαγχνίαν και να μη παραδοθούν εις τα βάρβαρα και βλάσφημα ειδωλολατρικά έθνη.

Β Μακ. 10,5 - ἐν ᾗ δὲ ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλοφύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν τὸν καθαρισμὸν γενέσθαι τοῦ ναοῦ, τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ μηνός, ὅς ἐστι Χασελεῦ.

Β Μακ. 10,5 - Συνέβη δε και τούτο το παράδοξον· κατά την ημέραν, κατά την οποίαν ο ναός είχε βεβηλωθή από τους ειδωλολάτρας, κατά την ιδίαν ημέραν συνέπεσε να γίνη και ο καθαρισμός αυτού. Ητοι την εικοστήν πέμπτην του ιδίου μηνός, δηλαδή του Χασελεύ.

Β Μακ. 10,6 - καὶ μετ᾿ εὐφροσύνης ἦγον ἡμέρας ὀκτὼ σκηνωμάτων τρόπον, μνημονεύοντες ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν ἑορτὴν ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν νεμόμενοι.

Β Μακ. 10,6 - Εώρτασαν δε επί οκτώ ημέρας με πολλήν χαράν κατά τον ίδιον τρόπον, που εόρταζαν την εορτήν της Σκηνοπηγίας, ενθυμούμενοι ότι προ ολίγου χρόνου είχαν εορτάσει την εορτήν της Σκηνοπηγίας, παραμένοντες και τρεφόμενοι εις τα όρη και εις τα σπήλαια, όπως τα άγρια θηρία.

Β Μακ. 10,7 - διὸ θύρσους καὶ κλάδους ὡραίους, ἔτι δὲ φοίνικας ἔχοντες ὕμνους ἀνέφερον τῷ εὐοδώσαντι καθαρισθῆναι τὸν ἑαυτοῦ τόπον.
Β Μακ. 10,7 - Δια τούτο έχοντες εις τα χέρια των ράβδους στολισμένας με φύλλα και κρατούντες ωραίους πράσινους κλάδους, καθώς επίσης και φοίνικας, έψαλλαν ύμνους προς δόξαν του Θεού, ο οποίος τους κατευώδωσε να πραγματοποιήσουν τον καθαρισμόν του ναού του.
Β Μακ. 10,8 - ἐδογμάτισαν δὲ μετὰ κοινοῦ προστάγματος καὶ ψηφίσματος παντὶ τῷ τῶν Ἰουδαίων ἔθνει κατ᾿ ἐνιαυτὸν ἄγειν τάσδε τὰς ἡμέρας.
Β Μακ. 10,8 - Καθιέρωσαν δε με ένα δημόσιον διάταγμα, που εψηφίσθη από όλον τον λαόν, ότι όλον το ιουδαϊκόν έθνος κάθε έτος θα πανηγυρίζη τας ημέρας αυτάς.
Β Μακ. 10,9 - καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς τελευτῆς οὕτως εἶχε.
Β Μακ. 10,9 - Και αυτά μεν ήσαν τα γεγονότα τα συμβάντα περί τον θάνατον του Αντιόχου του επονομασθέντος Επιφανούς.
Β Μακ. 10,10 - Νυνὶ δὲ τὰ κατὰ τὸν Εὐπάτορα Ἀντίοχον, υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενον δηλώσομεν, αὐτὰ συντέμνοντες τὰ τῶν πολέμων κακά.
Β Μακ. 10,10 - Τωρα δε θα κάμωμεν λόγον δια τα αφορώντα τον Αντίοχον τον Ευπάτορα, υιόν του ασεβούς εκείνου βασιλέως, εκθέτοντες με συντομίαν τα εκ των πολέμων κακά επί της βασιλείας του.
Β Μακ. 10,11 - αὐτὸς γὰρ παραλαβὼν βασιλείαν ἀνέδειξεν ἐπὶ τῶν πραγμάτων Λυσίαν τινά, Κοίλης δὲ Συρίας καὶ Φοινίκης στρατηγὸν πρώταρχον.
Β Μακ. 10,11 - Αυτός, αφού παρέλαβε την βασιλείαν, κατέστησεν επικεφαλής των πραγμάτων του βασιλείου του κάποιον Λυσίαν, ανώτατον στρατιωτικόν διοικητήν της Κοίλης Συρίας και της Φοινίκης.
Β Μακ. 10,12 - Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων τὸ δίκαιον συντηρεῖν προηγούμενος εἰς τοὺς Ἰουδαίους διὰ τὴν γεγονυῖαν εἰς αὐτοὺς ἀδικίαν ἐπειρᾶτο τὰ πρὸς αὐτοὺς εἰρηνικῶς διεξάγειν.
Β Μακ. 10,12 - Διότι ο Πτολεμαίος, ο επονομαζόμενος Μακρων, πρώτος αυτός ανεγνώρισε το δίκαιον των Ιουδαίων και δια την επανόρθωσιν των αδικιών, που είχαν γίνει εις αυτούς, προσεπάθει να τους κυβερνήση κατά τρόπον ειρηνικόν.
Β Μακ. 10,13 - ὅθεν κατηγορούμενος ὑπὸ τῶν φίλων πρὸς τὸν Εὐπάτορα καὶ προδότης παρέκαστα ἀκούων διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ὑπὸ τοῦ Φιλομήτορος ἐκλιπεῖν καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι μήτ᾿ εὐγενῆ τὴν ἐξουσίαν ἔχων, ὑπ᾿ ἀθυμίας φαρμακεύσας ἑαυτὸν ἐξέλιπε τὸν βίον.

Β Μακ. 10,13 - Δια το γεγονός όμως αυτό κατηγορήθη από τους φίλους του βασιλέως ενώπιον του Ευπάτορος. Δια τον λόγον αυτόν, αλλά και διότι εις κάθε περίστασιν ωνομάζετο προδότης επειδή είχεν εγκαταλείψει την Κυπρον, που του είχεν εμπιστευθή ο Φιλομήτωρ και είχε προσχωρήσει με το μέρος του Αντιόχου του Επιφανούς, και επειδή δεν κατείχε πλέον καμμίαν θέσιν, όπως αρμόζει εις ένα ευγενή, κατελήφθη από μελαγχολίαν εδηλητηρίασε τον εαυτόν του και έθεσε τέρμα εις την ζωήν του.

Β Μακ. 10,14 - Γοργίας δὲ γενόμενος στρατηγὸς τῶν τόπων ἐξενοτρόφει καὶ παρέκαστα πρὸς τοὺς Ἰουδαίους ἐπολεμοτρόφει.

Β Μακ. 10,14 - Ο δε Γοργίας, όταν έγινε στρατηγός των περιοχών εκείνων, εστρατολόγησε μισθοφορικά στρατεύματα και εις κάθε παρουσιαζομένην ευκαιρίαν επολεμούσε εναντίον των Ιουδαίων.

Β Μακ. 10,15 - ὁμοῦ δὲ τούτῳ καὶ οἱ Ἰδουμαῖοι ἐγκρατεῖς ἐπικαίρων ὀχυρωμάτων ὄντες ἐγύμναζον τοὺς Ἰουδαίους, καὶ τοὺς φυγαδευθέντας ἀπὸ Ἱεροσολύμων προσλαβόμενοι πολεμοτροφεῖν ἐπεχείρουν.

Β Μακ. 10,15 - Συγχρόνως δε με αυτόν και οι Ιδουμαίοι εκυρίευαν σπουδαία οχυρώματα και παρενοχλούσαν τους Ιουδαίους· επίσης εδέχοντο και εκείνους, οι οποίοι εξωρίζοντο από την Ιερουσαλήμ, και εφρόντιζαν με αυτούς να διατηρούν τον πόλεμον.

Β Μακ. 10,16 - οἱ δὲ περὶ τὸν Μακκαβαῖον ποιησάμενοι λιτανείαν καὶ ἀξιώσαντες τὸν Θεὸν σύμμαχον αὐτοῖς γενέσθαι, ἐπὶ τὰ τῶν Ἰδουμαίων ὀχυρώματα ὥρμησαν,

Β Μακ. 10,16 - Ο Μακκαβαίος και οι άνδρες του, αφού προσηυχήθησαν με ευλάβειαν προς τον Θεόν και τον παρεκάλεσαν με πίστιν να συμπαρασταθή ως σύμμαχός των, ώρμησαν εναντίον των οχυρωμάτων, που κατείχαν οι Ιδουμαίοι.

Β Μακ. 10,17 - οἷς καὶ προσβαλόντες εὐρώστως ἐγκρατεῖς ἐγένοντο τῶν τόπων πάντας τε τοὺς ἐπὶ τῷ τείχει μαχομένους ἠμύναντο κατέσφαζόν τε τοὺς ἐμπίπτοντας, ἀνεῖλον δὲ οὐχ ἧττον τῶν δισμυρίων.

Β Μακ. 10,17 - Επετέθησαν εναντίον αυτών με μεγάλην ευρωστίαν και δύναμιν, εκυρίευσαν όλους τους τόπους των, κατεπολέμησαν τους υπερασπιστάς των τειχών και εκείνους, οι οποίοι έπιπτον εις τα χέρια των, τους κατέσφαζαν. Εφόνευσαν δε έτσι οχι ολιγωτέρους από είκοσι χιλιάδας.

Β Μακ. 10,18 - συμφυγόντων δὲ οὐκ ἔλαττον τῶν ἐνακισχιλίων εἰς δύο πύργους ὀχυροὺς εὖ μάλα καὶ πάντα τὰ πρὸς πολιορκίαν ἔχοντας,

Β Μακ. 10,18 - Μερικοί δε από τους εχθρούς, τουλάχιστον εννέα χιλιάδες, κατέφυγαν εις δυο οχυρωτάτους πύργους, που είχαν μέσα όλα όσα τους εχρειάζοντο, δια να κρατήσουν την πολιορκίαν και να αμυνθούν.

Β Μακ. 10,19 - ὁ Μακκαβαῖος εἰς ἐπείγοντας τόπους ἀπολιπὼν Σίμωνα καὶ Ἰώσηφον, ἔτι δὲ καὶ Ζακχαῖον καὶ τοὺς σὺν αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν, αὐτὸς ἐχωρίσθη.

Β Μακ. 10,19 - Ο Μακκαβαίος αφήσας τον Σιμωνα και τον Ιώσηφον, όπως επίσης και τον Ζακχαίον και μαζή με αυτούς αρκετούς άνδρας δια την πολιορκίαν των δύο πύργων, αυτός απεμακρύνθη από την περιοχήν εις σπουδαιοτέρας τοποθεσίας.

Β Μακ. 10,20 - οἱ δὲ περὶ τὸν Σίμωνα φιλαργυρήσαντες ὑπό τινων τῶν ἐν τοῖς πύργοις ἐπείσθησαν ἀργυρίῳ· ἑπτάκις δὲ μυριάδας δραχμὰς λαβόντες εἴασάν τινας διαῤῥυῆναι.

Β Μακ. 10,20 - Οι στρατιώται όμως του Σιμωνος, φιλάργυροι καθώς ήσαν, εδελεάσθησαν από τα αργύρια, που τους επρότειναν οι έγκλειστοι στους πύργους. Αφού δε έλαβαν εβδομήκοντα χιλιάδες δραχμάς, επέτρεψαν εις μερικούς από τους πολιορκημένους να διαφύγουν.

Β Μακ. 10,21 - προσαγγελθέντος δὲ τῷ Μακκαβαίῳ περὶ τοῦ γεγονότος, συναγαγὼν τοὺς ἡγουμένους τοῦ λαοῦ κατηγόρησεν ὡς ἀργυρίου πεπράκασι τοὺς ἀδελφούς, τοὺς πολεμίους κατ᾿ αὐτῶν ἀπολύσαντες.

Β Μακ. 10,21 - Οταν ο Μακκαβαίος επληροφορήθη το γεγονός, συνεκέντρωσε τους αρχηγούς του λαού και κατηγόρησε τους ανθρώπους αυτούς, ότι επώλησαν αντί αργυρίου τους αδελφούς των, εφ' όσον αφήκαν ελευθέρους τους εχθρούς των να διαφύγουν ωπλισμένοι και τους έδωσαν την ευκαιρίαν να στραφούν εναντίον των.

Β Μακ. 10,22 - τούτους μὲν οὖν προδότας γενομένους ἀπέκτεινε καὶ παραχρῆμα τοὺς δύο πύργους κατελάβετο.

Β Μακ. 10,22 - Αυτούς μέν, λοιπόν, οι οποίοι αντί χρημάτων έγιναν προδόται, εθανάτωσε, κατέλαβε δε αμέσως τους δύο πύργους.

Β Μακ. 10,23 - τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος ἀπώλεσεν ἐν τοῖς δυσὶν ὀχυρώμασι πλείους τῶν δισμυρίων.

Β Μακ. 10,23 - Επιτυχώς δε πάντοτε διεξάγων τας πολεμικάς του επιχειρήσεις εφόνευσεν εις τα δύο αυτά φρούρια πλέον των είκοσι χιλιάδων ανδρών.

Β Μακ. 10,24 - Τιμόθεος δὲ ὁ πρότερον ἡττηθεὶς ὑπὸ τῶν Ἰουδαίων συναγαγὼν ξένας δυνάμεις παμπληθεῖς καὶ τοὺς τῆς Ἀσίας γενομένους ἵππους συναθροίσας οὐκ ὀλίγους, παρῆν ὡς δορυάλωτον ληψόμενος τὴν Ἰουδαίαν.

Β Μακ. 10,24 - Ο Τιμόθεος, ο οποίος προηγουμένως είχε νικηθή από τους Ιουδαίους, συνεκέντρωσε πλήθος ξένων στρατιωτών, όπως επίσης και πολυάριθμον ιππικόν από την Ασίαν και παρουσιάσθη εντός ολίγου εις την Ιουδαίαν, δια να την κατακτήση με τα όπλα.

Β Μακ. 10,25 - οἱ δὲ περὶ τὸν Μακκαβαῖον συνεγγίζοντος αὐτοῦ, πρὸς ἱκετείαν τοῦ Θεοῦ ἐτράπησαν γῇ τὰς κεφαλὰς καταπάσαντες καὶ τὰς ὀσφύας σάκκοις ζώσαντες,

Β Μακ. 10,25 - Ο Μακκαβαίος και οι περί αυτόν, όταν έφθασεν ο Τιμόθεος, εστράφησαν εις θερμήν προσευχήν προς τον Θεόν. Ερριψαν χώμα εις την κεφαλήν των, εζώσθησαν σάκκους εις την μέσην των,

Β Μακ. 10,26 - ἐπὶ τὴν ἀπέναντι τοῦ θυσιαστηρίου κρηπῖδα προσπεσόντες, ἠξίουν ἵλεων αὐτοῖς γενόμενν ἐχθρεῦσαι τοῖς ἐχθροῖς αὐτῶν καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις, καθὼς ὁ νόμος διασαφεῖ.

Β Μακ. 10,26 - εγονάτισαν εις την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων και παρεκάλεσαν τον Κυριον να φανή ίλεως εις αυτούς, να γίνη δε εχθρός στους εχθρούς των και πολέμιος στους πολεμίους των, όπως και ο Νομος σαφώς αναφέρει.

Β Μακ. 10,27 - γενόμενοι δὲ ἀπὸ τῆς δεήσεως, ἀναλαβόντες τὰ ὅπλα προῆγον ἀπὸ τῆς πόλεως ἐπὶ πλεῖον· συνεγγίσαντες δὲ τοῖς πολεμίοις ἐφ᾿ ἑαυτῶν ἦσαν.

Β Μακ. 10,27 - Μετά δε την προσευχήν των επήραν τα όπλα και εξήλθαν από την πόλιν εις μακρυνήν απόστασαν. Οταν έφθασαν κοντά στους εχθρούς, εσταμάτησαν.

Β Μακ. 10,28 - ἄρτι δὲ τῆς ἀνατολῆς διαδεχομένης προσέβαλον ἑκάτεροι, οἱ μὲν ἔγγυον ἔχοντες εὐημερίας καὶ νίκης μετ᾿ ἀρετῆς τὴν ἐπὶ τὸν Κύριον καταφυγήν, οἱ δὲ καθηγεμόνα τῶν ἀγώνων ταττόμενοι τὸν θυμόν.

Β Μακ. 10,28 - Μολις δε υπέφωσκεν η ανατολή, ήλθον εις σύρραξιν οι δύο αντίπαλοι εχθροί, οι μεν Ιουδαίοι είχον ως εγγύησιν της επιτυχίας της νίκης των, εκτός της ανδρείας των, την βοήθειαν προ παντός του Θεού, προς τον οποίον κατέφυγαν, οι άλλοι δε είχον τον θυμόν των ως οδηγόν κατά την μάχην.

Β Μακ. 10,29 - γενομένης δὲ καρτερᾶς μάχης, ἐφάνησαν τοῖς ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ᾿ ἵππων χρυσοχαλίνων ἄνδρες πέντε διαπρεπεῖς, καὶ ἀφηγούμενοι τῶν Ἰουδαίων,

Β Μακ. 10,29 - Κατά την έντασιν δε της μεγάλης εκείνης μάχης εφάνησαν από τον ουρανόν στους εχθρούς πέντε άνδρες που άστραφταν επάνω εις ίππους με χρυσά χαλινάρια και οι οποίοι εφαίνοντο ωσάν αρχηγοί των Ιουδαίων.

Β Μακ. 10,30 - οἳ καὶ τὸν Μακκαβαῖον μέσον λαβόντες καὶ σκεπάζοντες ταῖς ἑαυτῶν πανοπλίαις ἄτρωτον διεφύλαττον, εἰς δὲ τοὺς ὑπεναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξεῤῥίπτουν· διὸ συγχυθέντες ἀορασίᾳ κατεκόπτοντο ταραχῆς πεπληρωμένοι.

Β Μακ. 10,30 - Αυτοί είχαν και τον Μακκαβαίον στο μέσον αυτών και σκεπάζοντες αυτόν με τας πανοπλίας των τον διεφύλαττον άτρωτον από τα βέλη, ενώ συγχρόνως έρριπτον εναντίον των εχθρών βέλη και κεραυνούς. Οι εχθροί ένεκα τυφλώσεως περιέπεσαν εις σύγχυσιν και κυριευθέντες από ταραχήν κατεκόπτοντο από τους Ιουδαίους.

Β Μακ. 10,31 - κατεσφάγησαν δὲ δισμύριοι πρὸς τοῖς πεντακοσίοις, ἱππεῖς δὲ ἑξακόσιοι.

Β Μακ. 10,31 - Εφονεύθησαν είκοσι χιλιάδες πεντακόσιοι πεζοί και εξακόσιοι ιππείς.

Β Μακ. 10,32 - αὐτὸς δὲ ὁ Τιμόθεος συνέφυγεν εἰς Γάζαρα λεγόμενον ὀχύρωμα, εὖ μάλα φρούριον, στρατηγοῦντος ἐκεῖ Χαιρέου.

Β Μακ. 10,32 - Ο ίδιος δε ο Τιμόθεος, δια να σωθή, κατέφυγεν εις μίαν οχυράν θέσιν λεγομένην Γαζαρα· εις φρούριον δηλαδή πολύ ισχυρόν, του οποίου διοικητής ήτο ο Χαιρέας.

Β Μακ. 10,33 - οἱ δὲ περὶ τὸν Μακκαβαῖον ἄσμενοι περιεκάθισαν τὸ φρούριον ἡμέρας τέσσαρας.

Β Μακ. 10,33 - Ο Μακκαβαίος και οι περί αυτόν χαρούμενοι και βέβαιοι δια την νίκην περιεκύκλωσαν το φρούριον αυτό επί τέσσαρας ημέρας.

Β Μακ. 10,34 - οἱ δὲ ἔνδον τῇ ἐρυμνότητι τοῦ τόπου πεποιθότες ὑπεράγαν ἐβλασφήμουν καὶ λόγους ἀθεμίτους προΐεντο.

Β Μακ. 10,34 - Οι πολιορκούμενοι έχοντες πεποίθησιν στο οχυρόν και απόκρημνον της θέσεως αυτής εξεστόμιζεν φοβεράς βλασφημίας και εξεσφενδόνιζαν ασεβείς φράσεις εναντίον του Θεού.

Β Μακ. 10,35 - ὑποφαινούσης δὲ τῆς πέμπτης ἡμέρας, εἴκοσι νεανίαι τῶν περὶ τὸν Μακκαβαῖον πυρωθέντες τοῖς θυμοῖς διὰ τὰς βλασφημίας, προσβαλόντες τῷ τείχει ἀῤῥενωδῶς καὶ θηριώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκοπτον.

Β Μακ. 10,35 - Οταν όμως ήρχισε να υποφώσκη η πέμπτη ημέρα, είκοσι νεαροί άνδρες από το στράτευμα του Μακκαβαίου. Των οποίων η ψυχή είχεν ανάψει από θυμόν δια τας βλασφημίας αυτού επετέθησαν με γενναιότητα εναντίον του τείχους και με θάρρος θηρίων έσφαζαν καθένα, που ευρίσκετο εμπρός των.

Β Μακ. 10,36 - ἕτεροι δὲ ὁμοίως προσαναβάντες ἐν τῷ περισπασμῷ πρὸς τοὺς ἔνδον, ἐνεπίμπρων τοὺς πύργους καὶ πυρὰς ἀνάψαντες ζῶντας τοὺς βλασφήμους κατέκαιον. οἱ δὲ τὰς πύλας διέκοπτον, εἰσδεξάμενοι δὲ τὴν λοιπὴν τάξιν προκατελάβοντο τὴν πόλιν.

Β Μακ. 10,36 - Καθ' ον χρόνον αυτοί ήσαν απησχολημένοι με τους εντός του φρουρίου εχθρούς, άλλοι Ιουδαίοι στρατιώται ανήρχοντο κατά τον ίδιον τρόπον όπισθεν από αυτούς εις το τείχος και έκαιαν τους πύργους και ανάπτοντες πυράς έκαιαν ζωντανούς τους βλασφήμους. Αλλοι έσπαζαν τας πύλας, δια να ανοίξουν δρόμον στον υπόλοιπον στρατόν, και έτσι κατέλαβαν την πόλιν.

Β Μακ. 10,37 - καὶ τὸν Τιμόθεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ κατέσφαξαν καὶ τὸν τούτου ἀδελφὸν Χαιρέαν καὶ τὸν Ἀπολλοφάνην.

Β Μακ. 10,37 - Και τον Τιμόθεον κρυμμένον εις κάποιον λάκκον τον εφόνευσαν, όπως επίσης τον αδελφόν του Χαιρέαν και τον Απολλοφάνην.

Β Μακ. 10,38 - ταῦτα δὲ διαπραξάμενοι μεθ᾿ ὕμνων καὶ ἐξομολογήσεων εὐλόγουν τῷ Κυρίῳ τῷ μεγάλως εὐεργετοῦντι τὸν Ἰσραὴλ καὶ τὸ νῖκος αὐτοῖς διδόντι.

Β Μακ. 10,38 - Επειτα δε από τα ηρωϊκά αυτά κατορθώματα ευλογούσαν με ύμνους και δοξολογίας τον Κυριον, ο οποίος πλουσίως ευεργετούσε τον ισραηλιτικόν λαόν και έδιδεν εις αυτούς την νίκην.

Β ΜΑΚΚΑΒΑΙΩΝ 11

Β Μακ. 11,1 - Μετ᾿ ὀλίγον δὲ παντελῶς χρόνον Λυσίας ἐπίτροπος τοῦ βασιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων λίαν βαρέως φέρων ἐπὶ τοῖς γεγονόσι,

Β Μακ. 11,1 - Επειτα από πολύ ολίγον χρόνον ο Λυσίας, ο επίτροπος και συγγενής του βασιλέως, ο υπεύθυνος δια την διοίκησιν των βασιλικών πραγμάτων, έφερε πολύ βαρέως την δυσμενεστάτην εξέλιξιν των γεγονότων.

Β Μακ. 11,2 - συναθροίσας περὶ τὰς ὀκτὼ μυριάδας καὶ τὴν ἵππον πᾶσαν, παρεγένετο ἐπὶ τοὺς Ἰουδαίους λογιζόμενος τὴν μὲν πόλιν Ἕλλησιν οἰκητήριον ποιήσειν,

Β Μακ. 11,2 - Αφού λοιπόν συνεκέντρωσεν ογδοήκοντα χιλιάδας πεζούς και όλον το ιππικόν, εξεστράτευσεν εναντίον των Ιουδαίων έχων απόφασιν την Ιερουσαλήμ να κάμη κατοικητήριον των Ελλήνων,

Β Μακ. 11,3 - τὸ δὲ ἱερὸν ἀργυρολόγητον, καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη, πρατὴν δὲ τὴν ἀρχιερωσύνην κατ᾿ ἔτος ποιήσειν,

Β Μακ. 11,3 - εις δε τον ιερόν ναόν να επιβάλη φόρον, όπως είχε κάμει και στους άλλους ναούς των ειδωλολατρικών εθνών, να πωλή δε κάθε χρόνον και το αξίωμα της αρχιερωσύνης.

Β Μακ. 11,4 - οὐδαμῶς ἐπιλογιζόμενος τὸ τοῦ Θεοῦ κράτος, πεφρενωμένος δὲ ταῖς μυριάσι τῶν πεζῶν καὶ ταῖς χιλιάσι τῶν ἱππέων καὶ τοῖς ἐλέφασι τοῖς ὀγδοήκοντα.

Β Μακ. 11,4 - Αυτά εγωϊστικώς εσκέπτετο έχων πλήρη πεποίθησιν εις τας δεκάδας χιλιάδας του πεζικού του, εις τας χιλιάδας των ιππέων του και στους ογδοήκοντα ελέφαντάς του, χωρίς να λαμβάνη υπ' όψιν την δύναμιν του Θεού.

Β Μακ. 11,5 - εἰσελθὼν δὲ εἰς τὴν Ἰουδαίαν καὶ συνεγγίσας Βαιθσούρᾳ, ὄντι μὲν ἐρυμνῷ χωρίῳ, ἀπὸ δὲ Ἱεροσολύμων ἀπέχοντι ὡσεὶ σταδίους πέντε, τοῦτο ἔθλιβεν.

Β Μακ. 11,5 - Αφού, λοιπόν, εισήλθεν εις την Ιουδαίαν επροχώρησε πλησίον εις την Βαιθσούραν, θέσιν οχυρωτάτην, που απείχε πέντε περίπου στάδια από την Ιερουσαλήμ, και την επίεζε με ισχυράν δύναμιν.

Β Μακ. 11,6 - ὡς δὲ μετέλαβον οἱ περὶ τὸν Μακκαβαῖον πολιορκοῦντα αὐτὸν τὰ ὀχυρώματα, μετ᾿ ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς ὄχλοις τὸν Κύριον ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν τῷ Ἰσραήλ.

Β Μακ. 11,6 - Οταν δε ο Μακκαβαίος και οι άνδρες του επληροφορήθησαν, ότι ο Λυσίας πολιορκεί αυτήν την οχυράν θέσιν, παρεκάλουν αυτοί και όλος ο λαός τον Θεόν με οδυρμούς και δάκρυα, να αποστείλη άγγελον αγαθόν προς σωτηρίαν του Ισραηλιτικού λαού.

Β Μακ. 11,7 - αὐτὸς δὲ πρῶτος ὁ Μακκαβαῖος ἀναλαβὼν τὰ ὅπλα προετρέψατο τοὺς ἄλλους, ἅμα αὐτῷ διακινδυνεύοντας ἐπιβοηθεῖν τοῖς ἀδελφοῖς αὐτῶν· ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν.

Β Μακ. 11,7 - Πρώτος δε ο Μακκαβαίος επήρε τα όπλα, παρεκίνησε δε και όλους τους άλλους να βοηθήσουν τους αδελφούς των, οσονδήποτε και αν επρόκειτο να διακινδυνεύσουν. Εκείνοι δε ώρμησαν ποοθύμως μαζή με αυτόν.

Β Μακ. 11,8 - αὐτόθι δὲ καὶ πρὸς τοῖς Ἱεροσολύμοις ὄντων, ἐφάνη προηγούμενος αὐτῶν ἔφιππος ἐν λευκῇ ἐσθῆτι, πανοπλίαν χρυσῆν κραδαίνων.

Β Μακ. 11,8 - Οταν δε έφθασαν κοντά εις την Ιερουσαλήμ, παρουσιάσθη επικεφαλής των ένας ιππεύς ενδεδυμένος λευκά, ο οποίος επέσειεν ένα χρυσόν οπλισμόν.

Β Μακ. 11,9 - ὁμοῦ δὲ πάντες εὐλόγησαν τὸν ἐλεήμονα Θεὸν καὶ ἐπεῤῥώσθησαν ταῖς ψυχαῖς, οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ θῆρας τοὺς ἀγριωτάτους καὶ σιδηρᾶ τείχη τιτρώσκειν ὄντες ἕτοιμοι,

Β Μακ. 11,9 - Τοτε όλοι μαζή εδοξολόγησαν τον ελεήμονα Θεόν και επήραν θάρρος, έτοιμοι πλέον να διατρυπήσουν όχι μόνον ανθρώπους αλλά και τα αγριώτατα θηρία και σιδηρένια ακόμα τείχη.

Β Μακ. 11,10 - προῆγον ἐν διασκευῇ τὸν ἀπ᾿ οὐρανοῦ σύμμαχον ἔχοντες, ἐλεήσαντος αὐτοὺς τοῦ Κυρίου.

Β Μακ. 11,10 - Επροχωρούσαν εις πολεμικήν παράταξιν, έχοντες ως σύμμαχόν των τον ουράνιον Θεόν, ο οποίος τόσον ελεήμων εφάνη προς αυτούς.

Β Μακ. 11,11 - λεοντηδὸν δὲ ἐντινάξαντες εἰς τοὺς πολεμίους κατέστρωσαν αὐτοὺς χιλίους πρὸς τοῖς μυρίοις, ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς χιλίοις· τοὺς δὲ πάντας ἠνάγκασαν φυγεῖν.

Β Μακ. 11,11 - Ως λέοντες δε εξώρμησαν εναντίον των πολεμίων και έστρωσαν κατά γης νεκρούς ένδεκα χιλιάδας πεζούς και χιλίους εξακοσίους ιππείς. Ολους δε τους υπολοίπους ηνάγκασαν να τραπούν εις φυγήν.

Β Μακ. 11,12 - οἱ πλείονες δὲ αὐτῶν τραυματίαι γυμνοὶ διεσώθησαν, καὶ αὐτὸς δὲ ὁ Λυσίας αἰσχρῶς φεύγων διεσώθη.

Β Μακ. 11,12 - Οι περισσότεροι από αυτούς διέφυγαν πληγωμένοι και γυμνοί από τα όπλα των. Και αυτός ακόμη ο Λυσίας διεσώθη με επαίσχυντον φυγήν.

Β Μακ. 11,13 - οὐκ ἄνους δὲ ὑπάρχων, πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γεγονὸς περὶ ἑαυτὸν ἐλάσσωμα καὶ συννοήσας ἀνικήτους εἶναι τοὺς Ἑβραίους, τοῦ πάντα δυναμένου Θεοῦ συμμαχοῦντος αὐτοῖς, προσαποστείλας

Β Μακ. 11,13 - Επειδή όμως δεν ήτο ανόητος, εσκέφθη καθ' εαυτόν, εμελέτησε την αποτυχίαν και επείσθη, ότι οι Εβραίοι είναι ανίκητοι, διότι έχουν σύμμαχόν των τον παντοδύναμον Θεόν.

Β Μακ. 11,14 - ἔπεισε συλλύσεσθαι ἐπὶ πᾶσι τοῖς δικαίοις, καὶ διότι καὶ τὸν βασιλέα πείσειν φίλον αὐτοῖς ἀναγκάζειν γενέσθαι.

Β Μακ. 11,14 - Εστειλε, λοιπόν, προς αυτούς ανθρώπους και επρότεινε συμφιλίωσιν με όρους δικαίους και ίσους μεταξύ των. Διότι ανέλαβεν επί πλέον την υποχρέωσιν να πείση και τον βασιλέα και να τον πειθαναγκάση να γίνη φίλος των.

Β Μακ. 11,15 - ἐνέπνευσε δὲ ὁ Μακκαβαῖος ἐπὶ πᾶσιν, οἷς ὁ Λυσίας παρεκάλει, τοῦ συμφέροντος φροντίζων· ὅσα γὰρ ὁ Μακκαβαῖος ἐπέδωκε τῷ Λυσίᾳ διὰ γραπτῶν περὶ τῶν Ἰουδαίων, συνεχώρησεν ὁ βασιλεύς.

Β Μακ. 11,15 - Ο Μακκαβαίος συγκατένευσεν εις όλα όσα επρότεινεν ο Λυσίας ως ανταποκρινόμενα στο συμφέρον όλων. Διότι όλους τους όρους, τους οποίους ο Μακκαβαίος επέδωσε γραπτώς στον Λυσίαν υπέρ των Ιουδαίων, ο βασιλεύς τους απεδέχθη.

Β Μακ. 11,16 - ἦσαν γὰρ αἱ γεγραμμέναι τοῖς Ἰουδαίοις ἐπιστολαί, παρὰ μὲν Λυσίου περιέχουσαι τὸν τρόπον τοῦτον· «Λυσίας τῷ πλήθει τῶν Ἰουδαίων χαίρειν.

Β Μακ. 11,16 - Αι δε παρά του Λυσίου επιστολαί αι γραφείσαι προς τους Ιουδαίους περιείχαν τα εξής· “Ο Λυσίας χαιρετίζει το έθνος των Εβραίων.

Β Μακ. 11,17 - Ἰωάννης καὶ Ἀβεσσαλὼμ οἱ πεμφθέντες παρ᾿ ὑμῶν, ἐπιδόντες τὸν ὑπογεγραμμένον χρηματισμόν, ἠξίουν περὶ τῶν δι᾿ αὐτοῦ σημαινομένων.

Β Μακ. 11,17 - Ο Ιωάννης και ο Αβεσσαλώμ, οι οποίοι εστάλησαν προς ημάς από σας, αφού μας έδωσαν γραπτώς τους όρους σας, εζητούσαν να επικυρώσω και εγώ αυτά, που ήσαν γραμμένα.

Β Μακ. 11,18 - ὅσα μὲν οὖν ἔδει καὶ τῷ βασιλεῖ πρσενεχθῆναι, διεσάφησα· ἃ δὲ ἦν ἐνδεχόμενα, συνεχώρησεν.

Β Μακ. 11,18 - Οσα μεν λοιπόν έπρεπε να υποβάλω στον βασιλέα, τα κατέστησα εις αυτόν γνωστά. Εκείνος δε παρεχώρησεν ο,τι ήτο δυνατόν να

παραχωρηθή.
Β Μακ. 11,19 - ἐὰν μὲν οὖν συντηρήσητε τὴν εἰς τὰ πράγματα εὔνοιαν, καὶ εἰς τὸ λοιπὸν πειράσομαι παραίτιος ὑμῖν ἀγαθῶν γενέσθαι.
Β Μακ. 11,19 - Εάν, λοιπόν, σεις διατηρήσετε επάνω εις τα πράγματα την φιλικήν στάσιν σας, εγώ θα προσπαθήσω με όλην μου την δύναμιν κατά τον υπόλοιπον χρόνον να γίνω πρόξενος αγαθών εις σας.
Β Μακ. 11,20 - ὑπὲρ δὲ τῶν κατὰ μέρος ἐντέταλμαι τούτοις τε καὶ τοῖς παρ᾿ ἐμοῦ διαλεχθῆναι ὑμῖν.
Β Μακ. 11,20 - Οσον δε αφορά τας επί μέρους λεπτομερείας, έδωσα εντολήν στους απεσταλμένους σας, όπως και στους ιδικούς μου απεσταλμένους, να συνεννοηθούν με σας.
Β Μακ. 11,21 - ἔῤῥωσθε. ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, Διοσκορινθίου τετράδι καὶ εἰκάδι».
Β Μακ. 11,21 - Υγιαίνετε. Ετος εκατοστόν τεσσαρακοστόν όγδοον της χρονολογίας των Σελευκιδών, εικοστή τετάρτη του μηνός Διοσκορινθίου”.
Β Μακ. 11,22 - Ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ περιεῖχεν οὕτως· «Βασιλεὺς Ἀντίοχος τῷ ἀδελφῷ Λυσίᾳ χαίρειν.
Β Μακ. 11,22 - Η επιστολή δε του βασιλέως περιείχε τα εξής· “ο βασιλεύς Αντίοχος χαιρετίζει τον αδελφόν Λυσίαν.
Β Μακ. 11,23 - τοῦ πατρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος, βουλόμενοι τοὺς ἐκ τῆς βασιλείας ἀταράχους ὄντας γενέσθαι πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν,
Β Μακ. 11,23 - Του πατρός μου εκδημήσαντος στους θεούς, εγώ επιθυμώ ίνα, εκείνοι που μένουν στο βασίλειόν μου, επιδίδωνται ανενόχλητοι εις τα ειρηνικά των έργα.
Β Μακ. 11,24 - ἀκηκοότες τοὺς Ἰουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ πατρὸς ἐπὶ τὰ Ἑλληνικὰ μεταθέσει, ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν αἱρετίζοντας καὶ διὰ τοῦτο ἀξιοῦντας συγχωρηθῆναι αὐτοῖς τὰ νόμιμα αὐτῶν·
Β Μακ. 11,24 - Επειδή δε επληροφορήθημεν, ότι οι Ιουδαίοι δεν συμφωνούν με την γνώμην του πατρός μου να ασπασθούν τας ειδωλολατρικάς ελληνικάς συνηθείας, αλλά προτιμούν τον ιδικόν των τρόπον ζωής και δια τούτο έχουν την αξίωσιν να επιτραπή εις αυτούς να ζουν σύμφωνα με τους πατροπαραδότους νόμους των,
Β Μακ. 11,25 - αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς ταραχῆς εἶναι, κρίνομεν τό τε ἱερὸν αὐτοῖς ἀποκατασταθῆναι καὶ πολιτεύεσθαι κατὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη.
Β Μακ. 11,25 - επειδή δε και ημείς επιθυμούμεν να είναι και τούτο το έθνος έξω από κάθε ταραχήν, κρίνομεν και αποφασίζομεν, όπως επιστραφή εις αυτούς ο ναός των και ζουν σύμφωνα με τα προγονικά των έθιμα.

Β Μακ. 11,26 - εὖ οὖν ποιήσεις διαπεμψάμενος πρὸς αὐτοὺς καὶ δοὺς δεξιάς, ὅπως εἰδότες τὴν ἡμετέραν προαίρεσιν εὔθυμοί τε ὦσι καὶ ἡδέως διαγίνωνται πρὸς τὴν τῶν ἰδίων ἀντίληψιν».

Β Μακ. 11,26 - Συ δε θα πράξης καλώς να αποστείλης εις αυτούς άνδρας, δια να ανταλλάξουν δεξιάς και αφού γνωρίσουν καλώς την ιδικήν μας αγαθήν προαίρεσιν να είναι χαρούμενοι και ευχαρίστως να επιδίδωνται εις τα ειρηνικά των έργα”.

Β Μακ. 11,27 - Πρὸς δὲ τὸ ἔθνος ἡ τοῦ βασιλέως ἐπιστολὴ τοιαύτη ἦν· «Βασιλεὺς Ἀντίοχος τῇ γερουσίᾳ τῶν Ἰουδαίων καὶ τοῖς ἄλλοις Ἰουδαίοις χαίρειν.

Β Μακ. 11,27 - Η δε επιστολή του βασιλέως προς το έθνος των Ιουδαίων ήτο η εξής· “ο βασιλεύς Αντίοχος χαιρετίζει την γερουσίαν των Ιουδαίων και όλους τους άλλους Ιουδαίους.

Β Μακ. 11,28 - εἰ ἔῤῥωσθε, εἴη ἂν ὡς βουλόμεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν.

Β Μακ. 11,28 - Εάν σεις υγιαίνετε, αυτό είναι σύμφωνον και με την ιδικήν μας επιθυμίαν. Και ημείς επίσης υγιαίνομεν.

Β Μακ. 11,29 - ἐνεφάνισεν ἡμῖν ὁ Μενέλαος βούλεσθαι κατελθόντας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις.

Β Μακ. 11,29 - Ο Μενέλαος παρουσίασεν εις ημάς την επιθυμίαν σας, ότι δηλαδή θέλετε να κατέλθετε εις την πάλιν σας και να παραμένετε εις τας ιδικάς σας κατοικίας.

Β Μακ. 11,30 - τοῖς οὖν καταπορευομένοις μέχρι τριακάδος Ξανθικοῦ ὑπάρξει δεξιὰ μετὰ τῆς ἀδείας

Β Μακ. 11,30 - Οσοι, λοιπόν, επιθυμούν να επανέλθουν μέχρι της τριακοστής ημέρας του μηνός Ξανθικού, θα έχουν ειρήνην και ασφάλειαν.

Β Μακ. 11,31 - χρῆσθαι τοὺς Ἰουδαίους τοῖς ἑαυτῶν δαπανήμασι καὶ νόμοις, καθὰ καὶ τὸ πρότερον, καὶ οὐδεὶς αὐτῶν κατ᾿ οὐδένα τρόπον παρενοχληθήσεται περὶ τῶν ἠγνοημένων.

Β Μακ. 11,31 - Θα έχουν επίσης το δικαίωμα να χρησιμοποιούν τροφάς, που επιτρέπεται εις αυτούς ως Ιουδαίους, και να ακολουθούν τους ιδικούς των νόμους, όπως έκαναν και προηγουμένως. Κανείς δε από αυτούς κατ' ουδένα τρόπον δεν θα ενοχληθή δια παραβάσεις, αι οποίαι διεπράχθησαν εξ αγνοίας.

Β Μακ. 11,32 - πέπομφα δὲ καὶ τὸν Μενέλαον παρακαλέσοντα ὑμᾶς.

Β Μακ. 11,32 - Εστειλα δε και τον Μενέλαον να σας καθησύχαση σχετικώς.

Β Μακ. 11,33 - ἔῤῥωσθε. ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ».

Β Μακ. 11,33 - Υγιαίνετε. Ετος εκστοστόν τεσσαρακοστόν όγδοον, δεκάτη πέμπτη του μηνός Ξανθικού”.

Β Μακ. 11,34 - Ἔπεμψαν δὲ καὶ οἱ Ῥωμαῖοι πρὸς αὐτοὺς ἐπιστολὴν ἔχουσαν οὕτως· «Κόϊντος Μέμμιος, Τίτος Μάνλιος, πρεσβῦται Ῥωμαίων, τῷ δήμῳ τῶν Ἰουδαίων χαίρειν.

Β Μακ. 11,34 - Και οι Ρωμαίοι έστειλαν επιστολήν προς τους Ιουδαίους περιέχουσαν τα εξής· “ο Κοϊντος Μέμμιος και ο Τιτος Μανλιος, συγκλητικοί των Ρωμαίων, χαιρετίζουν τον λαόν των Ιουδαίων.

Β Μακ. 11,35 - ὑπὲρ ὧν Λυσίας ὁ συγγενὴς τοῦ βασιλέως συνεχώρησεν ὑμῖν, καὶ ἡμεῖς συνευδοκοῦμεν.

Β Μακ. 11,35 - Τας παραχωρήσεις εκείνας, τας οποίας έκαμε προς σας ο Λυσίας, ο συγγενής του βασιλέως, και ημείς επίσης παραχωρούμεν.

Β Μακ. 11,36 - ἃ δὲ ἔκρινε προσανενεχθῆναι τῷ βασιλεῖ, πέμψατέ τινα παραχρῆμα ἐπισκεψάμενοι περὶ τούτων, ἵνα ἐκθῶμεν ὡς καθήκει ὑμῖν· ἡμεῖς γὰρ προσάγομεν πρὸς Ἀντιόχειαν.

Β Μακ. 11,36 - Δι' εκείνα δε τα ζητήματα, τα οποία αυτός εθεώρησε καλόν να υποβάλη προς τον βασιλέα του, στείλατε κάποιον από σας αμέσως να τα εξετάσωμεν μαζή και να τα εκθέσωμεν και ημείς προς τον βασιλέα κατά ένα τρόπον, ο οποίος θα συμφέρη και σας. Διότι ημείς κατ' αυτάς θα μεταβώμεν εις την Αντιοχειαν.

Β Μακ. 11,37 - διὸ σπεύσατε καὶ πέμψατέ τινας, ὅπως καὶ ἡμεῖς ἐπιγνῶμεν ὁποίας ἐστὲ γνώμης.

Β Μακ. 11,37 - Σπεύσατε λοιπόν και αποστείλατε προς ημάς αντιπροσώπους σας, δια να μάθομεν επί του προκειμένου, ποίαν γνώμην έχετε.

Β Μακ. 11,38 - ὑγιαίνετε. ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ, Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ».

Β Μακ. 11,38 - Υγιαίνετε. Ετος εκατοστόν τεσσαρακοστόν όγδοον, δεκάτη πέμπτη του μηνός Ξανθικού”.

Β ΜΑΚΚΑΒΑΙΩΝ 12

Β Μακ. 12,1 - Γενομένων τῶν συνθηκῶν τούτων, ὁ μὲν Λυσίας ἀπῄει πρὸς τὸν βασιλέα, οἱ δὲ Ἰουδαῖοι περὶ τὴν γεωργίαν ἐγίνοντο.

Β Μακ. 12,1 - Αφού συνήφθησαν αυταί αι συνθήκαι, ο μεν Λυσίας απήλθε προς τον βασιλέα, οι δε Ιουδαίοι επανήλθαν εις τας γεωργικάς των εργασίας.

Β Μακ. 12,2 - τῶν δὲ κατὰ τόπον στρατηγῶν Τιμόθεος καὶ Ἀπολλώνιος ὁ τοῦ Γενναίους, ἔτι δὲ Ἱερώνυμος καὶ Δημοφῶν, πρὸς δὲ τούτοις Νικάνωρ ὁ

Κυπριάρχης οὐκ εἴων αὐτοὺς εὐσταθεῖς καὶ τὰ τῆς ἡσυχίας ἄγειν.
Β Μακ. 12,2 - Οι στρατηγοί όμως διαφόρων περιοχών, ο Τιμόθεος και ο Απολλώνιος ο υιός του Γενναίου, ακόμη δε ο Ιερώνυμος και ο Δημοφών, κοντά δε εις αυτούς και ο Νικάνωρ ο κυβερνήτης της Κυπρου, δεν άφηναν τους Ιουδαίους αδιαταράκτους να ζουν εν ειρήνη.
Β Μακ. 12,3 - Ἰοππῖται δὲ τηλικοῦτο συνετέλεσαν τὸ δυσσέβημα· παρακαλέσαντες τοὺς σὺν αὐτοῖς οἰκοῦντας Ἰουδαίους ἐμβῆναι εἰς τὰ παρασταθέντα ὑπ᾽ αὐτῶν σκάφη σὺν γυναιξὶ καὶ τέκνοις ὡς μηδεμιᾶς ἐνεστώσης πρὸς αὐτοὺς δυσμενείας,
Β Μακ. 12,3 - Οι κάτοικοι μάλιστα της Ιόππης διέπραξαν μέγιστον και ασεβέστατον κακούργημα. Προσεκάλεσαν τους Ιουδαίους, οι οποίοι ευρίσκοντο εις την περιοχήν των, να εισέλθουν με τας γυναίκας και τα τέκνα των εις πλοία, τα οποία παρουσίασαν εις αυτούς, διότι, τάχα, δεν υπήρχε καμμία εχθρική διάθεσις εναντίον των.
Β Μακ. 12,4 - κατὰ δὲ τὸ κοινὸν τῆς πόλεως ψήφισμα, καὶ τούτων ἐπιδεξαμένων ὡς ἂν εἰρηνεύειν θελόντων καὶ μηδὲν ὕποπτον ἐχόντων, ἐπαναχθέντας αὐτοὺς ἐβύθισαν ὄντας οὐκ ἔλαττον τῶν διακοσίων.
Β Μακ. 12,4 - Η δολία αυτή πρότασις έγινε κατόπιν γενικής αποφάσεως των κατοίκων της Ιόππης. Οι Ιουδαίοι ως άνθρωποι, οι οποίοι ήθελαν την ειρήνην και δεν έτρεφαν καμμίαν υποψίαν, απεδέχθησαν την πρότασιν. Οι κάτοικοι της Ιόππης, αφού τους ωδήγησαν με τα σκάφη στο ανοικτόν πέλαγος, τους εβύθισαν και έτσι έπνιξαν οχι ολιγωτέρους από διακοσίους.
Β Μακ. 12,5 - μεταλαβὼν δὲ Ἰούδας τὴν γεγονυῖαν εἰς τοὺς ὁμοεθνεῖς ὠμότητα, παραγγείλας τοῖς περὶ αὐτὸν ἀνδράσι
Β Μακ. 12,5 - Ο Ιούδας, όταν επληροφορήθη την σκληρότητα αυτήν που έγινε εις βάρος των ομοεθνών του, έδωσεν αναλόγους εντολάς στους περί αυτόν άνδρας.
Β Μακ. 12,6 - καὶ ἐπικαλεσάμενος τὸν δίκαιον κριτὴν Θεόν, παρεγένετο ἐπὶ τοὺς μιαιοφόνους τῶν ἀδελφῶν· καὶ τὸν μὲν λιμένα νύκτωρ ἐνέπρησε καὶ τὰ σκάφη κατέφλεξε, τοὺς δὲ ἐκεῖ συμφυγόντας ἐξεκέντησε.
Β Μακ. 12,6 - Προσευχηθείς δε και επικαλεσθείς τον δίκαιον κριτήν Θεόν, επήλθεν εναντίον των μιαρών αυτών φονέων των ομοεθνών του. Και τα μεν λιμενικά έργα κατά το διάστημα της νυκτός επυρπόλησε, τα δε πλοία που υπήρχαν στον λιμένα έκαυσε, όσους δε είχαν καταφύγει εκεί, δια να σωθούν, τους κατέσφαξε.
Β Μακ. 12,7 - τοῦ δὲ χωρίου συγκλεισθέντος, ἀνέλυσεν ὡς πάλιν ἥξων καὶ τὸ σύμπαν τῶν Ἰοππιτῶν ἐκριζῶσαι πολίτευμα.
Β Μακ. 12,7 - Επειδή δε η περιτειχισμένη πόλις ήτο κλειστή, ο Ιούδας ανεχώρησε, δια να επανέλθη και πάλιν, και ξερριζώση όλους τους κατοίκους της Ιόππης.

Β Μακ. 12,8 - μεταλαβὼν δὲ καὶ τοὺς ἐν Ἰαμνείᾳ τὸν αὐτὸν ἐπιτελεῖν βουλομένους τρόπον τοῖς παροικοῦσιν Ἰουδαίοις,

Β Μακ. 12,8 - Ο Ιούδας επληροφορήθη ακόμη ότι και οι κάτοικοι της Ιαμνείας έχουν τον σκοπόν να διαπράξουν το ίδιον κακούργημα εναντίον των Ιουδαίων, οι οποίοι κατοικούν εκεί κοντά των.

Β Μακ. 12,9 - καὶ τοῖς Ἰαμνίταις νυκτὸς ἐπιβαλὼν ὑφῆψε τὸν λιμένα σὺν τῷ στόλῳ, ὥστε φαίνεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ Ἱεροσόλυμα, σταδίων ὄντων διακοσίων τεσσαράκοντα.

Β Μακ. 12,9 - Δι' αυτό κατά τα διάστημα της νυκτός επετέθη εναντίον των Ιαμνιτών, έκαψε τον λιμένα μαζή με τον στόλον, που υπήρχεν εκεί, ώστε αι αναλαμπαί της πυρκαϊάς εφαίνοντο εις τα Ιεροσόλυμα, τα οποία απείχον από εκεί διακόσια τεσσαράκοντα στάδια.

Β Μακ. 12,10 - Ἐκεῖθεν δὲ ἀποσπασθέντων σταδίους ἐννέα, ποιουμένων τὴν πορείαν ἐπὶ τὸν Τιμόθεον, προσέβαλον Ἄραβες αὐτῷ οὐκ ἐλάττους τῶν πεντακισχιλίων, ἱππεῖς δὲ πεντακόσιοι.

Β Μακ. 12,10 - Οταν ο Ιούδας και οι άνδρες του απεμακρύνθησαν από εκεί εννέα στάδια και εβάδιζαν εναντίον του Τιμοθέου, επετέθησαν εναντίον του Ιούδα Αραβες όχι ολιγότεροι από πέντε χιλιάδας πεζούς και πεντακοσίους ιππείς.

Β Μακ. 12,11 - γενομένης δὲ καρτερᾶς μάχης καὶ τῶν περὶ τὸν Ἰούδαν διὰ τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν εὐημερησάντων, ἐλαττωθέντες οἱ νομάδες Ἄραβες ἠξίουν δοῦναι τὸν Ἰούδαν δεξιὰν αὐτοῖς, ὑπισχνούμενοι καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς ὠφελήσειν αὐτούς.

Β Μακ. 12,11 - Κατόπιν μιας σφοδράς μάχης οι περί τον Ιούδαν στρατιώται επέτυχαν με την βοήθειαν του Θεού, να κατανικήσουν τους εχθρούς. Οι νομάδες Αραβες ενικήθησαν και παρακαλούσαν να συμφιλιωθή ο Ιούδας με αυτούς και υπέσχοντο να του δώσουν ζώα, να του φανούν δε ωφέλιμοι και εις αλλά ζητήματα.

Β Μακ. 12,12 - Ἰούδας δὲ ὑπολαβὼν ὡς ἀληθῶς ἐν πολλοῖς αὐτοὺς χρησίμους, ἐπεχώρησεν εἰρήνην ἄξειν πρὸς αὐτούς· καὶ λαβόντες δεξιὰς εἰς τὰς σκηνὰς αὐτῶν ἐχωρίσθησαν.

Β Μακ. 12,12 - Ο Ιούδας, επειδή επίστευσεν ότι πράγματι οι Αραβες θα του φανούν χρήσιμοι εις πολλά ζητήματα, συγκατετέθη εις σύναψιν ειρήνης με αυτούς. Συμφιλιωθέντες δε οι Αραβες με τον Ιούδαν επέστρεψαν εις τας σκηνάς των.

Β Μακ. 12,13 - Ἐπέβαλε δὲ καὶ ἐπί τινα πόλιν γεφυροῦν ὀχυρὰν καὶ τείχεσι περιπεφραγμένην καὶ παμμειγέσιν ἔθνεσι κατοικουμένην, ὄνομα δὲ Κάσπιν.

Β Μακ. 12,13 - Ο Ιούδας επετέθη επίσης εναντίον μιας πόλεως οχυράς, η οποία περιεκλείετο από τείχος και κατοικείτο από ανθρώπους διαφόρων

εθνών. Αυτή ωνομάζετο Κασπις.

Β Μακ. 12,14 - οἱ δ᾿ ἔνδον πεποιθότες τῇ τῶν τειχέων ἐρυμνότητι τῇ τε τῶν βρωμάτων παραθέσει, ἀναγωγότερον ἐχρῶντο τοῖς περὶ τὸν Ἰούδαν λοιδοροῦντες καὶ προσέτι βλασφημοῦντες καὶ λαλοῦντες ἃ μὴ θέμις.

Β Μακ. 12,14 - Οι εντός της πόλεως, έχοντες πεποίθηση εις την αντοχήν των τειχών της και εις την άφθονον προμήθειαν τροφίμων, εφέροντο κατά τρόπον πολύ ανάγωγον εναντίον των Ιουδαίων· ύβριζον αυτούς εκστομίζοντες ακόμη και βλασφημίας και απρεπείς λόγους.

Β Μακ. 12,15 - οἱ δὲ περὶ τὸν Ἰούδαν ἐπικαλεσάμενοι τὸν μέγαν τοῦ κόσμου δυνάστην, τὸν ἄτερ κριῶν καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα τὴν Ἱεριχὼ κατὰ τοὺς Ἰησοῦ χρόνους, ἐνέσεισαν θηριωδῶς τῷ τείχει.

Β Μακ. 12,15 - Οι στρατιώται του Ιούδα, αφού επεκαλέσθησαν βοηθόν των τον υπέρτατον του κόσμου Κυρίαρχον, ο οποίος χωρίς πολιορκητικούς κριους και άλλας τοιαύτας πολεμικάς μηχανάς κατεκρήμνισε τα τείχη της Ιεριχούς κατά τους χρόνους Ιησού του Ναυή, ώρμησαν ως θηρία εναντίον του τείχους.

Β Μακ. 12,16 - καταλαβόμενοί τε τὴν πόλιν τῇ τοῦ Θεοῦ θελήσει, ἀμυθήτους ἐποιήσαντο σφαγάς, ὥστε τὴν παρακειμένην λίμνην, τὸ πλάτος ἔχουσαν σταδίων δύο, κατάῤῥυτον αἵματι πεπληρωμένην φαίνεσθαι.

Β Μακ. 12,16 - Με την βοήθειαν του Θεού εκυρίευσαν την πόλιν και προέβησαν εις αναριθμήτους σφαγάς, ώστε η πλησίον εκεί ευρισκομένη λίμνη, που είχε πλάτος δύο στάδια, να φαίνεται ότι ήτο γεμάτη από το αίμα, που είχεν εισρεύσει εις αυτήν.

Β Μακ. 12,17 - Ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδίους ἑπτακοσίους πεντήκοντα διήνυσαν εἰς τὸν Χάρακα πρὸς τοὺς λεγομένους Τουβιήνους Ἰουδαίους.

Β Μακ. 12,17 - Από εκεί επροχώρησαν επτακοσίους πεντήκοντα σταδίους και έφθασαν στον Χαρακα, προς τους Ιουδαίους, οι οποίοι ελέγοντο Τουβιήνοι.

Β Μακ. 12,18 - καὶ Τιμόθεον μὲν ἐπὶ τῶν τόπων οὐ κατέλαβον, ἄπρακτόν τε ἀπὸ τῶν τόπων ἐκλελυκότα, καταλελοιπότα δὲ φρουρὰν ἔν τινι τόπῳ καὶ μάλα ὀχυράν.

Β Μακ. 12,18 - Τον Τιμόθεον δεν τον ευρήκαν στους τόπους εκείνους, διότι είχεν αναχωρήσει άπρακτος από τας περιοχάς εκείνας, αφού αφήκεν στον τόπον μίαν φρουράν πολύ ισχυράν.

Β Μακ. 12,19 - Δοσίθεος δὲ καὶ Σωσίπατρος τῶν περὶ τὸν Μακκαβαῖον ἡγεμόνων ἐξοδεύσαντες ἀπώλεσαν τοὺς ὑπὸ Τιμοθέου καταλειφθέντας ἐν τῷ ὀχυρώματι πλείους τῶν μυρίων ἀνδρῶν.

Β Μακ. 12,19 - Δυο όμως από τους περί τον Μακκαβαίον στρατηγούς, ο Δοσίθεος και ο Σωσίπατρος, επήλθον και εκτύπησαν το φρούριον αυτό και εφόνευσαν εκείνους, που είχεν αφήσει εκεί ο Τιμόθεος, άνδρας πλέον των δέκα χιλιάδων.

Β Μακ. 12,20 - ὁ δὲ Μακκαβαῖος διατάξας τὴν ἑαυτοῦ στρατιὰν σπειρηδόν, κατέστησεν αὐτοὺς ἐπὶ τῶν σπειρῶν καὶ ἐπὶ τὸν Τιμόθεον ὥρμησεν ἔχοντα περὶ αὐτὸν μυριάδας δώδεκα πεζῶν, ἱππεῖς δὲ χιλίους πρὸς τοῖς πεντακοσίοις.

Β Μακ. 12,20 - Ο δε Μακκαβαίος, αφού παρέταξε τον στρατόν του κατά σώματα και κατέστησεν επικεφαλής αυτών τον Σωσίπατρον και Δοσίθεον, ώρμησεν εναντίον του Τιμοθέου, ο οποίος είχε μαζή του εκατόν είκοσι χιλιάδας πεζούς και χιλίους πεντακοσίους ιππείς.

Β Μακ. 12,21 - τὴν δὲ ἔφοδον μεταλαβὼν Ἰούδα, ὁ Τιμόθεος προσεξαπέστειλε τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τὴν ἄλλην ἀποσκευὴν εἰς τὸ λεγόμενον Καρνίον· ἦν γὰρ δυσπολιόρκητον καὶ δυσπρόσιτον τὸ χωρίον διὰ τὴν τῶν πάντων τῶν τόπων στενότητα.

Β Μακ. 12,21 - Ο Τιμόθεος όταν επληροφορήθη την έφοδον αυτήν του Ιούδα εξαπέστειλε τας γυναίκας και τα παιδιά με τας αποσκευάς των εις ασφαλή τόπον, λεγόμενον Καρνίον. Ητο δε αυτό μία περιοχή δυσπολιόρκητος, εις την οποίαν δυσκόλως ημπορούσε να πλησίαση κανείς λόγω της στενότητος όλων των εκεί τόπων.

Β Μακ. 12,22 - ἐπιφανείσης δὲ τῆς Ἰούδα σπείρας πρώτης καὶ γενομένου δέους ἐπὶ τοὺς πολεμίους, φόβου τε ἐκ τῆς τοῦ πάντα ἐφορῶντος ἐπιφανείας γενομένου ἐπ᾿ αὐτούς, εἰς φυγὴν ὥρμησαν ἄλλος ἀλλαχῇ φερόμενος, ὥστε πολλάκις ὑπὸ τῶν ἰδίων βλάπτεσθαι καὶ ταῖς τῶν ξιφῶν ἀκμαῖς ἀναπείρεσθαι.

Β Μακ. 12,22 - Οταν όμως ενεφανίσθη το πρώτον στρατιωτικόν σώμα του Ιούδα, επέπεσε δέος στους εχθρούς, ο φόβος και ο τρόμος Εκείνου ο οποίος επιβλέπει τα σύμπαντα. Αυτός ο φόβος κατέλαβε τους εχθρούς, και ετράπησαν εις άτακτον φυγήν και εφέρετο άλλος εδώ άλλος εκεί, ώστε πολλοί αλληλοεφονεύοντο διατρυπώμενοι οπό τας αιχμάς των ιδικών των ξιφών.

Β Μακ. 12,23 - ἐποιεῖτο δὲ τὸν διωγμὸν εὐτονώτερον Ἰούδας συγκεντῶν τοὺς ἀλιτηρίους διέφθειρέ τε εἰς μυριάδας τρεῖς ἀνδρῶν.

Β Μακ. 12,23 - Ο Ιούδας τους κατεδίωξεν ορμητικώτερα, εκτυπούσε τους κακούργους αυτούς και εφόνευσε τριάκοντα περίπου χιλιάδας άνδρας.

Β Μακ. 12,24 - αὐτὸς δὲ ὁ Τιμόθεος ἐμπεσὼν τοῖς περὶ τὸν Δοσίθεον καὶ Σωσίπατρον, ἠξίου μετὰ πολλῆς γοητείας ἐξαφεῖναι σῷον αὐτὸν διὰ τὸ πλειόνων μὲν γονεῖς, ὧν δὲ ἀδελφοὺς ἔχειν καὶ τούτους ἀλογηθῆναι συμβήσεται, εἰ ἀποθάνοι.

Β Μακ. 12,24 - Ο ίδιος ο Τιμόθεος έπεσεν εις τα χέρια των ανδρών του Δοσιθέου και του Σωσιπάτρου, τους οποίους εξώρκιζε με πολλήν επιτηδειότητα να τον αφήσουν σώον και υγιή, διαβεβαιών αυτούς, ότι είχε υπό την εξουσίαν του γονείς και αδελφούς πολλών από τους Ιουδαίους, στους οποίους ήτο δυνατόν να συμβή κάτι κακόν, εάν ο ίδιος εφονεύετο.

Β Μακ. 12,25 - πιστώσαντος δὲ αὐτοῦ διὰ πλειόνων τὸν ὁρισμὸν ἀποκαταστήσειν τούτους ἀπημάντους, ἀπέλυσαν αὐτὸν ἕνεκα τῆς τῶν ἀδελφῶν σωτηρίας.

Β Μακ. 12,25 - Αφού δε με πάρα πολλούς λόγους τους έπεισε, ότι είχε την απόφασιν να επιστρέψη τους ανθρώπους αυτούς, χωρίς να τους κάμη κανένα κακόν, οι Ιουδαίοι τον αφήκαν ελεύθερον χάριν της σωτηρίας των αδελφών των.

Β Μακ. 12,26 - Ἐξελθὼν δὲ ἐπὶ τὸ Καρνίον καὶ τὸ Ἀταργατεῖον κατέσφαξε μυριάδας σωμάτων δύο καὶ πεντακισχιλίους.

Β Μακ. 12,26 - Ο Ιούδας επήλθεν εναντίον του Καρνίου και στο ιερόν της Αταργάτης εφόνευσεν εικοσιπέντε χιλιάδας άνδρας.

Β Μακ. 12,27 - μετὰ δὲ τὴν τούτων τροπὴν καὶ ἀπώλειαν ἐπεστράτευσεν Ἰούδας καὶ ἐπὶ Ἐφρὼν πόλιν ὀχυράν, ἐν ᾗ κατῴκει Λυσίας καὶ πάμφυλα πλήθη· νεανίαι δὲ πρὸ τῶν τειχῶν καθεστῶτες ῥωμαλέοι ἀπεμάχοντο εὐρώστως, ἔνθα δὲ ὀργάνων καὶ βελῶν πολλαὶ παραθέσεις ὑπῆρχον

Β Μακ. 12,27 - Μετά την κατατρόπωσιν και την σφαγήν των εχθρών ο Ιούδας εξεστράτευσεν εναντίον της Εφρών, πόλεως οχυράς, μέσα εις την οποίαν κατοικούσαν ο Λυσίας και πλήθος ανθρώπων από διάφορα έθνη. Ρωμαλέοι δε νέοι άνδρες, στρατοπεδευμένοι επάνω εις τα τείχη, εμάχοντο ηρωϊκώς. Μέσα δε εις την πόλιν αυτήν υπήρχε πλήθος πολεμικών μηχανών και μεγάλαι ποσότητες από βέλη.

Β Μακ. 12,28 - ἐπικαλεσάμενοι δὲ τὸν Δυνάστην τὸν μετὰ κράτους συντρίβοντα τὰς τῶν πολεμίων ἀλκάς, ἔλαβον τὴν πόλιν ὑποχείριον καὶ κατέστρωσαν τῶν ἔνδον εἰς μυριάδας δύο καὶ πεντακισχιλίους.

Β Μακ. 12,28 - Οι Ιουδαίοι προσηυχήθησαν και επεκαλέσθησαν τον παντοδύναμον Κυριον, ο οποίος με την ακατανίκητον ισχύν συντρίβει τας δυνάμεις των εχθρών, και κατέλαβαν υποχείριον την πόλιν και εστρωσαν στο έδαφος τριάκοντα χιλιάδας πεντακοσίους άνδρας νεκρούς.

Β Μακ. 12,29 - ἀναζεύξαντες δὲ ἐκεῖθεν ὥρμησαν ἐπὶ Σκυθῶν πόλιν ἀπέχουσαν ἀπὸ Ἱεροσολύμων σταδίους ἑξακοσίους.

Β Μακ. 12,29 - Ανεχώρησαν δε από εκεί και ώρμησαν εναντίον της πόλεως των Σκυθών, η οποία απέχει από τα Ιεροσόλυμα εξακόσια στάδια.

Β Μακ. 12,30 - ἀπομαρτυρησάντων δὲ τῶν ἐκεῖ κατοικούντων Ἰουδαίων, ἣν οἱ Σκυθοπολῖται ἔσχον πρὸς αὐτοὺς εὔνοιαν καὶ ἐν τοῖς τῆς ἀτυχίας καιροῖς ἥμερον ἀπάντησιν ἐποιοῦντο.

Β Μακ. 12,30 - Οι εντός της πόλεως όμως κατοικούντες Ιουδαίοι διεβεβαίωσαν τον Ιούδαν περί της ευνοίας, που έδειξαν εις αυτούς οι Σκυθοπολίται και ότι κατά τους καιρούς των συμφορών των τους περιεποιούντο με πολλήν καλωσύνην.

Β Μακ. 12,31 - εὐχαρηστήσαντες αὐτοῖς καὶ προσπαρακαλέσαντες καὶ εἰς τὰ λοιπὰ πρὸς τὸ γένος εὐμενεῖς εἶναι, παρεγένοντο εἰς Ἱεροσόλυμα τῆς τῶν ἑβδομάδων ἑορτῆς οὔσης ὑπογύου.

Β Μακ. 12,31 - Ο Ιούδας και οι άνδρες του ηυχαρίστηαaν τους κατοίκους της πόλεως και τους παρεκάλεσαν να φανούν ευγενείς και κατά τον υπόλοιπον καιρόν προς το γένος των Ιουδαίον. Επειτα επέστρεψαν εις Ιεροσόλυμα την ημέραν, κατά την οποίαν ήρχιζεν η εορτή Πεντηκοστής.

Β Μακ. 12,32 - Μετὰ δὲ τὴν λεγομένην Πεντηκοστὴν ὥρμησαν ἐπὶ Γοργίαν τὸν τῆς Ἰδουμαίας στρατηγόν.

Β Μακ. 12,32 - Επειτα από την εορτήν της Πεντηκοστής ώρμησαν εναντίον του Γοργίου, ο οποίος ήτο στρατηγός εις την Ιδουμαίαν.

Β Μακ. 12,33 - ἐξῆλθε δὲ μετὰ πεζῶν τρισχιλίων, ἱππέων δὲ τετρακοσίων,

Β Μακ. 12,33 - Ο Γοργίας εξήλθε με τρεις χιλιάδας πεζούς και τετρακοσίους ιππείς.

Β Μακ. 12,34 - καὶ παραταξαμένων συνέβη πεσεῖν ὀλίγους τῶν Ἰουδαίων.

Β Μακ. 12,34 - Γενομένης δε μάχης εφονεύθησαν μερικοί από τους Ιουδαίους.

Β Μακ. 12,35 - Δοσίθεος δέ τις τῶν τοῦ Βακήνορος, ἔφιππος ἀνὴρ καὶ καρτερός, εἴχετο τοῦ Γοργίου καὶ λαβόμενος τῆς χλαμύδος ἦγεν αὐτὸν εὐρώστως καὶ βουλόμενος τὸν κατάρατον λαβεῖν ζωγρίαν, τῶν ἱππέων Θρακῶν τινος ἐπενεχθέντος αὐτῷ καὶ τὸν ὦμον καθελόντος διέφυγεν ὁ Γοργίας εἰς Μαρισά.

Β Μακ. 12,35 - Καποιος δε ιππεύς, ονόματι Δοσίθεος, από τους στρατιώτας του Βακήνορος, δυνατός ανήρ, επλησίασε τον Γοργίαν και εκράτησεν αυτόν από την χλαμύδα και τον έσυρε με δύναμιν πολλήν, διότι επιθυμούσε να συλλάβη ζωντανόν τον επικατάρατον αυτόν άνθρωπον. Ενας όμως ιππεύς από τους Θράκας ώρμησεν εναντίον του Δοσιθέου, τον εκτύπησε και του απέκοψε τον ώμον και έτσι διεσώθη ο Γοργίας και κατέψυγεν εις Μαρισά.

Β Μακ. 12,36 - τῶν δὲ περὶ τὸν Ἔσδριν ἐπὶ πλεῖον μαχομένων καὶ κατακόπων ὄντων, ἐπικαλεσάμενος ὁ Ἰούδας τὸν Κύριον σύμμαχον φανῆναι καὶ προοδηγὸν τοῦ πολέμου,

Β Μακ. 12,36 - Οι άνδρες του Εσδριν εμάχοντο επί πολύν χρόνον και είχαν κατεξαντληθή από την κόπωσιν. Τοτε ο Ιούδας προσηυχήθη και επεκαλέσθη τον Κυριον, να φανή σύμμαχος και αρχηγός του πολέμου.

Β Μακ. 12,37 - καταρξάμενος τῇ πατρίῳ φωνῇ τὴν μεθ᾿ ὕμνων κραυγήν, ἀναβοήσας καὶ ἐνσείσας ἀπροσδοκήτως τοῖς περὶ τὸν Γοργίαν, τροπὴν αὐτῶν ἐποιήσατο.

Β Μακ. 12,37 - Τοτε ήρχισε με την βροντερήν φωνήν του, εις την γλώσσαν των πατέρων του, και εβόησε την πολεμικήν κραυγήν με ύμνους μαζή. Επέπεσε δε αιφνιδίως εναντίον των ανδρών του Γοργίου και τους έτρεψεν εις φυγήν.

Β Μακ. 12,38 - Ἰούδας δὲ ἀναλαβὼν τὸ στράτευμα ἦγεν εἰς Ὀδολλὰμ πόλιν· τῆς δὲ ἑβδομάδος ἐπιβαλλούσης, κατὰ τὸν ἐθισμὸν ἁγνισθέντες αὐτόθι τὸ σάββατον διήγαγον.

Β Μακ. 12,38 - Επειτα ο Ιούδας επήρε το στράτευμά του και το ωδήγησεν εις την πόλιν Οδολλάμ. Οταν δε ήλθεν η εβδόμη ημέρα της εβδομάδος, εκαθαρίσθησαν σύμφωνα με το έθιμον των Εβραίων και επέρασαν εκεί το Σαββατον.

Β Μακ. 12,39 - τῇ δὲ ἐχομένῃ ἦλθον οἱ περὶ τὸν Ἰούδαν καθ᾿ ὃν τρόπον τὸ τῆς χρείας ἐγεγόνει, τὰ τῶν προπεπτωκότων σώματα ἀνακομίσασθαι καὶ μετὰ τῶν συγγενῶν ἀποκαταστῆσαι εἰς τοὺς πατρῴους τάφους.

Β Μακ. 12,39 - Κατά δε την επομένην ημέραν ήλθον οι στρατιώται του Ιούδα και, όπως επέβαλλεν ο Νομος να γίνη, εσήκωσαν τα πτώματα των Ιουδαίων εκείνων, οι οποίοι είχαν φονευθή, δια να τα θάψουν κοντά στους συγγενείς των, στους πατρικούς των τάφους.

Β Μακ. 12,40 - εὗρον δὲ ἑκάστου τῶν τεθνηκότων ὑπὸ τοὺς χιτῶνας ἱερώματα τῶν ἀπὸ Ἰαμνείας εἰδώλων, ἀφ᾿ ὧν ὁ νόμος ἀπείργει τοὺς Ἰουδαίους· τοῖς δὲ πᾶσι σαφὲς ἐγένετο διὰ τήνδε τὴν αἰτίαν τούσδε πεπτωκέναι.

Β Μακ. 12,40 - Ευρήκαν όμως κάτω από τους χιτώνας εκάστου φονευθέντος αφιερώματα προερχόμενα από τα είδωλα της Ιαμνείας, τα οποία ο Θεός απηγόρευεν στους Ιουδαίους. Εις όλους τότε έγινε φανερά η αιτία, δια την οποίαν αυτοί είχαν φονευθή.

Β Μακ. 12,41 - πάντες οὖν εὐλογήσαντες τὰ τοῦ δικαιοκρίτου Κυρίου τοῦ τὰ κεκρυμμένα φανερὰ ποιοῦντος,

Β Μακ. 12,41 - Ολοι δε εδόξασαν τον Κυριον, τον δίκαιον κριτήν, ο οποίος φανερώνει και τα πλέον απόκρυφα γεγονότα.

Β Μακ. 12,42 - εἰς ἱκετείαν ἐτράπησαν ἀξιώσαντες τὸ γεγονὸς ἁμάρτημα τελείως ἐξαλειφθῆναι. ὁ δὲ γενναῖος Ἰούδας παρεκάλεσε τὸ πλῆθος συντηρεῖν ἑαυτοὺς ἀναμαρτήτους εἶναι, ὑπ᾿ ὄψιν ἑωρακότας τὰ γεγονότα διὰ τὴν τῶν προπεπτωκότων ἁμαρτίαν.

Β Μακ. 12,42 - Επειτα εστράφησαν εις προσευχήν και παρεκάλεσαν τον Θεόν, να εξαλειφθή πλήρως η διαπραχθείσα αμαρτία. Ο δε γενναίος Ιούδας παρεκάλεσε τον λαόν να κρατή τον εαυτόν του καθαρόν από τέτοιας

παραβάσεις έχων προ οφαθλμών τα επακόλουθα της αμαρτίας εις βάρος εκείνων, οι οποίοι προηγουμένως είχον περιπέσει εις αυτάς.

Β Μακ. 12,43 - ποιησάμενός τε κατ᾿ ἀνδραλογίαν κατασκευάσματα εἰς ἀργυρίου δραχμὰς δισχιλίας, ἀπέστειλεν εἰς Ἱεροσόλυμα προσαγαγεῖν περὶ ἁμαρτίας θυσίαν, πάνυ καλῶς καὶ ἀστείως πράττων ὑπὲρ ἀναστάσεως διαλογιζόμενος·

Β Μακ. 12,43 - Κατόπιν έκαμεν έρανον μεταξύ των ανδρών του, από τον οποίον και συνέλεξε το ποσόν των δύο χιλιάδων δραχμών. Απέστειλε δε αυτάς εις την Ιερουσαλήμ, δια να προσφερθή εξιλαστήριος θυσία υπέρ αυτών. Πολύ καλώς και θεαρέστως έπραξεν αναλογιζόμενος την αλήθειαν της αναστάσεως των νεκρών.

Β Μακ. 12,44 - εἰ γὰρ μὴ τοὺς προπεπτωκότας ἀναστῆναι προσεδόκα, περισσὸν ἂν ἦν καὶ ληρῶδες ὑπὲρ νεκρῶν προσεύχεσθαι.

Β Μακ. 12,44 - Διότι, εάν δεν επίστευεν ότι θα αναστηθούν οι φονευθέντες στρατιώται, ήτο ανωφελές και ανόητον να προσεύχεται κανείς υπέρ των νεκρών.

Β Μακ. 12,45 - εἶτ᾿ ἐμβλέπων τοῖς μετ᾿ εὐσεβείας κοιμωμένοις κάλλιστον ἀποκείμενον χαριστήριον, ὁσία καὶ εὐσεβὴς ἡ ἐπίνοια· ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν ἐποιήσαντο τῆς ἁμαρτίας ἀπολυθῆναι.

Β Μακ. 12,45 - Διαβλέπων όμως την αρίστην αμοιβήν, η οποία επεφυλάσσετο εις εκείνους που εκοιμήθησαν εν ευσεβεία, συνέλαβε την ευσεβή αυτήν σκέψιν. Δια τούτο και προσέφεραν την εξιλαστήριον αυτήν θυσίαν υπέρ των νεκρών, δια να απαλλαγούν αυτοί από τας αμαρτίας των.

Β ΜΑΚΚΑΒΑΙΩΝ 13

Β Μακ. 13,1 - Τῷ δὲ ἐνάτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει προσέπεσε τοῖς περὶ τὸν Ἰούδαν Ἀντίοχον τὸν Εὐπάτορα παραγενέσθαι σὺν πλήθεσιν ἐπὶ τὴν Ἰουδαίαν

Β Μακ. 13,1 - Κατά το εκατοστόν τεσσαρακοστόν ένατον έτος επληροφορήθη ο Ιούδας και οι περί αυτόν, ότι ο Αντίοχος ο Επάτωρ επήρχετο εναντίον της Ιουδαίας με πολυάριθμον στρατόν.

Β Μακ. 13,2 - καὶ σὺ αὐτῷ Λυσίαν τὸν ἐπίτροπον καὶ ἐπὶ τῶν πραγμάτων, ἕκαστον ἔχοντα δύναμιν Ἑλληνικὴν πεζῶν μυριάδας ἕνδεκα καὶ ἱππεῖς πεντακισχιλίους τριακοσίους καὶ ἐλέφαντας εἰκοσιδύο, ἅρματα δὲ δρεπανηφόρα τριακόσια.

Β Μακ. 13,2 - Μαζή δε με αυτόν ήτο ο επίτροπός του ο Λυσίας, ο επί των βασιλικών πραγμάτων υπεύθυνος. Ο καθένας από αυτούς είχεν υπό τας διαταγάς του εκατόν δέκα χιλιάδας πεζούς, πέντε χιλιάδας τριακοσίους ιππείς, είκοσι δύο ελέφαντας και τριακόσια δρεπανηφόρα άρματα.

Β Μακ. 13,3 - καὶ Μενέλαος δὲ συνέμειξεν αὐτοῖς καὶ παρεκάλει μετὰ πολλῆς εἰρωνείας τὸν Ἀντίοχον, οὐκ ἐπὶ σωτηρίᾳ τῆς πατρίδος, οἰόμενος δὲ ἐπὶ τῆς ἀρχῆς κατασταθήσεσθαι.

Β Μακ. 13,3 - Ο Μενέλαος, ο προδότης της πατρίδος του, συνήντησεν αυτούς και με μεγάλην δολιότητα συνεχώς παρώτρυνε τον Αντίοχον, όχι δια την σωτηρίαν της πατρίδος αλλά δια την ιδικήν του, όπως εφαντάζετο, αποκατάστασιν στο αρχιερατικόν αξίωμα.

Β Μακ. 13,4 - ὁ δὲ βασιλεὺς τῶν βασιλέων ἐξήγειρε τὸν θυμὸν τοῦ Ἀντιόχου ἐπὶ τὸν ἀλιτήριον, καὶ Λυσίου ὑποδείξαντος τοῦτον αἴτιον εἶναι πάντων τῶν κακῶν, προσέταξεν, ὡς ἔθος ἐστὶν ἐν τῷ τόπῳ, προσαπολέσαι ἀγαγόντας αὐτὸν εἰς Βέροιαν.

Β Μακ. 13,4 - Αλλά ο βασιλεύς των βασιλέων εξήγειρεν εναντίον του κακούργου αυτού τον θυμόν του Αντιόχου. Επειδή δε ο Λυσίας υπέδειξεν αυτόν ως τον αίτιον όλων των κακών, που συνέβησαν εκεί, διέταξεν ο βασιλεύς, αφού φέρουν αυτόν εις την Βέροιαν, να τον εκτελέσουν εκεί κατά την συνήθειαν του τόπου εκείνου.

Β Μακ. 13,5 - ἔστι δὲ ἐν τῷ τόπῳ πύργος πεντήκοντα πηχῶν πλήρης σποδοῦ, οὗτος δὲ ὄργανον εἶχε περιφερὲς πάντοθεν ἀπόκρημνον εἰς τὴν σποδόν.

Β Μακ. 13,5 - Εις τον τόπον εκείνον υπήρχεν ένας πύργος ύψους πενήντα εβραϊκών πήχεων γεμάτος από στάκτην. Είχε δε αυτός ένα όργανον περιστρεφόμενον, το οποίον ήτο κατηφορικόν από όλα τα σημεία, ώστε ο κατάδικος να κρημνίζεται μέσα εις την στάκτην.

Β Μακ. 13,6 - ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον ὄντα ἢ καί τινων ἄλλων κακῶν ὑπεροχὴν πεποιημένον ἅπαντες προσωθοῦσιν εἰς ὄλεθρον.

Β Μακ. 13,6 - Εκεί οι κάτοικοι της Βεροίας εκρήμνιζαν κάθε ένοχον ιεροσυλίας η και κάθε ένοχον άλλων βαρέων εγκλημάτων.

Β Μακ. 13,7 - τοιούτῳ μόρῳ τὸν παράνομον συνέβη θανεῖν, μηδὲ τῆς γῆς τυχόντα Μενέλαον, πάνυ δικαίως.

Β Μακ. 13,7 - Με τέτοιον φοβερόν θάνατον, κατά λόγον δικαιοσύνης, εξετελέσθη ο παράνομος Μενέλαος, ώστε να μη τύχη ταφής εις την γην.

Β Μακ. 13,8 - ἐπεὶ γὰρ συνετελέσατο πολλὰ περὶ τὸν βωμὸν ἁμαρτήματα, οὗ τὸ πῦρ ἁγνὸν ἦν καὶ ἡ σποδός, ἐν σποδῷ τὸν θάνατον ἐκομίσατο.

Β Μακ. 13,8 - Επειδή αυτός είχε πολλές φορές αμαρτήσει εναντίον του θυσιαστηρίου των ολοκαυτωμάτων, του οποίου το πυρ και η στάκτη ήσαν αγνά, απέθανε από ασφυξίαν βυθισθείς μέσα εις την στάκτην του πύργου αυτού.

Β Μακ. 13,9 - Τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς βεβαρβαρωμένος ἤρχετο τὰ χείριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ γεγονότων ἐνδειξόμενος τοῖς

Ἰουδαίοις.

Β Μακ. 13,9 - Πλημμυρισμένος από βάρβαρα φρονήματα ο Ευπάτωρ ήρχετο να εξαπολύση εναντίον των Ιουδαίων ασυγκρίτω λόγω βαρυτέρας συμφοράς, από εκείνας τας οποίας είχε δείξει εναντίον αυτών ο πατέρας του.

Β Μακ. 13,10 - μεταλαβὼν δὲ Ἰούδας ταῦτα παρήγγειλε τῷ πλήθει δι᾿ ἡμέρας καὶ νυκτὸς ἐπικαλεῖσθαι τὸν Κύριον, εἴποτε ἄλλοτε καὶ νῦν ἐπιβοηθεῖν τοῖς τοῦ νόμου καὶ πατρίδος καὶ ἱεροῦ ἁγίου στερεῖσθαι μέλουσι

Β Μακ. 13,10 - Οταν έμαθεν αυτά ο Ιούδας, παρήγγειλεν στον λαόν του να παρακαλή ημέραν και νύκτα τον Θεόν, ώστε περισσότερον από κάθε άλλην φοράν τώρα να βοηθήση εκείνους, οι οποίοι επρόκειτο να στερηθούν τον Νομον των, την πατρίδα των και τον ιερόν ναόν·

Β Μακ. 13,11 - καὶ τὸν ἄρτι βραχέως ἀνεψυχότα λαὸν μὴ ἐᾶσαι τοῖς δυσφήμοις ἔθνεσι ὑποχειρίους γενέσθαι.

Β Μακ. 13,11 - και να μη επιτρέψη, ώστε ο λαός εκείνος, ο οποίος μόλις προ ολίγου είχεν ανακουφισθή από τας δοκιμασίας, να περιπέση υποχείριος εις ασεβείς λαούς.

Β Μακ. 13,12 - πάντων δὲ τὸ αὐτὸ ποιησάντων ὁμοῦ καὶ καταξιωσάντων τὸν ἐλεήμονα Κύριον μετὰ κλαυθμοῦ καὶ νηστειῶν καὶ προπτώσεως ἐφ᾿ ἡμέρας τρεῖς ἀδιαλείπτως, παρακαλέσας αὐτοὺς ὁ Ἰούδας ἐκέλευσε παραγίνεσθαι.

Β Μακ. 13,12 - Αφού δε όλοι ομοφώνως έκαμαν τας προσευάς των και ικετεύσαν τον ελεήμονα Κυριον με δάκρυα και νηστείας, προσπίπτοντες επί τρεις ημέρας συνεχώς, ο Ιούδας τους ενεψύχωσε και τους διέταξε να είναι έτοιμοι.

Β Μακ. 13,13 - καθ᾿ ἑαυτὸν δὲ σὺν τοῖς πρεσβυτέροις γενόμενος ἐβουλεύσατο, πρὶν εἰσβαλεῖν τοῦ βασιλέως τὸ στράτευμα εἰς τὴν Ἰουδαίαν καὶ γενέσθαι τῆς πόλεως ἐγκρατεῖς, ἐξελθόντας κρῖναι τὰ πράγματα τῇ τοῦ Κυρίου βοηθείᾳ.

Β Μακ. 13,13 - Κατόπιν δε συνεσκέφθη ιδιαιτέρως με τους πρεσβυτέρους του λαού και απεφάσισεν όπως, πριν επιχειρήση εισβολήν το βασιλικόν στράτευμα εις την Ιουδαίαν και κυριεύσουν την Ιερουσαλήμ, να εξέλθουν αυτοί εις πόλεμον κατά του βασιλέως και να αναθέσουν την έκβασιν των πραγμάτων εις την βοήθειαν του Κυρίου.

Β Μακ. 13,14 - δοὺς δὲ τὴν ἐπιτροπὴν τῷ κτίστῃ τοῦ κόσμου, παρακαλέσας τοὺς σὺν αὐτῷ γενναίως ἀγωνίσασθαι μέχρι θανάτου περὶ νόμων, περὶ ἱεροῦ, πόλεως, πατρίδος, πολιτείας, ἐποιήσατο περὶ Μωδεΐν τὴν στρατοπεδείαν.

Β Μακ. 13,14 - Ενεπιστεύθη, λοιπόν, την έκβασιν των πραγμάτων εις τον Δημιουργόν του κόσμου και ενεθάρρυνε τους άνδρας του να αγωνισθούν μέχρι θανάτου υπέρ των νόμων του Θεού, υπέρ του ιερού ναού, υπέρ της

πόλεως, υπέρ της πατρίδος, υπέρ των ιερών θεσμών του έθνους των. Ωδήγησε δε έπειτα τον στρατόν του και εστρατοπέδευσαν εις τα περίχωρα της Μωδεΐν.

Β Μακ. 13,15 - δοὺς δὲ τοῖς περὶ αὐτὸν σύνθεμα «Θεοῦ νίκη», μετὰ νεανίσκων ἀρίστων κεκριμένων ἐπιβαλὼν νύκτωρ ἐπὶ τὴν βασιλικὴν αὐλήν, ἐν τῇ παρεμβολῇ ἀνεῖλεν εἰς ἄνδρας τετρακισχιλίους καὶ τὸν πρωτεύοντα τῶν ἐλεφάντων σὺν τῶν κατ᾿ οἰκίαν ὄχλῳ συνέθηκε

Β Μακ. 13,15 - Εδωσε κατόπιν ο Ιούδας στους άνδρας του ως πολεμικόν σύνθημα “Θεού νίκη”, εξέλεξε τους γενναιότερους από τους νεαρούς πολεμιστάς και επετέθη εν καιρώ νυκτός εναντίον της βασιλικής αυλής, εφόνευσε δε στο εχθρικόν στρατόπεδον τέσσαρας χιλιάδας άνδρας και, το σπουδαιότερον από όλα, τον μεγαλύτερον από τους ελέφαντας μαζή με τους στρατιώτας, που ευρίσκοντο στον επ' αυτού πύργον.

Β Μακ. 13,16 - καὶ τὸ τέλος τὴν παρεμβολὴν δέους καὶ ταραχῆς ἐπλήρωσαν καὶ ἐξέλυσαν εὐημεροῦντες·

Β Μακ. 13,16 - Εν τέλει εγέμισε το εχθρικόν στρατόπεδον με φόβον και ταραχήν και ανεχώρησε με τους άνδρας του ικανοποιημένος δια την επιτυχίαν των.

Β Μακ. 13,17 - ὑποφαινούσης δὲ ἤδη τῆς ἡμέρας τοῦτο ἐγεγόνει διὰ τὴν ἐπαρήγουσαν αὐτῷ τοῦ Κυρίου σκέπην.

Β Μακ. 13,17 - Οταν δε ήρχισε να υποφώσκη η ημέρα, το παν είχε πλέον συντελεσθή χάρις εις την παρά του Θεού δοθείσαν βοήθειαν.

Β Μακ. 13,18 - Ὁ δὲ βασιλεὺς εἰληφὼς γεῦσιν τῆς τῶν Ἰουδαίων εὐτολμίας, κατεπείρασε διὰ μεθόδων τοὺς τόπους.

Β Μακ. 13,18 - Ο βασιλεύς Ευπάτωρ, λαβών πείραν εκ του γεγονότος αυτού και του θάρρους των Ιουδαίων προσεπάθησε με άλλας πλέον μεθόδους να κατακτήση τους τόπους.

Β Μακ. 13,19 - καὶ ἐπὶ Βαιθσούρᾳ φρούριον ὀχυρὸν τῶν Ἰουδαίων προσῆγε καὶ ἐτροποῦτο, προσέκρουεν, ἠλαττονοῦτο·

Β Μακ. 13,19 - Επήλθεν εναντίον της Βαιθσούρας, οχυρού φρουρίου των Ιουδαίων. Αλλ' αμέσως κατετροπώθη, απωθήθη, έχασε δυνάμεις και απέτυχε.

Β Μακ. 13,20 - τοῖς δὲ ἔνδον Ἰούδας τὰ δέοντα εἰσέπεμψε.

Β Μακ. 13,20 - Ο δε Ιούδας επέτυχε να δώση τρόφιμα και πολεμοφόδια στους εντός του φρουρίου πολιορκουμένους.

Β Μακ. 13,21 - προσήγγειλε δὲ τὰ μυστήρια τοῖς πολεμίοις Ῥόδοκος ἐκ τῆς Ἰουδαϊκῆς τάξεως· ἀνεζητήθη δὲ καὶ κατελήφθη καὶ κατεκλείσθη.

Β Μακ. 13,21 - Καποιος όμως από τον στρατόν των Ιουδαίων, Ροδοκος ονόματι, επρόδωσεν στον βασιλέα τα μυστικά των Ιουδαίων. Αυτός ανεκρίθη, απεδείχθη η ενοχή του και εκλείσθη εις την φυλακήν.

Β Μακ. 13,22 - ἐδευτερολόγησεν ὁ βασιλεὺς τοῖς ἐν Βαιθσούρᾳ δεξιὰν ἔδωκεν, ἔλαβεν, ἀπῄει προσέβαλε τοῖς περὶ τὸν Ἰούδαν, ἥττων ἐγένετο,

Β Μακ. 13,22 - Η δευτέρα επιχείρησις του βασιλέως ήτο, ότι ήλθεν εις συνεννόησιν με τους πολιορκουμένους, συνεφιλιώθη με αυτούς, έδωσαν την δεξιάν των χείρα εις πίστωσιν της συμφιλιώσεως και έπειτα αυτός με τον ατρατόν του εκτύπησαν τον στρατόν του Ιούδα, αλλά ηττήθησαν.

Β Μακ. 13,23 - μετέλαβεν ἀπονενοῆσθαι τὸν Φίλιππον ἐν Ἀντιοχείᾳ τὸν ἀπολελειμμένον ἐπὶ τῶν πραγμάτων, συνεχύθη, τοὺς Ἰουδαίους παρεκάλεσεν, ὑπετάγη καὶ ὤμοσεν ἐπὶ πᾶσι τοῖς δικαίοις, συνελύθη καὶ θυσίαν προσήγαγεν, ἐτίμησε τὸν νεὼ καὶ τὸν τόπον ἐφιλανθρώπησε

Β Μακ. 13,23 - Εμαθεν όμως τότε, ότι ο Φιλιππος, τον οποίον ο Αντίοχος ο Επιφανής είχεν αφήσει εις την Αντιόχειαν διοικητήν των υποθέσεων του κράτους, επανεστάτησεν εναντίον της Αντιοχείας και κατελήφθη αυτός από ταραχήν. Εζήτησε, λοιπόν, και ήλθεν εις συνεννόησιν με τους Ιουδαίους, υπετάχθη εις τας προτάσεις των και ωρκίσθη να τηρήση τους δικαίους όρους, που εκείνοι προέβαλαν, συνεφιλιώθη μαζή των, προσέφερε θυσίαν, ετίμησε τον ναόν και εφέρθη κατά τρόπον φιλάνθρωπον προς την Ιερουσαλήμ.

Β Μακ. 13,24 - καὶ τὸν Μακκαβαῖον ἀπεδέξατο. κατέλιπε στρατηγὸν ἀπὸ Πτολεμαΐδος ἕως τῶν Γεῤῥηνῶν Ἡγεμονίδην.

Β Μακ. 13,24 - Εδέχθη δε κατά τρόπον φιλικόν τον Ιούδαν τον Μακκαβαίον. Αφήκεν ως στρατιωτικόν διοικητήν από της Πτολεμαΐδος μέχρι των Γερρηνών τον Ηγεμονίδην.

Β Μακ. 13,25 - ἦλθεν εἰς Πτολεμαΐδα· ἐδυσφόρουν περὶ τῶν συνθηκῶν οἱ Πτολεμαεῖς, ἐδείναζον γὰρ ὑπὲρ ὧν ἠθέλησαν ἀθετεῖν τὰς διαστάλσεις.

Β Μακ. 13,25 - Κατόπιν ήλθεν εις την Πτολεμαΐδα. Οι κάτοικοι όμως της Πτολεμαΐδος εδυσφόρησαν δια τας συναφθείσας με τους Ιουδαίους συνθήκας, ηγανάκτησαν και ηθέλησαν να καταπατήσουν τους όρους της συνθήκης.

Β Μακ. 13,26 - προσῆλθεν ἐπὶ τὸ βῆμα Λυσίας, ἐπελογήσατο ἐνδεχομένως, συνέπεισε, κατεπράϋνε, εὐμενεῖς ἐποίησεν, ἀνέζευξεν εἰς Ἀντιόχειαν. οὕτω τὰ τοῦ βασιλέως τῆς ἐφόδου καὶ τῆς ἀναζυγῆς ἐχώρησε.

Β Μακ. 13,26 - Ο Λυσίας ανήλθε τότε στο βήμα, απελογήθη και υπερήσπισε τας συνθήκας αυτάς, όσον του ήτο δυνατόν· τους έπεισε, τους κατεπράϋνε, τους κατέστησεν ευμενείς και έπειτα ανεχώρησε δια την Αντιόχειαν. Ετσι εξειλίχθησαν τα της εκστροτείας αυτής του βασιλέως εναντίον της Ιουδαίας και κατ' αυτόν τον τρόπον απεχώρησεν από αυτήν.

Β ΜΑΚΚΑΒΑΙΩΝ 14

Β Μακ. 14,1 - Μετὰ δὲ τριετῆ χρόνον προσέπεσε τοῖς περὶ τὸν Ἰούδαν Δημήτριον τὸν τοῦ Σελεύκου διὰ τοῦ κατὰ Τρίπολιν λιμένος εἰσπλεύσαντα μετὰ πλήθους ἰσχυροῦ καὶ στόλου

Β Μακ. 14,1 - Μετά την πάροδον τριών ετών, ήλθεν εις γνώσιν του Ιούδα και των ανδρών του, ότι ο Δημήτριος, ο υιός του Σελεύκου, κατέπλευσεν στον λιμένα της Τριπόλεως με πολυάριθμον στρατόν και στόλον,

Β Μακ. 14,2 - κεκρατηκέναι τῆς χώρας ἐπανελόμενον Ἀντίοχον καὶ τὸν τούτου ἐπίτροπον Λυσίαν.

Β Μακ. 14,2 - ότι έγινε κύριος της χώρας, αφού εφόνευσε τον Αντίοχον και τον επίτροπον αυτού Λυσίαν.

Β Μακ. 14,3 - Ἄλκιμος δέ τις προγενόμενος ἀρχιερεύς, ἑκουσίως δὲ μεμολυμμένος ἐν τοῖς τῆς ἐπιμειξίας χρόνοις, συννοήσας ὅτι καθ᾿ ὁντιναοῦν τρόπον οὐκ ἔστιν αὐτῷ σωτηρία, οὐδὲ πρὸς ἅγιον θυσιαστήριον ἔτι πρόσοδος,

Β Μακ. 14,3 - Τοτε κάποιος, Αλκιμος ονόματι, ο οποίος είχε προηγουμένως χρηματίσει αρχιερεύς, είχε δε θεληματικά μολυνθή κατά τους χρόνους της επιμιξίας των Ιουδαίων προς τους ειδωλολάτρας, κατανοήσας ότι δεν είχεν απομείνει εις αυτόν καμμία ελπίς σωτηρίας και κανείς τρόπος να πλησάση προς το άγιον θυσιαστήριον,

Β Μακ. 14,4 - ἧκε πρὸς τὸν βασιλέα Δημήτριον πρώτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ ἔτει προσάγων αὐτῷ στέφανον χρυσοῦν καὶ φοίνικα, πρὸς δὲ τούτοις τῶν νομιζομένων θαλλῶν τοῦ ἱεροῦ, καὶ τὴν ἡμέραν ἐκείνην ἡσυχίαν ἔσχε.

Β Μακ. 14,4 - ήλθε προς τον βασιλέα Δημήτριον, κατά το εκατοστόν πεντηκοστόν πρώτον έτος, και προσέφερεν εις αυτόν χρυσούν στέφανον με κλάδον φοίνικος, επί πλέον δε και μερικούς κλάδους ελαίας, τους οποίους εσυνήθιζαν να χρησιμοποιούν στον ναόν. Κατά την ημέραν εκείνην δεν έκαμε τίποτε άλλο, ησύχασε.

Β Μακ. 14,5 - καιρὸν δὲ λαβὼν τῆς ἰδίας ἀνοίας συνεργόν, προσκληθεὶς εἰς συνέδριον ὑπὸ τοῦ Δημητρίου καὶ ἐπερωτηθεὶς ἐν τίνι διαθέσει καὶ βουλῇ καθεστήκασιν οἱ Ἰουδαῖοι, πρὸς ταῦτα ἔφη·

Β Μακ. 14,5 - Οταν όμως ευρήκε κατάλληλον καιρόν, εξυπηρετικόν της διεφθαρμένης του διαθέσεως, και συγκεκριμένως, όταν προσεκλήθη από τον Δημήτριον εις ένα συνέδριον και ηρωτήθη από αυτόν δια τας διαθέσεις και τα σχέδια των Ιουδαίων, εκείνος απήντησε·

Β Μακ. 14,6 - οἱ λεγόμενοι τῶν Ἰουδαίων Ἀσιδαῖοι, ὧν ἀφηγεῖται Ἰούδας ὁ Μακκαβαῖος, πολεμοτροφοῦσι καὶ στασιάζουσιν, οὐκ ἐῶντες τὴν βασιλείαν εὐσταθείας τυχεῖν.

Β Μακ. 14,6 - “Μερικοί από τους Ιουδαίους, που λέγονται Ασιδαίοι και των οποίων αρχηγός είναι ο Ιούδας ο Μακκαβαίος, υποθάλπουν τον

πόλεμον και τας επαναστάσεις και δεν αφήνουν την βασιλείαν σου σταθεράν και ειρηνικήν.

Β Μακ. 14,7 - ὅθεν ἀφελόμενος τὴν προγονικὴν δόξαν, λέγω δὴ τὴν ἀρχιερωσύνην, δεῦρο νῦν ἐλήλυθα,

Β Μακ. 14,7 - Επειδή λοιπόν αυτός ο Ιούδας ο Μακκαβαίος αφήρεσεν από εμέ την προγονικήν μου δόξαν, δηλαδή την αρχιερωσύνην μου, ήλθα τώρα εδώ,

Β Μακ. 14,8 - πρῶτον μὲν ὑπὲρ τῶν ἀνηκόντων τῷ βασιλεῖ γνησίως φρονῶν, δεύτερον δὲ καὶ τῶν ἰδίων πολιτῶν στοχαζόμενος· τῇ μὲν γὰρ τῶν προειρημένων ἀλογιστίᾳ τὸ σύμπαν ἡμῶν γένος οὐ μικρῶς ἀκληρεῖ.

Β Μακ. 14,8 - πρώτον μεν δια να διαβεβαιώσω τον βασιλέα περί των ειλικρινών μου φρονημάτων δια τα πράγματα της βασιλείας του, δεύτερον δε διότι στοχάζομαι κάτι καλόν δια τους συμπατριώτας μου. Διότι εξ αιτίας της απερίσκεπτου συμπεριφοράς των προαναφερθέντων ανθρώπων, ολόκληρον το ιουδαϊκόν ημών γένος έχει περιπέσει εις όχι ολίγα κακά.

Β Μακ. 14,9 - ἕκαστα δὲ τούτων ἐπεγνωκώς σύ, βασιλεῦ, καὶ τῆς χώρας καὶ τοῦ περιϊσταμένου γένους ἡμῶν προνοήθητι, καθ᾿ ἣν ἔχεις πρὸς ἅπαντας εὐαπάντητον φιλανθρωπίαν.

Β Μακ. 14,9 - Συ λοιπόν, βασιλεύ, όταν πεισθής δι' ένα έκαστον από όλα αυτά τα πράγματα, λάβε πρόνοιαν δια την σωτηρίαν της χώρας μας και δια το θλιβόμενον έθνος μας, σύμφωνα με την πρόθυμον καλωσύνην και την φιλανθρωπίαν, την οποίαν δεικνύεις προς όλους.

Β Μακ. 14,10 - ἄχρι γὰρ Ἰούδας περίεστιν, ἀδύνατον εἰρήνης τυχεῖν τὰ πράγματα.

Β Μακ. 14,10 - Διότι, εφ' όσον ζη και υπάρχει ο Ιούδας, είναι αδύνατον να ειρηνεύσουν τα πράγματα”.

Β Μακ. 14,11 - τοιούτων δὲ ῥηθέντων ὑπὸ τούτου, θᾶττον οἱ λοιποὶ φίλοι δυσμενῶς ἔχοντες τὰ πρὸς τὸν Ἰούδαν προσεπύρωσαν τὸν Δημήτριον.

Β Μακ. 14,11 - Οταν αυτός ετελείωσε την εισήγησίν του, αμέσως οι άλλοι φίλοι του βασιλέως, οι οποίοι ήσαν δυσμενώς διατεθειμένοι ενάντιον του Ιούδα, εξηρέθισαν ακόμη περισσότερον τον Δημήτριον.

Β Μακ. 14,12 - προσκαλεσάμενος δὲ εὐθέως Νικάνορα τὸν γενόμενον ἐλεφαντάρχην, καὶ στρατηγὸν ἀναδείξας τῆς Ἰουδαίας, ἐξαπέστειλε

Β Μακ. 14,12 - Ο βασιλεύς εκάλεσεν αμέσως τον Νικάνορα, αρχηγόν της ίλης των ελεφάντων, και αφού τον ανεκήρυξε στρατηγόν του στρατού εναντίον της Ιουδαίας, τον διέταξε να αναχωρήση.

Β Μακ. 14,13 - δοὺς ἐντολὰς αὐτὸν μὲν τὸν Ἰούδαν ἐπαναλέσθαι, τοὺς δὲ σὺν αὐτῷ σκορπίσαι, καταστῆσαι δὲ Ἄλκιμον ἀρχιερέα τοῦ μεγίστου ἱεροῦ.

Β Μακ. 14,13 - Του έδωσε δε εντολήν, τον μεν Ιούδαν να εκτελέση, αυτούς δέ, οι οποίοι τον ακολουθούσαν, να τους διασκορπίση, και να

αποκαταστήση τον Αλκιμον αρχιερέα στον ιερώτατον ναόν.

Β Μακ. 14,14 - οἱ δὲ ἐπὶ τῆς Ἰουδαίας πεφυγαδευκότες τὸν Ἰούδαν ἔθνη συνέμισγον ἀγεληδὸν τῷ Νικάνορι, τὰς τῶν Ἰουδαίων ἀτυχίας καὶ συμφορὰς ἰδίας εὐημερίας δοκοῦντες ἔσεσθαι.

Β Μακ. 14,14 - Οι εθνικοί, οι οποίοι είχον φύγει από την Ιουδαίαν καταδιωκόμενοι από τον Ιούδαν, συνεκεντρώθησαν αγεληδόν και προσετέθησαν στον στρατόν του Νικάνορος, διότι επίστευαν ότι αι ατυχίαι και αι συμφοραί των Ιουδαίων θα είναι ιδική των ευημερία.

Β Μακ. 14,15 - Ἀκούσαντες δὲ τὴν τοῦ Νικάνορος ἔφοδον καὶ τὴν ἐπίθεσιν τῶν ἐθνῶν, καταπασάμενοι γῆν ἐλιτάνευον τὸν ἄχρι αἰῶνος συστήσαντα τὸν ἑαυτοῦ λαόν, ἀεὶ δὲ μετ᾽ ἐπιφανείας ἀντιλαμβανόμενον τῆς ἑαυτοῦ μερίδος.

Β Μακ. 14,15 - Οταν οι Ιουδαίοι επληροφορήθησαν την προσέγγισιν του Νικάνορος και την βοήθειαν αυτού από τους εθνικούς, έρριψαν χώμα εις τας κεφαλάς των και παρακαλούσαν τον Θεόν, ο οποίος είχεν ανακηρύξει τον ισραηλιτικόν λαόν ως παντοτεινόν λαόν του, και ο οποίος με φανεράς επεμβάσστου είχεν υπερασπίσει την κληρονομίαν του.

Β Μακ. 14,16 - προτάξαντος δὲ τοῦ ἡγουμένου ἐκεῖθεν εὐθέως ἀνέζευξαν καὶ συμμίσγουσιν αὐτοῖς ἐπὶ κώμην Δεσσαού.

Β Μακ. 14,16 - Αμέσως δε μόλις εδόθη η διαταγή του αρχηγού, οι Ιουδαίοι ανεχώρησαν και ήλθαν εις συμπλοκήν με τον εχθρόν εις την κωμόπολιν Δεσσαού.

Β Μακ. 14,17 - Σίμων δὲ ὁ ἀδελφὸς Ἰούδα συμβεβληκὼς ἦν τῷ Νικάνορι, βραχέως δὲ διὰ τὴν αἰφνίδιον τῶν ἀντιπάλων ἀφασίαν ἐπταικώς.

Β Μακ. 14,17 - Ο Σιμων, ο αδελφός του Ιούδα, ήλθεν εις συμπλοκήν εναντίον του στρατύ του Νικάνορος. Εξ αιτίας όμως της αιφνιδίας καταπλήξεως των ανδρών του από την εμφάνισιν μεγάλων εχθρικών δυνάμεων, έπαθε κάποιον κλονισμόν.

Β Μακ. 14,18 - ὅμως δὲ ἀκούων ὁ Νικάνωρ ἣν εἶχον οἱ περὶ τὸν Ἰούδαν ἀνδραγαθίαν καὶ ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσιν εὐψυχίαν, ὑπευλαβεῖτο τὴν κρίσιν δι᾽ αἱμάτων ποιήσασθαι.

Β Μακ. 14,18 - Ο Νικάνωρ, ο οποίος είχεν ακούσει πολλά δια τας ανδραγαθίας του Ιούδα και των ανδρών του, όπως και δια το ατρόμητον θάρρος των στους αγώνας των υπέρ της πατρίδος, εφοβήθη να αφήση να κριθούν τα πράγματα δια των αιμάτων της μάχης.

Β Μακ. 14,19 - διόπερ ἔπεμψε Ποσιδώνιον καὶ Θεόδοτον καὶ Ματταθίαν δοῦναι καὶ λαβεῖν δεξιάς.

Β Μακ. 14,19 - Δια τούτο και έστειλε τον Ποσιδώνιον, τον Θεόδοτον και τον Ματταθίαν να συνάψουν συνθήκην φιλίας και ειρήνης με τους Ιουδαίους.

Β Μακ. 14,20 - πλείονος δὲ γενομένης περὶ τούτων ἐπισκέψεως καὶ τοῦ ἡγεμόνος τοῖς πλήθεσιν ἀνακοινωσαμένου καὶ φανείσης ὁμοψήφου γνώμης, ἐπένευσαν ταῖς συνθήκες.

Β Μακ. 14,20 - Αφού επί μακρόν και επισταμένως εξητάσθησαν αι προτάσεις ειρήνης, ο στρατηγός ανήγγειλεν αυτάς στον στρατόν. Οταν δε εγένοντο αυταί γνωσταί και ότι όλοι συμφωνούν, συγκατετέθησαν εις τας συνθήκας.

Β Μακ. 14,21 - ἐτάξαντο δὲ ἡμέραν, ἐν ᾗ κατ᾽ ἰδίαν ἥξουσιν εἰς τὸ αὐτό· καὶ προῆλθε καὶ παρ᾽ ἑκάστου διαφόρους ἔθεσαν δίφρους·

Β Μακ. 14,21 - Ωρισαν δε ημέραν, κατά την οποίαν θα συναντηθούν επί το αυτό οι δύο αρχηγοί. Ο Ιούδας παρουσιάσθη εκεί και ετοποθέτηθησαν πλησίον αυτών δύο έδραι.

Β Μακ. 14,22 - διέταξεν Ἰούδας ἐνόπλους ἑτοίμους ἐν τοῖς ἐπικαίροις τόποις, μή ποτε ἐκ τῶν πολεμίων αἰφνιδίως κακουργία γένηται· τὴν ἁρμόζουσαν ἐποιήσαντο κοινολογίαν.

Β Μακ. 14,22 - Εν τούτοις ο Ιούδας έδωσε διαταγήν να είναι, έτοιμοι οι ένοπλοι άνδρες του εις τα επίκαιρα σημεία. Τούτο δέ, διότι εφοβήθη, μήπως και εκδηλωθή καμμία αιφνιδία απιστία εκ μέρους των εχθρών. Εκεί οι δύο αρχηγοί συνωμίλησαν από κοινού και συνεννοήθησαν δια το θέμα αυτό.

Β Μακ. 14,23 - διέτριβε δὲ ὁ Νικάνωρ ἐν Ἱεροσολύμοις, καὶ ἔπραττεν οὐθὲν ἄτοπον, τοὺς δὲ συναχθέντας ἀγελαίους ὄχλους ἀπέλυσε.

Β Μακ. 14,23 - Ο Νικάνωρ επέρασεν ολίγον χρόνον εις την Ιερουσαλήμ, χωρίς να πράττη τίποτε το άτοπον. Μαλιστα δε και απέλυσε τους εχθρικούς κατά των Ιουδαίων όχλους εκείνους, που είχαν συγκεντρωθή ωσάν αγέλαι γύρω του.

Β Μακ. 14,24 - καὶ εἶχε τὸν Ἰούδαν διαπαντὸς ἐν προσώπῳ, ψυχικῶς τῷ ἀνδρὶ προσεκέκλιτο.

Β Μακ. 14,24 - Είχε πάντοτε προ οφθαλμών τον ηρωϊκόν Ιούδαν και έτρεφε προς τον άνθρωπον αυτόν μίαν ιδιαιτέραν συμπάθειαν.

Β Μακ. 14,25 - παρακάλεσεν αὐτὸν γῆμαι καὶ παιδοποιήσασθαι· ἐγάμησεν, εὐστάθησεν, ἐκοινώνησε βίου.

Β Μακ. 14,25 - Μαλιστα δε τον προέτρεψε να νυμφευθή και να αποκτήση τέκνα. Πράγματι ο Ιούδας ενυμφευθη, έζησεν εν ησυχία και απήλαυσεν ειρηνικήν ζωήν.

Β Μακ. 14,26 - Ὁ δὲ Ἄλκιμος συνιδὼν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ τὰς γενομένας συνθήκας, ἀναλαβὼν ἧκε πρὸς τὸν Δημήτριον καὶ ἔλεγε τὸν Νικάνορα ἀλλότρια φρονεῖν τῶν πραγμάτων· τὸν γὰρ ἐπίβουλον τῆς βασιλείας Ἰούδαν διάδοχον ἀναδέδειχεν ἑαυτοῦ.

Β Μακ. 14,26 - Ο Αλκιμος όταν είδε την φιλίαν αυτήν μεταξύ των δύο ανδρών, αφού επήρεν αντίγραφαν των γενομένων συνθηκών, ήλθε προς τον

Δημήτριον και έλεγεν ότι ο Νικάνωρ έχει φρονήματα αντίθετα προς τα πράγματα του βασιλέως. Διότι τον Ιούδαν, ο οποίος είναι εχθρός και επίβουλος του βασιλείου του, τον ανέδειξε διάδοχόν του εις την αρχιερωσύνην.

Β Μακ. 14,27 - ὁ δὲ βασιλεὺς ἔκθυμος γενόμενος καὶ ταῖς τοῦ παμπονήρου ἐρεθισθεὶς διαβολαῖς, ἔγραψε Νικάνορι φάσκων ὑπὲρ μὲν τῶν συνθηκῶν βαρέως φέρειν, κελεύων δὲ τὸν Μακκαβαῖον δέσμιον ἐξαποστέλλειν ταχέως εἰς Ἀντιόχειαν.

Β Μακ. 14,27 - Ο βασιλεύς έξαλλος από τον θυμόν του και εξηρεθισμένος από τας διαβολάς του παμπονήρου Αλκίμου, έγραψε προς τον Νικάνορα λέγων ότι βαρέως φέρει την συναφθείσαν συνθήκην και τον διέτασσε να αποστείλη αμέσως δεμένον εις την Αντιόχειαν Ιούδαν τυν Μακκαβαίον.

Β Μακ. 14,28 - προσπεσόντων δὲ τούτων τῷ Νικάνορι συνεκέχυτο καὶ δυσφόρως ἔφερεν, εἰ τὰ διεσταλμένα ἀθετήσει μηδὲν τ᾿ ἀνδρὸς ἠδικηκότος.

Β Μακ. 14,28 - Ο Νικάνωρ, όταν έλαβε την επιστολήν αυτήν, περιήλθεν εις σύγχυσιν και δυσφορίαν, διότι διετάσσετο να παραβή τα συμφωνηθέντα προς τον Ιούδαν, ο οποίος άλλωστε κανένα κακόν δεν είχε κάμει εναντίον του.

Β Μακ. 14,29 - ἐπεὶ δὲ τῷ βασιλεῖ ἀντιπράττειν οὐκ ἦν, εὔκαιρον ἐτήρει στρατηγήματι τοῦτ᾿ ἐπιτελέσαι.

Β Μακ. 14,29 - Επειδή όμως δεν ήτο δυνατόν να αντιπράξη προς τον βασιλέα, επιζητούσε μίαν ευκαιρίαν να εκτελέση με δόλιόν τι στρατήγημα την εντολήν το βασιλέως.

Β Μακ. 14,30 - ὁ δὲ Μακκαβαῖος αὐστηρότερον διεξάγοντα συνιδὼν τὸν Νικάνορα πρὸς αὐτὸν καὶ τὴν εἰθισμένην ἀπάντησιν ἀγροικότερον ἐσχηκότα, νοήσας οὐκ ἀπὸ τοῦ βελτίστου τὴν αὐστηρίαν εἶναι, συστρέψας οὐκ ὀλίγους τῶν περὶ ἑαυτόν, συνεκρύπτετο τὸν Νικάνορα.

Β Μακ. 14,30 - Ο Μακκαβαίος κατενόησεν, ότι ο Νικάνωρ εφέρετο απέναντί του με ψυχρότητα και ότι αντί της προτέρας φιλικής στάσεως ετηρούσεν απέναντί του κάποιον αγροίκον συμπεριφοράν. Εσκέφθη, λοιπόν, ότι η ψυχρότης αυτή δεν προέρχεται από ελατήρια καλά. Αφού δε συνεκέντρωσεν αρκετούς από τους άνδρας του, εκρύπτετο μαζή με αυτούς και απέφευγε την επικοινωνίαν με τον Νικάνορα.

Β Μακ. 14,31 - συγγνοὺς δὲ ὁ ἕτερος ὅτι γενναίως ὑπὸ τοῦ ἀνδρὸς ἐστρατήγηται, παραγενόμενος ἐπὶ τὸ μέγιστον καὶ ἅγιον ἱερόν, τῶν ἱερέων τὰς καθηκούσας θυσίας προσαγόντων, ἐκέλευσε παραδιδόναι τὸν ἄνδρα.

Β Μακ. 14,31 - Ο Νικάνωρ, όταν είδεν ότι κατά τον πλέον επιτυχή τρόπον είχε καταστρατηγηθή από τον Ιούδαν τον Μακκαβαίον, ήλθεν στον μέγιστον και ιερόν ναόν, την στιγμήν κατά την οποίαν οι ιερείς προσέφεραν τας συνήθεις θυσίας και τους διέταξε να του παραδώσουν τον Ιούδαν.

Β Μακ. 14,32 - τῶν δὲ μεθ᾽ ὅρκων φασκόντων μὴ γινώσκειν ποῦ ποτ᾽ ἔστιν ὁ ζητούμενος,

Β Μακ. 14,32 - Επειδή δε εκείνοι με όρκους τον εβεβαίωσαν, ότι δεν γνωρίζουν που ευρίσκεται ο καταζητούμενος Ιούδας,

Β Μακ. 14,33 - προτείνας τὴν δεξιὰν εἰς τὸν νεὼ ταῦτα ὤμοσε· ἐὰν μὴ δέσμιόν μοι τὸν Ἰούδαν παραδῶτε, τόνδε τοῦ Θεοῦ σηκὸν εἰς πεδίον ποιήσω καὶ τὸ θυσιαστήριον κατασκάψω καὶ ἱερὸν ἐνταῦθα τῷ Διονύσῳ ἐπιφανὲς ἀναστήσω.

Β Μακ. 14,33 - ο Νικάνωρ ύψωσε την δεξιάν του χείρα στον ναόν και ωρκίσθη και είπε· "Εάν δεν μου παραδώσετε τον Ιούδαν δέσμιον, θα ισοπεδώσω τον ναόν τούτον του Θεού, θα κατασκάψω το θυσιαστήριον των ολοκαυτωμάτων και θα ανοικοδομήσω εδώ περιφανή ναόν στον Διόνυσον.

Β Μακ. 14,34 - τοσαῦτα δὲ εἰπὼν ἀπῆλθεν· οἱ δὲ ἱερεῖς προτείναντες τὰς χεῖρας εἰς τὸν οὐρανόν, ἐπεκαλοῦντο τὸν διαπαντὸς ὑπέρμαχον τοῦ ἔθνους ἡμῶν ταῦτα λέγοντες·

Β Μακ. 14,34 - Αυτά και τόσα άλλα αφού είπεν, απεχώρησεν. Οι δε ιερείς ύψωσαν τα χέρια των στον ουρανόν και παρακαλούσαν τον Θεόν, ο οποίος υπήρξε πάντοτε υπέρμαχος του έθνους των, και έλεγαν·

Β Μακ. 14,35 - σὺ Κύριε, τῶν ὅλων ἀπροσδεὴς ὑπάρχων, εὐδόκησας ναὸν τῆς σῆς κατασκηνώσεως ἐν ἡμῖν γενέσθαι.

Β Μακ. 14,35 - "Συ, Κυριε, ο οποίος δεν έχεις ανάγκην από τίποτε απολύτως, ηυδόκησας, ώστε ο ναός, στον οποίον κατοικείς, να ευρίσκεται εν μέσω ημών.

Β Μακ. 14,36 - καὶ νῦν ἅγιε παντὸς ἁγιασμοῦ Κύριε, διατήρησον εἰς αἰῶνα ἀμίαντον τόνδε τὸν προσφάτως κεκαθαρισμένον οἶκον.

Β Μακ. 14,36 - Και τώρα, άγιε, Κυριε παντός αγιασμού, διαφύλαξε αιωνίως αμόλυντον από κάθε ακαθαρσίαν αυτόν τον ναόν, ο οποίος προ ολίγου έχει καθαρισθή".

Β Μακ. 14,37 - Ῥαζὶς δέ τις τῶν ἀπὸ Ἱεροσολύμων πρεσβυτέρων ἐμηνύθη τῷ Νικάνορι, ἀνὴρ φιλοπολίτης καὶ σφόδρα καλῶς ἀκούων καὶ κατὰ τὴν εὔνοιαν πατὴρ τῶν Ἰουδαίων προσαγορευόμενος.

Β Μακ. 14,37 - Καποιος από τους κατοίκους της Ιερουσαλήμ, ονόματι Ραζίς, ένας από τους πρεσβυτέρους, κατηγγέλθη στον Νικάνορα ότι αγαπά τους συμπολίτας του, ότι δια την αρετήν του επαινείται από όλους και δια την καλήν του φήμην ονομάζεται πατήρ των Ιουδαίων.

Β Μακ. 14,38 - ἦν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις τῆς ἀμειξίας κρίσιν εἰσενηνεγμένος Ἰουδαϊσμοῦ, καὶ σῶμα καὶ ψυχὴν ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ παραβεβλημένος μετὰ πάσης ἐκτενίας.

Β Μακ. 14,38 - Απελάμβανε δε αυτήν την καλήν υπόληψιν, διότι στους προγενεστέρους χρόνους είχε κατηγορηθή επί Ιουδαϊσμῷ, ως φρονών

δηλαδή και λέγων, ότι πρέπει να αποφεύγεται κάθε επικοινωνία με τους εθνικούς. Δια δε την ευσεβή ζωήν του και τα φρονήματά του αυτά υπέρ του ιουδαϊσμού, είχεν εκθέσει με ακλόνητον ευστάθειαν εις κίνδυνον σώμα και ζωήν.

Β Μακ. 14,39 - βουλόμενος δὲ Νικάνωρ πρόδηλον ποιῆσαι, ἣν εἶχε πρὸς τοὺς Ἰουδαίους δυσμένειαν, ἀπέστειλε στρατιώτας ὑπὲρ τοὺς πεντακοσίους συλλαβεῖν αὐτόν·

Β Μακ. 14,39 - Ο Νικάνωρ, επειδή ήθελε να δώηη ένα ολοφάνερον δείγμα της εχθρότητός του εναντίον των Ιουδαίων, έστειλε περισσοτέρους από πεντακοσίους στρατιώτας να τον συλλάβουν.

Β Μακ. 14,40 - ἔδοξε γὰρ ἐκεῖνον συλλαβὼν τούτοις ἐργάσασθαι συμφοράν.

Β Μακ. 14,40 - Επίστευε δε ότι, εάν συνελάμβανεν εκείνον, θα κατέφερε μέγα πλήγμα εναντίον των Ιουδαίων.

Β Μακ. 14,41 - τῶν δὲ πληθῶν μελλόντων τὸν πύργον καταλαβέσθαι καὶ τὴν αὐλαίαν θύραν βιαζομένων καὶ κελευόντων πῦρ προσάγειν καὶ τὰς θύρας ὑφάπτειν, περικατάληπτος γενόμενος ὑπέθηκε ἑαυτῷ ξίφος,

Β Μακ. 14,41 - Οταν δε οι στρατιώται επρόκειτο να καταλάβουν τον πύργον, όπου ευρίσκετο ο Ραζίς και παρεβίαζαν την πύλην της εισόδου, εδόθη διαταγή να φέρουν πυρ και να καύσουν τας θύρας. Την ώραν εκείνην ο Ραζίς, περικλεισμένος από όλα τα μέρη, κατηύθυνε το ξίφος εναντίον του δια να θέση έτσι τέρμα εις την ζωήν του.

Β Μακ. 14,42 - εὐγενῶς θέλων ἀποθανεῖν ἤπερ τοῖς ἀλιτηρίοις ὑποχείριος γενέσθαι καὶ τῆς ἰδίας εὐγενείας ἀναξίως ὑβρισθῆναι.

Β Μακ. 14,42 - Και τούτο, διότι επροτιμούσε να αποθάνη κατά τρόπον ευγενή, παρά να πέση εις τα χέρια των κακούργων και να υποστή από εκείνους εξευτελισμούς αναξίους της ευγενείας του.

Β Μακ. 14,43 - τῇ δὲ πληγῇ μὴ κατευθικτήσας διὰ τὴν τοῦ ἀγῶνος σπουδὴν καὶ τῶν ὄχλων εἴσω τῶν θυρωμάτων εἰσβαλόντων, ἀναδραμὼν γενναίως ἐπὶ τὸ τεῖχος, κατεκρήμνισεν ἑαυτὸν ἀνδρείως εἰς τοὺς ὄχλους.

Β Μακ. 14,43 - Επειδή όμως επάνω εις την σπουδήν του δεν κατέφερε καίριον πλήγμα κατά του σώματός του, έβλεπε δε τους άλλους να εισβάλλουν δια των θυρών στον πύργον, έτρεξεν ηρωϊκώς επάνω στο τείχος και εκρημνίσθη ανδρείως ανάμεσα από τους όχλους.

Β Μακ. 14,44 - τῶν δὲ ταχέως ἀναποδισάντων γενομένου διαστήματος ἦλθε κατὰ μέσον τὸν κενεῶνα.

Β Μακ. 14,44 - Διότι οι όχλοι βλέποντες το γεγονός απεσύρθησαν αμέσως εις κάποιαν απόστασιν και εκείνος ήλθε και έπεσεν στο μέσον του κενού διαστήματος.

Β Μακ. 14,45 - ἔτι δὲ ἔμπνους ὑπάρχων καὶ πεπυρωμένος τοῖς θυμοῖς, ἐξαναστὰς φερομένων κρουνηδὸν τῶν αἱμάτων καὶ δυσχερῶν ὄντων τῶν

τραυμάτων, δρόμῳ τοὺς ὄχλους διελθὼν καὶ στὰς ἐπί τινος πέτρας ἀποῤῥωγάδος,

Β Μακ. 14,45 - Ενῷ ανέπνεεν ακόμη πυρπολούμενος από θείον ζήλον, ηγέρθη και ενώ τα αίματα έτρεχαν κρουνηδόν και παρά τας τρομεράς πληγάς του, διέτρεχε το πλήθος, ήλθε και εστάθη επάνω εις ένα απότομον βράχον.

Β Μακ. 14,46 - παντελῶς ἔξαιμος ἤδη γενόμενος, προβαλὼν τὰ ἔντερα καὶ λαβὼν ἑκατέραις ταῖς χερσίν, ἐνέσεισε τοῖς ὄχλοις καὶ ἐπικαλεσάμενος τὸν δεσπόζοντα τῆς ζωῆς καὶ τοῦ πνεύματος, ταῦτα αὐτῷ πάλιν ἀποδοῦναι, τόνδε τὸν τρόπον μετήλλαξεν.

Β Μακ. 14,46 - Αφού είχε χάσει όλον σχεδόν τα αίμα του, προέβαλε τα έντερά του, τα οποία τα επήρεν εις τα χέρια του και τα ανακινούσε επιδεικνύων αυτά στον λαόν. Παρεκάλεσεν έπειτα τον Κυριον της ζωής και της ψυχής να του τα αποδώση κάποτε και κατ' αυτόν τον τρόπον, εκείνος εξεδήμησεν.

Β ΜΑΚΚΑΒΑΙΩΝ 15

Β Μακ. 15,1 - Ὁ δὲ Νικάνωρ μεταλαβὼν τοὺς περὶ τὸν Ἰούδαν ὄντας ἐν τοῖς κατὰ Σαμάρειαν τόποις, ἐβουλεύσατο τῇ τῆς καταπαύσεως ἡμέρᾳ μετὰ πάσης ἀσφαλείας αὐτοῖς ἐπιβαλεῖν.

Β Μακ. 15,1 - Ο Μικάνωρ επληροφορήθη, ότι ο Ιούδας και οι σύντροφοί του ευρίσκοντο στους περί την Σαμάρειαν τόπους. Εσκέφθη, λοιπόν, να επιτεθή εναντίον των εκεί κατά την ημέραν της αργίας του Σαββάτου, δια να έχη έτσι ασφαλή την επιτυχίαν.

Β Μακ. 15,2 - τῶν δὲ κατ᾿ ἀνάγκην συνεπομένων αὐτῷ Ἰουδαίων λεγόντων· μηδαμῶς οὕτως ἀγρίως καὶ βαρβάρως ἀπολέσῃς, δόξαν δὲ ἀπομέρισον τῇ προτετιμημένῃ ὑπὸ τοῦ πάντα ἐφορῶντος μεθ᾿ ἁγιότητος ἡμέρᾳ.

Β Μακ. 15,2 - Οι Ιουδαίοι, οι οποίοι εξ ανάγκης τον ακολουθούσαν, του είπαν· “μη θελήσης ποτέ να φονεύσης αυτούς κατά τον άγριον και βάρβαρον αυτόν τρόπον, αλλά τίμησε και συ την ημέραν αυτήν, η οποία έχει αγιασθή από τον τα πάντα επιβλέποντα Θεόν”.

Β Μακ. 15,3 - ὁ δὲ τρισαλιτήριος ἐπηρώτησεν. εἰ ἔστιν ἐν οὐρανῷ δυνάστης ὁ προστεταχὼς ἄγειν τὴν τῶν σαββάτων ἡμέραν;

Β Μακ. 15,3 - Τοτε ο τρισαλιτήριος Νικάνωρ ηρώτησε να πληροφορηθή, εάν πράγματι υπάρχη στον ουρανόν Κυριος, ο οποίος διέταξε να εορτάζεται η ημέρα αυτή του Σαββάτου.

Β Μακ. 15,4 - τῶν δὲ ἀποφηναμένων· ἔστιν ὁ Κύριος ζῶν αὐτὸς ἐν οὐρανῷ δυνάστης ὁ κελεύσας ἀσκεῖν τὴν ἑβδομάδα·

Β Μακ. 15,4 - Εκείνοι απήντησαν· “μάλιστα υπάρχει. Είναι ο Κυριος, ο ζων και πραγματικός Θεός, ο Δεσπότης του ουρανού, ο οποίος διέταξε να εορτάζεται η εβδόμη αυτή ημέρα”.

Β Μακ. 15,5 - ὁ δὲ ἕτερος· κἀγώ, φησί, δυνάστης ἐπὶ τῆς γῆς ὁ προστάσσων αἴρειν τὰ ὅπλα καὶ τὰς βασιλικὰς χρείας ἐπιτελεῖν. ὅμως οὐ κατέσχεν ἐπιτελέσαι τὸ σχέτλιον αὐτοῦ βούλημα.

Β Μακ. 15,5 - “Και εγώ, απήντησεν εκείνος, είμαι ο κύριος επάνω εις την γην και διατάσσω να παρέτε τα όπλα, δια να εκτελέσετε την εντολήν του βασιλέως”. Αλλά δεν επέτυχε να πραγματοποίηση την κακήν του αυτήν απόφασιν.

Β Μακ. 15,6 - καὶ ὁ μὲν Νικάνωρ μετὰ πάσης ἀλαζονείας ὑψαυχενῶν, διεγνώκει κοινὸν τῶν περὶ τὸν Ἰούδαν συστήσασθαι τρόπαιον.

Β Μακ. 15,6 - Και ο μεν Νικάνωρ αλαζονευόμενος και υπερηφανευόμενος είχε κατά νουν να στήση ένα κοινόν τρόπαιον δια την νίκην του εναντίον του Ιούδα και των συντρόφων του.

Β Μακ. 15,7 - ὁ δὲ Μακκαβαῖος ἦν ἀδιαλείπτως πεποιθὼς μετὰ πάσης ἐλπίδος ἀντιλήψεως τεύξασθαι παρὰ τοῦ Κυρίου

Β Μακ. 15,7 - Ο Ιούδας όμως ο Μακκαβαίος με ακλόνητον την πεποίθησίν του στον Θεόν, εστήριζε την βέβαιον ελπίδα του ότι θα λάβη βοήθειαν εκ μέρους του Κυρίου.

Β Μακ. 15,8 - καὶ παρεκάλει τοὺς σὺν αὐτῷ μὴ δειλιᾶν τὴν τῶν ἐθνῶν ἔφοδον, ἔχοντας δὲ κατὰ νοῦν τὰ προγεγονότα αὐτοῖς ἀπ᾿ οὐρανοῦ βοηθήματα καὶ τανῦν προσδοκᾶν τὴν παρὰ τοῦ Παντοκράτορος ἐσομένην αὐτοῖς νίκην καὶ βοήθειαν.

Β Μακ. 15,8 - Ενεθάρρυνε δε και ενίσχυε τους άνδρας του, να μη δειλιάσουν από την έφοδον των ειδωλολατρών, αλλά να ενθυμούνται τα προγενέστερα γεγονότα, κατά τα οποία είχον λάβει από τον ουρανόν βοήθειαν και να περιμένουν βεβαίαν την βοήθειαν και την νίκην, η οποία θα δοθή εις αυτούς από τον Παντοκράτορα Θεόν.

Β Μακ. 15,9 - καὶ παραμυθούμενος αὐτοὺς ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν, προσυπομνήσας δὲ αὐτοὺς καὶ τοὺς ἀγῶνας, οὓς ἦσαν ἐκτετελεκότες, προθυμοτέρους αὐτοὺς κατέστησε.

Β Μακ. 15,9 - Ενίσχυε δε αυτούς με την ανάγνωσιν καταλλήλων τεμαχίων από τον Νομον και τους προφήτας και υπενθύμιζεν εις αυτούς τους νικηφόρους αγώνας, τους οποίους είχαν πραγματοποιήσει. Ετσι τους κατέστησε προθυμότερους και γενναιοτέρους δια την μάχην.

Β Μακ. 15,10 - καὶ τοῖς θυμοῖς διεγείρας αὐτοὺς παρήγγειλεν ἅμα παρεπιδεικνὺς τὴν τῶν ἐθνῶν ἀθεσίαν καὶ τὴν τῶν ὅρκων παράβασιν.

Β Μακ. 15,10 - Αφού δε διήγειρε και ενίσχυσεν αυτών τον ενθουσιασμόν και το θάρρος, και αφού ταυτοχρόνως παρουσίασε την απιστίαν των ειδωλολατρών και την καταπάτησιν των όρκων των, τους έδωσε τας δεούσας εντολάς.

Β Μακ. 15,11 - ἕκαστον δὲ αὐτῶν καθοπλίσας οὐ τὴν ἀσπίδων καὶ λογχῶν ἀσφάλειαν, ὡς τὴν ἐν τοῖς ἀγαθοῖς λόγοις παράκλησιν, καὶ προσεξηγησάμενος ὄνειρον ἀξιόπιστον ὕπερ τι πάντας εὔφρανεν.

Β Μακ. 15,11 - Επειτα εξώπλισεν ένα έκαστον από αυτούς, όχι τόσον με την ασφάλειαν των ασπίδων και των τόξων, όσον προ παντός και κυρίως με την τόνωσιν και πίστιν δια των αγαθών αυτού λόγων. Κατόπιν διηγήθη και εξήγησεν εις αυτούς ένα αξιόπιστον όνειρον, το οποίον σαν να εγέμισεν από ευφροσύνην όλους.

Β Μακ. 15,12 - ἦν δὲ ἡ τούτου θεωρία τοιάδε· Ὀνίαν τὸν γενόμενον ἀρχιερέα ἄνδρα καλὸν καὶ ἀγαθόν, αἰδήμονα μὲν τὴν ἀπάντησιν, πρᾷον δὲ τὸν τρόπον καὶ λαλιὰν προϊέμενον πρεπόντως καὶ ἐκ παιδὸς ἐκμεμελητηκότα πάντα τὰ τῆς ἀρετῆς οἰκεῖα, τοῦτον τὰς χεῖρας προτείναντα κατεύχεσθαι τῷ παντὶ τῶν Ἰουδαίων συστήματι.

Β Μακ. 15,12 - Το όνειρον, η μάλλον η οπτασία την οποίαν είδεν, ήτο η εξής· Είδε τον αρχιερέα Ονίαν, τον καλόν και αγαθόν αυτόν άνθρωπον, με την σεβαστήν αυτού εμφάνισιν, τον πράον κατά την συμπεριφοράν και την ομιλίαν. Τον από της παιδικής ηλικίας με επιμέλειαν επιδοθέντα εις όλα τα έργα της αρετής, αυτόν λοιπόν τον είδε να έχη ανυψωμένας τας χείρας προς τον ουρανόν και να προσεύχεται θερμώς δι' όλον το έθνος των Ιουδαίων.

Β Μακ. 15,13 - εἶθ᾿ οὕτως ἐπιφανῆναι ἄνδρα πολιᾷ καὶ δόξῃ διαφέροντα, θαυμαστὴν δέ τινα καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ αὐτὸν ὑπεροχήν.

Β Μακ. 15,13 - Επειτα παρουσιάσθη εις αυτόν κατά τον ίδιον τρόπον ένας ανήρ πολύ αξιοπρόσεκτος δια την λευκήν του κόμην και την δόξαν, περιβεβλημένος μίαν αζιοθαύμαστον μεγαλοπρέπειαν και υπεροχήν.

Β Μακ. 15,14 - ἀποκριθέντα δὲ τὸν Ὀνίαν εἰπεῖν· ὁ φιλάδελφος οὗτός ἐστιν ὁ πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ καὶ τῆς ἁγίας πόλεως Ἱερεμίας ὁ τοῦ Θεοῦ προφήτης.

Β Μακ. 15,14 - Ο Ονίας λαβών τον λόγον είπε τότε προς τον Ιούδαν· “αυτός αγαπά τους αδελφούς του τους Ιουδαίους, προσεύχεται θερμώς δια τον λαόν και την αγίαν πόλιν προς τον Θεόν. Αυτός είναι ο Ιερεμίας, ο προφήτης του Θεού”.

Β Μακ. 15,15 - προτείναντα δὲ τὸν Ἱερεμίαν τὴν δεξιὰν παραδοῦναι τῷ Ἰούδᾳ ῥομφαίαν χρυσῆν, διδόντα δὲ προσφωνῆσαι τάδε·

Β Μακ. 15,15 - Επειτα ο Ιερεμίας άπλωσε το δεξί του χέρι, έδωκεν στον Ιούδαν χρυσήν ρομφαίαν και καθ' ον χρόνον του την έδιδε του είπε τα εξής·

Β Μακ. 15,16 - λάβε τὴν ἁγίαν ῥομφαίαν δῶρον παρὰ τοῦ Θεοῦ, δι᾽ ἧς θραύσεις τοὺς ὑπεναντίους.

Β Μακ. 15,16 - “πάρε την αγίαν αυτήν ρομφαίαν, το δώρον τούτο του Θεού, με το οποίον και θα συντρίψης τους εχθρούς σου”.

Β Μακ. 15,17 - παρακληθέντες δὲ τοῖς Ἰούδα λόγοις πάνυ καλοῖς καὶ δυναμένοις ἐπ᾽ ἀρετὴν παρορμῆσαι καὶ ψυχὰς νέων ἐπανορθῶσαι, διέγνωσαν μὴ στρατοπεδεύεσθαι, γενναίως δὲ ἐμφέρεσθαι καὶ μετὰ πάσης εὐανδρίας ἐμπλακέντες κρῖναι τὰ πράγματα, διὰ τὸ καὶ τὴν πόλιν καὶ τὰ ἅγια καὶ τὸ ἱερὸν κινδυνεύειν.

Β Μακ. 15,17 - Ενθαρρυνθέντες οι Ιουδαίοι από τους εξαιρετικά ωραίους αυτούς λόγους του Ιούδα, τους ικανούς να ενθαρρύνουν και να παρορμήσουν εις πράξεις ηρωϊκάς και να ενισχύσουν τας καρδίας των νέων ανδρών, απεφάσισαν να μη μένουν στρατοπεδευμένοι, αλλά να ριφθούν με γενναιότητα εις την μάχην και να συμπλακούν με κάθε ηρωϊσμόν εναντίον του εχθρού, δια να κριθούν έτσι τα πράγματα. Διότι η πόλις, τα ιερά και τα οσιά των, και ο ιερός ναός ευρίσκονται εν κινδύνω.

Β Μακ. 15,18 - ἦν γὰρ ὁ περὶ γυναικῶν καὶ τέκνων, ἔτι δὲ ἀδελφῶν καὶ συγγενῶν ἐν ἥττονι μέρει κείμενος αὐτοῖς ἀγών, μέγιστος δὲ καὶ πρῶτος ὁ περὶ τοῦ καθηγιασμένου ναοῦ φόβος.

Β Μακ. 15,18 - Εν όψει δε του επικειμένου αγώνος ετέθη εις δεύτερον μοίραν η σκέψις περί των γυναικών και των τέκνων, περί των αδελφών και συγγενών, διότι ο μέγιστος φόβος των ήτο δια τον άγιον ναόν.

Β Μακ. 15,19 - ἦν δὲ καὶ τοῖς ἐν τῇ πόλει κατειλημμένοις οὐ πάρεργος ἀγωνία ταρασσομένοις τῆς ἐν ὑπαίθρῳ προσβολῆς.

Β Μακ. 15,19 - Ταυτοχρόνως δε η αγωνία των πολιτών, που είχαν εναπομείνει μέσα εις την πόλιν, δεν ήτο μικρά και ασήμαντος, διότι ήσαν τεταραγμένοι και ανήσυχοι δια την έκβασιν της μάχης, που θα εδίδετο στο ύπαιθρον, έξω από την πόλιν.

Β Μακ. 15,20 - καὶ πάντων ἤδη προσδοκώντων τὴν ἐσομένην κρίσιν καὶ ἤδη συμμειξάντων τῶν πολεμίων καὶ τῆς στρατιᾶς ἐκταγείσης καὶ τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀποκατασταθέντων τῆς τε ἵππου κατὰ κέρας τεταγμένης,

Β Μακ. 15,20 - Ολοι επερίμεναν την έκβασιν της προσεχούς μάχης. Οι εχθροί είχαν ήδη συγκεντρωθή, ο στρατός των παρετάχθη εις τάξιν μάχης, τα θηρία, δηλαδή οι ελέφαντες, ετοποθετήθησαν εις τας καταλλήλους θέσεις, το δε ιππικόν κατέλαβε τα εκατέρωθεν της παρατάξεως άκρα.

Β Μακ. 15,21 - συνιδὼν ὁ Μακκαβαῖος τὴν τῶν πληθῶν παρουσίαν καὶ τῶν ὅπλων τὴν ποικίλην παρασκευὴν τήν τε τῶν θηρίων ἀγριότητα, προτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλέσατο τὸν τερατοποιὸν

Κύριον, τὸν κατόπτην, γινώσκων ὅτι οὐκ ἔστι δι᾿ ὅπλων ἡ νίκη, καθὼς δὲ ἂν αὐτῷ κριθείη, τοῖς ἀξίοις περιποιεῖται τὴν νίκην.

Β Μακ. 15,21 - Ο Ιούδας ο Μακκαβαίος, όταν είδε τους πολυαρίθμους εχθρούς, τα ποικίλης κατασκευής όπλα, τους αγρίους ελέφαντας, ύψωσε τας χείρας αυτού στον ουρανόν και παρεκάλεσε τον Κυριον, ο οποίος κάμνει μεγάλα θαύματα και επιβλέπει επί όλον τον κόσμον. Εζήτησε την βοήθειαν του Κυρίου, διότι εγνώριζεν, ότι η νίκη δεν προέρχεται από την ισχύν των όπλων, αλλά όπου και όπως κρίνει ο Θεός την δίδει στους αξίους αυτής.

Β Μακ. 15,22 - ἔλεγε δὲ ἐπικαλούμενος τόνδε τὸν τρόπον· σὺ Δέσποτα, ἀπέστειλας τὸν ἄγγελόν σου ἐπὶ Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς Σενναχηρεὶμ εἰς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας·

Β Μακ. 15,22 - Ελεγε δε κατά την προσευχήν του τα εξής· “συ, Δέσποτα, απέστειλας τον άγγελόν σου επί της εποχής του Εζεκίου του βασιλέως της Ιουδαίας, και εφόνευσεν από το στρατόπεδον του Σενναχηρείμ εκατόν ογδοήκοντα πέντε χιλιάδας.

Β Μακ. 15,23 - καὶ νῦν, δυνάστα τῶν οὐρανῶν, ἀπόστειλον ἄγγελον ἀγαθὸν ἔμπροσθεν ἡμῶν εἰς δέος καὶ τρόμον·

Β Μακ. 15,23 - Και τώρα Κυρίαρχε των ουρανών, στείλε τον αγαθόν άγγελόν σου ενώπιόν μας, δια να εμβάλη φόβον και τρόμον στους εχθρούς. Από την ισχύν της παντοδυνάμου δεξιάς σου ας καταπλαγούν εκείνοι, που έχουν έλθει να βλάψουν και κατεξευτελίσουν τον άγιον λαόν σου.

Β Μακ. 15,24 - μεγέθει βραχίονός σου καταπλαγείησαν οἱ μετὰ βλασφημίας παραγενόμενοι ἐπὶ τὸν ἅγιόν σου λαόν. καὶ οὗτος μὲν ἐν τούτοις ἔληξεν.

Β Μακ. 15,24 - Ας καταπλαγούν από το μεγαλείον της παντοδυνάμου δεξιάς σου εκείνοι, οι οποίοι ήλθαν εδώ δια να βλασφημήσουν και βλάψουν τον άγιόν σου λαόν”. Ετσι ο Ιούδας προσηυχήθη και εσταμάτησεν.

Β Μακ. 15,25 - οἱ δὲ περὶ τὸν Νικάνορα μετὰ σαλπίγγων καὶ παιάνων προσῆγον.

Β Μακ. 15,25 - Ο στρατός του Νικάνορος επροχώρησε δια την μάχην, με τον ήχον των σαλπίγγων και των πολεμικών ασμάτων.

Β Μακ. 15,26 - οἱ δὲ περὶ τὸν Ἰούδαν μετ᾿ ἐπικλήσεως καὶ εὐχῶν συνέμειξαν τοῖς πολεμίοις

Β Μακ. 15,26 - Ο δε περί τον Ιούδαν στρατός προσήλθε και συνεπλάκησαν εναντίον των εχθρών των, με επικλήσεις και προσευχάς προς τον Θεόν.

Β Μακ. 15,27 - καὶ ταῖς μὲν χερσὶν ἀγωνιζόμενοι, ταῖς δὲ καρδίαις πρὸς τὸν Θεὸν εὐχόμενοι κατέστρωσαν οὐδὲν ἧττον μυριάδων τριῶν καὶ πεντακισχιλίων, τῇ τοῦ Θεοῦ μεγάλως εὐφρανθέντες ἐπιφανείᾳ.

Β Μακ. 15,27 - Μαχόμενοι με τας χείρας των, και επικαλούμενοι τον Θεόν με τας καρδίας των, έστρωσαν κάτω στο έδαφος όχι ολιγωτέρους από τριάκοντα πέντε χιλιάδας άνδρας και ευφράνθησαν μεγάλως από την φανεράν αυτήν προστασίαν του Θεού.

Β Μακ. 15,28 - γενόμενοι δὲ ἀπὸ τῆς χρείας καὶ μετὰ χαρᾶς ἀναλύοντες, ἐπέγνωσαν προπεπτωκότα Νικάνορα σὺν τῇ πανοπλίᾳ.

Β Μακ. 15,28 - Οταν ετελείωσεν η μάχη και οι Ιουδαίοι με χαράν μεγάλην απεχώρουν από το πεδίον της συρράξεως, ανεγνώρισαν ότι ο Νικάνωρ είχε φονευθή φορών υλόκληρον την πανοπλίαν αυτού.

Β Μακ. 15,29 - γενομένης δὲ κραυγῆς καὶ ταραχῆς, εὐλόγουν τὸν Δυνάστην τῇ πατρίῳ φωνῇ.

Β Μακ. 15,29 - Τοτε δε έγινε μεγάλη κραυγή και πολύς θόρυβος και εδόξαζαν τον Κυρίαρχον του κόσμου εις την πατρικήν των γλώσσαν.

Β Μακ. 15,30 - καὶ προσέταξεν ὁ καθ᾽ ἅπαν σώματι καὶ ψυχῇ πρωταγωνιστὴς ὑπὲρ τῶν πολιτῶν, ὁ τὴν τῆς ἡλικίας εὔνοιαν εἰς ὁμοεθνεῖς διαφυλάξας, τὴν τοῦ Νικάνορος κεφαλὴν ἀποτεμόντας καὶ τὴν χεῖρα σὺν τῷ ὤμῳ φέρειν εἰς Ἱεροσόλυμα.

Β Μακ. 15,30 - Ο Ιούδας ο Μακκαβαίος, ο οποίος είχε τάξει ολόκληρον τον εαυτόν του, σώμα και ψυχήν, δια να αγωνισθή ως πρώτος υπέρ των συμπολιτών του, εκείνος ο οποίος είχε διαθέσει δια τους ομοεθνείς του το άνθος της νεότητός του, διέταξε να κόψουν την κεφαλήν του Νικάνορος και το χέρι του από τον ώμον του και να φέρουν αυτά εις την Ιερουσαλήμ.

Β Μακ. 15,31 - παραγενόμενος δὲ ἐκεῖ καὶ συγκαλέσας τοὺς ὁμοεθνεῖς καὶ τοὺς ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου στήσας, μετεπέμψατο τοὺς ἐκ τῆς ἄκρας.

Β Μακ. 15,31 - Οταν ήλθεν εκεί, συνεκάλεσε τους ομοεθνείς του, έθεσε τους ιερείς εμπρός στο θυσιαστήριον, έστειλε και εκάλεσε και εκείνους, οι οποίοι ευρίσκοντο εις την ακρόπολιν.

Β Μακ. 15,32 - καὶ ἐπιδειξάμενος τὴν τοῦ μιαροῦ Νικάνορος κεφαλὴν καὶ τὴν χεῖρα τοῦ δυσφήμου, ἣν ἐκτείνας ἐπὶ τὸν ἅγιον τοῦ Παντοκράτορος οἶκον ἐμεγαλαύχησε,

Β Μακ. 15,32 - Εδειξε την κεφαλήν και την χείρα του μιαρού Νικάνορος, την οποίαν αυτός είχεν απλώσει εναντίον του ιερού ναού του Παντοκράτορος και είχεν εκστομίσει αλαζονικά λόγια.

Β Μακ. 15,33 - καὶ τὴν γλῶσσαν τοῦ δυσσεβοῦς Νικάνορος ἐκτεμὼν ἔφη κατὰ μέρος δώσειν τοῖς ὀρνέοις, τὰ δὲ ἐπίχειρα τῆς ἀνοίας κατέναντι τοῦ ναοῦ κρεμάσαι.

Β Μακ. 15,33 - Αφού δε απέκοψε την γλώσσαν του ασεβούς αυτού Νικάνορος, είπε να την τεμαχίσουν εις μικρά κομμάτια και να την δώσουν εις τα όρνεα. Και τον μισθόν της παραφροσύνης και ασεβείας του, τα

αποκοπέντα δηλαδή τεμάχια του σώματός του, να τα κρεμάσουν απέναντι από τον ναόν.

Β Μακ. 15,34 - οἱ δὲ πάντες εἰς τὸν οὐρανὸν εὐλόγησαν τὸν ἐπιφανῆ Κύριον λέγοντες· εὐλογητὸς ὁ διατηρήσας τὸν ἑαυτοῦ τόπον ἀμίαντον.

Β Μακ. 15,34 - Ολοι δε ανέπεμψαν ευλογίας προς τον ουρανόν, στον ένδοξον Κυριον, λέγοντες· "δοξασμένος ας είναι ο Κυριος, ο οποίος διετήρησεν αμόλυντον τον ιερόν του τόπον".

Β Μακ. 15,35 - ἐξέδησε δὲ τὴν τοῦ Νικάνορος κεφαλὴν ἐκ τῆς ἄκρας ἐπίδηλον πᾶσι καὶ φανερὸν τῆς τοῦ Κυρίου βοηθείας σημεῖον.

Β Μακ. 15,35 - Ο Ιούδας έδεσε και εκρέμασε την κεφαλήν του Νικάνορος από την ακρόπολιν, ώστε να είναι καταφανής εις όλους, και να είναι υλοφάνερον σημείον της βοηθείας του Κυρίου.

Β Μακ. 15,36 - καὶ ἐδογμάτισαν πάντες μετὰ κοινοῦ ψηφίσματος μηδαμῶς ἐᾶσαι ἀπαρασήμαντον τήνδε τὴν ἡμέραν, ἔχειν δὲ ἐπίσημον τὴν τρισκαιδεκάτην τοῦ δωδεκάτου μηνὸς -Ἄδαρ λέγεται τῇ Συριακῇ φωνῇ- πρὸ μιᾶς ἡμέρας τῆς Μαρδοχαϊκῆς ἡμέρας.

Β Μακ. 15,36 - Ωρισαν δε όλοι, κατόπιν κοινής αποφάσεως, να μη επιτρέψουν και παρέρχεται η ημέρα αυτή ως ασήμαντος, να την έχουν ως επίσημον και εόρτιον την ημέραν αυτήν, την δεκάτην τρίτην του δωδεκάτου μηνός- Αδαρ λέγεται ο μήνας αυτός εις την Συριακήν γλώσσαν- Αυτή δε η ημέρα είναι η προηγουμένη από την ημέραν της εορτής του Μαρδοχαίου.

Β Μακ. 15,37 - Τῶν οὖν κατὰ Νικάνορα χωρησάντων οὕτω καὶ ἀπ᾿ ἐκείνων τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ τῶν Ἑβραίων, καὶ αὐτὸς αὐτόθι καταπαύσω τὸν λόγον.

Β Μακ. 15,37 - Τα μεν λοιπόν κατά τον Νικάνορα πράγματα έτσι εξειλίχθησαν. Επειδή δε από της εποχής εκείνης και εντεύθεν η πόλις Ιερουσαλήμ ευρίσκετο από την κυριότητα των Εβραίων, δια τούτο και εγώ θα σταματήσω εδώ την ιστορίαν μου.

Β Μακ. 15,38 - καὶ εἰ μὲν καλῶς καὶ εὐθίκτως τῇ συντάξει, τοῦτο καὶ αὐτὸς ἤθελον· εἰ δὲ εὐτελῶς καὶ μετρίως, τοῦτο ἐφικτὸν ἦν μοι.

Β Μακ. 15,38 - Εάν η εξιστόρησις των γεγονότων έγινε καλώς και επιτυχώς, αυτό και εγώ επεδίωξα. Εάν όμως η έκθεσις αυτή είναι ατελής και μετρία, αυτό ημπορούσα να κάμω και έκαμα.

Β Μακ. 15,39 - καθάπερ γὰρ οἶνον καταμόνας πίνειν, ὡσαύτως δὲ καὶ ὕδωρ πάλιν πολέμιον· ὃν δὲ τρόπον οἶνος ὕδατι συγκερασθεὶς ἡδὺς καὶ ἐπιτερπῆ τὴν χάριν ἀποτελεῖ, οὕτω καὶ τὸ τῆς κατασκευῆς τοῦ λόγου τέρπει τὰς ἀκοὰς τῶν ἐντυγχανόντων τῇ συντάξει. ἐνταῦθα δὲ ἔσται ἡ τελευτή.

Β Μακ. 15,39 - Οπως δε είναι επιβλαβές να πίνη κανείς άκρατον οίνον η μόνον ύδωρ, ενώ ο οίνος ο ανάμικτος με το ύδωρ είναι ωφέλιμος και προξενεί τέρψιν εις την αίσθησιν, έτσι και εγώ με κάποιαν τέχνην εξέθεσα

την διήγησιν, ώστε να τέρπη τας ακοάς εκείνων, οι οποίοι διαβάζουν την ιστορίαν αυτήν. Εδώ τελειώνει η ιστορία μου.

ΜΑΚΚΑΒΑΙΩΝ Γ'

Γ ΜΑΚΚΑΒΑΙΩΝ 1

Γ Μακ. 1,1 - Ὁ δὲ Φιλοπάτωρ μαθὼν παρὰ τῶν ἀνακομισθέντων τὴν γενομένην τῶν ὑπ᾿ αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιόχου παραγγείλας ταῖς πάσαις δυνάμεσι πεζικαῖς τε καὶ ἱππικαῖς αὐτοῦ καὶ τὴν ἀδελφὴν Ἀρσινόην συμπαραλαβών, ἐξώρμησε μέχρι τῶν κατὰ Ῥαφίαν τόπων, ὅπου παρεμβεβλήκεισαν οἱ περὶ Ἀντίοχον.
Γ Μακ. 1,1 - Ο Πτολεμαίος Φιλοπάτωρ, όταν επληροφορήθη από τους επανελθόντας εκ της Παλαιστίνης ανθρώπους, ότι ο Αντίοχος αφήρεσε τα κατεχόμενα υπ' αυτού πρότερον εδάφη της Παλαιστίνης, διέταξεν όλας τας εις την Αίγυπτον πεζικάς και ιππικάς αυτού δυνάμεις να ετοιμασθούν προς πόλεμον. Αφού δε παρέλαβε και την αδελφήν του Αρσινόην ανεχώρησε και ήλθεν εις την Παλαιστίνην μέχρι των τόπων της πόλεως Ραφία, όπου είχε στρατοπεδεύσει ο Αντίοχος και ο στρατός του.
Γ Μακ. 1,2 - Θεόδοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν διανοηθείς, παραλαβὼν τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων Πτολεμαϊκῶν τὰ κράτιστα, διεκομίσθη νύκτωρ ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνὴν ὡς μόνος κτεῖναι αὐτὸν καὶ ἐν τούτῳ διαλῦσαι τὸν πόλεμον.
Γ Μακ. 1,2 - Καποιος όμως Θεόδοτος, από τον στρατόν του Αντιόχου, εσκέφθη και απεφάσισε να φέρη εις πέρας ένα ιδικόν του δόλιον και εγκληματικόν σχέδιον δια την κατάπαυσιν του πολέμου. Παρέλαβε, δηλαδή, αυτός τους γενναιοτάτους από τους στρατιώτας του Πτολεμαίου, οι οποίοι προηγουμένως ήσαν υπό την εξουσίαν του, απεφάσισε και μετέβη κατά το διάστημα της νυκτός εις την σκηνήν του Πτολεμαίου, δια να φονεύση αυτός μόνος του εκείνον και να θέση έτσι τέρμα στον πόλεμον.
Γ Μακ. 1,3 - τοῦτον δὲ διαγαγὼν Δοσίθεος ὁ Δριμύλου λεγόμενος, τὸ γένος Ἰουδαῖος, ὕστερον δὲ μεταβαλὼν τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριωμένος, ἄσημόν τινα κατέκλινεν ἐν τῇ σκηνῇ, ὃν συνέβη κομίσασθαι τὴν ἐκείνου κόλασιν.
Γ Μακ. 1,3 - Καποιος όμως Δοσίθεος, υιός του Δριμύλου- ο οποίος κατήγετο από το γένος των Ιουδαίων, ύστερον όμως απηρνήθη τον νόμον του Θεού και είχεν αποξενωθή από τας πατροπαραδότους ιεράς παραδόσεις- αυτός λοιπόν ωδήγησε τον Πτολεμαίον εις άλλην σκηνήν και έβαλε να κατακλιθή εις την βασιλικήν κλίνην κάποιον άσημον Αιγύπτιον. Εις αυτήν δε ωδήγησε τον Θεόδοτον και εκείνος εφόνευσε τον Αιγύπτιον. Και έτσι ο Αιγύπτιος αυτός έλαβε τιμωρίαν, η οποία προωρίζετο δια τον Πτολεμαίον τον Φιλοπάτορα. Ο πόλεμος φυσικά δεν εματαιώθη.
Γ Μακ. 1,4 - γενομένης δὲ καρτερᾶς μάχης καὶ τῶν πραγμάτων μᾶλλον ἐῤῥωμένων τῷ Ἀντιόχῳ, ἱκανῶς ἡ Ἀρσινόη ἐπιπορευσαμένη τὰς δυνάμεις

παρεκάλει, μετὰ οἴκτου καὶ δακρύων τοὺς πλοκάμους λελυμένη, βοηθεῖν ἑαυτοῖς τε καὶ τοῖς τέκνοις καὶ γυναιξὶ θαῤῥαλέως, ἐπαγγελλομένη δώσειν νικήσασιν ἑκάστῳ δύο μνᾶς χρυσίου.

Γ Μακ. 1,4 - Ελαβε χώραν μία σκληρά μάχη μεταξύ Αντιόχου και Φιλοπάτορος και εφαίνετο αποκλίνουσα η μάχη υπέρ του Αντιόχου. Τοτε η Αρσινόη, διερχομένη εις αρκετήν απόστασιν δια μέσου των δυνάμεων του στρατού των Αιγυπτίων, με έκφρασιν πόνου, με δάκρυα, με την κόμην της λυμένην, παρακαλούσε θερμώς να αγωνισθούν γενναίως υπέρ των εαυτών των, υπέρ των τέκνων των και των γυναικών των. Υπέσχετο δε ότι θα δώση, εάν νικήσουν, στον κάθε στρατιώτην δύο μνας χρυσάς.

Γ Μακ. 1,5 - καὶ οὕτω συνέβη τοὺς ἀντιπάλους ἐν χειρονομίαις διαφθαρῆναι, πολλοὺς δὲ καὶ δορυαλώτους συλληφθῆναι.

Γ Μακ. 1,5 - Αναθαρρήσαντες οι Αιγύπτιοι επολέμησαν με ηρωϊσμόν, ήλθαν εις χείρας με τους εχθρούς των, εφόνευσαν πολλούς και πολλούς άλλους συνέλαβαν αιχμαλώτους κατά την μάχην.

Γ Μακ. 1,6 - κατακρατήσας δὲ τῆς ἐπιβουλῆς ἔκρινε τὰς πλησίον πόλεις ἐπελθὼν παρακαλέσαι.

Γ Μακ. 1,6 - Οταν ο Φιλοπάτωρ υπερίσχυσεν εναντίον της εχθρικής αυτής επιθέσεως του Αντιόχου, έκρινε καλόν να επισκεφθή τας γύρω πόλεις και να ενθαρρύνη τους κατοίκους των.

Γ Μακ. 1,7 - ποιήσας δὲ τοῦτο καὶ τοῖς τεμένεσι δωρεὰς ἀπονείμας, εὐθαρσεῖς τοὺς ὑποτεταγμένους κατέστησε.

Γ Μακ. 1,7 - Επραγματοποίησε δε όντως την απόφασίν του. Διένειμε δώρα στους ναούς των χωρών αυτών και έτσι ενέπνευσε θάρρος στους υπηκόους του.

Γ Μακ. 1,8 - Τῶν δὲ Ἰουδαίων διαπεμψαμένων πρὸς αὐτὸν ἀπὸ τῆς γερουσίας καὶ τῶν πρεσβυτέρων τοὺς ἀσπασομένους αὐτὸν καὶ ξένια κομιοῦντας καὶ ἐπὶ τοῖς συμβεβηκόσι συγχαρησομένους, συνέβη μᾶλλον αὐτὸν προθυμηθῆναι ὡς τάχιστα πρὸς αὐτοὺς παραγενέσθαι.

Γ Μακ. 1,8 - Οι Ιουδαίοι έστειλαν προς τον Φιλοπάτορα εκπροσώπους των από την γερουσίαν και τους πρεσβυτέρους, να τον χαιρετήσουν, να τον συγχαρούν δια την νίκην του και να του δώσουν δώρα. Αυτός δε ευχαριστήθη από αυτά και επροθυμοποιήθη να μεταβή προς αυτούς, όσον το δυνατόν ταχύτερον.

Γ Μακ. 1,9 - διακομισθεὶς δὲ εἰς Ἱεροσόλυμα καὶ θύσας τῷ μεγίστῳ Θεῷ καὶ χάριτας ἀποδιδοὺς καὶ τῶν ἑξῆς τι τῷ τόπῳ ποιήσας καὶ δὴ παραγενόμενος εἰς τὸν τόπον καὶ τῇ σπουδαιότητι καὶ εὐπρεπείᾳ καταπλαγείς,

Γ Μακ. 1,9 - Ηλθε πράγματι εις τα Ιεροσόλυμα, εθυσίασεν στον μέγιστον Θεόν του Ισραήλ και ευχαρίστησεν αυτόν. Αφού δε έπραξε το αρμόζον στον ιερόν εκείνον τόπον, και μάλιστα αφού έφθασεν στον ιερόν ναόν, εξεπλάγη,

διότι είδε την επιμέλειαν των Ιουδαίων δια τον ναόν των και την μεγαλοπρέπειαν του ναού.

Γ Μακ. 1,10 - θαυμάσας δὲ καὶ τὴν τοῦ ἱεροῦ εὐταξίαν, ἐνεθυμήθη βουλεύσασθαι εἰσελθεῖν εἰς τὸν ναόν.

Γ Μακ. 1,10 - Εθαύμασε δε και την ευταξίαν του ναού. Εβαλεν στον νουν του και επήρε την απόφασιν να εισέλθη εις αυτόν.

Γ Μακ. 1,11 - τῶν δὲ εἰπόντων μὴ καθήκειν γίνεσθαι τοῦτο, διὰ τὸ μηδὲ τοῖς ἐκ τοῦ ἔθνους ἐξεῖναι εἰσιέναι, μηδὲ πᾶσι τοῖς ἱερεῦσιν, ἀλλ᾿ ἢ μόνῳ τῷ προηγουμένῳ πάντων ἀρχιερεῖ, καὶ τούτῳ ἅπαξ κατ᾿ ἐνιαυτόν, οὐδαμῶς ἠβούλετο πείθεσθαι.

Γ Μακ. 1,11 - Εκείνοι όμως του είπαν, ότι δεν πρέπει να γίνή κάτι τέτοιο, διότι η είσοδος στον ναόν δεν επιτρέπεται όχι μόνον στους λαϊκούς Ιουδαίους αλλ' ούτε και εις αυτούς ακόμη τους ιερείς. Επιτρέπεται δε μόνον στον αρχηγόν των, στον αρχιερέα, και εις αυτόν μίαν φοράν το έτος. Ο Φιλοπάτωρ όμως κατ' ουδένα τρόπον ήθελε να πεισθή και να υποχωρήση.

Γ Μακ. 1,12 - τοῦ τε νόμου παραναγνωσθέντος, οὐδαμῶς ἀπέλιπε προφερόμενος ἑαυτὸν δεῖν εἰσελθεῖν λέγων· καὶ εἰ ἐκεῖνοι ἐστέρηνται ταύτης τῆς τιμῆς, ἐμὲ οὐ δεῖ.

Γ Μακ. 1,12 - Μολονότι δε ανεγνώσθη ενώπιόν του και το σχετικόν χωρίον του Νομου, αυτός κατ' ουδένα λόγον απεμακρύνθη από την απόφασίν του λέγων, ότι πρέπει αυτός να εισέλθη στον ναόν. Προσέθεσε δε ότι, “έστω και αν οι άλλοι εστερήθησαν από αυτήν την τιμήν, εγώ όμως δεν πρέπει να στερηθώ”.

Γ Μακ. 1,13 - καὶ ἐπυνθάνετο διὰ τίνα αἰτίαν εἰσερχόμενον αὐτὸν εἰς πᾶν τέμενος οὐθεὶς ἐκώλυσε τῶν παρόντων.

Γ Μακ. 1,13 - Εζήτησε να πληροφρρηθή την αιτίον, δια την οποίαν, ενώ αυτός εισήρχετο εις την αυλήν παντός ναού, κανείς από τους παρευρισκομένους δεν τον ημπόδισεν.

Γ Μακ. 1,14 - καί τις ἀπρονοήτως ἔφη κακῶς αὐτὸ τοῦτο τερατεύεσθαι.

Γ Μακ. 1,14 - Ενας δε Ιουδαίος κατά τρόπον απερίσκεπτον απήντησεν, ότι και αυτή η παρανομία κακώς έγινεν.

Γ Μακ. 1,15 - γενομένου δέ, φησι, τούτου διά τινα αἰτίαν, οὐχὶ πάντως εἰσελεύσεσθαι καὶ θελόντων αὐτῶν καὶ μή;

Γ Μακ. 1,15 - Ο βασιλεύς απήντησε· “αφού οπωσδήποτε δια κάποιον αιτίαν του επετράπη η είσοδος εις την αυλήν του ναού, δεν θα πρέπει οπωσδήποτε να εισέλθη και στον ίδιον τον ναόν είτε το θέλουν αυτοί είτε όχι;”

Γ Μακ. 1,16 - τῶν δὲ ἱερέων ἐν ταῖς ἁγίαις ἐσθήσεσι προπεσόντων καὶ δεομένων τοῦ μεγίστου Θεοῦ βοηθεῖν τῇ ἐνεστώσῃ ἀνάγκῃ καὶ τὴν ὁρμὴν

τοῦ κακῶς ἐπιβαλλομένου μεταθεῖναι κραυγῆς τε μετὰ δακρύων τὸ ἱερὸν ἐμπλησάντων,

Γ Μακ. 1,16 - Τοτε οι ιερείς με τας ιερατικάς των στολάς έπεσαν κατά, γης ενώπιον του μεγίστου Θεού και τον παρεκάλουν να τους βοηθήση εις την παρούσαν δύσκολον περίστασιν, να μετατρέψη και ματαιώση την ορμήν του κακώς επιμένοντος βασιλέως. Είχαν δε γεμίσει τον ιερόν ναόν με τας κραυγάς και τα δάκρυά των.

Γ Μακ. 1,17 - οἱ κατὰ τὴν πόλιν ἀπολιπόμενοι ταραχθέντες ἐξεπήδησαν, ἄδηλον τιθέμενοι τὸ γινόμενον.

Γ Μακ. 1,17 - Οι Ιουδαίοι, οι οποίοι είχον απομείνει και ευρίσκοντο εις την πόλιν, εταράχθησαν από το γεγονός αυτό και ανεπήδησαν έξω, διότι ενόμισαν ότι κάτι το πολύ παράδοξον γίνεται εκεί.

Γ Μακ. 1,18 - αἵ τε κατάκλειστοι παρθένοι ἐν θαλάμοις σὺν ταῖς τεκούσαις ἐξώρμησαν καὶ σποδῷ καὶ κόνει τὰς κεφαλὰς πασάμεναι, γόων τε καὶ στεναγμῶν τὰς πλατείας ἐνεπίμπλων.

Γ Μακ. 1,18 - Αι παρθένοι, που ήσαν κλεισμέναι εις τα δωμάτιά των με τας μητέρας των, ώρμησαν έξω, έθεσαν στάκτην και χώμα εις τας κεφαλάς των, εγέμισαν δε τας πλατείας της Ιερουσαλήμ με στεναγμούς και θρήνους.

Γ Μακ. 1,19 - αἱ δὲ καὶ προσαρτίως ἐσταλμέναι τοὺς πρὸς ἀπάντησιν διατεταγμένους παστοὺς καὶ τὴν ἁρμόζουσαν αἰδὼ παραλείπουσαι, δρόμον ἄτακτον ἐν τῇ πόλει συνίσταντο.

Γ Μακ. 1,19 - Και αι νεόνυμφοι, αι οποίαι κατά τα ιουδαϊκά έθιμα έμεναν προς καιρόν χωρισμένοι από τους άλλους λόγω του προσφάτου γάμου των, εγκατέλειψαν τους περιποιημένους νυμφικούς θαλάμους των, έθεσαν κατά μέρος την αρμόζουσαν εις αυτάς αιδημοσύνην και έτρεχαν εις την πόλιν ατάκτως.

Γ Μακ. 1,20 - τὰ δὲ νεογνὰ τῶν τέκνων, αἵ τε πρὸς τούτοις μητέρες καὶ τιθηνοὶ παραλιποῦσαι ἄλλως καὶ ἄλλως, αἱ μὲν κατ᾽ οἴκους, αἱ δὲ κατὰ τὰς ἀγυιάς, ἀνεπιστρέπτως εἰς τὸ πανυπέρτατον ἱερὸν ἠθροίζοντο.

Γ Μακ. 1,20 - Αι δε μητέρες και αι τροφοί άφηναν έδω και εκεί τα μικρά των παιδιά, άλλαι μεν εις τα σπίτια των άλλαι δε στους δρόμους, και συνεκεντρώνοντο αποφασιστικώς στον πανσεβάσμιον ναόν των.

Γ Μακ. 1,21 - ποικίλη δὲ ἦν τῶν εἰς τοῦτο συλλεγομένων ἡ δέησις ἐπὶ τοῖς ἀνοσίως ὑπ᾽ ἐκείνου κατεγχειρουμένοις.

Γ Μακ. 1,21 - Μεγάλη και πολύτροπος ήτο η δέησις προς τον Θεόν στον ιερόν εκείνον τόπον, δια το επιχαρούμενον από τον Φιλοπάτορα ανοσιούργημα.

Γ Μακ. 1,22 - σύν τε τούτοις οἱ τῶν πολιτῶν θρασυνθέντες οὐκ ἠνείχοντο τέλεον αὐτοῦ ἐπικειμένου καὶ τὸ τῆς προθέσεως αὐτοῦ ἐκπληροῦν διανοουμένου.

Γ Μακ. 1,22 - Εκτός όμως αυτών και μερικοί από τους πολίτας εξεγερθέντες δεν ηνείχοντο κατά κανένα τρόπον την επιμονήν του Φιλοπάτορος, ο οποίος εσκέπτετο οπωσδήποτε να εκπληρώση την απόφασίν του.

Γ Μακ. 1,23 - φωνήσαντες δὲ τὴν ὁρμὴν ἐπὶ τὰ ὅπλα ποιήσασθαι καὶ θαῤῥαλέως ὑπὲρ τοῦ πατρῴου νόμου τελευτᾶν, ἱκανὴν ἐποίησαν ἐν τῷ τόπῳ τραχύτητα, μόλις δὲ ὑπό τε τῶν γεραιῶν καὶ τῶν πρεσβυτέρων ἀποτραπέντες ἐπὶ τὴν αὐτὴν τῆς δεήσεως ἔστησαν στάσιν.

Γ Μακ. 1,23 - Οταν δε αυτοί εκραύγασαν και εξήγειραν την ορμήν του πλήθους να πάρουν εις τα χέρια των τα όπλα και με θάρρος να αποθάνουν χάριν του πατρικού Νομου, επροκάλεσαν μεγάλην αναταραχήν στον ιερόν εκείνον τόπον. Μολις δε και μετά βίας συνεκρατήθησαν από τους γεροντοτέρους και τους πρεσβυτέρους Ιουδαίους και επανήλθαν εις την αυτήν στάσιν της προσευχής.

Γ Μακ. 1,24 - καὶ τὸ μὲν πλῆθος ὡς ἔμπροσθεν ἐν τούτοις ἀνεστρέφετο δεόμενον.

Γ Μακ. 1,24 - Και το μεν πλήθος, καθ' ον χρόνον εξειλίσσοντο τα γεγονότα αυτά, είχεν επιδοθή, όπως και προηγουμένως εις την προσευχήν.

Γ Μακ. 1,25 - οἱ δὲ περὶ τὸν βασιλέα πρεσβύτεροι πολλαχῶς ἐπειρῶντο τὸν ἀγέρωχον αὐτοῦ νοῦν ἐξιστάνειν τῆς ἐντεθυμημένης βουλῆς.

Γ Μακ. 1,25 - Οι πρεσβύτεροι όμως από τους Ιουδαίους που ήσαν γύρω από τον βασιλέα, προσπαθούσαν με κάθε τρόπον να απομακρύνουν και ματαιώσουν την αλαζονικήν απόφασιν, την οποίαν εκείνος είχε πάρει.

Γ Μακ. 1,26 - θρασυνθεὶς δὲ καὶ πάντα παραπέμψας ἤδη καὶ πρόσβασιν ἐποιεῖτο, τέλος ἐπιθήσειν δοκῶν τῷ προειρημένῳ.

Γ Μακ. 1,26 - Ο Φιλοπάτωρ όμως εξωργίσθη και όλας τας παρακλήσεις εκείνων τας έθεσε κατά μέρος, απεφάσισε δε να θέση τέρμα στο προλεχθέν αυτό ζήτημα και να εισέλθη στον ναόν.

Γ Μακ. 1,27 - ταῦτα οὖν καὶ οἱ περὶ αὐτὸν ὄντες θεωροῦντες ἐτράπησαν εἰς τὸ σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι τὸν πᾶν κράτος ἔχοντα τοῖς παροῦσιν ἐπαμῦναι, μὴ παριδόντα τὴν ἄνομον καὶ ὑπερήφανον πρᾶξιν.

Γ Μακ. 1,27 - Αυτά, λοιπόν, βλέποντες και εκείνοι, που ήσαν γύρω από τον βασιλέα, ηνώθησαν και αυτοί με τους άλλους ιδικούς μας Ιουδαίους και παρακαλούσαν τον Θεόν, ο οποίος είχε την δύναμιν να υπερασπίση τον ναόν του από την επικρεμαμένην απειλήν και να μη παραβλέψη την παράνομον και υπερήφανον αυτήν πράξιν.

Γ Μακ. 1,28 - ἐκ δὲ τῆς πυκνοτάτης τε καὶ ἐμπόνου τῶν ὄχλων συναγομένης κραυγῆς ἀνείκαστός τις ἦν βοή·

Γ Μακ. 1,28 - Μια δε απερίγραπτος βοή ηκούετο καθ' όλην την πόλιν από την επαναλαμβανομένην οδυνηράν κραυγήν των όχλων, που είχαν συγκεντρωθή εκεί.

Γ Μακ. 1,29 - δοκεῖν γὰρ ἦν μὴ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὰ τείχη καὶ τὸ πᾶν ἔδαφος ἠχεῖν, ἅτε δὴ τῶν πάντων τότε θάνατον ἀλλασσομένων ἀντὶ τῆς τοῦ τόπου βεβηλώσεως.

Γ Μακ. 1,29 - Ενόμιζε κανείς ότι όχι μόνον οι άνθρωποι εφώναζαν, αλλά και αυτά ακόμη τα τείχη και ολόκληρον το έδαφος αντηχούσε, διότι όλοι επροτιμούσαν τον θάνατον αντί της βεβηλώσεως του ιερού ναού.

Γ ΜΑΚΚΑΒΑΙΩΝ 2

Γ Μακ. 2,1 - Ὁ μὲν οὖν ἀρχιερεὺς Σίμων ἐξεναντίας τοῦ ναοῦ κάμψας τὰ γόνατα καὶ τὰς χεῖρας προτείνας εὐτάκτως, ἐποιήσατο τὴν δέησιν τοιαύτην.

Γ Μακ. 2,1 - Ο μεν λοιπόν αρχιερεύς Σιμων έκαμψε τα γόνατα απέναντι του ναού, ύψωσε με ευλαβειαν τας χείρας του στον ουρανόν και έκαμε την εξής προσευχήν.

Γ Μακ. 2,2 - Κύριε Κύριε, βασιλεῦ τῶν οὐρανῶν καὶ δέσποτα πάσης κτίσεως, ἅγιε ἐν ἁγίοις, μόναρχε, παντοκράτωρ, πρόσχες ἡμῖν καταπονουμένοις ὑπὸ ἀνοσίου καὶ βεβήλου θράσει καὶ σθένει πεφρυαγμένου.

Γ Μακ. 2,2 - “Κυριε, Κυριε, βασιλεύ των ουρανών, Δέσποτα ολοκλήρου της κτίσεως, αγιώτατε, μονοκράτωρ, παντοκράτωρ, δώσε προσοχήν εις ημάς σήμερον, οι οποίοι καταταλαιπωρούμεθα από ανόσιον και βέβηλον, ο οποίος καυχάται και αυθαδιάζει δια την θρασύτητά του και την δύναμίν του.

Γ Μακ. 2,3 - σὺ γὰρ ὁ κτίσας τὰ πάντα καὶ τῶν ὅλων ἐπικρατῶν δυνάστης δίκαιος εἶ καὶ τοὺς ὕβρει καὶ ἀγερωχίᾳ πράσσοντάς τι κρίνεις.

Γ Μακ. 2,3 - Διότι συ, ο οποίος εδημιούργησες τα σύμπαντα και εν τη απείρω σου δυνάμει, είσαι κυρίαρχος όλων των ορατών και αοράτων, είσαι δίκαιος και εν τη δικαιοσύνη σου κρίνεις όλους, όσοι επάνω εις την αλαζονείαν και αγερωχίαν των κάμνουν κάτι το ασεβές.

Γ Μακ. 2,4 - σὺ τοὺς ἔμπροσθεν ἀδικίαν ποιήσαντας, ἐν οἷς καὶ γίγαντες ἦσαν ῥώμῃ καὶ θράσει πεποιθότες, διέφθειρας ἐπαγαγὼν αὐτοῖς ἀμέτρητον ὕδωρ.

Γ Μακ. 2,4 - Συ εξηφάνισες εκείνους, οι οποίοι εις προηγουμένας εποχάς διέπραξαν αδικίας. Μεταξύ αυτών ήσαν και γίγαντες κατά την σωματικήν δύναμιν, οι οποίοι είχαν πεποίθησιν εις την θρασύτητά των. Αυτούς τους εξωλόθρευσες αποστείλας εναντίον των απροσμετρήτους όγκους υδάτων δια του κατακλυσμού.

Γ Μακ. 2,5 - σὺ τοὺς ὑπερηφανίαν ἐργαζομένους Σοδομίτας, διαδήλους ταῖς κακίαις γενομένους, πυρὶ καὶ θείῳ κατέφλεξας, παράδειγμα τοῖς ἐπιγινομένοις καταστήσας.

Γ Μακ. 2,5 - Συ τους Σοδομίτας, οι οποίοι ήσαν δούλοι εις την αλαζονείαν των και έγιναν γνωστοί από τας κακίας των, τους κατέκαυσες δια του πυρός και του θείου, και κατέστησες έτσι αυτούς παράδειγμα τιμωρίας εις τας κατόπιν γενεάς.

Γ Μακ. 2,6 - σὺ τὸν θρασὺν Φαραὼ καταδουλωσάμενον τὸν λαόν σου τὸν ἅγιον Ἰσραήλ, ποικίλαις καὶ πολλαῖς δοκιμάσας τιμωρίαις, ἐγνώρισας τὴν σὴν δυναστείαν, ἐφ᾿ αἷς ἐγνώρισας τὸ μέγα σου κράτος·

Γ Μακ. 2,6 - Συ τον θρασύν Φαραώ, ο οποίος είχε καταδουλώσει τον άγιόν σου λαόν, τον ισραηλιτικόν, τον ετιμώρησες με πολλάς και ποικίλας τιμωρίας και κατέστησες γνωστήν την ακατανίκητον δύναμίν σου. Με αυτάς έκαμες γνώστην εις όλους την ακατανίκητον ισχύν σου.

Γ Μακ. 2,7 - καὶ ἐπιδιώξαντα αὐτὸν σὺν ἅρμασι καὶ ὄχλων πλήθει ἐπέκλυσας βάθει θαλάσσης, τοὺς δὲ ἐμπιστεύσαντας ἐπὶ σοὶ τῷ τῆς ἁπάσης κτίσεως δυναστεύοντι σώους διεκόμισας,

Γ Μακ. 2,7 - Διότι αυτόν τον Φαραώ, ο οποίος με πολεμικά άρματα και με πλήθος λαού κατεδίωξε τον ισραηλιτικόν λαόν, τον έπνιξες εις τα βάθη της θαλάσσης. Τους δε Ισραηλίτας, οι οποίοι είχαν εμπιστευθή την σωτηρίαν των εις σε τον βασιλέα όλης της κτίσεως, ωδήγησες σώους δια μέσου της θαλάσσης.

Γ Μακ. 2,8 - οἳ καὶ συνιδόντες ἔργα σῆς χειρὸς ᾔνεσάν σε τὸν παντοκράτορα.

Γ Μακ. 2,8 - Αυτοί δε όταν είδαν και κατενόησαν τα θαυμαστά έργα της παντοδυνάμου δεξιάς σου, εδοξολόγησαν σε τον παντοκράτορα.

Γ Μακ. 2,9 - σύ, βασιλεῦ, κτίσας τὴν ἀπέραντον καὶ ἀμέτρητον γῆν, ἐξελέξω τὴν πόλιν ταύτην καὶ ἁγιάσας τὸν τόπον τοῦτον εἰς ὄνομά σοι τῷ τῶν ἁπάντων ἀπροσδεεῖ καὶ παρεδόξασας ἐν ἐπιφανείᾳ μεγαλοπρεπεῖ, σύστασιν ποιησάμενος αὐτοῦ πρὸς δόξαν τοῦ μεγάλου καὶ ἐντίμου ὀνόματός σου.

Γ Μακ. 2,9 - Συ, βασιλεύ, είσαι εκείνος, ο οποίος εδημιούργησες τον απέραντον και αμέτρητον αυτόν κόσμον της γης. Συ εξέλεξες την πόλιν αυτήν, την Ιερουσαλήμ, και ηγίασες τον ιερόν τούτον τόπον, τον ναόν, δια να δοξάζεται το Ονομά σου, καίτοι συ από τίποτε δεν έχεις ανάγκην. Συ με την μεγαλοπρεπή εις αυτόν εμφάνισίν σου εδόξασες τον ιερόν τούτον ναόν και τον κατέστησες έτσι άγιον, δια να δοξάζεται το μέγα και πανέντιμον Ονομά σου.

Γ Μακ. 2,10 - καὶ ἀγαπῶν τὸν οἶκον τοῦ Ἰσραὴλ ἐπηγγείλω δὴ ὅτι ἐὰν γένηται ἡμῶν ἀποστροφὴ καὶ καταλάβῃ ἡμᾶς στενοχωρία καὶ ἐλθόντες εἰς τὸν τόπον τοῦτον δεηθῶμεν, εἰσακούσῃ τῆς δεήσεως ἡμῶν.

Γ Μακ. 2,10 - Επειδή αγαπάς το ισραηλιτικόν έθνος, υπεσχέθης εις αυτό, ότι εάν αποστατήσωμεν και απομακρυνθώμεν από σε και μας καταλάβη

στενοχωρία και κατόπιν έλθωμεν συντετριμμένοι στον ιερόν τούτον ναόν και προσευχηθώμεν εις αυτόν, συ θα ακούσης την δέησιν ημών.

Γ Μακ. 2,11 - καὶ δὴ πιστὸς εἶ καὶ ἀληθινός.

Γ Μακ. 2,11 - Και είσαι, Κυριε, πράγματι αξιόπιστος και αληθινός εις τας υποσχέσεις σου.

Γ Μακ. 2,12 - ἐπεὶ δὲ πλεονάκις θλιβέντων τῶν πατέρων ἡμῶν ἐβοήθησας αὐτοῖς ἐν τῇ ταπεινώσει καὶ ἐῤῥύσω αὐτοὺς ἐκ μεγάλων κινδύνων,

Γ Μακ. 2,12 - Επειδή, λοιπόν, πολλές φορές οι πατέρες μας εθλίβησαν και συ τους εβοήθησες κατά την ταλαιπωρίαν των αυτήν και τους εγλύτωσες από μεγάλους κινδύνους,

Γ Μακ. 2,13 - ἰδοὺ δὲ νῦν, ἅγιε βασιλεῦ, διὰ τὰς πολλὰς καὶ μεγάλας ἡμῶν ἁμαρτίας καταπονούμεθα καὶ ὑπετάγημεν τοῖς ἐχθροῖς ἡμῶν καὶ παρείμεθα ἐν ἀδυναμίαις.

Γ Μακ. 2,13 - προς σε και ημείς καταφεύγομεν και ομολογούμεν, ιδού και τώρα, άγιε βασιλεύ, εξ αιτίας των πολλών και μεγάλων αμαρτιών μας έχομεν υποδουλωθή στους εχθρούς μας, έχομεν παραλύσει από τας αδυναμίας μας.

Γ Μακ. 2,14 - ἐν δὲ τῇ ἡμετέρᾳ καταπτώσει ὁ θρασὺς καὶ βέβηλος οὗτος ἐπιτηδεύει καθυβρίσαι τὸν ἐπὶ τῆς γῆς ἀναδεδειγμένον τῷ ὀνόματι τῆς δόξης σου ἅγιον τόπον.

Γ Μακ. 2,14 - Ακριβώς δε εξ αιτίας της καταπτώσεώς μας ο θρασύς και βέβηλος βασιλεύς επιτηδεύεται με κάθε τρόπον να εξευτελίση τον άγιον τούτον ναόν, ο οποίος ευρίσκεται στον τόπον τούτον και είναι αφιερωμένος στο ένδοξον Ονομά σου.

Γ Μακ. 2,15 - τὸ μὲν γὰρ οἰκητήριόν σου οὐρανὸς τοῦ οὐρανοῦ ἀνέφικτος ἀνθρώποις ἐστίν.

Γ Μακ. 2,15 - Η κατοικία σου είναι ο ουρανός του ουρανού, και μένει απρόσιτος στους ανθρώπους.

Γ Μακ. 2,16 - ἀλλ᾿ ἐπεὶ εὐδοκήσας τὴν δόξαν σου ἐν τῷ λαῷ σου Ἰσραὴλ ἡγίασας τὸν τόπον τοῦτον,

Γ Μακ. 2,16 - Επειδή όμως ηυδόκησες προς δόξαν του αγίου Ονόματός σου και ηγίασες και αφιέρωσες τον τόπον τούτον εν μέσω του ισραηλιτικού λαού,

Γ Μακ. 2,17 - μὴ ἐκδικήσῃς ἡμᾶς ἐν τῇ τούτων ἀκαθαρσίᾳ, μηδὲ εὐθύνῃς ἡμᾶς ἐν βεβηλώσει, ἵνα μὴ καυχήσωνται οἱ παράνομοι ἐν θυμῷ αὐτῶν, μηδὲ ἀγαλλιάσωνται ἐν ὑπερηφανίᾳ γλώσσης αὐτῶν λέγοντες·

Γ Μακ. 2,17 - μη τιμωρήσης ημάς παραχωρών την βεβήλωσιν αυτήν και μη καταλογίσης εις ημάς ευθύνας δια τον μολυσμόν τούτον· δια να μη καυχώνται οι παράνομοι επάνω στον θυμόν των και να μη αγάλλωνται με την κομπαστικήν των γλώσσαν λέγοντες·

Γ Μακ. 2,18 - ἡμεῖς κατεπατήσαμεν τὸν οἶκον τοῦ ἁγιασμοῦ, ὡς καταπατοῦνται οἱ οἶκοι τῶν προσοχθισμάτων.

Γ Μακ. 2,18 - Ημείς κατεπατήσαμεν τον οίκον τούτον του αγιασμού του Θεού, όπως καταπατούνται και οι ναοί των ειδωλολατρικών βδελυγμάτων!

Γ Μακ. 2,19 - ἀπάλειψον τὰς ἁμαρτίας ἡμῶν καὶ διασκέδασον τὰς ἀμπλακίας ἡμῶν καὶ ἐπίφανον τὸ ἔλεός σου κατὰ τὴν ὥραν ταύτην.

Γ Μακ. 2,19 - Σβήσε, λοιπόν, τας αμαρτίας μας, συγχώρησε τας παραβάσεις μας και κάμε φανερόν το έλεός σου προς ημάς κατά την ώραν αυτήν.

Γ Μακ. 2,20 - ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, καὶ δὸς αἰνέσεις ἐν στόματι τῶν καταπεπτωκότων καὶ συντετριμμένων τὰς ψυχὰς ποιήσας ἡμῖν εἰρήνην.

Γ Μακ. 2,20 - Ας μας καταλάβουν αμέσως οι οικτιρμοί σου και δώσε στο στόμα ημών των καταπεπτωκότων και συντετριμμένων δοξολογίαν προς το Ονομά σου, ειρηνεύων τας καρδίας μας”.

Γ Μακ. 2,21 - Ἐνταῦθα ὁ πάντων ἐπόπτης Θεὸς καὶ πρὸ πάντων ἅγιος ἐν ἁγίοις εἰσακούσας τῆς ἐνθέσμου λιτανείας, τὸν ὕβρει καὶ θράσει μεγάλως ἐπῃρμένον ἐμάστιξεν αὐτόν,

Γ Μακ. 2,21 - Αμέσως μετά την προσευχήν αυτήν ο Θεός, ο οποίος επιβλέπει επί όλων των ανθρωπίνων πραγμάτων, ο προαιώνιος, ο αγιώτατος, ήκουσε την σύμφωνον προς τον Νομον του προσευχήν αυτήν και εμαστίγωσε τον επηρμένον επάνω εις την αλαζονείαν του και θρασύτητα Φιλοπάτορα.

Γ Μακ. 2,22 - ἔνθεν καὶ ἔνθεν κραδάνας αὐτὸν ὡς κάλαμον ὑπὸ ἀνέμου, ὥστε κατ᾿ ἐδάφους ἄπρακτον, ἔτι καὶ τοῖς μέλεσι παραλελυμένον μηδὲ φωνῆσαι δύνασθαι δικαίᾳ περιπεπλεγμένον κρίσει.

Γ Μακ. 2,22 - Τον περιέφερεν ο Θεός από εδώ και από εκεί ωσάν κάλαμον υπό ανέμου σαλευόμενον, ώστε εν τέλει να πέση ακίνητος στο έδαφος με παράλυτα όλα τα μέλη του και να μη δύναται ούτε μίαν λέξιν να αρθρώση. Ετσι υπέστη την δικαίαν τιμωρίαν εκ μέρους του Θεού.

Γ Μακ. 2,23 - ὅθεν οἵ τε φίλοι καὶ οἱ σωματοφύλακες αὐτοῦ ταχεῖαν καὶ ὀξεῖαν ἰδόντες τὴν καταλαβοῦσαν αὐτὸν εὔθυναν, φοβούμενοι μὴ καὶ τὸ ζῆν ἐκλείπῃ, ταχέως αὐτὸν ἐξείλκυσαν ὑπερβάλλοντι καταπεπληγμένοι φόβῳ.

Γ Μακ. 2,23 - Εις το γεγονός αυτό οι φίλοι και οι σωματοφυλακές του είδον άμεσον και δεινήν τιμωρίαν, που τον κατέλαβε, και επειδή εφοβήθησαν, μήπως χάση και την ζωήν του, τον έσυραν ταχέως έξω από τον ναόν, συνεχόμενοι από μέγιστον φόβον.

Γ Μακ. 2,24 - ἐν χρόνῳ δὲ ὕστερον ἀναλεξάμενος ἑαυτὸν οὐδαμῶς εἰς μετάμελον ἦλθεν ἐπιτιμηθείς, μετ᾿ ἀπειλῆς δὲ πικρᾶς ἀνέλυσε.

Γ Μακ. 2,24 - Συνήλθεν έπειτα ο βασιλεύς, χωρίς όμως καθόλου να συνετισθη και μεταμεληθη από την τιμωρίαν, που υπέστη, αλλά έφυγε με πικράς απειλάς εναντίον της πόλεως.

Γ Μακ. 2,25 - Διακομισθεὶς δὲ εἰς τὴν Αἴγυπτον καὶ τὰ τῆς κακίας ἐπαύξων, διὰ δὲ τῶν προαποδεδειγμένων συμποτῶν καὶ ἑταίρων τοῦ παντὸς δικαίου κεχωρισμένων,

Γ Μακ. 2,25 - Οταν δε ήλθεν εις την Αίγυπτον υπό την κακήν επίδρασιν των προμνημονευθέντων συντρόφων και συμποτών του, οι οποίοι είχαν χωρισθή από κάθε έννοιαν δικαίου, επηύξησεν ακόμη περισότερον την κακίαν του.

Γ Μακ. 2,26 - οὐ μόνον ταῖς ἀναριθμήτοις ἀσελγείαις διηρκέσθη, ἀλλὰ καὶ ἐπὶ τοσοῦτον θράσους προῆλθεν, ὥστε δισφυμίας ἐν τοῖς τόποις συνίστασθαι καὶ πολλοὺς τῶν φίλων ἀτενίζοντας εἰς τὴν τοῦ βασιλέως πρόθεσιν καὶ αὐτοὺς ἕπεσθαι τῇ ἐκείνου θελήσει.

Γ Μακ. 2,26 - Δεν ηρκέσθη ότι παρεδόθη εις αναριθμήτους ασελγείας, αλλά επροχώρησεν εις τόσην μεγάλην θρασύτητα, ώστε συστηματικώς διέδιδεν εις όλους τους τόπους συκοφαντίας κατά των Εβραίων. Πολλοί δε από τους φίλους του, κόλακες καθώς ήσαν, βλέποντες την πρόθεσιν του βασιλέως, τον ακολουθούσαν εις την εχθρικήν του διάθεσιν κατά των Ιουδαίων.

Γ Μακ. 2,27 - προέθετο δὲ δημοσίᾳ κατὰ τοῦ ἔθνους διαδοῦναι ψόγον· καὶ ἐπὶ τοῦ κατὰ τὴν αὐλὴν πύργου στήλην ἀναστήσας ἐξεκόλαψε γραφήν,

Γ Μακ. 2,27 - Επήρε δε την απόφασιν και ακόμη δημοσιώτερον να δυσφημήση το έθνος των Εβραίων. Εις τον πύργον του, λοιπόν, ο οποίος ευρίσκετο στο ανάκτορόν του, διέταξε και έστησαν μίαν στήλην επάνω εις την οποίαν εχάραξαν την ακόλουθον επιγραφήν·

Γ Μακ. 2,28 - μηδένα τῶν μὴ θυόντων εἰς τὰ ἱερὰ αὐτῶν εἰσιέναι, πάντας δὲ τοὺς Ἰουδαίους εἰς λαογραφίαν καὶ οἰκετικὴν διάθεσιν ἀχθῆναι, τοὺς δὲ ἀντιλέγοντας βίᾳ φερομένους τοῦ ζῆν μεταστῆσαι,

Γ Μακ. 2,28 - “Δεν επιτρέπεται εις κανένα από εκείνους, που δεν προσφέρουν θυσίαν στους θεούς της χώρας, να εισέρχωνται εις τα ιερά των, δηλαδή εις τας συναγωγάς. Ολοι οι Ιουδαίοι, που ευρίσκονται εις την Αίγυπτον να καταγραφούν στους καταλόγους των δούλων, και να περιέλθουν εις την κατάστασιν της δουλείας. Εκείνοι δε από αυτούς, οι οποίοι τυχόν θα ανθίσταντο εις την διαταγήν αυτήν, να συλλαμβάνωνται δια της βίας και να εκτελούνται.

Γ Μακ. 2,29 - τούς τε ἀπογραφομένους χαράσσεσθαι καὶ διὰ πυρὸς εἰς τὸ σῶμα παρασήμῳ Διονύσου κισσοφύλλῳ, οὓς καὶ καταχωρίσαι εἰς τὴν προσυνεσταλμένην αὐθεντίαν.

Γ Μακ. 2,29 - Οι Ιουδαίοι, οι οποίοι θα απογράφωνται στους καταλόγους των υποδούλων θα στιγματίζωνται και με πυρακτωμένον σίδηρον στο σώμα

των δια του σήματος του Θεού Διονύσου, ήτοι με φύλλον κισσού, και να κατατάσσωνται εις την προαναφερθείσαν ταπεινήν κοινωνικήν θέσιν”.

Γ Μακ. 2,30 - ἵνα δὲ μὴ τοῖς πᾶσιν ἀπεχθόμενος φαίνηται, ὑπέγραψεν· ἐὰν δέ τινες ἐξ αὐτῶν προαιρῶνται ἐν τοῖς κατὰ τὰς τελετὰς μεμυημένοις ἀναστρέφεσθαι, τούτους ἰσοπολίτας Ἀλεξανδρεῦσιν εἶναι.

Γ Μακ. 2,30 - Δια να μη φανή δε και καταστή ο βασιλεύς μισητός από όλους, διέταξε και έγραψαν και το εξής· “εάν μερικοί από τους Ιουδαίους προτιμούν να λαμβάνουν μέρος εις τας ειδωλολατρικάς τελετάς μαζή με τους άλλους μεμυημένους, αυτοί να είναι ίσοι προς τους πολίτας Αλεξανδρείς”.

Γ Μακ. 2,31 - Ἔνιοι μὲν οὖν ἐπὶ πόλεως τὰς τῆς πόλεως εὐσεβείας ἐπιβάθρας στυγοῦντες εὐχερῶς ἑαυτοὺς ἐδίδοσαν ὡς μεγάλης τινὸς κοινωνήσοντες εὐκλείας ἀπὸ τῆς ἐσομένης τῷ βασιλεῖ συναναστροφῆς.

Γ Μακ. 2,31 - Μερικοί, λοιπόν, από τους Ιουδαίους, τους κατοίκους της Αλεξανδρείας οι οποίοι εμισούσαν την είσοδόν των εις την πόλιν της ευσεβείας, την Ιερουσαλήμ, ευχερώς υπετάχθησαν εις την διαταγήν του Φιλοπάτορος, διότι επίστευαν ότι με την επικοινωνίαν αυτήν προς τον βασιλέα θα αποκτήσουν μεγάλην δόξαν.

Γ Μακ. 2,32 - οἱ δὲ πλεῖστοι γενναίᾳ ψυχῇ ἐνίσχυσαν καὶ οὐ διέστησαν τῆς εὐσεβείας, τά τε χρήματα περὶ τοῦ ζῆν ἀντικαταλλασσόμενοι ἀδεῶς ἐπειρῶντο ἑαυτοὺς ῥύσασθαι ἐκ τῶν ἀπογραφῶν·

Γ Μακ. 2,32 - Οι περισσότεροι όμως έμειναν στερεοί εις την πίστιν των με γενναίαν ψυχήν, και δεν απεμακρύνθησαν από την ευσέβειάν των. Προσφέροντες δε χρήματα, δια να εξασφαλίσουν μίαν άνευ φόβου ζωήν, προσπαθούσαν με αυτά να απαλλαγούν από τας απογραφάς.

Γ Μακ. 2,33 - εὐέλπιδες δὲ καθειστήκεισαν ἀντιλήψεως τεύξεσθαι· καὶ τοὺς ἀποχωροῦντας ἐξ αὐτῶν ἐβδελύσσοντο καὶ ὡς πολεμίους τοῦ ἔθνους ἔκρινον καὶ τῆς κοινῆς συναναστροφῆς καὶ εὐχρηστίας ἐστέρουν.

Γ Μακ. 2,33 - Στηρίζοντες δε τας ωραίας ελπίδας των εις την εκ μέρους του Θεού βοήθειαν, εβδελύσσοντο εκείνους, που αποχωρούσαν από την θρησκείαν των, τους εθεωρούσαν εχθρούς του έθνους των και ουδεμίαν εις αυτούς συναναστροφήν και βοήθειαν παρείχον.

Γ ΜΑΚΚΑΒΑΙΩΝ 3

Γ Μακ. 3,1 - Ἃ καὶ μεταλαμβάνων ὁ δυσσεβὴς ἐπὶ τοσοῦτον ἐχόλησεν, ὥστε οὐ μόνον τοῖς κατ᾿ Ἀλεξάνδρειαν διοργίζεσθαι, ἀλλὰ καὶ τοῖς ἐν τῇ χώρᾳ βαρυτέρως ἐναντιωθῆναι καὶ προστάξαι σπεύσαντας συναγαγεῖν πάντας ἐπὶ τὸ αὐτὸ καὶ χειρίστῳ μόρῳ τοῦ ζῆν μεταστῆσαι.

Γ Μακ. 3,1 - Οταν ο ασεβής Φιλοπάτωρ επληροφορήθη την ευσεβή αυτήν στάσιν των Εβραίων, επικράνθη και εξωργισθη πάρα πολύ, όχι μόνον

εναντίον των Ιουδαίων της Αλεξανδρείας αλλά, βαρύτερον μάλιστα, και εναντίον όλων των εις την χώραν ευρισκομένων Εβραίων. Διέταξε δε να σπεύσουν και να συγκεντρώσουν όλους τους Εβραίους εις ένα και το αυτό μέρος εντός της Αλεξανδρείας και να τους θανατώσουν με ένα βασανιστικόν θάνατον.

Γ Μακ. 3,2 - τούτων δὲ οἰκονομουμένων φήμη δυσμενὴς ἐξηχεῖτο κατὰ τοῦ γένους ἀνθρώποις συμφρονοῦσιν εἰς κακοποίησιν, ἀφορμῆς διδομένης εἰς διάθεσιν, ὡς ἂν ἀπὸ τῶν νομίμων αὐτοὺς κωλυόντων.

Γ Μακ. 3,2 - Οταν δε όλα αυτά εκοινοποιήθησαν και ετέθησαν εις ισχύν μία γενική βοή ηκούετο εναντιόν του ισραηλιτικού λαού από ανθρώπους, οι οποίοι είχαν τα αυτά φρονήματα δια την κακοποίησιν εκείνων, και εύρισκαν τώρα την ευκαιρίαν, να κάμουν το κακόν, δια την διάπραξιν του οποίου μέχρι τώρα ημποδίζοντο από τους καθιερωμένους νόμους.

Γ Μακ. 3,3 - οἱ δὲ Ἰουδαῖοι τὴν μὲν πρὸς τοὺς βασιλεῖς εὔνοιαν καὶ πίστιν ἀδιάστροφον ἦσαν διαφυλάσσοντες,

Γ Μακ. 3,3 - Οι Ιουδαίοι όμως καθ' όλον αυτόν τον καιρόν εκρατούσαν απαραμείωτον την καλήν των διάθεσιν και την αφοσίωσίν των προς τους βασιλείς.

Γ Μακ. 3,4 - σεβόμενοι δὲ τὸν Θεὸν καὶ τῷ τούτου νόμῳ πολιτευόμενοι χωρισμὸν ἐποίουν ἐπὶ τῷ κατὰ τὰς τροφάς, δι᾿ ἣν αἰτίαν ἐνίοις ἀπεχθεῖς ἐφαίνοντο.

Γ Μακ. 3,4 - Επειδή όμως εσέβοντο τον Θεόν και επολιτεύοντο σύμφωνα με τους νόμους αυτού, απεχωρίζοντο από τους άλλους ανθρώπους λόγω των τροφών, τας οποίας ο Νομος των δεν επέτρεπεν εις αυτούς. Δι' αυτόν τον λόγον ήσαν μισητοί εις μερικούς από τους άλλους.

Γ Μακ. 3,5 - τῇ δὲ τῶν δικαίων εὐπραξίᾳ κοσμοῦντες τὴν συναναστροφὴν ἅπασιν ἀνθρώποις εὐδόκιμοι καθειστήκεισαν.

Γ Μακ. 3,5 - Επειδή όμως αυτοί εστολίζοντο με τα καλά έργα, που αρμόζουν στους δικαίους ανθρώπους, ανεστρέφοντο με όλους και έτσι αποκτούσαν την εκτίμησιν αυτών.

Γ Μακ. 3,6 - τὴν μὲν οὖν περὶ τοῦ γένους ἐν πᾶσι θρυλουμένην εὐπραξίαν οἱ ἀλλόφυλοι οὐδαμῶς διηριθμήσαντο,

Γ Μακ. 3,6 - Αλλά οι περισσότεροι από τους εθνικούς την περίφημον αυτήν διαγωγήν και συμπεριφοράν των Εβραίων ενώπιον όλων των ανθρώπων δεν την υπελόγιζαν καθόλου.

Γ Μακ. 3,7 - τὴν δὲ περὶ τῶν προσκυνήσεων καὶ τροφῶν διάστασιν ἐθρύλουν, φάσκοντες μήτε τῷ βασιλεῖ μήτε ταῖς δυνάμεσιν ὁμοσπόνδους τοὺς ἀνθρώπους γενέσθαι, δυσμενεῖς δὲ εἶναι καὶ μέγα τι τοῖς πράγμασιν ἐναντιουμένους· καὶ οὐ τῷ τυχόντι περιῆψαν ψόγῳ.

Γ Μακ. 3,7 - Την άρνησίν των όμως να προσκυνούν τα είδωλα και ανθρώπους και την ως προς τας τροφάς διαφοράν των με τους άλλους

λαούς, την διέδιδαν ευρύτατα, με υπερβολήν μάλιστα, λέγοντες, ότι οι Ιουδαίοι ούτε στον βασιλέα, ούτε εις τας ανωτέρας αρχάς υποτάσσονται, και ότι είναι εχθροί των και με μεγάλην εχθρότητα εναντιώνονται προς την κρατούσαν κατάστασιν. Ετσι δε διέδιδαν πολύ μεγάλας συκοφαντίας εναντίον αυτών.

Γ Μακ. 3,8 - οἱ δὲ κατὰ τὴν πόλιν Ἕλληνες οὐδὲν ἠδικημένοι, ταραχὴν ἀπροσδόκητον περὶ τοὺς ἀνθρώπους θεωροῦντες καὶ συνδρομὰς ἀπροσκόπτους γινομένας, βοηθεῖν μὲν οὐκ ἔσθενον, τυραννικὴ γὰρ ἦν ἡ διάθεσις, παρεκάλουν δὲ καὶ δυσφόρως εἶχον καὶ μεταπεσεῖσθαι ταῦτα ὑπελάμβανον·

Γ Μακ. 3,8 - Οι άλλοι όμως από τους Ελληνας, που κατοικούσαν εις την πόλιν και οι οποίοι δεν είχαν καθόλου αδικηθή από τους Ιουδαίους, όταν έβλεπαν την απροσδόκητον αυτήν αναταραχήν εναντίον των Ιουδαίων και ανεμπόδιστον την γενικήν καταφοράν εναντίον των, δεν είχαν μεν την δυνατότητα να τους βοηθήσουν φανερώς, διότι η κρατούσα κατάστασις ήτο τυραννική, τους παρηγορούσαν όμως και εδυσφορούσαν οι ίδιοι και παρηγορούσαν τους Ιουδαίους και τους έλεγον, ότι δεν ημπορεί παρά θα μεταβληθή η κατάστασις.

Γ Μακ. 3,9 - μὴ γὰρ οὕτως παροραθήσεσθαι τηλικοῦτο σύστεμα μηδὲν ἠγνοηκός.

Γ Μακ. 3,9 - Επί πλέον δε ότι ένα τόσον επίσημον έθνος, που κανένα δεν είχεν αδικήσει, δεν ήτο δυνατόν να παραγνωρισθή και να μη λάβη κάποιαν βοήθειαν.

Γ Μακ. 3,10 - ἤδη δὲ καί τινες γείτονές τε καὶ φίλοι καὶ συμπραγματευόμενοι μυστικῶς τινας ἐπισπώμενοι, πίστεις ἐδίδουν συνασπιεῖν καὶ πᾶν ἐκτενὲς προσοίσεσθαι πρὸς ἀντίληψιν.

Γ Μακ. 3,10 - Μερικοί δε γείτονες και φίλοι των Ιουδαίων και συνάδελφοί των εις τας εμπορικάς συναλλαγάς έπαιρναν μερικούς από τους Ιουδαίους ιδιαιτέρως και έδιδον προς αυτούς υπόσχεσιν, ότι θα πράξουν παν το δυνατόν και συστηματικόν, δια να προσφέρουν εις αυτούς βοήθειαν.

Γ Μακ. 3,11 - Ἐκεῖνος μὲν οὖν τῇ κατὰ τὸ παρὸν εὐημερίᾳ γεγαυρωμένος καὶ οὐ καθορῶν τὸ τοῦ μεγίστου Θεοῦ κράτος, ὑπολαμβάνων δὲ διηνεκῶς ἐν τῇ αὐτῇ διαμένειν βουλῇ, ἔγραψε κατ᾿ αὐτῶν ἐπιστολὴν τήνδε·

Γ Μακ. 3,11 - Ο Φιλοπάτωρ όμως αλαζονικός και αγέρωχος λόγω της προς το παρόν ευημερίας του, και μη βλέπων καθόλου την δύναμιν του μεγάλου Θεού, νομίζων δε ότι θα ευρίσκετο πάντοτε εις την θέσιν, που σήμερον κατείχεν, έγραψεν εναντίον των Ιουδαίων την ακόλουθον επιστολήν·

Γ Μακ. 3,12 - «Βασιλεὺς Πτολεμαῖος Φιλοπάτωρ τοῖς κατ᾿ Αἴγυπτον καὶ κατὰ τόπον στρατηγοῖς καὶ στρατιώταις χαίρειν καὶ ἐῤῥῶσθαι·

Γ Μακ. 3,12 - “εγώ, ο Πτολεμαίος ο Φιλοπάτωρ εύχομαι χαράν και υγείαν στους στρατηγούς και στρατιώτας μου των διαφόρων περιοχήν της Αιγύπτου.

Γ Μακ. 3,13 - ἔῤῥωμαι δὲ καὶ ἐγὼ αὐτὸς καὶ τὰ πράγματα ἡμῶν.

Γ Μακ. 3,13 - Και εγώ ο ίδιος είμαι καλά, όπως επίσης και η κατάστασις των πραγμάτων μας.

Γ Μακ. 3,14 - τῆς εἰς τὴν Ἀσίαν γενομένης ἡμῖν ἐπιστρατείας, ἣς ἴστε καὶ αὐτοί, τῇ τῶν θεῶν πρὸς ἡμᾶς ἀπροπτώτῳ συμμαχίᾳ καὶ τῇ ἡμετέρᾳ δὲ ῥώμῃ κατὰ λόγον ἐπ᾿ ἄριστον τέλος ἀχθείσης,

Γ Μακ. 3,14 - Η εκστρατεία μας εναντίον της Ασίας, δια την οποίαν και σεις γνωρίζετε, με την απρόσκοπτον βοήθειαν των θεών και με την ιδικήν σας ανδρείαν, έφθασεν εις άριστον τέλος σύμφωνα προς την επιθυμίαν όλων μας.

Γ Μακ. 3,15 - ἡγησάμεθα μὴ βίᾳ δόρατος, ἐπιεικείᾳ δὲ καὶ πολλῇ φιλανθρωπίᾳ τιθηνήσασθαι τὰ κατοικοῦντα Κοίλην Συρίαν καὶ Φοινίκην ἔθνη εὐ ποιῆσαί τε ἀσμένως.

Γ Μακ. 3,15 - Εχομεν δε την γνώμην ότι, όχι με την δύναμιν των όπλων, αλλά με την πολλήν φιλανθρωπίαν και στοργήν, εκερδίσαμεν τους λαούς, οι οποίοι κατοικούν την Κοίλην Συρίαν και την Φοινίκην. Με πολλήν δε ευχαρίστησιν εκάμαμεν εις αυτούς κάθε τι καλόν.

Γ Μακ. 3,16 - καὶ τοῖς κατὰ πόλεσιν ἱεροῖς ἀπονείμαντες προσόδους πλείστας, προήχθημεν καὶ εἰς τὰ Ἱεροσόλυμα ἀναβάντες τιμῆσαι τὸ ἱερὸν τῶν ἀλιτηρίων καὶ μηδέποτε ληγόντων τῆς ἀνοίας.

Γ Μακ. 3,16 - Και στους ανά τας διαφόρους πόλεις ναούς παρεχωρήσαμεν πολλά έσοδα. Απεφασίσαμεν δε και εις την Ιερουσαλήμ να τιμήσωμεν τον ναόν των αλιτηρίων εκείνων Εβραίων, οι οποίοι ποτέ δεν έπαυσαν να φέρωνται απερισκέπτως απέναντί μας.

Γ Μακ. 3,17 - οἱ δὲ λόγῳ μὲν τὴν ἡμετέραν ἀποδεξάμενοι παρουσίαν, τῷ δὲ πράγματι νόθως, προθυμηθέντων ἡμῶν εἰσελθεῖν εἰς τὸν ναὸν αὐτῶν καὶ τοῖς ἐκπρεπέσι καὶ καλλίστοις ἀναθήμασι τιμῆσαι,

Γ Μακ. 3,17 - Αυτοί με τα λόγια των μεν εδέχθησαν ευμενώς την εκεί παρουσίαν μας, πράγματι όμως δολίως εφέρθησαν απέναντί μας. Διότι, ενώ ημείς είχομεν την προθυμίαν να εισέλθωμεν στον ναόν των και με λαμπρότατα και άριστα αφιερώματα να τον τιμήσωμεν,

Γ Μακ. 3,18 - τύφοις φερόμενοι παλαιοτέροις, εἶρξαν ἡμᾶς τῆς εἰσόδου, ἀπολειπόμενοι τῆς ἡμετέρας ἀλκῆς δι᾿ ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους φιλανθρωπίαν.

Γ Μακ. 3,18 - εκείνοι κυριαρχούμενοι από την πατροπαράδοτον υπερηφάνειάν των, ημπόδισαν την είσοδόν μας, αδιαφορήσαντες δια την δύναμίν μας και την προς όλους τους ανθρώπους φιλανθρωπίαν μας.

Γ Μακ. 3,19 - τὴν δὲ αὐτῶν εἰς ἡμᾶς δυσμένειαν ἔκδηλον καθιστάντες, ὡς μονώτατοι τῶν ἐθνῶν βασιλεῦσι καὶ τοῖς ἑαυτῶν εὐεργέταις ὑψαυχενοῦντες, οὐδὲν γνήσιον βούλονται φέρειν.

Γ Μακ. 3,19 - Ετσι δε εφανέρωσαν πλέον καθαρά την εχθρότητά των εναντίον μας, διότι μόνον αυτοί από όλα τα έθνη δεν ηθέλησαν, λόγω του εγωισμού των, να κάμουν τίποτε το ορθόν ενώπιον των βασιλέων, οι οποίοι είναι και δι' αυτούς ευεργέται.

Γ Μακ. 3,20 - ἡμεῖς δὲ τῇ τούτων ἀνοίᾳ συμπεριενεχθέντες καὶ μετὰ νίκης διακομισθέντες καὶ εἰς τὴν Αἴγυπτον τοῖς πᾶσιν ἔθνεσι φιλανθρώπως ἀπαντήσαντες καθὼς ἔπρεπεν ἐποιήσαμεν.

Γ Μακ. 3,20 - Ημείς συμπεριεφέρθημεν προς αυτούς ανάλογα προς την παράφρονα στάσιν των και μετά την νίκην μας επανήλθομεν εις την Αίγυπτον, εις όλους δε εκείνους τους λαούς ανταπεκρίθημεν με φιλανθρωπίαν και επράξαμεν απέναντί των ο,τι έπρεπε.

Γ Μακ. 3,21 - ἐν δὲ τούτοις πρὸς τοὺς ὁμοφύλους αὐτῶν ἀμνησικακίαν ἅπασι γνωρίζοντες, διά τε τὴν συμμαχίαν καὶ τὰ πεπιστευμένα μετὰ ἁπλότητος αὐτοῖς ἀρχῆθεν μύρια πράγματα τολμήσαντες ἐξαλλοιῶσαι, ἐβουλήθημεν καὶ πολιτείας αὐτοὺς Ἀλεξανδρέων καταξιῶσαι καὶ μετόχους τῶν ἀεὶ ἱερέων καταστῆσαι.

Γ Μακ. 3,21 - Παρ' όλην δε την άφρονα συμπεριφοράν των Εβραίων της Ιερουσαλήμ, ημείς εχορηγήσαμεν αμνηστίαν εις όλους τους εν τη Αιγύπτω ομοφύλους των ένεκα της συμμαχίας, την οποίαν άλλοτε μας είχαν προσφέρει. Ενεκα δε της πίστεως και της απλότητος, με την οποίαν απ' αρχής είχαν διαπράξει πολλάς ανδραγαθίας, ηθελήσαμεν να αλλάξωμεν τρόπον συμπεριφοράς μας προς αυτούς και να τους αξιώσωμεν της τιμής, να γίνουν πολίται Αλεξανδρείς και να τους καταστήσωμεν κοινωνούς των ισοβίων ιερέων.

Γ Μακ. 3,22 - οἱ δὲ τοὐναντίον ἐκδεχόμενοι καὶ τῇ συμφύτῳ κακοηθείᾳ τὸ καλὸν ἀπωσάμενοι, διηνεκῶς δὲ εἰς τὸ φαῦλον ἐκνεύοντες,

Γ Μακ. 3,22 - Αυτοί όμως έδειξαν αντίθετον συμπεριφοράν απέναντί μας και με την έμφυτον κακίαν των απώθησαν την καλήν μας προσφοράν και επροτιμούσαν κάθε τι φαύλον.

Γ Μακ. 3,23 - οὐ μόνον ἀπεστρέψαντο τὴν ἀτίμητον πολιτείαν, ἀλλὰ καὶ βδελύσσονται λόγῳ τε καὶ σιγῇ τοὺς ἐν αὐτοῖς ὀλίγους πρὸς ἡμᾶς γνησίως διακειμένους, παρέκαστα ὑφορώμενοι διὰ τῆς δυσκλεεστάτης ἐμβιώσεως διὰ τάχους ἡμᾶς καταστρέψαι τὰ κατορθώματα.

Γ Μακ. 3,23 - Και όχι μόνον απεστράφησαν το ανεκτίμητον δικαίωμα του πολίτου της Αλεξανδρείας, αλλά με τα λόγια των και με την σιωπήν των αποστρέφονται τους ολίγους από αυτούς Ιουδαίους, οι οποίοι διάκεινται φιλικώς προς ημάς. Με όλην των δε αυτήν την επαίσχυντον συμπεριφοράν

και ζωήν, φαίνεται ότι επιδιώκουν ευκαιρίαν να καταστρέψουν και ημάς και τα κατορθώματά μας, όσον το δυνατόν συντομώτερον.

Γ Μακ. 3,24 - διὸ καὶ τεκμηρίοις καλῶς πεπεισμένοι, τούτους κατὰ πάντα δυσνοεῖν ἡμῖν τρόπον καὶ προνοούμενοι μήποτε αἰφνιδίου μετέπειτα ταραχῆς ἐνστάσης ἡμῖν τοὺς δυσσεβεῖς τούτους κατὰ νώτου προδότας καὶ βαρβάρους ἔχωμεν πολεμίους

Γ Μακ. 3,24 - Επειδή δέ, βάσει αναντιρρήτων αποδείξεων, έχομεν βεβαιωθή πλήρως, ότι αυτοί σκέπτονται και διάκεινται πάντοτε και κατά πάντα εχθρικώς προς ημάς, επειδή δε έχομεν καθήκον να φροντίσωμεν, όπως μη εις περίστασιν αιφνιδίας μελλοντικής επαναστάσεως έχωμεν αυτούς τους ασεβείς και προδότας και βαρβάρους και εχθρούς εις τα νώτα μας,

Γ Μακ. 3,25 - προστετάχαμεν ἅμα τῷ προσπεσεῖν τὴν ἐπιστολὴν τήνδε αὐθωρεὶ τοὺς ἐννεμομένους σὺν γυναιξὶ καὶ τέκνοις μετὰ ὕβρεων καὶ σκυλμῶν ἀποστεῖλαι πρὸς ἡμᾶς ἐν δεσμοῖς σιδηροῖς πάντοθεν κατακεκλεισμένους, εἰς ἀνήκεστον καὶ δυσκλεῆ πρέποντα δυσμενέσι φόνον.

Γ Μακ. 3,25 - δια τούτο έχομεν διατάξει, από αμέσως μόλις ληφθή αυτή η επιστολή, χωρίς καμμίαν αναβολήν, να αποστείλετε προς ημάς από όλα τα μέρη δεμένους με σιδηρά δεσμά τους προαναφερθέντας Εβραίους με τας γυναίκας των και τα παιδιά των, υβρίζοντες και βασανίζοντες αυτούς, δια να τους παραδώσωμεν εις σκληρόν και ατιμωτικόν θάνατον, όπως άλλωστε αρμόζει στοιούτους εχθρούς.

Γ Μακ. 3,26 - τούτων γὰρ ὁμοῦ κολασθέντων, διειλήφαμεν εἰς τὸν ἐπίλοιπον χρόνον τελείως ἡμῖν τὰ πράγματα ἐν εὐσταθείᾳ καὶ βελτίστῃ διαθέσει κατασταθήσεσθαι.

Γ Μακ. 3,26 - Διότι, όταν αυτοί κατ' αυτόν τον τρόπον, ομαδικώς, τιμωρηθούν, είμεθα βέβαιοι ότι κατά τον υπόλοιπον χρόνον της ζωής μας τα πράγματα του βασιλείου μας θα αποκατασταθούν σταθερά, άριστα και με πλήρη ειρήνην.

Γ Μακ. 3,27 - ὃς δι᾿ ἂν σκεπάσῃ τινὰ τῶν Ἰουδαίων ἀπὸ γηραιοῦ μέχρι νηπίου μέχρι τῶν ὑπομαστιδίων, αἰσχίσταις βασάνοις ἀποτυμπανισθήσεται πανοικί.

Γ Μακ. 3,27 - Εκείνος δε ο οποίος τυχόν θα αποκρύψη κάποιον εκ των Ιουδαίων, από γέροντος μέχρι μικρού παιδιού και μέχρις αυτών ακόμη των θηλαζόντων νηπίων, θα τιμωρηθή με τρομερά βάσανα αυτός και όλη η οικογένεια του.

Γ Μακ. 3,28 - μηνύειν δὲ τὸν βουλόμενον, ἐφ᾿ ᾧ τὴν οὐσίαν τοῦ ἐμπίπτοντος ὑπὸ τὴν εὔθυναν λήψεται καὶ ἐκ τοῦ βασιλικοῦ ἀργυρίου δραχμὰς δισχιλίας καὶ τῆς ἐλευθερίας τεύξεται καὶ στεφανωθήσεται.

Γ Μακ. 3,28 - Εκείνος δε ο οποίος θα θελήση, να καταγγείλη Ιουδαίον παραμένοντα πιστόν εις την θρησκείαν του, όχι μόνον θα λάβη την

περιουσίαν του καταγγελθέντος και εις καταδίκην οδηγουμένου Εβραίου, αλλά ακόμη θα λάβη από το βασιλικόν θησαυροφυλάκιον δύο χιλιάδας αργυράς δραχμάς· εάν δε είναι δούλος, θα γίνη ελεύθερος, και επί πλέον θα στεφανωθή με τιμητικόν στέφανον.

Γ Μακ. 3,29 - πᾶς δὲ τόπος, οὗ ἐὰν φωραθῇ τὸ σύνολον σκεπαζόμενος Ἰουδαῖος, ἄβατος καὶ πυριφλεγὴς γινέσθω καὶ πάσῃ θνητῇ φύσει κατὰ πάντα ἄχρηστος φανήσεται εἰς τὸν ἀεὶ χρόνον».

Γ Μακ. 3,29 - Καθε δε τόπος, όπου τυχόν θα ευρεθή κρυπτόμενος Εβραίος, θα κηρυχθή απροσπέλαστος και θα παραδοθή στο πυρ και θα είναι άβατος εις κάθε θνητήν ύπαρξιν, κατά πάντα άχρηστος εις όλον τον κατόπιν χρόνον”.

Γ Μακ. 3,30 - Καὶ ὁ μὲν τῆς ἐπιστολῆς τύπος οὕτως ἐγέγραπτο.

Γ Μακ. 3,30 - Αυτά περιείχεν η γραπτή διαταγή του Πτολεμαίου.

Γ ΜΑΚΚΑΒΑΙΩΝ 4

Γ Μακ. 4,1 - Πάντη δέ, ὅπου προσέπιπτε τοῦτο τὸ πρόσταγμα, δημοτελὴς συνίστατο τοῖς ἔθνεσιν εὐωχία μετὰ ἀλαλαγμῶν καὶ χαρᾶς, ὡς ἂν τῆς προκατεσκιῤῥωμένης αὐτοῖς πάλαι κατὰ διάνοιαν μετὰ παῤῥησίας συνεκφαινομένης ἀπεχθείας.

Γ Μακ. 4,1 - Παντού δέ, όπου διεδίδετο η διαταγή αυτή του βασιλέως, οι εθνικοί, εχθροί προς τους Εβραίους, οργάνωναν συμπόσια με δαπάνας του δημοσίου μετά χαράς και αλαλαγμών. Και έτσι τα προ πολλού εις τας καρδίας των ριζωμένα σκληρά σαν πέτρα μίση εναντίον των Εβραίων εγινοντο πλέον φανερά.

Γ Μακ. 4,2 - τοῖς δὲ Ἰουδαίοις ἀνήκεστον πένθος ἦν καὶ πανόδυρτος μετὰ δακρύων βοή, στεναγμοῖς πεπυρωμένης τῆς αὐτῶν πάντοθεν καρδίας, ὀλοφυρομένων τὴν ἀπροσδόκητον ἐξαίφνης ἐπικριθεῖσαν αὐτοῖς ὀλεθρίαν.

Γ Μακ. 4,2 - Εις τους Ιουδαίους όμως ηπλώθη και εκυριάρχησε αθεράπευτον πένθος, και θρηνώδης κραυγή μετά δακρύων ηκούετο. Πυρακτωμένη εκ των στεναγμών από όλας τας πλευράς ήτο η καρδία των και απωλοφύροντο δια την απροσδόκητον και αιφνιδίως εκδοθείσαν εναντίον αυτών ολεθρίαν διαταγήν.

Γ Μακ. 4,3 - τίς νομὸς ἢ πόλις ἢ τίς τὸ σύνολον οἰκητὸς τόπος ἢ τίνες ἀγυιαὶ κοπετοῦ καὶ γόων ἐπ᾿ αὐτοῖς οὐκ ἐνεπιπλῶντο;

Γ Μακ. 4,3 - Ποίος νομός η ποία πόλις η ποίος τόπος γενικώς κατοικούμενος από τους ανθρώπους αυτούς η ποίοι δρόμοι δεν είχαν πλημμυρίσει από τους κοπετούς και τους θρήνους των;

Γ Μακ. 4,4 - οὕτω γὰρ μετὰ πικρίας ἀνοίκτου ψυχῆς ὑπὸ τῶν κατὰ πόλιν στρατηγῶν ὁμοθυμαδὸν ἐξαπεστέλλοντο, ὥστε ἐπὶ ταῖς ἐξάλλοις τιμωρίαις

καί τινας τῶν ἐχθρῶν λαμβάνοντας πρὸ τῶν ὀφθαλμῶν τὸν κοινὸν ἔλεον καὶ λογιζομένους τὴν ἄδηλον τοῦ βίου καταστροφήν, δακρύειν αὐτῶν τὴν τρισάθλιον ἐξαποστολήν.

Γ Μακ. 4,4 - Ετσι υπό το κράτος φοβεράς θλίψεως οι Ιουδαίοι, συνεπεία αυτής της διαταγής, συνελαμβάνοντο ομαδικώς εις τας διαφόρους πόλεις από τους στρατηγούς του Φιλοπάτορος και απεστέλλοντο προς τον βασιλέα με βαναυσότητα και σκληράν καρδίαν, τόσον ώστε δια τας παράφρονας αυτάς τιμωρίας μερικοί από τους εχθρούς, έχοντες προ οφθαλμών την συνήθη ανθρωπίνην συμπάθειαν και αναλογιζόμενοι τον άγνωστον όλεθρον της ανθρωπίνης ζωής, εδάκρυζαν δια τον τρισάθλιον αυτόν διωγμόν.

Γ Μακ. 4,5 - ἤγετο γὰρ γεραιῶν πλῆθος πολιᾷ πεπυκασμένων, τὴν ἐκ τοῦ γήρως νωθρότητα ποδῶν ἐπίκυφον ἀνατροπῆς ὁρμῇ βιαίας ἁπάσης αἰδοῦς ἄνευ πρὸς ὀξεῖαν καταχρωμένων πορείαν.

Γ Μακ. 4,5 - Ωδηγείτο δε πλήθος γερόντων με λευκήν την κόμην, οι οποίοι ως εκ των γηρατείων είχαν δυσκίνητα τα πόδια και από το βάρος των ετών έκυπτον και δεν ηδύναντο να κινούνται ταχέως. Αυτούς χωρίς καμμίαν εντροπήν τους έσπρωχναν προς τα εμπρός, ώστε από την ορμήν αυτήν πολλοί να ανατρέπωνται βιαίως.

Γ Μακ. 4,6 - αἱ δὲ ἄρτι πρὸς βίου κοινωνίαν γαμικὸν ὑπεληλυθυῖαι παστὸν νεάνιδες, ἀντὶ τέρψεως μεταλαβοῦσαι γόους καὶ κόνει τὴν μυροβραχῆ πεφυρμέναι κόμην, ἀκαλύπτως δὲ ἀγόμεναι, θρῆνον ἀνθ᾿ ὑμεναίων ὁμοθυμαδὸν ἐξῆρχον ὡς ἐσπαραγμέναι σκυλμοῖς ἀλλοεθνέσι·

Γ Μακ. 4,6 - Επίσης και νεαραί γυναίκες, αι οποίαι προ ολίγου είχον έλθει εις γάμου κοινωνίαν και είχον εισέλθει στους νυμφικούς των θαλάμους, αντί τέρψεως και χαράς, είχον τώρα θρήνους. Η μέχρι προ ολίγου βρεγμένη με αρώματα κόμη των είχε σκεπασθή από κονιορτόν και χωρίς καμμίαν καλύπτραν έβγαιναν από τους νυμφικούς των θαλάμους. Αντί ασμάτων γάμου όλαι μαζή είχον θρήνον, διότι είχον σπαραχθή τα σώματά των από τα βάσανα εκ μέρους των εθνικών.

Γ Μακ. 4,7 - δέσμιαι δὲ δημόσιαι μέχρι τῆς εἰς τὸ πλοῖον ἐμβολῆς εἵλκοντο μετὰ βίας.

Γ Μακ. 4,7 - Υπό τα όμματα δε όλων των ανθρώπων είχον δεθή με αλύσεις και εσύροντο βιαίως μέχρι του σημείου, που επεβιβάζοντο στο πλοίον.

Γ Μακ. 4,8 - οἵ τε τούτων συζυγεῖς βρόχοις ἀντὶ στεφέων τοὺς αὐχένας περιπεπλεγμένοι μετὰ ἀκμαίας καὶ νεανικῆς ἡλικίας, ἀντὶ εὐωχίας καὶ νεωτερικῆς ῥαθυμίας τὰς ἐπιλοίπους τῶν γάμων ἡμέρας ἐν θρήνοις διῆγον, παρὰ πόδας ἤδη τὸν ᾅδην ὁρῶντες κείμενον.

Γ Μακ. 4,8 - Και οι σύζυγοι αυτών, εις την ακμήν της νεανικής των ηλικίας ευρισκόμενοι, έφεραν στους λαιμούς των αντί στεφάνων βρόχια, δια δε τας υπολοίπους ημέρας της εορτής του γάμου των είχαν αντί της χαράς και της

νεανικής ευθυμίας των άσματα γοερά, διότι έβλεπαν ότι ο άδης ευρίσκετο παρά τους πόδας των.

Γ Μακ. 4,9 - κατήχθησαν δέ θηρίων τρόπον ἀγόμενοι σιδηροδέσμοις ἀνάγκαις, οἱ μὲν τοῖς ζυγοῖς τῶν πλοίων προσηλωμένοι τοὺς τραχήλους, οἱ δὲ τοὺς πόδας ἀῤῥήκτοις κατησφαλισμένοι πέδαις,

Γ Μακ. 4,9 - Ολοι δε αυτοί, ως άγρια θηρία, επεβιβάσθησαν συρόμενοι κάτω από τα βαρειά σιδηρά δεσμά των. Και όταν εισήλθαν εις τα πλοία, άλλων μεν από αυτούς οι τράχηλοι εδέθησαν εις τους ζυγούς των πλοίων, άλλων δε τα πόδια ησφαλίσθησαν σφικτά με δεσμά σκληρά και άθραυστα.

Γ Μακ. 4,10 - ἔτι καὶ τῷ καθύπερθε πυκνῷ σανιδώματι διακειμένῳ, ὅπως πάντοθεν ἐσκοτισμένοι τοὺς ὀφθαλμοὺς ἀγωγὴν ἐπιβούλων ἐν παντὶ τῷ κατάπλῳ λαμβάνωσι.

Γ Μακ. 4,10 - Ακόμη δε υπήρχον πυκνά σανιδώματα επάνω από τας κεφαλάς των, ώστε αυτοί να έχουν από όλα τα σημεία σκότος εις τα μάτια των. Ετσι ωσάν προδόται και κακούργοι έπρεπε να κάμουν όλον το θαλάσσιον τούτο ταξίδι.

Γ Μακ. 4,11 - Τούτων δὲ ἐπὶ τὴν λεγομένην Σχεδίαν ἀχθέντων καὶ τοῦ παράπλου περανθέντος, καθὼς ἦν δεδογματισμένον τῷ βασιλεῖ, προσέταξεν αὐτοὺς ἐν τῷ πρὸ τῆς πόλεως ἱπποδρόμῳ παρεμβαλεῖν ἀπλέτῳ καθεστῶτι περιμέτρῳ καὶ πρὸς παραδειγματισμὸν ἄγαν εὐκαιροτάτῳ καθεστῶτι πᾶσι τοῖς καταπορευομένοις εἰς τὴν πόλιν καὶ τοῖς ἐκ τούτων εἰς τὴν χώραν στελλομένοις πρὸς ἐκδημίαν πρὸς τὸ μηδὲ ταῖς δυνάμεσιν αὐτοῦ κοινωνεῖν, μηδὲ τὸ σύνολον καταξιῶσαι περιβόλων.

Γ Μακ. 4,11 - Οταν δε αυτοί έφθασαν εις ένα παράλιον τόπον, που ωνομάζετο Σχεδία και έτσι έληξε το κατά μήκος της ακτής ταξίδιόν των, έπρεπε σύμφωνα με τας διαταγάς του βασιλέως να εγκλεισθούν στο ιπποδρόμιον της Αλεξανδρείας, το οποίον ευρίσκετο προ της πόλεως. Αυτός ο τόπος, ο κατάλληλος προς εξευτελισμόν των Ιουδαίων, περιεβάλλετο από μεγάλο περίφραγμα. Ολοι δε οι εθνικοί, οι οποίοι εισήρχοντο από την ύπαιθρον εις την πόλιν, όπως και εκείνοι οι οποίοι μετέβαινον από την πόλιν εις την ύπαιθρον, έβλεπαν τους συσσωρευμένους εκεί Ιουδαίους. Απηγορεύετο δε εις αυτούς, που ήσαν μέσα στο στάδιον, να επικοινωνούν με τους στρατιώτας και γενικώς να μη περάσουν καθόλου έξω από το περίφραγμα του ιπποδρομίου.

Γ Μακ. 4,12 - ὡς δὲ τοῦτο ἐγενήθη, ἀκούσας τοὺς ἐκ τῆς πόλεως ὁμοεθνεῖς κρυβῇ ἐκπορευομένους πυκνότερον ἀποδύρεσθαι τὴν ἀκλεᾶ τῶν ἀδελφῶν ταλαιπωρίαν,

Γ Μακ. 4,12 - Οταν δε έγινε τούτο, δηλαδή όταν οι Ιουδαίοι εκλείσθησαν ελεεινώς στο στάδιον, ο βασιλεύς επληροφορήθη, ότι οι εις την πόλιν ομοεθνείς των εξερχόμενοι κρυφίως από την πόλιν πολύ συχνά εθρηνούσαν την εξευτελιστικήν αυτήν ταλαιπωρίαν των αδελφών των.

Γ Μακ. 4,13 - διοργισθεὶς προσέταξε καὶ τούτοις ὁμοῦ τὸν αὐτὸν τρόπον ἐπιμελῶς ὡς ἐκείνοις ποιῆσαι μὴ λειπομένοις κατὰ μηδένα τρόπον τῆς ἐκείνων τιμωρίας,

Γ Μακ. 4,13 - Οργισθείς δια τούτο ο βασιλεύς διέταξεν, όπως κατά τον ίδιον τρόπον και με την αυτήν αυστηρότητα τιμωρήσουν και όλους αυτούς μαζή, χωρίς να διαφέρη καθόλου η τιμωρία τούτων από την τιμωρίαν εκείνων, που προηγουμένως είχον εγκλεισθή στο ιπποδρόμιον.

Γ Μακ. 4,14 - ἀπογραφῆναι δὲ πᾶν τὸ φῦλον ἐξ ὀνόματος, οὐκ εἰς τὴν ἔμπροσθε βραχεῖ προδεδηλωμένην τῶν ἔργων κατάπονον λατρείαν, στρεβλωθέντας δὲ ταῖς παρηγγελμέναις αἰκίαις τὸ τέλος ἀφανίσαι μιᾶς ὑπὸ καιρὸν ἡμέρας.

Γ Μακ. 4,14 - Διέταξεν επίσης ο βασιλεύς να καταγραφούν όλοι, οι εκ του ιουδαϊκού γένους, ονομαστί, όχι απλώς προς τιμωρίαν των, όπως ελέχθη προηγουμένως, δια της υποχρεώσεώς των εις καταναγκαστικά δουλικά έργα, αλλά αφού διαστρεβλωθούν σωματικώς με βασανισμούς, δια τους οποίους είχαν ήδη δοθή ωρισμέναι εντολαί, να εξολοθρευθούν κατόπιν όλοι εις μίαν και μόνην ημέραν εις κατάλληλον ευκαιρίαν.

Γ Μακ. 4,15 - ἐγίνετο μὲν οὖν ἡ τούτων ἀπογραφὴ μετὰ πικρᾶς σπουδῆς καὶ φιλοτίμου προσεδρείας ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἀνήνυτον λαμβάνουσα τὸ τέλος ἐπὶ ἡμέρας τεσσαράκοντα.

Γ Μακ. 4,15 - Η μεν καταγραφή, λοιπόν, τούτων εγίνετο από τους υπαλλήλους του βασιλέως, με μοχθηράν σπουδήν και φιλοτιμίαν να ζεπεράση ο ένας τον άλλον στο έργον αυτό, από της ανατολής του ηλίου μέχρι της δύσεως. Αν και επί τεσσαράκοντα ημέρας διήρκεσεν η απογραφή, δεν επερατώθη, δεν έφθασεν εις τέλος.

Γ Μακ. 4,16 - Μεγάλως δὲ καὶ διηνεκῶς ὁ βασιλεὺς χαρᾷ πεπληρωμένος, συμπόσια ἐπὶ πάντων τῶν εἰδώλων συνιστάμενος, πεπλανημένῃ πόῤῥω τῆς ἀληθείας φρενὶ καὶ βεβήλῳ στόματι, τὰ μέν κωφὰ καὶ μὴ δυνάμενα αὐτοῖς λαλεῖν ἢ ἀρήγειν ἐπαινῶν, εἰς δὲ τὸν μέγιστον Θεὸν τὰ μὴ καθήκοντα λαλῶν.

Γ Μακ. 4,16 - Καθ' όλον το διάστημα αυτό, γεμάτος χαράν, ο βασιλεύς ωργάνωνε συμπόσια πλησίον των ειδωλολατρικών ναών και εκυριαρχείτο από πεπλανημένον και πολύ μακράν της αληθείας φρόνημα. Και τα μεν είδωλα τα κωφά και ανίκανα να ομιλήσουν προς αυτούς η να βοηθήσουν κανένα, τα υμνολογούσε, εναντίον δε του μεγίστου και αληθινού Θεού εξεστόμιζεν απρεπείς φράσεις.

Γ Μακ. 4,17 - μετὰ δὲ τὸ προειρημένον τοῦ χρόνου διάστημα προσηνέγκαντο οἱ γραμματεῖς τῷ βασιλεῖ μηκέτι ἰσχύειν τὴν τῶν Ἰουδαίων ἀπογραφὴν ποιεῖσθαι διὰ τὴν ἀμέτρητον αὐτῶν πληθύν,

Γ Μακ. 4,17 - Μετά την πάροδον όμως του διαστήματος αυτού των τεσσαράκοντα ημερών, οι γραμματείς ανέφεραν προς τον βασιλέα, ότι δεν ημπορούν να φέρουν εις πέρας την απογραφήν των Ιουδαίων, διότι το πλήθος αυτών ήτο αμέτρητον.

Γ Μακ. 4,18 - καίπερ ὄντων κατὰ τὴν χώραν ἔτι τῶν πλειόνων, τῶν μὲν κατὰ τὰς οἰκίας ἔτι συνεστηκότων, τῶν δὲ καὶ κατὰ τόπον, ὡς ἀδυνάτου καθεστῶτος πᾶσι τοῖς ἐπ᾿ Αἴγυπτον στρατηγοῖς.

Γ Μακ. 4,18 - Αλλωστε οι περισσότεροι από αυτούς ευρίσκοντο εις την ύπαιθρον, έλεγον οι γραμματείς, άλλοι από αυτούς ήσαν κλεισμένοι εις τας οικίας των, άλλοι εις διαφόρους τόπους, ώστε καταντούσεν αδύνατον εις όλους τους στρατηγούς, που ευρίσκοντο εις την Αίγυπτον, να τους συγκεντρώσουν.

Γ Μακ. 4,19 - ἀπειλήσαντος δὲ αὐτοῖς σκληρότερον ὡς δεδωροκοπημένοις εἰς μηχανὴν τῆς ἐκφυγῆς, συνέβη σαφῶς αὐτὸν περὶ τούτου πεισθῆναι,

Γ Μακ. 4,19 - Ο βασιλεύς, δεν επείσθη εις τας δικαιολογίας αυτάς και ηπείλησε κατά τον σκληρότερον τρόπον τους γραμματείς, διότι τάχα αυτοί είχαν δωροδοκηθή από τους Ιουδαίους, δια να επινοήσουν τρόπον της διαφυγής εκείνων από την καταγραφήν. αλλά ήλθαν έτσι τα πράγματα, ώστε και ο ίδιος ο βασιλεύς να πεισθή σαφώς δι' αυτά, που του είχαν ανακοινώσει οι γραμματείς.

Γ Μακ. 4,20 - λεγόντων μετὰ ἀποδείξεως καὶ τὴν χαρτηρίαν ἤδη καὶ τοὺς γραφικοὺς καλάμους, ἐν οἷς ἐχρῶντο, ἐκλελοιπέναι.

Γ Μακ. 4,20 - Διότι οι γραμματείς έλεγαν και απεδείκνυαν ότι ο χάρτης και οι κονδυλοφόροι, τους οποίους αυτοί εχρησιμοποιούσαν δια την καταγραφήν των Ιουδαίων, είχαν εξαντληθή.

Γ Μακ. 4,21 - τοῦτο δὲ ἦν ἐνέργεια τῆς τοῦ βοηθοῦντος τοῖς Ἰουδαίοις ἐξ οὐρανοῦ προνοίας ἀνικήτου.

Γ Μακ. 4,21 - Αυτό ήτο έργον της ακατανικήτου προνοίας του Θεού, ο οποίος έτσι εβοηθούσε τους Ιουδαίους.

Γ ΜΑΚΚΑΒΑΙΩΝ 5

Γ Μακ. 5,1 - Τότε προσκαλεσάμενος Ἕρμωνα τὸν πρὸς τῇ τῶν ἐλεφάντων ἐπιμελείᾳ, βαρείᾳ μεμεστωμένος ὀργῇ καὶ χόλῳ κατὰ πᾶν ἀμετάθετος

Γ Μακ. 5,1 - Τοτε ο βασιλεύς γεμάτος οργήν και πικρίαν εναντίον των Ιουδαίων, έχων οπωσδήποτε αμετάθετον την απόφασιν να τους τιμωρήση, εκάλεσε τον Ερμωνα, ο οποίος είχεν αναλάβει την φροντίδα δια τους ελέφαντας.

Γ Μακ. 5,2 - ἐκέλευσεν ὑπὸ τὴν ἐπερχομένην ἡμέραν δαψιλέσι δράκεσι λιβανωτοῦ καὶ οἴνῳ πλείονι ἀκράτῳ ἅπαντας τοὺς ἐλέφαντας ποτίσαι, ὄντας τὸν ἀριθμὸν πεντακοσίους, καὶ ἀγριωθέντας τῇ τοῦ πόματος ἀφθόνῳ χορηγίᾳ εἰσαγαγεῖν πρὸς συνάντησιν τοῦ μόρου τῶν Ἰουδαίων.

Γ Μακ. 5,2 - Διέταξε, λοιπόν, αυτόν να χρησιμοποίηση κατά την επομένην ημέραν άφθονες χουφτιές λιβανωτού δια τους ελέφαντας και να ποτίση αυτούς με ανόθευτον οίνον- ήσαν δε πεντακόσιοι κατά τον αριθμόν- ώστε αυτοί υπό την επήρειαν του αφθόνου θυμιάματος και της πλουσίας χορηγήσεως του ακράτου οίνου, εξηγριωμένοι να οδηγηθούν εναντίον των Ιουδαίων, δια να τους καταπατήσουν και τους εξοντώσουν.

Γ Μακ. 5,3 - ὁ μὲν τάδε προστάσσων ἐτρέπετο πρὸς τὴν εὐωχίαν, συναγαγὼν τοὺς μάλιστα τῶν φίλων καὶ τῆς στρατιᾶς ἀπεχθῶς ἔχοντας πρὸς τοὺς Ἰουδαίους·

Γ Μακ. 5,3 - Και ο μεν βασιλεύς, αφού διέταξεν αυτά, ενδιεφέρθη πάλιν δια το συμπόσιον και προσεκάλεσε και συνεκέντρωσεν εις αυτό τους φίλους και τους εκ του στρατού του αξιωματούχους, οι οποίοι περισσότερον από κάθε άλλον διέκειντο εχθρικώς εναντίον των Ιουδαίων.

Γ Μακ. 5,4 - ὁ δὲ ἐλεφαντάρχης τὸ προσταγὲν ἀραρότως Ἕρμων συνετέλει.

Γ Μακ. 5,4 - Ο δε επιμελητής των ελεφάντων, ο Ερμων, εξετέλει, όπως έπρεπε, την διαταγήν του βασιλέως.

Γ Μακ. 5,5 - οἵ τε πρὸς τούτοις λειτουργοὶ κατὰ τὴν ἑσπέραν ἀξιόντες τὰς τῶν ταλαιπώρων ἐδέσμευον χεῖρας τήν τε λοιπὴν ἐμηχανῶντο περὶ αὐτοὺς ἀσφάλειαν, ἔννυχον δόξαντες ὁμοῦ λήψεσθαι τὸ φῦλον πέρας τῆς ὀλεθρίας.

Γ Μακ. 5,5 - Οι δια τας υποθέσεις αυτάς υπηρέται εξήλθον κατά την εσπέραν, έδεναν τα χέρια των ταλαιπώρων Ιουδαίων, που ευρίσκοντο στο στάδιον, επινοούσαν δε και εχρησιμοποιούσαν κάθε άλλον τρόπον, δια να τους κρατήσουν εκεί ασφαλείς. Επίστευον δέ, ότι κατά την επομένην νύκτα θα λάβη πέρας η εξολόθρευσις ολοκλήρου του γένους των Εβραίων.

Γ Μακ. 5,6 - οἱ δὲ πάσης σκέπης ἔρημοι δοκοῦντες εἶναι τοῖς ἔθνεσιν Ἰουδαῖοι διὰ τὴν πάντοθεν περιέχουσαν αὐτοὺς μετὰ δεσμῶν ἀνάγκην,

Γ Μακ. 5,6 - Οι Ιουδαίοι, επιστεύετο από τους εθνικούς, ότι ήσαν έρημοι από κάθε σκέπην και προστασίαν, διότι τους έβλεπαν δεμένους και από όλα τα σημεία φρουρουμένους δια την προσεχή των εκτέλεσιν.

Γ Μακ. 5,7 - τὸν παντοκράτορα Κύριον καὶ πάσης δυνάμεως δυναστεύοντα, ἐλεήμονα Θεὸν αὐτῶν καὶ πατέρα, δυσκαταπαύστῳ βοῇ πάντες μετὰ δακρύων ἐπεκαλέσαντο, δεόμενοι

Γ Μακ. 5,7 - Οι Ιουδαίοι όμως προσηύχοντο και εδέοντο, με ακατάπαυστον βοήν και με δάκρυα, προς τον Παντοκράτορα Κυριον, τον

κυρίαρχον πάσης δυνάμεως, τον ελεήμονα Θεόν των και πατέρα των, παρακαλούσαν δε αυτόν,

Γ Μακ. 5,8 - τὴν κατ᾿ αὐτῶν μεταστρέψαι βουλὴν ἀνοσίαν καὶ ῥύσασθαι αὐτοὺς μετὰ μεγαλομεροῦς ἐπιφανείας ἐκ τοῦ παρὰ πόδας ἐν ἑτοίμῳ μόρου.

Γ Μακ. 5,8 - να μεταστρέψη την εναντίον των ανοσίαν απόφασίν του βασιλέως και να γλυτώση αυτούς από τον επικείμενον σκληρόν θάνατον με μίαν έκτακτον και μεγαλοπρεπή εμφάνισίν του.

Γ Μακ. 5,9 - τούτων μὲν οὖν ἐκτενῶς ἡ λιτανεία ἀνέβαινεν εἰς οὐρανόν.

Γ Μακ. 5,9 - Η εκτενής αυτή λιτανεία τούτων ανέβαινε προς τον ουρανόν, προς τον Θεόν.

Γ Μακ. 5,10 - Ὁ δὲ Ἕρμων τοὺς ἀνηλεεῖς ἐλέφαντας ποτίσας πεπληρωμένους τῆς τοῦ οἴνου πολλῆς χορηγίας καὶ τοῦ λιβάνου μεμεστωμένους, ὄρθροις ἐπὶ τὴν αὐλὴν παρῆν περὶ τούτων προσαγγεῖλαι τῷ βασιλεῖ.

Γ Μακ. 5,10 - Ο Ερμων, αφού επότισε τους αγρίους άλλως τε ελέφαντάς του με πολύν και άκρατον οίνον, και αφού τους εγέμισε από το θυμίαμα του λιβανωτού, ήλθε λίαν πρωϊ εις την βασιλικήν αυλήν, δια να αναγγείλη στον βασιλέα ότι όλα ήσαν έτοιμα.

Γ Μακ. 5,11 - τὸ δὲ ἀπ᾿ αἰῶνος χρόνου κτίσμα καλὸν ἐν νυκτὶ καὶ ἡμέρᾳ ἐπιβαλλόμενον ὑπὸ τοῦ χαριζομένου πᾶσιν, οἷς ἂν αὐτὸς θελήσῃ, ὕπνου μέρος ἀπέστειλε πρὸς τὸν βασιλέα,

Γ Μακ. 5,11 - Ο Θεός όμως, ο οποίος από αιώνας αιώνων χαρίζει νύκτα και ημέραν το καλόν εις εκείνους, που αυτός θέλει, έστειλεν στον βασιλέα ένα βαθύν ύπνον.

Γ Μακ. 5,12 - καὶ ἡδίστῳ καὶ βαθεῖ κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ Δεσπότου, τῆς ἀθέσμου μὲν προθέσεως πολὺ διεσφαλμένος, τοῦ δὲ ἀμεταθέτου λογισμοῦ μεγάλως διεψευσμένος.

Γ Μακ. 5,12 - Ετσι δε ο βασιλεύς, δια της ενεργείας του Δεσπότου Θεού, εβυθίσθη εις ένα βαθύν και κατ' εξοχήν ευχάριστον ύπνον, ώστε εματαίωσε την πραγμάτωσιν της αδίκου επιθέσεώς του και διεψεύσθη μεγάλως εις την αμετάθετον αυτήν απόφασίν του.

Γ Μακ. 5,13 - οἱ δὲ Ἰουδαῖοι τὴν προσημανθεῖσαν ὥραν διαφυγόντες, τὸν ἅγιον ᾔνουν Θεὸν αὐτῶν καὶ πάλιν ἠξίουν τὸν εὐκατάλλακτον δεῖξαι τῆς μεγαλοσθενοῦς αὐτοῦ χειρὸς κράτος ἔθνεσιν ὑπερηφάνοις.

Γ Μακ. 5,13 - Οι Ιουδαίοι ιδόντες ότι κατά την προμνημονευθείσαν ώραν διέφυγαν τον όλεθρον, υμνολογούσαν τον άγιον Θεόν και παρακαλούσαν τον ευδιάλλακτον και ελεήμονα Κυριον, να δείξη το σθένος της παντοδυνάμου αυτού ισχύος εις όλα τα αλαζονικά έθνη.

Γ Μακ. 5,14 - μεσούσης δὲ ἤδη τῆς δεκάτης ὥρας σχεδόν, ὁ πρὸς ταῖς κλήσεσι τεταγμένος, ἀθρόους τοὺς κλητοὺς ἰδών, ἔνυξε προσελθὼν τὸν βασιλέα.

Γ Μακ. 5,14 - Οταν πλέον η ώρα ήτο δέκα και μισή, τέσσαρες δηλαδή και μισή το απόγευμα, ο βασιλεύς εκοιμάτο ακόμη. Ο αυλικός, ο επιφορτισμένος με τας προσκλήσεις των συνδαιτυμόνων, όταν είδεν ότι οι προσκεκλημένοι δια το συμπόσιον είχον όλοι συγκεντρωθή, επλησίασε και εκέντησεν ολίγον τον βασιλέα.

Γ Μακ. 5,15 - καὶ μόλις διεγείρας ὑπέδειξε τὸν τῆς συμποσίας καιρὸν ἤδη παρατρέχοντα, τὸν περὶ τούτων λόγον ποιούμενος.

Γ Μακ. 5,15 - Με κάποιαν δε δυσκολίαν αφού τον εξύπνησε, του ανήγγειλεν, ότι ο ορισθείς δια το συμπόσιον χρόνος είχε σχεδόν παρέλθει και του έδιδε τας απαραιτήτους δι' αυτό πληροφορίας.

Γ Μακ. 5,16 - ὃν ὁ βασιλεὺς λογισάμενος καὶ τραπεὶς εἰς τὸν πότον, ἐκέλευσε τοὺς παραγεγονότας εἰς τὴν συμποσίαν ἄντικρυς ἀνακλιθῆναι αὐτοῦ.

Γ Μακ. 5,16 - Ο βασιλεύς όταν ήκουσε και κατενόησε την αναγγελίαν αυτήν του αυλικού του, εστράφη προς το συμπόσιον και διέταξε τους προσελθόντας να ανακλιθούν απέναντί του.

Γ Μακ. 5,17 - οὗ καὶ γενομένου, παρῄνει εἰς εὐωχίαν δόντας ἑαυτούς, τὸ παρὸν τῆς συμποσίας ἐπιπολὺ γεραιρομένους εἰς εὐφροσύνην καταθέσθαι μέρος.

Γ Μακ. 5,17 - Αφού δε όλοι κατέλαβαν τας θέσεις των, ο βασιλεύς τους προέτρεπε να δοθούν ολόκληροι εις την ευωχίαν, εις την παρούσαν συμμετοχήν του συμποσίου, να ευφραίνωνται και επί πολύ να απολαμβάνουν αυτό.

Γ Μακ. 5,18 - ἐπὶ πλεῖον δὲ προβαινούσης τῆς ὁμιλίας, τὸν Ἕρμωνα μεταπεμψάμενος ὁ βασιλεύς, μετὰ πικρᾶς ἀπειλῆς ἐπυνθάνετο, τίνος ἕνεκεν αἰτίας εἰάθησαν οἱ Ἰουδαῖοι τὴν παροῦσαν ἡμέραν περιβεβιωκότες;

Γ Μακ. 5,18 - Ενῷ όμως η συνομιλία κατά το συμπόσιον επροχωρούσε ο βασιλεύς έστειλε και εκάλεσε τον Ερμωνα και απειλών αυτόν αυστηρώς εζητούσε να μάθη την αιτίον, δια την οποίαν είχαν αφεθή εν τη ζωή οι Εβραίοι κατά την παρούσαν ημέραν.

Γ Μακ. 5,19 - τοῦ δὲ ὑποδείξαντος ἐκ νυκτὸς τὸ προσταγὲν ἐπὶ τέλος ἀγηοχέναι καὶ τῶν φίλων αὐτῷ προσμαρτυρησάντων,

Γ Μακ. 5,19 - Οταν δε ο Ερμων του ανήγγειλεν, ότι η διαταγή του είχεν εξ ολοκλήρου εκτελεσθή από της νυκτός ακόμη, οι δε φίλοι του βασιλέως επεβεβαίωναν το γεγονός,

Γ Μακ. 5,20 - τὴν ὠμότητα χείρονα Φαλάριδος ἐσχηκὼς ἔφη τῷ τῆς σήμερον ὕπνῳ χάριν ἔχειν αὐτούς· ἀνυπερθέτως δὲ εἰς τὴν ἐπιτέλλουσαν

ἡμέραν κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς ἐλέφαντας ἐπὶ τὸν τῶν ἀθεμίτων Ἰουδαίων ἀφανισμόν.

Γ Μακ. 5,20 - αυτός έχων σκληρότητα χειροτέραν από την σκληρότητα του τυράννου Φαλάριδος, είπεν· “ας έχουν χάριν οι Ιουδαίοι στον σημερινόν μου ύπνον. Ανυπερθέτως όμως ετοίμασε και πάλιν κατά τον ίδιον τρόπον τους ελέφαντας δια την αυριανήν ημέραν εις εξολόθρευσιν των παρανόμων αυτών Ιουδαίων”.

Γ Μακ. 5,21 - εἰπόντος δὲ τοῦ βασιλέως, ἀσμένως πάντες μετὰ χαρᾶς οἱ παρόντες ὁμοῦ συναινέσαντες, εἰς τὸν ἴδιον οἶκον ἕκαστος ἀνέλυσε.

Γ Μακ. 5,21 - Οταν είπεν αυτά ο βασιλεύς, όλοι οι παρευρισκόμενοι συγκατετέθησαν εις αυτά με ενθουσιασμόν και χαράν. Μετά δε το πέρας του συμποσίου ο καθένας επανήλθεν στον οίκον του.

Γ Μακ. 5,22 - καὶ οὐχ οὕτως εἰς ὕπνον κατεχρήσαντο τὸν χρόνον τῆς νυκτός, ὡς εἰς τὸ παντοίους μηχανᾶσθαι τοῖς ταλαιπώροις δοκοῦσιν ἐμπαιγμούς. -

Γ Μακ. 5,22 - Αλλά δεν εχρησιμοποίησαν τόσον τον χρόνον της νυκτός προς ύπνον, όσον δια να εφευρίσκουν πολλούς και διαφόρους τρόπους εμπαιγμών και βασανισμών δια τους Εβραίους, τους οποίους εθεωρούσαν ελεεινούς.

Γ Μακ. 5,23 - Ἄρτι δὲ ἀλεκτρυὼν ἐκεκράγει ὄρθριος, καὶ τὰ θηρία καθωπλικὼς ὁ Ἕρμων ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει.

Γ Μακ. 5,23 - Οταν λίαν πρωϊ οι αλέκτορες έκραζαν, ο δε Ερμων αξαγριώσας τους ελέφαντας τους ωδηγούσε προς το περιστύλιον,

Γ Μακ. 5,24 - τὰ δὲ κατὰ τὴν πόλιν πλήθη συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θεωρίαν, προσδοκῶντα τὴν πρωΐαν μετὰ σπουδῆς.

Γ Μακ. 5,24 - τα πλήθη των ανθρώπων, που ευρίσκοντο εις την πόλιν ανέμενον με ανυπομονησίαν από την πρωΐαν και είχαν συγκεντρωθή, δια να απολαύσουν το ελεεινότατον εκείνο θέαμα.

Γ Μακ. 5,25 - οἱ δὲ Ἰουδαῖοι κατὰ τὸν ἀμερῆ ψυχουλκούμενοι χρόνον, πολυδάκρυον ἱκετείαν ἐν μέλεσι γοεροῖς τείνοντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐδέοντο τοῦ μεγίστου Θεοῦ πάλιν αὐτοῖς βοηθῆσαι συντόμως.

Γ Μακ. 5,25 - Οι στο στάδιον κατάδικοι Ιουδαίοι, οι οποίοι ως οι ψυχορραγούντες είχον ακόμη ολίγον χρόνον ζωής, ύψωναν τα χέρια των στον ουρανόν και παρακαλούσαν με πολυδάκρυον ικεσίαν και με θρηνώδη άσματα τον μέγιστον Θεόν, να βοηθήση και πάλιν αυτούς.

Γ Μακ. 5,26 - οὔπω δὲ ἡλίου βολαὶ κατεσπείροντο, καὶ τοῦ βασιλέως τοὺς φίλους ἐκδεχομένου, ὁ Ἕρμων παραστὰς ἐκάλει πρὸς τὴν ἔξοδον, ὑποδεικνύων τὸ πρόθυμον τοῦ βασιλέως ἐν ἑτοίμῳ κεῖσθαι.

Γ Μακ. 5,26 - Ενῷ δεν είχον ακόμη αι ακτίνες του ηλίου διασπαρή εις την φύσιν, και ο βασιλεύς εδέχετο τους φίλους του, ο Ερμων επλησίασε και

παρεκάλει αυτόν να εξέλθη υπενθυμίζων, ότι η επιθυμία του είναι ήδη ετοίμη να εκτελεσθή.

Γ Μακ. 5,27 - τοῦ δὲ ἀποδεξαμένου καὶ καταπλαγέντος ἐπὶ τῇ παρανόμῳ ἐξόδῳ, κατὰ πᾶν ἀγνωσίᾳ κεκρατημένος ἐπυνθάνετο, τί τὸ πρᾶγμα, ἀφ᾽ οὗ τοῦτο αὐτῷ μετὰ σπουδῆς τετέλεσται·

Γ Μακ. 5,27 - Οταν ο βασιλεύς ήκουσε τα λόγια αυτά, εξεπλάγη δια την παράνομον αυτήν έξοδόν του, διότι είχε περιέλθει εις πλήρη άγνοιαν παντός ο,τι είχε διατάξει, και εζητούσε να μάθη, ποίον είναι αυτό το πράγμα, το οποίον προς χάριν αυτού μετά τόσης επιμελείας είχεν εκτελεσθή.

Γ Μακ. 5,28 - τοῦτο δὲ ἦν ἡ ἐνέργεια τοῦ πάντα δεσποτεύοντος Θεοῦ, τῶν πρὶν αὐτῷ μεμηχανημένων λήθην κατὰ διάνοιαν ἐντεθεικότος.

Γ Μακ. 5,28 - Η αμνησία αυτή του βασιλέως ήλθε κατόπιν της ενεργείας του Θεού, ο οποίος είναι κύριος των πάντων. Ο Θεός, δηλαδή, ενέβαλεν εις την διάνοιαν του βασιλέως λησμοσύνην δι' όλα εκείνα, τα οποία προηγουμένως είχε μηχανευθή και αποφασίσει εν τη διανοία του κατά των Ιουδαίων.

Γ Μακ. 5,29 - ὁ δὲ Ἕρμων ὑπεδείκνυε καὶ πάντες οἱ φίλοι τὰ θηρία καὶ τὰς δυνάμεις ἡτοιμάσθαι, βασιλεῦ, κατὰ τὴν σὴν ἐκτενῆ πρόθεσιν.

Γ Μακ. 5,29 - Ο Ερμων και όλοι οι φίλοι του, ανέφεραν εις αυτόν, ότι “οι ελέφαντες και αι στρατιωτικαί δυνάμεις είναι ήδη έτοιμοι, βασιλεύ, σύμφωνα με την ίδικήν σου επίμονον εντολήν”.

Γ Μακ. 5,30 - ὁ δὲ ἐπὶ τοῖς ῥηθεῖσι πληρωθεὶς βαθεῖ χόλῳ διὰ τὸ περὶ τούτων προνοίᾳ Θεοῦ διασκεδάσθαι πᾶν αὐτοῦ τὸ νόημα, ἐνατενίσας μετὰ ἀπειλῆς εἶπεν·

Γ Μακ. 5,30 - Ο βασιλεύς, όταν ήκουσεν αυτά, εκυριεύθη από συγκλονιστικόν θυμόν, διότι χάρις εις την θείαν πρόνοιαν είχε φύγει από την μνήμην του κάθε σκέψις αφανισμού των Ιουδαίων. Ατενίσας δε με μεγάλην απειλήν είπεν στον Ερμωνα·

Γ Μακ. 5,31 - εἴ σοι γονεῖς παρῆσαν ἢ παίδων γοναί, τήνδε θηρσὶν ἀγρίοις ἐσκεύασα ἂν δαψιλῆ θοῖναν ἀντὶ τῶν ἀνεγκλήτων ἐμοὶ καὶ προγόνοις ἐμοῖς ἀποδεδειγμένων ὁλοσχερῆ βεβαίαν πίστιν ἐξόχως Ἰουδαίων.

Γ Μακ. 5,31 - “Εάν είχες γονείς η τέκνα, θα έδιδον αυτούς ως πλούσιον φάγητον στους αγρίους ελέφαντας αντί των Ιουδαίων, οι οποίοι είναι αθώοι απέναντί μου και απέναντι των προγόνων μου, και οι οποίοι είχαν δείξει προς ημάς πάντοτε πλήρη και βεβαίαν πίστιν.

Γ Μακ. 5,32 - καίπερ εἰ μὴ διὰ τὴν τῆς συντροφίας στοργὴν καὶ τῆς χρείας, τὸ ζῆν ἀντὶ τούτων ἐστερήθης.

Γ Μακ. 5,32 - Εάν δε συ δεν ήσουνα εις με προσφιλής λόγω της από της παιδικής ηλικίας αναστροφής μας και της υπηρεσίας, που σου έχω εμπιστευθή, θα έχανες συ την ζωήν σου αντί των Ιουδαίων”.

Γ Μακ. 5,33 - οὕτως ὁ Ἕρμων ἀπροσδόκητον καὶ ἐπικίνδυνον ὑπήνεγκεν ἀπειλὴν καὶ τῇ ὁράσει καὶ τῷ προσώπῳ συνεστάλη.

Γ Μακ. 5,33 - Οταν ο Ερμων ήκουσε αυτήν την απροσδόκητον και επικίνδυνον απειλήν, εθολώθη το βλέμμα του και ηλλοιώθη το πρόσωπόν του.

Γ Μακ. 5,34 - ὁ καθεὶς δὲ τῶν φίλων σκυθρωπῶς ὑπεκρέων, τοὺς συνηθροισμένους ἀπέλυσαν ἕκαστον ἐπὶ τὴν ἰδίαν ἀσχολίαν.

Γ Μακ. 5,34 - Καθένας δε από τους φίλους του βασιλέως απεσύρετο σκυθρωπός και διέλυσαν, δια τας καθημερινάς των εργασίας, τους εκεί συνηθροισμένους πολίτας.

Γ Μακ. 5,35 - οἵ τε Ἰουδαῖοι τὰ παρὰ τοῦ βασιλέως ἀκούσαντες, τὸν ἐπιφανῆ Θεὸν καὶ βασιλέα τῶν βασιλέων ᾔνουν καὶ τῆσδε τῆς βοηθείας αὐτοῦ τετευχότες. -

Γ Μακ. 5,35 - Οι δε Ιουδαίοι πληροφορηθέντες αυτά, που είπε και διέταξεν ο βασιλεύς, εδόξασαν τον επιφανή Θεόν και βασιλέα των βασιλευόντων, διότι έλαβον από αυτόν αυτήν την βοήθειαν.

Γ Μακ. 5,36 - Κατὰ δὲ τοὺς αὐτοὺς νόμους ὁ βασιλεὺς συστησάμενος πάλιν τὸ συμπόσιον εἰς εὐφροσύνην τραπῆναι παρεκάλει.

Γ Μακ. 5,36 - Κατά την γνωστήν πάλιν συνήθειάν του ο βασιλεύς ωργάνωσε νέον συμπόσιον και παρεκίνει τους συνδαιτυμόνας να επιδοθούν εις ευωχίαν.

Γ Μακ. 5,37 - τὸν δὲ Ἕρμωνα προσκαλεσάμενος μετὰ ἀπειλῆς εἶπε· ποσάκις σοι δεῖ περὶ τούτων αὐτῶν προστάττειν, ἀθλιώτατε;

Γ Μακ. 5,37 - Αφού δε προσεκάλεσε τον Ερμωνα είπε προς αυτόν με απειλήν· "πόσες φορές πρέπει να σε διατάξω, αθλιώτατε, δια την εξολόθρευσιν των Ιουδαίων;

Γ Μακ. 5,38 - τοὺς ἐλέφαντας ἔτι καὶ νῦν καθόπλισον εἰς τὴν αὔριον ἐπὶ τὸν τῶν Ἰουδαίων ἀφανισμόν.

Γ Μακ. 5,38 - Εξαγρίωσε, λοιπόν, και ετοίμασε πάλιν αύριον τους ελέφαντας δια τον εξαφανισμόν των Ιουδαίων".

Γ Μακ. 5,39 - οἱ δὲ συνανακείμενοι συγγενεῖς τὴν ἄστατον διάνοιαν αὐτοῦ θαυμάζοντες, προεφέροντο τάδε·

Γ Μακ. 5,39 - Οι παρευρισκόμενοι στο συμπόσιον αυτό συγγενείς και ανώτεροι αυλικοί του βασιλέως, κατάπληκτοι δια την άστατον αυτού διάνοιαν, του είπαν τα εξής·

Γ Μακ. 5,40 - βασιλεῦ, μέχρι τίνος ὡς ἀλόγους ἡμᾶς διαπειράζεις, προστάσσων ἤδη τρίτον αὐτοὺς ἀφανίσαι καὶ πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μεταβολῆς ἀναλύων τὰ σοὶ δεδογμένα;

Γ Μακ. 5,40 - "βασιλεύ, έως πότε θα μας θεωρής ανοήτους και θα μας πειράζης, αφού συ τρίτην τώρα φοράν διέταξες τον αφανισμόν των Εβραίων,

και όταν ήρχετο η ώρα να εκτελεσθή η απόφασίς σου, εσκέπτεσο άλλα πράγματα και αναιρούσες την διαταγήν σου;

Γ Μακ. 5,41 - ὧν χάριν ἡ πόλις διὰ τὴν προσδοκίαν ὀχλεῖ καὶ πληθύουσα συστροφαῖς, ἤδη καὶ κινδυνεύει πολλάκις διαρπασθῆναι.

Γ Μακ. 5,41 - Ενεκα τούτου και διότι ο λαός επερίμενε τον αφανισμόν των Ιουδαίων, η πόλις έχει περιέλθει εις αναταραχήν. Ελαβον δε χώραν πολυάριθμοι συγκεντρώσεις και υπάρχει κίνδυνος να λεηλατηθή η πόλις”.

Γ Μακ. 5,42 - ὅθεν ὁ κατὰ πάντα Φάλαρις βασιλεὺς ἐμπληθυνθεὶς ἀλογιστίας καὶ τὰς γινομένας πρὸς ἐπισκοπὴν τῶν Ἰουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς ψυχῆς παρ᾽ οὐδὲν ἡγούμενος, ἀτελέστατον ἐβεβαίωσεν ὅρκον, ὁρισάμενος τούτους μὲν ἀνυπερθέτως πέμψειν εἰς ᾅδην ἐν γόνασι καὶ ποσὶ θηρίων ᾐκισμένους,

Γ Μακ. 5,42 - Εξ αιτίας αυτών ο Φιλοπάτωρ, ο κατά πάντα όμοιος προς τον τυραννικώτατον Φαλαριν, εκυριεύθη από μεγάλην απερισκεψίαν και χωρίς να λαμβάνη καθόλου υπ' όψιν, ότι αι μέχρι τούδε μεταβολαί της ψυχής έγιναν εις αυτόν υπό του Θεού προς χάριν των Εβραίων, ωρκίσθη ένα τρομερόν αλλά και απραγματοποίητον όρκον, με το να διατάξη να στείλουν χωρίς αναβολήν τους Ιουδαίους στον άδην, αφού βασανισθούν και συνθλιβούν από τα γόνατα και τα πόδια των ελεφάντων.

Γ Μακ. 5,43 - ἐπιστρατεύσαντα δὲ ἐπὶ τὴν Ἰουδαίαν ἰσόπεδον πυρὶ καὶ δόρατι θήσεσθαι διὰ τάχους καὶ τὸν ἄβατον αὐτῶν ἡμῖν ναὸν πυρὶ πρηνέα ἐν τάχει τῶν συντελούντων ἐκεῖ θυσίας ἔρημον εἰς τὸν ἅπαντα χρόνον καταστήσειν.

Γ Μακ. 5,43 - Ελεγε δέ, ότι θα εκστρατεύση εναντίον της Ιουδαίας, την οποίαν δια πυρός και σιδήρου ταχέως θα ισοπεδώση. Τον δε άβατον δι' ημάς ναόν των Ιουδαίων δια πυρός θα κατεδαφίση αμέσως και έτσι θα τον καταστήση εις όλον τον έπειτα χρόνον έρημον από τας θυσίας, αι οποίαι προσεφέροντο εκεί.

Γ Μακ. 5,44 - τότε περιχαρεῖς ἀναλύσαντες οἱ φίλοι καὶ συγγενεῖς μετὰ πίστεως διέτασσον τὰς δυνάμεις ἐπὶ τοὺς εὐκαιροτάτους τόπους τῆς πόλεως πρὸς τήρησιν.

Γ Μακ. 5,44 - Περιχαρείς δε οι φίλοι και οι συγγενείς του βασιλέως, με βέβαιον την ελπίδα ότι θα έβλεπαν την επομένην εκτελουμένους τους Εβραίους, ανεχώρησαν από εκεί. Εδωσαν διαταγάς εις τας στρατιωτικάς δυνάμεις να καταλάβουν τας επικαιροτάτας θέσεις της πόλεως δια την φρούρησίν της.

Γ Μακ. 5,45 - ὁ δὲ ἐλεφαντάρχης τὰ θηρία σχεδὸν εἰπεῖν εἰς κατάστημα μανιῶδες ἀγηοχώς, εὐωδεστάτοις πόμασιν οἴνου λελιβανωμένου φοβεραῖς κατεσκευασμένα σκευαῖς,

Γ Μακ. 5,45 - Ο Ερμων, ο ελεφαντάρχης, επότισε τα θηρία αυτά με οίνον, ο οποίος είχε ανακατευθή με ευωδέστατον λιβανωτόν, και είχε φέρει τα ζώα

αυτά εις κατάστασιν σχεδόν μανιώδη. Επί πλέον δε τα είχεν εξοπλίσει και με φοβερά φονικά όργανα.

Γ Μακ. 5,46 - περὶ τὴν ἕω, τῆς πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κατὰ τοῦ ἱπποδρόμου καταμεμεστωμένης, εἰσελθὼν εἰς τὴν αὐλὴν ἐπὶ τὸ προκείμενον ὤτρυνε τὸν βασιλέα.

Γ Μακ. 5,46 - Κατά την πρωΐαν, όταν τα αναρίθμητα πλήθη είχον καταπλημμυρίσει πλέον ασφυκτικώς τον ιππόδρομον, ο ελεφαντάρχης εισήλθεν εις την αυλήν του βασιλέως και τον παρώτρυνε δια το προκείμενον έργον του.

Γ Μακ. 5,47 - ὁ δὲ ὀργῇ βαρείᾳ γεμίσας δυσσεβῆ φρένα παντὶ τῷ βάρει σὺν τοῖς θηρίοις ἐξώρμησε, βουλόμενος ἀτρώτῳ καρδίᾳ καὶ κόραις ὀφθαλμῶν θεάσασθαι τὴν ἐπίπονον καὶ ταλαίπωρον τῶν προσεσημαμμένων καταστροφήν.

Γ Μακ. 5,47 - Ο δε βασιλεύς, ο οποίος είχε γεμίσει την ασεβή ψυχήν του με αγριώτατον θυμόν, ώρμησε μαζή με τα θηρία έξω από την αυλήν. Ηθελε με ασυγκίνητον την καρδίαν και ορθάνοικτα τα μάτια, να απολαύση το οδυνηρόν θέαμα της αξιοθρηνήτου καταστροφής των καταδικασθέντων υπ' αυτού Ιουδαίων.

Γ Μακ. 5,48 - ὡς δὲ τῶν ἐλεφάντων ἐξιόντων περὶ πύλην καὶ τῆς συνεπομένης ἐνόπλου δυνάμεως τῆς τε τοῦ πλήθους πορείας κονιορτὸν ἰδόντες, καὶ βαρυηχῆ θόρυβον ἀκούσαντες οἱ Ἰουδαῖοι,

Γ Μακ. 5,48 - Οταν οι Ιουδαίοι είδαν τους ελέφαντας, που εξήρχοντο, δια να εισέλθουν εις την πύλην του σταδίου, την ένοπλον στρατιωτικήν δύναμίν που ακολουθούσε, την πορείαν του αμέτρητου πλήθους, τυν κονιορτόν και τον μεγάλον θόρυβον που εγίνετο, όταν λοιπόν οι Ιουδαίοι είδον και ήκουσαν αυτά,

Γ Μακ. 5,49 - ὑστάτην βίου ῥοπὴν αὐτοῖς ἐκείνην δόξαντες εἶναι τὸ τέλος τῆς ἀθλιωτάτης προσδοκίας, εἰς οἶκτον καὶ γόους τραπέντες κατεφίλουν ἀλλήλους περιπλεκόμενοι τοῖς συγγενέσιν ἐπὶ τοὺς τραχήλους ἐπιπίπτοντες, γονεῖς παισὶ καὶ μητέρες νεάνισιν, ἕτεραι δὲ νεογνὰ πρὸς μαστοὺς ἔχουσαι βρέφη τελευταῖον ἕλκοντα γάλα.

Γ Μακ. 5,49 - αντελήφθησαν πλέον ότι έφθασε δι' αυτούς η τελευταία στιγμή του βίου των, η οποία ήτο και το τέρμα της αθλιεστάτης των αναμονής. Ενηγκαλίζοντο τότε οι συγγενείς και καταφιλούσαν αλλήλους, έπιπτον ο ενας στον τράχηλον του άλλου, οι πατέρες εις τα παιδιά των και αι μητέρες εις τας θυγατέρας των. Αλλαι δε μητέρες εκρατούσαν στους μαστούς των τα νήπια, τα οποία ερροφούσαν το τελευταίον γάλα της ζωής των.

Γ Μακ. 5,50 - οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἔμπροσθεν αὐτῶν γεγενημένας ἀντιλήψεις ἐξ οὐρανοῦ συνιδόντες, πρηνεῖς ὁμοθυμαδὸν ῥίψαντες ἑαυτοὺς καὶ τὰ νήπια χωρίσαντες τῶν μαστῶν,

Γ Μακ. 5,50 - Παρ' όλα όμως αυτά οι Ιουδαίοι έχοντες υπ' όψει των τας προηγουμένας βοηθείας του Θεού προς αυτούς, έπεσαν πρηνείς να προσευχηθούν όλοι μαζή με μίαν ψυχήν, απεμάκρυναν αι μητέρες τα νήπιά των από τους μαστούς, και

Γ Μακ. 5,51 - ἀνεβόησαν φωνῇ μεγάλῃ σφόδρα, τὸν τῆς ἁπάσης δυνάμεως δυνάστην ἱκετεύοντες, οἰκτεῖραι μετ᾿ ἐπιφανείας αὐτοὺς ἤδη πρὸς πύλαις ᾅδου καθεστῶτας.

Γ Μακ. 5,51 - ανεβόησαν με φωνήν πάρα πολύ μεγάλην προς τον Κυριον πάσης δυνάμεως, και παρακαλούσαν αυτόν να τους λυπηθή, δεικνύων και πάλιν την λαμπράν προστατευτικήν δύναμίν του προς αυτούς, οι οποίοι τώρα πλέον προχωρούσαν εις τας πύλας του άδου.

Γ ΜΑΚΚΑΒΑΙΩΝ 6

Γ Μακ. 6,1 - Ἐλεάζαρος δέ τις ἀνὴρ ἐπίσημος τῶν ἀπὸ τῆς χώρας ἱερέων, ἐν πρεσβείῳ τὴν ἡλικίαν ἤδη λελογχὼς καὶ πάσῃ τῇ κατὰ τὸν βίον ἀρετῇ κεκοσμημένος, τοὺς περὶ αὐτὸν καταστείλας πρεσβυτέρους ἐπικαλεῖσθαι τὸν ἅγιον Θεὸν προσηύξατο τάδε·

Γ Μακ. 6,1 - Ενας δε ανήρ, επίσημος μεταξύ των ιερέων, των από της Αιγύπτου, Ελεάζαρος ονομαζόμενος, ο οποίος είχεν ήδη προχωρήσει εις την γεροντικήν ηλικίαν και ήτο στολισμένος καθ' όλον του τον βίον με κάθε αρετήν, συνέστησεν στους πρεσβυτέρους να σταματήσουν δεόμενοι προς τον άγιον Θεόν και αυτός προσηυχήθη ως εξής·

Γ Μακ. 6,2 - βασιλεῦ μεγαλοκράτωρ, ὕψιστε, παντοκράτωρ Θεὲ τὴν πᾶσαν διακυβερνῶν ἐν οἰκτιρμοῖς κτίσιν,

Γ Μακ. 6,2 - “Βασιλεύ παντοδύναμε, Υψιστε Θεέ παντοκράτωρ, συ που με το έλεός σου κυβερνάς όλην την δημιουργίαν,

Γ Μακ. 6,3 - ἔπιδε ἐπὶ Ἀβραὰμ σπέρμα, ἐπὶ ἡγιασμένου τέκνα Ἰακώβ, μερίδος ἡγιασμένης σου λαὸν ἐν ξένῃ γῇ ξένον ἀδίκως ἀπολλύμενον, πάτερ.

Γ Μακ. 6,3 - ρίξε σπλαγχνικόν βλέμμα εις ημάς τους απογόνους του Αβραάμ, εις τα παιδιά του εκλεκτού σου Ιακώβ, εις την ηγιασμένην υπό σου αυτήν μερίδα του λαού, που ξένος ευρίσκεται εις ξένην γην, και η οποία αποθνήσκει αδίκως, ω πάτερ.

Γ Μακ. 6,4 - σὺ Φαραὼ πληθύνοντα ἅρμασι, τὸν πρὶν Αἰγύπτου ταύτης δυνάστην, ἐπαρθέντα ἀνόμῳ θράσει καὶ γλώσσῃ μεγαλοῤῥήμονι, σὺν τῇ ὑπερηφάνῳ στρατιᾷ ποντοβρόχους ἀπώλεσας, φέγγος ἐπιφάνας ἐλέους Ἰσραὴλ γένει.

Γ Μακ. 6,4 - Συ, τον Φαραώ με τα πλήθη των πολεμικών αρμάτων του, ο οποίος ήτο πριν βασιλεύς αυτής της Αιγύπτου και υπερηφανεύθη με

παράνομον θράσος και με μεγαλορρήμονα γλώσσαν, τον κατέστρεψες μαζή με την αλαζονικήν στρατιάν του, τους έπνιξες εις την θάλασσαν, ενώ εξ αντιθέτου ανέτειλες και εδώρισες φως του ελέους σου στο γένος των Ισραηλιτών.

Γ Μακ. 6,5 - σὺ τὸν ἀναριθμήτοις δυνάμεσι γαυρωθέντα Σενναχηρείμ, βαρὺν Ἀσσυρίων βασιλέα, δόρατι τὴν πᾶσαν ὑποχείριον ἤδη λαβόντα γῆν καὶ μετεωρισθέντα ἐπὶ τὴν ἁγίαν σου πόλιν, βαρέα λαλοῦντα κόμπῳ καὶ θράσει σύ, Δέσποτα, ἔθραυσας, ἔκδηλον δεικνὺς ἔθνεσι πολλοῖς τὸ σὸν κράτος.

Γ Μακ. 6,5 - Συ, τον φοβερόν βασιλέα των Ασσυρίων, τον Σενναχηρείμ, ο οποίος είχεν υπερηφανευθή δια τας αναριθμήτους του στρατιωτικάς δυνάμεις και είχεν ήδη υποτάξει δια του δόρατός του όλην την γην εις τα χέρια του, επειδή αλαζονεύθηκε εναντίον της αγίας σου πόλεως, της Ιερουσαλήμ, εκστομίζων λόγους ασεβείς κατ' αυτής με θράσος και αλαζονείαν, συ, Δέσποτα, συνέτριψες και αυτόν δείξας έτσι ολοφάνερον την δύναμίν σου εις πολλά έθνη.

Γ Μακ. 6,6 - σὺ τοὺς κατὰ τὴν Βαβυλωνίαν τρεῖς ἑταίρους, πυρὶ τὴν ψυχὴν αὐθαιρέτως δεδωκότας εἰς τὸ μὴ λατρεῦσαι τοῖς κενοῖς, διάπυρον δροσίσας κάμινον ἐῤῥύσω μέχρι τριχὸς ἀπημάντους, φλόγα πᾶσιν ἐπιπέμψας τοῖς ὑπεναντίοις.

Γ Μακ. 6,6 - Συ, δια τους τρεις φίλους παίδας, που ευρίσκοντο εις την Βαβυλωνίαν, οι οποίοι εκουσίως παρέδωσαν την ζωήν των στο πυρ, δια να μη λατρεύσουν τα μάταια είδωλα, εδρόσισες την κατακαιομένην κάμινον και τους απήλλαξες και τους διεφύλαξες αβλαβείς μέχρι και της τριχός της κεφαλής των, απέστειλες δε την φλόγα σου εναντίον όλων εκείνων, που ήσαν εχθροί των και ευρίσκοντο πλησίον της καμίνου.

Γ Μακ. 6,7 - σὺ τὸν διαβολαῖς φθόνου λέουσι κατὰ γῆς ῥιφέντα θηρσὶ βορὰν Δανιὴλ εἰς φῶς ἀνήγαγες ἀσινῆ,

Γ Μακ. 6,7 - Συ έσωσες και έβγαλες αβλαβή στο φως της ημέρας τον Δανιήλ, ο οποίος εξ αιτίας συκοφαντιών από φθόνον προερχομένων, ερρίφθη στους λέοντας εντός σκοτεινού λάκκου, δια να χρησιμεύση ως τροφή αυτών.

Γ Μακ. 6,8 - τόν τε βυθοτρεφοῦς ἐν γαστρὶ κήτους Ἰωνᾶν τηκόμενον ἀφειδῶς ἀπήμαντον πᾶσιν οἰκείοις ἀνέδειξας, πάτερ.

Γ Μακ. 6,8 - Συ, Πατερ, τον Ιωνάν, ο οποίος ερρίφθη εις την κοιλίαν του στους βυθούς των θαλασσών ζώντος και τρεφομένου κήτους, ενώ είχε καταβροχθισθή χωρίς οίκτον, τον ανέσυρες αβλαβή προς χάριν όλων των οικείων του.

Γ Μακ. 6,9 - καὶ νῦν μίσυβρι, πολυέλεε, τῶν ὅλων σκεπαστά, τὸ τάχος ἐπιφάνηθι τοῖς ἀπὸ Ἰσραὴλ γένους, ὑπὸ δὲ ἐβδελυγμένων ἀνόμων ἐθνῶν ὑβριζομένοις.

Γ Μακ. 6,9 - Και τώρα συ, Κυριε, ο οποίος μισείς την υπερηφάνειαν, πολυέλεε, προστάτα όλων, ταχέως κάμε την εμφάνισίν σου στους ανθρώπους, οι οποίοι κατάγονται από το γένος του Ισραήλ και οι οποίοι από βδελυρούς και ανόμους ειδωλολάτρας υβρίζονται.

Γ Μακ. 6,10 - εἰ δὲ ἀσεβείαις κατὰ τὴν ἀποικίαν ὁ βίος ἡμῶν ἐνέσχηται, ῥυσάμενος ἡμᾶς ἀπὸ ἐχθρῶν χειρός, ὡς προαιρῇ, Δέσποτα, ἀπόλεσον ἡμᾶς μόρῳ.

Γ Μακ. 6,10 - Εάν όμως ο βίος μας κατά το διάστημα της απομακρύνσεώς μας από την Ιερουσαλήμ είναι πλήρης ασεβειών, απάλλαξέ μας από τας χείρας των εχθρών μας και συ, Δέσποτα, θανάτωσέ μας όπως προτιμάς.

Γ Μακ. 6,11 - μὴ τοῖς ματαίοις οἱ ματαιόφρονες εὐλογησάτωσαν ἐπὶ τῇ τῶν ἠγαπημένων σου ἀπωλείᾳ λέγοντες· οὐδὲ ὁ Θεὸς αὐτῶν ἐῤῥύσατο αὐτούς.

Γ Μακ. 6,11 - Και τούτο, δια να μη δοξολογήσουν οι ματαιόφρονες αυτοί ειδωλολάτραι τα είδωλά των, εις τα οποία θα θελήσουν να αποδώσουν την καταστροφήν των ηγαπημένων από σε ανθρώπων. Δια να μη λέγουν, ότι ούτε ο Θεός των δεν τους εγλύτωσε.

Γ Μακ. 6,12 - σὺ δὲ ὁ πᾶσαν ἀλκὴν καὶ δυναστείαν ἔχων ἅπασαν, αἰώνιε, νῦν ἔπιδε· ἐλέησον ἡμᾶς τοὺς καθ᾿ ὕβριν ἀνόμων ἀλόγιστον ἐκ τοῦ ζῆν μεθιστανομένους ἐν ἐπιβούλων τρόπῳ.

Γ Μακ. 6,12 - Συ, αιώνιε Θεέ, που έχεις πάσαν δύναμιν και πάσαν ισχύν ρίψε τώρα το βλέμμα σου εις ημάς. Ελέησε ημάς, οι οποίοι πρόκειται να θανατωθώμεν, όπως θανατώνονται οι κακούργοι, από ανθρώπους, που είναι υπερήφανοι, παράνομοι και απερίσκεπτοι.

Γ Μακ. 6,13 - πτηξάτω δὲ ἔθνη σὴν δύναμιν ἀνίκητον σήμερον, ἔντιμε, δύναμιν ἔχων ἐπί σωτηρίᾳ Ἰακὼβ γένους.

Γ Μακ. 6,13 - Ας τρομάξουν, και κατατρομαγμένα ας συμμαζευθούν σήμερον τα έθνη ενώπιον της ακατανίκητου δυνάμεώς σου, έντιμε Κυριε, Συ ο οποίος έχεις ακατανίκητον την δύναμιν, δια να σώσης το γένος του Ιακώβ.

Γ Μακ. 6,14 - ἱκετεύει σε τὸ πᾶν πλῆθος τῶν νηπίων καὶ οἱ τούτων γονεῖς μετὰ δακρύων.

Γ Μακ. 6,14 - Σε ικετεύει όλον τούτο το πλήθος των νηπίων και οι γονείς αυτών μετά δακρύων.

Γ Μακ. 6,15 - δειχθήτω πᾶσιν ἔθνεσιν, ὅτι μεθ᾿ ἡμῶν εἶ, Κύριε, καὶ οὐκ ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ᾿ ἡμῶν, ἀλλὰ καθὼς εἶπας ὅτι οὐδ᾿ ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν ὄντων ὑπερεῖδες αὐτούς, οὕτως ἐπιτέλεσον, Κύριε.

Γ Μακ. 6,15 - Ας φανή, Κυριε, εις όλα τα έθνη, ότι είσαι μαζή μας και δεν απέστρεψες το πρόσωπόν σου από ημάς, αλλά, όπως άλλοτε υπεσχέθης ότι

δεν θα μας παραβλέψης, όταν ευρισκώμεθα εις την χώραν των εχθρών μας, πράξε τούτο και τώρα, Κυριε”.

Γ Μακ. 6,16 - Τοῦ δὲ Ἐλεαζάρου λήγοντος ἄρτι τῆς προσευχῆς, ὁ βασιλεὺς σὺν τοῖς θηρίοις καὶ παντὶ τῷ τῆς δυνάμεως φρυάγματι κατὰ τὸν ἱππόδρομον παρῆγε.

Γ Μακ. 6,16 - Αμέσως, μόλις ετελείωσε την προσευχήν του ο Ελεάζαρος, εισώρμησεν ο βασιλεύς μαζή με τα θηρία και με όλον τον φρυαττόμενον στρατόν του στο ιπποδρόμιον.

Γ Μακ. 6,17 - καὶ θεωρήσαντες οἱ Ἰουδαῖοι μέγα εἰς οὐρανὸν ἀνέκραξαν, ὥστε καὶ τοὺς παρακειμένους αὐλῶνας συνηχήσαντας ἀκατάσχετον οἰμωγὴν ποιῆσαι παντὶ τῷ στρατοπέδῳ.

Γ Μακ. 6,17 - Οι Ιουδαίοι, όταν είδαν αυτά, ανέκραξαν με μεγάλην φωνήν προς τον Θεόν, ώστε αντήχησαν αι πλησίον κοιλάδες και ηκούσθη εις όλον το στρατόπεδον του Πτολεμαίου ασυγκράτητος θρήνος,

Γ Μακ. 6,18 - τότε ὁ μεγαλόδοξος παντοκράτωρ καὶ ἀληθινὸς Θεός, ἐπιφάνας τὸ ἅγιον αὐτοῦ πρόσωπον, ἠνέῳξε τὰς οὐρανίους πύλας, ἐξ ὧν δεδοξασμένοι δύο φοβεροειδεῖς ἄγγελοι κατέβησαν φανεροὶ πᾶσι, πλὴν τοῖς Ἰουδαίοις,

Γ Μακ. 6,18 - τότε ο άπειρος κατά την δόξαν, και παντοδύναμος και αληθινός Θεός, κατέστησεν ολοφάνερον την αγίαν αυτού δύναμιν, διότι ήνοιξε τας πύλας του ουρανού και κατέβησαν από αυτούς δύο ολόλαμπροι, αλλά και φοβεροί κατά την μορφήν, άγγελοι, τους οποίους έβλεπον όλοι οι άλλοι πλην των Ιουδαίων.

Γ Μακ. 6,19 - καὶ ἀντέστησαν καὶ τὴν δύναμιν τῶν ὑπεναντίων ἐπλήρωσαν ταραχῆς καὶ δειλίας καὶ ἀκινήτοις ἔδησαν πέδαις.

Γ Μακ. 6,19 - Αυτοί αντεστάθησαν εις την επιδρομήν των θηρίων και εγέμισαν από φόβον και ταραχήν την στρατιωτικήν δύναμιν των εχθρών και σαν με σιδερένια δεσμά τους έδεσαν και τους έκαμαν ακινήτους.

Γ Μακ. 6,20 - καὶ ὑπόφρικον καὶ τὸ τοῦ βασιλέως σῶμα ἐγενήθη καὶ λήθη τὸ θράσος αὐτοῦ τὸ βαρύθυμον ἔλαβε.

Γ Μακ. 6,20 - Και αυτού του βασιλέως το σώμα, εκυριεύθη από φρίκην, ώστε αυτός ελησμόνησε τον άγριον του θυμόν.

Γ Μακ. 6,21 - καὶ ἀπέστρεψαν τὰ θηρία ἐπὶ τὰς συνεπομένας ἐνόπλους δυνάμεις καὶ κατεπάτουν αὐτὰς καὶ ὠλόθρευον.

Γ Μακ. 6,21 - Τοτε τα θηρία εστράφησαν εναντίον των στρατιωτών, που τα ακολουθούσαν, τους καταπατούσαν και τους εξωλόθρευαν.

Γ Μακ. 6,22 - καὶ μετεστράφη τοῦ βασιλέως ἡ ὀργὴ εἰς οἶκτον καὶ δάκρυα ὑπὲρ τῶν ἔμπροσθεν αὐτῷ μεμηχανευμένων.

Γ Μακ. 6,22 - Αμέσως η οργή του βασιλέως μετεστράφη εις θρήνους και δάκρυα, διότι αυτός προηγουμένως είχε μηχανευθή και αποφασίσει την με

αυτόν τον τρόπον καταστροφήν των Εβραίων.

Γ Μακ. 6,23 - ἀκούσας γὰρ τῆς κραυγῆς καὶ συνιδῶν πρηνεῖς ἅπαντας εἰς τὴν ἀπώλειαν, δακρύσας μετὰ ὀργῆς τοῖς φίλοις διηπειλεῖτο λέγων·

Γ Μακ. 6,23 - Διότι, όταν ο βασιλεύς ήκουσε την κραυγήν και είδεν ότι όλοι ευρίσκονται κατά γης παράλυτοι προς καταστροφήν, εδάκρυσε και απηύθυνε βαρείας απειλάς εναντίον των φίλων του λέγων·

Γ Μακ. 6,24 - παραβασιλεύετε καὶ τυράννους ὑπερβεβήκατε ὠμότητι καὶ ἐμὲ αὐτὸν τὸν ὑμῶν εὐεργέτην ἐπιχειρεῖτε τῆς ἀρχῆς ἤδη καὶ τοῦ πνεύματος μεθιστᾶν, λάθρα μηχανώμενοι τὰ μὴ συμφέροντα τῇ βασιλείᾳ.

Γ Μακ. 6,24 - “σεις έχετε κάμει ιδικήν σας παραβασιλείαν και εξεπεράσατε κατά την σκληρότητα τους τυράννους. Διότι εμέ, τον ευεργέτην σας, επιχειρείτε να με αποξενώσετε από την εξουσίαν και να μου αφαιρέσετε την ζωήν μου και συνωμοτείτε κρυφίως εναντίον των συμφερόντων της βασιλείας μου.

Γ Μακ. 6,25 - τίς τοὺς κρατήσαντας ἡμῶν ἐν πίστει τὰ τῆς χώρας ὀχυρώματα, τῆς οἰκίας ἀποστήσας ἕκαστον ἀλόγως ἤθροισεν ἐνθάδε;

Γ Μακ. 6,25 - Ποιός χωρίς κανένα λόγον και αφορμήν συνεκέντρωσεν εδώ αυτούς τους Ιουδαίους και τους απεμάκρυνεν από τα σπίτια των, αυτούς οι οποίοι δια την μεγάλην των προς ημάς πίστιν ηγωνίσθησαν και εκράτησαν αδούλωτα τα οχυρώματα της χώρας μας;

Γ Μακ. 6,26 - τίς τοὺς ἐξ ἀρχῆς εὐνοίᾳ πρὸς ἡμᾶς κατὰ πάντα διαφέροντας πάντων ἐθνῶν καὶ τοὺς χειρίστους πλεονάκις ἀνθρώπων ἐπιδεδεγμένους κινδύνους, οὕτως ἀθέσμοις περιέβαλεν αἰκίαις; ,1 -

Γ Μακ. 6,26 - Ποιός με τέτοια παράνομα βασανιστήρια εταλαιπώρησεν αυτούς τους Ιουδαίους, οι οποίοι απ' αρχής διέκειντο ευμενώς προς ημάς και ενδιεφέροντο δια τα ιδικά μας πράγματα περισσότερον από όλα τα άλλα έθνη και οι οποίοι προς χάριν ημών είχαν εκτεθή και στους χειροτέρους, πολλές φορές, κινδύνους;

Γ Μακ. 6,27 - λύσατε, ἐκλύσατε ἄδικα δεσμά· εἰς τὰ ἴδια μετ᾽ εἰρήνης ἐξαποστείλατε, τὰ προπεπραγμένα παραιτησάμενοι.

Γ Μακ. 6,27 - Λυσατε, λύσατε τελείως τα άδικα δεσμά και αποστείλατέ τους με ειρήνην εις την πατρίδα των, αποκηρύσσοντες όσα εναντίον των είχατε πράξει προηγουμένως.

Γ Μακ. 6,28 - ἀπολύσατε τοὺς υἱοὺς τοῦ παντοκράτορος ἐπουρανίου Θεοῦ ζῶντος, ὃς ἀφ᾽ ἡμετέρων μέχρι τοῦ νῦν προγόνων ἀπαραπόδιστον μετὰ δόξης εὐστάθειαν παρέχει τοῖς ἡμετέροις πράγμασιν.

Γ Μακ. 6,28 - Ελευθερώσατε τους υιούς του παντοκράτορος και επουρανίου και ζώντος Θεού, ο οποίος από τους προγόνους μας μέχρι της σημερινής ημέρας δίδει εις τα ιδικά μας πράγματα ανεμπόδιστον μετά δόξης σταθερότητα”.

Γ Μακ. 6,29 - ὁ μὲν οὖν ταῦτα ἔλεξεν· οἱ δὲ ἐν ἀμερεῖ χρόνῳ λυθέντες τὸν ἅγιον σωτῆρα Θεὸν αὐτῶν εὐλόγουν, ἄρτι τὸν θάνατον ἐκπεφευγότες.

Γ Μακ. 6,29 - Ο μέν, λοιπόν, βασιλεύς αυτά είπε· οι δε Ιουδαίοι αμέσως, χωρίς καμμίαν χρονοτριβήν ελύθησαν από τα δεσμά των, εδοξολογούσαν τον άγιον σωτήρα των, τον Θεόν, διότι διέφυγον τον προ ολίγου φοβερόν θάνατον.

Γ Μακ. 6,30 - Εἶτα ὁ βασιλεὺς εἰς τὴν πόλιν ἀπαλλαγείς, τὸν ἐπὶ τῶν προσόδων προσκαλεσάμενος, ἐκέλευσεν οἴνους τε καὶ τὰ λοιπὰ πρὸς εὐωχίαν ἐπιτήδεια τοῖς Ἰουδαίοις χορηγεῖν ἐπὶ ἡμέρας ἑπτά, κρίνας αὐτοὺς ἐν ᾧ τόπῳ ἔδοξαν τὸν ὄλεθρον ἀναλαμβάνειν, ἐν τούτῳ ἐν εὐφροσύνῃ πάσῃ σωτήρια ἄγειν.

Γ Μακ. 6,30 - Επειτα ο βασιλεύς, όταν επανήλθεν εις την πόλιν, προσεκάλεσε τον εισπράκτορα των προσόδων του και του έδωσεν εντολήν να χορηγήση στους Ιουδαίους επτά ημέρας οίνον και όσα άλλα εχρειάζοντο δια συμπόσια ευωχίας· κρίνας ότι έπρεπεν οι Ιουδαίοι στον τόπον εκείνον, όπου επίστευσαν ότι θα έβρισκαν τον όλεθρόν των, εις αυτόν να εορτάσουν με κάθε ευφροσύνην και χαράν την σωτηρίαν των.

Γ Μακ. 6,31 - τότε οἱ πρὶν ἐπονείδιστοι καὶ πλησίον τοῦ ᾅδου, μᾶλλον δ᾿ ἐπ᾿ αὐτῷ βεβηκότες, ἀντὶ πικροῦ καὶ δυσαιάκτου μόρου, κώθωνα σωτήριον συστησάμενοι, τὸν εἰς πτῶσιν αὐτοῖς καὶ τάφον ἡτοιμασμένον τόπον κλισίαις κατεμέρισαν πλήρεις χαρμονῆς.

Γ Μακ. 6,31 - Και τότε οι μέχρι προ ολίγου σκληρώς εμπαιζόμενοι και βασανιζόμενοι Ιουδαίοι, οι οποίοι είχαν ευρεθή πλησίον του άδου, μάλλον δε και είχαν εισέλθει στον άδην, αντί του πικρού και αξιοθρηνήτου θανάτου, οργάνωσαν συμπόσιον σωτηρίας, ώστε ο τόπος εκείνος, που είχε προορισθή ως τόπος σφαγής των και θανάτου, έγινε τόπος χαράς, καταμερισμένος εις τμήματα, όπου καθ' ομάδας εκάθηντο οι Ιουδαίοι και εώρταζαν το συμπόσιον της χαράς.

Γ Μακ. 6,32 - καταλήξαντες δὲ θρήνου πανόδυρτον μέλος ἀνέλαβον ᾠδὴν πάτριον, τὸν σωτῆρα καὶ τερατοποιὸν αἰνοῦντες Θεόν· οἰμωγήν τε πᾶσαν καὶ κωκυτὸν ἀπωσάμενοι χοροὺς συνίσταντο εὐφροσύνης εἰρηνικῆς σημεῖον.

Γ Μακ. 6,32 - Αφού δε έπαυσαν πλέον τα πλήρη οδυρμών πένθιμα άσματά των, ήρχισαν να ψάλλουν τους πατροπαραδότους ύμνους, δοξολογούντες τον θαυματουργόν και σωτήρα των Θεόν. Αφού δε απέβαλον πλέον κάθε στεναγμόν και θρήνον, έστησαν χορούς χαράς εις έκφρασιν της ειρηνικής και χαρουμένης ζωής των.

Γ Μακ. 6,33 - ὡσαύτως δὲ καὶ ὁ βασιλεὺς περὶ τούτων συμπόσιον βαρὺ συναγαγών, ἀδιαλείπτως εἰς οὐρανὸν ἀνθωμολογεῖτο μεγαλοπρεπῶς ἐπὶ τῇ παραδόξῳ γενηθείσῃ αὐτῷ σωτηρίᾳ.

Γ Μακ. 6,33 - Επίσης και ο βασιλεύς δια τα αυτά γεγονότα ωργάνωσε πλούσιον συμπόσιον, αδιαλείπτως δε και μεγαλοπρεπώς εδόξαζε τον Θεόν δια την σωτηρίαν του, η οποία κατά τόσον θαυμαστόν και παράδοξον τρόπον έγινε δι' αυτόν.

Γ Μακ. 6,34 - οἵ τε πρὶν εἰς ὄλεθρον καὶ οἰωνοβρώτους αὐτοὺς ἔσεσθαι τιθέμενοι, μετὰ χαρᾶς ἀπογραψάμενοι κατεστέναξαν, αἰσχύνην ἐφ᾿ ἑαυτοῖς περιβαλλόμενοι καὶ τὴν πυρίπνουν τόλμαν ἀκλεῶς ἐσβεσμένοι.

Γ Μακ. 6,34 - Οι δε εχθροί των Ιουδαίων, οι οποίοι ολίγον προηγουμένως είχαν ακλόνητον την πεποίθησιν ότι οι Ιουδαίοι θα εξολοθρευθούν και θα γίνουν βορά των σαρκοφάγων πτηνών του ουρανού, και οι οποίοι με χαράν τους κατέγραφαν, τώρα ανεστέναζαν, διότι είχαν κατεντροπιασθή. Η δε πύρινη των θρασύτης εναντίον των Ιουδαίων είχε σβήσει τόσον αδόξως.

Γ Μακ. 6,35 - οἵ τε Ἰουδαῖοι, καθὼς προειρήκαμεν, συστησάμενοι τὸν προειρημένον χορόν, μετ᾿ εὐωχίας ἐν ἐξομολογήσεσιν ἱλαραῖς καὶ ψαλμοῖς διῆγον,

Γ Μακ. 6,35 - Οι Ιουδαίοι, όπως προηγουμένως ανεφέραμεν, έστησαν χορούς, μετείχαν εις χαρμόσυνα συμπόσια και εδόξαζον με ύμνους ευχαριστίας τον Κυριον.

Γ Μακ. 6,36 - καὶ κοινὸν ὁρισάμενοι περὶ τούτων θεσμὸν ἐπὶ πᾶσαν τὴν παροικίαν αὐτῶν εἰς γενεάς, τὰς προειρημένας ἡμέρας ἄγειν ἔστησαν εὐφροσύνους, οὐ πότου χάριν καὶ λιχνείας, σωτηρίας δὲ τῆς διὰ Θεὸν γενομένης αὐτοῖς.

Γ Μακ. 6,36 - Ελαβον δε ομόφωνον απόφασιν και ώρισαν, όπως εις όλην την παροικίαν των και εις όλας τας επερχομένας γενεάς εορτάζωνται με ευφροσύνην αι προμνημονευθείσαι ημέραι της σωτηρίας των, όχι δια να πίνουν και τρώγουν καλομαγειρευμένα φαγητά, αλλά δια την σωτηρίαν των, η οποία εδόθη εις αυτούς από τον Θεόν.

Γ Μακ. 6,37 - ἐνέτυχον δὲ τῷ βασιλεῖ τὴν ἀπόλυσιν αὐτῶν εἰς τὰ ἴδια αἰτούμενοι.

Γ Μακ. 6,37 - Παρεκάλεσαν δε τον βασιλέα να τους αφήση να επανέλθουν εις τα σπίτια των.

Γ Μακ. 6,38 - ἀπογράφονται δὲ αὐτοὺς ἀπὸ πέμπτης καὶ εἰκάδος τοῦ Παχὼν ἕως τῆς τετάρτης τοῦ Ἐπιφί, ἐπὶ ἡμέρας τεσσαράκοντα, συνίστανται δὲ αὐτῶν τὴν ἀπώλειαν ἀπὸ πέμπτης τοῦ Ἐπιφὶ ἕως ἑβδόμης, ἡμέραις τρισίν,

Γ Μακ. 6,38 - Η δια το έργον της εξοντώσεώς των απογραφή των Ιουδαίων υπό των εθνικών έγινεν από της εικοστής πέμπτης του μηνός Παχών μέχρι της τετάρτης του μηνός Επιφί, επί τεσσαράκοντα ημέρας. Αι δε εναντίον αυτών εν Αλεξανδρείᾳ ταλαιπωρίαι και βασανισμοί διήρκεσαν από της πέμπτης του μηνός Επιφί μέχρι και της εβδόμης του ιδίου μηνός, δηλαδή τρεις ημέρας.

Γ Μακ. 6,39 - ἐν αἷς καὶ μεγαλοδόξως ἐπιφάνας τὸ ἔλεος αὐτοῦ ὁ τῶν ὅλων δυνάστης ἀπταίστους αὐτοὺς ἐῤῥύσατο ὁμοθυμαδόν.

Γ Μακ. 6,39 - Επειτα από τας ημέρας αυτάς, ο Θεός ο παντοκράτωρ έδειξε κατά ένα μεγαλόδοξον τρόπον το έλεός του και εγλύτωσεν αυτούς από τους διωγμούς σώους και αβλαβείς.

Γ Μακ. 6,40 - εὐωχοῦντο δὲ πάνθ᾿ ὑπὸ τοῦ βασιλέως χορηγούμενοι μέχρι τῆς τεσσαρεσκαιδεκάτης, ἐν ᾗ καὶ τὴν ἐντυχίαν ἐποιήσαντο περὶ τῆς ἀπολύσεως αὐτῶν.

Γ Μακ. 6,40 - Με τας χορηγηθείσας δε από τον βασιλέα τροφάς οι Ιουδαίοι ευωχούντο εις συμπόσια από της ογδόης έως της δεκάτης τετάρτης του Επιφί, κατά την οποίαν παρεκάλεσαν τον βασιλέα να τους αφήση ελευθέρους.

Γ Μακ. 6,41 - συναινέσας τε αὐτοῖς ὁ βασιλεὺς ἔγραψεν αὐτοῖς τὴν ὑπογεγραμμένην ἐπιστολὴν πρὸς τοὺς κατὰ πόλιν στρατηγοὺς μεγαλοψύχως τὴν ἐκτενίαν ἔχουσαν.

Γ Μακ. 6,41 - Εκείνος απεδέχθη την αίτησίν των και έγραψε προς τους ανά τας διαφόρους πόλεις στρατηγούς, κατά τρύπον έντονον, τας καλυτέρας συστάσεις δια τους Ιουδαίους, την κατωτέρω επιστολήν.

Γ ΜΑΚΚΑΒΑΙΩΝ 7

Γ Μακ. 7,1 - «Βασιλεὺς Πτολεμαῖος ὁ Φιλοπάτωρ τοῖς κατ᾿ Αἴγυπτον στρατηγοῖς καὶ πᾶσι τοῖς τεταγμένοις ἐπὶ πραγμάτων χαίρειν καὶ ἐῤῥῶσθαι·

Γ Μακ. 7,1 - Ο βασιλεύς Πτολεμαίος ο Φιλοπάτωρ, εύχομαι χαράν και υγείαν στους ανά την Αίγυπτον στρατηγούς και εις όλους τους υπαλλήλους τους διορισμένους δια τας υποθέσστου βασιλείου.

Γ Μακ. 7,2 - ἐῤῥώμεθα δὲ καὶ αὐτοὶ καὶ τὰ τέκνα ἡμῶν, κατευθύναντος ἡμῖν τοῦ μεγάλου Θεοῦ τὰ πράγματα καθὼς προαιρούμεθα.

Γ Μακ. 7,2 - Και ημείς οι ίδιοι υγιαίνομεν, όπως και τα τέκνα μας, διότι ο μεγάλος Θεός διηύθυνε τα πράγματά μας, όπως και ημείς οι ίδιοι, ηθέλομεν.

Γ Μακ. 7,3 - τῶν φίλων τινές, κακοηθείᾳ πυκνότερον ἡμῖν παρακείμενοι, συνέπεισαν ἡμᾶς εἰς τὸ τοὺς ὑπὸ τὴν βασιλείαν Ἰουδαίους συναθροίσαντας σύστημα κολάσασθαι ξενιζούσαις ἀποστατῶν τιμωρίαις,

Γ Μακ. 7,3 - Μερικοί από τους φίλους μας από κακάς συχνότερα διαθέσεις εναντίον ημών παρακινούμενοι μας έπεισαν, να συγκεντρώσωμεν εις μίαν ομάδα τους Ιουδαίους, που ευρίσκοντο στο βασίλειόν μου, και να τους τιμωρήσωμεν με τρομεράς και ασυνήθεις βασάνους, όπως τιμωρούνται οι επαναστάται.

Γ Μακ. 7,4 - προσφερόμενοι μήποτε εὐσταθήσειν τὰ πράγματα ἡμῶν, δι᾿ ἣν ἔχουσιν οὗτοι πρὸς πάντα τὰ ἔθνη δυσμένειαν, μέχρις ἂν συντελεσθῇ τοῦτο.

Γ Μακ. 7,4 - Υπέβαλαν δε εις ημάς αυτά, ισχυριζόμενοι ότι ποτέ τα πράγματά μας δεν θα προοδεύσουν εξ αιτίας του μίσους, που τρέφουν οι Εβραίοι εναντίον όλων των εθνών. Ελπίς και βεβαιότης προόδου υπάρχει, όταν σταματήση αυτή η κατάστασις.

Γ Μακ. 7,5 - οἳ καὶ δεσμίους καταγαγόντες αὐτοὺς μετὰ σκυλμῶν ὡς ἀνδράποδα, μᾶλλον δὲ ὡς ἐπιβούλους, ἄνευ πάσης ἀνακρίσεως καὶ ἐξετάσεως ἐπεχείρησαν ἀνελεῖν, νόμου Σκυθῶν ἀγριωτέραν ἐμπεπορπημένοι ὠμότητα.

Γ Μακ. 7,5 - Αυτοί, λοιπόν, σιδηροδεσμίους τους ωδήγησαν εις την παραλίαν με πολλάς βασάνους, ως εάν επρόκειτο δι' ανδράποδα, μάλλον δε δια κακούργους. Και ταύτα χωρίς καμμίαν προηγουμένως ανάκρισιν και εξέτασιν. Απεφάσισαν δε να τους εξολοθρεύσουν εμποτισμένοι από τέτοιαν ωμότητα, η οποία είναι αγριωτέρα και από αυτούς ακόμη τους σκληρούς νόμους των Σκυθών.

Γ Μακ. 7,6 - ἡμεῖς δὲ ἐπὶ τούτοις σκληρότερον διαπειλησάμενοι, καθ᾿ ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους ἐπιείκειαν, μόγις τὸ ζῆν αὐτοῖς χαρισάμενοι καὶ τὸν ἐπουράνιον Θεὸν ἐγνωκότες ἀσφαλῶς ὑπερησπικότα τῶν Ἰουδαίων, ὡς πατέρα ὑπὲρ υἱῶν διαπαντὸς ὑπερμαχοῦντα,

Γ Μακ. 7,6 - Ημείς δι' όλα αυτά τους ηπειλήσαμεν κατά τον σκληρότερον τρόπον και επειδή εφαρμόζομεν την επιείκειαν, που δεικνύομεν προς όλους τους ανθρώπους, εχαρίσαμεν εις αυτούς μόλις την ζωήν, όταν είδομεν οφθαλμοφανώς, ότι ο επουράνιος Θεός υπερασπίζει τους Ιουδαίους με κάθε ασφάλειαν και ωσάν πατέρας υπερμαχεί υπέρ των υιών του πάντοτε.

Γ Μακ. 7,7 - τήν τε τοῦ φίλου ἣν ἔχουσι πρὸς ἡμᾶς βεβαίαν καὶ τοὺς προγόνους ἡμῶν εὔνοιαν ἀναλογισάμενοι, δικαίως ἀπολελύκαμεν πάσης καθ᾿ ὁντινοῦν αἰτίας τρόπον

Γ Μακ. 7,7 - Τους απηλλάξαμεν δε από κάθε κατηγορίαν υθενδήποτε προερχομένην και τους αφήσαμεν ελευθέρους, διότι ελάβομεν υπ' όψιν και την σταθεράν φιλίαν, που έχουν οι Ιουδαίοι προς ημάς, και την εύνοιαν, την οποίαν οι πρόγονοί μας είχαν δείξει προς αυτούς.

Γ Μακ. 7,8 - καὶ προστετάχαμεν ἑκάστῳ πάντας εἰς τὰ ἴδια ἐπιστρέφειν, ἐν παντὶ τόπῳ μηθενὸς αὐτοὺς τὸ σύνολον καταβλάπτοντος, μήτε ὀνειδίζειν περὶ τῶν γεγενημένων παρὰ λόγον.

Γ Μακ. 7,8 - Διατάσσομεν, λοιπόν, τον καθένα από σας, να συνεργήσετε δια την επιστροφήν όλων αυτών εις την πατρίδα των, χωρίς κανείς από όλους σας εις κάθε τόπον ουδέ επ' ελάχιστον να τους βλάψη η να τους χλευάση, δια τα παράλογα γεγονότα, τα οποία έλαβον χώραν εναντίον των.

Γ Μακ. 7,9 - γινώσκετε γὰρ ὅτι κατὰ τούτων, ἐάν τι κακοτεχνήσωμεν πονηρὸν ἢ ἐπιλυπήσωμεν αὐτοὺς τὸ σύνολον, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν πάσης δεσπόζοντα δυνάμεως Θεὸν ὕψιστον ἀντικείμενον ἡμῖν ἐπ᾿ ἐκδικήσει τῶν πραγμάτων κατὰ πᾶν ἀφεύκτως διὰ παντὸς ἕξομεν. ἔῤῥωσθε».

Γ Μακ. 7,9 - Μαθετε, ότι, εάν διαπράξωμεν κάτι κακόν εναντίον των η γενικώς τους λυπήσωμεν, δεν θα λυπήσωμεν άνθρωπον αλλά τον ύψιστον Θεόν, ο οποίος κυριαρχεί επί όλων των δυνάμεων του κόσμου και θα τον έχωμεν ισοβίως και αναποφεύκτως εκδικητήν και τιμωρόν δια τας παρανόμους πράξεις μας. Υγιαίνετε”.

Γ Μακ. 7,10 - Λαβόντες δὲ τὴν ἐπιστολὴν ταύτην οὐκ ἐσπούδασαν εὐθέως γενέσθαι περὶ τὴν ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν τοὺς ἐκ τοῦ γένους τῶν Ἰουδαίων τὸν ἅγιον Θεὸν αὐθαιρέτως παραβεβηκότας καὶ τοῦ Θεοῦ τὸν νόμον τυχεῖν δι᾿ αὐτῶν τῆς ὀφειλομένης κολάσεως,

Γ Μακ. 7,10 - Οι Ιουδαίοι, όταν έλαβαν αυτήν την επιστολήν, δεν εβιάσθησαν να αναχωρήσουν αμέσως, αλλά παρεκάλεσαν τον βασιλέα, όπως στους Ιουδαίους εκείνους, οι οποίοι ελευθέρως και χωρίς εξαναγκασμόν απεμακρύνθησαν από τον άγιον Θεόν και κατεπάτησαν τον θείον νόμον, επιβληθή η οφειλομένη τιμωρία.

Γ Μακ. 7,11 - προφερόμενοι τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβεβηκότας προστάγματα μηδέποτε εὐνοήσειν μηδὲ τοῖς τοῦ βασιλέως πράγμασιν.

Γ Μακ. 7,11 - Ελεγαν δε και τούτο, ότι όσοι δια λόγους κοιλιοδουλείας παραβαίνουν τα θεία προστάγματα, ποτέ δεν θα έχουν καλήν διαγωγήν απέναντι και των πραγμάτων του βασιλέως.

Γ Μακ. 7,12 - ὁ δὲ τἀληθὲς αὐτοὺς λέγειν παραδεξάμενος καὶ συναινέσας ἔδωκεν αὐτοῖς ἄδειαν πάντων, ὅπως τοὺς παραβεβηκότας τοῦ Θεοῦ τὸν νόμον ἐξολοθρεύσωσι κατὰ πάντα τὸν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τόπον μετὰ παῤῥησίας ἄνευ πάσης βασιλικῆς ἐξουσίας καὶ ἐπισκέψεως.

Γ Μακ. 7,12 - Ο βασιλεύς παρεδέχθη, ότι αυτοί όντως λέγουν την αλήθειαν, συγκατετέθη και έδωσεν εις αυτούς την άδειαν, να εξολοθρεύσουν εις οιονδήποτε μέρος του βασιλείου του εκείνους, οι οποίοι είχαν παραβή τον νόμον του Θεού. Να επιβάλουν την τιμωρίαν αυτήν μετά θάρρους, χωρίς και να περιμένουν ειδικήν βασιλικήν διαταγήν, η έστω και απλήν γνώσιν εκ μέρους του βασιλέως.

Γ Μακ. 7,13 - τότε κατευφημήσαντες αὐτόν, ὡς πρέπον ἦν, οἱ τούτων ἱερεῖς καὶ πᾶν τὸ πλῆθος ἐπιφωνήσαντες τὸ ἀλληλούϊα, μετὰ χαρᾶς ἀνέλυσαν.

Γ Μακ. 7,13 - Τοτε οι Ιουδαίοι επευφήμησαν τον βασιλέα, όπως άλλωστε ήτο και πρέπον, οι εξ αυτών ιερείς και όλον το πλήθος ανεφώνησαν το

“αλληλούϊα” και ανεχώρησαν κατόπιν μετά χαράς.

Γ Μακ. 7,14 - τότε τὸν ἐμπεσόντα τῶν μεμιασμένων ὁμοεθνῆ κατὰ τὴν ὁδὸν ἐκολάζοντο καὶ μετὰ παραδειγματισμῶν ἀνῄρουν.

Γ Μακ. 7,14 - Επειτα οποιονδήποτε ομοεθνή των συναντούσαν στον δρόμον των, ο οποίος, καθ' ο εξωμότης, ήτο μολυσμένος, τον ετιμωρούσαν, τον διεπόμπευαν και τον εφόνευαν.

Γ Μακ. 7,15 - ἐκείνῃ δὲ τῇ ἡμέρᾳ ἀνεῖλον ὑπὲρ τοὺς τριακοσίους ἄνδρας καὶ ἤγαγον εὐφροσύνην μετὰ χαρᾶς τοὺς βεβήλους χειρωσάμενοι.

Γ Μακ. 7,15 - Κατά την ημέραν δε εκείνην εφόνευσαν περισσοτέρους από τριακοσίους εξωμότας άνδρας και εώρτασαν με μεγάλην χαράν, διότι έδωσαν την πρέπουσαν τιμωρίαν στους βεβήλους αυτούς.

Γ Μακ. 7,16 - αὐτοὶ δὲ οἱ μέχρι θανάτου τὸν Θεὸν ἐσχηκότες, παντελῆ σωτηρίας ἀπόλαυσιν εἰληφότες, ἀνέζευξαν ἐκ τῆς πόλεως παντοίοις εὐωδεστάτοις ἄνθεσι κατεστεμμένοι μετ᾿ εὐφροσύνης καὶ βοῆς, ἐν αἴνοις καὶ παμμελέσιν ὕμνοις εὐχαριστοῦντες τῷ Θεῷ τῶν πατέρων αὐτῶν αἰωνίῳ σωτῆρι τοῦ Ἰσραήλ.

Γ Μακ. 7,16 - Αυτοί δέ, που μέχρι θανάτου είχαν μείνει πιστοί στον Θεόν και οι οποίοι απήλαυσαν την πλήρη σωτηρίαν των, ανεχώρησαν από την πόλιν καταστεφανωμένοι με διάφορα ευωδέστατα άνθη· υμνούσαν τον Θεόν με χαράν και με κραυγάς χαράς και ευχαριστούσαν με μελωδικώτατα άσματα τον Θεόν των πατέρων των, τον αιώνιον σωτήρα του ισραηλιτικού λαού.

Γ Μακ. 7,17 - Παραγενηθέντες δὲ εἰς Πτολεμαΐδα τὴν ὀνομαζομένην διὰ τὴν τοῦ τόπου ἰδιότητα ῥοδοφόρον, ἐν ᾗ προσέμεινεν αὐτούς ὁ στόλος κατὰ κοινὴν αὐτῶν βουλὴν ἡμέρας ἑπτά,

Γ Μακ. 7,17 - Δια των πλοίων ήλθον εις την Πτολεμαΐδα, η οποία ωνομάζετο ροδοφόρος, ως εκ της ιδιότητος του τόπου να ευδοκιμούν εκεί τα ρόδα. Ο στόλος τους επερίμενε σύμφωνα με κοινήν των απόφασιν επί επτά ημέρας.

Γ Μακ. 7,18 - ἐκεῖ ἐποίησαν πότον σωτήριον, τοῦ βασιλέως χορηγήσαντος αὐτοῖς εὐψύχως τὰ πρὸς τὴν ἄφιξιν πάντα ἑκάστῳ ἕως εἰς τὴν ἰδίαν οἰκίαν.

Γ Μακ. 7,18 - Εκεί ωργάνωσαν συμπόσιον δια την σωτηρίαν, εφ' όσον ο βασιλεύς είχε χορηγήσει εις αυτούς εξ όλης ψυχής όλα τα μέσα δια την άφιξιν όλων και ενός εκάστου από αυτούς μέχρι της ιδιαιτέρας του οικίας.

Γ Μακ. 7,19 - καταχθέντες δὲ μετ᾿ εἰρήνης ἐν ταῖς πρεπούσαις ἐξομολογήσεσιν, ὡσαύτως κἀκεῖ ἔστησαν καὶ ταύτας ἄγειν τὰς ἡμέρας ἐπὶ τὸν τῆς παροικίας αὐτῶν χρόνον εὐφροσύνους.

Γ Μακ. 7,19 - Αφού δε απεβιβάσθησαν με ειρήνην εις την ξηράν και ανέπεμψαν προς τον Θεόν τους πρέποντας ύμνους δοξολογίας και

ευχαριστίας, ώρισαν να εορτάζουν εκεί με χαράν τας ημέρας αυτάς κατά το χρονικόν διάστημα, που θα ευρίσκοντο εις την ξένην χώραν.

Γ Μακ. 7,20 - ἃς καὶ ἀνιερώσαντες ἐν στήλῃ κατὰ τὸν συμποσίας τόπον προσευχῆς καθιδρύσαντες, ἀνέλυσαν ἀσινεῖς, ἐλεύθεροι, ὑπερχαρεῖς, διά τε γῆς καὶ θαλάσσης καὶ ποταμοῦ ἀνασωζόμενοι τῇ τοῦ βασιλέως ἐπιταγῇ, ἕκαστος εἰς τὴν ἰδίαν

Γ Μακ. 7,20 - Αφού δε καθιέρωσαν και εχάραξαν εις στήλην τας εορτασίμους αυτάς ημέρας, ώρισαν δε τον τόπον εκείνον ως τόπον προσευχής, επέστρεψαν κατόπιν σώοι, ελεύθεροι, υπερβολικά χαρούμενοι, ο καθένας εις την πατρίδα του, δια της ξηράς, δια της θαλάσσης και δια των ποταμών, σύμφωνα με την διαταγήν του βασιλέως.

Γ Μακ. 7,21 - καὶ πλείστην ἢ ἔμπροσθεν ἐν τοῖς ἐχθροῖς ἐξουσίαν ἐσχηκότες μετὰ δόξης καὶ φόβου, τὸ σύνολον ὑπὸ μηδενὸς διασεισθέντες τῶν ὑπαρχόντων.

Γ Μακ. 7,21 - Επειτα δε από τα γεγονότα αυτά απέκτησαν μεγαλυτέραν δύναμιν απέναντι των εχθρών των, από όσην είχαν προηγουμένως. Απελάμβανον δόξαν και ενέπνεον φόβον στους αντιθέτους. Γενικώς δε εκ μέρους ουδενός τίποτε από τα υπάρχοντά των δεν διεκινδύνευε πλέον.

Γ Μακ. 7,22 - καὶ πάντα τὰ ἑαυτῶν πάντες ἐκομίσαντο ἐξ ἀπογραφῆς, ὥστε τούς ἔχοντάς τι μετὰ φόβου μεγίστου ἀποδοῦναι αὐτοῖς, τὰ μεγαλεῖα τοῦ μεγίστου Θεοῦ ποιήσαντος τελείως ἐπὶ σωτηρίᾳ αὐτῶν.

Γ Μακ. 7,22 - Αυτοί λοιπόν οι Ιουδαίοι, όλοι ανεξαιρέτως, επήραν τας περιουσίας των, αι οποίαι είχαν προγραφή. Και εκείνοι ακόμα από τους εθνικούς, που είχαν πάρει κάτι από τας περιουσίας των Ιουδαίων, τα επέστρεφαν εις αυτούς με μεγάλον φόβον. Ο μέγιστος Θεός έκαμεν έτσι τόσον μεγάλα θαύματα μέχρι τέλους δια την σωτηρίαν των.

Γ Μακ. 7,23 - εὐλογητὸς ὁ ῥύστης Ἰσραὴλ εἰς τοὺς ἀεὶ χρόνους. Ἀμήν.

Γ Μακ. 7,23 - Δοξασμένος ας είναι ο Θεός, ο λυτρωτής των Ισραηλιτών, στους αιώνας των αιώνων. Αμήν.

ΜΑΚΚΑΒΑΙΩΝ Δ'

Τὸ βιβλίον Μακκαβαίων Δ', ὡς «ἀπόκρυφον» δὲν συγκατελέχθη ὑπὸ τῆς Ἐκκλησίας μεταξὺ τῶν κανονικῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης. Ἐν τούτοις, λόγῳ τῆς σπουδαιότητος τοῦ περιεχομένου αὐτοῦ καὶ τῆς συμπεριλήψεώς του εἰς ἀρχαῖα χειρόγραφα τῆς Μεταφράσεως τῶν Ἑβδομήκοντα (Ο'), ἐκδίδεται συνήθως μετὰ τῶν ἄλλων βιβλίων τῶν Μακκαβαίων.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 1

Δ Μακ. 1,1 - Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, συμβουλεύσαιμ᾿ ἂν ὑμῖν ὀρθῶς, ὅπως προθύμως προσέχητε τῇ φιλοσοφίᾳ.

Δ Μακ. 1,1 - Επειδή έχω σκοπόν να παρουσιάσω ένα πάρα πολύ σοφόν λόγον, επί του ζητήματος αν ο ευσεβής λογισμός, η κατά Θεόν ορθοφρασύνη, κυριαρχή επί των παθών, θα ήθελα να σας δώσω μίαν ορθήν συμβουλήν· να προσέχετε, δηλαδή, προθύμως εις την φιλοσοφίαν.

Δ Μακ. 1,2 - καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς, λέγω δὴ φρονήσεως, περιέχει ἔπαινον.

Δ Μακ. 1,2 - Διότι, βεβαίως, η λογική είναι απαραίτητος δια κάθε πράγμα προς πλήρη γνώσιν. Από δε άλλης επόψεως περιέχει έπαινον της μεγίστης αρετής, εννοώ της φρονήσεως, της ορθοφροσύνης.

Δ Μακ. 1,3 - εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν, γαστριμαργίας τε καὶ ἐπιθυμίας,

Δ Μακ. 1,3 - Αν λοιπόν ο ευσεβής λογισμός φαίνεται ότι επικρατεί επί των παθών, που παρακωλύουν την σωφροσύνην, δηλαδή επί της λαιμαργίας και της επιθυμίας,

Δ Μακ. 1,4 - ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται, οἷον κακοηθείας, καὶ τῶν τῆς ἀνδρείας ἐμποδιστικῶν παθῶν, θυμοῦ τε καὶ πόνου καὶ φόβου.

Δ Μακ. 1,4 - αποδεικνύεται ότι κυριαρχεί και επί της κακοηθείας και επί των παθών, που εμποδίζουν την ανδρείαν, δηλαδή κυριαρχεί επί του θυμού, του πόνου και του φόβου.

Δ Μακ. 1,5 - πῶς οὖν, ἴσως εἴποιεν ἄν τινες, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ δεσπόζει; γελοῖον ἐπιχειροῦντες λέγειν·

Δ Μακ. 1,5 - Πως, λοιπόν- ημπορεί να ερωτήσουν μερικοί- εάν ο ευσεβής λογισμός κυριαρχή επί των παθών, δεν κυριαρχεί και επί της λησμοσύνης και της αγνοίας; Η τεθείσα ερώτησις είναι γελοία.

Δ Μακ. 1,6 - οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σωφροσύνης καὶ φρονήσεως ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλῦσαι, ἀλλ᾿ ὥστε αὐτοῖς μὴ εἶξαι.

Δ Μακ. 1,6 - Διότι ο λογισμός δεν είναι κύριος των ιδικών του παθών, αλλά των αντιθέτων προς την δικαιοσύνην και την ανδρείαν, προς την σωφροσύνην και την φρόνησιν. Και μάλιστα οχι εις βαθμόν να τα καταλύη, αλλά εις σημείον να μη υποχωρή εις αυτά.

Δ Μακ. 1,7 - πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμ᾿ ἂν ὑμῖν ἐπιδεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός.

Δ Μακ. 1,7 - Και από άλλα πολλά σημεία θα ημπορούσα να σας δείξω, ότι ο ευσεβής λογισμός είναι κυρίαρχος και εξουσιαστής επί των παθών.

Δ Μακ. 1,8 - πολὺ δὲ πλέον τοῦτο ἀποδείξαιμι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ ἀρετῆς ἀποθανόντων, Ἐλεαζάρου τε καὶ τῶν ἑπτὰ ἀδελφῶν καὶ τῆς τούτων μητρός. ἅπαντες γὰρ οὗτοι τοὺς ἕως θανάτου πόνους ὑπεριδόντες, ἐπεδείξαντο ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός.

Δ Μακ. 1,8 - Αλλά πολύ περισσότερον θα δείξω τούτο φέρων ως παράδειγμα την ανδραγαθίαν εκείνων, οι οποίοι απέθαναν υπέρ της αρετής, του Ελεαζάρου δηλαδή, των επτά αδελφών και της μητρός των. Διότι αυτοί περιφρονήσαντες τους μέχρι θανάτου πόνους έδειξαν ότι υπερισχύει επί των παθών ο ευσεβής λογισμός.

Δ Μακ. 1,10 - τῶν μὲν οὖν ἀρετῶν ἔπεστί μοι ἐπαινεῖν τοὺς κατὰ τοῦτον τὸν καιρὸν ὑπὲρ τῆς καλοκἀγαθίας ἀποθανόντας μετὰ τῆς μητρὸς ἄνδρας, τῶν δὲ τιμῶν μακαρίσαιμ᾿ ἄν.

Δ Μακ. 1,10 - Δια τας αρετάς των, λοιπόν, μου δίδεται η ευκαιρία να επαινέσω τους στους καιρούς μας αποθανόντας υπέρ της αρετής άνδρας μαζή με την μητέρα των και να τους καλοτυχίσω δια την τιμήν αυτήν.

Δ Μακ. 1,11 - θαυμασθέντες γὰρ ἐκεῖνοι οὐ μόνον ὑπὸ πάντων ἀνθρώπων ἐπὶ τῇ ἀνδρείᾳ καὶ τῇ ὑπομονῇ, ἀλλὰ καὶ ὑπὸ τῶν αἰκισαμένων, αἴτιοι κατέστησαν τοῦ καταλυθῆναι τὴν κατὰ τοῦ ἔθνους τυραννίδα, νικήσαντες τὸν τύραννον τῇ ὑπομονῇ, ὥστε δι᾿ αὐτῶν καθαρισθῆναι τὴν πατρίδα.

Δ Μακ. 1,11 - Διότι εκείνοι εθαυμάσθησαν δια την ανδρείαν και την υπαμονήν των οχι μόνον από όλους τους άλλους ανθρώπους, αλλά και από αυτούς τους δημίους των. Και έγιναν αίτιοι να καταλυθή η επάνω στο έθνος μας τυραννική κυριαρχία, αφού ενίκησαν τον τύραννον με την υπομονήν, ώστε δι' αυτών των μαρτύρων να καθαρθή η πατρίς από το μόλυσμα.

Δ Μακ. 1,12 - ἀλλὰ καὶ περὶ τούτου νῦν αὐτίκα δὴ λέγειν ἐξέσται ἀρξαμένῳ τῆς ὑποθέσεως, ὥσπερ εἴωθα ποιεῖν, καὶ οὕτως εἰς τὸν περὶ αὐτῶν τρέψομαι λόγον δόξαν διδοὺς τῷ πανσόφῳ Θεῷ.

Δ Μακ. 1,12 - Αλλά και περί τούτου τώρα αμέσως θα λάβω την ευκαιρίαν να ομιλήσω, αφού αρχίσω τον λόγον μου, όπως συνηθίζω να κάνω, και έτσι θα κάμω λόγον περί αυτών αποδίδων δόξαν στον πάνσοφον Θεόν.

Δ Μακ. 1,13 - Ζητοῦμεν δὴ τοίνυν, εἰ αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός.

Δ Μακ. 1,13 - Εξετάζομεν, λοιπόν, αν είναι κυρίαρχος επί των παθών ο ευσεβής λογισμός.

Δ Μακ. 1,14 - διακρίνομεν δὲ τί ποτέ ἐστι λογισμὸς καὶ τί πάθος, καὶ πόσαι παθῶν ἰδέαι, καὶ εἰ πάντων ἐπικρατεῖ τούτων ὁ λογισμός.

Δ Μακ. 1,14 - Διακρίναμεν συγχρόνως, τι περίπου είναι αυτός ο λογισμός και τι είναι το πάθος, και πόσα είναι τα είδη των παθών και εάν κυριαρχή ο λογισμός επί όλων αυτών.

Δ Μακ. 1,15 - λογισμὸς μὲν δὴ τοίνυν ἐστὶ νοῦς μετὰ ὀρθοῦ λόγου προτιμῶν τὸν σοφίας βίον.

Δ Μακ. 1,15 - Λογισμός, λοιπόν, είναι η νόησις μετά ορθοφροσύνης, η οποία προτιμά τον βίον της σοφίας.

Δ Μακ. 1,16 - σοφία δὴ τοίνυν ἐστὶ γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῶν τούτων αἰτίων.

Δ Μακ. 1,16 - Σοφία δε είναι η γνώσις των θείων και των ανθρωπίνων πραγμάτων και των αιτίων των.

Δ Μακ. 1,17 - αὕτη δὴ τοίτυν ἐστὶν ἡ τοῦ νόμου παιδεία, δι᾿ ἧς τὰ θεῖα σεμνῶς καὶ τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν.

Δ Μακ. 1,17 - Αυτή, μάλιστα, είναι η παιδεία, η μόρφωσις, την οποίαν περιέχει ο νόμος του Θεού και δια της οποίας μανθάνομεν ευλαβώς τα θεία και τα ανθρώπινα πράγματα προς το συμφέρον μας.

Δ Μακ. 1,18 - τῆς δὲ σοφίας ἰδέαι καθεστήκασι τέσσαρες, φρόνησις καὶ δικαιοσύνη καὶ ἀνδρεία καὶ σωφροσύνη·

Δ Μακ. 1,18 - Της σοφίας δε τα είδη είναι τέσσαρα· φρόνησις, δικαιοσύνη, ανδρεία και σωφροσύνη.

Δ Μακ. 1,19 - κυριωτάτη δὲ πασῶν ἡ φρόνησις, ἐξ ἧς δὴ τῶν παθῶν ὁ λογισμὸς ἐπικρατεῖ.

Δ Μακ. 1,19 - Σημαντικωτάτη από όλας είναι η φρόνησις, από την οποίαν αφορμάται ο λογισμός και επικρατεί επί των παθών.

Δ Μακ. 1,20 - παθῶν δὲ φύσεις εἰσὶν αἱ περιεκτικώταται δύο, ἡδονή τε καὶ πόνος· τούτων δὲ ἑκάτερον καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχὴν πέφυκεν.

Δ Μακ. 1,20 - Των δε παθών δύο είναι τα κυρίως περιεκτικά και των άλλων· η ηδονή και ο πόνος. Καθένα δε από αυτά συνδέεται εκ φύσεως προς το σώμα και προς την ψυχήν.

Δ Μακ. 1,21 - πολλαὶ δὲ καὶ περὶ τὴν ἡδονὴν καὶ τὸν πόνον παθῶν εἰσιν ἀκολουθίαι.
Δ Μακ. 1,21 - Γυρω από την ηδονήν και τον πόνον περιστρέφονται πολυάριθμα πάθη.
Δ Μακ. 1,22 - πρὸ μὲν οὖν τῆς ἡδονῆς ἐστιν ἐπιθυμία· μετὰ δὲ τὴν ἡδονὴν χαρά.
Δ Μακ. 1,22 - Προπορεύεται μέν, λοιπόν, της ηδονής η επιθυμία, ακολουθεί δε η χαρά.
Δ Μακ. 1,23 - πρὸ δὲ τοῦ πόνου ἐστὶ φόβος, μετὰ δὲ τὸν πόνον λύπη.
Δ Μακ. 1,23 - Προ του πόνου βαδίζει ο φόβος, ακολουθεί δε η λύπη.
Δ Μακ. 1,24 - θυμὸς δὲ κοινὸν πάθος ἐστὶν ἡδονῆς καὶ πόνου, ἐὰν ἐννοηθῇ τις ὅτι αὐτῷ περιέπεσεν.
Δ Μακ. 1,24 - Ο θυμός είναι ένα μικτόν πάθος ηδονής και πόνου. Το αντιλαμβάνεται κανείς αυτό, εάν προσέξη και κατανόηση, ότι περιέπεσεν εις αυτόν.
Δ Μακ. 1,25 - ἐν δὲ τῇ ἡδονῇ ἔνεστι καὶ ἡ κακοήθης διάθεσις, πολυτροπωτάτη πάντων τῶν παθῶν οὖσα.
Δ Μακ. 1,25 - Μέσα εις την ηδονήν υπάρχει η κακοήθης διάθεσις, η οποία είναι η περισσότερον πολύπλοκος από όλα τα πάθη.
Δ Μακ. 1,26 - κατὰ μὲν τὴν ψυχὴν ἀλαζονεία, καὶ φιλαργυρία καὶ φιλοδοξία καὶ φιλονικία, ἀπιστία καὶ βασκανία·
Δ Μακ. 1,26 - Εν σχέσει μεν προς την ψυχήν η αλαζονεία, η φιλαργυρία, η φιλοδοξία, η φιλονεικία, η απιστία και η βασκανία·
Δ Μακ. 1,27 - κατὰ δὲ τὸ σῶμα, παντοφαγία καὶ λαιμαργία καὶ μονοφαγία.
Δ Μακ. 1,27 - εν σχέσει δέ με το σώμα η παμφαγία, η λαιμαργία, η μονοφαγία.
Δ Μακ. 1,28 - καθάπερ οὖν δυοῖν τοῦ σώματος καὶ τῆς ψυχῆς φυτῶν ὄντων ἡδονῆς τε καὶ πόνου, πολλαὶ τούτων τῶν φυτῶν εἰσι παραφυάδες,
Δ Μακ. 1,28 - Ως εάν η ηδονή και ο πόνος είναι δύο φυτά του σώματος και της ψυχής υπάρχουν πολλαί παραφυάδες αυτών των φυτών.
Δ Μακ. 1,29 - ὧν ἑκάστην ὁ παγγέωργος λογισμὸς περικαθαίρων τε καὶ ἀποκνίζων καὶ περιπλέκων καὶ ἐπάρδων καὶ πάντα τρόπον μεταχέων ἐξημεροῖ τὰς τῶν ἠθῶν καὶ παθῶν ὕλας.
Δ Μακ. 1,29 - Καθε μίαν δε από αυτάς τας παραφυάδας ο τα πάντα καλλιεργών λογισμός καθαρίζει ολόγυρα, αφαιρεί τας ακάνθας, την περιπλέκει και την στερεώνει εις στηρίγματα, με κάθε τρόπον την διευθετεί και έτσι εξημερώνει το περιεχόμενον των ηθών και των παθών.
Δ Μακ. 1,30 - ὁ γὰρ λογισμὸς τῶν μὲν ἀρετῶν ἐστιν ἡγεμών, τῶν δέ παθῶν αὐτοκράτωρ. Ἐπιθεωρεῖτε τοίνυν πρῶτον διὰ τῶν κωλυτικῶν τῆς

σωφροσύνης ἔργων, ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ λογισμός.

Δ Μακ. 1,30 - Διότι ο λογισμός είναι ηγεμών μεν των αρετών, κυρίαρχος δε των παιθών. Παρατηρείτε, λοιπόν, πρώτον δια των έργων, δια των εκ δηλώσεων, που εμποδίζουν την σωφροσύνην, διότι ο λογισμός είναι κυρίαρχός επί των παθών.

Δ Μακ. 1,31 - σωφροσύνη δὴ τοίνην ἐστὶν ἐπικράτεια τῶν ἐπιθυμιῶν,

Δ Μακ. 1,31 - Σωφροσύνη επομένως είναι η κυριαρχία επί των επιθυμιών.

Δ Μακ. 1,32 - τῶν δὲ ἐπιθυμιῶν αἱ μέν εἰσι ψυχικαί, αἱ δὲ σωματικαί, καὶ τούτων ἀμφοτέρων ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται.

Δ Μακ. 1,32 - Από τας επιθυμίας άλλαι μεν είναι ψυχικαί, άλλαι δε σωματικαί. Ο λογισμός παρουσιάζεται ότι επικρατεί και επί τω δύο τούτων ειδών.

Δ Μακ. 1,33 - ἐπεὶ πόθεν κινούμενοι πρὸς τὰς ἀπειρημένας τροφὰς ἀποστρεφόμεθα τὰς ἐξ αὐτῶν ἡδονάς; οὐχ ὅτι δύναται τῶν ὀρέξεων ἐπικρατεῖν ὁ λογισμός; ἐγὼ μὲν οἶμαι.

Δ Μακ. 1,33 - Αλλά πόθεν κινούμενοι αποστρεφόμεθα τας απηγορευμένας τροφάς και τας εξ αυτών ηδονάς; Τούτο συμβαίνει, διότι ο λογισμός έχει τη δύναμιν να επικρατή επί των ορέξεων. Αυτή είναι η γνώμη μου.

Δ Μακ. 1,34 - τοιγαροῦν ἐνύδρων ἐπιθυμοῦντες καὶ ὀρνέων καὶ τετραπόδων καὶ παντοίων βρωμάτων τῶν ἀπηγορευμένων ἡμῖν κατὰ τὸν νόμον ἀπεχόμεθα διὰ τὴν τοῦ λογισμοῦ ἐπικράτειαν.

Δ Μακ. 1,34 - Μολονότι, λοιπόν, επιθυμούμεν ιχθύας και πτηνά και τετράποδα και διαφόρους άλλας τροφάς που σύμφωνα με τον Νομον είναι απηγορευμέναι εις ημάς, απέχαμεν όμως από αυτάς λόγω της κυριαρχίας του ευσεβούς λογισμού.

Δ Μακ. 1,35 - ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ τοῦ σώφρονος νοὸς ἀνακαμπτόμενα, καὶ φιμοῦται πάντα τὰ τοῦ σώματος κινήματα τοῦ λογισμοῦ.

Δ Μακ. 1,35 - Διότι ο ορθοφρονών νους διώχνει τα πάθη των ορέξεων τα αναχαιτίζει, όπως επίσης φιμώνει και όλας τας σωματικάς ορμάς.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 2

Δ Μακ. 2,1 - Καὶ τί θαυμαστόν; εἰ αἱ τῆς ψυχῆς ἐπιθυμίαι πρὸς τὴν τοῦ κάλλους μετουσίαν ἀκυροῦνται;

Δ Μακ. 2,1 - Και διατί είναι άξιον θαυμασμού; Εάν χάνουν την δύναμίν των και ατονούν αι προς απόλαυσιν του κάλλους επιθυμίαι;

Δ Μακ. 2,2 - ταύτῃ γοῦν ὁ σώφρων Ἰωσὴφ ἐπαινεῖται, ὅτι τῷ λογισμῷ καὶ τῇ διανοίᾳ περιεκράτησε τῆς ἡδυπαθείας.

Δ Μακ. 2,2 - Τέτοιος είναι ο έπαινος του σώφρονος Ιωσήφ, ότι δηλαδή με τον ευσεβή λογισμόν και την διάνοιαν υπερίσχυσεν εναντίον της ηδυπαθείας.

Δ Μακ. 2,3 - νέος γὰρ ὢν καὶ ἀκμάζων πρὸς συνουσιασμὸν ἠκύρωσε τῷ λογισμῷ τὸν τῶν παθῶν οἶστρον.

Δ Μακ. 2,3 - Διότι, αν και ήτο νέος και ακμαίος προς συνεύρεσιν με γυναίκα, διέγραψε και έσβησε δια του λογισμού την μανίαν των παθών.

Δ Μακ. 2,4 - οὐ μόνον δὲ τὴν τῆς ἡδυπαθείας οἰστρηλασίαν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, ἀλλὰ καὶ πάσης ἐπιθυμίας.

Δ Μακ. 2,4 - Φαίνεται δε καθαρά ότι ο λογισμός κυριαρχεί μόνον επάνω εις την φλόγα της λαγνείας, αλλά και επάνω εις κάθε επιθυμίαν.

Δ Μακ. 2,5 - λέγει γοῦν ὁ νόμος· οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου οὐδὲ ὅσα τῷ πλησίον σου ἐστίν.

Δ Μακ. 2,5 - Λέγει, λοιπόν, ο νόμος του Θεού· δεν θα επιθυμήσης την γυναίκα του άλλου ούτε όσα ανήκουν εις τον άλλον.

Δ Μακ. 2,6 - καίτοι ὅτε μὴ ἐπιθυμεῖν ἡμᾶς εἴρηκεν ὁ νόμος, πολὺ πλέον πείσαιμ᾿ ἂν ὑμᾶς ὅτι τῶν ἐπιθυμιῶν κρατεῖν δύναται ὁ λογισμός. - Ὥσπερ καὶ τῶν κωλυτικῶν τῆς δικαιοσύνης παθῶν·

Δ Μακ. 2,6 - Και, αφού ο Νομος απηγόρευσε να επιθυμούμεν, πολύ ευκολώτερον δύναμαι να σας πείσω, ότι ο λογισμός ημπορεί να κυριαρχήση επί των επιθυμιών. Ομοίως κάμνει επάνω εις τα πάθη, που εμποδίζουν την δικαιοσύνην.

Δ Μακ. 2,7 - ἐπεὶ τίνα τρόπον μονοφάγος τις ὢν τὸ ἦθος καὶ γαστρίμαργος καὶ μέθυσος μεταπαιδεύεται, εἰ μὴ δῆλον ὅτι κύριός ἐστι τῶν παθῶν ὁ λογισμός;

Δ Μακ. 2,7 - Αλλως τε με ποίον τρόπον, ενώ κάποιος είναι άνθρωπος παμφάγος, λαίμαργος και μέθυσος, έπειτα μεταβάλλεται; Είναι φανερόν ότι αυτό οφείλεται στον λογισμόν, ο οποίος είναι κύριος επί των παθών.

Δ Μακ. 2,8 - αὐτίκα γοῦν τῷ νόμῳ πολιτευόμενος, κἂν φιλάργυρός τις ᾖ, βιάζεται τὸν ἑαυτοῦ τρόπον τοῖς δεομένοις δανείζων χωρὶς τόκων, καὶ τὸ δάνειον τῶν ἑβδομάδων ἐνστασῶν χρεοκοπούμενος.

Δ Μακ. 2,8 - Επίσης, εάν βέβαια ένας συμμορφώνεται με τον νόμον, και εάν είναι φιλάργυρος, συμπνίγει το μειονέκτημά του αυτό και δανείζει χωρίς τόκον, εις όσους έχουν ανάγκην, και χάνει μερικές φορές το δάνειόν του μετά πάροδον ωρισμένων εβδομάδων.

Δ Μακ. 2,9 - κἂν φειδωλός τις ᾖ, ὑπὸ τοῦ νόμου κρατεῖται διὰ τὸν λογισμὸν μήτε ἐπικαρπολογούμενος τοὺς ἀμητοὺς μήτε ἐπιῤῥωγολογούμενος τοὺς ἀμπελῶνας. - Καὶ ἐπὶ τῶν ἑτέρων ἔστιν ἐπιγνῶναι τοῦτο, ὅτι τῶν παθῶν ἐστιν ὁ λογισμὸς κρατῶν.

Δ Μακ. 2,9 - Και εάν είναι κάποιος σφιχτοχέρης, συγκρατείται υπό του Νομου εξ αιτίας του ευσεβούς λογισμού και δεν παίρνει επικαρπίαν κατά την συγκομιδήν, ούτε ποσοστόν επί των σταψυλών των αμπελώνων. Και εις άλλας περιπτώσεις είναι δυνατόν να διαπιστωθή τούτο· ότι δηλαδή ο λογισμός επικρατεί επί των παθών.

Δ Μακ. 2,10 - ὁ γὰρ νόμος καὶ τῆς πρὸς γονεῖς εὐνοίας κρατεῖ μὴ καταπροδιδοὺς τὴν ἀρετὴν δι᾿ αὐτοὺς

Δ Μακ. 2,10 - Διότι ο Νομος υπερισχύει και από αυτήν ακόμη την αγάπην προς τους γονείς και δεν καταπροδίδει προς χάριν των γονέων την αρετήν.

Δ Μακ. 2,11 - καὶ τῆς πρὸς γαμετὴν φιλίας ἐπικρατεῖ διὰ παρανομίαν αὐτὴν ἀπελέγχων.

Δ Μακ. 2,11 - Ακόμη δε και απέναντι του δεσμού προς την σύζυγον υπερισχύει και φθάνει μέχρι του σημείου να ελέγχη και κατηγορή αυτήν δια τας παρανομίας της.

Δ Μακ. 2,12 - καὶ τῆς τέκνων φιλίας κυριεύει διὰ κακίαν αὐτὰ κολάζων καὶ τῆς φίλων συνηθείας δεσπόζει διὰ πονηρίαν αὐτοὺς ἐξελέγχων.

Δ Μακ. 2,12 - Κυριαρχεί και επί της στοργής προς τα τέκνα, αφού επιβάλλει εις αυτά τιμωρίαν δια κάποιαν παράβασιν. Αλλά και από τας σχέσεις και τον δεσμόν προς τους φίλους είναι ανώτερος ο Νομος, και έχει την δύναμιν να χατηγορήση αυτούς δια φαυλότητα.

Δ Μακ. 2,13 - καὶ μὴ νομίσητε παράδοξον εἶναι, ὅπου γε καὶ ἔχθρας ὁ λογισμὸς ἐπικρατεῖν δύναται διὰ τὸν νόμον,

Δ Μακ. 2,13 - Και μη θεωρήσετε, ότι είναι παράδοξον, όταν δια την τήρησιν του Νομου έχη την δύναμιν ο ευσεβής λογισμός να νικήση και την έχθραν.

Δ Μακ. 2,14 - μήτε δενδροτομῶν τὰ ἥμερα τῶν πολεμίων φυτά, τὰ δὲ τῶν ἐχθρῶν τοῖς ἀπολέσασι διασώζων καὶ τὰ πεπτωκότα συνεγείρων.

Δ Μακ. 2,14 - Δεν κόπτει κανείς π. χ. τα ήμερα δένδρα των αντιπάλων του, αλλά τουναντίον ο,τι εχθρικόν έχει κρημνισθή βοηθεί να ανεγερθή να διασωθή προς χάριν εκείνων, που το έχουν καταστρέψει.

Δ Μακ. 2,15 - Καὶ τῶν βιαιοτέρων δὲ παθῶν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, φιλαρχίας καὶ κενοδοξίας καὶ ἀλαζονείας καὶ μεγαλαυχίας καὶ βασκανίας.

Δ Μακ. 2,15 - Είναι φανερόν, ότι ο λογισμός επικρατεί και επί των βιαιοτέρων ακόμη παθών, της φιλαρχίας, της κενοδοξίας, της αλαζονείας, της μεγαλαυχίας, του φθόνου.

Δ Μακ. 2,16 - πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων νοῦς εἰς ἀγαθὸν προτρέπων ἀπωθεῖται καὶ βιάζεται, ὥσπερ καὶ τὸν θυμόν· καὶ γὰρ τούτου δεσπόζει.

Δ Μακ. 2,16 - Διότι όλα αυτά τα κακοήθη πάθη ο σώφρων νους προτρέπει πάντοτε προς το αγαθόν, τα απωθεί βιαίως, όπως επίσης και τον

θυμόν, διότι κυριαρχεί και επάνω στον θυμόν.

Δ Μακ. 2,17 - θυμούμενός γέ τοι Μωσῆς κατὰ Δαθὰν καὶ Ἀβειρὼν οὐ θυμῷ τι κατ᾽ αὐτῶν ἐποίησεν, ἀλλὰ λογισμῷ τὸν θυμὸν διῄτησεν.

Δ Μακ. 2,17 - Ωργίσθη, βέβαια, ο Μωϋσής εναντίον του Δαθάν και του Αβειρών, δεν έκαμε όμως τίποτε κινούμενος από τον θυμόν του, αλλά με τον ορθόν λογισμόν διέλυσε τον θυμόν.

Δ Μακ. 2,18 - δυνατὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην, κατὰ τῶν παθῶν ἀριστεῦσαι καὶ τὰ μὲν αὐτῶν μεταθεῖναι, τὰ δὲ καὶ ἀκυρῶσαι.

Δ Μακ. 2,18 - Διότι ο σώφρων νους έχει δύναμιν, όπως είπα, να αριστεύη στον αγώνα κατά των παθών και άλλα εξ αυτών να μεταβάλλη αλλά δε να τα εξαφανίζη.

Δ Μακ. 2,19 - ἐπεὶ διατί ὁ πάνσοφος ἡμῶν πατὴρ Ἰακὼβ τοὺς περὶ Συμεὼν καὶ Λευΐν αἰτιᾶται, μὴ λογισμῷ τοὺς Σικιμίτας ἐθνηδὸν ἀποσφάξαντας λέγων· ἐπικατάρατος ὁ θυμὸς αὐτῶν;

Δ Μακ. 2,19 - Αλλως τε, διατί ο πάνσοφος πατήρ μας ο Ιακώβ κατηγορεί τους συντρόφους του Συμεών και του Λευϊ, οι οποίοι απερίσκεπτα κατέσφαξαν εξ ολοκλήρου τους Σικιμίτας; Τους ειπέ· “να είναι κατηραμένος ο θυμός των”.

Δ Μακ. 2,20 - εἰ μὴ γὰρ ἐδύνατο τοῦ θυμοῦ ὁ λογισμὸς κρατεῖν, οὐκ ἂν εἶπεν οὕτως.

Δ Μακ. 2,20 - Εάν δεν ημπορούσεν ο λογισμός να κυριαρχή επάνω στον θυμόν, δεν θα ωμιλούσεν έτσι ο Ιακώβ.

Δ Μακ. 2,21 - ὁπηνίκα γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον κατεσκεύασε, τὰ πάθη αὐτοῦ καὶ τὰ ἤθη περιεφύτευσεν.

Δ Μακ. 2,21 - Διότι, ότε ο Θεός εδημιούργησε τον άνθρωπον, τον περιέβαλε με τα ίδικά του ιδιώματα και τους ιδικούς του τρόπους.

Δ Μακ. 2,22 - ἡνίκα δὲ ἐπὶ πάντων τὸν ἱερὸν ἡγεμόνα νοῦν διὰ τῶν ἔνδον αἰσθητηρίων ἐνεθρόνισε,

Δ Μακ. 2,22 - Οτε δε ενεθρόνισε κύριον επί πάντων τον νουν ως ιερόν ηγεμόνα, με την δύναμιν των εσωτερικών αισθητηρίων,

Δ Μακ. 2,23 - καί τούτῳ νόμον ἔδωκε, καθ᾽ ὃν πολιτευόμενος βασιλεύσει βασιλείαν σώφρονά τε καὶ δικαίαν καὶ ἀγαθὴν καὶ ἀνδρείαν. -

Δ Μακ. 2,23 - έδωκεν εις αυτόν νόμον, σύμφωνα με τον οποίον να πολιτεύεται και να ασκή βασιλείαν σώφρονα, δικαίαν, αγαθήν και ανδρείαν.

Δ Μακ. 2,24 - Πῶς οὖν, εἴποι τις ἄν, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ κρατεῖ;

Δ Μακ. 2,24 - Αλλά ημπορεί να ερωτήση κανείς· Πως αφού κυριαρχεί ο λογισμός επί των παθών, δεν κυριαρχεί εν τούτοις εις την λήθην και εις την άγνοιαν;

Δ ΜΑΚΚΑΒΑΙΩΝ 3

Δ Μακ. 3,1 - Ἔστι δέ κομιδῇ γελοῖος ὁ λόγος· οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται, ἀλλὰ τῶν σωματικῶν.
Δ Μακ. 3,1 - Είναι όλως διόλου γελοία η ερώτησις αυτή. Διότι φαίνεται ότι ο λογισμός δεν επικρατεί επί των ιδικών του παθών, αλλά επί των σωματικών.
Δ Μακ. 3,2 - οἷον ἐπιθυμίαν τις οὐ δύναται ἐκκόψαι ἡμῶν, ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι.
Δ Μακ. 3,2 - Δεν ημπορεί κανείς π. χ. να κόψη από ημάς την επιθυμίαν από την ρίζαν. Είναι εις θέσιν όμως ο λογισμός, να μας παραχωρήση την δύναμιν, ώστε να μη υποδουλωθώμεν εις την επιθυμίαν.
Δ Μακ. 3,3 - θυμόν τις οὐ δύναται ἐκκόψαι ἡμῶν τῆς ψυχῆς, ἀλλὰ τῷ θυμῷ δυνατὸν τὸν λογισμὸν βοηθῆσαι.
Δ Μακ. 3,3 - Τον θυμόν δεν ημπορεί κανείς να εκριζώση από την ψυχήν του, αλλά ημπορεί να έλθη ο σώφρων λογισμός βοηθός εναντίον του θυμού.
Δ Μακ. 3,4 - κακοήθειάν τις ἡμῶν οὐ δύναται ἐκκόψαι, ἀλλὰ τὸ μὴ καμφθῆναι τῇ κακοηθείᾳ δύναιτ᾽ ἂν ὁ λογισμὸς συμμαχῆσαι.
Δ Μακ. 3,4 - Την κακοήθειαν δεν ημπορεί κανείς από ημάς να την εκριζώση, αλλά θα ήτο εις θέσιν ο λογισμός να συμμαχήση με ημάς, ώστε να μη καμφθώμεν από την κακοήθειαν.
Δ Μακ. 3,5 - οὐ γὰρ ἐκριζωτὴς τῶν παθῶν ὁ λογισμός ἐστιν, ἀλλ᾽ ἀνταγωνιστής. -
Δ Μακ. 3,5 - Διότι ο λογισμός δεν είναι εκριζωτής των παθών, αλλά ανταγωνιστής.
Δ Μακ. 3,6 - ἔστι γοῦν τοῦτο διὰ τῆς Δαυὶδ τοῦ βασιλέως δίψης σαφέστερον ἐπιλογίσασθαι.
Δ Μακ. 3,6 - Ημπορούμεν να κατανοήσωμεν τούτο σαφέστερα ενθυμούμενοι, εις επιβεβίωσιν, την δίψαν του βασιλέως Δαβίδ.
Δ Μακ. 3,7 - ἐπεὶ γὰρ δι᾽ ὅλης ἡμέρας προσβαλὼν τοῖς ἀλλοφύλοις ὁ Δαυὶδ πολλοὺς αὐτῶν ἀπέκτεινε μετὰ τῶν τοῦ ἔθνους στρατιωτῶν,
Δ Μακ. 3,7 - Αφού, δηλαδή, ο Δαβίδ κάποτε καθ' όλον το διάστημα της ημέρας επολέμησε τους αλλοφύλους και πολλούς από αυτούς εφόνευσε μαζή με τους στρατιώτας του κράτους του,
Δ Μακ. 3,8 - τότε δὲ γενομένης ἑσπέρας, ἱδρῶν καὶ σφόδρα κεκμηκώς, ἐπὶ τὴν βασίλειον σκηνὴν ἦλθε, περὶ ἣν ὁ πᾶς τῶν προγόνων στρατὸς ἐστρατοπεδεύκει.
Δ Μακ. 3,8 - όταν έπεσε το δειλινόν, ενώ ήτο πολύ ιδρωμένος και κατακουρασμένος, ήλθεν εις την βασιλικήν σκηνήν, γύρω από την οποίαν

είχε στρατοπεδεύσει όλος ο στρατός της πατρίδος του.
Δ Μακ. 3,9 - οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον ἦσαν,
Δ Μακ. 3,9 - Ολοι οι άλλοι είχαν καθίσει, δια να δειπνήσουν,
Δ Μακ. 3,10 - ὁ δὲ βασιλεὺς ὡς μάλιστα διψῶν, καίπερ ἀφθόνους ἔχων πηγάς, οὐκ ἠδύνατο δι᾿ αὐτῶν ἰάσασθαι τὴν δίψαν,
Δ Μακ. 3,10 - ο δε βασιλεύς αισθανόμενος υπερβολικήν δίψαν δεν ημπορούσε, μολονότι είχεν εις την διάθεσίν του αφθόνους πηγάς, να κατασβέση με αυτάς την δίψαν του.
Δ Μακ. 3,11 - ἀλλά τις αὐτῶν ἀλόγιστος ἐπιθυμία τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα συνέφρυγε καὶ λύουσα κατέφλεγεν.
Δ Μακ. 3,11 - Αλλα μία παράλογος επιθυμία, να πίη νερό από την πηγήν των αντιπάλων του, του εξήραινε τα χείλη, τον παρέλυε και τον κατέφλεγε.
Δ Μακ. 3,12 - ὅθεν τῶν ὑπασπιστῶν ἐπὶ τῇ τοῦ βασιλέως ἐπιθυμίᾳ σχετλιαζόντων, δύο νεανίσκοι στρατιῶται καρτεροὶ καταιδεσθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν, τὰς παντευχίας καθωπλίσαντο καὶ κάλπην λαβόντες ὑπερέβησαν τοὺς τῶν πολεμίων χάρακας,
Δ Μακ. 3,12 - Κατόπιν τούτου, επειδή οι υπασπισταί του βασιλέως εξεδήλωσαν λύπην δια την δίψαν του, δύο νεαροί στρατιώται ατρόμητοι σεβασθέντες την επιθυμίαν του βασιλέως, αψού εφόρεσαν τας πανοπλίας των, επήραν μίαν υδρίαν, διέβησαν τα χαρακώματα των εχθρών,
Δ Μακ. 3,13 - καὶ λαθόντες τοὺς τῶν πυλῶν ἀκροφύλακας, διεξῄεσαν ἀνερευνώμενοι κατὰ πᾶν τὸ τῶν πολεμίων στρατόπεδον.
Δ Μακ. 3,13 - διέφυγαν την προσοχήν των φρουρών των πυλών και διέσχισαν όλον το στρατόπεδον των εχθρών ερευνώντες δια την πηγήν.
Δ Μακ. 3,14 - καὶ ἀνευράμενοι τὴν πηγήν, ἐξ αὐτῆς θαῤῥαλέως ἐγέμισαν τῷ βασιλεῖ τὸ ποτόν.
Δ Μακ. 3,14 - Αφού δε την ανεκάλυψαν, εγέμισαν από το νερό αυτής με θάρρος την υδρίαν χάριν του βασιλέως.
Δ Μακ. 3,15 - ὁ δὲ καίπερ τῷ δίψει διαπυρούμενος, ἐλογίσατο πάνδεινον εἶναι κίνδυνον τῇ ψυχῇ λογισθὲν ἰσοδύναμον ποτὸν αἵματι·
Δ Μακ. 3,15 - Εκείνος όμώς, αν και κατεκαίετο από την δίψαν, εθεώρησεν ότι απετέλει φοβερώτατον κίνδυνον δια την ψυχήν του το νερό εκείνο, διότι εσκέφθη ότι ισοδυναμούσε με ίσην ποσότητα αίματος.
Δ Μακ. 3,16 - ὅθεν ἀντιθεὶς τῇ ἐπιθυμίᾳ τὸν λογισμὸν ἔσπεισε τὸ πόμα τῷ Θεῷ,
Δ Μακ. 3,16 - Δια τούτο αντιπαραθέσας τον ορθόν λογισμόν εις την επιθυμίαν, έχυσε το νερό σπονδήν στον Θεόν.
Δ Μακ. 3,17 - δυνατὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην, νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας

Δ Μακ. 3,17 - Διότι, όπως είπα, έχει την δύναμιν ο σώφρων νους, να νικήση την βίαν των παθών,

Δ Μακ. 3,18 - καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονὰς καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ᾿ ὑπερβολὴν οὔσας καταπαλαῖσαι καὶ τῇ καλοκαγαθίᾳ τοῦ λογισμοῦ ἀποπτύσαι πάσας τὰς τῶν παθῶν ἐπικρατείας. -

Δ Μακ. 3,18 - και να σβήση τον ερεθισμόν, που προκαλούν αι μανίαι· να κατανικήση ακόμη και τας υπερμέτρους του σώματος αλγηδόνας, να αποτινάξη και οιασδήποτε κυριαρχίας των παθών με τον ωραίον και δυνατόν λογισμόν.

Δ Μακ. 3,19 - Ἤδη δὲ καὶ ὁ καιρὸς ἡμᾶς καλεῖ ἐπὶ τὴν ἀπόδειξιν τῆς θεωρίας τοῦ σώφρονος λογισμοῦ. -

Δ Μακ. 3,19 - Αλλά ο καιρός τώρα μας καλεί, να αποδείξωμεν την θεωρίαν του σώφρονος λογισμού

Δ Μακ. 3,20 - Ἐπειδὴ γὰρ βαθεῖαν εἰρήνην διὰ τὴν εὐνομίαν οἱ πατέρες ἡμῶν εἶχον καὶ ἔπραττον καλῶς, ὥστε καὶ τὸν τῆς Ἀσίας βασιλέα Σέλευκον καὶ τὸν Νικάνορα καὶ χρήματα εἰς τὴν ἱερουργίαν αὐτοῖς ἀφορίσαι καὶ τὴν πολιτείαν αὐτῶν ἀποδέχεσθαι,

Δ Μακ. 3,20 - Οταν οι πατέρες ημών είχαν αδιατάρακτον ειρήνην λόγω της φιλονομίας των και εζούσαν εν ευτυχία, ώστε και ο βασιλεύς της Ασίας Σέλευκος και ο Νικάνωρ και χρήματα να ξεχωρίσουν προς χάριν των δια την υπηρεσίαν του ναού και την ανεξαρτησίαν των να αποδεχθούν,

Δ Μακ. 3,21 - τότε δή τινες πρὸς τὴν κοινὴν νεωτερίσαντες ὁμόνοιαν πολυτρόποις ἐχρήσαντο συμφοραῖς.

Δ Μακ. 3,21 - κατά την περίοδον αυτήν μερικοί διαταράξαντες την ομόνοιαν όλων προεκάλεσαν πολλάς και διαφόρους συμφοράς.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 4

Δ Μακ. 4,1 - Σίμων γάρ τις πρὸς Ὀνίαν ἀντιπολιτευόμενος τόν ποτε τὴν ἀρχιερωσύνην ἔχοντα διά βίου, καλὸν καὶ ἀγαθὸν ἄνδρα, ἐπειδὴ πάντα τρόπον διαβάλλων ὑπὲρ τοῦ ἔθνους οὐκ ἴσχυσε κακῶσαι, φυγὰς ᾤχετο τὴν πατρίδα προδώσων.

Δ Μακ. 4,1 - Εξηγούμαι· κάποιος Σιμων, ο οποίος αντεπολιτεύετο προς τον Ονίαν που είχε κάποτε ισόβιον την αρχιερωσύνην και ήτο άνθρωπος ενάρετος, επειδή δεν ημπόρεσε, καίτοι τον κατασυκοφαντούσε παντοιοτρόπως χάριν του συμφέροντος τάχα του έθνους, να επιτύχη κάτι κακόν εις βάρος του 'Ονιου, έφυγε, δια να προδώση την πατρίδα του.

Δ Μακ. 4,2 - ὅθεν ἥκων πρὸς Ἀπολλώνιον, τὸν Συρίας τε καὶ Φοινίκης καὶ Κιλικίας στρατηγόν, ἔλεγεν· εὔνους ὢν τοῖς τοῦ βασιλέως πράγμασιν

ἥκω

Δ Μακ. 4,2 - Προς τον σκοπόν αυτόν προσήλθεν στον Απολλώνιον, τον στρατιωτικόν διοικητήν της Συρίας, της Φοινίκης και της Κιλικίας και του είπε· “έρχομαι με φιλικάς διαθέσεις προς τον βασιλέα

Δ Μακ. 4,3 - μηνύσων πολλὰς ἰδιωτικῶν χρημάτων μυριάδας ἐν τοῖς Ἱεροσολύμων γαζοφυλακίοις τεθησαυρίσθαι τοῖς ἱεροῖς μὴ ἐπικοινωνούσας, καὶ προσήκειν ταῦτα Σελεύκῳ τῷ βασιλεῖ.

Δ Μακ. 4,3 - να καταγγείλω, ότι εις τα θησαυροφυλάκια των Ιεροσολύμων έχουν αποθησαυρισθή πολλαί μυριάδες ιδιωτικών χρημάτων, που δεν έχουν σχέσιν με τον ιερόν θησαυρόν του ναού, και ότι αυτά δικαιωματικώς ανήκουν στον βασιλέα Σέλευκον”.

Δ Μακ. 4,4 - τούτων δὲ ἕκαστα γνοὺς ὁ Ἀπολλώνιος, τὸν μὲν Σίμωνα τῆς εἰς τὸν βασιλέα κηδεμονίας ἐπαινεῖ, πρὸς δὲ τὸν Σέλευκον ἀναβὰς κατεμήνυσε τὸν τῶν χρημάτων θησαυρόν.

Δ Μακ. 4,4 - Οταν δε έμαθεν εν λεπτομερείαις αυτά ο Απολλώνιος, επήνεσε τον Σιμωνα δια το ενδιαφέρον του υπέρ του βασιλέως, μετέβη στον Σέλευκον και κατέστησεν εις αυτόν γνωστόν τον θησαυρόν εκείνον των χρημάτων.

Δ Μακ. 4,5 - καὶ λαβὼν τὴν περὶ αὐτὸν ἐξουσίαν ταχὺ εἰς τὴν πατρίδα ἡμῶν μετὰ τοῦ καταράτου Σίμωνος καὶ βαρυτάτου στρατοῦ ἀνέβη

Δ Μακ. 4,5 - Αφού δε εν συνεχεία επήρε την σχετικήν εξουσίαν, ανήλθε ταχέως εις την πατρίδα μας, συνοδευόμενος από τον επικατάρατον Σιμωνα και οδηγών πολύν και βαρέως ωπλισμένον στρατόν.

Δ Μακ. 4,6 - καὶ προσελθὼν ταῖς τοῦ βασιλέως ἐντολαῖς ἥκειν ἔλεγεν, ὅπως τὰ ἰδιωτικὰ τοῦ γαζοφυλακίου λάβοι χρήματα.

Δ Μακ. 4,6 - Ελεγε δε ότι ήλθε κατόπιν εντολής του βασιλέως, δια να παραλάβη από το θησαυροφυλάκιον τα ιδιωτικά χρήματα.

Δ Μακ. 4,7 - καὶ τοῦ ἔθνους πρὸς τὸν λόγον σχετλιάζοντος ἀντιλέγοντός τε, πάνδεινον εἶναι νομίσαντες, εἰ οἱ τὰς παρακαταθήκας πιστεύσαντες τῷ ἱερῷ θησαυρῷ στερηθήσονται, ὡς οἷόν τε ἦν, ἐκώλυον.

Δ Μακ. 4,7 - Ολος ο λαός ηγανάκτησεν εξ αιτίας του γεγονότος αυτού και προέβαλλεν αντιρρήσεις· και επειδή εθεώρησαν μέγα δεινόν, εάν εστερούντο από τα χρήματά των, όσοι τα είχαν εμπιστευθή στο ιερόν θησαυροφυλάκιον, δια τούτο ημπόδιζαν όσον ημπορούσαν τον Απολλώνιον.

Δ Μακ. 4,8 - μετὰ ἀπειλῶν δὲ ὁ Ἀπολλώνιος ἀπῄει εἰς τὸ ἱερόν.

Δ Μακ. 4,8 - Ο Απολλώνιος παρ' όλα αυτά κατηυθύνθη με απειλάς προς τον ναόν.

Δ Μακ. 4,9 - τῶν δέ ἱερέων μετά γυναικῶν καὶ παιδίων ἐν τῷ ἱερῷ ἱκετευσάντων τὸν Θεὸν ὑπερασπίσαι τοῦ ἱεροῦ καταφρονουμένου τόπου

Δ Μακ. 4,9 - Εις τον ναόν όμως οι ιερείς μαζή με τας γυναίκας και τα παιδιά ικέτευαν τον Θεόν να υπερασπίση τον καταφρονούμενον ιερόν τόπον.

Δ Μακ. 4,10 - ἀνιόντος τε μετά καθωπλισμένης τῆς στρατιᾶς τοῦ Ἀπολλωνίου πρὸς τὴν τῶν χρημάτων ἁρπαγήν, οὐρανόθεν ἔφιπποι προὐφάνησαν ἄγγελοι περιαστράπτοντες τοῖς ὅπλοις καὶ πολὺν αὐτοῖς φόβον τε καὶ τρόμον ἐνιέντες.

Δ Μακ. 4,10 - Ενῷ δε ανέβαινεν ο Απολλώνιος με την πλήρως εξωπλισμένην στρατιάν του, προς τον σκοπόν να αρπάση τα χρήματα, εφάνησαν από τον ουρανόν κατέμπροσθεν των άγγελοι έφιπποι απαστράπτοντές με τα όπλα των, οι οποίοι ενέβαλον εις αυτούς πολύν φόβον και τρόμον.

Δ Μακ. 4,11 - καταπεσών γέ τοι ἡμιθανὴς ὁ Ἀπολλώνιος ἐπὶ τὸν πάμφυλον τοῦ ἱεροῦ περίβολον τὰς χεῖρας ἐξέτεινεν εἰς τὸν οὐρανόν, καὶ μετὰ δακρύων τοὺς Ἑβραίους παρεκάλει, ὅπως περί αὐτοῦ εὐξάμενοι τὸν ἐπουράνιον ἐξευμενίσωνται στρατόν.

Δ Μακ. 4,11 - Αφού κατέπεσεν ημιθανής ο Απολλώνιος εις την αυλήν του ναού, την καλουμένην αυλήν όλων των εθνών, ήπλωσε τας χείρας στον ουρανόν και παρακάλει με δάκρυα τους Εβραίους να προσευχηθούν υπέρ αυτού και να εξευμενίσουν το ουράνιον στράτευμα.

Δ Μακ. 4,12 - ἔλεγε γὰρ ἡμαρτηκὼς ὥστε καὶ ἀποθανεῖν ἄξιος ὑπάρχειν πᾶσί τε ἀνθρώποις ὑμνήσειν σωθεὶς τὴν τοῦ ἱεροῦ τόπου μακαριότητα.

Δ Μακ. 4,12 - Ωμολογούσε δέ, ότι είχεν αμαρτήσει τόσον, ώστε θα ήτο άξιος ακόμη και να αποθάνη, και ότι εάν εσώζετο, θα διαλαλούσε εις όλους τους ανθρώπους την αγιότητα του ιερού χώρου.

Δ Μακ. 4,13 - τούτοις ὑπαχθεὶς τοῖς λόγοις Ὀνίας ὁ ἀρχιερεύς, καίπερ ἄλλως εὐλαβηθείς, μήποτε νομίσειεν ὁ βασιλεὺς Σέλευκος ἐξ ἀνθρωπίνης ἐπιβουλῆς καὶ μὴ θείας δίκης ἀνῃρῆσθαι τὸν Ἀπολλώνιον, ηὔξατο περὶ αὐτοῦ.

Δ Μακ. 4,13 - Πεισθείς στους λόγους τούτους ο αρχιερεύς Ονίας, φοβηθείς δε εξ άλλου μήπως ο βασιλεύς Σέλευκος νομίση ότι ο Απολλώνιος δεν εφονεύθη από την θείαν δίκην αλλά από επιβουλήν ανθρώπων, προσηυχήθη δι' αυτόν.

Δ Μακ. 4,14 - καὶ ὁ μὲν παραδόξως διασωθεὶς ᾤχετο δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα αὐτῷ. -

Δ Μακ. 4,14 - Και ο στρατηγός, ο κατά παράδοξον τρόπον διασωθείς, έσπευσε να καταστήση γνωστά στον βασιλέα τα συμβάντα εις αυτόν.

Δ Μακ. 4,15 - Τελευτήσαντος δὲ Σελεύκου τοῦ βασιλέως διαδέχεται τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Ἀντίοχος Ἐπιφανής, ἀνὴρ ὑπερήφανος καὶ δεινός,

Δ Μακ. 4,15 - Οταν απέθανεν ο βασιλεύς Σέλευκος, τον διεδέχθη εις την αρχήν ο υιός του Αντίοχος ο Επιφανής, άνθρωπος υπερήφανος και σκληρός.

Δ Μακ. 4,16 - ὃς καταλύσας τὸν Ὀνίαν τῆς ἀρχιερωσύνης, Ἰάσονα τὸν ἀδελφὸν αὐτοῦ κατέστησεν ἀρχιερέα, συνθέμενον δώσειν,

Δ Μακ. 4,16 - Αυτός καθήρεσε τον Ονίαν από το αξίωμα της αρχιερωσύνης και εγκατέστησεν ως αρχιερέα τον αδελφόν του Ιάσωνα, ο οποίος συνεφώνησεν

Δ Μακ. 4,17 - εἰ ἐπιτρέψειεν αὐτῷ τὴν ἀρχήν, κατ᾿ ἐνιαυτὸν τρισχίλια ἑξακόσια ἑξήκοντα τάλαντα.

Δ Μακ. 4,17 - ότι, εάν του ανέθετε την αρχιερωσύνην, θα του έδιδε κάθε έτος τρεις χιλιάδας εξακόσια εξήκοντα τάλαντα.

Δ Μακ. 4,18 - ὁ δὲ ἐπέτρεψεν αὐτῷ καὶ ἀρχιερᾶσθαι καὶ τοῦ ἔθνους ἀφηγεῖσθαι.

Δ Μακ. 4,18 - Εκείνος του ανέθεσε την αρχιερωσύνην και την αρχηγίαν του έθνους.

Δ Μακ. 4,19 - ὃς καὶ ἐξεδιῄτησε τῶν Ἰουδαίων τὸ ἔθνος καὶ ἐξεπολίτευσεν ἐπὶ πᾶσαν παρανομίαν

Δ Μακ. 4,19 - Αυτός έβγαλε τότε το ιουδαϊκόν έθνος από τον προηγούμενον τρόπον της ζωής και έγινε προαγωγός εις κάθε παρανομίαν,

Δ Μακ. 4,20 - ὥστε μὴ μόνον ἐπ᾿ αὐτῇ τῇ ἄκρᾳ τῆς πατρίδος ἡμῶν γυμνάσιον κατασκευάσαι, ἀλλὰ καὶ καταλῦσαι τὴν τοῦ ἱεροῦ κηδεμονίαν.

Δ Μακ. 4,20 - ώστε οχι μόνον εις την ακρόπολιν της πατρίδος μας να κατασκευάσουν γυμναστήρια, αλλά και να καταργήση την καθιερωμένην φροντίδα δια τον ναόν.

Δ Μακ. 4,21 - ἐφ᾿ οἷς ἀγανακτήσασα ἡ θεία δίκη αὐτὸν αὐτοῖς τὸν Ἀντίοχον ἐπολέμωσεν.

Δ Μακ. 4,21 - Εξ αιτίας αυτών ηγανάκτησεν η θεία δίκη και έκαμεν εχθρόν των τον ίδιον τον 'Αντιοχον.

Δ Μακ. 4,22 - ἐπειδὴ γὰρ πολεμῶν ἦν κατ᾿ Αἴγυπτον Πτολεμαίῳ, ἤκουσέ τε ὅτι φήμης διαδοθείσης περὶ τοῦ τεθνᾶναι αὐτόν, ὡς ἔνι μάλιστα χαίροιεν οἱ Ἱεροσολυμῖται, ταχέως ἐπ᾿ αὐτοὺς ἀνέζευξεν,

Δ Μακ. 4,22 - Ενῷ, δηλαδή, ο Αντίοχος επαλεμούσε κατά του Πτολεμαίου εις την Αίγυπτον και επληροφορήθη ότι Ιεροσολυμίται κατόπιν διαδόσεως φήμης περί του θανάτου του εχαίροντο καθ' υπερβολήν, μετέβαλε πορείαν και εστράφη εναντίον αυτών.

Δ Μακ. 4,23 - καὶ ὡς ἐπόρθησεν αὐτούς, δόγμα ἔθετο ὅπως, εἴ τινες αὐτῶν φάνοιεν τῷ πατρίῳ πολιτευόμενοι νόμῳ, θάνοιεν.

Δ Μακ. 4,23 - Αμέσως μόλις τους υπέταξεν εξέδωκε διάταγμα, σύμφωνα με το οποίον ετιμωρούντο με θάνατον όσοι από αυτούς θα ετολμούσαν να φανούν ότι έζούσαν σύμφωνα με τον προγονικόν των Νομον.

Δ Μακ. 4,24 - καὶ ἐπεὶ κατὰ μηδένα τρόπον ἴσχυε καταλῦσαι διὰ τῶν δογμάτων τὴν τοῦ ἔθνους εὔνοιαν,

Δ Μακ. 4,24 - Και αφού δεν ημπόρεσε με κανένα τρόπον να εξάλείψη την αγάπην των προς την πατρίδα,

Δ Μακ. 4,25 - ἀλλὰ πάσας τὰς ἑαυτοῦ ἀπειλὰς καὶ τιμωρίας ἑώρα καταλυομένας, ὥστε καὶ γυναῖκας, ὅτι περιέτεμον τὰ παιδία, μετὰ τῶν βρεφῶν κατακρημνισθῆναι προειδυίας ὅτι τοῦτο πείσονται·

Δ Μακ. 4,25 - αλλά αντιθέτως έβλεπε να καταφρονούνται όλαι αι εξαγγελλόμενοι υπ' αυτού απειλαί και τιμωρίαι εις βαθμόν, ώστε και γυναίκες ακόμη να κατακρημνισθούν μαζή με τα βρέφη των, επειδή εφήρμοζαν εις τα τέκνα των την περιτομήν, αν και εγνώριζαν ότι αυτό θα πάθουν.

Δ Μακ. 4,26 - ἐπεὶ οὖν τὰ δόγματα αὐτοῦ κατεφρονεῖτο ὑπὸ τοῦ λαοῦ, αὐτὸς διά βασάνων ἕνα ἕκαστον τοῦ ἔθνους ἠνάγκαζε μιαρῶν ἀπογευομένους τροφῶν ἐξόμνυσθαι τὸν Ἰουδαϊσμόν.

Δ Μακ. 4,26 - Επειδή, λοιπόν αι διαταγαί του κατεφρονούντο υπό του λαού, ηνάγκαζε με βασανιστήρια κάθε ένα Ιουδαίον να γίνη εξωμότης, να απαρνηθή τον Ιουδαϊσμόν τρώγων απηγορευμένας τροφάς.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 5

Δ Μακ. 5,1 - Προκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ τύραννος Ἀντίοχος ἐπί τινος ὑψηλοῦ τόπου καὶ τῶν στρατευμάτων αὐτῷ ἐνόπλων κυκλόθεν παρεστηκότων, παρεκέλευε τοῖς δορυφόροις

Δ Μακ. 5,1 - Εγκατασταθείς, λοιπόν, ο τύραννος Αντίοχος εις τόπον υψηλόν και λαβών την πρώτην θέσιν μεταξύ των συμβούλων του, περιστοιχιζόμενος δε από τα ένοπλα στρατεύματά του, έδωκεν εντολήν στους σωματοφύλακάς του,

Δ Μακ. 5,2 - ἕνα ἕκαστον τῶν Ἑβραίων ἐπισπᾶσθαι, καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι·

Δ Μακ. 5,2 - να τραβούν ενός εκάστου Ιουδαίου το δέρμα δια να εξαφανίσουν την περιτομήν των, και να τους αναγκάζουν να γεύωνται κρέατα χοιρινά και κρέατα από εκείνα, που προσεφέρθησαν θυσία εις τα είδωλα.

Δ Μακ. 5,3 - εἰ δέ τινες μὴ θελήσειαν μιαροφαγῆσαι, τούτους τροχισθέντας ἀναιρεθῆναι.

Δ Μακ. 5,3 - Εάν δε μερικοί δεν ήθελαν να φάγουν τροφήν μολυσμένην, να φονεύωνται μέ τον βασανιστικόν τροχόν.

Δ Μακ. 5,4 - πολλῶν δὲ συναρπασθέντων εἷς πρῶτος ἐκ τῆς ἀγέλης Ἑβραῖος ὀνόματι Ἐλεάζαρος, τὸ γένος ἱερεύς, τὴν ἐπιστήμην νομικός, καὶ τὴν ἡλικίαν προήκων καὶ πολλοῖς τῶν περὶ τὸν τύραννον διὰ τὴν ἡλικίαν γνώριμος, παρήχθη πλησίον αὐτοῦ. -

Δ Μακ. 5,4 - Αφού δε πολλοί συνηρπάσθησαν βιαίως και υπεχώρησαν, ωδηγήθη προς αυτόν κάποιος Εβραίος, πρώτος από το πλήθος, ονόματι Ελεάζαρος, ιερατικού γένους, νομικός ως προς την επιστήμην, και προχωρημένος εις την ηλικίαν, λόγω δε της ηλικίας του γνωστός εις πολλούς από εκείνους, που περιεστοίχιζαν τον τύραννον.

Δ Μακ. 5,5 - Καὶ αὐτὸν ἰδὼν ὁ Ἀντίοχος ἔφη·

Δ Μακ. 5,5 - Οταν τον αντίκρυσεν ο Αντίοχος του ειπέ·

Δ Μακ. 5,6 - ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων, ὦ πρεσβῦτα, συμβουλεύσαιμ᾿ ἄν σοι ταῦτα, ὅπως ἀπογευσάμενος τῶν ὑείων σώζοιο· αἰδοῦμαι γάρ σου τὴν ἡλικίαν καὶ τὴν πολιάν, ἣν μετὰ τοσοῦτον ἔχων χρόνον οὐ μοι δοκεῖς φιλοσοφεῖν τῇ Ἰουδαίων χρώμενος θρησκείᾳ.

Δ Μακ. 5,6 - “εγώ, γέροντα, πριν αρχίσουν εναντίον σου τα βασανιστήρια, θα ήθελα να σου δώσω την εξής συμβουλήν· Να γευθής το χοιρινόν κρέας και να σωθής. Σέβομαι την ηλικίαν σου και τα άσπρα σου μαλλιά, τα οποία, καίτοι από τόσου χρόνου τα έχεις, δεν μου φαίνεται, ότι φιλοσοφείς ορθώς, αφού δέχεσαι την Ιουδαϊκήν θρησκείαν.

Δ Μακ. 5,7 - διατί γὰρ τῆς φύσεως κεχαρισμένης καλλίστην τὴν τοῦδε τοῦ ζώου σαρκοφαγίαν βδελύττῃ;

Δ Μακ. 5,7 - Διατί, σε παρακαλώ, ενώ αυτή αύτη η φύσις μας έχει χαρίσει την γευστικωτάτην τροφήν του ζώου αυτού, συ την αποστρέφεσαι μετά βδελυγμίας;

Δ Μακ. 5,8 - καὶ γὰρ ἀνόητον τοῦτο δοκεῖ, τὸ μὴ ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων, καὶ ἄδικον ἀποστρέφεσθαι τὰς τῆς φύσεως χάριτας.

Δ Μακ. 5,8 - Τούτο βεβαίως θεωρείται ανόητον, το να μη απολαμβανη, δηλαδή, κανείς κάτι ευχάριστον, που δεν του προσάπτει εντροπήν, αλλά είναι και άδικον, να δείχνη αποστροφήν προς τας δωρεάς της φύσεως.

Δ Μακ. 5,9 - σὺ δέ μοι καὶ ἀνοητότερον ποιήσειν δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς ἔτι κἀμοῦ καταφρονήσεις ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ.

Δ Μακ. 5,9 - Αλλά συ, νομίζω, ότι θα κάμης κάτι περισσότερον ανόητον, εάν υπερηφανευόμενος ότι κατέχεις, τάχα, την αλήθειαν, περιφρονήσης ακόμη και εμέ, με συνέπειαν να τιμωρηθής.

Δ Μακ. 5,10 - οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου φιλοσοφίας ὑμῶν

Δ Μακ. 5,10 - Δεν θα εξυπνήσης από την μωρολόγον θρησκείαν σας;

Δ Μακ. 5,11 - καὶ ἀποσκεδάσεις τῶν λογισμῶν σου τὸν λῆρον καὶ ἄξιον τῆς ἡλικίας ἀναλαβὼν νοῦν φιλοσοφήσεις τὴν τοῦ συμφέροντος ἀλήθειαν

Δ Μακ. 5,11 - Δεν θα πετάξης μακράν τους ανοήτους συλλογισμούς σου; Δεν θα σκεφθής το αληθινόν συμφέρον σου δεικνύων σύνεσιν και νουν άξιον της ηλικίας σου,

Δ Μακ. 5,12 - καὶ προσκυνήσας μου τὴν φιλάνθρωπον παρηγορίαν οἰκτειρήσεις τὸ σεαυτοῦ γῆρας;

Δ Μακ. 5,12 - και δεν θα λυπηθής τα γηρατεία σου, ώστε να αποδεχθής και υποταχθής εις την φιλάνθρωπον αυτήν προτροπήν μου;

Δ Μακ. 5,13 - καὶ γὰρ ἐνθυμήθητι, ὡς εἰ καί τίς ἐστι τῆσδε τῆς ὑμῶν θρησκείας ἐποπτικὴ δύναμις, συγγνωμονήσει ἄν σοι ἐπὶ πάσῃ τῇ δι᾿ ἀνάγκην γινομένῃ παρανομίᾳ. -

Δ Μακ. 5,13 - Στοχάσου ότι, και αν υπάρχη επιτέλους κάποια δύναμις, του εποπτεύει την τήρησιν των υπό της θρησκείας σας διδασκομένων, αυτή θα σε συγχωρήση, διότι παρανομείς εξαναγκαζόμενος”.

Δ Μακ. 5,14 - Τοῦτον τὸν τρόπον ἐπὶ τὴν ἔκθεσμον σαρκοφαγίαν ἐποτρύνοντος τοῦ τυράννου, λόγον ᾔτησεν ὁ Ἐλεάζαρος

Δ Μακ. 5,14 - Επειτα από μίαν τέτοιαν προτροπήν του τυράννου προς παράνομον κρεωφαγίαν, εζήτησε τον λόγον ο Ελεάζαρος.

Δ Μακ. 5,15 - καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν ἤρξατο δημηγορεῖν οὕτως·

Δ Μακ. 5,15 - Και αφού έλαβε την άδειαν ήρχισε να ομιλή ενώπιόν των ως εξής·

Δ Μακ. 5,16 - ἡμεῖς, Ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ πολιτεύεσθαι οὐδεμίαν ἀνάγκην βιαιοτέραν εἶναι νομίζομεν τῆς πρὸς τὸν νόμον ἡμῶν εὐπειθείας·

Δ Μακ. 5,16 - “Ημείς, Αντίοχε, είμεθα πεπεισμένοι, ότι πρέπει να ζώμεν σύμφωνα προς τον θείον νόμον. Και δεν νομίζομεν ότι υπάρχει κανείς εξωτερικός καταναγκασμός ισχυρότερος από την πρόθυμον υποταγήν μας στον θείον νόμον.

Δ Μακ. 5,17 - διὸ δὴ κατ᾿ οὐδένα τρόπον παρανομεῖν ἀξιοῦμεν.

Δ Μακ. 5,17 - Δια τούτο κατ' ουδένα τρόπον δεν κρίνομεν άξιον, να παραβαίνωμεν τον Νομον.

Δ Μακ. 5,18 - καίτοι εἰ κατὰ ἀλήθειαν μὴ ἦν ὁ νόμος ἡμῶν, ὡς σὺ ὑπολαμβάνεις, θεῖος, (ἄλλως δὲ νομίζομεν αὐτὸν εἶναι θεῖον) οὐδὲ οὕτως ἐξὸν ἡμῖν ἦν τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν ἀκυρῶσαι.

Δ Μακ. 5,18 - Και αν ακόμη δεν ήτο πράγματι θείος ο ιδικός μας νόμος, όπως συ νομίζεις, και εκ πλάνης, τάχα, ημείς νομίζομεν ότι είναι θείος, και πάλιν δεν θα είχομεν την εξουσίαν να παραβώμεν και να ακυρώσωμεν την πίστιν μας αυτήν περί ευσεβείας.

Δ Μακ. 5,19 - μὴ μικρὰν οὖν εἶναι νομίσῃς ταύτην, εἰ μιαροφαγήσαιμεν, ἁμαρτίαν·

Δ Μακ. 5,19 - Μη νομίσης, λοιπόν, ότι εάν γευθώμεν μολυσμένην τροφήν, είναι τούτο μικρά αμαρτία.

Δ Μακ. 5,20 - τὸ γὰρ ἐν μικροῖς καὶ ἐν μεγάλοις παρανομεῖν ἰσοδύναμόν ἐστιν,

Δ Μακ. 5,20 - Διότι το να παρανομή κανείς είτε εις μικρά είτε εις μεγάλα, είναι το ίδιον.

Δ Μακ. 5,21 - δι᾽ ἑκατέρου γὰρ ὡς ὁμοίως ὁ νόμος ὑπερηφανεῖται.

Δ Μακ. 5,21 - Και εις τας δύο περιπτώσεις ομοίως περιφρονείται ο Νομος.

Δ Μακ. 5,22 - χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν, ὥσπερ οὐ μετὰ εὐλογιστίας ἐν αὐτῇ βιούντων·

Δ Μακ. 5,22 - Ειρωνεύεσαι δε την φιλοσοφίαν μας, επειδή σύμφωνα με αυτήν δεν ζώμεν τάχα με ορθοψροσύνην.

Δ Μακ. 5,23 - σωφροσύνην τε γὰρ ἡμᾶς ἐκδιδάσκει ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν καὶ ἀνδρείαν ἐξασκεῖν, ὥστε πάντα πόνον ἑκουσίως ὑπομένειν

Δ Μακ. 5,23 - Αλλά αυτή η φιλοσοφία μας διδάσκει την σωφροσύνην, ώστε να κυριαρχώμεν επάνω εις όλας τας ηδονάς και επιθυμίας, και να ασκώμεν την ανδρείαν, ώστε να υπομένωμεν θεληματικά κάθε ταλαιπωρίαν.

Δ Μακ. 5,24 - καὶ δικαιοσύνην παιδεύει ὥστε διὰ πάντων τῶν ἠθῶν ἰσονομεῖν καὶ εὐσέβειαν ἐκδιδάσκει, ὥστε μόνον τὸν ὄντα Θεὸν σέβειν μεγαλοπρεπῶς.

Δ Μακ. 5,24 - Μας εξασκεί επίσης εις πράξεις δικαιοσύνης, ώστε η όλη συμπεριφορά μας να είναι απονομή του δικαίου. Μας διδάσκει ακόμη την ευσέβειαν, ώστε εις μόνον τον αληθινόν Θεόν να αποδίδωμεν μεγαλοπρεπή λατρείαν.

Δ Μακ. 5,25 - διὸ οὐ μιαροφαγοῦμεν· πιστεύοντες γὰρ Θεοῦ καθεστάναι τὸν νόμον οἴδαμεν ὅτι κατὰ φύσιν ἡμῖν συμπαθεῖ νομοθετῶν ὁ τοῦ κόσμου κτίστης·

Δ Μακ. 5,25 - Δια τούτο δεν τρώγομεν τροφάς μιαράς. Διότι πιστεύομεν, ότι ο νόμος έχει θεσπισθή από τον Θεόν και γνωρίζομεν ότι νομοθετών ο κτίστης του κόσμου τρέφει κατά φυσικόν λόγον συμπάθειαν προς ημάς

Δ Μακ. 5,26 - καὶ τὰ μὲν οἰκειωθησόμενα ἡμῶν ταῖς ψυχαῖς ἐπέτρεψεν ἐσθίειν. τὰ δὲ ἐναντιωθησόμενα ἐκώλυσε σαρκοφαγεῖν.

Δ Μακ. 5,26 - και επέτρεψε να τρώγωμεν, όσα πρόκειται να ωφελήσουν τας ψυχάς μας, απηγόρευσεν όμως να δοκιμάζωμεν το κρέας, όσων πρόκειται να μας βλάψη

Δ Μακ. 5,27 - τυραννικὸν δὲ οὐ μόνον ἀναγκάζειν ἡμᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν, ὅπως τῇ ἐχθίστῃ ἡμῶν μιαροφαγίᾳ ταύτῃ ἔτι ἐγγελάσῃς.

Δ Μακ. 5,27 - Τυραννική αυθαιρεσία δεν είναι μόνον να μας αναγκάζης να παρανομούμεν, αλλά και να τρώγωμεν απηγορευμένα κρέατα, με τον σκοπόν να γελάσης εξευτελιστικώς εις βάρος μας εξ αιτίας της μισητοτάτης εις ημάς αυτής βρώσεως των μιαρών.

Δ Μακ. 5,28 - ἀλλ᾽ οὐ γελάσεις κατ᾽ ἐμοῦ τοῦτον τὸν γέλωτα, οὔτε τοὺς ἱεροὺς τῶν προγόνων περὶ τοῦ φυλάξαι τὸν νόμον ὅρκους οὐ παρήσω,

Δ Μακ. 5,28 - Αλλά βεβαίως δεν θα γελάσης εις βάρος μου τον ειρωνικόν αυτόν γέλωτα, ούτε εγώ θα παραβώ τους ιερούς όρκους των προγόνων μου, τους αναφερομένους, εις την τήρησιν του Νομου,

Δ Μακ. 5,29 - οὐδ᾿ ἂν ἐκκόψειάς μου τὰ ὄμματα καὶ τὰ σπλάγχνα μου τήξειας.

Δ Μακ. 5,29 - ακόμη και αν μου βγάλης τα μάτια και λυώσης τα σπλάγχνα μου.

Δ Μακ. 5,30 - οὐχ οὕτως εἰμὶ γέρων ἐγὼ καὶ ἄνανδρος ὥστε μοι διὰ τὴν εὐσέβειαν μὴ νεάζειν τὸν λογισμόν.

Δ Μακ. 5,30 - Δεν είμαι τόσον γέρων και άνανδρος, ώστε να μη έχω ακμαίον το φρόνημά μου.

Δ Μακ. 5,31 - πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε καὶ τὸ πῦρ ἐκφύσα σφοδρότερον.

Δ Μακ. 5,31 - Δια τούτο ετοίμαζε τους τροχούς και αναρρίπιζε το πυρ, ώστε να γίνη ισχυρότερον.

Δ Μακ. 5,32 - οὐχ οὕτως οἰκτείρομαι τὸ ἐμαυτοῦ γῆρας ὥστε με δι᾿ ἐμαυτοῦ τὸν πάτριον καταλῦσαι νόμον.

Δ Μακ. 5,32 - Δεν αγαπώ και δεν λυπούμαι τόσον πολύ το γήρας μου, ώστε να καταπατήσω εγώ ο ίδιος τον Νομον των πατέρων μου.

Δ Μακ. 5,33 - οὐ ψεύσομαί σε, παιδευτὰ νόμε, οὐδὲ φεύξομαί σε οὐδ᾿ ἐξομοῦμαί σε, φίλη ἐγκράτεια,

Δ Μακ. 5,33 - Δεν θα σε διαψεύσω, ω νόμε διδάσκαλε. Δεν θα σε εγκαταλείψω, αγαπητή εγκράτεια, ούτε θα καταπατήσω τον όρκον, που έχω δώσει δια σέ!

Δ Μακ. 5,34 - οὐδὲ καταισχυνῶ σε, φιλόσοφε λόγε, οὐδὲ ἐξαρνήσομαί σε, ἱερωσύνη τιμία καὶ νομοθεσίας ἐπιστήμη·

Δ Μακ. 5,34 - Δεν θα σε εξευτελίσω, φιλόσοφε λογισμέ, ούτε θα σας αρνηθώ, σεμνή ιερωσύνη και επιστήμη της νομοθεσίας!

Δ Μακ. 5,35 - οὐδὲ μιανεῖς μου τὸ σεμνὸν γήρως στόμα οὐδὲ νομίμου βίου ἡλικίαν.

Δ Μακ. 5,35 - Συ δέ, στόμα μου, δεν θα μολύνης την σεμνήν γεροντικήν μου ηλικίαν, ούτε και το τέλος μιας ζωής αφιερωμένης στον θείον νόμον.

Δ Μακ. 5,36 - ἁγνὸν δέ με οἱ πατέρες προσδέξονται μὴ φοβηθέντα σου τὰς μέχρι θανάτου ἀνάγκας.

Δ Μακ. 5,36 - Αγνόν θα με δεχθούν οι πατέρες, διότι δεν θα έχω φοβηθή τα θανάσιμα βασανιστήριά σου.

Δ Μακ. 5,37 - ἀσεβῶν μὲν γὰρ τυραννήσεις, τῶν δὲ ἐμῶν περὶ τῆς εὐσεβείας λογισμῶν οὔτε διὰ λόγων δεσπόσεις οὔτε δι᾿ ἔργων.

Δ Μακ. 5,37 - Συ, Αντίοχε, θα βασιλεύσης επάνω εις ασεβείς· δεν θα κατευθύνης όμως συ τας ιδικάς μου πεποιθήσεις περί ευσεβείας ούτε με τας απειλάς ούτε με τα βάσανα”.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 6

Δ Μακ. 6,1 - Τοῦτον τὸν τρόπον ἀντιῤῥητορεύσαντα ταῖς τοῦ τυράννου παρηγορίαις, παραστάντες οἱ δορυφόροι πικρῶς ἔσυραν ἐπὶ τὰ βασανιστήρια τὸν Ἐλεάζαρον.

Δ Μακ. 6,1 - Ετσι απήντησεν εις τας δολίας προτροπάς του τυράννου ο Ελεάζαρος. Και αφού τον επλησίασαν οι στρατιώται, τον έσυραν βαναύσως εις τα βασανιστήρια.

Δ Μακ. 6,2 - καὶ πρῶτον μὲν περιέδυσαν τὸν γηραιὸν ἐγκοσμούμενον τῇ περὶ τὴν εὐσέβειαν εὐσχημοσύνῃ·

Δ Μακ. 6,2 - Και πρώτον μεν αφήρεσαν τα ενδύματα του γέροντος αυτού, ο οποίος εκοσμείτο με το ευπρεπές ένδυμα της ευσεβείας.

Δ Μακ. 6,3 - ἔπειτα περιαγκωνίσαντες ἑκατέρωθεν μάστιξι κατῄκιζον·

Δ Μακ. 6,3 - Επειτα, αφού του έδεσαν τους αγκώνας εκατέρωθεν, τον εχτυπούσαν δυνατά με μάστιγας.

Δ Μακ. 6,4 - πείσθητι ταῖς τοῦ βασιλέως ἐντολαῖς, ἑτέρωθεν κήρυκος ἐπιβοῶντος.

Δ Μακ. 6,4 - Από το άλλο μέρος ο κήρυξ εφώναζεν· “υπάκουσε εις τας εντολάς του βασιλέως”.

Δ Μακ. 6,5 - ὁ δὲ μεγαλόφρων καὶ εὐγενὴς ὡς ἀληθῶς Ἐλεάζαρος, ὥσπερ ἐν ὀνείρῳ βασανιζόμενος κατ᾿ οὐδένα τρόπον μετετρέπετο,

Δ Μακ. 6,5 - Ο μεγαλόψυχος όμως και αληθινά γενναίος Ελεάζαρος, σαν να εβασανίζετο μέσα σε όνειρον, κατ' ουδένα τρόπον εκάμπετο.

Δ Μακ. 6,6 - ἀλλὰ ὑψηλοὺς ἀνατείνας εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ἀπεξαίνετο ταῖς μάστιξι τὰς σάρκας ὁ γέρων καὶ κατεῤῥεῖτο τῷ αἵματι

Δ Μακ. 6,6 - Αλλά ύψωσεν ο γέρων θαρραλέους τους οφθαλμούς προς τον ουρανόν, καθ' ον χρόνον κατεξεσχίζοντο αι σάρκες με τας μάστιγας, κατερραντίζετο με το αίμα,

Δ Μακ. 6,7 - καὶ τὰ πλευρὰ κατετιτρώσκετο, καὶ πίπτων εἰς τὸ ἔδαφος ἀπὸ τοῦ μηκέτι φέρειν τὸ σῶμα τὰς ἀλγηδόνας, ὀρθὸν εἶχε καὶ ἀκλινῆ τὸν λογισμόν.

Δ Μακ. 6,7 - εγέμιζε πληγάς εις τα πλευρά και, ενώ κατέπιπτεν στο έδαφος εκ του γεγονότος, ότι δεν αντείχε πλέον το σώμα στους πόνους, διετήρει το φρόνημα ορθόν και αλύγιστον.

Δ Μακ. 6,8 - Λὰξ γέ τοι τῶν πικρῶν τις δορυφόρων εἰς τοὺς κενεῶνας ἐναλλόμενος ἔτυπτεν, ὅπως ἐξανίσταιτο πίπτων.

Δ Μακ. 6,8 - Με ορμήν τότε αποπηδών κάποιος από τους σκληρούς στρατιώτας τον εκτύπα με λακτίσματα εις τας λαγόνας, δια να σηκώνεται μετά την πτώσιν.

Δ Μακ. 6,9 - ὁ δὲ ὑπέμεινε τοὺς πόνους καὶ περιεφρόνει τῆς ἀνάγκης
Δ Μακ. 6,9 - Εκείνος υπέμεινε τους πόνους· καταφρονούσε την βίαν
Δ Μακ. 6,10 - καὶ διεκαρτέρει τοὺς αἰκισμούς, καὶ καθάπερ γενναῖος ἀθλητὴς τυπτόμενος ἐνίκα τοὺς βασανίζοντας ὁ γέρων·
Δ Μακ. 6,10 - και υπέφερε καρτερικώς τας κακοποιήσεις και ως εάν αυτός ο γέρων ήτο ρωμαλέος αθλητής, που εκτυπάτο, κατανικούσεν εκείνους, που τον εβασάνιζαν.
Δ Μακ. 6,11 - ἱδρῶν γέ τοι τὸ πρόσωπον καὶ ἐπασθμαίνων σφοδρῶς καὶ ὑπ᾿ αὐτῶν τῶν βασανιζόντων ἐθαυμάζετο ἐπὶ τῇ εὐψυχίᾳ. -
Δ Μακ. 6,11 - Με ιδρωμένον το πρόσωπον και εντόνως ασθμαίνων εθαυμάζετο και από αυτούς ακόμη τους βασανιστάς του δια την γενναιότητά του.
Δ Μακ. 6,12 - Ὅθεν τὰ μὲν ἐλεοῦντες τὰ τοῦ γήρως αὐτοῦ,
Δ Μακ. 6,12 - Δια τούτο αφ' ενός μεν από ευσπλαγχνίαν προς το γήρας του,
Δ Μακ. 6,13 - τὰ δὲ ἐν συμπαθείᾳ τῆς συνηθείας ὄντες, τὰ δὲ ἐν θαυμασμῷ τῆς καρτερίας προσιόντες αὐτῷ τινὲς τῶν τοῦ βασιλέως ἔλεγον·
Δ Μακ. 6,13 - αφ' ετέρου δε από συμπάθειαν λόγω της οικειότητος αλλά και από θαυμασμόν λόγω της καρτερίας του, αφού τον επλησίασαν μερικοί από τους συμβούλους του βασιλέως του ελεγαν·
Δ Μακ. 6,14 - τί τοῖς κακοῖς τούτοις σεαυτὸν ἀλογίστως ἀπόλεις, Ἐλεάζαρε;
Δ Μακ. 6,14 - “διατί χάνεις απερισκέπτως την ζωήν σου εξ αιτίας των δεινών αυτών, ω 'Ελεαζαρε;
Δ Μακ. 6,15 - ἡμεῖς μέν τοι τῶν ὑψημένων σοι βρωμάτων παραθήσομεν, σὺ δὲ ὑποκρινόμενος τῶν ὑείων ἀπογεύεσθαι, σώθητι. -
Δ Μακ. 6,15 - Ημείς θα σου παραθέσωμεν από τα μαγειρευμένα δια σε κρέατα και συ υποκρινόμενος ότι δοκιμάζστο χοιρινόν σώσε τον εαυτόν σου”.
Δ Μακ. 6,16 - Καὶ ὁ Ἐλεάζαρος, ὥσπερ πικρότερον διὰ τῆς συμβουλίας αἰκισθείς, ἀνεβόησε·
Δ Μακ. 6,16 - Και ο Ελεαζαρος, ωσάν να είχε κακοποιηθή οδυνηρότερα από την συμβουλή αυτήν, εκραύγασεν·
Δ Μακ. 6,17 - μὴ οὕτως κακῶς φρονήσαιμεν οἱ Ἀβραὰμ παῖδες ὥστε μαλακοψυχήσαντας ἀπρεπὲς ἡμῖν δρᾶμα ὑποκρίνασθαι.
Δ Μακ. 6,17 - “ας μη τυφλωθώμεν τόσον πολύ ημείς τα τέκνα του Αβραάμ, ώστε από δειλίαν και μικροψυχίαν να υποκριθώμεν και να παίξωμεν θέατρον, που δεν αρμόζει εις ημάς.
Δ Μακ. 6,18 - καὶ γὰρ ἀλόγιστον, εἰ πρὸς ἀλήθειαν ζήσαντες τὸν μέχρι γήρως βίον καὶ τὴν ἐπ᾿ αὐτῷ δόξαν νομίμως φυλάξαντες,

Δ Μακ. 6,18 - Διότι είναι απερίσκεπτον και παράλογον, αφού εζήσαμεν την ζωήν μας σύμφωνα προς την αλήθειαν μέχρι της γεροντικής ηλικίας και διετηρήσαμεν δια τούτο νομίμως την υπόληψίν μας,

Δ Μακ. 6,19 - νῦν μεταβαλοίμεθα καὶ αὐτοὶ μὲν ἡμεῖς γενοίμεθα τοῖς νέοις ἀσεβείας τύπος, ἵνα παράδειγμα γενώμεθα τῆς μιαροφαγίας.

Δ Μακ. 6,19 - να αλλάξωμεν τώρα συμπεριφαράν και ημείς οι ίδιοι να γίνωμεν πρότυπα ασεβείας δια τους νέους, με το να δώσωμεν το παράδειγμα της βρώσεως μολυσμένων κρεάτων.

Δ Μακ. 6,20 - αἰσχρὸν δὲ εἰ ἐπιβιώσωμεν ὀλίγον χρόνον καὶ τοῦτον καταγελώμενοι πρὸς ἁπάντων ἐπὶ δειλίᾳ,

Δ Μακ. 6,20 - Είναι δε εντροπή να ζήσωμεν επί ολίγον ακομή ύστερα από αυτά και μάλιστα εμπαιζόμενοι από όλους δια την δειλίαν μας,

Δ Μακ. 6,21 - καὶ ὑπὸ μὲν τοῦ τυράννου καταφρονηθῶμεν ὡς ἄνανδροι, τὸν δὲ θεῖον ἡμῶν νόμον μέχρι θανάτου μὴ προασπίσαιμεν.

Δ Μακ. 6,21 - και ως άνανδροι να καταφρονηθώμεν από τον τύραννον και να μη υπερασπισώμεν τον θείον νόμον μας μέχρι θανάτου.

Δ Μακ. 6,22 - πρός ταῦτα ὑμεῖς μέν, ὦ Ἀβραὰμ παῖδες, εὐγενῶς ὑπὲρ τῆς εὐσεβείας τελευτᾶτε.

Δ Μακ. 6,22 - Δι' αυτούς τους λόγους, τέκνα του Αβραάμ, γενναίως να αποθνήσκετε προ χάριν της ευσεβούς πίστεως σας.

Δ Μακ. 6,23 - οἱ δὲ τοῦ τυράννου δορυφόροι, τί μέλλετε; -

Δ Μακ. 6,23 - Σεις δέ, στρατιώται του τυράννου, διατί βραδύνετε;”

Δ Μακ. 6,24 - Πρὸς τὰς ἀνάγκας οὕτως μεγαλοφρονοῦντα αὐτὸν ἰδόντες καὶ μηδὲ πρὸς τὸν οἰκτριρμὸν αὐτῶν μεταβαλλόμενον ἐπὶ τὸ πῦρ αὐτὸν ἤγαγον.

Δ Μακ. 6,24 - Οταν τον είδαν να επιδεικνύη τόσην μεγαλοψυχίαν προ το βασανιστηρίων και να μη κάμπτεται, ακόμη και μετά την εκδήλωσιν της ευσπλαγχνίας προ αυτόν, τον ωδήγησαν στο πυρ.

Δ Μακ. 6,25 - ἔνθα διὰ κακοτέχνων ὀργάνων καταφλέγοντες αὐτὸν ὑπέῤῥιπτον καὶ δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ κατέχεον.

Δ Μακ. 6,25 - Τον έρριπτον ολίγον κατ' ολίγον εις αυτό κατακαίοντες αυτόν με όργανα κατασκευασθέντα με πολλήν κακότητα· έχυναν δε στους ρώθωνάς του και βρωμερά υγρά.

Δ Μακ. 6,26 - ὁ δὲ μέχρι τῶν ὀστέων ἤδη κατακεκαυμένος καὶ μέλλων λιποθυμεῖν ἀνέτεινε τά ὄμματα πρὸς τὸν Θεὸν καὶ εἶπεν·

Δ Μακ. 6,26 - Ο δε 'Ελεαζαρος, ενώ αι φλόγες είχαν πλέον φθάσει μέχρι και των όστών του και θα ελιποθυμούσε από στιγμή σε στιγμή, ύψωσε τα μάτια προς τον Θεόν και είπε·

Δ Μακ. 6,27 - σὺ οἶσθα, Θεέ, παρόν μοι σῴζεσθαι, βασάνοις καυστικαῖς ἀποθνήσκω διὰ τὸν νόμον.

Δ Μακ. 6,27 - “Σι Θεέ μου, γνωρίζεις ότι, ενώ ημπορούσα να σωθώ, αποθνήσκω χάριν του Νομου σου με το βασανιστήριον του πυρός.

Δ Μακ. 6,28 - τοιγαροῦν ἵλεως γενοῦ τῷ ἔθνει σου ἀρκεσθεὶς τῇ ἡμετέρᾳ ὑπὲρ αὐτῶν δίκῃ.

Δ Μακ. 6,28 - Δια τούτο, λοιπόν, γίνε σπλαγχνικός στο έθνος σου, αρκεσθείς εις την ιδικήν μας χάριν αυτών τιμωρίαν.

Δ Μακ. 6,29 - καθάρσιον αὐτῶν ποίησον τὸ ἐμὸν αἷμα καὶ ἀντίψυχον αὐτῶν λαβὲ τὴν ἐμὴν ψυχήν.

Δ Μακ. 6,29 - Καμε ιδικόν των καθαρτήριον το αίμα μου και σαν αντίτιμον της ζωής των πάρε την ιδικήν μου ζωήν”.

Δ Μακ. 6,30 - καὶ ταῦτα εἰπὼν ὁ ἱερὸς ἀνὴρ εὐγενῶς ταῖς βασάνοις ἐναπέθανε

Δ Μακ. 6,30 - Οταν είπε τα λόγια αυτά ο άγιος άνθρωπος, εξεψύχησε γενναίως εν μέσω των βασανιστηρίων.

Δ Μακ. 6,31 - καὶ μέχρι τῶν τοῦ θανάτου βασάνων ἀντέστη τῷ λογισμῷ διὰ τὸν νόμον. - Ὁμολογουμένως οὖν δεσπότης ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός.

Δ Μακ. 6,31 - Και εις αυτά τα θανάσιμα βασανιστήρια αντεστάθη χάριν του Νομου με την δύναμιν του ευσεβούς λογισμού. -Είναι, λοιπόν, αναντιρρήτως κύριος των παθών ο ευσεβής λογισμός.

Δ Μακ. 6,32 - εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ κεκρατήκει, τούτοις ἂν ἀπέδομεν τὴν τῆς ἐπικρατείας μαρτυρίαν·

Δ Μακ. 6,32 - Διότι, εάν τα πάθη είχαν κυριαρχήσει επάνω στον λογισμόν, τότε θα είμεθα υποχρεωμένοι να ομολογήσωμεν και να μαρτυρήσωμεν την κυριαρχιαν των αυτήν.

Δ Μακ. 6,33 - νυνὶ δὲ τοῦ λογισμοῦ τὰ πάθη νικήσαντος, αὐτῷ προσηκόντως τὴν τῆς ἡγεμονίας προσνέμομεν ἐξουσίαν.

Δ Μακ. 6,33 - Τωρα όμως, αφού ο λογισμός ενίκησε τα πάθη, εις αυτόν απονέμομεν, όπως αρμόζει, την εξουσίαν να ηγεμονεύη.

Δ Μακ. 6,34 - καὶ δίκαιόν ἐστιν ὁμολογεῖν ἡμᾶς τὸ κράτος εἶναι τοῦ λογισμοῦ. ὅπου γε καὶ τῶν ἔξωθεν ἀλγηδόνων ἐπικρατεῖ,

Δ Μακ. 6,34 - Και είναι δίκαιον να ομολογώμεν, ότι η δύναμις ανήκει στον ευσεβή λογισμόν, αφού κυριαρχεί και επί των προκαλουμένων από εξωτερικάς αιτίας πόνων.

Δ Μακ. 6,35 - ἐπεὶ καὶ γελοῖον· καὶ οὐ μόνον τῶν ἀλγηδόνων ἐπιδείκνυμι κεκρατηκέναι τὸν λογισμόν, ἀλλὰ καὶ τῶν ἡδονῶν κρατεῖν, καὶ μηδὲν αὐταῖς ὑπείκειν.

Δ Μακ. 6,35 - Το αντίθέτον θα ήτο γελοίον. Και δεν αποδεικνύουν μόνον ότι ο λογισμός έχει κυριαρχήσει επάνω στους πόνους, αλλ' ότι κυριαρχεί και επί των ηδονών και ότι δεν υποχωρεί καθόλου εις αυτάς.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 7

Δ Μακ. 7,1 - Ὥσπερ γὰρ ἄριστος κυβερνήτης ὁ τοῦ πατρὸς ἡμῶν Ἐλεαζάρου λογισμὸς πηδαλιουχῶν τὴν τῆς εὐσεβείας ναῦν ἐν τῷ τῶν παθῶν πελάγει

Δ Μακ. 7,1 - Καθώς ο ευσεβής λογισμός υπήρξεν εξαίρετος κυβερνήτης του πατρός ημών Ελεαζάρου κατευθύνων το πλοίον της ευσεβείας μέσα στο πέλαγος των παθών,

Δ Μακ. 7,2 - καὶ καταικιζόμενος ταῖς τοῦ τυράννου ἀπειλαῖς καὶ καταντλούμενος ταῖς τῶν βασάνων τρικυμίαις,

Δ Μακ. 7,2 - αυτός δεχόμενος τας απειλάς του τυράννου και καταταλαιπωρούμενος από τον κατακλυσμόν των βασανιστηρίων,

Δ Μακ. 7,3 - κατ᾿ οὐδένα τρόπον μετέτρεψε τοὺς τῆς εὐσεβείας οἴακας, ἕως οὗ ἔπλευσεν ἐπὶ τὸν τῆς ἀθανάτου νίκης λιμένα.

Δ Μακ. 7,3 - κατ' ουδένα τρόπον μετέτρεψε το πηδάλιον της ευσεβείας, έως ότου έφθασεν στον λιμένα της αθανάτου νίκης.

Δ Μακ. 7,4 - οὐχ οὕτως πόλις πολλοῖς καὶ ποικίλοις μηχανήμασιν ἀντέσχε ποτὲ πολιορκουμένη, ὡς ὁ πανάγιος Ἐλεάζαρος· τὴν ἱερὰν ψυχὴν αἰκισμοῖς τε καὶ στρέβλαις πυρπολούμενος ἐνίκησε τοὺς πολιορκοῦντας διὰ τὸν ὑπερασπίζοντα τῆς εὐσεβείας λογισμόν.

Δ Μακ. 7,4 - Ποτέ δεν έδειξε τόσην αντοχήν μία πόλις, όταν επολιορκείτο με πολυποικίλους πολιορκητικάς μηχανάς, όσην έδειξεν ο αγιώτατος Ελεάζαρος. Και μολονότι η ιερά ψυχή του κατεκαίετο από τας κακοποιήσεις και τας στρεβλώσεις, ενίκησεν εν τούτοις τους πολιορκητάς του χάρις στον υπέρμαχον της ευσεβείας λογισμόν.

Δ Μακ. 7,5 - ὥσπερ γὰρ πρόκρημνον ἄκραν τὴν ἑαυτοῦ διάνοιαν ὁ πατὴρ Ἐλεάζαρος ἐκτείνας, περιέκλασεν τοὺς ἐπιμαινομένους τῶν παθῶν κλύδωνας.

Δ Μακ. 7,5 - Αφού εξέτεινε γύρω από τον εαυτόν του τον νουν, ωσάν απόκρημνον και απόρθητον ακρόπολιν, συνέτριψε τας λυσσαλέας εφόδους των παθών.

Δ Μακ. 7,6 - ὦ ἄξιε τῆς ἱερωσύνης ἱερεῦ, οὐκ ἐμίανας τοὺς ἱεροὺς ὀδόντας οὐδὲ τὴν θεοσέβειαν καὶ καθαρισμὸν νόμιμον χωρήσασαν γαστέρα ἐκοινώνησας μιαροφαγίᾳ.

Δ Μακ. 7,6 - Ω άξιε λειτουργέ της ιερωσυνης, δεν εμόλυνες τους ιερούς οδόντας σου ούτε προσέφερες εις την μικροφαγίαν την κοιλίαν σου, που είχε δεχθή την θεοσέβειαν με τον καθαρμόν του Νομου.

Δ Μακ. 7,7 - ᾧ σύμφωνε νόμου καὶ φιλόσοφε θείου βίου.

Δ Μακ. 7,7 - Ω ακόλουθε και τηρητά του νόμου και φιλόσοφε του θείου βίου,

Δ Μακ. 7,8 - τοιούτους δὴ δεῖ εἶναι τοὺς ἱερουργοῦντας τὸν νόμον ἰδίῳ αἵματι καὶ γενναίῳ ἱδρῶτι τοῖς μέχρι θανάτου πάθεσιν ὑπερασπίζοντας.

Δ Μακ. 7,8 - τέτοιοι λοιπόν πρέπει να είναι οι ιεροί λειτουργοί, να υπερασπίζουν τον Νομον με το ίδιόν των αίμα και τον γενναίον ιδρώτα των δια πάθους μέχρι θανάτου.

Δ Μακ. 7,9 - σὺ πάτερ, τὴν εὐνομίαν ἡμῶν διὰ τῶν ὑπομονῶν εἰς δόξαν ἐκύρωσας καὶ τὴν ἁγιστείαν σεμνολογήσας οὐ κατέλυσας καὶ διὰ τῶν ἔργων ἐπιστοποίησας τοὺς τῆς θείας φιλοσοφίας λόγους,

Δ Μακ. 7,9 - Συ, πάτερ, με την πολήν καρτερίαν σου έδωκες το κύρος της δόξης στον σεβααμόν μας προς τον Νομον και αγωνισθείς δια την ευσέβειαν με σεμνότητα λόγων δεν κατέλυσες την πατροπαράδοτον ευσέβειαν, αλλά τουναντίον δια των έργων σου επεσφράγισες τους λόγους της θείας φιλοσοφίας.

Δ Μακ. 7,10 - ὦ βασάνων βιαιότερε γέρον, καὶ πυρὸς εὐτονώτερε πρεσβῦτα, καὶ παθῶν μέγιστε βασιλεῦ Ἐλεάζαρε.

Δ Μακ. 7,10 - Ω γέρον, ισχυρότερε από τα βασανιστήρια! Πρεσβύτα, ορμητικώτερε από το πυρ! Βασιλεύ μέγιστε επί των παθών, Ελεάζαρε!

Δ Μακ. 7,11 - ὥσπερ γὰρ ὁ πατὴρ Ἀαρὼν τῷ θυμιατηρίῳ καθωπλισμένος διὰ τοῦ ἐθνοπλήθους ἐπιτρέχων τὸν ἐμπυριστὴν ἐνίκησεν ἄγγελον,

Δ Μακ. 7,11 - Οπως ο πρόγονος ήμων ο Ααρών, ωπλισμένος ασφαλώς με το θυμιατήριον, καταδιώκων δια μέσου του πλήθους του λαού μας, ενίκησε τον πυρπολητήν άγγελον,

Δ Μακ. 7,12 - οὕτως ὁ Ἀαρωνίδης Ἐλεάζαρος διὰ τοῦ πυρὸς ὑπερτηκόμενος οὐ μετετράπη τὸν λογισμόν.

Δ Μακ. 7,12 - έτσι και ο απόγονος του Ααρών, ο Ελεάζαρος, ενώ έλυωνε από το πυρ, δεν μετέβαλε τον λογισμόν του.

Δ Μακ. 7,13 - καίτοι τὸ θαυμασιώτατον, γέρων ὤν, λελυμένων μὲν ἤδη τῶν τοῦ σώματος τόνων, περικεχαλασμένων δὲ τῶν σαρκῶν, κεκμηκότων δὲ καὶ τῶν νεύρων, ἀνενέασε

Δ Μακ. 7,13 - Το δε υπεροχώτερον, ενώ ήτο γέρων και είχον ήδη εξασθενήσει αι σωματικαί του δυνάμεις, αι σάρκες είχαν χαλαρωθή και τα νεύρα του είχαν κουρασθή, έδειξε νεανικόν φρόνημα

Δ Μακ. 7,14 - τῷ πνεύματι διὰ τοῦ λογισμοῦ καὶ τῷ ἰσακίῳ λογισμῷ τὴν πολυκέφαλον στρέβλαν ἠκύρωσεν.

Δ Μακ. 7,14 - και κατά το πνεύμα δια του λογισμού, και με τον ισάξιον του πνεύματος λογισμόν ηχρήστευσε την πολυκέφαλον στρέβλαν του μαρτυρίου.

Δ Μακ. 7,15 - ὦ μακαρίου γήρως καὶ σεμνῆς πολιᾶς καὶ βίου νομίμου, ὃν πιστὴ θανάτου σφραγὶς ἐτελείωσεν.

Δ Μακ. 7,15 - Ω μακάριον γήρας, σεβαστή λευκότης και ζωη, σύμφωνος προς τον Νομον, που τον ωλοκλήρωσε πιστή σφραγίς θανάτου!

Δ Μακ. 7,16 - εἰ δέ τοίνυν γέρων ἀνὴρ τῶν μέχρι θανάτου βασάνων περιεφρόνησε δι᾽ εὐσέβειαν, ὁμολογουμένως ἡγεμών ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός.

Δ Μακ. 7,16 - Εάν, λοιπόν, ενας ανήρ γέρων κατεφρόνησε τα μέχρι θανάτου βασανιστήρια δια την θεοσέβειαν, πρέπει να ομολογήσωμεν ότι ο ευσεβής λογισμός είναι κύριος των παθών.

Δ Μακ. 7,17 - Ἴσως δ᾽ ἂν εἴποιέν τινες· τῶν παθῶν οὐ πάντες περικρατοῦσιν, ὅτι οὐδὲ πάντες φρόνιμον ἔχουσι τὸν λογισμόν.

Δ Μακ. 7,17 - Θα είχαν, ίσως, μερικοί την εξής αντίρρησιν· δεν γίνονται όλοι κύριοι επί των παθών, διότι δεν έχουν όλοι σώφρονα τον λογισμόν.

Δ Μακ. 7,18 - ἀλλ᾽ ὅσοι εὐσεβείας προνοοῦσιν ἐξ ὅλης καρδίας, οὗτοι μόνοι δύνανται κρατεῖν τῶν τῆς σαρκὸς παθῶν,

Δ Μακ. 7,18 - Αλλά όσοι με όλην την ψυχήν των κάμνουν αντικείμενον της φροντίδος των την ευσέβειαν, μόνον αυτοί έχουν την δύναμιν να κυριαρχήσουν επί των παθών της σαρκός,

Δ Μακ. 7,19 - πιστεύοντες, ὅτι Θεῷ οὐκ ἀποθνήσκουσιν, ὥσπερ οὐδὲ οἱ πατριάρχαι ἡμῶν Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, ἀλλὰ ζῶσι τῷ Θεῷ.

Δ Μακ. 7,19 - με την πίστιν, ότι δεν αποθνήσκουν ενώπιον του Θεού όπως δεν απέθανον ούτε οι πατριάρχαι ημών 'Αβρααμ, Ισαάκ και Ιακώβ, αλλά είναι ζώντες εν τω Θεώ.

Δ Μακ. 7,20 - οὐδὲν οὖν ἐναντιοῦται τὸ φαίνεσθαί τινας παθοκρατεῖσθαι διὰ τὸν ἀσθενῆ λογισμόν.

Δ Μακ. 7,20 - Δεν αποτελεί λοιπόν αντίθετον απόδειξιν το γεγονός ότι μερικοί κυριαρχούνται από τα πάθη εξ αιτίας ασθενούς λογισμού.

Δ Μακ. 7,21 - ἐπεὶ τίς πρὸς ὅλον τὸν τῆς φιλοσοφίας κανόνα εὐσεβῶς φιλοσοφῶν

Δ Μακ. 7,21 - Ας σκεφθώμεν τούτο· ποιός, ενώ ζη ευσεβώς με τους οφθαλμούς εστραμμένους προς όλην την κλίμακα της φιλοσοφίας της ζωής,

Δ Μακ. 7,22 - καὶ πεπιστευκὼς Θεῷ καὶ εἰδὼς ὅτι τὸ διὰ τὴν ἀρετὴν πάντα πόνον ὑπομένειν μακάριόν ἐστιν, οὐκ ἂν περικρατήσειεν τῶν παθῶν διὰ τὴν θεοσέβειαν;

Δ Μακ. 7,22 - εάν έχη πίστιν στον Θεόν και γνωρίζη ότι μακαριότης είναι το να υπομένη κάθε τόσον χάριν της αρετής, ποιός δεν θα αποδειχθή κύριος των παθών εξ αιτίας του σεβασμού του προς τον Θεόν;

Δ Μακ. 7,23 - μόνος γὰρ ὁ σοφὸς καὶ σώφρων ἀνδρεῖός ἐστι τῶν παθῶν κύριος.

Δ Μακ. 7,23 - Μονος ο σοφός και σώφρων είναι ανδρείος και κύριος των παθών.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 8

Δ Μακ. 8,1 - Διὰ τοῦτό γέ τοι καὶ μειρακίσκοι τῷ τῆς εὐσεβείας λογισμῷ φιλοσοφοῦντες χαλεπωτέρων βασανιστηρίων ἐπεκράτησαν.
Δ Μακ. 8,1 - Δια τούτο ακριβώς και νεαρά ακόμη παλληκάρια, εμπνεόμενα από τον ευσεβή λογισμόν, ενίκησαν πολύ βαρύτερα βασανιστήρια.
Δ Μακ. 8,2 - ἐπειδὴ γὰρ κατά τὴν πρώτην πεῖραν ἐνικήθη περιφανῶς ὁ τύραννος μὴ δυνηθεὶς ἀναγκάσαι γέροντα μιαροφαγῆσαι, τότε δὴ σφόδρα περιπαθῶς ἐκέλευσεν ἄλλους ἐκ τῆς ἡλικίας τῶν Ἑβραίων ἀγαγεῖν, καὶ εἰ μὲν μιαροφαγήσαιεν, ἀπολύειν φαγόντας, εἰ δὲ ἀντιλέγοιεν, πικρότερον βασανίζειν.
Δ Μακ. 8,2 - Επειδή κατά την πρώτην δοκιμήν ενικήθη ολοφάνερα ο τύραννος, αφού δεν ημπόρεσε να εξαναγκάση τον γέροντα εις μιαροφαγίαν, τότε πλέον με πολλήν εμπάθειαν διέταξε να φέρουν εμπρός του άλλους από την τάξιν των Εβραίων· και εάν μεν εδέχοντο να φάγουν από τας μιαράς τροφάς να τους απολύσουν, αφού θα ετρωγαν προηγουμένως. Εάν όμως ανθίσταντο, να τους βασανίζουν σκληρότερα.
Δ Μακ. 8,3 - ταῦτα διαταξαμένου τοῦ τυράννου, παρῆσαν ἀγόμενοι μετὰ γηραιᾶς μητρὸς ἑπτὰ ἀδελφοί, καλοί τε καὶ αἰδήμονες καὶ γενναῖοι καὶ ἐν παντὶ χαρίεντες.
Δ Μακ. 8,3 - Επειτα από την διαταγήν αυτήν του τυράννου, ωδηγήθησον εμπρός του συνοδευόμενοι υπό της γηραιάς μητρός των επτά αδελφοί, ωραίοι, σεμνοί, ρωμαλέοι και κοσμημένοι με κάθε χάριν.
Δ Μακ. 8,4 - οὓς ἰδὼν ὁ τύραννος καθάπερ ἐν χορῷ περιέχοντας μέσην τὴν μητέρα, ἥσθη ἐπ᾿ αὐτοῖς καὶ τῆς εὐπρεπείας ἐκπλαγεὶς καὶ τῆς εὐγενείας, προσεμειδίασεν αὐτοῖς καὶ πλησίον καλέσας ἔφη.
Δ Μακ. 8,4 - Οταν τους είδεν ο τύραννος να περιβάλλουν στο μέσον την μητέρα των, όπως γίνεται στον χορόν, ησθάνθη ευχαρίστηση και έκπληκτος από την κοσμιότητα και την ευγένειαν εμειδίασε προς αυτούς και, αφού τους εκάλεσε πλησίον του, είπε·
Δ Μακ. 8,5 - ὦ νεανίαι, φιλοφρόνως ἐγὼ καθ᾿ ἑνὸς ἑκάστου ὑμῶν θαυμάζω, τὸ κάλλος καὶ τὸ πλῆθος τοσούτων ἀδελφῶν ὑπερτιμῶν, οὐ μόνον συμβουλεύω μὴ μανῆναι τὴν αὐτὴν τῷ προβασανισθέντι γέροντι μανίαν, ἀλλὰ καὶ παρακαλῶ συνείξαντάς μου τῇ συμβουλίᾳ τῆς ἐμῆς ἀπολαῦσαι φιλίας·

Δ Μακ. 8,5 - “παλληκάρια μου, με πολλήν χαράν θαυμάζω τον καθένα από σας. Υπερεκτιμών την ωραιότητα και το πλήθος τόσον πολλών αδελφών, όχι μόνον σας συμβουλεύω να μη παρασυρθήτε από την μανίαν του προηγουμένως βασανισθέντος γέροντος, αλλά και σας προτρέπω να δεχθήτε την συμβουλήν μου και να απολαύσετε την φιλίαν μου.

Δ Μακ. 8,6 - δυναίμην δ᾿ ἂν ὥσπερ κολάζειν τοὺς ἀπειθοῦντάς μου τοῖς ἐπιτάγμασιν, οὕτως καὶ εὐεργετεῖν τοὺς εὐπειθοῦντάς μοι.

Δ Μακ. 8,6 - Οπως δε ημπορώ να τιμωρώ εκείνους, που δεικνύουν ανυπακοήν εις τας διαταγάς μου, ετσι ημπορώ και να ευεργετώ εκείνους, οι οποίοι υποτάσσονται εις εμέ.

Δ Μακ. 8,7 - πεισθέντες οὖν μοι καὶ ἀρχὰς καὶ ἐπὶ τῶν ἐμῶν πραγμάτων ἡγεμονίας λήψεσθε, ἀρνησάμενοι τὸν πάτριον ὑμῶν τῆς πολιτείας θεσμόν·

Δ Μακ. 8,7 - Εάν, λοιπόν, υπακούσετε εις εμέ, θα λάβετε εις την διοίκησίν μου και αρχάς και αξιώματα, αφού αρνηθήτε τους θεσμούς της πατροπαραδότου πολιτείας σας.

Δ Μακ. 8,8 - καὶ μεταλαβόντες ἑλληνικοῦ βίου καὶ μεταδιαιτηθέντες ἐντρυφήσατε ταῖς νεότησιν ὑμῶν·

Δ Μακ. 8,8 - Αφού δε δεχθήτε να ζήσετε σύμφωνα με τον ελληνικόν τρόπον της ζωής και μεταβάλετε τον ιδικόν σας τρόπον ζωής, ημπορείτε να χαρήτε τας απολαύσεις της νεότητός σας.

Δ Μακ. 8,9 - ἐπεὶ ἐὰν ὀργίλως με διάθησθε διὰ τῆς ἀπειθείας ὑμῶν, ἀναγκάσετέ με ἐπὶ δειναῖς κολάσεσιν ἕνα ἕκαστον ὑμῶν διὰ τῶν βασάνων ἀπολέσαι.

Δ Μακ. 8,9 - Αν όμως με κάμετε να οργισθώ εναντίον σας εξ αιτίας της ανυπακοής σας, θα με αναγκάσετε να θανατώσω τον καθένα σας με σκληράς τιμωρίας και με βασανιστήρια.

Δ Μακ. 8,10 - κατελεήσατε οὖν ἑαυτούς, οὓς καὶ ὁ πολέμιος ἔγωγε καὶ τῆς ἡλικίας καὶ τῆς εὐμορφίας οἰκτείρομαι.

Δ Μακ. 8,10 - Λυπηθήτε, λοιπόν, τον εαυτόν σας, αφού και εγώ ακόμη σας λυπούμαι, εγώ ο διώκτης σας, λόγω της νεότητας και της ωραιότητός σας.

Δ Μακ. 8,11 - οὐ διαλογιεῖσθε τοῦτο, ὅτι οὐδὲν ὑμῖν ἀπειθήσασι πλὴν τοῦ μετὰ στρεβλῶν ἀποθανεῖν ἀπόκειται; -

Δ Μακ. 8,11 - Λοιπόν, δεν θα λάβετε υπ' όψιν σας και τούτο, ότι εάν απειθήσετε εις την εντολήν μου τίποτε άλλο δεν σας περιμένει, ειμή μόνον, ο θάνατος με βασανιστήρια;”

Δ Μακ. 8,12 - Ταῦτα δὲ λέγων ἐκέλευσεν εἰς τὸ ἔμπροσθεν προτεθεῖναι τὰ βασανιστήρια, ὅπως καὶ διὰ τοῦ φόβου πείσειεν αὐτοὺς μιαροφαγῆσαι.

Δ Μακ. 8,12 - Ενώ δε έλεγεν αυτά διέταξε να εκτεθούν εκεί εμπρός εις αυτούς τα όργανα του βασανισμού, ώστε και δια του φόβου να τους πείση,

να φάγουν μολυσμένας τροφάς.
Δ Μακ. 8,13 - ὡς δὲ τροχούς τε καὶ ἀρθρέμβολα, στρεβλωτήριά τε καὶ τροχαντῆρας καὶ καταπέλτας καὶ λέβητας, τήγανά τε καὶ δακτυλήθρας καὶ χεῖρας σιδηρᾶς καὶ σφῆνας καὶ τὰ ζώπυρα τοῦ πυρὸς οἱ δορυφόροι προέθεσαν, ὑπολαβὼν ὁ τύραννος ἔφη·
Δ Μακ. 8,13 - Οταν δε οι στρατιώται ετοποθέτησαν εκεί εμπρός τους τροχούς, τα όργανα εξαρθρώσεως των μελών, τα στρεβλωτήρια, τους βασανιστικούς τροχαντήρας, τους καταπέλτας, τας χύτρας, τα τηγάνια, τας δακτυλήθρας, τα σιδερένια χέρια, τας σφήνας, τα εναύσματα του πυρός, ο τύραννος αυτόν τον λόγον είπε·
Δ Μακ. 8,14 - μειράκια φοβήθητε, καὶ ἣν σέβεσθε δίκην, ἵλεως ὑμῖν ἔσται δι᾽ ἀνάγκην παρανομήσασιν.
Δ Μακ. 8,14 - “φοβηθήτε, νέοι, και η θεία δίκη, την οποίαν σεις σέβεσθε, θα γίνη ίλεως εις σας, επειδή θα έχετε παραβή τον νόμον λόγω ανάγκης”.
Δ Μακ. 8,15 - οἱ δὲ ἀκούσαντες ἐπαγωγὰ καὶ ὁρῶντες δεινά, οὐ μόνον οὐκ ἐφοβήθησαν, ἀλλὰ καὶ ἀντεφιλοσόφησαν τῷ τυράννῳ καὶ διὰ τῆς εὐλογιστίας τὴν τυραννίδα αὐτοῦ κατέλυσαν.
Δ Μακ. 8,15 - Εκείνοι όμως, αν και ήκουσαν τας προτροπάς και έβλεπαν τα φοβερά βασανιστικά όργανα, όχι μόνον δεν εφοβήθησαν, αλλά και αντέταξαν τας ίδικάς των σοφάς αντιλήψεις στον τύραννον και με την ορθότητα των συλλογισμών των εξεμηδένισαν την τυραννικήν δύναμίν του.
Δ Μακ. 8,16 - καί τοι λογισώμεθα· εἰ δειλόψυχοί τινες ἦσαν καὶ ἄνανδροι ἐν αὐτοῖς, ποίοις ἂν ἐχρήσαντο λόγοις; οὐχὶ τούτοις;
Δ Μακ. 8,16 - Ας εξετάσωμεν λοιπόν το γεγονός. Αν ήσαν μερικοί δειλοί κατά την ψυχήν και άνανδροι μεταξύ αυτών, ποίους λόγους θα εχρησιμοποιούσαν; Δεν θα εχρησιμοποιούσαν τους παρακάτω;
Δ Μακ. 8,17 - ὦ τάλανες ἡμεῖς καὶ λίαν ἀνόητοι· βασιλέως ἡμᾶς παρακαλοῦντος καὶ ἐπὶ εὐεργεσίᾳ φωνοῦντος, μὴ πεισθείημεν αὐτῷ,
Δ Μακ. 8,17 - “Ω δυστυχείς και ανόητοι ημείς, αν δεν πεισθώμεν στον βασιλέα, που μας προτρέπει και μας καλεί, δια να μας ευεργετήση,
Δ Μακ. 8,18 - εἰ βουλήμασι κενοῖς ἑαυτοὺς εὐφραίνομεν καὶ θανατηφόρον ἀπείθειαν τολμῶμεν;
Δ Μακ. 8,18 - αλλά θελήσωμεν να ευχαριστηθώμεν με ματαίας επιθυμίας και να αναλάβωμεν το τόλμημα θανασίμου ανυπακοής!
Δ Μακ. 8,19 - οὐ φοβησόμεθα, ἄνδρες ἀδελφοί, τὰ βασανιστήρια καὶ λογιούμεθα τὰς τῶν βασάνων ἀπειλὰς καὶ φευξόμεθα τὴν κενοδοξίαν ταύτην καὶ ὀλεθροφόρον ἀλαζονείαν;
Δ Μακ. 8,19 - Λοιπόν, αδελφοί, δεν θα φοβηθώμεν τα βασανιστήρια; Δεν θα αναλογισθώμεν τας απειλάς των φοβερών βασάνων; Δεν θα αποφύγωμιεν την κενόδοξον αυτήν και θανατηφόρον αλαζονείαν;

Δ Μακ. 8,20 - ἐλεήσωμεν τὰς ἑαυτῶν ἡλικίας καὶ κατοικτείρωμεν τὸ τῆς μητρὸς γῆρας

Δ Μακ. 8,20 - Ας λυπηθώμεν την νεότητά μας και τον σπαραγμόν της γηραιάς μητρός μας

Δ Μακ. 8,21 - καὶ ἐνθυμηθῶμεν ὅτι ἀπειθοῦντες τεθνηξόμεθα.

Δ Μακ. 8,21 - και ας λάβωμεν υπ' όψιν, ότι από μίαν τέτοιαν ανυπακοήν μας μας περιμένει ο θάνατος.

Δ Μακ. 8,22 - συγγνώσεται δὲ ἡμῖν καὶ ἡ θεία δίκη δι᾽ ἀνάγκην τὸν βασιλέα φοβηθεῖσιν.

Δ Μακ. 8,22 - Ας σημειωθή δε και τούτο, ότι θα μας συγχωρήση η θεία δίκη, διότι εφοβήθημεν τον βασιλέα εκ λόγων ανάγκης.

Δ Μακ. 8,23 - τί ἐξάγομεν ἑαυτοὺς τοῦ ἡδίστου βίου καὶ ἐπιστεροῦμεν ἑαυτοὺς τοῦ γλυκέος κόσμου;

Δ Μακ. 8,23 - Διατί απομακρυνόμεθα από την γλυκύτητα της ζωής και στερούμεθα από τον γεμάτον ηδονάς κόσμον;

Δ Μακ. 8,24 - μὴ βιαζώμεθα τὴν ἀνάγκην μηδὲ φιλοδοξήσωμεν ἐπὶ τῇ ἑαυτῶν στρέβλῃ.

Δ Μακ. 8,24 - Ας μη προκαλούμεν την βίαν εναντίον μας και ας μη κεντρίσωμεν την κενοδοξίαν μας με αντίτιμον τον βασανισμόν μας.

Δ Μακ. 8,25 - οὐδὲ αὐτὸς ὁ νόμος ἀκουσίως ἡμᾶς θανατοῖ φοβηθέντας τὰ βασανιστήρια.

Δ Μακ. 8,25 - Ούτε αυτός ούτος ο Νομος δεν θα μας καταδικάση εις θάνατον, επειδή ημείς ακουσίως εξ αιτίας του φόβου εκείνων των βασανιστηρίων υπεχωρήσαμεν.

Δ Μακ. 8,26 - πόθεν ἡμῖν ἡ τοσαύτη ἐντέτηκε φιλονικία καὶ ἡ θανατηφόρος ἀρέσκει καρτερία, παρὸν μετὰ ἀταραξίας ζῆν τῷ βασιλεῖ πεισθέντας;

Δ Μακ. 8,26 - Πως έχει εισχωρήσει έντος ημών η τόσον μεγάλη αγάπη προς νίκην και μας ευχαριστεί η θανατηφόρος καρτερία, ενώ είναι δυνατόν να ζήσωμεν με γαλήνην υπακούοντες στον βασιλέα;”

Δ Μακ. 8,27 - ἀλλὰ τούτων οὐδὲν εἶπον οἱ νεανίαι βασανίζεσθαι μέλλοντες οὐδὲ ἐνεθυμήθησαν.

Δ Μακ. 8,27 - Αλλά τίποτε από αυτά δεν είπαν οι νέοι, ενώ επρόκειτο να βασανισθούν, ούτε καν και τα εσκέφθησαν.

Δ Μακ. 8,28 - ἦσαν γὰρ περίφρονες τῶν παθῶν καὶ αὐτοκράτορες τῶν ἀλγηδόνων,

Δ Μακ. 8,28 - Ησαν καταφρρνηταί των παθών, κύριοι των πόνων,

Δ Μακ. 8,29 - ὥστε ἅμα τῷ παύσασθαι τὸν τύραννον συμβουλεύοντα αὐτοῖς τοῦ μιαροφαγῆσαι, πάντες διὰ μιᾶς φωνῆς ὁμοῦ, ὥσπερ ἀπὸ τῆς αὐτῆς ψυχῆς εἶπον πρὸς αὐτόν.

Δ Μακ. 8,29 - ώστε ευθύς ως έπαυσεν ο τύραννος να τους συμβουλεύη, να γευθούν τα μιαρά φαγητά, όλοι μαζή με μίαν φωνήν, ως εάν ωμιλούσαν από την ιδίαν ψυχήν, είπαν προς αυτόν.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 9

Δ Μακ. 9,1 - Τί μέλλεις, ὦ τύραννε; ἕτοιμοι γάρ ἐσμεν ἀποθνήσκειν ἢ παραβαίνειν τὰς πατρίους ἡμῶν ἐντολάς·

Δ Μακ. 9,1 - Διατί βραδύνεις, τύραννε; Είμεθα έτοιμοι να αποθάνωμεν, πάρα να παραβώμεν τας προγονικάς μας εντολάς.

Δ Μακ. 9,2 - αἰσχυνόμεθα γὰρ τοὺς προγόνους ἡμῶν εἰκότως, εἰ μὴ τῇ τοῦ νόμου εὐπειθείᾳ καὶ συμβούλῳ Μωσῇ χρησαίμεθα.

Δ Μακ. 9,2 - Διότι εντρεπόμεθα, ευλόγως, τους προγόνους μας, εάν δεν επιδείξωμεν υπακοήν στον Νομον και δεν έχωμεν σύμβουλόν μας τον Μωϋσέα.

Δ Μακ. 9,3 - σύμβουλε τύραννε παρανομίας, μὴ ἡμᾶς μισῶν ὑπὲρ αὐτοὺς ἡμᾶς ἐλέει.

Δ Μακ. 9,3 - Τυραννε, σύμβουλε της παρανομίας, ενώ εις την πραγματικότητα μας μισείς, μη δείχνης προς ημάς, ευσπλαγχνίαν περισσοτέραν, από όσην δείχνομεν ημείς στον εαυτόν μας.

Δ Μακ. 9,4 - χαλεπώτερον γὰρ αὐτοῦ τοῦ θανάτου νομίζομεν εἶναί σου τὸν ἐπὶ τῇ παρανόμῳ σωτηρίᾳ ἡμῶν ἔλεον.

Δ Μακ. 9,4 - Είναι περισσότερον επιβλαβής και από αυτόν τον θάνατον, ναμίζομεν, η συμπάθειά σου δια την παράνομον σωτηρίαν μας.

Δ Μακ. 9,5 - ἐκφοβεῖς δὲ ἡμᾶς τὸν διὰ τῶν βασάνων ἡμῖν θάνατον ἀπειλῶν, ὥσπερ οὐχὶ πρὸ βραχέος παρὰ Ἐλεαζάρου μαθών.

Δ Μακ. 9,5 - Θέλεις να μας εκφοβίσης απειλών ημάς με τον δια βασανιστηρίων θάνατον, ωσάν να μη έχης διδαχθή προ ολίγου από τον Ελεάζαρον.

Δ Μακ. 9,6 - εἰ δ᾿ οἱ γέροντες τῶν Ἑβραίων διὰ τὴν εὐσέβειαν καὶ βασανισμοὺς ὑπομείναντες εὐσέβησαν, ἀποθάνοιμεν ἂν δικαιότερον ἡμεῖς οἱ νέοι, τὰς βασάνους τῶν σῶν ἀναγκῶν ὑπεριδόντες, ἃς καὶ ὁ παιδευτὴς ἡμῶν γέρων ἐνίκησε.

Δ Μακ. 9,6 - Εάν δε οι γέροντες Εβραίοι υπέστησαν λόγω της ευσεβείας των καρτερικώς τα βασανιστήρια, θα ήτο πολύ περισσότερον δίκαιον ημείς οι νεώτεροι να αποθάνωμεν περιφρονούντες τα βασανιστήρια, που αναγκαστικώς μας επιβάλλεις και τα οποία και ο γέρων διδάσκαλός μας ενίκησε.

Δ Μακ. 9,7 - πείραζε τοιγαροῦν, τύραννε· καὶ τὰς ἡμῶν ψυχὰς εἰ θανατώσεις διὰ τὴν εὐσέβειαν, μὴ νομίσῃς ἡμᾶς βλάπτειν βασανίζων.

Δ Μακ. 9,7 - Ημπορείς, λοιπόν, να μας δοκιμάζης, τύραννε. Και αν αφαιρέσης την ζωήν μας εξ αιτίας της ευσεβείας μας, μη νομίσης, ότι μας βλάπτεις με το να μας βασανίζης.

Δ Μακ. 9,8 - ἡμεῖς μὲν γὰρ διὰ τῆσδε τῆς κακοπαθείας καὶ ὑπομονῆς τὰ τῆς ἀρετῆς Ῥθλα ἕξομεν καὶ ἐσόμεθα παρά Θεῷ, δι᾽ ὃν καὶ πάσχομεν·

Δ Μακ. 9,8 - Διότι ημείς με μίαν τέτοιαν κακοπάθειαν και υπομονήν θα αποκτήσωμεν τα βραβεία της αρετής και θα ζήσωμεν πλησίον του Θεού, προς χάριν του οποίου και θα υποφέρωμεν.

Δ Μακ. 9,9 - σὺ δὲ διὰ τὴν ἡμῶν μιαιφονίαν αὐτάρκη καρτερήσεις ὑπὸ τῆς θείας δίκης αἰώνιον βάσανον διὰ πυρός. -

Δ Μακ. 9,9 - Συ όμως εξ αιτίας αυτού του αδίκου φόνου μας θα υποστής από ιδικήν σου υπαιτιότητα αιώνιον βασανιομόν δια πυρός εκ μέρους της θείας δίκης”.

Δ Μακ. 9,10 - Ταῦτα αὐτῶν εἰπόντων, οὐ μόνον ὡς κατὰ ἀπειθούντων ἐχαλέπαινεν ὁ τύραννος, ἀλλ᾽ ὡς καὶ κατὰ ἀχαρίστων ὠργίσθη.

Δ Μακ. 9,10 - Οταν είπαν αυτά, ο τύραννος δεν εξέσπασεν απλώς εναντίον των δια την απείθειάν των, αλλά εξωργίσθη εναντίον αυτών ως αχαρίστων.

Δ Μακ. 9,11 - ὅθεν τὸν πρεσβύτατον αὐτῶν κελευθέντες παρήγαγον οἱ ὑπασπισταὶ καὶ διαῤῥήξαντες τὸν χιτῶνα διέδησαν τὰς χεῖρας αὐτοῦ καὶ τοὺς βραχίονας ἱμᾶσιν ἑκατέρωθεν.

Δ Μακ. 9,11 - Δι' αυτό αμέσως οι στρατιώται λαβόντες διαταγήν έφεραν εμπρός τον μεγαλύτερον από αυτούς και αφού εξέσχισαν τον χιτώνα του, έδεσαν με λουριά τα χέρια και τους αγκώνας του από το ένα στο άλλο μέρος.

Δ Μακ. 9,12 - ὡς δὲ τύπτοντες ταῖς μάστιξιν ἐκοπίασαν μηδὲν ἀνύοντες, ἀνέβαλον αὐτὸν ἐπὶ τὸν τροχόν.

Δ Μακ. 9,12 - Αφού δε εκουράσθησαν να τον κτυπούν και να μη επιτυγχάνουν τίποτε, τον έδεσαν επάνω στον τροχόν.

Δ Μακ. 9,13 - περὶ ὃν κατατεινόμενος ὁ εὐγενὴς νεανίας ἔξαρθρος ἐγίνετο.

Δ Μακ. 9,13 - Εις αυτόν βασανιζόμενος ο ευγενής νέος υπέστη εξαρθρώσεις των μελών

Δ Μακ. 9,14 - καὶ κατὰ πᾶν μέλος κλώμενος ἐκακηγόρει λέγων·

Δ Μακ. 9,14 - και καθ' ον χρόνον συνετρίβετο κάθε μέλος του, δεν έπαυε να κατηγορή με θάρρος τον τύραννον. Ελεγε·

Δ Μακ. 9,15 - τύραννε μιαρώτατε καὶ τῆς οὐρανίου δίκης ἐχθρὲ καὶ ὠμόφρον, οὐκ ἀνδροφονήσαντά με τοῦτον καταικίζεις τὸν τρόπον, οὐδὲ ἀσεβήσαντα, ἀλλὰ θείου νόμου προασπίζοντα.

Δ Μακ. 9,15 - “Μιαρώτατε τύραννε, εχθρέ της θείας δικαιοσύνης και σκληρόψυχε, με τυραννείς κατ' αυτόν τον τρόπον, οχι διότι είμαι δολοφόνος

η ασεβής, άλλα διότι είμαι υπερασπιστής του θείου Νομου”.

Δ Μακ. 9,16 - καὶ τῶν δορυφόρων λεγόντων· ὁμολόγησον φαγεῖν, ὅπως ἀπαλλαγῇς τῶν βασάνων,

Δ Μακ. 9,16 - Και στους δορυφόρους, που τον συνεβούλευαν, “παραδέξου, ότι θα φάγης, δια να απαλλαγής από τα βασανιστήρια”,

Δ Μακ. 9,17 - αὐτὸς εἶπεν αὐτοῖς· οὐχ οὕτως ἰσχυρὸς ὑμῶν ἐστιν ὁ τροχός, ὦ μιαροὶ διάκονοι, ὥστε μου τὸν λογισμὸν ἄγξαι· τέμνετέ μου τὰ μέλη καὶ πυροῦτε τὰς σάρκας καὶ στρεβλοῦτε τὰ ἄρθρα.

Δ Μακ. 9,17 - αυτός απήντησε· “δεν είναι τόσον σκληρός ο βασανιστικός τροχός σας, ρυπαροί υπηρέται, ώστε να συμπνίξη το λογικόν μου. Κομματιάσατε τα μέλη μου, καύσατε τας σάρκας μου, συοτρέψατε τας αρθρώσεις μου.

Δ Μακ. 9,18 - διὰ πασῶν γὰρ ὑμᾶς πείσω τῶν βασάνων, ὅτι μόνοι παῖδες Ἑβραίων ὑπὲρ ἀρετῆς εἰσιν ἀνίκητοι.

Δ Μακ. 9,18 - Με όλα αυτά τα βασανιστήρια θα σας πείσω, ότι μόνον τα τέκνα των Εβραίων δεν νικώνται στον αγώνα υπέρ της αρετής”.

Δ Μακ. 9,19 - ταῦτα λέγοντι πῦρ ὑπέστρωσαν καὶ διηρέθισαν τὸν τροχὸν προσεπικατατείνοντες·

Δ Μακ. 9,19 - Ενῷ έλεγεν αυτά, έστρωσαν εκείνοι αναμμένους άνθρακας κάτω από αυτόν και έδωκαν περισσοτέραν έντασιν στον τροχόν, τεντώνοντες τον νέον επάνω εις αυτόν.

Δ Μακ. 9,20 - ἐμολύνετο δὲ πάντοθεν αἵματι ὁ τροχός, καὶ ὁ σωρὸς τῆς ἀνθρακιᾶς τῆς τῶν ἰχώρων ἐσβέννυτο σταλαγμοῖς, καὶ περὶ τοὺς ἄξονας τοῦ ὀργάνου περιέῤῥεον αἱ σάρκες.

Δ Μακ. 9,20 - Εγέμισεν ολόγυρα από το αίμα του ο τροχός και ο σωρός της ανθρακιάς έσβησεν από τους σταλαγμούς των ιχώρων. Ελυωναν και έπεφταν αι σάρκες του από τους άξονας του βασανιστικού οργάνου,

Δ Μακ. 9,21 - καὶ περιτετμημένον ἤδη ἔχων τὸ τῶν ὀστέων πῆγμα ὁ μεγαλόφρων καὶ Ἀβραμιαῖος νεανίας οὐκ ἐστέναξεν.

Δ Μακ. 9,21 - και ενώ είχε πλέον αφαιρεθή από τα οστά το περίβλημα των σαρκών, ο μεγαλόψυχος και Αβραμιαίος εκείνος νέος δεν αφήκεν ούτε στεναγμόν.

Δ Μακ. 9,22 - ἀλλ᾿ ὥσπερ ἐν πυρὶ μετασχηματιζόμενος εἰς ἀφθαρσίαν, ὑπέμεινεν εὐγενῶς τὰς στρέβλας·

Δ Μακ. 9,22 - Αλλά, ωσάν να μετεμορφώνετο εις άφθαρτον, υπέμεινε με γενναιότητα τας στρεβλώσεις.

Δ Μακ. 9,23 - μιμήσασθέ με, ἀδελφοί, λέγων, μή μου τὸν αἰῶνα λιποτακτήσητε μηδ᾿ ἐξομόσησθέ μου τὴν τῆς εὐψυχίας ἀδελφότητα· ἱερὰν καὶ εὐγενῆ στρατείαν στρατεύσασθε ὑπὲρ τῆς εὐσεβείας,

Δ Μακ. 9,23 - “Μιμηθήτε με, έλεγεν, αδελφοί μου· μη λιποτακτήσετε προδίδοντες τον αγώνα μου και μη καταπατήσετε τον όρκον της αδελφοσύνης μας, που εδώσαμεν δια την γενναιτητα. Αναλάβετε ιεράν και ευγενή εκστρατείαν χάριν της ευσεβείας,

Δ Μακ. 9,24 - δι᾽ ἧς ἵλεως ἡ δικαία καὶ πάτριος ἡμῶν πρόνοια τῷ ἔθνει γενηθεῖσα τιμωρήσειεν τὸν ἀλάστορα τύραννον·

Δ Μακ. 9,24 - δια της οποίας, αφού φανή ευσπλαγχνική προς το έθνος μας η δικαία και πατροπαράδοτος πρόνοια, είθε να τιμωρήση τον υπερφίαλον τύραννον”.

Δ Μακ. 9,25 - καὶ ταῦτα εἰπὼν ὁ ἱεροπρεπὴς νεανίας ἀπέῤῥηξε τὴν ψυχήν.

Δ Μακ. 9,25 - Με τους λόγους αυτούς ο ιεροπρεπής νέος παρέδωκε την ψυχήν του.

Δ Μακ. 9,26 - Θαυμασάντων δὲ πάντων τὴν καρτεροψυχίαν αὐτοῦ, ἦγον οἱ δορυφόροι τὸν καθ᾽ ἡλικίαν τοῦ προτέρου δεύτερον καὶ σιδηρᾶς ἐναρμοσάμενοι χεῖρας ὀξέσι τοῖς ὄνυξιν ὀργάνῳ καὶ καταπέλτῃ προσέδησαν αὐτόν.

Δ Μακ. 9,26 - Προεκάλεσε τον θαυμασμόν όλων η δύναμις της ψυχής του. Εφεραν εν συνεχεία οι στρατιώται τον δεύτερον κατά την ηλικίαν και, αφού προσήρμοσαν σιδηράς χείρας με οξείς όνυχας, τον προσέθεσαν εις καταπέλτην.

Δ Μακ. 9,27 - ὡς δὲ εἰ φαγεῖν βούλοιτο πρὶν βασανίζεσθαι πυνθανόμενοι τὴν εὐγενῆ γνώμην ἤκουσαν,

Δ Μακ. 9,27 - Οταν δε τον ηρώτησαν, εάν θέλη πριν βασανισθή να φάγη από τα μολυσμένα φαγητά και έμαθαν την ευγενή γνώμην του,

Δ Μακ. 9,28 - ἀπὸ τῶν τενόντων ταῖς σιδηραῖς χερσὶν ἐπισπασάμενοι μέχρι γε τῶν γενείων τὴν σάρκα πᾶσαν καὶ τὴν τῆς κεφαλῆς δορὰν οἱ παρδάλειοι θῆρες ἀπέσυραν.

Δ Μακ. 9,28 - αμέσως αι αιμοδιψείς παρδάλστον εξέσχισαν, αρχίζοντες από τους τένοντας, με τα σιδηρά χέρια και αφήρεσαν την σάρκα του μέχρι των γενείων και της κεφαλής.

Δ Μακ. 9,29 - ὁ δὲ ταύτην βαρέως τὴν ἀλγηδόνα καρτερῶν ἔλεγεν· ὡς ἡδὺς πᾶς τρόπος θανάτου διὰ τὴν πάτριον ἡμῶν εὐσέβειαν· ἔφη τε πρὸς τὸν τύραννον·

Δ Μακ. 9,29 - Ο δε νέος υπομένων την οξύτητα τόσου μεγάλου πόνου έλεγε μετά καρτερίας· “πόσον γλυκύς είναι κάθε τρόπος θανάτου δια την πίστιν των προγόνων μας!” Προσέθεσε δε απευθυνθείς προς τον τύραννον·

Δ Μακ. 9,30 - οὐ δοκεῖς πάντων ὠμότατε τύραννε, πλεῖον ἐμοῦ σε νῦν βασανίζεσθαι ὁρῶν σου νικώμενον τὸν τῆς τυρανίδος ὑπερήφανον λογισμὸν ὑπὸ τῆς διὰ τὴν εὐσέβειαν ἡμῶν ὑπομονῆς;

Δ Μακ. 9,30 - “δεν νομίζεις, τύραννε ωμότατε περισσότερον από όλους, ότι την στιγμήν αυτήν υποφέρεις περισσότερον από εμέ βλέπων ότι νικάται το υπερήφανον φρόνημα του τυραννικού αξιώματός σου υπό της υπομονής, που εμπνέει εις ημάς η θρησκεία μας;

Δ Μακ. 9,31 - ἐγὼ μὲν γὰρ ταῖς διὰ τὴν ἀρετὴν ἡδοναῖς τὸν πόνον ἐπικουφίζομαι,

Δ Μακ. 9,31 - Διότι εγώ μεν αισθάνομαι ελαφρότερον τον πόνον μου εξ αιτίας της ευχαριστήσεως, που απολαμβάνω αγωνιζόμενος δια την αρετήν.

Δ Μακ. 9,32 - σὺ δὲ ἐν ταῖς τῆς ἀσεβείας ἀπειλαῖς βασανίζῃ. οὐκ ἐκφεύξῃ δέ, μιαρώτατε τύραννε, τὰς τῆς θείας ὀργῆς δίκας.

Δ Μακ. 9,32 - Συ όμως βασανίζεσαι μέσα εις τας απειλάς, που περικλείει η ασέβειά σου, και βεβαίως δεν θα διαφύγης, μιαρώτατε τύραννε, την δικαίαν τιμωρίαν της θείας οργής”.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 10

Δ Μακ. 10,1 - Καὶ τούτου τὸν ἀοίδιμον θάνατον καρτερήσαντος, ὁ τρίτος ἤγετο παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν, ὅπως ἀπογευσάμενος σῴζοιτο.

Δ Μακ. 10,1 - Αφού και ο δεύτερος αδελφός εκέρδισε δια της καρτερίας του τον ένδοξον θάνατον, ωδηγήθη ο τρίτος. Πολλάς προτροπάς ήκουσεν από πολλούς να γευθή τα μολυσμένα φαγητά και να σωθή.

Δ Μακ. 10,2 - ὁ δὲ ἀναβοήσας ἔφη· ἢ ἀγνοεῖτε ὅτι ὁ αὐτός με τοῖς ἀποθανοῦσιν ἔσπειρε πατήρ, καὶ ἡ αὐτὴ μήτηρ ἐγέννησε, καὶ ἐπὶ τοῖς αὐτοῖς ἀνετράφημεν δόγμασιν;

Δ Μακ. 10,2 - Αυτός όμως με μεγάλην κραυγήν είπεν· “αλλά αγνοείτε πράγματι, ότι ο ίδιος πατέρας με έσπειρε και η ίδια μητέρα με εγέννησε, όπως τους προ ολίγου μαρτυρήσαντας αδελφούς μου, και με την αυτήν πίστιν ανετράφημεν όλοι;

Δ Μακ. 10,3 - οὐκ ἐξόμνυμαι τὴν εὐγενῆ τῆς ἀδελφότητός μου συγγένειαν.

Δ Μακ. 10,3 - Δεν απορρίπτω τον ευγενή δεσμόν της αδελφωσύνης.

Δ Μακ. 10,4 - πρὸς ταῦτα εἴ τι ἔχετε κολαστήριον προσαγάγετε τῷ σώματί μου· τῆς γὰρ ψυχῆς μου, οὐδ᾿ ἂν θέλητε ἅψασθαι, δύνασθε.

Δ Μακ. 10,4 - Εάν έχετε κανένα άλλο βασανιστήριον, έκτος από αυτά εδώ, φέρετέ τα δια το σώμα μου. Διότι την ψυχήν μου, και εάν ακόμη θέλετε, δεν ημπορείτε ούτε καν να την εγγίσετε”.

Δ Μακ. 10,5 - οἱ δὲ πικρῶς ἐνέγκαντες τὴν παῤῥησίαν τοῦ ἀνδρός, ἀρθρεμβόλοις ὀργάνοις τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας ἐξήρθρουν καὶ ἐξ ἁρμῶν ἀναμοχλεύοντες ἐξεμέλιζον,

Δ Μακ. 10,5 - Εκείνοι τότε με μοχθηράν δυσαρέσκειαν ανεχθέντες το θάρρος του νέου εξήρθρωσαν τας χείρας και τους πόδας του με όργανα στρεβλωτικά των αρθρώσεων και εκβαλλοντες τα οστά από τους αρμούς των ηχρήστευαν τα μέλη του,

Δ Μακ. 10,6 - καὶ τοὺς δακτύλους καὶ τοὺς βραχίονας καὶ τὰ σκέλη καὶ τοὺς ἀγκῶνας περιέκλων.

Δ Μακ. 10,6 - καίετσάκιζαν τα δάκτυλα, τους βραχίονας, τα σκέλη και τους αγκώνας.

Δ Μακ. 10,7 - καὶ κατὰ μηδένα τρόπον ἰσχύοντες αὐτὸν ἄγξαι περισύραντες τό δέρμα σὺν ἄκραις ταῖς τῶν δακτύλων κορυφαῖς ἀπεσκύθιζον· καὶ εὐθέως ἦγον ἐπὶ τὸν τροχόν,

Δ Μακ. 10,7 - Επειδή όμως με κανένα τρόπον δεν ήσαν τόσον ισχυροί, ώστε να δημιουργήσουν απόγνωσιν, αφού ετράβηξαν το δέρμα γύρω από το σώμα μαζή με τας κορυφάς των δακτύλων, ήρχισαν να τον γδέρνουν και έτσι τον ωδήγησαν αμέσως στον τροχόν.

Δ Μακ. 10,8 - περὶ ὃν ἐκ σπονδύλων ἐκμελιζόμενος ἑώρα τὰς ἑαυτοῦ σάρκας περιλακιζομένας καὶ κατὰ σπλάγχνων σταγόνας αἵματος ἀποῤῥεούσας.

Δ Μακ. 10,8 - Καθώς δε τον περιέστρεφαν, ήρχισεν αυτός να σπαράσσεται από της σπονδυλικής στήλης και έβλεπε τας σάρκας του να διασκορπίζωνται εις μικρά κομμάτια και από τα σπλάγχνα του να ρέουν σταγόνες αίματος.

Δ Μακ. 10,9 - μέλλων δὲ ἀποθνήσκειν ἔφη·

Δ Μακ. 10,9 - Οταν επρόκειτο να αποθάνη, είπεν·

Δ Μακ. 10,10 - ἡμεῖς μέν, ὦ μιαρώτατε τύραννε, διὰ παιδείαν καὶ ἀρετὴν Θεοῦ ταῦτα πάσχομεν·

Δ Μακ. 10,10 - “ημείς, μιαρώτατε τύραννε, υποφέρομεν τα δείνα αυτά ως δοκιμασίαν από τον Θεόν χάριν της ιδικής μας τελειώσεως εις την αρετήν.

Δ Μακ. 10,11 - σὺ δὲ διὰ τὴν ἀσέβειαν καὶ μιαιφονίαν ἀκαταλύτους καρτερήσεις βασάνους. -

Δ Μακ. 10,11 - Συ όμως εξ αιτίας της ασεβείας σου και των ανιέρων φόνων, που διαπράττεις, θα υποστής αιώνια βασανιστήρια”.

Δ Μακ. 10,12 - Καὶ τούτου θανόντος ἀδελφοπρεπῶς, τὸν τέταρτον ἐπεσπῶντο λέγοντες·

Δ Μακ. 10,12 - Οταν δε και αυτός απέθανεν ανταξίως των αδελφών του, έσυραν τον τέταρτον εκεί πλησίον και του ελεγαν·

Δ Μακ. 10,13 - μὴ συμμανῇς καὶ σὺ τοῖς ἀδελφοῖς σου τὴν αὐτὴν μανίαν, ἀλλὰ πεισθεὶς τῷ βασιλεῖ, σῷζε σεαυτόν.

Δ Μακ. 10,13 - “μη θελήσης να συμμερισθής και συ την ιδίαν μανίαν με τους αδελφούς σου. Υπάκουσε στον βασιλέα και σώσε τον εαυτόν σου”.

Δ Μακ. 10,14 - ὁ δὲ αὐτοῖς ἔφη· οὐχ οὕτως καυστικώτερον ἔχετε κατ᾽ ἐμοῦ τὸ πῦρ ὥστε με δειλανδρῆσαι.

Δ Μακ. 10,14 - Εκείνος όμως απήντησεν εις αυτούς· “δεν έχει τόσον μεγαλυτέραν καυστικήν ενέργειαν το πυρ εναντίον μου, παρ' όσον στους αδελφούς μου, ώστε να με κάμετε να δείξω δειλίαν.

Δ Μακ. 10,15 - μὰ τὸν μακάριον τῶν ἀδελφῶν μου θάνατον καὶ τὸν αἰώνιον τοῦ τυράννου ὄλεθρον καὶ τὸν ἀΐδιον τῶν εὐσεβῶν βίον οὐκ ἀρνήσομαι τὴν εὐγενῆ ἀδελφότητα.

Δ Μακ. 10,15 - Ορκίζομαι στον μακάριον θάνατον των αδελφών μου και στον αιώνιον όλεθρον του τυράννου, όπως επίσης και εις την αιωνίαν ζωήν των ευσεβών, ότι δεν θα αρνηθώ τον ευγενή αδελφικόν μου σύνδεσμον.

Δ Μακ. 10,16 - ἐπινόει, τύραννε, βασάνους, ἵνα καὶ διὰ τούτων μάθῃς, ὅτι ἀδελφός εἰμι τῶν προβασανισθέντων.

Δ Μακ. 10,16 - Επινόησε, τύραννε, και άλλα βασανιστήρια, δια να μάθης και με τον τρόπον αυτόν ότι είμαι αδελφός εκείνων, οι οποίοι προηγουμένως εβασανίσθησαν.

Δ Μακ. 10,17 - ταῦτα ἀκούσας ὁ αἱμοβόρος καὶ φονώδης καὶ παμμιαρώτατος Ἀντίοχος, ἐκέλευσε τὴν γλῶτταν αὐτοῦ ἐκτεμεῖν.

Δ Μακ. 10,17 - Οταν ήκουσε τους λόγους αυτούς ο αιμοβόρος και εγκληματικός και παμμιαρώτατος Αντίοχος, διέταξε να του αποκόψουν την γλώσσαν.

Δ Μακ. 10,18 - ὁ δὲ ἔφη· κἂν ἀφέλῃς τὸ τῆς φωνῆς ὄργανον, καὶ σιωπώντων ἀκούει ὁ Θεός·

Δ Μακ. 10,18 - Εκείνος όμως επρόφθασε να είπη· “και εάν μου αφαίρεσης το όργανον της ομιλίας, ο Θεός με ακούει, όπως ακούει και δσους σιωπούν.

Δ Μακ. 10,19 - ἰδοὺ προκεχάλασται ἡ γλῶσσα, τέμνε, οὐ γὰρ παρά τοῦτο τὸν λογισμὸν ἡμῶν γλωσσοτομήσεις.

Δ Μακ. 10,19 - Ιδού, έχει βγη έξω η γλώσσα μου και κόψε αυτήν. Δεν ημπορείς βεβαίως μαζή με αυτήν να κόψης σαν την γλώσσαν και τον λογισμόν.

Δ Μακ. 10,20 - ἡδέως ὑπὲρ τοῦ νόμου τοῦ Θεοῦ τὰ τοῦ σώματος μέλη ἀκρωτηριαζόμεθα.

Δ Μακ. 10,20 - Με πολλήν ευχαρίστησιν δεχόμεθα ακρωτηριασμόν των μελών του σώματός μας χάριν του θείου νόμου.

Δ Μακ. 10,21 - σὲ δὲ ταχέως μετελεύσεται ὁ Θεός, τὴν γὰρ τῶν θείων ὕμνων μελῳδὸν γλῶτταν ἐκτέμνεις.

Δ Μακ. 10,21 - Σε όμως ταχέως θα καταδιώξη ο Θεός, διότι αποκόπτεις την γλώσσαν, η οποία ψάλλει τας μελωδίας των θείων ύμνων”.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 11

Δ Μακ. 11,1 - Ὡς δὲ καὶ οὗτος ταῖς βασάνοις καταικισθεὶς ἐναπέθανεν, ὁ πέμπτος παρεπήδησε λέγων·
Δ Μακ. 11,1 - Αμέσως μόλις και αυτός απέθανεν εν μέσω σκληρότατου βασανισμού, ώρμησεν ο πέμπτος στον χώρον του μαρτυρίου λέγων·
Δ Μακ. 11,2 - οὐ μέλλω, τύραννε, πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς βασανισμὸν παραιτεῖσθαι,
Δ Μακ. 11,2 - "δεν πρόκειται, τύρανε, να παραιτηθώ από τον, χάριν της αρετής, βασανισμόν.
Δ Μακ. 11,3 - αὐτὸς δ᾿ ἀπ᾿ ἐμαυτοῦ παρῆλθον, ὅπως κἀμὲ κατακτείνας περὶ πλειόνων ἀδικημάτων ὀφειλήσῃς τῇ οὐρανίῳ δίκῃ τιμωρίαν.
Δ Μακ. 11,3 - Ηλθον έδω ο ίδιος αυτοπροαιρέτως, δια να φονεύσης και εμέ και να γίνης έτσι ένοχος τιμωρίας από την θείαν δίκην δια περισσότερα αδικήματα.
Δ Μακ. 11,4 - ὦ μισάρετε καὶ μισάνθρωπε, τί δράσαντας ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον;
Δ Μακ. 11,4 - Εχθρέ της αρετής και τα ανθρώπων, τι επράξαμεν και μας φονεύεις κατ' αυτόν τον τρόπον;
Δ Μακ. 11,5 - ἢ κακόν σοι δοκεῖ ὅτι τὸν πάντων κτίστην εὐσεβοῦμεν καὶ κατὰ τὸν ἐνάρετον αὐτοῦ ζῶμεν νόμον;
Δ Μακ. 11,5 - Θεωρείς κακόν ότι αποδίδομεν λατρείαν στον κτίστην των όλων και ρυθμίζομεν την ζωη μας σύμφωνα με τον ηθικόν νόμον του;
Δ Μακ. 11,6 - ἀλλὰ ταῦτα τιμῶν, οὐ βασάνων ἐστὶν ἄξια.
Δ Μακ. 11,6 - Τούτο όμως είναι άξιον τιμής και όχι βασανισμών.
Δ Μακ. 11,7 - εἴπερ ᾐσθάνου ἀνθρώπου πόθον καὶ ἐλπίδα εἶχες παρὰ Θεῷ σωτηρίου·
Δ Μακ. 11,7 - Εάν είχες ανθρώπινα αισθήματα, θα είχες πόθον και ελπίδαν εύρης σωτηρίαν εκ μέρους του Θεού.
Δ Μακ. 11,8 - νυνὶ δὲ ἀλλότριος ὢν Θεοῦ πολεμεῖς τοὺς εὐσεβοῦντας εἰς τὸν Θεόν.
Δ Μακ. 11,8 - Συ όμως είσαι εχθρός του Θεού και πολεμείς τους αποδίδοντας εις αυτόν σεβασμόν".
Δ Μακ. 11,9 - τοιαῦτα δὲ λέγοντα οἱ δορυφόροι δήσαντες αὐτὸν εἷλκον ἐπὶ τὸν καταπέλτην,
Δ Μακ. 11,9 - Ενῷ ωμιλούσε κατ' αυτόν τον τρόπον, οι στρατιώται τον έδεσαν και το έσυραν προς τον καταπέλτην.
Δ Μακ. 11,10 - ἐφ᾿ ὃν δήσαντες αὐτὸν ἐπὶ τὰ γόνατα καὶ ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες τὴν ὀσφὺν αὐτοῦ περὶ τροχιαῖον σφῆνα

κατέκαμψαν, περὶ ὃν ὅλος περὶ τὸν τροχὸν σκορπίου τρόπον ἀνακλώμενος ἐξεμελίζετο.

Δ Μακ. 11,10 - Αφού τον έδεσαν επάνω εις αυτόν, τον ηνάγκασαν να κάμψη τα γόνατα προσαρμόζοντες τους πόδας του εις σιδηράς ποδάγρας. Ελύγισαν δε και την μέσην του γύρω από τον άξονα του τροχού. Αυτό λυγισμένος γύρω από τον άξονα κατ' τον τρόπον του σκορπιού, ησθάνθη να αποκόπτωνται τα μέλη του.

Δ Μακ. 11,11 - κατὰ τοῦτον τὸν τρόπον καὶ τὸ πνεῦμα στενοχωρούμενος καὶ τὸ σῶμα ἀγχόμενος,

Δ Μακ. 11,11 - Εις αυτήν την οδυνηράν και αγχώδη τόσον δια το πνεύμα όσον και δια το σώμα θέσιν είχε την δύναμιν να λέγη·

Δ Μακ. 11,12 - καλάς, ἔλεγεν, ἄκων, ὦ τύραννε, χάριτας ἡμῖν χαρίζῃ διὰ γενναιοτέρων πόνων ἐπιδείξασθαι παρέχων τὴν εἰς τὸν νόμον ἡμῶν καρτερίαν. -

Δ Μακ. 11,12 - “χωρίς να θέλης, τύραννε, μας προσφέρης ωραίαν εκδούλευσιν, διότι παρέχεις εις ημάς ευκαιρίαν να δείξωμεν την καρτερίαν και την αφοσίωσίν μας στον Νομον μας δια μέσου πονών ισχυροτέρων”.

Δ Μακ. 11,13 - Τελευτήσαντος δὲ καὶ τούτου, ὁ ἕκτος ἤγετο μειρακίσκος, ὃς πυνθανομένου τοῦ τυράννου εἰ βούλοιτο φαγὼν ἀπολύεσθαι, ὁ δὲ ἔφη·

Δ Μακ. 11,13 - Επειτα από το τέλος και τούτου εφέρετο ο έκτος νεανίσκος, ο οποίος εις ερώτησιν του τυράννου, αν ήθελε να φάγη και ελευθερωθή απήντησεν·

Δ Μακ. 11,14 - ἐγὼ τῇ μὲν ἡλικίᾳ τῶν ἀδελφῶν μού εἰμι νεώτερος, τῇ δὲ διανοίᾳ ἡλικιώτης·

Δ Μακ. 11,14 - “ως προς τη ηλικίαν είμαι βεβαίως εγώ νεώτερος από τους αδελφούς μου, κατά τας πεποιθήσεις όμως είμαι συνηλικιώτης των.

Δ Μακ. 11,15 - εἰς τὰ αὐτὰ γὰρ καὶ γεννηθέντες καὶ τραφέντες, ὑπὲρ τῶν αὐτῶν καὶ ἀποθνήσκειν ὀφείλομεν ὁμοίως·

Δ Μακ. 11,15 - Και αφού εγεννήθημεν και ανετράφημεν με τας αυτάς αρχάς, προς χάριν αυτών των αρχών οφείλομεν εξ ίσου και να αποθάνωμεν.

Δ Μακ. 11,16 - ὥστε εἰ σοὶ δοκεῖ βασανίζειν μὴ μιαροφαγοῦντα, βασάνιζε.

Δ Μακ. 11,16 - Ωστε αν θεωρής καλό να με βασανίζης, επειδή δεν τρώγω ακάθαρτα, βασάνιζέ με”.

Δ Μακ. 11,17 - ταῦτα αὐτὸν εἰπόντα παρῆγον ἐπὶ τὸν τροχόν,

Δ Μακ. 11,17 - Οταν είπεν αυτούς τους λόγους, τον οδήγησαν στο τροχόν

Δ Μακ. 11,18 - ἐφ᾿ οὗ κατατεινόμενος ἐκμελῶς καὶ ἐκσπονδυλιζόμενος ὑπεκαίετο.

Δ Μακ. 11,18 - και επάνω εις αυτόν τον ετέντωσαν μέχρι εξαρθρώσεως των μελών και αποσπάσεως των σπονδύλων, ενώ συγχρόνως εκαίετο από

το κάτωθεν αυτού πυρ

Δ Μακ. 11,19 - καὶ ὀβελίσκους δὲ ὀξεῖς πυρώσαντες, τοῖς νώτοις προσέφερον καὶ τὰ πλευρὰ διαπείραντες αὐτοῦ τὰ σπλάγχνα διέκαιον.

Δ Μακ. 11,19 - Αφού δε επύρωσαν και σούβλες αιχμηρές έκαιον τα νώτα του και διαπεράσαντες τας πλευράς του με αυτάς κατέκαια τα σπλάγχνα του.

Δ Μακ. 11,20 - ὁ δὲ βασανιζόμενος, ὦ ἱεροπρεποῦς ἀγῶνος, ἔλεγεν, ἐφ᾽ ὃν διὰ τὴν εὐσέβειαν εἰς γυμνασίαν πόνων ἀδελφοὶ τοσοῦτοι κληθέντες οὐκ ἐνικήθημεν.

Δ Μακ. 11,20 - Εν τω μέσω ο των βασάνων του έλεγεν· “ω ιερώτατε αγών, εις αυτόν δια την πίστιν μας πόσο αδελφοί εκλήθημεν να δοκιμασθώμεν εις τους πόνους και δεν ενικήθημεν!

Δ Μακ. 11,21 - ἀνίκητος γάρ ἐστιν, ὦ τύραννε, ἡ εὐσεβὴς ἐπιστήμη.

Δ Μακ. 11,21 - Διότι είναι ανίκητον, τύραννε, το ευσεβές φρόνημα.

Δ Μακ. 11,22 - καλοκἀγαθίᾳ καθωπλισμένος τεθνήξομαι μὲν κἀγὼ μετὰ τῶν ἀδελφῶν μου,

Δ Μακ. 11,22 - Ωπλισμένος με την αρετήν θα αποθάνω και εγώ μαζή με τους αδελφούς μου.

Δ Μακ. 11,23 - σὺ δέ, ὦ τύραννε, μέγαν σοὶ προσλαβὼν καὶ αὐτὸς τιμωρόν, καινουργὲ τῶν βασάνων καὶ πολέμιε τῶν ἀληθῶς εὐσεβούντων

Δ Μακ. 11,23 - Συ όμως, τύραννε, εφευρέτα βασανιστηρίων και εχθρέ των γνησίων πιστών, θα αποθάνης επισύρων συ ο ίδιος δια τον εαυτόν σου μέγαν τιμωρόν.

Δ Μακ. 11,24 - ἓξ μειράκια καταλελύκαμέν σου τὴν τυραννίδα·

Δ Μακ. 11,24 - Εξ μικροί νέοι έχομεν καταλύσει και εξευτελίσει την τυραννιικήν εξουσίαν σου.

Δ Μακ. 11,25 - τὸ γὰρ μὴ δυνηθῆναί σε μεταπεῖσαι τὸν λογισμὸν ἡμῶν μήτε βιάσασθαι πρὸς τὴν μιαροφαγίαν οὐ κατάλυσίς ἐστί σου;

Δ Μακ. 11,25 - Διότι το γεγονός ότι δεν ημπόρεσες να μεταπείσης τον λογισμόν μας και να μας αναγκάσης εις την γεύσιν των ακαθάρτων τροφών δεν αποτελεί τούτο κατάλυσιν της εξουσίας σου;

Δ Μακ. 11,26 - τὸ πῦρ σου ψυχρὸν ἡμῖν, καὶ ἄπονοι οἱ καταπέλται, καὶ ἀδύνατος ἡ βία σου.

Δ Μακ. 11,26 - Το πυρ, που άναψες εναντίον μας, είναι δροσερόν δι' ημάς, ανώδυνοι είναι οι καταπέλται σου, ανίσχυρη η βία σου.

Δ Μακ. 11,27 - οὐ γὰρ τυράννου, ἀλλὰ θείου νόμου προεστήκασιν ἡμῶν οἱ δορυφόροι· διὰ τοῦτο ἀνίκητον ἔχομεν τὸν λογισμόν.

Δ Μακ. 11,27 - Δεν μας απειλούν οι δορυφόροι του τυράννου, διότι παραστέκουν κοντά μας οι δορυφόροι του θείου Νομου. Δια τούτο έχομεν ανικητον το φρόνημα”.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 12

Δ Μακ. 12,1 - Ὡς δὲ καὶ οὗτος μακαρίως ἐναπέθανε καταβληθεὶς εἰς λέβητα, ὁ ἕβδομος παρεγίνετο πάντων νεώτερος.

Δ Μακ. 12,1 - Οταν δε και αυτός έλαβε μακάριον θάνατον ριφθείς εις λέβητα, έφθασεν ο έβδομος, ο νεώτερος από όλους.

Δ Μακ. 12,2 - ὃν κατοικτειρήσας ὁ τύραννος, καίπερ δεινῶς ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ κακισθείς, ὁρῶν ἤδη τὰ δεσμὰ περικείμενον,

Δ Μακ. 12,2 - Ησθάνθη όμως ο τύραννος δι' αυτόν μεγάλην ευσπλαγχνίαν, μολονότι είχεν υποστή εκ μέρους των αδελφών του φοβερόν εξευτελισμόν.

Δ Μακ. 12,3 - πλησιέστερον αὐτὸν μετεπέμψατο καὶ παρηγορεῖν ἐπειρᾶτο λέγων·

Δ Μακ. 12,3 - Και βλέπων αυτόν δεμένον τον εκάλεσε πιο κοντά του και προσπαθούσε να τον πείση λέγων·

Δ Μακ. 12,4 - τῆς μὲν τῶν ἀδελφῶν σου ἀπονοίας τὸ τέλος ὁρᾷς· διὰ γὰρ ἀπείθειαν στρεβλωθέντες τεθνήκασι· σὺ δέ, εἰ μὲν μὴ πεισθείης, τάλας βασανισθεὶς καὶ αὐτὸς τεθνήξῃ πρὸ ὥρας.

Δ Μακ. 12,4 - “βλέπεις, ποίον υπήρξε το τέλος της ανοησίας των αδελφών σου. Εξ αιτίας της ανυπακοής των απεθαναν βασανισθέντες. Αλλά και συ, δυστυχισμένε, αν δεν υπακούσης, θα αποθάνης και ο ίδιος, πριν έλθη η ώρα σου, αφού προηγουμένως βασανισθής.

Δ Μακ. 12,5 - πεισθεὶς δὲ φίλος ἔσῃ καὶ τῶν ἐπὶ τῆς βασιλείας ἀφηγήσῃ πραγμάτων.

Δ Μακ. 12,5 - Αν όμως υπακούσης, θα γίνης, αγαπητός μου και θα λάβης ηγεμονικόν αξίωμα εις την διοίκησιν του κράτους μου”.

Δ Μακ. 12,6 - καὶ ταῦτα παρακαλῶν, τὴν μητέρα τοῦ παιδὸς μετεπέμψατο, ὅπως αὐτὴν ἐλεήσας τοσούτων υἱῶν στερηθεῖσαν παρορμήσειεν ἐπὶ τὴν σωτήριον εὐπείθειαν τὸν περιλειπόμενον.

Δ Μακ. 12,6 - Και ενώ τον συνεβούλευεν έτσι, εκάλεσε την μητέρα του παιδιού με την ελπίδα, ότι αυτή θα λυπηθή τον εαυτόν της, που έχασε τόσα τέκνα, και θα παρορμήση το απομένον εις αυτήν τέκνον να υπακούση, δια να σωθή από τον βασανισμόν.

Δ Μακ. 12,7 - ὁ δὲ τῆς μητρὸς τῇ ἑβραΐδι φωνῇ προτρεψαμένης αὐτὸν (ὡς ἐροῦμεν μετὰ μικρὸν ὕστερον), ἀπολύσατέ με, φησίν·

Δ Μακ. 12,7 - Αυτός όμως έπειτα από την προτροπήν, την οποίαν του έκαμε η μητέρα του εις την εβραϊκήν γλώσσαν, (και δια την οποίαν θα ομιλήσωμεν αμέσως κατόπιν), είπε· “λύσατε τα δεσμά μου,

Δ Μακ. 12,8 - εἴπω τι τῷ βασιλεῖ καὶ τοῖς σὺν αὐτῷ φίλοις πᾶσι.

Δ Μακ. 12,8 - διότι έχω να αναφέρω κάτι στον βασιλέα και εις όλους τους φίλους, που είναι κοντά του”.

Δ Μακ. 12,9 - καὶ ἐπιχαρέντες ὅ τε βασιλεὺς καὶ οἱ σὺν αὐτῷ μάλιστα ἐπὶ τῇ ἐπαγγελίᾳ τοῦ παιδὸς ταχέως ἔλυσαν αὐτόν.

Δ Μακ. 12,9 - Ο βασιλεύς και οι γύρω του εχάρησαν πάρα πολύ δια την δήλωσιν αυτήν του παιδίου και τον έλυσαν αμέσως.

Δ Μακ. 12,10 - καὶ δραμὼν ἐπὶ πλησίον τῶν τηγάνων ἔφη·

Δ Μακ. 12,10 - 'Αφου τότε αυτός έτρεξε πλησίον εις τα τηγάνια του βασανισμού εφωναξε·

Δ Μακ. 12,11 - ἀνόσιε, φησίν, καὶ πάντων τῶν πονηρῶν ἀσεβέστατε τύραννε, οὐκ ᾐδέσθης παρὰ τοῦ Θεοῦ λαβὼν τὰ ἀγαθὰ καὶ τὴν βασιλείαν τοὺς θεράποντας αὐτοῦ κατακτεῖναι καὶ τοὺς εὐσεβείας ἀσκητὰς στρεβλῶσαι;

Δ Μακ. 12,11 - “ανόητε και από όλους τους φαύλους ασεβέστατε τύραννε, δεν ησθάνθης εντροπήν μολονότι έλαβες πάρα του Θεού τα πλούτη και την βασιλείαν, να φονεύσης του υπηρέτας του και να υποβάλης εις μαρτύρια τους τηρητάς της ευσεβείας;

Δ Μακ. 12,12 - ἀνθ᾿ ὧν ταμιεύσεταί σε ἡ θεία δίκη πυκνοτέρῳ καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἳ εἰς ὅλον τὸν αἰῶνα οὐκ ἀνήσουσί σε.

Δ Μακ. 12,12 - Δια τούτο σε προορίζει η θεία δίκη δια σφοδρότερον πυρ και αιώνιον και δια βασανιστήρια, που δεν θα σε αφήσουν εις όλους τους αιώνας.

Δ Μακ. 12,13 - οὐκ ᾐδέσθης ἄνθρωπος ὤν, θηριωδέστατε, τοὺς ὁμοιοπαθεῖς καὶ ἐκ τῶν αὐτῶν γεγονότας στοιχείων γλωττοτομῆσαι καὶ τοῦτον καταικίσας τὸν τρόπον βασανίσαι;

Δ Μακ. 12,13 - Συ, που, ενώ είσαι άνθρωπος, έγινες αγριώτατον θηρίον δεν ησθάνθης εντροπήν να κόψης τη γλώσσαν, να βασανίης και να κακοποιήσης κατ' αυτόν τον τρόπον ανθρώπους ομοίους σου, που έχουν πλασθή με το αυτά υλικά στοιχεία;

Δ Μακ. 12,14 - ἀλλ᾿ οἱ μὲν εὐγενῶς ἀποθανόντες ἐπλήρωσαν τὴν εἰς τὸν Θεὸν εὐσέβειαν,

Δ Μακ. 12,14 - Αλλ' εκείνο μεν ωλοκλήρωσαν την ευσέβειαν προς το Θεόν με τον ευγενή θάνατόν των.

Δ Μακ. 12,15 - σὺ δὲ κακὸς κακῶς οἰμώξεις τοὺς τῆς ἀρετῆς ἀγωνιστὰς ἀναιτίως ἀποκτείνας.

Δ Μακ. 12,15 - Συ όμως, κακός καθώς είσαι, θα θρηνήση κακώς, διότι εφόνευσες αδίκως τους αδελφούς τους αθλητάς της αρετής”.

Δ Μακ. 12,16 - ὅθεν καὶ αὐτὸς ἀποθνήσκειν μέλλων ἔφη·

Δ Μακ. 12,16 - Τέλος ενώ επρόκειτο να αποθάνη και αυτός συνεπλήρωσε·

Δ Μακ. 12,17 - οὐκ ἀπαυτομολῶ τῆς τῶν ἀδελφῶν μου ἀριστείας·
Δ Μακ. 12,17 - “δεν θα γίνω λιποτάκτης στον αγώνα, στον οποίον ηρίστευσαν οι αδελφοί μου·
Δ Μακ. 12,18 - ἐπικαλοῦμαι δὲ τὸν πατρῷον Θεόν, ὅπως ἵλεως γένηται τῷ γένει μου.
Δ Μακ. 12,18 - παρακαλώ επί πλέον τον Θεόν των πατέρων μου να φανή εύσπλαγχνος στο έθνος μου
Δ Μακ. 12,19 - σὲ δὲ καὶ ἐν τῷ νῦν βίῳ καὶ θανόντα τιμωρήσεται.
Δ Μακ. 12,19 - Σε όμως και εις την παρούσαν κα εις την μέλλουσαν ζωήν θα τιμωρήση ο Θεός”.
Δ Μακ. 12,20 - καὶ ταῦτα κατευξάμενος, ἑαυτὸν ἔῤῥιψε κατά τῶν τηγάνων, καὶ οὕτως ἀπέδωκε τὴν ψυχήν.
Δ Μακ. 12,20 - Και αφού διετύπωσε τους βαρείς αυτούς λόγους ερρίφθη μόνος του εις τα τηγάνια βασανίσμού και έτσι παρέδωκε την ψυχήν.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 13

Δ Μακ. 13,1 - Εἰ δὲ τοίνυν τῶν μέχρι θανάτου πόνων ὑπερεφρόνησαν οἱ ἑπτὰ ἀδελφοί, συνομολογεῖται πανταχόθεν ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός.
Δ Μακ. 13,1 - Αν λοιπόν οι επτά αδελφοί περιεφρόνησαν τους θανασίμους αυτούς αγώνας, συνάγεται αυτό όλα αυτά τα στοιχεία ότι ο ευσεβής λογισμός είναι κυρίαρχος επί των παθών.
Δ Μακ. 13,2 - εἰ γὰρ τοῖς πάθεσι δουλωθέντες ἐμιαροφάγησαν, ἐλέγομεν ἂν τούτοις αὐτοὺς νενικῆσθαι·
Δ Μακ. 13,2 - Διότι, εάν έτρωγαν ακαθάρτους τροφάς υποδουλούμενοι εις τα πάθη, θα ελέγαμεν ότι αυτοί είχαν νικηθή από αυτά.
Δ Μακ. 13,3 - νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ τῷ ἐπαινουμένῳ παρὰ Θεῷ λογισμῷ περιεγένετο τῶν παθῶν.
Δ Μακ. 13,3 - Εις την πραγματικόττα όμως δεν συμβαίνει αυτό, αλλά με τον λογισμόν, τον οποίον επαινεί ο Θεός ενίκησαν τα πάθη.
Δ Μακ. 13,4 - ὧν οὐκ ἔστι παριδεῖν τὴν ἡγεμονίαν τῆς διανοίας· ἐπεκράτησαν γὰρ καὶ πάθους καὶ πόνων.
Δ Μακ. 13,4 - Εις την περίπτωσι των επτά αδελφών είναι αδύνατον να παραβλέψωμεν την ηγεμονίαν της διανοίας. Ανεδείχθησαν αυτοί νικηταί και του πάθους και των βασάνων.
Δ Μακ. 13,5 - πῶς οὖν οὐκ ἔστι τούτοις τὴν τῆς εὐλογιστίας παθοκρατορίαν ὁμολογεῖν, οἳ τῶν μὲν διὰ πυρὸς ἀλγηδόνων οὐκ ἐπεστράφησαν;

Δ Μακ. 13,5 - Πως, λοιπόν είναι δυνατόν να μη αναγναρίσωμεν ει αυτούς κυριαρχίαν του ορθού λογισμού επί των παθών, εις αυτούς, οι οποίοι δε απέφυγον τους πόνους, που προκαλεί το πυρ;

Δ Μακ. 13,6 - καθάπερ γὰρ προβλῆτες λιμένων πύργοι τὰς τῶν κυμάτων ἀπειλὰς ἀνακόπτοντες γαληνὸν παρέχουσι τοῖς εἰσπλέουσι τὸν ὅρμον,

Δ Μακ. 13,6 - Οπως οι κυματοθραύσται στους λιμένας ανακόπτουν τας απειλάς της θαλάσσης και εξασφαλίζουν γαλήνιον προσόρμησιν εις όσους εισέρχονται,

Δ Μακ. 13,7 - οὕτως ἡ ἑπτάπυργος τῶν νεανίσκων εὐλογιστία τὸν τῆς εὐσεβείας ὀχυρώσασα λιμένα τὴν τῶν παθῶν ἐνίκησεν ἀκολασίαν.

Δ Μακ. 13,7 - έτσι και ο επτάπυργος καλός λογισμός αυτών των νέων, αφού εξησφάλισε τον λιμένα της ευσεβείας, ενίκησε την αχολασίαν των παθών.

Δ Μακ. 13,8 - ἱερὸν γὰρ εὐσεβείας στήσαντες χορὸν παρεθάρσυνον ἀλλήλους λέγοντες·

Δ Μακ. 13,8 - Αφού, δηλαδή, έστησαν τον ιερόν χορόν της πίστεως, ενεθάρρυναν ο ένας τον άλλον λέγοντες·

Δ Μακ. 13,9 - ἀδελφικῶς ἀποθάνοιμεν ἀδελφοὶ περὶ τοῦ νόμου· μιμησώμεθα τοὺς τρεῖς τοὺς ἐπὶ τῆς Ἀσσυρίας νεανίσκους, οἳ τῆς ἰσοπάλιδος καμίνου κατεφρόνησαν.

Δ Μακ. 13,9 - “Ας αποθάνωμεν, αδελφοί, αδελφικώς, προς χάριν του Νομου, ας μιμηθώμεν τους τρεις παίδας, που ήθλησαν εις την Ασσυρίαν. Εκείνοι περιεφρόνησαν την ιδίαν φοβεράν κάμινον.

Δ Μακ. 13,10 - μὴ δειλανδρήσωμεν πρὸς τὴν τῆς εὐσεβείας ἀπόδειξιν.

Δ Μακ. 13,10 - Ας μη φανώμεν άνδρες δειλοί εις την διακήρυξιν της ευσεβείας”!

Δ Μακ. 13,11 - καὶ ὁ μέν, θάῤῥει, ἀδελφέ, ἔλεγεν· ὁ δέ, εὐγενῶς καρτέρησον,

Δ Μακ. 13,11 - Ο ένας έλεγε· “θάρρος, αδελφέ”· ο άλλος υπόμενεν ως γενναίος.

Δ Μακ. 13,12 - ὁ δέ, καταμνησθεὶς ἔλεγε· μνήσθητε πόθεν ἐστὲ ἢ τίνος πατρὸς χειρὶ σφαγιασθῆναι διὰ τὴν εὐσέβειαν ὑπέμεινεν Ἰσαάκ.

Δ Μακ. 13,12 - Ο τρίτος έφερε ζωηρά εις την μνήμην του προγονικά άθλα και έλεγεν· “ενθυμηθήτε από ποίους κατάγεσθε και από ποίου πατρός χέρι είχε δεχθή, δια λόγους ευσεβείας να σφαγιασθή ο Ισαάκ”!

Δ Μακ. 13,13 - εἷς δὲ ἕκαστος καὶ ἀλλήλους ὁμοῦ πάντες ἐφορῶντες φαιδροὶ καὶ μάλα θαῤῥαλέοι, ἑαυτούς, ἔλεγον, τῷ Θεῷ ἀφιερώσωμεν ἐξ ὅλης τῆς καρδίας τῷ δόντι τὰς ψυχὰς καὶ χρήσωμεν τῇ περὶ τὸν νόμον φυλακῇ τὰ σώματα.

Δ Μακ. 13,13 - Ο καθένας δε και όλοι μαζή παρατηρούντες τους αδελφούς των, χαρούμενοι και γεμάτοι θάρρος έλεγαν· “ας αφιερώσωμεν τας ψυχάς μας στον Θεόν, που μας τας έδωσε. Και ας διαθέσωμεν τα σώματά μας δια την τήρησιν του Νομου.

Δ Μακ. 13,14 - μὴ φοβηθῶμεν τὸν δοκοῦντα ἀποκτέννειν τὸ σῶμα·

Δ Μακ. 13,14 - Ας μη φοβηθώμεν εκείνον, που έχει πάρει την απόφασιν να θανατώση το σώμα.

Δ Μακ. 13,15 - μέγας γὰρ ψυχῆς ἀγὼν καὶ κίνδυνος ἐν αἰωνίῳ βασάνῳ κείμενος τοῖς παραβᾶσι τὴν ἐντολὴν τοῦ Θεοῦ.

Δ Μακ. 13,15 - Διότι είναι μέγας ο αγών δια την ψυχήν, όπως επίσης μέγας είναι και ο κίνδυνος, που αναμένει εις τα αιώνια βασανιστήρια αυτούς, που παραβαίνουν την εντολήν του Θεού.

Δ Μακ. 13,16 - καθοπλισώμεθα τοιγαροῦν τῇ τοῦ θείου λογισμοῦ παθοκρατορίᾳ.

Δ Μακ. 13,16 - Ας οπλισθώμεν, λοιπόν, με την κυριαρχίαν του θείου λογισμού επάνω εις τα πάθη.

Δ Μακ. 13,17 - οὕτως γὰρ θανόντας ἡμᾶς Ἁβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὑποδέξονται εἰς τοὺς κόλπους αὐτῶν καὶ πάντες οἱ πατέρες ἐπαινέσουσι.

Δ Μακ. 13,17 - Διότι όταν αποθάνωμεν κατ' αυτόν τον τρόπον, θα μας υποδεχθούν στους κόλπους των ο Αβραάμ, ο Ισαάκ και το Ιακώβ και θα μας επαινέσουν όλοι οι πρόγονοί μας”.

Δ Μακ. 13,18 - καὶ ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν ἀδελφῶν ἔλεγον οἱ περιλειπόμενοι· μὴ καταισχύνῃς ἡμᾶς, ἀδελφέ, μηδὲ ψεύσῃ τοὺς προαποθανόντας ἡμῶν ἀδελφούς.

Δ Μακ. 13,18 - Εις τον καθένα δε από τους αδελφούς, ο οποίος απεσπάτο από το σύμπλεγμά των, έλεγαν όσοι απέμεναν ζωντανοί· “αδελφέ μας, μη μας ,εντροπιάσθης, μήτε να αρνηθής τους αδελφούς μας, που απέθανον προ ολίγου”.

Δ Μακ. 13,19 - οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς ἀδελφότητος φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια διὰ τῶν πατέρων τοῖς γενομένοις ἐμέρισε καὶ διὰ τῆς μητρῴας φυτεύσασα γαστρός,

Δ Μακ. 13,19 - Δεν σας είναι βεβαίως άγνωστον το αδελφικόν φίλτρον, το οποίον η θεία και πάνσοφος πρόνοια εμοίρασε δια των πατέρων εις τα τέκνα και εφύτευσεν έντος των ψυχών των δια μέσου των μητρικών σπλάγχνων.

Δ Μακ. 13,20 - ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες χρόνον καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες

Δ Μακ. 13,20 - Εις αυτά οι επτά αδελφοί είχον αλληλοδιαδόχως κατανοήσει επί ίσον χρονικόν διάστημα και εμορφοποιήθησαν και ηυξήθησαν από το ίδιον αίμα και ετελειοποιήθησαν, αφού έλαβαν την ιδίαν ψυχήν.

Δ Μακ. 13,21 - καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων καὶ ἀπὸ τῶν αὐτῶν γαλακτοποτοῦντες πηγῶν, ἀφ᾿ ὧν συστρέφονται ἐναγκαλισμάτων φιλάδελφοι ψυχαί·

Δ Μακ. 13,21 - Εγεννήθησαν έπειτα από ίσον χρόνον κυοφορίας και εθήλασαν το γάλα από τας αυτάς πηγάς, από τας οποίας τρέφονται σφικταγκαλιασμέναι φιλάδελφοι υπάρξεις.

Δ Μακ. 13,22 - καὶ αὔξοντες σφοδρότερον διὰ τῆς συντροφίας καὶ τῆς καθ᾿ ἡμέραν συνηθείας καὶ τῆς ἄλλης παιδείας καὶ τῆς ἡμετέρας ἐν νόμῳ Θεοῦ ἀσκήσεως.

Δ Μακ. 13,22 - Και ακόμη περισσότερον εμεγάλωσαν και εμορφώθησαν με την συντροφιάν, με την καθημερινήν συναναστροφήν, με την άλλην αγωγήν και μόρφωσιν, όπως και με την ιδιαιτέραν γνωστή εις ημάς άσκησιν στον Νομον του Θεού

Δ Μακ. 13,23 - οὕτως δὴ τοίνυν καθεστηκυίας συμπαθοῦς τῆς φιλαδελφίας, οἱ ἑπτὰ ἀδελφοὶ συμπαθέστερον ἔσχον τὴν πρὸς ἀλλήλους ὁμόνοιαν.

Δ Μακ. 13,23 - Αφού κατ' αυτόν τον τρόπον εδέθη ακόμη στενώτερον η αγάπη των ως αδελφών, οι επτά αδελφοί ησθάνθησαν περισσότερον αλληλέγγυον την μεταξύ των ομόνοιαν.

Δ Μακ. 13,24 - νόμῳ γὰρ τῷ αὐτῷ παιδευθέντες καὶ τὰς αὐτὰς ἐξασκήσαντες ἀρετὰς καὶ τῷ δικαίῳ συντραφέντες βίῳ, μᾶλλον ἑαυτοὺς ἠγάπων.

Δ Μακ. 13,24 - Επειδή επαιδαγωγήθησαν δηλαδή, με τον αυτόν Νομον και ήσκησαν τας αυτάς αρετάς και ανετράφησα μαζή εις ατμόσφαιραν δικαίου βίου, αγαπούσαν περισσότερον ο ένας τον άλλον

Δ Μακ. 13,25 - ἡ γὰρ ὁμοζηλία τῆς καλοκἀγαθίας ἐπέτεινεν αὐτῶν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ ὁμόνοιαν.

Δ Μακ. 13,25 - Ο κοινός ζήλος δια την αρετήν ενίσχυε την μεταξύ των αγάπην και ομόνοιαν

Δ Μακ. 13,26 - σὺν γὰρ τῇ εὐσεβείᾳ ποθεινοτέραν αὐτοῖς κατεσκεύαζον τὴν φιλαδελφίαν.

Δ Μακ. 13,26 - Διότι μαζή με την ευσέβεια η περισσότερον ποθητή αρετή δι' αυτούς ήτο η αδελφική αγάπη.

Δ Μακ. 13,27 - ἀλλ᾿ ὅμως καὶ περὶ τῆς φύσεως καὶ τῆς συνηθείας καὶ τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς ἀδελφότητος αὐτοῖς φίλτρα συναυξόντων, ἀνέσχοντο διὰ τὴν εὐσέβειαν τοὺς ἀδελφοὺς οἱ ὑπολελειμμένοι, τοὺς καταικιζομένους ὁρῶντες μέχρι θανάτου βασανιζομένους.

Δ Μακ. 13,27 - Αλλά, μολονότι η φύσις και η συναναστροφή και ο ενάρετος βίος ενίσχυαν τα φίλτρα της αδελφοσύνης των, εύρισκαν την

δύναμιν, ώστε όσοι κάθε φοράν απέμεναν να βλέπουν με εγκαρτέρησιν τους ακρωτηριασμένους αδελφούς των να βασανίζωνται μέχρι θανάτου.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 14

Δ Μακ. 14,1 - Προσέτι καὶ ἐπὶ τὸν αἰκισμὸν ἐποτρύνοντες, ὡς μὴ μόνον τῶν ἀλγηδόνων περιφρονῆσαι αὐτούς, ἀλλὰ καὶ τῶν τῆς τῶν ἀδελφῶν φιλαδελφίας παθῶν κρατῆσαι.
Δ Μακ. 14,1 - Και οχι μόνον αυτό· αλλά και τους παρότρυναν εις μαρτύριον, ώστε οχι μόνον να περιφρονήσουν αυτό και τας αλγηδόνας, άλλα και να κυριαρχήσουν· και επί του συναισθήματος της στοργς προς τους αδελφούς.
Δ Μακ. 14,2 - ὢ βασιλέως λογισμοὶ βασιλικώτεροι καὶ ἐλευθέρων ἐλευθερώτεροι.
Δ Μακ. 14,2 - ω σκέψεις, βασιλικώτεραι από σκέψεις Βασιλέως και πλέον ελεύθεραι από ελευθέρους ανθρώπους!
Δ Μακ. 14,3 - ὢ ἱερᾶς καὶ εὐαρμόστου περὶ τῆς εὐσεβείας τῶν ἑπτὰ ἀδελφῶν συμφωνίας.
Δ Μακ. 14,3 - Ω ιερά και ευάρμοστος συμφωνία περί ευσεβείας των επτά αδελφών!
Δ Μακ. 14,4 - οὐδεὶς ἐκ τῶν ἑπτὰ μειρακίων ἐδειλίασεν οὐδὲ πρὸς τὸν θάνατον ὤκνησεν,
Δ Μακ. 14,4 - Κανείς από τους επτά μικρούς νέους δεν εδείλιασεν, ούτε εδίστασε προ του θανάτου.
Δ Μακ. 14,5 - ἀλλὰ πάντες ὥσπερ ἐπ᾿ ἀθανασίας ὁδὸν τρέχοντες, ἐπὶ τὸν διὰ τῶν βασάνων θάνατον ἔσπευδον.
Δ Μακ. 14,5 - Αλλά όλοι, ωσάν να έτρεχαν επάνω εις την οδόν της αθανασίας, έσπευδαν προς τον μαρτυρικόν θάνατον.
Δ Μακ. 14,6 - καθάπερ γὰρ χεῖρες καὶ πόδες συμφώνως τοῖς τῆς ψυχῆς ἀφηγήμασιν κινοῦνται, οὕτως οἱ ἱεροὶ μείρακες ἐκεῖνοι ὡς ὑπὸ ψυχῆς μιᾶς τῆς ἀθανάτου τῆς εὐσεβείας κινούμενοι πρὸς τὸν ὑπὲρ αὐτῆς συνεφώνησαν θάνατον.
Δ Μακ. 14,6 - Οπως τα χέρια και τα πόδια κινούνται σύμφωνε με τα παρορμήματα της ψυχής, έτσι και οι ιεροί εκείνοι νέοι, ωσάν να εκινούντο από μίαν ψυχήν, από ένα κοινόν φρόνημα της αθανάτου πίστεως, απεδέχθησαν όλοι αμοφώνως τον προς χάριν αυτής θάνατον.
Δ Μακ. 14,7 - ὢ πανάγιε συμφώνων ἀδελφῶν ἑβδομάς· καθάπερ γὰρ ἑπτὰ τῆς κοσμοποιΐας ἡμέραι περὶ τὴν εὐσέβειαν,
Δ Μακ. 14,7 - Ω παναγία επτάς ομοφώνων αδελφών! Οπως αναφέρονται εις την πίστιν μας επτά ημέραι της δημιουργίας,

Δ Μακ. 14,8 - οὕτως περὶ τὴν ἑβδομάδα χορεύοντες οἱ μείρακες ἐκύκλουν τὸν τῶν βασάνων φόβον καταλύοντες.

Δ Μακ. 14,8 - έτσι και οι νέοι εχόρευαν γύρω από την επτάδα κύκλειον χορόν και απεδίωκον τον φόδον των βασάνων!

Δ Μακ. 14,9 - νῦν ἡμεῖς ἀκούοντες τὴν θλῖψιν τῶν νεανιῶν ἐκείνων φρίττομεν· οἱ δὲ οὐ μόνον ὁρῶντες, ἀλλ᾿ οὐδὲ μόνον ἀκούοντες τὸν παραχρῆμα ἀπειλῆς λόγον, ἀλλὰ καὶ πάσχοντες ἐνεκαρτέρουν, καὶ τοῦτο ταῖς διὰ πυρὸς ὀδύναις·

Δ Μακ. 14,9 - Ημείς ακούοντες τώρα το φρικτόν μαρτύριον των νέων εκείνων αισθανόμεθα φρίκην. Εκείνοι όμως εδείκνυον εγκαρτέρησιν όχι μόνον βλέποντες, όχι μόνον ακούοντες την διαταγήν, που την στιγμήν εκείνην τους απειλούσε, αλλά και υποφέροντες αυτήν και μάλιστα τας οδύνας του πυρός,

Δ Μακ. 14,10 - ὧν τί ἂν γένοιτο ἐπαλγέστερον; ὀξεῖα γὰρ καὶ σύντομος ἡ τοῦ πυρὸς οὖσα δύναμις ταχέως διέλυε τά σώματα. -

Δ Μακ. 14,10 - από τας οποίας τι άλλο αλγεινότερον ημπορεί να γίνη; Διότι η δύναμις του πυρός, όπως είναι σφόδρα και σύντομος, διέλυε ταχέως τα σώματα.

Δ Μακ. 14,11 - Καὶ μὴ θαυμαστὸν ἡγεῖσθε, εἰ ὁ λογισμὸς περιεκράτησε τῶν ἀνδρῶν ἐκείνων ἐν ταῖς βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς πολυτροπωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων·

Δ Μακ. 14,11 - Και μη θεωρείτε άξιον θαυμασμού, εάν ο λογισμός εστήριξε τους άνδρας εκείνους εν τω μέσω των μαρτυρίων, όπου και γυναικός καρδία περιεφρόνησε ποικιλωτέρους πόνους.

Δ Μακ. 14,12 - ἡ μήτηρ γὰρ τῶν ἑπτὰ νεανίσκων ἐκείνων ὑπήνεγκε τὰς ἐφ᾿ ἑνὶ ἑκάστῳ τῶν τέκνων στρέβλας.

Δ Μακ. 14,12 - Η μητέρα, δηλαδή, των επτά εκείνων νέων υπέφερε τας στρεβλώσεις, που εφηρμόζοντο στο καθένα από τα τέκνα της.

Δ Μακ. 14,13 - θεωρεῖτε δὲ πῶς πολύπλοκός ἐστιν ἡ τῆς φιλοτεκνίας στοργὴ ἕλκουσα πάντα πρὸς τὴν τῶν σπλάγχνων συμπάθειαν,

Δ Μακ. 14,13 - Βλέπετε, λοιπόν, πόσον πολυμερής είναι η προς τα τέκνα φιλοστοργία, η χρησιμοποιούσα τα πάντα από συμπάθειαν προς τους καρπούς των σπλάγχνων.

Δ Μακ. 14,14 - ὅπου γε καὶ τὰ ἄλογα ζῷα ὁμοίαν τὴν εἰς τὰ ἐξ αὐτῶν γεννώμενα συμπάθειαν καὶ στοργὴν ἔχει τοῖς ἀνθρώποις.

Δ Μακ. 14,14 - Ετσι και τα άλογα ζώα έχουν αγάπην και στοργήν προς τα τέκνα των ομοίαν προς την των ανθρώπων.

Δ Μακ. 14,15 - καὶ γὰρ τῶν πετεινῶν τὰ μὲν ἥμερα κατὰ τὰς οἰκίας ὀροφοιτοῦντα προασπίζει τῶν νεοσσῶν,

Δ Μακ. 14,15 - Εκ των πτηνών π. χ. τα ήμερα, που ζουν εις τας κατοικίας των ανθρώπων, υπερασπίζονται τους νεοσσούς των.

Δ Μακ. 14,16 - τὰ δὲ κατὰ τὰς κορυφὰς ὀρέων καὶ φαράγγων ἀποῤῥῶγας καὶ δένδρων ὀπὰς καὶ τὰς τούτων ἄκρας ἐννοσσοποιησάμενα ἀποτίκτει καὶ τὸν προσιόντα κωλύει·

Δ Μακ. 14,16 - Οσα δε ζουν εις τας κορυφάς των ορέων, εις τας σχισμάς των βράχων, εις των δένδρων τας οπάς η τας κορυφάς, κάμνουν εκεί τας φωλεάς των. Γεννούν και εμποδίζουν, όποιον θέλει να πλησίαση εκεί.

Δ Μακ. 14,17 - εἰ δὲ καὶ μὴ δύναιντο κωλύειν, περιϊπτάμενα κυκλόθεν αὐτῶν ἀλγοῦντα τῇ στοργῇ, ἀνακαλούμενα τῇ ἰδίᾳ φωνῇ, καθ᾿ ὃν δύναται τρόπον βοηθεῖ τοῖς τέκνοις.

Δ Μακ. 14,17 - Αν δε τύχη και δεν ημπορούν να τον εμποδίσουν, πετούν γύρω-γύρω από τα μικρά των υποφέροντα εξ αιτίας της στοργής των. Τα καλούν με τας φωνάς των και βοηθούν τα τέκνα των με οποιονδήποτε τρόπον ημπορούν.

Δ Μακ. 14,18 - καὶ τί δεῖ τὴν διὰ τῶν ἀλόγων ζῴων ἐπιδεικνύναι τὴν πρὸς τὰ τέκνα συμπάθειαν;

Δ Μακ. 14,18 - Και τι χρειάζεται να παρουσιάζωμεν την προς τα τέκνα συμπάθειαν των αλόγων ζώων;

Δ Μακ. 14,19 - ὅπου γε καὶ μέλισσαι περὶ τὸν τῆς κηρογονίας καιρὸν ἐπαμύνονται τοὺς προσιόντας καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ πλήσσουσι τοὺς προσιόντας τῇ νοσσιᾷ αὐτῶν καὶ ἐπαμύνουσιν ἕως θανάτου;

Δ Μακ. 14,19 - Οταν και αι μέλισσαι κατά την εποχήν της κατασκευής των κηρήθρων αποκρούουν τους πλησιάζοντας, και σαν με σιδερένιο όπλον, με το κεντρί των, κτυπούν τους προσερχομένους εις την κυψέλην των και αμύνονται μέχρι θανάτου;

Δ Μακ. 14,20 - ἀλλ᾿ οὐχὶ τὴν τοῦ Ἀβραὰμ ὁμόψυχον τῶν νεανιῶν μητέρα μετεκίνησε συμπάθεια τῶν τέκνων.

Δ Μακ. 14,20 - Την ισόψυχον προς τον Αβραάμ μητέρα των νέων δεν εκλόνισεν η προς τα τέκνα αγάπη, ώστε να καμφθή προ του μαρτυρίου των.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 15

Δ Μακ. 15,1 - Ὦ λογισμὲ τέκνων παθῶν τύραννε καὶ εὐσέβεια μητρὶ τέκνων ποθεινοτέρα.

Δ Μακ. 15,1 - Ω λογισμέ; Που κυριαρχείς επί του μητρικού πάθους προς τα τέκνα, και ω ευσέβεια, περισσότερον ποθητή εις την μητέρα από τα τέκνα!

Δ Μακ. 15,2 - μήτηρ δυοῖν προκειμένων, εὐσεβείας καὶ τῆς τῶν ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου κατὰ τὴν τοῦ τυράννου ὑπόσχεσιν,

Δ Μακ. 15,2 - Δυο πράγματα είχεν εμπρός της η μητέρα, την ευσέβειαν και την, πρόσκαιρον άλλως τε, σωτηρίαν των επτά παιδιών της, σύμφωνα με την υπόσχεσιν του τυράννου.

Δ Μακ. 15,3 - τὴν εὐσέβειαν μᾶλλον ἠγάπησε τὴν σῴζουσαν εἰς αἰώνιον ζωὴν κατὰ Θεόν.

Δ Μακ. 15,3 - Ηγάπησεν όμως περισσότερον την ευσέβειαν, που σώζει εις την κατά Θεόν αιωνίαν ζωήν.

Δ Μακ. 15,4 - ὢ τίνα τρόπον ἠθολογήσαιμι, φιλότεκνα γονέων πάθη. ψυχῆς τε καὶ μορφῆς ὁμοιότητα εἰς μικρὸν παιδὸς χαρακτῆρα θαυμάσιον ἐναποσφραγίζομεν, μάλιστα διὰ τὸ τῶν παθῶν τοῖς γεννηθεῖσι τὰς μητέρας τῶν πατέρων καθεστάναι συμπαθεστέρας.

Δ Μακ. 15,4 - Πως να εμβαθύνω στο ήθος και να ερμηνεύσω το πάθος της φιλοστοργίας των γονέων προς τα τέκνα; Την ομοιότητα της ψυχής αλλά και του σώματος εγχαράττομεν και αποθέτομεν κατά θαυμάσιον τρόπον στου μικρού παιδιού τον χαρακτήρα. Αλλά αι μητέρες γίνονται εις των παιδιά των συμπαθέστεραι από τους πατέρας δια την έντασιν ακριβώς της συμπαθείας των προς αυτά.

Δ Μακ. 15,5 - ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ πολυγονώτεραι ὑπάρχουσιν αἱ μητέρες, τοσοῦτον μᾶλλόν εἰσι φιλοτεκνότεραι.

Δ Μακ. 15,5 - Διότι όσον περισσότερον συνδυάζουν την ψυχικήν ευαισθησίαν και την πολυτεκνίαν αι μητέρες, τόσον περισσότερον είναι και φοιλότεκνοι.

Δ Μακ. 15,6 - πασῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν ἑπτὰ παίδων μήτηρ φιλοτεκνοτέρα, ἥτις ἑπτὰ κυοφορίαις τὴν πρὸς αὐτοὺς ἐπιφυτευομένη φιλοστοργίαν

Δ Μακ. 15,6 - Από όλας όμως τας μητέρας η μητέρα των επτά αυτών νέων ανεδείχθη περισσότερον φιλότεκνος, η οποία με επτά κυοφορίας επηύξησε την έμφυτον φιλοστοργίαν της προς αυτούς

Δ Μακ. 15,7 - καὶ διὰ πολλὰς τὰς καθ᾽ ἕκαστον αὐτῶν ὠδῖνας ἠναγκασμένη τὴν εἰς αὐτοὺς ἔχειν συμπάθειαν,

Δ Μακ. 15,7 - και τρόπον τινά ηναγκάσθη να τρέφη συμπάθειαν προς αυτούς και δια τους πόνους τοι τοκετού, που εδοκίμασε δια τον καθένα από αυτούς.

Δ Μακ. 15,8 - διὰ τὸν πρὸς τὸν Θεὸν φόβον ὑπερεῖδε τὴν τῶν τέκνων πρόσκαιρον σωτηρίαν.

Δ Μακ. 15,8 - Εδειξεν εν τούτοις αδιαφορίαν δια την πρόσκαιρον σωτηρία των παιδιών της, εξ αιτίας της ευλαβείας της προς τον Θεόν.

Δ Μακ. 15,9 - οὐ μὴν δέ, ἀλλὰ καὶ διὰ τὴν καλοκἀγαθίαν τῶν υἱῶν καὶ τὴν πρὸς τὸν νόμον αὐτῶν εὐπείθειαν μείζω τὴν ἐν αὐτοῖς ἔσχε φιλοστοργίαν.

Δ Μακ. 15,9 - Επί πλέον δε και δια την αρετήν, που είχαν τα παιδιά της και δια την υπακοήν των στους νόμους απέκτησε μεγαλυτέραν την προς αυτού φιλοστοργίαν.

Δ Μακ. 15,10 - δίκαιοί τε γὰρ ἦσαν καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ μεγαλόψυχοι καὶ φιλάδελφοι καὶ φιλομήτορες οὕτως, ὥστε καὶ μέχρι θανάτου τὰ νόμιμα φυλάσσοντας πείθεσθαι αὐτῇ.

Δ Μακ. 15,10 - Διότι ήσαν δίκαιοι σώφρονες, γενναίοι, μεγαλόψυχοι, φιλάδελφοι, φιλομήτορες τόσον πολύ, ώστε να υπακούουν εις αυτήν μέχρι θανάτου κα να φυλάσσουν τας εντολάς του Νομου

Δ Μακ. 15,11 - ἀλλ᾽ ὅμως καίπερ τοσούτων ὄντων τῶν περὶ φιλοτεκνίαν εἰς συμπάθειαν ἑλκόντων τὴν μητέρα, ἐπ᾽ οὐδενὸς αὐτῶν τὸν λογισμὸν αὐτῆς αἱ παμποίκιλοι βάσανοι ἴσχυσαν μεταστρέψαι,

Δ Μακ. 15,11 - Αλλ' όμως, ενώ ήσαν τόσον πολλά τα κίνητρα της φιλοστοργίας που ωδήγησα την μητέρα στο να συμπάσχη μαζή με τα παιδιά της, δια κανένα από αυτά δεν ημπόρεσαν τα πολυειδή βασανιστήρια μεταβάλουν τον λογισμόν της.

Δ Μακ. 15,12 - ἀλλὰ καὶ καθ᾽ ἕνα παῖδα καὶ ὁμοῦ πάντας ἡ μήτηρ ἐπὶ τὸν ὑπὲρ τῆς εὐσεβείας προετρέπετο θάνατον.

Δ Μακ. 15,12 - Αλλά κάθε παιδί ιδιαιτέρως και όλα μαζή τα προέτρεπεν η μητέρα στον θάνατον υπέρ της ευσεβείας.

Δ Μακ. 15,13 - ὦ φύσις ἱερὰ καὶ φίλτρα γονέων καὶ γένεσις φιλόστοργε καὶ τροφεῖα καὶ μητέρων ἀδάμαστα πάθη.

Δ Μακ. 15,13 - Ω ιερά φύσις φίλτρον των γονέων, γέννησις διαποτισμένη από στοργήν, ανατροφή και συναισθήματα αδάμαστα των μητέρων!

Δ Μακ. 15,14 - καθ᾽ ἕνα στρεβλούμενον καὶ φλεγόμενον ὁρῶσα μήτηρ, οὐ μετεβάλλετο διὰ τὴν εὐσέβειαν.

Δ Μακ. 15,14 - Εβλεπε το καθένα από τα παιδιά της, να υφίσταται στρεβλώσεις και να καίεται και εν τούτοις δεν μετέβαλλε τρόπον· και τούτο χάριν της ευσεβείας.

Δ Μακ. 15,15 - τὰς σάρκας τῶν τέκνων ἑώρα περὶ τὸ πῦρ τηκομένας καὶ τοὺς τῶν ποδῶν καὶ χειρῶν δακτύλους ἐπὶ γῆς σπαίροντας καὶ τὰς τῶν κεφαλῶν μέχρι τῶν περὶ τὰ γένεια σάρκας ὥσπερ προσωπεῖα προκειμένας.

Δ Μακ. 15,15 - Εβλεπε τας σάρκας των παιδιών της να λυώνουν εις τας φλόγας του πυρός, τα δάκτυλα των χειρών και των ποδών να ασπαίρου κατά γης και τας σάρκας από την κόμην μέχρι των γενείων να προεξέχουν ως προσωπείον.

Δ Μακ. 15,16 - ὦ πικροτέρων μὲν νῦν μήτηρ πόνων πειρασθεῖσα ἤπερ τῶν ἐπ᾽ αὐτοῖς ὠδίνων.

Δ Μακ. 15,16 - Ω μήτηρ, που εδοκίμασες τώρα πικρότερους πόνους από τους πόνους του τοκετού!

Δ Μακ. 15,17 - ὦ μόνη γύναι τὴν εὐσέβειαν ὁλόκληρον ἀποκυήσασα.
Δ Μακ. 15,17 - Ω μόνη γυναίκα, που εγέννησες το σύνολον της ευσεβείας,
Δ Μακ. 15,18 - οὐ μετέτρεψέ σε πρωτότοκος ἀποπνέων, οὐδὲ δεύτερος εἰς σὲ οἰκτρὸν βλέπων ἐν βασάνοις, οὐδὲ τρίτος ἀποψύχων,
Δ Μακ. 15,18 - δεν μετέτρεψε το ήθός σου ο πρωτότοκος παραδίδων την ψυχήν, ούτε ο δευτερότοκος που εν μέσω των μαρτυρίων του έστρεφε σπαρακτικόν προς σε το βλέμμα, ούτε ο τρίτος παραδίδων την ψυχήν.
Δ Μακ. 15,19 - οὐδὲ τοὺς ὀφθαλμοὺς ἑνὸς ἑκάστου θεωροῦσα ταυρηδὸν ἐπὶ τῶν βασάνων ὁρῶντας τὸν ἑαυτῶν αἰκισμὸν καὶ τοὺς μυκτῆρας προσημειουμένους αὐτῶν τὸν θάνατον, οὐκ ἔκλαυσας.
Δ Μακ. 15,19 - Ούτε εθρήνησες, καθώς παρατηρούσες τον καθένα εις τα μάτια ατενώς, καθ' ον χρόνον και εκείνοι ευρισκόμενοι επάνω εις τα όργανα του βασανισμού έβλεπαν τον σπαραγμόν του σώματός των, ούτε εκάμφθης βλέπουσα το στόμα των, που προεδήλωνε τον επερχόμενον θάνατόν των.
Δ Μακ. 15,20 - ἐπὶ σαρξὶ τέκνων ὁρῶσα σάρκας τέκνων ἀποκαιομένας καὶ ἐπὶ χερσὶ χεῖρας ἀποτεμνομένας καὶ ἐπὶ κεφαλαῖς κεφαλὰς ἀποδειροτομουμένας καὶ ἐπὶ νεκροῖς νεκροὺς πίπτοντας καὶ πολυάνδριον ὁρῶσα τῶν τέκνων τὸ χορεῖον διὰ τῶν βασάνων, οὐκ ἐδάκρυσας.
Δ Μακ. 15,20 - Αν και έβλεπες τας σάρκας των τέκνων σου επάνω εις τας σάρκας των άλλων τέκνων σου να καίωνται, και επάνω εις τα χέρια άλλα χέρια να κόπτωνται και επάνω εις τας κεφαλάς άλλας κεφαλάς να γδέρνωνται και να αποκόπτωνται και επάνω εις νεκρούς να πίπτουν άλλοι νεκροί, αν και έβλεπες να μετατρέπεται δια των βασανιστηρίων εις πολυάνδριον μνήμα ο χορός των τέκνων σου, συ δεν εδάκρυσες.
Δ Μακ. 15,21 - οὐχ οὕτως σειρήνειοι μελῳδίαι, οὐδὲ κύκνειοι πρὸς φιληκοΐαν φωναὶ τοὺς ἀκούοντας ἐφέλκονται, ὡς τέκνων φωναὶ μετὰ βασάνων μητέρα φωνούντων.
Δ Μακ. 15,21 - Αι μελωδίαι των σειρήνων, τα άσματα των κύκνων δεν ασκούν τόσην έλξιν εις την ακοήν εκείνων, που τα ακούουν, όσον αι φωναί των παιδιών, τα όποία εν τω μέσω των βασάνων των επικαλούνται την μητέρα!
Δ Μακ. 15,22 - πηλίκαις καὶ πόσαις τότε ἡ μήτηρ τῶν υἱῶν βασανιζομένων τροχοῖς τε καὶ καυτηρίοις ἐβασανίζετο βασάνοις;
Δ Μακ. 15,22 - Με πόσον πολλά και μεγάλα βασανιστήρια εβασανίζετο τότε η μητέρα, όταν τα τέκνα της υπέφεραν επάνω στους τροχούς και τας εσχάρας!
Δ Μακ. 15,23 - ἀλλὰ τὰ σπλάγχνα αὐτῆς ὁ εὐσεβὴς λογισμὸς ἐν αὐτοῖς τοῖς πάθεσιν ἀνδρειώσας ἐπέτεινε τὴν πρόσκαιρον φιλοτεκνίαν παριδεῖν.
Δ Μακ. 15,23 - Αλλ' ο ευσεβής λογισμός ανδρειωθείς, μέσα ακριβώς εις τα βασανιστήρια εδυνάμωσε την καρδίαν της, ώστε να παραβλέψη την

πρόσκαιρον προς τα τέκνα στοργήν.

Δ Μακ. 15,24 - καίπερ ἑπτὰ τέκνων ὁρῶσα ἀπώλειαν καὶ τὴν τῶν στρεβλῶν πολύπλοκον ποικιλίαν, ἁπάσας ἡ γενναία μήτηρ ἐξέλυσε διὰ τὴν πρὸς Θεὸν πίστιν.

Δ Μακ. 15,24 - Αν και είχε προ των οφθαλμών της την απώλειαν επτά τέκνων και την πολύπλοκον ποικιλίαν των βασανιστηρίων, όλα η γενναία μήτηρ τα υπερέβη χάρις εις την πίστιν της προς τον Θεόν.

Δ Μακ. 15,25 - καθάπερ γὰρ ἐν βουλετηρίῳ τῇ ἑαυτῆς ψυχῇ δεινοὺς ὁρῶσα συμβούλους, φύσιν καὶ γένεσιν καὶ φιλοτεκνίαν καὶ τέκνων στρέβλας,

Δ Μακ. 15,25 - Περικλείει η μητέρα μέσα εις την ψυχήν της, ωσάν εις βουλευτήριον, φοβερούς συμβούλους, την φύσιν, την γέννησιν, την στοργήν προς τα τέκνα και των τέκνων τα βασανιστήρια.

Δ Μακ. 15,26 - δύο ψήφους κρατοῦσα μήτηρ, θανατηφόρον τε καὶ σωτήριον, ὑπὲρ τέκνων

Δ Μακ. 15,26 - Και κρατούσα δύο ψήφους, την ψήφον του θανάτου και την ψήφον της σωτηρίας,

Δ Μακ. 15,27 - οὐκ ἐπέγνω τὴν σῴζουσαν ἑπτὰ υἱοὺς πρὸς ὀλίγον χρόνον σωτηρίαν,

Δ Μακ. 15,27 - δεν έρριψε προς χάριν των τέκνων της την ψήφον, που θα έσωζεν επ' ολίγον μόνον χρόνον τους επτά υιούς,

Δ Μακ. 15,28 - ἀλλὰ τῆς θεοσεβοῦς Ἀβραὰμ καρτερίας ἡ θυγάτηρ ἐμνήσθη.

Δ Μακ. 15,28 - αλλ' έφερεν στον νουν της, η θυγάτηρ αυτή του Αβραάμ, την ευσεβή καρτερίαν του προπάτορος.

Δ Μακ. 15,29 - ὦ μήτηρ ἔθνους, ἔκδικε τοῦ νόμου καὶ ὑπερασπίστρια τῆς εὐσεβείας καὶ τοῦ διὰ σπλάγχνων ἀγῶνος ἀθλοφόρε·

Δ Μακ. 15,29 - Ω μητέρα ολοκλήρου έθνους, εκδικήτρια του Νομου και πρόμαχε της ευσεβείας, αθλοφόρε στον αγώνα της καρδίας!

Δ Μακ. 15,30 - ὦ ἀῤῥένων πρὸς καρτερίαν γενναιοτέρα καὶ ἀνδρῶν πρὸς ὑπομονὴν ἀνδρειοτέρα.

Δ Μακ. 15,30 - Ω γενναιότερα, συ ως προς την, καρτερίαν από το άρρεν φύλον, ανδρειότερα από τους άνδρας ως προς την υπομονήν!

Δ Μακ. 15,31 - καθάπερ γὰρ ἡ Νῶε κιβωτὸς ἐν τῷ κοσμοπληθεῖ κατακλυσμῷ κοσμοφοροῦσα καρτερῶς ὑπήνεγκε τοὺς κλύδωνας,

Δ Μακ. 15,31 - Οπως η κιβωτός του Νώε κατά τον κατακλυσμόν, που κατέστρεψε τον κόσμον, φέρουσα τον κόσμον, μέσα της, υπέφερε ακλονήτως τα κύματα,

Δ Μακ. 15,32 - οὕτως σύ, ἡ νομοφύλαξ, πανταχόθεν ἐν τῷ τῶν παθῶν περιαντλουμένη κατακλυσμῷ καὶ καρτεροῖς ἀνέμοις, ταῖς τῶν υἱῶν

βασάνοις συνεχομένη γενναίως ὑπέμεινας τοὺς ὑπὲρ τῆς εὐσεβείας χειμῶνας.

Δ Μακ. 15,32 - έτσι και συ, η φρουρός του Νομου. Ενῷ από όλα τα σημεία εδέχεσο κτυπήματα εξαντλητικά εν τω μέσω του κατακλυσμού των οδυνών, και ενώ εκτυπάσο ακόμη από τα δεινά των τέκνων σου, ωσάν από ισχυρούς ανέμους, υπέμεινες με γενναιότητα την τρικυμίαν χάριν της ευσεβείας.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 16

Δ Μακ. 16,1 - Εἰ δὲ τοίνυν καὶ γυνὴ καὶ γηραιὰ καὶ ἑπτὰ παίδων μήτηρ ὑπέμεινε τὰς μέχρι θανάτου βασάνους ὁρῶσα τῶν τέκνων, ὁμολογουμένως αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός.

Δ Μακ. 16,1 - Εάν, λοιπόν, μία γηραιά γυναίκα, μητέρα επτά τέκνων, είχε την αντοχή να βλέπη τα μέχρι θανάτου μαρτύρια των παιδιών της, αυτό μαρτυρεί, πρέπει να ομολογήσωμεν, ότι κυρίαρχος επάνω εις τα πάθη είναι ο ευσεβής λογισμός.

Δ Μακ. 16,2 - ἀπέδειξα οὖν ὅτι οὐ μόνον τῶν παθῶν ἄνδρες ἐπεκράτησαν, ἀλλὰ καὶ γυνὴ τῶν μεγίστων βασάνων ὑπερεφρόνησε.

Δ Μακ. 16,2 - Απέδειξα, λοιπόν, ότι δεν εκυριάρχησαν άνδρες μόνον επάνω εις τα πάθη, αλλά ακόμη και μία γυναίκα περιεφρόνησε τα μέγιστα βασανιστήρια.

Δ Μακ. 16,3 - καὶ οὐχ οὕτως οἱ περὶ τὸν Δανιὴλ λέοντες ἦσαν ἄγριοι, οὐδὲ ἡ κατὰ τὸν Μισαὴλ ἐκφλεγομένη κάμινος λαβροτάτῳ πυρί, ὡς ἡ τῆς φιλοτεκνίας περιέκαιεν ἐκείνην φύσις, ὁρῶσαν αὐτῆς οὕτως ποικίλως τοὺς ἑπτὰ υἱοὺς βασανιζομένους.

Δ Μακ. 16,3 - Δεν ήσαν τόσον άγριοι οι λέοντες, που περιεκύκλωσαν τον Δανιήλ, ούτε η κάμινος που είχε πυρακτωθή εναντίον του Μισαήλ με σφοδρότατον πυρ, όσον το πυρ της φιλοτεκνίας που περιέφλεγεν εκείνην, καθώς έβλεπε με τόσον περίτεχνα βασανιστήρια να βασανίζωνται τα παιδιά της.

Δ Μακ. 16,4 - ἀλλὰ τῷ λογισμῷ τῆς εὐσεβείας κατέσβεσε τοσαῦτα καὶ τηλικαῦτα πάθη ἡ μήτηρ.

Δ Μακ. 16,4 - Η μητέρα αυτή κατέσβεσεν όλας τας πολυειδείς οδύνας με τον λογισμόν της εύσε βείας.

Δ Μακ. 16,5 - καὶ γὰρ τοῦτο ἐπιλογίσασθε, ὅτι εἰ δειλόψυχος ἦν ἡ γυνή, καίπερ μήτηρ οὖσα, ὠλοφύρετο ἂν ἐπ᾽ αὐτοῖς καὶ ἴσως ἂν ταῦτα οὕτως εἶπεν·

Δ Μακ. 16,5 - Από τα ανωτέρω βγάλατε τούτο το συμπέρασμα· εάν η γυναίκα είχε δειλήν ψυχήν, μητέρα καθώς ήτο, θα εθρηνούσε δια την θανάτωσιν των παιδιών της και θα ωμιλούσεν ίσως ως εξής·

Δ Μακ. 16,6 - ὦ μελέα ἔγωγε καὶ πολλάκις τρισαθλία ἥτις ἑπτὰ παῖδας τεκοῦσα οὐδενὸς μήτηρ γεγένημαι.

Δ Μακ. 16,6 - “Ω δυστυχισμένη εγώ και τρις και πολλάκις αθλία! Επτά παιδιά έχω γεννήσει και ιδού είμαι σαν να μη έχω γίνει μητέρα κανενός παιδιού!

Δ Μακ. 16,7 - ὦ μάταιοι ἑπτὰ κυοφορίαι, καὶ ἀνόνητοι ἑπτὰ δεκάμηνοι καὶ ἄκαρποι τιθηνίαι καὶ ταλαίπωροι γαλακτοτροφίαι.

Δ Μακ. 16,7 - Ω επτά άγονοι εγκυμοσύναι και ανωφελείς επτά δε κάμηνοι και άκαρποι γαλακτοτροφίαι και ταλαιπωρίαι του θηλασμού!

Δ Μακ. 16,8 - μάτην ἐφ᾿ ὑμῖν, ὦ παῖδες, πολλὰς ὑπέμεινα ὠδῖνας καὶ χαλεπωτέρας φροντίδας ἀνατροφῆς.

Δ Μακ. 16,8 - Ματαίως υπέμεινα, ω τέκνα μου, προς χάριν σας πολλάς ωδίνας και βαρυτέρας από αυτάς φροντίδας ανατροφής.

Δ Μακ. 16,9 - ὦ τῶν ἐμῶν παίδων, οἱ μὲν ἄγαμοι, οἱ δὲ γήμαντες ἀνόνητοι· οὐκ ὄψομαι ὑμῶν τέκνα, οὐδὲ μάμμη κληθεῖσα μακαρισθήσομαι.

Δ Μακ. 16,9 - Ω τέκνα μου, όσοι δεν ενυμφεύθητε και όσοι ενυμφεύθητε, αλλά δεν επρολάβατε να αποκτήσετε τέκνα, δεν θα ίδω παιδιά ιδικά σας ούτε θα καλοτυχισθώ καλουμένη μάμμη.

Δ Μακ. 16,10 - ὦ ἡ πολύπαις καὶ καλλίπαις ἐγὼ γυνὴ χήρα καὶ μόνη πολύθρηνος·

Δ Μακ. 16,10 - Αλλοίμονον! Εγώ, που είχα πολλά και καλά τέκνα, ιδού, είμαι τώρα γυναίκα χήρα και μόνη αξία θρήνων πολλών!

Δ Μακ. 16,11 - οὐδ᾿ ἂν ἀποθάνω, θάψοντα τῶν υἱῶν ἕξω τινά. - Ἀλλὰ τούτῳ τῷ θρήνῳ οὐδένα ὠλοφύρετο ἡ ἱερὰ καὶ θεοσεβὴς μήτηρ,

Δ Μακ. 16,11 - Ακόμη και όταν αποθάνω, δεν θα έχω κανένα από τα παιδιά μου να με θάψη”. -Κανένα όμως από τα παιδιά της με τέτοιον θρήνον δεν εθρήνησεν η αγία και θεοσεβής μητέρα.

Δ Μακ. 16,12 - οὐδ᾿ ἵνα μὴ ἀποθάνωσιν ἀπέτρεπεν αὐτῶν τινα οὐδ ὡς ἀποθνῃσκόντων ἐλυπήθη·

Δ Μακ. 16,12 - Ούτε ημπόδισε κανένα από τα παιδιά της να αποθάνη, ούτε ακόμη ελυπήθη δι' αυτά αφού απέθνησκον.

Δ Μακ. 16,13 - ἀλλ᾿ ὥσπερ ἀδαμάντινον ἔχουσα τὸν νοῦν καὶ εἰς ἀθανασίαν ἀνατίκτουσα τὸν τῶν υἱῶν ἀριθμόν, μᾶλλον ὑπὲρ τῆς εὐσεβείας ἐπὶ τὸν θάνατον αὐτοὺς προετρέπετο ἱκετεύουσα.

Δ Μακ. 16,13 - Αλλά, σαν από διαμάντι διατηρούσα σταθερόν τον νουν, και ωσάν να εγεννούσε εκ νέου μέσα εις την αθανασίαν τον αριθμόν των παιδιών της, τα προέτρεπε μάλλον ικετευτικώς προς τον θάνατον χάριν της ευσεβείας.

Δ Μακ. 16,14 - ὦ μῆτερ δι᾽ εὐσέβειαν Θεοῦ στρατιῶτι, πρεσβῦτι, καὶ γύναι, διὰ καρτερίαν καὶ τύραννον ἐνίκησας καὶ ἔργοις δυνατωτέρα καὶ λόγοις εὑρέθης ἀνδρός.

Δ Μακ. 16,14 - Ω μητέρα, που δια την ευσέβειάν σου έγινες στρατιώτης του Θεού, και γραία και γυναίκα με την καρτερίαν σου ενίκησες και τον τύραννον και δια των έργων και δια των λόγων ανεδείχθης ισχυρότερα από άνδρα!

Δ Μακ. 16,15 - καὶ γὰρ ὅτε συνελήφθης μετὰ τῶν παίδων, εἱστήκεις τὸν Ἐλεάζαρον ὁρῶσα βασανιζόμενον καὶ ἔλεγες τοῖς παισὶν ἐν τῇ ἑβραΐδι φωνῇ.

Δ Μακ. 16,15 - Διότι, όταν συνελήφθης μαζή με τα παιδιά σου, εστέκεσο παρακολουθούσα τον Ελεάζαρον, που εβασανίζετο και έλεγες εις αυτά εις την εβραϊκήν γλώσσαν.

Δ Μακ. 16,16 - ὦ παῖδες, γενναῖος ὁ ἀγών, ἐφ᾽ ὃν κληθέντες ὑπὲρ τῆς διαμαρτυρίας τοῦ ἔθνους, ἐναγωνίσασθε προθύμως ὑπὲρ τοῦ πατρίου νόμου.

Δ Μακ. 16,16 - “Ω παιδιά μου, είναι υπέροχος ο άγων, στον οποίον έχετε κληθή, δια να διαμαρτυρηθήτε δια την κακήν αυτήν μεταχείρισιν του έθνους μας. Αγωνισθήτε, λοιπόν, με προθυμίαν προς υπεράσπισιν του Νομου των πατέρων μας.

Δ Μακ. 16,17 - καὶ γὰρ αἰσχρὸν τὸν μὲν γέροντα τοῦτον ὑπομένειν τὰς διὰ τὴν εὐσέβειαν ἀλγηδόνας, ὑμᾶς δὲ τοὺς νεανίσκους καταπλαγῆναι τὰς βασάνους.

Δ Μακ. 16,17 - Διότι είναι εντροπή, ο μεν γέρων αυτός να υπομένη τους χάριν της ευσεβείας πόνους, ενώ σεις, νέοι και ρωμαλέοι, να φοβηθήτε τα βασανιστήρια.

Δ Μακ. 16,18 - ἀναμνήσθητε ὅτι διὰ τὸν Θεὸν τοῦ κόσμου μετελάβετε, καὶ τοῦ βίου ἀπελαύσατε,

Δ Μακ. 16,18 - Ενθυμηθήτε, ότι από αγάπην του Θεού ήλθατε στον κόσμον και εγευθήκατε την ζωήν.

Δ Μακ. 16,19 - καὶ διὰ τοῦτο ὀφείλετε πάντα πόνον ὑπομένειν διὰ τὸν Θεόν,

Δ Μακ. 16,19 - Δι' αυτό οφείλετε να υπομείνετε κάθε πόνον χάριν του Θεού,

Δ Μακ. 16,20 - δι᾽ ὃν καὶ ὁ πατὴρ ἡμῶν Ἀβραὰμ ἔσπευδε τὸν ἐθνοπάτορα υἱὸν σφαγιάσαι Ἰσαάκ. καὶ τὴν πατρῴαν χεῖρα ξιφηφόρον καταφερομένην ἐπ᾽ αὐτὸν ὁρῶν ὁ Ἰσαὰκ οὐκ ἔπτυξεν.

Δ Μακ. 16,20 - χάριν του οποίου και ο πατήρ ημών, ο Αβραάμ, έσπευδε με προθυμίαν να θυσιάση τον πατέρα του έθνους μας, τον υιόν του Ισαάκ, και ο Ισαάκ, αν και έβλεπε να καταφέρεται εναντίον του το ξιφοφόρον πατρικόν χέρι, δεν εφοβήθη.

Δ Μακ. 16,21 - καὶ Δανιὴλ ὁ δίκαιος εἰς λέοντας ἐβλήθη, καὶ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ εἰς κάμινον πυρὸς ἀπεσφενδονήθησαν καὶ ὑπέμειναν διὰ τὸν Θεόν.

Δ Μακ. 16,21 - Και ο δίκαιος Δανιήλ ερρίφθη στους λέοντας και ο Ανανίας με τον Αζαρίαν και τον Μισαήλ επετάχθησαν εις την κάμινον του πυρός και την απέμειναν χάριν του Θεού.

Δ Μακ. 16,22 - καὶ ἡμεῖς οὖν τὴν αὐτὴν πίστιν πρὸς τὸν Θεόν ἔχοντες μὴ χαλεπαίνητε.

Δ Μακ. 16,22 - Εχοντες λοιπόν και ημείς την ιδίαν πίστιν μη δυσανασχετείτε,

Δ Μακ. 16,23 - ἀλόγιστον γὰρ εἰδότας εὐσέβειαν μὴ ἀνθίστασθαι τοῖς πόνοις. -

Δ Μακ. 16,23 - διότι είναι πράξις απερίσκεπτος, ενώ γνωρίζετε καλά την ευσέβειαν, να μη αντισταθήτε στους πόνους”.

Δ Μακ. 16,24 - Διὰ τούτων τῶν λόγων ἡ ἑπταμήτωρ ἕνα ἕκαστον τῶν υἱῶν παρακαλοῦσα, ἀποθανεῖν ἔπεισε μᾶλλον ἢ παραβῆναι τὴν ἐντολὴν τοῦ Θεοῦ.

Δ Μακ. 16,24 - Με αυτούς τους λόγους η επτάτεκνος αυτή μητέρα προτρέπουσα καθένα από τα παιδιά της τα έπεισε να αποθάνουν μάλλον, πάρα να παραθούν την εντολήν του Θεού.

Δ Μακ. 16,25 - ἔτι δὲ καὶ ταῦτα εἰδότες ὅτι οἱ διὰ τὸν Θεὸν ἀποθανόντες ζῶσι τῷ Θεῷ, ὥσπερ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντες οἱ πατριάρχαι.

Δ Μακ. 16,25 - Τους έλεγε δε και αυτά ακόμη να γνωρίζουν· ότι όσοι απέθαναν δια το όνομα του Θεού, ζουν ενώπιον του Θεού, όπως ο Αβραάμ και ο Ισαάκ και ο Ιακώβ και όλοι οι πατριάρχαι του Ισραήλ.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 17

Δ Μακ. 17,1 - Ἔλεγον δὲ καὶ τῶν δορυφόρων τινὲς ὡς ὅτε ἔμελλε καὶ αὐτὴ συλλαμβάνεσθαι πρὸς θάνατον, ἵνα μὴ ψαύσειέ τις τοῦ σώματος ἑαυτῆς, ἑαυτὴν ἔῤῥιψεν κατὰ τῆς πυρᾶς.

Δ Μακ. 17,1 - Μερικοί δε από τους στρατιώτας διηγούντο, ότι, όταν επρόκειτο να συληφθή και αυτή και να οδηγηθή στο θάνατον, ερρίφθη μόνη της εις την πυράν, δια να μη εγγίση κανείς το σώμα της.

Δ Μακ. 17,2 - ὦ μήτηρ σὺν ἑπτὰ παισὶ καταλύσασα τὴν τοῦ τυράννου βίαν καὶ ἀκυρώσασα τὰς κακὰς ἐπινοίας αὐτοῦ καὶ ἐπιδείξασα τὴν τῆς πίστεως γενναιότητα.

Δ Μακ. 17,2 - “Ω μητέρα με τα επτά τέκνα σου η οποία κατέλυσες την βίαν του τυράνου, εματαίωσες τας κακάς επινοήσστου και παρουσίασες την γενναιότητα, που εμπνέει η πίστις!

Δ Μακ. 17,3 - καθάπερ γὰρ σὺ στέγη ἐπὶ τοὺς στύλους τῶν παίδων γενναίως ἱδρυμένη, ἀκλινὴς ὑπήνεγκας τὸν διὰ τῶν βασάνων σεισμόν.

Δ Μακ. 17,3 - Στηριζομένη επάνω εις τα παιδιά σου, ωσάν στέγη επάνω εις στύλους, υπέμεινες χωρίς κανένα κλονισμόν τον σεισμόν των βασανιστηρίων.

Δ Μακ. 17,4 - θάῤῥει τοιγαροῦν, ὦ μήτηρ ἱερόψυχε, τὴν ἐλπίδα τῆς ὑπομονῆς βεβαίαν ἔχουσα πρὸς τὸν Θεόν.

Δ Μακ. 17,4 - Εχε, λοιπόν, θάρρος, ιερόψυχε μητέρα. Συ έχεις στερεωμένην την ελπίδα σου στον Θεόν δια την αμοιβήν της υπομονή σου.

Δ Μακ. 17,5 - οὐχ οὕτω σελήνη κατ᾿ οὐρανὸν σὺν ἄστροις σεμνή καθέστηκεν, ὡς σὺ τοὺς ἰσαστέρους ἑπτὰ παῖδας φωταγωγήσασα πρὸς τὴν εὐσέβειαν ἔντιμος καθέστηκας Θεῷ καὶ ἐστήρισαι ἐν οὐρανῷ σὺν αὐτοῖς·

Δ Μακ. 17,5 - Δεν έχει με τόσην μεγαλοπρέπειαν εγκατασταθή στον ουρανόν η σελήνη μαζή με τα άστρα, με όσην τιμήν έχεις γίνει δεκτή συ πάρα του Θεού, επειδή εφωταγώγησες τους σαν αστέρα υιούς σου με την ευσέβειαν και έχεις λάβει θέσιν μαζή των στον ουρανόν.

Δ Μακ. 17,6 - ἦν γὰρ ἡ παιδοποιΐα σου ἀπὸ Ἀβραὰμ τοῦ πατρός. -

Δ Μακ. 17,6 - Διότι η τεκνογονία σου έχει την αρχήν της κατ' ευθείαν από τον πατριάρχην Αβραάμ.

Δ Μακ. 17,7 - Εἰ δὲ ἐξὸν ἡμῖν ἦν, ὥσπερ ἐπί τινος πίνακος, ζωγραφῆσαι τὴν τῆς εὐσεβείας σου ἱστορίαν, οὐκ ἂν ἔφριττον οἱ θεωροῦντες μητέρα ἑπτὰ τέκνων δι᾿ εὐσέβειαν ποικίλας βασάνους μέχρι θανάτου ὑπομείνασαν;

Δ Μακ. 17,7 - Εάν δε είχαμεν την εξουσίαν και την δύναμιν, να παραστήσωμεν επάνω εις ζωγραφικόν πίνακα την εικόνα της ευσεβείας σου, δεν θα ησθάνοντο φρίκην εκείνοι, που θα αντίκρυζαν μίαν μητέρα επτά τέκνων να υπομένη μέχρι θανάτου πολυειδή βασανιστήρια χάριν τη ευσεβείας;

Δ Μακ. 17,8 - καὶ γὰρ ἄξιον ἦν καὶ ἐπὶ αὐτοῦ τοῦ ἐπιταφίου ἀναγράψαι καὶ ταῦτα τοῖς ἀπὸ τοῦ ἔθνους εἰς μνείαν λεγόμενα·

Δ Μακ. 17,8 - Διότι, βεβαίως, θα ήτο άξιον ακόμη επάνω και εις αυτήν την επιτάφιον πλάκα να χαράξωμεν επιγραφήν προς ανάμνησιν χάριν των ομοεθνών μας, η οποία επιγραφή θα έλεγε τα εξής·

Δ Μακ. 17,9 - ἐνταῦθα γέρων ἱερεὺς καὶ γυνὴ γηραιὰ καὶ ἑπτὰ παῖδες ἐγκεκήδευται διὰ τυράννου βίαν, τὴν Ἑβραίων πολιτείαν καταλῦσαι θέλοντος,

Δ Μακ. 17,9 - “εδώ έχουν ενταφιασθή ένας γέρων ιερεύς, μία γραία γυναίκα και επτά παιδιά εξ αιτίας της σκληρότητος του τυράννου, ο οποίος ήθελε να καταλύση το έθνος των Εβραίων.

Δ Μακ. 17,10 - οἳ καὶ ἐξεδίκησαν τὸ ἔθνος εἰς Θεὸν ἀφορῶντες καὶ μέχρι θανάτου τὰς βασάνους ὑπομείναντες. -

Δ Μακ. 17,10 - Αυτοί όμως επήραν το δίκαιον του έθνους των στηριζόμενοι στον Θεόν, αφού υπέμειναν τα βασανιστήρια μέχρι θανάτου”.

Δ Μακ. 17,11 - Ἀληθῶς γὰρ ἦν ἀγὼν θεῖος ὁ δι᾽ αὐτῶν γεγενημένος.

Δ Μακ. 17,11 - Ο αγών, τον οποίον διεξήγαγον, έχει γίνει πράγματι αγών θείος.

Δ Μακ. 17,12 - ἠθλοθέτει γὰρ τότε ἀρετὴ δι᾽ ὑπομονῆς δοκιμάζουσα· τὸ νῖκος ἀφθαρσίᾳ ἐν ζωῇ πολυχρονίῳ.

Δ Μακ. 17,12 - Αθλοθέτης ήτο η αρετή, η οποία τους εδοκίμαζε δια τη υπομονής, έπαθλον της νίκης η αφθαρσία, η άνευ τέλους ζωη.

Δ Μακ. 17,13 - Ἐλεάζαρ δὲ προηγωνίζετο, ἡ δὲ μήτηρ τῶν ἑπτὰ παίδων ἐνήθλει, οἱ δὲ ἀδελφοὶ ἠγωνίζοντο·

Δ Μακ. 17,13 - Ο Ελεάζαρος ήνοιξε τον αγώνα, στον οποίον ενήθλησεν η μητέρα των επτά παίδων και το οποίον ηγωνίσθησαν και οι αδελφοί.

Δ Μακ. 17,14 - ὁ τύραννος ἀντηγωνίζετο, ὁ δὲ κόσμος καὶ ὁ τῶν ἀνθρώπων βίος ἐθεώρει·

Δ Μακ. 17,14 - Ο τύραννος ήτο ανταγωνιστής, ο κόσμος και η κοινωνία των ανθρώπων ήσαν θεαταί.

Δ Μακ. 17,15 - θεοσέβεια δὲ ἐνίκα, τοὺς ἑαυτῆς ἀθλητὰς στεφανοῦσα.

Δ Μακ. 17,15 - Ενικούσε δε η πίστις, η οποία και εστεφάνωνε τους αθλητάς.

Δ Μακ. 17,16 - Τίνες οὐκ ἐθαύμασαν τοὺς τῆς θείας νομοθεσίας ἀθλητάς;

Δ Μακ. 17,16 - Ποίοι δεν εθαύμαζαν τους αγωνιστάς του θείου νόμου;

Δ Μακ. 17,17 - τίνες οὐκ ἐξεπλάγησαν; - Αὐτὸς γέ τοι ὁ τύραννος καὶ ὅλον τὸ συνέδριον αὐτῶν ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν.

Δ Μακ. 17,17 - Ποσοι δεν εξεπλάγησαν; - Ο ίδιος ο τύραννος και όλοι οι παρακαθήμενοι κατελήφθησαν από βαθύν σεβασμόν δια την υπομονήν των.

Δ Μακ. 17,18 - δι᾽ ἣν καὶ τῷ θείῳ νῦν παρεστήκασι θρόνῳ καὶ τὸν μακάριον βιοῦσιν αἰῶνα.

Δ Μακ. 17,18 - Δι' αυτήν ακριβώς στέκονται τώρα πλησίον του θρόνου του Θεού και ζουν εις την μαικαρίαν ζωήν.

Δ Μακ. 17,19 - καὶ γάρ φησιν ὁ Μωσῆς· καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου.

Δ Μακ. 17,19 - Διότι ο Μωϋσής λέγει· “πάντες, οι ηγιασμένοι ευρίσκονται υπό την προστασίαν σου”.

Δ Μακ. 17,20 - καὶ οὗτοι οὖν οἱ ἁγιασθέντες διὰ Θεὸν τετίμηνται οὐ μόνον ταύτῃ τῇ τιμῇ ἀλλὰ καὶ τῷ δι᾽ αὐτοὺς τοῦ ἔθνους ἡμῶν τοὺς πολεμίους μὴ ἐπικρατῆσαι

Δ Μακ. 17,20 - Και αυτοί, λοιπόν, οι οποίοι πρασεφέρθησαν θύματα χάριν του Θεού, δεν έχουν λάβει μόνον αυτήν την τιμήν, αλλά και εκείνην που τους ανήκει εκ του γεγονότος, ότι χάρις εις αυτούς δεν επεκράτησαν οι εχθροί μας επ' του έθνους μας.

Δ Μακ. 17,21 - καὶ τὸν τύραννον τιμωρηθῆναι καὶ τὴν πατρίδα καθαρισθῆναι,

Δ Μακ. 17,21 - Και εκείνην της τιμωρίας του τυράννου και του εξαγνισμού της πατρίδος μας,

Δ Μακ. 17,22 - ὥσπερ ἀντίψυχον γεγονότας τῆς τοῦ ἔθνους ἁμαρτίας· καὶ διὰ τοῦ αἵματος τῶν εὐσεβῶν ἐκείνων καὶ τοῦ ἱλαστηρίου θανάτου αὐτῶν ἡ θεία πρόνοια τὸν Ἰσραὴλ προκακωθέντα διέσωσε.

Δ Μακ. 17,22 - με το να δώσουν αυτοί! την ψυχήν των υπέρ των αμαρτιών του έθνους μας. Ετσι δια του αίματος των ευσεβών εκείνων ψυχών και του εξιλαστήριου θανάτου των, η θεία πρόνοια διέσωσε τους Ισραηλίτας, οι οποίοι είχαν υποστή πολλά δεινά κατά το παρελθόν.

Δ Μακ. 17,23 - πρὸς γὰρ τὴν ἀνδρείαν αὐτῶν τῆς ἀρετῆς καὶ τὴν ἐπὶ ταῖς βασάνοις αὐτῶν ὑπομονὴν ὁ τύραννος ἀπιδὼν Ἀντίοχος, ἀνεκήρυξε τοῖς στρατιώταις αὐτοῦ εἰς ὑπόδειγμα τὴν ἐκείνων ὑπομονήν.

Δ Μακ. 17,23 - Διότι ο τύραννος Αντίοχος αποβλέψας εις την ακλόνητον γενναιότητά των και την υπομονήν των εις τα βασανιστήρια, προέβαλε δια κηρύγματος την καρτερίαν των αυτήν ως παράδειγμα στους στρατιώτας του.

Δ Μακ. 17,24 - ἔσχε τε αὐτοὺς γενναίους καὶ ἀνδρείους εἰς πεζομαχίαν καὶ πολιορκίαν καὶ ἐκπορθήσας ἐνίκησε πάντας τοὺς πολεμίους.

Δ Μακ. 17,24 - Ετσι δε κατέστησε και απέκτησε τους στρατιώτας του γενναίους και ανδρείους τόσον εις τας πεζομαχίας όσον και εις τας πολιορκίας· εξεπόρθηοε πόλεις και ενίκησεν όλους τους εχθρούς.

Δ ΜΑΚΚΑΒΑΙΩΝ 18

Δ Μακ. 18,1 - Ὦ τῶν Ἀβραμιαίων σπερμάτων ἀπόγονοι παῖδες Ἰσραηλῖται, πείθεσθε τῷ νόμῳ τούτῳ καὶ πάντα τρόπον εὐσεβεῖτε,

Δ Μακ. 18,1 - Ω υιοί των απογόνων του Αβραάμ! Τέκνα του Ισραήλ, υπακούετε στον Νομον αυτόν των πατέρων μας και με κάθε τρόπον να εκδηλώνετε την ευσέβειάν σας,

Δ Μακ. 18,2 - γινώσκοντες ὅτι τῶν παθῶν δεσπότης ἐστὶν ὁ εὐσεβὴς λογισμὸς καὶ οὐ μόνον τῶν ἔνδοθεν, ἀλλὰ καὶ τῶν ἔξωθεν πόνων·

Δ Μακ. 18,2 - γνωρίζοντες ότι ο ευσεβής λογισμός είναι κυρίαρχος των παθών και οχι μόνον των ψυχικών οδυνών άλλα και των σωματικών αλγηδόνων.

Δ Μακ. 18,3 - ἀνθ᾿ ὧν διὰ τὴν εὐσέβειαν προέμενοι τὰ σώματα τοῖς πόνοις ἐκεῖνοι, οὐ μόνον ὑπὸ τῶν ἀνθρώπων ἐθαυμάσθησαν, ἀλλὰ καὶ

θείας μερίδος κατηξιώθησαν.

Δ Μακ. 18,3 - Δια τούτο, επειδή παρέδωσαν εκείνοι τα σώματά των χάριν της ευσεβείας εις τας οδύνας, οχι μόνον εθαυμάσθησαν από τους ανθρώπους, αλλά χαι έγιναν άξιοι θείας αμοιβής.

Δ Μακ. 18,4 - καὶ δι᾿ αὐτοὺς εἰρήνευσε τὸ ἔθνος, καὶ τὴν εὐνομίαν τὴν ἐπὶ τῆς πατρίδος ἀνανεωσάμενοι ἐκπεπολιορκήκασιν τοὺς πολεμίους.

Δ Μακ. 18,4 - Εξ αιτίας αυτών ειρήνευσε το έθνος και αφού αποκατέστησαν την ευνομίαν εις την πατρίδα κατενίκησαν τους εχθρούς.

Δ Μακ. 18,5 - καὶ ὁ τύραννος Ἀντίοχος καὶ ἐπὶ γῆς τετιμώρηται καὶ ἀποθανὼν κολάζεται· ὡς γὰρ οὐδὲν οὐδαμῶς ἴσχυσεν ἀναγκάσαι τοὺς Ἱεροσολυμίτας ἀλλοφυλῆσαι καὶ τῶν πατρίων ἐθῶν ἐκδιαιτηθῆναι, τότε δὴ ἀπάρας ἀπὸ τῶν Ἱεροσολύμων ἐστρατοπέδευσεν ἐπὶ Πέρσας.

Δ Μακ. 18,5 - Ο τύραννος Αντίοχος και εδώ επάνω εις την γην έχει τιμωρηθή και αποθανών βασανίζεται. Οταν δεν κατώρθωσε να αναγκάση τους κατοίκους της Ιερουσαλήμ, να αρνηθούν το έθνος των και να απομακρυνθούν από τα ήθη των πατέρων των, τότε πλέον αφού εσήκωσε το στρατόπεδόν του από την Ιερουσαλήμ, το μετέφερεν εις την χώρα των Περσών.

Δ Μακ. 18,6 - ἔλεγε δὲ ἡ μήτηρ τῶν ἑπτὰ παίδων καὶ ταῦτα τὰ δικαιώματα τοῖς τέκνοις·

Δ Μακ. 18,6 - Ελεγε δε η μητέρα τω επτά παιδιών εις τα τέκνα της, εκτός των άλλων, και αυτάς τας αρετάς της·

Δ Μακ. 18,7 - ὅτι ἐγὼ ἐγεννήθην παρθένος ἁγνὴ καὶ οὐχ ὑπερέβην τὸν πατρικὸν οἶκον, ἐφύλασσον δὲ τὴν ᾠκοδομημένην πλευράν.

Δ Μακ. 18,7 - “εγώ έζησα παρθένος αγνή και δεν επέρασα τα όρια της πατρικής οικίας. Εφύλασσα δε την γυναικείαν ιδιότητά μου,

Δ Μακ. 18,8 - οὐδὲ ἔφθειρέ με λυμεὼν ἐρημίας φθορεὺς ἐν πεδίῳ, οὐδὲ ἐλυμήνατό μου τὰ ἁγνὰ τῆς παρθενίας λυμεὼν ἀπατηλὸς ὄφις· ἔμεινα δὲ χρόνον ἀκμῆς σὺν ἀνδρί.

Δ Μακ. 18,8 - δεν με διέφθειρε διαφθορεύς, που πραμονεύει εις ερημίας και εις πεδιάδας δια να διαφθείρη. Ούτε κατέστρεψε την παρθενικήν αγνότητά μου δόλιος οφς, πονηρός ανήρ. Εμεινα δε πιστή ως σύζυγος του ανδρός μου καθ' όλον τον χονον της ακμής μου.

Δ Μακ. 18,9 - τούτων δὲ ἐνηλίκων γενομένων ἐτελεύτησεν ὁ πατὴρ αὐτῶν, μακάριος μὲν ἐκεῖνος, τὸν γὰρ τῆς εὐτεκνίας βίον ἐπιζήσας τὸν τῆς ἀτεκνίας οὐκ ὠδυνήθη καιρόν.

Δ Μακ. 18,9 - Οταν οι παίδες μου ενηλικιώθησαν, απέθανεν ο πατήρ των· και ήτο μακάριος, αφού έζησε, δια να απολαύση την χαράν της ευτεκνίας τα και δεν ησθάνθη τας οδύνας ατεκνιας.

Δ Μακ. 18,10 - ὃς ἐδίδασκεν ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν, τὸν νόμον καὶ τοὺς προφήτας.

Δ Μακ. 18,10 - Εκείνος, εν όσω ήτο ακόμη μαζή σας, σας εξηγούσε τον Νομον και τους προφήτας

Δ Μακ. 18,11 - τὸν ἀναιρεθέντα Ἄβελ ὑπὸ Κάϊν, ἀνεγίνωσκε τε ὑμῖν καὶ τὸν ὁλοκαρπούμενον Ἰσαὰκ καὶ τὸν ἐν φυλακῇ Ἰωσήφ.

Δ Μακ. 18,11 - Εδιάδαζεν εις σας από την Ιεράν Βιβλον, δια τον Αβελ τον φονευθέντα από τον Καϊν, δια τον προσφερθέντα Ισαάκ ως θυσίαν ολοκαυτώσεως και δια τον φυλακισμένον Ιωσήφ.

Δ Μακ. 18,12 - ἔλεγε δὲ ὑμῖν τὸν ζηλωτὴν Φινεές, ἐδίδασκέ τε ὑμᾶς τοὺς ἐν πυρὶ Ἀνανίαν καὶ Ἀζαρίαν καὶ Μισαήλ.

Δ Μακ. 18,12 - Σας ωμιλούσε δια τον ζηλωτήν Φινεές και σας ανέφερε τους ριφθέντας στο πυρ Ανανίαν, Αζαριαν και Μισαήλ.

Δ Μακ. 18,13 - ἐδόξαζε δὲ καὶ τὸν ἐν λάκκῳ λεόντων Δανιήλ, ὃν καὶ ἐμακάριζεν.

Δ Μακ. 18,13 - Δεν παρέλειπε να απονέμη επαίνους και στον ριφθέντα στον λάκκον των λεόντων Δανιήλ. Τον οποίον και εθεωρούσε μακάριον.

Δ Μακ. 18,14 - ὑπεμίμνησκε δὲ ὑμᾶς καὶ τὴν Ἡσαΐου γραφὴν τὴν λέγουσαν· κἂν διὰ πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε.

Δ Μακ. 18,14 - Υπενθύμιζεν ακόμη εις σας και την πρφητείαν του Ησαΐου, που λέγει· “καν δια πυρός διέλθης, φλοξ δεν θα σε καταύκαση”.

Δ Μακ. 18,15 - τὸν ὑμνογράφον ἐμελῴδει ὑμῖν Δαυὶδ τὸν λέγοντα· πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Δ Μακ. 18,15 - Εψαλλεν εις σας τους στίχους του Δαβίδ, ο οποίος έλεγε· “πολλαί αι θλίψεις των δικαίων και εκ πασών αυτών ρύσεται αυτούς ο Κυριος”.

Δ Μακ. 18,16 - τὸν Σαλομῶντα ἐπαροιμίαζεν ὑμῖν τὸν λέγοντα· ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ποιοῦσιν αὐτοῦ τὸ θέλημα.

Δ Μακ. 18,16 - Ανέφερεν εις σας την παροιμίαν του Σολομώντος που λέγει· “ξύλον ζωής εστι πάσι τοις ποιούσιν αυτού το θέλημα”.

Δ Μακ. 18,17 - τὸν Ἰεζεκιὴλ ἐπιστοποιεῖτο τὸν λέγοντα· εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα;

Δ Μακ. 18,17 - Εφερεν εις επιβεβαίωσιν τον Ιεζεκιήλ, ο οποίος λέγει· “ει ζήσεται τα οστά τα ξηρά ταύτα;”

Δ Μακ. 18,18 - ᾠδὴν μὲν γάρ, ἣν ἐδίδαξε Μωϋσῆς, οὐκ ἐπελάθετο τὴν διδάσκουσαν καὶ λέγουσαν· ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω·

Δ Μακ. 18,18 - Δεν ελησμόνησεν επίσης την ωδήν, που εδίδαξεν ο Μωϋσής και η οποία συμβουλεύει και λέγει· “εγώ αποκτενώ και ζην ποιήσω”.

Δ Μακ. 18,19 - αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἡ μακρότης τῶν ἡμερῶν.

Δ Μακ. 18,19 - Αυτή είναι η ιδική σας ζωή και το ατελεύτητον μήκος των ημερών”.

Δ Μακ. 18,20 - Ὦ πικρᾶς τῆς τότε ἡμέρας καὶ οὐ πικρᾶς, ὅτε ὁ πικρὸς Ἑλλήνων τύραννος πῦρ φλέξας λέβησιν ὠμοῖς καὶ ζέουσι θυμοῖς ἀγαγὼν ἐπὶ τὸν καταπέλτην καὶ πάσας τὰς βασάνους αὐτοῦ τοὺς ἑπτὰ παῖδας τῆς Ἀβρααμίτιδος

Δ Μακ. 18,20 - Ω της πικράς εκείνης ημέρας, που δεν ήτο εν τούτοις πικρά, όταν ο σκληρός Ελλην τύραννος, άφού ήναψε πυρ κάτω από τους λέβητας, και αφού με σκληρόν και φλογερόν θυμόν ωδήγησεν στον καταπέλτην και εις όλα τα βασανιστήριά του τα επτά παιδιά της θυγατρός του Αβραάμ,

Δ Μακ. 18,21 - καὶ τὰς τῶν ὀμμάτων κόρας ἐπήρωσε καὶ γλώσσας ἐξέτεμε καὶ βασάνοις ποικίλαις ἀπέκτεινεν.

Δ Μακ. 18,21 - κατέστρεψε τας κόρας των οφθαλμών των, έκοψε τας γλώσσας των και με πολυειδή βασανιστήρια τα εθανάτωσε!

Δ Μακ. 18,22 - ὑπὲρ ὧν ἡ θεία δίκη μετῆλθε καὶ μετελεύσεται τὸν ἀλάστορα τύραννον.

Δ Μακ. 18,22 - Δι' όλα αυτά η θεία δίκη κατεδίωξε και θα καταδιώξη ακόμη τον αλαζόνα τύραννον.

Δ Μακ. 18,23 - οἱ δὲ Ἀβραμιαῖοι παῖδες σὺν τῇ ἀθλοφόρῳ μητρὶ εἰς πατέρων χορὸν συναγελάζονται ψυχὰς ἁγνὰς καὶ ἀθανάτους ἀπειληφότες παρὰ τοῦ Θεοῦ,

Δ Μακ. 18,23 - Οι Αβραμιαίοι όμως νέοι όλοι μαζή με την αθλοφόρον μητέρα των, συγκαταλέγονται μεταξύ των χορών των πατέρων, αφού έλαβαν πάρα του Θεού ψυχάς καθαράς και αθανάτους.

Δ Μακ. 18,24 - ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δ Μακ. 18,24 - Εις αυτόν ανήκει η δόξα στους αιώνας των αιώνων. Αμήν.